I
00210

Etymologicum
magnum gre
cum

210

20

210

Est - 10 - Tab. 1ª n.º 3

2 - 10 - 1 - 2

00210

Μάρκου Μουσούρου τοῦ Κρητός.

Ἐκ ποθὲν ἀφράστοιο φανεὶς φύγαδ᾽ ἔτραπεν ἄφνω
Αἰετὸς οἰωνῶν ὑψιπέτης ἀγέλην.
Τεθρίππων ἐπιβάς, σέλας ἢ μάλα δῶκεν ὁ μαίμων
Ἥλιος· ἡ δ᾽ ἄστρων φροῦδον ἔθηκε φάος.
Τὼς δὲ χαρακτήρων ἀπεχέσατο τῶνδε τὰ πρόσθεν
Γράμματα καὶ ῥίνης ἔκγονα καὶ δονάκων.
Θηεῦμαι γλυφάνης πῶς τις σμίλης κοπίδεσσι
Ξέσσε περιπλέκτων ὄρχατον ὧδε τύπων.
Πῶς δὲ μεταξὺ τόνους γραμμῶν στήριξεν ἀάπτους
Ἰθυτάτων· φθόγγοις πάντας ἐπικρεμάσας.
Ἀλλὰ τί θαυμαίνω Κρητῶν φρένας; οὕς ποτ᾽ ἐφετμαῖς
Παλλὰς, ἀθηναίη δαίδαλα πολλὰ δάεν.
Κρὴς γὰρ ὁ τορνώσας. τὰ δὲ χαλκία Κρὴς ὁ συνείρας
Κρὴς ὁ καθ᾽ ἓν στίξας. Κρὴς ὁ μολυβδοχύτης.
Κρὴς δαπάναις νίκης ὁ φερώνυμος. αὐτὸς ὁ κλείων
Κρὴς τάδε. Κρησὶν ὁ Κρὴς ἤπιος αἰγίοχος.
Τοὶ γὰρ ἀμευχόμεθα. πέλοι γενετῆρα χορηγοῦ
Μὴ δίχα μνημοσύνης οὔνομα παιδὶ θέμεν.
Νικῶντ᾽ ἀντιπάλους. νεῦσε Ζεύς. οἱ γὰρ ἀφ᾽ ἱρῆς
Ἑλλάδος, ἑλλάνων παισὶ πρέπουσι τύποι.

es del Collegio trilingue

Ἰωάννου Γρηγοροπούλου τοῦ Κρητός.

Ἄνθεα γραμματικῆς δρέψαι ποθέων ξένε, τάνδε
λάζευ ἀφειδήσας βύβλον ἐπωφέλιμον.
Τάν, πᾶσ᾽ οὐκ ἀλέγων δαπάνης προὔθηκεν ἐρίμην
Νικόλεως ὁ Κρής, Βλαστὸς ἐπωνυμίην.

61867387 9

Μάρκος ὁ Μουσοῦρος τοῖς ἐν Πατταβίῳ σχολαστικοῖς εὖ πράττειν.

Οἱ μὲν τῶν Ἑλληνικῶν ἐν Ἰταλοῖς ἐγχειρήσαντες ἐκτυποῦν τὰς βίβλους ἤδη τοῦτο, οὐ κατὰ τὸ εἰκότως ηὐδοκιμήκασιν. ὅσον γὰρ οἱ τοῖς ἄνω χρόνοις ἐν τῇ τῶν πρὸς τὴν κοινὴν ταυτηνὶ σοφίαν εὑρηκότες, ὡς θεοὺς τελευτήσαντες ἐνομίσθησαν, ἢ που μείζονος ἄν, εἴπερ ἐφίκοιντο, ἄξιοι τιμῆς ἐπιτυχεῖν, οἷς ἐξεγένετο φανῆναι ποριστὰς τῆς ὡς ἀληθῶς καὶ μάλιστα προσηκούσης ἀνθρώπῳ σοφίας τῆς ἐν μαθήμασι καὶ βιβλίοις. ὧν τάγε σεμνότερα καὶ τῆς σπουδαιοτέρας ὄντα μερίδος ἤδη τοῖς πᾶσιν ἐκ προχείρου λαβεῖν, ὑπὸ τῶν ἐννοησάντων τοῦτο τοὔργον ἐνταῦθα, τέως οὐκ ὄν, ἐκδοθέντα. τῶν δέ γε νῦν εἰς ταυτὸ τοῦτο καθέντων ἑαυτούς, οὐ μάλα προπέτειαν καταγνωστέον ὡς ὑπὲρ τοῖς πρεσβυτέροις εὖ ἔχουσιν ἐπιβεβληκότων, ἢ μεγαλοφυΐας ἀγαστέον, ὡς οὐ δυσανάβλεπτον ἡγησαμένων εἶναι τὸ φθάσαν, ἀλλὰ μηδαμῶς ἀποδυσπετησάντων εἰς τὸ μὴ μόνον ἐνατενίσαι τοῖς ἀρχιτέκτοσιν, ἀλλὰ καὶ τὸ χάριεν καὶ εὔρυθμον τῇ καινουργίᾳ προσθεῖναι. τούτων δέ, τῶν δευτέρων φημί, τὰ κυριώτατα τυγχάνει μέρη, Νικόλεώς τε ὁ Βλαστός, καὶ Ζαχαρίας ὁ Καλλιέργης. ἄμφω Κρῆτε καὶ πολῖτα ἐμώ. ὧν ὁ μὲν οὕτως ἐναργῆ καὶ θαυμαστὰ σημεῖα τῆς ἰδίας ἐξήνεγκεν ἐλευθερίας, ὥσπερ ἴπου εἶναι ταύτην εὐφημεῖν ὄψει κρίνεσθαι δυναμένην. ὁ δὲ φιλοπόνως τὰ περὶ τὴν τέχνην, εἴπερ τις ἄλλος, ἐκμελετήσας, οὕτω τραχεῖαν ἵνα καὶ μεστὴν ἱδρῶτος ὁδὸν διεπόρησεν, ὡς πολλοὺς ὑπάρξαι ποτὲ τοὺς ἐλπίσαντας ἐκ μέσης αὐτὸν ἀναστρέψειν κάμνοντα. ἀλλ' ὅμως ἤνυσε καὶ πρὸς τὸ τέρμα χαίρων ἀφῖκται. καὶ μονονοὺ παρὰ τοῖς πλείοσιν ὑμῶν ἀνηγόρευται στεφανίτης. λέγω δὲ διότι ἐξεπόνησε τύποις μηδενὸς κατ' ἴχνη χωρῆσαι τολμήσας δεῖ τῆς παρανόμου γραφῆς. Ἐπεὶ δὴ τούτοις οὐ κατερραθύμησεν, ἀλλὰ χρυσέας ὑποστήσας κατὰ Πίνδαρον εὐτυχεῖ θαλάμῳ κίονας τοὺς χαρακτῆρας, ἠπείχθη καὶ θεῖναι τὸν πῆξαι τάχιστα μέγαρον. Ἀρχὴν δὲ πασῶν ἐπικαιροτάτην ἐποίησε. καὶ πρὸς ἣν τὰ ἑκάστοτε τυπωθησόμενα καθιστάμενος, ἥκιστα ἂν ἁμάρτοι. ἐκείνης γὰρ τῆς βίβλου κατήρξατο, ἥτις παρὰ τὰ προπύλαια τῆς ἀληθινῆς ἔσω παιδείας, ἵνα τι καὶ Κέβητι χρήσω, τοῖς μαθητιῶσι τὼ χεῖρε φιλοφρόνως προτείνει εἰς ὑποδοχήν. οἷς ἐπειδὰν εὖ μάλα σπαργανώσῃ καὶ διαπλάσῃ, πλάσιν ὦ θεοὶ τὴν ἀρίστην τε καὶ καθαρωτάτην, ἀσφαλῶς ὁμιλεῖν ἐπιτρέπει μάλιστα μὲν ἅπασι τοῖς ποιηταῖς, οὐχ ἥκιστα δὲ τῶν πάντων Ὁμήρῳ, τῷ τὰς ἀρχὰς καὶ τὰ σπέρματα παρασχόντι τοῖς ἐν τῇ ἀκροπόλει σοφοῖς. οὐδὲ μία γὰρ ἢ κομιδῇ ὀλίγαι τῶν παρ' ἐκείνῳ τραχειῶν ἅμα καὶ σκληρῶν λέξεων, ἃς ἐτυμολογικώτερον οὐκ ἀναπτύσσει καὶ σαφηνίζει, οὐ δυσευρέτως ἀλλὰ κατὰ τὸ ἐφεξῆς τῶν στοιχείων τὰ ζητούμενα τοῖς διεξιοῦσιν εὐμνημονεύτως ἐκπορίζουσα. οὕτω γε μὴν νουνεχόντως τε καὶ χαριέντως, ὥστε μηδένα τῷ τῆς ἀναγνώσεως ἀπαγορεύειν ὁμοιοτρόπῳ. ἀλλ' ὅτε μὲν μύθοις, ὅτε δ' ἱστορίαις οὐ κατημαξευμέναις ἀλλὰ σπανίως εὑρισκομέναις, ἐκ παραδρομῆς τὸν μετιόντα διαναπαύειν. πρὸς δὲ τούτοις ἀποδείκνυσιν οὐκ ὀλίγα δι' ὧν ἐκτίθεται κανόνων ἀρχαίοις καὶ διαπρεπέσιν ἀνδράσι παραδοθέντων. οἷς ἐνίοτε μέν τισι δοκοῦντας οὐ μάλα ὁμοφωνεῖν, διαλλάττει. ἔστι δ' ὅτε τῇ παρ' ἑαυτοῦ ῥοπῇ ἑτεραλκέα τὴν νίκην ἐποίησε. τῷ γοῦν Ἑλληνικῆς ἀρύσασθαι πηγῆς ἐφιεμένῳ, πάρεστιν ἀφθόνως ἐμπλησθῆναι τοῦ ποτοῦ καὶ χύδην ἐπιρρέοντι τῷ κρουνῷ τὴν κεφαλὴν ὑποθεῖναι. ὁ γὰρ ἐν τοῦτο κεκτημένος εἴτε τὸ τῆς κέρας Ἀμαλθείας αὐτὸ βούλοιτο καλεῖν παντοίοις καρποῖς ὑπερβρύον, εἴτε κηρίον, εἴτε κήπους Ἀδώνιδος, τὴν ἐπιτρομωτάτην ἐβάδισε. πᾶσαν γοῦν ἔχειν ἐν ἑαυτῷ τὴν Ἑλλάδα νομιζέτω. καὶ μηκέτι πόρσιμον ἄλλο ἀπαιτείτω, εἴποι ἂν ἡ Θηβαία λύρα. καὶ περὶ μὲν τούτου πολλὰ ἂν εἶχον εἰπεῖν, εἰ μὴ μεταξὺ ταῦτα γράφων ᾐσθόμην ἐμαυτοῦ περαιτέρω ἢ κατὰ μέτρον ἐπιστολῆς ἐξοκείλαντος. Ἡ δὲ διόρθωσις περὶ ἧς οὐ χεῖρον οὐδὲ τοῦ λόγου πάρεργον εἰπεῖν, ἐργώδης ὑπῆρξε καὶ χαλεπὴ διενεγκεῖν. κατ' ἔνδειαν ὑγιῶς ἐφ' ἅπασιν ἐχόντων ἀντιγράφου. ὧν γοῦν ηὐπορία, ταῦτα δὲ ἄλλως παλαιὰ καὶ ἀξιόπιστα, ἀλλ' οὖν ἀσαφῆ καὶ γρίφων ἀνάμεστα καὶ διὰ τοῦ τόπου ἑκάστου οἷοι περιπλείστου δεόμενα. οὐ μὴν ταύτῃ γε τὴν ὁρμὴν ἀνῆκεν ὁ τοὔργον ἐπιτραπείς. ἀλλὰ τὰ μὲν ἐκ τῶν ταὐτὰ ξυντυχίᾳ τινὶ πραγματευσαμένων ἐπιλεξάμενος, τὰ δὲ τοῖς ὀλίγῳ πρότερον εἰρημένοις ὑποσημαίνεσθαι περὶ τῶν ἐφεξῆς συνείς, ἐτελεσιούργησε μὲν ἐκεῖνος ἀγαθῇ καὶ λαμπρᾷ τῇ τύχῃ. εἰ δὲ μικρά ἄττα τινὲς ἐκφαυλίσουσιν, αὐτοὶ μὲν τοῦ πονηροῦ κόμματος εἶναι, καὶ τοῦ Μώμου δόξουσι μιμηταί. ὃς τὰ μὲν ἄλλα τῆς Ἀφροδίτης οὐκ εἶχε κατηγορεῖν. ἓν δὲ μόνον ἀποστέργειν ἔλεγεν ὅτι τρύζον αὐτῆς τὸ σανδάλιον, ὀχληρὸν εἴη τοῖς ἀπαντῶσι τῷ ψόφῳ. τοῖς δὲ νέοις τούτοις τύποις οὐδὲν ἧττον κατ' ὀρθὸν προχωρήσει τὰ τῆς εὐδοκιμήσεως. οἷς ἀπόχρη μόνων ὑμῶν ὦ φιλέλληνες ἐπιτυχεῖν εὐμενῶν. ὡς ἐν παιδείᾳ πολυψηφοτάτων καὶ τὴν λευκὴν ἀεὶ καὶ νικῶσαν χαριζομένων, τοῖς ὑπὲρ τῆς ὑμετέρας ἀσχολουμένοις σχολῆς.

Εὐτυχεῖτε.

ΙϹ

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

ΕΤΥΜΟΛΟΓΙΚΟΝ ΜΕΓΑ ΚΑΤΑ ΑΛΦΑΒΗΤΟΝ, ΠΑΝΥ ὨΦΕΛΙΜΟΝ.

ΤΟ ΑΛΦΑ, ΜΕΘ' ΕΑΥΤΟΥ.

Ἄλφα τὸ στοιχεῖον, παρὰ τὸ ἀλφῶ τὸ εὑρίσκω. πρῶτον γὰρ τῶν ἄλλων στοιχείων εὑρέθη. ἢ ἀπὸ τοῦ κατὰ ἀμοιβὰς πολιτεύεσθαι. ἀλφεῖν γὰρ τὸ ἀμείβειν.

Ἄατος, ἄνευ ἄτης. ὅ ἐστιν ἀβλαβής. δύναται δὲ καὶ ὁ χαλεπὸς καὶ ὁ βλαβερὸς ἀκούεσθαι. ἴσως καὶ αὐτὸ παρὰ τὴν ἄτην ἐπιτάσει τοῦ ἄλφα. οὕτω Μεθόδιος. ἢ ἀπὸ τοῦ ἀάω τὸ βλάπτω, ἄσω ἄατος καὶ ἀάατος. Ἄγρει δή μοι ὄμοσσον ἀάατον Στυγὸς ὕδωρ. ἢ τὸ ἀβλαβές, ἢ τὸ πολυβλαβές. ἀβλαβὲς μέν, τοῖς εὐόρκοις. πολυβλαβὲς δέ, τοῖς ἐπιόρκοις.

Ἀάσας, ἐβλάψας. ἐπιτάσει τοῦ α. καὶ ἀασάμην, ἐβλάβην. ἀπὸ τοῦ ἀάω τὸ βλάπτω. ὁ μέλλων, ἀάσω. ὁ ἀόριστος, ἄασα. καὶ ἐπιτάσει τοῦ α ἀάασα. ἀντὶ τοῦ ἔβλαψα. Ἆσέ με δαίμονος αἶσα κακή, καὶ ἀθέσφατος οἶνος. ὁ μέσος, ἀασάμην. καὶ πλεονασμῷ τοῦ δευτέρου α, ἀαασάμην.

Ἀάσχετον, Μῆρος τιμώμενος αἰὲν ἀάσχετον οὐκ ἐπιεικτόν. ἀντὶ ἀκατάσχετον. ἀκατακράτητον. μέγα. ἀπὸ τοῦ σχῶ, σχήσω. ἔσχηκα. ἔσχημαι. ἔσχεσαι. ἔσχεται. σχετός. καὶ ἄσχετος. καὶ πλεονασμῷ τοῦ α, ἀάσχετος.

Ἄαπτος· Ὅ τε κεν τρι ἀάπτους χεῖρας ἐφείω. παρὰ τὸ ἅπτω ἄπτους. καὶ ἀάπτους. ἤγουν, τὰς ἄγαν ἁπτομένας. ἢ ὧν οὐκ ἄν τις ἅψαιτο. οἱονεί, ἀπροσίτους. ἀπροσπελάστους. τὸ δὲ καθαπτὸς ἐν Πεύκησι παρ' Ἐμνασοῦ παρ' Εὐριπίδῃ, ἐκ τοῦ καθάπτω γέγονε καθαπτός. οὕτω Φιλόξενος. ὁ δὲ Ἡρωδιανός, τὰς μὴ δυναμένας φθαρῆναι λέγεσθαι σημαίνειν τὸ ὅπλον, κατασκευάζων οὕτως. ἔστιν ἴψ, ἐξ οὗ γίνεται ψόφον ἐσθίον τὰ ξύλα. καὶ κλίνεται ἰπός. ἐκ τούτου γίνεται ῥῆμα, ἰάπτω. ἐξ οὗ ῥηματικὸν ὄνομα, ἰάπτους. καὶ κατὰ στέρησιν, ἀϊάπτους. καὶ κατ' ἔλλειψιν τοῦ ι, ἀάπτους. οἱ μὲν οὖν δασύνουσι τὴν δευτέραν, ἀποδιδόντες ἀπροσπελάστους. οἱ δὲ ψιλοῦσιν, ἀπτήτους. ἔνιοι δέ, ἀνεπιτεύκτους. ἢ χαλεπάς. ἵν' ᾖ τὸ μὲν πρῶτον, ἐκτεταμένον. τὸ δὲ δεύτερον, συνεσταλμένον.

Ἀαγές, ἄθραυστον. ἀπὸ τοῦ ἄγω τὸ κλάνω, ἀγής. μετὰ τοῦ ἐπιτατικοῦ ἄλφα, ἀαγής. τὸ οὐδέτερον, ἀαγές. ἢ τὸ ἄθραυστον κατὰ στέρησιν, ἢ τὸ πολύθραυστον.

ΤΟ ΑΛΦΑ, ΜΕΤΑ ΤΟΥ ΒΗΤΑ.

Ἀβάλ, ἐπίρρημα. παρὰ τὸ βάλλω. κατὰ ἀφαίρεσιν τοῦ λ καὶ τοῦ ω. καὶ μετὰ τοῦ ἐπιτατικοῦ ἄλφα, ἀβάλ. καὶ ἀβέλ, παρὰ τὸ ἀβάλε ἐπίρρημα. ὥσπερ, Ἀβάλε σοι στέφανε. ἀδωλολάγησας.

Ἄβαξ, κυρίως ὁ μὴ ἔχων βάσιν. καταχρηστικῶς δέ, καὶ ἡ οἱασδήποτε σανίδος. οὕτως Ὠρίων. γίνεται, δὲ παρὰ τὸ βῶ τὸ βαίνω.

Ἀβαρνίδα. οἷον, Περκώτην δ' ἀμφὶ τῇ, καὶ Ἀβαρνίδα ἠμαθόεσσαν. Περκώτη δέ ἐστι πόλις Τροίας. Ἀβαρνὶς δέ, πόλις Λαμψάκου. ὠνομάσθη δὲ ἀπὸ τοιαύτης αἰτίας. Διονύσου ἐρασθεῖσα Ἀφροδίτη, ἐμίγη αὐτῷ. ἀναχωρήσαντος δὲ τούτου εἰς τὴν Ἰνδικήν, ἐγαμήθη Ἀδώνιδι. ὡς δὲ ἦλθεν ὁ Διόνυσος, στέφανον ποιήσασα, ἀπήντησεν αὐτῷ. ᾐδεῖτο δὲ ἀκολουθῆσαι αὐτῷ διὰ τὸ γεγαμῆσθαι. εἰς δὲ Λάμψακον ἀναχωρήσασα, τὸν ἐξ αὐτοῦ κυοφορούμενον ἐβούλετο ἀνελεῖν. ἡ δὲ Ἥρα ζηλοτυπήσασα, μεμαγευμένῃ τῇ χειρὶ ἐφήψατο τῆς γαστρὸς αὐτῆς. καὶ ἐποίησεν αὐτὴν τεκεῖν παῖδα, ὃν Πρίαπον ὀνομασθῆναι, ἄσχημον, καὶ βαθυαίδοιον. καὶ τοῦτον ἀπαρνήσασθαι αὐτὴν τὴν Ἀφροδίτην. καὶ ἀπὸ τούτου, Ἀπαρνίδην κληθῆναι. κατὰ δὲ ἐναλλαγὴν τοῦ στοιχείου, Ἀβαρνίδην. οὕτως Ὧρος ὁ Θηβαῖος ἐτυμολογεῖ. τὸ ἐθνικόν, Ἀβαρναῖος. καὶ τὸ θηλυκόν, Ἀβαρναίη.

Ἀβάκησαν, ἀντὶ ἠγνόησαν. ἔστι δὲ ἡ λέξις, ἐκ Τρεικῆς. ἀντὶ οἱ, Τῶ δ' ἴκελος κατὰ ἐδυρώων πόλιν. οἱ δ' ἀβάκησαν. σημαίνει δὲ καὶ τὸ ἡσυχάστησαν. παρ' ἄλλοις δὲ τὸ ἡσυχάσασιν. ἔστι βάζω τὸ λέγω. ὅπερ ἀπὸ τοῦ βοάζω κατὰ συγκοπὴν γίνεται. ὁ παθητικὸς παρακείμενος, βέβακται. ἀντὶ οἱ, Ἔπος δ' εἴπερ τι βέβακται. καὶ ὥσπερ παρὰ τὸ φυλάσσω πεφύλακται φυλακτός, καὶ τέτακται τακτός, ἐξ οὗ καὶ τὸ ἄτακτος ἀτάκτως, οὕτω καὶ βέβακται βακτός. καὶ ῥῆμα ἐξ αὐτοῦ ἀβακτῶ, ὥσπερ ἄτακτος ἀτακτῶ. καὶ ἀφαιρέσει τοῦ τ, ἀβακῶ. ὅθεν καὶ τὸ

Ἀγίζειν, τὸ τὰ ἱερὰ ἐσθίειν, ἢ καρποῦν. ὅμοιον τὸ κατὰ τέμνειν.

Ἀγκὰς, τὰς ἀγκάλας. ἀπὸ τῆς τὸ ἀνατιθέμενον δέρμα. ἀγκῶνος, γίνεται ἀγκάς. ἐξ οὗ τὸ ἀγκαλίζω. ἢ ἀπὸ τοῦ ἀγκὼν, ἀγκάζω καὶ ἀγκαλίζω. ὃ καὶ βέλτιον.

Ἄγκη, τὰ τῶν ὀρῶν κοιλώματα. ἀπὸ τοῦ συγκεκλεῖσθαι καὶ συνάγεσθαι ἐν αὐτοῖς τὰ ξύλα. παρὰ τὸ ἄγω τὸ φέρω, ἄγη. καὶ πλεονασμῷ τοῦ κ, ἄγκη. ἢ παρὰ τὸ κέω καὶ, τὸ δηλοῦν τὸ κεῖσθαι, γέγονεν ἄγκος, ἐν ᾧ δύναται συνάγεσθαι τε καὶ κεῖσθαι.

Ἄγκιστρον, παρὰ τὸ ἄγω ἄκιστρον. καὶ ἄγκιστρον. κεῖσθαι.

Ἀγκίλον, στρεβλόν.

Ἀγκιστρωμένος. κατεχόμενος. ἀπὸ μεταφορᾶς τῶν ἰχθύων, τῶν κατεχομένων ἐν τῷ ἀγκίστρῳ.

Ἀγκύλον, παρὰ τὸ ἄγω γίνεται ἀγκύλος. δεῖ δὲ γινώσκειν ὅτι τὸ ἀγκύλον σημαίνει δύο, τε σκολιὸν καὶ πανοῦργον, ὥσπερ, Ὀδυσσέως ἀγκυλομήτεω. καὶ τὸ περιφερὲς κατὰ σχῆμα. ὥσπερ ἐν τῷ ἀγκύλα τόξα. καὶ τὸ ἰσχυρὸν ὥς ἐν τῷ, ἀγκύλα δ᾽ ἅρματα ἔμυδεν. ὡς εὕρομεν ἐν ὑπομνήμασιν Ἰλιάδος. τὸ κυ ψιλόν. διατί, τὰ διὰ τοῦ υλος ὀνόματα διὰ τοῦ υ ψιλοῦ γράφονται. οἷον κρωβύλος. σημαίνει δὲ τὸν πορνοβοσκόν. αἰσχύλος. ἀγκύλος.

Ἀγκυλομήτεω γίνεται ἀπὸ τοῦ ἀγκύλη τὸ ποικίλος ὁ βαθὺς τόπος. ἀγκύλον ὅ ἐστι τὸ σκολιὸν καὶ τὸ μῆτις. ὅπερ ἀπὸ τοῦ μήδω τὸ βουλεύομαι γέγονεν. κλίνεται δὲ οὕτως ἀγκυλομήτης, ἀγκυλομήτου κοινῶς. δωρικῶς ἀγκυλομήτα. βοιωτικῶς δὲ καὶ αἰολικῶς ἀγκυλομήταο. ἰωνικῶς ἀγκυλομήτεω. οἷον, κακοήθους. κακοτέχνου. πολυβούλου. οἱ δὲ, τὸν δυνάμενον περὶ τῶν ἀγκύλων καὶ σκολιῶν εὖ βουλεύεσθαι.

Ἀγκυλοχείλης, τινὲς φασὶν ὅτι ἀπὸ τοῦ χηλή, ὅ ἐστι τὸν ὄνυχα γίνεται κατὰ τροπὴν βοιωτῶν τοῦ η εἰς ει δίφθογγον. κακῶς δὲ λέγουσιν. εἰ δὲ ἦν οὕτως, μὴ ἔστι ἐπὶ αὐτὸ τοὺς ἔχοντας ἐπικεκομμένους ὄνυχας. ὥσπερ Αἰγυπτιοὶ γαμψώνυχες ἀγκυλοχεῖλαι. καὶ εὑρίσκεται ἐκ παραλλήλου τὸ αὐτὸ σημαῖνον ὅπερ ἐστὶν ἄτοπον. ἀλλὰ παρὰ τὸ χεῖλος, καὶ τὸ ἀγκύλον γίνεται. σεσημείωται τὸ ἀγκυλόχειλος. κακῶς δὲ σεσημείωται. οὐ γάρ ἐστι σύνθετον, ἀλλὰ παρασύνθετον.

Ἀγλαὰ, τὰ λαμπρά. παρὰ τὴν αἴγλην, ὅ ἐστι τὴν λαμπρότητα, ἐφ᾽ ᾗ τις ἀγάλλεται. ἢ παρὰ τὸ ἀγανάζεσθαι, ἀγαλαὰ, καὶ κατὰ συγκοπὴν ἀγλαά. ἡ εὐθεῖα τῶν ἑνικῶν τὸ ἀγλαόν. καὶ ἀγλαὴ, καλῶς κεκοσμημένη.

Ἀγλαΐα, παρὰ τὸ ἀγλαός. τὸ δὲ ἀγλαὸς, παρὰ τὴν αἴγλην. λαμπρότης. κάλλος. καὶ ἀγλαΐζεσθαι τὸ καλλωπίζεσθαι. ἀγλαΐζω, ἀγλαΐσω. ἀγλαΐδι. καὶ ἀγλαΐεσθαι.

Ἀγλευκὴς, παρὰ τὸ γλεῦκος ἀγλευκής. ἀγλευκέστατον, ἀντὶ τοῦ ἀηδέστατον. ἢ παρὰ τὸ γλυκὺς πλεονασμῷ τοῦ ε, ἀγλευκής. ἀηδής. ἄκαλος. ἄχαριστος. ἀκαλής.

Ἄγλιθες, ἐξ ὧν ἡ κεφαλὴ τοῦ σκορόδου συγκεῖται. ἢ σκορόδων κεφαλαί. ἀγλίδια, σκόροδα.

Ἀγκαλιαγωγοὶ, οἱ ἀγκαλίδας ἄγοντες ἐν πλοίοις. ἢ καθρεμμάτων. ἀγκαλιδοφόροι μὲν αὐτοὶ οἱ φέροντες. ἀγκαλιδοπῶλαι δὲ, οἱ πιπράσκοντες. Ἀγλίτης, οἰκέτης.

Ἀγμοὶ, τοὺς ὄρθους καὶ κρημνώδεις τόπους. ἢ ἐραχίαι περιθραύσεις. ἀπορρῶγες. καὶ ἄγμα, σύντριμμα. οἱ δὲ, πάγος.

Ἁγνὸς, παρὰ τὸ ἅζω τὸ σέβομαι. ἅζω, ἁγὸς ἁγανὸς, καὶ ἁγνός. καὶ κλίνεται ἁγνοῦ. ἤγουν ὁ καθαρὸς καὶ σεβάσμιος. τὸ γὰρ ἁ-

Ἀγνὼς, παρὰ τὸ γνόω γνώσω γνώς. γνοὸν, πάντες σεβόμεθα. καὶ μετὰ τοῦ στερητικοῦ α ἀγνώς. οἷον εἰ ὁ ἄγνωστος καὶ ἀμα-

Ἄγνος, τὸ φυτόν. παρὰ τὸ τοὺς ἐσθίοντας θῆς. καὶ κλίνεται ἄγνωτος. οὕτως ἀγόνους τηρεῖν, ἀγονόν τι ὄν. ἢ παρὰ τὸ εἰς ἁγνείαν συντελεῖν, ἐσθιόμενον καὶ πινόμενον. ἐπὶ δὲ καὶ ὑποστρωννύμενον. ὃ καὶ λύγον καλοῦσι. τὸ τῆς σωφροσύνης δηλωτικὸν, καὶ ἡδονῆς σβεστικόν. φασὶ γὰρ αὐτὸ ἐσθιόμενον σβεννύναι τὴν φλόγα τῶν ἡδονῶν. ἁγνὸς δὲ λέγεται ὁ καθαρὸς ὀξυτόνως. παρὰ τὸ ἀγάζω ἀγανὸς, καὶ κατὰ συγκοπὴν ἁγνός. ὥσπερ παίζω

Ἀγνοῶ, παρὰ τὸ νοῶ. καὶ πλεονασμῷ παλαγνός. οὕτως ὠρίων. σημαίνει τὸ γνοῶ. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀγνοῶ. Οὐδέ μιν ἠρκὴ γνοίησεν. οὕτως ὠρίων.

Ἄγνυμι, οἷον Πάταγος δέ τε ἀγνυμενάων. συντριβομένων. γίνεται ἀπὸ τοῦ ἀγνύω. ἔστιν ἄγω τὸ κλῶ. καὶ ἄγνω, ἀγνύω, καὶ ἄγνυμι. καὶ περιαγνύμενος, σημαίνει τὸ περιτριβόμενος, περι-

Ἀγκαλίδες, αἱ τῶν φρυγάνων δέσμαι. καὶ ἀγκ κλώμενος. κάλαι, οἱ βραχίονες. καὶ ἀγκαλὶς, ἄχθος. καὶ ἀγκαλίζειν,

Ἀγκιστροφάγος, φιλάργυρος. ἄγχειν, ἢ ἀναβαστάζειν.

Ἀγκιστρεύεται, θηρεύει.

Ἀγνώνους, διακόνους. ὑπηκόους. δούλους.

Ἀγκτῆρ, δεσμός. καὶ ἀγκτῆρες, οἱ ἐν τραχήλῳ τόποι, δι-

Ἀγκύλη, τοῦ ἀγκῶνος ἡ καμπή. ὧν ἄγχεσθαι συμβαίνει. καὶ οἱ ἀκοντισταὶ, ἀγκυλισταί.

Ἀγνωμοσύνη, ἀναισθησία, ἄγνοια, ὀλιγωρία. καὶ ἀγνώμων, ἀναίσθητος. ἀνόητος. ἀλόγιστος. ἁμαρτάνων.

Ἀγὸς, ἡγεμών. παρὰ τὸ ἄγειν τοὺς ὑποτεταγμένους. Ἀμφὶ δέ μιν Κρητῶν ἀγοὶ ἠγερέθοντο.

Ἄγος, σημαίνει δύο. τό, τε καθαρὸν, ὅπερ κυρίως. καὶ τὸ ἐν-

Ἀγκὼν, ὁ ἀγανὸς ὁ σώδης τόπος. ἢ παρὸν κατὰ ἀντίφρασιν. διὰ τὸ ἐπάγεσθαι τὴν χεῖρα, οἷον ἄγνυσθαι. ὥσπερ γὰρ παρὰ τὸ πολλὸς γίνεται πολλοστὸς, οὕτω παρὰ τὸ ἄγω ἄγος καὶ ἀγοστός. οὕτως ὠρίων ὁ ἐτυμολόγος. ἢ τὸ ἐκ τοῦ τοῦ ἀγκῶνος, παρὰ τὴν συναγωγὴν, καὶ τὴν ἐπικάμψιν τῆς χειρός. ἢ παρὰ τὸ δύνασθαι τούτῳ τινὰ ἄγχειν.

Ἄγονος, ὄνομα. παρὰ τὸ γόνος. βαρύνεται μὲν ὁ συνηθεὶς. ὀξύνεται δὲ ὁ συνήτωρ. ἐξ οὗ πλεονασμῷ τοῦ υ, γουνὸς ὁ συνεκτικὸς καὶ κάρπιμος τόπος. Γουνῷ ἀλωῆς.

Ἄγαμος, τὸ δὲ ἄγαμος τὰ πολέεσθαι, ὅτε σύνδεσμος ἂν ἢ διαζευκτικοῦ παραλαμβάνεται. ἤτοι, ἢ καὶ συνηθεὶς προσ-

Ἄγον, ἰωνικῶς ἂν ἢ γον. ῥῆμα ὁριστικὸν μον ἀπολέσθαι. κὸν, χρόνου παρατατικοῦ. ποιητικὸν γάρ ἐστι. καὶ ἔστιν ἀναλ ἐκτὸν. βραχὺ ἔχον τὸ α. καὶ ἄγον δωρικῶς τὸ αὐτὸ, κατὰ τροπὴν τοῦ η εἰς α μακρόν. τὸ γὰρ ἀκόλουθον ἔστιν ἦγον.

Ἀγορὴ, καὶ αὐτὸ τὸ ἄθροισμα. καὶ ὁ τόπος. καὶ ὁ λόγος. παρὰ τὸ ἀγείρω τὸ ἀθροίζω καὶ ἐκκλησιάζω, γίνεται ἀγορή. ὅ ἐστιν ἐκκλησία. συνέδριον. τὸ δὲ ἀγείρω, παρὰ τὸ ἄγω.

Ἀγορεύω, παρὰ τὸ ἀγορά. τοῦτο δὲ, παρὰ τὸ ἀγείρω. τοῦτο παρὰ τὸ ἄγω καὶ τὸ εἴρω τὸ λέγω ἐν ᾗ πρὸς τὸ λέγειν συναθροί-

Ἀγοράασθε, ἐκ τοῦ ἀγορῶ. καὶ περισπᾶται. τὰ γὰρ ζοντα.

εἰς ρω λήγοντα ῥήματα τὸ ο παραληγόμενα, περισπᾶται. οἷον, δημηγορῶ ἀγηγορῶ ἐγρηγορῶ. οὕτω καὶ ἀγορῶ. ἔστι δὲ τῆς β τῶν περισπωμένων. ἐξ οὗ Παισὶν ἐοικότες ἀ-

Ἀγοράζω. ποτὲ μὲν αὐτὸ τὸ ἐνα γοράασθε. δημηγορεῖτε. ἀγορᾷ ἐμβάλλω καὶ διατρίβω. εἴρηται δὲ καὶ αὐτὸ τὸ ἀγοράζειν

Ἀγορῆνδε, τουτέστιν εἰς τὴν ἀγορὰν. ἐπιρρηματικὴ ἡ σύνταξις ὥσπερ οἴκαδε, εἰς τὸν οἶκον. καὶ ἀθήναζε, εἰς ἀθήνας.

Ἀγορῆθεν, διατί περισπᾶται. ἐπειδὴ τὰ ἀπὸ ὀξυτόνων ἢ περισπωμένων παραγόμενα εἰς θεν ἐπιρρήματα, προμίαν ἔχουσι τὸν τόνον. γῆθεν. ἀρχῆθεν. ἀγορῆθεν.

Ἀγορανόμοι, οἱ τὰ κατὰ τὴν ἀγορὰν διοικοῦντες ἄρχοντες.

Ἀγορὰ, ἐφορεία. ἡ σύνοδος ἡ πρὸς τοῖς κοινοῖς ὅροις γινομένη τῶν ἀστυγειτόνων. οὐ οἱ ὅμοροι συνιόντες, περὶ τῶν κοινῶν ἐβουλεύοντο. Ἄγρα, δημήτρος ἱερὸν λέγεται. καὶ ἡ θήρα. λέγονται δὲ πληθυντικῶς καὶ οἱ τόποι.

Ἀγραφίου, εἶδος δίκης, κατὰ τῶν ὀφειλόντων τῷ δημοσίῳ, καὶ ἐπιγεγραμμένων μὲν ἀπαλειφθέντων δὲ πρὶν ἀποδοῦναι. ἐνίοτε δὲ καὶ κατὰ τῶν ἐγγραφόντων τοὺς μὴ ὀφείλοντας.

Ἀγρεῖ, ἀντὶ τοῦ ἄγε. ἢ λάβε, καὶ φέρε.

Ἀγραῦλος, ὁ ἥρως. εἴρηται παρὰ τὸ ἐν ἀγρῷ γεγενῆσθαι. ἀπὸ γὰρ

Ἄγριος, ὁ ἀνήμερος πρωτοπρο κυρήνης καὶ ἀπόλλωνος υἱῶν. ξύνεται. καὶ διὰ τοῦ ι γράφεται. ἀπὸ τοῦ ἀγρός, πρὸς ἀντιδιαστολὴν τοῦ ἀγρείου, ὁ ἐν ἀγρῷ διαιτώμενος, τοῦ διὰ τῆς ει διφθόγγου γραφομένου καὶ περισπωμένου.

Ἀγρυπνία, παρὰ τὸ ἄυπνος ἀυπνία. καὶ κατὰ πλεονασμὸν τοῦ γρ, ἀγρυπνία. Ἀγρόμενοι, ἀγειρόμενοι. ἀγείρω καὶ κατὰ συγκοπὴν, ἄγρω. ὥσπερ παρὰ τὸ ἐγείρω, ἔγρω.

Ἀγρὸς, παρὰ τὴν ἄγραν, ἐν ᾧ γίνεται. ἢ παρὰ τὸ ἀρῶ τὸ ἀροτριῶ,

Ἀγροτέρη, οὐκ ἀπὸ τοῦ ἄγριος. ἀγριώτερος ἀρὸς καὶ ἀγρός. γὰρ ἦν ἄν. ἀλλὰ παρὰ τὸ ἀγρὸν, ἀγρότερος πεποίηται. ἀπα-

Ἀγροτέρας ἐλάφους, αἰγ ρασχηματισμὸν γὰρ οὕτω φίλων ροτέρας. καὶ κατὰ συγκοπὴν, ἀγροτέρας. διὰ τὸ πολυχρόνιον τοῦ ζώου, ὡς ὁ χρησμὸς δηλοῖ. Ἐννέα γὰρ ζώει γενεὰς λακέρυζα κορώνη ἀνδρῶν γηρώντων. ἔλαφος δέ τε τετρακόρωνος. ἢ ἀγριωτέρας, καὶ κατὰ συγκοπὴν, ἀγροτέρας.

Ἀγροιώτης, ὁ ἀγροῖκος. ἔστιν ἀγρὸς ἀγρότης, ὥς δῆμος δημότης. καὶ κατὰ πλεονασμὸν τοῦ ι, ἀγροίτης. οὕτως ὠρίων. καὶ κατὰ ἐπένθεσιν τοῦ ω, ἀγροιώτης.

Ἀγρίφη, σημαίνει τὴν σκάφην. ἢ ὑποδοχὴ ἄμης. σκαφίον.

Ἀγρὸς, παρὰ τὸ ἄρην, ὅ ἐστι τὸν σίδηρον. ὁ τῷ σιδήρῳ τεμνόμενος.

Ἄγριοι οἱ παιδεράσται. ἤτοι ὅτι ἄγριόν ἐστι τὸ πάθος ἡ παιδεραστία, ἢ ὅτι ὁ Πὰν ὁμοχός ἐστι τοῖς τοιούτοις. διὰ τὸ τραγοειδὲς καὶ τὸ ῥᾴδιον ἀνατεταμένον ἔχει. ἔστι δὲ ὁ Πὰν, ἄγριος θεός. ἀγρηνοὶ δὲ καὶ οἱ ἀγροῖκοι.

Ἀγορευτὴς, τοὺς ἀγορητὰς τοὺς ῥήτορας. καὶ ἀγορητὰς τοὺς ἐν τῇ ἀγορᾷ ἀναστρεφομένους. καὶ ἀγορητοὺς ὁλκάδας,

Ἄγραυλοι, οἱ ἐν ἀγρῷ αὐλιζόμενοι τὰς ὤνια ἐπαγομένας. ὕπαιθροι. ἔρημοι. ἄοικοι. ποιμένες. καὶ ἀγραυλία. θυ-

Ἀγρεμὼν, θηρευτικός. ραυλία καὶ ἐρημία.

Ἄγρευμα, εὕρεμα. καὶ τὸ εἰλημμένον ὄν. καὶ κτῆμα, σκῦλα. καὶ ἀγρεῦσαι τὸ λαβεῖν. ἡ γροικώδης, ἡ γροιάνθης.

Ἀγρηνὸν, ποικίλον. ἐρεοῦν. δικτυοειδές. καὶ ἔνδυμα δὲ ποιόν.

Ἀγρὸς, ὁ ἔξω τῆς πόλεως χῶρος.

Ἀγρώσσω, παράγωγος ὁ χαρακτήρ. ἀπὸ τοῦ ἀγρὸς, ἀγρώσσω. τὰ γὰρ διὰ τοῦ σσω, τὰ ἓξ λαμβάνουσι φωνήεντα. τὸ δὲ ο, οὐ λαμβάνουσιν. οἷον, τὸ α, παρὰ τὸ ἄλλος, ἀλλάσσω. τὸ ε, παρὰ τὸ πῦρ πυρὸς, πυρέσσω. πλήσσω, τὸ η. δειδίσσω, τὸ ι. ἀφύσσω τὸ ἀπαντλῶ, τὸ υ. ὀνειρώσσω ἀγρώσσω, τὸ ω. ὥστε, ἔχει μὲν δοῦναι τὸ ο, οὐκ ἐν παραγωγῇ δέ. τὸ γὰρ ὄσσω, ἀπὸ τοῦ ὄπω γέγονεν.

Ἀγρωσταὶ, οἱ κυνηγέται ἀπὸ τοῦ ἀγρώσσω.

Ἄγρωστις, εἶδος βοτάνης. ἔστιν ἔδω τὸ ἐσθίω. ὁ μέλλων ἔσω. ὁ παρακείμενος ἦκα. ὁ παθητικὸς, ἦσμαι. τὸ β ἦσαι. τὸ γ ἦσται. καὶ ἐξ αὐτοῦ ἦστις. καὶ ἐπειδὴ τὰ ἀπὸ τοῦ παθητικοῦ παρακειμένου γινόμενα ὀνόματα συναρχέσθαι θέλουσι τοῖς ἰδίοις ἐνεστῶσι, γίνεται ἔστις. καὶ μετὰ τοῦ ἀρὸς, ἀγροέστις. καὶ συναιρέσει τοῦ ε καὶ ο, ἀγροῦστις. καὶ τροπῇ δωρικῇ τῆς ου διφθόγγου εἰς ω μέγα, ἄγρωστις.

Ἄγυια, ἡ ὁδός. παρὰ τὸ ἄγω τὸ πορεύομαι. τὰ διὰ τοῦ υια θηλυκὰ ὀνόματα, ὑπὲρ β συλλαβὰς προπαροξυνόμενα, τῷ ι θέλει παραλήγεσθαι. οἷον, ἅρπυια. αἴθυια. ἄγυια. ὠρείθυια. εἰλείθυια. σεσημείωται τὸ μήτυια καὶ ὄργυια καὶ ἄγυια ἡ ὁδὸς παραληγόμενα τῷ ι καὶ ὀξυνόμενα. ἀναλογώτερον δέ ἐστι τὸ ἄγυια. Μέσην δ᾽ ἄγυιαν ἰοῦσαι.

Ἄγυρις, παρὰ τὸ ἀγείρω. ἐξ οὗ καὶ ἀγορὰ γίνεται. καὶ ἀγορῶ ῥῆμα. ἐξ οὗ ὄνομα θηλυκὸν, ἄγορις. καὶ τροπῇ τοῦ ο εἰς υ, ἄγυρις.

Ἀγύρται, λωποδύται. ἐπαῖται. φιλοκερδεῖς ἡ ἄθροισις. καὶ ἀγύρτης, εἶδος βώλου. καὶ ὁ ἀλαζών. καὶ ὁ ἀπατεών. παρὰ τὸ ἀγείρω, τὸ περιιέναι καὶ περιιόντα ἐπὶ μαντικῇ, ἢ ἑτέρῳ τινὶ τοιούτῳ. λέγονται δὲ ἀγυρτικὰ, καὶ τὰ χυδαῖα.

Ἀγχίαλος, ἡ μὲν πόλις, ὀξύνεται. ὁ δὲ παρα ψεύς μετὰ θαλάσσιος τόπος, προπαροξύνεται.

Ἀγχαυρόν. οἷον, Ἦμος δ᾽ ἀνέρες ὕπνον ἀπ᾽ ὀφθαλμῶν ἐβάλοντο ἀγρόται. οἵ τε κύνεσσι πεποιθότες, οὔποτε νύκτα ἀγχαυρὸν κνώσσουσιν ἀλευάμενοι φάος ἠοῦς. ἔστι δὲ τὸ καλούμενον λυκόφως. τὸ ὄρθριον τὸ πλησίον τῆς αὔρας. ἀγχίαυρος καὶ ἀγχαυρός. αὔρα δὲ ἡ ἡμέρα. οὕτως εὕρομεν εἰς τὰ σχόλια τῶν ἀργοναυτικῶν τοῦ ἀπολλωνίου.

Ἀγχιστίνη, ἀπὸ τοῦ ἄγχιστος ἀγχιστῖνος καὶ ἀγχιστίνη. τὸ δὲ ἄγχιστος ἐστὶν ὑπερθετικόν. γίνεται δὲ ἀπὸ τοῦ ἄγχου ἀγχότερος ἀγχίων ἄγχιστος. καὶ ἀγχιστίνδην, τὸ κατὰ ἀγχιστείαν.

Ἄγχι, παρὰ τὸ ἄγχου ἀγχόθι. ἄγχι κατὰ συγκοπήν. ἔστι τὸ πλησίον. τὰ παρὰ τὸ ἄγχι, καὶ ἐρι. καὶ ἀρι, καὶ τὸ ἀμφι, καὶ ἀντι, καὶ ἐπι προθέσεις, διὰ τοῦ ι γίνεται. ἀρίδηλος. ἐριβρεμέτης. ἀμφιέρυτος. ἀντίθεος. ἀγχίθεος ἀγχίσης. ἀγχίμαχος. τὸ γὰρ ἀγχέμαχος ἐστὶ ἀπὸ δι᾽ εὐφωνίαν τὸ ι, εἰς ε. τὰ δὲ παρὰ τὸ ἄγχι, σύνθετα εἰσί, χωρὶς τοῦ ἀγχίσης. ἀπὸ γὰρ τοῦ ἄγχι παρῆχθη καὶ ἔστιν ἁπλοῦν. ἄλλως. τὰ διὰ τοῦ ισης διὰ τοῦ ι γίνεται. ἀντίσης ἀμφίσης. ἀγχίσης ἐριούνιος ὄνομα κύριον. κυρίσης ποταμὸς κελτικῆς. τιπευίσης ἐθνικόν. Ἀγχινεφής ἐν ᾧ ἀχλύς.

Ἀγχιστῖναι, πλησίον ἀλλήλων καὶ πυκναί. παρὰ τὸ ἄγχου.

Ἀγχίσης. παρὰ τὸ ἄγχι τὸ ἐγγὺς γενέσθαι τῆς ἀφροδίτης.

Ἀγχίμολον, ἐγγύς. παρὰ τὸ ἄγχι καὶ τὸ μολῶ. Ἀο

Ἀγχιμαχητής, συστάδην, καὶ ἐκ τοῦ σύνεγγυς μαχόμενος.

Ἄγχω, παρὰ τὸ ἄγω. πλεονασμῷ τοῦ χ. οὐδὲν γάρ ἐστιν ὅμοιον τῷ ἄγχω, ἀλλ' ἢ κάγχω (?). τὸ τὴν φάρυγγα συνάγω. πνίγω. Ἄγχε δὲ μυκεστὸς ἱμάς.

Ἀγχώμαλον. παρὰ μικρὸν ἴσα ἐγγύς. τοῦ ὁμαλοῦ, ἀπὸ τοῦ ἄγχι, ὅ ἐστι τὸ ἐγγύς, καὶ τοῦ ὁμαλοῦ γέγονε. τὰ δὲ παρὰ τὸ ὁμαλὸς συντιθέμενα διὰ τοῦ ω μεγάλου γράφονται. οἷον ἀνώμαλος. κατώμαλος. καὶ ἀγχώμαλος.

Ἀγκλίσας, ἀναχαλάσας. ἀνανεύσασας. ἀναβαστάσας.

Ἀγῶ ἐστι δὲ τὸ πορίζομαι, ὡς τό, Λαοδίκην ἐσάγουσα θυγατρῶν εἶδος ἀρίστην. καὶ τὸ κλάω. ὡς τό, Ἆξον δὴ ἔγχος Διομήδου. καὶ τὸ φέρω. ὡς τό, Εἰς ἀγαμέμνονα δῖον ἄγουν κεχαριότα νίκην. καὶ ἀγῶ περισπωμένως τὸ ἐκπλήττομαι συζυγίας β. γίνεται δὲ ἐκ τοῦ ἄγη, ὅ ἐστι τὴν ἔκπληξιν. τὰ γὰρ τῆς β συζυγίας τῶν περισπωμένων, ὡς ἐπὶ τὸ πλεῖστον ἀπὸ τῶν εἰς η θηλυκῶν γίνεται. Ἀγυιάς, ὁ πρὸ τῶν θυρῶν ἱστάμενος ἐν σχήματι κίονος καὶ βωμός.

Ἀγυῆται, κωμῆται. γείτονες.

Ἄγυρις, σύνοδος. συναγωγὴ στρατοῦ. Ἀγχηρις, ἐγγύς.

Ἀγχιβαθής. ἡ μὴ ἔχουσα κλύσμα θάλασσα, ἀλλ' εὐθὺς βυθόν. ἡ ἐγγὺς τῆς γῆς βαθεῖα.

Ἀγχίβιον, μέγα ἐγγύς.

Ἀγχιβλώς, ἄρτι πρώην. Ἀγχίστροφος, εὐμετάβολος.

Ἀγωνισμός, ἀντιλογία. ἀγωνία. καὶ ἡ ἄθλησις.

Ἀγώμενος, θαυμάζων ἐκπληττόμενος. οἷον, Ἠνορέην ὑπέροπλον ἀγώμενος. ἐκ τοῦ ἀγάω ἀγῶ τὸ θαυμάζω.

Ἀγωνία, ἐπὶ τοῦ εἰς ἀγῶνα μέλλοντος κατιέναι. καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ ἁπλῶς φόβου. οὕτως ὠρίων.

Ἀγών, οὐχ εὗρον αὐτοῦ ἐτυμολογίαν. ἐγὼ δέ φημι, παρὰ τὸ ἄγω, γίνεται ἀγών, ὁ φέρων πολλὴν ὄχλησιν καὶ ἀδημονίαν. ἔστι δὲ ἀγών, ὁ τόπος. Λεῖπον δὲ χῶρον. καλοῦσι δ' εὐρὺν ἀγῶνα. ἀγών, καὶ τὸ πλῆθος τῶν θεατῶν. λῦσε δ' ἀγών. ἀγὼν καὶ τὸ ἄθροισμα. Ἧκε μετ' ἀγῶνα νεῶν, καὶ παλλὰς ἀθήνη. ἀγών, καὶ τὸ ἆθλον, καὶ ὅμαδος. Θεῖον δύσονται ἀγῶνα. οὕτως εὗρον σχόλια ἐν ὑπομνήμασιν ἰλιάδος. ἐγὼ δὲ εὗρον τὸν ἀγῶνα ἐτυμολογούμενον οὕτως. ἀγὼν λέγεται ὁ κυκλοτερὴς καὶ γωνίαν οὐκ ἔχων τόπος. οἱ δέ, ἀπὸ τοῦ συνάγεσθαι.

Ἀγωνιστήριον, τόπος ἐν ᾧ ἀγωνίζονται. καὶ ἀγώνισμα, τὸ ἔπαθλα.

ΤΟ ΑΛΦΑ ΜΕΤΑ ΤΟΥ ΔΕΛΤΑ.

Ἀδαήμων, ἄπειρος. ἀνεπιστήμων. ἀπὸ τοῦ δαίω τὸ μανθάνω, δαῶ δαήσω. δαήμων, καὶ ἀδαήμων. δαίω δαῶ, συστολῇ τοῦ ι, καὶ μεταθέσει τοῦ τόνου. Ἀδαξῆσαι, ἔστι τὸ κνῆσαι. καὶ ἀδαγμός, ὁ κνησμός. Ἀδεές, ἄφοβον. ἀπὸ τοῦ δέος, ὅ ἐστι τὸν φόβον γίνεται δεής. καὶ ἀδεής. τὸ θηλυκόν, ἀδεής. τὸ οὐδέτερον ἀδεές. καὶ πλεονασμῷ ἑτέρου δ, ἀδδεές.

Ἀδελφός, δελφὺς λέγεται ἡ μήτρα. καὶ μετὰ τοῦ α τοῦ σημαίνοντος τὸ ὁμοῦ, γίνεται ἀδελφός. οἱονεὶ ὁμόδελφός τις ὤν, ἐκ τῆς αὐτῆς δελφύος, ἤγουν μήτρας. καὶ ἀδελφίζειν, τὸ ἀδελφὸν καλεῖν. Ἰστέον ὅτι τὰ εἰς δοῦς λήγοντα εἰς ου ἔχει τὴν γενικήν. οἷον ἀδελφιδοῦς ἀδελφιδοῦ. θυγατριδοῦς θυγατριδοῦ. γέγονε δὲ ἀπὸ τοῦ ἀδελφιδέος, καὶ θυγατριδέος κατὰ συγκοπήν. οὐχ ὥς τινες λέγουσι τὸ ἐναντίον, ἀπὸ τοῦ ἀδελφιδοῦς, ἀδελφιδέος. οὐδέποτε γὰρ εὐθεῖα διαλύεται. τὸ γὰρ εἷς, ἕτερος πλεονασμὸν ἔχει τοῦ ε. πρὸς δὲ τοὺς λέγοντας, ὅτι γέγονε τὸ ἀδελφιδοῦς, καὶ θυγατριδοῦς ἀπὸ τοῦ ἀδελφιδέος, καὶ θυγατριδέος ἔδει ὀξύνεσθαι, λέγε ὅτι πρὸς τὸν χαρακτῆρα τῶν εἰς ους ἁπλῶν περισπωμένων.

Ἀδέκαστος, δίκαιος ἀδωροδόκητος. παρὰ τὸ δέχω, δέδεγμαι, δεκαστός. καὶ ἀδέκαστος, ὁ μὴ δεχόμενος πρόσωπον ἢ δῶρα.

Ἀδευκής, ὁ ἄγνωστος. καὶ ἀπροσδόκητος. παρὰ τὸ δείκω τὸ δεικνύω, δευκὴς καὶ ἀδευκής. καὶ κατὰ ἀποβολὴν τοῦ ι ἀδευκής. οὕτως ὠρίων. οἷον, Ὀλέσθ' ἐνὶ ψαμάθοις ἐλυσθεὶς μοῖραν ἀνέπλησε. τὸ γὰρ θέμις οὔποτ' ἀλύξαι θνητοῖσι. ταύτῃ δὲ περιμέγα πέπταται ἔρνος. ὡς τὸ οἰόμενον ἀδευκέος ἐκ κραδίατης, ἀπεοικυίας, ἢ πικράς. δεῦκος γὰρ τὸ γλυκύ. ὅθεν καὶ πολυδεύκης ἐκλήθη. καὶ γὰρ ζώων εὐεργετικώτατος ἦν. καὶ ἀπαθανατισθεὶς μετὰ τοῦ ἀδελφοῦ τοὺς ναύτας σώζει.

Ἀδέψητον, ὠμόν, ἀνέργαστον. ἀπὸ τοῦ δεψῶ, δεψήσω. ἀπὸ τοῦ ἕψω.

Ἁδεῖν τὸ ἀρέσαι. ἀπὸ τοῦ ἁδῶ τὸ ἀρέσκω. ἢ ἀπὸ τοῦ ἥδω, ὁ μέλλων ἥσω. ὁ β ἀόριστος ἅδον. ἐξ οὗ Ἅδε δ' ἐκπρεπεῖ μῦθος. ὁ μέλλων β ἁδῶ. καὶ τὸ ἀπαρέμφατον ἁδεῖν. οἷον τοῖς ἡδονὴν κινεῖν. λέγεται δὲ καὶ τὸ πονεῖν. καὶ ἡ ἄδεια.

Ἄδην τὸ κεκορεσμένως, καὶ εἰς πλήρωσιν. ἄγον ἐστὶν ἕως τὸ δηλοῦν τὸ κορεννύω. ὡς τὸ ἐπεί χ' ἕωμεν πολέμοιο. ἐξ οὗ παράγωγον ἐδῶ. καὶ ἠδῶ καὶ ἄδην ἐξ αὐτοῦ. δηλοῖ δὲ καὶ τὴν ἡδονήν. οἷον Ἡ σαρκῶν ἀμυνῶς, ἀντ' ἐτέρφθη. λαμβάνεται δὲ καὶ τὸ τερφθῆναι ἀντὶ τοῦ κορεσθῆναι. οἷον Ἀτὰρ ἐπεὶ σίτοιο τέρφθεν. καὶ ἀπὸ τοῦ ἀάω ἀῶ. ἄσας. ἄσαι. ἆ. τὸ δηλοῦν τὸ αὐτό. οἷον Ἄσειν ἐν ῥοίῃ ταχέας κύνας, γίνεται ῥηματικὸν ὄνομα ἥδος. καὶ ἄδος. καὶ ἄδην ἐξ αὐτοῦ. οὕτως ὠρίων.

Ἀδάμας, ἄπονος. ἀπαθής. λέγεται δὲ καὶ τὸ ἐν τῷ χρόνῳ στερρότατον. καὶ ὁ ὑοσκύαμος παρά τισι, καὶ ὄρος.

Ἀδδίξ, μέτρον τετραχοίνικον. Ἄδεια, ἀφοβία. εὐδία. καὶ ἀδείη, ἀναίδεια ἀφοβία. καὶ ἀδδής, ἄφοβος. ἄτρεπτος. καὶ ἀδδεῖα ἀφοβία.

Ἀδελφά, ὅμοια. Ἀδελφίζειν, τὸ τιμᾶν ὡς ἀδελφόν. ἀδελφὸν τὸ κοινόν. καὶ ἀδελφεία, κοινωνία. ἀδελφιδοῖ οἱ ἀδελφῶν υἱοί.

Ἀδένες, συστροφαὶ σαρκώδεις περὶ τὸν τράχηλον, καὶ βουβῶνας.

Ἀδευκῆ, χαλεπόν, ἢ οὗ ἄν τις ἐπιδεηθείη.

Ἀδευκεῖ, ἀπεοικότι, ἢ ἀδευκεῖ, ἢ αἰσχρῷ. ἀδευκές, ἄμορφον. ἄγνωμον. οὐκ ἔοικος. χαλεπόν. ἀνόμοιον. ἀνοίκειον.

Ἀδημονεῖν, ἀλύειν. καὶ ἀπορεῖν. ἀμηχανεῖν.

Ἀδημονίη, θαῦμα. Ἀδηνέως, ἀδόλως. καὶ ἁπλῶς. ἢ χωρὶς βουλῆς.

Ἀδηνές, ἄκακον. ἀπρονόητον.

Ἄδδην, παρὰ τὸ δήν, τὸ ἐπὶ πολύ. καὶ μετὰ τοῦ ἀθροιστικοῦ α ἄδδην, πλεονασμῷ τοῦ δ.

Ἀδηφάγος, παρὰ τὸ ἄδην τὸ δαψιλῶς καὶ τὸ ψήχω. ἢ φαγεῖν. ἀδηφάγος, ὁ δαψιλῶς ἐσθίων.

Ἅδης, χωρίον ἀφεγγές. σκότος αἰώνιον, καὶ ζόφου πεπληρωμένον. παρὰ τὸ εἴδω τὸ βλέπω, εἴδης. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀείδης. ἐν ᾧ οὐδὲν βλέπομεν. ἀδὴς γάρ ἐστιν ἡ σκοτεινὴ οἰκία. καὶ κράσει τοῦ ἄλφα, καὶ ε, εἰς ἄλφα μακρόν, ᾅδης. καὶ μετὰ τοῦ ι προσγεγραμμένου.

Ἀδηκότες, κεκμηκότες, δαμασθέντες. ἀδημονοῦντες. τουτέστιν ὑπὸ κόπου ἀηδῶς διακείμενοι. ἀηδῶ οὖν ἀηδήσω.

Ἀδήωτον, ἀπόρθητον. παρὰ τὸ δηῶ, ὅ ἐστι τὸ πορθῶ. τοῦτο παρὰ τὸ δαίω τὸ κόπτω. γέγονε τροπῇ τοῦ α εἰς η μετὰ περισπωμένου τόνου.

Ἀδινός, παρὰ τὸ ἄδην ἐπίρρημα γίνεται ἀδινός, ἀδινά. δηλοῖ λέπτος. τὸ συγκριτικὸν ἀδινώτερος. παρὰ τὸ ἄδην ἐπίρρημα, ὅ ἐστι τὸ ἀδιαλείπτως καὶ πλῆρες, γίνεται ἀδινός. τὸ θηλυκὸν ἀδινή. καὶ ἀδινῶν. καὶ ἀδινάων. τὰ δὲ εἰς νος ὀξύτονα ἀπὸ ἐπιρρημάτων γινόμενα διὰ τοῦ ι γράφεται. ἄδην, ἀδινός. πύκα, πυκινός. καὶ ἀδινῷ μύθῳ, τῷ οἰκτρῷ. παρὰ τὸ ἄδην, ἢ ἀφθόνως. καὶ ἀδινώτερον, τὸ ἀθρόως, ἢ οἰκτρότερον. Μελισσάων ἀδινάων. τῶν ὁμοῦ καὶ ἀθρόως πετομένων. ἀδινὰ μῆλα τὰ μὴ μεγάλα. ἔστι δὲ ἡ λέξις καὶ ἐλεεινὸν οἰκτρὸν ἁπαλόν.

Ἀδήριτος, χωρὶς μάχης καὶ ἀφιλόνεικος. ἐκ τοῦ δῆρις δηρίω. ὁ παθητικὸς παρακείμενος δεδήριμαι. τὸ γ δεδήριται. καὶ ἐξ αὐτοῦ δηρίτης, καὶ ἀδήριτος. τὰ δὲ διὰ τοῦ ιτος ἀποστρέφονται τὴν ει δίφθογγον. χωρὶς εἰ μὴ ὦσι σύνθετα παρὰ τὸ κλειτός.

Ἀδίοπον, ἄναρχον καὶ ἀφύλακτον. Ἀδδίξ, μέτρον ποιμαι τετραχοίνικον.

Ἀδικίου, ὄνομα δίκης κατὰ τῶν ὑποπωσοῦν ἀδικούντων. τῆς δὲ δίκης τὸ τίμημα ἀργύριον ἦν ἀποτινύμενον.

Ἀδμολίη, παρὰ τὸ εἴδω τὸ γινώσκω, ἴδμων μὴ ἁπλοῦν. ἴδμονος. ἰδμονία, καὶ ἀϊδμονία. καὶ συγκοπῇ, καὶ τροπῇ ἀδμολίη, ἡ ἄγνοια.

Ἀδμῆτιν, ἀδάμαστον. νέαν. ἄζευκτον. παρὰ τὸ δμῶ, ὁ μέλλων δμήσω. δέδμηκα. δέδμημαι. δμήτης καὶ ἀδμήτης. ἢ παρθένον ἄζυγον. ἢ πρωτόζευκτον. καὶ ἀδμῆτες ἀδάμαστοι. ἄζευκτοι.

Ἀδολεσχία, ἀδολεσχίαν ἐκάλουν μέν τινες καὶ τὴν φλυαρίαν. ἐπείπερ δὲ τοὔνομα ἐπὶ τῶν τὰ μετέωρα λεσχηνευόντων. οὐκ ἀπὸ τῆς ἀηδίας καὶ τῆς λέσχης συγκειμένης, ὥστινες ὑπεδέξαντο. οὐδὲ τὰ δηνεὶ ἐν ποιήμασι πολλοὺς φυσιολογῆσαι. ἀλλ' ἀπὸ τοῦ ἁδεῖν τοῦ σημαίνοντος τὸ ἀρέσαι. ἡ οὖν τῶν ἀρεσκόντων καὶ αὐτοῖς δοκούντων διάλεξις, ἀδολεσχία ἐκαλεῖτο. διὰ τὸ μὴ ἐκ κοινῆς ὁρμᾶσθαι δόξης τὴν τοιαύτην ὁμιλίαν, ἀλλ' ἐξ ἰδίας διαλέξεως καὶ ἀρεσκούσης ὑπολήψεως. διὸ καὶ ἀδολέσχας τοὺς φυσικοὺς ἐκάλουν. λέγεται δὲ ὠρίων, καὶ σωκράτην πτωχὸν ἀδολέσχην. ἔφη εὔπολις καὶ ἐν ἄλλοις. Ἀδολεσχεῖν αὐτὸν ἐκδίδαξον ὦ σοφιστά. ἢ παρὰ τὸ ἥδω τὸ εὐφραίνω. οὗ ὁ β ἀόριστος ἅδον. καὶ ἐξ αὐτοῦ ἀδὸς ἡ εὐφροσύνη. καὶ ἔστι λέσχη ἡ φλυαρία. καὶ κατὰ σύνθεσιν ἀδόλεσχος, ὁ ἐν τῇ φλυαρίᾳ εὐφραινόμενος. ἢ ἐκ τοῦ ἁδῶ τὸ ἀρέσκω, καὶ τοῦ λέσχη. τοῦτο δὲ παρὰ τὸ λέχος, ὅ ἐστι τὴν κοίτην. ἐπειδὴ τὸ παλαιὸν ἔθος ἦν, καὶ τῷ χειμῶνι τόπον εἶχον ἀποκεχωρισμένον, ἐν ᾧ πυρκαϊὰς ποιοῦντες, ἐν αὐτῷ καθεζόμενοι διημέρευον ἀδολεσχοῦντες, καὶ φλυαροῦντες. ἀδολέσχης ἀδολέσχου. ὁ κανών. τὰ ἀπὸ τῶν εἰς η θηλυκῶν εἰς ης γινόμενα ἀρσενικά, μὴ ἔχοντα οὐδέτερον εἰς ες, εἰς ου ἔχει τὴν γενικήν. τὸ δὲ ἀδολεσχῶ ἔστι δὲ τὸ φιλοσοφῶ. Ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου. τὸ παίζω. Ἐξῆλθεν ἰακὼβ ἀδολεσχῆσαι εἰς τὸ πεδίον. τὸ φλυαρῶ. Τί ἀδολεσχεῖς ἄνθρωπε. καὶ τὸ ὀλιγωρῶ. Ἠδολέσχησε, καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου. Ἀδολέσχης μακρολόγος.

Ἅδον, ἀρέσκειν ἐστί. καὶ γνώμην. ἢ κόρον. ἢ κόπον.

Ἀδίοπον, ἄναρκτον. καὶ ἀφύλακτον. δίοποι γὰρ λέγονται οἱ τῆς νεὼς φύλακες. Ἀδίστονον, οἰκτρὸν στένοντα.

Ἀδμαίζειν, ὑγιαίνειν. Ἀδμενίδες, δοῦλαι.

Ἀδμωλεῖν, ἀγνοεῖν, ἢ ἀγανακτεῖν. ἀγνωμονεῖν καὶ ζητεῖν.

Ἀδράφαξις, λάχανόν τι ἄγριον.

Ἀδράς, δαίμων τις περὶ τὴν δήμητραν, ἀπὸ τῆς τῶν καρπῶν ἀδρύνσεως.

Ἀδρακής, ὁ τυφλός.

Ἀδροῖς. ἀντιμάχοις. Ἐν δ' ἀδροῖσι χέειν εὐίλατον ἄλφι. ἀδρυ γὰρ λέγεται παρὰ τὸ ἐκδεδάρθαι δρός, καὶ δροί. κατὰ πλεονασμὸν ἀδροί. ἢ ἀντὶ κακοδροί. οὕτως ἡρωδιανός. λέγονται δὲ καὶ κώρυκοι. θύλακοι. ἀσκοί. οἷον οὐ δεδαρμένοι.

Ἀδρός, ὁ χονδρός. παρὰ τὸ ἥδω τὸ εὐφραίνω. ἢ δώμεθα γὰρ τοῖς μεγάλοις καὶ χονδροῖς.

Ἀδραστείδων. ἄδραστος κύριον. ἀδραστίδης. ἀδραστιδῶν. καὶ πλεονασμῷ τοῦ ε, ἀδραστειδῶν θάλος. Ἀδρύνω, τὸ αὐξάνω. τὴν μὲν ὅτ' ἀδρύνηται. νίκανδρος.

Ἀδρανής, ὁ ἀνίσχυρος, καὶ μὴ πρᾶξαι δυνάμενος. ὅθεν καὶ ἀδρανέα, ἢ ἀσθενέα. δραίνω τὸ πράττω. ὅμηρος. Εἴ τι δραίνεις. δρανῶ. ὁ β ἀόριστος, ἔδρανον. ἐξ αὐτοῦ δρανής. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀδρανής.

Ἀδρίας, τὸ πέλαγος. διονύσιος σικελίας τύραννος, ὃς πρότερον ἐπὶ τῆς ὀλυμπιάδος πόλιν ἔκτισεν ἀδρίαν ἐν τῷ ἰωνικῷ κόλπῳ, ἀφ' ἧς καὶ τὸ πέλαγος ἀδρίας καλεῖται. εὔδοξος δὲ ἐν τῷ θ τῶν ἱστοριῶν, τὸ πέλαγος καὶ τὴν πόλιν ὀνομασθῆναι ἀδρίαν φησίν, ἀπὸ ἀδρίου τοῦ μεσαπίου παίσωνος.

Ἄδυτα, τὰ ἐνδότατα καὶ ἐσώτατα μέρη τοῦ ναοῦ. ἄδυτα γὰρ καλοῦνται οἱ τόποι τῶν ἱερῶν, οἷς οὐκ ἔξεστιν εἰσιέναι οὐδὲ εἰσδῦναι πᾶσιν. ἀπὸ τοῦ δύω τὸ εἰσέρχομαι. δῦμι δύσω δέδυκα δέδυμαι δέδυται δυτὸς καὶ ἄδυτος. καὶ τὸ οὐδέτερον ἄδυτον. ἄδυτα οὖν τὰ ἀφανῆ, καὶ μύχια τῶν ἱερῶν. οἷον ὀροφαί. οἶκοι ὑπόγειοι. σκοτεινοί.

Ἄδωνις, παρὰ τὸ ἄδω τὸ ψάλλω. ἢ παρὰ τὸ ἥδω τὸ εὐφραίνω. τὸ ἄδω, μέγα. διατί. τὰ ἀπὸ ἐνεστώτων ἢ μελλόντων κατὰ πρόσληψιν συλλαβῆς γινόμενα ὀνόματα, διὰ τοῦ ω μεγάλου γράφονται. οἷον ζῶ, ζωή. φῶ, φωνή. ἄδω, ἄδωνις κύριον. δύναται καὶ ὁ καρπὸς εἶναι ἄδωνις. οἷον ἀδώνειος καρπός. ἀρέσκων.

Ἀδωνίς, χελιδών, καὶ ἡ θρίδαξ.

Ἀδωνιασμός, ὁ ἐπὶ τῷ ἀδώνιδι θρῆνος.

Ἀδώνεια, ἑορτὴ ἀγομένη ἀφροδίτῃ.

ΤΟ ΑΛΦΑ ΜΕΤΑ ΤΟΥ Ε.

Ἄεθλον. ἀπὸ τοῦ ἐθέλω, ἐθελούσιον. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀέθελον. τὸ πάνυ θελητόν. καὶ συγκοπῇ ἄεθλον. καὶ κράσει τοῦ α καὶ ε ἆθλον. καὶ τὸ ἀρσενικὸν ὁ ἆθλος λέγεται καὶ ἄεθλος. ἢ παρὰ τὸ τλῶ τὸ καρτερῶ, τλὸν καὶ ἄτλον. καὶ κατὰ τροπὴν ἆθλον. τὸ δὲ ἄεθλον ἀρσενικῶς μὲν λεγόμενον, τὸν πόνον καὶ τὸ ἀγώνισμα δηλοῖ. οἷον Ὁ τοῦτος μὲν δὴ ἄεθλος, ἀάατος. οὐδετέρως δέ, τὸ ἐπὶ τῷ ἀγῶνι διδόμενον. Νηῶν δ' ἐκφέρεται τὰ ἄεθλα. λέβητάς τε.

τρίποδάς τε. ἢ ἀπὸ τοῦ ἀεθλεύειν τὸ ἀγωνίζεσθαι.

Αέκητι. ἀβούλως. ἐπίρρημα. ἀεκάζω. δηλοῖ αὐτοῦ τὸ ἐπίρρημα ἀεκαστί, ὡς δωρίζω δωριστί. καὶ κατὰ ἀποβολὴν τοῦ σ ἀεκατί. καὶ διὰ τὸ ἰωνικὸν, καὶ ἀναβιβάσει τοῦ τόνου ἀέκητι. ἡ γὰρ ἀποβολὴ, πολλάκις ἀναβιβάζει τοὺς τόνους.

Αεκήλια ἔργα κατὰ ἀπόφασιν τοῦ ἑκήλου. ἐφ᾽ οἷς οὐχ οἷόν τε ἡσυχάζειν. οἷον οὐχ ἥσυχα οὐδ᾽ ἠρεμαῖα. ἀλλὰ ταραχώδη, ἢ ἀκούσια. ἃ οὐκ ἄν τις ἑκὼν πάθη.

Αέκων ἀπὸ τοῦ ἕκω τὸ θέλω. ἡμεῖς δὲ χωρὶς ἑκών. παραλόγως, καὶ σεσημείωται. ἐν δὲ τῇ συνθέσει, ἀναβιβάζει τὸν τόνον. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀέκων. καὶ κράσει τοῦ α καὶ ε, ἄκων.

Αελλα, συστροφὴ ἀνέμου. ἡ ἄγαν εἰλοῦσα. ἢ μὴ θέλων. ἀπὸ τοῦ ἄειν καὶ εἴλειν. ἢ παρὰ τὸ ἄω τὸ πνέω. ὅμηρος, ἄησα. καὶ ἀέσσα. καὶ ἐξ αὐτοῦ ἄελλα κατὰ πλεονασμὸν ἑτέρου λ, ὡς τὸ θύελλα. ἔστι δὲ ὀνόματος προσηγορικοῦ καὶ ῥηματικοῦ. καὶ προπαροξύνεται. κανὼν γὰρ ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς λα ὑπὲρ β συλλαβὰς, ἔχοντα τὴν προτέλευτον συλλαβὴν εἰς λ καταλήγουσαν, ἅπαντα προπαροξύνεται. οἷον, δίκελλα. μάκελλα. σίβυλλα. τρίσκυλλα. φαλιόνελλα. καὶ ἄελλαι, φωναὶ παρὰ σοφοκλεῖ, ἐν φαίδρᾳ.

Αελλὴς, κονίσαλος ὄρνυται ἀελλής. ἀελλώδης, κονιορτώδης. παρὰ τὸ ἔλλω, ἢ παρὰ τὸ εἴλω τὸ συστρέφω, ἀποβολῇ τοῦ ι, ἐξ οὗ ἐλλής. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α. ὡς παρὰ ἀτερπής. δηλοῖ καὶ τὸ ἀολλίζω, τὸ συναθροίζω.

Αελλάδων, ταχέων. Αέλλεται. πνεῖ.

Αέλλας, ἀνέμους καὶ ἄτακτα πνεύματα. καὶ αἰγίδας, οἱ δὲ τὰς

Αελλὲς, ἀθρόον καὶ ὁμόσε. ἢ μεγάλας εἰλήσεις καὶ συστροφάς.

Αεκαζόμενοι, ἄκοντες ἀρνούμενοι. ἀνιώμενοι.

Αελλόποδες, ἐλαφοί. κοῦφοι. ταχεῖς. ὀξεῖς, ἀνεμόποδες.

Αέναον. πολλὸν ἀείρυτον. ἢ δὲς. ἀέναον γὰρ τὸ ταχύ. πολυχρόνιον. καὶ ἀενάων, ἀεὶ ὑπαρχόντων.

Αεργάζειν, βαστάζειν. Αετμα, φλόξ. οἱ δὲ, τὸ πνεῦμα.

Αέσαμεν, κατεκοιμήθημεν. καὶ ἀέσκοντας, κοιμωμένους. καὶ ἄεσκον τὸ, ἀνέπαυον τό.

Αετώσιον, λύπη μεμιγμένον. οἱ δὲ, οὐ κατὰ προαίρεσιν.

Αελλόπος. ἰστέον ὅτι τὰ παρὰ τὸ ποὺς συντιθέμενα, τὴν τοῦ ἁπλοῦ φυλάττει κλίσιν, καὶ διὰ τοῦ δος κλίνεται. οἷον, πούς ποδός, οἰδίπους οἰδίποδος. τὰ γὰρ κατὰ ἀποβολὴν τοῦ ς ποιοῦντα τὴν γενικὴν, ἀττικά εἰσιν. οἷον τρίπους τοῦ τρίπου. καὶ ὁ οἰδίπους, τοῦ οἰδίπου. ἰστέον ὅτι, τὰ παρὰ τὸ ποὺς, ἀποβάλλει τὸ υ κατὰ τὴν εὐθεῖαν. ὥσπερ τὸ ἀελλόπος, ἢ τρίπος, ἡ ἐστωή. οὕτως ὁ χοιροβοσκός.

Αελπέοντες. ἀνελπιστοῦντες, οὐκ ἐλπίζοντες. ἀπὸ τοῦ ἔλπω, ἀέλπτω. καὶ ἄελπτον, ἀπροσδόκητον. ἐχθρόν.

Αέντες, ἔστιν ἀπὸ τοῦ παριστώμενον. καὶ δῆλον, ἐκ τοῦ ἄησις, καὶ ἄημι. καὶ οἱ αἰολεῖς τὴν ἀπὸ μετοχὴν, καθὰ ποιῶν καὶ φιλῶν, ἀεὶς ἐροῦσιν, ὡς φιλεὶς, καὶ ποιεὶς. καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν, ἀέντες. ἡ γενικὴ ἀέντων, ὡς ποιέντων. οἷον Καὶ ἀνέμων μένος ὑγρὸν ἀέντων. εἰ δὲ ἦν βαρύτονον, ἄεντες ἂν ἐρρήθη. οὕτω φίλων εἰς τὰ ῥηματικὰ αὐτοῦ. πνοιῇσι λιγυρῇσι διασκέδασαν ἀέντες.

Αέναος, νάω τὸ ῥέω, νάος. ἐν συνθέσει ἀέναος, ὁ ἀεὶ ῥέων.

Αέξει. Ἀνδρὶ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει. αὔξει. καὶ ἄεξεν, αὔξησιν ἐλάμβανεν. ἤρετο. ὕψου τὸ ἥλιος. ἀπὸ τοῦ ἔχω τοῦ σημαίνοντος τὸ ἐλαύνω. ὅμηρος ἕξω καὶ ἀέξω.

Αερθεν, ἤρθησαν. ἀπὸ τοῦ ἀείρω, ἀερῶ. ἄερκα. ἄερμαι. ἀέρθην. ἀέρθησαν. καὶ ἄερθεν, ὡς τὸ κόσμηθεν. ἀντὶ ἀνέστη-

Αερσίποδες ἵπποι. οἱ αἴροντες εἰς ὕψος ἢ συνώρμησαν. τοὺς πόδας. ταχεῖς. ἀπὸ τοῦ ἀείρω ἀερῶ, ἀερίποδες. καὶ πλεονασμῷ τοῦ ς ἀερσίποδες. ἢ ἀείρω τὸ κουφίζω. ὅμηρος, ἀερῶ. αἰολικῶς, ἀέρσω. καὶ ἐξ αὐτοῦ ἀερσίπους.

Αερσίφρων, ἐγειρόφρων. ἐπαίρων τὰς φρένας.

Αεσιν, πόνον. βλάβην. καὶ ἀερσίφρων, βλαψίφρων, ἢ ὀξύφρων. κρυφόνους. καὶ κακόφρων. καὶ ἀεσιφροσύνασμένως.

Αεσίφρων, ὁ μὴ διεγηγερμένας ἔχων τὰς φρένας. ἀπὸ τοῦ κοιμῶμαι. ὅμηρος ἄεσα. ὅθεν καὶ ἀέσεται τὸ κοιμᾶται. οὕτως

Αετὸς, παρὰ τὸ αἴσσω τὸ ὁρμῶ, αἰτὸς, καὶ ἀετός. ἢ ὠρίων. ἢ παρὰ τὸ ἀεὶ ἔτεος εἶναι. λέγεται γὰρ ὅτι ὁ ἀετὸς συνάληθοῦς σημεῖον ἀεὶ παρὰ τοῦ διὸς πέμπεται. ἀετὸς, καὶ βοτάνης τις. καὶ τῶν κνημῶν τοῦ τροχοῦ ἕκαστον σιδήριον. καὶ στέγασμά τι τῶν οἴκων ἐμφερὲς τῇ πλάσει τοῦ ζώου.

Αείδω, τὸ ει δίφθογγον. ἀντιπαράκειται γὰρ αὐτῷ τὸ ᾄδω. εἴδω τὸ ἐπίσταμαι. καὶ μετὰ τοῦ ἐπιτατικοῦ ἄλφα, ἀείδω, τὸ πάνυ ἐπίσταμαι. τὸ δὲ εἴδω σύνθετον εἰς ὄνομα, ἀποβάλλει τὸ ε. οἷον ἴς ὁ ἄπειρος. καὶ πολυίδρις. καὶ παρὰ τοῦτο οἷον ἴδμων. ἴστωρ. ἰστέον ὅτι κατὰ τὴν κοινὴν διάλεκτον, τὰ ἀπαθῆ οὐ λέγεται. οἷον τὸ πατέρος, καὶ μητέρος, καὶ ἀνέρος, ἀλλὰ τὰ πεπονθότα. οἷον τὰ πατρός, οὕτω καὶ τὸ ἀείδω ᾄδω, εἰς α μακρόν. κράσει τοῦ ε καὶ α, καὶ συναιρέσει τοῦ α εἰς τὴν αι δίφθογγον. διὰ τί βαρύνεται, τὰ εἰς δω ὑπὲρ δύο συλλαβὰς, ἔχοντα τὴν προτέλευτον συλλαβὴν εἰς φωνῆεν λήγουσαν, περισπᾶται. εἰ μὴ ὑποχωρεῖ δόξῃ. ὁ πηδῶ. ἀοιδῶ. ληρῳδῶ. καὶ τὰ ὅμοια. ἐξέφυγεν δὲ τὸ ἀείδω καὶ ἐρείδω.

Αείδεμεναι. παραγωγὴ ποιητική. οὐ δωρικὴ διάλεκτος. δηλοῖ γὰρ τοῦ τὸ συνεσταλμένον δὲ παρὰ τῷ ποιητῇ. ἅπαξ δὲ ἐκτέταμένον. ἐν τῷ, Αείδειν δὲ δαώς.

Αείδελον ἤγουν τὸ ἀόρατον. ἔστιν εἴδω τὸ γινώσκω. ᾧ ἀντιπαράκειται τὸ οἶδα, ἐξ οὗ εἴδελος. ὡς πέμπω πέμπελος. καὶ συνθέσει ἀείδελος ὁ μὴ θεωρούμενος. παρὰ δὲ νικάνδρῳ ἀντὶ τοῦ ἀεὶ φανεροῦ κεῖται. ποῦ οὐκ ἔστιν εἰπεῖν, ὅτι ἀπὸ τοῦ ἀεὶ δῆλον γέγονε κατὰ συστολὴν τοῦ η, εἰς ε. Τοῦ δὲ πέρας παρίσιμον ἀείδελον ἐς ἠρίκρ. νίκανδρος. ἀντὶ δὲ τοῦ ἀοράτου ἐχρήσατο τῇ λέξει ἡσίοδος περὶ τοῦ αὐτολύκου. φησὶ γὰρ ὅτι κε χερσὶ λάβεσκεν, ἀείδελα πάντα τίθεσκεν. καὶ γὰρ ὁ αὐτὸς κλέπτης ὢν ἔκλεπτε τοὺς ἵππους, καὶ ἀλλοιοφανεῖς αὐτοὺς ἀπετέλει. ἐνήλλασσε δὲ τὰς χροιὰς αὐτῶν. ζήτει εἰς τὸ ἀΐδηλον.

Αειλα, τὰ πολύσκια χωρία. κατὰ στέρησιν τῆς ἕλης.

Αειλογία, τὸ ἀεὶ λόγους καὶ εὐθύνας ὑπέχειν.

Αειδέλιον, κακὸν κορυφαῖον ἄδηλον. Αειδέλλιος, κατάρα

Αείδελον, οὐ δῆλον. ἄμορφον. φοβερόν. πονηρόν. ἢ τὸ.

Αεικέλιον, δεινόν. αἰσχρόν. οἰκτρόν, εὐτελές.

Αεικίζει, ἀπολλύει φθείρει. οἱ δὲ αἰκίζει. καὶ ἀείκιον, τὸ αἰκίας

Αειλα, πεδία ἀνήλια. εἵλη γὰρ ἡ τοῦ ἡλίου αὐγή.

Αείλλειν, θωπεύειν, καὶ αἰκάλλειν. Αεινεφίς, τύφλωσις.

Αειρον, ταχύ. Αειρον, ἄρρηκτον ἀπαραίτητον ἀθώπευτον.

Αειτάδες, ἀείχρος. Αείφυρος, ἀεὶ διαμένων. ὁμοίως τίθεται

Αεικής, ὁ σκληρὸς ὁ μὴ εἴκων. ἐκ τοῦ ἢ καὶ ἀπὸ τοῦ δικηνεκοῦς. εἴκω τὸ ὑποχωρῶ ἐξ οὗ εἰκής. καὶ μετὰ τοῦ στερητικοῦ α ἀεικής, ὁ μὴ ὑποχωρῶν καὶ ὑπείκων τινί. ἀφ᾽ οὗ τὸ ἀεικέα λοιγόν. καὶ αἰκία. τὸ θηλυκὸν ἡ ἀεικής. ἔστι δὲ τριγενές. ὡς παρὰ ὁ εὐφυὴς, ἡ εὐφυὴς τὸ εὐφυές. καὶ ἀεικέα ἀντὶ β ποιητικῶς. λαμβάνεται δὲ ἀντὶ τοῦ ἀπρεποῦς. Οὐ γένος οὐ οἱ ἀεικὲς ἀνασσέμεν ἀνθρώποισιν. οὕτως ὠρίων.

Αεικέλιος, ἀπρεπής. σκληρὸς ἀνόμοιος. εἴκω τὸ ὁμοιῶ. δηλοῖ εἰκὼν τὸ ὁμοίωμα. εἴκελος εἰκέλιος. ὡς πέμπω πέμπελος. καὶ κατὰ στέρησιν τοῦ α, ἀεικέλιος. τὸ δὲ εἴκελος εἰ μὴ ἐστι σύνθετον ὥσπερ τε διὰ τῆς ει διφθόγγου γράφεται. εἰ δὲ ἀ-

Αεικέλιον, τὸ ἀπεοικός. καὶ σκληρόν. ἢ ἁπλοῦν, διὰ τοῦ ι. παρὰ τὸ εἴκω εἴκελον. καὶ ἀεικέλιον.

Αεικίσωσιν. ἀεικίσωσι δὲ νεκρόν. ὡς παρὰ ἀπὸ τοῦ εὐγενής ἐξ οὗ εὐγενίζω, καὶ ἀπὸ τοῦ εὐτελής, εὐτελίζω, οὕτω καὶ ἀπὸ τοῦ ἀεικής, ἀεικίζω. ἢ παρὰ τὸ αἰκίζω, ἀεικίζω πλεονασμῷ

Αεικίας, τὰς ὕβρεις, καὶ ὑβριστικὰς αἰ- ἢ τοῦ ε. ἀεικίσω. σχύνας. ἀπὸ τοῦ αἰκίας, καὶ πλεονασμῷ τοῦ ε, ἀεικίας.

Αεισιν. ἀπὸ τὸ πνέω. παράγωγον τῶν εἰς μι, ἄημι. τὸ γ ἄησι. τὸ δυϊκὸν ἀέτον ἀέτον. καὶ κατ᾽ ἔκτασιν ἄητον. οἷον Τώ τε θρήκηθεν ἄητον. τὸ γ τῶν πληθυντικῶν ἄεισιν, αἰολικώτερον. ἔχει γὰρ τὸ ἄεισιν, ὡς περ ἵεισιν. ἀπὸ τε λέξεως ἄημι ἄεισιν.

Αειρομένη, ἀπὸ τοῦ ἀὴρ ἀέρος, ἀέρω καὶ πλεονασμῷ τοῦ ι ἀείρω. ἡ μετοχὴ ἀειρόμενος. ἀειρομένη. κουφιζομένη. ἐπαιρομένη. καὶ ἄειραι τὸ βαστάξαι. σημαίνει καὶ τὸ προσφέρε. ὡς τὸ Μή μοι οἶνον ἄειρε μελίφρονα. ἀντὶ τοῦ φέρε. καὶ ἀντὶ τοῦ ἔπαιρε.

Αείζωρος. ἄζωστος γυναῖκες ἐστὶν ἡ ἀνυπήλιφος. ἀζώρους δὲ τὰς ἀνασυρομένας γυναῖκας. ἢ ἀνειμένοις, ἢ ἀναισχύντους.

ΤΟ ΑΛΦΑ ΜΕΤΑ ΤΟΥ ΖΗΤΑ

Αζω, σημαίνει δύο. τὸ σέβομαι. ὃ παρὰ ἀπὸ τοῦ χάζω τὸ ὑποχωρῶ ἐξ οὗ. ὁ γὰρ σεβόμενος τοῦ τινος καὶ ὑποχωρεῖ. διασύνεται. ἀναχωρήσαντος οὖν τοῦ χ, ἔμεινεν ἀναλογοῦσα τῷ χ, ἡ δασεῖα. καὶ τὸ ξηραίνω, ὃ παρὰ ψιλοῦται. ἀπὸ τοῦ ζῶ, κατὰ στέρησιν ἄζω. τὰ γὰρ ξηρὰ, οὐ ζῆ. τὸ δὲ ζῶν καὶ ὑγρόν ἐστιν. οὕτως ὠρίων. ὁ δὲ ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν λέγει. ὅτι παράγωγόν ἐστιν. ἀπὸ τοῦ ἄγος, ἀγίζω. καὶ κατὰ συγκοπὴν ἄζω. ὡς σκέλος σκελίζω. τεῖχος τειχίζω. πόθεν δὲ δῆλον, ἐκ τοῦ ἐν ἀλκμᾶνι εἶναι. ἀγίσδεο, ἀντὶ ἄζεο.

Αζη, λέγεται ἡ ξηρασία, ὅτι τὸ ζῆν καὶ θάλλειν ἐστέρηται. οὕτως

Αζην, σημαίνει τὸν πώγωνα κατὰ φυγάς, καὶ κλίνεται ἀζῆνος. ἢ ὠρίων. ἐκ τούτου λέγεται καὶ τὸ αἰζηὸς γίνεσθαι. καὶ ὤφειλε κλίνεσθαι διὰ τοῦ η, ὡς μὴ ἔχον τὸ μ ἐπὶ εὐθείας. ἀλλὰ σεσημείωται ὡς τὸ ἀδὴν ἀδένος. σημαίνει δὲ τὸν βουβῶνα. καὶ ἐστιν εἰπεῖν, ὅτι τὰ εἰς ην ὀξύτονα ἔχοντα ἐν τῇ παραληγούσῃ τὸ α, καὶ μέρος σύμφορος σημαίνοντα, ἢ πάθος, τρέπει τὸ η, εἰς ε. οἷον αὐχένος. ἀδένος. ἀζένος. τὸ γὰρ λειχὴν, οὐκ ἔχει τὸ α.

Αζηχές, παρὰ τὸ ἄδην ὃ σημαίνει τὸ ἀδιαλείπτως. ἀδηχές. καὶ τροπῇ τοῦ δ εἰς ζ δωρικῶς ἀζηχές. ἄδην δὲ ἐστι τὸ ἀδιάλειπτον, ἢ μεγαλόηχον. οἷον Αζηχὲς μεμακυῖα. σημαίνει δὲ καὶ τὸ σκληρόν. ἀπὸ τῆς ἄζης, ὃ σημαίνει τὴν ξηρασίαν οὕτως ὠρίων.

Αζαλέην, ξηρὰν, ἢ σκληράν. παρὰ τὸ ἄζω τὸ ξηραίνω.

Αζειν, τὸ στόμα ἀθρόως προσπνεῖν.

Αζείδαο. Δόμω ἄκρος ἀζείδαο. εἰς τὴν βοιωτίαν εὗρον ἐν ὑπομνήμασι σχόλιον. ἀζεὺς, ἀζείδης τὸ πατρωνυμικόν.

Αζειρον, ἀποίκιλτον. ζειρὸν γὰρ τὸ ποικίλον. οἱ δὲ τὸ ἀχέωστον.

Αζείρου, ἀζώστου ἢ πολυζώστου. ἀπὸ τοῦ ζειρά.

ΤΟ ΑΛΦΑ ΜΕΤΑ ΤΟΥ Η

Αη, ὡς παρὰ παρὰ τὸ φιλῶ ἐξ οὗ ἐφίλει διὰ τῆς ει διφθόγγου, καὶ αἰολικὸν ἐφίλη διὰ τοῦ η. οὕτω καὶ παρὰ τὸ ἀῶ ἄει. καὶ κατὰ αἰολεῖς ἄη. ὅμηρος. Μῆνα δὲ πάντ᾽ ἄληκτος ἄη νότος.

Αὴρ, παρὰ τὸ αἴρω τὸ κουφίζω ἀήρ. κουφίζονται γὰρ ἐν αὐτῷ καὶ αἴρονται τινὰ ζῷα. ἢ ὁ κοῦφος παρὰ τὸ αἴρω. ἢ παρὰ τὸ ἄω τὸ πνέω. ἀὴρ ἡ γὰρ κίνησις αὐτοῦ ποιεῖ τὸ

Αήτην, ὡς παρὰ γὰρ παρὰ τὸ φιλῶ ἐξ οὗ φιλήτην, οὕτω ἢ ἄνεμον. τω καὶ παρὰ τὸ ἀῶ ἀήτην τὸ δυϊκόν. καὶ παρὰ αἰολεῦσιν, ἀήτην ὡς ποιήτην. εἰ γὰρ ἦν βαρύτονον ἀέτην ὤφειλεν εἶναι. ὡς-

Αητήρ, ὁρμητήρ. καὶ ἄηται πορεύεται. ἢ ὑπέρτην. εἰς τὸ ἄησιν. καὶ ἀπαυγάζει. ἄηται γὰρ πνεύματα.

Αητον, δεινόν. εὐρύ. μέγα. δηλοῖ ἄπληστον. ἀκόρητον. καὶ ἀέτῳ ὅμοιον. καὶ ἄησις, πνοή. αὔρα. καὶ ἄητοι, ἀκόρεστοι.

Αήσυρον, ἀσθενές. κενόν. ἄκοσμον. μάταιον. ἀκόλαστον. ἔνιοι κοῦφον ὑπὸ αὔρας φερόμενον.

Αήσυλον, ἀλαμπές. κακόν. ἀνόμοιον.

Αη, ἔπνει. καὶ ἀήμεναι πνεῦσαι. καὶ ἀήματα, πνεύματα. καὶ ἀή-

Αηθεῖν, λανθάνειν. ἀνεπιστημονεῖν. ἢ -μενοι πνέοντες.

Αηδεῖν, δυσχεραίνειν, κεκμηκέναι. καὶ ἀηδῆσαι, καμεῖν. κοπιάσαι, ὀχληθῆναι.

Αηδόνα, ᾠδὴν καὶ γλωττίδα. οἱ δὲ, χελιδόνα.

Αήτης, ὁ ἄνεμος. παρὰ τὸ ἀῶ τὸ πνέω. ὅμηρος ἄησα. ὄνομα ῥηματικὸν ἀήτης. ὁ δὲ τόνος ἡμάρτηται. καὶ τὸ θηλυκόν,

Αήσυλος. ἀπὸ τοῦ ἄσω μηκύνοντος τοῦ δη- ἢ ἀήτη, τῇ πνοῇ. λοῦντος τὸ βλάπτω, ἐξ οὗ ὄνομα ῥηματικόν, ἄσυλος. καὶ πλεονασμῷ τοῦ η, ἀήσυλος. ὁ ἁμαρτημένος, καὶ ἄτοπος. οὕτως ὠρίων. ἢ ἀπὸ τοῦ ἡδῶ ἥσω ἥσυλα, καὶ ἀήσυλα τὰ μὴ τέρποντα. ἄτακτα. μωρά. ἢ ἄδικα καὶ ἁμαρτωλά.

Αηδών, παρὰ τὸ ἀείδω, ἀειδών. καὶ διὰ τὸ αἰολικὴ τῆς ει διφθόγγου εἰς η, ἀηδών. οὕτως ὠρίων. ἄλλοι δὲ τροπῇ μόνον τοῦ ε εἰς η.

Αηθέσσον, ἰστέον ὅτι τὰ ἀπὸ φω- ἢ τὸ δὲ ι προσγεγραμμένον. νήεντος ἀρχόμενα ῥήματα χρονικῶς αὔξονται ἐν τῷ παρατατικῷ. οἷον ἄγω ἦγον. αἴρω ἦρον. αἰτῶ ᾔτουν. δεῖ δὲ προσθεῖναι χωρὶς τῶν ἰωνικῶν, καὶ τῶν ποιητικῶν. οἱ γὰρ ποιηταὶ καὶ οἱ ἴωνες συναρχεῖσθαι πολλάκις ποιοῦσι

τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσιν. οἷον ἄγω ἄγον. Ἄγε δὲ ἔμοιρα βάρβα. καὶ τὸ Ἄψαρ δὲ ἡμίφωνον. ἀντὶ τοῦ ἡ ψάρ. καὶ χωρὶς τῶν ἀπὸ προθέσεως ἀρχομένων. οἷον ἀναγινώσκω, ἀνεγίνωσκον. ἀνέρχομαι, ἀνηρχόμην. αὐτοῦ τούτου γὰρ ἀρχὴ τοῦ ἐνεστῶτος ἐφυλάχθη καὶ ἐν τῷ παρατατικῷ. καὶ χωρὶς τοῦ εὐαρεστῶ, εὐηρέστουν. εὐορκῶ, εὐώρκουν. αὐτοῦ τούτου γὰρ ἔσωθεν ἐγένετο ἡ κλίσις. Δεῖ προσθεῖναι χωρὶς τοῦ ἀηθέσσω, ἀήθεσσον. σημαίνει δὲ τὸ ἀήθης ὑπάρχω. καὶ χωρὶς τοῦ ἐν τῇ συνηθείᾳ λεγομένου ἀηδίζομαι ἀηδιζόμην. ταῦτα μὲν ὁ Χοιροβοσκὸς λέγει. καὶ ὁ Ζηνόβιος εἰς τὰ ῥήματα τοῦ Ἀπολλωνίου. λέγει δὲ ὅτι καὶ τὸ ἀΐω τὸ ἀκούω, καὶ τὸ ἀάζω τὸ πνέω, οὐ τρέπει τὸ α εἰς η ἐν τῷ παρατατικῷ. καὶ αὐτὸ μὲν τοῦ ἀΐω, διὰ τὸ οὐ τρέπει τὸ α εἰς η. ἵνα μὴ συνεμπέσῃ τῷ ἠκέσθαι (?) ὄνομα τῷ ὑπῆρχε. τὸ δὲ ἀπὸ τοῦ ἄω. τὸ δὲ ἀήθεσσον καὶ ἀηδιζόμην, ἵνα μὴ εὑρεθῇ ἀλληλάλληλον τὸ η. ἀήθεσσον δὲ, σημαίνει τὸ ἠδημόνουν. ἀσυνήθως εἶχον. καὶ ἀηθέσσειν, ἀγνοεῖν. ἀπείρως ἔχειν.

ΤΟ ΑΛΦΑ ΜΕΤΑ ΤΟΥ ΘΗΤΑ

Ἀθαμάντιον. Καὶ μὴν ἑῶν μήλων θέσαν ἀρανὸν, ὅσον ἐνέμοντο ἀμπέδιον Φθίης ἀθαμάντιον. ἔστι δὲ πεδιὰς ἐν Θεσσαλίᾳ καλουμένη Ἀθαμαντία, διὰ τὸ ἐκεῖσε τὸν Ἀθάμαντα πλανᾶσθαι μετὰ τὸ φονεῦσαι τὸν ἴδιον υἱὸν Λέαρχον χόλῳ τῆς Ἥρας, ὅτι ἀνέθρεψε τὸν Διόνυσον. ἐφόνευσε δὲ αὐτὸν εἰς θήραν μανεὶς, δόρατι νομήσας ἔλαφον εἶναι. ὅθεν καὶ τῆς βασιλείας ἐξέπεσε. καὶ τῆς Ἰνοῦς τῆς γυναικὸς ἐστερήθη. καὶ τοῦ ἰδίου υἱοῦ Μελικέρτου. ἀμφοτέρων εἰς θάλασσαν ἐμπεσόντων. καὶ οἰκησάντων προνοίᾳ Ποσειδῶνος ἐν αὐτῇ. οὕτως εὗρον σχόλιον εἰς τὰ Ἀργοναυτικὰ Ἀπολλωνίου.

Ἀθέμιστος, ἄδικος. ἄνομος. ἀπὸ τοῦ θέμις. θέμιστος, θέμιτος, καὶ ἀθέμιτος.

Ἀθέσφατος, πολύ. ἐκ τοῦ θεὸς καὶ φατός. τοῦ ἐκ τοῦ φημὶ τὸ λέγω. θεόφαντός τις ὤν. καὶ κατὰ συγκοπὴν, καὶ πλεονασμῷ τοῦ σ, θέσφατος. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀθέσφατος. ἐξ αὐτοῦ ἀθέσφατον, τὸ πολὺ καὶ δαψιλές. ὃ οὐδὲ θεὸς ἑρμηνεῦσαι διὰ τὸ πλῆθος. οἷον θεόφαντον καὶ ἄπειρον.

Ἀθέριζον, ἀπεδοκίμαζον. μεταφορικὴ ἡ λέξις αὕτη τοῦ ἐκρίπτειν καὶ ἀποβάλλειν. ἀπὸ μεταφορᾶς τῶν ἀθέρων. οἱονεὶ τῶν ἀστάχυων. ἢ τῶν μὴ δυναμένων θερίζεσθαι καρπῶν, τῶν ἐκ τῆς ἅλω ἀπορριπτουμένων, καὶ μὴ συναγομένων πρὸς χρείαν. οἱ γὰρ λικμῶντες ἐκρίπτουσι τοὺς ἀθέρας. τουτέστι τὰ ἄχυρα. καὶ γίνεται ἐκ τοῦ θέρους θερίζω. καὶ μετὰ τοῦ στερητικοῦ α ἀθερίζω. Οὔποτέ μοι ἀθέριζον. ἀντὶ τοῦ ἀπέρριπτον. τὸ δὲ ἀθέρος, παρὰ τὸ θέρω τὸ θερμαίνω. ὁ μηδέποτε θερμαινόμενος. θερῶ. καὶ θέρσω αἰολικῶς. ἀφ' οὗ Θερσίτης. καὶ θερμός.

Ἀθετος, ἡ τριάσχετος.

Ἀθιγεῖν, παρὰ τοῖς Ἴωσι τὸ μὴ ποιεῖσθαι λόγον. οἷον ἀθετεῖν καὶ ἀτιμάζειν. οὕτως Ὠρίων. ἀντὶ ἀτιμάζειν ἀπειθεῖν. καὶ ἀθέτως καὶ

Ἀθηνᾶ, οἱονεὶ ἀθρηνᾶ τις οὖσα, παρὰ τὸ τὴν ἀθέσμως νοῦν ἀθρεῖν. ἢ παρὰ τὸ θῶ τὸ θηλάζω. ὁ μέλλων θήσω. οἷον γυναῖκα τεθήσατο μαζόν. γέγονεν ὄνομα ῥηματικὸν θηνὴ θηλάζουσα. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀθηνή. ἀμήτωρ γὰρ ἡ θεός. ἐκ γὰρ τῆς τοῦ Διὸς κεφαλῆς φασὶν αὐτὴν γεγενῆσθαι. ἀθηνὴ ἀθηναία, ὡς δίκη δικαία. καὶ ὡς παρὰ ναυσικάα κατὰ κρᾶσιν τῶν δύο αα, εἰς α μακρὸν γίνεται Ναυσικᾶ, οὕτω καὶ ἀπὸ τοῦ ἀθηναία ἀποβολῇ τοῦ ι γίνεται ἀθηνάα. καὶ κράσει τῶν δύο αα εἰς α μακρὸν Ἀθηνᾶ. καὶ περισπᾶται. λέγεται δὲ

Ἀθηναία, ἡ θεός. ἡ δὲ γυνὴ, Ἀττική. Ἀθηνᾶ καὶ εἶδος αὐλοῦ.

Ἀθαλάττωτος. ἄπειρος θαλάσσης καὶ πλοῦ.

Ἀθαρής, ἀκριβής. θαυμαστός. ὑπερόπτης. αὐθάδης.

Ἀθηναΐς, ἡ ἐλαία. καὶ Ἀθηναία, ἡ ἀγριελαία.

Ἀθερέως, ἀκριβῶς. καὶ ἀθερές, τὸ ἀκριβές. καὶ ἀθερής, ὁ ἀγαν θεριστικός. ἢ ὁ λαμπρός, ἢ ὁ μὴ φροντίζων τινός, καὶ ὑβριστής. ἢ ὁ διὰ λαμπρότητα ἀθρούμενος.

Ἀθερίζειν, ἀγνοεῖν. καταφρονεῖν. ἀφροντιστεῖν. μέμφεσθαι.

Ἀθερίσαι, καθυπνῶσαι ἢ ὀλιγωρῆσαι.

Ἀθέμιστον, ἄδικον. πονηρόν. ἄναρχον. ἀσεβῆ, ἢ νόμοις οὐ χρώμενον. καὶ ἀθεμιστῆσαι, παρανομῆσαι.

Ἀθεσμία, παρανομία.

Ἀθικτον, μιαρόν, ἀκάθαρτον, καὶ ἡ παρθένος δὲ οὕτως ἐλέγετο. καὶ ἀθίκτορας, ἀνεπάφους παρθένους. ἀνάνδρους.

Ἀθουρον, ἄπληστον.

Ἀθήνησι καὶ Θήβησι, τὰ τοιαῦτα ἐπιρρήματα σὺν τῷ ι γράφεται, μὴ ὤφειλεν. ἐπειδὴ τὰ εἰς θεν ἐπιρρήματα καὶ τὰ εἰς θι τὴν αὐτὴν παραλήγουσαν φυλάττει καὶ τὸν αὐτὸν τόνον. οἷον, οἴκοθεν, οἴκοθι. Λεσβόθεν Λεσβόθι. Ὀλυμπίαθεν Ὀλυμπίαθι. θύραθεν, θύραθι. εἰ οὖν τὸ Ἀθήνηθεν, καὶ Θήβηθεν χωρὶς τοῦ ι γράφεται, δῆλον καὶ τὸ Ἀθήνησι καὶ Θήβησι χωρὶς ὤφειλε γράφεσθαι. ἀλλὰ γράφεται σὺν τῷ ι, διὰ τὸ συνεμπεσεῖν ταῖς τοιαύταις ἰωνικαῖς δοτικαῖς. ἐπειδὴ ἡ δοτικὴ τῶν πληθυντικῶν Θήβαις. καὶ κατ' ἔκτασιν γίνεται Θήβαισι. καὶ κατὰ τροπὴν ἰωνικὴν τοῦ α εἰς η Θήβησι. καὶ μένει τὸ ι προσγεγραμμένον.

Ἀθηρολοιγὸν, τὸ πτύον τὸ τοὺς ἀθέρας διαλέγον καὶ διαχωρίζον. καὶ ἀθερολόγον, τὸ αὐτό. γίνεται δὲ κατὰ πλεονασμὸν τοῦ ι. ὑφ' ἓν δὲ καὶ ὀξυτόνως ἀναγνωστέον. οὕτως Ὠρίων.

Ἀθίγανος, ὁ μὴ θέλων τινὶ προσεγγίσαι. ἀπὸ τοῦ θίγω. οἱ γὰρ τὴν αἵρεσιν ταύτην ἔχοντες, οὐδὲν παραλαμβάνουσιν.

Ἄθλον, ἐκ τοῦ τλῶ τὸ, τῷ καρτεροῦντι καὶ νικῶντι διδόμενον. ἢ ἀπὸ τοῦ ἐθέλω, ἔθελον. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀέθελον τὸ πάνυ ζητούμενον. καὶ κατὰ κρᾶσιν τοῦ α καὶ ε, ἆθλον. καὶ ἆθλος τὸ ἀρσενικόν. διὸ καὶ περισπᾶται.

Ἀθλῆσαι, κοπιᾶσαι. ὅτι μετὰ τὸν κατακλυσμὸν ἐξηρημωμένων ἤδη τῶν ἀγώνων, ὥσπερ καὶ τῶν ἄλλων πάντων τῶν ἐν βίῳ καλῶν, ὕστερον Ἀέθλιος ὁ Ἐνδυμίωνος πατήρ, ἐπιμέλειαν ἐποιήσατο τῆς τοῦ Ὀλυμπιακοῦ ἀγῶνος συστάσεως. ἀπὸ τούτου οὖν γίνεται ἄθλω. ἐκ δὲ τοῦ ἀθλῶ, ἆθλα καὶ ἀθληταὶ καλοῦνται. οὕτως Ὠρίων. Καὶ πολλὰ περιαθλήσαντα, ἀντὶ τοῦ κοπιάσαντα. κακοπαθήσαντα.

Ἀθριβὴς. πόλις Αἰγύπτου. γράφεται δὲ, καὶ Ἀθλιβὴς ἧς ὁ πολίτης Ἀθλιβίτης. Νικάνωρ δὲ διὰ τοῦ ρ. τὸ δὲ ἐκτὰ τῆς νηστευομένης Αἰγύπτου ἐστὶ κεφαλὴ κατὰ καρδίας σχῆμα τῶν περιεχομένων εἰλωμεθυσκόμενον. ὅθεν τὸν νομὸν Ἀθριβὴν προσηγόρευσαν. ὅπερ εἴ τις ἑλληνιστὶ βούλοιτο φράζειν, οὐκ ἄλλως ἔχοι λέξαι, πλὴν καρδίαν ἐπαΐων. οὕτως Ὠρίων.

Ἀθρόοι. ἀθρόος προπαροξύνεται. σημαίνει τὸν αἰφνίδιον. παροξύνεται δὲ τὸν συνηθροισμένον καὶ δασύνεται. Ὅμηρος. Ἡμεῖς δ' ἀθρόοι ὦμεν. τὰ ἀθροιστικὰ α δασύνεται. θροῦς λέγεται τὸ αἰφνίδιον. καὶ κλίνεται θρόος. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀθρόοι. ἄνευ θρόου καὶ ἤχου ἀψόφητοι.

Ἀθροίζω, ἐκ τοῦ θροῦς, ὃ σημαίνει τὸν θόρυβον. Οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, γίνεται θροίζω. καὶ κατὰ συναίρεσιν μετὰ τοῦ ἐπιτατικοῦ α, ἀθροίζω.

Ἄθηλον, τὸ μὴ τεθηλακὸς παιδίον.

Ἀθέλγεται, διηθεῖται. καὶ ἀθέλγειν τὸ ἀμέλγειν.

Ἀθὺρ, ὁ μήν. καὶ τὴν Ἀφροδίτην Αἰγύπτιοι καλοῦσιν Ἀθώρ. καὶ μῆνα γὰρ τὸν τρίτον τοῦ ἔτους ἐπώνυμον ταύτῃ πεποιήκασιν. οὕτως Ὠρίων.

Ἀθύρματα, παίγνια. παρὰ τὸ ἀθρεῖν θεάματα. ἢ παρὰ τὸ θύω τὸ ὁρμῶ, θυρῶ καὶ ἀθύρω. καὶ ἄθυρμα. καὶ ἀθύρει, παίζει καὶ ἀγωνίζεται.

Ἀθρεῖν, τὸ μετ' ἐπιτάσεως θεωρεῖν. θεωρῶ γίνεται. καὶ κατὰ συγκοπὴν καὶ ἐπίτασιν ἀθρῶ. ἢ ἀπὸ τοῦ δρῶ τὸ βλέπω μετὰ τοῦ ἐπιτατικοῦ α, ἀδρῶ. καὶ τροπῇ τοῦ δ εἰς θ.

Ἄθως, ἀκρωτήριον Θρᾴκης. Σοφοκλῆς. Ἄθως σκιάζει νῶτα Λημνίας βοός. ἐν γὰρ τῇ Λήμνῳ βοῦς χαλκῆ ἵδρυται, ἐφ' ἣν τοῦ Ἄθω ἡ σκιὰ φθάνει.

Ἀθῶος, ὡς περὶ ἀπὸ τοῦ ζῶ ζωὴ, ἰῶ, ἰωὴ. ἡ ἐκπεμπομένη βοή. ἢ φωνή, οὕτω παρὰ τὸ θῶ τὸ καταβάλλω καὶ ζημιῶ, θωὴ, ἡ ζημία. ὁ γὰρ ζημιούμενος καταβάλλεταί τι. ἐξ αὐτοῦ γίνεται θωός. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀθῶος ὁ ἀζήμιος. ἔχει δὲ τὸ ι ἐκ παραδόσεως ἐπειδὴ εὕρηται θωϊὴ ὡς παρὰ ἀρχιλόχῳ ὥσθ' ἄνευ θωΐης λάβοι. ὤφειλε δὲ προπαροξύνεσθαι. τὰ γὰρ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκῶν διὰ τοῦ ος γινόμενα ὀνόματα προπαροξύνονται. κεφαλή, ἀκέφαλος. ψυχή, ἄψυχος. ὥρα, ἄωρος. πρόσκειται ἐν τῷ κανόνι, εἰ μὴ χαρακτὴρ κωλύσει, διὰ τὸ χάρη, ἀχαρὸς ὀξύνεται γάρ. ὡς τὸ μαδαρός. ἀλλ' ἕτερος κανών ἐστιν ὁ λέγων, ὅτι τὰ διὰ τοῦ ωος ἔχοντα τὸ ι ὑπὲρ β συλλαβὰς προπερισπῶνται. χωρὶς τοῦ κολωός. σημαίνει τὸν θόρυβον. οἷον, ἀχελῷος αἰδῶος ἠῶος. οὕτω καὶ ἀθῶος. πρόσκειται ἔχοντα τὸ ι, διὰ τὸ λαγωὸς καὶ πατρωός. σημαίνει δὲ τὸν λεγόμενον πατροιόν. πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ κλωός. σημαίνει δὲ τὰ σίδηρα, ἃ φοροῦσιν οἱ κατάδικοι. ἃ λέγονται κλοιά.

Ἄθως, σημαίνει τὸν ἐν τῷ Ἄθῳ ὄρει τιμώμενον. κατὰ τὴν ἀκρίβειαν δὲ, ὤφειλεν ἔχειν τὸ ι καὶ περισπᾶσθαι. ἐπειδὴ ἀπὸ τοῦ Ἄθως τοῦ ὄρους ἐγένετο. τὰ δὲ ἀπὸ τοῦ εἰς ως διὰ τοῦ ωος παραγόμενα σὺν τῷ ι γράφεται καὶ περισπᾶται. οἷον, Μίνως Μινῷος. πάτρως πατρῷος. μήτρως μητρῷος. ἥρως ἡρῷος. οὕτω καὶ Ἄθως Ἀθῷος ὤφειλεν εἶναι. ἀλλὰ πρὸς ἀντιδιαστολὴν τοῦ ἀθῶος τοῦ σημαίνοντος τὸν ἀζήμιον, καὶ τὸ ι ἀποβάλλει. καὶ προπαροξύνεται. οὕτως ὁ Χοιροβοσκός.

Ἀθώου Διός. Διὸς ἱερὸν ἐν ἄκρῳ Ἄθῳ τῷ ὄρει, Ἀθώου καλουμένου. ζήτει εἰς Ἀθῷος.

ΤΟ ΑΛΦΑ ΜΕΤΑ ΤΟΥ ΙΩΤΑ

Αἰ, ἐπίρρημα εὐχῆς σημαντικόν. καὶ σημαίνει τὸ εἴθε. οἷον, Αἰ γὰρ δὴ οὕτως εἴη φίλος ὦ Μενέλαε. γέγονε δὲ, ἐκ τοῦ εἰ σημαίνοντος τὸ εἴθε, τοῦ ε τραπέντος εἰς α. ὡς τὸ Εἴ μοι γένοιτο φθόγγος ἐν βραχίοσι καὶ χερσὶ καὶ κόμαισι καὶ ποδῶν βάσει. καὶ Εἰ γὰρ ὤφελεν, ἀντὶ εἴθε, καὶ Εἴ μοι κλύοιτο παρθένος, καλή τε καὶ τέρεινα.

Αἰάζω. παρὰ τὸ αἰ σχετλιαστικὸν ἐπίρρημα γίνεται αἰάζω τὸ θρηνῶ. ὡς λίαν λιάζω.

Αἰαίη ἡμηδεία, ὡς τὸ Αἰαίην ἀφίκεσθαι. εἴρηται δὲ ἀπὸ Αἰαίης πόλεως Ἀπολλωνίας. λέγεται δὲ καὶ ἡ τῆς Κίρκης νῆσος Αἰαίη. ἢ πλησίον τοῦ ἄδου οὖσα. ἀπὸ τῶν στεναγμάτων τῶν ἐν αὐτῷ. παρὰ τὸ αἰ αἰ θρηνητικὸν ἐπίρρημα.

Αἶα, ἡ γῆ. παρὰ τὸ γαῖα ἀποβολῇ τοῦ γ. ἢ ἀπὸ τοῦ αὔω τὸ ξηραίνω, αὖα καὶ τροπῇ τοῦ υ εἰς ι, αἶα.

Αἴγινα ὄνομα πόλεως. τὰ εἰς ινα διὰ τοῦ ι γράφεται. χωρὶς τοῦ πεῖνα. οἷον, γέρινα τὸ ἁπαλόν. βέμβρινα. καμάρινα. βέλινα, ὄνομα πόλεως. ἄρπινα, ὄνομα ἵππου. ὅπερ τινὲς διὰ δίφθογγον γράφουσι. καμάρινα, λίμνη δυσώδης, ὡς καὶ ἡ χρῆσις δηλοῖ. Μὴ κίνει καμάριναν. οὕτω καὶ Αἴγινα.

Αἴας, ὁ μὲν Λοκρὸς παρὰ τὸ ἀΐσσω τὸ ὁρμῶ. ὁ μέλλων ἀΐξω ἤϊξα ἤϊξας. ἡ μετοχὴ ἀΐξας. καὶ ἀποβολῇ τοῦ ξ. καὶ συναιρέσει Αἴας. ἐτυμολογεῖται δὲ παρὰ τὸ θαρσαλέως καὶ σφόδρα αὐτὸν ἀΐσσειν καὶ ὁρμᾶν ἐν τοῖς πολέμοις. ὁ δὲ Τελαμώνιος, παρὰ τὸ αἰ αἰ αἰάζω. θρηνητικὸν δέ ἐστιν ἐπίρρημα ὥς φησι Σοφοκλῆς Αἰαῖ τίς ἄν ποτ' ᾤεθ' ὧδ' ἐπώνυμον. τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοί, καὶ τρὶς, τοιούτοις γὰρ κακοῖς ἐντυγχάνω.

Αἶα, ὑπὸ Κυρηναίων τηθὶς καὶ μαῖα, καὶ ἀδελφὴ κρήτης. καλεῖται δὲ καὶ κρήνη ἐν Παιονίᾳ, καὶ φυτόν τι. ἔστι δὲ ὁ καρπὸς αὐτῷ ὁμώνυμος.

Αἰγίς, τὸ τοῦ Διὸς Ἡφαιστότευκτον ὅπλον. οὐχ ὥς τινές φασιν ἀπὸ τῆς Ἀμαλθείας αἰγὸς, τῆς τὸν Δία ἀναθρεψάσης, ἀλλ' ἀπὸ τοῦ τὰς συστροφὰς τῶν ἀνέμων ποιεῖν κινεῖσθαι. αἰγίδες καταιγίδες οἱ ἄνεμοι. τὸ δὲ αἰγίς,

παρὰ τὸ ἀΐσσω τὸ ὁρμῶ.

Αἰγίοχος, παρὰ τὸ ὀχῶ, ὃ σημαίνει τὴν τροφήν, καὶ τοῦ αἲξ αἰγός. λέγουσι γὰρ αὐτὸν τεθηλακέναι ἀμάλθειαν τὴν αἶγα. οἱ δέ, ὅτι σκεπαστήριον ἦν αὐτῷ αἰγὶς ἀπὸ ἀρκτικῆς αἰγὸς ληφθεῖσα. ἢ ἀπὸ τοῦ καταιγίζειν τοῖς ἀνέμοις καὶ πνεύμασι. καλεῖται γὰρ αἰγὶς ὁ ἄνεμος. οἱ δέ, ἀπὸ τοῦ αἶγα πρώτην γῆμαι τὴν τοῦ πανὸς θυγατέρα.

Αἰγιαλός, ἐτυμολογεῖται παρὰ τὸ τὴν αἶαν γείτονα εἶναι τῆς ἁλός. ἢ ἀπὸ τοῦ γαίω. ἢ ἀπὸ τοῦ δίκην αἰγὸς ἅλλεσθαι.

Αἰγιόχοιο, αἱ διὰ τοῦ οιο, θετταλικαὶ γενικαί.

Αἴγιλιψ, δύσβατος καὶ ὀρεινὸς τόπος. Ἥ τε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ. γέγονε δέ, παρὰ τὸ λείπω μέλλοντα, λείψω, λεῖψ. καὶ ἀποβολῇ τοῦ ε, λίψ, ἢ καὶ ἐν συνθέσει μετὰ τῆς αἴξ, γίνεται αἰγίλιψ. εἰς ἣν καὶ αἲξ οὐ δύναται ἀναβῆναι. οὕτως ὠρίων. ἔστι δὲ ἑρμαϊκὴ ἡ λέξις.

Αἰγίλουρος, αἴλουρος. καὶ πλεονασμῷ τῆς γι συλλαβῆς, αἰγίλουρος.

Αἰγοφάγος, ὁ Ζεύς. ὡς παρὰ νικάνδρῳ ἐν θηριακοῖς.

Αἰγιάλεια, ὄνομα κύριον. ἀδράστου μὲν θυγάτηρ. διομήδους δὲ γυνή.

Αἴγιθος, παρὰ τὸ θῶ τὸ θηλάζω, καὶ τὸ αἴξ, αἴγιθος. καὶ πλεονασμῷ τοῦ ς, αἴγισθος. ἱστοροῦσι γὰρ αὐτὸν αἰγείῳ γάλακτι τροφῇ χρήσασθαι. οὕτως ὠρίων.

Αἰγάς, ἑλίκη τε καὶ αἶγας. αἰγὰς δὲ καλοῦσι τὰς ἐν πελοποννήσῳ πόλεις εὐβοίας. τὸ ἐθνικὸν αἰγαῖος.

Αἰγαίων, ὁ ἥλιος. παρὰ τὸ αἴγλη αἰγλαίων καὶ ἀποβολῇ τοῦ λ ὡς παρώνυμον. ἢ ἀπὸ τοῦ ταῖς ἀκτῖσιν ἀΐσσειν. ἢ ἀπὸ τοῦ γῶ τὸ γαυριῶ, γαίων. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀγαίων. καὶ πλεονασμῷ τοῦ ι αἰγαίων.

Αἰανόν, δεινόν, χαλεπόν.

Αἰβετός, ἀετὸς παρ' ἀργείοις.

Αἰβοῖ, ὥσοιμοι. τίθεται καὶ ἐπὶ θαυμασμοῦ.

Αἰγιναῖα, τὰ ἐρωτικὰ φορτία. καὶ οἱ πιπράσκοντες αἰγιναιοπῶλαι. ἐλέγετο δὲ καὶ τὰ μεγάλα αἰγιναῖα ἀπὸ τοῦ νομίσματος. καὶ γὰρ τὸ αἰγιναῖον τάλαντον πλεῖον ἦν δραχμαῖς τοῦ ἀττικοῦ. ἔλεγε δὲ τοὺς μὲν πολίτας αἰγινήτας. τὰ δὲ ἐκ τῆς νήσου αἰγιναῖα. καὶ αἰγιναῖος ὀβολός.

Αἰγιάλεια, ἡ νῦν ἀχαΐα. καὶ αἰγιαλεῖς.

Αἰγίδες, ὑμένες ἐν τοῖς ὀφθαλμοῖς. καὶ τὰς ἐν τοῖς ὀφθαλμοῖς ὑπολεύκους οὐλὰς αἰγίδας λέγει.

Αἰγίλωψ, πόα τις, καὶ πάθος,

Αἰγίποψ. ἀετὸς ὑπὸ μακεδόνων.

Αἰγίς, ἡ καταιγίς. καὶ ἡ ὀξεῖα πνοή, καὶ αἱ ἀποστίλψεις τῶν ὀφθαλμῶν.

Αἰγοθής, ὁ αἰγοθήλας.

Αἰγυλίς, λυγός.

Αἰγαί, πόλις εὐβοίας ἢ νῆσος ἐστὶ δυσχείμερος. ἀφ' ἧς καὶ τὸ πέλαγος αἰγαῖον ἐκλήθη. οἱ δὲ ἀπὸ ποσειδῶνος οὕτως ὠνομάσθαι. οἱ δὲ ἀπὸ αἰγέως τοῦ πατρὸς θησέως, καταχρημνίσαντος ἑαυτὸν ἀπὸ τῆς ἀκροπόλεως εἰς τὴν θάλασσαν. οὐ πολὺ γὰρ ἀπέχει ἡ ἀκρόπολις τῆς θαλάσσης περιπλέοντι τὴν νῆσον.

Αἰγανέα, ἀκόντιόν τι μικρόν. ἀπὸ τοῦ ἀγανίεσθαι, ὅ ἐστι πορεύεσθαι, καὶ πέμπεσθαι, ἢ νεῖσθαι. ἢ διὰ τὸ ἀγκύλην τὴν ἐξ αἰγείου δέρματος γεγενημένην. ἢ διὰ τὰς αἶγας. ἐπ' αὐτὰς γὰρ μάλιστα ἵενται. ἢ διὰ τὸ εὐθετεῖν αὐτὰς εἰς αἰγῶν ἄγρας.

Αἴγειος τὸ γει δίφθογγον ὡς μέλος σώματος. τὸ δωρικὸν αἴγαιος. οἱ γὰρ δωριεῖς τὸ ει, αι λέγουσι. τὸ γὰρ κύπειρον κύπαιρον λέγουσι. καὶ τὸ αἴγειον αἰγαῖον πέλαγος.

Αἴγειρος, διὰ τῆς ει διφθόγγου. εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι. ὡς τὸ Καὶ αἰγέρων ἔφυσαν εὐγενέστεραι. ἤτοι εὐθαλέστεραι, καὶ εὐθρεπτότεραι. καὶ ὅτι τὰ εἰς ρος ῥηματικὰ τῇ ει διφθόγγῳ παραλήγεται. οἷον, μάσσω, μάγειρος. πέπτω, πέπειρος. ὀνῶ ὄνειρος. σημαίνει δὲ τὸ ὀνῶ τὸ ὠφελῶ. πολλοὶ γὰρ ἐκ τῶν ἰδίων ὀνείρων ὠφελήθησαν. οὕτως οὖν καὶ ἀΐσσω, αἴγειρος. ἢ παρὰ τὸ αἴρω τουτέστιν εἰς ὕψος αἴρεσθαι καὶ αὐξάνεσθαι. ἐπὶ πολὺ γὰρ ὕψος πρόεισι καὶ αὔξεται τὸ φυτόν. ὅμηρος μακεδνῆς αἰγείροιο, τῆς μηκεδανῆς, καὶ ὑψηλῆς. παρὰ τὸ μῆκος ἢ παρὰ τὸ ἐκ τῆς ἔρας ἀΐσσειν καὶ κινεῖσθαι. ἢ παρὰ τὸ κατάγνυσθαι ὑπὸ τῶν ἀνέμων. τὸ δὲ κάμειρος οὐκ ἔστι ῥηματικόν, ἀλλ' ὄνομα κύριον. δεῖ δὲ γινώσκειν, ὅτι καὶ τὸ παρὰ θεοκρίτῳ Ἀπ' αἰγείρω ἰσχάδα τρώγοις. διὰ τοῦ ι γράφεται. ἀπὸ τοῦ αἴγειρον. ἔστι δὲ τὸ ἄγειρον ὄνομα πόλεως. τινὲς δὲ ὡς καὶ ὁ χοιροβοσκός, εἰς τὸ ἄκλινα, διὰ τῆς ει διφθόγγου γράφουσιν αὐτό.

Αἴγλη παρὰ τὸ ἀΐσσω τὸ ὁρμῶ καὶ τὸ λίαν. πάνυ γὰρ ὁρμητική ἐστιν ἡ αἴγλη. σημαίνει δὲ τὴν λαμπηδόνα. οὕτως εὗρον ἐν ἐπιμερισμῷ τοῦ ψαλτηρίου.

Αἰγλήεντα, ἀπὸ τοῦ αἴγλη, αἰγλήεις αἰγλήεντα, καὶ αἰγλῆντα κατὰ κρᾶσιν.

Αἰγυπιός, οἱ μὲν εἶδος ἀετοῦ. οἱ δὲ τὸν γῦπα ἐξεδέξαντο. ἔστι δὲ παρὰ τὸ ἀΐσσω.

Αἴγυπτος, ἀπὸ αἰγύπτου βασιλέως τοῦ υἱοῦ βήλου. ἢ ἀπὸ αἰγύπτου τοῦ νείλου. ὁ γὰρ νεῖλος πρότερον αἴγυπτος ἐκαλεῖτο. ἢ αἰγίποτος καὶ αἴγιπτος, παρὰ τὸν τράγον ὃν αἰγύπτιοι σέβουσιν. ἐξαιρέτως δὲ τοὺς μενδησίους. ἢ διὰ τὸ αἶγας πίονας ἔχειν. ἢ ἐγγύποτος, καὶ αἴγυπτος, ὡς ἐγγίζουσα τῷ ποτῷ, ἢ τῷ ποταμῷ. οὕτως ὧρος ὁ θηβαῖος. ἢ παρὰ τὸ αἴθω τὸ καίω. οἱ γὰρ ἐν αἰγύπτῳ ἄνθρωποι, κεκαυμένοι εἰσὶν ἐκ τῆς σφοδρᾶς τοῦ ἡλίου φορᾶς. σημαίνει δὲ τρία. τὴν χώραν. ὡς τό, Αἴγυπτον δέ με θυμὸς ἄνωγε. τὸν ποταμὸν τὸν νεῖλον. ὡς τὸ Στῆσα δ' ἐν αἰγύπτῳ ποταμῷ νῆας. καὶ Αἰγύπτοιο διϊπετέος ποταμοῖο, τοῦ διαφανοῦς καὶ μεγάλου. καὶ παρὰ τῷ θεολόγῳ τὴν ἁμαρτίαν. ὡς ἐντεῦθεν.

Αἴγυπτον τὴν σκυθρωπὴν καὶ διώκτριαν ἁμαρτίας.

Αἰγυπτιάζειν, τὸ πανουργεύειν, καὶ σκυθρωπάζεσθαι.

Αἰδοῖος, αἰδοῦς καὶ τιμῆς ἄξιος. οἷον, Αἰδοῖός τέ μοι ἐσσὶ φίλε ἑκυρὲ δεινός τε. ἀπὸ τοῦ αἰδώς, γίνεται αἰδῶος, ὥσπερ ἠῶος, καὶ ἡρῷος. καὶ κατὰ τροπὴν βοιωτικὴν τῆς ω διφθόγγου εἰς οι, κοῖος, καὶ αἰδοῖος. ἔχει δὲ τὸ αἰδῶος, τὸ ι προσγεγραμμένον, ὅτι τὰ ἀπὸ τῶν εἰς ως διὰ τοῦ ωος παράγωγα, σὺν τῷ ι γράφονται καὶ περισπῶνται. μίνως, μινῷος. ἥρως, ἡρῷος. πάτρως, πατρῷος. ἠώς, ἠῷος. καὶ αἰδώς, αἰδῷος. οὕτως ὁ χοιροβοσκὸς εἰς τὸ περὶ ποσότητος. ἔστι δὲ εἶδος τῶν παραγώγων κτητικοῦ. πόσοι τύποι τῶν κτητικῶν, δύο. ὅ τε εἰς ιος, καὶ ὁ εἰς ος. καὶ ἄλλως. πόσας κατὰ λέξεις ἐπιδέχονται τὰ εἰς ος κτητικά, καὶ πόσας παραλήξεις καὶ τίνα εἰσὶ τὰ ὄντα καὶ τύπῳ καὶ σημαινομένῳ κτητικά. τίνα μὲν τύπῳ κτητικά σημαινομένῳ δὲ οὐκέτι. κατὰ λέξεις μέν, δύο. τήν τε εἰς ιος καὶ τὴν εἰς ος καθαρόν. ὡς ἀνθρώπειος. ὄρνειος. ἀρισταρχεῖος. πλατωνικός. δημοσθενικός. παραλήξεις δέ, ὀκτώ. τῶν εἰς ιος τέσσαρας. καὶ τῶν εἰς ος, τέσσαρας. καὶ τῶν μὲν εἰς ιος, αὗται εἰσίν. ἢ γὰρ τῷ ι παραλήγεται ὡς τὸ [illegible] ῥωμαϊνός. ἢ τῷ ἄλφα, ὡς τὸ ῥοδιανός. ἢ τῷ υ, ὡς τὸ λιβυκός, ἀλυκός. καὶ πλεονασμῷ τοῦ ρ, ἀλυκρός. ἢ τῇ ει διφθόγγῳ, ὡς τὸ κεραμεικός. δαφνεικός. τῶν δὲ εἰς ος καθαρόν, αὗται. ἢ τῇ ει διφθόγγῳ, ὡς τὸ ὁμήρειος. ἑκτόρειος. ἢ τῇ αι διφθόγγῳ, ὡς τὸ ταλαντιαῖος. ἢ τῇ οι διφθόγγῳ, ὡς τὸ πατρῷος. ἀλλοῖος. ἢ τῷ ω, ὡς τὸ πατρῷος. ἡρῷος. ὅθεν τὸ αἰδοῖος, ἐκ τοῦ αἰδῶος κτητικοῦ γίνεται κατὰ τροπὴν αἰολικὴν τῆς ω διφθόγγου εἰς οι. ἐκεῖνα δέ ἐστι τῷ τύπῳ καὶ τῷ σημαινομένῳ κτητικά, ὅσα εἰς τὴν γενικὴν τοῦ πρωτοτύπου ἀναλύονται. οἷον, γραμματικὸς λόγος, ὁ τοῦ γραμματικοῦ. ἀρισταρχεῖος βίβλος, ἡ τοῦ ἀριστάρχου. ὅσα δὲ οὐκ ἀναλύονται εἰς τὴν πρωτότυπον γενικήν, ταῦτα τῷ μὲν τύπῳ εἰσὶ κτητικά. καθότι τὰ εἰς κος κτητικά, τῷ ι παραλήγεται. πλὴν τοῦ κεραμεικός. εὐβοεικός δαφνεικός. καὶ δεκελεικός. τῷ δὲ σημαινομένῳ οὐκ ἔστι κτητικά. ὀφθαλμικὸν γὰρ ἰατρόν, οὐ τὸν τοῦ ἰατροῦ ὀφθαλμὸν λέγομεν, ἀλλὰ τὸν τοὺς ὀφθαλμοὺς ἰατρεύοντα. ὁμοίως δὲ καὶ ἡπατικὸν ἄρρωστον, οὐ τὸν τοῦ ἥπατος λέγομεν, ἀλλὰ τὸν τὸ ἧπαρ ἀλγοῦντα. εἴδη δὲ τοῦ κτητικοῦ, τρία. οἰκειωματικὸν μέν, τὸ οἰκείωσιν ἔχον πρὸς τόπον. οἷον, οὐράνιος. ἐπίγειος. θαλάσσιος. κύπριος. ῥόδιος. γήϊνος. συνεκφαντικὸν δέ, τὸ συνεκφαῖνον τι μεθ' ἑαυτοῦ. οἷον, γραμματικός. συνεκφαίνει γὰρ τὴν γραμματικήν. καὶ ἀστρονομικὸς ὁμοίως. καὶ ῥήτωρ καὶ φιλόσοφος. μετουσιαστικὸν δέ ἐστι, τὸ μετέχον οὐσίας τινός. οἷον, κέδρινος. ὑψόροφος, ὅμηρος. δερμάτινος. χάλκεος. χρύσεος σταυρός. βρότειος χείρ. διαφέρουσι δὲ τὰ μετουσιαστικὰ τῶν μερῶν τοῦ σώματος. ὅτι τὰ μὲν μετουσιαστικά, ἀπὸ ἀψύχων. τὰ δὲ δηλοῦντα μέρος σώματος, ἀπὸ ἐμψύχων παράγονται.

Αἰγυπτῶσαι. μελᾶναι. καὶ ἐπικαῦσαι.

Αἰδύλος, θρασύς.

Αἰδώνια, θανάσιμα.

Αἰηνές, ἀεί. διόλου.

Αἰηνά, τὰ μικρὰ τῶν δένδρων, καὶ ἄκαρπα. οἱ δέ, τὰ ξηρά. ἄλλοι, αἰηνές, αἰώνιον καὶ τὸ βλαβερόν.

Αἴητον, ἐπὶ τοῦ ἡφαίστου πνευστόν. ἢ πυρῶδες. οἱ δέ, μέγα. ἄλλοι τὸ μεθορμῆς. οἱ δέ, ὡς ἀετός.

Αἰδώς, τιμή. φόβος. αἰσχύνη. ὄνειδος. πόθεν αἰδώς, παρὰ τὸ αἰδῶ τὸ ἐντρέπομαι ἢ παρὰ τὸ εἴδω τὸ βλέπω. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀείδω τὸ οὐ βλέπω. καὶ ἀποβολῇ τοῦ ε καὶ συναιρέσει τοῦ α, καὶ ι εἰς τὴν αι δίφθογγον. ἢ ἐκ τῆς αἰς εὐθείας. ἢ ἐκ τῆς αἰδοῦς γενικῆς κατὰ μεταπλασμόν.

Αἰδομένω, αἰδεσθέντε. Τὼ μὲν ταρβήσαντε καὶ αἰδομένω βασιλῆα ἀνστήτην. αἰδέω αἰδῶ, τὸ ἐντρέπομαι ἐξ οὗ καὶ αἰδήμων. τοῦτο, παρὰ τὸ αἰδώς. τὸ δέ, παρὰ τὸ εἴδω τὸ βλέπω. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀείδως καὶ αἰδώς. οἱ γὰρ ἐντρεπόμενοι συστέλλουσι τὰ ὄμματα. ὁ παθητικὸς ἐνεστώς, αἴδομαι αἰδοῦμαι. ἡ μετοχή, αἰδόμενος αἰδούμενος. τὸ δυϊκόν, αἰδομένω, αἰδουμένω. καὶ ἀποβολῇ τοῦ υ, αἰδομένω.

Αἰδῶ. ἰστέον ὅτι τὸ αἰδώ, ὅτε μὲν ἐστὶν εὐθεῖα, ὀξύνεται ὡς λητώ. καὶ σαπφώ. ὅτε δὲ αἰτιατική, περισπᾶται. ὡς τό, Τά τ' αἰδῶ ἀμφικαλύπτει. οὐ γὰρ ἀπ' ὀξυτόνου ἐστὶ τὸ ω, ἀλλ' ἀπὸ κράσεως. ἀπὸ γὰρ τοῦ αἰδόα, γίνεται αἰδῶ.

Αἰδοίους τοὺς οἰκέτας λέγει, διὰ τὸ ἀξιοῦν εἶναι αἰδοῦς ὡς ἐν τῷ, Τοὔνεκ' ἐγώ σ' αἰδήσομαι, οὐ διὰ τὸ φείδεσθαί σε τοῦ ὀδυσσέως, διὰ τὸ προσίεσθαί σε ὡς οἰκέτην. Αἰδεῖσθαι θ' ἱερῆα καί, Αἰδοῖος μέν τ' ἐστὶ καὶ ἀθανάτοις. προσδεκτὸς μετὰ αἰδοῦς. ἐξηγεῖται οὖν ὑπόθετη ἐστὶν αἰδοῖος. ἐπενεγκών, Σόν τε νόον, σά τε γοῦναθ' ἱκάνω. ἀντὶ τοῦ, ἱκετεύω.

Αἰδῶ, ἀπὸ τοῦ εἴδω γίνεται ἀείδω. καὶ κράσει, αἰδῶ. ἄξιον δὲ ἐστὶ ζητῆσαι, διὰ τί τὸ α μακρὸν ὄν, τρέπεται ἐν τῷ παρατατικῷ. καὶ ἔστιν εἰπεῖν, ὅτι εἰς τὰ τελειότατα μεγέθη δεῖ τὰς ἐπεκτάσεις γίνεσθαι. τὰ δὲ φύσει μακρά, τὸ τελειότατον ἔχει μέγεθος. οὕτω ζηνόβιος.

Αἰδοῖα, παρὰ τὸ αἰδοῦμαι. γυμνῶσαι γὰρ ἢ ὀνομάσαι ταῦτα αἰδούμεθα. ἢ παρὰ τὸ ἀνοιδαίνειν ἐν τῇ συνουσίᾳ ὀργῶντα. ἔστιν οὖν ἰωνικόν, οἰδοῖα καὶ τροπῇ τοῦ ο εἰς ἄλφα, αἰδοῖα. οὕτως ὠρίων.

Αἰδιέστατος, ἰστέον ὅτι τὸ ἀρχέστατον ὡς παρὰ αἰσχύλῳ ἐν πηνελόπῃ, οἷον, Ἐγὼ γένος μέν εἰμι κρὴς ἀρχεστάτου, καὶ τὸ αἰδιέστατον καὶ ἀφθονέστατον ποιητικὰ εἰσὶ κατὰ πάθος ἰώνων γινόμενα. τὰ γὰρ διὰ τοῦ ο συγκριτικὰ διὰ τοῦ ες προσφέρουσιν. οἷον, δικαιέστερος καὶ ἀρχέστερος. καὶ ἀφθονέστερος. ὤφειλον γὰρ τὰ προειρημένα, δικαιότερος εἶναι

καὶ ἀφθονώτερος. καὶ ἀρχαιότερος. οὕτω φιλόξενος εἰς τὸ περὶ συγκριτικῶν. ὥσπερ δὲ οὗτοι διὰ τοῦ ἐσχηματίζοντο, οὕτω καὶ οἱ ἀττικοὶ διὰ τοῦ ις. ποτίσταρον λέγουσι καὶ λαχίσταρον. καὶ ψευδίσταρον. καὶ λαλίστερον εὕρηκα. καὶ πτωχίστερον. ἀριστοφάνης, πλατανιστᾶς. ἵν' ἀπαλλαγῶμεν ἀνδρὸς ἁρπαγιστάτου. καὶ κλεπτίστατος. καὶ πληκτίστατος λέγουσιν. ὁμοίως καὶ διὰ τοῦ αι. ἰσαίτατα, ἀσμεναίστατα. προυργιαίτατα. ἡσυχαίτερον. ἀσμεναίστατα μὲν γὰρ, πλάτων ἐν ἀ πολιτικῶν. καὶ ἰσαίτερα. καὶ πλησιαίτερον. καὶ ἡσυχαίτατα. ξενοφῶν δὲ, καὶ φιλαίτατα.

Αἰέλιοι, οἱ ἀδελφὰς γυναῖκας ἔχοντες. οἱ δὲ, συγγενεῖς καλοῦσιν αὐτοὺς καὶ αἰελίους. τοῦ δὲ αἰεὶ, διότι καὶ εἰσὶν αἰ φωναί. αἱ εὑρήσεις εἰς τὸ ἀκτῖνα.

Αἰὲν, ἐπίρρημα χρόνου δηλωτικόν. σημαίνει δὲ τὸ διηνεκῶς. καὶ ἔστι ποιητικόν. τριχῶς δὲ οἶδε τοῦτο ὁ ποιητής. αἰὲν. αἰεί. αἰεί.

Αἰεὶ, ἀντὶ τοῦ νεωστί. Ἠΰτε ἔθνεα εἶσι μελισσάων, ἀδινάων πέτρης ἐκ γλαφυρῆς. αἰεὶ νέον ἐρχομενάων. σημαίνει οὖν, τὸ συνεχῶς προΐστασθαι. ὥσ δοκεῖν νεωστὶ αὐτὰς ἔρχεσθαι. καὶ γὰρ τοῖς μὲν ἄλλοις ζώοις ἡ πλῆσις, ἀποτεταμένη γίνεται. αἱ δὲ μέλισσαι, βραχεῖαν τὴν κίνησιν ποιούμεναι, ἐφίζουσι τοῖς ἄνθεσι. καὶ ἐπαρθεῖσαι, πέτονται πάλιν, καὶ πάλιν ἐφίζουσι. κατ' ὀλίγον οὖν ἡ πλῆσις, ὥσπερ ἄρτι ἐρχομένων γίνεται. ὥστε καὶ φαντασίαν ποιεῖν, ὡς ἄρτι ἐξορμᾶσθαι.

Αἰειγενέτησι, τοῖς ἀεὶ τελεσιουργοῦσιν. ἢ τοῖς ἀεὶ ὑπάρχουσιν. ἡ εὐθεῖα, αἰειγενέτης. ἐκ τοῦ ἀεὶ, καὶ τοῦ γενέτης. καὶ ἐκ τοῦ γείνω τὸ ὑπάρχω, γενῶ γενέτης. ἢ ἐκ τοῦ γείνω τὸ γεννῶ.

Αἰένοινος, ἀΐδιος οἶνος καὶ ἀδιάλειπτος.

Αἰέλουρος. τοῦτο οὐκ ἔστι πλεονασμὸς, ἀλλ' ἀντίθεσις. παρὰ γὰρ τὸ αἰόλον καὶ τὴν οὐρὰν, ἐτυμολογεῖται αἰέλουρος. οὕτως ἡρωδιανὸς περὶ παθῶν.

Αἰετὸς. οἷον, Αἰετὸς ἀργὴν χῆνα φέρων ὀνύχεσσι πέλωρον. καὶ, Αὐτίκα δ' αἰετὸν ἧκε τελειότατον πετεηνῶν. ἤτοι μέγιστον, ἢ ἐντελῆ σημεῖα φαίνοντα. γέγονε δὲ αἰετὸς, παρὰ τὸ ἀΐσσειν. ὅθεν καὶ ἀναλογώτερον οἱ ἀττικοὶ, ἀετὸς λέγουσι χωρὶς τοῦ ἰῶτα. ὡς κλαίω, κλάω. οὕτως ὠρίων.

Αἰετὸς, τὸ πτηνὸν ζῶον, καὶ τὸ ὀρόφωμα.

Αἴζηλον, ἀφαντον.

Αἰζύπη, ἡ γῆ.

Αἰζήροτον, ξηρασίαν.

Αἰζηὸς, νεανίας. παρὰ τὸ ἀεὶ, καὶ τὸ ζέω. ὁ ἀεὶ ζέων, καὶ ἀκμάζων κατὰ τὴν ἡλικίαν, γίνεται αἰζεός. καὶ κατ' ἐπαύξησιν τοῦ ε εἰς ἦτα, αἰζηός. καὶ ἀπὸ τοῦ ἀεὶ ζεῖν τὸ αἷμα τῆς ἡλικίας. τουτέστι, θερμὸν εἶναι. ἐπειδὴ τὰ εἰς ος λήγοντα καθαρὰ ἁπλᾶ κατὰ τὴν κοινὴν διάλεκτον τῷ ἦτα παραληγόμενα οὐκ ἔστιν εὑρεῖν, εἰ μὴ τὸ αἰζηός, καὶ πηός. καὶ αὐτὰ ἐκ πάθους. πρόσκειται κατὰ τὴν κοινὴν διάλεκτον, ἐπεὶ τὸ παληός, ἀρχηός, καὶ ἀχηός, βοιώτια εἰσὶ κατὰ τροπὴν τῆς ει διφθόγγου εἰς ἦτα. ὡς τὸ, ὅρκος. καὶ λύκηος, λακωνικά. πρόσκειται ἁπλᾶ, διὰ τὸ πολυηκός. εὐηκός. ἐχενηός. παρὰ γὰρ τὸ νηός συνετέθησαν. δεῖ γινώσκειν, ὅτι οὐκ ἔχει τὸ ἰῶτα προσγεγραμμένον. ἀπολλώνιος δὲ ὁ τοῦ ἀρχιβίου, σὺν τῷ ἰῶτα οἶδεν αὐτὸ, λέγων γεγονέναι ἐκ τοῦ αἰζήϊος. πρὸς ὃν ἀντιλέγει ὁ τεχνικός. ὅτι εἰ ἦν ἀπὸ τοῦ αἰζήϊος, οὐκ ὤφειλεν ὀξύνεσθαι, ἀλλὰ προπερισπᾶσθαι. ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα, εἰς περισπωμένην συνέρχονται. οἷον, ἀχελώϊος, ἀχελῷος. ὑπερώϊον, ὑπερῷον. λέγει δὲ ὁ τεχνικός, ὅτι ὥσπερ ἀπὸ τοῦ αἰπολός γίνεται αἰπόλιος κατὰ παραγωγήν, τοῦ αὐτοῦ σημαινομένου φυλαττομένου, καὶ ἀπὸ τοῦ κάπρος κάπριος, οὕτω καὶ ἀπὸ τοῦ αἰζηός αἰζήϊος.

Αἰήτης, ὄνομα κύριον κατὰ πλεονασμὸν τοῦ ι. αἰήτης γάρ. ἀπολλώνιος. Αἰήτη κείνην μὲν ἄφαρ διέχευαν ἄελλαι. ἔδει δὲ εἰπεῖν ἀήτα, ὡς ξεότης, ξεότα. ὀρέστης, ὀρέστα. ἀλλ' ἰωνικῶς ἔτρεψε τὸ ἄλφα εἰς ἦτα. ἦται, ἄνεμοι.

Αἰηνὲς, τὸ δεινὸν καὶ πολύστονον. ἀρχίλοχος. Προὔθηκε παισὶ, δεῖπνον αἰηνὲς φέρων. εἴρηται δὲ παρὰ τὸ αἰαί. ἢ, τὸ αἰώνιον. κατὰ τοῦτο γὰρ οὐκέτι φαγεῖν τὸν ἀποθνήσκοντα. οὕτω μεθόδιος.

Αἶθος. ἰστέον ὅτι, αἶθος ἐστιν ὁ αἴθων. παρὰ τὸ αἴθω, τὸ καίω. αἰθὸς δὲ, ὁ αἰθόμενος, τουτέστιν, ὁ καιόμενος. οὕτω φιλόξενος εἰς τὰ ῥηματικὰ αὐτοῦ.

Αἴθωνας, αἰετὸς αἴθων. πυρώδης καυστικός. καὶ αἴθωνι σιδήρῳ, τῷ λαμπρῷ καὶ ὀξεῖ. ἐπὰν γὰρ ὁ σίδηρος ὀξυνθῇ λαμπρότερος γίνεται. καὶ αἴθωνας λέβητας τοὺς πρὸς τὸ πῦρ ἐπιτηδείους. καλουμένους, ἐμπυριβάτας.

Αἰθούσησι στοαῖς, ταῖς καταλαμπομέναις. ὑπὸ τοῦ ἡλίου. ἢ αἴθουσαι, διὰ τὸ αἴθεσθαι ἐν αὐταῖς τοῦ χειμῶνος. ἢ διὰ τὴν τοῦ ἡλίου βολήν.

Αἰθιοπία, παρὰ τὸ αἰθίοψ. τοῦτο παρὰ τὸ αἴθω. τὸ δὲ, παρὰ τὸ δαίω τὸ καίω κατὰ τροπήν.

Αἴθοπα οἶνον, τὸν μέλανα. ἢ τὸν ποιοῦντα ἐρυθρούς. ἢ τὸν καυστικόν. ἐπὶ δὲ τοῦ χαλκοῦ, σημαίνει τὸν λαμπρὸν καὶ αἰθόμενον ὅτι νῦν ἔχοντα.

Αἴθουσαι, αἱ στυλωταὶ καθέδραι. περίστυλα ἔχουσαι. ἀπὸ τοῦ αἴθεσθαι ἐν αὐταῖς τὰ πυρά. οἷον, Πῦρ ἕτερον μὲν ὑπ' αἰθούσης εὐερκέος αὐλῆς. ἢ ὡς ἔνιοι καταλαμπόμεναι. σημαίνει δὲ τὴν καταφωτιζομένην στοάν. καὶ τὴν μέσην τῶν πυλῶν παστάδα.

Αἰθαλόεν, λέγεται τὸ καῦμα. καὶ ἡ πυρίκαυστος ὕλη τῶν ὀρῶν. καὶ αἴθοψ, ὁ διάπυρος, ἢ ἐρυθρός.

Αἰθύσσειν, καὶ ἀναιθύσσειν. ῥιπίζειν. πλεῖν. φέρεσθαι. ἀπὸ τῆς αἰθυίας τῆς ἐναλίας κορώνης. καὶ αἴθυσμα, ὁμοιότητα, ἢ σκίασμα. ἢ κίνημα.

Αἴθρα, τὸ κοινόν. καὶ ἀττικὸν αἴθρη. σημαίνει δὲ δύο. κύριον ὄνομα αἴθρη πιτθέως θυγάτηρ. καὶ τὴν αἰθρίαν, ἤγουν τὴν κατάστασιν τοῦ ἀέρος. ἤγουν τὴν εὐδίαν. ποίσον δ' αἴθρην.

Αἰθὴρ, παρὰ τὸ ἀεὶ θεῖν κυκλοφορικῶς. φησὶν ἀριστοτέλης περὶ κυρηναίων.

Αἰθίοψ, παρὰ τὸ αἴθω τὸ καίω. καὶ τὸ ὢψ ὠπός. ὃ σημαίνει τὸν ὀφθαλμὸν καὶ τὸ πρόσωπον ὁ κεκαυμένην ἔχων τὴν πρόσοψιν. λέγεται γὰρ ἐκεῖσε σφοδρότερον αἴθειν τὸν ἥλιον.

Αἰθέρα τὸν οὐρανὸν καὶ ἀέρα. καὶ ἐπὶ ἐμπρησμοῦ. καὶ αἰθερίως καθαρῶς.

Αἴθινα, ξύλα εὔκαυστα καὶ καπνός. αἴθινος, ὁ δριμύς. ἢ μέλας.

Αἰθόλικας, τὰς περὶ τὴν ἐπιφάνειαν φλυκτίδας.

Αἴθων, ἀνδρεῖος, ἢ πολεμικός. ἰσχυρός. ἢ ἐπὶ τοῦ χρώματος. τὸν δὲ λέβητα, ἀπὸ τοῦ αἴθεσθαι. οἱ δὲ, λαμπρὸν, ἢ μέλανα, καὶ πολιόν. τὸν δὲ λέοντα, τὸν κατὰ ψυχὴν ἔμπυρον. ἢ δασύν. ἢ μέγαν. καὶ λιμὸν αἴθωνα τὸν μέγα. ἢ ἑαυτὸν φονεύοντα.

Αἴθω, τὸ καίω, ἐκ τοῦ δαίω τὸ καίω. ὑπερβιβασμῷ αἴδω. καὶ τροπῇ τοῦ δέλτα εἰς θῆτα, αἴθω. ἐκ τούτου αἰθάλη ὁ καπνός.

Αἰθάλη, αἰθάλη ἐκαλεῖτο ἡ λῆμνος. ἴσως ἀπὸ τῶν ἀναδιδομένων αἰθαλῶν, ἐκ τῶν ἡφαίστου χαλκείων. αἰθαλίτης τὸ ἐθνικόν. ἀπὸ δὲ τοῦ αἰθάλη αἰθαλείτης. ὁ καπνώδης. αἰθάλη δὲ, παρὰ τὸ αἴθω τὸ καίω γέγονε.

Αἰθαλίδης. οἷον, αἰθαλίδην κήρυκα θοὸν, τῷ παρέστι μέλεσθαι ἀγγελίης. καὶ σκῆπτρον ἐπέτρεπεν ἑρμείης. ὁ αἰθαλίδης ἑρμοῦ παῖς ἦν ἑτερήμερος. καὶ μίαν ἡμέραν ὑπὸ τὴν ἅδην διῆγεν. ἑτέραν δὲ ἐπὶ τὴν γῆν.

Αἰθαλόεις, τὰ ἀπὸ τῶν εἰς λος βαρυτόνων ὑπὲρ δύο συλλαβὰς. μὴ ὄντα ἐθνικὰ, διὰ τῆς ει διφθόγγου γράφονται. αἰόλος αἰολεῖος ὁ ποικίλος. αἴθαλος αἰθαλεῖος. σημαίνει δὲ τὸν καπνόν. δαίδαλος, ὁ ποικίλος. δαιδάλεος. μέγαλος, μεγάλεος. ὡς ἀπὸ τοῦ μεγάλεος. βαρύτονα πρόσκειται, διὰ τὸ ὀμφαλός, ὀμφάλιος. μὴ ἐθνικὰ, διὰ τὸ εὐδημόλιος.

Αἰθύσσειν, ἀνασείειν. ἀνακαίειν.

Αἰθρηγενέτης, ὁ βορέας ὁ αἰθρίαν γεννῶν. ἢ ὁ αἰθρίους καὶ ψύχους αἴτιος.

Αἴθρῳ, τῷ ψύχει. ἀπὸ τῆς αἰθρίας. Αἴθρῳ καὶ καμάτῳ. εἰς τὴν ὀδύσσειαν. ἢ τὸ ἐξ αἰθρίας πνεῦμα. ὅτι ἐπιμελῶς ἐν ταῖς αἰθρίαις τὸ ψύχος γίνεται. ἄλλοι δὲ ἀγνοοῦντες γράφουσι λύθρῳ καὶ καμάτῳ. τῷ γὰρ ναυαγῷ οὔτε ἱδρὼς ἁρμόζει, οὔτε αἷμα. ἐκεχώριστο γὰρ ἀμφοῖν. ὑπὸ δὲ τῆς αἰθρίας ἐδέδαμαστο, ὡς ναυαγὸς ἀσκεπής. κατὰ δὲ τὸ ἀρσενικὸν τὴν αἰθρίαν εἶπεν αἴθρον. ὡς τὴν πύλην πύλον. οἷον, Ἐν πύλῳ ἐν νεκύεσσι βαλών. καὶ τὴν δείλην δείελον. Εἰς ὅκεν δείελος ἔλθῃ ὀψὲ δύων.

Αἴθρον, τὸ ὄρθριον ψύχος.

Αἰκίζω, ἀπὸ τοῦ ἀεικής, ὃ σημαίνει τὸν σκληρὸν καὶ ἄτοπον. ἀεικίζω. καὶ ἀποβολῇ τοῦ ε αἰκίζω. καὶ αἰκία, εἰς τὰς διαφόρους ὕβρεις.

Αἴκεν, ἀντὶ τοῦ ἐάν. ὁ ἐστὶ σύνδεσμος συναπτικός. κατὰ τροπὴν τοῦ ε εἰς α. οἱ γὰρ δωριεῖς, τὸ ε εἰς α τρέπουσι. τὸ γὰρ εἴθε, αἴθε λέγουσι. καὶ τὸ ἄρτεμις ἄρταμις. οὕτω καὶ τοῦτο πλεονασμῷ τοῦ κεν, αἴκεν γέγονεν.

Αἰκάλλειν, σαίνειν, ἀγαπᾶν, θωπεύειν.

Αἰκνὸν, δεῖπνον. δειλινόν.

Αἴλιος, ὁ ἀδριανὸς ὁ βασιλεὺς ἐκαλεῖτο. ὅθεν αἴλιοι χρηματίζουσι. καὶ αἰλία πόλις παλαιστίνης. ὁ πολίτης αἰλιώτης. ὅτι δὲ αἴλιος ἐκαλεῖτο, διογενιανὸς ἐν τοῖς χρονικοῖς φησίν. ἐκ τούτου οὖν αἴλιοι χρηματίζουσιν αἱ βασιλίδες. οὕτως ὠρίων.

Αἴλουρος, τὸ ζῶον παρὰ τὸ αἰόλλειν, καὶ ἀνάγειν τὴν οὐρὰν καὶ κινεῖν καὶ αἰλούριος, ῥίζα τις οὕτω καλουμένη.

Αἶλα. ἀντὶ τοῦ καλὰ κύπριοι.

Αἷμα παρὰ τὸ αἴθω τὸ καίω. ὁ παθητικὸς παρακείμενος ᾖσμαι. αἶσμα, καὶ αἷμα. δύο πάθη ἀνεδέξατο, ἔνδειαν καὶ μετάθεσιν τοῦ πνεύματος. ἔνδειαν μὲν, καθόλου γὰρ ἡ τρίτη συζυγία ἐν τοῖς ῥηματικοῖς ὀνόμασι τὸ σ γεννᾷ. πείθω, πεῖσμα. κλώθω, κλῶσμα. ἄδω, ἆσμα. οὕτως οὖν ἔδει καὶ παρὰ τὸ αἴθω αἶσμα. μετάθεσιν δὲ πνεύματος. ἡ γὰρ αι δίφθογγος πρὸ μὲν ἄλλου συμφώνου ψιλοῦται. πρὸ δὲ τοῦ μ δασύνεται. αἷμα, παρὰ τὸ αἱμάσσειν εἶναι τοῦ σώματος. ἐμπεδοκλῆς, Αἷμα γὰρ ἀνθρώποισι περικάρδιόν ἐστι νόημα. αἷμα ἡ ψυχὴ κατὰ ἐμπεδοκλῆν. τινὲς δὲ καὶ ὅμηρον οἴονται ταύτης εἶναι τῆς δόξης ἐν τῷ λέγειν. Ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν ἔσσυτ' ἐπειγομένη. οὐκ ἔστι δὲ ἀληθές. ὁ γὰρ ὅμηρος ἀθάνατον αὐτὴν καὶ ἔμφωνα εἶναι λέγει. διὸ καὶ τὰς τῶν τεθνεώτων ψυχὰς ὀδυρομένας παρεισάγει. Ὃν πότμον γοόωσα. καὶ ἐν τῷ ἀδικολαζομένας τῶν οἰκείων παραπτωμάτων ἕνεκα. σημαίνει δὲ δύο. τὴν γενεάν. ὡς τὸ Αἵματος εἰς ἀγαθοῖο καὶ αὐτὸ τὸ αἷμα. ὡς τὸ, Αἷμα δ' ἀνηκόντιζε διὰ στρεπτοῦ χιτῶνος.

Αἱματόεσσα. ὁ κανὼν πᾶσα γενικὴ διὰ τοῦ ντ κλινομένη τὸ τέλος τῆς γενικῆς τρέπουσα εἰς α, καὶ τὴν παραλήγουσαν φύσει μακρὰν ποιοῦσα τὸ θηλυκὸν ποιεῖ. αἱματόεις τὸ ἀρσενικόν. τὰ εἰς εις πόσας παραλήξεις ἐπιδέχεται, γ. τὰ εἰς εις ὀνόματα μετουσιαστικά, πλεονασμῷ τῆς τοῦ πρωτοτύπου γενικῆς συλλαβὴν βαρύτονα, καὶ ἢ τῷ η παραλήγεται, ἢ τῷ

ο̄. σπανίως δὲ τῷ ω̄, ὅτε ἐν ἐκτάσει ἐστίν. οἷον, τὸ εὐρώεις, ἐρώεις. κητώεις, κηώεις. καὶ τῷ μὲν ο̄, οἷον, αἱματόεις. τιμηόεις. σκιόεις. τῷ η̄. οἷον, τιμήεις. τελήεις. τὸ δὲ χαρίεις, ἀπὸ τοῦ χαριτόεις κατὰ συγκοπήν. ὅθεν τὸ χαριτόεις, ἀναλογώτερόν ἐστι τοῦ χαρίεις. καὶ πῶς οὐκ ἐγένετο αἱματόεσσα. φασὶν ὅτι ἵνα ἐν τῇ εὐθείᾳ τὰς μετοχὰς διακρίνωμεν. ἐκεῖναι γὰρ δι᾽ ἑνὸς σ̄ ποιοῦσι τὸ θηλυκόν. λαρείς, λαρέντος, λαρεῖσα. τούτου χάριν εἰς ε̄ ἐποίησε. χαρίεσσα τιμήεσσα. τὸ δὲ ἀμφιγυήεις, καὶ θυόεις, καὶ τὰ ὅμοια, κατὰ τροπὴν ἐγένοντο τοῦ ο̄, εἰς η̄. ἔστι γυῖον, καὶ σημαίνει τὸ μέλος. ἐξ αὐτοῦ γυόεις. καὶ τροπῇ τοῦ ο̄ εἰς η̄ γυήεις καὶ ἀμφιγυήεις. καὶ ἔστι θύον, καὶ σημαίνει μυρεψικὸν ἄνθος, ἢ βοτάνην. καὶ γίνεται ἐξ αὐτοῦ θυόεις. καὶ τροπῇ τοῦ ο̄, θυήεις. τὸ δὲ αἱματόεις ἐστὶ μετουσιαστικόν. μετέχει γάρ. τὰ γὰρ εἰς εις ἅπαντα μετουσιαστικά εἰσιν. ἔστιν ἰόεις. εἰ γράφεται διὰ τοῦ ι, ἤγουν ὁ μετέχων ἰοῦ. εἰ δὲ γράφεται διὰ τοῦ η ἀπὸ τοῦ ἠών, ὃ σημαίνει τὸν αἰγιαλόν. ἡ γενικὴ ἠόνος. ἐξ αὐτοῦ ἠονόεις. καὶ συγκοπῇ ἠόεις. ἔστι δὲ καὶ ποτήεις διὰ τοῦ η. γίνεται ἐκ τοῦ πότος, ποτόεις, καὶ ποτήεις.

Αἴλινον, τοῦτο ἐπὶ θρήνου ἐτίθετο. καὶ ἐν τοῖς ἐφυμνίοις δέ. γέγονε δὲ εἰς τιμὴν Λίνου τοῦ τῆς Καλλιόπης.

Αἰλόγοπος, ἀγριότροπος.

Αἱμάτη, μάχαιρα παρὰ Σοφοκλεῖ.

Αἱμάτια. ἀλλάντια.

Αἱμαλέα, μέλας ζωμός.

Αἱμαλεόν, ἀθηνῆ.

Αἱμακουρία, τὰ ἐναγίσματα τοῖς κατοιχομένοις.

Αἱμάξασθαι, φονεῦσαι.

Αἶμος, τράχηλος.

Αἵμοις, ὀβελίσκοις.

Αἱμασιά, ὁ ἐκ χαλίκων οἰκοδομημένος τοῖχος, ἤγουν φραγμός. ἀπὸ τοῦ αἱμάττεσθαι τοὺς ὑπερβαίνοντας ὑπὸ τῶν κειμένων ἀκανθῶν τοῖς σωροῖς τῶν λίθων, ὡς παρὰ Νικάνδρῳ. Τροχοὶ μάλα δ᾽ αἱμασιάς τε καὶ ἰλύος ἐρέοντες. ἔστι δὲ καὶ ῥητορικὴ ἡ λέξις. οὕτως ὠρίων.

Αἱμωδιᾶν, τὸ τοὺς ὀδόντας ὀδυνᾶσθαι μετὰ ζων. κνισμοῦ, ὡς αἱμάσσεσθαι παρὰ τὸ αἷμα. αἱμωδία γὰρ λέγεται ἡ τῶν ὀδόντων νάρκη.

Αἵμων, ὁ ἔμπειρος. αἵμονα θήρης. ἔστι δαίω τὸ γινώσκω ἢ μανθάνω. ἀφ᾽ οὗ δάσκαλος, καὶ διδάσκαλος. καὶ δαίαλος. καὶ πλεονασμῷ τοῦ δ̄, δαίδαλος. ὁ ἐπιστήμων. καὶ δαίμων ὁ αὐτοδίδακτος. καὶ κατὰ ἀποβολὴν τοῦ δ̄, αἵμων. ἔστι καὶ ὄνομα κύριον. Ἀλάστορά τε Χρομίον τε. Αἵμονά τε. κρείοντά τε. τούτου τὸ ὑποκοριστικὸν αἱμύλος. τὸ κτητικὸν, αἱμύλιος. καὶ αἱμυλίοις, τουτέστι κολακευτικοῖς, ἐμπείροις, καὶ συνετοῖς. παρασυλλογιστικοῖς. ἢ συνετικοῖς καὶ εὐνοϊκοῖς

καὶ Ἡσίοδος, αἱμύλα κωτίλλουσα. ποικίλλον. πυκνὸν πανοῦργον δολερόν. αἱμύλος, ἔμπειρος συνετός. κολακευτικός. ἐκ τοῦ αἵμων, ὃ σημαίνει τὸν εἰδήμονα, καὶ ἔμπειρον. καὶ αἱμυλίοισι κολακευτικοῖς λόγοις.

Αἰνείας, ὁ ἥρως ὁ υἱὸς Ἀγχίσου. παρὰ τὸ αἰνὸν τὸ δεινὸν γίνεται, αἰνέας καὶ αἰνείας. ἢ παρὰ τὸ αἶνος ὃ σημαίνει τὸν ἔπαινον. αἰνέας, καὶ αἰνείας. Ἰστέον δὲ ὅτι τὸ αἰνείας κλίνεται αἰνεία Δωρικῶς. ᾧ προστιθέντες οἱ Βοιωτοὶ τὸ ο̄ λέγουσιν αἰνείαο. οἱ δὲ Ἀττικοὶ ἐκτείνουσι μὲν τὸ ο̄ τῆς ληγούσης. συστέλλουσι δὲ τὸ α̅ εἰς ε̄, καὶ λέγουσιν αἰνείεω. πᾶσα γὰρ γενικὴ ὀνόματος εἰς φωνῆεν λήγουσα. καὶ περιττοσυλλαβοῦσα τῆς ἰδίας εὐθείας, ἢ ἐκτείνει τὴν παραλήγουσαν καὶ συστέλλει τὴν λήγουσαν. οἷον, καλοῖο σοφοῖο. ἢ ἐκτείνει τὴν λήγουσαν καὶ συστέλλει τὴν παραλήγουσαν, οἷον, Ἀτρείδεω. Πριαμίδεω. ἐν οἷς καὶ τὸ αἰνείεω. πρόσκειται εἰς φωνῆεν λήγουσα, διὰ τὸ Δημοσθένεος. οὐ λήγει γὰρ εἰς φωνῆεν ἡ γενική. πρόσκειται περιττοσυλλαβοῦσα, διὰ τὸ ἄνθρωπος, ἀνθρώπου. αὕτη γὰρ ἡ γενικὴ εἰς φωνῆεν λήγει. ἀλλ᾽ οὐ περιττοσυλλαβεῖ τῆς ἰδίας εὐθείας.

Αἶνος παρὰ τὸ ἰαίνω τὸ τέρπομαι, καὶ εὐφραίνομαι, καὶ διαχέομαι, ἴαινος ὁ διαχέων τὴν ψυχήν. καὶ ἀφαιρέσει τοῦ ἰῶτα, ὡς ἴηιος, ἤιος γέγονεν, αἶνος ὁ ἔπαινος. καὶ ῥῆμα ἐξ αὐτοῦ αἰνῶ. παρὰ τὸ ἰαίνω. οἷον, Ἰαίνετο δὲ φρένας εἴσω, καὶ Τοῖσιν ἀάνθη θυμός. ἔστι δὲ καὶ Αἶνος πόλις Θρᾴκης. αἰνὸς δὲ ὁ φοβερός. ἢ πονηρός. καὶ κακός. ἀφ᾽ οὗ αἰνόθεν, καὶ αἰνῶς, καὶ αἰνότατα.

Αἰνός, παρὰ τὸ δεινός. τροπῇ τοῦ ε̄ εἰς α̅. καὶ ἀποβολῇ τοῦ δ̄, αἰνός. ἢ παρὰ τὸ δαΐς. ὅπερ σημαίνει τὴν μάχην, γέγονε δάϊνος καὶ δαινός. καὶ ἀφαιρέσει τοῦ δ̄, αἰνός, ὁ μάχιμος. Ἀλλά μ᾽ αἰνὸν ἄχος ἔσσεται σέθεν ὦ Μενέλαε αἴκε θάνῃς. ἤγουν δεινὴ λύπη. οὕτως ὠρίων.

Αἰνῶς, ὡς τό Αἰνῶς ἀκτίνεσσιν ἐοικότες ἠελίοιο. καί, Αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν, ἀντὶ τοῦ λίαν. πάνυ, ἀληθές. σημαίνει δὲ καὶ τὸ ἐκπληκτικῶς.

Αἰναρέτη, ἡ κακῶς κεκτημένη τὴν ἀρετήν. αἰνὸν γὰρ τὸ χαλεπόν, καὶ δεινόν, καὶ κακόν. ἡ δὲ κλητικὴ ὡσαύτως ἔχει τὸ η̄ τῇ εὐθείᾳ. οὕτως εὗρον σχόλιον Ἰλιάδος π̄.

Αἰνίζομαι, ἐπαινῶ. οἷον, Πέρι δή σε βροτῶν αἰνίζομ᾽ ἁπάντων.

Αἴνεσις. παρὰ τὸ αἰνῶ αἰνέσω. τοῦτο παρὰ τὸ αἶνος. τοῦτο παρὰ τὸ ἰαίνω. ὁ μέλλων, ἰανῶ. ἐξ αὐτοῦ ἴανος. καὶ ἐν ὑπερβιβασμῷ καὶ κράσει, αἶνος. γνώμη. παροιμία. παράδειγμα. ἔπαινος. καὶ ἡ χειροτονία. καὶ ψήφισμα.

Αἰνεῖν, τὸ ἀναβράττειν τὸ ἀληλεσμένον σῖτον. τοῦτ᾽ ἔστιν ἀναδεύειν καὶ ἀνακινεῖν τὰς κριθὰς ὕδατι φυρῶντα. οἱ δὲ βλάπτειν, ἢ τὸ ταῖς χερσὶν ἀνατρίβειν τὰς ἐπτισμένας κάχρυς. καὶ αἰνεῖν, ἐπαινεῖν καὶ συγκατατίθεσθαι παρὰ Ὁμήρῳ. παρὰ δὲ Ἡσιόδῳ, τὸ παραιτεῖσθαι. Νῆα δ᾽ ὀλίγην αἰνεῖν. σημαίνει δὲ δύο. τὸν ἔπαινον. ὥστε, Ἀντιλόχου μέν τοι μέλος ἔσσεται αἶνος. ποτὲ δὲ γνώμης παραμύθιον. καὶ παραβεβλημένον λόγον πρός τι ὑποκείμενον. οἷον Αἶνος μέν τοι ἀμύμων, ὃν κατέλεξας.

Αἰνετός. ἐκ τοῦ αἰνέσω αἰνεστός, καὶ αἰνετός κατ᾽ ἔνδειαν τοῦ σ̄.

Αἴνιγμα, παραβολή. ἢ ὁ δεινὸς καὶ σκοτεινὸς λόγος. παρὰ τὸ αἰνίσσω τὸ ἐν παραβολῇ λέγω. τοῦτο παρὰ τὸ αἰνός. τὸ αι δίφθογγον. οἱ γὰρ Ἴωνες ἡνίκα ὕφεσιν ποιήσωνται συμφώνου, τότε καὶ τὸ παραλῆγον φωνῆεν τρέπουσιν εἰς α̅. οἷον δεινός, αἰνός. μέχρι, ἄχρις.

Αἰνὰ τεκοῦσα, ἡ κακῶς γεννήσασα.

Αἴνυμαι, τὸ ἀφαιρῶ. τὸ λαμβάνω. Ὅμηρος. Ὁ δ᾽ ἐξαίνυτο καμπύλα τόξα. καὶ αἰνύμενος, καὶ ἀπαινύμενος. παρὰ τὸ αἱρῶ αἱρνῶ. ὡς περῶ περνῶ. ἀφ᾽ οὗ περνάσκε. καὶ Πέρνας νήσων ἐπὶ τηλεδαπάων, καὶ ἀπὸ τούτου παράγωγον, αἴρνυμι, καὶ αἴρνυμαι. καὶ ἀποβολῇ τοῦ ρ̄, αἴνυμαι. οὕτω Μεθόδιος.

Αἴνυτο, ἔστι κτῶ. καὶ σημαίνει τὸ φονεύω. καὶ ὥσπερ παρὰ τὸ βῶ βαίνω, οὕτω καὶ παρὰ τὸ κτῶ κταίνω. καὶ ἀποβολῇ τοῦ τ̄, καίνω τὸ κόπτω. ἐξ αὐτοῦ αἴνω. καὶ κατὰ παραγωγὴν αἰνύω, καὶ αἴνυμι παράγωγον εἰς μι. τὸ παθητικὸν αἴνυμαι. ὁ παρατατικὸς αἰνύμην, αἴνυσο αἴνυτο. καὶ ἐξαίνυτο θυμόν.

Αἴξ ὄνομα ἀρσενικὸν τὸ ζῶον παρὰ τὸ ἀΐσσω τὸ ὁρμῶ ἀΐξω ἀΐξ. καὶ κατὰ συναίρεσιν αἴξ. καὶ Ὅμηρος. Ἴξαλου αἰγὸς ὁρμητικῆς. οὐδὲν εἰς ξ̄ περισπᾶται. τοίνυν αἴξ ὀξύνεται. τὸ δὲ θρᾶξ περισπᾶται καὶ τὸ ταῦξ, καὶ γλαῦξ. πάντων δὲ τῶν εἰς ξ̄ ληγόντων ὀνομάτων, τοῦτο μόνον διὰ τοῦ γ̄ κλίνεται.

Αἰξωνεύεσθαι, τὸ κατηγορεῖν. βλάσφημοι γὰρ οἱ Αἰξωνεῖς. δῆμος δὲ οἱ Αἰξωνεῖς τῆς Κεκροπίδος φυλῆς. καὶ Αἰξωνεία πόλις.

Αἰόλον, τὸ ταχὺ παρὰ τὴν ἄελλαν. καὶ πολύφον, καὶ ὀξύ, καὶ ταχύ.

Αἴολος, σημαίνει τρία. ἔστιν ὄνομα κύριον. οἷον Αἴολος Ἱπποτάδης. καὶ ἐπιθετικῶς. αἰόλος ὄφις, ὁ κατάστικτος καὶ ποικίλος. παρὰ τὸ αἴειν. ὃ δηλοῖ τὴν ἐνυπόστατον κίνησιν. ἔνθα αἴειν τὸ ὁρμᾶν καὶ ἀΐσσειν. οὕτω Μεθόδιος.

Αἰολόπωλος, σημαίνει τὸν ταχὺν καὶ εὐκίνητον ἵππον. προπαροξύνεται. ἐπειδὴ τὰ εἰς ος δισύλλαβα προπερισπώμενα ἐν τῇ συνθέσει προπαροξύνονται. οἷον, οἶκος ἄοικος. κοῦρος, ἐπίκουρος. οὕτως καὶ πῶλος, αἰολόπωλος. γίνεται δὲ ἐκ τοῦ αἰόλλω, ὃ σημαίνει τὸ κινῶ, καὶ τοῦ πῶλος. τοῦτο παρὰ τὸ ἐν τῷ πᾶν ἄλλεσθαι, πάλος. καὶ πῶλος. ἐξ οὗ καὶ αἴλουρος. δολερὸν γὰρ τὸ ζῷον.

Αἰολοπώλους. ταχυπώλους, ἢ ποικίλως ἱππαζομένους. παρὰ τὸ αἰολεῖν καὶ κινεῖν ἢ πολλούς. σημαίνει δὲ καὶ τὸν εὐκίνητον. οἷον κορυθαίολος.

Αἰολομίτραν, ποικίλην μίτραν ἔχοντα. ἐξ οὗ καὶ εὐκίνητον πολεμιστήν.

Αἰολεῖς. Ὀρέστης κατὰ χρησμὸν συνήθροισε πολλοὺς τῶν ὀνομαζομένων αἰολέων. ὡς μέν τινες, ὅτι πλεῖστοι ἦσαν Βοιωτοί. ὡς δὲ Μενεκλῆς, διὰ τὸ ἐκ πολλῶν ἐθνῶν συναθροισθῆναι. ἀπὸ τοῦ αἰολίζω. οὕτως ὠρίων.

Αἰονᾶν, καταντλεῖν. καταχέειν. λούειν.

Αἰπύν, δύο σημαίνει. αἶπυ βαρυτόνως ὄνομα πόλεως. αἰπὺν δὲ τὴν μεγάλην. ὡς τό, Φυγόντι περ αἰπὺν ὄλεθρον.

Αἴπυτος, ὄνομα κύριον. παρὰ τὸ αἰπύς, ὃ σημαίνει τὸν ὑψηλόν, τόπον. ὡς εὐρύς εὔρυτος, οὕτω καὶ αἰπύς, αἴπυτος.

Αἰπύς, ὁ χαλεπὸς καὶ σκληρός. ἢ ὁ ὑψηλός. παρὰ τὸ αἶπος ἀκρωτήριον τὸ σκληρόν. αἶπος γὰρ ὑψηλὸς τόπος. ἀκρωτήριον.

Αἰπεινός, παρώνυμον. καὶ αἰπεινὴ ὑψηλή. καὶ αἰπεῖα πόλις. ἀπὸ τούτου καὶ αἰπύκερως, ὁ ὑψηλὰ κέρατα ἔχων.

Αἰπά. Βράχε δ᾽ αἰπὰ ῥέεθρα. ὑψηλὰ ἢ δύσβατα. ἀπὸ μεταφορᾶς τῶν ἀκρωτηρίων. αἶπος γὰρ τὸ ἀκρωτήριον. παρὰ τὸ αἰπὺ αἰπέα καὶ κατὰ συγκοπὴν αἰπά. ὅθεν τὸ α̅ βραχύ.

Αἰπόλος. ἐκ τοῦ αἴξ αἰγός, καὶ τὸ πολῶ τὸ ἀναστρέφομαι, αἰγοπόλος. ἤτοι αἰγονόμος, ὁ περὶ τὰς αἶγας ἀναστρεφόμενος. καὶ κατὰ συγκοπὴν, αἰπόλος. ἢ παρὰ τὸ αἰπά, ὅ ἐστιν ὑψηλοὺς τόπους περιπολοῦντες. χαίρουσι γὰρ τοῖς ὑψηλοῖς. ὅθεν καὶ αἰπόλια τὰ αἰγονόμια, αἰπόλια ὄντα. διατί οὐκ ἀναβιβάζει τὸν τόνον, ἐπειδὴ τὰ παρὰ τὸ πολῶ μὴ μετὰ προθέσεως συντεθέντα, πρὸ μιᾶς ἔχει τὸν τόνον. οἷον ἀκροπόλος, θυηπόλος. μυροπόλος. αἰπόλος. πρόσκειται μὴ μετὰ προθέσεως, διὰ τὸ πρόσπολος, ἀμφίπολος.

Αἴρω, ἀπὸ τοῦ ἀείρω κατὰ κρᾶσιν τοῦ α̅, ε εἰς α̅ μακρόν, αἴρω. οὕτως εἰς τὸ ποσότητα. καὶ ἀπὸ τοῦ ἁλῶ, ὃ σημαίνει τὸ πορθῶ, πλεονασμῷ τοῦ ι̅, καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον. αἱρῶ ὁ μέλλων αἱρήσω. τὸ ἀπαρέμφατον αἱρήσειν. συντάσσεται αἰτιατικῇ. αἴρω σημαίνει ἕξ. τέσσαρα περισπώμενα. καὶ δύο βαρυνόμενα. αἱρῶ αἱρῶ τὸ πορθῶ. ὥς τό, Φῆ γὰρ ὅγ᾽ αἱρήσειν Πριάμου πόλιν, ἀντὶ τοῦ πορθήσειν. αἱρῶ τὸ καταλαμβάνω. ἐξ οὗ μή δέ σε λήθη αἱρείτω, καταλαμβανέτω. αἱρῶ τὸ διαχωρίζω, ἐξ οὗ διαιρῶ. αἱρῶ τὸ προκρίνω. ἐξ οὗ προαιροῦμαι, καὶ αἱρετικός. ταῦτα τὰ τέσσαρα περισπώμενα. βαρύνονται δὲ, αἴρω τὸ κουφίζω. ἐξ οὗ αἴρεται ἀπὸ τῆς γῆς τὸ μνημόσυνον αὐτοῦ. καὶ ἐπαίρω. καὶ αἴρω τὸ προσφέρω. ἐξ οὗ καὶ ἄρτος.

Αἰρεόμενον, αἴροντα, λαμβάνοντα. παρὰ τὸ αἱρῶ τὸ σημαῖνον τὸ λαμβάνω. κατὰ πλεονασμὸν, αἱρεῶ. αἱρεοῦμαι. αἱρεούμενον. καὶ κατὰ τροπὴν αἰολικὴν, ἐρεόμενον. Ἡσίοδος. ἐν ἔργοις, καὶ ἡμέραις. Καί σε ἔολπα γηθήσειν βιότου ἐρεόμενον ἔνδον ἐόντος.

Ἄρας, ἀντὶ δ' ἴα χελαὸς ὁ παθὼν, ὡς εἶδον τὸν νέκυν ἄραντας Ἀχαιούς. δεῖ γινώσκειν, ὅτι τὸ ι ἔχει προσγεγραμμένον κατὰ παράδοσιν. γυμνάσωμεν δὲ καὶ ἡμεῖς, καὶ δείξωμεν, ὅπου κωφὸν ὀφείλει ἔχειν τὸ ι. ἔστι γὰρ αἴρω ἀρῶ. τούτῳ τῷ λόγῳ τῆς παραληγούσης, τουτέστι κατὰ τὸν α ἀόριστον, ἦρα. ὡς μαίνω μανῶ ἔμηνα. καὶ λοιπὸν ἐν τούτου γίνεται ἡ μετοχὴ ἄρας χωρὶς τοῦ ι. λόγῳ δὲ ἀρχούσης ἐστὶν ἦρα ὁ πρῶτος ἀόριστος σὺν τῷ ι. ὥσπερ αἰτῶ ᾔτησα. καὶ αἰσχύνω, ᾔσχυνα. καὶ ὤφειλεν ἡ μετοχὴ ἐκφωνεῖν τὸ ι. τὰ γὰρ τοιαῦτα ἐν ταῖς μετοχαῖς ἐκφωνοῦσι τὸ ι. οἷον, ᾔτησα, αἰτήσας. καὶ αἰσχύνας. οὕτως οὖν καὶ ἦρα, αἴρας ὤφειλεν εἶναι, οὐκ ἄρας. ἄρα οὖν οὐκ ἐκφωνούμενον τὸ ι οὐκ ἔχει αὐτό. ἀλλ' ἐπειδή φησιν ὁ τεχνικὸς ὅτι ἡ παράδοσις ἔχει τὸ ι, σχηματιστέον αὐτὸ οὕτως. ἔστιν ἀείρω ὁ μέλλων ἀερῶ. ὁ ἀόριστος ἤειρα, ὥσπερ ἤγειρα. καὶ ἡ μετοχὴ ἀείρας. καὶ κρᾶσις τοῦ α καὶ ε εἰς α μακρὸν ἄρας. καὶ μένει τὸ ι μὴ ἐκφωνούμενον, διὰ τὸ μέγεθος τοῦ α. οὕτως ὁ Χοιροβοσκὸς εἰς τὸ ποσότητα.

Αἶρα, ἡ σφῦρα. Καλλίμαχος. οἷον, Λάθρῃ δὲ, παρ' Ἡφαίστοιο καμίνοις ἔστρεφον αἰράων ἔργα διδασκόμενοι. παρὰ τὸ ῥαίω τὸ σημαῖνον τὸ φθείρω. τὸ αὐτὸ δὲ καὶ ῥαιστὴρ λέγεται, τουτέστι ῥαῖα. καὶ ὑπερθέσει αἶρα. ἢ τὰ τυπτόμενα διαφθείρουσα. ἢ ἀπὸ τοῦ αἴρω. αἶρα σπέρμα ἐστὶ σιτῶδες ἐκ παραφθορᾶς τοῦ σίτου γινόμενον. παρὰ τὸ ῥαίω τὸ φθείρω. καὶ αἰρόπινον τὸ ἀραιὸν κόσκινον. παρὰ τὸ τὰς αἴρας ποιεῖν ἀπιέναι καὶ χωρίζειν. ἢ διὰ τὸ αἴρειν τὸν πίνον, ὅ ἐστι τὸν ῥύπον.

Αἰριπόλιοι δμωαί. Σιμωνίδης ἐκ τοῦ αἰριπόλιοι, συγκοπῇ τοῦ ο. οὕτως Ἡρωδιανὸς περὶ παθῶν.

Αἴσακος, ὁ τῆς δάφνης κλάδος, ἢ ὁ τῆς μυρσίνης. καλεῖται δὲ καὶ τὸ ζῷον ὁ ἐριθακὸς αἴσακος.

Αἶσα, ἡ εἱμαρμένη. ἡ μοῖρα. παρὰ τὸ δαίω τὸ μερίζω. ὁ μέλλων δαίσω, τουτέστι δαῖσα, ὡς βήσω βῆσα. καὶ πείσω πεῖσα ἡ πεισμονή. καὶ ἀποβολῇ τοῦ δ, αἶσα. ἡ ἑκάστῳ μεμερισμένη. Ἐπεί νύ τοι αἶσα μίνυνθά περ. ἢ παρὰ τὸ ἀεὶ ἰσχεῖν, ἡ μὴ μεταβαλλομένη. πᾶσι γὰρ ἴσως ἔπεισιν.

Αἴσιμος. ὥσπερ παρὰ τὸ πόρα, τουτέστι πόριμος. καὶ παρὰ τὸ ἀλκὴ ἄλκιμος, οὕτω καὶ παρὰ τὸ αἶσα αἴσιμος. οἷον, Πάντα κατ' αἶσαν ἔειπες. καὶ Ὅς ἐν αἴσιμος εἴη. οὕτως Ὠρίων.

Αἰσιμία, ἡ μαντεία, ἢ τὸ καθῆκον. παρὰ τὴν αἶσαν τὴν μοῖραν.

Αἴσανο ἥρως. παρὰ τὴν αἶσαν. δοκεῖ ἀπὸ πλεονασμοῦ γεγονέναι.

Αἰσυκτὴρ, ὡς μέν τινες, ὁ ἐντρεχὴς καὶ κενὸς μηχανῆς. τινὲς δὲ νεανίαν. Νίκανδρος νομέα. Ὅμηρος δὲ μᾶλλον ἐπὶ τοῦ κοσμίου καὶ καθήκοντος. ἀπὸ τοῦ αἴσης παράγωγον. Ὅμηρος γὰρ τὴν αἶσαν, ἀντὶ τοῦ καθήκοντος τάττει. αἶσα αἰσῶ, αἰσύω, αἰσυτήρ. καὶ πλεονασμῷ τοῦ κ αἰσυκτήρ. οὕτω Μεθόδιος.

Αἰσυμνῆται, οἱ βραβευταί. Ὅμηρος, οἱ τὸ ῥᾷστον ἀπονέμοντες τοῖς ἀγωνιζομένοις. αἰσιονεμῆται. λέγουσι δὲ καὶ τοὺς κριτὰς ἄρχοντας τῶν ἀγώνων. αἰσυμνήτης, βασιλεὺς ἐπιστάτης. ἄρχων, ἢ τύραννος. ἢ πάρεδρος. ἰδίως δέ φησιν Ἀριστοτέλης ὑπὸ Κυμαίων, αἰσυμνήτην τὸν ἄρχοντα λέγεσθαι. καὶ αἰσυμνᾷ χθονός. ἀντὶ τοῦ ἡγεῖται. Εὐριπίδης Μηδείᾳ.

Αἶσα, καὶ ἡ πήρα τὸ παλαιὸν οὕτως ἐκαλεῖτο. καὶ οἱ καρινοὶ τὸν αἶσαι.

Αἴσιον, μέτριον. δεξιόν. δίκαιον. ἀγαθόν. καὶ ὑπεραίσιον, ὑπέρμετρον.

Αἴσιμα, ἀγαθά. καθήκοντα, εἱμαρμένα.

Αἰσυμνητὴρ, ὁ βασιλεὺς ὁ τὸ καθῆκον ὑμνῶν καὶ σέβων. ἢ αἰσυμενετὴρ ὁ ἐν τῷ καθήκοντι μένων. οἱ δὲ, παρὰ τὸ αἰσυμνᾶν ὅ ἐστι τὸ αἰσίων μνήμην ποιεῖσθαι. ἢ ὁ αἰσιομήτης, ὁ αἴσια βουλευόμενος. ὁ γὰρ τύραννος τοὐναντίον.

Αἰσύμηθεν, ἀπὸ Αἰσύμης πόλεως Θρᾴκης. οἱ δὲ ἀπὸ βασιλέως γένους.

Αἴσυλος, ὁ ἄδικος καὶ ἁμαρτωλός. καὶ συνθέσει αἰσυλοεργός. παρὰ τὸ συλῶ, ἄσυλος πλεονασμῷ τοῦ ἐπιτατικοῦ α. ὡς τὸ ἀχανὲς πέλαγος, τὸ λίαν κεχηνός. καὶ πλεονασμῷ τοῦ ι, αἴσυλος. οἷον εἰ ὁ πάνυ συλῶν, καὶ ἁμαρτάνων. ἀντὶ δὲ τοῦ ι ἔστιν ὅτε καὶ τὸ η πλεονάζει. οἷον ἀήσυλος. πῆ μὲν αἴσυλος λέγεται πλεονασμῷ τοῦ η. πῆ δὲ ἀήσυλος πλεονασμῷ τοῦ ι, ἄσυλα γὰρ τὰ ἄγαν συλητικά, καὶ ἁμαρτωλά.

Αἴσυλα, Αἴσυλα ῥέζων. ἁμαρτωλά. παράνομα. ἄδικα. τὰ τῆς αἴσης ἐσυλημένα. παρὰ τὴν αἶσαν. καὶ μετὰ τῆς α στερήσεως, ἀαίσυλα τὰ μὴ καθήκοντα. μήτε πρέποντα. ἢ παρὰ τὸ ἄσω τὸ βλάπτω, ἄσυλος ὡς ἄξυλος. ὅθεν αὐτοῦ ἄσυλον. καὶ πλεονασμῷ τοῦ ι, αἴσυλον. καὶ αἴσυλα. καὶ ἀφαιρέσει τῆς στερήσεως αἴσυλα. οὕτως ἔχει καὶ τὸ ἐτώσιον. Ἐτώσιον ἄχθος ἀρούρης. παρὰ τὸ ἔτος ὅ ἐστι τὸ ἀληθές, τουτέστιν ἐτώσιον. καὶ συνθέσει τῆς α, ἀετώσιον τὸ μὴ ἀληθές. καὶ ἀφαιρέσει τοῦ α ἔμεινε τὸ αὐτὸ σημαινόμενον. οὕτω Μεθόδιος.

Αἶσχος, ἡ ὕβρις καὶ ἡ αἰσχύνη. παρὰ τὸ ἴσχω ἴσχος. καὶ μετὰ τῆς α στερήσεως ἄισχος. ἐν συναιρέσει, αἶσχος. ὃ οὐκ ἄν τις βούλοιτο ἔχειν. ἢ τὸ πάνυ ἴσχον τοὺς λαμβάνοντας αὐτό.

Αἰσχρός, ὁ αἰσχύνης μετέχων. αἶσχος, αἰσχρός. ὡς κῦδος κυδνός. ψῦχος, ψυχρός. καὶ ἀπὸ τοῦ θηλυκοῦ, σάθη, σαθρός. καὶ λύπη, λυπηρός. οὐ γὰρ ἀπὸ τοῦ αἰσχηρὸς συγκέκοπται.

Αἴσχιστος. αἰσχρός, αἰσχρότατος αἰσχρίων. καὶ ἀποβολῇ τοῦ ρ αἰσχίων, καὶ αἴσχιστος. ὥσπερ μακρὸς μακρότατος μακρίων, καὶ μακίων. καὶ κατὰ τροπὴν τοῦ α εἰς η μηκίων μήκιστος. μήκιστον καὶ κράτιστον.

Αἰσχύλος, ὁ ποιητὴς ὁ τραγῳδοποιός. παρὰ τὸ αἶσχος, αἰσχύλος. ὡς σιμὸς σιμύλος. περὶ δὲ αἰσχίνης αἰσχινάδης. παρὰ τὸ δεῖν αἰδήμονα. αἰσχίνης αἰσχίνου. ὁ κανών. τὰ διὰ τοῦ ινης καὶ ονης βαρύτονα κύρια. εἰς ου ἔχει τὴν γενικήν. οἷον λεπτίνης λεπτίνου. φιλοκρίνης, φιλοκρίνου. μηριόνης μηριόνου. κεβριόνης, κεβριόνου. τελώνης τελώνου.

Αἴθησις, παρὰ τὸ αἰαθῶ. τοῦτο παρὰ τὸ αἰάθω. τοῦτο παρὰ τὸ αἴθω.

Αἴτιος. παρὰ τὴν ἄτην, ὅ ἐστι τὴν βλάβην. αἴτιος πλεονασμῷ τοῦ ι. τὸ τι, ι. τὰ ἀπὸ ἁπλῶν διὰ τοῦ ιος γινόμενα ὀνόματα ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ι, τουτέστιν. ἄρκος, ἄρκιος. αἰτῶ, αἴτιος. ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι. πρός τι ἔχον. καὶ πρὸς ἕνα ἔχει τὴν σχέσιν, πρὸς τὸ αἰτιατόν. τὸ γὰρ αἴτιον τοῦ αἰτιατοῦ ἐστιν αἴτιον. ὥσπερ ὁ χαλκὸς τοῦ ἀνδριάντος ἐστὶν αἴτιος. καὶ τὰ μέρη τοῦ λόγου ἐστὶν αἴτια. καὶ ὁ πατὴρ τοῦ υἱοῦ.

Αἰτῶ, ἐν τούτῳ, τὸ ζητῶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀτῶ. καὶ πλεονασμῷ τοῦ ι αἰτῶ. τὰ μὲν ἐνεργητικά, ἀντὶ τοῦ μὴ ἔχοντας ἀποδίδοναι. τὰ δὲ παθητικὰ ἀντὶ τοῦ ἀποδίδοντας. αἰτήσομαι.

Αἴτνη, ὄρος Σικελίας. παρὰ τὸ αἴθω τὸ καίω. αἴτνη. ὡς φάγω. φάτνη. πήσσω πάχνη.

Αἰτωλοί, οἱ Καλυδώνιοι. ἐπεὶ καὶ οἰκουρῆτες αἰτωλοί. Καλυδὼν δὲ πρώτη πόλις τῆς Αἰτωλίας.

Αἰχμή, ἐν τῷ αἰάσσω αἴχη καὶ κράσει αἰχή. καὶ πλεονασμῷ τοῦ μ, αἰχμή. ὡς δράξω δραχμή, τὸ λεπτὸν νόμισμα. ἐτυμολογεῖται δὲ παρὰ τὸ αἷμα χέειν. καὶ παρὰ τὸ αἰχμή, αἰχμῶ, αἰχμᾷς, αἰχμάσσω τὸ πολεμῶ.

Αἰχμητής, ἀπὸ τοῦ αἰχμάζω. ὁ μέλλων αἰχμάσω. αἰχμάτης. καὶ τροπῇ τοῦ α εἰς η, ὁ πολεμικός. εἰ γὰρ ἦν παρώνυμον ἀπὸ τοῦ αἰχμή, ὤφειλε βαρύνεσθαι. ὥσπερ ὑπήνη ὑπηνήτης. καὶ κορύνη, κορυνήτης. τὰ δὲ ἀπὸ τῆς β συζυγίας τῶν περισπωμένων γινόμενα ὀνόματα ὑπὲρ δύο συλλαβὰς, ὀξύνεται. οἷον ἐράστης. θεατής λωβητής. δαπανητής. τὸ δὲ πεδήτης, καὶ νομήτης, καὶ ἀλήτης, οὐ παρὰ ῥῆμα, ἀλλὰ παρὰ τὸ πέδη, καὶ νομή, καὶ ἄλη. τὰ δὲ τοιαῦτα βαρύτονα δισύλλαβα ὀνόματα, δῆλον ὅτι ἀπὸ μονοσυλλάβου περισπωμένου τῆς β συζυγίας ἐκλίνοντο, καὶ βαρύνονται. οἷον, κτῶ κτήτης, φιλοκτήτης. βῶ, βήτης διαβήτης. θλῶ, θλάτης. πρῶ, πράτης. αἰχμητής, αἰχμητοῦ. ἡ εὐθεῖα τῶν πληθυντικῶν αἰχμηταί, ἡ γενικὴ τῶν αἰχμητῶν. καὶ δωρικῶς, αἰχμητάων. ὁ κανών. τὰς εἰς ων γενικὰς τὰς ἀπὸ τῶν εἰς αι εὐθειῶν γινομένας οἱ Αἰολεῖς διὰ τοῦ αων προφέρουσιν. οἷον, μέλισσαι, μελισσάων. μέλαιναι μελαινάων. οἱ δὲ Δωριεῖς διὰ τοῦ εων. πύλαι πυλέων. ὡς ἀπὸ τῶν πυλέων ἐξέσυτο.

Αἰχμάλωτος, παρὰ τὴν αἰχμὴν, ὅ ἐστι τὸ ξίφος, καὶ τὸ ἁλῶναι ὅ ἐστι τὸ πορθῆσαι. οὕτω Μεθόδιος. λέγεται καὶ αἰχμάλωτος, καὶ αἰχμόλετος.

Αἶψα, ταχέως. εἴρηται κατὰ στέρησιν τοῦ ἴψαι, ὅ ἐστι τὸ βλάψαι. τὸ γὰρ βλάψαι, καὶ ἐμποδίζειν ἀνάγκη. τὸ δὲ ἀνεμπόδιστον ταχύ, τουτέστιν. ἢ παρὰ τὸ ἅψω, αἶψα. δοκεῖ γὰρ τὰ ταχέως γινόμενα ἀλλήλων ἅπτεσθαι κατὰ τὴν συνέχειαν. καὶ αἰψηρὸν ταχύ.

Αἰὼν, ἡ ζωὴ θηλυκῶς. Ὅμηρος. Αὐτὰρ δὲ φίλης αἰῶνος ἀμερθῇς. παρὰ τὸ ἄειν τὸ πνεῖν. καὶ ἄημα τὸ πνεῦμα. καὶ ἀήτης, ὁ ἄνεμος. καὶ ἔμπνουν δὲ τὸν ζῶντα φαμέν. ἢ παρὰ τὸ ἐν αἰῶνι τῆς ζωῆς. οἱ γὰρ ζῶντες ἐν χρόνοις καὶ ἔτεσι διάγουσιν. ἢ παρὰ τὸ ἀεὶ ὤν. καὶ κράσει τοῦ ε καὶ α καὶ ἐν συναιρέσει αἰών. περιεκτικόν ἐστιν. ὅ ἐστι. τὴν ζωὴν τοῦ ἀνθρώπου. ὥστε, Ἑπτὰ μὲ καὶ λείποι αἰὼν ἐν πολ. αἰὼν, καὶ ὁ τῶν χιλίων ἐτῶν ἀριθμός. αἰὼν καὶ ὁ ἀΐδιος καὶ ὁ ἀτελεύτητος, ὥστε τῷ θεολόγῳ δοκεῖ. αἰὼν γὰρ οὔτε χρόνος οὔτε χρόνου τι μέρος. οὐδὲ γὰρ μετρητός. αἰὼν λέγεται καὶ οἱ ἑπτὰ αἰῶνες, ἀπὸ τῆς τοῦ οὐρανοῦ καὶ γῆς κτίσεως μέχρι τῆς κοινῆς τῶν ἀνθρώπων ἀναστάσεως. αἰὼν λέγεται, καὶ ὁ νωτιαῖος μυελός. ὥς καὶ Ἱπποκράτης. Ἄνθρωπός τις νοσήσας τὸν αἰῶνα, ἑβδομαῖος ἀπέθανεν.

Αἰωρῶ, ἀπὸ τοῦ αἴρω. πλεονασμῷ τοῦ ω αἰωρῶ τὸ κρεμῶ. καὶ αἰώρα ἀπὸ τοῦ αἴρω αἶρα. πλεονασμῷ τοῦ ω, αἰώρα. ἐξ οὗ καὶ αἰώρημα. καὶ ἐναιώρημα ὡς περισπώμενον. καὶ αἰωρούμενοι μετεωριζόμενοι.

Αἴγδην, ἐπίρρημα μεσότητος. ἔστι δὲ τὸ ὁρμητικῶς. οἷον, Ἀΐγδην μάσσας δὲ σὺν ὀστέω ἶνας ἔκερσε. παρὰ τὸ ἀΐσσω. τὸ ὁρμῶ. καὶ συναΐγδην. Ἡσίοδος, ἀντὶ τοῦ ὁμοῦ ὁρμῶν συνέλαβεν.

Αἴδηλον, ἀφανιστικόν. ἐπεὶ αὐτὸς ἐγείναο παῖδ' ἀΐδηλον. καὶ πῦρ ἀΐδηλον. ἢ βίαιον στυγνὸν καὶ πολὺ καὶ μέγα, καὶ φορτικόν.

Αἴδηλος. οἷον, Κεῖνος δ' αὖτ' ἀΐδηλος ἀνὴρ, ὁ ὀλοθρευτικός. οὐ γὰρ ἄξιος Ἀριστόνικος δηλοῦν λέγων τὸν ἀδηλοποιόν. καὶ παρὰ τῷ ποιητῇ ἀΐδηλον ἄρηα. τὸν ὀλέθριον. ἢ αὐτὸς ἀΐδηλος ἐσόμενος. καὶ ὁ μὲν Μεθόδιος λέγει εἶναι ἀπὸ τοῦ ἰδῶ ἴδηλος καὶ ἀΐδηλος. ὁ δὲ Χοιροβοσκὸς εἰς τὸ περὶ ὀρθογραφίας αὐτοῦ λέγει εἶναι ἀπὸ τοῦ ἀϊδνὸν τὸ σημαῖνον, τὸ ἀφανιστικὸν διὰ τοῦ ι, ἀϊδνόδηλος. καὶ κατὰ συγκοπὴν ἀΐδηλος. ὁμοίως καὶ τὸ μὲν ἀΐδηλον θῆκε θεός, ἀπὸ τοῦ ἀϊδνόδηλον τουτέστιν. ὁ δὲ Ἡρωδιανὸς εἰς τὸ περὶ παθῶν λέγει αὐτὸ εἶναι οὕτως. ζῆλος, ἄζηλος πλεονασμῷ τοῦ ι, καὶ τροπῇ, αἴδηλος.

Ἀϊδνός. εἴδω τὸ βλέπω καὶ φαίνω. ῥηματικὸν ὄνομα ἰδνός. καὶ μετὰ τοῦ στερητικοῦ ἄλφα, ἀϊδνός. ὡς στίλβω, στιλπνός. ἐξ οὗ καὶ ἀϊδωνεὺς, ὁ ᾅδης, εἰς ὃν οὐκ ἔστιν ἰδεῖν. Ἡσίοδος ἐν θεογονίᾳ. Αὐτὰρ ὁ δ' ἤμηρος πολυφέρβης εἰς

λέχος ἦλθεν. ἣ τέκε περσεφόνην, ἣν αἰδωνεὺς ἥρπασεν. ἧς παρὰ μητρός. καὶ πηλὸς αἴδνης. ὁ ἀστήρικτος, ἅτε τέλμα. παρὰ τὸ ἵζω. ἢ ἀφανής.

Αἴδνες, τὸ ἀφανὲς καὶ μὴ ὁρώμενον. ὡς ἡσίοδος ἐν θεογονίᾳ. φλὸξ δὲ κεραυνωθέντος ἐπέσσυτο τοῖο ἄνακτος οὔρεος ἐν βήσσῃσιν ἀΐδνῃς παιπαλοέσσης. αἴδες. καὶ πλεονασμῷ τοῦ ν αἴδνες. βαθύ. σκοτεινόν. μέλαν, ἀφανιστικόν.

Αἰώρα, ἑορτὴ ἀθηνᾶς. ἣν καλοῦσιν, εὔδειπνον. λέγεται γὰρ ἠριγόνην τὴν αἰγίσθου καὶ κλυταιμνήστρας θυγατέρα σὺν τυνδάρεῳ τῷ πάππῳ ἐλθεῖν ἀθήναζε κατηγορήσουσαν ὀρέστου. ἀπολυθέντα δὲ, ἀναρτήσασαν ἑαυτὴν προστρόπαιον τοῖς ἀθηναίοις γενέσθαι. κατὰ χρησμὸν δὲ ἐπ' αὐτῇ συντελεῖσθαι τὴν ἑορτήν.

Αἴδρυτον, κακόν. τὸ κατάρατον, ὃ οὐκ ἄν τις αὐτῷ ἱδρύσαιτο.

Αἰδώνια. θανάσιμα.

Αἴδος κυνέη. νέφος τι καὶ ἀορασία. ἢ περιφραστικῶς τὴν περικεφαλαίαν. ἐν αὐτῇ γὰρ τὸ πρόσωπον ἔκρυψεν ἡ ἀθηνᾶ, διὰ τὸ μὴ ὁρᾶσθαι ὑπὸ τοῦ ἄρεος.

Αἴδι, σέλευκος μὲν ἀπὸ εὐθείας τῆς αἲς φησίν. ἀλλὰ τὰ εἰς δος λήγοντα ὀνόματα ἀπὸ βαρυτόνων, εὑρίσκομεν παρ' ἴωσι καθ' ὑφαίρεσιν τοῦ δ λεγόμενα. οἷον, μήνιδος, μήνιος, πάριδος, πάριος. τὴν δὲ αἴδος γενικήν. οὐδεὶς ἰώνων αἴος εἶπεν. οὐκ ἄρα ἡ εὐθεῖα αἲς. εἴδω τὸ βλέπω. ὁ μέλλων εἴσω ὄνομα ῥηματικὸν, ἲς διὰ τοῦ ι. καὶ μετὰ τοῦ στερητικοῦ α, αἲς. ἐν ᾧ οὐδέν ἐστιν ὁρᾶν. καὶ ἡ γενικὴ αἴδος.

Αἴδης, παρὰ ἀπὸ τοῦ ἴδω ἴδης καὶ κατὰ στέρησιν αἴδης, ὁ ἀγνώστους ποιῶν. ἡ γενικὴ αἴδου. ἡ δοτικὴ αἴδῃ. καὶ κατὰ μεταπλασμὸν, αἴδι. ὥσπερ ἀπὸ τῆς ὑσμίνη δοτικῆς κατὰ μεταπλασμὸν ὑσμῖνι. καὶ λιτῷ, λιτί. τὸ δὲ αἴδης τὸ ἐπίθετον ὀξύνεται. τὸ οὐδέτερον αἰδές. οὕτως εὗρον ἐν ἐπιμερισμοῖς.

Αἶδροι. αἴδριες, ἀμαθεῖς, ἄπειροι. ἡσίοδος, αὐτὰρ ἀποχήσεται ἀλληχόρου αἴδρις ἐών. καὶ ὅμηρος, αἴδρει φωτὶ ἐοικώς. ἔστι ῥῆμα εἴδω τὸ ἐπίσταμαι. ὁ μέλλων εἴσω. ὁ μέσος μέλλων εἴσομαι. οἷον, εἴσομαι ἤ κεν μοι τυδείδης. ῥηματικὸν ὄνομα εἴδις. πλεονασμῷ τοῦ ρ καὶ ἀποβολῇ τοῦ ε ἴδρις. καὶ μετὰ τοῦ στερητικοῦ α, αἴδρις. ἡ γενικὴ, αἴδρεως, ὡς ὄφις ὄφεως. καὶ αἴδρει καὶ αἴδρι. οὐ γὰρ δεῖ διὰ τοῦ δ. οὐ γάρ ἐστι παρώνυμον μακροκατάληκτον. ὥστε ἁμάρτημα τὸ παρὰ τῇ σαπφοῖ πολυίδριδι. καὶ παρὰ σοφοκλεῖ ἴδριδα. καὶ παρὰ φρυνίχῳ ἴδριδες. οὕτως εὗρον σχόλιον ἐν ὑπομνήματι ἰλιάδος. ἡσίοδος, ἀσύνετος καὶ ἀναίσθητος. καὶ αἰδροσύνη. ἀμαθία.

Αἰδρείη, ἀπειρία. Οὐ γάρ τις μεθίησιν ἑκὼν ἀέκοντα δίηται, οὐδὲ τ' αἰδρείῃ. ἐπεὶ οὐδ' ἐμὲ νήϊδά γ' οὕτως.

Αἶκας. ὠκείας ἀνέμων αἴκας πνοὰς ἀναφορὰς. ἀπὸ τοῦ ἀΐσσω ῥήματος. τὸ δὲ αἶκας καὶ προπαροξύνεται, καὶ ὀξύνεται. ἀπὸ μὲν τοῦ αἰκὴ ὀξύνεται. αἰκὰς ὀξύτονον, ὡς ἰωκὴ ἰωκάς. ἀπὸ δὲ τοῦ ἀΐξ, αἶκας. καὶ προπαροξύνεται. αἶκες δὲ αἱ ἐν τῷ πολέμῳ κλίσεις ἐφ' ἑκάτερα. ἀπολλώνιος δὲ, τὰς αὐτὰς ἐπιπνοίας τῶν ἀνέμων. οὕτως εὗρον εἰς τὰ ἀργοναυτικὰ ἀπολλωνίου. καὶ ἰλιάδος ο. Οὐδ' ἄρα τίς τε τόξων αἶκας ἀμφὶς μένον, ἀντὶ τοῦ περιϊέμενον. ἢ δὲ διώξεις. ὁρμὰς φορὰς. κινήσεις.

Αἴλιον. κακοίλιον. οὐ γὰρ πλεονασμός.

Αἶξας, ἀΐσσω. καὶ ὁ παρατατικὸς ἀΐσσον. οὔτε χρονικῶς αὐτὸ ηὔξηται, οὔτε συλλαβικῶς. τὸ γὰρ ἀΐσσω πάντοτε ὁ ποιητὴς μακρὸν ἔχει.

Αἶον, ἐπεὶ φίλον αἶον ἦτορ. ἐπεὶ ἀφ' οὗ ἀπέπνευσα τὴν ψυχὴν, ἢ ᾐσθόμην ἀλγήσας τὴν ψυχήν. αἶον γὰρ τὸ ᾐσθόμην. ἀΐω. ἡσίοδος. εὖ δ' ἀΐε δίκης, ἀντὶ τοῦ ἄκουε. ἢ ὡς ἀπὸ τοῦ ἀκταίων γίνεται ἀκταῖος. τοῦ αὐτοῦ σημαινομένου φυλαττομένου, καὶ τῆς αὐτῆς παραληγούσης. καὶ κόρσων κόρσος ὁ κυρίσκος, οὕτω ἀπὸ τοῦ αἴω, αἶος.

Ἄϊστος, ὁ ἄγνωστος. καὶ ἀφανής. καὶ ἀϊστῶσαι καὶ ἀϊστωθῆναι. γέγονε δὲ ἀπὸ τοῦ ἴσημι δωρικοῦ ἴσαμι, ἰστός. ὡς δίδωμι δοτός. καὶ ἄϊστος κατὰ στέρησιν. ἀπὸ δὲ τοῦ ἰστός, γίνεται ἰστῶ τὸ γινώσκω. παράγωγον ἴσημι ψιλοῦται. ὅθεν καὶ ἐπίσταμαι. ἴσημι ἴσαμαι ἴσαται ἰστός. καὶ ἄϊστος. οὕτω μεθόδιος. ὁ δὲ φίλων εἰς τὸ ῥηματικὸν αὐτοῦ οὕτως. ἀπὸ τοῦ εἴδω ἰστός. ὡς εἷμαι, ἱμάτιον.

Ἀϊστῶσαι, ἀπὸ τοῦ ἀϊστῶ. τοῦτο παρὰ τὸ ἰστῶ. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀϊστῶ. καὶ ἀϊστῶσαι, καὶ ἀϊστώσειαν, ὡς τύψειαν. τὰ γὰρ μὴ ἱστάμενα ἀφανῆ εἰσιν. σημαίνει δὲ τὸ ἀφανίσαι καὶ διαχέαι. καὶ ἀϊστοῖ, πορθεῖ. ἀπολλύει. καὶ ἀϊστοσύνη ἡ ἀπώλεια.

Αἴθω, ὃ δ' ἔβραχε θυμὸν αἴθων. ἐκπνέων. καὶ αὐτὰρ ὁ θυμὸν αἶθε, καὶ ἤρυγεν. ἀπὸ τοῦ αἴω ῥήματος σημαίνοντος τὸ ἀκούω, παράγωγον ὄνομα ἄϊστος. ἐκ τούτου γίνεται ἀϊστῶ. καὶ τροπῇ τοῦ τ εἰς θ, αἴθω. ἐξ οὗ ἡ μετοχὴ αἴθων. καὶ κατὰ συναίρεσιν αἴθων. οὕτω καὶ ἀπὸ τοῦ ἀγείρω γίνεται ἐγερτός. καὶ κατὰ τροπὴν ἐγέρθω ῥῆμα. ἢ καὶ ἀπὸ τοῦ αἴω, ἐν παραγωγῇ αἶθος. ὡς ὅρματος, ὅρμαθος. ἀφ' οὗ ῥῆμα αἴθω.

Αἰχθῆναι, ἐπώσιν αἰχθῆναι. ὁρμηθῆναι.

Αἴτης, ὁ ἐρώμενος. παρὰ τὸ ἄειν. ὅ ἐστι πνεῖν. ὁ εἰσπνέων τὸν ἔρωτα τῷ ἐραστῇ. φασὶ γὰρ γίνεσθαι τὸν ἔρωτα ἐκ τοῦ εἰσπνεῖσθαι ἐκ τῆς μορφῆς τοῦ ἐρωμένου. ὅθεν καὶ εἰσπνήλας καλοῦσι τοὺς ἐραστὰς παρὰ λάκωσιν. ἢ αἴτης κυρίως, ὁ μέσος. ὁ μήτε θρασὺς, μήτε ἰταμός. ἴτης οὖν αἴτης, ὁ μὴ ἴτης, ὅ ἐστιν ἰταμός. ἀλλὰ θυμήρης, ὡς ὁ ἐραστής. ἢ ὁ ἅμα τινὶ ἰών. τοῦ α ὁμοῦ σημαίνοντος. οὕτω μεθόδιος.

Αἰτίας χορδὰς. σημαίνει δὲ τὰς ἐρωτικάς. ἡρωδιανὸς προπαροξυτόνως λέγει, ἀπὸ τοῦ αἴτις αἴτιδος αἴτιδας. καὶ ἀποβολῇ τοῦ δ. οἱ δὲ περὶ ὦρον λέγουσιν, ὅτι εἰ ἦν οὕτως, οὐκ ὤφειλεν ἀποβάλλειν τὸ δ. τὰ γὰρ ἀπὸ τῶν εἰς ις θηλυκῶν οὐκ ἀποβάλλουσι τὸ δ. ἄμεινον οὖν παροξύνειν ἀπὸ τοῦ αἴτης.

ΤΟ ΑΛΦΑ, ΜΕΤΑ ΤΟΥ ΚΑΠΠΑ.

Ἄκαινα, ἀπολλώνιος. ἐξαπίνης ὥστις τε πελασγίδι νύσσεν ἀκαίνῃ. ἔστι δὲ ῥάβδος τὸ καλούμενον βούκεντρον. ὠνόμασται δὲ οὕτως. νεῖλος ὁ τῶν αἰγυπτίων ποταμὸς, ἀναβλύζων καὶ ἀνερχόμενος διὰ τοῦ θέρους, τὰ ὅρια τῆς τῶν αἰγυπτίων γῆς τῇ ὑγρασίᾳ λύων, καὶ μιγνύων ἀπώλλυεν. ὕστερον δὲ ῥάβδον λαβόντες, τὰς ἑαυτῶν γᾶς ἐγεωμέτρουν πρὸ τῆς ἀναβάσεως τοῦ ποταμοῦ, καὶ ἐσημειοῦντο. καὶ πάλιν μετὰ τὴν ἀπόβασιν τοῦ ποταμοῦ τῇ αὐτῇ ῥάβδῳ ἐγεωμέτρουν. καὶ γεωμετροῦντες ἕκαστος τὴν ἰδίαν γῆν ἀπελάμβανε, δίχα μάχης καὶ φόνου. ἐκαλεῖτο οὖν ἡ ῥάβδος ἐν ᾗ ἐγεωμέτρουν, ἄκαινα. ἡ στεροῦσα αὐτοὺς τοῦ καίνειν ἀλλήλους, ὅ ἐστι φονεύειν. λέγεται δὲ ὅτι θεσσαλός τις εὑρεθεὶς ἐν αἰγύπτῳ, ἐπενόησε τῇ ῥάβδῳ γεωμετρεῖν τὴν γῆν. ἔνθα καὶ πελασγίδι εἶπεν, ἀντὶ τοῦ θεσσαλικῇ. ἐργατίνης δὲ, ὁ γεωργός.

Ἀκαδήμιον, γυμνάσιον. τόπος ἐστὶ πρὸ τοῦ ἄστεος ἀπὸ ἀκαδήμου ὠνομασμένος. διὸ καὶ ἀκαδημία τότε ἐκαλεῖτο. διττὴ δὲ ἡ ἀρχὴ τοῦ ὀνόματος. οἱ μὲν ἀπὸ τοῦ α τὸν ἀκάδημον. οἱ δὲ, ἀπὸ τοῦ ε, τὸν ἑκάδημον. οὕτως ὠρίων.

Ἀκακήτης. ὥσπερ παρὰ τὸ γυμνὴς γυμνῆτος γίνεται γυμνήτης, καὶ οἰδίπους οἰδίποδος οἰδιπόδης, οὕτω καὶ ἀκάκης ἀκάκητος, ἀκακήτης. τὸ δὲ ἀκάκητα, καὶ εὐρύοπα, εἰ μὲν εἶεν κλητικαὶ ἀπὸ τοῦ ἀκάκης, καὶ εὐρύοψ ἦν. εἰ δὲ εἶεν εὐθεῖαι, γίνονται κατὰ συνεκδρομὴν τῶν αἰτιατικῶν προπαροξυτόνως καὶ ὁμοφώνως.

Ἀκαλήφη, θαλάττιόν ἐστι φυτόν. δῆξιν καὶ κνησμὸν ἐν τῷ ἅπτεσθαι ἐμποιοῦσα, κατὰ ἀντίφασιν ἔχουσα ἀκαλὴν τὴν ἁφήν. ἧς οὐκ ἔστιν ἀκαλῶς, ὅ ἐστιν ἡσύχως ἅπτεσθαι. ἢ παρὰ τὸ μὴ ἔχειν καλὴν ἁφήν. ὅθεν καὶ τὸ λη, η. τὰ γὰρ διὰ τοῦ φη μονογενῆ, διὰ τοῦ ι γράφονται. οἷον, σίφη ἡ πόλις. ἀγρίφη, ἡ σκάφη. τὸ δὲ κνήφη, ἀκαλήφη ἡ κνίδη, σεσημείωνται διὰ τοῦ η γραφόμενα.

Ἀκαλανθὶς καὶ ἀκαλανθεῖα. ἴσως ἐπισήμου κυνὸς ὄνομα. παρὰ τὸ ἀκαλὸν θεῖν ἀκαλανθίς. οὕτως ὠρίων.

Ἀκαλὸς, ἔστιν ἦκα τὸ ἠρέμα. ἐκ τούτου γίνεται παράγωγον ἤκαλος. ὡς πέμπω πέμπελος. καὶ ἄγω ἄγελος καὶ ἄγγελος. καὶ κατὰ συστολὴν ἀκαλὸς ὁ ἥσυχος. ὡς ἁπαλός. ὁμαλός. χθαμαλός. ὀξύνεται. τὸ δὲ ἤκαλος προπαροξύνεται. ὡς πάσσαλος, κόκαλος, τάνταλος. ἐκ τοῦ οὖν ἀκαλὸς γίνεται ἀκαλὰ προρέων, ἀντὶ τοῦ ἡσύχως. ἐκ τοῦ οὖν ἀκαλὰ γίνεται ἀκαλαρείτης, ὡς παρὰ τῷ ποιητῇ. ἐξ ἀκαλαρρείταο βαθυρρόου ὠκεανοῖο. ἀντὶ τοῦ ἡσύχως ῥέοντος. ὅθεν καὶ τὸ ῥει δίφθογγον παρὰ τὸ ῥέω.

Ἀκάματον πῦρ. πολὺ καὶ ἀπλήρωτον. ἀκόλουθον γὰρ τὸν ὠκεανὸν μήκυμα τοῦ ἅπτεσθαι, μήτε ταράττεσθαι ὑπὸ τῶν ἀνέμων, ὥσπερ ἡ θάλασσα δούλη τοῖς πνεύμασι. θεῶν γὰρ γένεσις τέτυκται. ζεὺς δ' ὅτε σὺν ἀκάμαντα. ἀκοπίαστον. ἰσχυρόν. μέγιστον. παρὰ τὸ κάμνω.

Ἀκάμαντο χάρμην. οὐκ ἔστι πλεονασμὸς, ἀλλὰ πλάνη κλίσεως. ἀκάμαντο χάρμας γὰρ, καὶ ἡ κλητικὴ ἀκάμαντο χάρμα. εἰ γὰρ ἦν πλεονασμὸς, ἐκτεταμένον ἔχειν τὸ α. νῦν δὲ συστέλλεται. πλάνη ἄρα κλίσεως. οὕτως ἡρωδιανὸς περὶ παθῶν. τὸ ἄλφα μακρόν. τὸ γὰρ τῆς στερήσεως ἄλφα, ἀεὶ ἐν συστολῇ παραλαμβάνεται. πλὴν τοῦ ἀθάνατος, καὶ ἀκάματος. καὶ ἴσως διὰ τὴν ἐπαλληλίαν ἐνταῦθα ἐκτείνεται.

Ἀκάκητα, ὁ στερίσκων τὰς λύπας. ἢ ἀπὸ τοῦ ἐν ἀρκαδίᾳ ὄρους ἀκακησίου, ἢ πανοῦργον. οἱ δὲ, ἀγαθόν. οἱ δὲ, πρᾶον, καὶ ποιμητικόν.

Ἀκάμαντος, ἡ κάμηλος. παρὰ τὸ μὴ κάμνειν. ἢ ἀκάματος. πολύμοχθον γὰρ τὸ ζῶον. οὕτω μεθόδιος καὶ ὦρος.

Ἀκαμύθιος ἡ κύων. παρὰ τὸ αἰκάλλειν τοὺς ἰδίους δεσπότας. μεθόδιος. καὶ ἀκαλυφὴ, ἄστεγος, ὕπαιθρος.

Ἀκάμπιος. ὁ ἐπ' εὐθείας περιπατῶν. παρὰ τὸ καμπὴν μὴ ἔχειν. μεθόδιος. καὶ ἀκάμπιοι δρόμοι, οἱ εὐθεῖς καὶ ἁπλοῖ.

Ἄκανθος, πόλις μακεδονίας. ὅτι ἀντὶ ἐρυμάτων, ἐράχοις, ὅ ἐστιν ἀκανθώδεσι φυτοῖς περιβέβληται. μεθόδιος. σημαίνει δὲ καὶ ἄλλα.

Ἀκανθὶς, ἢ ἀκανθυλλίς. στρουθίον ἐν ταῖς ἀκάνθαις καθήμενον ὡς λέγουσιν. οὕτως ὠρίων. καὶ ἀκάνθιος, εἶδος τέττιγος. οἱ δὲ, τὸν ἄφωνον.

Ἄκανθα, ἀπὸ τοῦ τῇ ἀκῇ ἀνθεῖν. ὅ ἐστι τῇ ὀξύτητι.

Ἀκαρὸς, σημαίνει τὸν ἐγκέφαλον, ἢ τὴν κεφαλήν. καὶ γίνεται ἀπὸ τοῦ κάρη. καὶ διὰ τὸν χαρακτῆρα ὀξύνεται ὡς τὸ μαδαρός.

Ἄκαρα, τὰ σκέλη κρῆτες.

Ἄκαρα, πόλις τῆς ἀσίας, ἡ νῦν καλουμένη νύσσα. ταύτην ἄθυμβρος κρὴς τῷ γένει ἀπὸ ῥαδαμάνθυος παρὰ κάρσιν οἰκήσας, καὶ τιμηθεὶς, μετῴκησεν εἰς τὸν τόπον τοῦτον. καὶ ὠνόμασεν ἄκαρα. καὶ τὸν διὰ τῆς πόλεως ῥέοντα ποταμὸν, ἀφ' ἑαυτοῦ ἄθυμβρον ἢ θύμβρον. οὕτω μεθόδιος.

Ἄκαρης, ὁ ἐλάχιστος καιρός. ἐτίθετο δὲ κυρίως ἐπὶ οἱ-

οὐδὲν ποτε ἐλαχίστου. μένανδρος. Ὁρᾶς, ἀκαρὴς παρὰ πόλω λας ἀρθίως. καὶ ἀριστοφάνης. Γυμνὸς θύρας ἐξέπεσον ἐν ἀκαρεῖ χρόνῳ. παρὰ τὸν καιρὸν, καὶ τὴν στέρησιν. ἀκαίριόν τι ὄν. κατ' ἔλλειψιν ἀκάριον, τὸ μὴ καιρὸν ἔχον, ἀλλ' ἐλάχιστον. ἢ παρὰ τὸ κάρα, ἀκαρές. τὸ ἀκέφαλον, καὶ μὴ δὲ ἀρχὴν ἔχον. ἢ ὃ οὐδὲ δύναταί τις κεῖραι διὰ σμικρότητα.

Ἄκαστος υἱὸς πελίου. πατὴρ δὲ ἀλκήστιδος. εὐριπίδης. Ἤ τ' ἄρ' ἄκαστος οὐκέτ' ἐστ' ἐν ἀνδράσιν, εἰ μὴ ἀδελφῆς αἷμα τιμωρήσεται. παρὰ τὸ κάζω τὸ κοσμῶ. ἔνθεν Κέκασθε πανέλληνας καὶ ἀχαιούς. ἀφ' οὗ κεκασμένος. καὶ κάσμος, καὶ κόσμος. ἄκαστος οὖν, ἀπὸ τοῦ ἄλφα ἐπιτατικοῦ, καὶ τοῦ κάζω. ὁ πάνυ κεκοσμημένος. οὕτω μεθόδιος.

Ἄκατος, τὸ μικρὸν πλοιάριον. παρὰ τὸ ἄγω, ἄξω. ἦχα. ἦγμαι. ἦκται. ἦκτος. καὶ ἄκτος. καὶ πλεονασμῷ τοῦ ἄλφα, ἄκατος. ἡ περιάγουσα καὶ διακομίζουσα. ἐξ οὗ τοῦ ὑποκοριστικοῦ ἀκάτιον. ὅ τινες μὲν ἐπακτρίδα, τινὲς δὲ πορθμίδα. τινὲς δὲ κάραβον ὀνομάζουσιν. ἢ ἀπὸ τοῦ ἀκτή γίνεται ἄκατος, ἡ ἀπ' ἀκτῆς εἰς ἀκτὴν περιερχομένη. ὡς πορθμὴν λέγομεν, τὴν μὴ πελαγοδρομοῦσαν. οὕτω μεθόδιος.

Ἀκαχμένον, ἠκονημένον. ἀπὸ τοῦ ἀκάζω, τὸ ἀκονῶ. ὁ μέλλων, ἀκάσω. ἤκακα ἤκασμαι, ἠκασμένον. καὶ τροπῇ τοῦ σ εἰς χ ἠκαχμένον.

Ἀκάχοιτο, λυποῖτο. ἀπὸ τοῦ ἀκαχῶ. τοῦτο παρὰ τὸ ἄχος, ἀχῶ, ἀκαχῶ.

Ἀκαχήμενος. λυπούμενος. ἰστέον ὅτι τὸ ἀκαχήμενος, ἐπεὶ ὤφειλε προπαροξύνεσθαι, ὡς τὸ πεποιημένος, οὐκ ἔστι παρακείμενος. ἀλλ' ἔστιν ἀπὸ τοῦ ἀκάχω, ἀκάχημι. ὁ παθητικὸς ἐνεστώς, ἀκάχημαι. οἱ γὰρ αἰολεῖς τὴν παραλήγουσαν οὐ συστέλλουσι. καὶ ἡ μετοχὴ ὁ ἀκαχήμενος. ἰστέον δὲ ὅτι, ἡ μετοχὴ τοῦ παρακειμένου προπαροξύνεται τῶν ἄλλων πασῶν προπαροξυνομένων. οἷον, τυπτόμενος τυφθησόμενος. τυψόμενος. δεῖ δὲ προσθεῖναι τῷ κανόνι, τὸ, εἰ μὴ ἀπὸ πάθους εἶεν. ὥσπερ ἀκαχῶ, ἀκαχήσω. ἠκάχηκα. ἠκάχημαι. ἠκαχημένος, ἀκαχήμενος. τὸ δὲ οὐτάμενος, καὶ ἐληλάμενος, ὁ ἡρωδιανός φησι κατὰ πάθος γίνεσθαι προπαροξύτονα. ἀπὸ τοῦ οὐτασμένος, καὶ ἐληλασμένος, ἀλλ' ἀπὸ τῶν εἰς μι. τοῦ τε οὔτημι. καὶ ἐλήλημι. καὶ εἰσὶν ἐνεστῶτες. ὡς ἵστημι. ἵσταμαι. ἱστάμενος.

Ἀκαχείατο, ἀπὸ τοῦ ἀκαχῶ ἀκαχήσω, ἠκάχηκα, ἠκάχημαι. ἠκαχήμην. καὶ ἰωνικῶς, ἀκαχέατο. καὶ πλεονασμῷ τοῦ ἰῶτα, ἀκαχείατο.

Ἀκαχίζεο. ἄχθου. λυποῦ. ἀπὸ τοῦ ἀχῶ, ἀχίζω, καὶ ἀκαχίζω. ἀντὶ τοῦ ἄχθου γίνου. καὶ ἀκαχῆσθαι, τὸ ἀνιᾶσθαι.

Ἄκανος, εἶδος ἀγρίου ὁμοίου ἀκάνθῃ. παρὰ τὸ σκληρὸν καὶ ἄθλαστον. κατὰ στέρησιν τοῦ κεάσαι, ὅ ἐστι θραῦσαι.

Ἀκεσώδυνος, ἰατρὸς ὁ τὰς ὀδύνας παύων, καὶ θεραπεύων. ἀπὸ τοῦ ἀκῶ ἀκέσω, καὶ τοῦ ὀδύνη. ἐξ οὗ καὶ ῥηματικὸν ὄνομα ἀκέστωρ. σημαίνει δὲ τὸν ἰατρόν. καὶ ἀκεσοειδής. καὶ ἄκεστον τὸ φάρμακον. καὶ ἀκεστόν, ὁμοίως.

Ἀκεσταί. Ἀκεσταὶ φρένες ἐσθλῶν. εὐθεράπευτοι. εὐίατοι. αἱ γὰρ τῶν ἀγαθῶν ἀνδρῶν φρένες ῥαδίως πρὸς τὸ κρεῖττον μετατίθενται εὐθεράπευτοι οὖσαι, ἢ θεραπευτικαί.

Ἀκερσεκόμης, ὁ τὴν κόμην μὴ κειρόμενος. παρὰ τὸ κείρω, τὸ κόπτω. ὁ μέλλων, κερῶ. καὶ αἰολικῶς κέρσω, καὶ τοῦ κόμη, γίνεται κερσοκόμης διὰ τοῦ ο. πᾶς γὰρ ἐνεστώς, ἢ μέλλων ἐν πρώτῳ προσώπῳ λαμβάνων σύνθεσιν, τρέπει τὸ ω εἰς ο. οἷον, λείπω, λιποτάκτης. μίξω, μιξοπολίτης. οὕτω καὶ κέρσω, κερσοκόμης. καὶ μετὰ τοῦ στερητικοῦ ἄλφα, ἀκερσοκόμης.

Ἄκεστρα, ἡ βελόνη ἡ μείζων, ἣν νῦν σακκοράφιον καλοῦσιν. ἄκεστρα δὲ παρὰ τὸ ἀκεῖσθαι ἤτοι συρράπτειν τὰ διερρωγότα τῆς ὀθόνης. τοῦτο δὲ καὶ ἡπήτριον φασίν, ἐπεὶ καὶ ἡπήτρια, καὶ ἡπητής. καὶ ἀκέστρια, καὶ ἀκεστής, οὓς νῦν ῥάπτας καλοῦσιν. χρὴ δὲ εἰδέναι, ὡς οἱ παλαιοὶ γυναιξὶν ἐχρῶντο εἰς ταύτας τὰς ἐργασίας. καθὰ καὶ νῦν σκύθαι.

Ἀκειόμενον, σημαίνει δύο. μεταφορικῶς, ἰώμενον. καὶ αὐτοῦ τοῦ ἐπισκευάζοντα, ὡς νῆας ἀκειόμενον.

Ἀκέραιος, ὁ ὑγιής. ἀπὸ τοῦ κέραος κέραιος. καὶ μετὰ τοῦ ἄλφα στερητικοῦ, ἀκέραιος. ὁ ἀόργητος καὶ ἀβλαβής. κυρίως ὁ μὴ θυμούμενος. ἀπὸ μεταφορᾶς τῶν διὰ τῶν κεράτων ἀμυνομένων ζώων. ἢ ἐκ τοῦ κερῶ τὸ μιγνύω, κιρνῶ. καὶ ὡς παρὰ τὸ πλῶ, πλαίω. καὶ πλεονασμῷ τοῦ ν, πλαίνω. καὶ κατὰ ἀναδιπλασιασμὸν παιπλαίνω, καὶ παρὰ τὸ πορσῶ πορσαίω, πορσαίνω, οὕτω καὶ παρὰ τὸ κιρνῶ κερνῶ κεραίνω, κέραιος. καὶ μετὰ τοῦ στερητικοῦ ἄλφα. ἀκέραιος. ὁ μὴ κεκραμένος κακοῖς. ἀλλ' ἁπλοῦς, καὶ ἀποίκιλος. ἢ ἀνωφελής, καὶ βλαβερός.

Ἀκέων, ἡσυχάζων. παρὰ τὸ ἀκὴν ἀκέων. ἢ λυπούμενος. παρὰ τὸ ἄχος ἀχέω, καὶ ἀκέω. καὶ ἡ μετοχὴ ἀκέων. οἱ δὲ, τὸ πάνυ σιγᾶν καὶ λυπεῖσθαι λέγουσι. παρὰ τὸ κέω τὸ κοιμῶμαι. μετὰ τοῦ ἐπιτατικοῦ ἄλφα, ἀκέω. καὶ ἀκέων μετοχή. τὸ δὲ ἀκέων καὶ θηλυκοῦ παρασχηματισμὸν ἔχει, Ἡ δ' ἀκέουσ' ἀπέβη. ἀλλὰ καὶ ὡς ἐπίρρημα πληθυντικῶς εἴρηται, τὸ ἀκέων ἕκαστος. ἀλλ' ἀκέων δαίνυσθε. ἔστιν οὖν ἐπίρρημα μεσότητος. ἀλλὰ κακῶς ἐστιν ὁ λέγων αὐτὸ μετοχήν. ἐπὶ τῶν εἰς ων ληγόντων, οἷς παράκειται θηλυκὸν εἰς ἄλφα, τῇ παραληγούσῃ τὸ σ, τούτοις πρέπει τὸ εἶναι μετοχή. οἷον, λέγων, λέγουσα. φέρων, φέρουσα. φρονῶν, φρονοῦσα. διὰ τούτου τοῦ λόγου δείκνυται καὶ τὸ κρείων μετοχή, ἐκ τοῦ κρείουσα γυναικῶν.

Ἀκήν. ἐπίρρημα μεσότητος. ἀντὶ τοῦ ἡσύχως. παρὰ τὸ μὴ χαίνειν, γίνεται ἀχήν, καὶ ἀκήν. ἀχήν τις οὖσα. οἷον, Ἀκὴν δ' ἐγένοντο σιωπῇ. ἢ παρὰ τὸ ἄγη, ὃ σημαίνει τὴν ἔκπληξιν. ἐκ τοῦ ἄγω τὸ ἐκπλήττομαι. κατὰ μετάληψιν τοῦ γάμμα, εἰς κάππα. ὥσπερ ἔστι καὶ τὸ λυγαῖον, ὃ σημαίνει τὸ σκοτεινόν, λυγόφως καὶ λυκόφως. οὕτω καὶ ἄγη καὶ ἀκή. καὶ κατὰ μεταβολὴν τοῦ τόνου γίνεται ἀκή, καὶ ἀκήν. οἱ δὲ γὰρ ἡ ἔκπληξις καὶ ἀφωνίαν ἐμποιεῖν. ἢ ἀπὸ μεταφορᾶς τῆς ὀξύτητος τοῦ σιδήρου. τουτέστιν, ἐπ' ἄκρας ἡσυχίας ἐγένοντο. τὸ ἀκήν, ἤτοι. τὰ ἀπὸ διαφόρων πτώσεων εἰς ἐπιρρηματικὴν σύνταξιν μεταγόμενα, τὴν αὐτὴν ταῖς πτώσεσι φυλάττει γραφήν. οἷον τὴν ἀπριάτην, ἀπριάτην, ἀνάποινον. οὕτω καὶ τὴν ἀκήν, ἀκὴν τὸ ἐπίρρημα.

Ἀκή, ἡ ὀξύτης. παρὰ τὸ ἥκω, ἠκή. ὃ σημαίνει τὴν ὀξύτητα. ἀρχίλοχος. Ἵστη κατ' ἀκὴν κῦμα τοῦ κυανέου. καὶ κατὰ συστολὴν ἀκή.

Ἀκή, πόλις φοινίκης, ἡ νῦν καλουμένη πτολεμαΐς. οἱ δὲ ἀκήν φασι καλεῖσθαι τὴν ἀκρόπολιν τῆς πτολεμαΐδος. ὅτι ἡρακλῆς δηχθεὶς ὑπὸ ὄφεως καὶ ἐν αὐτῇ θεραπευθείς, ἀκὴν ἐκ τοῦ ἀκεῖσθαι προσηγόρευσε τὸν τόπον.

Ἀκηδής, ἀφρόντιστος. ἀνελεήμων. κηδεμόνα μὴ ἔχων. καὶ ἀκήδεστοι. καὶ ἀκήδεσαν ἠμέλησαν. κήδω γὰρ τὸ ἐπιμελοῦμαι. ὁ μέλλων, κηδῶ. καὶ μετάγεται εἰς ἐνεστῶτα. ὁ μέλλων κηδέσω. κεκήδεκα κεκήδεσμαι, κηδεστός. καὶ ἀκηδής.

Ἀκηδία, παρὰ τὸ ἀκηδιῶ. τοῦτο, παρὰ τὸ ἀηδῶ. τοῦτο, παρὰ τὸ ἡδύς. καὶ στερήσει, ἀηδής. καὶ πλεονασμῷ τοῦ κ, ἀκηδής. καὶ ἐξ αὐτοῦ ἀκηδία. ἔστι δὲ ὅπερ μακεδονικόν. γέγονε δέ, κατὰ πλεονασμὸν τοῦ κ. ἀηδία γάρ. οὕτως ὠρίων. ἀπολλώνιος δὲ ὁ τὰ ἀργοναυτικὰ, τὸ διὰ διφθόγγου γράφει. οἷον, Μηδ' ἐμ' ἀκηδείῃσιν ἀφορμηθῆτε

Ἀκήματα, Ἐπὶ δ' ἕλκει λυγρῷ φάρμακ' λιπόντες. ἀκήματ' ἔπλασε. παρὰ τὸ ἀκῶ, ἀκέσω. ὡς νεμῶ, νεμέσω. καὶ τελῶ, τελέσω. ἐντεῦθεν καὶ ἀκεστής, καὶ ἀκέστρια. ἀντὶ τοῦ θεραπεύτρια.

Ἀκήρατος, παρὰ τὸ κηραίνω, ὤφειλεν εἶναι ἀκήραντος. ἀλλὰ ποιητικὴ ἡ λέξις. ἢ παρὰ τὸ γῆρας γήρατος. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀγήρατος. καὶ ἀκήρατος, ὁ ἄφθαρτος.

Ἀκήριον, ἀσθενὲς ἀδύνατον ἄψυχον ποιοῦν καὶ μὴ κηρῶν. νεκροποιόν. οἷον, Ὀρθωθεὶς δ' εὔνηθεν ἀκήριον ἠΰτ' ὄνειρον. οὐδετέρως δὲ νῦν τὸν ὄνειρον εἶπεν. ὅτι ὄνειρος τὸ ὄνειρον. καὶ ὄναρ ὀνείρατος, ὡς ἧπαρ ἥπατος. οὕτως ἀπολλώνιος.

Ἀκηδία, ἡ ἀηδῶς διακεῖσθαι καταναγκάζουσα. ἢ μηδὲν ἡμᾶς φροντίζειν ποιοῦσα.

Ἀκηράσιον, ἀκέραιον. καθαρόν.

Ἀκήνιον, ἥσυχον.

Ἀκηχέδονας, λύπας.

Ἀκίβδηλον, ἀδόκιμον. ἐπὶ νομίσματος δὲ κυρίως. καὶ τὸ ἀπεγχείρητον.

Ἄκλαστος, ἡ οὐ κλαδευομένη ἄμπελος.

Ἀκηχέδαται, Παρὰ νηυσὶν ἀκηχέδαται. λυποῦνται. παρὰ τὸ ἀχῶ ἀχάζω. ὡς ἀνιῶ ἀνιάζω. ὁ παρακείμενος, ἤχακα. ὁ μέσος ἤχαδα. ὁ παθητικός, ἤχασμαι. ἤχασαι. ἰωνικῶς, ἠχάδαται. καὶ μετὰ ἀναδιπλασιασμοῦ ἀττικοῦ, καὶ τροπῇ τοῦ α εἰς ε, ἀκηχέδαται.

Ἀκηχεμένη, ἀχῶ τὸ λυποῦμαι. ἀχήσω, ἤχηκα. ὁ ἀττικός, ἀκήχεκα. ὁ παθητικός, ἀκήχεμαι. καὶ ἀκηχε-

Ἀκιδνός, ἀσθενής. ὅμηρος. Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο. παρὰ τὸ αἰκίζω αἰκιδνός. καὶ ἀκιδνὸς ὁ εὐτελὴς καὶ ἐν αἰκισμοῖς ὤν. ὡς παίζω, παιδνός. ἀλαπάζω, ἀλαπαδνός. ἢ παρὰ τὸ κινῶ, ἀκινός. καὶ πλεονασμῷ τοῦ δ, ἀκιδνὸς ὁ μὴ κινούμενος. οὕτω μεθόδιος. οἱ δὲ, λεπτόν, ἢ ἄφωνα. ἢ ἀδύνατον. καὶ εὐτελέστερον

Ἀκιδαλίη, ὄνομα κρήνης. ἔστιν ἀκὶς ἀκίδος, ὄνομα κύριον. καὶ ἐκ τούτου ἀκίδαλος. καὶ ἀκιδαλίη. οὕτω χοιροβοσκός.

Ἀκινάκης, εἶδος ἀκοντίου περσικοῦ. παρὰ τὴν ἀκὴν τὴν ὀξύτητα, καὶ παρὰ τὴν ἀκίδα, ἀλλήλων συντεθέντων τῶν δύο ὁμοιοσήμων. καὶ δῆλον ὅτι ἐτράπη τὸ δ, εἰς ν. ὡς καὶ ἐπὶ τοῦ ἐρεχθεύς, ἐριχθόνιος. παρὰ τὴν ἔραν καὶ τὴν χθόνα. ἡ πρόθεσις δὲ διὰ τοῦ ω, ὠκινάκης φησί. ἥτις ἐστὶ κατὰ τροπὴν τοῦ α, εἰς ω. ὡς ἀκή, ἀκίς, καὶ ὠκίς. ἢ παρὰ τὸ ὠκίς, καὶ τὴν ἀκήν, γίνεται ὠκινάκης.

Ἀκίνητα καθόλου μὲν τὰ μὴ κινούμενα. παρ' ἡσιόδῳ δὲ ἐν ἔργοις καὶ ἡμέραις, ὁ τάφος. Μηδ' ἐπ' ἀκινήτοισι καθίζειν. νόμος γὰρ παρὰ ῥωμαίοις τάφον μὴ κινεῖν. τουτέστιν ὀρύττειν.

Ἀκινάγματα, οἷον χειρῶν ἢ δὲ ποδῶν ἀκινάγματα. τὰ τινάγματα τῶν ποδῶν μετὰ ῥυθμοῦ καὶ τῶν χειρῶν κινήματα, καὶ πλεονασμῷ τοῦ α καὶ τοῦ γ, καὶ τροπῇ τοῦ α εἰς η, ἀκινάγματα. ἡρωδιανός.

Ἀκίς, τὸ τοῦ βέλους σιδήριον. παρὰ τὸ ἀκή ὃ σημαίνει τὴν ὀξύτητα. ὅθεν καὶ κατ' ἐπένθεσιν τοῦ μ, ἀκμή. παρὰ τὸ ἀκή οὖν γίνεται ὑποκοριστικῶς ἀκίς. ὡς σκάφη, σκαφίς. ἄμμη ἀμμίς. μεθόδιος.

Ἀκιώτατον, ἄσηπτον. ἄβρωτον. ἡσίοδος. Δάφνης, ἢ πτελέης ἀκιώτατοι ἱστοβοῆες. ἄσηπτοι ἄβρωτοι. κὶς γὰρ λέγεται ὁ ἐν τοῖς ξύλοις σκώληξ. ἄλλοι γράφουσιν ἀκιρώτατοι, ἵν' ᾖ κάλλιστοι.

Ἀκίχητα, ἀκατάληπτα. ἀπὸ τοῦ κιχῶ, ἀκίχητον. τοῦτο παρὰ τὸ κίω τὸ πορεύομαι. οἷον, Ἕκτορ σὺ μὲν ὧδε θέεις ἀκίχητα διώκων ἵπποις αἰακίδαο δαΐφρονος. ἀντὶ τοῦ ἀνοχείρωτοι.

Ἀκίβδηλος, ὁ καθαρός. οἷον ἀκρύβδηλος. ἀπὸ τοῦ κρύβω. κρύβδηλος, καὶ κίβδηλος. καὶ πλεονασμῷ τοῦ α, ὁ μὴ κρυβόμενος, ἀλλὰ φανερός.

Ἀκινδύνως παρὰ τὸ κινεῖν τὰς ὀδύνας γίνεται κίνδυνος. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀκίνδυνος.

Ἀκκίζεσθαι, τὸ μωραίνειν, ἢ προσποιεῖσθαι εὐήθειαν.

εἴρηται ἀπὸ ἀκκοῦς τινός. ἥτις εἰσορῶσα μωρότατα γενέσθαι. ὥς καὶ τῷ κατόπτρῳ διαλέγεσθαι. ἐπὶ τοῖς ὅπλοις ἀκκίζεται. ἐπὶ τῆς ὕβρεως ἔχεται. ἐπαίρεται. γυναικίζεται. θρύπτεται. ἢ μωραίνει. σημαίνει δὲ καὶ τὸν θέλοντα μὲν, προσποιούμενον δὲ μὴ θέλειν. ἀκκισμοὶ γὰρ προσποιήσεις εἰσὶ, καὶ ὑποκρίσεις. ἀπὸ ἀκκοῦς τινὸς σαμίας.

Ακλεῶς, ἀκληδονίστως, ὥσμὴ δὲ φήμην τινὰ γενέσθαι. Μὴ μὰν ἀσπουδεί γε καὶ ἀκλειῶς ἀπολοίμην.

Ακμὴ, ἡ ἀκρότατη ὀξύτης τοῦ σιδήρου κυρίως. ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς. παρὰ τὸ ἥκω, ὄνομα ῥηματικὸν ἥκη, ὃ σημαίνει τὴν ὀξύτητα. ἢ διὰ τὸ πάντα διϊοῦσα. ἀκὴ οὖν, καὶ πλεονασμῷ τοῦ μ, ἀκμή. ἢ παρὰ τὸ κάμνω, γίνεται κατὰ συγκοπὴν κμῶ. καὶ μετὰ τοῦ ἄλφα στερητικοῦ, ἀκμὴ, ἡ μὴ κάμνουσα, καὶ μὴ κοπιῶσα διὰ τὴν νεότητα. ἢ πόνους μὴ δυναμένη ὑποστῆναι. οὕτω μεθόδιος. ἔνθα καὶ ὁ ἥλιος ἀκάμας παρ' ὁμήρῳ. διὰ τὸ ἀεὶ νέον εἶναι τὸν θεόν. σημαίνει δὲ γʹ. τὴν ὀξύτητα τοῦ βέλους. καὶ τὸ μέσον τῆς ἡλικίας. καὶ τὸ μέσον τοῦ καιροῦ. ὡς τὸ, Θέρους ἦν ἀκμή. καὶ ἀκμῶσαν, ἀντὶ τοῦ ἀκμάζουσαν.

Ακμαῖος, ὁ νεανίας, ὁ μὴ ἀποκάμνων πρὸς τοὺς πόνους. ἢ ὁ ἀκμὴν ἔχων τῆς ἡλικίας, καὶ ἀκμάζων τῇ ἡλικίᾳ.

Ακμῆτες, μὴ κεκοπιακότες. ἀκοπίαστοι. μὴ κάμνοντες. παρὰ τὸ κάμνω, κμῶ. καὶ μετὰ τοῦ στερητικοῦ ἄλφα, ἀκμής. τοῦ κάμνω ὁ δεύτερος ἀόριστος, ἔκαμον. ἐξ αὐτοῦ καμής. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀκαμής. καὶ συγκοπῇ, ἀκμής. εἰρηκώς. ἄκοπος.

Ακμηνος, λέγεται καὶ ἐπὶ τοῦ ἀκμάζοντος. ὁ δυστείας ι. Θάμνος ἔην τανύφυλλος ἐλαίης. ἑρκέων ἐντὸς ἄκμηνος. θαλέθων. ὁ θάλλων, καὶ ἀνθῶν. παρὰ τὸ ἀκμὴ, ὃ σημαίνει τὴν ἡλικίαν. τοῦτο παρὰ τὸ ἄγω, ἀγή. καὶ πλεονασμῷ τοῦ κ, καὶ τροπῇ τοῦ γ εἰς μ, ἀκμὴ, ἄκμηνος. ἄκμηνος δὲ τοιο. ἄγευστος, ἄσιτος, διὰ τοῦ η. ὁ γὰρ διὰ τοῦ ηνος τύπος τὴν ὀξεῖαν ποθεῖ. καὶ οἱ μὲν ἁπλῶς παρὰ τὴν ἀκμὴν λέγουσιν. οὕτω γὰρ τὴν ἀσιτίαν οἱ αἰολεῖς λέγουσιν. οἱ δὲ σύνθετον, κατὰ στέρησιν τοῦ καμεῖν. ὥς δηλοῖ τὸ ἀτημέλητον. οἱ δὲ, κατὰ στέρησιν τῆς ἰκμάδος. οἱ δὲ, τὸν κεκμηκότα περὶ τὰ σιτία. ὁ δὲ ἀρίσταρχος, λέγει τὸν ἄκμηνον προπαροξυτόνως, παρὰ τὴν ἀκμήν. θέων δὲ ὀξύνεσθαι ἀξιοῖ, ὡς ἀγαθός. ἔνιοι δὲ προπερισπῶσιν. ἢ παρὰ τὴν ἀκτὴν τὸν σῖτον.

Ακμων, σημαίνει τό τε σίδηρον, ἐφ' οὗ οἱ χαλκεῖς τύπτουσι, καὶ τοῦ οὐρανοῦ τὸν πατέρα. οὕτω γὰρ αὐτὸν γενεαλογοῦσι. καλλίμαχος. Τῷ περὶ δὴ νῆσον ἀκμονίδην ἔβαλεν. εἴρηται δὲ ὁ μὲν τοῦ σιδήρου, παρὰ τὸ ἄλφα τὸ ἐπιτατικὸν, καὶ τὸ κάμνω. ἀκάμων τις ὢν, ὁ ἀκαμάτως φέρων. καὶ συγκοπῇ ἄκμων, ὁ πάνυ κάμνων. ὁ δὲ τοῦ οὐρανοῦ πατὴρ, ἀπὸ τῆς τοῦ οὐρανοῦ ἀκαμάτου φύσεως. τῶν θεολόγων αἰνιττομένων τὸ ἀκμητὸν αὐτοῦ τῆς περιφορᾶς. ἢ προλαμβανόντες οὖν αὐτὸν, ὅτι ἄφθαρτός ἐστι. κεκμηκέναι γὰρ λέγουσι τοὺς τετελευτηκότας. τινὲς δὲ ἄκμονα τὸν ὠκεανόν φασι, διὰ τὸ τοὺς ποταμοὺς ἀκαμάτους λέγειν. οἷον, καὶ παρ' ὠκεανὸν ἀκάμαντι γυνὴ θεὸς εὐνηθεῖσα. ὠκεανοῦ δὲ υἱὸν τὸν οὐρανόν. οἱ δὲ, ἄκμονα τὸν αἰθέρα. αἰθέρος δὲ υἱὸς, ὁ οὐρανός. ὁ δὲ αἰθὴρ, ἀκάμαντος. ἐπειδὴ τὸ πῦρ ἀκάμαντον. οἷον Ακάμαντον πῦρ. μεθόδιος.

Ακνησις, ἡ ἔρα χεῖς. παρὰ τὸ μὴ δύνασθαι ἵνα, κνήσασθαι αὐτὴν τῇ ἰδίᾳ χειρί.

Ακοίτης, ὁ ἀνήρ. ἄκοιτις, ἡ γυνή. ἡ ἐν παρθενίας ἄλλης κοίτης μὴ πειραθεῖσα. ἢ ὁ μόνοιτις. καταχρηστικῶς δὲ, καὶ ἡ δευτερογάμου μετεσχηκυῖα.

Ακοή, οὐχὶ ἀκουή. τὰ γὰρ εἰς ω καθαρὰ λήγοντα βαρύτονα ῥήματα, τὴν παραλήγουσαν ἐν τοῖς ῥηματικοῖς ὀνόμασι, βραχεῖαν ἔχει. κονίω, κονία. φύω, φυή. ἀκούω ἀκοή. λέγεται καὶ τὸ οὖς ὅλον.

Ακολος, ὁ μικρὸς ψωμός. ὁ μηκέτι κολούεσθαι δυνάμενος διὰ σμικρότητα. ἢ καὶ εἰς μικρὰ τέμνεσθαι.

Α ιτίζων ἀκόλους οὐκ ἄορας.

Ακόλαστος, κυρίως ὁ ἀπαίδευτος. παρὰ τὸ μὴ κολάσεως τετυχηκέναι. τουτέστι παιδείας. ἐπὶ δὲ τοῦ καταφεροῦς, παρὰ τὸ, τὸ μὴ κολάσαι τὴν ἐπιθυμίαν.

Ακόλουθος, σημαίνει τὸν ὄπισθεν τὴν κέλευθον ποιούμενον. τὸ γὰρ ἄλφα, τὸ ὄπισθεν σημαίνει. καὶ ἐκ τοῦ ἐλεύθω ἔλευθος. ὡς παρὰ τὸ, Αὐέρυσαν.

Ακόνη, ὁ λίθος δι' οὗ ὀξύνεται ὁ σίδηρος. παρὰ τὸ κονῶ τὸ φθείρω καὶ λεπτύνω. τοῦ ἄλφα ἐπιτατικοῦ. ἡ διαφθείρουσα, καὶ λεπτύνουσα τὸν σίδηρον. καὶ εὐριπίδης, Κατανονᾶ μὲν οὖν ἀβίωτος βίου. κονεῖν γὰρ τὸ λεπτύνειν. ὡς τὸ σποδεῖν τουτέστι κινεῖν, ποιοῦσα. ἢ παρὰ τὸ ἀκὴν τὴν ὀξύτητα. ἢ παρὰ τὸ κονῶ τὸ ἐνεργῶ.

Ακονητὶ, ἄνευ πόνου. οὐ τὸ ἐναντίον, ἐγκονητὶ μετὰ πόνου. κατὰ τροπὴν τοῦ π εἰς κ ἀπονητὶ, ἀκονητὶ ἰωνικῶς. ὡς τὸ πῶς, κῶς. πότε κότε. ἀπὸ τοῦ κόνις κονιτί. καὶ ἀκονιτί. ἄνευ ἀγῶνος καὶ μάχης. ἐκ μεταφορᾶς τῶν ἀθλητῶν, τῶν εὐμαρῶς περιγινομένων, ὥστε μὴ κονίσασθαι, τουτέστι κόνιν ἐπιπάσασθαι. τοῖς γὰρ παλαίουσι λέγεται ἐκ τῆς βίας ἱδρῶτα γίνεσθαι, εἶτα κόνιν ταῖς χερσὶν ἀναλαμβάνειν. ἢ ἀκονιτὶ, τὸ εὐχερῶς, καὶ συντόμως, ὥστε μηδὲ κονιορτὸν ἐγείρεσθαι.

Ακόνιτον, βοτάνη δηλητηριώδης. ὅτι ἐν τοῖς ἀκοναίοις ὄρεσι τῆς μαριανδυνίας φύεται. ἢ ὅτι ἀκαταπάλαιστον καὶ ἀήττητόν ἐστιν, ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν. ὧν οἱ νικῆται ἀκτηριόντες, οὐ κονιορτοῦνται. κονιοῦσθαι γὰρ καὶ τὸ παλαίειν. τὸ μὴ νικώμενον οὖν ὑπὸ τῶν πινόντων, ἀλλὰ μᾶλλον ἐκείνους κατεργαζόμενον. εὐφορίων δὲ, θηλυκῶς λέγει τὴν βοτάνην. ἢ ἣν οὐδεὶς δύναται κονίσαι, τουτέστι νικῆσαι. κονιορτοῦνται γὰρ οἱ νικώμενοι τῶν παλαιστῶν. οὕτω μεθόδιος.

Ακοπος, ὁ μὴ ἐπικεκομμένος, ἢ ἄρρωστος.

Ακον, θεραπευτόν. λέγεται δὲ καὶ τὸ ἀκούσιον.

Ακος, φάρμακον. βοήθεια. ἴαμα. καὶ ἡ γένεια.

Ακολουθῶ, παρὰ τὸ κόλλη καὶ τὸ θέω τὸ τρέχω. ἢ ἐκ τοῦ ἐλεύθω.

Ακοντίαι, ὄφεις τινές. καλοῦνται δὲ καὶ ἀκοντίλαι. καὶ ἀκόντια βοτάνη τίς.

Ακοντισε. παρὰ τὸ ἀκοντίζω. τοῦτο παρὰ τὸ ἄκων. ὃ σημαίνει τὸ δόρυ. τὸ δὲ ἄκων, παρὰ τὴν ἀκὴν τὴν ὀξύτητα.

Ακοντοδόκος. δοκιμάζειν λέγεται τὸ ἐπιτηρεῖν, καὶ δοκεύειν τὸ αὐτὸ καὶ δοκεῖν. καὶ ἀπὸ τούτου ἀκοντοδόκος, ὁ ἐπιτηρῶν μήπου ἀκοντίῳ βληθῇ.

Ακορητος, λέγεται δὲ καὶ τὸ ἀστρώτον καὶ ἀκαλλώπιστον. καὶ ὁ ἀπλήρωτος. παρὰ τὸ κόρος, κορῶ κορέσω, κεκόρηκα κεκόρημαι κεκόρηται, κορητὸς, καὶ ἀκόρητος.

Ακος, ἡ θεραπεία. παρὰ τὴν ἀκήν. ἀκὴ γὰρ κυρίως, ἡ ὀξύτης τοῦ σιδήρου. καὶ ἡ ἀπ' αὐτοῦ θεραπεία ἄκος λέγεται. ἐντεῦθεν καὶ τὸν ἰατρὸν οἱ φρύγες ἀκεστὴν λέγουσιν. οὕτως ὠρίων. ἐγὼ δὲ παρὰ τὸ ἄχος φημὶ ἄκος. ἵν' ᾖ τὸ τὴν λύπην ἀπολυόμενον καὶ ἰώμενον.

Ακοστήσας, Ὡς δ' ὅτε τις στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνης. οἱονεὶ ἀχοστήσας, τουτέστιν ἐπὶ στάσει διὰ χειμῶνας. ὅθεν ἐπιφέρει δεσμὰ διαρρήξας θείῃ πεδίον δέ. ἢ ἀκοσταὶ, αἱ κριθαὶ, ἵν' ᾖ κριθιάσας, καὶ ὑπὸ τῆς τροφῆς ἀκρατὴς ὢν, ἢ ὑψαυχενίσας, καὶ ἀτιμαγέλης γεγονώς. παρὰ τὸ ἄγω, ἄγος, καὶ ἀγοστής. κατὰ τροπὴν τοῦ γ εἰς κ. ὁ ἔμπροσθεν θέλων εἶναι καὶ προηγεῖσθαι. ἢ ὁ ἀγοστήσας, εὐπαθήσας. γοῖτος γὰρ ὁ εὔπορος. ἀκοιτήσας δὲ, μίξεως ἐπιθυμήσας.

Ακοσμα, ἀπρεπῆ, μωρὰ. ἄδηλα.

Ακουός, καλλίμαχος. Αλλ' ἐπακουὸς οὐκ ἔσχεν ἐπακούοντας. καὶ ἀκοὸν, ἐπήκοον, καὶ ἀκουστικόν.

Ακούω, ἀπὸ τοῦ οἶμαι. ἢ ἔστι κοῶ, τὸ νοῶ. καὶ μετὰ τοῦ ἐπιτατικοῦ ἄλφα, καὶ πλεονασμῷ τοῦ υ, ἀκούω. οἱ γὰρ ἀκούοντες πάνυ νοοῦσιν. ἢ ἐκ τοῦ κῶ τὸ κοιμῶμαι, γίνεται κούω. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀκούω. οἱ γὰρ ἀκούοντες οὐ κοιμῶνται.

Ακουστιῶ ἔστι ῥῆμα ἀκούω. ὁ παθητικὸς παρακείμενος ἤκουσμαι, ἤκουσται. ἐξ αὐτοῦ ἀκουστός. καὶ ἀκουστίζω ὁ μέλλων ἀκουστίσω. ὁ ἀττικὸς μέλλων ἀκουστιῶ. σημαίνει δὲ τὸ ποθῶ ἀκοῦσαι. ἐπὶ γὰρ τῶν διὰ τοῦ ιζω ῥημάτων τῶν ὑπὲρ δύο συλλαβὰς, οἱ ἀττικοὶ ἀποβάλλοντες τὸ ς τοῦ μέλλοντος, καὶ περισπῶντες, ἴδιον μέλλοντα ποιοῦσιν. οἷον, ὑβρίζω, ὑβρίσω, ὑβριῶ. λακτίζω, λακτίσω, λακτιῶ. μυκτηρίζω, μυκτηρίσω μυκτηριῶ.

Ακοῦμαι, παρὰ τὸ ἄχος ἀχοῦμαι, καὶ ἀκοῦμαι. ἵν' ᾖ τὸ ἄχος ἰῶμαι. ἢ παρὰ τὴν ἀκήν. τουτέστι τὸ δι' ὠξυμμένου σιδηρίου θεραπεύειν. καὶ γὰρ τὰς δι' ὀξυτάτων ῥαφίδων ἰωμένας τὰ διερρηγμένα τῶν ἱματίων, ἀκεστρίας φασίν.

Ακεόμενος, ἀκῶ, τὸ θεραπεύω. καὶ ἀκέομαι. ἡ μετοχὴ, ἀκεόμενος. καὶ κρᾶσει δωρικῇ τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον, ἀκεύμενος. ὡς ἔρεβος, ἔρεβευς. καὶ ἀκέον, καὶ ἀκέοντες ὁμοίως. ἄκος γὰρ κυρίως ἡ διὰ σιδήρου θεραπεία.

Ακρατος, ἔστι ῥῆμα, κερῶ. ὁ μέλλων, κεράσω. καὶ κατὰ συγκοπὴν κράσω. ῥηματικὸν ὄνομα, κρατός. καὶ μετὰ τοῦ στερητικοῦ α, ἄκρατος. ἐξ οὗ καὶ κρατήρ. ἀφ' οὗ κιρνᾶται ὁ οἶνος.

Ακρητος. Κρητῆρι δὲ οἶνον μίσγον. σημαίνει ὅτι τὸν οἶνον τῶν τρώων καὶ τῶν ἑλλήνων ἔμισγον. ὅτι δὲ, οὐ σημαίνει τοῦτο. ἀλλὰ ἄκρητον, ἀντὶ τοῦ μὴ μίξαντες τῶν βαρβάρων τὸν οἶνον μετὰ τῶν ἑλλήνων, τουτέστιν ἡμῶν. γίνεται ἐκ τοῦ κερῶ τὸ ἐπιχέω. κεράσω. κράσω. κρατὴρ καὶ κρητήρ. ὡς ἄκρατος ἄκρητος. ἐκ τοῦ κεράσω. ὅθεν καὶ ἀκρασία. κράσω, κρασία καὶ ἀκρασία μετὰ τοῦ ἐπιτατικοῦ α. ἀκρασία γὰρ πᾶν τὸ περιττὸν καὶ ὑπὲρ τὴν χρείαν. λέγεται δὲ καὶ τὸ μὴ κατὰ νόμους συνουσιάζειν.

Ακραεῖ ζεφύρῳ, τῷ ἄκρως ἀέντι καὶ πνέοντι. πολύν. ἢ καθαρόν. ἢ πρωτοπνόῳ. ἢ ὅτι καὶ ἄκρον ἔχει τὴν θεωρίαν.

Ακράαντον, ἀτελείωτον. ἀπλήρωτον. ἐκ τοῦ κραίνω τὸ τελειῶ. ὁ μέλλων κρανῶ. ἔκρανον. καὶ ὡς περ παρὰ τὸ χραίνω χραντὸς, καὶ φαίνω φαντὸς, καὶ ἄφαντος. οὕτω καὶ παρὰ τὸ κραίνω κραντὸς, καὶ ἄκραντος. καὶ πλεονασμῷ τοῦ α, ἀκράαντος ποιητικῶς.

Ακραγές, ἀσθενές. χαλεπόν. δυσχερές. σκληρόν. αὐστηρόν. καὶ τὸ ἀεὶ κλαῖον παιδίον. τά τε ἀκραγῆ, ὀξύχολα.

Ακραι, ἀκμήν.

Ακράτη, ἡ κακομιλία.

Ακραία, παῖς θήλεια ὑπὸ μακεδόνων.

Ακραιφνὴς, ὁ καθαρός. κυρίως δὲ ὁ περιφανής. παρὰ τὸ ἀκέραιον, καὶ τὸ φαίνω. ἀκεραιοφανὴς, καὶ ἀκραιφνής. συγκοπῇ. ἡρωδιανὸς δέ φησι μὴ γίνεσθαι δύο συλλαβῶν συγκοπήν. ἢ ἀκροφανὴς, καὶ ἀκραιφνής. τοῦ ο τραπέντος εἰς αι. ὡς ἐπὶ τοῦ μεσοπόλιος, μεσαιπόλιος. οὕτως ὠρίων. καὶ ἀκραιφνὲς. πρόσφατον. εἰλικρινές. ἀκέραστον. καὶ ἀμιγές. καὶ καθαρόν.

Ἀκρέμων, ὁ κλάδος. ὁ αὐτὸς γὰρ καὶ κρεμὼν λέγεται πρὸς διάφορον ἐτυμολογίαν. ἢ γὰρ παρὰ τὸ ἄκρον γίνεται ἀκρέμων, ὁ ἐπ' ἄκρου τοῦ δένδρου ὤν. ἢ παρὰ τὸ κρέμω κρεμών, ὁ κρεμώμενος.

Ἀκριάς, τὰς ἀκρωρείας. ἀπὸ τοῦ ἄκρις ἄκριος. οἷον, Αὐτίκα δ' ἀκροτάτας ὑπερέσχεθεν ἀκριὰς ἀστήρ. ἀπολλώνιος.

Ἄκρις βαρύτονον, τὸ ἀκρωτήριον. εἴρηται παρωνύμως, παρὰ τὸ ἄκρα ἄκρις, ὡς χαρὰ χάρις.

Ἀκρίς, ὀξυτόνως τὸ ζῶον. παρὰ τὸ κάρη καρίς. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀκαρίς. καὶ συγκοπῇ ἀκρίς, ἡ κάραν μὴ ἔχουσα. ἡ μικροκέφαλος. ἢ παρὰ τὸ μεγάλην κεφαλὴν ἔχειν. διάφορα γάρ τὰ γένη τῶν ζώων. ἢ παρὰ τὴν ἄκραν. οἱ δὲ, παρὰ τὸ ἄκρας τῶν ἀσταχύων, καὶ τῶν φυτῶν νέμεσθαι.

Ἀκρίσιος, ὁ ἥρως. ἀπὸ τῆς ἐν τῷ ὄρει ἄκρας. οὕτω μεθόδιος. ὁ δὲ ὧρος, ἀπὸ τοῦ ἀκρίζω ἀκρίσιος. ὡς παρὰ τὸ θαυμάζω θαυμάσιος. ἢ παρὰ τὸ κρίσις κρίσιος, καὶ ἀκρίσιος ὁ ἄκριτος καὶ ὠμός. ἀκρίζω δὲ σημαίνει, τὸ ἄκροις ποσὶ πορεύεσθαι. λέγεται δὲ καὶ ἀκριβηλίζειν. Δανάης καλλισφύρου ἀκρισιώνης. ἐκ τοῦ ἀκρίζω. καὶ εὐριπίδης. Μόσχον ὑπερήκριζον.

Ἄκριτα, ἀδιαχώριστα. πολλά. ἀπὸ τοῦ κρίναι, ὅ ἐστι διαχωρίσαι. ἢ ἀτέλεστα.

Ἀκριτόμυθε. ἄκριτε περὶ τοὺς λόγους, καὶ ἄτακτε. ἀπεραντολόγε. παρὰ τὸ κρίνω, κρινῶ, κέκρικα, κέκριμαι, κέκριται, κριτὸς, καὶ τοῦ μῦθος. μετὰ δὲ τοῦ α στερητικοῦ, ἀναβιβαζομένου τοῦ τόνου, γίνεται ἀκριτόμυθος. τὰ γὰρ εἰς ος δισύλλαβα ἐν τῇ συνθέσει, ἀναβιβάζουσι τὸν τόνον.

Ἀκριβής, παρὰ τὸ κρύβω, κρυβής, καὶ ἀκριβής. τροπῇ τοῦ υ εἰς ἰῶτα. τὸν γὰρ ἀκριβῆ οὐδεὶς δύναται κρύψαι, ἢ λαθεῖν τι. ἢ παρὰ τὸ ἄχρι καὶ τὸ βαιὸν, γίνεται ἀχριβής, καὶ ἀκριβής. ὁ γὰρ ἀκριβὴς καὶ ἄχρι μικροῦ καταγινώσκεται. οὕτως ὠρίων, καὶ χοιροβοσκός.

Ἀκρήβης. ὁ ἄρτι ἀκμάζων. παρὰ τὸ ἄκρα καὶ τὸ ἥβη.

Ἄκρον, σημαίνει δύο. τὸ ἄριστον, καὶ κάλλιστον. ἄκρον λέγεται, καὶ ἡ εἰς ἐσχάτην πέρας ἄφιξις. οὗτινος οὐκ ἔστιν ἐπέκεινα. τὸ ὑπερέχον. παρὰ τὸ ἄχρι, καὶ τὸ ὂν, ἄχρον καὶ ἄκρον. ἢ ἀρχοντίον. οὕτω μεθόδιος. ὁ δὲ φίλων παρὰ τὴν ἀκήν. ἄκερον, καὶ συγκοπῇ ἄκρον.

Ἀκροθίνια. ἀκροθίνια λέγονται αἱ ἀπαρχαὶ τῶν καρπῶν. θινῶν δὲ κυρίως. ἤγουν τῶν σωρῶν. ἤδη δὲ καὶ ἀπὸ θήρας, καὶ ἀγώνων. παρὰ τὸ θὶν θινός, ὃ σημαίνει τὸν σωρὸν τῶν χρήσεων. θίνιον, καὶ ἀκροθίνιον.

Ἀκροκόλια, ἀκροβολβοί. φακῆ.

Ἀκροστόλιον. λέγεται τὸ ἄκρον τοῦ στόλου. στόλιον δὲ λέγεται τὸ ὑπερέχον ἀπὸ τῆς πρύμνης, καὶ διῆκον μέχρι τῆς πρώρας ξύλον. ἔνθα τὸ τῆς νεὼς ἐπιγράφεται ὄνομα. ἔστιν οὖν ἀκροστόλιον τὸ ἄφλαστον τὸ κατὰ τὴν πρῶραν. ἀλλ' ὅμηρος ἐπὶ τῆς πρύμνης αὐτὸ παραδίδωσι, λέγων, Ἄφλαστον μετὰ χερσὶν ἔχων.

Ἀκροφύσια, τὰ ἀκροστόμια τῶν ἀσκῶν.

Ἀκρόπολις, καθ' ὅπολίς τις οὖσα. ἡ κεφαλὴ τῆς πόλεως. ἔστι καὶ τόπος ὑψηλὸς ἀθήνησι. τὰ δ' ὑπ' αὐτὴν ὑπόπολις ὀνομάζονται.

Ἀκροπόλοισιν ὄρεσιν, ὧν τὰ ἄκρα καὶ αἱ κορυφαὶ περιπολοῦνται, καὶ κινοῦνται. ἢ ἐρήμοις. ἢ ἐφ' ὧν πολεῖται τὰ ζῶα.

Ἀκρόνομοι θρήϊκες, ἤτοι ἀκρόνομοι. ἢ ἄκρως νομῶντες, ἢ οἱ συμμέτρως τοῦ νομᾶν ἔχοντες.

Ἀκρατοκώθωνες, οἱ νέοι οἱ πίνοντες ἄκρατον ἐκ τῶν κωθώνων. ὅθεν καὶ οἱ κώθωνες ἐκλήθησαν. ἐπειδὴ ἐν τοῖς συμποσίοις τὸν ὅλον βίον διάγουσιν ἀκρατοποτοῦντες. καὶ ἀκροκώθων, ἀπὸ τοῦ κώθωνος τοῦ ποτηρίου.

Ἀκρομίλη, ἐπιγουνατισμόν.

Ἀκροσφαλῆ, ἐπισφαλῶς, ἢ ἐγγύς πως.

Ἀκροχειρίζεσθαι, ἄρχεσθαι χειρῶν ἀδίκων ἔργων. οἱ δὲ ἀκροχεῖρας, τοὺς ὀξυχεῖρας. ἢ ἀνδρόνους. καὶ ἀκρόχολοι, οἱ ὀξύχολοι.

Ἀκροπόροι ὀβελοί, οἷς ἄκροις πείρεται τὰ κρέα. καὶ ἀκροβελίδες, τὰ ἄκρα τῶν ὀβελῶν, ἢ τοῦ ὀβελίου ἄρτου.

Ἀκρώνα. τὰ ἀθροίσματα, καὶ ἡ ἀκρότης, καὶ ἡ ἀκμή. τὸ ἐπὶ λέκτρον ἄθροισμα.

Ἀκροβολησάμενοι, τῆς συμβολῆς ἐν τῷ πολέμῳ ἀρξάμενοι. ἢ ἀκοντίσαντες. ἀκροβολισμὸς δὲ ἐστιν, ὅτε πρὶν συμβάλλουσιν οἱ πολέμιοι, ἀλλήλους βάλλουσι τοῖς βέλεσι, καὶ τοῖς λίθοις.

Ἀκροβυστία, ἐκ τοῦ ἀκρόβυστος, ὃ σημαίνει τὸν κεκαλυμμένον. παρὰ τὸ βύω τὸ καλύπτω, βύσω βέβυκα βέβυσμαι βυστής, καὶ ἀκρόβυστος. ἐντεῦθεν καὶ ἄβυσσος, ἄβυστος. καὶ τροπῇ τοῦ τ εἰς σ, ἄβυσσος, μετὰ τοῦ ἐπιτατικοῦ ἄλφα. ὁ τόπος ὁ ὑπὸ πλήθους ὑδάτων καλυπτόμενος.

Ἀκρον ἀώτου. οὕτω δὴ ἅπαντες ἄκρον ἄωτον οἱ καθ' ἡμᾶς φιλοσοφήσαντες, τὴν ἀπαρχὴν κατὰ μετάληψιν. ἠ γὰρ τὴν ἀπὸ τοῦ ἄνθους ἀρχὴν καὶ καρπόν. ἄωτον γὰρ τὸ ἄνθος. καὶ ἡ ἡλικία. ἀπὸ δὲ τοῦ ἄκρου, τὸ σπουδαῖον. σημαίνει δὲ καὶ ἀκρωτηρίου ὕψος. τὸ δὲ ἄνθον δηλοῖ, ἱμάτιον ἔριον. δέρμα. ὅμηρος. Τί πάνυ χοῖ ὑπὲρ ἀώτου ἀπολαύεις.

Ἀκροῶ, παρὰ τὸ ἀκούω ἀκοῶ. ὡς περὶ στρῶ σαρῶ. κύρω κυρῶ. καὶ πλεονασμῷ τοῦ ρ, ἀκροῶ. ἀκροᾶσθαι, ὑπακούειν, καὶ ὑποτετάχθαι.

Ἀκρωτηριάζω, ἱστορία, ὅτι οἱ παλαιοὶ τοὺς ἐπί τινι ἁμαρτήματι ἁλόντας ἐνυβρίζοντες, τὰ ἄκρα τῶν ὤτων ἀπέτεμνον. τὸ οὖν κρῶ, μέγα. καὶ δημοσθένης, ἠκρωτηριασμένοι, τὸ λελυμασμένοι. ἀντὶ τοῦ ἐνωτικῶς ἠκρωτηριασμένοι.

Ἀκροκελαινιόων. τὸ ἄκρον μέρος τοῦ κύματος ἔξεπιπολῆς μελαινόμενος. τοιοῦτοι δέ εἰσιν ὅλοι οἱ ὀξεῖς ποταμοί.

Ἀκτή, ἡ ἀττική. οἱ μὲν, ἀπό τινος βασιλέως τοῦ ἀκταίωνος. οἱ δὲ, ἀπὸ τοῦ τὰ πλείονα μέρη εἰς θάλασσαν ἐνηνέχθαι. σημαίνει δὲ, γῆν. λέγεται δὲ καὶ ὁ καρπὸς, παρὰ τὸ κατάγνυσθαι ἐν τῷ ἀλήθεσθαι δημήτερος ἀκτήν. ζήτει εἰς τὸ πρόθυρον. ἀκτή, καὶ ὁ αἰγιαλὸς τῆς θαλάσσης ὁ παρὰ θάλασσαν, καὶ πετρώδης τόπος. παρὰ τὸ ἄγω τὸ κλάνω. παρὰ τὸ κατάγνυσθαι καὶ κλᾶσθαι εἰς αὐτὴν τὰ κύματα. ἀκτὶς τοῦ ἡλίου, παρὰ τὸ ἄγω τὸ φέρω. ἄξω. ἦχα, ἦγμαι, γέγονεν ἀκτίς. οἱονεὶ ἡ πάντα χοῦ φερομένη. πάνυ γάρ ἐστιν ἐκτεταμένη. ἢ παρὰ τὸ αἴσσω, αἴξω. ἧϊχα, ἥϊγμαι, ἥϊκται, ἀκτίς. ὁρμητικὴ γάρ ἐστιν. ἐπειδὴ ὅπου εὕρη ὀπὴν εἰσέρχεται.

Ἄκτιος, ἄκτιον τὸν πᾶνα θεόκριτος εἴρηκεν. ἄκτιος ἢ ὁ θηρατής. καὶ γὰρ ἐπακτῆρες οἱ θηραταί. ἢ ὁ ἐπὶ ταῖς ἀκταῖς ὑπὸ τῶν ἁλιέων ἱδρυμένος. ἀγρευτὴς γὰρ ὁ θεός. ἐν ἀθήναις τιμώμενος.

Ἀκταίωρος, παρὰ τὸ τὴν ἀκτὴν οὐρεῖν, ὅ ἐστι φυλάττειν, τροπῇ τῆς ου εἰς ω. καὶ ἀκτωρεῖν τὸ παρὰ θάλασσαν φυλάττειν. σημαίνει φύλακας. γεωργούς.

Ἀκταίνω, ἀντὶ ἱππῶν. ἀκταίνειν, τὸ μετεωρίζεσθαι καὶ ἐπαίρεσθαι, καὶ γαυριᾶν. παρὰ τὸ ἧκται ἀκτὸς. καὶ ῥῆμα ἀκτῶ. ἀφ' οὗ τὸ νουθίζω παρὰ αἰσχύλῳ. ἐξ οὗ ἀκταίνω. καὶ ἀκταινόμενος, τὸ ἀνάγον καὶ δυνάμενον ἀνορθοῦν.

Ἀκτάζων, ἀντὶ τοῦ ἐξανιστάμενος. ἀπὸ τοῦ ἄττω ἀττάζω. καὶ ἀκτάζω, τροπῇ τοῦ τ εἰς κ. ὡς ἀττική, ἀκτική. ἢ παρὰ τὴν ἀκτήν. καὶ νυκτέλιος, καὶ νυκτέλιος.

Ἄκτωρ. ὃς ἦν πατὴρ μενοιτίου. ἄγω βαρύτονον. ἐξ οὗ ἀγάγω. καὶ ἐπὴν ἀγάγωμι πόλιν. εἰς μι. ἄγω. ὁ παρακείμενος, ἦχα. ἄκτωρ ὁ διανομεύων. ἡγεμονικὴ, ἄκρος. καὶ ἀναγέ χεῖ εἰς εὐθεῖαν. ἔστι δὲ καὶ προσηγορικόν, καὶ κύριον. ὅ φασί τινες ἀπὸ τοῦ ἄγω τοῦ κλῶ. ἀφ' οὗ δ' ἄγεν ὀξέες ὄγμοι. ἄγω οὖν ἧκται, ἄκτωρ. φασὶ τὸν πατέρα τοῦ ἄκτορος ἀζέα, πρὸς τὸν γλαῦκον τοῦ σισύφου διαγωνιζόμενον ὀλύμπια, κατεάξαι αὐτοῦ τὸ ἅρμα. καὶ ἀπὸ τῆς πράξεως ὀνομάσαι τὸν υἱόν. μεθόδιος.

Ἄκυτος, παρὰ τὸ κύω κυτὸς, καὶ ἄκυτος. καλλίμαχος ἄκυθος εἶπεν μεταλήψει στοιχείου ἐχρήσατο ἀμαρτάνων περὶ σημαινομένου. δηλοῖ γὰρ ἡ λέξις ἐνεργητικὸν σημαινόμενον τὰς μὴ κυούσας.

Ἄκυον, ἀρτίκιον.

Ἄκυρον, ἀμιγῆ. παρθένον.

Ἄκυλον, βάλανον πρινίνην. οἱ δὲ τὸ αἰδοῖον ὑπολυδῶν. καὶ κομάρου ὁ καρπός. ῥωμαῖοι μαίκυλα. ἀχυλόν τι ὥς ἐγώ φημι.

Ἀκύκλιος, ἀπαίδευτος.

Ἀκυρής, ἀτυχής. καὶ ἀκυρήματα, ἀτυχήματα.

Ἀκώπητον, ἀπαρασκεύαστον ναῦν, ἢ ἄνοπλον. ἀπὸ τῆς λαβῆς.

Ἀκταῖοι, ἰχθῦς οἱ αἰγιάλιοι.

Ἀκτέανοι, πένητες.

Ἀκτή, ἡ τροφή. ἄλευρον κριθῆς.

Ἀκτῆνες, ἀγυῖται ἠργηκότες.

Ἄκυθος, λέγεται ἡ ἄγονος. καλλίμαχος.

Οὐδ' ἀγάλακτες ὄϊες, οὐδ' ἄκυθοι. πᾶσαι δὲ κεν εἶεν ὕπαρνοι. παρὰ τὸ κύω, ἄκυος. καὶ πλεονασμῷ τοῦ θ, ἄκυθος. ἢ παρὰ τὸ κύω ἄκυτος, ἄκυθος. ὡς λύω, λυτὸς, καὶ ἄλυτος. καὶ ὤρεται, ὀρτὸς, καὶ ὀρθός. ἢ παρὰ τὸ κύθω τὸ κρύπτω, ἄκυθος. ἢ παρὰ τὸ μὴ ἔχειν σπέρμα. κύθος γὰρ τὸ σπέρμα. κύθεται γὰρ καὶ κρύπτεται, ἡ γονή, καὶ τὸ κύημα ἐν τῇ μήτρᾳ. οὕτω μεθόδιος. ἔστι δὲ καὶ κανὼν ὁ λέγων, τὰ διὰ τοῦ υθος ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ υ ψιλοῦ γράφεται. μίκυθος, ὄνομα κύριον. μαμμάκυθος, ὁ μωρός.

Ἀκωκή, ἡ ὀξύτης τοῦ βέλους. παρὰ τὸ ἀκή, γίνεται κατὰ ἀναδιπλασιασμὸν ἀκωκή. ὥς ἔδω, ἐδωδή. τὰ διὰ τοῦ ωκη ὑπὲρ δύο συλλαβὰς τῷ ω παραληγόμενα, σπάνια. ὀξύτονα μέν εἰσι, δύο. ἀκωκή, καὶ ἰωκή. καὶ τὸ στεώκη, ὄνομα πόλεως, βαρύνεται. ἢ τὰ ἔχοντα ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ τὸ αὐτὸ σύμφωνον διὰ τοῦ ω μεγάλου γράφονται. ἔδω, ἐδή, καὶ ἐδωδή. ἄγω, ἀγή. καὶ ἀγωγή. οὕτω καὶ ἀκή, καὶ ἀκωκή. ἔστι καὶ πύργου σχῆμα :–

ΤΟ ΑΛΦΑ ΜΕΤΑ ΤΟΥ ΛΑΜΒΔΑ :–

Ἀλάβαστρον, καὶ ἀλάβαστρος. λήκυθος λιθίνη πρὸς μύρων ἀπόθεσιν. λαμβάνει δὲ τὸ ρ ἀλάβαστος οὖσα. οὕτως εἰς τὸ διογένους ἐγκώμιον. σκεῦος ἐξ ὑέλου, ἢ μυροθήκη. παρὰ τὸ λαβῶ, μετὰ τοῦ στερητικοῦ ἄλφα, ἀλάβαστον. καὶ πλεονασμῷ τοῦ ρ, ἀλάβαστρον, οὐ λαβέσθαι διὰ λειότητα ἀδύνατον. μεθόδιος.

Ἀλαβής, ὁ ἰχθῦς. ὁ ἐστερημένος διὰ χειρῶν κρατεῖσθαι.

Ἀλαζών. ὁ ἀπατεών. καὶ κομπαστής. ὁ ἐν ἄλῃ καὶ πλάνῃ. καὶ ἐκ τοῦ περιιέναι ζῆν. οὐκ ἐξ ἐπιτηδεύματος, ἀλλ' ἀπὸ ἀπάτης. ὁ ἐπὶ πλέον τὰ ἑαυτοῦ κομπάζων. τὸ ἐναντίον τῇ εἰρωνείᾳ. εἴρων γὰρ ὁ ἐπὶ τὸ ἧττον ἄ-

γων, καὶ μενόντων. ὅταν δυνάμενος φάσκῃ μὴ δύνασθαι.

Ἀλάλη, ὁ θόρυβος καὶ ἡ ἄναρθρος φωνή. παρὰ τὴν ἅλα τὴν ἀεὶ ἠχοῦσαν. ἄλη καὶ διπλασιασμῷ ἀλάλη. ἐξ οὗ ἀλαλάζω, καὶ ἀλάλαγμα. καὶ ἀλαλητὸς ὁ θόρυβος. παρὰ τὴν ἀλάλην. ἢ κατὰ στέρησιν τοῦ λαλεῖν. ἢ κατ᾽ ἐπίτασιν. διὸ πολύλαλος ὄχλος. καὶ ἀλαλάζειν, τὸ ἐν μάχαις λέγειν. παρὰ τὸ λῶ τὸ λαλῶ. οὗ παράγωγον λάζω. καὶ διπλασιασμῷ λαλάζω, καὶ ἀλαλάζω.

Ἀλαλκών, βοηθήσας. ἐπαμύνας. ἔστι ῥῆμα ἄλκω. ὁ μέλλων ἄλξω. ἐξ οὗ ῥηματικὸν ὄνομα ἄλξ ἀλκός, ἀλκί. ἐκ τοῦ ἄλκω. ὁ δεύτερος ἀόριστος, ἄλκον. ἡ μετοχὴ ἀλκών. καὶ διπλασιασμῷ ἀλαλκών. καὶ ἄλαλκον, καὶ ἤλαλκον. ἀλλ᾽ ἐστὶν ἀπὸ βαρυτόνου θέματος, παραλήγεται ἄρα ὁ δεύτερος ἀόριστος μακρᾷ παραληγούσῃ. ὤφειλε γὰρ συστέλλεσθαι. κάλλιον οὖν ἐστι λέγειν ἀπὸ τοῦ ἀλκῶ περισπωμένου. καὶ διπλασιασμῷ, ἀλαλκῶ, ἀλαλκήσω. τὸ ἀπαρέμφατον, ἀλαλκεῖν. ὁ δεύτερος ἀόριστος, ἤλαλκον.

Ἀλαλκομενηίς, ἐπίθετον τῆς ἀθηνᾶς παρ᾽ ὁμήρῳ. παρὰ δὲ τοῖς ἄλλοις, καὶ τῆς ἥρας, καὶ διός. οἷον ἀλαλκομένη λέξις. ἡ ἀπαλεξητικὴν προθυμίαν ἔχουσα. ἢ ἐν ἀλκῇ μένουσα. ἀλκὴ δὲ καὶ ἡ μάχη. καὶ ἀλκάζειν, τὸ μάχεσθαι. ἀλκομένη, καὶ ἀλαλκομενηὶς ἐν διπλασιασμῷ. ὡς ἀσταρτηρός, καὶ ἐτήτυμος. καὶ ἀτιτάλλειν. ἢ ἀπὸ ἀλαλκομενέως τινὸς ἱδρυσαμένου αὐτῆς ναόν. ὡς βασιλεύς, βασιληίς. καὶ θησηίς. καὶ οἰνηίς. μεθόδιος. ἡ ἀλαλκοῦσα, τουτέστι, τῇ δυνάμει βοηθοῦσα. ἢ ἡ ἐν ἀλαλκομεναῖς πόλει τῆς βοιωτίας τιμωμένη. ἔνθα καὶ ἀλαλκομένιον ἀθηνᾶς ἱερόν. ἢ ἀπὸ ἀλαλκομενηίου γραφέως βοιωτοῦ.

Ἀλάλημαι. Ἀλάλημαι ἂν εὐρυπυλὲς ἄϊδος δῶ. πεπλάνημαι. παρὰ τὴν ἄλην τὴν πλάνην γίνεται ῥῆμα ἀλῶ. παράγωγον ἄλημι. καὶ κατὰ μεταβολήν, τῆς συζυγίας αἰολικῶς γίνεται πρώτης συζυγίας. καὶ διπλασιασμῷ ἀλάλημι. τὸ παθητικὸν ἀλάλημαι. καὶ ἀλάληθε. ὁμοίως δὲ καὶ ἡ μετοχὴ προπαροξύνεται, ὅτι οὐκ ἔστι παρακείμενος. εἰ γὰρ ἦν παρακείμενος, παροξύνετο. οὕτω ζηνόβιος. ὁ δὲ ἡρωδιανὸς ἐν τῷ περὶ παθητικῶν λέγει. ἀπὸ τοῦ ἄλημι ὁ παθητικὸς παρακείμενος ἤλαμαι. καὶ ἀττικῶς ἀλήλαμαι. ἔνθεν τὸ ἀληλάμεθα περὶ κύκλον. καὶ καθ᾽ ὑπέρθεσιν ἀλάλημαι.

Ἀλαλήμενος. ἰστέον ὅτι τὸ ἀλαλήμενος, καὶ ἀκαχήμενος, οὐκ εἰσὶ παρακείμενοι, ἐπεὶ ὤφειλον παροξύνεσθαι, ὡς τὸ πεποιημένος. ἀλλ᾽ ἔστιν ἀλῶ ἄλημι, ἀκαχῶ ἀκάχημι ἐνεστῶτες. ὁ παθητικὸς ἀκάχημαι, καὶ ἀλάλημαι αἰολικῶς. οἱ γὰρ αἰολεῖς τὴν παραλήγουσαν οὐ συστέλλουσι. καὶ ἡ μετοχή, ἀλαλήμενος. καὶ ἀκαχήμενος.

Ἀλαλύκτημαι, Οὐδέ μοι ἦτορ ἔμπεδον, ἀλλ᾽ ἀλαλύκτημαι. τεθορύβημαι. ἀδημονῶ καὶ πεπλάνημαι. καὶ οἱ μὲν παρακείμενον. οἱ δὲ ἐνεστῶτα φασίν. ἔστιν οὖν, ἀλῶ ἀφ᾽ οὗ ἀλύω, ὡς ἀνῶ, ἀνύω. ἀφ᾽ οὗ, ἀλύσσω, ὡς ὀρύσσω. καὶ ὡς παρὰ τὸ ὀρύσσω, ὀρυκτός, οὕτως ἀλύσσω ἀλυκτός. καὶ ὡς ἄτακτος ἀτακτῶ, οὕτως ἄλυκτος, ἀλυκτῶ. οὗ ὁ παρακείμενος, ἠλύκτηκα. ὁ παθητικός, ἠλύκτημαι. καὶ ἀττικῷ διπλασιασμῷ, ἀλαλύκτημαι. συστολῇ τοῦ η εἰς ἄλφα. ἔθος δὲ τῷ ποιητῇ ποιεῖσθαι ἐπὶ τοῦ ῥήματος τὸν τύπον ἀττικόν. ὡς τὸ ἀλαλῆσθαι. οὕτω δὲ ἐνεστώς ἐστιν ἀλυκτῶ. οὗ παράγωγον εἰς μι, ἀλύκτημι. οὗ παθητικὸς αἰολικῶς ἀλύκτημαι. ἔνιοι γὰρ οὕτω ποίημαι καὶ νόημαι λέγουσι. καὶ ἐν διπλασιασμῷ ἀλαλύκτημαι. ἐπεὶ ὁ ποιητὴς πολλοῖς αἰολικοῖς χρῆται. καὶ μάλιστα ἀκαχήμενος, καὶ ἀκάχημενος. δύναται δὲ αὐτὸ καὶ ἀπὸ τοῦ θορυβεῖσθαι. παρὰ τὴν ἀλάλην γίνεται ἀλαλῶ. ἀφ᾽ οὗ ἀλαλύσσω. ἀφ᾽ οὗ ῥηματικὸν ὄνομα ἀλαλυκτός, καὶ ἀλαλυκτῶ, καὶ ἀλαλύκτημαι. μεθόδιος.

Ἀλακάτη. καὶ ἠλακάτη ἰωνικῶς. παρὰ τὸ ἄγω ἄξω γίνεται ῥηματικὸν ὄνομα, ἄκτος. καὶ τὸ θηλυκόν, ἄκτη. καὶ πλεονασμῷ τοῦ ἄλφα, ἀκάτη. καὶ πάλιν ὑπεισελθούσης τῆς αλ συλλαβῆς, ὡς παρ᾽ εἴωθε γίνεσθαι, ἀλακάτη. ἡ ἄγουσα τὸ ἔριον, ἢ λίνον. οὕτως ὠρίων.

Ἀλαός, ὁ τυφλός. ὁ ἐστερημένος τοῦ λάειν. ὅ ἐστι βλέπειν. ὅμηρος ὀδυσσείας τ. Ἀσπαίρον τα λάων, ἀντὶ τοῦ βλέπων. ἢ παρὰ τὸ ἀλῶ τὸ πλανῶ, ἀλαός. ὁ περιπλανώμενος. ἢ παρὰ τὸ ἀλάσαι ὃ σημαίνει τὸ ἐλαττῶσαι, ὁ ἐλαττωθεὶς τοῖς ὀφθαλμοῖς. μεθόδιος. Οὐδ᾽ ἀλαὸς κοπιὴν εἶχε. τουτέστιν, οὐδὲ τυφλὴν τὴν κατασκοπὴν εἶχε, τουτέστιν οὐκ ἔλαθεν αὐτόν. καὶ ἀλαῶσαι τὸ τυφλῶσαι. παρὰ τὴν ἄλην τὴν πλάνην. οἱ γὰρ τυφλώττοντες ἀλῶνται.

Ἀλαπάζειν. λάπαθός ἐστι βοτάνη κενωτικὴ τῆς γαστρός. παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ πάθος. καὶ δημόκριτος τοὺς παρὰ τῶν κυνηγετῶν γινομένους βόθρους, λαπάθους καλεῖ. διὰ τὸ κεκενῶσθαι. πλεονασμῷ τοῦ α ἀλαπάζω τὸ πορθῶ. ἀπολλύω. ἀναλίσκω. ἀλαπάξαι δὲ κυρίως τὸ κενῶσαι. καὶ παρὰ τὸ ἀλαπάζω, ἀλαπαδνὸς ὁ ἀσθενής. ὡς αἰκίζω αἰκιδνός, ὁ κενὸς δυνάμεως.

Ἀλάστωρ, ὁ ἁμαρτωλός, ἢ φονεύς, ἢ ὁ ἐφορῶν τοὺς φονεῖς. κατὰ μὲν χρύσιππον τὸν φιλόσοφον ἐπὶ τοῦ ἁμαρτωλοῦ καὶ φονέως, ἀπὸ τῆς ἐλάσεως. ὁ ἄξιος τοῦ ἐλαύνεσθαι διὰ φόνον. ἢ ἀπὸ τοῦ ἀλᾶσθαι τὸ πλανᾶσθαι. ἢ ὁ ἄλαστα δρῶν. κατὰ δὲ ἀπολλόδωρον ἀπὸ τοῦ ἀλιτεῖν, ὅ ἐστιν ἀλιταίνειν, τουτέστιν ἀδικεῖν. μήποτε δέ ἐστιν ὁ διὰ μέγεθος τῶν πεπραγμένων αὐτῷ λιτῆς μὴ καταξιούμενος. ἢ ὁ τοιαῦτα τολμήσας παρά τι, ὧν μή ἐστιν ἐπιλαβέσθαι. ἐπὶ δὲ τοῦ διός, οἷον ἀλάστωρ ζεύς. ἀπὸ τοῦ τοῖς τὰ ἄλαστα πάσχουσιν, ἐπαμύνειν. ἢ ὁ τὰ ἄλαστα, τουτέστι τὰ χαλεπὰ τηρῶν. μένανδρος.

Ὁ δ᾽ ἀλάστωρ ἐγώ, καὶ ζηλότυπος ἄνθρωπος. καὶ δαιμόνων ἀλαστόρων. οὕτως εὗρον εἰς τὸ λεξικὸν τὸ ῥητορικόν. συμφωνεῖ δὲ αὐτοῖς καὶ μεθόδιος εἰς τινα.

Ἀλαστός λέγεται, ὁ μέθης ἄξια ποιῶν, διὰ τὴν κακοπραξίαν. γίνεται ἀπὸ τοῦ ἀλαστῶ, ὡς ἀπιστῶ ἄπιστος. ὁ δὲ φιλόξενος λέγει, ἔστι ῥῆμα ἀλῶ τὸ πλανῶ. γίνεται παράγωγον ἀλάζω. ὡς ἀνιῶ ἀνιάζω. σκεδῶ σκεδάζω. ἐκ τούτου ἀλαστός, ὡς σκευάζω σκευαστός. καὶ ἐξ αὐτοῦ ῥῆμα ἀλαστῶ. σημαίνει τὸ χαλεπαίνω. οἱ γὰρ πλανώμενοι χαλεπαίνουσιν. οὕτως ὠρίων.

Ἀλαστήσας, σχετλιάσας. δεινοπαθήσας. ἢ παρὰ τὸ λάζω τὸ λαμβάνω. ὃ οὐκ ἄν τις θέλει λαβεῖν.

Ἄλαστον, πένθος ἄλαστον. καὶ ἄλαστα τὰ κακά, ἀνεπίληστα τινὰ ὄντα. ἢ παρὰ τὸ λάζω. Λαζέτω δ᾽ ἔγχος. γέγονεν ἄλαστα, ὧν οὐκ ἄν τις λάβῃ. ἀνεπίληστα τινὰ ὄντα. τουτέστι φευκτά. ὠρίων. ἢ ἄτλητα. δεινά. μιαρά. ἢ μνημονικά.

Ἄλαρα, τὰ ποντικὰ κάρυα. καὶ τὸν αὐλὸν τοῦ δόρατος καταξυόμενον. οἱ δὲ καὶ δένδρον ἀλαρίαν, ὅθεν εἰσὶ τὰ δόρατα αἱ ῥάβδοι.

Ἀλαίνω, ἀπὸ τοῦ ἀλῶ παράγωγον ἀλαίνω. ὡς δρῶ δραίνω. σημαίνει ἐξεστηκέναι, μαίνεσθαι. οἱ δέ, ὀρύσσειν.

Ἀλαιθερές, χλιερόν. οἱ δὲ ἡλιοθερές.

Ἀλάομαι, ἀλῶμαι. καὶ τὸ ἀπαρέμφατον ἀλᾶσθαι.

Ἀλαστάνομαι, ἀγανακτῶ. καὶ δυσπαθῶ.

Ἀλαῖος, ὁ ἀπόλλων. φιλοκτήτης γὰρ παραγενόμενος εἰς ἰταλίαν, ἀπὸ τοῦ συμβεβηκότος ἱδρύσατο ἀπόλλωνος ἀλαίου ἱερόν. ἐν ᾧ καὶ τὸ τόξον ἀπέθετο.

Ἄλγος, ἡ λύπη. παρὰ τὸ ἀλέγω τὸ φροντίζω. ὃ περὶ πολλοῦ ποιούμεθα. καὶ φροντίζομεν. τὰ γὰρ πολυπαθῆ φροντίδος ἄξια. ἢ ἃ μὴ λέγει τις καὶ ὀνομάζει.

Ἄλγεα, πήματα.

Ἀλγηνός, ἀλγηδών. καὶ ἀλγεῖς ἀρρωστεῖς.

Ἀλδαίνειν, τὸ αὔξειν. παρὰ τὸ ἅλλεσθαι τὸ πηδᾶν κατὰ τὴν αὔξησιν.

Ἀλδήσκω, καὶ ἀλδήσκοντος ληίου, αὐξάνοντος. καὶ ἀναλδήσκοντες ὑπὸ χθονός, ἀντὶ ἀναδιδόμενοι. αὐξόμενοι. παρὰ τὸ ἀλῶ ἀλήσω ἀλήσκω. καὶ πλεονασμῷ τοῦ δέλτα ἀλδήσκω κατὰ μεταφοράν. τὸ γὰρ ἀληλεσμένον οὐκ αὐξάνει. ἢ παρὰ τὸ ἅλλεσθαι. βλαστάνειν καὶ ἀδρύνεσθαι.

Ἀλδήμιος, ἢ ἄλδος ὁ ζεύς. ὃς ἐν γάζῃ τῆς συρίας τιμᾶται. παρὰ τὸ ἀλδαίνω, τὸ αὐξάνω. ὁ ἐπὶ τῆς αὐξήσεως τῶν καρπῶν. μεθόδιος.

Ἀλέα, ἡ θερμασία. ἀλέα λέγεται ὁ τόπος, ὁ ὑπὸ τοῦ ἡλίου θερμαινόμενος. παρὰ τὸν ἥλιον. ἄλιος γὰρ ὁ ἥλιος λέγεται. μεταφορικῶς δὲ καὶ πάντα τόπον θέρμην ἔχοντα.

Ἀλεείνω, τὸ ἐκφεύγω, καὶ ἐκκλίνω. οἱονεὶ εἰς τὴν θερμασίαν ἐκ τοῦ ψύχους ἀποφεύγω. φαείνω. τὰ διὰ τοῦ εινω ὑπὲρ δύο συλλαβάς, διὰ τῆς ει διφθόγγου γράφονται. πλὴν τοῦ ὀδύνω ὀρίνω. καὶ ἕως τοῦ παρατατικοῦ κλίνεται.

Ἀλεαίνω, τὸ πλανῶμαι. παρὰ τὴν ἄλην τὴν πλάνην. καὶ ἀλεαινόμενοι θερμαινόμενοι. τὰ διὰ τοῦ αινω ῥήματα ὑπὲρ δύο συλλαβὰς διὰ τῆς αι διφθόγγου γραφόμενα, ἄχρι τοῦ παρατατικοῦ κλίνονται. πρόσκειται διὰ τῆς αι διφθόγγου, διὰ τὸ ὀρίνω ὀδύνω. ταῦτα γὰρ ἔχει μένοντα.

Ἀλέασθαι, ἐκκλῖναι. ἀναχωρῆσαι. κυρίως δὲ τὸ ἀπὸ πυρὸς ἐκφυγεῖν. ἀλέα γὰρ ἡ θέρμη τοῦ πυρός δαλέα τις οὖσα, ἀπὸ τοῦ δαίω τὸ καίω. λέγεται καὶ ἡ εὐδία καὶ ἡ βοήθεια.

Ἀλεωρά, σημαίνει δὲ τὸ φυλάξασθαι. καὶ ἀλεωρά, ἀνάπαυσις, βοήθεια.

Ἀλέγω, παρὰ τὸ λέγω τὸ φροντίζω, ἀφ᾽ οὗ καὶ λόγος ἡ φροντίς. μένανδρος, Οὐδὲ λόγον ὑμῶν οὐδὲ ἐπιστροφὴν ἔχω. καὶ ἀλέγω μετὰ τοῦ ἐπιτατικοῦ α. καὶ οὐκ ἀλέγω. καὶ οὐκαλέγων ὄνομα κύριον. ἀλέγω ἀλεγίζω παράγωγον, ἀλεγύνω. Δαῖτα δ᾽ ἀλεγύνον. μεθόδιος. καὶ ἔνθεν δ᾽ ἔγωγ᾽ οὐκ ἀλεγίζω. σημαίνει τὸ κήδεσθαι. ἀλεγύνει δὲ τὸ αὔξεται.

Ἀλεγεινής, ἀλγεινής. χαλεπῆς. οὐκ ἀπὸ τοῦ ἀλέγω ἀλεγεινός. οὐδὲ ἀπὸ τοῦ ἐλεῶ, ἐλεεινός. ἐπειδὴ ὤφειλε γράφεσθαι διὰ τοῦ ι. τὰ γὰρ εἰς νος ὀξύτονα μένοντα παρώνυμα, διὰ τοῦ ἰῶτα γράφονται. οἷον τάχα, ταχινός, πύκα, πυκινός. ἀληθές, ἀληθινός. χθές, χθεσινός. ἀλλ᾽ ἀπὸ τοῦ ἄλγος ἀλγεινός, καὶ ἀλεγεινός. ἔλεος ἐλεεινός, πλεονασμῷ τοῦ ε. καὶ γράφεται διὰ διφθόγγου ὡς παρώνυμον.

Ἀλεγεινοί, ἀντὶ τοῦ δυσχείρωτοι. Οἱ δ᾽ ἀλεγεινοὶ ἄνδρεσι. περὶ τῶν ἀχιλλέως ἵππων. ἰλιάδος κ. ἀλγεῖν παρέξοντες. ἢ πρὸς τὸ κτήσασθαι ἀδύνατοι.

Ἄλεν, Οἱ δ᾽ ἦ τοι εἰς ἄστυ ἄλεν. εἰλοῦνται, εἴτε ἀπὸ τοῦ ἐγκλίνειν τίθεται, ὥς φησιν ὁ ἀσκαλωνίτης, εἴτε ἀπὸ τοῦ συστραφῆναι. ᾧ καὶ μᾶλλον συγκατατίθεμαι. ἔστι δὲ δεύτερος ἀόριστος. ἀλῶ τὸ πλανῶ εἰλοῦται. ὁ δεύτερος ἀόριστος ἦλον. τὸ δεύτερον, ἦλες. τὸ τρίτον ἦλε. τὸ πρῶτον τῶν πληθυντικῶν ἤλομεν. καὶ κατὰ συγκοπὴν ἄλεν. καὶ ἡ μετοχή, ἀλείς ὡς φανείς. ἀλέντος. τὸ ὑποτακτικὸν ἐὰν ἀλῶμαι, ἐὰν ἀλῆται. συστολὴ οὖν ἐγένετο, καὶ μεταβολὴ τοῦ τόνου.

Ἄλεται. εἰς ἵππους ἅλλεται. ἀθροισθείς, ἢ πηδήσας, ἢ φυλαχθείς.

Ἀλεξῶ, κυρίως τὸ τῇ γυναικὶ βοηθῆσαι. παρὰ τὴν ἄλοχον. κατὰ χρῆσιν δὲ καὶ τὸ ὅπως δήποτε. ἢ ἀπὸ τοῦ ἀλκῶ ἀλεξῶ. καὶ πλεονασμῷ τοῦ ε ἀλέξω. ὁ παρ' αὐτῶν ἐνεστὼς τὰ ἀναχθὲν βαρύνεται ὑπὸ τῶν ἀττικῶν. μεθόδιος. παρὰ τὸ ἀλέγω ἀλέξω. ὁ μέλλων αὐτοῦ ἐνεστῶτα, καὶ περισπᾶται.

Ἀλέξανδρος, παρὰ τὸ ἐπαλεξεῖν τῇ πατρίδι τοῖς πολεμίοις. ἢ παρὰ τὸ ἄλεξιν εἶναι ἀνδρῶν, ἤγουν βοηθεῖν. ἀλέξω γὰρ τὸ ἀμύνω.

Ἀλεκτρυὶς, ἡ ὄρνις. καὶ ἡ ἀπὸ τῆς κεφαλῆς τρεφομένη θρίξ. καὶ ἀλεκτρυόνα ἔλεγον τὴν θήλειαν ὄρνιν. καὶ τὸν λόφον τῆς περικεφαλαίας. περσαι δὲ καὶ τοὺς κόρακας.

Ἄλεκτρος, ἄζυγος.

Ἀλεξητήριον, ἐκ τοῦ ἀλεξῶ ἀλεξήσω, ὡς τὸ ἰῶ ἰάσω, ἀλεξιατήριον. καὶ συγκοπῇ ἀλεξητήριον. ἢ ἀπὸ τοῦ ἠλέξηται παθητικοῦ παρακειμένου, γίνεται ἀλεξητὴρ, καὶ ἀλεξητήριον. τὸ ξη, διὰ τοῦ η.

Ἀλεξιάρη, ἡ σπόδος. Νοιὸς ἀλεξιάρη, παίδων εὐκλήτειρα. ἀπαλέξουσα. καὶ ἀπείργουσα τὴν ἀρήν. τουτέστι τὴν ἐκ τοῦ λιμοῦ βλάβην. ἢ τοὺς παῖδας ἡδοῦσα καὶ θάλλουσα. εὔκηλος. ἡσυχάστρια. ἡ ἀναμενομένη τῇ.

Ἀλεξίκακος, ἡ ἀποτρεπτικὴ τῶν κακῶν. ἀπὸ τοῦ ἀλέξω. καὶ τοῦ κακόν. καὶ τροπῇ τοῦ ω εἰς ι. τὰ γὰρ ἀπὸ ἐνεστώτων ἢ μελλόντων ἐνεργητικῶν γινόμενα ὀνόματα ἐν συνθέσει, τρέπουσι τὸ ω εἰς ι. οἷον, ἄρχω, ἀρχιστράτηγος. αὔξω, αὐξίφωτος. λύσω, λυσίμαχος. οὕτω καὶ ἀλέξω, ἀλεξίκακος.

Ἀλεός, ὁ ἡρωσότητε αὐγῆς. παρὰ τὸ ἀλῶ παράγωγον. ἀλάζω. καὶ ὡς περ παρὰ τὸ λοχάζω λοχεός, καὶ κελάζω κελεός. στερεάζω στερεός, οὕτω ἀλάζω, ἀλεός. μεθόδιος. ἄλεος δὲ ὁ μάταιος. καὶ ἀλεόφρων, ὁ παράφρων. ἢ ὁ θερμός. καὶ κενός.

Ἀλεῖς, ἀλεές. ἔστιν ἀολλέες. σημαίνει τὸ ὁμοῦ. καὶ κράσει τοῦ α ο, εἰς α μακρόν. ἢ ἀποβολῇ τοῦ ἑνὸς λ, ἀλεές. ἢ ἄλες. ὡς παρὰ καλλιμάχῳ ἐν λοχιάμβοις. Ἐς τὸ πρὸς τείχους ἱερὸν ἀλεὲς δεῦτε. ἀντὶ τοῦ εἰς τὸ πρὸς τοῦ τείχους ἱερὸν ὁμοῦ δεῦτε, οὕτως ὁ χοιροβοσκός.

Ἀλεσούριος, εἶδος ἰχθύος θαλασσίου. ὃν τινὲς κατ' εὐφημισμὸν καλλιώνυμον καλοῦσιν. ἐπειδὴ τὸ λεγόμενον θαλάσσιον αἰδοῖον. ἀλὸς οὐρὰ ἀλοσούριον τοῦτον. οὐρὰν γὰρ καὶ τὸ αἰδοῖον εἰώθαμεν καλεῖν. μεθόδιος. ἔνιοι κογχοκογχυλίου.

Ἀλετρίβανον, ὁ τριβεὺς παρὰ τὸ τρίβειν τοὺς ἅλας. ἀλοτρίβανον οὖν, καὶ ἀλετρίβανον κατὰ τροπήν. ὡς κελαινοφὴς, καὶ κελαινεφής. ἀπὸ τοῦ κελαινόν, καὶ τοῦ φῶς. οὐ γὰρ ἀπὸ τοῦ νέφος.

Ἀλετρεύουσα, ἀλήθουσα Ὀρφναίης ἐνὶ χαλινὸν ἀλετρεύουσα καλεῖν. ὅτι τὴν ἀντιόπην ὁ νυκτέως βασιλεὺς θηβῶν, θυγατέρα αὐτοῦ οὖσαν, ἐποίησε χαλκᾶς ἀλήθειν κριθάς.

Ἀλευάδα, εἴρηται ὥσπερ τὸ φειδᾶ. οἱ γὰρ δωριεῖς τὴν γῆν, δᾶν λέγουσι, καὶ δίαν. ὡς ἢ τὸν γνόφον δνόφον. φειδὰ οὖν φειδή. οὕτως οὖν καὶ τὸ ἀλευάδα. ἀλέου δᾶ. τοῦ δᾶ, ἀντὶ τοῦ γῆς κειμένου.

Ἀλεάζω, φλέγω. παρὰ τὴν ἀλέαν τὴν θερμὴν ἀλεῶ. καὶ ἀλεάζω κυρίως, τὸ ἀπὸ τοῦ ψύχους εἰς θερμασίαν ἀποφλέγω. μεταφορικῶς δὲ, καὶ τὸ ἁπλῶς ἐκκλίνω ἀπὸ τοῦ δεῖ, εἰς τὸ δεῖ. καὶ ἡσίοδος ἐν ἔργοις καὶ ἡμέραις. Δειλὴν δὲ βροτῶν ὑπαλεάζεο φήμην. καὶ ἔστι σχῆμα τοῦ συνθέτου. ζήτει εἰς τὸ σεάζω. ἀλεάζω μετὰ τοῦ χ. τὸ δὲ ἀλάζω παρὰ τὸ ἀλῶ. οἱ γὰρ φεύγοντες πλανῶνται.

Ἀλεάρ, ἀντὶ τοῦ ἐφυλάξατο. Ἀλεάρ κῆρα μέλαιναν. ἢ ἀλεάζατο πολὺν ὅμιλον. εἴρηται δὲ ἀπὸ τοῦ χάζω χάζατο. καὶ τροπῇ τοῦ χ εἰς λ. ἢ μετὰ τοῦ στερητικοῦ α, ἀλάζατο.

Ἀλευρότησις. σήθω σήσω καὶ σῆσις. καὶ τροπῇ τοῦ σ εἰς τ τῆσις. καὶ πλεονασμῷ τοῦ τ μετὰ τοῦ ἄλευρον γίνεται ἀλευρότησις. τηλία εἰς ἣν τὸ ἄλευρον, σήθουσιν. τὸ κόσκινον. οὕτω φίλων.

Ἀλέκτωρ, τὸ ζῷον τὸ κατοικίδιον. παρὰ τὸ λέγω τὸ κοιμῶμαι. οἷον, Τῷ δ' ἄρα παρκατέλεκτο γυνή. καὶ ὄνομα ῥηματικὸν λέκτωρ. καὶ ἀλέκτωρ, ὁ ἐλάχιστα κοιμώμενος. ἢ ὁ ἀπὸ τῶν λέκτρων τουτέστι τῶν κοιτῶν ἡμᾶς διεγείρων. καὶ ὁ ἥλιος δὲ ἀλέκτωρ λέγεται. ἀκάμαντον γὰρ αὐτὸν λέγει ὅμηρος. ἐπεὶ ἀγρύπνως τὸν συνήθη δρόμον ἐκτελεῖ. ἢ ἐλίκτωρ τις ὢν παρὰ τὴν ἑλικοειδῆ αὐτοῦ κίνησιν. ζήτει εἰς τὸ ἠλέκτωρ.

Ἀλέρα, καὶ ἐλάρα. Ἐλάρας γενεά. οὕτω παρὰ σιμωνίδῃ. ἀλέρα δὲ παρὰ πινδάρῳ, οἷον Ἀλέρας ὤσῃ. ὅτι δὲ τὸ πρῶτον ἐστὶν ἀληθές, πίστις τοῦτο ἐκ τοῦ παρ' ἡσιόδῳ μετὰ προσθήκης τοῦ ι λέγεσθαι τὸ πατρωνυμικόν. εἰλαριάδην γὰρ φησὶ τιτυόν. καθ' ὑπερθέσιν ἄρα τὸ ἀλέρα γέγονεν. οὕτως ἡρωδιανός.

Ἀλεωρή, ἡ φυλακή. καὶ ἡ φυγή. καὶ ἡ μὲν φυλακή, παρὰ τὴν ἀλέαν τὴν θέρμην, ἤτοι τοῦ ὠρεῖν τὸ φυλάττειν. ἡ δὲ φυγὴ παρὰ τὸ ἀλέασθαι ἀπαραφυλάκτως. ἐκ τοῦ ἀλέω οὖν, ἀλεωρή. ἢ ἀλεόμεθα ἐκφεύγομεν ἐκκλίνομεν.

Ἀλειπής, πηγὴ ἐν ἐφέσῳ, οὕτω καλουμένη. παρὰ τὸ μηδέποτε ἐπιλείπειν θέρους. ἢ πλεονάζειν χειμῶνος. οὕτω μεθόδιος.

Ἀλειφα, σημαίνει τὸ ἄλειμμα. ἀπὸ τοῦ ἀλείφω, ἄλειφαρ. ἢ κατὰ ἀποκοπὴν ἄλειφα. κλίνεται ἀλείφατος. ἢ κλίνεται ἀπὸ τοῦ ἀπαθοῦς τοῦ ἄλειφαρ, ἢ ἄλειφας. οὐκ ἀπὸ τοῦ ἄλειφα ὥς τινες. τὸ γὰρ κάρα, λίπα, ὕφα, ἄλειφα, οὐ κλίνονται. ὅθεν τὸ γάλακτος ἀπὸ τοῦ γάλαξ κεκλίσθαι φασίν. ἠναγκάσθη δὲ ἡ εὐθεῖα. διὰ τοῦτο γέγονεν ἀποβολὴ τοῦ ξ. οὐδὲν γὰρ οὐδέτερον εἰς ξ λήγει.

Ἀλείπτης, ἀπὸ τοῦ ἀλείφω. ἤλειπται, ἀλείπτης διὰ τῆς ει διφθόγγου. ὅσα γὰρ ὀνόματα ἐκ τοῦ ἀλείφω γίνεται, εἰ μὲν διὰ τοῦ π ἐκφέρηται, φυλάττει τὴν ει δίφθογγον ἀλείπτω ἀλείπτης. ἄλειπτον φάρμακον. ἀνήλειπτος ὁ μὴ ἀλειφθείς. εἰ δὲ διὰ τοῦ φ ἐκφέρεται, σύνθετα ὄντα, οὐ φυλάττει τὴν δίφθογγον, ἀλλὰ διὰ τοῦ ι γράφονται. οἷον, ὑπηλιφὴς ἀνυπηλιφής. σημαίνει δὲ τὴν ναῦν τὴν μὴ ἀλειφθεῖσαν πίσσῃ. πρόσκειται σύνθετα διὰ τὸ ἄλειφα, ἄλειμμα. οὐκ ἔστι γὰρ σύνθετον, ἀλλ' ἁπλοῦν. ἀπὸ τοῦ ἀλείφω ἄλειμμα. Δεῖ γινώσκειν ὅτι γέγραπται διφίλω τῷ κωμικῷ δρᾶμα. ἐπιγέγραπται ἀλείπτρια. τὸ δὲ ἀλείπτης ἀρσενικῶς ἀπηγόρευται. ἀντὶ δὲ τοῦ ἀλείπτης, παιδοτρίβης εἴωθε λέγεσθαι. ἐκ δὲ τοῦ ἀλείπτης, φιλαλειπτῶ. οἷον, ὥσπερ οὐκ ἔστι πίστις ἐν ἀνδρὶ φιλαλειπτοῦντι, καὶ περὶ τὰς παλαίστρας ἔχοντι, καὶ πολυπραγμονοῦντι ὅτι ἕκαστον τῶν μειρακίων.

Ἄλειςον, λέγεται ἀρσενικῶς. οἷον Γίνωσκε τὸν ἄλεισον καὶ τὰ γράμματα, ἀριστοφάνης. ἔστι δὲ εἶδος ποτηρίου. ἐτυμολογεῖται δὲ διαφόρως. οἱ μὲν γὰρ λέγουσι παρὰ τὸ ἅλις ἔχειν ἐστὶ πίνειν δαψιλῶς καὶ ἀθρόως. οὐκ ἀκριβῶς δὲ λέγεται. πρῶτον μὲν, ὅτι ἀντίκειται αὐτῶν ἡ γραφή. τὸ γὰρ ἄλεισον διὰ τῆς ει διφθόγγου γράφεται. εἰ δὲ ἦν ἀπὸ τοῦ ἅλις, ὤφειλε διὰ τοῦ ι γράφεσθαι. δεύτερον δὲ, ὅτι τὸ ἄλεισον ψιλοῦται, τὸ δὲ ἅλις δασύνεται. εἰ δὲ ἦν ἀπὸ τοῦ ἅλις, ὤφειλε δασύνεσθαι. τὸ γὰρ ἅπαντα χοῦ ἐκ τοῦ ἅπας παραχθὲν, τὴν δασεῖαν τοῦ ἅπας ἐφύλαξεν. ἄλλοι δὲ λέγουσι τὸ ἀλὲς ἐστὶ τὸ σημαῖνον τὸ ἀθρόον. οἷον, πλατύ. ἔχον ἐστὶν ἀθρόως πίνειν. τούτοις γὰρ ὁ χρόνος ἀντίκειται. τὸ μὲν γὰρ ἀλὲς μακρὸν ἔχει τὸ α. τὸ δὲ ἄλεισον βραχύ. εἰ δὲ ἦν ἀπὸ τοῦ ἀλὲς, ὤφειλε τὸ μακρὸν αὐτοῦ ἔχειν. κρεῖττον οὖν λέγει ἀπολλώνιος ὁ τοῦ ἀρχιβίου, ὅτι παρὰ τὸ λεῖον γέγονεν ἄλειον. καὶ ἐπενθέσει τοῦ σ, ἄλεισον. τοῦ α ἐπιτατικοῦ, ἢ στερητικοῦ, τουτέστι τὸ μὴ ὂν ὁμαλόν, ἀλλὰ περιφερές. παρὰ τὸ εὔλειον. καὶ εὐλόγως ψιλοῦται. τὸ γὰρ α ἢ στερητικὸν, ἢ ἐπιτατικὸν ὄν, ψιλοῦται. οὕτως ὁ χοιροβοσκός.

Ἀλείσιον, τόπος οὕτω καλούμενος ὡς λέγει ὁ χοιροβοσκός. ἀπὸ τοῦ ἀλῶ ἀλέσω ἀλείσιον. Πέτρης τ' ὠλενίης, καὶ ἀλεισίου ἔνθα κολώνη κέκληται, ὅπου ἡ κολώνη παράκειται.

Ἀλείτης, σημαίνει τὸν ἁμαρτωλὸν καὶ ἄδικον διὰ τῆς ει διφθόγγου ὡς ἐνταῦθα. Φάτο γὰρ τίσασθαι ἀλείτην. καὶ λέγει ὁ χοιροβοσκὸς εἰς τὴν ὀρθογραφίαν αὐτοῦ. ὅτι πάνυ ἐφάνη τὸ ο ἐν τῷ ἀλοίτης. ὅπερ σημαίνει ἢ αὐτὸ τὸν ἁμαρτωλόν. καὶ διὰ τοῦτο διὰ τῆς ει διφθόγγου γράφεται. τὰ γὰρ ἔχοντα τὸ ο ἀναφαινόμενον, ἔχουσι τὸ ε ἐγκείμενον. οἷον, σπείρω, σπορά. ἀλείφω ἀλοιφή. οὕτως οὖν καὶ ἀλείτης. ἀλοίτης. τοῦτο δὲ παρὰ τὸ ἀλῶ τὸ πλανῶ, ἢ ὀλοθρεύω.

Ἀλήτης, ὁ ἡρακλέους ἀπόγονος ὁ τῆς κορίνθου βασιλεύς. υἱὸς δὲ ἱππότου. ἀφ' οὗ καὶ οἱ κορίνθιοι ἀλητιάδαι. εἴρηται ὅτι ὁ ἱππότης διὰ τὸν κάρνιδος θάνατον, ὑπὸ τῶν ἡρακλειδῶν ἐκβληθείς, καὶ ληστεύων ἔσχεν αὐτόν. σημαίνει δὲ καὶ τὸν πλανήτην. ἢ δεῖ γινώσκειν, ὅτι ὥσπερ τὸ νομήτης, καὶ πεδήτης, καὶ πλανήτης οὐ ῥηματικά, ἀλλὰ παρώνυμα, ἀπὸ τοῦ πέδη, καὶ πλάνη, καὶ νομή, οὕτω καὶ παρὰ τὸ ἄλη, ὅ σημαίνει τὴν πλάνην γίνεται ἀλήτης. οὕτω φιλόξενος εἰς τὸ ῥηματικὸν αὐτοῦ. ἀλίτης διὰ τοῦ ι γραφόμενον, εὗρον ἐγὼ σημαῖνον τὸν ἁμαρτωλόν, ἀπὸ τοῦ μὴ ἔχειν λιτήν, ὅ ἐστι δέησιν.

Ἀλῆτις, τινὲς τὴν ἠριγόνην τὴν ἰκαρίου θυγατέρα. ὅτι πάντα χοῦ ζητοῦσα τὸν πατέρα ἠλᾶτο. οἱ δὲ, αἰγίσθου καὶ κλυταιμνήστρας φασίν. οἱ δὲ, τὴν τοῦ μαλεώτου τοῦ τυρρηνίου θυγατέρα. οἱ δὲ, τὴν μήδειαν. ὅτι μετὰ τὸν φόνον τῶν παίδων, πρὸς αἰγέα κατέφυγεν ἀλητεύουσα. οἱ δὲ, τὴν περσεφόνην. διότι τοὺς πυροὺς ἀλοῦντες πέμματά τινα προσέφερον αὐτῇ. οὕτω μεθόδιος.

Ἀλη. ἐστὶ πλάνη. ἀποβολῇ τῶν δύο συμφώνων γίνεται ἄνη. καὶ τροπῇ ἄλη. ἢ παρὰ τὴν ἅλα, ὅ σημαίνει τὴν θάλασσαν. κυρίως γὰρ ἄλη ἡ ἐν θαλάσσῃ πλάνη.

Ἀλητεύω. ἀλητῶ τὸ πλανῶ, ἀπὸ τῆς ἄλης τῆς πλάνης. καὶ ἀπὸ τούτου ἀλητῶ ἀλητεύω τὸ πλανῶμαι.

Ἀλείατα, τὰ ἐκ πυροῦ ἀλυλεσμένα ἄλευρα. συγκοπῇ ἄλειτα. ἢ ἑφθὸν ἄλευρον λέγεται καὶ ἄλητον.

Ἀλήιος, Οὐκ ἐν ἀλήιος ἀνήρ, ἰλιάδος ι. πένης ἄπορος. ἤτοι ἀπὸ τοῦ μὴ ἔχειν λήιον, ἤγουν σιτοφόρον χωρίον. ἢ ἀπὸ τοῦ μὴ ἔχειν λείαν, ἤγουν ἀγέλας τῶν προβάτων.

Ἀλήιον. ἤτοι, Ὁ καππέδιον τὸ ἀλήιον οἷος ἀλᾶτο. ὅτι παρετυμολογεῖται τὸ ἀλήιον ἀπὸ τῆς γενομένης ἐν αὐτῷ τοῦ βελλεροφόντου πλάνης. λέγεται γὰρ ἐπαρθέντα τὸν βελλεροφόντην ἐφ' οἷς ἔπραξεν, ἐθελῆσαι μετὰ τοῦ πηγάσου τὸν οὐρανὸν καρπεῦσαι. τὸν δὲ δία μηνίσαντα, οἶστρον ἐμβαλεῖν τῷ πηγάσῳ. ὅθεν ἐκπεσεῖν μὲν τὸν βελλεροφόντην, καὶ κατενεχθῆναι εἰς τὸ τῆς λυκίας πεδίον. ἀλᾶσθαι δὲ κατὰ τοῦτο πηρωθέντα. τὸν δὲ ἵππον λαβεῖν τὴν ἠῶ, δεηθεῖσαν τοῦ διὸς δῶρον πρὸς τὸ ἀκόπως περιιέναι τὰς τοῦ κόσμου περιόδους. Ἰστέον δὲ ὅτι οἱ μὲν ἐψίλωσαν αὐτὸ ἀπὸ τῆς ἄλης τοῦ βελλεροφόντου. οἱ δὲ, ἐδάσυναν, ἀπὸ τοῦ τοὺς ἅλας ἐκεῖ πήγνυσθαι, βέλτιον τὸ πρῶτον.

Ἀλησιάς, ἡ ἀφροδίτη. διὰ τὸ περὶ πᾶν ζῷον ἀλᾶσθαι τὴν θεὸν πολλῶν ἐρασθεῖσαν καὶ πλανωμένην. πιθανώτερον δὲ τὸ ἐν κολοφῶνι ἀπὸ τοῦ ἄλεντος ἱδρυμένην ποταμοῦ.

Ἀλήστα, κατὰ στέρησιν τοῦ α, ἀπὸ τοῦ ληΐζεσθαι. οὕτω Μεθόδιος. λέγεται δὲ προπαροξυτόνως ἡ ἀσυλία.

Ἄληκτον, ἀκατάπαυστον. παρὰ τὸ λήγω τὸ παύω λέληκται ληκτός. καὶ ἄληκτος ὁ ἀκατάπαυστος καὶ πολύς. ἐξ οὗ καὶ τὸ, Ἀλήκτου ὕμνει τὸν κενούμενον λόγον. ἔστι δὲ ἐπίρρημα μεσότητος, ἀντὶ ἀλήκτως. μετάγεται γὰρ ἀπὸ τοῦ ὀνόματος εἰς ἐπίρρημα. κανὼν δέ ἐστιν ὁ λέγων· ὅτι τὰ ἀπὸ ὀνομάτων εἰς ἐπιρρηματικὴν σύνταξιν μεταγόμενα, καὶ τὴν αὐτὴν γραφὴν ταῖς πτώσεσιν ἔχει.

Ἀληθές, τὸ μὴ λήθῃ ὑποπῖπτον τοῦ δικαίου. τὸ ἐναντίον τῷ ψεύδει. ἄληθες δὲ τὸ κατ' ἐπερώτησιν λεγόμενον.

Ἀλήθω, τὸ ἀντὶ τῆς μύλης σῖτον ἢ κριθὴν ἀλευροποιεῖν. ἀπὸ τοῦ ἀλῶ ἀλήθω. ὡς πρῶ, πρήθω. νῶ, νήθω. κνῶ, κνήθω. ἀλήθω τὸ αὐτὸ σημαῖνον τῷ πρωτοτύπῳ.

Ἀλήμεναι, Πάντας ἀντὶ τοῦ πρυμνῆσι ἀλήμεναι. ἀθροισθῆναι. συστραφῆναι. ὥσπερ παρὰ τὸ βῆναι, βήμεναι, οὕτω καὶ παρὰ τὸ ἀλῆναι ἀλήμεναι, ψιλοῦται.

Ἄλθαινος, ποταμὸς Ἰταλίας. ὅν φασιν ὀνομασθῆναι, διὰ τὸ ἀλθαίνειν τὰ τραύματα τῶν ἐν αὐτῷ λουομένων.

Ἀλθαίνω, τὸ θεραπεύω. παρὰ τὸ ἄλθω ἀλθαίνω. ἢ παρὰ τὸ ἀλδαίνω. τὸ δὲ ἄλθω τὸ θεραπεύω. ἐκ τοῦ ἄλδω τὸ αὐξάνω. τὸ γὰρ ὑγιὲς αὔξει.

Ἀλθεῖν, ἀντὶ τοῦ ὑγιασθῆναι. παρὰ τὸ ἀλδεῖν. ὅ ἐστιν αὔξειν αὐξάνειν. τὸ γὰρ ὑγιὲς αὔξεται. καὶ ἄλθος φάρμακον.

Ἀλθαιᾶτις, ῥιζᾶτις.

Ἀλιβδύειν. τὸ καταδύειν εἰς θάλασσαν. μεταφορικῶς δὲ τὸ κρύπτειν καὶ ἀφανίζειν. παρὰ τὴν ἅλα καὶ τὸ βδύειν αἰολικόν, πλεονασμῷ τοῦ β. ὡς σδῆ σβδῆ. ἁλιδύειν, ἁλιβδύειν. Λυκόφρων εἰρκτῆς ἁλιβδύουσα λυγαίας δέμας.

Ἀλιας. ἔστιν ἅλις καὶ πλεονασμῷ τοῦ α, ἄλιας. ἔστι δὲ μονῆρες τὸ ἐπίρρημα. οὐδὲν γάρ ἐστιν εἰς ας ἐπίρρημα προπαροξύτονον. τοῦτο δὲ μόνον. τὸ δὲ αἴτιον τοῦ τόνου, ὁ πλεονασμός. ἀλλ' ἢ ὀξύτονον, ὡς ἀντὶ τοῦ ἑκάς. ἐμπάς. ἢ παροξύτονον, ὡς τὸ ἀτρέμας ἦσο. οὕτως Ἡρωδιανός.

Ἀλίαστος, Μάχην ἀλίαστον ἔχει. καὶ Ὅμαδος δ' ἀλίαστος ἐτύχθη. σημαίνει δὲ τὸν ἀκατάπαυστον. παρὰ τὸ λιάζω τὸ σημαῖνον τὸ ἐκκλίνω. τοιοῦτον, Ἀμφὶ δέ τ' ἀφρὸς σφι λιάζετο κῦμα θαλάσσης. ὁ μέλλων λιάσω, τὸ ῥηματικὸν ὄνομα λιαστός. καὶ μετὰ τοῦ στερητικοῦ α ἀλίαστος. ὃν οὐκ ἄν τις ἐκκλίνοι. ἢ παρὰ τὸ ἀλῶ ῥῆμα, ἀφ' οὗ τὸ Ἀλεύατο νίφα πολλήν, γίνεται ἀλίζω. ὡς φοιτῶ φοιτίζω. Καλλίμαχος. Φοιτίζειν ἀγαθοὶ πολλάκις θεοί. ἀλίζω οὖν, καὶ καθ' ὑπέρθεσιν λιάζω, λιαστός, καὶ ἀλίαστος. πολὺ. ἄτρεπτον.

Ἁλίαρτος, ἡ πόλις. ἢ ὅτι ἐκ τῶν ἁλιέων καὶ τοῦ ἄρτου. τὸ ἐθνικὸν ἁλιάρτιος. λέγεται δὲ κτισθῆναι ὑπὸ Ἀλεξάνδρου.

Ἁλία, σκεῦος, ἐν ᾧ ῥίπτονται οἱ ἅλες, ἢ εἰς ὃ ἀποτίθενται.

Ἁλιάδες, ἔναλοι, οἱ διὰ θαλάσσης πλέοντες.

Ἁλιακόν. ἀκάτιον ἁλιευτικόν.

Ἁλιβάντας τοὺς ἐν θαλάσσῃ τελευτήσαντας. ἢ τοὺς ξηρούς. ἄλλοι τοὺς διὰ πενίαν ἀτάφους.

Ἁλιβάπτοις, πορφυροῖς. καὶ ἁλιεργέα, πορφυροεργῆ. ἢ ἐν θαλάσσῃ εἰργασμένα.

Ἁλίζωνος. ἰσθμός. διὰ τὸ ἁλὶ διεζῶσθαι.

Ἁλικάκκαβα, ὁ φύλλῳ τοῦ καρποῦ.

Ἀλίβας, ὁ νεκρός, παρὰ τὸ μὴ ἔχειν λιβάδα, μήτε θερμότητα, ὅ ἐστιν ὑγρότητα. οἱ γὰρ ζῶντες ὑγροί. σημαίνει δὲ καὶ ὄξος ὡς παρὰ Καλλιμάχῳ. Ἔβηξαν οἶνον ἀλίβαντα πίνοντες. παρὰ τὸ μὴ λείβειν. ὁ μὴ λειβόμενος, ἢ σπενδόμενος.

Ἁλιεύς, παρὰ τὴν ἁλὸς γενικὴν ἁλιὸς ἁλιεύς. ὡς Αἰακίδης, Αἰακιδεύς. καὶ ναύτης ναυτιεύς. οὕτω Φίλων.

Ἁλιζῶνες. οἱ Βιθυνοί, Ὅμηρος. Αὐτὰρ Ἁλιζώνων, καὶ ἐπίστροφος ἦρχον. ὅτι ἡ γῆ αὐτοῦ θαλάσσῃ διέζωσται καὶ οἱονεὶ χερσόνησός ἐστιν, ὑπὸ τοῦ Εὐξείνου, καὶ τῆς Προποντίδος διεζωσμένη. οὕτω Μεθόδιος. οἱ δὲ ἐθνικόν, Θρᾳκῶν, ἢ τῶν πολυφάγων.

Ἁλιμοῦς, δῆμος τῆς Ἀττικῆς. ἀπὸ τῶν ἐκεῖσε ἁλῶν, ἁλιμόεις, καὶ ἁλιμοῦς. πολλὰ γὰρ καὶ ἄλλα χωρία οὕτως ὀνόμασται. καὶ τὸ ἀπὸ τῶν ῥάμνων ῥαμνοῦς, δῆμος τῆς Ἀττικῆς. καὶ Κυπάρισσος, ἀπὸ κυπαρίσσων. καὶ κυπαρισσήεντα, καὶ ἀμφιγένειαν εἶναι.

Ἁλιμυρήεντα, ποταμὸν ἅλιον βρεχόμενον. ἢ εἰς θάλασσαν ῥέοντα. ἢ ἁλὶ κιρνάμενον.

Ἀλινδῶ, τὸ κυλίω. τοιοῦτον, Μέλλοντας ἤδη παρθένους ἀλινδεῖσθαι. ἤγουν κυλίεσθαι. καὶ Ἀριστοφάνης Νεφέλαις. Ἀπάγε τὸν ἵππον ἐξαλίσας οἴκαδε, ἀντὶ κυλισθῆναι ποιήσας. παρὰ δὲ τὸ ἀλίω, ἀλινδῶ. ὡς κυλίω κυλινδῶ. ἢ παρὰ τὸ ἀλῶ ἀλίω καὶ ἀλινδῶ, ὡς κυλινδῶ. ἢ παρὰ τὸ ἅλις, καὶ τὸ δινῶ. καὶ συγκοπῇ ἀλινδῶ. ἢ παρὰ τὸ κυλινδῶ, κυλινδῶ, ἀφαιρέσει τοῦ κ. καὶ τροπῇ τοῦ υ εἰς α. καὶ ἀλινδήθρας τὰς ἐν τοῖς κηρώμασι κυλίθρας. ἢ συμφορήσεις κυλινδήθρας. ἀλινδεῖσθαι τὸ ἁμιλλᾶσθαι, καὶ συγκλείεσθαι. καὶ ἄλινδον, δρόμον ἁρμάτων.

Ἁλικαρνασσός, διὰ τὸ πρὸς τῇ ἁλὶ τῆς Καρίας ᾠκίσθαι. οὕτως Ὧρος.

Ἅλιος, ἐπίθετον. ἔστι δὲ καὶ κύριον. ἅλς ἁλός, ὡς χθὼν χθονός, χθόνιος. καὶ πτὺξ πτυχός, πτύχιος. τὰ ἀπὸ μονοσυλλάβων ὀξυτόνων διὰ τοῦ ιος γινόμενα ὀνόματα, μὴ σημαίνοντα μέρος σώματος, μὴ δὲ μετουσίαν, μὴ δὲ κτητικὰ ὑπάρχοντα, διὰ τοῦ ι γράφονται. τοιοῦτον, φὺξ φυγός, φύγιος. στὺξ στυγός, στύγιος. μέρος σώματος, βόθος. αἶγθος. χήνθος. φλόγθος, μετουσιαστικόν.

Ἅλιον, σημαίνει τὸ μάταιον. Ἠὲ ἅλιον τὸν μῦθον ὑπέστημεν Μενέλαε. ἅλς, ἁλός. ἅλιον. οἱονεὶ τὸ εἰς θάλασσαν ἐρριπτούμενον. καὶ ἀφανιζόμενον. ἢ ἀπὸ μεταφορᾶς τοῦ θαλασσίου ὕδατος. τὸ γὰρ τῆς θαλάσσης ὕδωρ ἄχρηστον εἰς πόσιν. οὕτως Ὧρος. καὶ ἠλίθιον θαλάσσης.

Ἀλιπαρα. παρὰ τὸ ἀλείφω γίνεται ἄλειμμα. καὶ αἰολικῶς ἀλιπαρα.

Ἀλίπηρα, αὐχμηρά.

Ἁλίπλοα, Ἁλίπλοα τείχη θείη. τῇ θαλάσσῃ πλέοντα ἢ ὑπὸ τῆς θαλάσσης ἐπιπλεόμενα.

Ἁλίπεδον, κυρίως τὸ παραθαλάσσιον χωρίον. τὸ ἁλὸς πέδον. ἢ τὸ ὁμαλὸν πεδίον. καὶ τετριμμένον. τὸ οἷον ἀληλεσμένον πέδον.

Ἅλις. ἐπίρρημα μεσότητος. Ἔνθ' ἅλις πεποτήαται αἱ δὲ τ' ἔνθα. τὸ ἱκανῶς καὶ αὐτάρκως τὸ πλῆρες καὶ κεκορεσμένον, δασύνεται. τὸ ἀθροιστικὸν α δασύνεται. ἅπας. ἅλις. γίνεται οὖν ἐκ τῆς ἁλός. ἐν αὐτῇ γὰρ ἀθρόον καὶ ἱκανόν ἐστι τὸ ὕδωρ. ἔστι δὲ ἐπίρρημα πρωτότυπον. ἀφ' οὗ ἅλιθα καὶ ἥλιθα τὸ πάνυ. δασύνεται. καὶ παρὰ τὴν ἅλα εἶναι πολλὴν οὖσαν καὶ μεγάλην. καὶ ἀρκεῖ πᾶσιν πολὺ ἄθρουν.

Ἀλιτενής, ὁ παράλιος τόπος, ὁ παρατεταμένος τῇ θαλάσσῃ. καὶ ἀλιτενές, ταπεινόν.

Ἀλίτω, τὸ ἁμαρτάνω. ἔστι καὶ βαρύτονον, καὶ περισπώμενον. ἀπὸ γὰρ τοῦ λιτή, γίνεται ἀλιτῶ. τὸ λιτῆς καὶ ἱκεσίας στέρεσθαι. ὅθεν καὶ ἀλίτης ὁ ἁμαρτωλός. ἡ χρῆσις τοῦ περισπωμένου. Διὸς δ' ἀλίτηται ἐφετμάς. καὶ ἀλιτεία. παραβῆναι, ἀδικεῖν. καὶ ἀλιτήμων ὁ ἄδικος.

Ἀλιταίνω. Ὅς τε τευ ἀφραδίᾳ ἀλιταίνεται ὀρφανὰ τέκνα. ἀπὸ τοῦ ἀλίτω ἀλιτῶ, ἀλιταίνω. ἢ ἀπὸ τῆς ἄλης τῆς πλάνης. ἡ σύνοδος. ὥσπερ ἂν εἰς ἄλλην ἄγαγῃ τῶν καταπονουμένων τέκνα. καὶ ἀλιτραίνω. ἀπὸ τοῦ ἀλιτροῦ τὸ μιαρὸν καὶ πονηρόν.

Ἀλίσαρτον κυρίως, τὸ κατεσπαρμένον χωρίον. καὶ τὸ ἄλευρον δὲ οὕτω καλεῖται.

Ἀλιτρύτου, ἐν θαλάσσῃ καταπονηθέντος. καὶ ἀλιτρία, ἁμαρτία. οἷον ἀλιτηρία.

Ἀλιτόκαρπον, ματαιότεκνον.

Ἀλιτρός, ὁ ἁμαρτωλός. καὶ ἄδικος. οἷον, Εὗρε θεὸς τὸν ἀλιτρόν. ἀπὸ τοῦ ἀλιτῶ, ἀλιτρός. καὶ ἀλιτραίνω. ἢ ἀπὸ τοῦ ἀλιτήριος κατὰ συγκοπήν.

Ἀλιτήμων, ἀπὸ τοῦ ἀλιτῶ περισπωμένου μέλλοντος ἀλιτήσω, γίνεται ἀλιτήμων. ὡς φιλῶ φιλήσω φιλήμων. οἷον, Οὔτ' ἄσκοπος, οὔτ' ἀλιτήμων.

Ἀλιτήριος, σημαίνει δὲ τὸν ἁμαρτωλόν. ἀπὸ δὲ τοῦ ἀλίτου βαρυτόνου γίνεται ἀλίτης. ἐξ αὐτοῦ ἀλιτήρ. ὡς ἀρότης ἀροτήρ. ἐκ τοῦ ἀλιτήρ ἀλιτῆρος, γίνεται ἀλιτήριος. ὡς σωτὴρ σωτήριος. τὸ ρι, ι. τὰ γὰρ ἀπὸ τοῦ εἰς ρ λήγοντα διὰ τοῦ ριος γινόμενα, διὰ τοῦ ι γράφονται τῆς ῥίτης ἀπὸ τέλους τῆς παραληγούσης τῆς γενικῆς θεωρουμένης. τοιοῦτον, ἀήρ, ἀέρος, ἀέριος. σωτήρ σωτῆρος, σωτήριος. αἰθὴρ αἰθέρος, αἰθέριος. οὕτως οὖν ἀλιτὴρ ἀλιτῆρος, ἀλιτήριος. ἐντεῦθεν ἐκαλοῦντο, οἱ μιάσματι συνεχόμενοι. Λιμὸς κατέλαβε ποτὲ τοὺς Ἀθηναίους. ἥρπαζον οὖν τινες ἀλούμενα τὰ ἄλευρα. ἀπὸ οὖν ἐκείνων. τοὺς πονηροὺς ἀλιτηρίους ἐκάλουν. ἄλλως. Λιμὸς ἐγένετο ἐν Ἀθήναις. καὶ οἱ πένητες τὰ τῶν ἀλούντων ἄλευρα διήρπαζον. ἐλέγοντο οὖν οἱ τοὺς ἀλοῦντας τηροῦντες καὶ ἁρπάζοντες ἀλιτήριοι. παρέτεινε δὲ τὸ σημαινόμενον, καὶ ἀντὶ τῶν μετὰ βίας τι ποιούντων ἀπὸ τῆς στρατείας, τῆς κατὰ τὸν πόλεμον γενομένης. ἔστι δὲ καὶ παράγωγον. ἀπὸ τοῦ τοῦ ἀλιτραίνειν τὸ ἁμαρτάνειν. ἀλιτηρία Δημήτηρ, καὶ ἀλιτήριος Ζεύς. ὅτι λιμοῦ ποτὲ γενομένου τοὺς ἀλοῦντας πάντας ἐφύλαττον. διὰ τὸ μὴ κλέπτειν τι τῶν ἀλουμένων. ὡς οὖν ἐπόπτας καὶ τηρητὰς τῶν ἀλουμένων τοὺς θεοὺς οὕτως ὠνόμασαν.

Ἀλία, καὶ ἀλίσας. παρὰ τὸ ἀλῶ τὸ πλανῶ, ἀλίω. ἢ ἀπὸ τοῦ κυλίω, ἀποβολῇ τοῦ κ, καὶ τροπῇ τοῦ υ εἰς α, ἀλίω ἀλίσω. ἤλισα. καὶ ἀλίσαι τὸ κυλίσαι. οἷον. Ἀπάγε τὸν ἵππον ἐξαλίσας οἴκαδε. Μεθόδιος.

Ἀλίωσε, Οὐδ' ἀλίωσε βέλος. μάταιον ἐποίησε. καὶ ἀλιῶσαι μάταιον ἡγήσασθαι, ἢ μαθεῖν. Ἀλκή, παρὰ τὸ ἀρκῶ τὸ βοηθῶ, ἀρκή, καὶ μεταθέσει τοῦ ρ εἰς λ ἀλκή. ἡ δύναμις. ἢ παρὰ τὴν ἀκμὴν τὴν ἡλιακήν. τουτέστι παρὰ τὸ κμῶ τὸ κοπιῶ γίνεται κμή. καὶ μετὰ τοῦ στερητικοῦ α ἀκμή. ἡ μὴ κοπιῶσα, ἀλλὰ δυναμένη φέρειν κόπους.

Ἀλκί, παρὰ τὸ ἀλκῶ μέλλοντα. οὐδ' ὁ ἐνεστὼς ἀλκῶ. ἀφ' οὗ τὸ ἀλκτήρ ἀθάνατος, γέγονεν ἀλκή. ὡς παρὰ τὸ ἑλκῶ ὁλκή. καὶ κατὰ μεταπλασμὸν ἀλκί. οἷον, Ἀλκὶ πεποιθώς. ἢ ἀρκή τις οὖσα ἀντὶ βοήθεια. κυρίως γὰρ ἀρκεῖν τὸ βοηθεῖν. ἢ ἀπὸ τοῦ ἀλξ ἀλκός ἀλκί τῇ δυνάμει τε θάρρηκεν. ὡς πλὰξ πλακός πλακί.

Ἀλκαία, ἡ οὐρά. κυρίως δὲ ἡ τοῦ λέοντος οὐρά. διὰ τὸ εἰς ἀλκὴν αὐτὸν προτρέπειν, Ὅμηρος. Οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν μαστίεται. ἑὲ δ' αὐτὸν ἐποτρύνει μάχεσθαι. οὕτω Μεθόδιος.

Ἄλκαρ, δύναμις. σωτηρία. παρὰ τὴν ἀλκὴν ἄλκαρ.

Ἀλκάζειν, τὸ ἀνδρείως πράσσειν τι. καὶ ἀλκάζουσαν

Ἄλκιμος, παρὰ τὴν ἀλκὴν τὴν ἰ- μαχομένην. σχὺν τὴν βοηθητικὴν ἀρκεῖν. σημαίνει δὲ, ἰσχυρόν, θρασύν.

Ἀλκτῆρα, τιμωρόν. κωλυτήν, βοηθόν.

Ἀλκμάν, ὄνομα κύριον. παρὰ τὴν ἀλκὴν ἀλκμάν.

Ἀλκμήνη, παρὰ τὴν ἀλκὴν ἀλκήνη. καὶ πλεονασμῷ τοῦ μ ἀλκμήνη. ὡς ἀλκμων ἀλκμάων. ἢ παρὰ τὴν ἀκμήν. ἀκμήνη, καὶ ἀλκμήνη. οὐδὲν γὰρ ἔχομεν εἰπεῖν ἀντὶ τούτου πλέον. κύριον γάρ ἐστι τὸ ὑποκείμενον. οὐ δεῖ γὰρ ἀντὶ τῶν κυρίων ἐτυμολογίας λαμβάνειν. οὕτως Ἡρωδιανός.

Ἀλκμάρες, τὸ ἀλεξητήριον. κατὰ διανὸς τοὺς παθῶν. πλεονασμὸν τοῦ μ. ἀλκάρες γάρ ἐστι τὸ ἀλαλκοῦν, ὅ ἐστι βοηθοῦν τὴν ἀρὰν, καὶ ἀποτρέπον τὴν βλάβην. Μεθόδιος.

Ἀλκάος, ἐν τόπῳ οἱ Ἴωνες ἐκβάλλουσι τὸ ι τῶν κτητι

κῶν, ἤγουν τῆς εἰσβολῆς, τὸν αὐτὸν τρόπον καὶ οἱ αἰολεῖς τῆς αὐτῆς εἰσβολῆς ἐκβάλλουσι τὸ ι. οἷον, θηβαῖος, θηβάος. ἀρχαῖος, ἀρχάος. ἀλκαῖος, ἀλκάος.

Ἀλκυὼν, εἶδος ὀρνέου. παρὰ τὸ ἐν ἁλὶ κύειν. ἤγουν ἐν θαλάσσῃ. λέγεται καὶ ὑποκοριστικῶς ἁλκυονίς. φασὶ δὲ ὅτι κῦμα ἀφανίζον αὐτῆς τὰ ὠὰ, καὶ ἐπὶ πολὺ οὔσης ἀτέκνου, ὁ ζεὺς ἐλεήσας αὐτὴν, ὥρισεν ἡμέρας τινὰς εὐδιεινὰς, ἐν αἷς τίκτει, καὶ ἐκγλύφει ἑπτὰ ἑπτά. ἃς λέγουσιν ἀλκυονίδας, τὰς γαληνούς.

Ἀλκυδὼν. ἀλκύων, καὶ πλεονασμῷ τοῦ δ. ὥσπερ ἔστι μονήρες. οὐδὲν γὰρ εἰς ων καθαρὸν λῆγον πλεονασμῷ τοῦ δ, ἀλλὰ μόνον τοῦ τ. ἡρωδιανός.

Ἀλλ' ἢ, σύνδεσμος διασαφητικός. ἐκ τοῦ ἀλλὰ συνδέσμου τοῦ συμπλεκτικοῦ. καὶ τοῦ ἢ συνδέσμου διαζευκτικοῦ. ἀντὶ τίνος παραλαμβάνεται ὁ ἀλλὰ σύνδεσμος, ἀντὶ τοῦ καί. οἷον, ἡμέρα μὲν ἐστὶν, ἀλλὰ τὰ νέφη οὐχ ὁρῶ.

Ἀλλ' ὅ, τι οἱ. τέσσαρα μέρη λόγου. ἀλλὰ, σύνδεσμος. τὸ ὁ, ἄρθρον. τὸ τί, ὄνομα ἀόριστον. τὸ οἱ ἀντωνυμία.

Ἀλλ' ἄγετε. τὸ ἄγετε ῥῆμα ἐστὶν, ἢ ἐπίρρημα; καὶ λέγομεν ἐπίρρημα. ἀλλὰ κανών ἐστιν ὁ λέγων, τὰ ἀριθμὸν ἀναδεχόμενα μετὰ τῆς δεούσης τῶν προσώπων καταλήξεως, ῥήματά ἐστι, καὶ ὀφείλουσιν εἶναι ῥήματα. ἀλλ' ἕτερος κανών ἐστιν ὁ ποιῶν αὐτὸ ἐπίρρημα. ὥσπερ γὰρ τὸ δεῦρο ὁμολογουμένως ὂν ἐπίρρημα, ἐχόμενον δὲ προστακτικῆς ἐννοίας, κατὰ συνεκδρομὴν ἀριθμὸν ἐδέξατο. ὡς ἐν τῷ, Δεῦτε φίλοι τὸν ξεῖνον ἐρώμεθα; οὕτω τὸ ἄγε ἐπίρρημα ὂν κατὰ συνεκδρομὴν τοῦ ῥήματος ἔσχε πληθυντικῶς τὸ ἄγετε.

Ἀλλάσσω, παρὰ τὸ ἄλλος ἀλλάσσω. τὸ ἄλλος, ἀπὸ τοῦ ἄλαλος κατὰ συγκοπήν. ἀναιρετικὸν γάρ ἐστι τῶν ὡρισμένων. οἷον, ἄλλος οὐκ ἐγώ. ἄλλος οὐ σύ. ὅθεν, γίνεται καὶ διὰ δύο λλ. πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου. ἔστιν ἄλος πόλις θεσσαλίας δι' ἑνὸς λ. ἰστέον ὅτι τοῦ ἄλλος κλητικὴ οὐκ ἔστιν. οἷον, ἄλλε. ἡ γὰρ φύσις τῆς κλήσεως μάχεται τῷ σημαινομένῳ τοῦ ὀνόματος. ἡ μὲν γὰρ κλητικὴ πρὸς παρόν ἐστι πρόσωπον καὶ γνωριζόμενον. τὸ δὲ ἄλλος ἀγνοούμενόν ἐστι καὶ ἀπόν. ὁμοίως δὲ καὶ τὰ κλητικὰ τῶν πευσματικῶν. λέγω δὲ τοῦ τίς, ποῖος, πόσος. ἐκλέλοιπε. ἐπειδὴ τὰ πευσματικὰ περὶ ἀπόντων καὶ ἀγνοουμένων γίνονται προσώπων, αἱ δὲ κλητικαὶ παρόντων εἰσὶν ὑπὸ ὄψιν καὶ ἐγνωσμένων κλήσεις. ἤτοι οὖν τὸ πευσματικὸν εἰς κλητικὴν κληθείη, ἅμα περὶ τοῦ αὐτοῦ ὡς ἀπόντος καὶ παρόντος λεχθείη. ἀπόντος μὲν διὰ τὴν τοῦ πύσματος φύσιν. παρόντος δὲ διὰ τὴν κλῆσιν. τοῦτο δὲ ἀδύνατον. οὐ γὰρ ἐνδέχεται τὸ αὐτὸ πρόσωπον ὡς παρὸν καλεῖν, καὶ ἀπὸν ζητεῖν διὰ τοῦ πυσματικοῦ.

Ἄλλος, διατί ἐστιν ἀσύναρθρον. ἐπειδὴ αἱ ἀντωνυμίαι πρώτην δεῖξιν σημαίνουσιν. οἷον, ἐγώ, σύ. τὰ δὲ ἄρθρα ἀναφορὰν δηλοῦσιν, ἐναντία δέ ἐστιν ἡ δεῖξις τῇ ἀναφορᾷ. οἱ ἄλλοι, ἀσύναρθρόν ἐστι, διότι ἐν ὀρθῇ καὶ ἐν πλαγίᾳ πτώσει νοεῖται. ὁποτέρᾳ οὖν πτώσει προσέλθῃ τὸ ἄρθρον, ἀκαταλληλότητα ποιήσει. καὶ ὅτι ὄνομα ἐστὶν ἢ ἀντωνυμία. εἰσὶ παράλογοι οἱ ἐλέγχοντες αὐτὸ ὡς ἀντωνυμίαν, καὶ μὴ ὄνομα. ἐπειδὴ ὃν τρόπον τὸ ἐκεῖνος, καὶ τὸ οὗτος ποιοῦσι τὰ οὐδέτερα αὐτῶν, ἀποβολῇ τοῦ ς. οἷον, ἐκεῖνο, τοῦτο, τὸν αὐτὸν τρόπον ἔχει καὶ τὸ ἄλλος οὐδέτερον ἀποβολῇ τοῦ ν. σεσημείωται τὸ ἄλλο, τοῦτο, καὶ τὰ ὅμοια. ἕτερος δὲ λόγος ἐστὶ τοῦ μὴ εἶναι ἀντωνυμίαν. πῶς δέ ἐστιν ἀντωνυμία, λέγεται ἀντὶ ὀνόματος. τὸ δὲ ἄλλος ἐστὶν ἀόριστον. διότι τὸ ἐκεῖνος καὶ τὸ οὗτος καὶ τὰ λοιπὰ ἢ δεῖξιν σημαίνει ἢ ἀναφοράν. τὸ δὲ ἄλλος οὔτε δεῖξιν σημαίνει, οὔτε ἀναφοράν. καὶ ἔστιν ὄνομα τὸ ἄλλος. ἄλλο. τοῦτο. διὰ τὸ σεσημειωμένον. τὰ γὰρ τῶν οὐδετέρων παρεσχηματισμένα ἀπὸ ἀρσενικῶν ὁμοφωνοῦντα τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ, τὸ ἄρθρον ἐστὶ τὸ διακρῖνον. ἐὰν μὲν γὰρ εἴπω σοφὸν, τοῦτο ἄδηλον, εἴτε εὐθεῖα οὐδετέρου ἐστὶν, εἴτε αἰτιατικὴ ἀρσενικοῦ. προσερχομένων δὲ τῶν ἄρθρων, διαφορὰν ἔχουσιν. ἐὰν μὲν γὰρ εἴπω τὸν σοφὸν, αἰτιατικὴ ἀρσενικοῦ ἐστιν. ἐπεὶ οὖν ἡ ἄλλο καὶ τοῦτο ἀντωνυμία, οὐ δέχονται ἄρθρα τὰ ὀφείλοντα διάκρισιν ποιεῖσθαι τῇ, τε αἰτιατικῇ τοῦ ἀρσενικοῦ, καὶ τῇ εὐθείᾳ τῶν οὐδετέρων. τούτου χάριν σεσημείωνται.

Ἀλλήλους, ταυτοπαθεῖν σημαίνει, ἢ ἑτεροπαθεῖν. οἷον, αἴας ὁ τελαμώνιος, καὶ μενοικεὺς ὁ κρέοντος, ἑαυτοὺς ἀπέκτειναν. τουτέστιν ἑκάτερος ἑαυτόν. τὸ δὲ ἀλλήλους, ἐπὶ τῶν συμπεπλεγμένων. οἷον, ἐτεοκλῆς καὶ πολυνείκης ἀλλήλους ἀπέκτειναν. τουτέστιν ἕτερος ἕτερον.

Ἀλλήλοισιν. ἡ εὐθεῖα τῶν πληθυντικῶν οὐκ ἔστι, διατί, διότι ἡ τοῦ ῥήματος σύνταξις τὴν ἐν τοῖς δευτέροις προσώποις μετάβασιν δηλοῖ. τὸ γὰρ ἀλλήλων ἤκουσαν, τοιοῦτόν τί ἐστιν. ἄλλοι ἄλλων ἤκουσαν. ἀλλήλους ἔγνωσαν. οἷον, ἄλλοι ἄλλους. ἐγγινομένης δὲ τῆς εὐθείας ἐν τῷ ἀλλήλοις, νοηθήσεται τὸ ἄλλοι ἄλλοι. ὅπερ ἄλογον διὰ τὸ ἐπάλληλον τῶν δύο εὐθειῶν.

Ἀλλοπρόσαλλος, δίγνωμος. διπρόσωπος, ἄλλοτε ἄλλον φίλον καὶ φίλον ποιούμενος.

Ἀλλοδαπὴς, καὶ ἀλλοδαπός. ἀλλοεθνής. ξένος, ὁ ἀπὸ ἄλλου δαπέδου ἤγουν γῆς ὤν. γίνεται ἐκ τῆς γενικῆς τῶν πληθυντικῶν, ἤγουν τῶν ἄλλων. καὶ κατὰ παραγωγὴν ἀλλοδαπός. δι' ἣν αἰτίαν ἐκ μόνων τῶν πληθυντικῶν ἐγένετο ἡ παραγωγὴ τῶν κτητικῶν ἀντωνυμιῶν. καὶ οὐ καθ' ἕκαστον ἀριθμόν. καὶ λέγουσιν, ὅτι ἐπειδὴ ἀνέφικτόν ἐστιν ἐξ ἑνικοῦ ἢ δυϊκοῦ ἀριθμοῦ ἐθνικὴν παραγωγὴν γίνεσθαι. οὐ γάρ ἐστιν ἐπινοῆσαι ἔθνος ἐν ἑνὶ ἀνθρώπῳ, ἢ δυσίν. ἀλλ' ἐν ἀπείροις. διὰ ταύτην οὖν τὴν αἰτίαν ἔδοξαν καὶ τὸ ἄλλος ἐν τῷ ἀλλοδαπὸς γενόμενον, ἀντωνυμίαν εἶναι. οὐ κυρίως δέ. ἐπειδὴ μάχεται τῇ ἐννοίᾳ τῶν ἀντωνυμιῶν. ἃ γὰρ ὁρίζει ἡ ἀντωνυμία, ταῦτα ὑπὸ τοῦ ἄλλος ἀναιρούμενα ἀοριστοῦνται. οἷον, ἄλλος, οὐκ ἐγώ. ἄλλος, οὐ σύ.

Ἀλλόκοτον, τὸ ἀνόμοιον ἢ διὰ ἀνομοίων συνεστώς, ἀλλότροπον. καὶ καθ' ὑποβιβασμὸν ἀλλόκοτον. ἢ παρὰ τὸ ἀλλαχοῦ κεῖσθαι, καὶ μὴ κατ' αὐτὸ ὄν. ὡς τύπτω τύπτιλος. σημαίνει δὲ τὴν σφοδρὰν ὁρμήν. καὶ πίτυλος καθ' ὑποβιβασμόν. καὶ σκέπω σκέπος, καὶ πέσκος. σημαίνει δὲ τὸ προβάτειον δέρος. μεθόδιος. σημαίνει οὖν τὸ ἐνηλλαγμένον καὶ ἴδιον τρόπον.

Ἀλλότριος, ξένος. ἀλλοόριος, ὁ ἄλλων ὁρίων ὑπάρχων. καὶ πλεονασμῷ τοῦ τ, ἀλλότριος. πολέμιος.

Ἀλλόθροος, παρὰ τὸ ἄλλος καὶ τὸ θροῦς. ἀλλόθρους γάρ ἐστιν, ὁ ἀλλοίαν φωνὴν ἔχων. ἤγουν ὁ βάρβαρος.

Ἀλλαντοπώλης, σαλσικοπώλης. παρὰ τὸ ἀλλᾶς ἀλλᾶντος καὶ τὸ πωλῶ, γίνεται ἀλλαντοπώλης. τὸ δὲ ἀλλᾶς, παρὰ τὴν ἀόλλησιν τῶν κρεῶν. ἢ παρὰ τὴν ἄλησιν. τουτέστι,

Ἄλλιξ, ἀλλάσσω ἀλλάξω, ἄλλαξ καὶ ἄλλιξ. συγκοπήν. σημαίνει δὲ κατὰ θετταλοὺς, τὴν χλαμύδα. καλλίμαχος. Ἄλλικα χρυσείῃσιν ἐεργομένην ἐνετῇσιν. σημαίνει δὲ καὶ ἐμπόρπημα. οἱ δὲ, πορφύραν. ἄλλαξ καὶ ἄλληξ, καὶ κατὰ πάθος ἄλλιξ.

Ἄλλως, σημαίνει τὸ ματαίως. Ἄλλως γὰρ διηπατήμεθα ὑπὸ τῶν πρέσβεων. ἀριστοφάνης. καὶ ἐν ἱππεῦσι. Τί κινυρόμεθ' ἄλλως. καὶ εὐριπίδης ἐν μηδείᾳ. Ἄλλως ἄρ' ὑμᾶς ὦ τέκν' ἐξεθρεψάμην. ἄλλως δ' ἐμόχθησα, καὶ κατεξάνθην πόνοις. καὶ ὅμηρος ἰλιάδι. καὶ ὑπερχεῖ ἄλλως οὔτε πατὴρ ἢ κήσατο πηλεύς. καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἀντὶ τοῦ μάτην ἐχρῶντο οἱ ἀττικοὶ τὸ ἄλλως. καὶ γὰρ παρὰ θουκυδίδῃ συνεχῶς ἐστιν αὐτὸ εὑρεῖν κείμενον. ἀπὸ τοῦ ἠλαιὸς ὁ μάταιος, γίνεται ἠλός ἠλοῦ. ὥσπερ, Δαιμόνιε φρένας ἠλὲ διέφθορας. ἠλοὶ τῶν ἠλῶν. ἠλῶς ἐπίρρημα τὸ ματαίως. καὶ διπλασιασμῷ τοῦ λ, καὶ συστολῇ τοῦ η, ἄλλως. εἰώθασι γὰρ οἱ αἰολεῖς διπλασιάζειν τὰ ἀμετάβολα, καὶ συστέλλειν τὰς ὑποκειμένας συλλαβάς, εἴτε φωνῆεν ἢ, εἴτε δίφθογγος. μεθόδιος.

Ἄλλος, ἀσύναρθρόν ἐστιν, ἢ σύναρθρον. ποτὲ μὲν ἀσύναρθρον. ἡνίκα τοῦ καθ' ἑνὸς μὲν ἢ πλήθους ὅλου ἐστὶν ἐμπεριληπτικόν, ἤγουν τὲ διαίρεσιν μερικὴν ποιεῖται, ἕξει καὶ τὸ ἄρθρον παραλαμβανόμενον. ὅτε δὲ ἀόριστόν ἐστι, τότε ἐμποδίζει καὶ τὰς τῶν ἄρθρων παρεμπτώσεις.

Ἀλλοφέρμονες, ἀλλαχοῦ τραφέντες.

Ἀλλοφάσσειν, θορυβεῖσθαι. ἀλλαχοῦ τὰ φάη περιφέρειν.

Ἀλλοφρονεῖν, ἐξεστηκέναι, ἢ ἀμφιδοξεῖν. ἀλλὰ διανοούμενος. οἱ δὲ, παρακόπτειν.

Ἀλλοιοῦσθαι, μετασχηματίζεσθαι.

Ἀλμάδες, ἐλάαι κολυμβάδες.

Ἀλλυδίς. Τρῶες δὲ διετέλεον ἀλλυδὶς ἄλλος. ἀντὶ ἄλλος.

Ἅλμη, ὄνομα προσηγορικὸν παρώνυμον. οἱ μὲν ἅλμη. παρὰ τὴν ἁλὸς γενικὴν γίνεται ἅλιμος. ὡς κύδιμος. τὸ θηλυκὸν ἁλίμη, ὡς κυδίμη. καὶ ἐνδείᾳ τοῦ ι, ἅλμη. ἢ ἀπὸ τοῦ ἁλὸς ἅλη, καὶ ἅλμη. ὡς εὔφονος, εὐφόνη. ἀμύμονος, ἀμυμόνη. καὶ ὡς παρὰ τὸ ῥύγος ῥύγη, οὕτως ἅλος, ἅλη. καὶ ἐπενθέσει τοῦ μ, ἅλμη. ὡς ἀχυρμιαὶ, χερμάδιον. καὶ τυμπάνιον. ὁ γὰρ πλεονασμὸς τοῦ μ, πολύς. ὦρος.

Ἁλμυρόν. ὥσπερ παρὰ τὸ ἅλμη γίνεται τὸ ἁλμηρός, καὶ ἄτη ἀτηρός, οὕτω καὶ παρὰ τὸ ἅλμη ἁλμηρός. καὶ τροπῇ τοῦ η εἰς υ, ἁλμυρός. ὡς τηρός, τυρός. ἢ κυρίως τίθεται ἡ λέξις ἐπὶ τῶν εἰς ἅλα μυρομένων ποταμῶν, ὅ ἐστιν ἐκχεομένων. ὥστε οὐ τροπῇ κατὰ ἀπολλώνιον. μεθόδιος.

Ἅλμενος, εἴ τινά που τρώων ἐξάλμενος. κατὰ συγκοπήν. ἐξαλόμενος.

Ἅλμα, τὸ ἄλσος. λυκόφρων. Ἐν ἅλμα πομποῦ καὶ χαμευνίδος διπλοῦν. λέγεται δὲ καὶ ὁ κλάδος παρὰ αἰολεῦσι. γίνεται παρὰ τὸ ἄλδω τὸ αὐξάνω, παράγωγον ἀλδάνω. οἷον, Μέλε' ἤλδανεν. ὁ παθητικὸς παρακείμενος ἦλμαι. τὸ β', ἦλσαι. καὶ ῥηματικὸν ὄνομα ἅλμα. τὸ αὐξανόμενον τοῖς φυτοῖς. καὶ ὁ κλάδος δὲ ὁ ἀπ' αὐτοῦ αὐξανόμενος. ὡρίων. ἀφ' οὗ καὶ ἄλσος τὸ εὔαξες χωρίον. ἄλσω, ἄλσος.

Ἄλξ, ἡ δύναμις. ἀπὸ τῶν εἰς κη θηλυκῶν κατὰ ἀφαίρεσιν τοῦ η. καὶ τροπῇ τοῦ προκειμένου κ εἰς ξ γίνεται. ὡς φοινίκη, φοῖνιξ. φρίκη, φρίξ. κρόκη, κρόξ. πύκνη, πνύξ, τὸ ἐν ἀθήναις βουλευτήριον, καὶ οὕτως ἀλκή, ἄλξ. μεθόδιος.

Ἀλογήσει, λόγον οὐ ποιήσει. καὶ φονήσει. Εἰ δέ μοι οὐκ ἐπέεσσ' ἐπιπείσεται, ἀλλ' ἀλογήσει. ὀλιγωρήσει.

Ἀλοιμός, τὰς χρίσεις καὶ τὰς ἐπαλείψεις ἀλοιμοὺς ἔλεγον. σοφοκλῆς. Μαρικᾶς ἀλοιμός. ἢ ἐπάνω τῆς τοῦ θαλάμου γανώσεως ἐπιχεῖσα ἐπάλειψις, καθάπερ ἂν εἰ πετάλωσις οὖσα ἐν αὐτῷ. ἐγὼ οὖν ὡς λείπω λοιμός, οὕτως ἀλείφω ἀλοιμός. οὕτως ὦρος.

Ἀλοία, ἔτυπτε. παρὰ τὸ ἀλοιῶ. καὶ ἀλοῶν, τύπτων. κόπτων.

Ἀλοιτός, ὁ ἁμαρτωλός. παρὰ τὸ ἀλιτῶ, ἀλιτός. καὶ ἐπενθέσει τοῦ ο, ἀλοιτός. ἢ ὁ ἀνδροφόνος. παρὰ τὸ ἀλοιᾶν τὸ τύπτειν. ἔνθεν καὶ πατραλοίας, ὁ τὸν πατέρα τύπτων. καὶ ἀλοῖται, ποιναὶ ἁμαρτίαι. καὶ ἀδικίαι. καὶ ἀλοιτᾶν.

Ἀλοίη, ἀλῶ τὸ πορθῶ. παράγωγον ἀλώμι, ἀλώσω. ὁ δεύτερος ἀόριστος ἥλων. ἡ μετοχὴ, ἁλούς ἁλόντος. καὶ τὸ εὐκτικὸν ἁλοίην ἁλοίης ἁλοίη.

Ἀλοᾶν, τύπτειν. βάλλειν. καὶ τὸ θρύπτειν ἐπὶ τῆς ἅλω σῖτον.

Ἀλόη, πόα τις οὕτω καλουμένη καὶ ὁ ταύτης χυλός.

Ἄλοξ, ἡ αὖλαξ. ἐλλείψει τοῦ υ, καὶ τροπῇ τοῦ α εἰς ο, ἄλοξ. Μήτηρ ἀρέτεκνον ἄλοκα δαιμόνων βία. εὐριπίδης φοινίσσαις.

Ἀλόπη, χώρα. ἡ καλουμένη λυκία πρὸς τῇ ἐφέσῳ, ἀπὸ τοῦ ἐν τῇ παραλίᾳ αὐτῆς παραυτομάτως ἅλας πηχθῆναι.

Ἄλος, πόλις θεσσαλίας, ἀπὸ τῆς ἀθάμαντος ἄλης περὶ τοὺς τόπους γενομένης ἐκείνους, καὶ ὑπ' αὐτοῦ κτισθεῖσα λέγεται καὶ ἀρσενικῶς. μεθόδιος.

Ἁλοσύδνα, καὶ ἐπ' αὐτῆς τῆς θαλάσσης. ὅμηρος. Νέποδες καλῆς ἁλοσύδνης. λέγεται δὲ καὶ ἐπιθετικῶς ἐπὶ τῶν φωκῶν. γίνεται παρὰ τὸ ἁλὸς, καὶ τὸ δύω ἁλοσδύνη, καὶ μεταθέσει ἁλοσύδνη. ἢ κατὰ τῆς ἁλὸς δύουσα. ἢ παρὰ τὸ ἐν ἁλὶ σεύεσθαι

σιὸν δὲ τῆς θαλάσσης. παρὰ τὴν ἁλὸς γενικὴν, ἁλόσιος· τὸ θηλυκὸν, ἁλοσύνη. ὡς γηθόσυνος γηθοσύνη. καὶ ἁλοσύδνη πλεονασμῷ τοῦ δ. Μηρὸς τέκθετα καλῆς ἁλοσύδνας.

Ἁλὸς ἄχνη, τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα. τὸν ἀφρόν. ὅπερ καὶ φύκιον λέγεται. ἤτοι ἄχνην ἐν ἁλὶ δινουμένην. ἢ ἁλὸς ἔμπορον. ἁλίοικον.

Ἁλουργὶς, ἐκ τοῦ ἅλς ἁλὸς, καὶ τοῦ ἔργον, ἡ ἀπὸ θαλασσίου κόχλου γινομένη, καὶ ἐργαζομένη. ἡ λεγομένη πορφύρα. καὶ ἁλουργὰ, πορφυρᾶ.

Ἄλοχος, γυνὴ ἡ ἐκ παρθενίας ἑτέρου λέχους ἄπειρος. ἢ ἐστὶ λέχος ἡ κοίτη. καὶ λόχος. καὶ μετὰ τοῦ α τοῦ σημαίνοντος τὸ ὁμοῦ, ἢ ἅμα, γίνεται ἄλοχος. οἱονεὶ ὁμόλοχος πιστοῦσα. ἡ μετέχουσα τῆς κοίτης τοῦ ἀνδρός. ὠρίων.

Ἄλογοι, οἱ μήπω ἀνηρημένοι τὸν ἔρανον ἐρανισταί. οἱ μὴ καταθέμενοι τοῦ ἐράνου τὴν καταβολήν. οἷς οὐδεὶς ἐστὶ λόγος πρὸς τὸ μὴ ὀφείλειν.

Ἀλογίου δίκη, ἣν φεύγουσιν οἱ ἄρχοντες λόγον οὐκ ἀποδόντες τῶν τῆς ἀρχῆς διοικημάτων.

Ἄλογχον, ἄνευ τοῦ σιδηρίου θρακικῶς.

Ἄλοκας, βοθύνους. διόδους. καὶ ἀλοκίζειν, τὸ ἀροτριᾶν.

Ἄλοπον, ἀλέπιστον.

Ἀλύβας, ὄρος. οἱ δὲ λίμνην. εἶναι δὲ καὶ πόλιν ἀλύβην.

Ἀλύκιον, ψυχρὸν, ἢ χλιαρόν. οἱ δὲ ἁλμυρόν.. ἄλλοι θαλάσσιον. ἀλυκώτερον δὲ, τὸ θερμόν.

Ἄλυς. ἀπορία. πλάνη. λύπη.

Ἀλυσθαίνεις, ἀδημονεῖς, τρέμεις.

Ἀλυσθένειν, ἀσθενεῖν.

Ἀλυσταίνειν, ἀδυνατεῖν. ἀσθενεῖν.

Ἀλύστηνον, δεινόν.

Ἄλπεια, ὄρος τῆς κελτικῆς. ἀπό τινος ἄλπιδος ὑπὸ τοῖς ἵπποις ἀνῃρημένου. ἢ διὰ τὸ πλῆθος τῆς λευκῆς χιόνος, ἄλπεις ἐκλήθη τὰ ὄρη. ἢ παρὰ τὸ ἄλπν, ὅ ἐστιν ὑψηλὸν, ἄλπις κεκλῆσθαι.

Ἄλπιος, ὄρος μέγα τῆς εὐρώπης, ἀφ᾽ οὗ ῥεῖ ὁ ἴστρος. καὶ ἄλλο δυτικώτερον. ἀφ᾽ οὗ ῥεῖ ὁ ῥῆνος ποταμός. ἄλπιος δὲ λέγεται. καὶ διονύσιος ἐν περιηγήσει. Τῆς δὲ πρὸς ἀνατολίην διαφαίνεται ἄλπιος ἀρχή.

Ἄλσος, τὸ σύμφυτον χωρίον. παρὰ τὸ ἄλδω, ἄλσω ἄλσος. ἢ ἀπὸ τοῦ ἄρδω. ὁ μέλλων, ἄρσω. καὶ ἐξ αὐτοῦ ἄλσος. ἢ παρὰ τὸ ἄλλω τὸ ἀλλόμενον, ἄλλος. καὶ διὰ τὴν συνέμπτωσιν τὴν πρὸς τὸ ἄλλος, γίνεται ἄλσος, κατὰ τροπὴν τοῦ λ εἰς σ. τὸ τέμενος. καὶ ἀλσίνη, βοτάνη τις.

Ἅλς, ἡ θάλασσα. παρὰ τὸ ἀλὲς τὸ συνεστραμμένον, καὶ ἠθροισμένον. ἢ ἀπὸ τοῦ ἄλις, καὶ τοῦ ἀλεὶς, τὸ συστραφείς. ἅλς οὖν τὸ συνεστραμμένον, καὶ συνηθροισμένον ὕδωρ. ἢ παρὰ τὸ τὴν ἅλα τὴν θάλατταν, ἢ παρὰ τὸ ἀλῶ τὸ συστρέφω ἀολλεὶς, τὸ συνηθροισμένον ὕδωρ. καὶ συγκοπῇ ἀολλὴς. καὶ ἀποβολῇ τοῦ ο, ἅλς. ἢ παρὰ τὸ ἁλίζω τὸ συναθροίζω. Ἰστέον, ὅτε μὲν ἐστὶ θηλυκὸν δηλοῖ τὴν θάλασσαν, καὶ ἕως τῶν ἑνικῶν κλίνεται μόνον. οὐχ ὅτι μία ἐστὶ, πολλαὶ γὰρ εἰσὶ θάλασσαι. οἷον, ἡ νεκρὰ, καὶ ἡ ἐρυθρά. καὶ ἄλλαι. ἀλλ᾽ ὅτι ἐν χρήσει οὐχ εὕρηται αὐτὰ, οὔτε δυϊκὰ, οὔτε πληθυντικά. ὅτε δὲ τὸ ἁλμυρὸν δηλοῖ ὅπερ ἐν τῇ συνηθείᾳ οὐδετέρως ἅλας φαμὲν, ἀρσενικῶς λέγεται, καὶ δι᾽ ὅλου κλίνεται.

Ἅλτο, καθήλατο. ἅλλομαι τὸ πηδῶ. καὶ ὁ μέσος ἀόριστος ἡλάμην, ἥλω, ἥλατο. καὶ συγκοπῇ, ἧλτο, καὶ ἅλτο.

Ἁλτῆρες καὶ ἀλτῆρες, κατασκευάσματα πῶς κέχρηνται οἱ σωμασκοῦντες ἐν ταῖς γυμνασίαις. παρὰ τὸ ἅλλομαι. βαστάζοντες γὰρ αὐτοὺς καὶ περιφέροντες, ἥλλοντο ἐν τῷ γυμνασίῳ. μεθόδιος. ὁ δὲ φίλων ἐν τῇ περὶ ῥωμαίων διαλέξει ἀπὸ τῆς ἀρετῆς κατὰ τροπήν.

Ἀλυκός, ἁλμυρός. παρὰ τὸ ἅλα ἁλικός, καὶ ἀλυκός. ὡς τριφάλεια τρυφάλεια. καὶ ἁλυκὴ, δασύνεται ἡ θάλασσαν ἔχουσα. ψιλοῦται δὲ ἀλύκη, ἡ μὴ ἔχουσα. καὶ ἀλυκός.

Ἀλυκρὸν, ἀντὶ θαλυκρόν. οἷον, Ἀπάντη παύτα θαλυκρὸς ἐγώ. εἶτα γέγονε δὲ ἀλυκρὰ, καὶ χωρὶς τοῦ θ, καὶ μετὰ τοῦ θ.

Ἀλυκτέων. ἄλλο οὖν ἐστι παράδειγμα ὁ κίρκος, ἄλλο οὖν τὸ ἀλυκτέων. τὸ ὑλακτέων, ἀλυκτέων.

Ἀλυκτοπέδην. ἡσίοδος, Δῆσε δ᾽ ἀλυκτοπέδῃσι προμηθέα ποικιλόβουλον. ἀλυκτοπέδαις, πλεονασμῷ τοῦ κ τουτέστι δεσμῶν, ὧν οὐκ ἔστι λυθῆναι. ζήτει εἰς τὴν ἡσιόδου θεογονίαν.

Ἀλυκταίνειν, φεύγειν. ἀλυκτεῖν, κλαίειν. λυπεῖσθαι. δυσφορεῖν. θορυβεῖν.

Ἀλύξαι, Αὐτοὺς δή που ἔασον ὑπεκφυγέειν. καὶ ἀλύξαι, τὸ ἐκκλῖναι. ἀπὸ τοῦ ἀλύσκω. ἢ ἀπὸ τοῦ λύω ἀλύω, κατὰ τὸ α, ἢ πλεονασμὸν, ἢ ἐπίτασιν δηλοῦντος. ἀλύω οὖν ἀλύσω. ὁ μέλλων ἀλύξω ἤλυξα, καὶ ἀλύξαι.

Ἀλύσσω, τὸ ἀδημονῶ. ὅμηρος. Οὐκ ἐμὸν αἷμα πίνοντες ἀλύσσουσι περὶ θυμῷ, ἰλιάδος χ. ἀγαναλυσσῶντες. μαινόμενοι. δυσφοροῦντες. παρὰ τὸ ἀλῶ, ἀλύσσω. ὡς ὀρύσσω. ἐξ οὗ καὶ ἄλυς ἡ πλάνη τῆς διανοίας. ἢ παρὰ τὴν λύσσαν. καὶ ἔστι τὸ λύσσω βαρύτονον, ὡς νύσσω. λύσσοντες, καὶ ἐν ἐπιτάσει, ἀλύσσοντες. ἢ παρὰ τὸ λυσσάω λυσσῶ, λυσσάοντες. καὶ ἐν ὑπερθέσει ἀλύσσοντες. μεθόδιος. σημαίνει καὶ τὸ τρέμειν.

Ἀλυσκάζειν, τὸ φεύγειν, παρὰ τὴν ἄλην τὴν πλάνην. οἱ γὰρ φεύγοντες πλανῶνται. καὶ ἀλυσκάζουσα, ἀλύουσα. ζήτει εἰς τὸ ἀλύσκω.

Ἄλυσσον, παρὰ τὸ λυσσάντας ὀρίνασθαι. ἔστι δὲ εἶδος βοτάνης ἐν ταῖς ὁδοῖς φυομένης πορφυρᾶ ἐχούσης φύλλα.

Ἅλυσις, ἡ ἐκ χαλκοῦ, ἢ σιδήρου, ἢ ἀργύρου, ἢ χρυσοῦ, πεπλεγμένου σειρά. Ὅμηρος δὲ αὐτὴν σειρὰν καλεῖ. οἷον. Σειρὴν χρυσείην. εὐριπίδης δὲ ἅλυσιν, ὅτι ἄλυτός ἐστιν. ἢ ἄλλη ἄλλης ἐξήρτηται. μεθόδιος.

Ἄλυς. οἷον, Ἀκτὴν ὢν προβλῆτι ῥοαὶ ἄλυος ποταμοῖο δεινὸν ἐρεύγονται. μετὰ τὸν δ᾽ ἀγχίρροος ἶρις.

Ἅλυς, ποταμὸς παφλαγονίας κατὰ σινώπην. ἶριν δὲ αὐτὸν λέγει καλλίμαχος. εἴρηται δὲ ἅλυς, οἱονεὶ ἅλης τις ὤν. καὶ πλανήτης. πολλὴν γὰρ διοδεύει γῆν, κατὰ τὴν τροπὴν τοῦ η, εἰς υ. ὡς τηρὸς, τυρός. ἁλμηρὸς, ἁλμυρός, οὕτως ἀπολλώνιος ὁ τὰ ἀργοναυτικά.

Ἀλυτάρχης, ὁ τῆς ἐν τῷ ὀλυμπιακῷ ἀγῶνι εὐκοσμίας ἄρχων. ἠλεῖοι γὰρ τοὺς ῥαβδοφόρους ἢ μαστιγοφόρους παρὰ τοῖς ἄλλοις καλουμένους, ἀλύτας καλοῦσι, καὶ τὸν τούτων ἄρχοντα ἀλυτάρχην. Ἡδύλος δὲ εἰς τὴν ἐπιγραφὴν καλλιμάχου, διὰ δύο λάμβδα ὀνομάζει τοὺς ἀλύτας ἀλλύτας. μεθόδιος.

Ἀλύσκω, Ἰστέον ὅτι οὐκ ἔστιν ἐκ τοῦ ἀλύω. τὸ γὰρ ἀλύσκω τὸ ἐκκλίνω καὶ ἀποφεύγω δηλοῖ. καὶ μήποτε δύναται παραγωγὴ εἶναι ἐκ τοῦ λύω, κατὰ τὸ α, ἢ πλεονάζοντος, ἢ κατὰ ἐπίτασιν λαμβανομένου. ὁ μέλλων ἀλύσω. καὶ πλεονασμῷ τοῦ κ, ἀλύσκω. ὡς μεθύω, μεθύσω. μεθύσκω. ἀλύσκειν οὖν τὸ οἱονεὶ λελύσθαι. ζηνόβιος.

Ἀλύω, Ἰστέον ὅτι τοῦ ὀπύω. καὶ ἀλύω, καὶ τῶν παραπλησίων ἐντελεῖς πάντες οἱ χρόνοι, οἱ διὰ συμφώνου γινόμενοι. οὐδέποτε γὰρ μετὰ τὴν υ δίφθογγον σύμφωνον ἐπιφέρεται. οἷον, μυῖα. αἴθυια. ἐντελεῖ πεδέω, τε παρακείμενος, καὶ ὁ ὑπερσυντέλικος. καὶ ὁ ἀόριστος, καὶ ὁ μέλλων.

Ἀλύω, σημαίνει δύο. τὸ δυσφορεῖν, καὶ ἀπορεῖν, καὶ λυπεῖσθαι. λύω, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀλύω. ἵν᾽ ᾖ τὸ μὴ λύσιν εὑρίσκειν τῶν κακῶν. ἢ παρὰ τὸ ἀλῶ τὸ πλανῶμαι, ἀλύω. ὡς πλήθω πληθύω. οἱ γὰρ λυπούμενοι ἐν πλάνῃ εἰσί. δηλοῖ καὶ τὸ χαίρω. ὡς τὸ, Ἦ ἀλύεις ὅτι ἶρον ἐνίκησας τὸν ἀλήτην. καὶ τοῦτο παρὰ τὸ ἀλῶ τὸ πλανῶ. πλανῶνται γὰρ καὶ τῶν χαιρόντων αἱ ψυχαί.

Ἀλφὸς, παρὰ τὸ ἀλλοφανής τις εἶναι. σημαίνει δὲ τὸ λεπρόν. παρὰ τὸ ἐναλλάσσειν τὴν χροιάν. τὸ γὰρ ἐναλλάσσειν, παρὰ τῷ ἀλφαίνειν ἐγένετο. σημαίνει δὲ τὸ πάθος. ἀλλοφός τις ὤν. ὁ ἀλλοιοφανὲς τὸ χρῶμα ποιῶν. λέγεται γὰρ τὸ ἀλλοῖον καὶ ἕτερον καὶ ἀντὶ τῶν ἀντὶ τοῦ χείρονος ἐκλαμβανόμενον. μεθόδιος.

Ἀλφειὸς, ὁ ἐν ἤλιδι ποταμός. παρὰ τὸ τοὺς ἀλφοὺς θεραπεύειν. ἢ παρὰ τὸ ἀλφεῖν, ὅ ἐστιν ὠφελεῖν. ὠφέλιμον γὰρ αὐτοῦ τὸ ὕδωρ. μεθόδιος.

Ἀλφηστὴς, ὁ εὑρετικός. οἱ μὲν γὰρ ἐπίθετον τοῦ ἀνθρώπου. οἱ δὲ τὸν ἄνθρωπον. παρὰ τὸ ἀλφεῖν τὸ εὑρίσκειν. μόνος γὰρ ὁ ἄνθρωπος εὑρετικός. ἀλφησταὶ, ἐξ οὗ ἡ γενικὴ τῶν πληθυντικῶν ἀλφηστῶν, καὶ ἀλφηστάων. ὅθεν καὶ ὁ ἐστὶ χθὸν ὠνομάζεται. Σώφρων εἰς ἀνδρείους μίμους κατὰ τὸ τερον ἀλφηστᾶν. ἀπολλόδωρος δὲ φησὶ ἰχθῦς τινὲς οἱ ἀλφησταί. τὸ μὲν ὅλον, κιρροειδεῖς. πορφυρίζοντες κατά τινα μέρη. φασὶ δὲ αὐτοὺς ἁλίσκεσθαι σὺν δύο. καὶ φαίνεσθαι τὸν ἕτερον ἀπὸ τοῦ ἑτέρου κατ᾽ οὐρὰν ἑπόμενον. ἀπὸ τοῦ οὖν τοῦ τὴν πυγὴν ἑτέρῳ τὸν ἕτερον ἐπακολουθεῖν, τῶν ἀρχαίων τινὲς, τοὺς ἀκρατεῖς καὶ καταφερεῖς οὕτως ἔλεγον. λέγονται καὶ οἱ ἔντιμοι, καὶ τίμιοι βασιλεῖς. ἢ ὀρχησταί.

Ἀλφεσίβοιαι, ἐστὶ δὲ κύριον παρὰ θεοκρίτῳ. παρὰ δὲ τῷ ποιητῇ, ἐπίθετον. Παρθένοι ἀλφεσίβοιαι. αἱ παρθένοι αἱ βόας ἐφ᾽ ἑαυτὰς εὑρίσκουσαι, διὰ τὴν εὐμορφίαν. ἕδνα γὰρ, θρέμματα ἐδίδοτο τὸ παλαιὸν πρὸς γάμον δῶρα. ὠνόμασται δὲ ἀπὸ μέρους. ἐπειδὴ ἔντιμοι τὸ παλαιὸν οἱ βόες. τῶν τοὺς πατέρας ἄνδρας ἀλλασσομένους ὑπὲρ αὐτῶν. ἀλφαίνειν γὰρ τὸ εὑρίσκειν, καὶ ἀλφὴ ἡ τιμή. ἔστιν οὖν ἄλφω τὸ εὑρίσκω, καὶ ἀμείβω. ἐξ αὐτοῦ γίνονται ἀλφεσίβοιαι. πολλάκις δὲ τὸ ο ἐν τῇ συνθέσει εἰς ε μεταβάλλεται, καὶ τὴν σι συλλαβὴν προσλαμβάνει. οἷον ἑλκόπεπλος, ἑλκεσίπεπλος. πρωτόλαος, πρωτεσίλαος. πηγόμαλλος, πηγεσίμαλλος. οὕτως οὖν ἀλφόβοια, καὶ ἀλφεσίβοια. μεθόδιος. γνησία, ἢ εὐγενής. ἔντιμος.

Ἄλφιτον, ἡ ἀξιολογωτάτη τροφή. κυρίως, τὰ ἀπὸ τῶν πεφρυγμένων κριθῶν ἀλεσθέντων θραύσματα. καταχρηστικῶς δὲ καὶ τὰ ἀπὸ τῶν πυρῶν, ἢ φακῶν. ἐπὶ δ᾽ ἄλφιτα λευκὰ πάλυνεν. παρὰ τὸ ἀλφαίνειν. ἡ πρῶτον εὑρεθεῖσα τροφή. ἢ ἀλήφατα τινὰ ὄντα. τὰ ἀληλεσμένα, πρὸς ἀντιδιαστολὴν τῶν ὅλων. καὶ ἀλφιτεῖα ἐργαστήρια. καὶ ἀλφιταμοιβοί, οἱ πωλοῦντες τὴν ἀλφίτου ἀκτὴν κατὰ ἀφαίρεσιν. εἶναι γὰρ μακτήν. οἱ δὲ φασὶν, ὅτι ἄκρον ἐκάλουν τὸν καρπόν. ἔνθεν καὶ ἀκρόδρυα. ἢ ὅτι ὥσπερ οἱ εἰς θάλασσαν καθήκοντες τόποι ἔσχατοι ὄντες τῆς ἠπείρου, ἀκτὴ λέγεται. οὕτω καὶ τὸ ἔσχατον τοῦ ἀλεύρου προπονηθέντα ἔχων τὸν καρπόν. ἢ ἀπὸ τοῦ ἄσασθαι ὑπὸ τοῦ μύλου καθὰ καὶ τὰ κύματα τῆς θαλάσσης ἐν τοῖς αἰγιαλοῖς, ὅσα ἀκτὴ καλεῖται.

Ἀλῶ, σημαίνει δύο. τὸ πλανῶ. τὸ παθητικὸν ἀλῶμαι. ἡ μετοχὴ ὁ ἀλώμενος. παρὰ τὸ λῶ, ὅπερ ἀπὸ τοῦ θέλω γίνεται ἀφαιρέσει τῆς θε. μετὰ τοῦ στερητικοῦ α, ἀλῶ. οἱ γὰρ πλανώμενοι ὧν οὐ θέλουσιν ἐπιτυγχάνουσιν. ἢ οὐ θέλουσι πλανᾶσθαι. ἀλῶ ψιλούμενον μὲν, σημαίνει τὸ πλανῶ. δασυνόμενον δὲ, τὸ συναθροίζω. ζήτει εἰς τὸ ἅλωσις, καὶ ἀνάλωσις.

Ἁλῶ τὸ συλλαμβάνω ὅπερ ὅμηρος ἁλώω φησί. οἷον, Ἤ κεν ἁλώω. παράγεται δὲ ἀπὸ τούτου καὶ τὸ ἁλίσκω, τὸ κατὰ λαμβάνω καὶ κρατῶ, παρὰ τὴν ἅλα τὴν θάλασσαν. ἀπὸ τοὺς κατὰ θάλασσαν λαμβανομένους πρῶτον, ἁλίσκεσθαι νομίζειν.

Ἁλώη, ληφθείη. κρατηθείη. ζήτει εἰς τὸ ἁλοίη. ἔχει δὲ τὸ ι προσγεγραμμένον ἐν τῇ παραληγούσῃ. ἔστι γὰρ ἐὰν ἁλῶ ἐὰν ἁλῷς, ἐὰν ἁλῷ. καὶ κατὰ πλεονασμὸν τοῦ η, ἐὰν ἁλώῃ. ὥσπερ ἐὰν στῶ, στῇς. στῇ. καὶ ἐὰν στήῃ. οἷον, Στήῃ ἐπ᾽ ὠκυρόῳ ποταμῷ. καὶ ἐὰν φῶ φῇς φῇ, καὶ ἐὰν φήῃ. οἷον, Φήῃς θηρολοιγὸν ἔχειν ἀναφανδὸν ὤμω. δύναται δὲ μὴ ἔχειν τὸ ι κατὰ τὴν παραλήγουσαν, ἀλλὰ κατὰ τὴν λήγουσαν. ἵνα εἴπω αὐτὸ ἀπὸ τρισυλλάβου ἐὰν ἁλώω, ἐὰν ἁλώῃς, ἐὰν ἁλώῃ. ἀλλ᾽ ἐπειδὴ πολλά εἰσιν ἐν τῇ παραληγούσῃ ἔχοντα τὸ ι πλεονασμῷ τοῦ η, οἷον, στήῃ, φθήῃ, τούτου χάριν καὶ τὸ ἁλώῃ ἔχει ἐν τῇ παραληγούσῃ τὸ ι, πλεονασμῷ τοῦ η. οὕτως ὁ χοιροβοσκὸς εἰς τὸ ποσότητος.

Ἀλῶα, ἑορτὴ ἀθηνᾶς ἀγροικική. Ἰστέον ὅτι τὰ εἰς ως βαρύτονα, τὰ μὲν βραχεῖα παραληγόμενα διὰ τοῦ τος κλίνονται. ἔρως ἔρωτος. νέπωτος. ἔστι δὲ οἷον ὅρους. τὰ δὲ μακρὰ

ηραῖ παραλαμβανόμενα, διὰ καθαροῦ τοῦ ος. μίνωος, ἥρωος. σεσημείωται τὸ εἵλως εἵλωτος. περὶ οὗ ἐστιν εἰπεῖν, ὅτι ἕλως ἐστί, καὶ ἐκλίθη ἕλωτος. λοιπὸν ἐπλεόνασε τὸ ι. καὶ πῶς τὸ κάλως ὅπερ σημαίνει τὸ σχοινίον βαρύτονον ὂν καὶ βραχεία παραληγόμενον, οὐ κλίνεται διὰ τοῦ τος, ἀλλὰ διὰ καθαροῦ τοῦ ος. ὡς ὅμηρος. ἀπολλώνιος δὲ ὁ τὰ ἀργοναυτικά, εἶπε κάλωες. οὐ γὰρ δυνάμεθα εἰπεῖν, ὅτι ἀττική ἐστιν ἡ κλίσις. οἱ γὰρ ἀθηναῖοι κατ' ἀποβολὴν τοῦ ς κλίνουσιν. οἷον, ὁ κάλως, τοῦ κάλω. ἔστιν οὖν εἰπεῖν. ὅτι οὐκ ἔστι τοῦ κάλως αὕτη κλίσις. ἀλλ' ἐπέκτασις. ἔστι γὰρ ὁ κάλως τοῦ κάλω. καὶ κατ' ἐπέκτασιν τῆς ος συλλαβῆς, κάλωος. ὥσπερ ἡ ἅλως τῆς ἅλω, καὶ ἅλωος. ἐξ οὗ ἡ αἰτιατικὴ τὴν ἅλωα. ὥσπερ καλλίμαχος ἐν τῇ ἑκάβῃ. Δινομένη περὶ βουσὶν. ἐμὴν ἐφύλαξεν ἅλωα. σημαίνει δὲ καὶ τὸ νεφελῶδες, τὸ περὶ σελήνην καὶ ἥλιον.

Ἅλως, ἡ ἅλων καὶ ἡ ἁλωνία. παρὰ τὴν τῶν ἀσταχύων συνάθροισιν. ἐκεῖ γὰρ συναθροίζονται οἱ ἀστάχυς. παρὰ τὸ ἅλες, ὅπερ σημαίνει τὸ συνάθροισμα. ἢ παρὰ τὸ ἅλις καὶ ἱκανῶς ἔχειν τοῖς καρποῖς. ἢ παρὰ τὸ ἀλοιῶ ἐστιν ἀλωή μετὰ τοῦ ι, παρὰ τὴν τῶν ἀσταχύων ἀλοίησιν. καὶ ἅλωας, τὰς ἁλωνίας. τοὺς τόπους, ὅπου οἱ πυροὶ πατοῦνται.

Ἀλωή. σημαίνει χωρὶς τοῦ ι, τὸ σύμφυτον χωρίον, καὶ σύνδενδρον τόπον. παρὰ τὴν ἄλσιν τὴν αὔξησιν. ἄλδω οὖν ἀλωή χωρὶς τοῦ ἰῶτα.

Ἀλωρῆται, τοὺς τὰς ἅλως φυλάττοντας, οὕτως ὑπὸ λυκίων καλεῖσθαι. ὠρεῖν γὰρ τὸ φυλάττειν.

Ἁλώνητα, τὰ βάρβαρα ἀνδράποδα. τοὺς γὰρ ἅλας διδόντες τοῖς θρᾳξὶν, ὠνοῦντο ἀνδράποδα.

Ἀλῶναι, ἅλωμι. ἁλῶσαι. ὁ δεύτερος ἀόριστος ἐν τοῖς πληθυντικοῖς ἥλωμεν. τὸ ἀπαρέμφατον ἁλῶναι. κυρίως ἐπὶ τῶν ἰχθύων. σημαίνει ἀπολέσθαι. ληφθῆναι.

Ἀλωή, κῆπος. καὶ ἡ καρποφόρος χώρα. καὶ ὁ τόπος ἐφ' οὗ ὁ σῖτος τρίβεται. καὶ ἡ ἄμπελος. τὸ δὲ ἅλως, ἐπὶ μὲν τοῦ τόπου ψιλοῦται. ἐπὶ δὲ τῆς ἅλωνος δασύνεται. ἐκ τοῦ ἅλω τὸ πορθῶ. τοῦτο ἐκ τοῦ ἅλως, ὅπερ σημαίνει τὴν ἅλωνα. εἰς αὐτὴν γὰρ πορθοῦνται καὶ συντρίβονται οἱ ἀστάχυς. τὸ ῥ ἐκ τοῦ ἅλω τοῦ συναθροίζω. ἐξ οὗ καὶ δασύνεται. τὸ ῥ ἐκ τοῦ ἅλς ἁλός.

Ἀλώπηξ, κλίνεται ἀλώπεκος. σεσημείωται ὅτι ἔτρεψε τὸ η εἰς ε ἐν τῇ γενικῇ. καὶ ἔστιν εἰπεῖν, ὅτι τὰ εἰς ηξ θηλυκὰ οὐ φαίνεται παραληγόμενα τῷ ω. πήληξ ἡ περικεφαλαία. ἀντίτηξ, ἡ κιβωτός. ὕσπληξ, ἡ τοῦ ἱπποδρόμου ἀφετηρία. τὸ γὰρ σκώληξ ἀρσενικόν ἐστιν. ἐπεὶ οὖν τὸ ἀλώπηξ θηλυκόν, ὡς παρήλλαξε κατὰ τὴν παραλήγουσαν, παρήλλαξε καὶ κατὰ τὴν κλίσιν. ὁ χοιροβοσκός. ἔστι δὲ τὸ πάθος τὸ ψιλωτικὸν τῶν γενείων τε καὶ τριχῶν, ἀπὸ τῆς ἀλώπεκος μεταφορικῶς. ἡ γὰρ ἀλώπηξ τὸν τόπον ἔνθα ἂν οὐρήσῃ, τὸν τόπον ἄκαρπον ποιεῖ, ξηραίνουσα καὶ τὴν προϋπάρχουσαν βοτάνην. καὶ ἑτέραν ἀναβλαστῆσαι οὐ συγχωροῦσα. γίνεται δὲ παρὰ τὸ ἀλῶ τὸ πλανῶ, καὶ τοῦ ὢψ ὠπὸς ὁ ὀφθαλμός. ἢ καὶ τοῦ παίζω. ἡ ἐν τῇ πλάνῃ παίζουσα.

Ἀλωπεκόννησος, ὄνομα νήσου. ὅτι ἀθηναίοις ἀποικίαν στελλομένοις. ὁ θεὸς ἔχρησεν ἐκεῖ κατοικῆσαι, ἔνθα ἂν ἀλώπηξ φανῇ. καὶ ἐν τῇ νήσῳ φανείσης τῆς ἀλώπεκος ᾤκησαν. μεθόδιος.

Ἀλωπεκάδης, πανοῦργος. οἱ δὲ, ἀφελής. καὶ ἀπρόσοψις. ἀλωπεκία, αἱ τῶν ἀλωπεκῶν καταδύσεις. ἀλωπεκίδες, εἶδος κυνῶν.

ΤΟ ΑΛΦΑ ΜΕΤΑ ΤΟΥ Μ

Ἅμα, ἐπίρρημα συλλήψεως, ἢ ἀθροίσεως. παρὰ τὸ θαμὰ τὸ συνεχῶς, καὶ πυκνῶς τὸ γὰρ πυκινὸν καὶ ἐπάλληλον ἅμα ἐστί, καὶ ἐν τῷ αὐτῷ καιρῷ. τὸ δὲ θαμὰ, οὕτω. ἔστι θαμὸς, ἐξ οὗ θαμειά. τὸ οὐδέτερον θαμόν. ἡ εὐθεῖα τῶν πληθυντικῶν, θαμά. καὶ τὸ ἐπίρρημα θαμά. οὐ γάρ ἐστιν ἀπὸ τοῦ θαμὺς θαμέος. ἀφ' οὗ τὸ, Θαμέες ἄκοντες. οὐ γὰρ ἂν ὀξύνεται θαμέος. μεθόδιος. ὥσπερ δὲ ἀπὸ τοῦ χάζω, ἐστὶν ἄζω. ἔμεινε δὲ ἡ ἀναλογοῦσα τῷ χ δασεῖα, οὕτως ἐκ τοῦ θαμὰ, ἅμα δασύνεται καὶ βαρύνεται. τὰ εἰς α λήγοντα δισύλλαβα ἐπιρρήματα, ἅπαντα βαρύνονται. οἷον, ὦκα. τάχα. σάφα. λίγα. λίπα. χωρὶς τοῦ θαμά.

Ἀμάδιος, ἅμα δὲ τὴν ναῦν, αἰσχύλος. ἐπιρρηματικῶς. ἅμα τῷ προσελθεῖν. ἀπὸ τοῦ ἅμα, ἁμάδιος παραγωγὸν διὰ τοῦ διος. καὶ πολὺς ὁ τοιοῦτος χαρακτήρ.

Ἁμαδρυάδες, ἀπολλώνιος ὁ τὰ ἀργοναυτικά. Ὁ γὰρ οἷος ἐν οὔρεσι δένδρεα τάμνων. δή ποθ' ἁμαδρυάδος νύμφης ἀθέριξε λιτάων. ἥ μιν ὀδυρομένη ἀδινῷ μειλίατο μύθῳ. ἁμαδρυάδες νύμφαι λέγονται, διὰ τὸ ἅμα ταῖς δρυσὶ γεννᾶσθαι. ἢ ἐπειδὴ δοκοῦσιν ἅμα ταῖς δρυσὶ φθείρεσθαι. χάρων γὰρ ὁ λαμψακηνὸς ἱστορεῖ. ὡς ῥοῖκος δρῦν θεασάμενος ἤδη μέλλουσαν ἐπὶ γῆν καταφέρεσθαι, προσέταξε τοῖς παισὶ ταύτην ὑποστηρίξαι. ἡ δὲ μέλλουσα συμφθείρεσθαι τῇ δρυῒ νύμφη ἐπιστᾶσα τῷ ῥοίκῳ, χάριν μὲν εἰδέναι ἔφασκεν ὑπὲρ τῆς σωτηρίας. ἐπέτρεπε δὲ αἰτήσασθαι ὅ, τι βούλοιτο. ὡς δὲ ἐκεῖνος ἠξίου συγγενέσθαι αὐτῇ, ἐπιζήμιον μὲν ἔλεγεν εἶναι τοῦτο. φυλάττεσθαι δὲ ὅμως ἑτέρας γυναικὸς ὁμιλίαν. ἔσχον δὲ μεταξὺ αὐτῶν ἄγγελον μέλισσαν. καί ποτε πεττεύοντος αὐτοῦ περιΐπταται ἡ μέλισσα. πικρότερον δέ τι ἀποφθεγξάμενος εἰς ὀργήν, ἔτρεψε τὴν νύμφην, ὥστε πηρωθῆναι. καὶ πίνδαρος. Ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῦσαι.

Ἀμαζόνες, ἐκ τοῦ μαζὸς καὶ τοῦ στερητικοῦ α, ἀμαζών. ὅτι τὸν μαζὸν θηλάζειν τὸν δεξιὸν ἐνέκοπτον. ἢ ἔκαιον, ἵνα μὴ ἐμποδίζωνται τοξεύουσαι. ἢ ὅτι μαζοῦ καὶ τροφῆς οὐ μετέσχον ἀλλ' ὄφεσι καὶ ἄλλοις τισὶ θηρίοις ἐτρέφοντο. σαύραις καὶ χελώναις. παρὰ τὸ μάζαις μὴ χρῆσθαι, ἤγουν τροφαῖς ἀλλὰ κρέασιν. ἢ ὅτι λαμβάνουσαι ζώνην καὶ πανοπλίαν διερχόμεναι ἤμων καὶ ἐθέριζον. παρὰ τὸ ἐν ταῖς ζώναις ἀμᾶν. λέγονται δὲ οὕτω καὶ οἱ πένητες οἱ μάζαν οὐκ ἔχοντες.

Ἄμαθος, ἡ ψάμμος. παρὰ τὸ ψάμαθος ἐστί, κατ' ἀποβολὴν τοῦ ψ. ἢ ἄμυθός τις οὖσα, τουτέστιν ἀνεπίγνωστος, ἣν οὐκ ἔστιν ἀριθμῆσαι καὶ καταμαθεῖν. μεθόδιος.

Ἀμαθύνει, παρὰ τὴν ἄμαθον. ἀμαθύνειν, τὸ ἀφανίζειν. Πόλιν δέ τε πῦρ ἀμαθύνει. κατὰ μικρὸν δαπανᾷ. τουτέστιν, ἄμαθον καὶ κόνιν ποιεῖ.

Ἀμαθαίνειν, ἀμαθῶς ἔχειν.

Ἀμαθής, σκαιός, καὶ βίαιος.

Ἀμαλδῦναι, κακοποιῆσαι, ἀποκρύψαι, εἰς ἀλαδῦναι.

Ἀμαλκίζειν, τὸ μὴ ἐργοῦν.

Ἀμαλλεύειν, δραγμεύειν. καὶ ἀμάλλιον σχοινίον, ἐν ᾧ δεσμεύουσι τὰς ἀμάλλας. τουτέστιν, οὐλόδετον.

Ἁμαξιτός, ἁμάξαις διοδευτός.

Ἀμαιμάκετον. ὅμηρος. Ἰσὸν ἀμαιμάκετον. παρὰ τὸ μῆκος, μάκετος. διπλασιασμῷ μαιμάκετος. καὶ πλεονασμῷ τοῦ ι, μετὰ τοῦ α, ἀμαιμάκετος, ὁ μακρὸς, καὶ ὑπερφυής. τὸ δὲ πνείουσαν ἀμαιμάκετον πῦρ. παρὰ τὸ μαιμῶ, μαίμακα. Χίμαιραν ἀμαιμακέτην. ἄμαχον. ἀκαταγώνιστον. φοβεράν, ἀνυπόστατον, ἢ ἀπρόσμαχον, καὶ μεγάλην. παρὰ τὸ μαιμάω, μαιμῶ, τὸ προθυμοῦμαι, μαιμάκετος. ἐξ οὗ τὸ θηλυκὸν μετὰ τοῦ στερητικοῦ α. πρὸς ἣν οὐδεὶς προθυμεῖται μάχεσθαι. ἢ παρὰ τὴν μάχην, ἀμαιμάχετος, καὶ ἀμαιμάκετος, καὶ ἀμαιμακέτη.

Ἀμαλδύνω κυρίως τὸ διὰ πυρὸς ἀφανίζω. ἀπὸ τοῦ μαίρω τὸ λάμπω. ὁ μέλλων, μαρῶ. ἀφ' οὗ τὸ μαραίνω. μετὰ τοῦ στερητικοῦ α ἀμαρῶ. τροπῇ τοῦ ρ εἰς λ, ἀμαλῶ. καὶ κατὰ παραγωγὴν, ἀμαλύνω. καὶ πλεονασμῷ τοῦ δ, ἀμαλδύνω. τεῖχος ἀμαλδῦναι. ἢ τὸ ἁπλῶς ἀφανίσαι. ἢ ὁμαλίσαι. παρὰ τὴν ἄμμον, ἄμμος, ἀμῶ. ὡς δοῦλος δουλῶ. καὶ φίλος φιλῶ. παραγωγὴ ἀμύνω. καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, καὶ τοῦ δ, ἀμαλδύνω. οὕτως ὠρίων. ὁ δὲ μεθόδιος, παρὰ τὸ ὁμαλός, ὁμαλύνω. ὡς κακός, κακῶ, κακύνω. καὶ ἐπενθέσει τοῦ δ, καὶ τροπῇ τοῦ ο, εἰς α.

Ἀμάλθεια, ἡ τροφὸς τοῦ διός. καλλίμαχος. Σὺ δὲ θήσαο μαζὸν αἰγὸς ἀμαλθείης. οἱ γὰρ διαφασὶ παρὰ τὸ πλάσσεσθαι τὸ ὄνομα. εἶναι γὰρ αὐτὴν ἀμαλάκιστον. παρὰ τὸ μὴ μαλάσσεσθαι, καὶ ταπεινοῦσθαι. διὰ τοῦτο καὶ τὸν ἡρακλέα καρτερικώτατον γεγονέναι λέγουσιν, ἐπειδὴ εἶχεν αὐτῆς τὸ κέρας, ὥσπερ ὁ μῦθος. ζήτει εἰς τὴν παροιμίαν. ἀμαλθείας κέρας, εὐθηνείας. καὶ ὑγιείας. ἀμαλθεύεσθαι, πληθύνεσθαι αὔξειν.

Ἀμάλη, ἡ ἁπαλή. ἡ δὲ λέξις μακεδόνων. ὅθεν καὶ πρόμαλα εἴρηται, ἡ πρὸ τοῦ δέοντος αὐξανομένη μυρίκη. μαλεῖν γὰρ τὸ αὐξάνειν. καὶ ἡ τριχῶν αὔξησις, ἀμάλη. ἔστι δὲ ἁπαλή. καὶ τὸ ἐπὶ ἀμάλη παῖς. καὶ ἀμαλὸν ἀμαλῶς. ἁπαλόν, ἁπαλῶς. μετρίως. εὐκόλως.

Ἀμαλλοδετῆρες, οἱ τὰς ἀμάλλας δεσμοῦντες. ἀμάλλα δὲ ἡ ἐκ πολλῶν δραγμάτων συναγωγή.

Ἀμάλλαι, τὰ δράγματα τὰ τοῦ σίτου. ἢ παρὰ τὸ ἀμᾶσθαι, ἢ παρὰ τὸ ἅμα ἀολλίσθαι ταῖς χερσὶ τὴν τοῦ σίτου μετὰ τῶν ἀσταχύων καλάμην.

Ἀμᾶν, τὸ θερίζειν. παρὰ τὸ ὁμοῦ ἐπισπᾶν. οἷον, ἅμα σπᾶν τὸ ἅμα καὶ ὑφ' ἓν πολλὰ ἕλκειν. ζήτει εἰς τὸ ἄμη.

Ἀμάνδαλον, τὸ ἀφανὲς παρὰ ἀλκαίῳ. ἀμαλδύνω, ἀμάλδυνον τὸ ἀφανὲς καὶ ἀφανιζόμενον. καὶ καθαιρεθὲν ἀμάνδαλον.

Ἄμαντες, οἱ παρὰ Ἐλεφήνορα μετὰ τροίας ἅλωσιν διέβησαν εἰς τὴν ἤπειρον. καὶ ᾤκησαν παρὰ τὰ κεραύνια ὄρη. ἔκτισαν δὲ εὔβοιαν. ὅθεν ἄβαντες ἐκλήθησαν, ἐν ὑπομνήμασι λυκόφρονος. καὶ κατὰ μεταφορὰν, ἄμαντες.

Ἀμαμαξύς, ἡ ἀναδενδράς. παρὰ τὸ ἀμμῖξαι. ἡ συνδεδεμένη. ἀναδεσμοῦνται γὰρ αἱ ἀναδενδράδες. ἀμμιξύς. καὶ πλεονασμῷ τοῦ α, καὶ τροπῇ ἀμαμαξύς. ἐπίχαρμος. Γαῖα καὶ θάλασσα, οὐδ' ἀμαμαξύας φέρει. σαπφὼ διὰ τοῦ δ λέγει, ἀμαμαξύδες. μεθόδιος. ἔστιν οὖν ἀμπέλου τι γένος. οἱ δὲ τὴν ἑσπέριον σταφυλήν. ἀλέξανδρος τὴν ἀβούβαστον λέγει.

Ἅμαξα. φησὶ δ' ἀνὴρ ἀφνειὸς πήξασθαι ἅμαξαν. παρὰ τὸ ἄγω, ἄξω, ἄξα, καὶ ἅμαξα. καὶ ἁμαξίς, ἡ μικρά. Ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγὸς ἀπὸ κρήνης μέλανος ὕδατος ῥόον ἡγε χερσὶ μάκελλαν ἔχων ἀμάρης ἐξ ἔχματα βάλλων. Ἰλιάδος φ.

Ἀμάρα, ὀχετός. δι' οὗ τὸ ἐν τοῖς κήποις φέρεται ὕδωρ. ἢ τάφος, ἢ ὑδρορρόη. παρὰ τὸ ἅμα καὶ ὁμαλῶς ῥεῖν τὸ ὕδωρ. ἢ ὅτι τὰ φυόμενα πλησίον αὐτοῦ φυτὰ οὐκ ἐᾷ μαραίνεσθαι. ἢ παρὰ τὸ τῇ ἀμῇ αἱρεῖσθαι. ἀμὴ δέ ἐστιν ἐργαλεῖον οἰκοδομικόν. ἢ διὰ τὸ περὶ τὰς αἱμασιὰς εἶναι, τὰ περιφράγματα καὶ τοὺς τοίχους. οἱ δὲ, τάφον. στενήν.

Ἀμαρία, παρὰ τὸ ἅμα ἄγω παραγώγως τὸ αὐτὸ σημαινόμενον. καὶ ἀμάραι, αἱ ἐν τῷ ὠτίῳ κοιλότητες. καὶ ἀμάρησι, πόροις.

Ἀμαρυγάς, ὄψεις. οἱ δὲ ἀκτῖνας ὄψεως. καὶ ἀμάρυγμα. αἴθυγμα, φέρημα, εἴδωλον, κίνησιν. λαμπηδόνα.

Ἀμαρύσσω, τὸ λάμπω. ἡσίοδος. Ὑπόφρυσι πῦρ ἀμάρυσσε. μαίρω, μαρῶ. ἐξ οὗ μαρύσσω. καὶ πλεονασμῷ τοῦ α ἀμαρύσσω. καὶ ἀμάρυγμα, καὶ ἀμαρυγάς. σημαίνει τὰς τῶν ὀφθαλμῶν ἐκλάμψεις. Χαρίτων ἀμαρύγματ' ἔχουσα. ἡσίοδος. σημαίνει δὲ καὶ τὰς τοῦ μετώπου ῥυτίδας, αἵτινες εἴρηνται διὰ τὸ ἀμαυρὸν ἀλαμπεῖς εἶναι καὶ ἀμυδραί. ἢ παρὰ τὸ ἀμάραις ἐοικέναι. ὀχετοῖς. ὡς γὰρ ἐκεῖναι τὸ ὕδωρ, οὕτω καὶ αὗται τὸν ἱδρῶτα μετάγουσιν, ἐπὶ τὰ παρ' ἑκάτερα μέρη τῆς κεφαλῆς. αἱ δὲ ἐκλάμψεις εἴρηνται παρὰ τὸ μαίρω τὸ λάμπω. ἐξ οὗ ἐν διπλασιασμῷ μαρμαίρω. καὶ μαρμαρυγή, καὶ μάρμαρον. μάρων κύριον ὄνομα. ἐκ τοῦ μαρῶ μέλλοντος μαρύσσω. ἀμάρα. ἀμάρυγμα. ἢ μαρυγμαί, ἀμαρυγμή, καὶ ἀμάρυγμα. μεθόδιος.

Ἀμάρυνθος, πόλις εὐβοίας. ὠνόμασται δὲ ἀπὸ ἀμαρύνθου βασιλέως. ἢ ὥς τινες ἀπὸ τοῦ μὴ μα-

ῥαίνεσθαι τὸ ὑδρῶπον. σὺν δένδρος γάρ.

Ἀμάραντος. ἀπολλώνιος ὁ τὰ ἀργοναυτικά. Ἔνθα δὴ ἠπείροιο κυταιίδος, ἠδ᾽ ἀμαραντῶν. κύτος πόλις τῆς κολχίδος. ἔστι καὶ ἑτέρα κύτα τῆς εὐρώπης, κατὰ ἀρχὴν τοῦ εἴσπλου τοῦ πόντου. ἐκεῖθεν δὲ τὴν ἀρχὴν λαμβάνει. λέγεται δὲ οὕτως ὀνομαστικῶς. ὅθεν κυταιίδα τὴν μήδειαν λέγουσιν. ἀμάραντος, πόλις ἐν τῷ πόντῳ. ὡς δὲ ἔνιοι ὄρη τῆς κολχίδος. ἐξ ὧν καταφέρεται ὁ φᾶσις ποταμός. φαίνεται ἀπὸ ἀρμενίων ὀρῶν εἰς κόλχους κατὰ θάλασσαν. τὸ δὲ ἀμαραντῶν ἐν ταῦθα ἀντὶ τῶν ὀρέων παραλαμβάνεται ὡς κύριον. καὶ τὰ ἀμάραντα ὀξύνεται. λέγεται δὲ πρὸς διάφορον σημαινόμενον τὰ ἀμάραντα σώματα δηλονότι. οὕτω λέγεται ἀντὶ ἀμαράντων σωμάτων.

Ἀμαρτίνοις. παρὰ τὸ ἁμαρτῶ ἁμαρτίνοις. σημαίνει δὲ τὸν ἡμαρτημένον κατὰ τὸν νοῦν. ὡς οἱ δύο οἰδίπους. τὰ παρὰ τὸ ἁμαρτία συντιθέμενα, καὶ διὰ τοῦ ο, καὶ διὰ τοῦ ι γράφονται. ζήτει εἰς τὸ Δαΐφων.

Ἀμαρτοεπής, ὁ ἁμαρτάνων ἐν τῷ λέγειν, ἤγουν φλύαρος. ἡ μεταφορὰ ἀπὸ τῶν ἁμαρτανόντων τῆς ὁδοῦ.

Ἁμαρτωλός, παρὰ τὸ ἁμαρτῶ ἁμαρτήσω, ἁμαρτηλὸς καὶ ἁμαρτωλός. αἱμύλος. πανοῦργος. μοχθηρός. καὶ ἁμαρτωλία, ὃ καὶ ἁμαρτία, καὶ ἁμάρτημα.

Ἁμαρτία, κυρίως ἡ ἀποτυχία. παρὰ τὸ μάρπτω ἁμαρπτία. καὶ ἐλλείψει τοῦ π, ἁμαρτία. ἡ ὃ βούλεται μὴ μάρπτουσα, ὅ ἐστιν ἀποτελοῦσα. ἔνθα καὶ μάρτυς, ὁ μάρψας καὶ εἰδὼς τὸ ἀληθές. ἢ ἀπαρτία παρὰ τὸ ἀρτῶ σημαῖνον τὸ ἁρμόζω. πόρρω οὖσα τοῦ συνηρμόσθαι ὃ βούλεται. τῆς ἀ προθέσεως τὸ ἄποθεν δηλούσης.

Ἁμαρτῶ, καὶ ἁμαρτάνω. ἐκ τοῦ ἁμαρτῶ τὸ ἀποτυγχάνω. ὡς ἥδω, ἁνδάνω. ἀπὸ τοῦ μάρπτω τὸ καταλαμβάνω. ἁμαρτῶ οὖν, τὸ οὐ καταλαμβάνω. Ἀλλ᾽ ὅτε καὶ τὸ ἥμαρτε. καὶ ἁμαρτῆσαι, τὸ ἀτυχῆσαι, στερηθῆναι. καὶ ἁμαρτήσεσθαι, ἀδικήσεσθαι, βλαβῆναι.

Ἁμαρτῆ, ἐπίρρημα σημαῖνον τὸ ὁμοῦ, καὶ κατὰ τὸ αὐτό. καὶ ὁ μὲν ἀρίσταρχος ἐκ τοῦ ἁμαρτήδην λέγει κατὰ συγκοπήν. καὶ ὀξύνεται. ὁ δὲ ἡρωδιανὸς ἐκ τοῦ ἅμα καὶ τοῦ ἀρτῶ. καὶ γίνεται ἀπὸ ἀμφοτέρων ἐπίρρημα ἁμαρτῆ. καὶ ὁμαρτῆ. ζήτει εἰς τὸ ὁμαρτῆ. διατί λέγονται μεσότητος ἐπιρρήματα, ἐπειδὴ μέσον ἀρσενικοῦ καὶ οὐδετέρου κεῖνται. ζήτει εἰς τὸ ὄφιν. Δεῖ γινώσκειν ὅτι σὺν τῷ ι γράφεται. τὰ γὰρ εἰς η λήγοντα ἐπιρρήματα ἔχουσι τὸ ι προσγεγραμμένον. οἷον, ἄλλῃ. ταύτῃ. κρυφῇ. σπουδῇ. εἰκῇ. ὅπῃ. πῇ. εἰσὶ δέ τινα εἰς η λήγοντα ἐπιρρήματα μὴ ἔχοντα τὸ ι. οἷον, ἡ θέμις. ἀντὶ τοῦ ὡς. φῆ νέος οὐκ ἀπάλαξεν. ὡς νέος σημαίνει. μή. νή. δή. ἰή. ἔστι δὲ σχετλιαστικὸν ἐπίρρημα, καὶ θαυμαστικόν. ὤ. ἤ. ἔστι κλητικὸν ἐπίρρημα. καὶ ἰώ, σχετλιαστικὸν ἐπίρρημα. καὶ τὸ ἤδη, καὶ τὸ νῦν δὴ σημαίνει τὸ ἀρτίως. τουτέστι δὲ τὸ νῦν δὴ, οὐκ ἀνέχεται συντάξεως τοῦ νῦν. τὸ μέντοι νῦν, συντάσσεται ἀντὶ τῶν τριῶν χρόνων. νῦν γράφω. νῦν γράψω. νῦν ἔγραψα. τὸ δὲ νῦν δὴ, παρῳχημένῳ μόνῳ συντάσσεται. ὡς παρὰ τῷ ποιητῇ. οἷον, Νῦν δή τοι ξυμβλήμενος ἔστιν ὁδίτης. καὶ τὸ βῆ, ὅπερ παραιτεῖται τῶν ἄλλων τῶν μὴ ἐχόντων τὸ ι μὴ προσγεγραμμένων. ἔστι δὲ μίμημα φωνῆς προβάτου. ἔστι δὲ ἀκαρεὶ σημαίνει τὸ ἐν ὀλίγῳ χρόνῳ. λέγει δὲ ὁ τεχνικὸς τὸ ἡσυχῇ, καὶ ἄλλα καὶ τὰ τοιαῦτα, διὰ τοῦτο σὺν τῷ ι γράφεσθαι, ἐπειδὴ ἀπὸ δοτικῆς γέγονεν. ὅτι γὰρ ἀπὸ δοτικῆς γέγονε, δηλοῖ τὸ ταύτῃ. ἔστι γὰρ αὕτη ἡ εὐθεῖα. ἡ γενικὴ ταύτης. καὶ ἡ δοτικὴ ταύτῃ. εἰ ἄρα οὖν λέγομεν ταύτῃ ἀπέλθωμεν, καὶ οὐ λέγομεν αὕτη ἀπέλθωμεν, δῆλον ὅτι ἀπὸ δοτικῆς γέγονεν. εἰ δὲ τοῦτο ἀπὸ δοτικῆς γέγονε, δῆλον, ὅτι καὶ τὰ ἄλλα τὰ ἔχοντα τὸ ι ἀπὸ δοτικῆς γεγόνασιν. οὕτως ὁ χοιροβοσκὸς εἰς τὸ ποσότητος. Ἐκ ποίων μερῶν τοῦ λόγου γίνονται τὰ ἐπιρρήματα. ἐκ πάντων. ἀπὸ ὀνόματος, ὡς τὸ φόνιμος φονίμως. ἀπὸ ῥήματος, ὡς τὸ κρύβδω, κρύβδην. ἀπὸ μετοχῆς, ὡς τὸ ἐπιστάμενος, ἐπισταμένως. ἀπὸ ἄρθρου. ὡς τὸ ὅς, ὥς. ἀπὸ ἀντωνυμίας, ὡς τὸ οὗτος, οὕτως. ἀπὸ προθέσεως, ὡς τὸ, ἀνά, ἄνω. κατά, κάτω. ἀπὸ ἐπιρρήματος, ὡς τὸ ἐγγύς, ἐγγυτέρως. ἀπὸ συνδέσμου, ὡς τὸ καθά, καθώς. Ἐκ πόσων πτώσεων γίνονται τὰ ἐπιρρήματα. ἐκ πασῶν. ἀπὸ εὐθείας ὡς τό, ὁ πρόφρων. Πρόφρων νῦν δαναοῖσι ποσειδάων ἐπαμύνει. ἀπὸ γενικῆς, ὡς τό, προῖξ προικός. Ἔνα προικὸς χαρίσασθαι. ἀπὸ δοτικῆς. ὡς τὸ ἡ ἰδία τῆς ἰδίας τῇ ἰδίᾳ. Ἰδίᾳ ἦλθον. δημοσίᾳ ἐλάλησα. ἀπὸ αἰτιατικῆς. ὡς τό, ἡ ἀπριάτη τῆς ἀπριάτης τῇ ἀπριάτῃ τὴν ἀπριάτην. Ἀπριάτην ἀνάποινον. καὶ ἡ πέρα τῆς πέρας τῇ πέρᾳ τὴν πέραν. Πέραν τοῦ χειμάρρου τῶν κέδρων. καὶ ἀπὸ κλητικῆς, ὡς τό, ἡράκλεις παρὰ λουκιανῷ. ἢ ἀπὸ κλητικῆς χωρεῖ εἰς ἐπιρρηματικὴν σύνταξιν. οἷον, ὤ. τοῦτο γὰρ ἡνίκα θαυμαστικὸν λαμβάνεται βαρύνεται. καὶ χωρεῖ εἰς ἐπιρρηματικὴν σύνταξιν. οἷον, ὦ ἡράκλεις.

Ἄμαστρις, πόλις παφλαγονίας. ἡ πρότερον κρῶμνα. ὅμηρος. Κρῶμνάν τ᾽ αἰγιαλόν τε. ἐκλήθη δὲ ἄμαστρις ἀπὸ γυναικὸς περσίδος ἀμάστριδος θυγατρὸς ὀξυάρθρου τοῦ ἀδελφοῦ δαρείου. ὅπερ ὁ στράβων, ἀμάστρεω κλίνει. ἄλλοι δέ, ἀμάστριδος. τὸ ἐθνικόν, ἀμαστριανός. ὡς καλάτιος, καλατιανός. καὶ φᾶσις, φασιανός. τὰ γὰρ εἰς νος ἐθνικὰ ἢ ἀπὸ τῶν εἰς ος εὐθειῶν γίνονται. ὡς βάκτριος, βακτριανός. ἢ ἀπὸ τῶν εἰς ως γενικῶν. ὡς τοῦτο. ἢ ἀπὸ τῶν διὰ τοῦ ια θηλυκῶν. ὡς ὀλβία, ὀλβιανός. ἀσία, ἀσιανός. καὶ ἀμαστριανὴ γῆ.

Ἁμάς, Ὕμμιν ἔγωγε μαρναμένοιιν πέποιθα σαωσέμεναι νέας ἁμάς. τὸ ἁμὰς ἐκτείνεται κατὰ τὸ τέλος. ἔστι τὸ ἡμετέρας, καὶ κατὰ συγκοπὴν ἁμάς. ἡμετέρας δωρικῶς.

Ἁματροχιά, παρ᾽ ὁμήρῳ ἡ τῶν τροχῶν σύγκρουσις. παρὰ τὸ νέωτα ὁ τῶν τροχῶν ἐν τῇ γῇ τύπος. ἁματροχιὰ ἐστὶ τὸ ἅμα τρέχειν, καὶ μὴ ἀπολείπεσθαι. οἷον, ὁμοδρομία τις οὖσα. τροχοὺς γὰρ τοὺς δρόμους ἔλεγον. ὀξύνεται δέ, ὡς φυταλιά. καὶ δασύνεται ἡ ἀρχή. ἁματροχία, ἡ εἰς ταυτὸ συνδρομὴ τῶν ἁρμάτων. ἁματροχιὰ δέ ἐστιν ὁ τύπος καὶ ἡ ἐγχάραξις τοῦ τροχοῦ ἡ ἐπὶ τῆς γῆς. ζήτει εἰς τὰς χρήσεις εἰς τὸ ἁρματροχιά.

Ἀμαυρόν, τὸ ἀλαμπές, καὶ μὴ ὁρώμενον. παρὰ τὸ μαίρω, μαρῶ. πλεονασμῷ τοῦ υ, μαυρῶ. ὡς κλαίω κλαύσω. καὶ καίω καύσω. ἐξ αὐτοῦ ῥηματικὸν ὄνομα. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀμαυρὸς ὁ ἀλαμπής. ἢ ὁ ἅμα ταῖς αὔραις φερόμενος. ἢ ἀσθενές. σκοτεινόν.

Ἀμβαλώμεθα. Μηδ᾽ ἔτι δηρὸν ἀμβαλώμεθα ἔργον. ἀναβαλλώμεθα. ὑπερτιθέμεθα. πᾶσα πρόθεσις συγκοπὴν πάσχουσα τοῦ ἐσχάτου φωνήεντος,

Ἄμβατος. ἀνάβασιν ἔχουσα ὁδός. ἢ [gap] καὶ τὰ ἑξῆς. πρὸς τῷ τείχει αὐξοῦσα ἀναβατός. ζήτει εἰς τὸ ἱππόβοτος.

Ἀμβλύς, ὁ σίδηρος ὁ μὴ ὀξύς. παρὰ τὸ μῶλος. ὅ ἐστιν ὁ ἐγχρονισμὸς τῆς μάχης, γίνεται μωλύς. ὡς ἵπποσι ἵππους. καὶ κατὰ στέρησιν ἀμωλύς. ὁ μὴ ἐπὶ μῶλον ὄν. ἔστι τὸν πόλεμον ἐπιτήδειος. συγκοπῇ καὶ πλεονασμῷ τοῦ β.

Ἀμβλυωπία. ἐκ τοῦ ἀμβλυωπός. ἀμβλύς. βαρύς. ἀμβλυωπία. τοῦτο ἐκ τοῦ ἀμβλύ, ὅ σημαίνει τὸ ἀσθενές, καὶ τοῦ ὤψ ὠπός. οἱονεὶ ὁ μὴ καθαρὸν φῶς ἔχων, ἀλλ᾽ ἀσθενές. καὶ ἀμβλυώττειν τὸ μὴ ὀξὺ δέρκειν. ἀττικῶς δὲ τὸ τυφλώττειν καὶ βαρύνεσθαι τοὺς ὀφθαλμούς. ἀπὸ τοῦ ἀμβλύς, καὶ τοῦ ὄσσω τὸ βλέπω. παρὰ τὸ ἀμβλεῖς ἔχειν τοὺς ὄσσους. ἀμβλυώσσω, καὶ ἀττικῶς ἀμβλυώττω.

Ἀμβλῶσαι, τὸ ἀτελὲς βρέφος ἀποβαλεῖν. καὶ τὰ πρὸς τοῦτο φάρμακα ἀμβλωθρίδια καλοῦσιν οἱ ἰατροί. ἀριστοφάνης. Καὶ φροντίδ᾽ ἐξήμβλωκας ἐξηυρημένην. ἀπὸ μεταφορᾶς τῶν ἀμπέλων. ὁπότε γὰρ αὗται τοὺς λεγομένους ὀφθαλμοὺς ἀποκαυθεῖεν, λέγουσιν αὐτὰς ἀμβλυώττειν. ἀντὶ τοῦ οὐ τελεσφοροῦσι καρπόν. καὶ ἐπὶ τῶν γυναικῶν, τῶν ἀτελῆ τὰ βρέφη βαλλουσῶν, λέγεται ἀμβλυώττειν, καὶ κατὰ συγκοπὴν ἀμβλώττειν. ἢ ἐκ τοῦ ἀμαλῆσαι ὅ ἐστι τὴν γονὴν ἀφανίσαι. ἀμβλῆσαι καὶ τροπῇ τοῦ η εἰς ω ἀμβλῶσαι. εἰς τὸ ἐξαμβλῶσαι.

Ἀμβλωθρίδια τὰ ἐξημβλωμένα ἔμβρυα.

Ἀμβιοῖ, ἀναπτυεῖ. ἀναζεῖ.

Ἄμβινον, χίδραν. κάδον.

Ἀμβλήδην γοόωσα. ἀναφέρουσα ἀθρόως τὸ πνεῦμα. ἀναβολάδην, ἀπὸ προοιμίου.

Ἀμβολάδην, ἀναβάλλων. ἢ ἐξ ὑποβολῆς. ἀμβολαὶ γὰρ διαναβολαί. ἀρχή. καὶ προοίμιον, παρὰ τοῖς μουσικοῖς.

Ἀμβολιεργός, Αἰεὶ δ᾽ ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει. ὁ ἀναβαλλόμενος τὸ ἔργον.

Ἄμβροτοι. διότι ἀθάνατοι. οἱ θεοί, τῷ ἄμοιροι εἶναι βροτοῦ, ὅ ἐστιν αἵματος.

Ἀμβρότην, ἀθάνατον. οὐ βροτοὶ οὐχ ἅπτονται. ἀΐδιον. ἡδύ. λαμπρόν. εὐῶδες. καλόν. καὶ ἀμβρότα, κεκρυμμένα.

Ἀμβρόσιος ὕπνος, θεῖος. θαυμαστός. ἐν ᾧ οὐχ οἷόν τε βροτοὺς ἅψασθαι. ἢ ὁ ὑγρός. ὑγρὸς γάρ ἐστιν ὁ ὕπνος. οἷον Νήδυμος ἀμφιχυθείς. καὶ ἀμβρόσιος οὖν διὰ τοῦτο λέγεται ὁ ὑγρός. οὕτως ὦρος. ὁ δὲ θεόγνις γράφει τόσι, δίφθογγον. σημαίνει δὲ τὸν εὐδαίμονα. τὰ γὰρ διὰ τοῦ σιος γινόμενα ἅπαντα πλὴν τῶν μετρικῶν ἀσιανῶν, διὰ τοῦ ι γράφονται. οἷον, διπλάσιος. ἀσπάσιος. ταράσιος. ἱκέσιος. ἐφέσιος. ἀνάρσιος. συρακούσιος. οὕτω γὰρ ἡρωδιανὸς ἐν τῷ καθόλου, διὰ δύο σ γράφει τὸ ὄνομα. διαπρύσιος. ὁμοίως δὲ καὶ τὰ ἐπ᾽ ἀριθμῷ τασσόμενα, οἷον διακόσιοι. τριακόσιοι. ἔστιν ὅπου μὴ σημαίνοντα μέρος, ἢ μετουσίαν, διὰ τὸ ὕψος κάρα, καὶ χρύσειος σταυρός. Ἄλλως. τὰ διὰ τοῦ ιος κτητικὰ ἀπὸ πρωτοτύπου τῶν εἰς τος γινόμενα, εἰ μὴ μεταβάλλει τὸ τ εἰς σ, διὰ τοῦ ι γράφεται. οἷον, ἀκήρατος ἀκηράσιος. ἄμβροτος, ἀμβρόσιος. εἰ δὲ φυλάττει τὸ τ, διὰ τῆς ει διφθόγγου. ἀρχέστρατος ἀρχεστράτειος. καλλίστρατος καλλιστράτειος. χωρὶς εἰ μὴ ὦσιν ἐθνικά. ὡς τὸ βοιωτὸς βοιώτιος. καὶ αἴγυπτος, αἰγύπτιος. γίνεται δὲ παρὰ τὸ ἄβροτος. τοῦτο, παρὰ τὸ βροτός. μετὰ τοῦ στερητικοῦ α, καὶ πλεονασμῷ γίνεται ἄμβροτος. καὶ τρέπει τὸ ν εἰς μ. τὸ θηλυκόν, ἡ ἀμβροσία. καὶ σημαίνει τὴν ἀθανασίαν. ἀμβροσία δέ, ἡ ὄντως σωτηρία τοῦ θεοῦ. ἀμβροσία, θεία τροφή. ἧς βροτοὶ οὐ μετέχουσιν. ἢ ἧς οὐχ οἷόν τε βροτὸν ἅψασθαι. ἔστιν οὖν βρόσις βροσία, καὶ κατὰ στέρησιν καὶ πλεονασμῷ τοῦ μ, ἀμβροσία. καὶ ἀμβρόσιαι χαῖται. καὶ ἀμβροσίην διὰ νύκτα, διὰ τῆς θείας νυκτός. ὡς δὲ τὴν θείαν σημαίνει. σημαίνει δὲ τὸ

Ἀμβρακία, πόλις ἠπείρου. ἀφ᾽ [gap] τῶν θεῶν βραδμάς. ἧς ἐκλήθη ἡ χώρα ἀμβρακία. Ἤδη μὲν ποτὶ κόλπον ἐπώνυμον ἀμβρακιήων. ἀπολλώνιος.

Ἄμβη, τὸ χεῖλος τῆς λοπάδος, παρὰ τὸ ἐν ἀναβάσει εἶναι.

Ἄμβων, κυρίως, τὸ χεῖλος τῆς λοπάδος. παρὰ τὸ ἐν ἀναβάσει εἶναι. οἷον πολλῶν ἠδ᾽ ἄλλων λοπάδων τοὺς ἄμβωνας περιλείξας. λέγονται δὲ καὶ οἱ ὀρεινοὶ καὶ ὑψηλοὶ τόποι. οἷον, ἐπ᾽ οὔρεος ἀμβώνεσσι. παρὰ τὸ βῶ βών. ὡς γηρυῶ γηρυών. καὶ ἀναβών. καὶ συγκοπῇ ἄμβων. καὶ καθόλου προσανάβασις καὶ ὑπεροχὴ καὶ ὄρους λόφος.

Ἀμβωμοῖσιν. ἀντὶ τοῦ ἐπὶ τοῖς βωμοῖς. χρύσιππος ὑφ᾽ ἓν προφέρει. ὁ μέντοι ἀρίσταρχος β΄ μέρη λόγου. καὶ προπερισπᾷ. λέγει οὖν καὶ ἀλλαχοῦ Χαίρετε δ᾽ οὐρανοῦροι εὐδμήτῳ ἐπὶ βωμῷ. χρὴ γινώσκειν, ὅτι διὰ τοῦ μ γράφει, κἂν παράθεσις ἦ [gap] τῷ ἀμφόνον.

Ἀμέλγω, παρὰ τὸ ἅμα ἕλκειν.

Ἀμέλει, τοιγαροῦν. δηλαδή. πάντως. ἐπίρρημα γάρ ἐστι συγκατάθεσιν δηλοῦν.

Ἀμέγαρτον, ποτὲ μὲν δηλοῖ τὸ εὐτελὲς καὶ μὴ ἄξιον φθόνου. οἷον ἀμέγαρτε συβῶτα. ἐν τῷ συβῶτε ἦν ἀνεπιφθόνητε. ἄξιε οὐ φθονεῖν. κατὰ στέρησιν τοῦ α. παρὰ τὸ μεγαίρω τὸ φθονῶ, μέγαρτος. καὶ ἀμέγαρτος, ὁ μὴ φθόνου ἄξιος. φθόνος γὰρ τοῖς εὐτελέσιν οὐ προσγίνεται. Πρὸς γὰρ τὸν ἔχονθ᾽ ὁ φθόνος ἕρπει. σοφοκλῆς. δηλοῖ δὲ καὶ τὸ πολύ. ὡς τό, Φθόνον δ᾽ ἀμέγαρτον ὤφελλεν. κατ᾽ ἐπίτασιν τοῦ α. ἵν᾽ ᾖ ἀμέγαρτον τὸν πολλοῦ φθόνου ἄξιον. τὰ γὰρ μεγάλα φθονεῖται. τὰ δὲ εὐτελῆ οὔ.

Ἀμοιβὴ, ἡ μεταλλαγὴ καὶ πόρευσις. καὶ ἀμείβοντας τοὺς ξυλίνους ἀντιστάτας. τοὺς ἐν ταῖς οἰκοδομίαις δοκούς, στύλους.

Ἀμείβειν, τιμᾶν. καὶ ἄμειβον, ἤλλασσον. καὶ ἀμείβεται παραιτεῖται.

Ἀμείβεσθαι, ἀντὶ τοῦ ἀποκρίνεσθαι. ἐναλλάσσειν. διέρχεσθαι, καὶ τὸ ἐν μέρει ποιεῖν.

Ἀμειψινόσμη, ἡ μετανόσμησις.

Ἀμειψιρυσμεῖν, μεταμορφοῦσθαι.

Ἀμένης, σημαίνει τὸν παῖδα. παρὰ τὸ μὴ ἔχειν μένος. καὶ κλίνεται ἀμένητος. ὥσπερ ἀμέλης ἀμέλητος ὄνομα ποταμοῦ. εἰσί τινα εἰς ης ὑπὲρ β συλλαβὰς, ἔχοντα πρὸ τοῦ η ἀμετάβολον, καὶ πρὸ τοῦ ἀμεταβόλου φωνῆεν, μήτε τὸ η, μήτε τὸ ι, μήτε τὸ υ, μήτε τὸ ω, ἅτινα διὰ τοῦ τος κλίνεται. ἐπιάλης, ἐπιάλητος. ἀκέλης, ἀκέλητος, ὄνομα ποταμοῦ. κέλης, κέλητος. ὑπόδρης, ὑπόδρητος. πρόσκειται μήτε τὸ η, μήτε τὸ ι, καὶ ἑξῆς, ἐπειδὴ ταῦτα εἰς ου ἔχει τὴν γενικήν. αἰσχίνης, αἰσχίνου. μηριόνης, μηριόνου. κεβριόνης, κεβριόνου. τελώνης. οὕτως ὁ Χοιροβοσκὸς εἰς τὸν κανόνα τῶν ἀρσενικῶν.

Ἀμενηνὸς, παρὰ τὸ μένος ἄμενος. καὶ πλεονασμῷ τῆς νη συλλαβῆς, ἀμενηνός. ἢ παρὰ τὸ μένω μενηνός. ὡς πέτω πετηνός. καὶ ἀμενηνὸς, ὁ ἀσθενὴς, λεπτὸς, μάταιος. ἐξ οὗ καὶ ῥῆμα ἀμενήνωσε δέ οἱ αἰχμήν. ἀσθενῆ ἐποίησεν. ἀντὶ τοῦ ἀνέκαμψεν.

Ἀμέρδω, Ἰλιάδος ν. ὄσσε δ' ἄμερδεν αὐγὴ χαλκείη. στερίσκειν. ἢ μαυροῦν. κυρίως τὸ μέρους στερῶ. καταχρηστικῶς δὲ, καὶ ἀντὶ τοῦ στεροῦμαι. οἷον, Ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλησεν ἀμέρσαι. ὥσπερ παρὰ τὸ σκαίρω σκαρῶ, σκαρίζω. καὶ εἴρω ἐρῶ, ἐρίζω. οὕτω καὶ παρὰ τὸ μείρω μερῶ, μερίζω. καὶ κατὰ συγκοπὴν, καὶ τροπῇ τοῦ ζ εἰς δ, μέρδω. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀμέρδω. μείρω μερῶ αἰολικῶς μέρσω. ὡς φθείρω φθερῶ, φθέρσω. καὶ κείρω κερῶ, κέρσω. καὶ ἀμέρσω ἐξ αὐτοῦ.

Ἀμεύσιμον, ἀμεύω τὸ περαιοῦμαι. παρὰ τὸ ἅμα καὶ τὸ σεύω. ἢ παρὰ τὸ νεύω νεύσιμος, καὶ ἀνεύσιμος. τοῦ α ἢ ὁμοῦ, ἢ πλεονασμὸν δηλοῦντος. τροπῇ τοῦ ν εἰς μ. οἷον Ὅπη, καὶ ἀμεύσιμον. τουτέστι περαιώσιμον. Ἀπολλώνιος ὁ τὰ ἀργοναυτικά. Καὶ ἀμεύσεπῆς, διαλλάσσουσα, καὶ ἀμειβομένη τοῖς λόγοις.

Ἀμείβω, τὸ α βραχύ. τὸ α πρὸ τοῦ β, ἢ μ συστέλλεται. σημαίνει δὲ τρία. τὸ λόγον ἀποδίδωμι. τὸ ἐναλλάσσειν. καὶ τὸ κατὰ μέρος. Οἱ μὲν ἀμειβόμενοι φυλακὰς ἔχον.

Ἀμειδὴς, ἀμειδέες τε καὶ στυγνοί. ἐν βάθει βουλευομένοις ὅμοιοι. σκυθρωποί. σημαίνει δὲ καὶ ἀγέλαστοι, ἢ ἀχάριστοι. ἀπὸ τοῦ μειδῶ, ἢ μειδιῶ. τοῦτο παρὰ τὸ ἥδω τὸ εὐφραίνομαι. βοιωτικῇ τροπῇ τοῦ η εἰς ει δίφθογγον. καὶ πλεονασμῷ τοῦ μ, μειδῶ καὶ μειδιῶ. τὸ γὰρ ἀντὶ τοῦ βούλομαι διὰ τοῦ η γράφεται καὶ βαρύνεται. παρὰ τὸ ἅδω τὸ ἀρέσκω γράφεται.

Ἀμειδήτους, ὡς ἐν ἀμειδήτοις ἀγίας κυλίζετο, νύκτας τὰς φικτάς. ἐν αἷς οὐκέτι μειδιάσαι. οὐδὲ γελάσαι. ἢ ὅτι φοβεραί εἰσι, καὶ σκοτειναί. ἀγίας, διὰ τὸ ἐν αὐταῖς ἄγεσθαι τὰ μυστήρια. ἀπολλώνιος.

Ἀμείλιχος, ἀμείλικτος. ἀσυμπαθής. ἀπηνής. ἀπὸ τοῦ μειλίσσω. τοῦτο ἀπὸ μεταφορᾶς τοῦ μέλιτος μελίσσω, καὶ πλεονασμῷ τοῦ ι, μειλίσσω. μειλικτὸς, καὶ ἀμείλικτος ὁ ἀσυμπάθητος, καὶ ἀδυσώπητος. καὶ σκληρός.

Ἀμείνων, παρὰ τὸ μέρος μερίων. ἐκβολῇ τοῦ ρ καὶ συναιρέσει, μείων, καὶ ἀμείων. καὶ πλεονασμῷ τοῦ ν, ἀμείνων. ὁ μὴ ἐλάσσων τινός. ἢ παρὰ τὸ μένω, γέγονεν ἀμένων. καὶ πλεονασμῷ τοῦ ι, ἀμείνων. τουτέστιν ὁ μὴ μένων, ἀλλ' ὑπὸ πάντων αἱρόμενος. τὸν γὰρ κρείττονα πάντες αἱροῦσιν.

Ἀμείνω. Κλέπτῃ δὲ νύκτα ἀμείνω. ἀμείνω χωρὶς τοῦ ν καὶ τοῦ ι, αἰτιατικὴ γένους θηλυκοῦ. ἔστι γὰρ ἀμείνονα, καὶ ἀμείνοα. καὶ κατὰ κρᾶσιν ἀμείνω. ὡς ἐλάσσονα ἐλάσσοα, ἐλάσσω. βελτίονα, βελτίοα, καὶ βελτίω. τὸ δὲ ἀμείνω μετὰ τοῦ ι ἐστὶ δοτική. ἀπὸ τῆς, ἡ ἀμείνως, τῆς ἀμείνω.

Ἄμεινον, βέλτιον.

Ἀμείνασις, ἡ δύσοσμος ὑπὸ Περγαίων.

Ἀμεινίας, παρὰ τὸ ἀμείνων ἀμείνονος, ἀμεινονίας. καὶ ἀμεινίας ὄνομα κύριον. ἢ παρὰ τὸ μένος μενίας. καὶ ἀμενίας κατὰ στέρησιν. οἱονεὶ ἀπρόθυμος, καὶ ἀόργητος.

Ἄμη, τὸ γεωργικὸν, ἢ οἰκοδομικὸν ἐργαλεῖον. παρὰ τὸ ἅμα γέγονεν ἄμη. τὸ ἅμα καὶ ὑφ' ἓν ἕλκον πολλά. δύναται δὲ καὶ ἀπὸ τοῦ ἀμᾶν. ὅ ἐστι κόπτειν καὶ θερίζειν.

Ἀμητῆρες, θερισταί. ἀπὸ τοῦ ἀμᾶν.

Ἀμήτειρα. καὶ ἀμησάμενοι. τεμόντες. συναγαγόντες καὶ ἐμπλησάμενοι. καὶ συναμησάμενος. σωρεύσας. συνάξας, ἢ θερίσας. ἀπὸ τοῦ ἀμῶ. τοῦτο παρὰ τὸ ἅμα καὶ τὸ ἕω τὸ πορεύομαι. καὶ ἀμᾶσθαι, τὸ ἐφέλκεσθαι τὴν γῆν. ἢ ἄλλο τι λαμβάνειν πρὸς ἑαυτόν.

Ἀμητὸς, ἐκ τοῦ ἀμῶ τὸ θερίζω β συζυγίας τῶν περισπωμένων. ὁ μέλλων ἀμήσω. καὶ ἐξ αὐτοῦ ἀμητός. διαφέρει δὲ ἄμητος, καὶ ἀμητός. ἄμητος γὰρ ὁ καιρὸς τοῦ θέρους. ἀμητὸς δὲ ὁ θερισμός. οἱονεὶ αὐτὸς ὁ ἀμώμενος καρπός. τὸ α, μακρόν, τὸ α πρὸ τοῦ μ, καὶ β. συστέλλεται. σεσημείωται τὸ ἀμητός, καὶ ἀμῶ.

Ἀμήτωρ, κακομήτωρ.

Ἀμήτορας, κιθαριστάς. κρῆτες.

Ἀμήρυτον, τὸ ἀτέλεστον. ἀπὸ μεταφορᾶς τῶν ἀπὸ τῶν ἐρίων μηρυμάτων, μήρυτον, καὶ ἀμήρυτον.

Ἄμηρον, νέον. οἷον, τὸ ἄμηρον οὐδέπως ἐστὶν ὄνομα ὄρους. ἄμηροι, οἱ ὅμηροι.

Ἄμης ποῖός τις πλακοῦς. Ἀριστοφάνης. Ἄμητα προσαπέστειλεν ἡμῖν τουτονί. ἀπὸ τοῦ ἐξαμᾶσθαι αὐτὸν σπουδῇ ὑφ' ἡδονῆς, ὡς μέλιτι καταρδόμενον. ἢ παρὰ τὸ πολλὰ ἅμα εἰς αὐτὸν ἀναγομένων καὶ ἐμβαλλομένων εἰς τὴν κατασκευὴν αὐτοῦ.

Ἀμήχανα, πρὸς ἃ οὐκ ἔστι τις μηχανὴν εὑρεῖν. ἐξ οὗ δεινὰ καὶ χαλεπά. δηλοῖ δὲ καὶ τὸν ἄτεχνον. καὶ τὸν ἄπορον μηχανῆς. Ἦ μάλα δὴ κακότεχνος ἀμήχανε σὸς δόλος Ἥρη. Ἰστέον ὅτι δύο σημαίνει ἡ λέξις. ἢ τὸν μὴ δυνάμενον μηχανὴν εὑρεῖν, ἢ πρὸς ὃν οὐκέτι μηχανήσασθαι. ὅπερ καὶ ἐνταῦθα λέγεται. καὶ ἀμηχανία ἀπορία. δηλοῖ καὶ ἄβουλον. ἀπρονόητον. ἐνδεῆ.

Ἀμὶς, οὐροδόχον ἀγγεῖον. Ἀριστοφάνης. Εἶτ' ἤτησεν ἀμίδα. παρὰ τὸ ὀμιχῶ τὸ οὐρῶ ὀμὶς, καὶ ἀμίς. ὡς ὀκριόεις, ἀκριόεις. ἢ παρωνόμασται ὑποκοριστικῶς. ἄμη, ἀμίς. ὡς σκάφη, σκαφίς. καὶ ἀμίξαι, οὐρῆσαι. καὶ ἄμιον, σκύφος ἀργυροῦν.

Ἀμία, ἰχθύς. ὥς φησιν Ἀριστοτέλης. καρχαρόδοντα καὶ τῶν συναγελαζομένων, καὶ σαρκοφάγων. χολὴν δὲ ἔχει ἰσομήκη τῷ ἐντέρῳ. καὶ ἀσπλῆνα. παρὰ τὸ ἅμα ἰέναι τοῖς πλέουσιν. ἔστι γὰρ συναγελαστικόν. καὶ ἄμιος ὁ σκύφος. καὶ ἄμιπποι οἱ συντρέχοντες.

Ἀμιθρῆσαι, Σιμωνίδης τὸν ἀριθμὸν ἄμιθρον εἶπε καθ' ὑπερθεσιν. ἐκ δὲ τοῦ ἄμιθρος, ἀμιθρῶ ἀμιθρήσω. ἀμιθρῆσαι καὶ τὸ ἀριθμῆσαι. ἢ ἀπὸ τοῦ ἀριθμῆσαι κατὰ μετάθεσιν τῶν στοιχείων. ὡς πίτυλος τύπιλος.

Ἀμίσυλλον ταῦρον. σημαίνει δὲ τὸν μὴ κεκομμένον. ἀδιάκοπον.

Ἀμίσαλλον. οἷον, Ἀμίσαλλοί τε γέροντες, κατ' ἔνδειαν τοῦ γ. ἀμίσγαλος, ὁ δυσάρεστος. ὁ μὴ ἄλλῳ μισγόμενος. ἢ ἑτεροῖον καὶ ἐξηλλαγμένον.

Ἀμιτροχίτωνας. ἀζώστους. ἡ μίτρα, καὶ θώρακι μὴ χρωμένους. ἀδὲ τοὺς χιτῶνας. μίτραι γὰρ ζῶναι χαλκαῖ πρὸ τῶν αἰδοίων.

Ἀμιχθαλόεσσαν. τὴν ἀπρόσμικτον οὖσαν τῇ γῇ θάλασσαν σημαίνει. διὰ τὸ μὴ ἔχειν λιμένα. οἷον Καὶ λῆμνον ἀμιχθαλόεσσαν. παρὰ τὸ ἄμικτος ἀμικτόεις, ὡς βροτὸς, βροτόεις. καὶ τροπῇ τοῦ κ εἰς χ, ἀμιχθόεις. καὶ τὸ θηλυκὸν, ἀμιχθόεσσα. ὡς αὐδήεις, αὐδήεσσα. καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ἀμιχθαλόεσσα. ἢ διὰ τὸ τῶν οἰκούντων ἀπρόσιτον καὶ ἀνήμερον, ὥς φησιν Ὅμηρος. Οἴχεται εἰς λῆμνον μετὰ σίντιας ἀγριοφώνους. οὕτως ὦρος. ἡ ἀπρόσιτος καὶ ἀμιγὴς, διὰ τὸ τοὺς ἐνοικοῦντας πειρατὰς εἶναι.

Ἄμμε. ὡς τὸ, Νῦν ἄμμε παλιμπλαγχθέντας ὀΐω. οὐκ ἔστι πληθυντικοῦ, ἀλλὰ δυικοῦ ἀριθμοῦ. καὶ τινὲς μὲν ἀπὸ τοῦ ἄμμες αἰολικῶς πληθυντικοῦ φασὶν ἀποβολῇ τοῦ ς τὸ δυικὸν γίνεσθαι, ὡς ἄιντες ἄιντε. τινὲς δὲ ἄλλως λέγουσιν. ἄμμε ἐκ τοῦ ἡμᾶς αἰολικῶς, ἢ δωρικῶς.

Ἄμμι, Ἄμμι δὲ μάντις ἐὼν ἀγόρευε. ἀντωνυμία δοτικῆς τῶν πληθυντικῶν. τρισὶ διαφοραῖς γράφεται. οἱ ἴωνες συστέλλουσι τὸ ι, καὶ προπερισπῶσιν, ἧμιν. οἱ δὲ αἰολεῖς συστέλλουσι τὸ ι καὶ βαρύνουσι, καὶ πλεονάζουσιν ἕτερον σύμφωνον. καὶ συστέλλουσι τὴν ἀρχὴν καὶ ψιλοῦσιν αὐτήν. ὡς τὸ Ἄμμι δὲ ἔργον αὔτως ἀκράαντον. οἱ δὲ δωριεῖς συστέλλουσι τὸ ι καὶ ὀξύνουσιν, ἡμίν.

Ἀμμὰ, ἡ τροφὸς καὶ ἡ μήτηρ. κατὰ ὑποκόρισμα. καὶ ἡ ῥέα λέγεται καὶ ἀμμάς, καὶ ἀμμία.

Ἄμμορον, δύσμορον. κακόμορον. μόρος γὰρ ὁ θάνατος. καὶ ἀμμορίην τὴν κακὴν μοῖραν. καὶ ἀμμόριον, ἄτιμον ἢ ἀθάνατον.

Ἀμνὸς, ὁ ἁπαλὸς καὶ τρυφερός. ἀμνὶς καὶ ἀμνὸς τὰ πρόβατα τὰ μικρά. παρὰ τὸ μένος. μετὰ τοῦ στερητικοῦ α, ἄμενος. καὶ συγκοπῇ ἀμνός. οἱονεὶ ὁ ἀδύναμος. καὶ παρωνόμασται ὑποκοριστικῶς ἀμνίς. ἢ παρὰ τὸ μνοῦς, ὅπερ σημαίνει τὴν ἔκγονον τῆς μαλακὴν αὐτοῦ τρίχα. ἐξ οὗ μνοῦδιν, γίνεται ἀμνός. οἱονεὶ ὁ ἐστερημένος τῶν νηπίων τριχῶν. Μεθόδιος. ζήτει εἰς τὸ ἄμναμος.

Ἀμνηιός. εἴρηται εἰς τὸ ἀρνειός. ἔστι καὶ ποταμὸς περὶ τὸ Θεμίσκυρον. εἴρηται, ὅτι διὰ τὴν ταχύτητα μνείαν οὐκ ἔχει. μνειὸς, καὶ ἀμνειός.

Ἀμνίον, Ὅμηρος Ὀδυσσείας γ. Περσεὺς δ' ἀμνίον εἶχε. τὸ αἱμοδόχον ἀγγεῖον. παρὰ τὸ αἷμα αἵμνιον, τὸ τοῦ αἵματος δεκτικόν. ἀποβολῇ τοῦ ἰῶτα.

Ἄμναμοι. οἷον, ἀπόγονοι. κυρίως δὲ παρὰ τὴν τῶν Κυρηναίων διάλεκτον, οἱ τῶν ἀμνῶν ἀμνοί, ἄμναμοι λέγονται. τουτέστι τῶν ἀρνῶν ἄρνες. πρὸ τοῦ κερατοφυῆσαι. ἀπὸ τοῦ ἀμνὸς ἄμναμος. ἀμνάς. παρὰ τὸ μῶ τὸ ζητῶ. κατὰ παραγωγήν.

Ἀμός. ὥσπερ ἀπὸ τοῦ σφέτερος γίνεται Δωρικῇ διαλέκτῳ σφός, καὶ ἀπὸ τοῦ ὑμέτερος ὑμός, οὕτω καὶ ἀπὸ τοῦ ἀμέτερος ἀμὸς Δωρικῶς. ἡ θέμα ἐστὶ τῆς Δωρίδος διαλέκτου.

Ἀμολγῷ, Ὅμηρος Νυκτὸς ἀμολγῷ. ἀμολγῷ τῆς ἑσπέρας, ἢ τῷ μεσονυκτίῳ. καθ' ὃ οὐκ ἀμέλγουσιν. ἑσπέρας γὰρ καὶ ἡμέρας εἰώθασι τοῦτο ποιεῖν. ἢ ἐν καιρῷ ἐν ᾧ συμβέβηκεν ἀμέλγεσθαι τὰ πρόβατα, ἢ παρὰ τὸ μολῶ. καὶ πλεονασμῷ τοῦ γ μολγῶ. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀμολγῷ. ἐν ᾧ οὐδεὶς μολίσκει. οὕτως ὠρίων.

Ἄμοτον. Ἄμοτον μεμαῶτε μάχεσθαι. παρὰ τὸ μένω γράφεται μοτὸς καὶ ἄμοτος. καὶ ἄμοτον, ἀνυπομόνητον. ἵνα ἡ τὸ α ἐπιτατικόν. ἢ μοτὰ λέγει τὰ ῥάκη τὰ πληρωτικὰ τῶν πληγῶν. καὶ ἄμοτον κατὰ ἀπόφασιν, τὸ μὴ πεπληρωμένον. ἀπὸ μεταφορᾶς τῶν μὴ πεπληρωμένων τραυμάτων τουτέστι μοτῶν. οὕτως ὠρίων. ἐγὼ δὲ εὗρον ἐν ὑπομνήμασιν Ἰλιάδος, ὅτι ἄμοτον λέγεται τὸ ἀπλήρωτον. ἔνθα καὶ μοτά. ἴσως ἀπὸ τοῦ μετρῶ. ἄμετρον καὶ ἄμοτον. ἢ ἄρω τὸν ἄρρηκτον ἰσχυρὸν ἄπληστον.

Ἄμοχθος, παρὰ τὸ μόχθος ἄμοχθος. σημαίνει δὲ τὸν ἀκακοπαθοῦντα. τοῦτο παρὰ τὸ μόγος. πλεονασμῷ τοῦ θ. καὶ τροπῇ τοῦ γ, εἰς χ. τοῦτο παρὰ τὸ μὴ ἐᾶν γάνυσθαι τὴν ψυχήν.

Ἀμόργινος χιτωνίσκος, παρὰ τὴν ἀμόργην, ὅ ἐστιν εἶδος χρώματος, ὅμοιον βύσσῳ. καθὰ καὶ θηραῖον, τὸ ἀπὸ θήρας τῆς νήσου. σημαίνει δὲ καὶ τὴν πολυτελῆ ἐσθῆτα. οὕτω Μεθόδιος. ζήτει εἰς τὸ ἀπομόρξατο. καὶ εἰς τὸ ἀμολγώσατο.

Ἀμορβὴς, καὶ ἀμορβές. σημαίνει τὸ μεσονύκτιον. παρὰ τὴν ὀρφνὴν ἀμορφνής. καὶ ἐλλείψει τοῦ ν, καὶ τροπῇ τοῦ φ εἰς β. ὡς ἐν τῷ κύφος, κύβος. φερενίκης βερενίκης. σημαίνει καὶ τὸν ἀκόλουθον. ὁ ἅμα τινὶ ὁρμῶν. τροπῇ τοῦ μ εἰς β. ἀμορβός. καὶ ἀμορβής. Μεθόδιος.

Ἀμορμάζω, ἀμορμάζεσκεν. συνοδοιπορεῖν. οἷον, Σὺν ἡμῖν δὲ ὁ πελαργὸς ἀμορμάζεσκεν ἀλοίτης. παρὰ τὸ ἀμορμάζειν. τοῦτο παρὰ τὸ ἅμα ὁρμᾶν καὶ πορεύεσθαι. ἀμορμάζοντα. σημαίνει τὸ διενόμιζον. Νίκανδρος. Νωθοὶ γὰρ κάμνοντες ἀμορμάζοντα λεπάργῳ τῷ ὄνῳ. ἐπεὶ γὰρ κατὰ τὴν κοιλίαν λευκός.

Ἀμοιβοί. Ἰλιάδος ν. Οἱ δ' ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοί. σημαίνει τὸ ἀντ' ἀλλήλοι. ἤτοι δὲ ἀμοιβῆς, ἢ καὶ ἐναλλάξεως παραγενόμενοι συμμαχῆσαι τοῖς Τρωσίν. ἀντὶ τῶν πρότερον συνεργούντων αὐτῶν πολιτῶν διὰ τὸ τῷ δεκάτῳ ἔτει τὸν πόλεμον ἀνύεσθαι, οἱ πρότερον κεκμηκότες κατὰ τὴν μάχην, ἰσαρίθμων αὐτῶν ἄλλων ἀποστελλομένων ἀπέπεμπον τὸ ὡς ἴσως ἐξ ἀμοιβῆς ἀμύνοντες. ἢ οἱ ἀμοιβὴν ἀποδιδόντες τῷ Πριάμῳ, διὰ τὸ καὶ αὐτὸν συμμαχῆσαι Φρυξί. λέγονται καὶ ἀπό-

Ἀμοιβηδὸν, καὶ ἀμοιβηδὶς, Ἰλι- λουθοι, οἱ διάδοχοι. ἀάδος σ. Ἀμοιβηδὶς δ' ἐδίκαζον. ἐν μέρει δὲ ἀκούοντες ἐδίκαζον ἀνὰ μέρος. Ἀπολλώνιος ἐν τοῖς Ἀργοναυτικοῖς. Καὶ τοὶ μὲν ἀμοιβηδὶν ἐλάασκον. σημαίνει δὲ τὸ ἐνηλλαγμένως. ἄλλος ὁμοίως ἐπαμοιβὸς ἀνήρ ἐστιν. τὸ ἀντεπαλ-

Ἀμπεχόνη. Ἰστέον ὅτι ἡ ἀμφὶ πρόθεσις λέ- λήλως. γεται καὶ ἀμπὶ παρὰ τοῖς Αἰολεῦσιν. οἷον, ἀμπεχόνη. ἀμπίσχουσα. λέγεται δὲ ἐπὶ περιβολῆς ἱματίου. ἤγουν παλλίον. ἐπὶ τὸ αὐτὸ ἱμάτιον καὶ περίζωμα. καὶ ἀμπεχόνια β. καὶ χιτών. ἐστὶν οὖν τὸ ἱμάτιον λεπτόν. περίβλημα.

Ἀμπόνον, ὁ μὲν αὐτὸς ἔβηθεος, ἀμπόνον ἀνδρῶν. σημαίνει ἐπὶ

Ἀμπείραντες, διαπείραντες. τὸν πόλεμον.

Ἀμπνύνθη, ἀνέπνευσεν. ἀπὸ τοῦ ἀναπνύω ἀναπνύσω ἀναπέπνυκα ἀναπέπνυμαι ἀνεπνύθη. καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ ν, ἀμπνύνθη. ἀνεζωπυρήθη. ἠγέρθη.

Ἀμορραῖοι. ὁ ἀμορραῖος τοῦ ἀμορραίου ὄνομα ἔθνους. ἐπὶ δὲ τοῦ τόπου. οἷον, τὸ ἀμόριον, διὰ τοῦ ω μεγάλου

Ἀμπαυμα, ἀνάπαυμα. καὶ κατὰ συγκοπὴν ἄμ- καὶ ἐν ρ. παυμα. ἀμπάζονται, ἀναβάλλονται. καὶ τὰ ὅμοια.

Ἀμπηρος. πηρός. νοσερός.

Ἀμολγός, σημαίνει μέλαν. ἀωρίαν. σκότος. ἢ φλογμός. καὶ σκεῦος ἐν ᾧ ἀμέλγουσι τὸ γάλα οἱ ποιμένες. καὶ ξύλινον οἰνοφόρον. ἀμολγοὺς δὲ τοὺς ἐξαμέλγοντας. καὶ ἁρπάζοντας μάζα. ἀμολγός. ζήτει εἰς τὸ μάζα.

Ἀμοργὶς δέ. καλάμη τίς. ἐξ ἧς ἐνδύματα ἀμόργινα. οἱ δὲ, λινᾶ ὑφάσματα. οἱ δὲ ἀπὸ Ἀμόργου τῆς νήσου. οἱ δὲ ἀμοργίνους, τοὺς ἐρυθροὺς τὸ χρῶμα.

Ἀμπυκάζειν τὸ γὰρ ἐμπροσθεν ἀπὸ προσώπου τρίχας σπαράζειν. εἴρηται οὕτω καὶ ὁ τροχός. καὶ δεσμοὶ δὲ ἀμπυ-

Ἀμπυξ, ἡ γυναικεία ἀνάδεσμη. ὅ ἐστι στρόφι- κες. ον. καὶ ἐπὶ χαλινοῦ δὲ εἴρηται. οἷον, χρυσάμπυκας ἵππους. παρὰ τὸ ἀμφέχειν. ἄμφυξ, καὶ ἄμπυξ. ἢ παρὰ τὸ ἀναπυκάζειν καὶ ἀνέχειν τὰς τρίχας. ἐκ μεταφορᾶς καὶ ὁ τροχός, διὰ τὸ κυκλοτερὴς εἶναι.

Ἀμπλάκημα τὸ ἁμάρτημα. παρὰ τὸ ἀναπλέκεσθαι τῷ ἀνθρώπῳ. ἀπὸ μεταφορᾶς τοῦ σχοινίου. σειρὰ γὰρ τὸ σχοινίον λέγεται. ἐκ τοῦ πλέκω, πλακῶ. ἀναπλάκημα, καὶ

Ἀμπράζω. ὁ μὲν Καλλίμαχος κυρί- ἀμπλάκημα. ως ἐπὶ τοῦ ἕλκειν ἔλαβε τὴν λέξιν. οἷον, Ἀνδρ' ἐλαιοῖδ' ἑλκέσθεν ἀμπράζοντες. ἀμπρὸν γὰρ κυρίως καλεῖται τὸ σχοινίον τὸ ἕλκον τοὺς βόας. οἷον, ἀμπρεύοντιον τὸ διαμπερὲς τῶν ζυγῶν δεδεμένον. ἢ τὸ ξύλον τοῖς αὐχέσι τῶν ὑποζυγίων. ὁ δὲ Λυκόφρων, ἐπὶ τοῦ κατασπᾶν ἔλαβε τὴν λέξιν. οἷον, Ἀχλαινον ἀμπράζουσιν ἠλιτρι-

Ἄμπελος, παρὰ τὸ ἀνάπηλος τίς οὖσα. ἡ μὴ ἔ- βίον. χουσα ἐν ἑαυτῇ τὸν πηλὸν, ἤγουν τὸν οἶνον. ἢ παρὰ τὸ πάλλειν καὶ σείειν ἡμᾶς πίνοντας.

Ἀμπελόεσσα. τὸ ἀρσενικὸν, ἀμπελόεις. εἶδος τῶν παραγώγων μετουσιαστικοῦ. ἐκ τοῦ ἄμπελος. τοῦτο ἀνάπελός τις οὖσα παρὰ τὸ ἄνω πελάζειν. ἢ παρὰ τὸ

Ἀμπεπαλών. Ἤρα βάμ- ἐν αὐτῇ ἔχειν τὸν πηλόν. πεπαλὼν προΐει δολιχόσκιον ἔγχος. ἀντὶ τοῦ ἀνασείσας. ἀνατείνας. διπλασιασμὸς μετοχῆς β ἀορίστου. τὸ ῥῆμα ἀναπάλλω. οἱ γὰρ Ἴωνες ἐν τοῖς ῥήμασι καὶ ταῖς μετοχαῖς εἰώθασιν ἀναδιπλασιάζειν. λάχωσι, λελάχωσι

Ἄμπωτις, αἱ περὶ τὸν ὠκεανὸν ἀ- λάθη, λελάθη. ποφυγαὶ καὶ διαστάσεις, καὶ περὶ τὴν Λιβύην. παρὰ τὸ ἀναπίνεσθαι. κυρίως δὲ ἄμπωτις ἡ ἀναπέμπουσα ἡ ξηρασία. ἢ ἐρημία. Διονύσιος ὁ περιηγητής. οἷον, Ἄλλοτε μὲν πλημμυρὶς ἐγείρεται. ἄλλοτε δ' αὖτε ἄμπωτις ξηρῆσιν ἐπιτροχάει ψαμάθοισι. κυρίως δὲ λέγεται ἡ ἀναχώρησις τῆς θαλάσσης, ἤγουν ἡ ἀναπινομένη θάλασσα. ἐκ τοῦ πῶμι, πώσω, πῶσις καὶ ἀνάπωσις καὶ ἄμπωσις κατὰ συγκοπήν. καὶ τροπῇ ἄμπωτις. καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ ἡμετέρου σώματος, ἡ ἐκ τῆς ἐπιφανείας εἰς τὸ βάθος ὑποχώρησις ὕλης. οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ ἐξηγήσεως τῶν λέξεων Ἱπποκράτους. ἢ εἰς βάθος μετάστα-

Ἀμύρητον, τὸ ἀτέλεστον, καὶ τέλος σις τῶν ὑγρῶν. μὴ ἔχον. εἴρηται εἰς τὸ ἀμήρυτον.

Ἄμυρος, πόλις Θεσσαλίας.

Ἄμυροι, τόποι κάθυγροι καὶ διαρρέοντες. ἀπὸ τοῦ μηρεῖν, καὶ ῥεῖν.

Ἀμυκος, ὄνομα πόλεως. ἀπὸ Ἀμύκου βασιλέως Βε-

Ἀμυδὶς, σημαίνει τὸ ἅμα. παρὰ τὸ ἅμα βρύκων. ἀμυδίς. γίνεται τροπῇ τοῦ α εἰς υ. ὡς στύρακες σύρκες. τοῦ πνεύματος μεταβληθέντος. Ὦρος.

Ἀμυδρὸς, παρὰ τὸ μυδρὸς. ὁ σημαίνει τὸν πυρακτούμενον σίδηρον ἀμυδρὸς ὁ ἀλαμπής. καὶ σκοτεινός. τοῦτο παρὰ τὸ

Ἀμυγδαλῆ, παρὰ τὸ ἐν τῇ καλύφῃ μύω τὸ καμμύω. τὸ μετὰ τὸ ἔξω χλωρὸν, πολλὰς ἀμυχὰς ἔχειν. Ὦρος.

Ἀμυστὶς, ἡ ἄπνευστὶ πόσις. παρὰ τὸ μὴ μύειν, ὅ ἐστι χανδὸν πίνειν ἐπὶ πολὺ μὴ μύοντα, καὶ συνάγοντα τὰ χείλη. ἢ παρὰ τὸ ἅμα πίνειν, χωρὶς τοῦ διαπνεῦσαι. ὥστε ἀπνευστί. ἔστι δὲ καὶ φιάλης εἶδος μεγάλης.

Ἀμυσχρός. ὁ καθαρός. ὁ μὴ ῶ ἐν πόροις ἐχθαίρει. μύσει χρανθείς. ὁ ἀμίαντος. καὶ ἀμυσχρά. ἢ παρὰ τὸ μύσος μυσαχρὸς ὁ μυσαρός. μυσχρὸς καὶ ἀμυσχρός.

Ἀμύμων, παρὰ τὸ μύω τὸ ὑποκαμμύω. ὁ μέλλων μύσω. ἐξ οὗ ῥῆμα τινὸς ὀνόματος μύμων, καὶ ἀμύμων ὁ μὴ κεκαμμυμένος. ἢ παρὰ τὸ μῶμος, γίνεται ἄμωμος, ἀμώμων. καὶ τροπῇ τοῦ ω εἰς υ ἀμύμων. ὡς χελώνη χελύνη. ὁ ἀμώμητος καὶ ἄψογος.

Ἀμυμώνη, ἡ θυγάτηρ Δαναοῦ. ἀπὸ τῆς ἀμύμονος γενικῆς. πολλὰ γὰρ τῶν θηλυκῶν ὀνόματα εἰς η λήγοντα, γίνεται ἀπὸ τῶν εἰς ος γενικῶν τῶν ἀρσενικῶν. οἷον, πέρατος, περάτη. κάλυκος, καλύκη. ἁρπαγος, ἁρπάγη. βαρύνεται ἐπὶ τὸ ἐργαλείου. σώφρονος, σωφρόνη. χίονος χιόνη, ὄνομα ἡρωΐδος. οὕτω καὶ ἀμύμονος, ἀμυμόνη. καὶ κατ' ἔκτασιν

Ἀμυκάλαι, τῶν τοξικῶν βελῶν αἱ ἀκίδες. ἀμυμώνη.

Ἄμυλος, βρῶμα, τὸ μὴ πεπτωκὸς ὑπὸ μύλων. ἀρσενικῶς. καὶ ψιλοῦται.

Ἀμυστὶ, ἀπνευστὶ πίνειν. οἱ δὲ, ἀθρόως.

Ἄμυλον, στερρὸν. ἄκλαστον.

Ἀμφίβολοι, οἱ ἑκατέρωθεν περιβαλλόμενοι, ἢ βάλ-

Ἀμφιγνοεῖν, τὸ μὴ ἀκριβῶς γινώσκειν. καὶ λοντες. ἀμφιγνωμονεῖν Δωρόθεος.

Ἀμφίγονον, υἱὸν τὸν ἐκ προτέρας γυναικός.

Ἀμφίδεα, ψέλλια. Δεσμοὺς. ἔνιοι ἀμφιδέτους ἁλύσεις. παρὰ δὲ ποιηταῖς ἀμφίδεον, τὸ στόμιον τῆς μήτρας κατὰ μεταφοράν.

Ἀμφίδουλος, ὁ ἐξ ἀμφοτέρων γονέων δοῦλος.

Ἀμφίεπον. περιεποίουν. περιεκύκλουν. ἢ περὶ ἔργον ἐπο-

Ἀμφίγονοι, οἱ ἑτερομήτορες. νουν.

Ἀμυξ, ἐπίρρημα. σημαίνει τὸ ἀμυκτικῶς. παρὰ τὸ μέλλοντα γινόμενον ἐπίρρημα ἀποβολῇ τοῦ ω. ὡς ἀπὸ τοῦ δήξω, δάξω δὰξ, καὶ αὖθις ὀδάξ. κλάζω, κλάξω κλὰξ, καὶ ὀκλάξ. οὕτως ἀμύσσω, ἀμύξω ἄμυξ, καὶ ἀμύξ. Μεθόδιος. καὶ ἀμυχηδὸν ἄκροις δακτύλοις. οἱ δὲ, μικρόν.

Ἀμυχὴ, τὸ ἕλκος τὸ ἐπὶ τοῦ σώ- ἢ ἐπὶ τοῦ ταχέως. ματος. παρὰ τὸ ἀμύσσειν. ἢ παρὰ τὸ μυχὸν μυχή. καὶ ἀμυχὴ, ἡ μὴ εἰς βάθος πληγή. Μεθόδιος.

Ἀμύσσω. παρὰ τὸ αἷμα, αἱμάσσω. καὶ τροπῇ τοῦ αι εἰς υ ἀμύσσω. ὡς μάθω μάθος καὶ μῦθος. σημαίνει δὲ τὸ αἱμάττειν καὶ ξέειν τοῖς ὄνυξιν. Σὺ δ' ἔνδοθι θυμὸν ἀμύξεις. κνήσεις. λυπήσεις. τὸ θέμα ἀμύσσω. ὁ μέλλων, ἀμύξω. παρὰ τὸ μὺ ἐπίρρημα γίνεται μύζω. καὶ ἀμύζω τὸ λίαν οἰμώζειν. τὸ δὲ ζ τρέπεται εἰς διπλοῦν σσ αἰολικῶς. ἢ ἀπὸ τοῦ μύζειν καὶ ἐκθλίβειν τὴν ψυχήν.

Ἀμύντωρ, ὁ βοηθός. ἀπὸ τοῦ ἀμύνω, ὁ ἐπίκουρος.

Ἀμύνω, τὰ εἰς νω παραληγόμενα τῷ υ, βαρύνεσθαι θέλει. καὶ ἐπιτεταμένον ἔχει τὸ υ. εἰ δέ τι περισπᾶται, προκαταρχὸν ἔχει ὄνομα. οὐ τὸ τέλος εἰς ω γάμω ῥῆμα ποιεῖ. ὀδύνη, ὀδυνῶ. ἀμύναι. ἀποστρέψαι. ἀποσοβῆσαι. καὶ ἀλεξῆσαι. καὶ βοηθῆσαι. σημαίνει δὲ καὶ τὸ τιμωρήσασθαι. ὥστε τρία σημαίνει. ἀμύναι οὖν κυρίως, τὸ ἀπροφασίστως βοηθῆσαι. ἀπὸ τοῦ ἄμυνα ἡ ἐκδίκησις. τοῦτο παρὰ τὸ μύνη ἡ πρόφασις. μετὰ τοῦ ἐπιτατικοῦ α, ἄμυνα. ἢ μίνας σημαίνει τοὺς μελησμούς. ἔνθα ἀμύνειν τὸ ἀμελητὶ βοηθεῖν. ἢ παρὰ τὸ ἀμεύω τὸ πορεύομαι, γίνεται ἀμεύνω. ὡς δύω δύνω, καὶ θύω θύνω. καὶ ἐνδείᾳ τοῦ ε, ἀμύνω τὸ μετὰ δρόμου βοηθῶ. ἢ παρὰ τὸ ἀμείβω, ἀμείζω. καὶ προσθέσει τοῦ ν, καὶ ἀποβολῇ τοῦ ε ἀμύνω. τὸ ὑπὲρ χάριτος βοηθεῖν.

Ἀμφαδὸν. Ἀλλ' ἀμφαδὸν αἴ κε τύχωμαι. φανερῶς. ἀναφανδὸν. φαίνω φανδὸν. καὶ ἀμφαδὸν. ἀμφαδὸν ἀμφαδίη. Ἠ καὶ ἀμφαδίην. φανερῶς.

Ἀμφαὴς, οἶκος περίσκεπτος.

Ἀμφασίαν, τὴν ἀφωνίαν, καὶ ἔκπληξιν. οὐκ ἀφασίαν, οἷον, προφασίαν. ἀπορίαν.

Ἀμφ' αὐλὸν, Κόρυθες δ' ἀμφ' αὐλὸν ἀϋτεῦν. διὸ μέρη λόγου εἰσίν. ἀμφὶ καὶ αὐλὸν αἱ περικεφαλαῖαι αὐτῶν ἐκ-

Ἀμφεπονεῖτο. οἷον, Ἐν μεγάρῳ ῥοῦν ἦχον ἀπέπλουν. ἑκάτης πανημέρος ἀμφεπονεῖτο. διέγειρον.

Ἀμφέσχετο, περιεβάλετο.

Ἀμφεποτᾶτο, περὶ τῶν τέκνων αὐτῆς λυπουμένη ἐπέτατο. ἀπὸ τοῦ ποτάομαι ποτῶμαι. ὁ παρατατικός, ἐποτώμην. τὸ γ, ἐποτᾶτο. καὶ ἀμφεποτᾶτο.

Ἀμφήκες, ἀμφοτέρωθεν ἠκονημένον. ἀπὸ τοῦ ἥκω, τὸ ὀξὺ

Ἀμφιαχυῖα, ἰαχὴ ἐκπέμ- ἀμφοτέρων μερῶν ὀξύ. πομένη βοή. ἐκ τοῦ ἰάχω καὶ ἰαχή. καὶ ἀμφιάχω. ὁ μέλλων ἀμφιάξω. ἀμφίαχα. ἀμφιαχὼς ἡ μετοχή. τὸ θηλυκὸν ἀμφιαχυῖα. περιβοῶσα. ἢ ῥοίζουσα.

Ἀμφιάραος, ἢ ἀμφιάρεως, ὁ ἥρως Οἰκλέους. ἢ παρὰ τὸν ἀέρα. ἢ παρὰ τὰς ἀράς. μάντις γὰρ ἦν.

Ἀμφιβέβηκας, Ὃς Χρύσην ἀμφιβέβηκας. περιβέβηκας. ὑπερμαχεῖς. ἀπὸ μεταφορᾶς τῶν τετραπόδων.

Ἀμφίβασιν, Δεῖσε δ' ὅγ' ἀμφίβασιν κρατερὴν Τρώων. τὴν ἰσχυρὰν ὑπερμάχησιν. κυρίως ἀμφίβασις ἡ περὶ τοῦ νεκροῦ μάχη. περιβάντες γὰρ τὸν νεκρὸν ἀγωνίζονται

Ἀμφιβρότη, ἡ ἑκατέρωθεν τὸν ὑπὲρ τοῦ σώματος. βροτὸν σκέπουσα ἀσπὶς καὶ κρύπτουσα. παντὸς θεν ἴση.

Ἀμφίβληστρον. σημαίνει δὲ δί- ἢ περὶ βροτὸν εἰργασμένη. κτυον. παρὰ τὸ βάλλω βλῶ βλήσω βλῆτρον. καὶ μετὰ τῆς ἀμφὶ προθέσεως, καὶ πλεονασμῷ τοῦ σ, ἀμφίβληστρον.

Ἀμφιγυήεις. ὁ Ἥφαιστος. ὁ βραδὺς ἐν τῷ πορεύεσθαι. παρὰ τὸ γυῖα, ὅ ἐστιν ἄκρα. χεῖρες καὶ πόδες. ἢ ἀμφοτέροις τοῖς γυίοις ὅ ἐστι τοῖς ποσὶ, χωλός. ζήτει εἰς τὸ

Ἀμφιγυῶσαι, ἀκρωτηριάσαι. αὐτόθεν.

Ἀμφηρεφέα, Ἀμφηρεφέα τε φαρέτρην. θηλυκὸν. αἰτιατικῆς πτώσεως. ἀπὸ τοῦ ἐρέφω καὶ τῆς ἀμφὶ προθέσεως. τὴν ἀμφοτέρωθεν ἐσκεπασμένην. τὴν τῶν βελῶν θή-

Ἀμφήριστον, ἀμφίβολον. ἢ κην. ἢ πάντη ἰσχυρὸν. ἄνισον. ἐρίζω, ἤρισμαι ἤρισαι. ἐξ αὐτοῦ ἥριστος καὶ ἀμφήριστος. ἀμφίλογον. ἢ ἔπισον.

Ἀμφαρίστερος, οὐκ ἄριστος οὐδὲ δεξιός. ἀμφοτέρωθεν ἀρι-

Ἀμφερκὴς, πάντοθεν περιειργόμενον. στερός.

Ἀμφημερινὸς, ὁ καθημερινός. καὶ ἀμφήμερον ὁμοίως.

Ἀμφήρης, αὐλὸς ὁ ἑκατέραις χερσὶ κατεχόμενος καὶ σύμφωνος. καὶ στόμα ἀμφῆρες, ἀμφοτέραις γνάθοις

Ἀμφίβια. ζῶα τὰ ἐπὶ τῆς χέρσου καὶ ὁμοίως ἐσθίοντα. ὕδατος ὁμοίως διατελοῦντα.

ETYMOLOGICUM MAGNUM GRÆC

Ἀμφίδυμοι λιμένες, δύο εἰσόδους ἔχοντες. ἢ σκεπεινούς, ἢ ἀμφιστόμους. ὁ ἀφ' ἑκατέρου μέρους εἴσπλοιαν ἔχων. καὶ ἀμφὶ δύς τὸ ἐνδύς. παρὰ τὸ ἔνθεν καταδύσιν ἔχοντες καὶ σκέπην καὶ καταγωγήν. οἷον, ἀμφίδυμοι, ἀπὸ τοῦ δύειν τὸ σκεπόμενον. οἱ ἀμφότεροι εἴσπλους, τουτέστιν εἰς δύσεις καὶ καταγωγὴν ἔχοντες. Ὀδυσσείας δ. λέγεται δὲ καὶ ὁ λιμὴν τῆς κυζίκου ἀμφίδυμος διὰ τὰς εἰσόδους ἑκατέρωθεν μέρους ἔχων. Ἐν δέ οἱ ἀκταὶ ἀμφίδυμοι. ἢ διδύμοις.

Ἀμφίγυα, ὅμηρος ἐπὶ τῶν δοράτων λέγει. οἷον, ἔγχεσιν ἀμφιγύοισι. οἱονεὶ τὰ ἑκατέρωθεν γυιῶσαι δυνάμενα ὅ ἐστι χωλῶσαι καὶ πλῆξαι διὰ τῆς ἐπιδορατίδος, καὶ τοῦ σαυρωτῆρος. ἔνιοι τοῖς διὰ χειρός. οἱ δὲ μακροῖς καὶ ὀξέσιν.

Ἀμφίδρυφοι, ἐστὶ δρύπτω τὸ ξέω, τὸ ἀμφοτέρωθεν δεξεσμένον, καὶ ἐσπαραγμένον. καὶ ἀμφιδρυφή, τὴν κατεσπαραγμένην.

Ἀμφιδέδηε. ἀπὸ τοῦ δέω μέσου παρακειμένου περιείληται περιορίζει. ἤγουν ἀμφοτέρωθεν περιεκύκλωσε. Πόλεμός τε ἄστυ τόδ' ἀμφιδέδηε.

Ἀμφιδρόμια, ἑορτή ἐστιν ἐν ἀθήναις τελουμένη. καθ' ἣν ἐγκρυφίου ἄρτου ὀπτωμένου, περὶ τῆς ἑστίας ἐπιτρέχουσι. τὸ δ' αὐτὸ ποιοῦσι καὶ μετὰ σκευῆς εἰς τὰ βρέφη περὶ τὴν ἑστίαν περιφέροντες, ἐπειδὴ κουροτρόφος ἡ τροφὸς ἐπί τινων πεφήμισται. μέμνηται πλάτων ἐν θεαιτήτῳ. Τοῦτο μὲν δὴ ὡς ἔοικε μόγις ἐγεννήθη, ὅτι δή ποτε τυγχάνει ὄν. μετὰ δὲ τὸν τόκον τὰ ἀμφιδρόμια ὡς ἀληθῶς ἐν κύκλῳ περιθρεκτέον τῷ λόγῳ.

Ἀμφιελίσσας, αἱ νῆες αἱ ἀμφοτέρωθεν ταῖς κώπαις ἐλαυνόμεναι. ἢ ἑκάτερα τὰ πλευρὰ στρεφόμεναι. ἐκ τοῦ ἑλίσσω.

Ἀμφιέννυμι, παρὰ τὸ ἕω τὸ ἐνδύομαι κατὰ πλεονασμὸν τοῦ ν, ἕννω. καὶ κατὰ παραγωγὴν ἐννύω καὶ εἰνύω. καὶ ἐπειδὴ ἔθος ἔχουσιν οἱ αἰολεῖς τὸ ι τρέπειν πρὸς τὸ ἐπιφερόμενον σύμφωνον, οἷον, εἴρω ἔρρω. φθείρω φθέρρω, τὸν αὐτὸν τρόπον τὸ ι εἰς τὸ ν. καὶ γέγονεν ἐννύω, καὶ μετὰ τῆς ἀμφὶ προθέσεως ἀμφιεννύω. καὶ ἐξ αὐτοῦ παράγωγον ἀμφιέννυμι. καὶ ἀμφιέννυμι, τὸ ἐνδιδύσκω.

Ἀμφιειμένοι. ἐνδεδυμένοι. ὥς τὸ, ὤμοιιν ἀναιδείην ἐπιειμένε. γέγονε παρὰ τὸ ἕω τὸ ἐνδύομαι. ὁ παρακείμενος εἷκα. ὁ παθητικὸς εἷμαι. ἡ μετοχὴ εἱμένος. Εἱμένος ὤμοιιν νεφέλην. καὶ ἐν συνθέσει ἀμφιειμένοι.

Ἀμφιεννύμην. μή ποτε γεώργιος ὁ χοιροβοσκός. κἀνταῦθα περιττή ἐστιν ἡ πρόθεσις. τί γὰρ διαφέρει τὸ ἕννυμαι τοῦ ἀμφιέννυμαι. Καὶ αὐτὴ δὲ φᾶρος μέγα ἕννυτο νύμφη. τί γὰρ πλέον τοῦ ἀμφιέσασθαι χιτῶνα. οὕτω ζηνόβιος.

Ἀμφιετίζειν, θύειν καθ' ἕκαστον ἔτος, ἤδη ὅλου τοῦ ἔτους, ἢ κατ' ἔτος. καὶ ἀμφιεταζομένας, τὰς κατ' ἔτος γινομένας ἢ περιερχομένας.

Ἀμφικέφαλος, κλίνης εἶδος, παρὰ τὸ ἑκατέρωθεν ἀνάκλισιν ἔχειν καὶ προσκεφάλαιον.

Ἀμφίκαυστις, ἡ ὀρεινὴ κριθή. ἣν ἡμεῖς εὔστραν καλοῦμεν καὶ οὕτω μὲν οἱ ταραντῖνοι. οἱ δὲ κωμικοί, τὸ αἰδιον ἀμφίκαυστις, ἀπὸ τοῦ περικεκαῦσθαι. οἱ δὲ τὴν πρώτην ἔκφυσιν τῶν πυρῶν ἣν ἡλιῖον προσαγορεύουσιν ὡραῖον διὰ τὸ τοὺς πρωΐμους καὶ ἐν τῶν τῶν ἀχύρων ἐπιτηδείους εἶναι εἰς τροφήν. μεθόδιος. εἴρηται μεταφορικῶς καὶ ἡ μάχη.

Ἀμφικύπελλον, ποτήριον παρὰ τὸ κῦφον κύφελλον καὶ κύπελλον. ἢ παρὰ τὸ χέω χύπελλον ὅπου ὁ πηλὸς ἤγουν ὁ οἶνος χεῖται. καὶ μετὰ τῆς ἀμφί, ἀλφικύπελλον, πλεονασμῷ ἑτέρου λ. τὸ ἐκ περιφερείας κῦφον. ὅθεν καὶ τὰ πρὸς ἡμᾶς κάτω νεύοντα νέφη, κύφελλα λέγονται. ἀρίσταρχος φησὶ σημαίνειν τὴν λέξιν τὴν διὰ τῶν ὤτων ἑκατέρωθεν περιφέρειαν. ἐφ' ὧν καὶ ῥητῶς ἀποδίδους λέγει. ἤτοι ὃ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλε χρύσεον ἄμφωτον. ἢ οἷον, ἀμφίκυρτον.

Ἀμφικτύονες, οἱ περιοικοῦντες. τὸ γὰρ κτίσαι ἐπὶ τοῦ οἰκῆσαι ἔλαβον οἱ παλαιοί. ὥς φησιν ὅμηρος. Ἐϋκτίμενον πτολίεθρον. καὶ Ἐϋκτιμένην κατ' ἀλωήν. ἔστιν οὖν οἰκίζω οἰκίσω. οἰκιῶν καὶ οἰκτιῶν κατὰ πλεονασμὸν τοῦ τ. καὶ μετὰ τῆς ἀμφὶ προθέσεως ἀμφικτιῶν. καὶ τροπῇ τοῦ ι εἰς υ ἀμφικτύων. ὡς γιφάλλα γυφάλλα. οὕτως ὦρος.

Ἀμφιμάσχαλος, χιτὼν δύο χειρίδας ἔχων, ὃς ἦν τῶν ἐλευθέρων. ὁ δὲ τῶν οἰκετῶν μίαν εἶχε. καὶ διὰ τοῦτο ἑτερομάσχαλος ἐκαλεῖτο.

Ἀμφικέλεμνον. ἀμφοτέρωθεν ὀκέλλον καὶ στηριζόμενον. οἱ δὲ ἀμφικελέμνοις. ἀμφιβαρεῖς ἢ τὰς σατυρικὰς ὀρχήσεις. ἀπὸ τοῦ κέλλειν.

Ἀμφιμήτωρ. οὐχ ὁμομήτριος, ἀλλὰ ὁμοπάτωρ ὢν ἀδελφός, ὧν μητέρες διάφοροι λέγονται. λέγονται δὲ ἀμφιμήτριαι.

Ἀμφίπολον, δούλην. θεράπαιναν. καὶ ἀμφιπολεύειν. ἀσπάζεσθαι καὶ θεραπεύειν καὶ περιέπειν. καὶ ἀμφιπόλησι. περιπορείαις,

Ἀμφίσβαινα, αἰτιατική. ἀμφίσθμαινα. ἔστι δὲ εἶδος ὄφεως, ἔχοντος ἐξ ἑκατέρου κεφαλὰς καὶ ἀναβαίνοντος.

Ἀμφίσκοπον, περίβλεπτον.

Ἀμφιβέβηκας. ὑπερασπίζῃ, κατὰ μεταφορὰν ἀπὸ τῶν ἀλόγων ζώων. ταῦτα γὰρ παραβεβηκότα ἑαυτῶν τοῖς τέκνοις, ἀμύνεται τοὺς ἐπιόντας. ἢ ἀπὸ τῶν παραβαινόντων τοῖς ἐν τῷ πολέμῳ τεθνηκόσι καὶ ὑπερμαχούντων, ἵνα μὴ σκυλευθῶσι, καὶ ὑβρισθῶσιν. ἢ μέσος κάθησαι ἐν αὐτῇ τιμώμενος ὡς περ πολιοῦχος. Κλῦθί μευ ἀργυρότοξε, ὃς χρύσην ἀμφιβέβηκας.

Ἀμφιλαφές, τὸ δασὺ τὸ ἑκατέρωθεν ληπτόν, ἀμφιλαφὲς κατὰ συγγένειαν τοῦ β εἰς φ. δοκεῖ δέ μοι παρὰ τὴν ἁφήν. οἱονεὶ τὸ τῇ ἁφῇ ἑκατέρωθεν ὑποπίπτον διὰ τὴν δασύτητα. ὅ ἐστι πολὺ καὶ δαψιλές.

Ἀμφιλύκη, ἡ σκοτεινή. ἀμφιλύγητις οὖσα. τὸ λυκόφως. ἔστι λυγαῖον τὸ σκοτεινὸν παρὰ τὸ λύειν τὴν αὐγήν, καὶ μὴ ἐᾶν συστῆναι. ἐξ αὐτοῦ γίνεται λύγη. καὶ τροπῇ τοῦ γ εἰς κ λύκη. καὶ ἀμφιλύκη νύξ. ὦρος.

Ἀμφότερον, ἐπὶ μεσότητος ἀντὶ ἀμφοτέρως. παράγεται δὲ ἐκ τοῦ οὐδετέρου ἀμφότερον, τὸ ἀρσενικόν, ἀμφότερος. καὶ ἀμφότεροι. ἑνικὰ οὐκ ἔχει. τὸ γὰρ σημαινόμενον κωλύει.

Ἄμφω. ὀνόματος. τὸ ω, μέγα. τὸ ἄμφω, δύο. θεματικά. διότι οὐ ποιοῦσιν ἀπὸ ἑνικῶν. τὸ γὰρ σημαινόμενον κωλύει. καὶ τί διαφέρει τὸ ἄμφω τοῦ δύο; ὅτι τὸ δύο, γράφεται καὶ διὰ τοῦ ο μικροῦ, καὶ διὰ τοῦ ω μεγάλου ἀττικῶς. τὸ δὲ ἄμφω, διὰ τοῦ ω μεγάλου πάντοτε. καὶ ὅτι τὸ μὲν δύο, μετὰ τοῦ ἄρθρου συντάσσεται. οἷον, οἱ δύο. τὸ δὲ ἄμφω, ἄνευ τοῦ ἄρθρου. ἄμφω σημαίνει τὸ ἀμφοτέρους. Ἄμφω ὁμῶς φίλοι θυμῷ.

Ἀμφότεροι, ἀπὸ τοῦ δευτέρου τὸ πρῶτον διδάξω. τί ἐστιν ἀπὸ τοῦ β τὸ α διδάξω. ἐπειδὴ τὸ ἄμφω θέμα ἐστὶν ὡς τὸ δύο, διαφέρει δὲ τὸ ἄμφω τοῦ δύο. ὅτι τὸ μὲν δύο, πρώτην γνῶσιν τίθησι τοῦ ἀριθμοῦ. τὸ δὲ ἄμφω, ἀναφορὰν ὑπισχνεῖται δυάδος. ὥστε ὅπου ἐστὶν οἱ δύο, τοῦτο ἐστὶν ἄμφω. διὰ τοῦτο τὸ δύο λαμβάνει ἄρθρου παράθεσιν. οἱ δύο. τῶν δύο. τὸ δὲ ἄμφω οὐ λαμβάνει. οὐ δὲ γὰρ λέγομεν οἱ ἄμφω. ἤδη γὰρ τὴν ἀναφορὰν ἔχει. πρῶτον οὖν ἐστὶ παρὰ τὸ ἄμφω ἀμφότερος. οἷον, ἀμφότεροι μέμασαν. ἀμφοτέροισι δ' ἄρ. εἶτα δευτέρως ἀμφοτέρω. καὶ κατὰ συγκοπὴν ἄμφω κατ' ἔκτασιν τοῦ ο εἰς ω. διὰ τοῦτο οὖν εἶπον, ὅτι ἀπὸ τοῦ δευτέρου τὸ πρῶτον θέλω διδάξαι. ἀμφοτέρω γάρ. εἶτα ἄμφω κατὰ συγκοπὴν καὶ ἔκτασιν. οὕτως ἡρωδιανὸς περὶ παθῶν. τὸ γὰρ ἀμφότεροι μέμασαν πολεμίζειν, κατηγορεῖ τῶν ἐγνωσμένων διὰ τῶν προκειμένων λόγων. λέγει γὰρ τὸν ἕκτορα καὶ τὸν ἀλέξανδρον.

Ἀμφίων. ἀπὸ τῆς ἀμφὶ προθέσεως, καὶ τῆς ἰὼν μετοχῆς γέγονεν ἀμφιίων. καὶ κράσει τῶν δύο ιι εἰς ι μακρόν, ἀμφίων. βαρύτονον δὲ γέγονεν, ἐπειδὴ αἱ μετοχαὶ συντιθέμεναι, ἐὰν μὲν φυλάττωσι τὸ αὐτὸ μέρος τοῦ λόγου, καὶ τὸν αὐτὸν τόνον φυλάττουσι. οἷον, βάς, ἀναβάς. στάς, ἀναστάς. ἐὰν δὲ ἐναλλάσσωσι τὸ αὐτὸ μέρος τοῦ λόγου, τούτου χάριν καὶ τὸν τόνον ἐναλλάσσουσι. δοκεῖ δὲ καὶ παράλογος εἶναι ἡ σύνθεσις τοῦ ἀμφίων. ἐπειδὴ αἱ εἰς φωνῆεντα λήγουσαι προθέσεις, δέχονται καὶ τὸν λόγον τῆς ἐκθλίψεως, καὶ τὸν λόγον τῆς κράσεως. καὶ αἱ δεχόμεναι τὸν λόγον τῆς ἐκθλίψεως. οὐ δέχονται τὸν λόγον τῆς κράσεως. οἷον, προέστη. προὔστη κτεμου. ἀναέρχομαι, ἀνέρχομαι. αἱ δὲ δεχόμεναι τὸν λόγον τῆς κράσεως, οὐ δέχονται τὸν λόγον τῆς ἐκθλίψεως. οἷον, προέστη, πρόστη. περιίαχε, Περίαχε πόντος ἀπείρων. ὅθεν σημειούμεθα τὴν διὰ πρόθεσιν. αὕτη γὰρ δεχομένη τὸν λόγον τῆς ἐκθέσεως, δέχεται καὶ τὸν λόγον τῆς κράσεως, ὡς ἐπὶ τοῦ διάκονος. ἀπὸ γὰρ τοῦ ἐνέγκω, ὅ ἐστι τὸ φέρω, γέγονε διαένονος. καὶ καθ' ὑπερβιβασμόν, διαέκονος. καὶ κράσει τοῦ α καὶ ε, εἰς α μακρόν, διάκονος. εἰ ἄρα οὖν ἡ ἀμφὶ δέχεται τὸν λόγον τῆς ἐκθέσεως. οἷον, ἀμφὶ ἀγαθόν Ἀμφ' ἀγαθὸν θεράποντα, οὐκ ὤφειλε δέξασθαι τὸν λόγον τῆς κράσεως. λέγει δὲ εὐριπίδης ὁ τραγικὸς ἐτυμολόγος τὸ ἀμφίων. ὅτι ἀμφίων ἐκλήθη παρὰ τὴν ἄμφοδον, ἤγουν παρὰ τὴν ὁδὸν γεννηθῆναι. ὁ δὲ ἀριστοφάνης κωμικευόμενος λέγει, ὅτι οὐκοῦν ἀμφόδις ὤφειλεν κληθῆναι. ἄλλοι δὲ λέγουσιν, ὅτι οὐ γέγονεν ἀπὸ τῆς ἀμφὶ καὶ τοῦ ἰών. ἀλλ' ἀπὸ τῆς ἀμφὶ προθέσεως κατὰ παραγωγήν. καὶ ἐξέτεινε τὸ ι ποιητικῶς. ὡς περ τὸ ἰξίων, καὶ δολίων. οὕτω χοιροβοσκὸς εἰς τὴν ὀρθογραφίαν αὐτοῦ.

Ἀμφιθαλής, κατ' ἄμφω τοὺς γονεῖς θάλλων. ὅ ἐστιν ὁ ἔχων τοὺς γονεῖς ἀμφοτέρους ζῶντας. παῖς ᾧ οἱ γονεῖς περίεισιν οἱ δύο.

Ἀμφίθετος φιάλη. ἡ κοῖλον πυθμένα ἔχουσα. ἡ ἄνευ ὤτων. ἢ ἀμφοτέρως τετορνευμένη. ἢ ὁμοίως ἐπὶ στόμα καὶ πυθμένα τίθεται.

Ἀμφίος, λέγουσί τινες, ὅτι ὥσπερ ἀπὸ τοῦ ἀκταίων γίνεται ἀκταῖος, καὶ ἀπὸ τοῦ πλείων πλεῖος, καὶ ἐάων ἐᾶος, καὶ ἀπὸ τοῦ ἀρείων ἄρειος, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ ἀμφίων γίνεται ἀμφίος. καὶ ἐπειδὴ τὸ ἀμφίων διὰ τοῦ ι γράφεται, τούτου χάριν καὶ τὸ ἀμφίος διὰ τοῦ ι. οἷς πίστιν ἀντίκειται ἡ σημασία. τὰ γὰρ εἰς ων κύρια εἰς ος γινόμενα ὀνόματα, κατὰ τοῦ αὐτοῦ σημαινομένου λαμβάνεται. οἷον, τὸ ἀκταῖος, ἀπὸ τοῦ ἀκταίων ἐγένετο, καὶ τὴν σημασίαν τοῦ ἀκταίων ἐφύλαξεν. ὁ αὐτὸς γὰρ λέγεται καὶ ἀκταίων, καὶ ἀκταῖος. εἰ ἄρα οὖν τὸ ἀμφίος ἀπὸ τοῦ ἀμφίων ἐγένετο, ὤφειλε καὶ ἐπὶ τοῦ αὐτοῦ σημαινομένου τὰ δύο ὀνόματα ληφθῆναι. ἀλλὰ μὴν οὐ λαμβάνεται ἐπὶ τοῦ αὐτοῦ σημαινομένου τὰ δύο ὀνόματα. ἀμφίων μὲν γάρ ἐστιν ὁ ἀδελφὸς τοῦ ζήθου ὁ κτίσας τὰς θήβας υἱὸς τοῦ διὸς καὶ τῆς ἀντιόπης. ἄμφιος δὲ ἦν τοῦ σελάγου υἱός. ὥστε δῆλον οὐ γέγονε ἀπὸ τοῦ ἀμφίων τὸ ἄμφιος. ἀλλ' ἔστιν εἰπεῖν, ὅτι ὥσπερ παρὰ τὴν ὑπὸ πρόθεσιν γίνεται ὕπιος. οἷον, ὕπιος ζάς. ἔστι δὲ ὄνομα ποταμοῦ. ὡς παρὰ ἀπολλωνίῳ. οἷον, Παρ' εἰαμεναῖς ὑπίοιο, οὕτω καὶ παρὰ τὴν ἀμφὶ πρόθεσιν γέγονεν ἄμφιος ἐκτάσεως γενομένης τοῦ ι ποιητικῆς. οὕτως ὁ χοιροβοσκός.

Ἀμφίω, εἴρηται εἰς τὸ κρεμῶ.

Ἀμφῶες, τὸ δύο ὦτα ἔχον. παρὰ τοὺς οὔας ἐλλείψει τοῦ υ ὄας, καὶ ὡς οὖδας οὖδος, γῆρας γῆρος, οὕτως ὄας, ὄος. καὶ ὡς γένος εὐγενής, οὕτως ἀμφώης καὶ ἀμφῶες. μεθόδιος. καὶ ἀμφωτὸν ὁμοίως, τὸ ἐξ ἑκατέρου μέρους ὦτα ἔχον.

Ἀμφωτίδες, χαλκᾶ, ἃ περὶ οἱ παλαισταὶ τοῖς ὠσὶ περιετίθεσαν. περιωτίδες οὖν εἰσὶ καὶ ἀμφωτίδες. τῆς ἀμφὶ τὴν περὶ σημαινούσης. μεθόδιος. ἢ ἀμφωτὶς σκεπαστήριον ὤτων. καὶ ἀμφώτας χιτῶν τις λέγεται. καὶ ἀμφίνωτις.

Ἀμφούδις. παρὰ τὸ ἔδαφος. ἔστι ῥῆμα οὐδίζω. ὁ μέλλων οὐδίσω. ἀποβολῇ οὖν οὐδίς. καὶ συνθέσει ἀμφούδις. παρὰ τοὔδας τὸ ἔδαφος.

Ἀμφορεύς, τὸ ἑκατέρωθεν διωτὸν σταμνίον. ὡς φησι θεόκριτος. Ἀμφορεὺς νεοτευχής. οἱ δέ, κοινὸν μὲν κεράμιον τὸ ἑκατέρωθεν αἰρόμενον ἀμφοαιρεύς, καὶ ἀμφορεύς. κατὰ συγκοπὴν καὶ πλεονασμόν. δηλοῖ δὲ μέτρον ὑγροῦ.

μφόνου. Ἰστέον ὅτι κατὰ συγκοπὴν οὐκ ἐγένετο. ἐπειδὴ αἱ συγκοπαὶ ἐν μιᾷ λέξει γίνονται. οἷον, πατέρος πατρός. ἀναμῖξαι ἀμμῖξαι. τὸ δὲ ἀμφόνου, δύο μέρη λόγου εἰσίν. ἀνάφονον γάρ. ἀλλ' οὔτε δὲ καὶ ἔκθλιψιν ἐγένετο. ἐπειδὴ αἱ ἐκθλίψεις οὐδέποτε συμφώνου γίνονται, ἀλλὰ φωνήεντος ἐπιφερομένου. οἷον, κατὰ ἀπολλώνιον, κατ' ἀπολλώνιον. βούλομαι ἐγώ, βούλομ' ἐγώ. κρεῖττον δέ ἐστιν εἰπεῖν, ὅτι τὸ τοιοῦτον σχῆμα, εἶδός ἐστι συγκοπῆς. χοιροβοσκός.

Ἀμφίπολος, θεραπαινίς. δουλίς. παρὰ τὴν ἀμφὶ πρόθεσιν καὶ τὸ πολῶ. πόλος, καὶ ἀμφίπολος. οἱονεὶ ἡ περὶ τὴν δέσποιναν πολοῦσα. τουτέστιν ἀναστρεφομένη. προπαροξύνεται. τὰ παρὰ τὸ πολῶ, καὶ χέω. μετὰ προθέσεως τιθέμενα πρὸ μιᾶς ἔχουσι τὸν τόνον. οἷον, οἰνοπόλος. οἰωνοπόλος. οἰνοχόος. τὰ δὲ μετὰ προθέσεως συντιθέμενα προπαροξύνονται. πρόπολος, πρόχοος.

Ἀμφίπολις, πόλις θράκης. ἥτις ... λος, πρόχοος. ἐκαλεῖτο πρότερον ἐννέα ὁδοί. διὰ τὸ περιέχεσθαι καὶ περιολισθαίνεσθαι ὑπὸ τοῦ στρυμόνος ποταμοῦ. με-

Ἀμφιρρόπους ἐννοίας. ἀπὸ τοῦ ῥέπω τοῦ ... θόδιος. σημαίνοντος τὸ κλίνω, ἢ ἐκτείνω. ἐπ' ἀδήλου ἐπικειμένας τοῦ τέλους. ἀμφοτέρωθεν κλινούσας, ἢ καθελκομένας, ἢ καθελκούσας.

Ἄμφις, τοῦτο οὐ συγκοπή, ἀλλὰ μετασχηματισμός. ἀπὸ γὰρ τοῦ ἀμφιάραος ἄμφις. ὡς παρὰ αἰσχύλῳ. ὥσπερ ἀστράγαλος ἄστρις. καὶ ἰφιάνασσα ἶφις. καὶ θρασυκλῆς θράσυλλος. καὶ βαθυκλῆς, βάθυλλος ὑποκοριστικά. ταῦτα γὰρ μετασχηματισμοὶ καλοῦνται, ἐπεὶ οὐ συμφωνεῖ ἡ καταλήξις. οὐδέποτε γὰρ συγκοπὴ γίνεται τῆς τρίτης συλλαβῆς. ἀλλ' οὐδὲ πάλιν δυνάμεθα ἀποκοπὴν εἰπεῖν, ἐπειδὴ τὸ ς ἔχει τῆς τελευταίας συλλαβῆς. ὅπου γὰρ τῆς τελευταίας συλλαβῆς τηρηθῇ τὸ στοιχεῖον, οὐ λέγεται ἀποκοπή. ὥστε μετασχηματισμός ἐστιν. ἡρωδιανὸς περὶ παθῶν.

Ἀμφύσκη, τῇ χειρὶ κυρτωθείσῃ. οἱ δὲ πτύον ἢ πρόβολον

Ἀμφώδων, ὄνος. λέγεται δὲ ἀμφώδοντα ζῷα, τὰ κατὰ τὰ ἄνω καὶ κάτω ὀδοντωμένα.

Ἄμφωξις, ὑδρεῖον ξύλινον, εἰς ὃ ἀμέλγουσιν.

Ἀμφί, Ἰστέον ὅτι προθέσεις εἰσὶ τῇ μὲν φωνῇ ιη. τῷ δὲ σημαινομένῳ ιζ. ἡ γὰρ ἀμφὶ καὶ ἡ περί, τὸ αὐτὸ σημαίνουσι. διὰ τοῦτο καὶ ἐν τῷ ἅμα εὑρίσκονται. οἷον, ἕκτορα δ' ἀμφὶ περιστρωφᾷ. διαφέρουσι δὲ κατὰ τρεῖς τρόπους. ἡ μὲν ἀμφί, ἀποβάλλει τὸ ι. ὡς τὸ ἀμφ' ἀγαθὸν θεράποντα. ἡ δὲ περί, οὐδέποτε. καὶ ὅτι ἡ μὲν περί, ἀναστρέφεται, ὡς τὸ ἀγαμέμνονος πέρι καὶ ἀχιλλέως. ἡ δὲ ἀμφί. οὐδέποτε. καὶ ὅτι ἡ μὲν περί, ποτὲ μετάγεται εἰς ἐπιρρηματικὴν σημασίαν. εἰς μέρος λόγου τουτέστιν ἐπίρρημα μεσότητος. ὡς τό, ἰδομενεῦ πέρι μὲν σε τίω. ἀντὶ τοῦ περισσῶς. ἡ δὲ ἀμφί, οὐδέποτε. λέγεται δὲ ἡ ἀμφί, καὶ ἀμπὶ παρὰ αἰολεῦσι.

Ἀμφίς, ἀπὸ τῆς ἀμφὶ προθέσεως, γίνεται ἀμφὶς ἐπίρρημα σημαῖνον τὸ χωρίς. οἷον, θεοὶ κρόνου ἀμφὶς ἐόντες. οὐ γὰρ δυνάμεθα λέγειν πρόθεσιν, ἢ πλεονασμὸν τοῦ ς.

Ἀμφισβητεῖν, τὸ ζητεῖν. πλεονασμῷ τοῦ β. ἔστι γὰρ ἀμφιστεῖν. ἢ παρὰ τὸ ἀμφὶς καὶ τὸ βάζειν, ἵνα σημαίνῃ τὸ ἀμφιλογεῖν. πολλάκις δὲ πλεονάζει τὸ β. ὡς ἐν τῷ ἄδηρον ἄβδηρον. ἄβδηρος γάρ τις ἐστί. καὶ ὀδή ὀβδή. καὶ οὕτω μὲν ὁ μεθόδιος. ὁ δὲ ζηνόδοτος, ὅτι δύναται μὴ παρὰ τὴν ἀμφὶ συγκεῖσθαι πρόθεσιν, ἀλλὰ παρὰ τὸ ἀμφὶς ἐπίρρημα. ἵνα σημαίνῃ τὸ κεχωρισμένως βαίνειν. τοιοῦτοι γὰρ οἱ διστάζοντες. εἰ δὲ τοῦτο, εὐλόγως ἔξωθεν κέκλιται. σημειωτέον δέ, εἰ παρὰ ἐπίρρημα συνετέθη. εἰ δὲ παρὰ τὴν ἀμφὶ σύγκειται πλεονασμὸν δέξεται τοῦ ς, καὶ παραλόγως ἔξωθεν κλιθείη. ἀττικῶς οὖν ὡς παρὰ προθέσεως οὔσης τῆς συνθέσεως, ἔσωθεν τὴν κλίσιν πεποίηται. πλάτων ἐν γοργίᾳ. ἔοικεν δ' ἄρα οὐ περὶ τούτου φίλε ἠμφεσβητησάμην. ἀνδοκίδης ἐν τῷ περὶ μυστηρίων. περὶ τούτου ἠμφεσβήτουν οὗτοι οἱ μὴ λύσαντες. ἡ δὲ ἔσωθεν κλίσις, πάντη παράλογος ἐκ τοῦ μὴ ὄντος τοῦ ἁπλοῦ.

Ἀμφιτρύων, ὁ περισσῶς τρυθεὶς καὶ πονηθείς. ὁ ἥρως. παρὰ τὸ τρύος, ὅ ἐστι πόνος. οἷον, καὶ πολύτρυος ἤλασεν

Ἀμφιτρίτη. μετωνυμικῶς ἀπὸ τῆς νη ... ἔξω. φιλωνίδης ἡ θάλασσα. ὤφειλε δὲ ὅσον ἐκ τῆς ἐτυμολογίας ὥς λέγει ὁ χοιροβοσκὸς καὶ ὠρίων διὰ τῆς ει διφθόγγου γράφεσθαι. παρὰ γὰρ τὸ τρεῖν λέγεται ἀμφιτρίτη. ἡ ἀμφοτέρωθεν φόβον ἡμῖν ἐμποιοῦσα. ἀλλὰ τῷ χαρακτῆρι τῶν εἰς τη θηλυκῶν διὰ τοῦ ι γράφεται. τὰ γὰρ εἰς τη λήγοντα θηλυκὰ βαρύτονα ὑπὲρ δύο συλλαβάς, ἐν ἰφωνήεντι θέλει παραλήγεσθαι. οἷον, ἐρέτη. μελέτη. ἀφροδίτη. οὕτως οὖν καὶ ἀμφιτρίτη. πρόσκειται βαρύτονα διὰ τὸ τελετή. καὶ ὑπὲρ δύο συλλαβάς, διὰ τὸ χαίτη.

Ἀμφιφῶν, εἶδος πλακοῦντος τιθούμενος τῇ ἀρτέμιδι. οἷον, μαστούς. τοφαλίδας. ἀμφιφῶντας. ἤτοι διὰ τὸ κύκλῳ φωτίζεσθαι ὑπὸ τῶν δᾴδων. ἢ διὰ τὸ πανσελήνου οὔσης πέμπεσθαι τῇ ἑκάτῃ. οὕτω με-

Ἀμφιφορίτης. ὅτι ἐν αἰγίνῃ ἔδραμον ... θόδιος. περὶ τὴν ἀσωπίδα κρήνην ὑδρεύσασθαι. ὅθεν καὶ ἀγὼν ἄγεται ἀμφιφορίτης λεγόμενος παρὰ τοῖς αἰγινήταις ἐν ᾧ ἐκεῖσε ἀγωνιζόμενοι τοὺς κεράμους ὕδατος πεπληρωμένους ἀναλαβόντες κατὰ τῶν ὤμων τρέχουσι περὶ τῆς νίκης φιλονεικοῦντες κατὰ μίμησιν τῶν ἡρώων. ἀμφιφορεὺς γὰρ στροσυδρίας. κέραμος. ἀμφορεύς.

Ἀμφίφαλον, ἀμφοτέρωθεν φάλους ἔχουσαν περὶ αὐτήν. φαλοὶ δὲ εἰσὶν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀσπιδίσκοι χάριν κόσμου τιθέμενοι.

Ἀμφιφανῆ ἄστρα δὶς φαινόμενα. καὶ ἀμφιφανὲς περιλαμπές, ἐπιφανές.

Ἀμωσγέπως, ὁπωσδήποτε. καθ' ὁντιναοῦν τρόπον. δηλοῖ τὸ μετρίως. πλάτων τῷ ἐκ τῶν ἐς τρόπου. ἔν γέ τινι.

ἔστι δὲ ῥητορικὴ ἡ λέξις. ἔστιν ὄνομα ἀμὸς ἰσοδυναμοῦν τῷ, τὶς δωρικῶς. ἐξ οὗ καὶ τὸ ἐν ὀδυσσείᾳ, τῶν ἀμόθεν γε, ἀντὶ τοῦ ἀπό τινος μέρους τούτων. ἐκ τῆς γενικῆς τῶν πληθυντικῶν γίνεται ἐπίρρημα μεσότητος ἀμῶς. καὶ ὥσπερ παρὰ τὸ καλὸς γίνεται ἐπίρρημα καλῶς, οὕτω καὶ ἀπὸ τοῦ ἀμὸς γίνεται ἐπίρρημα ἀμῶς. καὶ συνθέσει μετὰ τοῦ γε συνδέσμου καὶ τοῦ πῶς παραπληθῶς γίνεται ἀμωσγέπως. σημαίνει κατά τινα τρόπον. οἱ δὲ ἀττικοί φασιν ἀμηγέπη. ἀπὸ δὲ τοῦ ἀμός, γίνεται ἀμόθεν. ἐξ οὗ τὸ οὐδαμόθεν ἐπίρρημα. καὶ ὥσπερ ἀπὸ τοῦ καλὸς γίνεται ἐπίρρημα καλά, οὕτω καὶ ἀπὸ τοῦ οὐδαμός, οὐδαμά. ἀντὶ τοῦ οὐδαμῶς.

Ἄμωμος. παρὰ τὸ μῶμος γίνεται ἄμωμος.

ΤΟ ΑΛΦΑ, ΜΕΤΑ ΤΟΥ Ν.

Ἀνά, πρόθεσις. ἐν τῇ συνθέσει δηλοῖ τὴν ἄνω σχέσιν. ὡς ἄνοδος ἀναδρομή. καὶ τὴν εἰς τοὐπίσω ἀνάκαμψιν. ὡς τὸ ἀνάβασις ἀνα-

Ἀνάβλησις, ἀναβολὴ καὶ ὑπερ... θεσις. ἐκ τοῦ ἀναβάλλομαι τὸ ὑπερτίθεμαι καὶ βραδύνω. ὡς τὸ μὴ ἀναβάλλη πάτερ. ἀπὸ τοῦ βλῶ βλήσω, βέβληκα. βέβλημαι, βλῆσις καὶ ἀνάβλησις.

Ἀναβαλλίδες, ταινίαι. οἱ δὲ σφαίρας ἀπεδίδοσαν.

Ἀναβέβρυχεν, ἀναπέπωκεν. ἐὰν δὲ ἀναβέβρυχεν, ἀναβρύει, ὅ ἐστιν ἀναπηδᾷ. καὶ ἀναβάλλε- ... διογένης.

Ἀνά, ἀλλ' ἀνὰ εἰμένονας. ἀντὶ τοῦ ... ται μετὰ ψόφου. ἀνάστηθι. ὅλη ἡ λέξις ἀπεσπάσθη. οὐκ ἔστιν ἀποκοπὴ ἀντὶ τοῦ τοιούτου. ἡρωδιανός.

Ἀνάγκη, ἡ θεὸς παρὰ τὸ ἀνάσσω. καὶ τὸ πρᾶγμα ἀνάγκη. πάντων γὰρ ἐπικρατεῖ. εἰ δὲ ἰὼν ἀπὸ ῥήματος, ὀξύνεται. ὡς στενάχω, στεναχή. παρὰ τὸ ἄγω οὖν, ἀγή. καὶ πλεονασμῷ τοῦ κ ἀνάγκη, ἡ πάντα κρατοῦσα. ἢ ἀγκάς, ἀγκή, καὶ ἀνάγκη. ἐπειδὴ τὸ ταῖς ἀγκάλαις κρατούμενον κατὰ δύναμιν, ἀφυκτότερον κρατεῖται. ἢ παρὰ τὸ ἄνος, πρὸς ἣν ἄνος οὐκ ἔστιν εὑρεῖν.

Ἀναγκάζω, ἀπὸ τοῦ ἄναξ ἄνακος, ἐξ οὗ τὸ ἄνακτος, γέγονεν ἀνάκη, καὶ ἀνάγκη. καὶ ὡς ἀπὸ τοῦ σπουδή, σπουδάζω, καὶ αὐγή αὐγάζω, οὕτω καὶ ἀπὸ τοῦ ἀνάγκη ἀναγκάζω.

Ἀνάγωγος, ὁ μὴ τῆς καθηκούσης ἀγωγῆς τετυχηκώς.

Ἀναγαργαρεύου, ἀνακράζου.

Ἀναδιδυκίζει, ἀναταράττει. ἀπὸ τοῦ διδυξ διδυκος

Ἀναδῦναι, ἀναδραμεῖν. ὑποστρέψαι.

Ἀνὰ δρῦμα, καὶ θῆρες ἀνὰ δρύμα θρηνοῦνται. τινὲς ἀνέγνωσαν δρυμά. ὡς ἀπὸ τοῦ δρυμός. οὐκ ἔστι δὲ οὐδὲ σώζεται τῶν τριῶν προσώπων ἡ συζυγία. σοφὸς μὲν γὰρ καὶ σοφή, καὶ σοφὰ ὁμοτόνως. δρυμὸς δὲ δρυμὴ οὐκέτι. οὐκ ἄρα δρυμά. ἀλλὰ δρῦμα, ὡς λύχνα.

Ἀναδήματα, στεφανώματα. ἀναδεῖσθαι, τὸ ταινιοῦσθαι

Ἀναδούμενος. παρὰ τὸ δέω δέσω δέδεκα. ἡ μετοχή, δεόμενος. καὶ κατὰ συναίρεσιν ἀναδούμενος. οὕτω φιλόξενος. στεφανούμενος ταινιούμενος.

Ἀναδενδράς, ἡ ἄμπελος, ἡ πρὸς δένδρον ἀνερχομένη. δένδρον, δενδράς. καὶ ἀναδενδράς, ἄμπελος ἡ ἐπὶ δέν-

Ἀναζυγῶσαι, ζύγωθρον καλεῖται ὁ κόραξ. καὶ ... δρων. ἐπιζυγῶσαι τὸ κλεῖσαι. ἀναζυγῶσαι, τὸ θύρας ἀναπετάσαι. ἀριστοφάνης.

Ἀναθηλήσει, ἀναβλαστήσει. τὸ θέμα ... σαι. ἀριστοφάνης. θηλῶ. α συζυγίας. ἢ παρὰ τὸ θάλλω θαλῶ θαλήσω. καὶ τροπῇ, θηλήσω. τοῦτο παρὰ τὸ θηλή. τὸ δέ, παρὰ τὸ θῶ τὸ θηλ

Ἀνάθεμα, παρὰ τὸ ἐν τῇ στήλῃ ἀνατίθεσθαι. ... λάζω.

Ἀνάθημα. ἄγαλμα. κόσμος. εἰς τό, ἀνακληθρίς, πέτρα ἐν μεγάροις. ὅτε ἡ δημήτρα καθεσθεῖσα ἐπ' αὐτῆς ἀνεκαλεῖτο τὴν κόρην. καὶ ἐκ τῆς ἀνακλήσεως τὴν πέτραν, ἀνακληθρίδα καλοῦσιν. μεθόδιος.

Ἄνακοι, οἱ διόσκουροι παρὰ ἀττικοῖς. παρὰ τὸ ἀνάσσω, ἄνακος, ὡς φυλάσσω φύλακος. μαλάσσω, μάλακος. ἢ ὅτι ἀνακῶς, ὅ ἐστι φιλανθρώπως ἐχρήσαντο τοῖς ἀθηναίοις. ἢ ὅτι τοὺς πλέοντας σώζουσιν ἀστέρες ὄντες. ἄνω καὶ ἑκὰς ἡμῶν ὄντες. καὶ τὸ ἄνω δὲ σύνθετον εἰώθασιν ἀττικοὶ καλεῖν, ἀνακῶς. μεθόδιος.

Ἀνακῶς, ἐπιμελῶς καὶ πεφροντισμένως, καὶ πεφυλαγμένως. ἀπὸ τῆς ἄνακος γενικῆς εἰς εὐθεῖαν ἀναχθείσης ὡς φύλακος. ἀπὸ τῶν ἀνάκτων. οἷς φροντίδες εἰσὶ τῶν ὑπηκόων. ἀπὸ τῆς ἄνακος δὲ εὐθείας σχηματίζεται. ἐπειδὴ τὰ ἀπὸ τῶν εἰς δίπλοῦν λήγοντων ἀρσενικὰ οὐ ποιεῖ ἐπίρρημα εἰς ως. οὔτε γὰρ ἀπὸ τοῦ φύλαξ ἢ ἄναξ, ἢ ἅρπαξ γίνεται ἐπίρρημα. μεθόδιος.

Ἀνάκτωρ, οὐ πεποίηται παρὰ τὸ ἀνάσσω. οὐδενὶ γὰρ τούτων τῶν ῥημάτων παράκειται οὐδέτερου παρασχηματισμός. πεποίηται οὖν παρὰ τὸ ἀνάκτορος. οὕτω φιλόξενος, εἰς τὸ ῥηματικὸν αὐτοῦ.

Ἀνακωχεύειν, τὸ ἐν πελάγει χειμῶνος ὄντος στείλαντας τὰ ὀθόνια σαλεύειν. ἢ ἐν τῷ πολέμῳ ἀμελεῖν. παρὰ τὸ ἄνω τὰς ἀκωκὰς ἔχειν. δηλοῖ δὲ καὶ τὸ ἀναχωρεῖν. καὶ οἷον ἀναχωρεύειν. καὶ τροπῇ τῶν στοιχείων.

Ἀνακυμβαλίζω. δίφροι δ' ἀνεκυμβαλίαζον. ἀνεκρότουν

Ἀνακλῖναι, ἀνοῖξαι. ἀναπετάσαι ... ἢ ἀνερρέποντο.

Ἀναζυγοῦν φασὶ τὸ ἀνοιγνύναι κιβωτόν. ἢ τὴν ἐπὶ τῇ θύρᾳ κόρακα. λέγεται καὶ ἐπὶ τοῦ ἀναφωνεῖν ἀνοιγνύναι τὸ στόμα. λέγεται ἀναζυγή, καὶ ἡ τῆς θύρας ἄνοιξις. καὶ κλίνεται τῆς ἀναζυγῆς. πλάτων εὐμενίσιν. εὐθὺς ἀναζυγῆς

Ἀνάλογος, παρὰ τὸ λόγος, ἄλογος. ... γενομένης. εἶτα δευτέρα σύνθεσις μετὰ πλεονασμοῦ τοῦ ν ἀνάλογος, ὁ λόγου ἐχόμενος. ὅ ἐστιν ὁ κατὰ λόγον ὅμοιος. γίνονται δὲ πολλάκις ἐν ταῖς συνθέσεσι στερήσεις τῶν προλαβουσῶν στερήσεων ἀναιρετικαί. αἵτινας καλοῦνται ἐπιστε... ρήσεις.

Ἄναλτος, ὁ ἀηδής. ἀπὸ τῶν ὄψων τῶν μὴ ἐχόντων ἅλας, καὶ ἀηδῶν ὄντων. σημαίνει δὲ καὶ τὸν ἄχρειον. ὀδυσσείας σ. ἢ ἀναυξής, καὶ ἀτελής. παρὰ τὸ ἄλδω τὸ αὐξάνω. ἢ ὁ ἀπλήρωτος καὶ ἀκόρεστος, ὥς φησιν ὁ ποιητὴς ἐν ὀδυσσείᾳ. ὁ οὐδ' ἐνάλις. μετὰ δὲ ἔπρεπε

γαστέρι μητρὸς ἀναζηχὲς φαμὲν καὶ εἴπομεν. καὶ ἐπιφέρει, Ὅς τοῦ τὴν ἀναλγὴν ἀλητεύειν ἀπέπαυσας. ἀντὶ τοῦ πλανᾶσθαι. παρὰ τὸ ἅλις τὸ δαψιλῶς, γίνεται ἅλος. καὶ κατὰ στέρησιν ἄναλος. καὶ πλεονασμῷ τοῦ τ ἄναλτος. ἢ τὸν ἅλλεσθαι μὴ δυνάμενον. βαρύν.

Ἄναλκις, ὁ ἀπόλεμος καὶ ἄναλκις. ἀσθενής. ἀδύνατος. ἐκ τοῦ ἀλκῶ ἀλκή. μετὰ τοῦ στερητικοῦ α, καὶ πλεονασμῷ τοῦ ν, ἄναλκις. ἄνισχυς. δειλός.

Ἀναλίσκω, τὸ πορθῶ καὶ δαπανῶ, ἐξ οὗ καὶ ἀνάλωμα. ἔστιν ἅλες σημαῖνον τὸ ἀθρόον. οἷον, Ἠ χειμέριον ὕδωρ ἀλὲν. ἐξ οὗ ῥῆμα ἁλῶ τὸ συναθροίζω. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀαλῶ τὸ πλανῶ. τουτέστι, τὸ τὰ συνηθροισμένα διασκορπίζειν. καὶ πλεονασμῷ τοῦ ν, ἀναλῶ. καὶ ἐκ τούτου παράγωγον ἀναλίσκω τὸ αὐτὸ σημαῖνον. ἢ παρὰ τὸ ἅλις ἐπίρρημα. καὶ παρὰ τὸ ἀναλῶ, ἀνάλωτος. καὶ ἀναλωτικός, ὁ ἀφανιστικός.

Ἀναλογία, παρὰ τὸ λόγος λογία, καὶ ἀναλογία. αἱ γὰρ δύο στερήσεις ὁμοῦ οὖσαι κατάφασιν ποιοῦσιν. ὥσπερ πύστα ἄπυστα, καὶ ἀνάπυστα τὰ περιβόητα. καὶ πηρὸν, ἄπηρον καὶ ἀνάπηρον τὸν πεπηρωμένον. ἐπὶ πάντων δὲ τὸ ν πλεονάζει. ὥσπερ ἐπὶ τοῦ αἴτιος, καὶ ἀαίτιος, καὶ ἀναίτιος,

Ἀνάνιον, ἄλυπον. κατὰ στέ- ⟨ καὶ ἀναίσχυντος. ὧρος.
ρησιν τῆς ἀνίας. ἀβλαβές. καὶ ἀνάνιος, ὑπερήφανος. ἀλύπητος. καὶ ἀνανίως, τὸ ἀλύπως.

Ἄναλκις, ἀνάλκιδος. ὁ κανὼν. τὰ εἰς ις προσηγορικὰ παρώνυμα μακρᾷ παραληγόμενα, διὰ τοῦ δος κλίνονται. καὶ οὕτω. τὰ εἰς ις βαρύτονα ἀρσενικὰ, εἴτε κύρια εἴτε προσηγορικὰ, διὰ τοῦ δος κλίνονται. ἀδώνιδος, θεόγνιδος. παρώνυμα μακρᾷ παραληγόμενα, εὐνίδος. λαρίδος. νήιδος. ἀνάλκιδος.

Ἄναξ, παρὰ τὸ τὴν ἄνω τάξιν ἔχειν. ἢ ὁ ἄνω ἀΐσσων κατὰ δύναμιν τοῦ κρατεῖν. ἢ πρὸς ὃν πάντα ἀναφέρομεν. σημαίνει τρία· τὸν βασιλέα. ὡς τὸ, Ἀτρείδη κύδιστε ἄναξ ἀνδρῶν. καὶ τὸν δεσπότην. Αὐτὰρ ἐγὼν οἴκοιο ἄναξ ἔσομ' ἡμετέροιο. σημαίνει δὲ καὶ τὸν θεόν. Ὄφρ' ἱλαον ἄνακτα.

Ἀναξυρίδας, φαμινάλια, βρακία. ἢ τὰ βαθέα καὶ ἄβατα ὑποδήματα. οἷον, ἀνασυρίδας, παρὰ τὸ ἀνασύρεσθαι. τροπῇ τοῦ σ εἰς ξ. ἀπὸ τοῦ ῥακία, πλεονασμῷ τοῦ β αἰολικῶς. ἀναξυρίδας μὲν τὰ παρὰ ἐν τῇ συνηθείᾳ βρακία.

Ἀναπλήσεις, ἀναπληρώσεις. ἐκ τοῦ ἀναπλῶ. ⟨ φασὶν

Ἀναπλήσας, ἀναφυσήσας. ἢ ἀθρόως ἀναλαβών. ἐκ τοῦ πρήθω, ἀναπρήσας. καὶ τροπῇ τοῦ ρ εἰς λ, ἀναπλήσας. οἱ γὰρ κακοῖς τισὶ συνεχόμενοι, πνεύματος τὰς γνάθους πληροῦντες, τὰς ἐκφυσήσεις ἀποτελοῦσιν.

Ἀνάπνευσις, ἔστι πνύω, ἐξ οὗ γέγονε πνέω. ὁ μέλλων, πνεύσω. ἐξ οὗ πνευστός. καὶ ἄπνευστος καὶ ἄπνευσις. καὶ ἀποβολῇ τοῦ τ, ἄπνευσις, καὶ ἀνάπνευσις. Ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο. ἀντὶ τοῦ ταχίστη τὸ ὀλίγη.

Ἀναπνεύσωσι δ' ἀρήϊοι υἷες ἀχαιῶν. ἀναψύξωσιν. ἀνα-

Ἀναμφιλέκτως, ἀναντιλέκτως. ⟨ παύσωνται.

Ἀναπεμπάζεσθαι, ἐπαναλαμβάνειν, ἢ ἀναλέγεσθαι καὶ ἀναπέμπειν. οἱ δὲ, τὸ ἀριθμεῖν. ἢ ἐν κεφαλαίῳ τὰ προειρημένα ἐπαναλαβεῖν.

Ἀναπαυόμενον ὕδωρ, πηγὴ ἐν Δωδώνῃ. ὅτι οὐκ ἀέναον ἔχει τὸ ὕδωρ, ἀλλὰ κατὰ τὰς μεσημβρίας, καὶ μέσας τὰς νύκτας ἀπολήγει καὶ οὐ ῥεῖ. τὰς δὲ ἄλλας ὥρας συνεχῶς φέρεται. ὥσπερ οὖν ἐπὶ ἀνθρώπων καμνόντων. κατὰ δὲ τὸν ὁρισμὸν ἀπολιπόντων. μεθόδιος.

Ἄναντες, καὶ ἄναντα, τὸ ἀνωφερὲς, καὶ ἀνωφερῆ. κάταντα, κατωφερῆ. πάραντα, τὰ πρόμαλα. καὶ γήλοφα. δόχμια δὲ, τὰ πλάγια. ἰλιάδος ψ.

Ἀνάκειόν τι, δεσμωτήριον. παρὰ τοῖς βοιωτοῖς οὕτω καλούμενον. ὡς καὶ παρὰ τοῖς κυπρίοις ὁ κέραμος. ἀξιοῦσι δέ τινες ἀνάκτον γράφεσθαι. ὅπερ ἐστὶ τὸ διοσκούρειον. ἄνακες γὰρ οἱ διόσκουροι.

Ἀνάπλεως. ἐκ τοῦ πλέως, ὁ πεπληρωμένος. μετὰ τοῦ στερητικοῦ α, ἄπλεως ὁ ἐνδεής. καὶ μετὰ προσθήκης ἑτέρας στερήσεως, καὶ πλεονασμῷ τοῦ ν, ἀνάπλεως. ἥτις ἐν τοῖς τοιούτοις προστιθεμένη καὶ ἀναδιπλουμένη, κατάφασιν, ἀλλ' οὐ στέρησιν δηλοῖ.

Ἀναλέγεσθαι, ἀναγινώσκειν, ἢ ἀνοικοδομεῖν, ἢ ἀναπείθειν, καὶ ἀναλογεῖν τὴν ἀνάγνωσιν.

Ἀναλφάβητος, ἀπαίδευτος.

Ἄνανδρον, χήραν.

Ἀναπεφλασμένον, ἐντεταμένον ἔχοντα τὸ αἰδοῖον.

Ἀνάπηρος, ἐς μέσον παράγεται, εἶναι καὶ ὦτα. ἀνάπηρος σεσινωμένος καὶ ἠχρειωμένος. ἢ νοσώδης καὶ λυπηρός. καὶ ἀνάπηρος γέρων, ὁ ἐπιβλαβὴς καὶ μὴ ὑγιαίνων. παρὰ τὸ πήθω τὸ πονθάνω γίνεται πηρὸς ὁ ἐμπαθὴς, καὶ ἠχρειωμένος. μετὰ τοῦ στερητικοῦ α, ἄπηρος. καὶ μεθ' ἑτέρας στερήσεως, ἀάπηρος. καὶ πλεονασμῷ τοῦ ν, ἀνάπηρος, ὁ σεσινωμένος. αἱ δύο στερήσεις ποιοῦσι μίαν

Ἀνάρσιοι, ἄδικοι. ἐχθροί. ἔστιν ἄρω τὸ ⟨ ἐπίτασιν.
ἁρμόζω. ὁ μέλλων αἰολικῶς, ἄρσω. ἐξ οὗ ἄρσιος. καὶ ἀνάρσιος. κατὰ στέρησιν τοῦ α πλεονασμῷ τοῦ ν. ὁ ἀνάρμοστος καὶ ἀσύμφωνος. ὅρος. πόλεμος. ὑβριστής. καὶ ἄναρσις, νεῖκος. πόλεμος.

Ἀνάρρυσις, θυσία. ἀναρρύειν, θύειν. ἐπειδὴ θύοντες ἀνέκλων τοὺς τραχήλους τῶν θυομένων ἐπὶ τὰ ἄνω τρέποντες. οὕτω δὲ ἑορτὴ ἐκαλεῖτο παρὰ ἀθηναίοις. ὅμηρος. Αὐέρυσαν.

Ἀναρρηχθῆναι, ἀνακηρυχθῆναι. καὶ ἀνάρρησις.

Ἀναρρῶγας μεγάροιο. τὰς ἐν τῷ μεγάρῳ διόδους. οἱ δὲ τὰς ἀναβάσεις. ἀπὸ τοῦ διεστάναι. ὁ δὲ φίλων, ἀμφίβολον εἶναι φησί. πότερον οὐδέτερον ἐρρῶγας ὡς κῶας, ἵν' ᾖ τὸ ἀνάρρηγμα τοῦ τοίχου, ἢ τὰς ῥωγάδας τὰς ῥῶγας.

Ἀναρροιβδεῖ μέγα ὕδωρ, ⟨ βέλτιον δὲ τὸ πρότερον. ἀντὶ τοῦ ἀναρροφεῖ, πλεονασμῷ τοῦ ι, ἀναρροιφεῖ. καὶ ἐπενθέσει τοῦ β ἀναρροιβδεῖ. τραπέντος τοῦ δασέος φ, εἰς τὸ ψιλὸν β. οἷον, Τρὶς μὲν γάρ τ' ἀνίησιν ἐπ' ἤματι. τρὶς δ' ἀναρροιβδεῖ. ἡρωδιανὸς, ἀναπίνει. διογένης.

Ἀναρριχᾶσθαι, σημαίνει τὸ ἀναδίδοσθαι τὸ ὕδωρ. καὶ οἱονεὶ τρόπον ἀράχνης τοῖς ποσὶ καὶ χερσὶν ἀντιλαμβανόμενον, ἀνιέναι πρὸς τὸ προσάντες. ἀράχνιον, ἀραχνιᾶσθαι, καὶ ἀναρριχᾶσθαι, τουτέστιν. οὕτω γὰρ ἐθνικὸς ὁ ἀνήρ. οὐ κλίνεται δὲ ὁ παρατατικὸς ἠναρριχώμην, ἀλλ' ἀνηρριχώμην. εὑρίσκεται δὲ καὶ χωρὶς τῆς αν συλλαβῆς παρὰ ἱππώνακτι. ἀριχῶμαι. ἄλλως οὖν ἐσχημάτισται. ἄρριχος λέγεται ὁ κόφινος ἐν ᾧ κομίζουσι τοὺς βότρυς. ἐξ αὐτοῦ ἀρριχῶ, καὶ ἀναρριχῶ. ἀλλ' οὖν γε οὕτω κρεῖττόν ἐστιν ἀραχνιᾶσθαι, καὶ ἀναρριχᾶσθαι. οὕτως ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

Ἀναρριχώμενοι, ἀναλαμβανόμενοι πρὸς ὕψος. ἀντεχόμενοι ποσὶν ἢ χερσὶν ἐπὶ τοίχων ἢ δένδρων. ἀριστοφάνης εἰρήνη. Πρὸς τοὺς ἀναρριχᾶται εἰς οὐρανόν. ἀπὸ μεταφορᾶς τῶν ἀραχνῶν. οἵτινες τὰ οἰκεῖα νήματα κατέχοντες, ἀνωφέρονται.

Ἀνάστα, ἐπὶ παρακελεύσεως. γίνεται ἐκ τοῦ στῶ ὁ παρατατικὸς, ἔστων, ἔστας ἔστα. καὶ τὸ προστακτικὸν στά. καὶ ἀνάστα. αἱ γὰρ προθέσεις ἀναβιβάζουσι τοὺς τόνους. καὶ ἄλλως. πᾶν προστακτικὸν, εἰ μὴ εἴη μονοσύλλαβον ἐν τῇ συνθέσει προπαροξύνεται. ἔς, ἄφες. δός, ἀπόδος. σχές, πρόσχες. εἰ δὲ ὑπὲρ δύο συλλαβὰς, προπαροξύνεται. οἷον, βῆθι, ἀνάβηθι. στῆθι, ἀνάστηθι. τὸ δὲ ἄνες, γίνεται παρὰ τὸ ἵημι τὸ συγχωρῶ. ὁ μέλλων, ἥσω. ὁ δεύτερος ἀόριστος, ἦν. ἡ μετοχὴ, εἷς ἕντος. καὶ τὸ προστακτικὸν ἕς. καὶ μετὰ τῆς ἀνὰ προθέσεως, ἄνες.

Ἀνασχών. τὸ ῥῆμα, σχῶ. καὶ μετὰ τῆς ἀνὰ, ἀνασχῶ. ὁ μέλλων, ἀνασχήσω. ὁ ἀόριστος, ἀνέσχησα. ὁ δεύτερος ἀνέσχον. καὶ ἡ μετοχὴ, ἀνασχών. ἔστι δὲ πρώτης συζυγίας τῶν περισπωμένων.

Ἀνάσχεο. σχῆμι. ὁ μέλλων, σχήσω. ὁ παρακείμενος, ἔσχηκα. ὁ παθητικὸς, ἔσχεμαι. ὁ ἀόριστος, ἐσχέθην. ὁ μέσος, ἐσχέμην. τὸ δεύτερον ἔσχεσο. καὶ ἐκβολῇ τοῦ σ, ἔσχεο. καὶ ἔσχου. ὁ μέσος προστακτικὸς, σχέο καὶ ἀνάσχεο. μέσος ἀόριστος δεύτερος προστακτικὸς κατὰ διάλυσιν ἰωνικήν.

Ἀναστάς, ἐκ τοῦ ἵστημι, στήσω. ὁ δεύτερος ἀόριστος, ἔστην. ἡ μετοχὴ, ὁ στάς. καὶ ἀναστάς.

Ἀνασχέσθαι, ἀναδέξασθαι, ὑπομεῖναι.

Ἀναστήσειε. Τοὺς μὲν ἀναστήσειεν. ἀναστάτους καὶ φυγά-

Ἀνάστασις, ἄνω στάσις, ἤτοι ἔγερσις. ⟨ δας ποιήσειεν.

Ἀνασταδόν. Ἄλλοθεν ἄλλος ἀνασταδόν. ἄλλος δὲ ἄλλου μὲ-

Ἀνάγνωσις, ἡ ἄνωθεν γνῶσις. ⟨ ρους ἀναστάντες.
ὅσα ὀνόματα ἔχει τὸ ἀνὰ τὸ ἄνω δηλοῦσιν. οἷον, ἀνατολή. ἄνω ἐπιτολὴ τοῦ ἡλίου. ἀναγραφή, ἡ ἄνωθεν γραφή, καὶ τὰ ὅμοια.

Ἀνάδοσις, ἀνάπαυσις. ἀνάλυμα. ἀναψυχή.

Ἀνάστατος, ὁ καταλιπὼν τὴν οὐσίαν, καὶ ἐπὶ τῆς ἀλλοδαπῆς ζῆν αἱρούμενος. καὶ ἀνάστατον τὴν πόλιν ποιήσας. ἀντὶ τοῦ διοικήσας, ἢ μεταστήσας. ἢ μεταγαγών.

Ἀνασηκοῦν, τὸ προστιθέναι τὸ ἐλλιπές.

Ἀνάσιλλον, τρίχωμα. τὸ ἀπὸ μετώπου ἐπὶ τὴν κορυ-

Ἀνασκολύψας, γυμνώσας. ⟨ φὴν ἀνεστραμμένον.

Ἀναφλᾶν, χειροτριβεῖν τὸ αἰδοῖον. οἱ δὲ, στυλῶσαι.

Ἀνάφορον, ξύλον ὃ τοῖς ὤμοις ἐπιτιθέντες, ἐξ αὐτοῦ τὰ φορτία δεσμοῦσιν.

Ἀνάσσω, ἀνάξω. ὁ παρακείμενος, ἤναχα. ὁ μέσος, ἤναγα. καὶ κατὰ ὑποβιβασμὸν, ἄνηγα. καὶ οἱ δωριεῖς τὸν μὲν παρακείμενον μετάγουσιν εἰς ἐνεστῶτα. ἀνήγω ἀνώγω. ἀπὸ τοῦ ἄνω τοῦ σημαίνοντος τὸ ἀνύω, ἀνάσσω. ὡς πατῶ, πατάσσω. σαλῶ, σαλάσσω. καὶ παραλήγουσαν ἐπιδέχεται τὰ δύο σσ, τὸ α. ε. η. ι. υ. ω. χωρὶς τοῦ ο τοῦ μικροῦ. ὁ μέλλων ἀνάξω. πόθεν ἔχει τὸ ξ. ἡ δὲ τετάρτη διαφέρεται. ἔδει ἔχειν τὸ σ, καὶ μὴ τὸ ξ. Ἰστέον ὅτι τὰ εἰς ζω λήγοντα ῥήματα, εἰ μὲν ὦσι δισύλλαβα, πῆ μὲν διὰ τοῦ ξ ἐκφέρονται. οἷον, κράζω, κράξω. πῆ δὲ διὰ τοῦ σ. οἷον, κτίζω, κτίσω. εἰ δὲ ὦσιν ὑπὲρ δύο συλλαβὰς. ἀεὶ διὰ τοῦ σ. πλὴν τοῦ οἰμώζω, οἰμώξω. ὀλολύζω, ὀλολύξω. θρυλίζω, θρυλίξω. στηρίζω, στηρίξω. ἀλαπάζω, ἀλαπάξω. τὸ δὲ βαστάξω, καὶ νυστάξω, καὶ τὰ ὅμοια δωρικά ἐστι κατὰ τροπὴν τοῦ σ εἰς ξ. τοῦ δὲ στενάζω ὁ ἐνεστὼς διαφέρεται. εὕρηται καὶ στενάχω. ἀφ' οὗ καὶ στόναχος, καὶ στοναχή. καὶ πλὴν τοῦ αἰάζω, αἰάξω. ζητεῖ εἰς τὸ διῆρσα. καὶ εἰς τὸ δρῶ. εἰ δὲ διὰ σσ ἐκφέρεται ὁ ἐνεστὼς, ἀεὶ ὁ μέλλων διὰ τοῦ ξ. πλὴν τοῦ πλάσσω πλάσω τὸ ἐργάζομαι. ἱμάσσω, ἱμάσω. τὸ τύπτω. ἰνάσσω, ἰνάσω. τὸ δύναμιν παρέχω. ἐρέσσω, τὸ κωπηλατῶ. πάσσω τὸ ποικίλλω. λάσσω τὸ βλέπω.

Ἄνασσα, ἡ βασίλισσα. οὐκ ἀπὸ τοῦ ἄναξ γέγονε. τὰ γὰρ ἀπὸ τῶν εἰς ξ εἰς σσα παραγόμενα, ἐθνικά ἐστι. φοῖνιξ, φοίνισσα. κίλιξ, κίλισσα. τοῦτο δὲ μὴ ὂν ἐθνικὸν ὁμοίως οὐ λέγεται. ἔστιν οὖν ἀπὸ τοῦ ἀνάσσω. ὡς ἑλίσσω ἕλισσα, καὶ ἀμφιέλισσα, καὶ νύσσω, νύσσα.

Ἀνασφῆλαι, ἀναρρωσθῆναι. σφῆλον γὰρ τὸ ἰσχυρόν. στησίχορος ἐρίσφηλον ἔφη τὸν ἡρακλέα. ἴσον τῷ ἐρισθενεῖ.

Ἀνασκολοπισθῆναι. ἀνασταυρωθῆναι. σκόλοπες γὰρ ξύλα ὀξέα. παρὰ τὸ σκέλλω τὸ ξηραίνω, σκέλλοψ. καὶ σκόλλοψ λέγεται. καὶ ἀνασκινδυλευθῆναι.

Ἄνατε, ἢ ἀπὸ τοῦ ἀνάστητε κατὰ συγκοπήν. ἢ ὥσπερ ἀπὸ τοῦ ἄγε, γίνεται ἄγετε. οὕτω ἄνα, ἄνατε.

Ἄνατον, ἀβλαβῆ. καὶ ἀνατεὶ, ἐπίρρημα.

Ἄναυρος, ὁ ἐξ ὑετῶν συνιστάμενος ποταμός. παρὰ τὸ μὴ ἔχειν αὔρας. οἱ χείμαρροι. καὶ διώρυχες. καὶ ὀχετοί. διογένης.

Ἀναφαίρετον πλοῦτον. πολύν. ἐν οὐ δύναταί τις ἀφαιρῆσαι. ἀπὸ τοῦ ἀφαιρῶ ἀναφαίρετον πλεονασμῷ τοῦ ν.

Ἀνάχαρσις, ὁ σκύθης. παρὰ τὴν ἀνὰ πρόθεσιν. καὶ τὴν χάρσιν, ὃ σημαίνει τὴν χαρὰν. ἢ τὴν χάριν. ἔστι καὶ ἰχθὺς ποιός.

Ἀναχασσάμενος, ἀναχωρήσας. ἀπὸ τοῦ ἀναχάζω.

Ἀναχαιτισθῆναι, σημαίνει τὸ ἀπωσθῆναι. κυρίως δὲ ἐπὶ τῶν ἵππων.

Ἀναίδεια, ὤμοι ἀναιδείην ἐπιειμένε. σημαίνει τὴν ἀναίδειαν ἐνδεδυμένε. ὁ γὰρ φιλόχρυσος ἀναιδής. ἀπὸ τοῦ ἀναιδής. τοῦτο παρὰ τὸ αἰδῶ, αἰδής. ἀ-αιδής, καὶ ἀναιδής.

Ἀναίδητος, ὁ ἀναίσχυντος. βί-αιος σκληρός. ὀξύς.

Ἀναισχυντῶ, οὐκ ἔχει τὴν ἀνὰ πρόθεσιν, ἀλλὰ τὸ α στερητικόν. ὡς ἐπὶ τοῦ ἀναίτιος, ἀνήκοος. ὥστε οὐ καλό-γως ἡ ἔξωθεν κλίσις.

Ἀναίνομαι. ὁ δ' ἀναίνετο. ἀπαρνεῖται. ὡς παρὰ τὸ λίπω λιπαίνω. καὶ ὁρμῶ ὁρμαίνω, καὶ ὑφῶ, ὑφαίνω, οὕτω καὶ παρὰ τὸ ἀρνῶ, ἐξ οὗ τὸ ἀρνοῦμαι, γίνεται ἀρναίνω. καὶ ἐνδείᾳ τοῦ ρ ἀναίνω, ἀναίνομαι. ὡς σκηπτοῦχος σκηπτοῖχος. οὐκ ἐπαινῶ. οὐ συγκατατίθεμαι. ἢ παρὰ τὸ ναὶ ἐπίρρημα ναίνω, καὶ ἀναίνω. ἢ παρὰ τὸ αἰνῶ αἰναίνω τὸ οὐκ ἐπαινῶ, οὐδὲ συγκατατίθεμαι, πλεονασμῷ τοῦ ν. μεθόδιος.

Ἂν δὲ νάκην. ἐνταῦθα τὸ ἂν, ἀντὶ ἀνὰ κατὰ συνέμπτωσιν. αἰτιατικῇ δὲ πτώσει συντάσσεται. σημείωσαι δὲ καὶ ῥῆμα προσ-τακτικόν. ἐμφάσει τῶν ἄλλων προθέσεων. οὐδαμῶς νάκην. ὄνομα προσηγορικόν. τινὲς δὲ λέγουσιν αὐτὸ θη-λυκόν. συνέμπτωσιν δὲ πέπονθε κατὰ τὴν αἰτιατι-κήν. ἀμφότερα δὲ παρώνυμα. τὸ γὰρ θηλυκὸν νάκος νάκη, ὡς βλάβος βλάβη. τὸ δὲ ἀρσενικόν, παρὰ τὸ νά-κης νάκου νάκην. οὕτως ἡρωδιανὸς ἐν ἐπιμερισμοῖς.

Ἀνδάνια, πόλις τῆς μεσσήνης, ἡ πρότερον οἰχαλία κα-λουμένη. παρὰ τὸ ἁδεῖν, ὅ ἐστιν ἀρέσκειν. κατὰ ἀν-τίφρασιν, ὅτι οὐδὲν ἤρεσεν.

Ἄνδηρα τὰ χείλη τοῦ ποταμοῦ. ἤγουν τὰ χώματα, τὰ ἀνέχοντα τὸν ποταμόν. παρὰ τὸ ἄνω εἶναι τῶν δερῶν, τουτέστι τῶν διύγρων.

Ἀνδριάς. ζητεῖται, εἰ πάντα τὰ εἰς ας μακροκατα-ληκτοῦντα, ἢ βαρύνονται, ἢ περισπῶνται. τὸ δὲ ἀνδριὰς καὶ ἱμὰς σεσημείωνται. ποῖον ἄρα ἀνάλογον ὤφειλεν ἔχειν τὸν τόνον περισπώμενον, ἢ βαρύτονον. καὶ λέγου-σιν, ὅτι βαρύνεται. ἐπειδὴ πάντα τὰ εἰς ας ἀπὸ τῶν εἰς ος ἀπ' εὐθείας, ἢ ἀπὸ γενικῆς βαρύνεται. βέλος βελίας. δράκων δράκοντος δρακοντίας. οὕτως ἄρα ἀνδρὸς ἀνδριάς. καὶ πάντα τὰ εἰς μας μὴ ὄντα ὑπο-κοριστικά, βαρύνεται. ἀκάμας. οὕτω καὶ ἱμάς. μὴ ὄντα ὑποκοριστικά, διὰ τὸ θωμᾶς ἢ κοσμᾶς, ἀπὸ τοῦ θαυ-μάσιος καὶ κόσμιος. ἀνδριάντα δὲ λέγει τὸν χαλκοῦν ἢ τὸν λίθινον. ἢ καὶ τὴν γραφήν. καὶ ἀνδρολήψια ἐγ-κλήματος εἶδος. ἐὰν ἔξω τῆς ἀττικῆς ἀνὴρ ἀθηναῖος τελευτήσῃ, καὶ μὴ ἐκδιδῶσιν οἱ ἐν ἐκείνῃ τῇ πόλει ὄντες τὸν δρῶντα ἐν τῇ αἰτίᾳ εἶναι, ἐφεῖται ἐκ τοῦ νόμου τρεῖς τῶν ἐκείνου πολιτῶν ἄγειν ἕως ἂν δίκην ὑφέξωνται τοῦ φόνου. καὶ τοῦτο ἀνδρολήψιον καλεῖται.

Ἀναισιμώματα, ἀναλώματα. καὶ ἀναισιμῶσαι, τὸ ἀ-ναλῶσαι.

Ἀναισθητῶ, ἀναισθητίζομαι.

Ἀναίη, τεφρός. πιθήκη.

Ἀνδραποδιστής, οὐ μόνον ὁ τοὺς ἐλευθέρους ἀπάγων εἰς δουλείαν, ἀλλὰ καὶ ὁ τοὺς δούλους ἀπὸ τῶν δεσποτῶν ἀποσπῶν εἰς ἑαυτόν.

Ἀνδίκτης, εἶδος παγίδος.

Ἀνδίκτην τε μάλα εἰδότα μακρὸν ἀλέσθαι. παρὰ τὸ δίκειν τὸ βάλλειν. καὶ ἄνδικε ἀνάρριψον.

Ἀνδρειφόντης, ὁ φονεύων τοὺς ἄνδρας. ἀπὸ τῆς ἀνδρὶ δοτικῆς, καὶ τοῦ φένω τὸ φονεύω. ἀλλ' ἐγράφη ἂν διὰ τοῦ ι. ἀλλὰ γράφεται τὸ δρει διφθόγγου καὶ ἔστι παρὰ τὴν ἀνδρὸς γενικήν.

Ἀνδρακάς, ἐπίρρημα. σημαίνει δὲ κατὰ ἄνδρα. παρὰ τὴν ἀνδρὸς γενικὴν παράγωγον. ἢ παρὰ τὸ ἄνδρα καὶ τὸ κάσω συντίθεται. ὁ κατ' ἄνδρας κοσμίως τεταγμένος. κάσω, κάς. ὡς δάξω δάξ, ἢ ὁ δάξ. ἄν-δρας καὶ ἕκαστος. συγκοπῇ ἑκὰς καὶ ἀνδροεκάς. καὶ συγκοπῇ ἀνδροκάς. καὶ τροπῇ ἀνδρακάς. ὡς παρὰ τὸ λέων πάν-ταλέων καὶ πάντολέων. κυνάμυια κυνόμυια. σημαίνει δὲ ἑκάστῳ, ἢ ἐν μέρους.

Ἀνδράποδον, ὁ φυγὰς δοῦλος. παρὰ τὸ ἀποδίδοσθαι, ἢ παρὰ τὴν πέδην. τοῖς γὰρ αἰχμα-λώτοις καὶ αἰσχίστοις διὰ τὸ δραπετεύειν πέδας περιε-βάλλοντο.

Ἀνδράγρια, τὰ σκῦλα. ἤτοι ὅτι ἀπὸ ἀνδρῶν ἀγρεῖται. ἢ ὅτι ἀντὶ ἀνδρῶν. ὅταν γὰρ μὴ δυνη-θῶσιν ἀναγαγεῖν αὐτοὺς αἰχμαλώτους, τότε τὰ ὅπλα αὐτῶν σκυλεύουσιν. οὕτως ὧρος. προπαροξύνεται δέ, ὡς τὸ ζωάγρια, μοιχάγρια. νίκανδρος δὲ τὰ κατ' ἄνδρα λάφυρα. πολεμαῖος δὲ σκῦλα εἰρημένα πα-ρὰ ἀνδρῶν.

Ἀνδράχλος, πόα ἐν τοῖς κήποις γι-νομένη. παρὰ τὸ ἀνδρὶ ἴκελος εἶναι ἀνδραείκελλος ἢ ἄνδραχλος κατὰ συγκοπὴν καὶ τροπήν.

Ἀνδρόγεως, ἡ γενική, ἀνδρόγεω. καὶ πλεονασμῷ τοῦ ο καὶ ς ἀνδρογέωος.

Ἀνδραχθέσι, τοῖς ἢ ἀνδρὶ δυνα-μένοις βαρύναι διὰ μέγεθος.

Ἀνδρόμεος, καὶ ἀνδρόμεα. κρέα ἀνθρώπου οὐδετέ-ρως. ἀπὸ τοῦ ἀνδρὸς ἄνδρομος. ὡς δῖος, δίομος κυρίως ὁ πατὴρ ἡρακλέους. καὶ ἐν ἑτέροις παράγωγον κτητι-κὸν ἀνδρόμεος. ὡς κέρτομος κερτόμεος. Ὁ δ' ἵετο δῦ-ναι ὅμιλον ἀνδρόμεον. ἢ ψωμοί τ' ἀνδρόμεοι.

Ἀνδρόκμητος, στήλη κεκλιμένος. Ἀνδροκμήτῳ ἐπὶ τύμ-βῳ. ἀπὸ τοῦ κάμνειν, ὅ ἐστιν ἀποθανεῖν. ἐφ' ᾧ ἀνὴρ κε-κμηκὼς καὶ τελευτήσας κεῖται. καμόντας γὰρ τοὺς τετελευτηκότας ἔλεγον. οἷον, Βροτῶν εἴδωλα κα-μόντων. ἢ ὃν ἄνδρες μετὰ καμάτου ἐποίησαν. ἀνδρο-ποίητον. ἢ ἐπὶ ἀνδρὶ κεκμηκότι γεγονότα.

Ἀνδροκτασίας, ἀνδρῶν ἀναιρέσεις. παρὰ τὸ κτῆμι κτή-σω, ἔκταμαι, ἔκτασαι, κτάσις, καὶ ἀνδροκτασία.

Ἀνδροτής. λιποῦσ' ἀνδροτῆτα, καὶ ἥβην. τὴν ἀνδρείαν σημαίνει ἢ τὴν ἰσχύν. τὰ εἰς της θηλυκὰ ἅπαντα βαρύνονται. πλὴν τοῦ ταχυτής, βραδυτής, ἀνδροτής, δηϊοτής.

Ἀνέδυ, ἀνῆλθεν, ἀνέβη. ἔστι δύω, παράγωγον δῦμι ὁ δεύτερος ἀόριστος, ἔδυν. τὸ τρίτον ἔδυ, καὶ κατέδυ. καὶ ἀνέδυ. καὶ ἀναδύς. καὶ ἐκδύς.

Ἀνέδεκτο, ἐκ τοῦ δέω δέσω ὁ παθητικὸς ὑπερσυντέ-λικος ἐδεδέμην ἐδέδεκτο. κατὰ συγκοπὴν τῆς δὲ συλ-λαβῆς ἀνέδεκτο.

Ἀνέδην, σημαίνει τὸ ἀναστάτους εἶναι. παρὰ τὸ ἕδος ἕδην καὶ ἀνέδην, τὸ ἄνευ ἕδους. αἰσχύλος, φεύγειν ἀνέδην. ἢ ἀπὸ τοῦ ἕω τὸ ἀφίημι ἕδην ἢ ἀνέδην, τὸ μὴ ἐφεκτικῶς τι πράττειν. ὡς κλέπτω κλέβδην. με-θόδιος. σημαίνει καὶ τὸ ἐκλελυμένως. εἰς τὸ ὑποβλήδην.

Ἀνέεργεν, ἐκώλυεν. ἀπὸ τοῦ ἔργω εἶργε διαλύσει τῆς εἰ διφθόγγου.

Ἀνεκτά, ἀνασχετά. ὑπομονῆς ἄξια. ὑπο-μονητά. ἐκ τοῦ ἀνέχω ἀνέξω. ἀνέσχα. ἀνέγμαι, ἀνέ-κται, ἀνεκτός κατὰ ἀφαίρεσιν τοῦ ι, ἢ ἀνεκτά. ἀντὶ τοῦ ἀνεκτὴ χρειὼ τὸ ἵκανεν.

Ἀνεκήκιεν, ἀνεφέρετο, ἀνῄει. ἀνεδίδοτο. ἐκ τοῦ κίω τὸ πο-ρεύομαι, ἔκιον, ἔκιες, ἔκιε. πλεονασμῷ τοῦ κ καὶ ἐκτά-σει, κήκιε. καὶ ἀνεκήκιε. κηκίω. ἢ διπλασιασμῷ, κικί-ω. ἢ τροπῇ ἰωνικῇ τοῦ ι εἰς η. ὡς ψιμύθιον, ψημύθι-ον. ἐκήκιε, ἢ ἀνεκήκιεν.

Ἀνέγναμψαν. Αὐτὰρ ἐμοὶ δεσμὸν ἀνέγναμψαν. ἀνέ-λυσαν. ὅταν γὰρ δεσμῶσι τὰ σχοινία κάμπτεται ταῖς συναφαῖς. ἀνακάμπτονται δὲ καὶ ἀνορθοῦνται, ὅταν ἀναλύωνται. γνάμψαι γὰρ τὸ κλάσαι. καὶ γναμπτοῖς ἀγκίστροις, τοῖς ἐπικεκλασμένοις. ὧρος.

Ἀνεπής, ἄφωνος.

Ἀνεμώτας, παρὰ ταραντίνοις ὄνομα ὁ ἀνέμοις θυόμενος.

Ἀνεπικόριστος, ἀνύβριστος.

Ἀνεπίκοπος, μὴ μετὰ θυμοῦ.

Ἄνεμος, παρὰ τὸ ἄω τὸ πνέω ἄεμος, καὶ πλεονασμῷ τοῦ ν, ἄνεμος. ἢ ἀμενός τις ὤν, ὁ μὴ ἐν τῷ αὐτῷ μένων μὴ δὲ ἠρεμῶν κατὰ μετάθεσιν τῶν στοιχείων. ἢ παρὰ τὸ νέμω τὸ μερίζω, νέμος, καὶ ἄνεμος. τὰ διὰ τοῦ εμος βαρύτονα ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ, ἅπαντα διὰ τοῦ ε ψιλοῦ γράφεται. οἷον, πόλεμος. ἤρεμος. διατί εἶπεν ἁπλᾶ; ἐπειδὴ τὰ παρὰ τὸ αἷμα συγκεί-μενα διὰ τῆς αι διφθόγγου γράφεται. πολύαιμος. σύναιμος. ἄναιμος. ὁ μὴ ἔχων αἷμα. ἢ τὰ εἰς μος ὑ-πὲρ δύο συλλαβὰς τῷ ε παραληγόμενα προπαροξύ-νονται. οἷον, ἔχεμος. τήλεμος. ἄνεμος. τὸ μέντοι θε-λεμός ὀξύνεται ἀπὸ τοῦ θελημός, τροπῇ τοῦ η εἰς ε.

Ἀνεμοτρεφὲς κῦμα. ἰλιάδος ο. τὸ ὑπὸ ἀνέμου ηὐξημέ-νον ὑψηλόν. ὅτι δὲ τὸ ἀγαμέμνονος δόρυ ἀνεμοτρε-φὲς φησίν, ὡς ἐν τῷ λ, ἀντὶ τοῦ ὑπὸ ἀνέμου γεγυμνασμέ-νον. ἰσχυρόν. τὰ γὰρ ὑπαίθρια, ἢ κατασκιαζόμενα τῶν δένδρων, εὐγενῆ μὲν καὶ λεῖον τὸν ὄρπηκα ποιεῖ. ἀσθενῆ δὲ καὶ μαλακὸν καὶ ἀγύμναστον ἀναδίδωσιν. οἷς δὲ προσπίπτει τραχὺς ἀὴρ καὶ ἀνεμώδης, ταῦτα ταῖς τῶν πνευμάτων τριβόμενα πληγαῖς, εὔτονον ἢ δύσθραυστον ἔχει τὴν στερρότητα. ὡς φησι πλούταρ-χος ἐν μελέτῃ ὁμήρου.

Ἀνεμούριον, καὶ ἀνεμοδούριον. παρὰ τὸ ἄνεμος. καὶ τὸ οὖρος ὃ σημαίνει τὸν ἐπιτήδειον ἄνεμον.

Ἀνεμώνη, τὸ ἄνθος. διὰ τὸ τὸ φύλλον εὐδιάσειστον εἶ-ναι πάντῃ ἀνέμῳ. καὶ οἷον ἀνεμιαῖα τινὰ εἶναι.

Ἀνεμώλιος, ὁ μάταιος. παρὰ τὴν ἀνέμου γενικήν, ἀνε-μώνιος, καὶ ἀνεμώλιος. οὐκ ἔστι σύνθετον. τὰ ὑπὸ ἀνέμων ὀλλύμενα. Σὺ δὲ ταῦτ' ἀνεμώλια βάζεις. ἀν-τὶ τοῦ ἀνεμοφόρητα. ἀνέμοις ἐοικότα.

Ἀνενδοίαστα, ἐκ τοῦ ἐνδοιάζω τὸ ἀμφιβάλλω, καὶ δο-κῶ. ὡς τό, Δοάσσατο κέρδιον εἶναι. ἀντὶ τοῦ ἔδοξε. ἐκ τοῦ δοάσσω δωρικῇ τροπῇ τῶν δύο σσ εἰς ζ, δοάζω. ὡς νίσσω, νίζω. ἢ πλεονασμῷ τοῦ ι, δοιάζω καὶ ἐνδοιάζω. καὶ ἀνενδοιάστως τὸ ἀδιστάκτως, ἢ ἀναμφιβόλως, διὰ τῆς οι διφθόγγου, πρὸς ἀντιδιαστολὴν τοῦ συνδυάζω τοῦ σημαίνοντος τὸ συναυλίζομαι. Οὐ μὴ συνδυάσω με-τὰ τῶν ἐκλεκτῶν αὐτοῦ. ἀντὶ τοῦ οὐ μὴ συναυλισθῶ.

Ἀνέπαφα, τὰ ἀνεπίληπτα. ὧν οὐκ ἄν τις ἅψαιτο.

Ἀνεξικακία, παρὰ τὸ ἀνέχεσθαι τῆς κακίας. ἢ διὰ τὸ μὴ ἔχεσθαι κακίας.

Ἀνεπαφρόδιτος, ὁ μὴ ἐπιχαρὴς καὶ ἀηδής. ὡς ἐπαφρό-διτος ὁ ἐπιχαρὴς καὶ ἡδύς. ἀπὸ τῆς ἀφροδίτης. Κά-μοὶ τὰ ψυχρὰ ταῦτα καὶ ἀνεπαφρόδιτα προσμάττε-ται φιλήματα.

Ἀνέπαλτο, πάλλω τὸ πηδῶ, πάλλομαι, ἐπαλλόμην ἐπάλλου, ἐπάλλετο. καὶ κατὰ συγκοπήν, ἔπαλτο καὶ ἀνέπαλτο. ἀνεχαιτίσθη. ἀνήλατο.

Ἀνέστιος, ἑστίαν μὴ ἔχων. ἄοικος.

Ἀνέσταν, Θεοὶ δ' ἅμα πάντες ἀνέσταν. ἵστημι. ὁ δεύτε-ρος ἀόριστος ἔστην, ἔστης, ἔστη. ἔστημεν. ἔστησαν. καὶ κατὰ συγκοπὴν αἰολικὴν ἔσταν, καὶ ἀνέσταν.

Ἀνεσόβεον, σοβῶ τὸ ῥέχω. ἔνιοι δὲ τὸ διώκειν. τὸ μέντοι ἀνεσόβουν, ἀντὶ τοῦ ἀνέρρεχον πρὸς τυραννίδα. ἢ κατὰ ἀπόστασιν. γίνεται δὲ ἐκ τοῦ σεβῶ. συντάσσε-ται μετὰ αἰτιατικῆς.

Ἄνεται. Ἤδη νὺξ ἄνεται. τελειοῦται. ἐκ τοῦ ἄνω τοῦ σημαί-νοντος τὸ πράττω ἢ τελειῶ. διογενία προσέρχεται.

Ἀνέτειλε. Τοῖσιν δ' ἀμβροσίην σιμόεις ἀνέτειλε. ἀνέ-σχεν. ἀνέδωκεν. ἀνέφυεν.

Ἀνεσπάκασιν. εὑρήκασιν. εἰλήφασιν.

Ἄνετος, παρὰ τὸ ἵημι καὶ ἀφίημι, ἑτὸς καὶ ἄνετος καὶ ἄφε-τος.

Ἀνεψιός, παρὰ τὸ ἀνῆφθαι. ὁ ἄνωθεν συνημ-μένος εἰς συγγένειαν. καὶ ἀνεψιότης. ἡ μέχρι ἀνεψια-δῶν συγγένεια.

Ἄνευ, ἐπίρρημα χωρισμοῦ σημαντικόν. συντάσσε-ται ἀεὶ γενικῇ. Αἴκεν ἄνευ ἐμέθεν. ἐπεκτείνεται καὶ εἰς θεν. οὐδὲν ἔχομεν ὅμοιον αὐτῷ ἐπίρρημα εἰς θεν λῆγον. αἱ μὲν εἰς ευ λέξεις βαρυνόμεναι, ἁπλωτι-καί εἰσι. περισπώμεναι δέ, πτωτικαί. ἀχιλλεῦ, πηλεῦ. εἰς τὸ ἀπάνευθεν.

Ἀνεωγμένος. παρὰ τὸ οἴγω, οἴξω, ᾦχα, ᾦγμαι. ἢ ἐν συν-θέσει ἀνέῳγμαι. καὶ πλεονασμῷ τοῦ ε, ἀνέωγμαι. ἢ ἀνοίγω. καὶ ὁ παρατατικὸς ἄνωγον. πλεονασμῷ ἀνέω-

γον. ὁ παρακείμενος ἀνέῳχα, ἀνέῳγμαι, καὶ ἀνεῴγμην.
Ἰστέον ὅτι πᾶς παρῳχημένος ἀπὸ φωνήεντος ἀρχόμενος, ἢ ἀπὸ φύσει μακρᾶς, τὸν τόνον φυλάττει καὶ ἐν τῇ συνθέσει. οἷον εἶπον, προεῖπον. ὤσμαι, ἀπῶσμαι. εἶχον, συνεῖχον. πρόσκειται παρῳχημένος, διὰ τὸ ἧμαι, κάθημαι. κεῖμαι, διάκειμαι. καὶ κατάκειμαι.

Ἀνέῳγε, μέσος παρακείμενος. συζυγίας δευτέρας τῶν βαρυτόνων. ἀνοίγω ἤνοιγον. ἐπεισόδῳ τοῦ ε, ἠνέῳγον. συστολῇ τοῦ η εἰς α, ἀνέῳγον. τὸ τρίτον, ἀνέῳγε. καὶ ἀνοίγω ἤνοιγα. προθέσει τοῦ ε, καὶ συναιρέσει τοῦ η, ἀνέῳγα. Ἰστέον δὲ ὅτι τὸ ῥῆμα τοῦτο ὅτε μὲν ἐνεργητικόν ἐστιν, αἰτιατικῇ συντάσσεται. ὅτε δὲ παθητικόν, εὐθείᾳ. Τὸν δ' οὔ τε θεὸς ἄλλος ἀνῷγεν. ἠνέῳκται ἡ θύρα.

Ἄνεως, ὁ ἄφωνος. ἡ εὐθεῖα τῶν πληθυντικῶν, οἱ ἄνεῳ. Τίπτ' ἄνεῳ ἐστήκατε. ἔστιν ἴα, ὃ σημαίνει τὴν φωνήν, παρὰ τὸ ἵεμαι τὸ προΐεσθαι. ἢ παρὰ τὸ ἐκπεμπομένην φωνήν. πλεονασμῷ τοῦ ο, ἰοή. διὰ τὸ ἐπιπᾶσαν ἀνθηνίεμαι. ἐξ αὐτοῦ γίνεται ἴος. καὶ μετὰ τοῦ στερητικοῦ, ἄϊος. καὶ ἄνιος πλεονασμῷ τοῦ ν. ὁ ἄφωνος. ὡς αἷμα, ἄναιμον. μεταθέσει τοῦ ι εἰς ε, ἄνεος. καὶ Ἀττικῶς διὰ τοῦ ω, ἄνεως. τὰ δὲ εἰς α θηλυκὰ εἰς ος μεταπίπτοντα κατὰ τὴν σύνθεσιν προπαροξύνονται. οἷον σκιά, ἄσκιος. ὥρα, ἄωρος. πτέρα, ἄπτερος. οὕτω καὶ ἴα, ἄνιος. ἢ παρὰ τὸ αὔω τὸ φωνῶ, ῥηματικὸν ὄνομα ἄναυος. ὁ ἄφωνος. ὡς αὐδῶ, ἄναυδος. καὶ ἀποβολῇ τοῦ υ ἄναος. προπαροξύνεται δέ. κανὼν γάρ ἐστιν ὁ λέγων. ὅτε ἀπὸ ῥήματος ἀποτελεῖται ὄνομα σύνθετον εἰς ος λῆγον, φυλάττει τὴν ἀπὸ τέλους τρίτην ὀξεῖαν ἔχει. οἷον μυκῶ, ἐρίμυκος. συλῶ, ἄσυλος. φυτῶ, νεόφυτος. οὕτως οὖν αὔω, ἄναυος, καὶ ἄναος. μακρὸν τὸ α. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι περισπώμενοι ἐπὶ τῆς ἐκ τοῦ α συνεστώσῃ διφθόγγῳ. μετὰ τὴν ἀποβολὴν τοῦ ὑποτακτικοῦ φωνήεντος ἐκτείνουσι τὸ α. οὐχ ἑτέρου λόγου ἐπικρατοῦντος. οἷον κλαίω, κλάω. οὐραῖον, οὐράδιον. οὕτως οὖν αὔω, ἄναυος, καὶ ἄναος. καὶ Ἀττικῶς, ἄνεως. ὡς ναός, νεώς. λαός, λεώς.

Ἀνείμων. παρὰ τὸ εἷμα τὸ ἱμάτιον. ἐν συνθέσει ἀνείμων. τὰ γὰρ ἀπὸ τῶν εἰς α ληγόντων οὐδετέρων, τέσσαρας συνθέσεις ἀναδέχεται. ἢ γὰρ φυλάσσει τὸ αὐτὸ τέλος, καὶ τὸ αὐτὸ γένος, οἷον δῆμα, διάδημα. γράμμα, σύγγραμμα. τάγμα, σύνταγμα. ἢ καὶ ἀπὸ γενικῆς γίνεται ἡ σύνθεσις φυλάττουσα τὴν εἰς ος κατάληξιν. οἷον γράμματος, ἀγράμματος. ἢ μετὰ τοῦ α εἰς ος κατάληξιν. οἷον σῶμα, εὔσωμος. ἢ μετὰ τοῦ α εἰς ων κατάληξιν. οἷον αἷμα, ἀναίμων. εἷμα, ἀνείμων. τὸ δὲ ἐρυσάρματες ἀπὸ γενικῆς. ὡς γράμματος, πολυγράμματος. ἅρματος, ἐρυσάρματος. τὸ πληθυντικόν, ἐρυσάρματοι. ἐρυσάρματες μεταπλασμός.

Ἀνειμένη. Τῇ αὐτοῖς ἀνειμένῃ πραγματείᾳ. ἀναπεπταμένη, ἢ ἐξηπλωμένη. ἀπὸ τοῦ ἕω γίνεται παράγωγον, εἵημι. τὸ παθητικόν, ἕεμαι. καὶ κράσει, εἷμαι. ἡ μετοχή, εἱμένος, καὶ ἀνειμένος. ἢ ἀπὸ τοῦ ἕω τὸ πέμπω. ὁ παρακείμενος, εἷκα. ὁ παθητικός, εἷμαι. ἡ μετοχή, ὁ εἱμένος. καὶ ἀνειμένος. δηλοῖ, καὶ ἀνειμένων πόλοιο, ἀντὶ τοῦ ἀνεῳγμένων.

Ἀνεῖσθαι, λελύσθαι. ἕω τὸ πέμπω. τούτου περισπώμενον ἑῶ. καὶ γίνεται ἐξ αὐτοῦ ῥῆμα εἰς μι, ἕημι. ὁ παθητικὸς ἐνεστώς, ἕεμαι. καὶ κράσει τῶν δύο εε εἰς ει δίφθογγον, εἷμαι. τὸ γ΄, εἷται. καὶ τὸ ἀπαρέμφατον, εἷσθαι. καὶ μετὰ τοῦ στερητικοῦ α πλεονασμῷ τοῦ ν, ἀνεῖσθαι. συντάσσεται πτώσει αἰτιατικῇ καὶ δοτικῇ. ἢ ἀπὸ τοῦ ἵημι. ὁ παθητικὸς παρακείμενος, εἷμαι.

Ἀνήνοθεν, ἀντὶ τοῦ ἀνεφέρετο. μέσος παρακείμενος. ὡς δηλοῖ τὸ θ. ὁ γὰρ ἐνεργητικὸς παρακείμενος, οὐδέποτε διὰ τοῦ θ ἐκφέρεται. ἔστιν οὖν, θέω. καὶ ἐν συνθέσει, ἀναθέω, καὶ ἀνθέω. καὶ ὑπερβιβασμῷ τοῦ ε, ἀνέθω. τούτου ὁ μέσος παρακείμενος, ἤνοθα. συνήθως γὰρ τρέποντος τοῦ ε εἰς ο. καὶ Ἀττικῷ ἀναδιπλασιασμῷ, ἀνήνοθα. ἢ οὕτως. ἕω τὸ πέμπω. ἔθω. ὡς φλέγω, φλεγέθω. καὶ τροπῇ τῶν δύο εε εἰς η, ἤθω. καὶ συνθέσει, ἀνήθω. ὁ μέσος παρακείμενος, ἄνηθα. καὶ ὁ Ἀττικός, ἀνήνηθα. καὶ ἐπειδὴ ὁ Ἀττικὸς παρακείμενος τὴν τρίτην ἀπ' ἀρχῆς συλλαβὴν βραχεῖαν θέλει ἔχειν, συστολῇ γίνεται τοῦ η εἰς τὸ ε. καὶ τροπῇ τοῦ ε εἰς ο, ἀνήνοθεν. Ὄφρα οἱ αἷμ' ἔτι θερμὸν ἀνήνοθεν. ἢ ἐκ τοῦ θέω τὸ τρέχω.

Ἀνήγκακα. Ἰστέον ὅτι βάρβαρόν ἐστιν, οὐχ εὑρισκόμενον παρ' Ἕλλησιν ἐν χρήσει, ὡς λέγει Ἡρωδιανός. ἐν μόνῃ γὰρ τῇ τῶν Ἀλεξανδρέων δημώδει συνηθείᾳ εὑρίσκεται. λέγουσι δέ τινες Ἀττικὸν εἶναι. ὅπερ οὐκ ἔστιν. οὐ γὰρ ἔχει ἐν τῇ πρώτῃ καὶ β΄ συλλαβῇ τὸ αὐτὸ σύμφωνον. γίνεται δὲ ἀπὸ τοῦ ἀναγκάζω, ἀναγκάσω, ἠνάγκακα. καὶ καθ' ὑπερβιβασμόν, ἀνήγκακα. δύναται καὶ σύνθετον εἶναι. ἀπὸ τοῦ ἀγκάζω τὸ ταῖς ἀγκάλαις λαμβάνω. καὶ ἐκ τοῦ ἀγκάσω, ἤγκακα. καὶ μετὰ τῆς ἀνὰ προθέσεως,

Ἀνείρειν, ἀναπείρειν. πλατέως. καὶ χοίνους < ἀνήγκακα. λαβὼν, ἄνειρε τὰ κρέα. ὅθεν καὶ ἡ ἄνερσις χρυσῶν στεφάνων. ἀνέρσει. Θουκυδίδης.

Ἀνεῖλεν, ἀντὶ τοῦ ἐμαντεύσατο. σημαίνει δὲ καὶ τὸ ἐφόνευσεν. ἢ ἀπὸ τοῦ ἄνωθεν λαμβάνειν τὸ ἐμβαθὲς πνεῦμα τοῦ ἀνδρός. ἢ τὸ οἱονεὶ ἀνελκύσαι καὶ ἀναγαγεῖν. λέγεται δὲ καὶ ἐπὶ τοῦ ἐκ Δελφῶν χρηστηρίου. ἀνελεῖν οὖν ἀντὶ τοῦ ἀνειπεῖν ἐπὶ τοῦ μαντεύσασθαι. ἀπὸ τοῦ ἄνωθεν λαμβάνειν τὸ πνεῦμα, καὶ πληροῦσθαι τοῦ θεοῦ. ἢ ἀπὸ τοῦ ἀνελεῖν τὴν ἄγνοιαν. ἢ τὸ ἐναντίον τὸ ἀνελεῖν τὴν γνῶσιν ἐπὶ τοῦ φονεύειν. λέγεται δὲ ἀνελεῖν καὶ τὸ ἀναλαβεῖν τὰ ἔκθετα βρέφη.

Ἀνήλατος, ἀπειθής. ἀπὸ τῶν ὑποζυγίων. ὁ μηδέπω δαμασθείς, ἢ ἐλασθείς. ἐλάω, τὸ ἐλαύνω. ἐλάσω. ἤλακα, ἤλασμαι, ἤλασαι, ἠλαστός. καὶ ἀνήλατος, ἀποβολῇ τοῦ σ.

Ἀνήνηται. ἀναίνω ἀνανῶ. ὁ ἀόριστος, ἤνηνα. [illegible] τὸ ὑποτακτικόν, ἐὰν ἀνήνω. τὸ παθητικόν, ἀνήνωμαι, ἀνήνῃ, ἀνήνηται.

Ἀνήκῃ. Εὖτ' ἂν σε μελίφρων ὕπνος ἀνήκῃ. σημαίνει καταλίπῃ. ἔστιν ἀνῶ ἀνῇ ὑποτακτικόν, ἐκ τοῦ ἕω γινόμενον. πλεονασμῷ τοῦ η, ἀνήκῃ. Πλάτων. Ἐπειδή με ἀνῆκεν.

Ἀνῆκεν, ἀόριστος. ἢ παρακείμενος ἐνεργητικός. < οὗτος. οὐδέποτε δὲ παρακείμενος τῷ ἀορίστῳ πρώτῳ συνέπεσεν, εἰ μὴ οὗτος μόνος. πλεονασμῷ τοῦ ε, ἔηκε. καὶ Ἀττικῶς τὸ ἧκα, γίνεται ἕακα καὶ ἕωκα κατὰ μετατροπήν. ὡς τὸ παρῴχηκεν. τὸ θέμα, ἵημι.

Ἀνήκεστος, παρὰ τὸ ἀκῶ τὸ θεραπεύω. ἔνθεν τὸ, Ἀκεώμεθα θᾶσσον. ἀκέω ἀκῶ, ὡς τελέω τελῶ, τελέσω. νεικέω νεικῶ, νεικέσω. ἐξ αὐτοῦ ἀκεστός, καὶ ἤκεστος. τροπῇ τοῦ ἄλφα εἰς η. μετὰ τοῦ στερητικοῦ α, ἀήκεστος. καὶ πλεονασμῷ τοῦ ν, ἀνήκεστος ὁ ἀθεράπευτος. πολλάκις γὰρ τὸ ν εἴωθε πλεονάζειν, ὡς τὸ Ἀναιδὴς ἀνείκαστος. ἀπὸ τοῦ εἰκάζω εἰκαστός. καὶ στερήσει, ἀνείκαστος.

Ἀνηκόντιζεν, ἀθρόως ἀνέφερε. ἀπὸ τοῦ ἀκοντίζω.

Ἄνηθον, παρὰ τὸ ἄνω θεῖν. διὰ τὴν ἐν τάχει αὔξησιν.

Ἀνήλιπος, ὁ ἀνυπόδετος. λέγεται δὲ καὶ χωρὶς τοῦ α, νήλιπος. ἀνάλιφός τις ὤν. προείληφε γὰρ τοὺς πόδας. ἢ χωρὶς τοῦ περιειλῆσαι. τὸ γὰρ νη, στερητικόν.

Ἀνήλιος. ἔστι δῆλος ὁ φανερός. ἐξ αὐτοῦ δήλιος. ἀποβολῇ τοῦ δ, ἥλιος, καὶ ἀνήλιος. ἡ γενικὴ τῶν πληθυντικῶν, ἀνηλίων.

Ἀνήνιον, ἀδούλωτον. ἀχαλίνωτον.

Ἀνημοβολαία. ὥσπερ γὰρ ἀπὸ τοῦ καλὸς καὶ ἀγαθὸς γίνεται σύνθετον ὄνομα καλοκἀγαθία, θεοῖς ἐχθρός, θεοεχθρία, οὕτως οὖν ἀνημοβόλιον ἀνημοβολαία.

Ἀνήνηται, ἐκ τοῦ ἀναίνω παθητικὸς παρακείμενος. ἀναίνω, ἀνανῶ. ἀνήνακα ἀνήναμαι. καὶ τὸ ἀνήνασθαι ἀπαρέμφατον. Αἰδέσθεν μὲν ἀνήνασθαι. ἐνετράπησαν μὲν ἀπαρνήσασθαι. Ἐφοβήθησαν δὲ ὑποδέχθαι. ἀντὶ ὑποδέξασθαι. καὶ ὑπαντᾶ τὸ ἐγγὺς τοῦ Ἕκτορος.

Ἀνήρ, παρὰ τὸ ἄνω τὸ σημαῖνον τὸ ἀνύω, ἐξ οὗ, Μάλα νὺξ ἄνεται. ἔσθ' ὑθι δηΐως, γίνεται ἀνήρ. ὥσπερ παρὰ τὸ αἴθω αἰθήρ, καὶ ἄω τὸ πνέω ἀήρ. ἢ παρὰ τὸ ἄνω ἀνύω γίνεται ἀνυήρ. καὶ συγκοπῇ, ἀνήρ. πρακτικὸς γὰρ καὶ ἀνυστικός, ὡς πρὸς τὴν γυναῖκα. τὸ νηρ, ἢ παρ' ἀρσενικὸν καὶ θηλυκὸν εἰς ἀμετάβολον λῆγον, μακροκατάληκτον. καὶ ὅμως. τὰ εἰς ηρ ἅπαντα τοὺς τόνους διὰ τοῦ η γράφεται. πλὴν τοῦ χείρ. φθείρ. βέχειρ. σάφειρ. ἔθειρ. ἀνάτειρ. ἐλάτειρ, ποταμός. Ἀχχειρ, ποταμός. ἐλεάζειρ. ἴρ, καὶ φθίρ, καὶ ἴρ, ὄνομα κύριον μόνον διὰ τοῦ ι. σημαίνει δὲ τέσσαρα. τὴν φύσιν. ὡς τὸ, Ἄνδρα μοι ἔννεπε μοῦσα πολύτροπον. τὸν γήμαντα. ὡς τό, Ἄνδρα μὲν ᾧ ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ. τὴν φύσιν ἀνδρεῖον. ὡς τό, ὦ φίλοι ἀνέρες ἐστέ. καὶ τὸν ἀνδρὸς ἡλικίαν ἔχοντα. ὡς τό, Ὅς που νῦν γε μετ' ἀνδράσιν εἶ ἐν ἀριθμῷ. ἀνὴρ ἀνέρος. τῶν εἰς ηρ ὀξυνομένων. καὶ ἐν συγκοπῇ ἀνδρὸς πλεονασμῷ τοῦ δ. αἱ συγκοπτόμεναι γενικαί, μιμεῖσθαι θέλουσι τὰς ὀξυνομένας εὐθείας. ἡ ἀνδρός, τὴν ἀμυδρός. ἡ πατρὸς καὶ μητρός, τὴν ἰατρός. κατὰ δὲ τρόπους γίνεται ὁ πλεονασμὸς τοῦ δ. κατὰ κλίσιν, ὡς τὸ ἀνέρος. συγκοπῇ, ἀνρός. καὶ πλεονασμῷ τοῦ δ, ἀνδρός. κατὰ γραφήν, ὡς τὸ ὕω τὸ βρέχω, ὕωρ. καὶ πλεονασμῷ τοῦ δ, ὕδωρ. κατὰ ποιητικὴν ἄδειαν. ὡς τό, Ἔδδεισεν δ' ὁ γέρων, καὶ ἐπείθετο μύθῳ. καὶ κατὰ ἀναγκαίαν σύνταξιν. ὡς τὸ χεὶρ χειρός, ἄχερος καὶ ἄχερδος. ἔστι δὲ εἶδος βοτάνης ἀκανθώδους.

Ἀνηρείψαντο θεοί. ἀπὸ τῆς γῆς ἀνήρπασαν. ἔστιν ἔρα ἡ γῆ. ἐκ τούτου γίνεται ἐρέπτω, τὸ εἰς γῆν καταβάλλω. καὶ ἀνερέπτω. καὶ πλεονασμῷ τοῦ ι ἀνερείπτω. καὶ ἐξ αὐτοῦ ἀνηρείψαντο.

Ἀνήρης, ἀνδρώδης. οἱ δέ, ἀνάρμοστος.

Ἀνήρεις, ἀνάνδρους, ἢ χήρας, ἢ παρθένους. ὡς ξιφήρεις. ἐκ τοῦ ἄρω τὸ πράττω.

Ἀνηρίτης, ἔστι δὲ κοχλίδιον. ἀπὸ γὰρ τοῦ Νηρέως λέγεται τοῦ θαλασσίου δαίμονος. οὐκ ἔστι δὲ πλεονασμός. ἀλλὰ παραγωγή. Ἡρωδιανός.

Ἀνηρίναστος, ὁ μὴ κρατῶν ἀεὶ ἔχει, ἀλλ' ἀποβάλλων. ἀπὸ τῶν συκῶν τῶν μὴ κρατουσῶν τὸν καρπόν, διὰ τὸ μὴ ἐπιβληθῆναι αὐταῖς τοὺς ὀλύνθους, ἀπὸ τῶν ἐρινεῶν. τοῖς γὰρ ὀλύνθοις τῶν ἀγρίων συκῶν ἐμφύεται θηρία ἐμπίσιν ὅμοια, ἃ προσαγορεύουσι ψῆνας. τούτων οἱ γεωργοὶ λαβόμενοι ἐφάπτουσι τῶν κλάδων ταῖς ἡμέροις συκαῖς, ὅπως αὐτῶν ὁ καρπὸς μὴ ἀπορρέῃ. ἐνδυόμενον γὰρ εἰς τοὺς φήληκας τὸ θηρίον, στερεοῖ τούτους καὶ πεπαίνει. διόπερ αὐτῶν τῶν ἃ ἔλαβε μὴ διακρατούντων, ἐπέλαβε τὸ ἀνηρίναστος. ἢ ἀντὶ τοῦ οὐκ ἠρινάσθης. οὐ περιεβλήθησάν σοι οἱ ἐρινεοί.

Ἄνηρον, ἄβλαπτον.

Ἀνήνορα. ἄνουν. ἀδύνατον. δειλόν. ἄτεκνον. οὐ γεννῶντα.

Ἀνήρεος, οὐ κατάρατος, οὐδὲ ἡρμοσμένον. < Διογένης.

Ἄνηστις, παρὰ τὸ ἔδω ἐστὸς ἔστις. ὡς πιστός, πίστις. καὶ κατὰ σύνθεσιν ἄνεστις. καὶ ἄνηστις ὁ ἄσιτος. ἢ παρὰ τὸ νῆστις, ἄνηστις. ὁ ἐστερημένος σιτίων. ὁ ἀγανῆστις.

Ἀνησίδανος, ἡ τὰ δῶρα ἀναδιδοῦσα. δάνος γὰρ τὸ δῶρον.

Ἀνησιδώρα, ἡ γῆ.

Ἄνθος, παρὰ τὸ ἄνω θεῖν καὶ τρέχειν ἐν τῷ αὔξεσθαι. οὐκ ἀναστρέφουσι δὲ αἱ ἐτυμολογίαι. οὐ γὰρ εἴ τι ἄνω θεῖ, καὶ αὔξεται, τοῦτο καὶ ἄνθος λέγεται. ἰδοὺ γὰρ πάντα τὰ φυτὰ ἄνω θέουσι καὶ αὔξουσι, καὶ ὅμως ἄνθη οὐ λέγονται. ὁμοίως δὲ ἔλαφος, παρὰ τὸ ἐλαύνειν τοὺς ὄφεις εἴρηται, ὅπερ ποιεῖ τούτου τὸ κέρας θυμιώμενον. καὶ οὐκ εἴ τι τοῦτο ποιεῖ, τοῦτο καὶ ἔλαφος λέγεται. ἡ γὰρ δίκταμος βοτάνη καιομένη, τοῦτο ποιεῖ, καὶ οὐδέποτε ἂν κληθείη ἔλαφος. οὕτως Ὠρίων ὁ Θηβαῖος.

Ἀνθοσμίας, ὁ ἀνθέων ὀσμὴν ἔχων οἶνος.

Ἄνθρυσκα, τὰ ἄνθη. παρὰ τὸ ἀναθρώσκειν. λέγεται καὶ τὸ ἄνισον παρὰ Κρησίν.

Ἀνθηδόνες, αἱ μέλισσαι, παρὰ τὸ τὰ ἄνθη ἔδειν.

Ἄνθεια, εἶδός ἐστιν ἰχθύος. ἀνθίας τινὲς καὶ καλλίχθυν καλοῦσι. καὶ καλλιώνυμον, καὶ ἔλλοπα.

Ἄνθεια, ἡ ἥρα. ὅτι ἀνίησι τοὺς καρπούς.

Ἄνθης, βαρύτονον. καὶ ἀπὸ τῆς τὸ ἀρσενικόν. τὸ δὲ θηλυκὸν, ἀπὸ τῆς ἀπὸ τῆρος.

Ἀνθεμοῦς, χωρίον, καὶ ποταμός, καὶ λίμνη τῆς μαριανδυνίας. ἀπὸ τοῦ παρακειμένου πεδίου πεπληρωμένου ἀνθέων. ὅθεν καὶ τὸ ἀνθεμόεσσα. μεθόδιος.

Ἀνθῶν, τὸ ἐπίρρημα. ἀπὸ τῆς ἀντὶ προθέσεως καὶ τοῦ ὢν ὑποτακτικοῦ ἄρθρου. ἀπὸ δὲ τῶν βοτανῶν οὐ δεῖ λέγειν ἀνθῶν, ἀλλὰ ἀνθέων, ἵνα μὴ συνεμπέσῃ τούτῳ.

Ἀνθήλη, παρὰ τὸ ἀνθῶ ἀνθήσω ἀνθήλη.

Ἀνθέριξ, παρὰ τὸ ἄνθος. σημαίνει δὲ τὸ ἄκρον τῶν ἀσταχύων.

Ἀνθέρικος ἄκρον ἐστὶν ἀνθερίκων καρπὸν θέον. παρὰ τὸ ἄνθος παράγωγον, ἄνθερος. καὶ ἀνθέρικος, ὁ καυλὸς τοῦ ἀσφοδέλου. ἔστι δὲ φυτὸν ἀθραυστον.

Ἀνθεμίδης. ὥσπερ παρὰ τὸ δευκαλίων δευκαλίωνος, δευκαλιωνίδης, οὕτω καὶ παρὰ τὸ ἀνθεμίωνος ἀνθεμιωνίδης, καὶ ἀνθεμίδης κατὰ συγκοπήν. ἢ ἀπὸ τοῦ ἄνθεμος ἀνθεμίδης, ὡς δεύκαλος δευκαλίδης, καὶ κρόνος κρονίδης, ὕλλος ὑλλίδης. εἰς τὸ βῆτα.

Ἀνθεστήρια, τὰ διονύσια. οὕτω γὰρ ἀθηναῖοι τὴν ἑορτὴν λέγουσι. καὶ ἀνθεστηριῶνα τὸν μῆνα, καθ' ὃν ταῦτα ἐτελεῖτο. ἐπειδὴ ἡ γῆ τότε ἄρχεται τοῦ ἀνθεῖν. ἢ παρὰ τὸ τὰ ἄνθη ἐπὶ τῇ ἑορτῇ ἐπιφέρειν. ὅθεν καὶ παροιμία. Θύραζε κᾶρες, οὐκέτ' ἀνθεστήρια.

Ἄνθρωπος. παρὰ τὸ ἄνω θρεῖν, ἤγουν βλέπειν. μόνος γὰρ τῶν ἄλλων ζώων ὁ ἄνθρωπος ἄνω βλέπει. ἢ παρὰ τὸ ἀναθρεῖν ἃ ὄπωπεν, ἤγουν ἀναλογίζεσθαι ἃ εἶδε καὶ ἤκουσε, τῶν ἄλλων ζώων μὴ λογιζομένων καὶ προνοουμένων. οὔτε γὰρ ἰχθὺς εἰς κύρτον εἰσῆλθεν ὁρῶν ἄλλον κρατούμενον. οὐδὲ ὄρνις εἰς λίνα. ἢ παρὰ τὸ ἀθρῶ τὸ βλέπω, ἄθρωπος, καὶ ἄνθρωπος. ἢ παρὰ τὸ ἄνω ἔπειν. ἀνώροπός τις ὤν. ἢ παρὰ τὸ ἔναρθρον ἔχειν τὴν ὄπα, τουτέστι τὴν φωνήν. τὰ παρὰ τὸ ὄψ συγκείμενα, ἅπαντα διὰ τοῦ ω μεγάλου γράφονται. οἷον, μέτωπον. ἐνώπιον. ἢ παρὰ τὸ ἀνθηρὰν ὄπα ἔχειν.

Ἀνθερεών, ὁ ὑπὸ τοῦ γενείου τόπος. διὰ τὸ δι' αὐτοῦ θορεῖν τὸ πνεῦμα. ἢ ἐνθερεών τις ὤν. ὅτι κατὰ τὴν ἔνθεσιν τῆς τροφῆς κινεῖται ἐν τῷ καταπίνειν. οἱ δὲ, παρὰ τὴν ἄνθησιν τῶν τριχῶν. διὸ καὶ κατηγοροῦσι τοῦ εὐφορίωνος εἰπόντος, Τέκνον μὴ σύγε μικρὸς ὑπ' ἀνθερεῶνος ἀνήσῃς. λέγεται δὲ καὶ βοτάνη τις.

Ἄνθραξ, τὸ ἐκκαυθὲν ξύλον καὶ ἐπιδιαλάμπον. παρὰ τὸ ἄνθος, ἄνθαξ. ὡς βῶλος, βῶλαξ. καὶ πλεονασμῷ τοῦ ρ, ἄνθραξ. καὶ τὸ ἀπό τινος ὕλης μεταβληθὲν καὶ μεταποιηθὲν εἰς πυρὸς φύσιν. ἔχει δὲ ὁ ἄνθραξ, φύσεις δύο. τὸ φωτιστικὸν, καὶ τὸ καυστικόν. ὡς τὸ ὕδωρ διφυᾶ ἄνθρακα δέχεται. ἤγουν φωτιστικὸν, καὶ καυστικόν. φωτιστικὸν μὲν τῶν δικαίων. καυστικὸν δὲ, τῶν ἁμαρτωλῶν. διφυὴς δὲ ἄνθραξ λέγεται ὁ χριστὸς κατὰ ἀναγωγήν. γίνεται δὲ παρὰ τὸ θέρω τὸ θερμαίνω, θέραξ. καὶ μετὰ τῆς ἀνὰ προθέσεως, ἀναθέραξ. καὶ συγκοπῇ, ἄνθραξ. σημαίνει δὲ δύο. τὸ πῦρ, καὶ λίθον τινὰ τῇ χρόᾳ πύρινον, οὕτω καλούμενον. τὰ εἰς αξ ὀνόματα φύσει μακρᾷ παραληγόμενα, εἰ μὲν ὦσιν ἀρσενικοῦ γένους, ἐκτείνουσι τὸ ἄλφα. οἷον, θώραξ, οἴαξ. εἰ δὲ θηλυκοῦ, συστέλλουσιν αὐτό. οἷον, αὔλαξ, πίδαξ.

Ἀνίεις, ἐκ τοῦ ἴω μετὰ τοῦ στερητικοῦ ἄλφα καὶ πλεονασμῷ τοῦ ν, γίνεται ἀνίω. καὶ ἰλιάδος ε. ἀλλ' ἀνίεις. ἀντὶ τοῦ ἀναπείθεις.

Ἄνιθυν, ἐπεύθειαν. κατὰ τὴν ὁρμὴν καὶ φορὰν τοῦ πολέμου. ἀνὰ θυμόν. οἱ ἀττικοὶ τὴν ἀνὰ, ἀντὶ τῆς κατὰ παραλαμβάνουσιν.

Ἀνιοχμόν. κατὰ τὴν μάχην.

Ἀνία, σημαίνει τὴν χαλεπωτάτην καὶ δυσφόρον λύπην. παρὰ τὸ ἰῶ τὸ θεραπεύω καὶ ὑγιάζω, γίνεται ἴα. καὶ κατὰ στέρησιν καὶ πλεονασμὸν τοῦ ν, ἀνία. ἐστέρηται γὰρ τῆς ἰάσεως. ἢ παρὰ τὸ ἄνω, ἀνία. διανυστική γάρ ἐστι καὶ πρακτική. οἱονεὶ καταδαπανητική. τὰ διὰ τοῦ νια θηλυκὰ τῷ ι παραληγόμενα, συστέλλουσιν αὐτὸ ἔχοντα μακρὸν τὸ ἄλφα. οἷον, γωνία. πενία. ξενία. σεσημείωται τὸ ἀνία. ἐπειδὴ ἀπὸ τοῦ ἰῶ γίνεται, ὅπερ ἔχει μακρὸν τὸ ἰῶτα. παρὰ τὴν ἀνίαν ἀνιαρός. ἐξ οὗ καὶ ἀνιῶ ῥῆμα. δύναται δὲ καὶ ἀπὸ τοῦ ἱέναι γίνεσθαι. ἐμποδιστικὸν γάρ ἐστιν ἡ ἀνία.

Ἀνιηρέστερος. ἀνιαρὸς τὸ πρωτότυπον. ἰστέον ὅτι τὰ εἰς ος λήγοντα ὀνόματα ὅσα οὐδέτερον ποιοῦντα, ἤγουν τριγενῆ ὄντα, ταῦτα καὶ συγκριτικὸν ποιοῦσιν. οἷον, ἐλαφρός, ἐλαφή, καὶ τὸ ἐλαφρόν. τὸ συγκριτικὸν, ἐλαφρότερον. ἁγνός, ἁγνή, ἁγνόν, ἁγνότερον. λευκός, λευκή, λευκόν, λευκότερον. οὕτως οὖν καὶ ἀνιαρός, ἀνιαρή, ἀνιαρόν. καὶ ἀνιαρότερον τὸ συγκριτικὸν ὤφειλεν εἶναι. ἀλλ' ἔστιν εἰπεῖν ὅτι παρὰ τὸ ἀνιαρὸς γίνεται παράγωγον ἀνιαρής. ὥσπερ ὁ μαλός, ὁ μαλής. γυμνός, γυμνής. ἀργός, ἀργής. καὶ ἐπειδὴ τὰ εἰς ης λήγοντα τριγενῆ ὑπόθεσιν δέχονται καὶ σύγκρισιν. οἷον, ὁ εὐτυχής, ἡ εὐτυχής, τὸ εὐτυχές. καὶ τὸ συγκριτικὸν, εὐτυχέστερος. εὐγενέστερος. εὐμελέστερος. ὑγιέστερος. σαφέστερος. πληρέστερος. εὐωδέστερος. ἐμβριθέστερος. προγενέστερος. οὕτως οὖν καὶ ὁ ἀνιαρής, ἡ ἀνιαρής, τὸ ἀνιαρές. καὶ ἀνιαρέστερον τὸ συγκριτικόν. καὶ κατ' ἔκτασιν, ἀνιηρέστερον. ἁμαρτάνουσιν ἄρα οἱ προφερόμενοι πενέστατος. ἀπὸ παρασχηματισμοῦ γὰρ τὸ πενέστερον. τῷ οὐδετέρῳ. ἔδει δὲ καὶ παρὰ τὸ κλέπτης, καὶ ψεύδης, μηδ' ὅλως σχηματίζεσθαι συγκριτικόν. οἱ δ' ἀττικοί, κλεπτίσταν καὶ ψευδίσταν εἰπόντες συγκριτικόν, ἡμάρτανον. ἀντὶ γὰρ τοῦ κλεπτίσταν, καὶ ψευδίσταν. οὕτω φιλόξενος.

Ἀνίσχαλον. ἄτοπον, ἢ ἀνημέλκτον, ἢ ἀθήλαστον. διο...

Ἀνιγρός. ἀπὸ τοῦ ἀνιαρὸς κατὰ συγκοπὴν καὶ ... γένης. πλεονασμὸν τοῦ γ, ἀνιγρός. ὁ λυπηρός, καὶ βλαβερός. καὶ ἀνιγρὰ, δυσώδη. ἀκάθαρτα. φαῦλα. κακά.

Ἀνιμῶ, ἐκ τῆς ἀνὰ προθέσεως καὶ τοῦ ἱμῶ τὸ ἀναλέγω. τοῦτο ἐκ τοῦ ἱμάς, ὃ σημαίνει τὸν λῶρον. οἱ γὰρ ἀρχαῖοι πρὸς τὸ μὴ κατακλᾶσθαι τὰ χύτα τὰ ἀγγεῖα αὐτῶν, ἐκ δερμάτων αὐτὰ ἐποίουν. ἤγουν ἀσκοῦ. ἀνιμῶ οὖν, τὸ ἀναλέγομαι.

Ἄνιος ὁ ἱερεὺς τοῦ ἀπόλλωνος. γέγονε δὲ παρὰ τὴν ἀνὰ πρόθεσιν, ἄνιος. ὥσπερ καὶ παρὰ τὴν ὑπὸ, ὕπιος ζεὺς. οἱ δὲ, παρὰ τὴν ἀνίαν. οὕτως ὁ χοιροβοσκὸς εἰς τὸ ἄμφιος.

Ἀνίψαλλον. τὸ ἀβλαβῆ. τὸ ἀνδρὸς τοῦ ἅπτεσθαι παρὰ τῷ ἵππῳ ἀνίψαλλον, ἀδιάφθορον. οἱ δὲ, ἡλικίας τάξιν.

Ἀνοχλίζω, τὸ ἀνέχω.

Ἀνούτατος, ὁ ἀτραυμάτιστος. παρὰ τὸ οὐτάσω, οὔτασμαι, οὔτασαι, οὐτασὸς καὶ ἀνούστατος. καὶ ἀποβολῇ τοῦ σ, ἀνούτατος. καὶ ἀνουτὶ, τὸ ἄνευ τρώσεως.

Ἀνοικῆ. τὸ παρὰ τὸ οἶκος ἐρημωμένον.

Ἄνοια. παρὰ τὸ νοῦς, νοός, νοία. καὶ μετὰ τοῦ στερητικοῦ α, ἄνοια. τὸ νοι, διφθόγγου. διατί. τὰ παρὰ τὸ νοῦς, καὶ χοῦς, καὶ ῥοῦς συγκείμενα, διὰ τῆς οι διφθόγγου γράφεται. οἷον, ἄνοια. εὔνοια. εὔρροια.

Ἀνόσιμος. παρὰ τὸ νόσος, νόσιμος, καὶ ἀνόσιμος. τὸ δὲ νοσῶ, παρὰ τὸ νόσος. ἀνόσους τοὺς μὴ ἀπονοσοῦντας. διο...

Ἀνόστεος ὅ τ' ἀνόστεος ὃν πόδα τένδει. ἐσθίει. ὁ ... γένης. λεγόμενος πολύπους. οὗτος γὰρ τῷ χειμῶνι οὐ προέρχεται, ἀλλ' ἐν τῷ φωλεῷ καθήμενος, τοὺς ἰδίους πόδας ἐσθίει. κλείταρχος δὲ ἐν γλώσσαις τὸν πολύπουν ὑπὸ λακεδαιμονίων ἴουλον καλεῖσθαι.

Ἀνόρουσεν, ἀνώρμησεν. ἀνέστη. ἔστιν ὀρῶ τὸ διεγείρομαι. ἐξ οὗ μέλλων αἰολικῶς, ὀρσῶ. Ὀρσολαομεδοντιάδη. τὸ δὲ ὀρῶ κατὰ παραγωγὴν, γίνεται ὀρύω. καὶ πλεονασμῷ τοῦ ο, ὀρούω. ὁ μέλλων, ὀρούσω. ὁ ἀόριστος, ὄρουσα ποιητικῶς. οἱ γὰρ ποιηταὶ καὶ οἱ ἴωνες, συναρχὰς ποιοῦσι τοὺς παρωχημένους τοῖς ἰδίοις ἐνεστῶσι. καὶ ἐν συνθέσει. οἷον, Ἠμαρ ἀνομένοιο. τελουμένου. τοῦ πληρουμένου. παρὰ τὸ ἄνω, τὸ ἀνύω.

Ἀνόπαια διέπτατο. παρὰ τὸ ὀπὴν, ὀπαία. καὶ ἐν συνθέσει, ἀνοπαῖαι. καὶ ἐκδέχεται καπνοδόχην εἶναι. κράτης δέ φησιν ἀνοπαίαν τὴν τετρημμένην κεραμίδα τὴν ἐπὶ τῆς ὀροφῆς. ἢ πανόπαια ..., καὶ νοεῖται ἡ χελιδών. ἐν δ' αὐλίδι τῆς φωκίδος τὰ περὶ ἡρώων λεγόμενα μυθολογεῖται. καὶ πανοπεὺς, φωκικὴ πόλις ἐστί. μεθόδιος. ἢ ἀνόπαια, εἶδος ὄρνιθος. ἢ διὰ τῆς ὀπῆς, ἢ ἀόρατος ἀναπτᾶσα.

Ἡ ἀντὶ πρόθεσις, ἐστὶ τρία. κυρίως τὴν πρόθεσιν, ὡς καὶ ἡμεῖς τίθεμεν. καὶ ὡς ἀρίσταρχος ἀναγινώσκων ἀκούει τὸ δὲ τὸν στίχον. Τρώων ἀνθ' ἑκατόν τε διηκοσίων τε ἕκαστος. τίθεται δὲ καὶ ἀντὶ τοῦ ἴσως. ὡς τὸ Ἀντί τοι εἰμὶ κέτασο, ἀντὶ τοῦ ἴσος οἰκέτου. καὶ τὸ ἐναντίον. ὡς Ἀντίθεον κύκλωπα. τὸν ἐναντιούμενον τοῖς θεοῖς. ἀντίθεος δὲ ὁ δυνάστης, τουτέστιν ἰσόθεος.

Ἀντιάνειρα, ἐπίθετον ἀμαζόνος. ὁ μὲν ἀρίσταρχος, τὰς ἴσας ἀνδράσιν. ἔνιοι δὲ, τὰς ἀντιαζούσας καὶ ἐναντιουμένας τοῖς ἀνδράσι τῇ οἰκείᾳ δυνάμει. ἐξ οὗ πολεμικάς. ὥσπερ ἀντίχειρον φαμὲν καὶ ἀντίπαλον. ἀντίπαλος γὰρ ὁ ἐναντίος. ἢ ὁ ἀντιπαλαίων. ἢ ὁ κατὰ πάλον, τουτέστι κλῆρον ἐναντιούμενος. καὶ ἀντίχειρ, ὁ μέγας τῆς χειρὸς δάκτυλος. ἢ ὅτι ἀντίκειται τοῖς ἄλλοις, ἢ ὅτι τὸ ἴσον δύναται τῇ ὅλῃ χειρί. καὶ ἀντιστάτης, ὁ ἀνθεστηκὼς ἐν μάχῃ.

Ἀναστάς, ἀνστάς. ἡρωδιανός. ἀναστάντες, ἀνστάντες. καὶ ἀναστῆτην δυϊκὸν, καὶ συγκοπῇ, ἀνστῆτην, τὸ ἀνέστησαν.

Ἀντία, ἡ ἑρέα. παρὰ τὴν ἄντην. ὅτι τοῖς τελχῖσιν, ἐναντία ἐγένετο. σημαίνει δὲ ἄντην, τὸ ἐξ ἐναντίας. ἢ ἀντιάζουσα διά τινα φαντάσματα, καὶ ἔχθρας. καὶ ἀνταῖος, ὁ βλάβης αἴτιος. ἀνταία καὶ ἡ ἑκάτη ἐπιθετικῶς. διότι ἦν ἱκέσιος. Ἀντασεθεν γὰρ ξάνθεν δίνηεντα. καὶ σοῦ γὰρ ἄξιον ἀνταγωνιστὴν ἡγούμεθα τὸν ξάνθον. σημαίνει τὸ ἐξ ἐναντίας. καὶ ὥσπερ ἀπὸ τοῦ ὠκέα γίνεται ὦκα, κράτεα κράτα, καὶ ὑπόθεσει κάρτα. καὶ σάφεα, σάφα, οὕτως οὖν καὶ ἄντια. οἷον, Ἀντία λεξάνδρεια. κατὰ συγκοπὴν, ἄντα. ἢ παρὰ τὸ ἀντῶ, ἄντα. ὥσπερ σιγῶ, σῖγα. καὶ ἠρεμῶ, ἠρέμα. ἡρωδιανός. τὸ δὲ ἀντῶ, σημαίνει τὸ ἀπαντῶ, καὶ συντυγχάνω.

Ἄντεσθαι. ἱκετεύειν. καὶ τὸ ἐξ ἐναντίας ἐλθεῖν.

Ἄντανδρος. πόλις ὑπὸ τὴν ἴδην παραθαλάσσιος. ὅτι ἀσκάνιος αἰχμάλωτος ἐγένετο ὑπὸ πελασγῶν. καὶ ἀντ' αὐτοῦ τὴν πόλιν δέδωκε λύτρα, καὶ ἀπελύθη. ἤγουν ἀντὶ ἀνδρὸς δεδομένη, ἄντανδρος ὠνομάσθη.

Ἀντανάκλασις, ἡ ἀπό τινος ἐπιτικίνησις. καὶ ἐξ ἐκείνου πάλιν ἐξ οὗ προηλθεν ὑποστροφή, ὡς ἐπὶ σφαίρας.

Ἀντήνωρ. τὸ τη, ἦτα. ὡς τὸ ἀγήνωρ. ἀντηνορίδης, ὡς κρονίδης.

Ἀντήνους. τοὺς τῆς δάφνης ὀπῆκας, τοὺς πρὸ τῶν θυρῶν ἱσταμένους.

Ἄντησιν. παρὰ τὸ ἀντῶ, ἀντήσω, ἄντησις, καὶ ὑπάντησις. καὶ πλεονασμῷ τοῦ τ, ἄντησις. Ἠ δὲ κατ' ἄντηστιν θεμένη περικαλλέα δίφρον.

Ἀντηρεῖς. σημαίνει τὸ εἰς ὃ ἐπερείδεταί τις καὶ ἐπιστηρίζεται. γίνεται δὲ παρὰ τὸ ἐρείδω, τὸ ἐπανουμβίζω. ὁ μέλλων, ἐρείσω. καὶ ἐξ αὐτοῦ, ἀντηρεῖς. κατὰ τροπὴν τοῦ ε, εἰς τὸ ἦτα, καὶ ἀποβολὴ τοῦ ω,

ETYMOLOGICVM GRAEC

οὐ χεύρηται δὲ ἡ εὐθεῖα ἐν χρήσει. αἱ δὲ ἄλλαι πτώσεις τὴν κλίσιν ὡς ἀπὸ ὀξυτόνου εἰς ις λήγουσαι ἔχουσιν. ὥσπερ γὰρ ἀσπὶς ἀσπίδος, καὶ σανὶς σανίδος, οὕτω καὶ ἀντήρης ἀντηρίδος. ὡς παρ' Εὐριπίδῃ Κρημνίσαι αὐτὴν ἐκ μέσης ἀντηρίδος. ἀντήρεις, ἀντιθέτους, ἀντερείδοντας. διογένης.

Ἀντιγονίζω. ὅτι οὐκ ἔχει τὸ λεκτὸν τῆς ἀντὶ προθέσεως. ἀπὸ κυρίου γάρ ἐστι τοῦ Ἀντίγονος. ὥστε καὶ τοῦτο εὐλόγως ἐκλίθη ἔξωθεν, ὡς τὸ καθεύδω, καὶ ἐνέπω. τὸ ἐνέπειρεν ἔν τισι τῶν ἀντιγράφων, ἐπενθέσει τε. ὡς ἐνεποίουν. ἐν τοῖς πλείστοις δὲ οὐκ ἔχει τὴν τε ἐπένθεσιν. ἡμπείρουν γάρ. αἱ μετὰ προθέσεως συντιθέμεναι λέξεις, πρῶτον κλίνονται, καὶ οὕτω συντίθενται. οἷον, ἄγω συνάγω. ἦγον, συνῆγον. αἱ δὲ μὴ μετὰ προθέσεως συντιθέμεναι λέξεις, πρῶτον συντίθενται, καὶ οὕτω κλίνονται. οἷον, φιλοσοφῶ, ἐφιλοσόφουν. οὕτως ὁ χοιροβοσκός.

Ἀντερέτης, ὁ ἀντικαθήμενος. καὶ ἀντηρετεῖν, τὸ ἐπὶ τοῦ αὐτοῦ ζυγοῦ καθεζόμενος ἐρέσσειν.

Ἀντήλιος, ἰσοήλιῳ. εἰδέναι δεῖ ὅτι τὰ μετὰ προθέσεως συντιθέμενα ῥήματα, εἰ ἀλλοιοῦν τὰ τῶν σημαινομένων, ἔσωθεν κλίνονται. βάλλω, καταβάλλω, κατέβαλλον. εἰ δὲ τηρεῖ τὸ ἐν ταῦθα, ἔξωθεν κλίνονται. μύω, καμμύω, ἐκάμμυον. εὕδω, καθεύδω, ἐκάθευδον. τὸ δὲ ἤμελλον, ἤθελον, καὶ τὰ ὅμοια, ἀττικῶς. φιλοῦσι γὰρ μακρὰν ποιεῖν τὴν ἀρχὴν τῶν παρῳχημένων. οὕτω Ζηνόβιος.

Ἀντιρρῶ. ἀντιρρήσας, διαρρήσας. παρὰ τὸ ἐρῶ, ῥήσω. ῥῶ, ῥήσω, καὶ ἀντερρήσεν. ἀπὸ δὲ τοῦ πείρω, γίνεται τρῶ. σημαίνει τὸ τρυπῶ.

Ἀντιβολῶ. ἀντιβολήσαι, ἀπαντῆσαι. μετασχεῖν. μολῶ, μολήσω, μετὰ τῆς ἀντὶ προθέσεως καὶ τροπῇ τοῦ μ εἰς β, ἀντιβολήσω. ἰστέον ὅτι τὸ ἀντιβολῶ, ἔξωθεν ἐκλίθη. ἐπειδὴ τούτου τὸ ἁπλοῦν οὐκ ἔστι ῥητόν. τὸ δὲ παρὰ Πινδάρῳ ἀντεβόλησεν, ἔσωθεν ἐκλίθη διὰ τοῦτο. καὶ τὸ σημαινόμενον ἕτερον ὡς καὶ παρ' Ὁμήρῳ. Τοιοῦτοι δὲ οἵπερ μοι ἐείκοσιν ἀντεβόλησαν. τὸ δὲ παρὰ Ἀριστοφάνει ἐν Ἀμφιαράῳ, διὰ τοῦ ε ἀντεβόλησε, διὸ κλίσεις ὑπέστη. ζήτει. σημαίνει δὲ καὶ τὸ συνέτυχε, καὶ ἱκέτευε.

Ἀντισηκῶ. οἱ μὲν λέγουσιν ἀπὸ τοῦ ἴσος ἴσου, γίνεται ἰσῶ ἰσώσω, ἰσάκω, καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρόν, ἰσηκῶ. ἀντισηκῶ οὖν, τὸ ἀντεξισάζω. οἱ δὲ, παρὰ τὸ σηκῶ τὸ βοηθῶ. σηκὸν γὰρ λέγεται τὸ ἰσχύειν. ἐξ οὗ καὶ σῶκος ὁ Ἑρμῆς. ὃ σημαίνει τὸν ἰσχυρόν, καὶ βοηθόν. ἀπὸ τοῦ σώζω, σῶκος, ὁ σωστικὸς θεός. σῶκος, σωκῶ, καὶ ἀντισηκῶ τροπῇ. οἷον, Σῶκος ἐριούνιος.

Ἀντιφερίζω. παρὰ τὸ φέρω, φερίζω. ὡς θέρω, θερίζω. καὶ ἀντιφερίζω τὸ ἐναντιοῦμαι, ἢ ἐξισοῦμαι. ἡσίοδος. Ἄφρων δ' ὅς κ' ἐθέλοι πρὸς κρείσσονας ἀντιφερίζειν.

καὶ ἀντιφέρεσθαι, τὸ ἐναντιοῦσθαι. οἱ δὲ, ἀντιλέγειν.

Ἀντιλήπτωρ. λήβω, λήψω. ὁ δεύτερος ἀόριστος, ἔλαβον. ὁ μέσος, ἐλαβόμην. καὶ τὸ εὐκτικόν, λαβοίμην, λάβοιο, λάβοιτο. καὶ μετὰ τῆς ἀντὶ προθέσεως, ἀντιλάβοιτο. λήβω, τὸ λαμβάνω. λέλημμαι, λέληπται, λήπτωρ, καὶ ἀντιλήπτωρ. τὰ παρὰ τὸ λήβω γινόμενα ὀνόματα, διὰ τοῦ η γράφονται. οἷον, πρόσληψις. σύλληψις. ἀνάληψις. καὶ ἄλλως. διότι ἀνεφάνη τὸ ἄλφα, ἐν τῷ δευτέρῳ ἀορίστῳ.

Ἄντιος. παρὰ τὸ ἄντα ἐπίρρημα βαρύτονον, γίνεται ἀντῶ περισπώμενον. ἀφ' οὗ, ἄντην ἐπίρρημα, καὶ ἄντιος. ὅθεν καὶ διὰ τοῦ ι γράφεται. τὰ παρὰ ἐπιρρήματα γινόμενα διὰ τοῦ ιος, προπαροξύνεται, καὶ διὰ τοῦ ι γράφεται. οἷον, ἶφι, ἴφιος. πρωΐ, πρώϊος. οὕτω καὶ ἄντην ἄντιος, ὁ ἐξ ἐναντίας. κατὰ τόνον μόνον ἡμάρτηται, καὶ οὐ κατὰ γραφήν. Οὐδέ τις ἔτλη μεῖναι ἐπερχόμενον, ἀλλ' ἄντιοι ἔσταν ἅπαντες. καὶ μετὰ τῆς ἐν προθέσεως, ἐναντίος. κανὼν ἐστὶν ὁ λέγων, ὅτι τὰ ὑπὲρ δύο συλλαβὰς, πρὸ μιᾶς τὸν τόνον ἔχοντα, ἐν τῇ συνθέσει ἀναπέμπει τὸν τόνον. οἷον, ποικίλος. παμποίκιλος. ἀγκύλος, μεσάγκυλος. Ἀθηναῖος, φιλαθήναιος. πλησίος, παραπλήσιος. αἰόλος, πανάιολος. τὸ γὰρ κορυθαίολος, οὐκ ἔχει ἐγκείμενον τὸ αἰόλος, ἀλλὰ τὸ αἰολλῶ ῥῆμα, τὸ κινῶ. χωρὶς εἰ μὴ σύνθετον ὑπάρχει ἕνεκα ἐνεργείας, προπαροξύνεται διὰ τὸ βουκόλος ἱπποβουκόλος. τοῦτο γὰρ ἕνεκα ἐνεργείας, τὸν αὐτὸν τόνον ἐφύλαξεν ἐν τῇ συνθέσει. ὁ τοὺς ἵππους βόσκων. τὸ δὲ ἐναντίος, παρέλκουσαν ἔχει τὴν ἐν πρόθεσιν. τὸ γὰρ ἄντιος καὶ ἐναντίος, ταὐτόν ἐστι. καὶ τούτου χάριν, τοῦ ἁπλοῦ τὸν τόνον ἐφύλαξεν, ὡς σχεδὸν μὴ γενομένης συνθέσεως.

Ἀντιόωσα. παρὰ τῆς ἀντὶ προθέσεως, γίνεται ἄντιος. καὶ ἐκ τούτου ἀντιῶ, ἀντιᾷς, τὸ ὑπαντῶ. δευτέρας συζυγίας. ἡ μετοχή, ἀντιῶσα, ὡς βοῶσα. καὶ ποιητικῷ πλεονασμῷ τοῦ ο, ὡς βοόωσα, γελόωσα. τὸ τηλεθόωσα δὲ καὶ τὸ μαιμώωσα μόνον, διὰ τοῦ ω μεγάλου. ἔστι δὲ ὁμώνυμος ἡ λέξις. ὅτε γὰρ δηλοῖ τὸ ἀντιλαμβάνων, αἰτιατικῇ συντάσσεται. ὡς τὸ, Ἐμὸν λέχος ἀντιόωσαν. συγκυροῦσα. ὅτε δὲ τὸ μετέχων, τυγχάνων, ὑπαντῶν, γενικῇ συντάσσεται. Ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης. πλεονασμῷ τοῦ ο, Βοόων τὰ τ' ἔφευροι. καὶ Ορόων ἀποιμοπατούντων.

Ἀντίβιος. ὁ ἐναντιούμενος τῇ βίᾳ, ὅ ἐστι τῇ δυνάμει. καὶ ἀντιβίοισι τοῖς ἐναντίοις, καὶ στασιαστικοῖς.

Ἀντίπηξ, ἡ κιβωτός. παρὰ τῆς ἀντὶ προθέσεως, καὶ τοῦ πήσσω.

Ἀντίβιον. ἐπίρρημα τοπικόν. τῆς ἀντὶ προθέσεως τὴν ἐναντίαν σχέσιν δηλούσης.

Ἀντιάσειν, ἱκετεύσειν. ἀπαντήσειν. καὶ ἀντιάσαι, συναντῆσαι, καὶ ἐλθεῖν, μετασχεῖν. παρ' Ὁμήρῳ, τὸ ἐπιτυχεῖν, καὶ ἱκέτευσιν συντυχεῖν, καὶ παραγίνεσθαι.

Ἀντίπαλον. ἐναντίον, καὶ ἰσόπαλον, καὶ ἰσόρροπον.

Ἀντιπαγές, ἐναντίως συνεστηκός.

Ἀντιπελαργεῖν, ἀντιστρέφειν.

Ἀντίστομος. παρὰ τὸ τακτός, τάξις. ἐξ ἑκατέρου μέρους ἔχουσα τοὺς μαχίμους.

Ἀντιπεφάσθαι. ἀντιτεθνάναι.

Ἀντίτυπα. ἀντιπίπτοντα.

Ἀντλία, ἄγγος ἐν ᾧ τὸ ἐν τῷ πλοίῳ γινόμενον ὕδωρ ἀπαντλοῦσιν εἰς θάλασσαν. καὶ ὃ νῦν καλούμενος καδίσκος.

Ἀντίφαρα, ἡ ζήλη, παρὰ Συρακουσίοις. παρὰ τὸ φέρω, ὃ Δωριεῖς, φάρω λέγουσιν. ὡς τέμνω, τάμνω. καὶ τρέπω, τράπω. φάρω οὖν φάρα, καὶ ἀντίφαρα, ἡ ζήλη. ἡ ἐναντίως φερομένη. οἱ δὲ, παλλακήν. ἄλλοι μητρυιάν.

Ἀντίξοον. τὸ ἐναντίον, ἢ ἁρμόζον. οἷον, ἀντισούμενον. τροπῇ ἀττικῇ τοῦ σ εἰς ξ. οἱ γὰρ ἀττικοὶ, τὸ σύμβολον, ξύμβολον λέγουσι. καὶ ἀντιξοεῖ, ἐναντιοῦται.

Ἀντικρὺς, σημαίνει τὸ φανερῶς. ἀντικρὺ δὲ τὸ ἐξ ἐναντίας. παρὰ τὸ ἀντὶ, καὶ τὸ κάρα, ἀντίκαρα. ἀντικαρύ, καὶ συγκοπῇ, ἀντικρὺ, τὸ κατέναντι. τοιοῦτον ἐν συγκοπῇ, καὶ τὸ κρᾶναι, τὸ ἐπιτελέσαι διὰ τοῦ νεύματος τῆς κεφαλῆς. ὡς ἂν εἴποις, ἀντικέφαλα. τὸ κρὺ, μακρὸν φύσει. τὰ εἰς υ λήγοντα ἐπιρρήματα, συστέλλουσι τὸ υ. μεταξύ. μεσηγύ. χωρὶς τοῦ ἀντικρύ. καὶ ὤφελεν εἶναι ἀντικρυ. ἀλλὰ τὰ εἰς σ λήγοντα ἐπιρρήματα, εἰ μὲν φυλάττει τὸ αὐτὸ σημαινόμενον, καὶ τὸν αὐτὸν τόνον φυλάττει. οἷον, οὕτως, οὕτω. μέχρις, μέχρι. ἐπεὶ οὖν τοῦτο οὐκ ἐφύλαξε τὸ αὐτὸ σημαινόμενον τῷ ἀντικρὺς, οὔτε τὸν τόνον ἐδέξατο.

Ἄντυξ. λέγεται ἡ ἀνωτάτη περικεφαλαία τοῦ ἁρματίου δίφρου, παρὰ τὸ ἄνω τετύχθαι. ἡ δὲ εἰς τὸ κάτω τετυγμένη, λέγεται κατάντυξ. λέγεται δὲ καὶ ἡ τῆς ἀσπίδος περιφέρεια, ἄντυξ. ἀμφότερα δὲ γίνονται, παρὰ τὸ τεύχω, τεύξω, τεῦξ, καὶ τύξ, καὶ ἐν συνθέσει, ἄντυξ. Ἐξ ἄντυγος ἡνία τείνας. οἱονεὶ, ἐξάψας τὰς ἡνίας τῆς τοῦ ἅρματος περιφερείας.

Ἀντίστοιχον. τὸ ἴσον. σκιὰς γὰρ ἀντίστοιχον φωνὴν ἔχειν. τουτέστιν ἴσον σκιᾶς. ἀντιστοιχεῖ. μετὰ στοίχου ἐστάναι. στείχω, στοῖχος, καὶ ἀντίστοιχον. τὸ στοι, δίφθογγον. διατί; ὅσα ῥήματα ἐν κινήσεσιν εὑρίσκονται. καὶ στίξ στιχός, στιχῶ, δευτέρας συζυγίας. σημαίνει ἰσόστοιχον, καὶ συγγενῆ.

Ἀντλῶ. παρὰ τὸ ἄντλον. τοῦτο ἐκ τοῦ ἀντλεῖν καὶ καρτερεῖν ἐκδοσθαι τὸ ὕδωρ, τὸ διὰ τῶν ἐσφιγμένων τόπων.

Ἀντρῶν, πόλις. παρὰ τὸ ἀντρώδεις ἔχειν στερχόμενον τόπους. αὐτόθεν κοπτομένου λίθου ἐπιτηδείου εἰς τοὺς ἀλῶνας ὄνους, ὅ ἐστι μύλους.

Ἄντρον. τὸ σπήλαιον. Ἔνθεν δ' αὖ τῆς ἄντρον ἐπήρατον ἠεροειδές. ἀνάτροντιον. παρὰ τὸ ἄνω τετρῆσθαι, ἤγουν τετρυπῆσθαι. τὸ ἀνατετρημένον. ἢ παρὰ τὰ ἄνθη, ἄνθηρον, καὶ ἄνθρον, καὶ κατὰ συγκοπὴν, ἄντρον. εἶναι γὰρ λειμωνίδων νυμφῶν ἐνδιαίτημα. ἢ παρὰ τὸ ἀντῶ τὸ ἱκετεύω, ἄντομαι. καὶ ἀντομένην ἥρην. ἄντρον, καὶ ἄντρον. διότι τοὺς θεοὺς ἐν αὐτῷ ἱκέτευον, ἱερὰ τὰ σπήλαια ἡγούμενοι.

Ἀνύω. παρὰ τὸ ἄνω τὸ πράττω γίνεται. οἷον, Μάλα νὺξ ἄνεται. καὶ οὐκ ἀνύω φθονέουσα. ἀντὶ τοῦ οὐδὲν ὠφελῶ πράττουσα. ἰστέον ὅτι τὸ ἀνύτω καὶ ἀρύτω, ἀπὸ τῶν ἀνύω καὶ ἀρύω γέγονε κατὰ πλεονασμὸν τοῦ τ. τὸ μὲν ἀνύω, ἀεὶ ἐν συστολῇ. τὸ δὲ ἄνω, διφορεῖται κατὰ τὸν χρόνον.

Ἀνύποιστος, ἀνυποφόρητος. ἀνυπομόνητος. ἀπὸ τοῦ οἴω τὸ φέρω, γίνεται οἰστός. καὶ μετὰ τῆς ὑπὸ προθέσεως, ὑποιστος. καὶ κατὰ στέρησιν τοῦ α πλεονασμῷ τοῦ ν, ἀνύποιστος.

Ἀνώγεον, ἐκ τοῦ ἄνω, καὶ τὸ γαῖα. τὸ ἄνω τῆς γῆς ὄν, ἀνάγαιον δέ.

Ἀνωγῶ, Λαοὺς δ' Ἀτρείδης ἀπολυμαίνεσθαι ἄνωγεν. ἐκέλευεν. ἔστι τὸ θέμα ἀνωγῶ, πρώτης συζυγίας τῶν περισπωμένων. γέγονεν ἀνώγη, τοῦτο παρὰ τὸ ἄνω τὸ ἐγκελευσματικὸν ἐπίρρημα. ἢ παρὰ τὸ ἄγω, ἄγω, ἀγή, καὶ ἀνωγή, ἡ ἐγκέλευσις. δι' ἧς ἀγόμενοί τι καὶ φερόμεθα. ὁ παρατατικός, ἠνώγουν. τὸ τρίτον, ἠνώγει. Δέξασθ' ἀνώγει ὦ πένθει. ὁ μέλλων, ἀνωγήσω. ὁ ἀόριστος, ἠνώγησα. ὁ δεύτερος, ἤνωγε. καὶ κατὰ συστολήν, ἄνωγεν. ἢ ἐκ τοῦ ἀνάγω. ἢ ἐκ τοῦ ἀνάξω μέλλοντος. ὁ μέσος παρακείμενος, ἄνηγα. καὶ ὥσπερ ἐκ τοῦ πέπληγα μέσου παρακειμένου ἐγένετο ῥῆμα πεπλήγω, οὕτω καὶ ἀπὸ τοῦ ἄνηγα μέσου παρακειμένου, γίνεται ῥῆμα ἀνώγω, τροπῇ τοῦ μακροῦ εἰς μακρὸν τοῦ ἀνήγω. Πληθὺν δὲ ποτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι.

Ἄνωχθι. ἀνωγῶ, ἄνωγημι. τὸ προστακτικόν, ἀνώγηθι. τροπῇ τοῦ γ εἰς χ, καὶ συγκοπῇ, ἄνωχθι.

Ἀνόηστον. τὸ ἀπροσδόκητον, καὶ ἀνυπονόητον. παρὰ τὸ οἴω, τὸ ὑπονοῶ. ὅπερ ἐν διαιρέσει, γίνεται οἰΐω. ἐκ τούτου, οἰστός, καὶ ἀνοΐστος κατ' ἔκτασιν τοῦ ο εἰς ω. καὶ πάλιν οἰστή, καὶ ἐκτάσει τοῦ ο εἰς ω, ἀνωϊστί. σύνθετον. Καὶ ὁ δ' ὅμιλον ἀνωΐστως ἀφίκανεν. ἀπολλώνιος.

Ἄξονες. ξύλα ἦσαν τετράγωνα, ἀπὸ τοῦ ἐδάφους μέχρι τοῦ ὀρόφου διήκοντα. καὶ διά τινος περόνης στρεφόμενα. ἐφ' ὧν οἱ Σόλωνος νόμοι ἀπεγράφοντο. τοῖς τῶν ἁμαξῶν ἄξοσιν ὁμοίως κώδιξι στρεφόμενοι. λέγονται δὲ καὶ ἐν τοῖς μαθήμασιν ἄξονες, περὶ οὓς νοοῦνται τὰ σχήματα. οἷον, σφαῖραι, καὶ κύλινδροι, εἴτε καὶ τὰ τοιαῦτα. καὶ στρέφονται, καὶ συνίστανται.

Ἄορνος, λίμνη περὶ Τυρσηνίαν. φασὶ δὲ καὶ ἐν κώμῃ τῆς Χαλκίδος λίμνην εἶναι ἄορνον λεγομένην. ἐν ᾗ παραπεφυκότων πολλῶν δένδρων, μηδὲν τῶν ἀποπιπτόντων φύλλων ἐμπίπτειν εἰς αὐτήν. εἶναι δὲ καὶ νεκυομαντεῖον.

Ἄξιος, ἀπὸ τοῦ ἄγω, ἄξω, ἄξιος. ἀπὸ μεταφορᾶς τῶν σταθμῶν τῶν ἰσορροπίαν ἐχόντων.

Ἄξυλος. ὄνομα κύριον. ἀπὸ τοῦ ἄγω, ἄξω. τὰ διὰ τοῦ υλος τρισύλλαβα ποικίλα περὶ τὴν τάσιν εὑρίσκονται. καμπύλος. δάκτυλος. δέρκυλος. κρώβυλος.

Ἄξων. ἄξων καλεῖται, τὸ διῆκον διὰ τῶν τροχῶν ξύλον. παρὰ τὸ ἄγω.

Αξιόχρεων. τοῦ ἀξιόχρεως, ὡς ἀνάπλεως, ὡς ἀγήρως. τὰ οὐδέτερα διὰ τοῦ ω μεγάλου γράφονται. δεῖ γινώσκειν ὅτι πᾶν οὐδέτερον εἰς ν λῆγον ἀπαθὲς, βραχυκατάληκτον εἶναι θέλει. ξύλον. πτερόν. λουτρόν. χωρὶς τοῦ πᾶν, καὶ τῶν παρὰ τὸ ποιῶ. οἷον, δίπουν, τρίπουν. πρόσκειται ἀπαθὲς, διὰ τὸ ποιοῦν, καὶ χρυσοῦν. καὶ ὀστοῦν, καὶ χαλκοῦν. ταῦτα γὰρ ἀπὸ κράσεως γέγονε. καὶ τὸ διπλοῦν ἀπὸ τοῦ διπλόον καὶ τὸ εὔγηρων, ἀπὸ τοῦ εὔγηραον. τὸ καρχαρόδουν, καὶ τιμῆεν, ἀπὸ τοῦ καρχαρόδον, καὶ τιμῆεν γέγονε. τὸ μὲν, πλεονασμῷ τοῦ ι. τὸ δὲ, τοῦ υ. τὸ ἀνάπλεων, καὶ ἀξιόχρεων, τῇ ἀττικῇ ἐκτάσει ἔπαθον, ἀπὸ τοῦ ἀξιόχρεον, καὶ ἀνάπλεον τῶν διὰ τὸ ο. οὕτως ὁ χοιροβοσκὸς εἰς τὸν τέταρτον κανόνα τῶν οὐδετέρων.

Αξιεπαινέστατον. ἀξιολογώτατον. ἐπαινετώτατον.

Αοιδὸς, καὶ ἀοίδιμος. παρὰ τὸ ἀείδω, ἀοιδός. τὸ ἀείδω, κατὰ συναλοιφὴν γέγονεν ᾄδω. ὁμοίως δὲ ἀοιδὸς, ᾠδός. καὶ τὸ ἀοιδὴ, ᾠδή. ἀπὸ τοῦ ἀοιδὸς, ἀοιδῶ ῥῆμα παρῆκται. εἶτα ὡς κνηθῶ κνηθιῶ, μειδῶ μειδιῶ, οὕτως ἀοιδῶ, ἀοιδιῶ. καὶ κατὰ παραγωγὴν ἀοίδιμος. ἢ παρὰ τὴν ἀοιδὴν, ἀοίδιμος. ὡς τροφὴ, τρόφιμος. τουτέστιν ὁ ἀεὶ ἐν ᾠδαῖς ὀνομαζόμενος. ἢ μνημονευόμενος, ἤγουν διαβόητος, καὶ θαυμαστός. ὡς τὸ, Ὀπίσσω ἀνθρώποισι πελώμεθ᾽ ἀοίδιμοι ἐσσομένοισιν.

Αοπον. ἄφωνον. ἢ ἀόρατον. καὶ ἄοπος.

Αορ. παρὰ τὸ ἀείρω, ἄορ, τὸ ξίφος. ὅπλον. δόρυ.

Αορτὴρ, καὶ ἀορτήρ. τὸ ἀπηρτημένον. ἢ παρὰ τὸ αἴρω, ἀρτήρ, καὶ πλεονασμῷ τοῦ ο, ἀορτήρ. ὁ ἱμὰς δι᾽ οὗ τὸ ξίφος κρέμαται. Αὐτὰρ περὶ κουλεὸν ἦεν χρυσέοισιν ἀορτῆρσιν.

Αοσσητήρ. παρὰ τὸ ὄσσον, ὀσσητήρ, ... ρεατὴν δρηκρός. καὶ ἀοσσητήρ, ὁ βοηθός. ὁ ἀνὰ ὄσσης ὡς κληδόνος βοηθῶν αὐτομάτως. ἔθος γὰρ τοῖς παλαιοῖς τοὺς τῶν συνθανομένοις μαντείας βοηθεῖν.

Αοζος. ἀοζήσω. διακονήσω, ὑπουργήσω, καὶ ὁ ὑπηρέτης.

Αολλέες. ἤτοι τὸ συνηθροισμένοι. εἴρηται δὲ παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι. τοῦ α τοῦ ὁμοῦ σημαίνοντος. ἀπὸ γὰρ τοῦ εἴλω ῥήματος τοῦ σημαίνοντος τὸ συστρέφω, ἢ εἰλῶ, γίνεται ῥηματικὸν ὄνομα ἐλλής. καὶ μετὰ τοῦ α ἐπιτατικοῦ ἢ ὁμοῦ, ἀελλής. καὶ τροπῇ τοῦ ε εἰς ο, ἀολλής. καὶ ἐντεῦθεν τῶν πληθυντικῶν, ἀολλέες. ἐκ δὲ τοῦ ἀολλής, γίνεται ῥῆμα ἀολλίζω, τὸ συναθροίζω. ἐξ οὗ τὸ, Αἱ δ᾽ ἀολλίσσασα γεραιάς.

Αωρτο. Ἥ οἱ πὰρ ξίφος μέγα κουλεὸν αἰὲν ἄωρτο. ὁ μὲν ἡρωδιανὸς, λέγει ὅτι σημαίνει τὸ ἥρμοστο. τουτέστι παρὰ τοῦ ξίφους. ἐκ τοῦ ἄρω τὸ ἁρμόζω. ὁ μέλλων αἰολικῶς, ἄρσω. ὁ παρακείμενος, ἦρκα. ὁ παθητικὸς, ἦρμαι. ὁ ὑπερσυντέλικος, ἥρμην, ἦρσο, ἦρτο. ἰωνικῶς κατὰ συστολὴν, ἄρτο. καὶ πλεονασμῷ τοῦ ω, ἄωρτο. ὡς παρὰ τὸ εἴθα εἴωθα. τινὲς δὲ λέγουσι τὸ ἐκρέματο. καὶ γίνεται ἐκ τοῦ αἴρω, τὸ κουφίζω καὶ κρεμῶ. ὁ μέλλων, ἀρῶ. καὶ αἰολικῶς, ἄρσω. ἦρκα. ἤρμην, ἦρτο. καὶ τεθ ἐπὶ τοῦ μακροῦ εἰς μακρὸν, ὦρτο. καὶ πλεονασμῷ τοῦ ω, ἄωρτο.

Αωρες, αἱ γυναῖκες. παρὰ τὸ α ποιητικῶς, ἄωρες. τὸ ὁμοῦ ἀρηρέναι, καὶ συναρμόσθαι τῷ ἀνδρί. γίνεται ὄαρος, ἔνθεν ὄαροι. καὶ κατὰ μεταπλασμὸν, ὄαρες, καὶ καθ᾽ ὑπέρθεσιν καὶ ἔκτασιν, ἄωρες.

Αωροι. ἤτοι πόδες εἰσὶ δυώδεκα πάντες ἄωροι. ὀδυσσείας μ. λεπτοὶ καὶ ἀσθενεῖς. ἢ δυσφύλακτοι διὰ τὴν δεινότητα. ἢ ὠμοὶ, καὶ ἄγριοι. ἐκ μεταφορᾶς τῶν ἀώρων καὶ μὴ πεπείρων καρπῶν. ἢ οὐδεμιᾶς φροντίδος ἄξιοι. ἢ δυσόρμητοι. οὐ γὰρ χρῶνται αὐτοῖς εἰς πορείαν. ὦρος, καὶ ἄωρος. κατὰ πλεονασμὸν, τοῦ α μηδὲν πλέον σημαίνοντος. ὦρος γὰρ ὁ ὕπνος. καλλίμαχος. Πολλάκι καὶ κανθῶν ἠλάστασα ὦρον ἀπ᾽. καὶ σαπφώ. Ὀφθαλμοῖς δὲ μέλας χύτ᾽ ἄωρος. ἢ ἄωρον τὸν ὕπνον, ὃν μηδεὶς φροντίζοντα. ὥρα γὰρ ἡ φροντίς. ἔνθεν καὶ ὀλίγωρος. ἢ τὸν ἀώριον γινόμενον τῆς νυκτός. οἱ δὲ, τὸν ἀφύλακτον. ὥρα γὰρ ἡ φυλακή. ἔνθεν καὶ παρὰ ἀττικοῖς οἰωροί. Καλλίμαχος δὲ κατὰ μετάληψιν τοὺς ἀγρίους. ἄωρον γὰρ τὸν ὠμόν. τὸ δὲ ὠμὸν, ἄγριον. ὅθεν καὶ τοὺς ὠμοὺς τῶν καρπῶν, ἀώρους φασίν. οἱ δὲ τὸν μέγα, τὸν μὴ ὅρον ἔχοντα. ἢ τοὺς ἄγαν ὀρούοντας. οὕτως ἐπαφρόδιτος, ἐν ὑπομνήματι τῆς μ ὀδυσσείας. ἔνιοι δὲ ἀπέδοσαν ἄμοροι ἀντὶ ἰχθυοφόροι, ἰχθῦς φέροντες. καὶ ἀμωρεύουσιν, ἰχθυοφοροῦσιν.

Αωρία. ἔστιν ὥρα ὅσῃ ἐστὶ τὸ φῶς. καὶ μετὰ τοῦ στερητικοῦ α, ἄωρος. καὶ τὸ θηλυκὸν, ἀωρία. ἤγουν σκότος. τοῦτο δὲ παρὰ τὸ ὁρῶ, τὸ βλέπω. ὁ μέσος παρακείμενος, ὦρα. καὶ μετάγεται εἰς ὄνομα.

Αωροτέρα. πρεσβυτέρα.

Αῷος. ποταμὸς τῆς κύπρου. ἀῷος γὰρ ὁ ἄδωνις ὠνομάζετο. καὶ ἀπ᾽ αὐτοῦ οἱ κύπρου βασιλεύσαντες. φίλος δὲ ὁ κεδρασιεὺς καὶ αὐτὸν ἀπὸ τῆς ἑαυτοῦ μητρὸς κληθῆναι. τὴν γὰρ θείαντος μητέρα οὐ σμύρναν, ἀλλ᾽ ἀῴαν καλοῦσι. φιλέας δὲ πρῶτον βασιλέα ἀῷον ἠοῦς ὄντα καὶ κεφάλου. ἀφ᾽ οὗ καὶ ὄρος τι ὀνομασθῆναι ἀῷον. ἐξ οὗ β ποταμῶν φερομένων, σεράχου τε καὶ πλιέως, τὸν ἕνα τούτων ὁ παρθένιος, ἀῷον κέκληκε. ἢ διὰ τὸ πρὸς τὴν ἠῶ τετραμμένην ἔχειν τὴν ῥύσιν, καθά φησιν ὁ παρθένιος. Κωρυκίων στεύμενος ἐξ ὀρέων ἀνατολικῶν ὄντων. δύναται δὲ οὕτω καλεῖσθαι καθ᾽ ὃ ἡ κιλικία ἀῴα πάλαι ὠνομάζετο.

Αωτον. λινοῖό τε λεπτὸν ἄωτον. περιφραστικῶς, λινοῦν περιβόλαιον. ἄωτον, σημαίνει τὸ ἄνθος. καὶ Οἰὸς ἄωτον. καὶ Τί πάννυχον ὕπνον ἀωτεῖς. ἀντὶ τοῦ ἀπανθίζῃ τὸν ὕπνον. ἐκ δὲ τούτου καθεύδεις. καὶ ἀωτεῖτε, ῥῆμα προστακτικόν. ἀντὶ τοῦ ἀπανθίζεσθε τὸ κάλλιστον τοῦ ὕπνου. ἀπὸ τοῦ ἄω, τὸ πνέω. ἢ ἀπὸ τοῦ ἄσατε. οἷον, καθεύδετε ὕπνον. λέγεται δὲ καὶ τὸ ἀνώτατον. καὶ ἀκρωτήριον. καὶ ὕψος. καὶ κατὰ μετάληψιν, σημαίνει τὸν ἀνθοῦντα καρπὸν ἀπὸ τοῦ ἄκρου σπουδαῖον. καὶ ἀρσενικῶς, ἄωτος.

Απαλός, παρὰ τὸ ἁφή. ὁ τῇ ἁφῇ εἴκων ἁφαλός τις ὤν. ἐκ τοῦ ἁπαλὸς, ἁπαλή. ἁφή, ἁφαλὸν, καὶ ἁπαλόν. οἱονεὶ τὸ εὐαφὲς, καὶ τρυφερόν.

Απάλαμνος. ἄδηλος. ἀσθενής. ἀχρεῖος. ἄτεχνος. ὁ μὴ δυνάμενος παλαμήσασθαι, ὅ ἐστι τεχνάσασθαι.

Απαλθήσεσθε. ἰαθήσεσθε. ἀλθέω, ἢ ἐργάσασθαι. ἀλθῶ, ἀλθήσω. ἀλθήσομαι, ἀλθήσῃ, ἀλθήσεσθε. καὶ ἀπαλθήσεσθε. τοῦτο παρὰ τὸ ἄλδω, τὸ αὐξάνω.

Απαγορεύω. ἡ ἀπὸ πρόθεσις, ἐνταῦθα δηλοῖ τὸ χωρίζεσθαι. ὁ γὰρ ἀπαγορεύων, ἐκτὸς γίνεται τοῦ λέγειν.

Απαμείρεται, ἀποκεχώρισται. ἐκ τοῦ μείρω, τὸ μερίζω. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀμείρω, καὶ ἀπαμείρω.

Απάμεια, πόλις βιθυνίας. πρότερον μυρλέα καλουμένη. ἣν λαβὼν δῶρα παρὰ φιλίππου τοῦ δημητρίου ὁ ζηίλας, μετωνόμασεν ἀπάμειαν, ἀπὸ τῆς ἑαυτοῦ γυναικὸς ἀπάμας. ἕρμιππος ἐν τῷ περὶ τῶν ἐν παιδείᾳ λαμψάντων λόγῳ. οὕτως ὦρος.

Απάνευθεν. ἐπίρρημα τοπικόν. ἐκ τῆς ἀνὰ προθέσεως. ἀνὰ, ἄνευ, ἄνευθεν, καὶ ἀπάνευθεν. τὸ ἄποθεν, καὶ χωρίς. καὶ ἄτερθεν, καὶ ἀπάτερθεν, τὸ αὐτό.

Απαρκτίαις. πρηστῆρος αἴθωνος πνοαῖς, ταῖς ἀπὸ τῆς ἄρκτου πνεούσαις. λυκόφρων.

Απάργματα. λέγεται τὰ ὑπὸ τῶν τραγῳδῶν λεγόμενα μασχαλίσματα. ταῦτα δέ ἐστι τὰ τοῦ φονευθέντος ἀκρωτηριάσματα. ἔθος γὰρ ἦν τοῖς δολοφονήσασιν ἀφοσιῶσαι τὸν φόνον, διὰ τοῦ δολοφονηθέντος ἀκρωτηριασμοῦ. τὰ δὲ ἀκρωτήρια αἴροντες καὶ συρράπτοντες διὰ τῶν τοῦ νεκροῦ μασχαλῶν καὶ τοῦ τραχήλου περιεδέοντο τῷ νεκρῷ. καθά φησι σοφοκλῆς. Ὑφ᾽ ἧς θανὼν ἄτιμος ὥστε δυσμενὴς ἐμασχαλίσθη. ζήτει εἰς τὸ μ. ὅτι δὲ καὶ ἔγλειχον τοῦ αἵματος καὶ ἀπέπτυον, αἰσχύλος μαρτυρεῖ, καὶ ἀπολλώνιος, ὁ τὰ ἀργοναυτικά. Ἥρως δ᾽ αἰσονίδης ἐξάργματα τάμνε θανόντος, τρὶς δ᾽ ἀπέλειξε φόνου. ἐκ τοῦ λείχω, τὸ ἀπεγεύσατο. Τρὶς δ᾽ ἐξ ἄγος ἔπτυσ᾽ ὀδόντων ἣ θέμις αὐθέντῃσι δολοκτασίας ἱλάεσθαι. ἢ ἀπάργματα, αἱ μεγάλαι ἀπαρχαὶ τῶν θυσιῶν τῶν τελείων. παρὰ τὸ ἄρχω ἀπάρχω, ἄργμα, καὶ ἄπαργμα, ὡς ὅμηρος. Ἄργματα θῦσε θεοῖς αἰειγενέτῃσιν.

Απαρτία, ὁ κατὰ τὸν οἶκον κόσμος. τὰ λεγόμενα ἔπιπλα. λέγεται δὲ ἀπάρτη, ἀπαρτία. παράγωγον, ἀπαρτίζω, τὸ ἀρτίως ὅ ἐστιν εὐαρμόστως συμπληρῶ. καὶ ἀπαρτία. ἀπαρτιλογία, ἡ ἀπηρτισμένη. ἀπάρτια, τὰ ἔπιπλα.

Απαστος. παρὰ τὸ πῶ, τὸ ἐσθίω. καὶ πόα ἡ βοτάνη. καὶ πηγός, καὶ φηγός. ἡ πρώτη γὰρ τροφὴ ἀπὸ δρυῶν. πῶ οὖν, παράγωγον, πατῶ. ὡς μῶ, τὸ ζητῶ, ματῶ. ὅθεν καὶ μαστός. πέπασμαι, πέπασαι, πέπασται, παστός, ὁ βεβρωκώς. καὶ ἄπαστος, ὁ ἄγευστος. Ὁ δ᾽ ἄκμηνος, καὶ ἄπαστος ἐδητύος. νῆστις. καὶ ἀπαστία ἡ νηστεία. λέγεται δὲ καὶ ἀπαστύς.

Απάτη. ἐκ τοῦ ἀπαφῶ, ἀπάτη, καὶ ἀπατῶ. ἢ ἄατη, καὶ πλεονασμῷ τοῦ π, ἀπάτη. καὶ ἀπατηλός, ἐκ τοῦ ἀπατῶ, ἀπατήσω.

Απατούρια. ἀπατήνωρ, οὐχ ὁ διόνυσος, ἀλλ᾽ ὁ ζεύς. καὶ ἀπατουρία, ἑορτὴ ἐπιτελουμένη τῷ διονύσῳ τῷ πυανεψιῶνι μηνί. ἢ ἐπειδὴ ἐν ταύτῃ τῇ ἑορτῇ τοὺς γεννωμένους ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ παῖδας τότε ἐνέγραφον ὀμνύντες οἱ πατέρες. ἢ μὴν ἀθηναίοις, ἐξ αὐτῶν ἀθηναίων. ἐδόκουν τε οἱ παῖδες πρὸ τούτου ἀπάτορες ὄντες, τότε πατέρας ἔχειν. ἢ ἀπὸ τῆς ἀπάτης. ξάνθος βασιλεὺς ὢν τῶν βοιωτῶν προσεκαλέσατο πρὸς μονομαχίαν θυμοίτην τῶν ἀθηναίων βασιλέα περὶ τῆς χώρας. καὶ ὁ μὲν θυμοίτης, ἀνεδειλίασε. μελάνθιος δὲ ὑπὲρ τῶν ἀθηναίων, ὑπέστη τὴν μονομαχίαν. καὶ συνιόντων, εὐξαμένου ἀπατῆσαι τὸν ξάνθον, θῦσαι τῷ διονύσῳ. φανῆναι δὲ τὸν διόνυσον τῷ ξάνθῳ αἰγέαν ἐνημμένον μέλαιναν. καὶ τὸν μελάνθιον εἰπεῖν, ὡς οὐ μόνος, ἀλλὰ δεύτερος εἶ. ἐπιστραφέντος δὲ ἐκείνου, τὸν μὲν θεὸν ἀφανῆ γενέσθαι, τὸν δὲ μελάνθιον παῖσαι καὶ ἀποκτεῖναι τὸν ξάνθον. νικήσαντες οὖν ἀθηναῖοι, ἀπατήνορα μὲν Δία προσηγόρευσαν. ἀπατούρια δὲ, ἑορτὴν τῷ διονύσῳ.

Απαυλία. ἑορτὴ παρὰ ἀθηναίοις. ὅτι ὅτε ἄρχεται ἡ κόρη χωρὶς τοῦ πατρὸς αὐλίζεσθαι. ἢ ὅτε ἐπαυλίζετο τῷ ἀνδρὶ ἡ γυνή.

Απαυρῶ τὸ ἀφελῶ. ἀπὸ τοῦ αἴρω, αὐρῶ. ὡς κλαίω, κλαύσω. καὶ παίω παύσω. ὁ παρατατικός, ἀπηύρων, τὸ ἀφειλόμην.

Απαυθαδίζω. ἀπὸ τοῦ αὐθάδης, αὐθαδιάζω πλεονασμῷ τοῦ α. ἐκ δὲ τῆς αὐτῆς ἀντωνυμίας καὶ τοῦ ἅδω, αὐθάδης, ὁ ἑαυτοῦ ἀρέσκων.

Απαφῶ, τὸ ἀπατῶ. ἀφῶ τὸ κακῶς λέγω. ὡς ἄμορφον λέ γυναῖκα. καὶ κατὰ σύνθεσιν ἀπαφῶ. ἔνθεν, τὸ ἀπαφίσκω, τὸ ἀπατῶ, καὶ παραλογίζομαι. ἡ ἀπὸ τὸ ἄποθεν δηλοῖ. καὶ ἔγκειται τὸ φῶ, τὸ φαίνω. ἐξ οὗ καὶ φενακῶ, φενάκη.

Απαιωρῶ. ἐκ τοῦ αἴρω τὸ κουφίζω, πλεονασμῷ τοῦ ω. ἀπαιωρῶ, ἀπαιωρήσω. ὁ ἀόριστος, ἀπῃώρησα. ἡ μετοχή, ἀπαιωρήσας, καὶ ἀπαιωρημένος.

Απαισος. παισός, ὡς ὁ ποιητής φησιν. Οἳ δ᾽ ἐνὶ παισῷ ναῖε. ἐν ἑτέροις δὲ δῆμον ἀπαισοῦ. παισὸς δὲ εἴρηται. παρὰ τὸ τὴν ἀργὼ προσορμίζουσαν ἐκεῖσε παῖσαι καὶ προσεγγίσαι. παισός. καὶ πλεονασμῷ τοῦ α ἄπαισος. ἡρωδιανός.

Απαιγλήεντος. αἰγλήεις, παρὰ τὴν αἴγλην. ἀπαιγλήεντος. ἀπὸ τοῦ λαμπροτάτου.

Απέσας. ἡσίοδος, Κοιρανέων ἐκ τοῖο νεμείης ἠδ᾽ ἀπέσαντος. ὄρος τῆς νεμέας ἀπέσας. ἀφέσας τις ὤν. ὅθεν ἀφίενται οἱ ἵπποι εἰς τὸν δρόμον τοῦ νεμείου ἀγῶνος. ἀφέσας, καὶ ἀπέσας. νέμεια δὲ πόλις θεσσαλίας.

Απέσαν, ἀπέλαβον. διατί προπαροξύνεται. πᾶν ῥῆμα εἰς αν λῆγον χρόνῳ βραχεῖ παραληγόμενον ἁπλοῦν ἢ σύνθετον ὅ ἐστιν ὑπὲρ β συλλαβὰς προπαροξύνεται εἰ μὴ δωρικὸν εἴη προπερισπᾶται δὲ μακρᾶς οὔσης. ὅθεν τὸ μὲν ἀπέσαν τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν. τὸ δὲ ἀπῆσαν οὐκέτι.

Ἀξιόχρεων. τοῦ ἀξιόχρεως, ὡς ἀνάπλεως, ὡς ἀγήρως. τὰ οὐδέτερα διὰ τοῦ ω μεγάλου γράφονται. δεῖ γινώσκειν ὅτι πᾶν οὐδέτερον εἰς ν λῆγον ἀπαθὲς, βραχυκαταληκτεῖν θέλει. ξύλον. πτερόν. λουτρόν. χωρὶς τοῦ πᾶν, καὶ τῶν παρὰ τὸ ποιῶ. οἷον, δίπουν, τρίπουν. πρόσκειται ἀπαθὲς, διὰ τὸ ποιοῦν, καὶ χρυσοῦν. καὶ ὀστοῦν, καὶ χαλκοῦν. ταῦτα γὰρ ἀπὸ κράσεως γέγονε. καὶ τὸ διπλοῦν ἀπὸ τοῦ διπλόον καὶ τὸ εὔκερων, ἀπὸ τοῦ εὔκεραον. τὸ καρχαρόδουν, καὶ τιμῆεν, ἀπὸ τοῦ καρχαρόδοντ, καὶ τιμῆεντ γέγονε. τὸ μὲν, πλεονασμῷ τοῦ ι. τὸ δὲ, τοῦ υ. τὸ ἀνάπλεων, καὶ ἀξιόχρεων, τῇ ἀττικῇ ἐκτάσει ἔπαθον, ἀπὸ τοῦ ἀξιόχρεον, καὶ ἀνάπλεον τῶν διὰ τὸ ο. οὕτως ὁ χοιροβοσκὸς εἰς τὸν τέταρτον κανόνα τῶν οὐδετέρων.

Ἀξιεπαινετώτατον. ἀξιολογώτατον. ὅθεν ἐπαινετόν.

Ἀοιδὸς, καὶ ἀοίδιμος. παρὰ τὸ ἀείδω, ἀοιδός. τὸ ἀείδω, κατὰ συναλοιφὴν γέγονεν ᾄδω. ὁμοίως τὸ ἀοιδὸς, ᾠδός. καὶ τὸ ἀοιδὴ, ᾠδή. ἀπὸ τοῦ ἀοιδὸς, ἀοιδῶ ῥῆμα παρῆκται. εἶτα ὡς κινηθῶ κινηθίω, μειδῶ μειδιῶ, οὕτως ἀοιδῶ, ἀοιδιῶ. καὶ κατὰ παραγωγὴν ἀοίδιμος. ἢ παρὰ τὴν ἀοιδὴν, ἀοίδιμος. ὡς τροφὴ, τρόφιμος. τουτέστιν ὁ ἀεὶ ἐν ᾠδαῖς ὀνομαζόμενος. ἢ μνημονευόμενος, ἤγουν διαβόητος, καὶ θαυμαστός. ὡς τὸ, Ὀπίσσω ἀνθρώποισι πελώμεθ' ἀοίδιμοι ἐσσομένοισιν.

Ἄοπον. ἄφωνον. ἢ ἀόρατον. καὶ ἄοπος.

Ἄορ. παρὰ τὸ ἀείρω, ἄορ, τὸ ξίφος. ὅπλον. δόρυ.

Ἀορτὴρ, καὶ ἀοστήρ. τὸ ἀπηρτημένον. ἢ παρὰ τὸ αἴρω, ἀρτὴρ, καὶ πλεονασμῷ τοῦ ο, ἀορτήρ. ἢ ὁ ἱμὰς δι' οὗ τὸ ξίφος κρέμαται. Αὐτὰρ πεὶ κουλεὸν ἦεν χρυσέοισιν ἀορτήρ.

Ἀοσσητήρ. παρὰ τὸ ὄσσον, ὀσσητήρ, ‹…› ῥοσσεῖν ἀρηγός. καὶ ἀοσσητήρ, ὁ βοηθός. ὁ ἀνακλήσεως ὄσσης ἡ κληδὼν βοηθῶν αὐτομάτως. ἔθος γὰρ τοῖς παλαιοῖς τοὺς τῶν πυνθανομένοις μαντείας βοηθεῖν.

Ἄοζος. ἀοζήσω. διακονήσω, ὑπουργήσω, καὶ ὁ ὑπηρέτης.

Ἀολλέες. ἤτοι οἱ συνηθροισμένοι. εἴρηται δὲ παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι. τοῦ α τοῦ ὁμοῦ σημαίνοντος. ἀπὸ γὰρ τοῦ εἴλω ῥήματος τοῦ σημαίνοντος τὸ συστρέφω, ἢ εἰλῶ, γίνεται ῥηματικὸν ὄνομα ἐλλής. καὶ μετὰ τοῦ α ἐπιτατικοῦ ἢ ὁμοῦ, ἀελλής. καὶ γέγονε τροπῇ τοῦ ε εἰς ο, ἀολλής. ὡς ἡ εὐθεῖα τῶν πληθυντικῶν, ἀολλέες. ἐκ δὲ τοῦ ἀολλής, γίνεται ῥῆμα ἀολλίζω, τὸ συναθροίζω. ἐξ οὗ τὸ, Ἀολλί-

Ἄωρτο. Ἦ οἱ πὰρ ξίφος μέγα κου- ‹…› στασα γεραιάς. λεὸν αἰὲν ἄωρτο. ὁ μὲν ἡρωδιανὸς, λέγει ὅτι σημαίνει τὸ ἥρμοστο. τουτέστι παρὰ τοῦ ξίφους. ἐκ τοῦ ἄρω τὸ ἁρμόζω. ὁ μέλλων αἰολικῶς, ἄρσω. ὁ παρακείμενος, ἦρκα. ὁ παθητικὸς, ἦρμαι. ὁ ὑπερσυντέλικος, ἥρμην, ἦρσο, ἦρτο. ἰωνικῶς κατὰ συστολὴν, ἄρτο. καὶ πλεονασμῷ τοῦ ω, ἄωρτο. ὡς παρ' ἔθα εἴωθα. τινὲς δὲ λέγουσι τὸ ἐκρέματο. καὶ γίνεται ἐκ τοῦ αἴρω, τὸ κουφίζω καὶ κρεμῶ. ὁ μέλλων, ἀρῶ. καὶ αἰολικῶς, ἄρσω. ἦρκα. ἤρμην, ἦρτο. καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν, ὦρτο. καὶ πλεονασμῷ

Ἄωρες, αἱ γυναῖκες. παρὰ ‹…› τοῦ α ποιητικῶς, ἄορτο. τὸ ὁμοῦ ἠρτῆσθαι, καὶ συναρμόσθαι τῷ ἀνδρί. γίνεται ὄαρος, ἡ εὐθεῖα ὄαροι. κατὰ μεταπλασμὸν, ὄαρες, καὶ καθ' ὑπέρθεσιν καὶ ἔκτασιν, ἄωρες.

Ἄωροι. ἤτοι πόδες εἰσὶ δυώδεκα πάντες ἄωροι. ὀδυσσείας μ̄. λεπτοὶ καὶ ἀσθενεῖς. ἢ δυσφύλακτοι διὰ τὴν δεινότητα. ἢ ὠμοὶ, καὶ ἄγριοι. ἐκ μεταφορᾶς τῶν ἀώρων καὶ μὴ πεπείρων καρπῶν. ἢ οὐ δεμάς φροντίδος ἄξιοι. ἢ δυσόρμητοι. οὐ γὰρ χρῶνται αὐτοῖς εἰς πορείαν. ὦρος, καὶ ἄωρος. κατὰ πλεονασμὸν, τοῦ α μηδὲν πλέον ἤτοι. ὦρος γὰρ ὁ ὕπνος. καλλίμαχος. Πολλάκι καὶ κανθῶν ἠλάστασα ὦρον ἀπό. καὶ σαπφώ. Ὀφθαλμοῖς δὲ μέλας χύτο νύκτος ἄωρος. ἢ ἄωρον τὸν ὕπνον, τὸν μηδενὸς φροντίζοντα. ὤρα γὰρ ἡ φροντίς. ἐξ οὗ καὶ ὀλίγωρος. ἢ τὸν ἀώριον γινόμενον τῆς νυκτός. οἱ δὲ, τὸν ἀφύλακτον. ὤρα γὰρ ἡ φυλακή. ἔνθεν καὶ παρὰ ἀττικοῖς οἱ ὦροι. καλλίμαχος δὲ κατὰ μετάληψιν τοὺς ἀγρίους. ἄωρον γὰρ τὸν ὠμόν. τὸ δὲ ὠμὸν, ἄγριον. ὅθεν καὶ τοὺς ὠμοὺς τῶν καρπῶν, ἀώρους φασίν. οἱ δὲ τὴν μεγάλα, τὴν μὴ ὅρον ἔχοντα. ἢ τοὺς ἀπαιωροῦντας. οὕτως ἐπαφρόδιτος, ἐν ὑπομνήματι τῆς μ̄ ὀδυσσείας. ἔνιοι δὲ ἀπέδοσαν ἄμοιροι ἂν ἰχθυοφόροι ἰχθῦς φέροντες. καὶ ἀμορβοῦσιν, ἰχθυοφοροῦσιν.

Ἀωρία. ἔστιν ὥρα ὅ ἐστι τὸ φῶς. καὶ μετὰ τοῦ στερητικοῦ α, ἄωρος. καὶ τὸ θηλυκὸν, ἀωρία. ἤγουν σκότος. τοῦτο δὲ παρὰ τὸ ὁρῶ, τὸ βλέπω. ὁ μέσος παρακείμενος, ὧρα. καὶ μετάγεται εἰς ὄνομα.

Ἀωρότερα. πρεσβύτερα.

Ἀῷος. ποταμὸς τῆς κύπρου. ἀῷον γὰρ ὁ ἄδωνις ὠνόμαζε τό. καὶ ἀπ' αὐτοῦ οἱ κύπρου βασιλεύσαντες. φίλος δὲ ὁ κεδρασεὺς καὶ αὐτὸν ἀπὸ τῆς ἑαυτοῦ μητρὸς κληθῆναι. τὴν γὰρ θείαντος μητέρα οὐ σμύρναν, ἀλλ' ἀῷαν καλοῦσι. φιλέας δὲ πρῶτον βασιλέα ἀῷον ἠοῦς ὄντα καὶ κεφάλου. ἀφ' οὗ καὶ ὄρος τι ὄνομα ἀθηαῷον. ἐξ οὗ β̄ ποταμῶν φερομένων στράχου καὶ πλιέως, τὸν ἕνα τούτων ὁ παρθένιος, ἀῷον κέκληκε. ἢ διὰ τὸ πρὸς τὴν ἠῶ τετραμμένην ἔχειν τὴν ῥύσιν, καθά φησιν ὁ παρθένιος. Κωρυκίων σεύμενος ἐξ ὀρέων ἀνατολικῶν ὄντων. δύναται δὲ οὕτω καλεῖσθαι καθ' ὅ ἡ κιλικία ἀῷα πάλαι ὠνομάζετο.

Ἄωτον. λίνοιό τε λεπτὸν ἄωτον. περιφραστικῶς, λινοῦν περιβόλαιον. ἄωτον, σημαίνει τὸ ἄνθος. καὶ Οἰὸς ἄωτον. καὶ Τί πάννυχον ὕπνον ἀωτεῖς. ἀντὶ τοῦ ἀπανθίζεις τὸν ὕπνον. ἐκ δὲ τούτου καθεύδεις. καὶ ἀωτεῖτε, ῥῆμα προστακτικόν. ἀντὶ τοῦ ἀπανθίζεσθε τὸ κάλλιστον τοῦ ὕπνου. ἀπὸ τοῦ ἄω, τὸ πνέω. ἢ ἀπὸ τοῦ ἄσατε. οἷον, καθεύδετε ὕπνον. λέγεται δὲ καὶ τὸ ἀνώτατον. καὶ ἀκρωτήριον. καὶ ὕψος. καὶ κατὰ μετάληψιν, σημαίνει τὸν ἀνθοῦντα καρπὸν ἀπὸ τοῦ ἄκρου σπουδαῖον. καὶ ἀρσενικῶς, ἄωτος.

Ἁπαλός, παρὰ τὸ ἁφή. ὅτι τῇ ἁφῇ εἴκων ἀφαλός τις ὤν. ἐκ τοῦ ἀπαλὸς, ἀπαλή. ἁφή, ἀφαλὸν, καὶ ἀπαλόν. οἱονεὶ τὸ εὐαφὲς, καὶ τρυφερόν.

Ἀπάλαμνος. δειλός. ἀσθενής. ἄχρηος. ἄτεχνος. ὁ μὴ δυνάμενος παλαμήσασθαι, ὅ ἐστι τεχνάσασθαι.

Ἀπαλθήσεσθε. ἰαθήσεσθε. ἀλθέω, ‹…› ἢ ἐργάσασθαι. ἀλθῶ, ἀλθήσω. ἀλθήσομαι, ἀλθήσῃ, ἀλθήσεσθε. καὶ ἀπαλθήσεσθε. τοῦτο παρὰ τὸ ἄλδω, τὸ αὐξάνω.

Ἀπαγορεύω. ἡ ἀπὸ πρόθεσις, ἐνταῦθα δηλοῖ τὸ χωρίζεσθαι. ὁ γὰρ ἀπαγορεύων, ἐκ τῆς γίνεται τοῦ λέγειν.

Ἀπαμείρεται, ἀποκεχώρισται. ἐκ τοῦ μείρω, τὸ μερίζω. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀμείρω, καὶ ἀπαμείρω.

Ἀπάμεια, πόλις βιθυνίας. πρότερον μυρλέα καλουμένη. ἣν λαβὼν δῶρα παρὰ φιλίππου τοῦ δημητρίου ὁ ζηίλας, μετωνόμασεν ἀπάμειαν, ἀπὸ τῆς ἑαυτοῦ γυναικὸς ἀπάμας. ἕρμιππος ἐν τῷ περὶ τῶν ἐν παιδείᾳ λαμψάντων λόγῳ. οὕτως ὦρος.

Ἀπάνευθεν. ἐπίρρημα τοπικόν. ἐκ τῆς ἀνὰ προθέσεως. ἀνά, ἄνευ, ἄνευθεν, καὶ ἀπάνευθεν. τὸ ἄποθεν, καὶ χωρίς. καὶ ἄτερθεν, καὶ ἀπάτερθεν, τὸ αὐτό.

Ἀπαρχίδες. πρηστῆρος αἴθωνος πνοαῖς, ταῖς ἀπὸ τῆς ἀρχῆς πνεούσαις. λυκόφρων.

Ἀπάργματα. λέγεται τὰ ὑπὸ τῶν τραγῳδῶν λεγόμενα μασχαλίσματα. ταῦτα δέ ἐστι τὰ τοῦ φονευθέντος ἀκρωτηριάσματα. ἵνα γὰρ νομιζόμενον, τοῖς δολοφονήσασιν ἀφοσιῶσαι τὸν φόνον, διὰ τοῦ δολοφονηθέντος ἀκρωτηριασμοῦ. τὰ δὲ ἀκρωτήρια εἴροντες καὶ συρράπτοντες διὰ τῶν τοῦ νεκροῦ μασχαλῶν καὶ τοῦ τραχήλου παρεῖθεντο τῷ νεκρῷ. καθά φησι σοφοκλῆς. Ὑφ' ἧς θανὼν ἄτιμος ὥστε δυσμενὴς ἐμασχαλίσθης. ζήτει εἰς τὸ μ. ὅτι δὲ καὶ ἐγεύοντο τοῦ αἵματος καὶ ἀπέπτυον, αἰσχύλος μαρτυρεῖ, καὶ ἀπολλώνιος, ὁ τὰ ἀργοναυτικά. Ἥρως δ' αἰσονίδης ἐξάργματα τάμνε θανόντος, τρὶς δ' ἀπέλειξε φόνου. ἐκ τοῦ λείχω, τὸ ἀπεγεύσατο. Τρὶς δ' ἐξ ἄγος ἔπτυσ' ὀδόντων ἣ θέμις. αὐθέντῃσι δολοκτασίας ἱλάεσθαι. ἢ ἀπάργματα, αἱ μεγάλαι ἀπαρχαὶ τῶν θυσιῶν τῶν τελείων. παρὰ τὸ ἄρχω ἀπάρχω, ἄργμα, καὶ ἄπαργμα, ὡς ὅμηρος. Ἄργματα θῦσε θεοῖς αἰειγενέτῃσιν.

Ἀπαρτία, ὁ κατὰ τὸν οἶκον κόσμος. τὰ λεγόμενα ἔπιπλα. λέγεται δὲ ἀπάρτη, ἀπαρτία. παράγωγον, ἀπαρτίζω, τὸ ἀρτίως ὅ ἐστιν εὐαρμόστως συμπληρῶ. καὶ ἀπαρτία. ἀπαρτιλογία, ἡ ἀπαρτισμένη. ἀπάρτια, τὰ ἔπιπλα.

Ἄπαστος. παρὰ τὸ πῶ, τὸ ἐσθίω. καὶ πόα ἡ ‹…› βοτάνη. καὶ πηγὸς, καὶ φηγός. ἡ πρώτη γὰρ τροφὴ ἀπὸ δρυῶν. πῶ οὖν, παράγωγον, πατῶ. ὡς μῶ, τὸ ζητῶ, μοτῶ. ὅθεν καὶ μαστός. πέπασμαι, πέπασαι, πέπασται, παστός, ὁ βεβρωκώς. καὶ ἄπαστος, ὁ ἄγευστος. Ὁ δ' ἄκμηνος, καὶ ἄπαστος ἄσιτος. νῆστις. καὶ ἀπαστία ἡ νηστεία. λέγεται δὲ καὶ ἀπαστύς.

Ἀπάτη. ἐκ τοῦ ἀπαφῶ, ἀπάτη, καὶ ἀπατῶ. ἢ ἄατη, καὶ πλεονασμῷ τοῦ π, ἀπάτη. καὶ ἀπατηλός, ἐκ τοῦ ἀπα-

Ἀπατούρια. ἀπατήνωρ, οὐχ ὁ διό‹…›τῷ, ἀπατήσω. νυσος, ἀλλ' ὁ ζεύς. καὶ ἀπατουρία, ἑορτὴ ἐπιτελουμένη τῷ διονύσῳ τῷ πυανεψιῶνι μηνί. ἢ ἐπειδὴ ἐν ταύτῃ τῇ ἑορτῇ τοὺς γεννωμένους ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ παῖδας τότε ἐνέγραφον ὀμνύντες οἱ πατέρες. ἢ μὴν ἀθηναίοις, ἐξ αὐτῶν ἀθηναίων. ἐδόκουν τε οἱ παῖδες πρὸ τούτου ἀπάτορες ὄντες, τότε πατέρας ἔχειν. ἢ ἀπὸ τῆς ἀπάτης. ξάνθος βασιλεύων τῶν βοιωτῶν προσεκαλέσατο πρὸς μονομαχίαν θυμοίτην τὸν τῶν ἀθηναίων βασιλέα περὶ τῆς χώρας. καὶ ὁ μὲν θυμοίτης, ἀνεδειλίασε. μελάνθιος δὲ ὑπὲρ ἀθηναίων, ὑπέστη τὴν μονομαχίαν. καὶ συνιόντων, εὐξάμενος ἀπατῆσαι τὸν ξάνθον, θῦσαι τῷ διονύσῳ. φανῆναι δὲ τὸν διόνυσον τῷ ξάνθῳ αἰγέαν ἐνημμένον μέλαιναν. καὶ τὸν μελάνθιον εἰπεῖν, ὡς οὐ μόνος, ἀλλὰ δεύτερος εἴη. ἐπιστραφέντος δὲ ἐκείνου, τὸν μὲν θεὸν ἀφανῆ γενέσθαι, τὸν δὲ μελάνθιον παῖσαι καὶ ἀποκτεῖναι τὸν ξάνθον. νικήσαντες οὖν ἀθηναῖοι, ἀπατήνορα μὲν διὰ προσηγόρευσαν. ἀπατούρια δὲ, ἑορτὴν τῷ διονύσῳ.

Ἀπαυλία. ἑορτὴ παρὰ ἀθηναίοις. ὅτι τότε ἄρχεται ἡ κόρη χωρὶς τοῦ πατρὸς αὐλίζεσθαι. ἢ τότε ἐπαυλίζετο

Ἀπαυρῶ τὸ ἀφελῶ. ἀπὸ τοῦ αὔρω, ‹…› τῷ ἀνδρὶ ἡ γυνή. αὐρῶ. ὡς κλαίω, κλαύσω. καὶ παίω παύσω. ὁ παρατατικός, ἀπηύρων, τὸ ἀφῃρούμην.

Ἀπαυθαδίζω. ἀπὸ τοῦ αὐθάδης, αὐθαδιάζω πλεονασμῷ τοῦ α. ἐκ δὲ τῆς αὐτῆς ἀντωνυμίας καὶ τοῦ ἅδω, αὐθάδης,

Ἀπαφῶ, τὸ ἀπατῶ. ἀφῶ τὸ κα‹…› ὁ ἑαυτῷ ἀρέσκων. λῶς λέγω. ὡς ἄμορφον λέ‹…› γυναῖκα. καὶ κατὰ σύνθεσιν ἀπαφῶ. ἔνθεν, τὸ ἀπαφίσκω, τὸ ἀπατῶ, καὶ παραλογίζομαι. ἡ ἀπὸ τὸ ἄποθεν δηλοῖ. καὶ ἔγκειται τὸ φῶ, τὸ φαίνω. ἐξ οὗ καὶ φενακῶ, φενάκη.

Ἀπαιωρῶ. ἐκ τοῦ αἴρω τὸ κουφίζω, πλεονασμῷ τοῦ ω, ἀπαιωρῶ, ἀπαιωρήσω. ὁ ἀόριστος, ἀπῃώρησα. ἡ μετοχὴ, ἀπαιωρήσας, καὶ ἀπαιωρημένος.

Ἄπαισος. παισὸς, ὡς ὁ ποιητής φησιν. Ὅς ῥ' ἐνὶ παισῷ ναῖε. ἐν ἑτέροις δὲ δῆμον ἀπαίσου. παισὸς δὲ εἴρηται. παρὰ τὸ τὴν ἄρτι προσορμίζουσαν ἐκεῖσε παῖσαι καὶ προσεγγίσαι. παισός. καὶ πλεονασμῷ τοῦ α ἄπαισος. ἡρω-

Ἀπαιγλήεντες. αἰγλήεις, παρὰ τὴν αἴγλην. ‹…› διανός. ἀπαιγλήεντες. ἀπὸ τοῦ λαμπροτάτου.

Ἀπέσας. ἡσίοδος, Κοιρανέων ῥήτοιο νεμειῆς ἠδ' ἀπέσαντος. ὄρος τῆς νεμέας ἀπέσας. ἀφέσας τις ὤν. ὅθεν ἀφίενται οἱ ἵπποι εἰς τὸν δρόμον τοῦ νεμείου ἀγῶνος. ἀφέσας, καὶ ἀπέσας. νέμεια δὲ πόλις θεσσαλίας.

Ἀπέσαν, ἀπέλαβον. διὰ τί προπαροξύνεται. πᾶν ῥῆμα εἰς αν λῆγον χρόνῳ βραχεῖ παραληγόμενον ἁπλοῦν ἢ σύνθετον ὅ ἐστιν ὑπὲρ β̄ συλλαβὰς προπαροξύνεται μὴ δωρικὸν εἴη. προπερισπᾶται δὲ μακρᾶς οὔσης. ὅθεν τὸ μὲν ἀπέσαν τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν. τὸ δὲ ἀπῆσαν οὐκέτι.

ETYMOLOG. MAGNVM. GRÆC

Ἀπέχθη. ἐχθρὸς ἐγένετο. μισηθῇς, ἀπὸ τοῦ ἀπέχθω. καὶ ἀπεχθήρω, μισήσω. ἔχθος, ἐχθρός. ἐχθήρω, καὶ ἀ-

Ἀπήχθετο. ἀπὸ τοῦ ἔχθω, ἔχθομαι, ἢ πεχθήρω. ἐχθόμην, ἤχθετο, καὶ ἀπήχθετο. ἐμισεῖτο.

Ἀπέφθιθον. ἀπὸ τοῦ φθίθω ἐστὶν ἐνεστῶτος μὴ εὑρημένου ἐν χρήσει. ὁ παρατατικός, ἔφθιθον, καὶ ἀπέφθιθον.

Ἀπέκτυε. κτείνω, κτενῶ. μέσος παρακείμενος, ἔκτονα.

Ἀπεστύπαζον. ἀπεδίωκον. παρὰ τὸ τύπτω, ἀπετύπαζον, καὶ πλεονασμῷ τοῦ σ.

Ἀπεβουκόλησα. ἐν συνηθείᾳ, ἀπεβόσκησα, καὶ ἐπετή-

Ἀπεχθῆσαι, ἀπέχθω, ἀπήχθην. ἐὰν ἀπέχθω ρησαμαι, ἐὰν ἀπέχθηται. κατ' ἀποβολὴν τοῦ τ. ἀπεχθῆσαι.

Ἀποβουκολῶ, τὸ ἀπατῶ, ἢ τὸ ἀποπλανῶ. ἀπὸ τοῦ βουκόλος, βουκολῶ, καὶ ἀποβουκολῶ.

Ἀπέκταρ. ἐκ τοῦ κτῶ, παράγωγον, κτῆμι, ἔκταμαι, ἐκτάμην, ἔκτασο, ἔκταρ, καὶ ἀπέκτατο.

Ἀπεσφακέλισε. προεστάθη, ἢ ἀφνιδίως ἀπέθανεν. οἱ δὲ ἰατροί, ἀντὶ τοῦ ἐστάθη.

Ἀπήνεικεν, ἐνέγκω. τὸ ποιητικόν, ἐνείκω, ἤνεικεν, καὶ ἀπήνει-

Ἀπενιαυτισμός, φυγὴ ἐπ' ἐνιαυτὸν διὰ φό- κεν. νον ἀκούσιον. καὶ ὅλως ἀποδημία τοσούτου χρόνου ἀπαλλαγῆς, ἕνεκα μίσους, ἢ ἔρωτος.

Ἀπεμόρξατο. τὸ ἀπεπίασεν. ἀπὸ τοῦ ἀμέλγω, ἀμελξάμην, ἀμέλξατο. καὶ τροπῇ τοῦ ε εἰς ο, καὶ τοῦ λ

Ἀπεβήσετο, ἔστι τὸ θέμα, βῶ, εἰς ρ, ἀπεμόρξατο. βῆμι, βήσω. εἶτα μετάγεται εἰς ἐνεστῶτα. ὁ παθητικός, βήσομαι. ὁ παρατατικός, ἐβησόμην. τὸ τρίτον ἐβήσετο, καὶ ἀπεβήσετο.

Ἀπεσκολυμμένος, ὁ γεγυμνωμένος. σημαίνει κυρίως τὸ ἐκτεταμένος. κόλλιξ γὰρ ἡ θρὶξ ἡ ἐπὶ τοῦ ἄκρου ἣν ἐφύλαττον ἀκούρευτον θεοῖς ἀνατιθέντες. καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ ἀπογεγυμνωμένου. ἢ τὸ δέρμα ἀφῃρημένου.

Ἀπέλεθρον. ἀμέτρητον καὶ πολλὴν δύναμιν. πέλεθρον γὰρ μέτρον γῆς. μακρόν, πολυπέλεθρον. Ἰλιάδος ε.

Ἀπερείσια. ἄπειρα τῷ πλήθει πολλά. παρὰ τὸ ἄπειρος, ἀπειρέσιος. καὶ οὐδετέρως, ἀπερείσια.

Ἄπελος. τὸ ἕλκος, καὶ τραῦμα. παρὰ τὸ μὴ προσπελάζειν τὴν σάρκα, ἀλλὰ διῃρῆσθαι. καὶ γὰρ ἕλκος, παρὰ τὸ διελκύσθαι τὴν σάρκα ἐκ τῆς τομῆς. ἢ τὸ ἀφελόμενον. ἢ ἀπὸ τῶν θεσσαλικῶν ἀπέλων, ἅ ἐστι πολυφάρμακα. ἵνα δηλῇ τὸ ἀθεράπευτον.

Ἀπερωπόν. ἄγριον, καὶ ἀπηνῆ, ἢ σκληρόν, ἢ δυσπαραίτητον. στυγνόν. ἀπρόσιτον.

Ἀπερωεύς. ὁ τῆς ὁρμῆς καὶ προθυμίας κωλυτής, ἐκ τοῦ ἐρωή, ἡ ὁρμή, καὶ προθυμία.

Ἄπειρος. ὁ μὲν ἀμαθής, παρὰ τὸ μὴ ἔχειν πεῖραν. ὁ δὲ μέγας, παρὰ τὸ μὴ ἔχειν πέρας, ἄπορος καὶ ἄπειρος. λέγεται δὲ ἄπειρος. ὅτι σημαίνει χιτῶνα, διέξοδον μὴ ἔχοντα, ὡς παρὰ Σοφοκλεῖ ἐν Πολυξένῃ. Χιτὼν ὁ ἄπειρος ἐνδυτήριος κακῶν. καὶ παρ' Εὐριπίδῃ ἐν Ὀρέστῃ. Η πόσιν ἀπείρῳ περιβαλοῦσ' ὑφάσματι.

Ἀπειλή. ἡ μετὰ ὀργῆς ἐπίπληξις. παρὰ τὸ ἀπείλλειν, ὅ ἐστιν ἀπείργειν. αἰολικῶς, ἀπέλλειν. ὁ γὰρ ἀπειλῶν τὸν θέλοντα τι πράττειν, ἀπείργει. ἢ παρὰ τὴν ἀπό, καὶ τὸ εἰλῶ. ἡ ἀποκλείουσα τῶν δεόντων. ἔστι γὰρ ἀπειλή, λόγος συστρέφων τὸ δέον. ἢ λόγος ἀπείργων τῶν ἁμαρτημάτων. ἢ παρὰ τὸ ἀπωθεῖν εἶναι ἐλέους. ἢ εὔχομαι. παρὰ τὰς πέλας τὰς φιάλας δι' ὧν σπένδοντες εὐχόμεθα. ἢ τὸ ἰσχυροῦμαι. ἡ γὰρ ἀπειλή, ὑπόσχεσίς ἐστι κακοῦ. σημαίνει δὲ τρία, τὸ καυχῶμαι. ὡς τό, Ὥς ποτ' ἀπειλήσει, ὅτε μοιχᾶται ἐρυχών. ἐπὶ δὲ εὐχῆς, Οὐδ' ἠπείλησεν ἄνακτι. ἐπὶ δὲ ὀργῆς, Αἶψα δ' ἀναστάς, ἠπείλησε μῦθον.

Ἀπειλητῆρες. καυχησταί. ἀπειλεῖν εἰδότες, καὶ ἀπαγγέλλεσθαι. τοὺς δὲ τοιούτους, καὶ καυχηματίας λέγουσιν.

Ἀπειλήτην, ἀπειλῶ, ἀπειλήσω, ἠπείλησα, ἠπειλησάτην δυϊκῶς. καὶ συγκοπῇ τῆς σα συλλαβῆς, ἀπειλήτην. ἢ ἀπὸ τοῦ ἀπειλῶ, ἠπείλουν. τὸ δυϊκόν, ἠπειλεῖτην, ἠπειλείτην. συστολῇ τῆς ἀρχῆς, καὶ τροπῇ τῆς ει διφθόγγου εἰς τὸ η, ἀπειλήτης. Ἡρωδιανός.

Ἀπηλεγέως. ἀποτόμως. σκληρῶς. παρὰ τὸ ἀλέγω τὸ φροντίζω. ἀλεγής, καὶ ἀπηλεγής, καὶ ἀπηλεγέων. καὶ ἀπηλεγέως κατὰ τροπήν, ἐπίρρημα. ἢ ἀπὸ τοῦ ἁπλοῦς ἀπληγέως. καὶ καθ' ὑπέρθεσιν ἀπηλεγέως κατ' ἀντίφασιν. ὁ μὴ ἁπλοῦς, ἀλλὰ σκληρός.

Ἀπηλοίησεν. ἀπέκοψεν. ἀπὸ τοῦ ἀλοιῶ, τὸ τύπτω,

Ἀπειλημμένοι, συνειλημμένοι. συγκεκλει- ἀλοιήσω. σμένοι. κεκρατημένοι. ἀπὸ τοῦ λήβω, τὸ λαμβάνω. ὁ παθητικὸς παρακείμενος, λέλημμαι. εἴλημμαι ἀττικῶς.

Ἀπήορος, ὁ ἀπηρτισμένος, καὶ διεστώς. παρὰ τὸ ἀείρω,

Ἀπηνήναντο. ἠρνήσαντο. ἐπάορος, καὶ ἀπήορος. ἀπὸ τοῦ ἀναίνω, ἀνανῶ, ἤνηνα. ἠνηνάμην. ἠνήνατο. τὸ τρίτον τῶν πληθυντικῶν ἠνήναντο.

Ἄπιμεν, ἔστιν εἶμι διὰ τῆς ει διφθόγγου, σημαῖνον τὸ πορεύομαι. ὡς παρὰ Σώφρονι. οἷον, Ἐγκίρναθ' ὡς εἶμι. τουτέστι κέρασον, ἵνα πορευθῶ. τούτου ὁ μέσος παρακείμενος, εἶα. καὶ κατ' ἔκτασιν, ἦα. τὸ πληθυντικόν, ἤαμεν, καὶ κατὰ συγκοπήν, ἦμεν. οἷον, προήμεν. τὸ δεύτερον ἦτε. καὶ συντίθενται ταῦτα ὑπὲρ τῶν ἐχθρῶν. Ἀπῆτε βεβουλευμένοι. δεῖ γινώσκειν ὅτι τὸ ἀπιέναι καὶ τὰ ὅμοια, σὺν τῷ ι γράφεται. ἐκ τοῦ εἶμι τὸ πορεύομαι. τὸ πληθυντικόν, εἴωμεν ὡς συμβουλευτικόν. καὶ κατ' ἔκτασιν ἀττικὴν τοῦ ε εἰς η, ἤωμεν. τούτου ὁ μέσος παρακείμενος εἶα, καὶ κατ' ἔκτασιν ἦα. καὶ κατὰ διάλυσιν, Ἤια πολλὰ θεοῖς γουνούμενος. τούτου τὸ καρέπεπτο α εἶσιν, καὶ ποιεῖ τὸν ὑπερσυντέλικον, ἤειν. καὶ ἐν συνθέσει ἀπῄειν, καὶ παρῄειν, καὶ ἐξῄειν. τὸ τρίτον τῶν πληθυντικῶν, ἀπῄεσαν. καὶ κατὰ συστολὴν ἀπίεσαν, ἀπὸ δὲ τοῦ ἵημι ἐστίν. ὁ παρατατικός, ἵην. καὶ τὸ πληθυντικόν, ἵεμεν, ἵετε, ἵεσαν, καὶ διίεσαν. σημαίνει δὲ, τὸ διέπεμπον.

Ἀπήμων. παρὰ τὸ πήθω, ὁ δεύτερος ἀόριστος, ἔπαθον. πήσω, πῆμα. ὡς βήσω, βῆμα. ἄπημος, καὶ παρωνύμως ἀπήμων, ὁ ἀβλαβής. ὡς τὸ ἄναιμος, ἀναίμων. τοὺς ἐκ ἀναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται.

Ἀπηνής. παρὰ τὸ ἠνίς, τὸ ἠνής, καὶ πλεονασμῷ τοῦ ν, ἠνής, καὶ ἀπηνής ὁ σκληρός. ἢ ὁ ἀπωθεῖν τοῦ αἰνεῖσθαι, ὅ ἐστιν ἐπαινεῖσθαι. αἶνος γὰρ ὁ ἔπαινος. ἢ ὁ μὴ ἡνίαις εἴκων. τουτέστι σκληρός. ἀπὸ μεταφορᾶς τῶν ἵππων τῶν δυσηνίων. ἢ αἰνός, ὁ δεινός, καὶ σκληρός, αἰνής,

Ἀπηχής. ἡ λέξις, ἀττική. εἴρηται κατὰ συγ- ἀπηνής. κοπὴν τοῦ θ, ἀπηχθής τις ὤν. οὐ ἄν τις ἀπέχοιτο. ἢ ἀπὸ τοῦ ἤχου. ὁ μὴ συνᾴδων. ἀπὸ μεταφορᾶς τῶν μουσικῶν ὀργάνων. ὁ ἄμουσος, καὶ ἐχθρός. Ἀπολλώνιος. Καί σε θεοὶ σὺν ἀπηροῖσιν αὖθις ἑτέροις.

Ἀπηρής. παρὰ τὴν ἀρὰν, τὴν βλάβην. ἀπηρής, ὁ ἀβλαβής. ἢ παρὰ τὸ πηρόν, ἀπηρής, ὁ ἀβλαβής. οὐ γάρ ἐστι τῶν διὰ τοῦ ηρης. ἐπεὶ ἐβαρύνετο ἄν, ὡς τὸ κωπήρης ξιφήρης. καὶ ἀπηρεῖς, ὑγιεῖς, ἄνοσοι. καὶ ἀπηρῶς, τὸ ἀβλαβῶς. ὡς ἀπηχῶς, τὸ σκληρῶς.

Ἀπία. ἐξ ἀπίης γαίης. ἀπὸ τῆς Πελοποννήσου. τὸ γὰρ παλαιὸν ἐκαλεῖτο Αἰγιάλεια, ἀπὸ Αἰγιαλέως τοῦ υἱοῦ Ἰνάχου. τοῦ ἐν Ἄργει ποταμοῦ, καὶ Μελείης τῆς Ὠκεανοῦ. ὕστερον δὲ πάλιν, Ἀπία ἐκλήθη, ἀπὸ Ἄπιδος τοῦ Φορωνέως παιδός. ἢ παρὰ τὸ ἄπιδα, ὅ ἐστι τὴν ἀπίδα. ἡ ἐν καταξήροις τόποις ὑπάρχουσα. ἐκ τοῦ πίω γὰρ τοῦ, ὅ ἐστι τὸ πίνω. ἀποβολῇ τοῦ ν. ἐκ τούτου τὸ ἄπιος. καὶ τὸ θηλυκόν, ἀπία, ἡ ἐν πολλοῖς ἔτεσι διψήσασα. ὡς Ὅμηρος, Πολυδίψιον Ἄργος φησίν. ἡ γὰρ πόλις, ἐστὶν ἡ Ἑλλάς. ἡ δὲ χώρα, ἀπία. ἢ ἀπὸ τοῦ ἐκεῖ πρῶτον πεφυτεῦσθαι ἀπίους, τὰς ὄγχνας τὰς ἀπιδίας. Ἄργος δὲ, ἀπὸ Ἄργου τοῦ Πανόπτου. τελευταῖον δὲ πάντων, Πελοπόννησος. ἀπὸ τοῦ Πέλοπος, καὶ τῆς νήσου. ἀπὸ τοῦ κρατῆσαι τῆς χώρας τὸν Τάνταλον, υἱὸν

Ἄπιος. ἡ ὄγχνη καλουμένη γενικῶς. ὅ- Πέλοπος. τι πρῶτον ἐν ἀπίᾳ γέγονεν, ἤγουν τῇ Πέλοπος. ἢ παρὰ τὸ ἐν διψηροῖς τόποις φύεσθαι. ἢ διὰ τὴν ποιότητα

Ἄπιος. ἔξω τοῦ δένδρου καὶ τοῦ τοῦ χυλοῦ αὐτῆς. καρποῦ, βοτάνη τις καλουμένη. Διογένης.

Ἀπίκια. εἶδος πλακούντων. ἀπὸ Ἀπικίου τινός, Ῥωμαίου εὐτραφῆ τοῦ ἐπινοηθεῖσα.

Ἀπινύσσω. ἀπὸ τοῦ πνύω, ἤγουν τὸ πνέω. τούτου παράγωγον, πινύω. ἤγουν τὸ πινυτός, καὶ πινυτή. ὁ διεγηγερμένος τὸν νοῦν. καὶ ὥσπερ παρὰ τὸ φύω, γίνεται ἀφύσσω. οὕτω καὶ ἀπὸ τοῦ πινύω, γίνεται πινύσσω. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀπινύσσω. ἀπινύσσειν, τὸ ἀπινύτως ἔχειν, τὸ μὴ φρονεῖν. τὸ δὲ πέπνυμαι, ἀπὸ τοῦ πνῦμι γέγονεν. ὁ παθητικὸς παρακείμενος, πέπνυμαι καὶ ἡ μετοχή, πεπνυμένος. ὁ συνετός, καὶ σώφρων.

Ἀπίθησεν. Οὐδ' ἀπίθησε μύθῳ Ἀθήνης. τὰ εἰς ω λήγοντα ῥήματα κατὰ ἐνδείαν χρόνου εἰς πλεονασμὸν μεταγόμενα, καὶ φωνήεντι ἐλλείπουσι δίχρονον βραχεῖ παραληγόμενα. οἷον, στείχω διὰ τῆς ει διφθόγγου, καὶ στιχῶ, διὰ τοῦ ι. φείδω, φιδῶ. ἤγουν, πεφιδήσεται. δαίω, δαῶ. κείρω, κερῶ. εἰ γὰρ καὶ μὴ ἡ δίχρονον, ἀλλ' ὅμως εἰς βραχὺ φωνῆεν γέγονεν ἡ συστολή. οὕτως οὖν καὶ ἀπὸ τοῦ πείθω, γέγονε πιθῶ. ὁ μέλλων, πιθήσω. ὁ ἀόριστος, ἐπίθησα. ὅθεν τό, Ἀπεγράψατο πιθήσας. ἔστι καὶ ἀπιθῶ ῥῆμα. τὸ πι, ι. οἱ μὲν, ἐκ τοῦ ἀπειθής ἐστι. καὶ οἱ μὲν, ἐν τῇ συνηθείᾳ διὰ τῆς ει διφθόγγου γράφουσιν. ὁ δὲ κανὼν, διὰ τοῦ ι. ὁ δὲ Ἡρωδιανός, λέγει ὅτι τὰ ἀπὸ βαρυτόνου μεταγόμενα εἰς πλεονασμὸν συστέλλει τὴν παραλήγουσαν. οἷον ἐστὶ τό, φείδω, φιδῶ. οὕτως ἐστὶ καὶ τὸ ἀπιθῶ. διαφυλάττεται γὰρ τὰ εἰς θω ῥήματα ἔχοντα ὁμόφωνον προϋποκείμενον. περισπᾶται

Ἀπλοῦς. ὡς παρὰ τὸ δύο καὶ τὸ πέλω, οἷον, μυθῶ. γίνεται διπλόος διπλοῦς, οὕτω καὶ παρὰ τὸ ἄλφα τὸ σημαῖνον τὸ ἓν καὶ τοῦ πέλω, τὸ σημαῖνον τὸ ὑπάρχω, γίνεται ἁπλοῦν. τὸ ἓν ὑπάρχον. α σημαῖνον τὸ ἓν καὶ τὸ πέλω ἅπελος. καὶ συγκοπῇ, ὁ πέλων εἷς.

Ἁπλᾶ, εὔθετα, καὶ ἅπαλα. ἢ ἐκ τοῦ ἁπλῶ, ὅ ἐστι τὸ ἐπ' εὐθείας τὰς παλάμας ἐκτείνω. ἤγουν, Ὁ δι' ἐμὲ παλάμας ἐν τῷ σταυρῷ ἁπλώσας.

Ἄπληστα. ἄπειρα. πολλά. παρὰ τὸ πλῶ, πλήσω τὸ πελάζω, πληστός, καὶ ἄπληστος, ὁ ἀπρόσιτος. Διογένης.

Ἀπληγίς. τὸ ἁπλοῦν ἱμάτιον. ὅπερ Ὅμηρος, ἁπλοΐδα καλεῖ. Σοφοκλῆς, Τρύχει καλυφθεὶς θεσσαλικῆς ἀπληγίδος. παρὰ τὸ ἁπλή, ἁπλίς, καὶ ἀπληγίς. παρὰ τοῦτο, καὶ τὸ ἁπλήγιος. ὁ τοὺς τρόπους ἁπλοῦς

Ἀπλας, ὑποδήματος εἶδος λακωνικοῦ. ἔχων. ὠνομάσθη δὲ ἀπὸ τοῦ ἁπλῶς, καὶ οὐ τετεχνημένως γεγενῆσθαι. ἁπλοῖ δὲ οἱ Λάκωνες, καὶ οὐ περίεργοι περὶ τὰς κατασκευάς.

Ἀπό, σημαίνει δύο. τὴν πρόθεσιν, ὡς τό Οὐ μέντοι νῦν ἐστιν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης. καὶ τὸ ἀπόθεν. ὡς τό, Πολλὸν ἀπόθεν πλυνοὶ εἰσὶ πόλιος. Ἰστέον ὅτι ἐκ τῶν δισυλλάβων προθέσεων. δύο τε οὐκ ἀναστρέφονται. αἱ δὲ λοιπαί, ἀναστρέφονται. οὐκ ἀναστρέφεται ἡ ἀνά, ἡ διά, ἡ κατά, ἡ ἀμφί, καὶ ἡ περί. ἄλλως ἡνίκα μεταξὺ δύο ὀνομάτων κυρίων ἢ προσηγορικῶν εὑρεθῶσι, συνδέσμῳ περιλαμβανόμεναι, τότε ἀναστρέφονται αἱ προθέσεις. ὡς τό, Νεῶν ἄπο καὶ κλισιάων. ἡνίκα δὲ μεταξὺ δύο ὀνομάτων, τοῦ μὲν, κυρίου ὄντος, τοῦ δὲ προσηγορικοῦ, ἐν τούτοις πάσαν ἀναστρέφεσθαι δεῖ τὴν πρόθεσιν. ἡ δὲ κατὰ πρόθεσις ἀναστρέφεται, ἡνίκα ὑποτάττεται λέξει μεθ' ἧς τινος ὀφείλει συντάττεσθαι, μὴ παρατιθεμένης ἐν τῷ μέσῳ οἱασδήποτε λέξεως. ὡς ἐν τῷ, Ξύλοχον κάτα βοσκομενάων. αἱ ἀναστρεφόμεναι προθέσεις, ὅτε μεταξὺ β

κυρίων ἢ προσηγορικῶν εὑρεθῶσι, συνδέσμῳ παραλήγουσι μετὰ τὴν πρόθεσιν. οἷον, Νεῶν ἄπο, καὶ κλισιάων. Ἀγαμέμνονος πάρ καὶ Ἀχιλλῆος. καὶ ἐὰν μεταξὺ δύο ὀνομάτων πρόθεσις ᾖ. οἷον, Μάχῃ ἔνι κυδιανείρῃ.

Ἀπὸ ἧς ἀλόχου. οὐκ ἀναστρέφεται, ἐπειδὴ ἡ ἀπὸ πρόθεσις συνταττομένη μετάγεται, καὶ τὸν οἰκεῖον τόνον τηρεῖ. ὡς ἐν τῷ, Φίλης ἀπὸ πατρίδος αἴης. καὶ δηλοῖ χωρισμόν, ὡς ἐπὶ τοῦ ἀπέχω, τὸ πόρρωθεν εἶναι τὸν καθισῶ, καὶ ἀποβάλλω, καὶ ἀπορρίπτω. καὶ ἐπὶ τῶν ὁμοίων. καὶ ἐπὶ τοῦ ἀπογαλακτίζω. ἡ ἀπὸ σημαίνει τὴν ἀπόστασιν καὶ ἀποπλήρωσιν. Ἡμῖν ἀπὸ λοιγὸν ἀμῦναι. τὸ ἑξῆς ἀπαμῦναι. διὸ φυλάττει τὸν ἴδιον τόνον. ὅτε γὰρ ἡ πρόθεσις τὴν σύνταξιν ἐλλιπῆ ἔχει πρός τι τὸ ἐπιφερόμενον, τὸν ἴδιον τόνον φυλάττει. ὡς τό, Νήπιοι, οἳ κατὰ βοῦς ὑπερίονος ἠελίοιο ἤσθιον. παρ' ἔμοιγε καὶ ἄλλοι, τὴν παρὰ πρόθεσιν κατὰ τὴν ἀρχὴν ὀξύνουσι. καὶ καθόλου ὅτε σημαντικαί εἰσι τῶν ῥημάτων αἱ προθέσεις, τοῦτον τὸν τόνον ἀντέχονται. οἷον, Ἐπεὶ οὔτοι ἔπι δέος. Οὕνεκα καλὸν εἶδος ἔπ', ἀλλ' οὐκ ἔστιν. Οὐ γὰρ ἔπ' ἀνήρ, οἷος Ὀδυσσεύς. Οἳ περὶ μὲν βουλῇ Δαναῶν, περὶ δ' ἐστὲ μάχεσθαι. ἡ περὶ ἀντὶ ἑτέρας κεῖται τῆς ὑπέρ. τὸν ἴδιον οὖν τόνον φυλάττει. πρόθεσις γὰρ ἀντὶ ἑτέρας προθέσεως λαμβανομένη, τὸν ἴδιον τόνον φυλάττει. οὕτως ἔχει τό, ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων. καὶ αἱ προθέσεις καθ' ἑαυτὰς οὖσαι, ὀξύνονται. ἀναστροφῆς δὲ ἐστὶν ἴδιον, τὸ τὸν ἴδιον ἀναπέμπειν τόνον. ἀναστροφή ἐστι μετάθεσις τόνου. ἀπὸ ἔθεν, ἐπὶ τῆς ἔθεν φασίν. εἰ μὲν εἰς ἁπλοῦν μεταλαμβάνοιτο, ἐγκλιτικῶς ἀναγινώσκειν δεῖ. εἰ δὲ εἰς σύνθετον, ὀρθοτονητέον. Ὃς ἔθεν εἵνεκ' ἔπασχον. Ἐπεὶ οὔ ἔθεν ἐστὶ χερείων. ὀξύνεται γὰρ ἡ οὐ ἀπόφασις εἰς ἁπλῆν μετάληψιν ἀντωνυμίας. ἐὰν ὀρθοτονήσωμεν, ἔσται σύνθετος. οὕτως. οἷον, Καὶ ἔθεν εἵνεκα. καὶ ἐκεῖνα κατ' ὀρθὴν τάσιν. Ἀπὸ ἔθεν ὡσαύτως. ὅθεν ὁ Σιδώνιος μέμφεται Ἀριστάρχῳ, μὴ ἐγκλιτικῶς ἀναγνόντι τό, Πρόσθεν ἔθεν φεύγοντα. ἡ γὰρ διάνοια ἁπλῆν αἰτεῖ τὴν μετάληψιν. ἐμέ, σέ, ἕ. ἀπὸ οὖν τοῦ ἑ τρίτου προσώπου πλεονασμῷ τῆς θεν συλλαβῆς, ἕθεν. ἀπὸ ἕθεν, ἀντὶ τοῦ ἀφ' ἑαυτοῦ.

Ἀπενίζοντο. ἔστι νίπτω. τοῦτο κατὰ τροπὴν δωρικήν, γίνεται νίζω. οἱ γὰρ Δωριεῖς τὰ εἰς πτω ῥήματα, ποτὲ μὲν εἰς ζ τρέπουσι, ποτὲ δέ, εἰς β σ. Ἀπετρωπῶντο. δευτέρας συζυγίας. τρέπω, τροπῶ, τρωπῶμαι, ἐτρωπώμην.

Ἀπεχθήσαντο. Ἀριστοφάνης. Τοὺς ἄνδρας ἀπεχθήσαντο τοὺς παιδοσπόρους. διεχθήσαντο. ἀπέκτειναν.

Ἀποβατικῶς. ἀγῶνος ὄνομα, ἐν ᾧ οἱ ἔμπειροι τοῦ ἐλαύνειν ἅρματα ἅμα θεόντων τῶν ἵππων, ἀπέβαινον διὰ τοῦ ὀχοῦ ἐπὶ τὸ δίφρον, καὶ πάλιν κατέβαινον ἀπταίστως. καὶ ἦν τὸ ἀγώνισμα πεζοῦ ἅμα καὶ ἱππέως. καλεῖται δὲ ἀποβατικὸς ἡνίοχος, ὁ εἰς τοῦτο δηλονότι τὸ ἀγώνισμα ἐπιτήδειος.

Ἀποτυμπανίσαι. οὐχ ἁπλῶς τὸ ἀποκτεῖναι, ἀλλὰ τυμπάνῳ. ἀπὸ τυμπάνῳ ἐστὶ ξύλον, ὅπερ σκυτάλην καλοῦσι. τὸ γὰρ παλαιόν, ξύλοις ἀνῄρουν τοὺς πολεμίους. ὕστερον δὲ τῷ ξίφει.

Ἀποδέκται. ἄρχοντες κληρωτοὶ δέκα τὸν ἀριθμόν. κατὰ φυλὴν εἰσίν. οἵτινες παρελάμβανον καὶ ἀπεδέχοντο τὰ γραμματεῖα τῶν ὀφειλόντων τῷ δημοσίῳ. διὰ τοῦτο γάρ, καὶ ἀποδέκται ἐκαλοῦντο. εἶτα διεκτήσαντο τὰ ὀφειλόμενα, καὶ τὰ ἀποδιδόμενα χρήματα σὺν τῇ βουλῇ, καὶ ἐμέριζον εἰς ἃ χρὴ ἀναλίσκειν.

Ἀποτίσεις χοῖρε γίγαρτε. ἃ κατέφαγες, ἀποδώσεις.

Ἀπροστασίου, ὄνομα δίκης. ἢ εἶδος δίκης κατὰ τῶν μετοίκων τῶν προστάτην μὴ νεμόντων. ᾑρεῖτο γὰρ ἕκαστος αὐτῶν, ὃν ἤθελε τῶν πολιτῶν τινὰ προστάτην τὸν ἐπιμελησόμενον. καὶ τῶν ἰδίων καὶ τῶν δημοσίων ὑπὲρ αὐτοῦ ὥσπερ ἐγγυητὴν ὄντα.

Ἀποστασίου, ὄνομα δίκης ἐστὶ χωρὶς τοῦ ρ, κατὰ τῶν ἀπελευθερωθέντων διδομένης τοῖς ἐλευθερώσασιν ἂν ἀμφίστανται ἀπ' αὐτῶν. καὶ ἕτερον ἐπιγράφονται προστάτην. καὶ ἃ κελεύουσιν οἱ νόμοι ποιεῖν τοὺς ἀπελευθέρους τοῖς ἀπελευθερώσασι, μὴ ποιῶσι. καὶ τοὺς μὲν ἁλόντας, πάλιν ἔδει δουλεύειν. τοὺς δὲ νικήσαντας, τελέως ἤδη ἐλευθέρους εἶναι.

Ἀποτριάσαι, πληγὰς τρεῖς δοῦναι.

Ἀποσαλεύσας. ἀποφυγὼν ἐκ τοῦ λιμένος, καὶ σάλῳ ὁμιλήσας.

Ἀποπτάμενος. ἐστὶ πετῶ, καὶ συγκοπῇ, πτῶ. πτάς. καὶ πτῆμι. τὸ παθητικόν, πτάμαι. πτάμενος καὶ ἀποπτάμενος. ἐκ δὲ τοῦ πετῶ, γίνεται ποτῶ. ἐξ οὗ τό, ἀμφεποτᾶτο. καὶ πετάζω. ἐξ οὗ τό, ἐπετάσθη. καὶ πετανύω, πετάννυμι. πετῶ. πεταίνω. καὶ συγκοπῇ καὶ διπλασιασμῷ, παπταίνω. παπτανῶ. παπταίνουσι. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀποπταίνοισιν.

Ἀποτμήξαντες. τμῶ, τὸ κόπτω. ἀφ' οὗ παράγωγον, τμήσω. τμήξω. τὸ δὲ τμῶ, ἀπὸ τοῦ τμή.

Ἀποπροσωπίζεσθαι. ἀπονίπτεσθαι, καὶ μᾶσθαι τὸ πρόσωπον.

Ἀποστηρίγματα, ἀντερείσματα.

Ἀποσταδόν. πόρρωθεν ἐν διαστήματος. ἀπὸ τοῦ ἵστημι. τὸ παθητικόν, ἵσταμαι. σταδόν, καὶ ἀποσταδόν, ἐπίρρημα.

Ἀπεδόν. τὸ ὁμαλόν. Θουκυδίδης. Καὶ κατέβησαν εἰς χωρίον ἀπεδόν τι. ἄθεος.

Ἀπεχοιρίασεν. ἀπεσκίρτησεν ἀπὸ τῶν χοίρων.

Ἀπέτυλον. ἀπέσυρον ῥαβδίον. καὶ ἀποσυλῶσαι, τὸ ἐπᾶραι τὸ ῥαβδίον. τύλος γὰρ τὸ ῥαβδίον.

Ἀπεμύλλαινον. διεφαύλιζον. ἐξετέλιζον σφακάζοντες.

Ἀποσφήλειας. σφάλλω. σφαλῶ, ἔσφαλα, καὶ ἔσφηλα ὁ ἀόριστος. ἡ μετοχή, σφήλας, σφήλαντος. τὸ εὐκτικόν, σφήλαιμι, σφήλαις. σφήλαι. καὶ ἐξ αὐτοῦ, σφήλειας. τὰ γὰρ εἰς μι εὐκτικὰ ἐνεργητικὰ ἀοριστου ὄντα, οἱ Αἰολεῖς διὰ τοῦ εια προφέρουσι. τύψαιμι, τύψειαν. καὶ ἀποσφήλαιμι, ἀποσφήλειαν.

Ἀποδιοπομπεῖσθαι. πρώτης συζυγίας. διοπομπῶ, διοπομπήσω. ἀπὸ τοῦ Διός, καὶ τοῦ πομπός. σημαίνει δὲ τὸ ἀποτρέπεσθαι. διὰ τοῦ ἀποτροπαίου Διός.

Ἀποτρόπαιος μὲν Ζεύς. καὶ δαίμων ἀποτρέπων τὰ ἄγη. ὅτι τὸ μεταξὺ λέγονται τινὰ ἄλλον τὸν εἱρμὸν διακόπτειν τοῦ λόγου εἰς τοὺς ἀμαθεῖς, ἀποδιοπομπεῖται. σκαιούς.

Ἀποθευσούμεθα. ἀποδραμούμεθα. λέγεται καὶ ἐπὶ πλοῦ.

Ἀπεσκόλυπτε. κυρίως, τὸ δέρμα ἀφῄρει.

Ἀπεστλεγγισμένοι. ἀπεξυσμένοι. στλεγγὶς γὰρ ἡ ξύστρα.

Ἀποβράσαι. τὸ διαπτίσαι πυρούς, ἢ ἄλευρα. ὅθεν καὶ τὰ ἀποβράσματα, σκύβαλα πυρῶν.

Ἀποθριάζειν, κυρίως τὸ ἀφελεῖν φύλλα συκῆς. καταχρηστικῶς δὲ τὸ ὁποιονοῦν ἀφαιρεῖν.

Ἀποσαλάσας. ἐπιπηρήσας.

Ἀποσεσήκαται. τὰ σῦκα ἀποβέβληκε βρωθέντα.

Ἀποσηκώσας. κατακλείσας ἐν σηκῷ.

Ἀποσιμοῦν. ἀποτρέχειν πρὸς τὸ σιμόν. σιμὰ δὲ ἐκάλουν τὰ προσάντη χωρία. λέγεται καὶ ἐπὶ νεῶν τὸ ἐκ διαστήματος ἐμβάλλειν. καὶ ἐπὶ σιδήρου, τὸ ἀποστρέφειν τὴν ἀκήν.

Ἀποσκυθίσαι. κυρίως τὸ περιτεμεῖν τὸ ἐπὶ κεφαλῆς δέρμα σὺν ταῖς θριξί. καταχρηστικῶς δέ, τὸ ἀποκεῖραι.

Ἀποσχάσαι. ἀπορρῆξαι, καὶ διαφθεῖραι, καὶ διασχίσαι, σημαίνει καὶ τὸ φλεβοτομῆσαι.

Ἀπεσχοινισμένος. διεστώς. διεζευγμένος.

Ἀπόειπε. πᾶν προστακτικὸν δισύλλαβον βραχυκατάληκτον ἐνικόν, ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον. οἷον, ἐλθέ, πρόσελθε. βαῖνε, πρόβαινε.

Ἀπόστιχε. τὸ ἀπαλλάσσου, καὶ ἀναχώρει. ἀπὸ τοῦ στείχω. δεύτερος ἀόριστος προστακτικός. καὶ ἀπόφασθε. ἀπὸ τοῦ ἐφάμην, ἔφασο, φάσο, τὸ προστακτικόν. τὸ ἀπαγγεῖλαί τε.

Ἀπόερσε. Ἔνθα με κῦμ' ἀπόερσε. ἀντὶ τοῦ ἀπέπνιξε, διέφθειρε. παρὰ τὸ ἔρρω, τὸ φθείρω. ὁ μέλλων, ἐρῶ. καὶ αἰολικῶς, ἔρσω. τὰ τοῦ δευτέρου μέρους ἀόριστα δισύλλαβα ὑπάρχοντα, κατὰ τὸ δεύτερον πρόσωπον διὰ τοῦ οι ἐκφέρονται. οἷς ἀκολουθεῖ καὶ τὰ τρίτα πρόσωπα ἀναδέχεσθαι τὸν τόνον. οἷον, θοῖτο, ἀπόθοιτο. σχοῖτο, ἀπόσχοιτο. πρόοιτο.

Ἀποαίρεο. ἀπὸ τοῦ αἱρῶ τὸ καταλαμβάνω, ἢ τὸ προαιροῦμαι, αἱροῦ. κατὰ διάλυσιν, αἱρέο. καὶ μετὰ τῆς ἀπὸ ἀποαίρεο κούρην. καὶ ἀφαιρεῖσθαι, τὸ ἁρπάζειν. ὅ ἐστιν, ἀφαιρεῖσθαι. κατὰ τὸ πλῆρες τῆς ἀπὸ προθέσεως μὴ συγκοπείσης.

Ἀποθέσθαι. Κρατερὴν δ' ἀπὸ θέσθαι ἐνιπήν. Ἰλιάδος, ε. διαμένει τὸ ἀποθέσθαι. πᾶν ἀπαρέμφατον, φυλάττει τὸν ἴδιον τόνον καὶ ἐν τῇ συνθέσει.

Ἀποθανεῖν. ἡ ἀπὸ πρόθεσις ἐνταῦθα χωρισμὸν δηλοῖ. οἷον, ἀποθανεῖν. καθὰ χωρίζονται οἱ ζῶντες, ἀπὸ τῶν τεθνεώτων. καὶ ἀπέρχεσθαι, τὸ χωρίζεσθαι τινὰ ἀπεχόμενον. καὶ ἀπονοεῖσθαι ὁμοίως.

Ἀπολαύω. ἀπὸ τοῦ λῶ τὸ θέλω, παράγωγον, λαύω. ὡς χέω, χεύω. καὶ ἀπολαύω.

Ἀποκναίομαι. ἐστι ῥῆμα κτῶ, δηλοῦν τὸ φονεύω. ἐξ οὗ τὸ ἀπέκτατο. οὗ παράγωγον, κταίνω. καὶ ἀποβολῇ τοῦ τ, καίνω. καὶ καθ' ὑπερβιβασμόν, κναίω. καὶ ἀποκναιόμενοι, τὸ διαφθειρόμενοι. ἀποκοπτόμενοι. ἀπολυόμενοι. λυπούμενοι. ὀδυνώμενοι.

Ἀπεκαίνυμαι. τὸ νικῶ. καὶ Ὅμηρος. Ἀπεκαίνυτο πάντας ἀρίστους. κυρίως, τὸ φονεύειν. ἀπὸ τοῦ καίνω τὸ φονεύω, γίνεται καίνυμι. καὶ ἐκαινύμην, καὶ ἀπεκαίνυτο. μεταφορικὴ δὲ ἡ λέξις. κυρίως γὰρ ἐπὶ τῶν φονευόντων καὶ νικώντων λαμβάνεται. ἢ παρὰ τὸ αἴνυμι, τὸ λαμβάνω. ἀπὸ τοῦ αἴνυσθαι καὶ λαμβάνειν ἆθλον τοὺς νικῶντας. πλεονασμῷ τοῦ κ.

Ἀποδυσπετεῖν, τὸ μὴ ῥᾳδίως πίπτειν.

Ἀποδρᾶν ἐστι. τὸ ἐκκλίνειν, τὸ ἔξω γενέσθαι τῆς δεσποτικῆς ὑπηρεσίας.

Ἀποδραθεῖν. παρὰ τὸ δρῶ, τὸ ὑπηρετῶ. τὸ κοιμηθῆναι. ἐστι ῥῆμα δρήθω. ὁ δεύτερος ἀόριστος, ἔδραθον. ἀπὸ ἔδραθον. καὶ ἀποδαρθεῖν. καὶ κατ' ἀντίφασιν. δρῶ γὰρ τὸ ἐνεργῶ. οὗ δρήθω παράγωγον. οἱ δὲ κοιμώμενοι, οὐδὲν ἐνεργοῦσιν.

Ἀποβρίξας. ἀποβρίξας, τὸ ἀπονυστάξας. παρὰ τὴν βορὰν, καὶ τὸ ἰζεῖν, ὅ ἐστι καθίζειν, βρίζω. Ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις. ὥστε κυρίως τὸ ἀπὸ βορᾶς καὶ μετὰ τροφὴν νυστάζειν καὶ καθευδῆσαι. βορίξαι ἦν. οἱ δέ, παρὰ τὸ βρὶ ἐπιτατικὸν μόριον. βαρύνονται γὰρ οἱ ἐν ὕπνῳ καταφερόμενοι.

Ἀπολιβάζω. ἀπέλθω. ἀποδράμω. παρὰ τὴν λιβάδα. καὶ γὰρ λιβάς ἐστι, ῥεῦμα πόντιον. ἢ κυρίως ἀπορρέουσα. ἢ εἰς τὴν Λιβύην ἀπέλθοι. ὅμοιον τὸ εἰς κόρακας, ἀντὶ τοῦ ἐν ἀγνοίᾳ. ἢ παρὰ τὸ λί, σημαῖνον τὸ λίαν, καὶ τοῦ βαδίσαι. τὸ ταχέως ἀπελθεῖν ἐκδεχόμενος. καὶ πορρωτέρω.

Ἀπολιγαίνειν, ἀφηδύνειν, ἢ παραφθέγγεσθαι, ἠβάζεσθαι.

Ἀπολιταργεῖν, τὸ ἀπελθεῖν ταχέως. παρὰ τὸ λίαν, καὶ τὸ ἀργόν, ὅ ἐστι ταχύ, περιττεύοντος τοῦ τ.

Ἀπολυμαίνω. λύματα λέγονται τὰ καθάρσια. ἢ καὶ αὐτὸ τὸ ῥύπος. παρὰ τὸ λυμαίνειν, ἤγουν φθείρειν τὸ ὑποκείμενον. ἀπὸ γοῦν τοῦ λῦμα, λυμαίνω. καὶ ἀπολυμαίνω, τὸ ἀποκαθαίρω. φύσει δὲ τὸ ὕδωρ τῆς θαλάσσης, καθάρσιόν ἐστι. καὶ τὰ περιπτώματα, εἰς τὴν ἀπόρριπτον θάλασσαν βάλλεται. ὡς Εὐριπίδης. Θάλασσα κλύζει πάντα ἀνθρώπων κακά.

Ἀποψύχειν ἐστι τὸ ἀφοδεύειν. ἢ ἀποπνευματίζειν. ἀποπλύνειν, καὶ ἀπορρίπτειν.

Ἀποδρύφοι. ἀποσπᾷ. ἀποσύρει.

Ἀποφυλακίζει. βιάζεται. ἀπὸ τῶν ὠμὰ σῦκα τρωγόντων, καὶ ἐπὶ τὰ ἄλλα μετῆκται.

Ἀποφθίμενον. φθαρέντα. ἀποθανόντα. ἀπὸ τοῦ φθίω.

Ἀπολιχμήσονται. ἀπολείξουσιν. λείχω, λιχῶ, καὶ λιχμῶ, λιχμήσω.

Ἀποφθείσθω. ἀποφθαρείτω. ἀπὸ τοῦ φθείω, φθίομαι, φθιόμενον. καὶ κατὰ συγκοπήν,

φθίμενον. ἀπὸ τοῦ φθῶ, φθίω, φθίσω, ἔφθικα, ἔφθιμαι, ἐφθίμην, φθίσω.

Ἀποσκορακίζω. ἀπὸ τοῦ κόραξ, κόρακος. κορακίζω. σημαίνει δὲ, τὸ καταλιμπάνω. λέγουσι γάρ τινες, ὅτι ἐδόθη χρησμός τισὶ παρακαθημένοις πόλιν τοῦ λαβεῖν αὐτὴν, ἵνα ἐὰν ἴδωσι λευκοὺς κόρακας ἐν τῇ πόλει ἣν ἔμελλον πορθῆσαι, μὴ πορθῆσαι αὐτὴν, ἀλλ' οἴκοι ὑποστρέψαι. λαβόντες δὲ οἱ ἐν τῇ πόλει κόρακας τοὺς πετομένους, καὶ λευκάναντες αὐτοὺς μετὰ ἀσβέστου, ἀπέλυσαν ἔξω τῶν τειχῶν. οὓς θεασάμενοι οἱ ἐναντίοι, ἀπόρθητον αὐτὴν κατέλειψαν. καὶ εἰς τοὐπίσω πλανηθέντες, ὑπέστρεψαν.

Ἀπὸ πεντόζοιο. Ἡσίοδος μὴ δ' ἀπὸ πεντόζοιο, ἀπὸ χλωροῦ τάμνειν. πεντάκλαδος ἡ χείρ. μὴ ὀνυχίσῃς φησὶν ἐν ἑορτῇ ξηρὸν ὄνυχα. χλωρὸν δὲ τὸ ζωτικὸν αἷμα. ἀσεβὲς γὰρ ὀνυχίζεσθαι ἐν ἑορτῇ θεῶν. Βοιωτοὶ χρησμὸν ἔλαβον. ζήτει εἰς τὸ ἀπεσκοράκισεν. ὅτε ἀφαιρεθήσεται αὐτῶν ἡ πόλις, ὅτε λευκοὶ κόρακες φανῶσιν αὐτῇ. τοῦ οὖν χρησμοῦ ἀκούσαντες νεανίσκοι, καὶ μέθῃ ποτὲ γινόμενοι, γυψώσαντες τοὺς κόρακας καὶ ἀφέντες, ἐθορύβουν τὴν πόλιν διὰ τὸν χρησμόν. φωραθέντες δὲ οἱ τοῦτο διαπραξάμενοι, ἀπέβαλον τοῦ πόρου μετὰ ποινῆς. τοὺς οὖν αἰτικακία γινωσκομένους, ἀπέπεμπον ὅπου ᾤκουν οἱ γυψώσαντες, ὀνομάζοντες εἰς κόρακας. ἀπεσκοράκισεν οὖν, ἀντὶ τοῦ ἀπεκρούσατο, καὶ μετὰ μίσους ἐξέβαλεν.

Ἀπόχρη. σημαίνει τὸ ἀρκεῖ. οἷον, Ἀπόχρη γὰρ παρὰ τοῖς δικαίοις κριταῖς, καὶ μόνη ἡ προθυμία δρέψασθαι τὴν εὐφημίαν. Ἰστέον ὅτι παρὰ μὲν τοῖς παλαιοῖς Ἀθηναίοις, καὶ περισπωμένως οὕτω γράφεται. κινῶν τοῦτο. τὰ γὰρ εἰς ω μονοσύλλαβα ὄντα τοῦ ἐνεστῶτος μετὰ προθέσεως συντεθέντα, τὴν περισπωμένην τάσιν φυλάττουσι. σμῶ, περισμῶ. θλῶ, συνθλῶ. κλῶ, κατακλῶ. εἰ οὖν ἐστι χρῶ χρῇ μετὰ τοῦ ι. τὰ γὰρ εἰς ω ῥήματα θέλει ἔχειν κατὰ τὸ δεύτερον πρόσωπον καὶ τρίτον δίφθογγον τὴν μετὰ τοῦ ι. θλῶ θλᾷς θλᾷ. ποιῶ, ποιεῖς ποιεῖ. χρῶ χρῇς χρῇ. δηλονότι καὶ ἀπόχρη φαμὲν περισπωμένως. πρόσκειται ἐν συνθέσει, διὰ τὸ σχῶ, παράσχου. πρόσκειται μετὰ προθέσεως διὰ τοῦ ἄζω. παρὰ δὲ τοῖς νεωτέροις, βαρύνεται, καὶ χωρὶς τοῦ ι γράφεται. κινῶν τοῦτο. τὰ ἀπὸ τῶν εἰς μι συντεθέντα, ἀναβιβάζουσι τὸν τόνον. εἰμί, σύνειμι. φημί, σύμφημι. οὕτως οὖν ἐστι χρῆμι, χρῆς, χρῆσι, καὶ κατὰ ἀποκοπήν, χρή. Οὐ χρὴ παννύχιον εὕδειν. καὶ ἐν συνθέσει, ἀπόχρη. οὕτω Ζηνόβιος.

Ἀπονάσσω. Αὐτοὶ περικαλλέα κούρην ἂψ ἀπονάσσωσιν. εἰς τοὐπίσω ἀποκαταστήσουσιν.

Ἀποδιοπομπεῖσθαι. ἀποπέμπε-, ἀποδιώσουσιν. εἶναι τὸ πρὸς ἀποτρόπαιον Δία, καὶ οἷον, καθαίρεσθαι.

Ἀποσφήλειε. Μέγα δ' ἔσφας ἀποσφήλειε πόνοιο. οἷον εἰ, ἀποσφαλῆναι. ἀπὸ τοῦ χεῖν ποιήσειε τοῦ ἔργου. ἀπὸ τοῦ σφάλω, σφαλῶ, σφάλειας.

Ἀποπεσέτωσαν. ἀπὸ τοῦ πέτω. ἄλλοι δὲ παρὰ τὸ πεσῶ, πεσήσω. καὶ ὁ δεύτερος ἀόριστος, ἔπεσον. καὶ σεσημείωται οὗτος ὁ δεύτερος ἀόριστος καὶ ὁ ἔχεσον διὰ τὸ ἐξενεχθέντες διὰ τοῦ σ. ὅπερ ἐστὶ χαρακτὴρ τοῦ πρώτου ἀορίστου. κατὰ δὲ ἀντιπάθειαν εὑρέθη. ἔστι γὰρ καὶ ὁ εἶπα καὶ ἤνεγκα πρῶτος ἀόριστος διὰ τοῦ π καὶ κ ἐκφερόμενοι. ὅπερ τῶν παρακειμένων ἐστὶν ἴδιον καὶ δευτέρων ἀορίστων. ἀπὸ τοῦ ἔπεσον, πέσε τὸ προστακτικὸν, καὶ πεσέτωσαν.

Ἀποσχήσει, χωρίσει. ἀπὸ τοῦ σχῶ, σχήσω.

Ἀποτίσας, ἀποδούς. καὶ ἀποτίνει δίκην, ἀποδώσει τιμωρίαν.

Ἀποῤῥυήσεται. ῥύω, καὶ ὁ παρατατικός, ἔῤῥυον. εἰ δὲ ἀπὸ τοῦ ρ ἄρχεται τὸ θέμα, καὶ ἕτερον ρ προσλαμβάνει ὁ παρατατικός. ῥύω, ὁ μέλλων, ῥύσω. ὁ ἀόριστος, ἔῤῥυσα. ὁ δεύτερος, ἔῤῥυον. ὁ παθητικός, ἐῤῥύην. ἐῤῥύης, ἐῤῥύη. καὶ ὁ μέλλων δεύτερος, ῥυήσομαι, ῥυήσῃ, ῥυήσεται. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀποῤῥυήσεται, πλεονασμῷ τοῦ ρ. αἱ δὲ εἰς φωνῆεν τελήγουσαι προθέσεις, ἐὰν συντεθῶσι μεθ' ἑτέρας συλλαβῆς ἀπὸ τοῦ ρ ἀρχομένης, πλεονάζουσι καὶ ἕτερον ρ. ἢ καὶ οὕτως. ὅσα τῶν μερῶν τοῦ λόγου καθ' ἑαυτὰ σημαίνει, ταῦτα ταῖς ἀπὸ τοῦ ρ ἀρχομέναις λέξεσι συντιθέμενα, οὐ διπλασιάζουσι καὶ ἕτερον ρ. οἷον, χρυσορήμων, χρυσόρειθρος. ὅσα δὲ οὐ σημαίνει, ἀλλὰ σὺν ταῦτα συντιθέμενα, πλεονάζουσι καὶ ἕτερον ρ. οἷον, σύῤῥοια. ἐπίῤῥημα. ἀνάῤῥησις.

Ἀποσταβίζειν. τὸ λειπόμενον πόμα τοῦ ποτηρίου ἐκχεῖν, ὥστε ψόφον ποιεῖν.

Ἀποφλαυρίζοντες. ἐπιπωθάζοντες. ἐξευτελίζοντες. ἢ ὡς πονηρὸν ἀποστρεφόμενοι. ἀεὶ γὰρ τὸ φαῦλον ἀντὶ τοῦ πονηροῦ τάττεται. φαῦλον οὖν ἐστιν, ὑπερβιβασμῷ τοῦ λ καὶ πλεονασμῷ τοῦ ρ, φλαῦρον.

Ἀποχρώντως. ἱκανῶς. ἀρκούντως. ἀπὸ τοῦ χρῶ συζυγίας δευτέρας τῶν περισπωμένων. ἡ μετοχὴ, χράων χρῶν. ἡ εὐθεῖα τῶν πληθυντικῶν, χράοντες χρῶντες. ἡ γενική, χρώντων. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀποχρώντως.

Ἀπομόρξατο, ἀπομόργω, ἐξ ἐνεστῶτος. ἐκ τοῦ ἀμέργω, τὸ ἐκπιέζω. μεταθέσει τοῦ ρ εἰς λ, ἀμέλγω. καὶ ἀμολγὸς, ὁ ἐκπιέζων τὰ πρόβατα. τὰ εἰς γω ῥήματα, εἰ μὲν ἔχει πρὸ τοῦ γ σύμφωνον, βαρύνεται. οἷον, ἀμέργω. στέργω. εἴργω. χωρὶς εἰ μὴ ἔχοι τὸ ὄνομα προϋποκείμενον διὰ τὸ γεωργῶ, ἔχει προϋποκείμενον τὸ γεωργός. τὸ δὲ ἀμέργω, οὐκ ἔχει. τὸ γὰρ ἀμόργη, ἐκ τοῦ ἀμέργω γίνεται. σημαίνει δὲ δύο. τὴν ὑποστάθμην τοῦ ἐλαίου, καὶ τὴν τρύγα τοῦ οἴνου. ἔστι καὶ εἶδος βοτάνης πορφυρᾶς. ἐξ οὗ ἀμόργινα ἱμάτια λέγονται τὰ πορφυρᾶ. ἐκ τοῦ ἀμέργω, κατὰ τροπὴν τοῦ α εἰς ο. ὡς ἄρχομαι, ὄρχαμος. γίνεται ὀμόργω, καὶ ὀμόρξω, ὤμορξα, ὠμορξάμην, καὶ ὠμόρξατο. καὶ ἀπομόρξατο συναρχομένως.

Ἀμοργὶς δὲ, τοῦ καλάμου τῆς ἀνθήλης τὸ λεπτότατον μέρος. ὅθεν ἀμόργη.

Ἀπολεῖς. ῥῆμα ὁριστικὸν σύνθετον συζυγίας πέμπτης τῶν βαρυτόνων. καὶ γίνεται παρὰ τὸ ἀπόλλω. τοῦτο παρὰ τὴν ἀπὸ πρόθεσιν καὶ τὸ ὄλλω ῥῆμα. ἢ ἐκ τοῦ ὀλῶ ῥήματος, γίνεται ἀπολῶ, συζυγίας πρώτης τῶν περισπωμένων. τὸ παθητικὸν, ἀπολέομαι ἀπολοῦμαι. τὸ τρίτον, ἀπολέεται ἀπολεῖται. ὄλω, τὸ ἀπόλλω. τὸ παθητικὸν, ὄλομαι. ὁ παρατατικός, ὠλόμην, ὤλου ὤλετο. καὶ ἀπώλετο. ἢ ὄλω, ὁ μέλλων, ὀλῶ. ὁ δεύτερος ἀόριστος, ὦλον. ὁ παθητικός, ὠλόμην, ὤλου. ἢ παρὰ τὸ ἔλω, τὸ φονεύω, γίνεται ὀλῶ. ὡς πέλω τὸ ὑπάρχω, πολῶ. μένω, μονῶ. ὀλῶ. οὗ ὁ μέλλων, ὀλέσω.

Ἀπολωλότα. ἀπὸ τοῦ ὀλῶ, ὦλα, καὶ ὄλωλα, ἀττικῶς, ὀλῶ, ὀλέσω. ὁ παρακείμενος, ὤλεκα. ὁ μέσος, ὦλα.

Ἀπόνασθαι. ἀπολαῦσαι. ἀπὸ τοῦ ὀνῶ τὸ ἀπολαύω, τὸ εἰς μι ῥῆμα, ὄνημι. ὁ παθητικὸς ἐνεστὼς, ὄναμαι, καὶ τὸ ἀπαρέμφατον μετὰ τῆς ἀπὸ προθέσεως, ἀπόνασθαι. ὀνῶ, τὸ ὠφελῶ, ὄνημι. τὸ παθητικὸν, ὄναμαι. καὶ ὁ παρατατικός, ὠνάμην. τὸ τρίτον τῶν πληθυντικῶν, ὤναντο, καὶ ἀπώναντο.

Ἀποπληξία. τὸ μετὰ ἀναισθησίας καὶ πτώσεως συμβαῖνον πάθος. καὶ ἀπόπληκτος, ὁ ἀναίσθητος. Ἰστέον ὅτι ἡ πρώτη συζυγία τῶν περισπωμένων ἀντὶ τοῦ μέλλοντος ἔχει τὸ η, ἢ τὸ ε. ἀλλ' ἡνίκα ὁ ἐνεστὼς μακρᾷ παραλήγεται φύσει ἢ θέσει, διὰ τοῦ η ἔχει τὸν μέλλοντα. οἷον, οἰκῶ, οἰκήσω. ποιῶ, ποιήσω. πλὴν τοῦ ἀρκῶ ἀρκέσω. καὶ νεικῶ, νεικέσω, τὸ φιλονεικῶ. τὸ γὰρ νικῶ νικήσω, δευτέρας ἐστὶ συζυγίας. καὶ ἡνίκα καθαρὸς ὁ ἐνεστὼς, διὰ τοῦ η ἔχει τὸν μέλλοντα. οἷον, νοῶ νοήσω. καὶ ἐὰν διχρόνῳ παραλήγεται, διὰ τοῦ η. φιλῶ, φιλήσω. κιχῶ, κιχήσω. πλὴν τοῦ ἀρῶ, ἀρέσω. καὶ καλῶ, καλέσω. καὶ τὰ ἀπὸ τῶν εἰς ος ἀρσενικὰ, διὰ τοῦ η ἔχει. οἷον, κτύπος, κτυπῶ, κτυπήσω. δοῦπος, δουπῶ, δουπήσω. καὶ τὰ παρασύνθετα. οἰκονόμος, οἰκονομῶ, οἰκονομήσω. καὶ τὰ ἀπὸ βαρυτόνων θέματος μεταγόμενα εἰς περισπώμενα. οἷον, οἰκτείρω, οἰκτειρῶ, οἰκτειρήσω. ἕλκω, ἑλκῶ, ἑλκήσω. καὶ τὰ διφορούμενα κατὰ τὰς συζυγίας, διὰ τοῦ η ἔχουσι τὸν μέλλοντα. οἷον, ξυρῶ, ξυρεῖς, ξυρᾷς, ξυρήσω. ἐλεῶ, ἐλεεῖς, ἐλεᾷς, ἐλεήσω. καὶ τὰ μονοσύλλαβα. σχῶ, σχήσω. ῥῶ, ῥήσω. μνῶ, μνήσω. καὶ τὰ δι' ἑνὸς λ ἐκφερόμενα βαρύτονα. ἀντὶ δὲ τοῦ μέλλοντος περιττοσυλλάβως κλινόμενα, διὰ τοῦ η ἔχει τὸν μέλλοντα. οἷον, θέλω, θελήσω. μέλω, μελήσω. τὰ δὲ μηδὲν ἐκ τούτων ἔχοντα, παραληγόμενα δὲ τῷ ε, ἢ τῷ ο, διὰ τοῦ ε ἔχουσι τὸν μέλλοντα. οἷον, τελῶ, τελέσω. ὀλῶ, ὀλέσω. πλὴν τοῦ μολῶ, μολήσω. τρῶ, τρήσω. ὠφελῶ, ὠφελήσω. Ἰστέον δὲ ὅτι καὶ ταῦτα διφοροῦνται. καλέσω, καὶ καλήσω. φθονέσω, καὶ φθονήσω. κορέσω, καὶ κορήσω. αἰδέσω, καὶ αἰδήσω. χορέσω, καὶ χορήσω. φορέσω, καὶ φορήσω. αἰνέσω, καὶ αἰνήσω. πονέσω καὶ πονήσω. εἰ μὲν σωματικῶς, πονέσω. εἰ δὲ ψυχικῶς, πονήσω.

Ἀπόλλων. παρὰ τὸ ἀπολύειν τοὺς ἀνθρώπους τῶν κακῶν. ὁ ἀπελαύνων, καὶ ἀπολύων ἀφ' ἡμῶν τὰς νόσους. ἰατρὸς γὰρ καὶ μάντις. ἢ παρὰ τὸ ἀπολύειν τὰς ἀκτῖνας. ὁ αὐτὸς γάρ ἐστι τῷ ἡλίῳ. ἢ ἀπὸ τοῦ πάλλειν τὰς ἀκτῖνας τὰς ἰδίας. ἢ παρὰ τὸ ἀπλοῦν καὶ λύειν τὸ συνεστὼς τῆς οὐσίας, καὶ τὸ σκότος. κλίνεται Ἀπόλλωνος. τὰ εἰς λων ὀνόματα εἴτε δισύλλαβα εἴτε ὑπὲρ δύο συλλαβὰς, φυλάττουσι τὸ ω ἐπὶ τῆς γενικῆς. οἷον, ἀσκάλων, ἀσκάλωνος. δόλων, δόλωνος, βαρύνεται. τὰ εἰς λων λήγοντα ὑπὲρ δύο συλλαβὰς, βαρύνεσθαι θέλει, εἰ μὴ ἢ περιεκτικά. οἷον, ἀσκάλων. τὸ ἀμπελὼν δὲ καὶ μηλὼν, περιεκτικά. σεσημείωται τὸ Βαβυλὼν, καὶ τὸ μιμαλλὼν θηλυκά. ὃ σημαίνει τὴν μονῳδίαν. οὕτω Καλλίμαχος. Ἄπολλον ἡ κλητική. καὶ τὰ εἰς ων σύνθετα. ὅτε εἰς ον εἴη ἡ κλητική, ἀναβιβάζει τὸν τόνον. οἷον, Ἀγάμεμνον. ὀλβιόδαιμον. κακόδαιμον. Αὐτόμεδον. χαμαιλέον. ἐνοσίχθον. κυλλοπόδιον. πρόσκειται ὅτε εἰς ον εἴη ἡ κλητική διὰ τὸ ὦ χαλκοχίτων, καὶ φιλοπλάτων. ταῦτα γὰρ εἰς ων ἔχουσι τὴν κλητικὴν, ἀλλὰ διὰ τοῦ ω μεγάλου γράφεται καὶ οὐκ ἀναβιβάζουσι τὸν τόνον. πρόσκειται σύνθετα διὰ τοῦ ἱκέταον καὶ Μαχάον καὶ ἀρετάον. ταῦτα γὰρ οὐ προπαροξύνονται κατὰ τὴν κλητικὴν, ἐπειδὴ ἁπλᾶ ἐστι, καὶ οὐχὶ σύνθετα. σεσημείωται τὸ ὦ Λακεδαῖμον καὶ Παλαῖμον, προπερισπώμενα. θέλουσι δὲ καὶ τὸ εὔδαιμον τὸ κύριον μὴ προπαροξύνεσθαι ἐν τῇ κλητικῇ ἀλλὰ περισπᾶσθαι πρὸς ἀντιδιαστολὴν τοῦ ἐπιθέτου. ἐκεῖνο γὰρ προπαροξύνεται. εὔδαιμον, ὡς κακόδαιμον.

Ἀποφώλιος. ὁ ἀπαίδευτος. καὶ ἀποφώλια τὰ ἀπαίδευτα. γέγονε δὲ παρὰ τὸν φωλεόν. φωλεοὶ γὰρ τὰ παιδευτήρια. παρὰ τὸ ἐν αὐτοῖς φωλεύειν, καὶ διατρίβειν. τοὺς οὖν ἀδιδάκτους, ἀποφωλίους ἐκάλουν. ἢ παρὰ τὸ φῆλος, ὃ σημαίνει τὸν ἀπατεῶνα. φήλιος, καὶ ἐν συνθέσει, ἀποφήλιος. καὶ τροπῇ, ἀποφώλιος. ὡς ἀρηγῶ, ἀρωγὸς, καὶ ῥήσσω ῥωγμός.

Ἀποῤῥώξ. τὸ ἀπόῤῥηγμα. ἔστι ῥώσσω, τὸ σχίζω. ὁ μέλλων, ῥώξω. ἀποβολὴ τοῦ ω, ῥώξ. ἀπόῤῥηγμα. ἀπόσπασμα.

Ἀποῤῥῶγες. Ἀποῤῥῶγες λιμένος ποτιπεπτηυῖαι. ἀκταὶ, εἰς λιμένα νενευκυῖαι. ἀποῤῥηγμέναι, ἀπεσπασμέναι ἀπ' ἀλλήλων καὶ διάστημα ἔχουσαι. δι' οὗ ὁ εἰσπλοῦς.

Ἀπόνοια. ἀπόνοια σημαίνει δύο. τὴν ὑπερηφανίαν, καὶ τὴν θρασύτητα. καὶ γίνεται παρὰ τὸ ἀποθεῖναι τὸν νοῦν. καὶ γὰρ θρασύτης ἐστὶν ἡ ἄλογος τόλμα. ἡ ἀπὸ πρόθεσις, χωρισμὸν δηλοῖ. τουτέστιν ἡ χωρίζουσα τοῦ δέοντος. καὶ ἀπονοεῖσθαι, τὸ οἱονεὶ ἀπόστασιν ἔχειν τοῦ νοῦ. καὶ ἀποδόκιμος, ὁ κεχωρισμένος τῆς δεούσης δόξης. καὶ ἀπόβλητος, ὁ ἀποβολῆς ἄξιος. ὁ ἀδόκιμος.

Ἀποπληξία. τὸ μετὰ ἀναισθησίας καὶ παρέσεως πάθος. καὶ ἀπόπληκτος, ὁ ἀναίσθητος. ὡς οὐκ ἄν τις πρὸς πε-

Ἀποφράδες. ἀποφράδας <λάσει. μοχθηρός. ἔλεγον οἱ Ἀττικοὶ τὰς ἀπηγορευμένας ἡμέρας, ἃς ὑπελάμβανον χείρους εἶναι τῶν ἄλλων. ἃς δὴ καὶ ἐπικάδας καλοῦσι φθίνοντος τοῦ μηνός. τετράδα. τρίτην. δευτέραν. ἢ τὰς ἡμέρας ἐν αἷς τὰς φονικὰς δίκας ἐδίκαζον. διὰ τὸ οἱ ἀποφράττεσθαι τὸ τῆς σελήνης φῶς ἐν αὐταῖς. καὶ τοὺς πονηροὺς δὲ ἀποφράδας ἐπιθετικῶς ἐκάλεσαν. οἷον, ἄνθρωπος ἀποφρὰς καὶ βλέπω ἀπιστίαν. παρὰ τὸ φθέγμα, φάζω. ὁ μέλλων, φάσω. ἀποβολῇ τοῦ ω, φάς. καὶ ἐν συνθέσει, ἀποφράς.

Ἀπομύιος. οὕτως ὁ Ζεὺς παρὰ τοῖς Ἠλείοις τιμᾶται, Ἡρακλέους ἱδρυσαμένου αὐτὸν ἀπὸ τοῦ ἀπωθεῖν τῶν μυιῶν.

Ἄπορος. κυρίως ὁ ἀδιόδευτος. πόρος γὰρ ὁ διάσιμος τόπος, καὶ ὁ μηχανὴν ἔχων. ἔνθεν καὶ ἀπορία, ὅ, τι

Ἀπόριχες, οἱ ἄνηβοι. τῆς ἀπὸ προθέσε-<ανσημαίνη. ως, ἀντὶ τῆς α στερήσεως κειμένης, ὡς ἐν τῷ ἀποκηδήσαντα, ἀντὶ τοῦ ἀκηδήσαντα, καὶ ἀφροντιστήσαντα. καὶ ἀποτίμου ἔθηκεν, ἀντὶ τοῦ ἄτιμον.

Ἀπότροπος, ὁ οὐκέτι ἐπιστρέφων εἰς τὴν πόλιν. ἢ ἀποκεχωρηκώς. ἔστι καὶ δαίμων ἀποτρόπαιος.

Ἀπόθεστος. ἀποίκτος. οὐκέτι ἐπιζητούμενος, ὅ ἐστιν ἠμελημένος. μὴ ποθούμενος. ἐκ τοῦ ποθέω ποθῶ ποθέσω. πεπόθηκα, πεπόθεσμαι, πεπόθεσαι. ποθεστός, καὶ ἀπόθεστος, ὁ ἀζήτητος, ὁ μὴ ποθούμενος.

Ἀποστεπτικόν, ᾆσμα οὕτω καλούμενον. ὅτι μετὰ τὸ ἀποστεφθῆναι τοὺς στεφάνους, ᾔδετο ἐν τοῖς παισὶ μέλλοντες ἀποπλεῖν. χρὴ γινώσκειν ὅτι τὰ ἀπὸ συνθέτων ὀνομάτων παραγόμενα ῥήματα, οὐκέτι μένουσι σύνθετα, ἀλλὰ γίνονται παρασύνθετα. οἷον ἄπιστος, ἀπιστῶ.

Ἀπόταφον. τὸ χωρὶς ταφέντα, <εὐσεβής, εὐσεβῶ. καὶ ἄλλα χωρὶς τοῦ τῶν ἄλλων νεκρῶν τάφου. ἢ τὸν ἀπεστερημένον τῶν προγονικῶν τάφων.

Ἀπορῶ καὶ ἀπορία. ἐκ τοῦ ἄπορος. καὶ πότε γίνονται τὰ ὀνόματα ἐκ τῶν ῥημάτων, καὶ τὰ ῥήματα ἐκ τῶν ὀνομάτων. ἡνίκα ἰσοσυλλαβεῖ τὰ ῥήματα τοῖς ὀνόμασιν, ὀξύνονται δὲ ἢ βαρύνονται τὰ ὀνόματα, τὰ δὲ ῥήματα περισπᾶται, τότε ἐκ τῶν ὀνομάτων παράγονται τὰ ῥήματα. οἷον, μόνος, μονῶ. χρυσός, χρυσῶ. ἄπορος, ἀπορῶ. ἡνίκα δὲ πάλιν ἰσοσυλλαβεῖ τὰ ῥήματα τοῖς ὀνόμασιν, ὀξύνονται δὲ ἢ βαρύνονται τὰ ὀνόματα, βαρύνονται δὲ καὶ τὰ ῥήματα, τότε ἐκ τῶν ῥημάτων παράγονται τὰ ὀνόματα. οἷον, λέγω, λόγος. φέρω, φόρος. εἰ δὲ περιττοσυλλαβοῦσι τὰ ῥήματα τοῖς ὀνόμασι καὶ συνάρχονται, τότε ἐκ τῶν ὀνομάτων παράγονται τὰ ῥήματα. οἷον ἵππος, ἱππεύω. ξίφος, ξιφεύω. χωρὶς τῶν ἀπὸ μέλλοντος γινομένων ἀποβολῇ τοῦ ω. οἷον ἐλπίζω, ἐλπίσω. ἐλπιῶ, ἐλπίς. ἰσχύω, ἰσχύσω, ἰσχύς. εἰ δὲ περιττοσυλλαβεῖ τὰ ὀνόματα τοῖς ῥήμασι, τότε ἐκ τῶν ῥημάτων παράγονται τὰ ὀνόματα. οἷον, μαρτυρῶ, μαρτυρία. εὐδοκῶ, εὐδοκία.

Ἀπόπατος. ἡ τῶν σιτίων διὰ γαστρὸς κένωσις. καὶ ἀπὸ πατῆσαι παρὰ τὸν πάτον ὅ ἐστι τὴν ὁδόν. τὸ ἀπόθεν τοῦ πάτου γινόμενον. καὶ ἀποπάτημα, αὐτὸ τὸ σκύβαλον. Εὔπολις χρυσογενεία. Τί γάρ ἐστ' ἐκ δυοῖν ἀποπάτημ' ἀλώπεκος. Κρατῖνος δραπέτησι. Τὸν Κερκυόνα ἔσωθεν ἀποπατοῦντες ἐπὶ τοῖς λαχάνοις εὑρὼν ἀπέπνι-

Ἀποθύμια. λυπηρά. τὰ μὴ καταθύμια. ἀπὸ <ξα. τοῦ θύω, θυμός, ἀφ' οὗ ἀποθύμιος. ἐχθρά, προσάν-

Ἀποτμή. ἀκόντιον μικρόν, ἀποτε<τῆς τύχη. τμημένον ἀπὸ τοῦ τελείου καὶ συνηρμοσμένον εἰς μέγεθος.

Ἀποσταδόν, ὀξύνεται. ἀντὶ ἀφεστὼς καὶ πόρ<μικρόν. ῥωθεν ἐκ διαστήματος.

Ἄποινα. οἱ μὲν ἐκ τοῦ φόνος, ἄφονος. πλεονασμῷ, ἄφοινος, καὶ ἄποινος. οἱ δὲ ἐκ τοῦ ποινὴ ἡ τιμωρία. ἢ ἐκ τοῦ φονή, ὅ ἐστι τὸν τόπον τῶν ἀναιρουμένων. ἐν ἀργαλέῃσι φονῇσι. φόνος φονή, πλεονασμῷ τοῦ ι φοινή. καὶ τροπῇ τοῦ δασέος εἰς ψιλόν, ποινή, ἄποινος. ἄποινα δὲ τὰ ὑπὲρ φόνου διδόμενα λύτρα. τὰ ὑπεξαιρούμενα τοῦ φονικοῦ ἐγκλήματος. λέγεται καὶ ῥῆμα δευτέρας συζυγίας. ἀποινῶ, ἀποινᾷς, τουτέστι τὰ χρήματα εἰσπράττομαι. οἷον, ἄποινα λαμβάνω. καὶ ἀποινᾶσθαι, ἀφαιρεῖσθαι. ἢ τὸ χρηματίζεσθαι.

Ἀπούρας. ἔστιν αὐρῶ, τὸ ἀπολαύω πρώτης συζυγίας τῶν περισπωμένων. οἷον, ἵνα πάντες ἐπαύρωνται βασιλῆος. ὁ μέλλων, αὐρήσω. ὁ ἀόριστος, ηὔρησα. ἡ μετοχή ὁ αὐρήσας. καὶ συγκοπῇ, αὔρας. καὶ συνθέσει καὶ τροπῇ, ἀπούρας. ἐπηύρησα ὁ ἀόριστος, καὶ συγκοπῇ, ἐπηύρα. τροπῇ τῆς ἐπὶ εἰς ἀπό, ἀπηύρα, καὶ τοῦ η εἰς α ἀπαῦρα. ἡ μετοχή, ἀπαύρας. καὶ τροπῇ τοῦ α εἰς ο, ἀπούρας. καὶ ὁ μετέχει. ἤγουν, ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας. τὴν ἀπολαυσίμου ἀφελόμενος καὶ λαβὼν κατέχεις. οἱ δέ, ἀπὸ μεταφορᾶς τῶν ἀποσπώντων τοὺς ὅρους τινός. ἀπουρήσας, καὶ συγκοπῇ, ἀπούρας.

Ἀπριάτην. ἢ ἐπίρρημα δεῖ ἀκούειν, τουτέστιν ἄνευ λυτρώσεως, ἢ θηλυκῶς. ἀπὸ τοῦ ἀπρίατος καὶ ἀπριάτη. πριῶ, πριάσω, πεπρίακα, πεπρίαμαι, πεπρίαται, πριατός, καὶ ἀπρίατος μετὰ τοῦ στερητικοῦ α. πριῶ δὲ οὖν, πρίημι. ἐξ οὗ καὶ πριάμενοι φησὶν ὁ κωμῳδός.

Ἀπρίξ, τὸ ἰσχυρῶς κρατεῖν. ὁ ληδῶα <σελάχιον. μετὰ ἀσφαλῶς. πρὸς πεφυκότως. κατόχως. Κύπριοι δέ, γένος τι ἀκάνθης. ἔστι πρίζω, πρίσω, καὶ δωρικῶς, πρίξω. ἀποβολῇ τοῦ ω πρίξ. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀπρίξ. τουτέστιν ἰσχυρῶς κρατῶ, καὶ ἀναποσπάστως. ὥστε μὴ πρίζεσθαι, μηδὲ ἀποσχίζεσθαι τοῦ κρατοῦντος τὸ κρατούμενον, ἢ τοῦ κρατουμένου τὸ κρατοῦν.

Ἀπροτίμαστος. ἄψαυστος. ἄθικτος. ἡ μὴ ἐπιζητηθεῖσα γυνή. ἀλλ' ἄθικτος διαμείνασα. Ἀλλ' ἔμενεν ἀπροτίμαστος ἐν μεγάροις. παρὰ τὸ μαίω τὸ ζητῶ. ἡ μὴ ἐπιζητουμένη πρὸς μίξιν. ἢ παρὰ τὸ μαστεύω τὸ ζητῶ. ὅθεν καὶ μαστός. καὶ ἐπιμασσάμενος, ἐπιλαβόμενος. ἀψάμενος.

Ἀπρόσιτος. ἔστιν εἶμι τὸ πορεύομαι. ὅπερ ἐπὶ μὲν τοῖς ἑνικοῖς, διὰ τῆς ει διφθόγγου. ἐν δὲ τοῖς πληθυντικοῖς καὶ δυϊκοῖς, διὰ τοῦ ι. τὸ δυϊκόν, ἴτον. τὸ πληθυντικόν, ἴμεν. τὸ δεύτερον, ἴτε. καὶ ἐξ αὐτοῦ, ἰτός, καὶ πρόσιτος. πρὸς ὃν τις εὐχερῶς πορεύεται. καὶ μετὰ τοῦ στερητικοῦ ἄλφα, ἀπρόσιτος. πρὸς ὃν τις πορευθῆναι οὐ δύναται.

Ἀπροσεξία. ῥαθυμία. παρὰ τὸ μὴ προσέχειν.

Ἀπροτίοπτα. κρύφα. λάθρα. ἀπὸ τοῦ ὄπτω.

Ἀπριάτην. πρίημι τὸ παθητικόν, πρίαμαι. τὸ ἐπίρρημα, ἀπριάδην. καὶ τροπῇ τοῦ δ εἰς τ, ἀπριάτην.

Ἅπτομαι, ῥῆμα. καὶ συντάσσεται μετὰ γενικῆς. ἐπειδὴ ἡ ἐκ τῶν αἰσθήσεων γινομένη ἐνέργεια γενικῇ συντάσσεται. ἀκούω σου. γεύομαί σου. πλὴν τῆς ὁράσεως. ὁρῶ σε. βλέπω σε. διὰ τί, ἐπειδὴ αἱ μὲν ἄλλαι αἰσθήσεις κατὰ εἰσδοχὴν ἐνεργοῦσιν. αὕτη δὲ μόνη κατὰ ἐκπομπήν. καὶ ὡς διήλλαξε πρὸς τὰς ἄλλας κατὰ τὸ σημαινόμενον, διήλλαξε καὶ κατὰ τὴν σύνταξιν.

Ἄπτερος. Τῇ δ' ἄπτερος ἔπλετο μῦθος. ταχὺς πρὸς τὸ πειθῆναι. καὶ ἰσόπτερος. ἡ γὰρ α στέρησις δηλοῖ καὶ τὸ ὅμοιον, καὶ τὸ ἴσον. οἷον, ἀτάλαντος. ἄλοχος. ἄλλοι δέ, οὐ παραπτάς, ἀλλ' ἔμμονος. ἄλλοι δέ, ἄπτερον τὸ κδύ. ἄσμενον. ὀρθόν.

Ἄπτερα. πόλις Κρήτης. ὅτι αἱ Σειρῆνες ποτὲ πρὸς τὰς Μούσας εἰς ἔριν ἐλθοῦσαι, καὶ ἡττηθεῖσαι, ἐκεῖ τὰ πτερὰ ἀπέβαλον.

Ἀπτερέως, παρ' Ἡσιόδῳ. ὥσπερ τὸ ἀτροφέως. σημαίνει τὸ ἔστιν ἀπωτέρω, ἀπτέρω. οὕτως Ἡρωδιανός. ἔστι ταχέως, ἑτοίμως, ἀφροντίστως. οἱ δὲ ἀπροθύμως, ἐλαφρῶς, ἡδέως. ἄλλοι δέ, ἠμελημένως.

Ἄπτην. τὴν μηδέπω πτᾶσαν. παρὰ τὸ πέτω πέτην, καὶ πτήν, καὶ ἄπτην. καὶ ἄπτηνες, ἄπτεροι. οἱ μὴ ἵπτασθαι δυνάμενοι. μικροί. Ἰλιάδος ι. ὡς τ' ἀπτῆσι.

Ἀπτοεπής, ἢ ὁ ἁπτόμενος διὰ λόγων, ἢ ἀπτόητος, ὁ μὴ πτοούμενος ἐν τοῖς λόγοις. ὁ θρασύλογος, καὶ ὑβριστής.

Ἀπτοεπές. τινὲς δασύνουσι. καὶ ἡ ῥῆσις ἀπτοεπής. ὡς καθαπτομένη τοῖς ἔπεσιν. ἐμφαντικώτερον δὲ τὸ ψιλοῦν. ἄαπτον γὰρ ἔστι τὸ δεινόν. ὥστε εἶναι δεινοεπές. ἢ ἀπτόητε ἐν τῷ λέγειν. θρασεῖα, κακολόγε.

Ἄπυστος. ἀνήκουστος. ἀπὸ τοῦ πεύθω, πευστός, καὶ ἄπυστος.

Ἀπυνδάκωτος. οὐ γὰρ πέζης κύλιξ. ἀπύθμενος.

Ἀπύρους τρίποδας, ἀνεπιτηδείους πρὸς πυρὸς χρῆσιν. ἀλλὰ κόσμου χάριν τιθεμένους ἐν οἴκῳ.

Ἀπφῦς. ὁ πατήρ, λέγεται ὑποκοριστικῶς. ἀπὸ τοῦ πάπα ὅ ἐστι τὸν πατέρα. ἀφαιρέσει τοῦ κατ' ἀρχὰς π, ἄππα. ἀππῦς. καὶ τροπῇ τοῦ π εἰς φ, ἀπφῦς, ὡς Δι-

Ἀπώμοτον, ὃ ἄν τις ἀπομόσειε γε-<ομυς, ὁ Διόνυσος. γονέναι, ἢ μὴ γενέσθαι. ἄλλοι ἀνέλπιστον. Διογένης.

ΤΟ ΑΛΦΑ ΜΕΤΑ ΤΟΥ ΡΩ.

Ἄρα. σύνδεσμος συλλογιστικός. ὁ ἄρ ἐκ τοῦ ἄρα γέγονε κατὰ ἀποβολὴν τοῦ τέλους. ἢ ὁ ῥα ἐκ τοῦ ἄρα κατὰ ἀποβολὴν τῆς ἀρχῆς. ἐστὶν εὑρεῖν ὅτι τοῦ τ θέμα, καὶ τοῦ τ. ὁ γὰρ ἄρ σύνδεσμος, οὐκ ἔστιν ἐκ τοῦ ῥα. ὁ γὰρ ἄρα, ἐγκλιτικός ἐστι, καὶ ὑποτακτικός. ὁ δὲ ἄρ οὐκ ἔστιν ἐγκλιτικός. ζήτει εἰς τὰς διαφοράς.

Ἀρά, ἡ εὐχή. παρὰ τὸ αἴρειν τὰς χεῖρας εὐχομένους. ἢ παρὰ τὸ ἀρύειν, ὅπερ ἐστὶ τὸ καλεῖσθαι ἐπαιτίον. καὶ μάλιστα Συρακούσιοι. Ἀρύεται ἀντὶ τοῦ φύζειν. ἀντὶ ἐπικαλεῖσθαι καὶ ἐφέλκεσθαι. ἀρύω, ἀρά. ἢ παρὰ τὸ Ἄρεος βλαπτικοῦ ὄντος. ἀρὰ ἡ βλάβη. καὶ ἀραιή, βίαια. δεινά. χαλεπά. ὀδυνηρά. σημαίνει καὶ τὰ εὐκταῖα.

Ἀραιός. ῥαίω τὸ φθείρω, ἐξ οὗ ῥαιός. καὶ πλεονασμῷ τοῦ α, ἀραιός. μετελθούσης τῆς δασείας τοῦ ρ εἰς τὸ α. ὡς καὶ ἐπὶ τοῦ ῥέζω, ἔρδω. οὕτως Ἡρωδιανὸς ἐν τῷ καθόλου.

Ἀραιήν. ἀσθενῆ. ἀδύνατον. ἔστιν ὅτε σημαίνει καὶ λεπτήν. παρὰ τὸ ῥαίω, μετὰ τοῦ ἐπιτατικοῦ α, ἀραιή. ἢ βλαβεράν. ἢ μακράν, ἢ εὐκταίαν.

Ἀραιταστείδης, κατὰ συγκοπήν. ἀραιτασιοειδής, ὡς σιοειδὴς σιειδής, συγκοπῇ τοῦ ο.

Ἀραιότερος. βαρύτερος. ἀραιός, ἀτυχής, ἄθλιος.

Ἄραβος. κτύπος. κυρίως ἡ ἔνδοθεν βοή. ἀράβος, καὶ ἄραβος. ἢ κυρίως, ἡ ἔνδοθεν βοή, ὅραβος, καὶ ἄραβος. ἢ κυρίως ἐπὶ τῆς ἔραν βοή. ἔραβος καὶ ἄραβος. ἐξ οὗ τὸ ἀραβῶ. καὶ ἀράβησεν, ἤχησεν, ἐψόφησεν. καταχρηστικῶς δέ, καὶ ἐπὶ τοῦ σιδήρου. παρὰ τὸ ἄρεα, καὶ τὸ βοή.

Ἀράσσω, τὸ ἀποτέμνω. παρὰ τὸ ἄρης ὁ σίδηρος. κυρίως γὰρ ἀράσσειν, τὸ διὰ σιδήρου τέμνειν. Ἀπὸ δὲ τρυφάλειαν ἄραξεν. ἢ παρὰ τὸ ῥῶ τὸ φθείρω, ῥάσσω.

Ἀραιάς, τὰς βλαπτικὰς νῆας. παρὰ τὸ ῥαίεσθαι ὅ ἐστι φθείρειν. ὅθεν καὶ ψιλοῦται, ἵν' ἢ τὰς στρατιωτικάς,

Ἀράξης, ποταμός. παρὰ τὸ ἀρά-<καὶ οὐφορεῖδας. σσειν. ὅτι ἀπὸ τοῦ Καυκάσου καταρρήγνυται. καὶ ἀρα-

Ἄραρ, ποταμὸς τῆς Κελτικῆς, ἀπὸ <ξος, βοτάνης. τοῦ ἀρηρέναι τῷ Ῥοδανῷ ποταμῷ.

Ἀραρυίας. ἔστι ῥῆμα ἄρω, τὸ ἁρμόζω. ὁ μέλλων, ἀρῶ. ὁ μέσος παρακείμενος, ἦρα. ἔστι καὶ περισπώμενον, ἀρῶ. ἀφ' οὗ ὁ μέλλων, ἀρέσω. τούτου ὁ παρακείμενος, ἤρεκα. ὁ μέσος, ἦρα. καὶ κατὰ ἀναδιπλασιασμὸν ἀττικόν, ἄρηρα. ἡ μετοχή, ἀρηρώς. καὶ τροπῇ δωρικῇ τοῦ η εἰς α, ἐξ οὗ ὁ μέσος ἄραρα. ἡ μετοχή, ἀραρώς, ἀραρότος. ὡς γεγραφότος. αἱ εἰς ος μετοχαὶ εἰ μὴ κατὰ πάθος ὦσι, διὰ τοῦ ο μικροῦ κλίνονται. καὶ τὸ θηλυκόν, ἀραρυίας, τὰς ἡρμο-

Ἀραρημένος. ἔστιν ὄνομα παρὰ τῷ ποιητῇ, <σμένας. ἀρέω. ἀφ' οὗ, ῥῆμα ἀρῶ. τούτου ὁ παθητικὸς παρακείμενος, ἤρειμαι. ἡ μετοχή, ἠρημένος. καὶ κατὰ ἀναδιπλασιασμόν, ἀραρημένος. καὶ κατὰ συστολήν, ἀραρημένος.

ταῦτα Ἡρωδιανός. οὕτω Ζηνόδοτος.

Ἀράχνης. παρὰ τὸ ἀναρρεῖ χεῖσθαι. ἢ παρὰ τὸ ἀραιὰ ἴχνη ἔχειν. ἀπὸ τῆς τῶν ποδῶν ἀραιότητος. ἢ σπόδος.

Ἀεροποτῆτος ἀράχνης ἀρσενικῶς, λέγεται τὸ ζῶον. ἀράχνη δὲ, τὸ λεπτότατον ὕφασμα τοῦ ἀράχνου. ἢ παρὰ τὸ εἰς τὸν ἀέρα αἴρειν τὰ ἴχνη.

Ἀράχνια τὰ ὑφάσματα τῆς ἀράχνης. παρὰ τὴν ἀραιότητα, ὅ ἐστι λεπτότητα. ἀραιὸν γὰρ τὸ λεπτόν. ἢ παρὰ τὸ ἀράσσω, ἀράχνιον, ὡς δέμω, δέμνιον. παίζω, παίγνιον. ἤγουν τὸ εὔσχιστον. ἢ τὸ συνηρμοσμένον. χνοῦς γάρ ἐστιν ὁ συνηρμοσμένος, καὶ ἀνυφανθείς.

Ἄρβηλον. σμιλίον σκυτικὸν περιφερές. ἔστι δὲ καὶ ὅπλον.

Ἀρβύλη. Εὐριπίδης. Αὐταῖσιν ἀρβύλαισιν ἁρμόσας πόδα. λέγεται δὲ καὶ περιωνύμως Θεόκριτος. Πᾶσα λίθος πταίουσα ποτ' ἀρβυλίδεσσιν ἀείδει. παρὰ τὸ ἁρμόζεσθαι τοῖς ποσὶν, ἀρμύλη, καὶ ἀρβύλη. ἔστι δὲ εἶδος ὑποδήματος περιττῶς εἰργασμένον.

Ἀργαλέος, χαλεπός. οἶμαι παρὰ τὴν ἄρην τὴν πόλεμον, ἀραλέος. καὶ πλεονασμῷ τοῦ γ, ἀργαλέος. ἢ παρὰ τὸ ἄλγος, ὁ λύπας καὶ κακὰ ἐμποιῶν. μεταθέσει τοῦ λ εἰς ρ. ὁμοίως τῷ ὑδρηλοί. ὑδρηροὶ γὰρ ἦν τὸ ἀναλογώτερον. σιγηρός, σιγηλός. ὑψηρός, ὑψηλός. ὁ εἰς ὕψος ἠρμένος. παράγονται τὰ τοιαῦτα ὀνόματα, [illegible]. ἀπὸ ὀνομάτων. ἀπὸ ἕκηλος, καὶ ἀπὸ ἐπιρρημάτων. ῥίμφα, ῥιμφαλέος. ζήτει εἰς τὸ δειμαλέος.

Ἀργανθών. Ἀμφ' Ἀργανθώνειον ὄρος προχοάς τε Κίοιο. τινὲς δὲ Ἀργανθώνην αὐτὴν φασίν. Εὐφορίων δὲ καὶ Ὑλίας Ἀργανθώνιον λέγει διὰ τοῦ ι. Χθιζόν μοι κνώσσοντι παρ' Ἀργανθώνιον αἶπος. Σιμωνίδης δὲ ποταμὸν φησί. Μυσίαν ὑπόγαιαν παραρρέον Ἀργανθώνης.

Ἀργαφίης. Νιψάμεναι κρήναις ἔδραμον Ἀργαφίης. τινὲς δὲ διὰ τοῦ ε, ἀπὸ Γεργάφου τοῦ Ποσειδῶνος. τὸ δὲ ἐντελὲς ἐν τῷ ἑρμηνεύειν κρήνης Γαργαφίης. ὁ παρὰ Μελίνιος, ἄνευ τοῦ γ. ἢ ἐλλείπει ἀπὸ ἱστορίας.

Ἄργεμον, τὸ κατὰ πάθος γενόμενον λεύκωμα ἐν τῷ ὀφθαλμῷ. παρὰ τὸ ἀργὸν τὸ λευκόν. καὶ ἀργεμώνη βοτάνη.

Ἀργεννός, ὁ λευκός. παρὰ τὸ ἀργός, γίνεται ἀργεινός, ὡς ἐρατὸς ἐρατεινός. καὶ ἀργεννός. ἐνδείᾳ μὲν τοῦ ι, πλεονασμῷ δὲ τοῦ ν. ἀπὸ τοῦ ἀργεννός, τὸ θηλυκὸν, ἀργέννη. παρώνυμον εἶδος μετὰ συμφώνου. ἐκ τοῦ ἀργός ὅ ἐστι τὸ καθαρὸν, ἀργεινής. ὡς ἔλεος ἐλεεινός. καὶ ἔθος ἐστὶ τῇ τῶν Ἑλλήνων διαλέκτῳ, τὸ ι τρέπειν εἰς ν. τὸ γὰρ σπείδω σπένδω λέγουσι, καὶ τὸ ἐνδοῖ ἔνδον. καὶ τὸ ἐρεβεινός, ἀπὸ τοῦ ἔρεβος, ἐρεβεννός. οὕτως ἀργεινός ἀργεννός. οἱ δὲ Σικελοὶ τὸ ἐναντίον. τὸ μὲν γὰρ σπένδω, σπείδω λέγουσι. καὶ τὸ οὐ μέντοι, οὐ μέντι. Αὐτίκα δ' ἀργεννῇσι καλυψαμένη ὀθόνῃσιν. ἤγουν λαμπραῖς λευκαῖς.

Ἄργος. παρὰ τὸ ἀρκῶ, ἄρκος. καὶ ἀργός, ὁ ταχύς. ὁ ἐπαρκεῖν τοῖς ποσὶ δυνάμενος. καὶ γὰρ ποδάρκης τοὺς ταχεῖς λέγομεν. καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ λευκοῦ λαοῦ. καὶ γὰρ οἱ ποιηταὶ τὰ λαμπρὰ καὶ λευκὰ πάντα οὕτω καλοῦσι. παρὰ τὸ τάχιον τοὺς ὁρῶντας ὁρᾶσθαι ποιεῖν. παρὰ τὰ ἅμα οὕτως ἐπὶ τοῦ κινουμένου. καὶ κύνας ἀργούς, τινὲς τοὺς λευκούς.

Ἀργός, ἐκ τοῦ ἀργός, ἀρσενικῶς.

Ἀργός, σημαίνει δύο. τὸν λευκόν. ὡς τὸ, Αἶγες ἀργὴν χῆνα φέρων. καὶ τὸν ταχύν. ὡς τὸ, Ἅμα τῷ γε δύο κύνες πόδας ἀργοὶ ἕποντο.

Ἄργος, σημαίνει δʹ. ὄνομα μὲν τῆς Πελοποννήσου. Πολλῇσι νήσοισι, καὶ Ἄργεϊ παντὶ ἀνάσσειν. ὄνομα δὲ τῆς πόλεως τῆς ἐν Πελοποννήσῳ. Οἳ δ' Ἄργος τ' εἶχον Τίρυνθά τε τειχιόεσσαν. ὄνομα δὲ τῆς θαλάσσης, Νῦν αὖ τοὺς ὅσοι τὸ Πελασγικὸν Ἄργος ἔναιον. ὀνομάζεται δὲ καὶ τὸ Ὀδυσσέως κύνα. Ἂν δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχεν, Ἄργος ὁ Ὀδυσσῆος.

Ἀργεῖ. ἀπὸ τινὸς Ἄργου ἐν Πελοποννήσῳ κατοικήσαντος. ἰστέον δὲ ὅτι αὗται αἱ δοτικαὶ, ἐὰν μὲν ἔχωσιν ἐπιφερόμενον σύμφωνον, διαιροῦνται. Διομήδεϊ Παλλὰς Ἀθήνη. εἰ δὲ φωνῆεν, οὐ διαιροῦνται. καὶ ὁ Θρασειότερον δολιχὸν ἂν μὴ κωλύῃ μέτρον. ὡς τὸ Χαριζομένη Ποσειδῶ. τινὰ δὲ καὶ χωρὶς μέτρου παρήλλαξαν. οἷον, Ἡδεῖ οἴνῳ.

Ἀεργός. ὁ νωθρός, καὶ δυσκίνητος. μᾶλλον δὲ ἀνενέργητος. παρὰ τὸ ἀργὸς εἶναι, ἢ βοηθείας δεόμενος. παρὰ τὸ ἀρκέω τὸ βοηθῶ. εἰ δὲ σημαίνει τὸν καθαρὸν καὶ λευκόν, γίνεται παρὰ τὸ ἀὴρ ἀεργός, ὁ ἀργός. διότι δὲ ὁ ἀὴρ καὶ διαφανής. καὶ διόσμος ἅτε λεπτομερέστατος ὤν.

Ἀργέστης, τὸ κύριον βαρύνεται. οἷον, Ἀργέσταο παρὰ ἄσσον ὑπὸ πνείοντος ἔβησαν. δηλοῖ τὸν ἀπηλιώτην ἄνεμον. Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικά. τὸ δὲ ἐπίθετον τοῦ νότου, ὀξύνεται. ἀργεστής. ὡς Ἀργεσταο Νότοιο. οἷον, τοῦ λευκοῦ. ἢ εἶδος φυτοῦ, ἐξ οὗ ἡ ναῦς κατασκευάζεται.

Ἀργώ. ἡ ναῦς, ἀφ' οὗ Ἀργοναῦται. εἴρηται ὅτι Ἄργος αὐτὴν κατεσκεύασεν. ἢ ὅτι ἐν Ἄργει τῇ πόλει κατεσκευάσθη, ὡς Ἡγήσιππος ἱστορικός. ἢ ὅτι ταχεῖα ἦν. ἀργὸν καὶ τὸ ταχύ. ἔνθα καὶ λήθαργος. ὁ τῇ λήθῃ ταχύς. πρώτην δὲ αὐτὴν ναυπηγηθῆναι φασίν.

Ἀργεία. ἐπὶ ὄρους ὄνομα τῆς Μεσσηνίας. ἔχει δὲ τὸ γει δίφθογγον. ἀπὸ τοῦ Ἄργος. τὰ γὰρ εἰς αν οὐ φαίνεται τῇ ει διφθόγγῳ παραλήγεσθαι, παιάν. Ποτιδαιάν.

Ἀργής. ὥσπερ παρὰ τὸ γυμνὸς γίνεται γυμνής. γανός γανής. πότος, πότης. ὁμαλός, ὁμαλής. οὕτως οὖν καὶ ἀργός, ἀργής. ὁ λευκός, ἢ λαμπρός. κλίνεται ἀργῆτος. Βῆ δὲ κατασχομένη ἑανῷ ἀργῆτι φαεινῷ. ἡ αἰτιατική, ἀργῆτα. καὶ κατὰ μεταβολὴν καὶ συστολὴν, Λυκάονος ἀργέτα δημόν. καὶ πάλιν. Ἀργέτι δημῷ. τῷ λευκῷ λίπει.

Ἀργειφόντης. ἐπίθετον Ἑρμοῦ. ἢ ὅτι ἀργός ἐστι φόνου, τουτέστι καθαρός. ὁ αὐτὸς γάρ ἐστι τῷ λόγῳ. ἢ ὁ ἐν Ἄργει πρῶτον πεφηνώς. ὁ γὰρ Ἑρμῆς, πρῶτον ἐν τῷ Ἄργει ἐφάνη. ἢ ὁ ἐναργεῖς τὰς φαντασίας ποιῶν. ἐπάνω γὰρ ὥς φασι τῶν ὀνείρων ἐστὶν ὁ Ἑρμῆς. ἢ ἐπειδὴ τὸν Ἄργον ἐφόνευσε λίθῳ βαλών, κελευσθεὶς παρὰ τοῦ Διὸς κλέψαι τὴν Ἰὼ βοῦν γινομένην. ἐφύλαττε δὲ αὐτὴν ὁ Ἄργος βουλήσει Ἥρας, ἔχων ἐν ὅλῳ τῷ σώματι αὐτοῦ ὀφθαλμούς. ὥσπερ καὶ ἀπὸ τοῦ λίβανον γίνεται ἀλεξίβανον, τροπῇ τοῦ ο εἰς ε, οὕτω καὶ ἀπὸ τοῦ ἀργοφόντης γίνεται ἀργεφόντης. καὶ πλεονασμῷ τοῦ ι, ἀργειφόντης. δίδυμος δὲ διὰ τὴν γραφήν. λέγεται γὰρ ὥσπερ ἀπὸ τοῦ ἀρι ἐπιτατικοῦ γίνεται ἀριδείκετος, οὕτω τὸν αὐτὸν τρόπον, καὶ ἀπὸ τοῦ ἀρι, γίνεται ἀριφόντης. καὶ πλεονασμῷ τοῦ γ ἀργιφόντης.

Ἀργιόδους. ὁ μεγαλόδους, πολλὴ δὲ ἡ χρῆσις τῆς λέξεως. παρὰ τὸ ἀρι ἐπιτατικὸν καὶ τὸ ὀδούς, γίνεται ἀριόδους. ὡς ἀρίζηλος. καὶ πλεονασμῷ τοῦ γ, ἀργιόδους. ὡς ἄνοια ἄγνοια. καὶ ῥαῖα, γραῖα. ἢ γὰρ παρὰ τὸ ἀργός, ἀργόδους ἴσως ἄν. οὕτω Τρύφων ἐν τῷ περὶ σχημάτων.

Ἄργιλος, ἔστιν ἡ λευκὴ γῆ.

Ἀργινοῦσαι. ἀργιλώδεις. εἰσὶ δὲ αὗται εἰς καρπὸν ἀνέσεις φαῦλαι καὶ ὡς ἐπὶ τὸ πλεῖστον μηλόβοτοι. καθάπερ ἡ Σκῦρος, καὶ αἱ λεγόμεναι Ἀργινοῦσαι.

Ἄργμα, ἡ ἀπαρχή. παρὰ τὸ ἄρχω, ἄργμα. ὡς παρὰ τὸ ἥρμαι, ἕρμα. γέγραμμαι, γράμμα.

Ἀργυρόπεζα. λαμπροὺς πόδας ἔχουσα. βασιλική. πέζα γὰρ ὁ πούς.

Ἀργυρογνώμονα, λέγουσι τὸν κολλάκτην.

Ἀργύρεον, ἐκ τοῦ ἄργυρος. τοῦτο παρὰ τὸ ἀργὸν τὸ λευκόν. ὅθεν οἱ ποιηταὶ τὰ λαμπρὰ καὶ λευκὰ, οὕτω καλοῦσιν. ἀργύφα μῆλα.

Ἀργυρόηλον, τὸ ἀργυροῦς ἥλους ἔχον. ἐκ τοῦ ἀργυροῦς τοῦ κτητικοῦ καὶ τοῦ ἧλος. ἰστέον ὅτι πᾶν νόμισμα, εἴτε ἐν χαλκῷ εἴτε ἐν ἀργύρῳ εἴτε ἐν χρυσῷ, εἰώθασιν ἀργύριον καλεῖν. καὶ οἱ μὲν ἐκ τῶν ἐθνικῶς. οἱ δὲ κωμικοί, ἀργύρια πληθυντικῶς.

Ἀργύφεον. ἄργυφον παράγωγον, ἀπὸ τοῦ ἀργόν. ὁ δὲ Ἡρωδιανὸς ἐν τῷ περὶ σχηματισμοῦ λέγει. ὅτι γίνονταί τινες συνθέσεις, καὶ ἀπὸ μόνου ῥήματος. οἷον, ἀπὸ τοῦ βῶ, κάραβος. καὶ ἀπὸ τοῦ θῶ τὸ θηλάζω, αἴγιθος. καὶ ἀπὸ τοῦ ἀργῶ οὖν τοῦ σημαίνοντος τὸ φαίνω, ἄργυφος. καὶ πλεονασμῷ τοῦ ε, ἀργύφεος. οἷον, Ἀμφὶ δ' ἀργύφεον φᾶρος μέγα ἕννυτο. Τῶν δὲ καὶ ἀργύφεον πλὴν τὸ σπέος. σημαίνει δὲ τὸ μέγα σπήλαιον, ἢ λαμπρόν.

Ἀργυφέῃ ἐσθῆτι. ἡ σπόδος.

Ἀρδμός. Ἐν ποταμῷ, ὅθι τ' ἀρδμὸς ἔην πάντεσσι βοτοῖσιν. ὁ ποτισμός. παρὰ τὸ ἀρδῶ περισπώμενον. εἰ γὰρ ἦν ἀπὸ βαρυτόνου, ἄρδμος ἂν ἦν.

Ἀρδηθμός, ὁ ποτισμός. Νίκανδρος. Ἔνθα ἡ ἐκ καὶ ἀρδηθμοῖο μεσημβρινὸν αἴξαντος.

Ἄρδην, ἐπίρρημα. σημαίνει τὸ ὁμοῦ. παρὰ τὸ αἴρω, τὸ ἐπαίρω. ἢ παρὰ τὸ ἄρω τὸ ἁρμόζω, ἄρδην. τὸ γὰρ ἐν τῷ ἅμα γινόμενον, ἁρμοζόντως γίνεται.

Ἄρδις. ἡ ἀκὴ τοῦ βέλους. Καλλίμαχος. Ἀλλ' ἀπὸ τόξου αὐτὸς ὁ τοξευτὴς ἄρδιν ἔχων ἑτέραν. εἴρηται παρὰ τὸ ἄρω τὸ ἁρμόζω. ἥρμαι, ἦρται. ἄρτης. ἔνθα πυλάρτης. καὶ ὥσπερ παρὰ τὸ προφήτης γίνεται παράγωγον προφῆτις, οὕτω καὶ ἄρτης ἄρτις καὶ ἄρδις. οὕτως Ἐπαφρόδιτος. ζήτει εἰς τὸ ἁρμάριον, καὶ ἀργυρίδιον, καὶ ἄρδιπος.

Ἀργυρότοξος. τουτέστιν ὁ λαμπρὸν τόξον ἔχων. ἐκ τοῦ ἀργὸν τὸ καθαρὸν, ἢ λευκόν. τοῦτο παρὰ τὸ ἀγλαός. τοῦτο παρὰ τὸ αἴγλη, αἰγλαόν. ἀποβολῇ τοῦ ι καὶ μεταθέσει, ἀλγόν. καὶ τροπῇ τοῦ λ, ἀργόν.

Ἀρέω, Ἰλιάδος σ. Ἐμεῖο δὲ δῆσεν ἀρέω ἀλκτῆρα γενέσθαι. οὕτως Ἀρίσταρχος. καί ἐστιν ἀπὸ εὐθείας τῆς ἄρεως. τοῦ ἄρεω. ὡς Πειρέως, Πειρεωΐδος. ἔστι δὲ τὸ λεγόμενον οὕτως. ἐμοῦ δὲ ἐδέησεν ἀλεξητῆρα γενέσθαι τοῦ ἄρεω. τουτέστιν ἀποτρεπτικὸν κωλυτήν, ἢ βοηθὸν τοῦ πολέμου. οἱ δὲ, ἀρῆς ἀλκτῆρα. βλάβης καὶ κακώσεως κωλυτήν. τὸ δὲ δῆσε διὰ δύο συλλαβῶν, ἀπὸ τοῦ ἐδέησε κατὰ συγκοπήν. ἤγουν χρείαν μου τῆς βλάβης βοηθὸν γενέσθαι. Παρμενίσκος οὖν βαρύνει τὸ ἔδησεν ἀπὸ τοῦ δίδω. οὕτω δὲ ὁ πόλεμος τὴν ἐμὴν ἀφελόμενος πανοπλίαν ἔδησεν. ἐνεπόδισέ μου τὴν ἔξοδον. ὥστε ἀλκτῆρά με γενέσθαι Πατρόκλου, ὅ ἐστι βοηθόν. Πτολεμαῖος δὲ ὁ Ἀσκαλωνίτης περισπῶν τὸ ἐδῆσε φησίν.

Ἀρῆ, σημαίνει δύο. τὴν εὐχήν. Ἀράων αἰὼν Ἠλιάδαο γέροντος. καὶ τὴν βλάβην. Ἐμεῖο δ' ἔδησεν ἀρῆς ἀλκτῆρα γενέσθαι.

Ἀρέθουσα, ἡ πηγή. παρὰ τὸ ἄρδω τὸ ποτίζω, ἄρσω. ἵν' ἡ ἡ ποτίζουσα ἄρδην πάσας τὰς κρήνας καὶ τοὺς ποταμούς.

Ἅρπυιαι. καὶ πλεονασμῷ τοῦ ε ἀρέπυιαι.

Ἀρετάν, ποταμὸς Κρωτωνιάδος χώρας. παρὰ τὴν Ἀρέταν τὴν γυναῖκα Ἀλκίμου, ἧς περιέχει τὸ μνῆμα, ὡς μαρτυρεῖ Φιλοστέφανος.

Ἀρετή. παρὰ τὸ ἔρω τὸ ἐπιθυμῶ, ἐρατή. καὶ ἐρατὰ δῶρα, τὰ ἐπέραστα καὶ καλά. τουτέστιν, ἡ φιλητή. κατὰ μετάθεσιν τοῦ στοιχείου ἀρετή, ἡ ἐπέραστος κτῆσις. ἧς ἐρῶσιν ἢ ἣν αἱροῦνται πάντες. ἢ παρὰ τὸ ἀρῶ, ἀρεσῶ, ἀρεστή, καὶ ἀρετή. ἡ πᾶσιν ἀρέσκουσα. λέγεται δὲ καὶ ἡ κατὰ πόλεμον δύναμις. παρὰ τὸν ἄρην τὸν πόλεμον. λέγεται δὲ ἀρετὴ καὶ ἡ ἐν παντὶ πράγματι ὑπεροχή. παρὰ τὸ αἱρῶ, τὸ προαιροῦμαι. σημαίνει δὲ τρία. τὴν κατὰ πόλεμον ἀνδρείαν. Οἶδ' ἀρετὴν, οἷός ἐσσι. καὶ ἔνθα ἀρετὴ διαείδεται ἀνδρῶν. ὅτε δὲ ψιλῶς, χωρὶς τῆς ἀνδρείας. Ἀλλ' ἐθέλεις ἀρετὴν σὴν φαινέμεν. σημαίνει καὶ τὴν ψυχικὴν ἀρετήν. οἷον, Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν. σημαίνει καὶ τὴν καταφρόνησιν, καὶ εὔκλειαν. καὶ πλοῦτον. καὶ τὸ πλῆθος τῶν ἀρετῶν. καὶ τὴν ἐμπειρίαν.

Ἀρεστός. οὐκ ἀπὸ τοῦ ἀρέσκω. ἔδει γὰρ ἄρεκτος εἶναι. ἀλλ' ἀπὸ τοῦ ἀρέσω, ἀρεστός. ὁ Ἀλεξανδρεὺς φιλόσοφος ἐν ἑορτῇ Ἄρεως ἐτέχθη. διὸ οὕτως ὠνόμασται. ἀπὸ τοῦ ἀρετή, γίνεται ἀρετῶ, ἀρετῶς. ἔνθα δὲ, Ἀρετῶσι δὲ λαοί

ὑπ' αὐτῶν καὶ Ὅμηρος. Οὐκ ἀρετᾷ κακὰ ἔργα. οἷον, οὐκ ἀρετοῦται τὰ κακὰ ἔργα. οὐκ ἀρετῆς μεταλαμβάνουσι. περισπᾶται δὲ τὸ ἀρετᾷ. καὶ ἔστι δευτέρας συζυγίας ῥῆμα. οὐ γάρ ἐστι δοτικῆς πτώσεως.

Ἀρέσκω, παρὰ τὸ ἀρῶ, τὸ ἁρμόζω, γίνεται ἀρῶ, ἀρέσω. ὡς τελῶ, τελέσω. καὶ ἀρέσκω. τὸ γὰρ ἀρέσκον ἁρμόδιον. καὶ τὸ ἁρμόδιον ἀρεστόν.

Ἀρεσόμεθα. ἐξιλεωσόμεθα. θεραπεύσομεν. φιλοφρονησόμεθα. ἀπὸ τοῦ ἀρῶ, ἀρᾶς.

Ἀρεστήρ, εἶδος πλακοῦντος τοῖς θεοῖς ἀφιερωμένος. ὥσπερ καὶ τὸ πόπανον. παρὰ τὸ ἀρέσκω. ὁ τοὺς θεοὺς ἀρέσκων. ἀρέσω οὖν, ὁ παρακείμενος, ἤρεσμαι. ἀρεστής, καὶ ἀρεστήρ. ὡς ἤθληται, ἀθλητής, καὶ ἀθλητήρ.

Ἄρειος. ὁ Ἀλεξανδρεὺς φιλόσοφος ἐν ἑορτῇ Ἄρεος ἐτέχθη. διὸ οὕτως ὠνόμασται.

Ἀρείων, ὁ βελτίων. παρὰ τὸ Ἄρης. ἤγουν ὁ κυρίως ὁ κατὰ πόλεμον καλλίων. οὕτω Ταρραῖος ἐν τοῖς Ἀργοναυτικοῖς.

Ἄρειος πάγος, δικαστήριον Ἀθήνησιν οὕτω καλούμενον. καὶ οἱ δικασταὶ Ἀρεοπαγῖται. πρώτη γὰρ κρίσις ἐκεῖ ἐγένετο ἐν ἀνθρώποις. ἢ ὅτι αἱ Ἀμαζόνες ἐπὶ τὸν τόπον ἐκεῖνον ἐστρατεύοντο Ἄρεος οὖσαι. ἢ ὅτι ἐν πάγῳ ἐστὶ καὶ ἐν ὕψει τὸ δικαστήριον. Ἄρειος δὲ ἐπὶ τὰ φονικά. δικάζει δὲ ὁ Ἄρης ἐπὶ τὸν φόνον. πάγος δὲ ὁ λόφος. ἢ ὅτι ἔπηξε τὸ δόρυ ἐκεῖ ὁ Ἄρης, Ποσειδῶνος κατηγορήσαντος διὰ τὸν φόνον τοῦ υἱοῦ αὐτοῦ Ἁλιρροθίου. ὅτε ἀπέκτεινεν αὐτὸν Ἄρης, βιασάμενον Ἀλκίππην τὴν θυγατέρα Ἄρεος καὶ Ἀγραύλου τῆς Κέκροπος θυγατρός, ὥς φησιν Ἑλλάνικος ἐν πρώτῃ.

Ἀρειμάνιος, ὁ πολεμικός. ὥσπερ παρὰ τὴν ἄρει δοτικήν, γίνεται ἀρείφατος ὁ πολεμικός. τουτέστιν ὁ ἐν πολέμοις ὀνομαζόμενος, ἢ ὁ πεφονευμένος, τὸν αὐτὸν τρόπον καὶ ἀρειμάνιος διὰ τῆς ει διφθόγγου, παρὰ τὴν ἄρει δοτικήν.

Ἀρειή. σημαίνει τὴν ἐν πολέμῳ ἀπειλήν. Μηδέ σε λευγαλέοισιν ἔπεσσιν ἀπότρεπε τῶ καὶ ἀρειῇ. ἢ τὴν βλάβην. ἢ παρὰ τὸ Ἄρεος, γέγονεν ἀρεά. πλεονασμῷ τοῦ ι, ἀρειά. καὶ ἰωνικῶς, ἀρειή. ὡς πεῖνα, πείνη. ἢ παρὰ τὴν ἄρει δοτικήν, ἀρειὰ καὶ ἀρειή. λέγει δὲ ἐν τῷ καθόλου ὁ Ἡρωδιανός, ὅτι τὸ ἀρειὴ παράγωγόν ἐστι καὶ κατὰ τὸν τόνον, καὶ κατὰ τὸν χρόνον. οὔτε γὰρ ὀξύνεσθαι ὤφειλεν, οὔτε ἐκτείνειν τὸ α. τὰ γὰρ διὰ τοῦ εια ὀξυνόμενα ἐκτείνοντα τὸ α, ἐπὶ οὐσιῶν λαμβάνεται. οἷον, παρειά, φορβειά. σημαίνει δὲ τὸ σχοινίον τοῦ ἀγγείου τὸ περιστόμιον. τὸ καπίστριον. τὸ οὖν ἀρειὰ οὐ τίθεται ἐπὶ οὐσίας, ἀλλ' ἐπὶ πράγματος. τὴν γὰρ ἀπειλὴν σημαίνει. δηλονότι οὔτε ὀξύνεσθαι ὤφειλεν, οὔτε ἐκτείνειν τὸ ἄλφα. ἀλλ' ἡμάρτηται ὡς εἴρηται, δεῖ δὲ γινώσκειν, ἐστιν ἀρειῶ ἀρειᾶς. σημαίνει δὲ τὸ ἀπειλῶ. ἐπὶ δὲ τοῦ φυτοῦ, ἀρία διὰ τοῦ ι καὶ παροξύνεται. Χεῖτης τε πρίνης ἀρίας ποιούμεθα γόμφους.

Ἀρηρώς, καὶ ἀραρώς, εἴρηται εἰς τὸ ἀραρυίας.

Ἀρήιος, πολεμικός. παρὰ τὸν Ἄρην. ὄνομα ἀρσενικόν. εἴδους τῶν παραγώγων κτητικοῦ. Ἄρειος. τὸ ρει, δίφθογγον. τὰ γὰρ ἀπὸ τῶν εἰς ης, εἴτε περισσοσυλλαβοῦσιν, εἴτε ἰσοσυλλαβοῦσι, διὰ τὸ ειος γινόμενα κτητικά, διὰ τῆς ει διφθόγγου γράφονται. Ἰορδάνειος. Αἰσχίνειος. Ἀσκληπιάδειος. χωρὶς εἰ μὴ ἔπειτα τὸ τέλος. διὰ τοῦ ἱκέτης, ἱκέσιος. δεσπότης δεσπόσιος. συμπότης, συμπόσιος. φιλήτης ὁ κλέπτης, φιλήσιος. Ἄρης οὖν, Ἄρειος. καὶ ἰωνικῇ διαλύσει, ἀρεῖος. καὶ τροπῇ, ἀρήιος. ὡς ὁ Δυάσειος. ὁ Δυασήιος μέγα δῶμα.

Ἀρηίφιλος. ὄνομα σύνθετον, ἐκ δύο τελείων. ὡς χειρίσοφος. δουρίκτητος. δουρικλειτός. οὕτω καὶ Ἄρηϊ κατὰ τοὺς ἀρχαίους ἰωνικῶς, αἰολικῶς καὶ δωρικῶς. καὶ τὸ φίλος, γίνεται ἀρηίφιλος ὁ πολεμικός. ὁ φιλῶν τὸν Ἄρην.

Ἀρηίθοος. σημαίνει τὸν πολεμικόν, τὸν ἐν τῷ πολέμῳ ταχύν. γίνεται ἐκ τοῦ θοὸς μετὰ τοῦ Ἄρηϊ.

Ἀρηιφάτους, τοὺς ἐν τῷ πολέμῳ πεφονευμένους. ἐκ τοῦ φῶ τὸ φονεύω, παρά γε τὸ φημί. σημαίνει τὸ αὐτό. καὶ ἔστι δευτέρας συζυγίας. ὁ παρακείμενος, πέφηκα. ὁ παθητικός, πέφαμαι. πέφαται. ὄνομα ῥηματικόν, φατός. ἢ Ἄρεος δὲ γενική, ἀπὸ τῆς Ἄρεως ὑπάρχει εὐθείας. τῆς γὰρ τοῦ Ἄρης εὐθείας παράδοσις οὐχ εὕρηται. πλὴν τῆς Ἄρεως κλητικῆς, ὡς Δημόσθενες. καὶ πόθεν δῆλον ὅτι οὐκ ἐγένετο ἐκ τοῦ Ἄρης Ἄρους, καὶ Ἄρεος. ὡς Δημοσθένεος Δημοσθένους. ἐπειδὴ καὶ ἰωνικῶς γίνεται διὰ τοῦ η Ἄρηος. καὶ ἀττικῶς Ἄρεως. τὰ δὲ τοιαῦτα σχήματα, ἀπὸ τῆς εἰς ευς εὐθείας εἴωθε σχηματίζεσθαι. οὐ μέντοι ἀπὸ τῆς εἰς ης καταλήξεως. οὐ γὰρ ἡ Δημοσθένης ἡ Δημοσθένεως κυρίως.

Ἄρης Ἄρης τε βροτολοιγός, ὁ πόλεμος. ἢ ὁ τῶν πολέμων ἔφορος. παρὰ τὴν ἀρὰν τὴν γενομένην βλάβην ἐκ τοῦ πολέμου. ἢ παρὰ τὸ τὴν χαρὰν, χάρης, καὶ Ἄρης. ἢ παρὰ τὸ ἀείρω. Ἄρσε δὲ ποιμένα λαῶν. ὅπου φησὶ καὶ μεγαλύνων τοὺς ἄνδρας. ἢ παρὰ τὸ αἱρῶ, ὁ ἀναιρετικός, αἵρης, Ἄρης ἐλλείψει τοῦ ι. ἢ παρὰ τὸ ἄορ, ἄορος. καὶ ὡς Οἰδίποδος Οἰδιπόδης, τρίποδος, τριπόδης, οὕτω καὶ ἄορ ἄορος, ἀορής. καὶ ἐν συγκοπῇ, Ἄρης. ἤγουν ὁ ξιφηφόρος θεός. ἢ παρὰ τὸ ἐρῶ τὸ λέγω. παρὰ οὖν τὸ ἐρῶ, γίνεται ἐρής. ὅθεν καὶ ῥῆσις. καὶ μετὰ τοῦ στερητικοῦ ἄλφα, Ἄρης. παρ' ᾧ οὐκ ἔστι διαλέγεσθαι. ἐν γὰρ χερσὶ τέλος πολέμου. ἐπέων δ' ἐνὶ βουλῇ. καὶ γὰρ τὸ ἐναντίον εἰρήνη. παρὰ τὸ εἴρω. ἢ παρὰ τὸ ἀρῶμαι. ἤγουν ὁ ἀάρης, καὶ Ἄρης. οὕτως Ἡρωδιανὸς καὶ Ἀπολλώνιος. σημαίνει δὲ πέντε. τὸν πόλεμον. Νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα. τὸ σῶμα. τὸ δ' ἢ θεόν. Ἄρες Ἄρες βροτολοιγὲ μιαιφόνε. τὸ σίδηρον. Αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν. καὶ τὸ τραῦμα, τὴν πληγήν. Ἔνθα μάλιστα γίνετ' Ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσι. ἔστι δὲ καὶ Ἄρης Ἄρητος, ὄνομα ἥρωος. οὗ μέμνηται ὁ ποιητής.

Ἄρητον δ' ἦ αὐτόθι λίπον δεδαϊγμένον ἦτορ. γέγονε δὲ κατ' εὐφημίαν, παρὰ τὸ ἀρῶ καὶ ἀρῶμαι. παρὰ οὖν τὸ ἀρῶ, Ἄρητος, καὶ ἀρητή. οἱ εὐκτικοὶ τοῖς γονεῦσι καὶ εἰς ἰδιότητα. Ἄρητον δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας. βλαπτικὸν τὴν ἀρὰν, ἢ ἀπευκτόν. ἢ ἀείρητον, ἀεὶ διὰ μνήμης ἐσόμενον. ὀξύνεται. τὰ γὰρ εἰς τος ῥηματικὰ ὑπὲρ δύο συλλαβὰς τῷ η παραληγόμενα, ὀξύνεσθαι θέλει.

Ἀρητήσιον, τόπος Ἀθήνησιν οὕτω καλούμενος. ὅτι Θησεὺς μετὰ τὸ ὑποστρέψαι ἐκ τοῦ ᾅδου, ἐκπεσὼν Ἀθηνῶν, ἐκεῖσε τὰς κατὰ τῶν ἐχθρῶν ἀρὰς ἐποιήσατο. παρὰ τὰς ἀρὰς οὖν, Ἀρητήσιον ὁ τόπος ἐκλήθη. οὕτω Φιλόχορος ἐν τῷ δευτέρῳ τῶν Ἀτθίδων.

Ἀρητήρ. ὁ ἱερεύς. παρὰ τὰς ἀρὰς ἃς ποιεῖ. ἢ παρὰ τὸ αἴρειν τὰς χεῖρας εἰς ὕψος. ἢ παρὰ τὸ ἀρέσκειν θεῷ. ἢ παρὰ τὸ ἀρῶ ἀρᾶς, ἀράσω, ἀρατὴρ καὶ ἀρητὴρ ἰωνικῶς. τροπῇ τοῦ ἄλφα εἰς η.

Ἀρήν. ἐστὶν ἀρὰ ἡ εὐχή. ἐκ τούτου γίνεται ἀρήν, τὸ ἐπιτήδειον εἰς εὐχὴν πρόβατον. καὶ κλίνεται ἀρὴν ἀρῆνος. ἐξ οὗ τὸ ἀρνὸς κατὰ συγκοπήν. καὶ ἀποβολῇ τοῦ α, ῥήν. οἷον, πολύρρηνες, πολυβοῦται.

Ἀρήνη, πόλις τῆς Μεσσήνης. ἐπιρρηματικῶς, Ἀρήνηθεν ἔβαν. παρὰ τὸ ἀρῶ, ἀρήνη. εὐαρόγιαστος γάρ. ὡς οὖν σάω σαγήνη, καὶ λάμπω λαμπήνη, οὕτω καὶ τοῦτο. ὧρος.

Ἀρήγω. ἀρήξειν. βοηθήσειν. καὶ ἔστι κυρίως τὸ μετὰ εὐχῆς βοηθεῖν. ἀπὸ τοῦ ἀρῶ, ἀράσω καὶ ἀρήσω. ἀρήγω. παρὰ τὸν Ἄρην τὸν πόλεμον ἀρήγω. ὥσπερ καὶ βοηθῶ λέγεται τὸ ἐπὶ βοὴν θέειν. περὶ βοὴ γὰρ ὁ πόλεμος. ἀπὸ τοῦ πεποιημένου. ἀρήγω οὖν ἀρηγός, καὶ ἀρωγός. ὥσπερ καὶ ῥηχμός. καὶ ῥωχμός.

Ἀρηγόνες. ἀρηγῶν, σημαίνει τὸν βοηθόν. καὶ ἀρηγόνες εἰσὶ θεάων. εἰ γὰρ ἦν ἀρσενικόν, ὤφειλεν ἀρήγοντος κλίνεσθαι. ἀλλ' ἔστι θηλυκοῦ γένους, ἀπὸ τοῦ ἀρήγω. πᾶν γὰρ εἰς ω λῆγον ὄνομα. ἔσθ' ὅτε καὶ εἰς ων θηλυκόν, ἀπὸ τῶν εἰς ω ῥημάτων. οἷον πείθω, πειθώ. κλώθω, κλωθώ. καλύψω, καλυψώ. καὶ εἰς ων, τέρπω, τερπῶν. χέω, χεών, καὶ χιών. οὕτως οὖν καὶ ἀρήγω, ἀρηγών. τὸ ρη, η. διατί. τὰ διὰ τοῦ γω ῥήματα.

Ἀρημένον. τὸ κατειλημμένον καὶ παραπεποδισμένον. ἴσως ἀπὸ τοῦ ἀρηρέναι. οὐ γὰρ παρὰ τὴν ἀρὰν εἴρηται, αἱρῶ, αἱρήσω, ᾕρημαι. καὶ ἀρημένον.

Ἀρηρέναι. ἡρμόσθαι. ἐκ τοῦ ἄρω. ὁ μέλλων, ἀρῶ. ὁ παρακείμενος, ἦρκα. ὁ μέσος, ἦρα. καὶ ἀττικῶς, ἄρηρα. οὗ περ συντέλικος, ἠρήρειν καὶ ἀρήρειν ποιητικῶς.

Ἀρεμός, ἡ φιλία καὶ ἡ ἁρμονία τῆς ψυχῆς. ἄρω. ἦρμαι, ἁρμός, ὡς κείρω, κορμός. καὶ πλεονασμῷ τοῦ θ, ἀρθμός. ὡς πείρω, πορμός, καὶ πορθμός. ἢ ἀπὸ τοῦ ἐρῶ τὸ λέγω. οἱ γὰρ ἐν φιλίᾳ ὄντες, διαλέγονται ἀλλήλοις. Καὶ ἀρθμὸν ἔθεντο μετὰ σφίσιν. Ἀπολλώνιος, καὶ Ὅμηρος. Ἠμὲν ἐμαρνάσθην, ἠδὲ καὶ αὖθις διέτμαγον ἀρθμήσαντε.

Ἄρθρον. παρὰ τὸ αἴρω, ἄρτρον καὶ ἄρθρον. ὑπὸ γὰρ τούτων βασταζόμεθα. ἢ παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω. παρὰ τὸ ἀρηρέναι ἀλλήλοις.

Ἀρθρέμβολα. ἄρθρα γὰρ λέγονται αἱ τῶν μελῶν ἁρμονίαι. καὶ ἀρθρέμβολα ὄργανα τιμωρητικά. παρὰ τὸ ἐξάρθρου τὸν ἐμβαλλόμενον. ἄρθρον καὶ τὸ προτασσόμενον τῶν πτώσεων. ἐκ τοῦ συναρτᾶσθαι τοῖς πτωτικοῖς. καὶ μηδέποτε δίχα αὐτῶν εὑρίσκεσθαι. ὥσπερ γὰρ τὰ ἄρθρα διορίζει φασὶν αὐτά τε καὶ τὰ παρακείμενα αὐτοῖς, οὕτω καὶ ταῦτα χωρίζει τὰς διαφορὰς τῶν πραγμάτων διαρθρώσιν ἐμφαίνοντα. δῆλον γὰρ διαρθροῦν καὶ ποιεῖ τὸ ἐπιφερόμενον ὄνομα φανερόν. πότερον, ἄρρεν ἐστίν, ἢ θῆλυ. καὶ πότερον, ἐφ' ἑνὸς ἢ ἐπὶ πλειόνων. Τὸ ἄλφα οὐκ ἔστι μέρος λόγου, ἀλλὰ μόριον. ὥσπερ γὰρ τοῦ σώματος μέρη εἰσί, κεφαλή, χεῖρες, πόδες. μέρη δὲ τῆς κεφαλῆς εἰσὶν ὀφθαλμοί. ὦτα. ὀδόντες. χειρῶν, δάκτυλοι. ὄνυχες. τῶν δὲ ποδῶν, ἀστράγαλοι, καὶ ἄλλα τινά, οὕτω καὶ τῶν μερῶν τοῦ λόγου, μέρη εἰσὶ τὰ μόρια. σημαίνει τὸ ἄλφα, ἑπτά. στέρησιν. ἐπίτασιν. ὁμοῦ. κακόν. ὀλίγον. ἄθροισιν. πλεονασμόν. στέρησιν, ὡς τό, ἄφιλος. ὁ ἐστερημένος τῆς φιλίας. ἐπίτασιν, ὡς τό, ἄξυλος ὕλη, ἡ πολύξυλος. καὶ ἄτλας, ὁ πάνυ καρτερικός. ὁμοῦ, ὡς τὸ, ἀδελφός, ὁ ἐκ τῆς αὐτῆς δελφύος, ἤγουν μήτρας. κακόν, ὡς τό, ἄφωνος, ὁ κακόφωνος. ὀλίγον, ὡς τό, ἀμαθής, ὁ ὀλιγομαθής. καὶ ἄπειρος, ὁ ὀλίγην πεῖραν ἔχων. ἄθροισιν, ὡς τό, πᾶς, ἅπας. πλεονασμόν, ὡς στάχυς, ἄσταχυς. Στερητικὰ μόρια πέντε. ἄλφα, ἄοικος, ὁ μὴ ἔχων οἰκίαν. νε, νεκρός, ὁ ἐστερημένος ψυχῆς. νη, νῆστις, ὁ ἐστερημένος σιτίων. νω, νωθρός, ὁ ἐστερημένος τοῦ θορεῖν, ὅ ἐστι πηδᾶν. νο, νοδός. ὁ ἐστερημένος τῶν ὀδόντων. καὶ νόσος, ἡ ἐστερημένη τοῦ σόου. ἤγουν τῆς ὑγείας. Ἐπιτατικὰ μόρια, ἑπτά. ἄλφα, ἄσπετος, ὁ πολύς. νη, νήδυμος, ὁ πάνυ ἡδύς. ζα, ζάπλουτος, ὁ πάνυ πλούσιος. λα, λάβρος, ὁ πάνυ βαρύς. δα, δάφοινος, ὁ πάνυ μέγας. ἐρι, ἐριαύχην, ὁ μεγαλοτράχηλος. ἀρι. ἀρίζηλος, ὁ πάνυ φανερός. τινὲς δὲ καὶ τὸ βου. βουγάιος, ὁ πάνυ γαυριῶν, καὶ σεμνυνόμενος. Ἡ περὶ πρόθεσις ὀξυνομένη, σημαίνει τὸ περισσῶς. ὡς τό, Περὶ μὲν σε τίω.

καὶ δωρικῷ ἔθει, γέγονε τὸ ἔστα. ἡνίκα δὲ γέγονε τὸ ἔστα, ἀποβάλλει τὸ κατ᾽ ἀρχὰς σύμφωνον. οἷον, μέχρι, ἄχρι.

Ἀρίζηλος. παρὰ τὸ δωρικῶς ἀρι. καὶ τὸ φίλος ὁ φανερός, ἀρίδηλος. ἐκ τοῦ δαλός, ὃ σημαίνει τὸν πεπυρακτωμένον σίδηρον. ἀναδόσει τοῦ τόνου, καὶ τροπῇ τοῦ α εἰς η δῆλος. πλεονασμῷ τοῦ σ, γίνεται ἀρίδηλος. καὶ ἐπειδὴ τὸ ζ ἐκ τοῦ σ καὶ δ σύγκειται, γέγονε τὸ σ καὶ δ, εἰς ζ, καὶ γέγονεν ἀρίζηλος. ὁ ἄγαν ἔκδηλος. οὕτως εἶχεν εἰς τὸ ἄλλο. εἰς τὸ μέγα δὲ οὕτω. παρὰ τὸ δῆλος. ἄδηλος. καὶ προσθέσει τοῦ ι αἴδηλος. κατὰ ἐπένθεσιν τοῦ σ, αἴσδηλος. καὶ ἀρίζηλος ἐπισυνδέσμῳ τοῦ ρ. οὕτω κρατῖνος ἐν τῇ ἐπιτομῇ τῶν βασιλείδου περὶ ὁμηρικῆς λέξεως. ἐγὼ δὲ παρὰ τὸ δῆλος καὶ τὸ ἀρι ἐπίτασιν πλεονασμῷ τοῦ σ καὶ τροπῇ, ἀρίζηλος. ἢ ἀπὸ τοῦ ζῆλος, ἀρίζηλος. οἱ γὰρ ἄξιοι ζήλου, ἄγαν ἔκδηλοι.

Ἀρισφαλέες. εὐχερῶς ἀπατώμενοι. ἀρισφαλέες. ἰσχυρῶς σφαλεροί.

Ἀριδείκετος, ὁ ἄγαν ἐμφανής. ὅμηρος. Ἀλκίνοε πάντων ἀριδείκετε ἀνδρῶν. παρὰ τὸ δείκω τὸ δεικνύω καὶ δηλῶ καὶ φανερῶ, παράγωγον δεικνύω. ὥσπερ οὖν ἀπὸ τοῦ ἔχω, ἔχετος. ἐμῶ, ἔμετος, οὕτω δείκω, δείκετος. καὶ ἐν συνθέσει, ἀριδείκετος. ὁ πάνυ δεικνύμενος. ἢ ὁ ἄγαν ἀσπαστικώτατος. ἀπὸ τοῦ δεικανάασθαι τὸ δεξιοῦσθαι καὶ ἀσπάζεσθαι.

Ἀριφραδέα, εὐεπίγνωστα. εὔσημα.

Ἀρίγνωτοι δὲ θεοί, διάδηλοι. φανεροί. διαφανεῖς. ἀπὸ τοῦ ἀρι καὶ τοῦ γνωτός, ἀρίγνωτος.

Ἀρισκύδης. ἡ ὀργίλη. παρὰ τὸ ἀρι, καὶ τὸ σκύζεσθαι. ἡ ἄγαν σκυζομένη. οὕτως ἀρτεμίδωρος.

Ἀριπρεπέες, διαπρέποντες. ἔκδηλοι. Δεῦρο γύναι φέρε χηλὸν ἀριπρεπέα ἥ τις ἀρίστη. ἀριπρεπέα ἑνικῶς. ἔστι δὲ καὶ οὐδετέρως πληθυντικόν, καὶ ἀρσενικῶς. Ὡς δ᾽ ὅτ᾽ ἐν οὐρανῷ ἄστρα φαίνεται ἀριπρεπέα. καὶ ἀρσενικῶς, αἰτιατική. Φράσσατο δ᾽ ἵππον ἀριπρεπέα προὔχοντα. καὶ οὐδετέρως. Ὡς καὶ σοὶ εἶδος μὲν ἀριπρεπές.

Ἀρίκοος, εὐήκοος. ἀπολλώνιος. Ῥίμφα μελαντείοις ἀρικόοις. γίνεται παρὰ τὸ ἀρι ἐπιτατικόν, καὶ τὸ ἀκούω.

Ἀρίστυλλος, ὄνομα παρὰ ἀριστοφάνει. εἴρηται δὲ ὑποκοριστικῶς, ὁ ἀριστοκλῆς. ἀρακλῆς. ὥσπερ γὰρ παρὰ τὸ ἡρακλῆς, ἥρυλλος. καὶ παρὰ τὸ θρασυκλῆς θράσυλλος, καὶ παρὰ τὸ βαθυκλῆς, βάθυλλος ὄνομα κύριον, ὁ ἐρώμενος ἀνακρέοντος, οὕτω καὶ παρὰ τὸ ἀριστοκλῆς, ἀρίστυλλος. οὕτως ἡρωδιανὸς εἰς τὴν ἀπολλωνίου εἰσαγωγήν, ἢ περὶ παθῶν. διογένης, παρὰ τοῦ ἄριστος. καὶ ἀριστοφάνης ἐν τελμησσοῖς.

Ἄριστος. παρὰ τὸ ἄρης ὁ πόλεμος, γέγονε συγκριτικόν, ἀρείων. ἐξ οὗ ἄριστος κυρίως, ὁ ἐν πολέμῳ ἰσχυρός. καταχρηστικῶς δέ, καὶ ἐπὶ πάντων τοὺς προσήκοντας. κυρίως ὁ ἐν πολέμῳ ἀνδραγαθῶν. καταχρηστικῶς δέ, ὁ ἐν οἱῳδήποτε πράγματι. παρὰ τὸν ἄρην. ἐξ οὗ παρώνυμον, ἀριστεύς, ἀρίστη, ἀπὸ τοῦ ἄριστος. τὸ ἄριστον ὑπερθετικὸν ὄνομα ἀπὸ τοῦ ἀρείων συγκριτικοῦ. τὸ δὲ ἀρείων, παρὰ τὸ ἄρης ὁ πόλεμος. κυρίως γὰρ ἀρείων, ὁ ἐν τῷ πολέμῳ κρείττων. ἐκλελεγμένος κατ᾽ ἀριστείαν. ἀπὸ τοῦ ἄριστος, ἄριστον ἐπὶ τῆς εὐωχίας, ἀόριστόν τι ὄν. ἀόριστον γὰρ κατὰ καιρόν. ἐντεῦθεν οὖν ἔχει τὸ α μακρόν. ἢ παρὰ τὸ ἄρεα. τοῖς γὰρ ἄρεα προσιοῦσι παρασκευάζεται. ὥσπερ καὶ τὸ δεῖπνος. ἀριστητικός, ὁ ἔθος ἔχων ἀριστᾶν.

Ἀριστερός, ἀπὸ τοῦ ἄριστος ἀριστερός, καὶ ἀριστερά. ὥσπερ φοβερός, φοβερά. ἔστι δὲ κατ᾽ εὐφημισμόν. ὥσπερ καὶ εὐώνυμος ὀνομάζεται ἡ αὐτή. οἱονεὶ ἡ καλώνυμος.

Ἀριστερά, τὴν εὐώνυμον τὴν ἀριστερὰν καλουμένην. τὴν οὐκ οὖσαν ἀρίστην, ἀλλὰ τῆς ἑτέρας ὑπερτεροῦσαν. ἔστι δὲ ἢ κατὰ ἀντίφρασιν, ἢ κατὰ εὐφημισμόν. ὁ κανών, πᾶν τριγενὲς εἰς ος μετὰ συμφώνου πλὴν τοῦ ρ, ὅτε ἔχει θηλυκόν, εἰς η αὐτὸ ποιεῖ. σοφός, σοφή. καλός, καλή. τὰ δὲ ἀπὸ τοῦ εἰς ος ἀρσενικά, συνθετικῶς παραγόμενα θηλυκά, ὁμοίαν κλίσιν ἔχει τῷ ἀρσενικῷ. οἷον, ὁ παρθένος, ἡ παρθένος, καὶ τὰ ὅμοια. τὰ εἰς ος ἀρσενικὰ ποιοῦντα θηλυκὰ μὴ ὄντα κοινὰ τῷ γένει, εἰ μὲν καθαρὰ τὸ ρ ἔχοντα, εἰς α ποιοῦσι τὸ θηλυκόν. οἷον, ὅσιος, ὁσία. κύριος, κυρία. φοβερός, φοβερά. χωρὶς εἰ μὴ παραλήγουσι τῷ ο. τότε γὰρ εἰς η. ὄγδοος, ὀγδόη. ὀλοός, ὀλοή. χωρὶς τοῦ ἀθρόος, ἀθρόα. εἰ δὲ μὴ καθαρόν, εἰς η ποιοῦσι καλός, καλή. εἴπερ δὲ μὴ κοινὰ τῷ γένει. τὰ γὰρ εἰς ος σύνθετα, κοινά εἰσι τῷ γένει. καὶ ὁμόφωνα τὰ θηλυκὰ τοῖς ἀρσενικοῖς. οἷον, ὁ φιλόσοφος, καὶ ἡ φιλόσοφος. ὁ ἀθάνατος, καὶ ἡ ἀθάνατος. εἰ δὲ ὦσιν ἁπλᾶ, οὐχ ὁμοφωνοῦσιν. οἷον, ὁ θεός, καὶ ἡ θεά. ὁ σοφός, καὶ ἡ σοφή. εἰ μέντοι ἀττικά, ποιοῦσι τὸ ἐναντίον. εἰ μὲν ὦσιν ἁπλᾶ, ὁμοφωνοῦσιν. οἷον, ὁ θεός, καὶ ἡ θεός. ὁ σοφός, καὶ ἡ σοφός. εἰ δὲ σύνθετα, ποιοῦσιν εἰς η ταῦτα. οἷον, ἀρίζηλος, ἀριζήλη, ἀθάνατος, ἀθανάτη. καὶ εἴ τι ὅμοιον.

Ἀριθμός. παρὰ τὸ ἄρω τὸ ἁρμόζω, ἀρμός, καὶ πλεονασμῷ τοῦ θ καὶ ι, ἀριθμός. ἐξ ἁρμογῆς γὰρ μονάδων ἐστίν. ἢ παρὰ τὸ ἀλέεσθαι ὃ σημαίνει τὸ συναθροίζεσθαι, γίνεται ἀλίζω τὸ συναθροίζω. ἀλισμός, καὶ τροπῇ τοῦ λ εἰς ρ καὶ τοῦ σ εἰς θ, ἀριθμός. οἱονεὶ ἡ συνάθροισις τῶν μονάδων.

Ἀριθμηθήμεναι. παρὰ τὸ ἀριθμῶ. τοῦτο παρὰ τὸ ἀριθμός, ἐξ οὗ τὸ ἀναρίθμιος, ἰῶτα ὡς λοίγιος, βώμιος.

Ἀρίσβη, πόλις. ἀπὸ ἀρίσβας θυγατρὸς τεύκρου. ἣν ἔγημε δάρδανος. λυκόφρων. Γήμας ἀρίσβην κηρησαν ἀνευγενῆ πόρνην.

Ἀρκῶ, τὸ βοηθῶ. ἀρκέσω, ἤρκεσα.

Ἄρκιος. ἱκανός. ὠφέλιμος. τὰ διὰ τοῦ ιος προπαροξυνόμενα παρὰ ἐνεστῶτα ἢ μέλλοντα παρηγμένα, διὰ τοῦ ι γράφονται. ἄγω, ἅγιος, ἁρμόδιος. ἵζω, ἴδιος. καὶ ἀρκῶ, ἄρκιος. ψιλοῦται. πλὴν τοῦ ἄρκυς. τοῦ ψυχήσαντος τὸ πνεῦμα ἐφύλαξε. παρὰ τὸ εἴργω γίνεται τὸ κωλύω. σημαίνει δὲ τοὺς βρόχους τὰ δίκτυα.

Ἄρκυς, εἶδος δικτύου ἐκ παχέος σχοινίου. οἷς ἵστασι πρὸς θήραν λέοντος, ἢ ἄρκτου, ἢ ἐλάφων. ἀπὸ τοῦ εἴργω.

Ἄρκυον. παρὰ τὸ ἁρπάζω, ἅρπυον, καὶ ἄρκυον. ἐπιτήδειον γάρ ἐστι πρὸς τὸ ἁρπάζειν. ἢ παρὰ τὸ ἑλκύω, ἕλκυον. τροπῇ τοῦ ε εἰς α καὶ τοῦ λ εἰς ρ, ἄρκυον.

Ἀρκυωρεῖσθαι, φυλάττειν τὰς ἄρκυς.

Ἄρκος, ὅτι ἀπὸ τῆς ἄρκτου ἐγένετο. ἀρκτοῦρος, ὁ ἐπὶ τῆς ζώνης τοῦ ἀρκτοφύλακος λαμπρὸς ἀστήρ. ἀπὸ τοῦ κατὰ τὴν οὐρὰν τῆς ἄρκτου.

Ἄρκτος τὸ ζῷον, εἴρηται παρὰ τὸ ἀρκῶ, ὅπερ καὶ ἐπαρκῶ λέγεται. ἄρκος, καὶ πλεονασμῷ τοῦ τ, ἄρκτος τὸ ἐπαρκοῦν ἑαυτῷ ζῷον. φασὶ γὰρ αὐτὸ διαζῆν τὸν χειμῶνα, ἐκτὸς ἐπεισάκτου τροφῆς.

Ἀρκείσιος, ὁ ἥρως, ὁ πάππος ὀδυσσέως. παρὰ τὸν ἀρκέσω μέλλοντα, ἀρκέσιος, καὶ ἀρκείσιος. οὕτως ἡρωδιανός. ἀριστοτέλης δὲ ἐν τῇ ἰθακησίων πολιτείᾳ τὸν κέφαλον οἰκοῦντα ἐν ταῖς ἀπ᾽ αὐτοῦ κληθείσαις κεφαλληνίαις νήσοις, ἄπαιδα ἐπὶ πολὺ ὄντα ἐρόμενον τὸν θεὸν κελευσθῆναι ᾧ ἂν ἐντύχῃ θηλείᾳ συγγενέσθαι. παραγενόμενον δὲ εἰς τὴν πατρίδα, καὶ δὴ ἐντυχόντα ἄρκτῳ κατὰ χρησμὸν συγγενέσθαι. τὴν δὲ ἔγκυμονα γενομένην μεταβαλεῖν εἰς γυναῖκα. καὶ τεκεῖν παῖδα ἀρκείσιον ἀπὸ ἄρκτου.

Ἀρκέσιον. οὕτω καλοῦσιν ἄντρον τῆς κρητικῆς ἴδης. παρὰ τὸ ἀρκέσαι τὸ βοηθῆσαι. φασὶν αὐτὸ ὑπό τινων τὸ ὄνομα τεθῆναι. ὅτι τὸν κρόνον αὐτοῖς φεύγουσι, καὶ εἰς αὐτὸ καταδῦσι καὶ κρυπτομένοις, ἐπήρκεσεν. οὕτω ξενίων ἐν τοῖς περὶ κρήτης.

Ἄρκευθος, εἶδος φυτοῦ ἀκανθώδους. οὗ τὴν ὀδμὴν πάντα τὰ ἑρπετὰ ἀποστρέφονται. παρὰ τὸ τὴν ἀρὰν κεύθειν. ἢ τὴν βλάβην κρύπτουσα. ἀράκευθος καὶ ἄρκευθος. ἢ διὰ τὸ ἔχειν τὰς ἀκάνθας κεκρυμμένας.

Ἁρμός, ἡ ἁρμογὴ καὶ συναφή. παρὰ τὸ ἀρῶ ὃ καὶ ἀραρῶ διπλασιασμῷ. ἥρμαι, ἁρμός. τῆς δασείας προσελθούσης, ὡς εἴρω, εἱρμός.

Ἁρμόζω, ἐκ τοῦ ἁρμοῦ. τοῦτο παρὰ τὸ ἀρηρέναι καὶ συνηρμόσθαι. παρὰ τὸ ἁρμόζω, ἁρμόττω δωρικῶς.

Ἁρμοῖ. ἁρμὸς ἁρμοῦ, ἁρμῷ αὕτη ἡ δοτικὴ μετέβαλεν εἰς ἐπιρρηματικὴν σημασίαν, καὶ ἐφύλαξε τὴν αὐτοῦ γραφήν. οἷον, ἁρμῷ. σημαίνει τὸ ἀρτίως. ὁ δὲ τεχνικὸς λέγει ὅτι παρὰ τοῖς συρακουσίοις διὰ τοῦ ι γράφεται. ἐκεῖνοι γὰρ ἁρμοῖ λέγουσι κατὰ συστολὴν τοῦ ω εἰς τὸ ο. ὡς παρὰ καλλιμάχῳ. Ἁρμοῖ τὸ δ᾽ ἀναθὲν γῆ ὡς ἀπὸ βουγενέως. σημαίνει τὸ ἀρτίως, ἢ ἁρμοδίως. Ἁρμοῖ που κἀκείνῳ ἐπέτρεχεν λεπτὸς ἴουλος. οὕτω θέλει ὁ ἀρτεμίδωρος. προστίθησι δὲ ὅτι τὸ ἁρμοῖ ψιλούμενον μὲν, σημαίνει τὸ ἀρτίως, δασυνόμενον δέ, τὸ ἁρμοδίως. μεθόδιος. ἔστι καὶ παρὰ λυκόφρονι.

Ἁρμενον. σημαίνει τὸ προφανές. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, ἀραρῶ, ἀρηρεμένον. καὶ κατὰ συγκοπήν, ἅρμενον.

Ἅρμα. παρὰ τὸ αἴρω. ἢ παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω. σημαίνει τρία. παρὰ μὲν ὁμήρῳ, τὸ ζεῦγος τῶν βοῶν. παρὰ ῥωμαίοις τὸ ἅρμα. καὶ ὄνομα πόλεως ἐν τῇ βοιωτίᾳ. ἢ δὲ ῥυάσπιδα,

Ἁρμαλιή, ἡ τροφή. Ἐπεὶ δ᾽ ἀνέρι πλεῖον εἶχ᾽ καὶ θώρηκα. ἁρμαλιῆς. ἡ σιτόδοσις. παρὰ τὸ ἁρμόζειν τῇ ψυχῇ. ἢ παρὰ τὸ αἴρειν τὰ σώματα, γέγονεν ἁρμός. ὡς καθαίρω, καθαρμός. οὕτως αἴρω, ἁρμός. ἀφ᾽ οὗ παρώνυμον, ἁρμιά, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, ἁρμαλιά. ἢ ὅτι δίκην ἁρμοῦ φέρει τὰ σώματα. ἁρμαλιάς, ὄχλος ὁ σκευοφόρος.

Ἁρματροχιά, καὶ ἁματροχιὰ διαφέρει. ἁματροχιὰ μέν ἐστι τὸ ἅμα τρέχειν, καὶ μὴ ἀπολείπεσθαι. οἷον, ὁμοδρομία τις οὖσα. τροχοὺς γὰρ οἱ παλαιοὶ τοὺς δρόμους ἔλεγον. οἷον, Τῆς ἔχε μενέλαος ἁματροχιὰς ἀλεείνων. ἰλιάδος ψ. ἁρματροχιὰ δέ, τὸ ἀπὸ τῶν τροχῶν ἴχνος. δηλονότι ὁ τύπος, ἡ ἐγχάραξις τοῦ τροχοῦ. Οὐδέ τι πολλὴ γίνετ᾽ ἐπισσώτρων ἁρματροχιὴ κατόπισθεν ἐν λεπτῇ κονίῃ.

Ἁρμάμαξα. ἡ πρὸς ἀνδρῶν καθέδραν κατεσκευασμένη ἅμαξα. οἷον, ἅρμα, καὶ ἅμαξα. ἢ ἀνδράμαξα τις οὖσα. ἡ ἄνδρας ἄγουσα.

Ἁρμάτειον μέλος, Ἁρμάτειον μέλος, βαρβάρῳ βοᾷ. εὐριπίδης. εἴρηται δὲ ἀπὸ τοῦ ἐπιβοηθῆναι τῷ ἕκτορι ἐκ τοῦ ἀχιλλέως ἅρματος ἑλκομένῳ. ἢ ὅτι ἐπὶ ἅρματος φρύγες ἄγοντες τὴν μητέρα τῶν θεῶν, μέλος τι ἐπεφθέγγοντο. ὅπερ ἐκ τοῦ περιπομένου μέλους, ἁρμάτειον ὠνόμασται. οἱ δέ, ὅτι τὸ παλαιὸν τὰς παρθένους γαμουμένας, ἐπὶ ὀχήματος ἦγον. ὅθεν καὶ παρόχους, τοὺς παρανύμφους ἐκάλουν. καὶ τὰ ἐπᾳδόμενα μέλη καὶ τὸν ὑμέναιον ἀπὸ τοῦ φέροντος τὴν νύμφην, μέλος ἁρμάτειον ἐκάλουν. ἄλλοι δὲ ὅτι ἁρματεύς τις εἰς ἀθηνᾶν ἔγραψε μέλος σύντονον. ὅπερ ἀπὸ τοῦ εὑρόντος, ἁρμάτειον οὕτως ἐκλήθη. ἄλλοι δέ φασιν ὅτι ἀπὸ τοῦ συντόνου καὶ ἐσπευσμένου δρόμου τοῦ ἅρματος, τὰ σύντονα μέλη ἁρμάτεια καλοῦσιν. ἄλλοι δὲ ὅτι ὁ ἦχος τοῦ ἅρματος ὀξὺς καὶ λεπτὸς γίνεται. τὸν οὖν ὀξὺν καὶ λεπτὸν φθόγγον ἁρμάτειον ἐκ τούτου ὁ εὐριπίδης ἐκάλεσε. καὶ εὐνοῦχον εἰσάγει λέγοντα. τοιαῦται δὲ τῶν εὐνούχων αἱ φωναί. οὕτω δίδυμος καὶ ἀλέξανδρος. ἢ παρὰ τὸ ἁρμάν, ὃ σημαίνει τὸν πόλεμον τῇ τῶν φρυγῶν διαλέκτῳ. ὥς φησι παλαμήδης ἱστορικὸς ὁ τὴν κωμικὴν λέξιν συναγαγών. μεθόδιος. ἢ τὸν ἱππόθορον ὃν ᾄδουσι φρύγες ἐποχούμενοι ἵπποις.

Ἄρνη, νύμφη, ἡ τροφὸς ποσειδῶνος. εἴρηται δὲ καὶ ἄρνη ἡ νύμφη σινόεσσα καλουμένη. ὅτι τὸν ποσειδῶνα λαβοῦσα παρὰ τῆς ῥέας ἐκτρέφειν, πρὸς τὸν κρόνον ζητοῦντα, ἀπηρνήσατο. καὶ ἐντεῦθεν ἄρνη ὠνομάσθη. οὕτω θεσσαλὸς ἐν κορινθιακῶν τρίτῳ.

Ἄρνη. πόλις βοιωτίας. ἔστι δὲ καὶ θεσσαλίας. ἀπὸ ἄρνης τῆς αἰόλου. ὁ δὲ κράτης φησὶ παρὰ τὸ ἄρνας. ἐπιτηδεία γὰρ εἰς τὸ ἄρνας τρέφειν ἡ πόλις. καὶ οὐκ ἀπίθανος. ὡς γὰρ αὐτός φησι καὶ τὴν κάδν καὶ τὴν

ἐπὶ τῇ δείᾳ πρὸς τὰ πρόβατα τοὺς ἐνοικοῦντας κάρας οὕτως ὀνομάζει τῇ οἰκείᾳ φωνῇ. καὶ γὰρ τὰ πρόβατα ὠνόμασεν, οὕτω καὶ τὴν ἄρνην. καὶ γὰρ αὐτή, εὔαρνος. ὥστε τὴν μὲν ἄρνην, ἀπὸ τῆς συγκεκομμένης γενικῆς, ὠνομάσθαι. τὴν δὲ ἀρηνήν, ἀπὸ τοῦ ἐντελοῦς τῆς ἄρηνος. καλεῖται δὲ καὶ τάρνη, ὥς λέγει Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

Ἀρναῖος, ὄνομα κύριον. Ἀφθόνιος εἰς τὰ προγυμνάσματα τῆς ῥητορικῆς περὶ γνώμης. ἀρναῖος γὰρ τὴν ἀρχὴν προκληθεὶς Ἶρος, μετωνομάσθη τὴν ἐπωνυμίαν ἐκ τοῦ διακονεῖν κομισάμενος. καὶ ὁ ποιητής, Ἀρναῖος ὀνομ᾽ ἔσκε. τὸ γὰρ θέτο πότνια μήτηρ ἐκ γενετῆς. παρὰ τὴν ἀρὰν, ἀραῖος. καὶ πλεονασμῷ τοῦ ν. ὁ εὐκταῖος τῇ μητρὶ γενόμενος. οὕτως Ἡρωδιανὸς ἐν τῇ ἀνωμάλῳ προσῳδίᾳ. Ἀσκληπιάδης δὲ ὁ Μυρλεανός, ἐν τῷ ὑπομνήματι τῆς Ὀδυσσείας. παρὰ τὸ ἄρνυσθαι. ὅ ἐστι λαμβάνειν ὡς πτωχόν. ἵν᾽ ᾖ πεποιημένως ὄνομα πτωχῷ πρέπον. ἢ ἀπὸ τῶν ἀρνῶν. ἵν᾽ ᾖ ὁ βληχώδης καὶ ἠλίθιος.

Ἀρνεῖσθαι. ἀπὸ τοῦ αἴρειν τὰς χεῖρας ἐπὶ τῇ παραιτήσει.

Ἀρνειός. ἀπὸ τοῦ ἀρὴν ἄρηνος, κατὰ συγκοπὴν, ἀρνός. καὶ μετατίθεται ἡ γενικὴ εἰς εὐθεῖαν. ἀπὸ δὲ τοῦ ἀρνὸς γίνεται κατὰ πλεονασμὸν τῆς ει διφθόγγου, ἀρνειός. ὥσπερ ἀδελφός, ἀδελφειός. λέγει δὲ Ὧρος, ὅτι φησὶν ἐν τῷ καθόλου ὁ Ἡρωδιανὸς πλεονάζειν τὴν ει δίφθογγον. καὶ γίνεται ἀρνιός. ἄμμος ἄμμειος. ἀγνοοῦν ὅτι ἄμμιος σημαίνει τὸν ἀμμόν, καὶ διὰ τοῦ ι γράφεται, καὶ προπερισπᾶται, ὡς παρὰ Ἑρμίππῳ ἐν Ἀθηναῖς γοναῖς. Τὴν μὲν διάλεκτον καὶ τὸ πρόσωπον ἀμμίου ἔχειν δοκεῖς. τὰ δ᾽ ἔνδον, οὐδὲν διαφέρεις δράκοντος. Χοιροβοσκός, εἰς τὸ περὶ ὀρθογραφίας. τὸ ῥην, ἡ. πρὸς ἀντιδιαστολὴν τοῦ μερισμοῦ τοῦ σώματος. ῥηνός. καὶ συστολῇ τοῦ η, ῥανός. καὶ ἐν ὑπερβιβασμῷ, ἀρνός. καὶ μετατίθεται ἡ γενικὴ εἰς εὐθεῖαν. καὶ κλίνεται ἀρνὸς ἀρνοῦ ἀρνῷ ἀρνόν. καὶ κατὰ μεταπλασμόν, ἄρνα. ἡ εὐθεῖα τῶν δυϊκῶν, ἄρνε. ἢ ἐκ τοῦ ῥὴν ῥηνός, ῥανός, ἀρνός. ἡ δοτική, ἀρνί. ἡ αἰτιατική, ἄρνα. ἡ εὐθεῖα τῶν δυϊκῶν, ἄρνε. ἐκ τοῦ ἄρα, γίνεται ῥήν, τὸ ὑπὲρ εὐχῆς διδόμενον πρόβατον. ἀρνός, ἀρνοῦ. ἡ εὐθεῖα τῶν πληθυντικῶν, ἀρνοί. καὶ κατὰ μεταπλασμόν, ἄρνες ἀρνῶν.

Ἀρνεῖα, τὰ κρεωπώλια. Δίδυμος.

Ἀρνύμενος. ἀντικαταλλασσόμενος. σημαίνει καὶ τὸ ῥυόμενον. ἢ φυλαττόμενον, ἢ τυγχόμενον. ἢ τὸ ἀντιλαμβάνειν, καὶ περιποιεῖσθαι. ἀπὸ τοῦ ἀρνός. ἐπειδὴ διὰ τῶν ἀρνῶν καὶ τῶν ἄλλων ζώων τὰς ἀμοιβὰς ἐποιοῦντο οἱ ἀρχαῖοι. καὶ οὐ μόνον δι᾽ ἀργυρίου τοῦτο ποιεῖν οἶδεν Ὅμηρος, ἀλλὰ καὶ δι᾽ ἑτέρων. Οἱ ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ᾽ αἴθωνι σιδήρῳ ἄλλοι δ᾽ ἀνδραπόδεσσι. ἀπὸ μέρους οὖν τοῦ τετραπόδου τοῦ ἀρνοῦ τὴν λέξιν ἐπὶ τοῦ ἀμείβεσθαι ἔταττον. καὶ οἱ παλαιοὶ δι᾽ ἀρνῶν τὰς θυσίας ἐποίουν. ἢ παρὰ τὸ αἴρω, ἀρνῶ. ὡς ἱκῶ, ἰχνῶ. οἴχω, οἰχνῶ. ἄρνυμι, ἄρνυμαι, μεταφορικῶς.

Ἀρνευτὴρ ὁ κυβιστήρ. ὁ δ᾽ ἀρνευτῆρι ἐοικὼς κάππεσ᾽ ἀπ᾽ εὐεργέος δίφρου. εἴρηται δὲ ἀπὸ τῶν ἀρνῶν οἵτινες εἰώθασιν ἐπὶ κεφαλὴν ἅλλεσθαι, ὥσπερ τὰ ἔρια κυβιστῶντες.

Ἀρνῳδοί, οἱ ῥαψῳδοί. ὅτι ἆθλον ἀρνα ἔπαθλον εἶχον. ἄδοντες.

Ἀρμάριον. ὅτι τὰ λεγόμενα παρ᾽ ἡμῖν ἀρμάρια, ἑρμάρια ὀφείλουσι λέγεσθαι ὡς εὕρον ἐν τοῖς σχολίοις τοῦ ἁγίου Διονυσίου. ἀρχὴ τοῦ ἤτα κεφαλαίου περὶ τῶν θείων ὀνομάτων. οἱ γὰρ Ἀθηναῖοι ἀγάλματα ἀνδριάντας ἐποίουν, μήτε χεῖρας μήτε πόδας ἔχοντας. τούτους δὲ ἑρμᾶς ἐκάλουν. οὗ ὑποκοριστικόν, ἑρμάριον. ἐποίουν δὲ αὐτοὺς διακένους θύρας ἔχοντας, καθάπερ τοιχοπυργίους. καὶ ἔσωθεν αὐτῶν, ἐτίθουν ἀγάλματα, ὧν ἔσεβον θεῶν. ἔξωθεν δὲ ἀπέκλειον τοὺς ἑρμᾶς.

Ἀρδηττός, τόπος ἐστὶν Ἀθήνησιν. ἀπὸ Ἀρδήττου τινὸς ἥρωος. ὃς στασιάζοντας τοὺς Ἀθηναίους κατήγαγεν ὁμονοεῖν. ἐν τούτῳ οὖν τῷ χωρίῳ ὤμνυον οἱ δικασταὶ τὸν δικαστικὸν ὅρκον. καὶ Ἀρδηττοὺς τοὺς ἐπιόρκους.

Ἀργυρίδιον. εἰσὶ παραγωγαὶ καὶ διὰ τοῦ ιον καὶ διὰ τοῦ ιδιον. καὶ εἰ μὲν ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ συμφώνου ἄρχεται, διὰ τοῦ ιδιον γίνεται ἡ παραγωγή. καὶ φυλάσσονται αἱ τρεῖς συλλαβαὶ αἱ τελευταῖαι συνεσταλμέναι. οἷον, γνώμη, γνώμης, γνωμίδιον. ψυχή, ψυχῆς, ψυχίδιον. ξίφος, ξίφους, ξιφίδιον. εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται, διὰ τοῦ ιδιον γίνεται ἡ παραγωγή. καὶ ἐκτείνεται ἡ τρίτη ἀπὸ τέλους συλλαβή. γραφεῖον, γραφείδιον. ἀγγεῖον, ἀγγείδιον. καὶ εἰ μὲν εὑρεθῇ τὸ ε, ἢ τὸ ο, τὸ ι ὡς ταῦτα προστίθεται. πόλεως, πολείδιον. ἕξεως, ἑξείδιον. βοός, βοΐδιον. νοός, νοΐδιον.

Ἄρουρα, ἡ γῆ. κυρίως ἡ ἠροτριασμένη. ἢ ἡ πρὸς σποράν καὶ ἄροσιν ἐπιτηδεία. ἀρῶ, ἀρόσω. ἄρουρα. καὶ ἄρουρα, παρὰ τὸ ἀροῦν. ἢ παρὰ τὸ ἀρνοῦσθαι τὴν γεωργουμένην γῆν. ἀροῦν τὸ ἀροτριᾶν. παρὰ τὸ ἄρην τὸν σίδηρον.

Ἀροτρεύς. παρὰ τὸ ἀρόσω, τὸ ἀροτριάσω. ἢ παρὰ τὸ ἄροτρον.

Ἀροτρεῖς. Θρηΐκης ἄροσιν χιονώδη ναιετάουσιν. ψυχρὰ ἐστὶν ἡ Θρᾴκη. διὸ τοὺς ἀνέμους κἀκεῖθεν πνεῖν ἐμυθεύσαντο. διό φασι καὶ βόθρον εἶναι ἐν Θρᾴκῃ, ἐξ οὗ φυσήματα ἀνέμων γίνεται. καὶ μυθευθῆναι Θρᾴκην οὕτως τῶν ἀνέμων οἰκητήριον εἶναι.

Ἀρόη. κώμη πάλαι τῆς Ἀχαΐας, νῦν δὲ πόλις ἡ καλουμένη Πάτρα. περὶ ἧς καὶ λόγιον ἐκ Σιβύλλης ἐξέπεσε τρίμετρον. οἷον, Ἀρόη τρίπυργος ἔσεται ὑδαίνων πόλις. ὅτι Τριπτόλεμος ὁ Κελεοῦ ὑπὸ τῆς Δήμητρος κελευσθεὶς διδάσκειν τοὺς ἀνθρώπους τὴν γεωργίαν τὸν σῖτον, ἐν αὐτῇ πρῶτον ἤροσέ τε καὶ ἔσπειρε τὸ συμφυὲς τῆς γῆς καταμαθών. παρὰ τὸ ἀρόσαι οὖν, Ἀρόη προσηγορεύθη. οὕτως εὗρον ἐν ἐπιγράμμασι τῶν πρώτων.

Ἀρόσω. ἀρῶ παρὰ τὸ ἄρης ὁ σίδηρος. σιδήρῳ γὰρ τέμνεται ἡ γῆ διὰ τὴν ἄρωσιν. ὁ μέλλων, ἀρόσω. ἡ δὲ τρίτη τῶν περισπωμένων θέλει ἔχειν τὸ ω μέγα ἢ τὸ ο μικρὸν καὶ παρατεταμένον διὰ τὸ μεγάλου πλήρη, τεσσάρων. ἀρόω, ἀρῶ, ἀρόσω. ὀμῶ, ὀμόσω. ὀνῶ, ὀνόσω. καὶ βῶ, βόσω, τὸ τρέφω. ἐνῶ ἐνώσω δὲ τὸ εἰς ὁμόνοιαν καὶ φιλίαν ἄγειν διὰ τοῦ ω. ὁ παρατατικός, ἤροον, ἤροων, ἤροες, ἤροε, ἤρου. καὶ τὰ παρεμφατικά, ἀρόειν ἀροῦν. ἀρῶ. σημαίνει τὸ εὔχομαι. ὡς τὸ Ἡρᾶτο γεραιός. τὸ ἀρεστῶ. οὗ ὁ μέλλων, ἀρόσω. ἐξ οὗ καὶ ἄροσις. ἐξ αὐτοῦ ἀρῶ τὸ λαμβάνω. οὗ ὁ μέλλων, ἀρέσω. ἐξ οὗ ἀρέσαι, τὸ λαβεῖν.

Ἀρπασος. ποταμὸς Καρίας. πρότερον δαφνοῦς καλούμενος. εἴρηται δὲ διὰ τὸ ὀξύ τάχος τοῦ ῥοῦ. καὶ ὅτι ἁρπάζει τοὺς περιιόντας αὐτῷ. οὕτως ἱστορεῖ Ἀπολλώνιος ἐν τῷ πεμπτῷ καὶ δεκάτῳ τῶν Καρικῶν.

Ἀρπαλίων, ὄνομα κύριον παρ᾽ Ὁμήρῳ. παρὰ τὸ ἁρπάζω ἅρπαλος, ὡς ἴξω, ἴξαλος. καὶ ὡς Ἥφαιστος, Ἡφαιστίων, οὕτως ἅρπαλος, Ἁρπαλίων.

Ἁρπαλέως, ἁρπακτικῶς. ἀσμένως. ἡδέως. προσφιλῶς. ἐπιθυμητῶς. καὶ ἁρπαλέως. ὁμοίως, καὶ ἁρ-

Ἀρπεδόεσσα. ἡ ἄγαν πελιδνή. κατὰ < παλίμ. συγκοπήν. παρὰ τὸ ἀρι συγκειμένη. πέπονθε δὲ ἵνα μὴ σημαίνηται ἡ ἄγαν ὁμαλὴ ὁδός. ὁδοῦ γάρ ἐστιν ἐπίθετον. πέπονθε δὲ ὁμοίως τῷ ἐρθυρις αἰολικῶς. ἐρίθυρις γὰρ ἡ μεγάλη θυρίς. οὕτως Ἡρωδιανός, καὶ Δίδυμος. ὁ δ᾽ ἀρπεδές, οὐ μέμνηται Νίκανδρος. Ἔνθα κάρη τέμεν ἀρπεδὲς αὔτως. ἀλλ᾽ ὁ Νίκανδρος ἀντὶ ἐπιτάσεως μόνης δοκεῖ τὴν λέξιν παραλαμβάνειν.

Ἁρπῶ. ἐξ οὗ τὸ ἁρπάζω. ἐν χρήσει μὲν οὐκ οἶδα πρωτότυπον. τὸ δὲ ἁρπῶ αὐτὸ παράγωγον, ἀπὸ τοῦ ἅρπη παρηγμένον. ἅρπη δ᾽ ἐστὶν εἶδος ὀρνέου, ὡς φωνή, φωνῶ. αὐδή, αὐδῶ. σιγή, σιγῶ. οὕτως ἅρπη, ἁρπῶ.

Ἅρπη, εἶδος ὀρνέου. ὅμοιον ἀετῷ, καὶ ἀπὸ τῆς ἰδέας ἄκριτον εἶναι. Ὅμηρος Ἡ δ᾽ ἅρπῃ εἰκυῖα τανυπτέρυγι λιγυφώνῳ. σημαίνει δὲ δύο. παρὰ τὸ ἁρπάζω, ἁρπακτικὸν γὰρ τὸ ζῷον. καὶ ἅρπη ἡ δρεπάνη. παρὰ τὸ ἁρπῶ, ἅρπη. παρὰ τὸ ἁρπάζειν ἃ διὰ κοπῆς. Ἡσίοδος. Δεξιτερῇ δὲ πελώριον ἔλαβεν ἅρπην μακρὴν καρχαρόδοντα. φίλου δ᾽ ἀπὸ μήδεα πατρὸς ἐσσυμένως ἤμησε.

Ἅρπυιαι. Ἡσίοδος. Ἡ δ᾽ Ὠκεανίνη τέκεν Ἶριν, ἠΰκόμους θ᾽ Ἁρπυίας Ἀελλώ τ᾽ Ὠκυπέτην τε. καὶ Ἅρπυιαι ἀνηρείψαντο. αἱ ἁρπακτικαὶ θεαί. παρὰ τὸ ἁρπῶ τὸ ἁρπάζω, ἅρπυια. ὡς αἴθω, αἴθυια. καὶ ἄγω, ἄγυια.

Ἅρπυς. ὁ ἔρως. ὡς παρὰ Παρθενίῳ ἐν Κριναγόρᾳ. Ἀμφοτέροις ἐπιβὰς ἅρπυς ἐλήισατο. παρὰ τὸ ἁρπάζειν.

Ἀρπῖς. ἀρπῖδες, τὰ ὑποδήματα, ἃ < τὰς φένας. δὴ καὶ κρηπῖδας καλοῦσι. παρὰ τὸ ῥάπτω, ῥαπίς, καὶ ῥαπίδες. πολλοὺς ῥαφὰς ἔχοντα τὰ ὑποδήματα. καὶ κατὰ μετάθεσιν, ἀρπῖδες. οὕτω Σαλούστιος. Καλλίμαχος. Ἐν γάρ μιν Τροιζῆνι θῆκε σὺν ἀρπίδεσσιν. ὅτι Τρύφων ἐν τῷ περὶ πνευμάτων φησί, τὸ α προτασσόμενον τοῦ ρ π, συστέλλεται καὶ δασύνεται. ἔνθεν ἐπιτιμήσειεν ἄν τις τοῖς ψιλοῦσι τὸ ἀρπῖδες. πλὴν εἰ μή τις εἴποι ὅτι τὸ ρ προτασσόμενον λέξεως, δασύνεται. ὑποτασσόμενον δέ, ψιλοῦται. ὅταν ἐν τῇ αὐτῇ λέξει ὑπερβιβάζηται. ῥῖνες ἄρνες. ῥαπίδες, ἀρπίδες.

Ἄρρακτος. οἷον, ἄφθαρτος. ὁ μὴ ῥαιόμενος. ἵν᾽ ᾖ ὁ ἀκατάγνιστος. ἢ ὁ ἀνέκφαστος, ἄρρητός τις ὤν. ἢ ἰσχυρός, ἢ δυσκίνητος. Φρύνιχος δέ, ἀπὸ τοῦ ῥῶ, οὗ ὁ μέλλων, ῥάσω, ὡς δράσω, ῥακτὸς καὶ ἄρρακτος πλεονασμῷ τοῦ ρ. Μεθόδιος. ἔστιν ὄνομα κύριον.

Ἀρραβών. ἡ ἐπὶ ταῖς ὠναῖς παρὰ τῶν ὠνουμένων διδομένη προκαταβολὴ ὑπὲρ ἀσφαλείας. Μένανδρος. Μικροῦ μὲν ἀρραβῶνα μέγα πεσεῖν ἐυθὺς καταβαλεῖν. οἱονεὶ ἀρραγώντις ὤν. ἀφ᾽ οὗ γὰρ δοθῇ ὁ ἀρραβών, οὐ μετακινεῖται εἰς ἄλλον. ἐκ τοῦ ἀρραγὴς οὖν εἴρηται. ἢ παρὰ τὸ ῥαιβός, ῥαιβών, καὶ προσθήκῃ τῆς α στερήσεως καὶ ἀποβολῇ τοῦ ι, ἀρραβών. ὁ μὴ συγχωρῶν ῥαιβὴν γενέσθαι τὴν πίστιν τῶν συναλλαττόντων. οὕτως Ἐπαφρόδιτος. οἱ δὲ παρὰ τὸ ἀρραγὲς εἶναι, οὐ καλῶς.

Ἀρραβωνίζω. ἐκ τοῦ ἀρραβὼν ἀρραβῶνος.

Ἀρρενικόν, ἐκ τοῦ αἴρειν τὸ νῖκος.

Ἀρρενωπός. ἐκ τοῦ ἄρρην ἄρρενος καὶ τοῦ ὢψ ὠπός, ὃ σημαίνει τὸ πρόσωπον, ἀρρενωπός. ὁ ἄρρενος πρόσωπον ἔχων κατὰ συνεκδοχήν. ἤγουν ὁ ἀνδρεῖος, καὶ ἰσχυρός, καὶ δυνάμενος πρὸς ἐχθρὸν ἀντιτάχθηναι. ἔστι δὲ κατὰ συνεκδοχήν, ἀπὸ μέρους τὸ ὅλον.

Ἄρρηκτος. ἀδιάρρηκτος, στερεά, παρὰ τὸ ῥήσσω.

Ἀρρηφόροι. καὶ ἀρρηφορία ἑορτὴ ἐπιτελουμένη τῇ Ἀθηνᾷ, ἐν Σκιροφοριῶνι μηνί. λέγεται δὲ διὰ τοῦ ε, ἐρρεφορία, παρὰ τὸ ἄρρητα καὶ μυστήρια φέρειν. ἢ ἐὰν διὰ τοῦ ε, παρὰ τὴν Ἕρσην τὴν Κέκροπος θυγατέρα, ἑρσιφορία. ταύτῃ γὰρ ἦγον τὴν ἑορτήν.

Ἀρρηφορεῖν. τὸ χρυσῆν ἐσθῆτα φορεῖν. καὶ χρυσία. τέσσαρες δὲ παῖδες ἐχειροτονοῦντο κατ᾽ εὐγένειαν, ἀρρηφόροι. ἀπὸ ἐτῶν ἑπτά, μέχρις ἕνδεκα. τούτων δὲ δύο διεκρίνοντο, οἳ διὰ τῆς ὑφῆς τοῦ ἱεροῦ πέπλου ἦρχον. καὶ τῶν ἄλλων τῶν περὶ αὐτόν. λευκὴν δὲ ἐσθῆτα ἐφόρουν.

Ἄρριχος. κόφινος. τρεῖς χοῦς μέλιτος < καὶ χρυσία. Βριλκτηλίου δύο ἀρρίχω. τὴν μὲν τῶν μελισσέων, τὴν δὲ τῶν φιαλέων ἰσχάδων. καὶ τῆς τιθίας ἀσταφίδος, καὶ μύρτων ἕτερον φέρνιον. γίνεται δὲ παρὰ τὸ αἴρειν τὰ ἐνόντα ἐκ τοῦ ἀρρίχω ἐν ἀφαιρεῖσθαι βέλος. ἄρριχοι δὲ λέγονται κόφινοι σπεῖνοι. οἱ, ἀνάρριχοι οἱ τὰ ἀναιροῦντα ἔχοντες. τουτέστι τὰ βέλη. ἀρσενικῶς Ἴωνες. θηλυ-

Ἄρρωστος. παρὰ τὸ ῥῶ τὸ ὑγιαίνω ὁ < κῶς ἀπεικώς. μέλλων, ῥώσω. ῥωστός, καὶ ἄρρωστος. ὁ ἐστερημένος τῆς ὑγιείας. ζήτει εἰς τὰς διαφοράς. καὶ τὸ ἄρροδον, εἰς τὸ ὄρροδον.

Ἄρσαντες. ἄρσαντες κατὰ θυμόν. ἁρμόσαντες κατὰ ψυχήν. ἀρεστὸν καὶ θυμήρες ποιήσαντες. ἢ ἀρεσθέντες. ἀπὸ τοῦ ἀρέσαντες ἄρσαντες, ἢ ἀπὸ τοῦ ἁρμόζω ἁρμόσω ἥρμοσα. ἡ μετοχή, ἁρμόσας, ἁρμόσαντες, καὶ κατὰ συγκοπήν, ἄρσαντες.

ETYMOLOGICUM MAGNUM GRAEC

Ἄρσην· παρὰ τὸ ἄρδω τὸ ποτίζω, ἢ τὸ μετέχω. ὁ γὰρ ἀνὴρ τῇ γυναικὶ ἐπιδίδωσι. ἄρδω, ἄρσω, ἄρσην. ὁ ἄρδων τὴν θήλειαν. καὶ γὰρ διὰ τοῦτο πόσις λέγεται ὁ ἀνήρ, παρὰ τὸ ποτίζειν τὴν γυνήν. ἢ παρὰ τὸ ἔρδω τὸ πράττω. ὁ μέλλων, ἔρσω, καὶ ἄρσην ἐξ αὐτοῦ. τουτέστιν ὁ πρακτικός. οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ γάμου καὶ συμβιώσεως.

Ἀρσίνοος· ὄνομα κύριον διὰ τοῦ ι. Θυγατέρες Ἀρσινόου μεγαλήτορος.

Ἀρσινόη, πόλις ἐν Συρίᾳ ἐπὶ βουνοῦ κειμένη. ὑπὸ δὲ τοῦ βουνοῦ, πηγὰς ἐξερεύγεται πλείονας, καὶ ποταμοὺς γίνεσθαι μεγάλους. ἀφ' ὧν ἡ πόλις ὠνόμασθαι. ἄρσαι γὰρ τὸ ποτίσαι. ἀφ' οὗ καὶ ἄρσην ὁ τὴν γυναῖκα ποτίζων τῇ σπορᾷ. οὕτω Στέφανος ἐν τῇ ἐπιτομῇ τῶν Φίλωνος.

Ἄρταμος· ὁ μάγειρος. Ἤδη βέβηκε χεῖρας ἀρταμῶν φυγών. παρὰ τὸ διαρτάσαι, ὅ ἐστι μερίσαι. ἢ συναρμόσαι. Αἰσχύλος. Τοσαῦτα κῆρυξ ἐξ ἐμοῦ διάρτασον. ἄρταμος οὖν, ὁ διαρτῶν τὰ κρέα. καὶ ἀρταμῆσαι, κρεανομῆσαι.

Ἀρτάνη· ἡ ἐκ τῶν καλωδίων ἀγχόνη. Σοφοκλῆς δὲ ἐπὶ δεσμοῦ ἐν Ἀντιγόνῃ. Πλεκταῖσιν ἀρτάναισιν ἀγχόναις.

Ἀρτάβη, μέτρον ἐστὶ περσικόν. Ἀττικὸς μέδιμνος.

Ἀρτεμής· Ὡς εἶδον ζώοντε καὶ ἀρτεμέα προσιόντα. ἤγουν ὑγιῆ, παρὰ τὸ ἀρεμής. καὶ καθ' ὑπόθεσιν, ἀρτεμής. οὕτω Φιλόξενος. Ἡρωδιανὸς δὲ ἐν τῷ ὑπομνήματι τῶν περὶ παθῶν φησὶν ὅτι ἀτεμής ἐστιν ὑγιὴς καὶ μὴ τετμημένος. καὶ πλεονασμῷ τοῦ ρ, ἀρτεμής.

Ἄρτεμις, ἡ θεός. ἀερότεμίς τις οὖσα. ἡ τὸν ἀέρα τέμνουσα. ἡ αὐτὴ γάρ ἐστι τῇ σελήνῃ. ἢ ἀπὸ τοῦ ἀρτεμῆ ποιεῖν. λέγεται γὰρ ἡ θεὸς ἀναιρετικὴ τῶν γυναικῶν. καὶ Ὅμηρος. Τίς νύ σε κὴρ ἐδάμασσε τανηλεγέος θανάτοιο. ἢ δολιχὴ νοῦσος, ἢ Ἄρτεμις ἰοχέαιρα. ἢ ἀπὸ τοῦ ἀρτεμής παρωνύμως Ἄρτεμις, τουτέστιν ἡ ὑγιὴς καὶ ἀνεπίληπτος διὰ τὴν παρθενίαν. παρθένος γὰρ ἡ φιλοσόφων. ἢ ὅτι ἄρτια καὶ τέλεια καὶ ἀνελλιπῆ ἐποίησε τὰ κατὰ κόσμον φαινόμενα.

Ἄρτημα· ὁ τελαμών. ἐξ οὗ ἤρτηται τὸ βαλλάντιον.

Ἀρτηρία, παρὰ τὸν ἀέρα τουτέστι τὸ πνεῦμα τηρεῖν. ἀεροτηρία τις οὖσα. πνεύματος γάρ ἐστι δεκτική. ὥσπερ ἡ φλὲψ αἵματος. ἀρτηρία δὲ πνεύματος ἀγγεῖον. ἢ ἀντηρία τις οὖσα. ὅτι ἅλλεσθαι δοκεῖ, παλμοὺς ποιοῦσα.

Ἄρτιος· σημαίνει τὸν ὑγιῆ καὶ πεπληρωμένον. οὐσία. γίνεται παρὰ τὸ ἀρτῶ τὸ ἑδράζω, ἄρτιος, ὡς ἁρμόζω ἁρμόδιος. ἴσος καὶ ἡρμοσμένος.

Ἀρτίπους· ἄρτιος, καὶ ὑγιὴς πόσιν ὁλόκληρος.

Ἀρτιέπειαι, αἱ ἀπηρτισμένα καὶ τέλεια λέγουσαι. Ἡσίοδος ἐν Θεογονίᾳ. Ὣς ἔφασαν κοῦραι μεγάλου Διὸς ἀρτιέπειαι. ἢ ἀρτιεπείᾳ χρώμεναι.

Ἀρτίζω· ἐκ τοῦ ἄρω τὸ ἁρμόζω, γίνεται ἀρτίζω. καὶ συγκοπῇ ἀρτίζω, καὶ καταρτίζω. ἢ ἐκ τοῦ ἄρτιος γίνεται.

Ἄρτος· ἄρτος Δωσινοπάνικτος ἀπὸ εὐκύκλου κανέοιο. παρὰ τὸ αἴρω, τὸ προσφέρω. ὁ καθ' ἑκάστην τῷ σώματι ἡμῶν προσφερόμενος. Ἱπποκράτης προσάρματα τὰ σιτία λέγει. ἢ ἀπὸ τοῦ αἴρειν καὶ κουφίζειν τὴν δύναμιν.

Ἀρτύνω· τὸ ἁρμόζω, ἢ εὐτρεπίζω. Πυκινὴν ἠρτύνετο βουλήν. παρὰ τὸ ἄρω τὸ ἁρμόζω. ὁ μέλλων, ἀρῶ. ἦρμαι. ἦρται. ἄρτος, καὶ ἀρτῶ, καὶ ἀρτύω, πλεονασμῷ τοῦ ν, ἀρτύνω. ἀπὸ τοῦ ἀρτύνω, ἀρτύνθη τὸ κατεσκευάσθη. ἐκ δὲ τοῦ ἀρτῶ ἀρτίζω, καὶ καταρτίζω, ὡς τὸ ἀπαρτίζω.

Ἀρύω· τὸ ἀντλῶ. παρὰ τὸ ἀρῶ, ἀρύω. ὡς πλήθω, πληθύω. ἔρω, ἐρύω, καὶ ἐρύσω. ἄνω, ἀνύω, καὶ ἀνύσω.

Ἀρύβαλλος, παρὰ τὸ ἐρύειν. ἐρύβαλλος. καὶ ἀρύβαλλος. ἢ παρὰ τὸ ἀρύεσθαι καὶ βάλλειν. ἔστι τὸ καλούμενον βαλάντιον. καὶ μαρσίπιον. Ἀριστοφάνης. Κατὰ τῆς κεφαλῆς ἀρυβάλλῳ ἀμβροσίαν κατὰ σοῦ καταρύτου δὲ σκοροδάλμην.

Ἀριβαλίδα, λήκυθον δῶρον.

Ἄρυπες· Φερεκύδης, ἀντὶ τοῦ εὔπες. πρόδηλον τὸ εἰρημένον. εὔπες γὰρ λέγονται οἱ Ἀχαιοί. κατὰ πλεονασμὸν τοῦ α, ἄρυπες.

Ἀρύσμους· ἀσχήμονας.

Ἄρυσις, καὶ ἄρυσις. ἀρυστίχους, τουτέστι τοὺς οἰνοχόους. ἀρυστὴρ γὰρ ἀγγεῖόν τι, οἷον, κύαθος. ᾧ ἐστιν ἀρύσασθαι. κοτύλη.

Ἀρχαίως· Δημοσθένης ἐν Φιλιππικοῖς. Οὕτως δ' ἀρχαίως εἶχον. ἔστι δὲ οἷον, ἁπλῶς καὶ ἀκάκως. τοιοῦτοι γὰρ οἱ ἀρχαῖοι. τὸ δ' ἐναντίον τοῦ ἀρχαίου καλούμενον νεωτεροποιόν. τὸν ἐπὶ κακῷ δηλονότι καινουργόν.

Ἀρχαιρεσιάζειν· τὸ πρὸς χάριν τοῖς πολλοῖς ζῆν.

Ἄρχων, ὄνομά ἐστι μετοχικόν, παρὰ τὸ ἄρχω. μετάγεται ἀπὸ μετοχῆς εἰς ὄνομα. τὸ δὲ ἄρχω, αἴρω τὸ ἐπαίρω. μνημονεύουσι σχεδὸν πάντες οἱ ῥήτορες. ἔστιν οὖν ὁ τὴν ἐπώνυμον ἄρχων ἀρχὴν ἀφ' οὗ καὶ ὁ ἐνιαυτὸς ἐμετρεῖτο. ἦν δὲ εἷς τῶν ἐννέα. ἦσαν γὰρ θεσμοθέται ἕξ. βασιλεύς τε καὶ πολέμαρχος καὶ ἄρχων. οὗτοι δὲ ἰδίως εἶχον ὥσπερ Δημοσθένης ἐν τῇ πρὸς Λάκριτον ἀπολογίᾳ γραφῇ.

Ἀρχώνης· ὁ ἄρχων ὠνῆς οὑτινοσοῦν.

Ἀρχός, ὡς ἀπὸ τοῦ ἄγω, ἀγός, οὕτω καὶ ἄρχω, ἀρχός, ὁ ἡγεμών, παρὰ τὸ ἄρχειν. Ἐν δ' ἀρχὸς ἔβη πολύμητις Ὀδυσσεύς. σημαίνει δὲ καὶ τὸ ἔντερον τὸ προσκείμενον τῷ καλουμένῳ δακτυλίῳ. πέρας ὂν τῶν ἐντέρων πάντων. εἴρηται δὲ ὅτι ἄρχει τῶν ἐντέρων κάτωθεν. τοῦτο γὰρ πρόδηλον ὅτι τὸ αὐτὸ καὶ πέρας καὶ ἀρχὴ νομίζεται.

Ἀρχιτέκτων· σημαίνει καὶ τὸν τῶν οἰκοδομημάτων ἐπιστάτην. κυρίως δὲ τὸν ἄρχοντα τῶν τεκτόνων, τὸν τὴν διάθεσιν τοῦ κατασκευάσματος ἐπινοοῦντα. καὶ τὸν κατασκευάσαντά τι καὶ συνεργήσαντα πρᾶγμα. παρὰ τὸ ἄρχω καὶ τὸ τέκτων. τὰ δὲ παρὰ τοῦ ἄρχω συντεθέντα, διὰ τοῦ ι γράφονται. ἀρχιστράτηγος.

Ἀρχιθέωρος, ὁ ἡγούμενος τῶν θεωρῶν. θεωροὶ δὲ εἰσὶν οἱ τὴν θεωρίαν φέροντες τοῖς θεοῖς εἰς τοὺς ἑλληνικοὺς ἀγῶνας. καὶ ὑπὲρ τῶν πατρίων θύοντες.

Ἀρχολίπαρος, ὁ λιπαρῶν ἵνα ἀρχῆς τύχῃ. ἢ ἐκ τοῦ ἄρχειν λιπαινόμενος. οὕτω Τραγκύλλων περὶ βλασφήμων.

Ἀρχογλυπτάδης· ὁ ὥσπερ ἐγγλύφων τὰς ἀρχάς.

Ἄρχομαι, ἀρχόμενος. καὶ κατὰ συγκοπήν, ἄρχμενος. ὤφειλε δὲ ἄργμενος. φυλάξαι δὲ τὸ χ, δοκεῖ ἰωνικὸν εἶναι, καθὸ καὶ τὸ ἔργμα, ἔρχμα φασίν. ἐνεστῶτος οὖν εἰσὶν αἱ τοιαῦται μετοχαί, συγκοπὴν παθοῦσαι. ὡς τὸ, λεγόμενος, λέγμενος. ὁρώμενος, ὅρμενος. δεχόμενος, δέγμενος. τινὲς δὲ λέγουσι παρακειμένου εἶναι.

ΤΟ ΑΛΦΑ ΜΕΤΑ ΤΟΥ ΣΙΓΜΑ

Ἀσαλής, ἡ ἄφροντις, ἡ μηδενὸς φροντίζουσα. σάλη γὰρ ἡ φροντίς. ἀσαλὴς ὁ ἀμέριμνος. Αἰσχύλος. Ἀσαλὴς μανία. οὕτως Ἡρωδιανός, καὶ Ἀπολλόδωρος. καὶ γὰρ ἀσαλέαν ὁ Σώφρων τὴν ἀμεριμνίαν καὶ ἀλογιστίαν καλεῖ.

Ἀσάμινθος, λεκάνη πύελος. ἢ ὁ τόπος ἐν ᾧ λούονται. παρὰ τὸ τὴν ἄσιν τὸν ῥύπον τοῦ σώματος μινύθειν. Ἐς ῥ' ἀσαμίνθους βάντες ἐϋξέστας, λούσαντο.

Ἄσασθαι, Ἄσασθαι φίλον ἦτορ ἐδητύος ἠδὲ ποτῆτος. τὸ κορεσθῆναι. κυρίως τὸ μετὰ κόρον εἰς ὕπνον ἐλθεῖν. ἄεσαι γὰρ τὸ κοιμηθῆναι. ἢ ἀπὸ τοῦ ἥδω, ἀφ' οὗ τὸ, Ἥσατο δ' αἰνῶς ἡ δ' αὐτὸ τὴν πίνων. ἥσασθαι, καὶ τροπῇ τῆς η εἰς α, ἄσασθαι. ἄσαι σημαίνει δύο. ἐπὶ μὲν τοῦ κορέσαι καὶ πληρῶσαι. Αἵματος ἆσαι Ἄρηα. ἐπὶ δὲ τοῦ βλάψαι, Ἆσε με δαίμονος αἶσα κακή. ὁ δὲ Ἀπίων, ἐκθέμενος ἀμφοτέρας τὰς δυνάμεις, ἐτυμολογεῖ ἀπὸ τῆς ἄτης, οἷον, ἀτῆσαι. πληρωτικὰ γὰρ τὰ κακά.

Ἄσβεστος· Ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως. ἀκατάπαυστος. πολύς. ἡ μεταφορὰ ἀπὸ τοῦ μὴ σβεννυμένου πυρός.

Ἀσεβής· παρὰ τὸ σέβω, σεβής. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀσεβής. τοῦ ἀσεβέος. ὁ κανών. οἱ Ἴωνες καὶ οἱ ποιηταί, τὰς εἰς ους ληγούσας γενικὰς ἀπὸ τῶν εἰς ης εὐθειῶν γινομένας, διὰ τοῦ εος προφέρουσι. καὶ ἀσεβοῦς. τὰ εἰς ης ὀξύτονα σύνθετα καὶ ἐπίθετα ῥηματικά, εἰς ους ἔχει τὴν γενικήν. φύω, εὐφυής, εὐφυοῦς. ἡ αἰτιατική, διὰ τί οὐ λέγεται τὸν ἀσεβῆν. οἱ γὰρ Ἀττικοὶ οὐ κατὰ πάντων τῶν αἰτιατικῶν τῶν ἀπὸ τοῦ εἰς ης ἐπιτιθέντων προσλαμβάνουσι τὸ ν. ἀλλ' ἐπὶ τῶν κυρίων. τὸν Δημοσθένην λέγει, καὶ τὸν Ἀριστοφάνην. ἐπὶ δὲ τῶν ἐπιθετικῶν, οὐδαμῶς. τὸν ἀσεβῆ. τὸ γὰρ ε καὶ ἄλφα εἰς η κιρνᾶται, ἡνίκα πρὸ τοῦ ε ἐστὶ σύμφωνον. εἰ δὲ καθαρόν, καὶ εἰς α καὶ εἰς η. τὸν εὐφυέα, καὶ εὐφυῆ, καὶ εὐφυᾶ. εἰ δὲ ἔχει τὸ ρ, εἰς α. ἀργύρεα, ἀργυρᾶ. τὸ δὲ κανᾶ καὶ ὀστᾶ, οὐκ ἀπὸ τοῦ κάνεα καὶ ὀστέα, ἀλλ' ἐξ ἰδίας πτώσεως, κανοῦν, καὶ ὀστοῦν. ὦ ἀσεβές. τὰ εἰς ης εἰς ους ἔχοντα τὴν γενικήν, εἰς ες ποιεῖ τὴν κλητικήν. διὰ τί οὐκ ἀνατάσσεται τὸν τόνον. τὰ γὰρ εἰς ης ὀξύτονα εἰς ους ἔχοντα τὴν γενικήν, εἰ μὲν ὦσι κύρια, ἢ ἀπὸ τοῦ οὐδετέρου, τοῦ εἰς ης. βαρυνόμενα δέ, ἀναβιβάζουσι τὸν τόνον ἐπὶ τῆς κλητικῆς. ὦ Δημόσθενες. ὦ Μηνόφανες. καὶ κῆτος, μεγακήτης, ὦ μεγάκητες. εἰ δὲ ὀξυνόμενα καὶ ἐπιθετικῶς, τὸν αὐτὸν τόνον φυλάττει ἐπὶ τῆς κλητικῆς. ὦ εὐγενές. ὦ εὐτυχές. ὦ μονογενές.

Ἀσελγεῖς· Σελγοί, ἔθνος σωφρονέστατον. ἐντεῦθεν ἀσελγεῖς, οἱ μὴ σώφρονες.

Ἀσελγής· παρὰ τὸ θέλγω τὸ ἀπατῶ καὶ σκολιάζω, θελγής. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀθελγής, καὶ ἀσελγής, ὁ ἐναπατητὴς καὶ σκολιὸς κατὰ τὸν νοῦν. ἢ ὅτι Σέλγη, πόλις ἐστὶ τῆς Πισιδίας ὅπου κακῶς ὄζουσιν οἱ ἄνθρωποι, καὶ ἀλλήλους ἐκοινώνουν. μετὰ τοῦ ἐπιτατικοῦ α. ὅθεν καὶ ἀσέλγεια. πορνεία. ἀκαθαρσία. ἑτοιμότης πρὸς πᾶσαν ἡδονήν.

Ἀσελγαίνειν· κυρίως τὸ παρὰ φύσιν ταῖς γυναιξὶ μίγνυσθαι. καταχρηστικῶς δὲ τὸ ὁπωσδήποτε ἀκολασταίνειν. εἴρηται δὲ ἀπό τινος Ἐλεγηίδος γυναικὸς ἀττικῆς. πρώτης τὴν τοιαύτην ἀσωτίαν εὑρούσης. ἐλεγαίνειν οὖν ἐστι τὸ ἀσελγαίνειν. καὶ πλεονασμῷ τοῦ σ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀσελγαίνειν. οὕτως Ἀλκίφρων. Ἐπαφρόδιτος δέ, παρὰ τὸ λέχος λεχαίνειν. τὸ λέχους ἐπιθυμεῖν. καὶ κατὰ τροπήν, λεγαίνειν. ἔνθεν Ἀρχίλοχος. λέγαι γυναῖκες, ἀντὶ τοῦ ἀκόλαστοι. πλεονασμῷ, ἐλεγαίνειν. καὶ συνθέσει τῆς α ἐπιτατικῆς, καὶ πλεονασμῷ τοῦ σ, ἀσελγαίνειν. καὶ Νηλέως θυγάτηρ Ἐλεγηίς, ἄσωτος οὖσα ἦν. ἧς καὶ ὁ πατὴρ ἀκούσας ἐπικροτούσης τὸ αἰδοῖον καὶ βοώσης, Δίζεο δίζεο δὴ μέγα ἄνδρα [illegible] ὅς σε ἐπιμείλικτρα κατάξει πήματα.

Ἀσέληνα· ὄρη οὕτω καλούμενα. ἀπὸ τοῦ, Ἄωροι μέν, καρσί. παρὰ τὸ ταχεῖνα εὑρῆσθαι ὡς Ῥιανὸς ἐν τῷ τεσσαρεσκαιδεκάτῳ Ἡρακλείας. Νίκανδρος δέ, ἐν τοῖς Αἰτωλικοῖς. ὅτι φησὶν ἐν αὐτοῖς τῆς σελήνης τῷ Ἐνδυμίωνι συγκαθευδούσης, συνέβαινε τοὺς ἄλλους τόπους ἀσελήνους εἶναι, καὶ μὴ μετέχειν φωτός.

Ἀσήμαντον· ἀφύλακτον. ἀφρόντιστον. ποίμνια μὴ ἔχουσα. ἐκ τοῦ σημαίνω.

Ἀσφάλιστος, ἀποίμαντος.

Ἆσθμα, ἡ ἀναπνοή. παρὰ τὸ ἄω, τὸ πνέω. ἄσω. ἦσμαι, ἆσμα. καὶ πλεονασμῷ τοῦ θ, ἆσθμα. ἢ παρὰ τὸ ἄημα πέπονθεν ἐπένθεσιν τοῦ θ. τὸ γὰρ ἀνάλογον ἦν ἄσμα. ὥσπερ καὶ χῶ, τὸ χωρῶ. χών, καὶ χθών. καὶ παρὰ τὸ χαμαὶ χαμαλή, καὶ χθαμαλός, τὸ κοιλότατον. καὶ φθέγγεσθαι παρὰ τὸ φῶ, τὸ εἰς φῶς ἄγειν τὰ τοῦ νοῦ. ἀπὸ δὲ τοῦ ἆσθμα, ἀσθμαίνω.

Ἀθηνῆς. παρὰ τὸ θένος, ἡ δύναμις. μετὰ τοῦ στερητικοῦ ἄλφα, ἀθηνῆς.

Ἄσις, ἄσιν. ἰλύν. ὅ ἐστι τὴν ψαμμώδη. ὅθεν καὶ ἀσώδει-

Ἀσι. ἄσις. ἡ ἀκαθαρσία. Ὅμηρος. αἱ, αἱ αἱμασιαί. τόσσην οἱ ἄσιν καθύπερθεν καλύψω. ἔστι δὲ παρώνυμον, ἄση, ἄσις. ὡς φήμη, φῆμις. τὸ δὲ ἄση, γέγονε παρὰ τὸ ἄγω, ἄσω. Ἀσαὶ ἐκ δαίμονος αἶσα. ἄσω, ἄση, ὡς μνήσω μνήμη, κνήσω, κνήμη.

Ἀσία, Προμηθέως μήτηρ ἡ Ἀσία, ὡς Λυκόφρων. καὶ ἀπ' αὐτῆς ἡ Ἀσία ὠνόμασται.

Ἀσιάτις. ἀσιάδος. κρούματα τῆς κιθάρας. οὕτως Ἀριστοφάνης ἐν τῷ περὶ ᾠδῶν τὸ ὀξέρεχθέως Εὐριπίδου. ἡ ῥίχορδος κιθάρα οὕτω καλεῖται. εἴρηται δέ, ὅτι ἐν Ἀσίᾳ τῇ πόλει τῆς Λυδίας κειμένῃ, ἐν Τμώλῳ πρῶτον εὑρέθη. καὶ τὰς γοώδεις δὲ ᾠδὰς ὑπὸ Νιόβης καὶ τῶν Λυδῶν γυναικῶν εὑρεθείσας, ἃς θρήνους ἀχθῆναι. ὅθεν καὶ Λύδιος ὁ τρόπος μετωνομάσθη. ἢ ἀπὸ ἀσίου τινός.

Ἄσιος. τὸ α μακρὸν καὶ ψιλοῦται. ἢ παρὰ τὴν αἶσαν, αἴσιος, καὶ ἄσιος, ἢ παρὰ τὸ ἀΐσσω, ἄσιος. ὡς ὀρθῶ, ὀρθώσιος. κτήσω, κτήσιος. αἰνήσω, αἰνήσιος.

Ἀσίω ἐν λειμῶνι. ὄνομα πτώσεως γενικῆς. ἡ εὐθεῖα, ἀσίας. ἐκλήθη οὖν ἀσίας ὁ λειμών, ἀπὸ ἀσίου τοῦ κότυος, ὃς ἦν βασιλεὺς Λυδίας. κλίνεται ἀσίου. ὡς κοχλίας, κοχλίου. καὶ τὸ ἰωνικόν, ἀσίεω. ὀκνιῶν. οἱ Ἴωνες τὰς εἰς ου γενικὰς τὰς ἀπὸ τῶν εἰς ας καὶ εἰς ης γινομένας, διὰ τοῦ εω προφέρουσιν. οἷον, ὀρέστης, ὀρέστου, ὀρέστεω. ἀτρείδης ἀτρείδου, ἀτρείδεω. πηλείδης, πηλείδου, πηλείδεω. αἰνείας, αἰνείου, αἰνείεω. ἑτάρου μεγαθύμου ἑρμείεω. ὅτι αἱ διὰ τοῦ εω ἰωνικαὶ γενικαί, εἰ μὲν ἀπὸ βαρυτόνων κοινῶν γενικῶν ὦσι, προπαροξύνονται. οἷον, ὀρέστου, ὀρέστεω. ἀτρείδου, ἀτρείδεω. οὕτως οὖν καὶ ἀσίεω. χωρὶς μὴ κατὰ πάθος ὦσι, διὰ τοῦ ἑρμείεω, καὶ κατὰ συγκοπήν, ἑρμεῖω. καὶ ἡ χρῆσις. Ἥρης ἑρμείω τε καὶ ἡφαίστου. βορέου, βορέεω. καὶ συγκοπῇ βορέω, καὶ ἐϋμμελίεω, ἐϋμμελίω πριάμοιο. οὕτως οὖν, ἀσίας, ἀσίου, ἀσίεω ἰωνικῶς, καὶ συγκοπῇ, ἀσίω. καὶ ὁμοίως οὐ προπαροξύνεται, ἐπειδὴ κατὰ πάθος ἐστίν. ἤτοι κατὰ συγκοπήν. ἐν ἡρωϊκῷ μέτρῳ, τὰς ἀπὸ τῶν εἰς ης εὐθειῶν γενικάς, οὐ προφέρουσιν οἱ ποιηταὶ εἰς ου, ἀλλ' ἢ διὰ τοῦ εω, ὡς πηλείδεω. ἢ διὰ τοῦ αο, ὡς ὀρέσταο βοιωτικῶς. θετταλικῶς, καλοῖο. δωρικῶς, ἀτρείδα. κοινῶς καὶ ἀττικῶς, ἀτρείδου.

Ἀσινεῖς. ἄνθρωποι, οἱ τὴν ἀσίνην κατοικοῦντες. Καλλίμαχος. Δελφοῖς ἀσινεῦσιν ἐπὶ ῥιπῆρθε ἁρπάσας. εἴρηται ὅτι Ἡρακλῆς τοὺς δρύοπας λῃστεύοντας ἀπὸ τῶν περὶ πυθὼ χωρίων ἐν τῇ Πελοποννήσῳ μετῴκισεν. ἵνα διὰ τὴν πολυπληθίαν τῶν ἐνοικούντων εἴργοιντο τοῦ κακουργεῖν. καὶ διὰ τοῦτο, ἀσινεῖς αὐτοὺς ὠνομάσθαι, ὡς μηκέτι κατὰ τὸ πρότερον σινομένους.

Ἀσκαλαβώτης. ζωΰφιον ἐοικὸς σαύρᾳ, ἐν τοῖς τοίχοις ἀνέρπον τῶν οἰκημάτων. παρὰ τὸ ἀκαλῶς τὸ ἡσύχως, καὶ τοῦ βαδίζειν μετὰ τοῦ, ἀκαλαβώτης, καὶ πλεονασμῷ τοῦ σ.

Ἀσκάνιος, ὁ υἱὸς αἰνείου τοῦ ἥρωος. εἴρηται δὲ ὅτι αἰνείας ἐπιγαμίᾳ χρησάμενος ἀπὸ ἀσκάλωνος, ὑπὸ τε ἀσκάλου τοῦ τότε βασιλεύοντος τῆς χώρας ξενωθείς, διὰ τὴν πρὸς αὐτὸν φιλίαν, τὸν υἱὸν ἀσκάλιον προσηγόρευσεν. ὃς τῇ ῥωμαίων διαλέκτῳ ἀσκάνιος.

Ἀσκάλαφος. παρὰ τὸ ἀσκαλὲς τῆς ἀ[...] ὠνομάσθη. φῆς. ὁ λίαν σκληρός.

Ἀσκαρίζειν, σημαίνει τὸ κινεῖσθαι. σκαίρω, σκαρίζω, καὶ ἀσκαρίζω.

Ἀσκάντης. κλινίδιον εὐτελές. ὃ ὑπὸ τῶν [...] ἀττικῶν σκίμπους ὀνομάζεται. Καλλίμαχος. Καὶ τὸν μὲν ἐπ' ἀσκάντα κάθισεν. καὶ Ἀριστοφάνης ἐξεῖ τὴν ἀσκάντην λαβών. καὶ Πλάτων ὁ φιλόσοφος, πρωταγόρᾳ. Καὶ ἅμα ἐπιψηλαφήσας τοῦ σκίμποδος ἐκαθέζετο παρ' ἐμέ. ὁ δὲ κράβατος οὕτω. εἴρηται δὲ παρὰ τὴν κάνναν. οὕτω δὲ ἐκάλουν τὴν ψίαθον. ἀκάντης καὶ ἀσκάντης, ἡ εὐτελὴς κλίνη. μὴ δὲ κάνναν ἔχουσα.

Ἀσκελές. Ἀλλὰ ποσειδάων γαιήοχος ἀσκελὲς αἰεί. ἀμετακινήτως. κατὰ στέρησιν τῶν σκελῶν. ἢ ἀδιαλείπτως, καὶ ἄγαν σφοδρῶς. καὶ ἀσκελέως, τὸ σκληρῶς. παρὰ τὸ σκέλω τὸ ξηραίνω, γίνεται ἀσκελές. τὸ ἄγαν σκληρόν. ὅθεν καὶ σκέλος. ἢ παρὰ τὸ ἄγαν ἐσκληκέναι. ὅθεν καὶ ἀσκληπιός, ὁ μηδέπω τὰ σκέλη ἐσκληκέναι καὶ ξηραίνεσθαι. ἀπὸ μέρους δὲ τὸ ὅλον σωματικοί. καὶ γὰρ τὸν ἐπιδαύρου τύραννον ὀφθαλμιῶντα θεραπεύσας, ἐκλήθη ἀσκληπιός. πρότερον γὰρ ἤπιος ἐκαλεῖτο. ἢ ὅτι τὰ ἀσκελῆ ὅ ἐστι σκληρὰ τῶν νοσημάτων ἠπιοποιεῖ. καὶ ἀσκληπιάς, βοτάνη τις.

Ἀσκητής, διὰ τὸ ὡς ἀσκὸν γίνεσθαι τὸν ἀσκητήν. ὅρος δὲ αὐτοῦ, ὁ πόνος τῆς ἀσκήσεως. καὶ ὁ ἀθλητής, ἀπὸ τοῦ ἀσκῆσαι, ἐκ τοῦ ἀσκός.

Ἀσκηθής. παρὰ τὸ σχέθω, κατὰ σύνθεσιν καὶ ἔκτασιν, καὶ τροπήν. ὁ ὑγιὴς καὶ ἀκώλυτος τοῦ πράττειν. ἀβλαβῆ θεραπευθέντα καὶ σωζόμενον.

Ἀσκός, ἐκ τοῦ σχίζω μετὰ τοῦ στερητικοῦ α. ἢ παρὰ τὸ σχῶ, σχήσω, ἀσχός, καὶ ἀσκός, ὁ ἀβλαβής, καὶ ὑγιής, καὶ μὴ ἐσχισμένος. ὅθεν καὶ ἀσκοτὸς ὁ ἀβλαβής, καὶ ὑγιής, ἀπὸ μεταφορᾶς τοῦ ἀσκοῦ.

Ἀσκῆσαι δέ, τὸ θεραπεῦσαι. ἐπιμεληθῆναι. ἀθλῆσαι.

Ἀσκοφορεῖν. ἐν ταῖς διονυσιακαῖς πομ[παῖς] ποιήσασθαι. πᾶσι, τὰ μὲν ὑπὸ τῶν ἀστῶν πράττεται. τὰ δὲ τοῖς μετοίκοις ποιεῖν ὑπὸ τῶν νομοθετησάντων προστέτακται. οἱ μὲν οὖν μέτοικοι χιτῶνας ἐνδεδυμένοι χρῶμα ἔχοντες φοινικοῦν, καὶ τὰς σκάφας φέρουσιν. ὅθεν καὶ ἀσκοφόρος λέγεται. οἱ δὲ ἀστοί, ἐσθῆτα ἔχουσιν ἣν βούλονται. καὶ ἀσκοὺς κατὰ τῶν ὤμων φέρουσι. καὶ διὰ τοῦτο ἀσκοφόροι καλοῦνται.

Ἀσκώματα. καλοῦνται καὶ τὰ δέρματα τὰ ἐπιρραπτόμενα ταῖς κώπαις ἐν ταῖς τριήρεσι. διὰ τὸ μὴ εἰς φέρειν τὸ θαλάσσιον ὕδωρ. Ἀριστοφάνης. Ἀσκώματα καὶ λίνα καὶ τὰ πάνδια πέμπων εἰς ἐπίδαυρον. ὅτι ἀπὸ ἀσκῶν γίνονται, καὶ ἀγχιστά εἰσι. καλοῦνται δὲ ἀσκώματα καὶ οἱ γνάθοι. ἀπὸ μεταφορᾶς τῶν χαλκευτικῶν ἀσκωμάτων. ἃ εἰσὶ φῦσαι χαλκευτικαί.

Ἀσμενος. ἥδω τὸ εὐφραίνω. ὁ παθητικὸς παρακείμενος, ἧσμαι. ἡ μετοχή, ἡσμένος καὶ ἄσμενος, τροπῇ τοῦ η εἰς α. ἐξ αὐτοῦ, ἀσμενίζω. καὶ συνασμένιζε, τὸ συνευφραίνου. τινὲς δὲ λέγουσι μὴ εἶναι μετοχήν. ὅτι πᾶσαι αἱ τοῦ παρακειμένου μετοχαί, προπαροξύνονται. πρὸς οὓς φαμὲν ὅτι λέγουσιν οἱ τεχνικοὶ μετοχὴν εἶναι παρακειμένου. ἀπὸ τοῦ ἥδω, ἡσμένος. κατὰ συστολὴν ἀρχούσης, ἄσμενος. καὶ ἅμα τῇ συστολῇ, ἀνεβίβασε τὸν τόνον καὶ προπαροξύνεται.

Ἀσμωλή. ἀναπνοὴ ὀλίγη. καὶ ἀσμωλεῖν, ἀγνοεῖν.

Ἀσούρ, ὁ κρατὴρ ὑπὸ φοινίκων.

Ἀσκωλιάζω. ἀσκωλιάζειν ἐστί, τὸ ἵστασθαι ἐφ' ἑνὸς ποδὸς ἐφαλλόμενον. ἢ στερούμενον τῶν κατὰ φύσιν. εἴρηται παρὰ τὸ σκῶλον, ὅ ἐστι σκόλοπα, τῷ ἐνὶ ποδὶ ἅλλεσθαι ἀπὸ τῶν πατούντων σκόλοπα καὶ χωλευόντων. ὁ ὑπὸ ἐπίχαρμος ἐν ταῖς ὥραις σκωλοβατίζειν φησί. σκωλιάζειν οὖν, καὶ κατὰ πλεονασμόν, ἀσκωλιάζειν. τινὲς δὲ οὐ πλεονασμὸν γίνεσθαι τὸ α, ἀλλὰ παρὰ τὸν ἀσκὸν γέγονε. κυρίως γὰρ ἀσκωλιάζειν λέγεται τὸ ἐπὶ ἀσκῶν ἅλλεσθαι. οὕτως ἐπαφρόδιτος.

Ἀσπάζω. ἔστι ῥῆμα σπῶ, καὶ σημαίνει τὸ διαχωρίζω. ἐξ αὐτοῦ γίνεται σπάζω κατὰ παραγωγήν. ὡς φῶ, φάζω. βῶ, βάζω. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀσπάζω. τὸ μὴ διαχωρίζεσθαι, ἀλλ' ὑπὸ τῆς φιλίας ἡνῶσθαι. ἀσπάζεται κατὰ στέρησιν τοῦ μὴ σπᾶν. ὁ γὰρ διαλυόμενος καὶ ἐχθαίρων, ἐχθραίνων, ἀποσπᾷ ἀπ' ἐκείνου ἑαυτόν. ὡς ἐπὶ τηλεμάχῳ. Ἤρα καὶ ἐκ χειρὸς χεῖρα σπάσεν ἀντινόοιο. ἐκ τοῦ οὖν ἐναντίου τὸ ἀντέχεσθαί τινος κατὰ φιλίαν, ἀσπάζεσθαι εἴρηκεν. ἀπὸ τοῦ ἀσπάζω, ῥηματικὸν ὄνομα, ἀσπαστός. καὶ οὐδέτερον, ἀσπαστόν. ὁ μέλλων ἀσπάσω. ἀφ' οὗ ἀσπάσιος. καὶ ἀσπασίως, τὸ προσηνῶς καὶ φιλοφρόνως. ἔστι δὲ παρασύνθετον, ἀπὸ τοῦ ἀσπάζω σύνθετον. τὸ γὰρ ἀσπάζω, σύνθετόν ἐστιν ἀπὸ τοῦ σπῶ ῥήματος. ἀφ' οὗ τὸ σπῶμαι. καὶ παράγωγον, σπάζω. καὶ προσῆλθεν ἡ α ἐπίτασις καὶ ἐποίησε τὸ ἀσπάζω. τὸ γὰρ ἐπισπᾶσθαι, ἔστι τὸ ἀσπάζεσθαι. ἀρσενικόν, ἀσπάσιος. τὸ θηλυκόν, ἀσπασία. λέγεται καὶ ἐπιρρηματικῶς, ἀντὶ τοῦ ἀσπασίως.

Ἀσπάσιος. ἡ διὰ τοῦ ιος παραγωγὴ παρὰ μέλλοντα γινομένη, ῥῆτιν ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν. ὀρθώσω, ὀρθώσιος. αἰνήσω, αἰνήσιος. ἀρκέσω, ἀρκέσιος, καὶ ἀρκείσιος. ἄρω τὸ ἁρμόζω, ἄρσω, ἄρσιος, ὁ ἁρμοζόμενος. καὶ ἀνάρσιος, ὁ μὴ ἁρμοζόμενος. ἄζω, ἄσω, ἄσιος, καὶ κατὰ ἀντίθεσιν ὅσιος. κτήσω, κτήσιος. ἀλέξω, ἀλέξιος. οὕτως οὖν, καὶ ἀσπάσω, ἀσπάσιος. καὶ θαυμάσιος. ὀξύνεται δὲ ἀνεψιός δεξιός. τὸ δὲ πλησίος, ἀπὸ τοῦ πλητὸς ἔχει μετὰ τὸν χρόνον. ὁ γὰρ ἄπλητος ὁ ἄπορος πέλαγος. πλητός, πλησίος. ὡς ἄμβροτος, ἀμβρόσιος, τροπῇ τοῦ τέλους. οὐ γέγονε δὲ τὸ πλησίος παρὰ μέλλοντα. οἱ γὰρ λάκωνες τὰ παρὰ μέλλοντα, εἰς τὸ τ οὐ τρέπουσιν ἀλλ' ἀπὸ τοῦ τ εἰς τὸ σ. ἐνιαυτός, ἐνιαύσιος. ἐνιαύτιος λέγουσιν ὑπομιμνήσκοντες τοῦ προτέρου τ. πλοῦτος, πλούτιος, πλούσιος. τὸ δὲ πλησίος, πλήτιος λέγουσιν. ὡς τεοῦ παραμένοντα. παρὰ τὸ πέλω, παράγωγον πελάζω τὸ προσεγγίζω. ῥηματικὸν ὄνομα, πλατὸς καὶ πλητός. καὶ κατὰ τροπὴν τοῦ τ εἰς σ, καὶ κατὰ παραγωγήν, πλησίος. ὡς ἄμβροτος, ἀμβρόσιος.

Ἀσπαστόν, τὸ ἡδύ. τοῦ α κατ' ἐπίτασιν ὄντος. ὁ γὰρ αὐτὸς πρὸς ἑαυτὸν ἐπισπᾷ.

Ἀσπάραγος. κυρίως ἐπὶ τοῦ τερείου κορείου, ὁ μὴ σπειρόμενος.

Ἀσπάλαθος. εἶδος ἀκάνθης. νίκανδρος. ἐν τοῖς ὀρεγάμνοιτε καὶ ἀσπάλαθοι κομέονται. παρὰ τὸ σπῶ, σπάλαθος, καὶ ἀσπάλαθος.

Ἀσπαλιεύθην (τ)ὸς οὐκ οἶδ' εἴ τις ἰχθὺς ὑπὸ τοῦ δελέατος τῆς ἡδονῆς ἀσπαλιεύθην καὶ ἐνηχετο μοι τὸ ἄγκιστρον.

Ἀσπαλεύω. παρὰ τὸ ἀποσπᾶν τοὺς ἰχθῦς ἐκ τῆς θαλάσσης. οἷον σπῶ, σπεύς, πλεονασμῷ τῆς λι συλλαβῆς, σπαλιεύς. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀσπαλιεύς.

Ἀσπαλιευτής, ὁ ἁλιεύς. εἴρηται δὲ παρὰ τὸ σπᾶν, καὶ τὸ λίνον. ὁ σπῶν τῷ λίνῳ. τοῦ α ἢ πλεονάζοντος, ἢ ἐπίτασιν σημαίνοντος. ὅθεν καὶ ἀσπαλιευτής, ὁ ἐκ τῆς ἁλὸς σπῶν τοὺς ἰχθῦς.

Ἄσπετος. ἔστι ῥῆμα σπῶ. ὁ γὰρ γέγονε παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ. ὡς παρὰ τὸ ἔχω, σχῶ. ἐξ οὗ τὸ σπᾶσθαι καὶ ἐπισπᾶσθαι ποσίν.

Ἄσπετος. ῥηματικὸν ὄνομα, σπετός. καὶ μετὰ τοῦ στερητικοῦ α, ἄσπετος αἰθήρ. οἱονεὶ ὁ πολὺς καὶ μέγας καὶ δυνάμενος ἄρρητος λέγεσθαι. ἢ οὐδὲ οὐκ ἂν ὄψις ἐφίκοιτο δι' οὗ παρακολουθεῖ τοῦ διὰ τὸ μέγεθος. ἢ παρὰ τὸ σπῶ τὸ κρατῶ, σπετὸς καὶ ἄσπετος.

Ἄσπετον. ἀπλήρωτον. πολύν. Λυκόφρων. Ἀλλ' ἄσπετον χέασα παμμιγῆ βοήν. δύναται δὲ καὶ παρὰ τὸ ἕπω τὸ λέγω εἶναι. ἄσπετα τὰ οὕτω πολλὰ καὶ μεγάλα, ὥστε καὶ ἄρρητα ὑπάρχειν τοῦ λέγεσθαι.

Ἀσπερχές, ἀδιαλείπτως. τοῦ α κατ' ἐπίτασιν. τοῦτ' ἔστι τὸ ἄγαν ἐσπευσμένον, παρὰ τὸ σπέρχω. συνεχῶς. ἰσχυρῶς. ταχέως.

Ἄσπειστον. ἀπὸ τοῦ σπένδω. οὗ ὁ μέλλων, σπείσω. ὁ παρακείμενος, ἔσπεικα, ἔσπεισμαι, ἔσπεισαι, ἔσπεισται, σπειστός, καὶ ἄσπειστος. ἄσπονδος.

Ἀσπιστής, πεζὸς ὁπλίτης. πολεμιστής. ἀπὸ τοῦ ἀσπίζω ἐξ οὗ ὑπερασπίζω. ὁ μέλλων, ἀσπίσω. ἤσπικα. ἤσπισμαι. ἤσπισαι. ἀσπιστής.

Ἀσπίς. ἀσπὶς σημαίνει δύο. τὸ μὲν ζῶον. ἀπὸ τοῦ ἑρπετοῦ. διὰ τὸ κύκλους ποιεῖν τοῦ σώματος καὶ μὴ ταχέως

ἐκτείνειν ἐσήμηνε. ἀπὸ μεταφορᾶς τοῦ ὅπλου. οὕτω τὸ συστρέψαν ἑαυτό, πολεμεῖ καὶ μάχεται. τὸ δὲ ὅπλον, παρὰ τὸ ἀπῶ, τὸ ἀπίζω. τὸ ἐκτείνω, καὶ μηκύνω. ὁμήρων, ἀπίσω. ἀποβολῇ τοῦ ω, ἀπὶς τὸ μακρόν. παρὰ τὸ ἀποπαίεσθαι καὶ διατείνεσθαι. μετὰ τοῦ στερητικοῦ α, ἀσπίς. ἢ διὰ τὸ μακρὰν εἶναι ἀπηλλάκται. ὡς περιφερὲς τὸ σχῆμα εἴκασται. τὸ μὴ ἐξέτασιν μεμηκυσμένον, ἀλλ' ὡς περιφέρειαν κεκυκλωμένον, ἢ παρὰ τὸ ἀσπάσιον εἶναι τοῖς φονοῦσιν ἐν τῷ πολέμῳ, διὸ οὐ ῥῖψασπις. ἀσπίδος, ὁ κανών. τὰ εἰς ις θηλυκά, διὰ τοῦ δ ἐκφερόμενα ἁπλᾶ καὶ σύνθετα, διὰ τοῦ δος κλίνεται. ἁπλᾶ μὲν κνημὶς κνημῖδος. σύνθετα δέ, βοῶπις, βοώπιδος. ἑλικῶπις, ἑλικώπιδος. διὰ τὸ ὀξύνεται. τὰ εἰς πις θηλυκὰ δισύλλαβα ἃ μὲν ἀπὸ συμφώνου ἄρχονται, βαρύνονται. θέσπις. γάμπις. ἔστι δὲ βαρβαρικὸν ὅπλον. ἃ δὲ ἀπὸ φωνήεντος, ὀξύνεται. ἀσπίς, ἐλπίς. ἐμπίς, εἶδος κώνωπος.

Ἀσπιδιώτης. εἴρηται ἀπὸ τῆς ἀσπίδος, ἀσπιδίτης, δηλονότι πλεονασμῷ τοῦ ω. ἢ δὲ παρὰ τὸ ἀσπίδος, ὅθεν ὑπασπίδια, παράγωγον. οὐ πλεονάζει. ὥσπερ ἴδιος, ἰδιώτης, καὶ ἥλιος ἡλιώτης, καὶ ἀφηλιώτης, οὕτως ἀσπίδιος, ἀσπιδιώτης.

Ἀσπληδών. φασὶ γὰρ εἶναι ἀσπληδόνα τὴν πρεσβῶνος καὶ στερώπης. Ἀπολλόδωρος δέ φησιν Ἀσκληπιάδην οὕτω λέγειν, καὶ σπληδόνα τὴν γαθένην. ὅταν οὖν εὕρωμεν οἳ δ' ἀσπληδόνα ναῖον, πλεονασμὸς ποιητικός ἐστι τοῦ α. Ἡρωδιανὸς περὶ παθῶν.

Ἀσπουδεί. ἄνευ κακοπαθείας, καὶ χωρὶς πόνου.

Ἆσσον, τὸ ἐγγὺς καὶ πλησίον. εἴρηται παρὰ τὸ ἐγγύς. συγκριτικὸς τύπος, ἐγγύτερος, ἐγγίων ἔασσον. καὶ τὸ οὐδέτερον ἔασσον καὶ ἆσσον. ὡς μέγας, μεγάτερος μεγίων, μέασσον, καὶ μᾶσσον. Ἢ ἐ τὸ σοῦ τὸν οἴομαι, ἢ ἐπὶ μᾶσσον. ἀντὶ τοῦ μακρότερον. οὕτως ἔασσον, ἆσσον. οὕτως εὗρον ἐν σχολίοις τοῦ ἐκθέντος Ἀπολλωνίου. ἢ παρὰ τὸ ἄπτω καὶ προσπελάζω. καὶ αἰολικόν, ἄσσω, ἆσσον. νίπτω, νίσσω.

Ἄσσ' ἐθέλησθα. φησὶν Ἀρίσταρχος, μία σημαίνει τὴν λέξιν. τινά, ἅτινα. ὅσσα. καὶ ἀεὶ ψιλοῦται. δασύνεται δὲ ὅτε δηλοῖ τὸ ἅτινα. καὶ ἔστι κατὰ Ἡρωδιανόν, δύο μέρη λόγου. τὸ α, ἄρθρον καὶ τὸ σα, ὅ ἐστι μεγαρικὸν δηλοῦν τὸ τινά. καὶ ἡ παραλήγουσα φησὶ δασύνεται.

Ἀσσυρία. ἡ Βαβυλωνία. τὸ μὲν πρῶτον ἐκαλεῖτο Εὐφρᾶτις, ὕστερον δὲ Χαλδαία. τὸ τελευταῖον δέ, ἀπὸ Ἀσσούρου τοῦ Σύσου Ἀσσυρία, ὡς Ξενοκράτης ἐν πρώτῳ χρονικῶν. Αὐτίκα δ' Ἀσσυρίης ἐπέβαν χθονός. ἔνθα Σινώπην θυγατέρα Ἀσωποῦ. ἢ πλησίον τῆς Σινώπης γῆ, ἕως Ἀπαμείας καὶ ἔτι κάτω. ἢ κειμένη πρὸς τὴν θάλασσαν τὴν Ποντικὴν τὴν φερομένην αὐτόπερ ὅθεν καὶ ἰνδίαν καλεῖται πᾶσα Συρία. διὰ τὸ συρῆναι αὐτὴν ὑπὸ τοῦ κατακλυσμοῦ μετρίου γενομένου. Ἀσσυρία δέ, ἡ ἐγγὺς τῆς Συρείσης γῆς οὖσα. ἢ τις ἐστὶν ἡ Σινώπη, παρὰ τὸ μὴ σύρεσθαι. Ἀσσύριοι, τὸ ἔθνος. Καλλίμαχος. Ἡ ἀπ' Ἀσσυρίων ἡ μέδα πὴ στρατιή. καὶ ἥμισυ μὲν Πέρσαι, ἥμισυ δ' Ἀσσύριοι. εἴρηται παρὰ τὸν Ἀσσάρακον τὸν ἔθνους ἐπικρατήσαντα. ἐκβολῇ τοῦ κ, Ἄσσαρος. καὶ τροπῇ, Ἀσσυρος. καὶ παραγωγῇ, Ἀσσύριος. ὡς μάθω, μῦθος. Ἀσσυρίους τοὺς ἐν τῷ Πόντῳ. παρὰ τὸ μηκέτι σύρους εἶναι. ἢ νῦν ἡ Ἀσσύριος.

Ἆσσον. τὰ πρὸ δύο τῶν αὐτῶν βραχέα ὄντα. σεσημείωται τοῦ μᾶλλον, καὶ θᾶσσον. εἰσὶ δὲ καὶ ἕτερα σεσημειωμένα, ἅπερ εὐδαιμονῶν παραθήσειν. ὡς τὸ ῥᾶσσον τὸ εὐχερές. νάσσων, ὅπερ κύριον. καὶ ἐλάσσων.

Ἀσταχύς. ὁ στάχυς ἥτις ἐστὶν ὁ τὸν σῖτον συνέχων. ἢ στῶ, στήσω, στήκω, στάχυς, καὶ ἀστάχυς. ἢ παρὰ τὸ ἐν τάξει τὸν σῖτον στεῖχειν. προπαροξύνεται. πᾶν γὰρ ὄνομα εἰς υς λῆγον ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται.

Ἀστάρτη, ἡ θεός. ὄνομα εἰδώλου ἐστί. λέγεται δὲ ἀπὸ μεταφορᾶς τοῦ ἄστρου. ἄστρον γὰρ ἐν τῷ οὐρανῷ ἀνάπλασμα. ἀφ' οὗ τὸ εἶδος καλεῖται ἐξ ὁμωνύμου ἄστρου. λοιπὸν παρὰ τὸ ἄστρον, ἀστράτη, καὶ ἐν ὑπερβιβασμῷ, ἀστάρτη. ἢ παρὰ τὸ ἀριστερά. καὶ συγκοπῇ, ἀστράτη. ἔφορος γὰρ τῶν ἄστρων ἡ θεός.

Ἀστεμφής. Ἀλλ' ἀστεμφὲς ἔχεσκεν. καὶ ἀστεμφέως, ἀμετακινήτως. ἰσχυρῶς. παρὰ τὸ στέμβειν τὸ κινεῖν σείειν. ἀστεμβὴς οὖν ὁ ἀκίνητος, καὶ ἀστεμφής. ἢ παρὰ τὸ στρέφω στρεφής, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀστρεφής. καὶ ἐν ὑπερβιβασμῷ, ἀστερφής. καὶ ἐλλείψει τοῦ ρ, καὶ πλεονασμῷ τοῦ μ. ἢ μεταθέσει τοῦ ρ εἰς μ, γίνεται ἀστεμφής. καὶ ἀστεμφές, τὸ ἀμετακίνητον ἢ βέβαιον. κατὰ ἀπόφασιν τοῦ στεμβάξαι, ὅ ἐστιν ὑβρίσαι. λυκόφρων δέ, ἀντὶ τοῦ πολυστένακτα. μεμπτά. Αἰσχύλος ἀστέμβακτα τιμωρουμένη. βοῶσα δ' οὐ κλύτα ὃν δεσπότην πόσιν.

Ἀστεροπή, ἡ ἀστραπή. παρὰ τὸ στερίσκειν τοὺς ὦπας τοῦ ὁρᾶν, διὰ τῆς ἀντιλαμπούσης λαμπηδόνος. ἢ παρὰ τὸ ὄπτω, ὀπή. καὶ μετὰ τῆς ἀστέρος γενικῆς, ἀστεροπτή. καὶ ἀποβολῇ τοῦ τ, ἀστεροπή. καὶ τὸ στεροπὴ ὁμοίως. καὶ στεροπηγερέτης, ὁ ἀστραπτικός.

Ἀστεροπητής. ἀστραπτικός. ἀστραπὰς ποιῶν.

Ἄστειος, ὄνομα. ἐκ τοῦ ἄστυ. σημαίνει τρία. λέγεται κυρίως ὁ ἐν ἄστυ διατρίβων. καὶ ὁ διὰ ἦθος χρηστὸν ἐπαινούμενος, ὡς ὁ Μωυσῆς. ὥσπερ τὸ παιδίον ἀστεῖον τῷ θεῷ. λέγεται καὶ ὁ γελωτοποιός.

Ἀστήρ. ἵστημι, στήσω, στήρ, καὶ ἀστήρ. ὁ μὴ ἱστάμενος παρὰ τὸ ἄστατον ἔχειν δρόμον. κυρίως ἐπὶ τῶν πλανητῶν λέγεται ὁ μὴ στάσιν ἔχων, ἀστατήρ, καὶ ἀστήρ. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἀπλανῶν. ζητεῖται διατί ὥσπερ γίνεται κατὰ συγκοπὴν γαστρός, μητρός, οὐ γίνεται ἀπὸ τοῦ ἀστέρος ἄστρος. ὥς μὴ ἔχει μίμημά τι ἢ ἀστέρος γενικῆς οὐ συγκόπτεται. τὸ γὰρ ἴστρος, βαρυτόνον ἐστίν. ἢ δὲ εἴποι ὅτι καὶ ἡ γαστρὸς γενικὴ οὐκ ἔχει εὐθεῖαν διὰ τὸ προσοξυτόνου ἵνα μιμήσηται ἐστὶν εἰπεῖν, ὅτι τὸ γαστὴρ παραλόγως ὀξυτονούμενον τῶν ἄλλων ὑπὲρ δύο συλλαβὰς ὄντων βαρυτόνων. ἐπειδὴ οὖν παραλόγως ὀξύνεται τὸ γαστήρ, τούτου χάριν κατὰ τῆς γενικῆς παραλόγως ἀνεδέξατο τὴν συγκοπήν. διατί δὲ ὥσπερ γίνεται ἄνδρα καὶ θυγατρα, οὐ γίνεται καὶ μητρα καὶ πατρα. ἵνα μὴ συνεμπέσῃ τοῖς μήτρα καὶ πάτρα, ὃ σημαίνει τὴν πατρίδα. Χοιροβοσκός.

Ἄστηνος, ὁ δυστυχής. καὶ πένης. παρὰ τὸ στάσιν μὴ ἔχειν, μὴ τε οἴκησιν. σύνεστι δὲ τοῦ τὸ πένητι.

Ἄστιβητος, ἀπάτητος. ἀδιάβατος. ἀπὸ τοῦ στείβω, ὁ μέλλων δεύτερος, στιβῶ. καὶ μετάγεται εἰς ἐνεστῶτα. καὶ γίνεται, στιβῶ, στιβήσω, ἐστίβηκα. ἐστίβημαι, ἐστίβηται, στιβητός, καὶ ἀστίβητος. μετὰ τοῦ στερητικοῦ α. τὸ δὲ στίβω, παρὰ τὸ στῶ.

Ἄστικτον. οὕτως οἱ Ἀττικοὶ ἐκάλουν τὸ ἐλεύθερον χωρίον, καὶ μὴ ὑποκείμενον χρήστῃ. εἴρηται δὲ ὅτι τοῖς ὑποκειμένοις χρέεσι χωρίοις, εἰώθασιν ἐγκαταπηγνύειν στήλην, ἣν ἐκάλουν ὅρον. ἐν ᾗ ἐνεχάρακτο τὸ χρέος, καὶ ὁ χρήστης. ἵνα μὴ πλανηθεὶς ἕτερος ὡς ἐπὶ καθαρῷ αὐτῷ δανείσῃ. τὸν δὲ ἐλεύθερον, ἄστικτον ἐκάλουν.

Ἄστρον. παρὰ τὸ αἴθω, τὸ καίω, αἴσω, γίνεται αἶστρον. καὶ ἀποβολῇ τοῦ ι, ἄστρον καὶ ἀστήρ. ἢ παρὰ τὸ στῶ, στήσω, στήρ.

Ἀστρίας. Καλλίμαχος, Δέκα δ' ἀστρίας αἰνυτὸ λάβρον. εἴρηται ὑποκοριστικῶς. ὥσπερ γὰρ ὁ Παρθένιος πόρθις, καὶ ὁ Χαλδαῖος, χάλδις, καὶ ὁ λάσαυρος, λάστρις. καὶ Ἀμφιάραος, ἄμφις, οὕτω καὶ ὁ ἀστράγαλος, ἄστρις.

Ἀστροβολίως, ἐν βρέχως. πλάτων. οἱ δέ, ταχέως.

Ἀστροβοληθῆναι. τό, νόσῳ τινὶ κατασχεθῆναι ἐπὶ τῶν παιδίων. κυρίως δὲ τὰ τῶν δένδρων καταβληθέντα ἐπὶ τὴν ἐπιτολὴν τοῦ κυνός.

Ἀσθαίνω. δυσπαθῶ. ἀδυνατῶ. κακοπαθῶ. μοχθῶ. χαλεπαίνω, ταλαιπωρῶ.

Ἀστίγγας, τὰς ὑποφυλλίδας τῶν βοτρύων. οἱ δέ, ἀκτῖνος αὐγάς. ἔνιοι, ἀστρίγγας. καὶ ἀστρίγας ἄλλοι.

Ἀστράγαλος σημαίνει τρία. ἐπὶ μὲν τοῦ ποδός, παρὰ τὸ ἀστραβῆ καὶ ὀρθὴν φυλάττειν τὴν βάσιν, ἢ ὁ μὴ πρὸς τὸ μένειν καὶ ἑστάναι γεγονώς, ἀλλὰ πρὸς τὸ κινεῖσθαι. ἀστράγαλός τις ὤν. καὶ πλεονασμῷ τοῦ ρ, ἀστράγαλος. Νείατον ἀστράγαλον. ἐπὶ δὲ τῶν νωτιαίων ὀστέων, παρὰ τὸ ἐμπεπάρθαι καὶ μὴ στρέφεσθαι, μηδὲ κινεῖσθαι κατὰ στέρησιν τοῦ ἄλφα. οἷον, Ἐκ δέ μοι αὐχὴν ἀστραγάλων ἐάγη. ἐπὶ δὲ τῆς παιδιᾶς, οἷον,

Ἀμφ' ἀστραγάλοισι χολωθείς.

Ἀστραβής, ὁ ἄτρεπτος. Πίνδαρος. Ἀμαχον ἀστραβῆ κίονα. παρὰ τὸ στρέφω, στρεφής, καὶ ἀστραβὴς κατὰ τροπήν.

Ἀστράβη. ἐπὶ σκεύους εἴρηται ξυλίνου. ἤγουν τὸ ἐπὶ τῶν ἵππων τιθέμενον ξύλον. ὃ κρατοῦσιν οἱ καθεζόμενοι. οἱονεὶ ἀστραφὴ τις οὖσα. παρὰ τὸ μὴ στρέφεσθαι καὶ πίπτειν τοὺς καθεζομένους. λέγουσι δὲ αὐτὸ τὸ νωτοφόρον ὑποζύγιον. οἱ δέ, τὴν σαμαντικὴν ἡμίονον, ἀστράβην λέγουσιν.

Ἀστραβαλίζειν. ὁμαλίζειν, ἀπευθύνειν.

Ἀστραπή, παρὰ τὸ ἀστάτως καὶ ῥᾶον παύεσθαι. ἢ παρὰ τὸ ἀστέρος ὄπην ἔχειν, ἤγουν διὰ πυρὸς ὡς ἀστήρ. ἢ ἐκ τοῦ ἀστεροπή. ἐξ αὐτοῦ κατὰ παραγωγήν, ἀστεράπτω, καὶ συγκοπῇ, ἀστράπτω. ἢ παρὰ τὸ στερῶς ἅπτεσθαι οὐδ' ἂν ἐφίκοιτο.

Ἄστυ, ἡ πόλις. Φιλόχορος ἐν τῷ πρώτῳ τῆς Ἀτθίδος φησίν. Ἄστυ δὲ προσηγόρευσαν τὴν πόλιν, διὰ τὸ πρότερον νομάδας καὶ σποράδην ζῶντας, τότε συνελθεῖν καὶ στῆναι ἐκ τῆς πλάνης ἐπὶ τὰς κοινὰς οἰκήσεις, ὅθεν οὐ μετανέστησαν. οὕτως ὠρίων περὶ ἐθνικῶν. ἢ παρὰ τὸ ἄνω ἵστασθαι. οἱ γὰρ ἀρχαῖοι ἐφ' ὑψηλῶν τόπων τὰς πόλεις ᾠκοδόμουν.

Ἀστυβοώτην, ἐπιθετικῶς τὸν κήρυκα. εἰς τὸ ω τῆς Ἰλιάδος, παρὰ τὸ ἐν ἄστει βοᾶν, βοῶ, βοώτης.

Ἀστυάναξ. ὁ υἱὸς τοῦ Ἕκτορος. οὐκ ἔστι παρὰ τὸ ἀνάσσω τὸ βασιλεύω, ἀλλὰ παρὰ τὸ ἀνακῶς ἔχειν τοῦ ἄστεος τὸν Ἕκτορα. καὶ ἀνακὰς ἐντεῦθεν τοὺς Διοσκούρους Ἀττικοί, ὅτι ἐπιμελῶς αὐτοῖς ἐχρήσαντο διὰ τὴν Ἑλένην τὰς Ἀφνίδας ἐκπορθοῦντες. οὕτως Ἀσκληπιάδης ὁ Μυρλεανός. Ἰλιάδος ζ. Τόν ῥ' Ἕκτωρ μὲν Σκαμάνδριον καλέεσκεν, αὐτὰρ οἱ ἄλλοι Ἀστυάνακτ'· οἶος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ.

Ἀστυπαλαία. μοῖρα τῆς Σάμου οὕτω καλουμένη. ὅτι Πατροκλῆς καὶ Τεμβρίων ἀποικίαν στείλαντες εἰς Σάμον πρὸς τοὺς ἐνοικοῦντας τὰς Κᾶρας κοινωνίαν θέμενοι, ᾤκησαν παρὰ τὸν Χήσιον ποταμόν, καὶ εἰς δύο φυλὰς τὴν πόλιν διένειμαν. ὧν τὴν μέν, Χησίαν ὠνόμασαν ἀπὸ τοῦ Χησίου ποταμοῦ παρακειμένου τῇ πόλει. τὴν δέ, Ἀστυπαλαίαν ἀπὸ τοῦ παλαιοῦ ἐκεῖ στάντος ἄστεος. οὕτω Θεμιστάγορας ἐν τῇ χρυσῇ βίβλῳ.

Ἀστυρόν, τὸ ἄστυ. Καλλίμαχος. Ἡμὲν ἀερτάζουσα μέγα τρύφος Ὑψιζώρου, Ἀστυρὸν εἰς ἀνέβαινεν. εἴρηται παρὰ τὸ ἄστυ ὑποκοριστικῶς, ἀστυρόν. οὕτω Θέων ἐν ὑπομνήματι τῶν τοῦ β Αἰτίου.

Ἀστυπορεῖ. σιλλοφωνεῖ. τυροπωλεῖ.

Ἀστυφέλικτον, ἀκίνητον. ἄσειστον. ἀπὸ τοῦ στυφελίζω.

Ἀσύφηλος. Ὡς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν. ἄτιμον, ἢ ἀπαίδευτον. ἀδόκιμον, καὶ ἀνόητον. παρὰ τὸ ἄσω τὸ βλάπτω καὶ τὸ φηλῶσαι, ὃ σημαίνει τὸ δολῶσαι καὶ ἀπατῆσαι. ὅθεν καὶ φῆλος ὁ ἀπατηλός. καὶ φήληκες τὰ σῦκα. τὰ ὡραῖα μὲν ὄντα, τῇ δὲ ἰδέᾳ, πέπειρα. καὶ φηληκίζω, ἀπὸ τοῦ φήληξ φήληκος. τοῦτο παρὰ τὸ σφάλλω, σφάληξ, καὶ σφήληξ. ἢ παρὰ τὸ φῶ τὸ ἀπατῶ. καὶ ὥσπερ παρὰ τὸ σώσω, σωσικράτης, σωσίβιος. ἀρκέσω, ἀρκεσίλαος, οὕτω καὶ παρὰ τὸ ἄσω καὶ φῆλος, γίνεται ἀσίφηλος, καὶ ἀσύφηλος. ὡς δίφος, δύφος. ἢ μώνυχος, μώνιχος. ἢ παρὰ τὸ σοφός, γίνεται σόφηλος. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀσόφηλος. καὶ μεταβολῇ τοῦ ο εἰς υ. ὡς ἀγόρις, ἄγυρις. ἀσύφηλος.

Ἀσφάραγος, ὁ λαιμός. ὁ λάρυγξ. Οὐδ᾽ ἄρα πω ἀσφάραγον μελίη τάμε ὄφρα τί μιν προτιείποι ἀμειβόμενος ἐπέεσσι. καὶ πάλιν, ἐρισφάραγος πόσις Ἥρας. παρὰ τὸ σφαραγεῖν, ὅ ἐστιν ἠχεῖν. δι᾽ αὐτοῦ γὰρ ἡ φωνὴ φέρεται. ἢ παρὰ τὸ ἀσπαίρω ἀσπάραγος καὶ ἀσφάραγος. ἀλλ᾽ ἐπειδὴ κινεῖται ἐν τῷ καταπίνειν. ἢ παρὰ τὸ σπῶ, σπάραγος καὶ ἀσφάραγος. τείνεται γὰρ ἐν τῷ λέγειν. λέγεται δὲ καὶ τὸ ἀκμαιότατον ὑποφυόμενον βλάστημα. ἔστι δέ τι καὶ βοτάνης εἶδος ἀσφάραγος πρὸς τὰς καθάρσεις ἐπιτήδειον. οὕτω μὲν οἱ ἀττικοί, διὰ τοῦ φ. οἱ δὲ λοιποὶ μὴ ἀκριβοῦντες, διὰ τοῦ π λέγουσι. καὶ ἁπλῶς τὰ τῶν λαχάνων ὁρμενα ἀσπαράγους καλοῦσιν. οὕτως εὗρον ἐν τῷ λεξικῷ τῷ ῥητορικῷ.

Ἀσφάλαξ. παρὰ τὸ σπῶ, γίνεται σπάλαξ. καὶ πλεονασμῷ τοῦ α, ἀσπάλαξ. καὶ μεταθέσει τοῦ π εἰς φ, ἀσφάλαξ. τὸ γὰρ ζῶον τοῦτο ἀποσπᾷ τὴν γῆν καὶ ποιεῖ βάθος, καὶ οὕτως εἰσέρχεται. καλεῖται ἀσφάλακος.

Ἀσφαλὴς, ἑδραῖος. ἀπὸ τοῦ σφάλλω.

Ἀσφοδελός, ἀσφόδελος λέγεται. καὶ ἀφαιρέσει τοῦ α, σφοδελός. βαρύνεται ὁ καρπός. ὀξύνεται ὁ τόπος ὁ περιέχων αὐτούς.

Ἀσχαδὲς, ἀκατάστατον. αἰσχύλος.

Ἄσχετος. οὐ γέγονε παρὰ τὸ σχέθω. ἔλεγε γὰρ ἂν ἀσχέθετος. ἀλλὰ παρὰ τὸ σχῆμι. ἀφ᾽ οὗ ἔσχηκα ὁ παρακείμενος. καὶ ἐσχέθην ὁ ἀόριστος. ὁ μέλλων, σχήσω. ἐξ οὗ καὶ σχέσις. καὶ ὥσπερ παρὰ τὸ τίθημι, γίνεται θετὸς, καὶ ἄθετος. ὁ ἄνους, καὶ ἀσύνετος καὶ ἀβέβαιος, καὶ μηδέποτε ἐν ταυτῷ μένειν προκεκριμένος. καὶ εὔθετος, καὶ ἵημι, ἑτὸς, καὶ ἄφετος, καὶ δίδωμι, δοτὸς, καὶ ἥρόδοτος. καὶ δέδεμαι, δετὸς, οὕτω σχῆμι, σχετὸς, καὶ ἄσχετος. ἢ παρὰ τὸ ἔχω τὸ κρατῶ. ἀφαιρέσει τοῦ ε καὶ πλεονασμῷ τοῦ σ, σχῶ, σχετὸς, ὁ κρατητὸς. καὶ ἄσχετος, ὁ ἀκράτητος.

Ἀσχάλλων, ἀδημονῶν. λυπούμενος. χαλεπαίνων, ἀγανακτῶν. παρὰ τὸ ἄχω. οἷον, Νῦν δ᾽ ἄχομαι, τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων. γίνεται ἀχάλλω. ὥσπερ ἄγω, ἀγάλλω. καὶ πλεονασμῷ τοῦ σ, ἀσχάλλω. ὁ μέλλων, ἀσχαλῶ. ἐξ αὐτοῦ ῥῆμα περισπώμενον δευτέρας συζυγίας, ἀσχαλῶ. τὸ τρίτον, ἀσχαλᾷ, ἀσχαλᾷ. καὶ πλεονασμῷ τοῦ α ποιητικῶς, ἀσχαλάᾳ, ὡς τὸ βοάᾳ. καὶ ἔστι τὸ μὲν πρὸ τέλους α, βραχύ. τὸ δὲ ἐπὶ τέλους, μακρόν. πᾶσα γὰρ συλλαβὴ πλεονάζουσα, βραχυτέρα θέλει εἶναι τῆς ἐν ἤ πλεονάζει λέξεως. ἢ παρὰ τὸ σχῶ. σχάλλω, καὶ ἀσχάλλω, ὃ ἐπέχειν οὐ δυνάμεθα.

Ἄσωμος, ἢ ἀπὸ τοῦ ἀσώματος κατὰ συγκοπὴν, ἢ ἀπὸ τοῦ σῶμα, ἄσωμος.

Ἄσωτος, παρὰ τὸ σώζω, σώσω, σέσωκα, σέσωσμαι, σέσωσται, σωτὸς, καὶ ἄσωτος. ὡς γνωστὸς, γνωτός.

Ἀσωπὸς, ποταμὸς βοιωτίας, πλησίον θηβῶν. παρὰ τὸ ἄσιν τὴν ῥύπον, καὶ τὸ ὤψ, ὠπός.

ΤΟ ΑΛΦΑ ΜΕΤΑ ΤΟΥ ΤΑΥ.

Ἀταλός, παρὰ τὸ ἁπαλός. κατὰ τροπὴν, ἀταλός, ὁ νήπιος. ἢ παρὰ τὸ τλῆναι, ταλός, καὶ ἀταλός. ὁ μηδέπω δυνάμενος κακοπαθεῖν.

Ἀταλάφρονα, ἁπαλὸν φρόνημα ἔχοντα. τουτέστι νήπιον. ἀνόητον. ἢ μὴ δυνάμενον τλῆναι κακοπαθεῖν.

Ἀτάλλων, παρὰ τὸ τλῶ τὸ καρτερῶ καὶ ὑπομένω, γίνεται τλὰς. καὶ ἄτλας, ὁ μὴ δυνάμενος τλῆναι. ἐξ αὐτοῦ, ἀτάλλων, ὁ ἀπαθὴς, καὶ μὴ κακοπαθῶν.

Ἀτάλαντος. Ἀρηΐ ὁμοτάλαντος. οἱονεὶ ἰσοτάλαντος. ἰσόζυγος. ἰσοσταθμος. τάλαντον γὰρ τὸν ζυγὸν φασί. καὶ ταλαντεύομεν, ἀντὶ τοῦ ζυγοστατεῖν.

Ἀταλάντη. ὠνόμασται οὕτως ἡ τριήρης. ἀπὸ ἀταλάντης τῆς ἡρωΐνης ἥτις ἦν ὠκίστη δραμεῖν.

Ἀτάρβητος. ἄφοβος. παρὰ τὸ τάρβος. ἢ ἀθαρβός τις ἐστιν. ὁ μὴ θαρρῶν βοὴν ὑπομεῖναι.

Ἀτάρμυκτον, τὸ ἄφοβον. κυρίως, τὸ μὴ μῦον. εὐφορίων. Ὅ τι ἀτάρμυκτον τέ που ὄμμα. παρὰ τὸ ἄτερ, καὶ τὸ μύειν. τὸ ἀτενές. ἢ παρὰ τὸ τάρβος, ἀταρβύκτον, καὶ ἀτάρμυκτον. καὶ γὰρ ταρμύσσειν, τὸ φοβεῖν, ὡς λυκόφρων. σημαίνει καὶ τὸ θρασύν.

Ἀταρτηρός, παρὰ τὸ τείρω τὸ καταπονῶ. συγκοπῇ, τρῶ, τρήσω, τρηρός. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀτρηρός. καὶ πλεονασμῷ τοῦ τ καὶ α, ἀταρτηρός. ἢ παρὰ τὴν ἄτην τὴν βλάβην, ἀτηρός, καὶ κατὰ ἀναδιπλασιασμόν, ἀταρτηρός. Ἀταρτηροῖς ἐπέεσσι. σκληροῖς, καὶ χαλεποῖς.

Ἀταίω, τὸ θαυμάζω, καὶ ἐκπλήττομαι. Ἀταιομένου κακὰ ἔργα.

Ἀταρπὸς, ἡ εὐθεῖα ὁδός. παρὰ τὸ τρέπω, τρέψω. ὁ δεύτερος ἀόριστος, ἔτραπον, γίνεται ῥηματικὸν ὄνομα τραπός. μετὰ τοῦ στερητικοῦ α, καὶ κατὰ μετάθεσιν, ἀταρπός. ἐξῆς ὁδοῦ, οὐκ ἔστι τραπῆναι καὶ ἐκπεσεῖν. ἢ ἡ πολύτροπος. εἰς πολλὰ γὰρ σχίζεται ἡ ὁδός. καὶ ἀταρπητὸς, ἡ αὐτή. ἢ ἀτραπής. παρὰ τὸ τρέπω, τραπός. καὶ κατ᾽ ἐπίτασιν τοῦ α, ἀτραπός, ἡ πολλὰς τοῖς ἄλλοις τροπὰς παρέχουσα.

Ἀτρατὸς, ὁ οἶνος. τραπεῖν γάρ ἐστι τὸ πατῆσαι. ὅθεν καὶ τὸ πρὸ τοῦ πατηθῆναι γινόμενον ἀπόσταγμα τῆς σταφυλῆς, ἄτρατος οἶνος, καὶ ἀπότροπος λέγεται. οὕτως ὦρος.

Ἀτάσθαλος, ὁ ἄδικος. ὅμηρος. Ὕβρισαν δ᾽ αὐτὴν καὶ ἀτάσθαλοι ἄνδρες ἔχουσι. παρὰ τὸ ἀτῶ, τὸ βλάπτω. ὡς αἴθω, αἴθαλος. καὶ δαίω, δαίδαλος, οὕτω καὶ παρὰ τὸ ἀτῶ, ἀτάζω, ἀτάζαλος. καὶ τροπῇ τοῦ ζ εἰς θ, ἀτάσθαλος. ὡς μαζός, μαθός. ἢ παρὰ τὸ ἐν ἄταις θάλλειν, ἤγουν ἐν βλάβαις καὶ ἀδικίαις.

Ἀτασθαλία, ἁμαρτία. ἀδικία. κυρίως μὲν ἡ παρὰ τὴν θάλλειν βλάβη. ὡς παροινία, ἡ παρὰ τὸν οἶνον ἀταξία. ἢ παρὰ τὸ ἐν ἄτῃ θάλλειν, καὶ αὐξάνεσθαι. ὅμηρος. Κεῖνοι δὲ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.

Ἀταλαίπωρον, ῥάθυμον. ὀλίγωρον. ἀριστοφάνης δαναΐσιν. Οὕτως ἀταλαίπωρος ἡ ποίησις διάκειται. σημαίνει δὲ τὸ κακοπαθεῖν, καὶ ἐνεργεῖν. ταλαίπωρος, ἐπίπονος, ἄθλιος. εἴρηται δὲ ὡς διογενιανός, παρὰ τὸ τάλας, καὶ τὴν ὥραν, ταλάωρος, καὶ ταλαίπωρος. κυρίως δὲ λέγεται ὁ περὶ τὴν πόρον τλῶν, τουτέστι καρτερῶν. οἷον, ταλάπωρος. καὶ πλεονασμῷ τοῦ ι, ταλαίπωρος. οἱ γὰρ ἀρχαῖοι τοὺς νεφρικοὺς ταλαιπώρους ὠνόμαζον, τοὺς τλῶντας περὶ τὸν πόρον. ἢ παρὰ τὸ πῶρα, ὃ δηλοῖ τὸ πάθος.

Ἀτέμβω, στερῶ. παρὰ τὸ τέμω. ὁ περὶ σπῶ προτέλευταιον (?) τοῦ τέμνω. γίνεται ἀτεμῶ. καὶ ἐπενθέσει τοῦ β, ἀτεμβῶ. ἢ παρὰ τὸ ἄτῃ τὸ βλάπτω. ἀτεμβῶ τὸ βλάπτω στερῶν. οὕτως ὅμηρος ἐν ὀδυσσείᾳ. Οὐ γὰρ καλὸν ἀτέμβειν οὐδὲ δίκαιον ξείνους τηλεμάχου.

Ἀτέχνως, ἀπλάστως. ἀδόλως. τέχνη γὰρ ὁ δόλος. Ἀμφὶ δὲ δεσμοὶ τεχνήεντες ἔχυντο πολύφρονος ἡφαίστοιο. τεχνήεντες ἔχυντο. τουτέστι δολεροί. σημαίνει δὲ καὶ τὸ ἁπλῶς καθάπαξ. οἱ δὲ, ἐν ἴσῳ τῷ ὄντι καὶ τῇ ἀληθείᾳ. οἱ δὲ, τὸ παρὰ πᾶν καθόλου. Ἰστέον ὅτι περισπωμένως μὲν, ἀντὶ τοῦ σαφῶς, ἢ βεβαίως, ἢ ἀσφαλῶς, ἢ φανερῶς, ἀτεχνῶς. προπαροξυτόνως δὲ, ἀντὶ τοῦ ἀμελῶς, καὶ ἄνευ τέχνης. περισπωμένως, σημαίνει τὸ ἀληθῶς. ἐκ τοῦ ἀτεχνὴς, ὁ ἀπανούργευτος. προπαροξυτόνως, τὸ ἀμαθῶς. ἀπὸ τοῦ ἄτεχνος, ὁ ἀμαθής.

Ἄτερπνος, ὁ ἄγρυπνος παρὰ ῥιγίνοις. παρὰ τὸ ἄτερ καὶ τὸ ὕπνος, γίνεται ἀτέρυπνος. ὁ χωρὶς ὕπνου ὤν. καὶ συγκοπῇ τοῦ υ, ἄτερπνος.

Ἀτεράμων, ὁ σκληρός. ἀριστοφάνης. Ἀχαρνικοὶ σπλοὶ γέροντες ἀτεράμονες. παρὰ τὸ τείρω, τέραμος. ὡς πλέκω, πλόκαμος. πλεονασμῷ τοῦ ν, ἀτέραμνος. τὸ οὐδέτερον, ἀτέραμνον. ἀπαραίτητον. δεινόν. ἀνόρεστον. πολύ. παρὰ τὸ τέρεν τὸ ἁπαλόν. τεράμων ὁ ἁπαλός. καὶ ἀτεράμων, ὁ μὴ ὢν ἁπαλός, ἀλλὰ σκληρὸς καὶ ἀπηνὴς ἄνθρωπος. ἀτέραμνον οὖν τὸ μὴ τέρεν κατὰ στέρησιν, ἀλλὰ σκληρόν. ἢ τὸ εὐχερῶς τειρόμενον, ὅ ἐστι βλαπτόμενον. τέραμνον γὰρ τὸ ἁπαλόν. λέγεται δὲ ἀτέραμνα καὶ τὰ μὴ ἑψόμενα ὄσπρια. ἃ καὶ κερασβόλα προσαγορεύεται.

Ἀτενίζω, τὸ πάνυ βλέπω, καὶ ἐκτείνω, καὶ λίαν ἐπεστραμμένως ὁρῶ. ἀπὸ τοῦ τείνω, ὁ μέλλων, τενῶ. κατὰ παραγωγὴν, τενίζω. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀτενίζω.

Ἀτειρὴς, παρὰ τὸ τείρω τὸ καταπονῶ, τερῶ. ἀτερὴς, καὶ ἀτειρὴς, ὁ ἀκαταπόνητος. ἢ παρὰ τὸ τέρεν, γίνεται ἀτερὴς, καὶ ἀτειρὴς, ὁ μὴ ὢν ἁπαλὸς, ἀλλὰ σκληρός. οἷον,

Ἀτειρέα χαλκόν, φύσει δυσθρωτον. λαμπρόν, παρὰ τὸ αἰθήρ.

Ἀτέκμαρτον, ἀτέλεστον, ἀσυλλόγιστον, ἄσημον. παρὰ τὸ ἄτερ, καὶ τὸ τέκμαρ. τὸ ἄνευ καὶ χωρὶς τέλους.

Ἀτέμβιος, μεμψίμοιρος.

Ἄτεγκτος, ἄπιστος καὶ ἀναίσθητος. ὁ μήτε παραινέσει μήτε τὴν πήρωσιν καὶ τὸ τοῦ ἤθους σκληρὸν τεγγόμενος, καὶ μαλαττόμενος. κυρίως δὲ ὁ ἄβροχος, ἐξ οὗ ὁ μὴ δακρύων καὶ ὁ μὴ ἱδρῶν, ἄτεγκτος.

Ἄτη. παρὰ τὸ τῶ, ὃ δηλοῖ τὸ λαμβάνω. ὅθεν, Τῆ κύκλωψ πίε οἶνον. ἐξ οὗ ῥηματικὸν ὄνομα, τη. καὶ μετὰ τοῦ στερητικοῦ α, ἄτη. ἣν οὐδεὶς θέλει λαβεῖν. τὴν γὰρ βλάβην, πάντες ἐκφεύγομεν. ἢ παρὰ τὸ ἄω, τὸ βλάπτω. ὁ μέλλων, ἄσω. ἐξ αὐτοῦ ἄση, ἡ βλάπτουσα τὴν ψυχήν. καὶ τροπῇ τοῦ σ εἰς τ. τὸ α, μακρόν. οἱ μὲν, ὅτι ἐστιν ἀάτη, καὶ κατὰ κρᾶσιν, γίνεται ἄτη. οὐκ ἔστι δέ. πλεονασμὸς γάρ ἐστι τὸ α. ἄλλως. ἐστὶν ἀετὸς, ὁ μάταιος καὶ ψευδής. γέγονεν ἐκ τοῦ ἔπος. καὶ τὸ θηλυκόν, ἀέτη. καὶ κράσει τοῦ αε εἰς α μακρόν, ἄτη. σημαίνει δὲ δύο. ἐπὶ μὲν τῆς σωματοειδοῦς θεᾶς, θυγάτηρ ἄτη. ἢ πάντας ἀᾶται. ἐπὶ δὲ τῆς βλάβης, Ζεύς μέγας κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ.

Ἀτημέλητα, ἀπρονόητα, ἠμελημένα, ἀφρόντιστα. ἀπὸ τοῦ τῆ, ὃ σημαίνει τὸ λάβε. ἀτημελήτου, ἀτημέλητος. ὁ γὰρ τις μὴ εἴληφεν, οὐδὲ φροντίζει.

Ἀτης, ὁ διόνυσος ἐπιθετικῶς. ἀπὸ τῆς γινομένης ἐκ τῶν τιτάνων εἰς αὐτὸν ἄτης καὶ φθορᾶς.

Ἀτίζω. Ὁ δὲ πρῶτον μὲν ἀτίζων ἔρχεται. ἀτιμάζων. ὑπερορῶν. τίω τὸ τιμῶ, ἀτίω, καὶ πλεονασμῷ τοῦ ζ, ἀτίζω. ἢ ἀπὸ τοῦ ἀτιμάζω, συγκοπῇ. εἰ μὲν σημαίνει τὸ ὑπερορῶ, γίνεται παρὰ τὸ τίω. εἰ δὲ τὸ βλάπτω, ἀπὸ τοῦ ἄτη, ἀτίζω.

Ἀτιμάζω, παρὰ τὸ ἀτιμῶ, ἀτιμάζω, τὸ ὑβρίζω. ὡς βιῶ βιάζω. τοῦτο παρὰ τὸ ἄτιμος. τοῦτο παρὰ τὸ τιμή. τοῦτο παρὰ τὸ τίω. τὸ τι, μακρόν. ἔστι δὲ τὸ ἀτιμῶ καὶ δευτέρας συζυγίας, καὶ τρίτης. ἀτιμοῦται λέγεται ὁ κατὰ τὸν νόμον ὁλοσχερῶς κατακρίνεσθαι. ἀτιμοῦται μέν τις ὑπὸ τοῦ νόμου ὁλοσχερῆ ἀτιμίαν. ἀτιμάζεται δέ τις ὑβριζόμενος ἔν τινι πράγματι. ἐξ οὗ τὸ, ἐπὶ τοῦ ξύλου ἠτίμωτος. τουτέστι κατακεκριμμένος. καὶ τὸ, Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε. πάλιν τὸ ἀτιμῶ, ἡ τρίτη συζυγία, διαφέρει τῆς δευτέρας. ἡ μὲν γὰρ τρίτη συζυγία παρασύνθετός ἐστιν, ἐκ τοῦ ἄτιμος. ἡ δὲ δευτέρα σύνθετος, ἐκ τοῦ τιμή. ἐξ οὗ καὶ τὸ, ἠτίμησεν, ἀτίμως ὕβρισεν.

Ἀτιτάλλειν, τὸ τιθηνεῖν καὶ ἐκτρέφειν ἐκ νηπίων. ἐκ τοῦ ἀταλός, ἀτάλλειν. κατὰ ἀναδιπλασιασμόν, ἀτιτάλλειν. Τοὺς μὲν τέσσαρας αὐτὸς ἔχων ἀτίταλλε συφορβός (?).

Ἄτλας, ὄρος λιβύης. πολύϊδος δὲ ὁ διθυραμβοποιὸς παρίστησιν αὐτὸν ποιμένα γεγονέναι. καὶ φησὶν ὅτι

παραγινόμενος ὁ περσεὺς ἐπερωτώμενός τε ὑπ' αὐτοῦ τίς εἴη, καὶ πόθεν ἀφίκοιτο. ἐπειδὴ λέγων οὐκ ἔπειθεν, ἀνάγκῃ ἔδειξεν αὐτῷ τὸ τῆς γοργόνος πρόσωπον καὶ ἀπελίθωσεν αὐτόν. καὶ ἀπ' αὐτοῦ τὸ ὄρος, ἄτλας ἐκλήθη. οὕτω λυκόφρονος ἐν ὑπομνήματι. σημαίνει δὲ καὶ τὸν θεόν. οἷον, Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει. τοῦ α κατ' ἐπίτασιν. ἵν' ᾖ ὁ μὴ τλῶν καὶ ἀνάγκῃ ποιῶν, ἀλλ' ἑκουσίως φέρων. καὶ οὐ κατὰ κόλασιν. ἐπεὶ γελοῖον ἦν τοὺς θεοὺς μὴ πιστεύειν ἑαυτοῖς καὶ τὸν κόσμον φοβουμένους.

Ἀτμήν, ὁ δοῦλος, ἀτμένος. καλεῖται παρὰ τὸ τιμὴ ἀτιμήν, καὶ κατὰ συγκοπὴν, ἀτμήν. οἷον, ὁ ἄτιμος. ὁ πολύτμητός τις ὢν ὑπὸ τῶν μαστίγων. τοῦ α ἐπιτατικοῦ.

Ἀτμένες, οἱ δοῦλοι. οἱ ἀτεμμένους ὄντες διὰ κακοπάθειαν. ἀτμεύω, γίνεται παρὰ τὸν ἀτμένα τὸν δοῦλον. ἀπὸ γοῦν τοῦ ἀτμήν, ἀτμενῶ. καὶ ἀτμεύω τὸ δουλεύω. ἡ θηλυκὴ μετοχή, ἀτμεύουσα.

Ἀτμός, ἡ ἀναπνοὴ τοῦ ὕδατος. παρὰ τὸ ἄω, τὸ πνέω. ὁ παθητικὸς παρακείμενος, ἦσμαι, ἀσμός, καὶ ἀτμός. ὡς τὸ ἀτμίς.

Ἄτμητος, ἀπὸ τοῦ τέμω, τομή. ὥσπερ δέμω, δομή, καὶ οἰκοδομή, καὶ νέμω, νομή. εἶτα, τομῶ. καὶ κράσει, τμῶ, τμήσω, τέτμημαι, τμητός, καὶ ἄτμητος. ἐκ τοῦ τομή, τομῶ, ὥσπερ τιμή, τιμῶ. φωνή, φωνῶ. σκηνή, σκηνῶ. ἐκ τοῦ τομῶ, γίνεται ῥηματικὸν ὄνομα, τομητός, καὶ κατὰ συγκοπὴν, τμητός, καὶ ἄτμητος. ὡς καμητός, ἀκάμητος. οὕτω φιλόξενος εἰς τὸ ῥηματικὸν αὐτοῦ.

Ἄτοπον, ἀντὶ τοῦ θαυμαστοῦ ἢ ἀλόγου τάττεται.

Ἆτος, ἔστιν ἄδω τὸ κορεννύω. ὁ μέλλων, ἄσω. ἐξ αὐτοῦ ὄνομα ἄος. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἄαος. καὶ κράσει, ἆος. ὁ ἀκόρεστος, καὶ ἀπλήρωτος. ἢ παρὰ τὸ ζητῶ, γίνεται ῥηματικὸν ὄνομα μετὰ τοῦ ἐπιτατικοῦ α, ἄτος. ὁ γὰρ ἀκόρεστος, πάντοτε αἰτεῖ. ἢ ἀπὸ τοῦ ἆσαι τὸ κορέσαι κατὰ ἀντίφρασιν. ὁ μὴ κεκορεσμένος. Καί νύ κεν ἔνθ' ἀπόλοιτο ἄρης ἆτος πολέμοιο.

Ἀτμίς, καπνός. ἀτμός. πνοή. ἔστιν ἀσμὶς ὁ σημαίνει τὸ δασὺ πνεῦμα. καὶ τροπῇ τοῦ σ, ἀτμίς. ὡς ἐφίημι, ἐφεσμή, καὶ ἐφετμή. οὕτω σημειοῦται ὁ τοῦ ἰλλουστρίου.

Ἄτρακτος, κυρίως γυναικεῖον ἐργαλεῖον. ἐφ' οὗ τὸ νῆμα περιειλεῖται. καταχρηστικῶς δὲ καὶ ἐπὶ βέλους. Τὸν γὰρ βαλόντ' ἄτρακτον οἶδε σοφοκλῆς. εἴρηται δὲ κατ' εὐφημισμὸν ἀτάρακτος ὤν. ἀεὶ γὰρ ταράσσεται. ἢ ὅτι ἀταράκτως τὸ νῆμα φέρει. ἀπὸ γοῦν τοῦ ταράσσω γίνεται. ἐπὶ δὲ τοῦ βέλους, ἀπὸ τῆς τοῦ ξύλου ὁμοιότητος εἴρηται μεταφορικῶς.

Ἀτρακτυλὶς, εἶδος ἀκάνθης. εἴρηται δὲ ὅτι αἱ τῶν ἀγροίκων γυναῖκες ἀπ' αὐτῆς τοὺς ἀτράκτους ἐποίουν.

Ἀτρέμας ἧσο, ἡσύχως καθέζου. ἰλιάδος β. ἀπὸ τοῦ τρέμω μετὰ τοῦ στερητικοῦ α, γίνεται ἀτρεμής. καὶ ῥῆμα ἀτρεμῶ, τὸ ἡσυχάζω. καὶ ἐξ αὐτοῦ ἐπίρρημα, ἀτρέμας. ἔστι δὲ καὶ εἰς α ἀτρέμα. ὥσπερ ἐκ τοῦ ἠρεμῶ, γίνεται ἠρέμας, καὶ ἠρέμα. οἷον, Ὃ φα μὲν αἰγίδα χερσὶν ἔχ' ἀτρέμα φοῖβος ἀπόλλων. ὡς σιγῶ σῖγα. καὶ αὐτῶ, αὖτα, οὕτως ἀτρεμῶ, ἀτρέμα. καὶ πλεονασμῷ τοῦ ς, ἀτρέμας. τουτέστι, χωρὶς τρόμου. ἡσύχως. ἠρέμα.

Ἀτρεκὲς αἷμα μέστυα βαλών. ἀληθὲς αἷμα ἐξέβαλον. καὶ ἀτρεκέως, ἐπίρρημα μεσότητος. παρὰ τὸ δέρκω τὸ βλέπω, ὄνομα δερκής. καὶ κατ' ἐπίτασιν τοῦ α, ἀδερκής. ὁ λίαν ὑποβλεπόμενος. καὶ καθ' ὑπέρθεσιν τοῦ ρ, καὶ τροπῇ τοῦ δ εἰς τ, γίνεται ἀτρεκής. ὑπὸ γὰρ πολλῆς ὀξυωπίας τὸ ἀληθὲς θηρᾶται. ἢ παρὰ τὸ τρέχω, τρεχής, καὶ ἀτρεχής, ὁ μὴ παρατρέχων τὴν ἀλήθειαν. ἢ οὗ οὐδεὶς δύναται παραδραμεῖν εὐφρονῶν. ἢ παρὰ τὸ τρέω ὃ σημαίνει τὸ δέδοικα, γίνεται τρεκὴς καὶ ἀτρεκής. καὶ πλεονασμῷ τοῦ κ, ἀτρεκής. ὁ γὰρ εὐθαρσὴς καὶ εὔτολμος, τὴν ἀλήθειαν λέγει. ἢ παρὰ τὸ τρέπω, ὁ μὴ τρεπόμενος.

Ἀτρεύς, παρὰ τὸ τρεῖν τὸ φοβεῖσθαι. ὥσπερ γὰρ παρὰ τὸ τρέφω γίνεται τροφεύς, οὕτω καὶ παρὰ τὸ τρέχω, γίνεται τρεύς. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀτρεύς, ὁ ἄφοβος. ἢ παρὰ τὸ τείρω τὸ καταπονῶ. μετὰ τοῦ στερητικοῦ α, ἀτειρεύς. καὶ συγκοπῇ, ἀτρεύς, ὁ ἀκαταπόνητος.

Ἀτρείδης, πατρωνυμικόν, ἀπὸ τοῦ ἀτρεύς. Τὰ ἀπὸ τῶν εἰς ν ξ ψ ρ γινόμενα πατρωνυμικὰ εἰς δης, διὰ τοῦ ι γράφεται. μεμνονίδης. φοινικίδης. καὶ τὰ ἀπὸ τῶν εἰς ος, βῆλος, βηλίδης. λάγος, λαγίδης. μίνως, μινωΐδης. καὶ συναιρέσει, μινώδης. πανάριστος, παναριστίδης. ἥρως, ἡρωΐδης. καὶ συναιρέσει, ἡρώδης. δεῖ προσθεῖναι χωρὶς τῶν ἀπὸ τῶν εἰς ευς. ταῦτα γὰρ διὰ τῆς ει γράφεται. αὐγεύς, αὐγείδης. καὶ χωρὶς τῶν εἰς ως ἀττικῶν. νηλέως, νηλείδης. εὔνεως, εὐνείδης. καὶ χωρὶς τῶν ἀπὸ τῶν εἰς αιος. ἀλκαῖος, ἀλκείδης. καὶ χωρὶς τῶν εἰς ης εἰς ους ἐχόντων τὴν γενικήν. ταῦτα γὰρ εἰ μὲν βραχείᾳ παραλήγεται, διὰ τοῦ ι γράφεται. εὐτύχης εὐτύχους, εὐτυχίδης. πληθένης, πληθένους, πληθενίδης. τυνδαρίδης. ἀχαιμένης ἀχαιμένους, ἀχαιμενίδης. εἰ δὲ μακρᾷ παραλήγεται, διὰ τῆς ει. εὐήρης εὐήρους, εὐηρείδης. εὐκλῆς εὐκλοῦς, εὐκλείδης. ἡρακλῆς ἡρακλοῦς, ἡρακλείδης. χωρὶς τούτων. θρασυμήδους, θρασυμήδης. δικήρους, δικηρίδης. θεοκύδους, θεοκυδίδης. καὶ κράσει τοῦ εο εἰς τὴν ου, θουκυδίδης, θουκυδίδου. ταῦτα καὶ μακρᾷ παραλήγεται, διὰ τοῦ ι γράφεται. ταῦτα μὲν περιέθεντο ὅ, τε ὠριγένης καὶ ὠρίων ὡς πατρωνυμικά. τύπου δὲ πατρωνυμικοῦ ὄντα, παρετάθησαν διὰ τῆς ει διφθόγγου. λυθείδης. κηδείδης. καλλείδης. ἀχιλλείδης. ἐχεφυλλείδης. σκυθρωπείδης. θαρρελείδης. φιλομηλείδης. Φιλομηλείδῃ ἐπάλαισεν ἀναστάς. ταῦτα μὲν παρὰ τῶν εἰς δης πατρωνυμικῶν, καὶ τῶν τύπων πατρωνυμικῶν. τὰ δὲ μὴ πατρωνυμικὰ, διὰ τοῦ ι γράφεται. λητοΐδης, ὁ τῆς λητοῦς. δαναΐδης, ὁ τῆς δανάης. νιοβίδης, ὁ τῆς νιόβης. ὅθεν τὸ φιλομηλείδης κύριον λέγεται εἶναι. εἰ γὰρ ἦν μητρωνυμικόν, διὰ τοῦ ι ἐγράφετο ἄν. ἀλλ' οὐδὲ ὅμηρος ἀπὸ μητέρων σχηματίζει πατρωνυμικόν. τὸ δὲ τυνδαρίδης, οὐκ ἀπὸ τῆς τυνδάρεως ἀττικῶς, ἀλλ' ἀπὸ τυνδάρους διὰ τοῦ ι. Διαφέρει τὸ πατρωνυμικὸν, τοῦ κτητικοῦ. τοῖς μὲν πατρωνυμικοῖς ἐνδέχεται τὰ ὀνόματα τῶν παίδων συντάσσεσθαι καὶ μή. εἰ γὰρ ἀδελφῶν ὄντων τούτων ἕνα σημᾶναι βουλοίμεθα τῷ πατρωνυμικῷ περιτίθεμεν τὸ τοῦ παιδὸς κύριον ὄνομα. οἷον, ἀτρείδης μενέλαος. πριαμίδης ἕκτωρ. εἰ δὲ μὴ ὦσιν ἀδελφοί, οὐ χρεία προσθήκης κυρίου. ἀρκούμεθα γὰρ τῷ πατρωνυμικῷ. πηλείδης ἐφόνευσεν ἕκτορα. τὰ γὰρ πατρωνυμικὰ αὐτόθεν ἔχει τὴν σημασίαν. κἂν μήτε τοὺς υἱοὺς ἐπάγοιτο, μήτε τὸ τοῦ παιδὸς κύριον. τὰ δὲ κτητικὰ οὐχ οὕτως. ἀλλ' ἀνάγκη προσυπακούεσθαί τι αὐτοῖς. εἰ δέ τις φαίη πλατωνικός, οὐ προσυπακουομένου τοῦ νόμου ἢ χιτῶνος, ἀτελές ἐστι. διὸ ἀναγκαίως δεῖ ἐπιφέρειν τοῖς κτητικοῖς προσηγορικὰ, ἢ κύρια. οἷον, ὁμηρικὸς λόγος. βασιλικὸς δῆμος.

Ἀτρείδῃσι, θήβῃσι, πύλῃσιν, δοτικαὶ τῶν πληθυντικῶν. ἔχουσι τὸ ι προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν. ἔστι γὰρ ἀτρείδαις καὶ θήβαις. καὶ κατ' ἐπέκτασιν, γίνεται ἀτρείδαισι καὶ θήβαισι. καὶ κατὰ τροπὴν ἰωνικὴν τοῦ α εἰς η, ἀτρείδῃσι καὶ θήβῃσι. καὶ μένει τὸ ι προσγεγραμμένον. λέγει δὲ ὁ τεχνικὸς, ὅτι ὥσπερ οἱ ἀθηναῖοι τῆς ει διφθόγγου τὸ ἓν φωνῆεν τρέπουσιν. οἷον, εἴκαζον, ᾔκαζον. εἴδειν, ᾔδειν, τὸν αὐτὸν τρόπον καὶ οἱ ἴωνες τῆς αι διφθόγγου τὸ ἓν φωνῆεν μόνον τρέπουσι. λέγω δὴ τὸ α εἰς η. Δεῖ δὲ γινώσκειν ὅτι παρὰ τῷ ποιητῇ πᾶσαι αἱ τοιαῦται δοτικαὶ τρέπουσι τὸ α εἰς η. εἴτε ἐκπέκτεται μένει ἀεὶ, εἴτε ἀνεπέκτατοι. οἷον, ἐν παλάμαις, ἐν παλάμῃσιν, ἐν παλάμῃς φορέουσι. καὶ πάλιν ἐν βήσσαις, ἐν βήσσῃσι. διὸ δέ τινα σημειούμεθα μὴ τρέψαντα τὸ α παρὰ τῷ ποιητῇ. οἷον, Ὅ τε θεαῖς ἀγάασθε παρ' ἀνδράσιν εὐνηθῆναι. καὶ λιμέσι τε καὶ ἀκταῖς. Δεῖ δὲ γινώσκειν ὅτι ἐπὶ μὲν τῶν ἀρσενικῶν καὶ θηλυκῶν ἄρθρων, ἡνίκα μὲν εἰς ες λήγει ἡ εὐθεῖα τῶν πληθυντικῶν, προσθέσει τοῦ σι γίνεται ἡ δοτικὴ παρὰ τοῖς ποιηταῖς, καὶ τοῖς ἴωσιν. οἷον, αἴαντες, αἰάντεσι. κύνεσι. λαμπάδεσι. μητέρεσιν. ἡνίκα δὲ μὴ εὑρεθῇ εἰς ες ἡ εὐθεῖα τῶν πληθυντικῶν, γίνονται αἱ τοιαῦται δοτικαὶ κατὰ πρόσθεσιν τοῦ ι. οἷον, καλοῖς, καλοῖσι. μούσαις, μούσαισι. ἀτρείδεσι. τοῦτο δὲ γίνεται, ἐπειδὴ πᾶσα δοτικὴ πληθυντικῶν θέλει ἔχειν πρὸ τοῦ ι τὸ σ. ἢ δυνάμει, ἢ ἐνεργείᾳ. ἐνεργείᾳ μὲν, οἷον, αἴασι. δυνάμει δέ, οἷον, φοίνιξι. πέλοψιν. ἐπειδὴ οὖν τὸ καλοῖς καὶ σοφοῖς οὔτε δυνάμει οὔτε ἐνεργείᾳ ἔχει τὸ σ πρὸ τοῦ ι, τούτου χάριν ἐπεκτείνονται διὰ τοῦ ι, ἵνα εὑρεθῇ πρὸ τοῦ ι τὸ σ. ἐπὶ δὲ τῶν οὐδετέρων, ἐπειδὴ οὐδέποτε λήγει εἰς ες ἡ εὐθεῖα τῶν πληθυντικῶν, ἐκ τῆς γενικῆς τῶν ἑνικῶν γίνονται αἱ τοιαῦται γενικαί. οἷον, στόματος, στομάτεσιν. οὕτως ὁ χοιροβοσκὸς εἰς τὸ ποσότητος.

Ἀτρία, πόλις τυρρηνίας. ἱστορεῖται δὲ ὑπὸ διομήδους κτισθῆναι καὶ ὠνομάσθαι αἰθρία. ὅτι ἐπιστάντος αὐτοῦ τῷ τόπῳ χειμῶνος ὄντος, συνέβη αἰθρίαν γενέσθαι. οἱ δὲ παραφθείραντες τὸ ὄνομα, ἀτρίαν αὐτὴν ὠνόμασαν.

Ἄτρυτος, οὐκ ἀπὸ τοῦ τρύχω, ἀλλ' ἀπὸ τοῦ τρύω τρυτὸς καὶ ἄτρυτος. σημαίνει δὲ τὸν ἀκαταπόνητον. ἔνθεν καὶ ἀτρυτώνη. ἀκάματος, οὐ τρυομένη.

Ἄτρυτα, ἀκάματα, σκληρὰ. καὶ ἰσχυρά. ἔστι δὲ καὶ ἀδιάλυτα. οἷον, ἄρρητα. παρὰ τὸ ῥῶ ῥήσω. ῥητὰ καὶ ἄρρητα, μετὰ τοῦ στερητικοῦ α. τροπῇ τοῦ η εἰς υ, ὥσπερ ἅλμη, ἁλμυρός.

Ἀτρυτώνη, ἡ ἀθηνᾶ. εἴρηται παρὰ τὴν τρυτάνην, ἥτις ἐστὶ ζυγός. ἀντὶ τοῦ ἄζευκτος. παρθένος γὰρ ἡ θεός. ἢ ἄτρωτος, καὶ τρυφερά.

Ἀτρύγετος. Παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο. παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης τῆς ἀκαταπονήτου καὶ πολλῆς. ἢ τῆς ἀκάρπου. εἰ μὲν παρὰ τὴν τρύγην ὥς ἔνιοι, οὐ πλεονάζει. τρύγη δέ ἐστιν ὁ δημητριακὸς καρπός, ὥσπερ ὄνου κήλωνος ὁ τρυγηφάγου, ἀντὶ τοῦ κριθοφάγου. κατὰ πλεονασμὸν τοῦ ο. ὥσπερ τὸ κρυόεις, ὀκρυόεις. ὡς παρὰ ἀρχιλόχῳ. τρύγην οὐκ ἔχουσαν. ἢ μὴ τρυγωμένην. οἱ δὲ, ἄδενδρον. οἱ δὲ, παρὰ τὸ ῥύειν πλεονασμῷ. ἄρυτος γὰρ ἀρύγετος, καὶ πλεονασμῷ τοῦ τ, ἀτρύγετος. οὕτως ἡρωδιανός. ἢ παρὰ τὸ τρύχειν. εἰς τοὺς ἀττικισμούς.

Ἄττα, ἐπίφθεγμα τιμητικὸν νεωτέρου πρὸς παλαιότερον. εἴρηται παρὰ τὸ ἄππα κατὰ μακεδόνας. τροπῇ τοῦ π εἰς τ.

Ἄττα, οὐ τὸ ἐπίφθεγμα, ἀλλὰ τὸ ἀττικόν. ὅπερ ὁ ποιητὴς, ἄσσα εἶπεν. οἷον, Ἄσσα τε μηδόωσι μετὰ σφίσι. γέγονε δὲ ἀπὸ τοῦ τὰ δωρικοῦ, τοῦ σημαίνοντος τὸ τινά. ὅπερ διπλασιασμῷ τοῦ σ μετὰ τοῦ α, ἄσσα λέγεται καὶ ψιλοῦται. καὶ τροπῇ, διὰ διότι λέγεται ἀττικῶς. ἔστι μὲν τὸ τινὰ ψιλούμενον. δασύνεται δὲ τὸ ἅττινα. τὰ παρὰ ἀττικοῖς διὰ δύο ττ γραφόμενα, παρ' ἡμῖν διὰ δύο σσ. θάλαττα, θάλασσα. ὀρύττω, ὀρύσσω. δημοσθένης. Ἄττα διειλέχθη. τουτέστιν, ἅτινα. φερεκράτης δὲ ἐκ χρεῶν τοῖς ἐπαρίθμου, τοῖς δὲ καταλάντοις. ἀλλὰ προθεὶς ἔφη ἄττα πεντήκοντα. ὁ κωμικὸς δὲ, χρονικὸν αὐτὸ παραλαμβάνει. Πηθοῦ χελιδὼν ἡνίκ' ἄττα γίνεται. λέγει ὁπότε χελιδὼν γίνεται. ὅμηρος δὲ, ἐπὶ φιλοφρονήσεως αὐτὸ λαμβάνει, φοῖνιξ ἄττα γεραιέ.

Ἀττικός. τὸ ἐθνικόν, ὁ ἀθηναῖος. εἴρηται παρὰ τὸ ἀκτή, ἀκτικός, καὶ ἀττικός. ἀκτὴ γὰρ ἐκαλεῖτο ἡ ἀττική. ὅθεν καὶ ἀκταῖοι οἱ ἀθηναῖοι ἐκαλοῦντο.

Ἀτρύγετον, ἀξήραντον. ἢ ἀπύθμενον καὶ ἄβυσσον. ἄλλοι, ἀθρόον καὶ πολύ.

Ἀτταγᾶς, ὁ ὄρνις οὕτω λέγεται ὑπὸ τῶν Ἀττικῶν· ἢ παρὰ τῶν ἄρτων ἀπὸ τῆς φλογὸς γενομένη ῥῆξις. οἱ δὲ, τῶν κλωμένων ἄρτων τὰ ψιχίδια. τίθεται ἡ λέξις παρὰ τῶν ἐλαχίστων.

Ἀττάραγος, παρὰ τὸ ἀττάραγός τις. καλλίμαχος, Οὐδὲ τ' ἀττάραγόν τι δέδοικεν.

Ἄττεσθαι, τὸ ἄλλεσθαι καὶ πηδᾶν. παρὰ τὸ ἀΐσσω τὸ ὁρμῶ, γίνεται ἄσσω. τὸ δὲ τῶν δύο σσ εἰς δύο ττ, ἄττω.

Ἀττικουργές, τὸ εἰργασμένον κατὰ τὸν Ἀττικὸν τρόπον. καὶ ῥήματα ἀττικουργῆ.

Ἀτύζων. Ὁ δ' ἥρα παῦρον ἀτύζοιτο κατηβολέων. ἀντὶ τοῦ κατὰ περίπλεων σώματι καὶ ψυχῇ.

Ἀτίζων, ἀφροντιστῶν. ἀτίζων δὲ ψυχῇ διαΐδων ἐαλεύατο. ἀτίζων, ἄτῃ περιφερόμενος. κατὰ περίπλων. οὕτως εὗρον ἐν ὑπομνήματι νικάνδρου ἐν θηριακοῖς.

Ἀτυζόμενοι, ταρασσόμενοι. ἀτύω, τὸ ταράσσω. ἀτύσσω, καὶ κατὰ παραγωγήν, ἀτύζω αἰολικῶς.

Ἀτυχεῖν, ἀντὶ τοῦ ἀποτυχεῖν πλάτων λαμβάνει.

Ἀτυχθείς. ἔστι τεύχω τὸ ἐπιτυγχάνω. ὁ μέλλων, τεύξω. ὁ δεύτερος ἀόριστος, ἔτυχον. ὁ παθητικός, ἐτύχην. ἡ μετοχή, ὁ τυχείς, καὶ ὁ τυχθεὶς κατὰ πλεονασμὸν τοῦ θ. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀτυχθείς. ὁ μὴ βουλόμενος τυχεῖν, ἀλλ' ἀποστρεφόμενος εἰς τὸ διαμαρτεῖν. ἔστι δὲ καὶ τὸ κατὰ πλαγείς, φοβηθείς. Πατρὸς φίλου ὄψιν ἀτυχθείς. ἰλιάδος ζ.

Ἀτωμένη, ἄτῃ συνεχομένη. σοφοκλῆς. Ἐκ τῶν γὰρ αἰσχρῶν λημμάτων τοὺς πλείονας ἀτωμένους ἴδοις ἂν ἢ σεσωσμένους.

Ἀτέοντα. ἐν ἄτῃ ὄντα, βλαπτόμενον.

ΤΟ ΑΛΦΑ ΜΕΤΑ ΤΟΥ Υ.

Αὖα, αὖα πάλαι περίκηλα. τὰ ξηρὰ ξύλα. καὶ βόας αὔας, τὰς ξηρὰς βύρσας. καὶ ἀβαλέας. παρὰ τὸ αὔω τὸ ξηραίνω.

Αὐγή. παρὰ τὸ ἄγω, ἀγή, καὶ αὐγή, διὰ τῆς ἀγόμεθα. σκότος δὲ παρὰ τὸ ἐπισχέσθαι ἡμᾶς. καὶ αὐγάζομαι, τὸ θεωρῶ. ἰλιάδος ψ.

Αὐδή, ἡ φωνή. παρὰ τὸ αὐγὴ κατὰ τροπήν. διὰ τῆς αὐγάζεται καὶ φωτίζεται τὰ τοῦ νοῦ. ἀπολλώνιος δὲ, παρὰ τὸ αὔω τὸ φωνῶ. ὅπερ ἐν διαιρέσει, ἀΰω λέγεται. καὶ ἐξ αὐτοῦ αὐτή. καὶ τροπῇ, αὐδή. Αὐδᾷ ὅ, τι φονεύς. Ἐξαύδα μὴ κεῦθε νόῳ. παρὰ τὸ αὐδή, αὐδῶ. ὡς σιγή, σιγῶ. αὐδάω αὐδῶ. ὁ παρατατικός, ηὔδαον ηὔδων. τὸ τρίτον, ηὔδαε ηὔδα. καὶ τὸ προστακτικόν, αὔδαε αὔδα. Αὖε δ' ἄρης ἑτέρωθεν.

Αὐέρυσαν. Ἰστέον ὅτι τὸ α, οὐ μόνον τὸ ὁμοῦ σημαίνει, ὡς παρὰ τὸ ἄλοχος, ἀλλὰ καὶ τὸ ὀπίσω, ὡς παρὰ τοῦ ἀκόλουθος. οὐ μόνον γὰρ τὸ ὁμοκέλευθον σημαίνει, ἀλλὰ καὶ τὸν ὀπίσω τὴν κέλευθον ἔχοντα. ὁ γὰρ ἀκολουθῶν, ὄπισθεν ἀκολουθεῖ. ἤγουν οὐχ ὁμοκέλευθος, ἢ ὀπίσω ἔχων τὴν ὁδόν. τὸ δὲ α τὸ σημαῖνον τὸ ὀπίσω, ἀπὸ τοῦ ἄψ γέγονε κατὰ ἀποβολήν. ὥστε μετὰ τὸ ἔρυσαν, ἀέρυσαν, καὶ πλεονασμῷ τοῦ υ, αὐέρυσαν. τουτέστιν εἰς τοὐπίσω ἀνέκλασαν τὸν τράχηλον τῶν θυομένων ἱερείων, ὡς πρὸς ἔχειν εἰς οὐρανόν.

Αὐθάδης, αὐτάρεσκος. θυμώδης. θρασύς. ὑπερόπτης. ἀπὸ τῆς αὐτὸς ἀντωνυμίας, καὶ τοῦ ἅδω, αὐτοάδης καὶ αὐθάδης, ὁ ἑαυτῷ ἀρέσκων. ἁδεῖν γὰρ τὸ ἀρέσκειν. κατὰ τροπὴν τοῦ ο εἰς α, αὐθάδης. καὶ κλίνεται αὐθάδης, αὐθάδους.

Αὐθέντης, ὁ φονεὺς ὁ ἑαυτὸν κτιννύων. τὸ δὲ ἐν τῇ συνηθείᾳ ἕτερον, εἴρηται ἐκ τοῦ φῶ, τὸ φονεύω. καὶ ἐκθλίψει τοῦ δασέος, ἕντος, ὁ φόνος. ὅθεν ῥηματικόν, ἕντης. μετὰ τῆς αὐτὸς ἀντωνυμίας, αὐτοέντης. καὶ ἐπεὶ ψιλὸν ψιλῷ ἡγεῖται. αὐτοέντης ἤγουν ὁ ἑαυτὸν βάλλων τοῖς ἔντεσιν, ὅ ἐστι τοῖς βέλεσι. τὸ δὲ ἐν τῇ συνηθείᾳ ἔοικε παρὰ τὸ αὐτὸ καὶ τὸ ἕντης. ὁ ἑαυτὸν ἐφαφεὶς εἰς πάντα, καὶ ὢν αὐτεξούσιος καὶ μὴ ἄλλου ἀλλ' ἑαυτοῦ ὤν.

Αὐδήεσσα. ἔνδοξον. ὀνομαστήν. ὁμοιόφθογγον. ἐπιγλωσσοθέαν ἢ πρόμαντιν, ἢ αὐδήεσσαν ἐπίγειον ἐπὶ Κίρκην φαρμακίδα.

Αὐθέκαστα. τὰ ἁπλᾶ καὶ ἀληθῆ. οἷον, αὐτὰ τὰ γινόμενα. καὶ λόγοι αὐθέκαστοι, οἱ σαφεῖς καὶ σύντομοι.

Αὐθι μένειν. τὸ τοπικὸν ἐπίρρημα. αὐτόθι νῦν τὸ αὐθάδη. ἐπὶ τόπου. ἐν γενικῇ δὲ ἐν τοπικῇ σχέσει λαμβάνεται. ὅμηρος. Αὐτοῦ οἱ καὶ μοῖρα τετεύξεται. Αὐτοῦ κ' ἔνθ' ἀκάχοιτο. τῆς τόπου σχέσιν, ἀντὶ τοῦ ἐκεῖσε. καὶ ὥσπερ ἀπὸ τοῦ ἀγχοῦ, ἀγχόθι, οὕτω καὶ ἀπὸ τοῦ αὐτοῦ, αὐτόθι. καὶ ὥσπερ ἀπὸ τοῦ λέσβος, γίνεται λεσβόθι, οὕτω καὶ ἀπὸ τοῦ αὐτός, αὐτόθι. καὶ κατὰ συγκοπήν, αὖθι. διαφέρει τοῦ αὖθις. τὸ μὲν αὖθι, τοπικόν ἐστιν ἐπίρρημα ἀπὸ τοῦ αὐτόθι. τὸ δὲ αὖθις ἐστί, τὸ πάλιν καὶ μετὰ ταῦτα. τὰ εἰς ις ἐπιρρήματα πέφυκε τὰ λέγεσθαι καὶ ἄνευ τοῦ ς, διὰ τί γάρ. αὖτις, καὶ αὖτι. μέχρις, καὶ μέχρι. αὖθις, καὶ αὖθι. ἢ τὰ βαρυνόμενα ἐπιρρήματα ἀποστρέφουσι τὴν ει δίφθογγον. οἷον, αὖθι. νόσφι, ἀντὶ χωρίς. ἄγχι, ἀντὶ ἐγγύς. ἶφι, ἀντὶ ἰσχυρῶς. ναίχι, ἀντὶ τοῦ ναί. ἢ χι, ἀντὶ τοῦ ὅπου. ὕψι, ἀντὶ τοῦ εἰς ὕψος. τετράκι. ἑξάκι. πλειστάκι, πολλάκι, ὀλιγάκι.

Αὐίαχοι, ἄβρομοι. πολυήχοι. ἢ παρὰ τὴν ἰαχή, ὅ ἐστι τὴν φωνήν, ἰαχός. καὶ ἢ κατὰ πλεονασμόν, ἢ κατὰ στέρησιν, ἀίαχος. καὶ πλεονασμῷ τοῦ υ, αὐίαχος. ἢ παρὰ τὸ ἰαχή, ἴαχος, καὶ ἐν συνθέσει αὐίαχος. ἵνα σημαίνῃ τὸν ξηρόφωνον. Ἰστέον ὅτι τότε δεῖ περιστίζειν τὸ ι καὶ τὸ υ, ἡνίκα προηγεῖται αὐτῶν φωνῆεν προτακτικόν. καὶ κατὰ διάστασιν. οἷον, ἀΐω, παῖς, δημοσθένει, ὁ ἰωάννης. τοῦτο δὲ γίνεται ἵνα μὴ νομισθῇ εἶναι δίφθογγον. ὅτε δὲ οὐ προηγεῖται προτακτικὸν φωνῆεν, οὐ δεῖ περιστίζειν αὐτό. οἷον, ἰαχή. ὕλη.

Αὐλός, τὸ φωνητικὸν ὄργανον. παρὰ τὸ αὔω τὸ φωνῶ, αὐλός. ὡς δαίω, δαλός. ἔστι τοῦ εἰς εὐθὺ ἀνακοντισμοῦ τοῦ αἵματος. Αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν αἵματος. καὶ περόνης μέρος, ἢ τὰς περόνας. Αὐλοῖσι διδύμοισι πάροιθεν δαίδαλα ἧκεν. καὶ τὸ κοινῶς νοούμενον μουσικὸν ὄργανον. Αὐλῶν συρίγγων τ' ἐνοπήν. καὶ τὸ στάδιον. καὶ ἐν συνθέσει, δίαυλος. εἴρηται δὲ διὰ τὴν στενότητα. καθ' ἣν καὶ αὐλῶνας, τὰ μεταξὺ τῶν φαράγγων στενὰ παραμήκως φερόμενα ὀνομάζουσι. καὶ ἐπαύλεις, τὰς μετὰ τὰς κελεύθους ἀναπαύσεις. ἀπὸ τῶν μουσικῶν ὀργάνων. καὶ τὸ διὰ στενοπόρου ὄντος ἐχήματος τὸ πνεῦμα τῶν αὐλούντων διατίθεται.

Αὐλοῖσι διδύμοισι. παρὰ τὸ εἰς μῆκος ἀνατεταμένον, αὐλὸν καλεῖ. δίδυμον δὲ τὸ συμφυές. εἰς τὸ αὖλις.

Αὐλῶπις τρυφάλεια, ἡ ἐκ πολλῶν μερῶν καὶ ποικίλων συνεστῶσα. καθάπερ καὶ τὰ τοῦ αὐλοῦ μέρη. ἢ εἰς ὀξὺ ἀπολήγουσα. καθὰ αὐλὸς παρὰ τὴν τῆς γλώττης εἰσβολήν. ἢ αὐλίσκον ἔχουσα, καθ' οὗ πήγνυται ὁ λόφος. ἔστι δὲ εἶδος περικεφαλαίας. ἢ κοιλόφθαλμον, ἢ στρογγύλον. καὶ αὐλωπία, ὁμοίως.

Αὐλωνία, πόλις ὑπὸ κροτωνιατῶν κτισθεῖσα, καὶ ἀπὸ τῶν προκειμένων αὐλῶν ἔχουσα τὸ ὄνομα. ὕστερον δὲ τῷ χρόνῳ καυλωνία ἐκλήθη.

Αὐλή, ὁ περιτετειχισμένος καὶ ὕπαιθρος τόπος. παρὰ τὸ ἄω τὸ πνέω, γίνεται αὐή, καὶ αὐλή, ὁ περιπνεόμενος τόπος. Αὐλῆς ἐν χόρτῳ. ἐν τῷ περιφράγματι τῆς αὐλῆς, ἐν τῷ μεσαύλῳ. χόρτοι δὲ οἱ τοῖχοι, ὅτι ἀπὸ χόρτου κατεσκευάσθησαν.

Αὐλητρίς. ἔστιν αὐλητὴρ αὐλητῆρος. εἶτα παρώνυμον, αὐλητηρίς. ὡς σωτήρ, σωτῆρος, σωτηρίς. καὶ ἐτήρ, ἐτῆρος, ἐτηρίς. καὶ τριετηρίς.

Αὐλίς, ἀπὸ τοῦ αὐτόθι αὐλισθῆναι τὸν ἑλληνικὸν στρατόν. ἡ εὐθεῖα, αὐλίς. ἔστι δὲ πόλις τῆς βοιωτίας. ἐκ τοῦ αὐλίζω, αὐλίσω, αὐλίς. καὶ τί μετέχει. ἐπειδὴ ἐκεῖ συνηθροίσθη ἅπας ὁ ἑλληνικὸς στρατός.

Αὖλις. ἐγγὺς τὸ νηῶν καὶ τεῖχος, αὖλιν ἔθεντο. ἀντὶ αὐλισμὸν ἐποιήσαντο. ἐστρατοπεδεύσαντο. ἐκοσμήθησαν. ἐκ τοῦ αὐλή. ὥσπερ φήμη, φῆμις. κλίνεται αὔλιος, καὶ αὔλεως.

Αὐλός, στάδιον. καὶ τὸ δίσταδον, δίαυλος σύνθετον. καὶ τῶν βασιλικῶν ἵππων τὸ ἔμπλεγμα. αὐλὸς καὶ εἶδος ἀκολάστου σχήματος. λέγονται δὲ αὐλαῖαι, καὶ τὰ παραπετάσματα τῆς σκηνῆς, ὡς παρὰ τῷ θεολόγῳ.

Αὖλαξ, σπήλαιον κοῖλον. διῶρυξ, καὶ ἀροτρουγίβος. παρωνόμασται παρὰ τὸ αὐλός. αὖλαξ γὰρ λέγεται ἡ ἐπιμήκης τομή. ἡ ἐπιμήκης διαχάραξις τοῦ ἀρότρου. αὐλὸς δέ ἐστιν ἡ ἐπιμήκης παράτασις. παρὰ τὸ αὔω τὸ φωνῶ. ὁ μέλλων, αὔσω. ὄνομα ῥηματικόν, αὐλός, αὐλησμός. ἐκ τοῦ αὐλῶ τὸ ῥαψῳδῶ. αὐλισμὸς δὲ παρὰ τῆς ἀναστροφῆς. ὡς τό, Ηὐλίσθην ἐν τῇ ἐρήμῳ. καὶ αὐλισθῆναι. ἔστιν ἅλες τὸ ἀθρόον. ἐκ τούτου γίνεται ἁλίζω, καὶ ἁλιζόμενοι. τουτέστι συναθροιζόμενοι.

Αὔλιον ἄντρον. Ἢ δὲ καὶ αὔλιον ἄντρον. παρὰ τὸ ἐν αὐτῷ αὐλισθῆναι τὸν διόνυσον.

Αὖος, ὁ ξηρός. ὄνομα ῥηματικόν. ἐκ τοῦ αὔω, τὸ οὐ βρέχω. ἢ ἐκ τοῦ αὔω τὸ ξηραίνω, γίνεται αὖος ὁ μὴ ὑγρός. ἀλλ' εἰς αὖσιν καὶ καῦσιν ἐπιτήδειος.

Αὐόνη, ἡ ξηρότης. παρὰ τὸ αὔω τὸ ξηραίνω, αὐόνη. ὡς ἔχω, ἐχόνη. καὶ πείρω, περόνη. καὶ βάλλω, βελόνη.

Αὐρόσχας, ἡ ἄμπελος. μέμνηται παρθένιος ἐν ἡρακλεῖ. Αὐρόσχαλα βότρυν ἰκαριωνίης. ἐρασθείσης δὲ ἐν παραθαλαμίῳ, τὸ κατὰ βότρυν κλῆμα. εἴρηται δὲ ἐπαιωρημένης οὔσης ὄσχης. ὄσχη δὲ τὸ κλῆμα.

Αὔρα, ἡ λεπτοτάτη πνοὴ τοῦ ἀνέμου. ἔστι δὲ παρώνυμον. παρὰ τὸ ἀήρ, ἄρα. καὶ πλεονασμῷ τοῦ υ, αὔρα. μεταχθὲν γὰρ ἀπὸ ἀρσενικοῦ εἰς θηλυκὸν γένος. ὡς ξυστήρ, ξύστρα. γαστήρ, γάστρα. δύναται δὲ καὶ ἀπὸ τοῦ ἀὴρ ἀέρος γενέσθαι, ἀέρα. καὶ κατὰ κρᾶσιν, αὔρα. ὡς γράες, γραῦς. καὶ νάες, ναῦς. ἢ ἀήρ, αὐήρ. καὶ κατὰ τροπὴν τοῦ η εἰς α. ὡς μήτηρ, μήτρα. αἴθρα.

Αὔριον. παρὰ τὸ αὖος αἰολικῶς, ὅ ἐστι τὴν ἡμέραν, αὔιον, καὶ αὔριον, τὸ χρονικόν. ἢ παρὰ τὸ αὖθι, ὃ καὶ αὖρι ἀποκοπῇ. ἀφ' οὗ, Αὔριον τῆς εἰς αὖθις. ἢ παρὰ τὸ ἐναύεσθαι ὑπὸ τοῦ ἡλίου.

Αὐσίτης, Ἰσαύα, Ἰσαύτης. καὶ ὑπερβιβασμῷ, αὐσίτης. Ἰσαύα γὰρ χώρα ἐστίν, ἐξ ἧς ἦν.

Αὔσιον καὶ ὁ μὲν ἴβυκος αὔσιον λέγει. οἷον, Οὐ γὰρ αὔσιον παῖς τυδέως. ὁ δὲ ἀλκμάν, Ταύσια παλλακίω. ὁ δὲ ποιητής, κατὰ διάστασιν καὶ τροπὴν τοῦ α εἰς η. οἷον, Τηΰσιην ὁδόν. οὐδεὶς γὰρ τὸν σχηματισμὸν αὐτοῦ κατώρθωσεν. ἐγὼ δὲ ἡγοῦμαι ὅτι πρῶτον τῷ παρ' ἰβύκῳ. δεύτερον, τῷ παρὰ ἀλκμᾶνι. τρίτον, τῷ παρὰ ὁμήρῳ κατὰ διάστασιν. οὕτως ἡρωδιανὸς περὶ παθῶν.

Αὔσονες, οἱ ἰταλοί. καὶ αὐσονία ἡ ἰταλία. οὐχ ἀπὸ αὔσονος τοῦ κίρκης καὶ καλυψοῦς καὶ ὀδυσσέως. ἀλλ' ὅτι τὴν ἰταλίαν οἱ περιοικοῦντες ἔποικοι αὔζενα ἔλεγον. καὶ κατὰ μετάθεσιν τοῦ ζ εἰς τὸ σ, καὶ τοῦ ε, εἰς τὸ ο. αὔσονες, οἱ αὔζονες. οἱ ἄζωνες.

Αὐσταλέας. Αὐσταλέας δ' ἔψηχε παρηΐδας. αὐχμηράς. ξηράς. παρὰ τὸ αὔω τὸ ξηραίνω. ἐξ οὗ αὖος, καὶ αὐαλέος, καὶ αὐσταλέος.

Αὐτή. παρὰ τὸ αὐδή, ἀϋδή. καὶ τροπῇ, ἀϋτή. ὡς ἐν τῷ μελετῶναι μελεδῶναι. παρὰ τὸ μελέτη. μελέτη γὰρ ἡ φροντίς. ἢ παρὰ τὸ αὔω τὸ φωνῶ, γίνεται αὐτή. ὡς καὶ παρὰ τὸ ἄω τὸ πνέω, ἀΰω. καὶ ἐξ αὐτοῦ ἀϋτμή, καὶ ἀϋτμὴ ἡ ἀναπνοή.

Αὔτει, πάντας ἀρίστους ἐφώνησε προσεκάλει τό. αὐτέω αὐτῶ. αὔτεον, αὔτουν. καὶ τὸ τρίτον, αὔτεε, αὔτει.

Αὐστηρός. παρὰ τὸ αὔω τὸ ξηραίνω. ὁ μέλλων, αὔσω. ἐξ οὗ αὐστηρός. ὅ ἐστι στρυφνόν. ξηρόν. αὐχμηρόν. σκυθρωπόν.

Αὐτή, ὅ ἐστι διὸ τὴν βοήν. ὡς τό, Αὐτὴ δ' οὐρανὸν ἷκε. καὶ τὴν μάχην. ὡς τό, Μήστωρας ἀϋτῆς.

Αὐτάρκης, παρὰ τὸ αὐτός, καὶ τὸ ἀρκῶ τὸ βοηθῶ. ὁ ἑαυτῷ ἐπαρκῶν καὶ βοηθῶν. εἰς τὸ ποδάρκης. τέσσαρα εἰσὶν ἐπιρρήματα παραλαμβανόμενα βαρύτονα. συμπεριεσπᾶσθαι γὰρ ἔδει τῇ γενικῇ τῶν πληθυντικῶν. αὐτάρκως. αὐθάδως. νοσώδως, κακοήθως.

Αὖτε. ἀπὸ τοῦ α τοῦ σημαίνοντος τὸ ὀπίσω, γίνεται ἄτε. καὶ πλεονασμῷ τοῦ υ, αὖτε. Αὖτις δ' ἐξ ὀπίσω πλῆτο χθονί. σημαίνει τὸ ἐξ ὑστέρου, ἢ τὸ ἐκ δευτέρου. ἐκ τούτου, καὶ μετὰ τοῦ α τοῦ σημαίνοντος τὸ εἰς τὰ ὀπίσω, γίνεται ἄτις. καὶ ὡς παρὰ τὸ ἐρύσω, γίνεται ἀέρυσαν αὐέρυσαν, οὕτω καὶ ἄτις ὅ ἐστι τὸ πάλιν,

γίνεται πλεονασμῷ τοῦ υ, αὖτις. διαφέρει δὲ τοῦ πάλιν. τὸ μὲν γὰρ πάλιν ἐστὶ τοπικόν. καὶ τὸ εἰς τοὐπίσω δηλοῖ. τὸ δὲ αὖτις ἐστὶ χρονικόν. τὸ ἐξ ὑστέρου γὰρ δηλοῖ.

Αὐόνη, λύπη. κραυγή. αὐχμός. φθορά. κακοπάθεια.

Αὔριον, παρὰ τὸ αὔρα. ὃ καὶ μᾶλλον < ξηρασία. βούλεται τὸ ἕωθεν σημαίνειν διὰ τό, Αὐρὴ δ' ἐκ ποταμοῦ ψυχρὴ πνέει ἠῶθι πρό.

Αὐρίζειν, εἰρων. ἢ καὶ τὸ εἰς αὔριον ὑπερβάλλεσθαι.

Αὐτμή, σημαίνει ἀναπνοήν. εὐωδίαν. ὀσμήν. φωνήν. ψυχήν. λιγνύν. καπνόν.

Αὐτίκα. Αὐτίκα γὰρ γλυκὺ καλυψάμενος ὀδύνη. ἔστιν ἐπίρρημα μεσότητος καὶ χρόνου δηλωτικόν. σημαίνει δέ, παραχρῆμα. εὐθέως. ὥσπερ παρὰ τὸ πολλά, πολλάκι. καὶ ὀλίγα ὀλιγάκι, καὶ δέκα, δεκάκι. καὶ παρὰ τῶν δωρικῶν τουτάκι, ὡς παρὰ Πινδάρῳ. Τουτάκι πεξαμένης. οὕτω καὶ παρὰ τὸ αὐτά, αὐτάκι. καὶ κατ' ἀντίθεσιν, αὐτίκα καὶ παραυτίκα. τὸ τι, ι. διὰ τί. τὰ γὰρ εἰς κα ἐπιρρήματα, ἔχουσι τὸ ι παραληγόμενον. οἷον, αὐτίκα, ἡνίκα, πηνίκα.

Αὐτίτης, ὁ χωρὶς παραχύματος οἶνος. οἷον, ἐψεμάτος. ἢ ὁ ἐπιχώριος. ἢ ὁ ἀμιγής. ἢ ὥς ἔνιοι, ὁ δευτερίας. ἢ ὁ ἐπέ-

Αὐτάρ. Αὐτὰρ ἐπεὶ κόσμηθεν. ἐπειδὴ δὲ < τειος. ἐκοσμήθησαν. αὐτὰρ καὶ ἀτάρ, πότερον ἐστὶν ἀναλογώτερον. καὶ λέγουσιν ὅτι τὸ αὐτὰρ ἐκ τοῦ ἀτὰρ κατὰ πλεονασμόν ἐστι. τὸ δὲ ἀτάρ, οὐ δύναται γενέσθαι ἐκ τοῦ αὐτὰρ κατὰ ἀποβολὴν τοῦ υ. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι περιπόμενον ἐστὶ τῆς εἰς τὸ α συνεστώσης διφθόγγου μετὰ τὴν ἀπόστασιν τοῦ ὑποτακτικοῦ φωνήεντος, ἐκτείνειν τὸ α. καὶ οὐχ ἕτερος λόγος ἐπικρατεῖ. οἷον, κλαίω, κλάω. αἰετός, ἀετός. οὐραῖον, οὐράδιον. κεφάλαιον, κεφαλάδιον. εἴπερ οὖν καὶ ὁ αὐτὰρ σύνδεσμος ἔνδειαν τοῦ υ πέπονθεν ἐν τῷ ἀτάρ, ἔδει περ ἂν καὶ ἡ τοῦ α ἔκτασις. διαφέρει δὲ τοῦ δέ. ὅτι ὁ μὲν αὐτὰρ προτάσσεται. ὁ δὲ δέ, ὑποτάσσεται. ὀξύνεται, ἢ βαρύνεται. οἱ μὲν οὖν ὀξυτόνως ἀνέγνωσαν ὡς Καλλίμαχος. οἱ δέ, βαρύνουσι, λόγῳ τοιῷδε. πᾶσα λέξις εἰς αρ λήγουσα, βαρύνεται. οἷον, ἄφαρ. ἄθαρ. δάμαρ. στέαρ. οὖθαρ. ῥητέον ὅτι οὐδεὶς συμπλέκεται σύνδεσμος ἢ περισπωμένη, ἢ βαρεῖα. πάντες δὲ ὀξύνονται.

Αὕτως, ἐπίρρημα μεσότητος παρὰ τῷ ποιητῇ. σημαίνει δύο. τὸ ὁμοίως, ὥσπερ τό, Ὡς δ' αὕτως Μενέλαος ἀρήιος ἔντε' ἔδυνε. καὶ αὕτως μὲν φασὶ φαγέμεν. σημαίνει καὶ τὸ ματαίως. ὥσπερ τό, Αὐτὰρ ἔμ' αὕτως ἧσθαι δευόμενον. Καὶ αὕτως γὰρ ἔπεε σ' ἐρέειν δέ. καὶ ψιλοῦται πρὸς ἀντιδιαστολὴν τοῦ ἑτέρου τοῦ σημαίνοντος τὸ οὕτως. ὅτε δὲ μάτην σημαίνει, ψιλοῦται. τὸ στερητικὸν α ψιλοῦται. Πόθεν παράγεται τὰ τῆς μεσότητος ἐπιρρήματα. ἐκ τῶν πληθυντικῶν γενικῶν. καὶ πῶς ἐστὶν ἡ γενικὴ τοῦ ὀνόματος. ἐστὶν ἔτος, ὁ ἀληθής. μετὰ τοῦ στερητικοῦ α, ἄετος. κλίνεται ἀέτου. ἡ εὐθεῖα τῶν πληθυντικῶν, ἄετοι, ἀέτων. ἐξ αὐτοῦ ἐπίρρημα, ἀέτως. καὶ κράσει τοῦ α ε εἰς τὴν αυ δίφθογγον, αὕτως.

Αὐτός, μέρος λόγου ἀντωνυμίας. ἀντωνυμία δέ, ἐκ τῆς ἀντὶ προθέσεως, καὶ τοῦ ὄνομα. ἀντὶ ὀνόματος γὰρ παραλαμβάνεται. τὰ δὲ παρὰ τοῦ ὀνόματος, διὰ τοῦ ω μεγάλου γράφεται. ἀντωνυμία πρωτότυπός ἐστιν, ἢ παράγωγος. καὶ πόθεν γίνεται, ἐκ τοῦ τρίτου προσώπου. εἰσὶ δὲ πέντε. πρωτότυπος ἀντωνυμία, αὐτός. οὗτος, ἐκεῖνος. ὅδε, καὶ ὁ δεῖνα κατὰ παραγωγήν. αὐτός ὁ μόνος. ὥσπερ τό, Τυδείδης αὐτός περ ἐὼν, προμάχοισιν ἐμίχθη. αὐτὸς ὁ τόπος. ὥσπερ τό, στῆτ' αὐτοῦ καὶ λαὸν ἐρυκάκετε. αὐτός, τὸ σῶμα. ὥσπερ τό, Αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσιν. αὐτός, ὁ κατ' ἐξοχήν. ὥσπερ τό, Εἰ δέ κε μὴ δώῃσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι. καὶ ὥσπερ τό, Οὐκ ἄγγελος οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ κύριος. καὶ αὐτός, ἡ ἀντωνυ-

Αὕτη, δεικτικὴ ἀντωνυμία. αὐτὴ δέ, ἀναφορική. < μία.

Αὐτομάτως, αὐτοκελεύστως. αὐτοκλήτως. αὐτοβούλως αὐτοπροθύμως. παρὰ τὸ μένω, τὸ προθυμοῦμαι. ὁ παθητικὸς παρακείμενος, μέμαμαι, μέμαται, γίνεται ματός, ὡς βέβαται, βατός. καὶ αὐτόματος, ὁ αὐτοπρόθυμος. ἢ ἀπὸ τοῦ μαστεύω τὸ ζητῶ, ἢ ματῶ τὸ σημαῖνον τὸ αὐτό, ἐστὶ μαστός. ὃν ἐπιζητοῦσι τὰ βρέφη. καὶ ἐξ αὐτοῦ, αὐτόματος, ὁ αὐτοζήτητος. ὁ μὴ παρ' ἑτέρου ἐπιζητηθείς, ἀλλ' αὐτὸς ἑαυτὸν ἐπαγαγών.

Αὐτόγυον. δύο εἴδη εἰσὶν ἀρότρων. καὶ τὸ μὲν καλεῖται πηκτόν, τὸ δέ, αὐτόγυον. καὶ τὸ μὲν ἐκ συμβολῆς ξύλον ἔχον τὸ ἔλυμα, καλεῖται πηκτόν, τὸ τὴν γύην προσπεπηγότα ἔχον. τὸ δὲ ἐξ ἑνὸς ξύλου ἔχον τὸ ἔλυμα, καλεῖται αὐτόγυον. τὸ δὲ ἔλυμα ξύλον ἐστίν, εἰς ὃ ἡ ὕνις σιδηρᾶ οὖσα ἐντίθεται, καὶ τὴν γῆν σχίζει. ὃ δὲ κρατεῖ ὁ ἀρῶν, καλεῖται ἐχέτλη. τὸ δὲ διὰ τοῦ ἐλύματος διαβεβλημένον ξυλάριον εἰς ὃ ἡ ἐχέτλη καθίεται, ἀλύη. τὸ δὲ ξύλον τὸ ἀπὸ τούτου γινόμενον ἐπὶ τοὺς βοῦς γύης. τὸ δὲ ἀπὸ τοῦ γύου εἰς τὸ ζυγόν, ἱστοβοεύς. τὰ δὲ ζυγοῦ τὰ τιθέμενα ἐπὶ τοὺς αὐχένας τῶν βοῶν, οἱ μέν, ζεύγλας. οἱ δέ, βοείας. οἱ δέ, μεσάβα καλοῦσιν.

Αὐτοκράτωρ. μεμπτέον οὖν τὴν συνήθειαν ἐπὶ τοῦ αὐτοκράτορος ὀνόματος. παρὰ τὸ κρατῶ, κράτωρ, κρατήτωρ εἶναι λέγεται. παρὰ γὰρ τὸ κραίνω, ἐστὶ κράντωρ. καὶ ἐν συνθέσει, αὐτοκράτωρ. ὁ αὐτοῦ κρατῶν.

Αὐτόκραντα, αὐτόδηλα. αὐτοκράαντα.

Αὐτοκασίγνητος, γνήσιος ἀδελφός. ὁ ἐκ τῶν αὐτῶν γονέων.

Αὐτόδιον, Ὀδυσσείας θ. ἐξ αὐτῆς τῆς ὁδοῦ ἐλθόντα.

Αὐτόγνωτος. καὶ σὲ δ' αὐτόγνωτος ὤλεσεν ὀργά. Σοφοκλῆς. ἀντὶ τοῦ αὐθαίρετος καὶ ἰδιογνώμων τρόπος.

Αὐτόχθονοι, αὐτοκτίσται. οὐ κατασκευασταί, ἀλλ' αὐ-

Αὐτόχθονα. ἐστὶ τὴν τοῦ χείρονος παρ' < τοκτίσται. ὅσον ἐν τοῖς ὀρεσιδιήτην. οἴκησιν ἔχων φυσικήν.

Αὐτάγητος. ὁ ἀγάμενος ἑαυτόν. θαυμαστικῶς ἔχων ἑαυτοῦ. ὡς δ' ἔνιοι, αὐθάδης.

Αὐτόρεκτον, οἷον, τὸν ἑαυτὸν ἀποτείναντα.

Αὐτότατα μέλη, ὡς ἂν εἴποι ἀδίδακτα, οὐκ ἔχοντα τοὺς ἐπιτάσσοντας.

Αὐτοκάβδαλον σκάφος. Λυκόφρων. ἀναυλόχητον τὴν μικρὰν λέγει. οὐ γὰρ ἦν ναῦς, ἀλλ' αὐτοσχέδιον πλοῖον. οὐδέ πω ἐν ὅρμῳ καὶ λιμένι κατὰ λεγόμενον. ναυλόχους γὰρ ἔλεγον τοὺς λιμένας. αὐτοκάβδαλον δέ, τὸ εἰκῆ καὶ ὡσαύτως καὶ αὐτουργὸν γεγονός. κυρίως δὲ ἡ λέξις ἐπὶ τῶν ἀλφίτων εἴρηται. τὸ ὡς ἔτυχε φυραθὲν ἄλευρον αὐτοκάβδαλον.

Αὐτονυχί, ἐπίρρημα. σημαίνει δὲ τὸ ἐν αὐτῇ τῇ νυκτί. ἄλλοι αὐτοῖς ὄνυξιν.

Αὐτοβοεί, αὐτόθεν σὺν τῇ φωνῇ. ἢ εὐθὺς ἅμα τῇ βοῇ τὸ παραχρῆμα συντελεσθῆναι ἐπὶ πολεμικοῖς ἔργοις, οἷον, ταχέως. παρὰ δὲ Θεοπόμπῳ, ἐπὶ τοῦ κατὰ κράτος. ἅμα τῷ πολεμικῷ ἀλαλαγμῷ. οὕτω Θουκυδίδης.

Αὐτολήκυθος, ὁ πένης. ἀπὸ τοῦ ἑαυτοῖς τὰς ληκύθους φέρειν εἰς τὰ βαλανεῖα. οἱ δ' ἄσωτοι, παρὰ τὰς συμβολὰς ἐν τῷ λήκυθον ἔχειν καὶ φέρειν εἰς τὰ συμπόσια. ἢ ὡς αὐτὸ τὸ ληκυθούμενον ἔχοντες.

Αὐτόχρημα, αὐτὸ τὸ πρᾶγμα. εἰς τὸ ἡρῷον.

Αὐτοσχεδά, ἐκ τοῦ σύνεγγυς. Μάρις δ' αὐτοσχεδὰ δουρί. καὶ αὐτοσχεδόν, σύνεγγυς. καὶ αὐτοσχεδίην ἐκ χειρός

Αὐχμός, ἡ ξηρότης. εἴρηται παρὰ τὸ < ὁμοίως. αὔξω μένοντα. κατὰ ἀντίφρασιν, αὐχμός. ὁ μὴ ποιῶν τι αὔξεσθαι. ἡ ὑγρότης γὰρ τρέφει. ἢ παρὰ τὸ αὔω τὸ ξηραίνω, γίνεται αὐχμός. τὸ μὲν τὸ κοινόν, αὐγμός. τὸ δὲ ἀττικόν, αὐχμός. ἢ παρὰ τὸ ἄζω τὸ ξηραίνω, ἀχμός, καὶ αὐχμός.

Αὐχήν, ὁ τράχηλος. παρὰ τὸ αὐχμός, ὃ σημαίνει τὸν κατάξηρον τόπον, γίνεται αὐχμήν. καὶ παρὰ τὴν αὐχμήν, αὐχήν, ὁ κατάξηρος τόπος τοῦ σώματος. ἢ παρὰ τὸ ὀχῶ, ὀχήν, καὶ αὐχήν. ἐφ' οὗ ὀχεῖται ἡ κεφαλή. ἢ παρὰ τὸ αὐχεῖν καὶ γαυριᾶν, γίνεται αὐχήν. γαυριῶντες γὰρ καὶ ἐπαιρόμενοι, ἀνατείνομεν αὐτόν. οὕτω δὲ καὶ γὰρ χλιαίνειν τινὰς λέγομεν. οὕτω Μεθόδιος.

Αὔω, τὸ ξηραίνω. παρὰ τὸ ὕω τὸ βρέχω. μετὰ τοῦ στερητικοῦ α, ἀύω. καὶ κατὰ συναίρεσιν αὔω, τὸ ἐξ ἀνομβρίας γινόμενον. τὸ δὲ φωνῶ, παρὰ τὸ ἄω τὸ πνέω. πλεονασμῷ τοῦ υ, γίνεται αὔω. καὶ ὁ μέλλων, αὔσω. τὸ δὲ λάμπω, ἀπὸ τοῦ φῶ τὸ λέγω, γίνεται φαύω. καὶ κατ' ἀποβολὴν τοῦ φ, αὔω. διὸ καὶ δασύνεται. σημαίνει δὲ τέσσαρα. τὸ λάμπω, ἐξ οὗ καὶ αὔριον. τὸ ξηραίνω, ἐξ οὗ καὶ αὖος, ὁ ξηρός. τὸ καίω, ἐξ οὗ καὶ βάναυσος, ὁ παρὰ τὸ πῦρ ἐργαζόμενος. τὸ βοῶ, ἐξ οὗ, Αὖε δ' Ἄρης ἑτέρωθεν. ἐστὶ καὶ αὔω τὸ καθεύδω. Νίκανδρος. Ἔνθα, ἢ ἐκ καὶ ἀμαρογχίη κατὰ τὰ σῖτον ἐνδυκὲς αὔει. ἀντὶ τοῦ καθεύδει, ἢ διατρίβει. εἴρηται παρὰ τὴν αὔαν αἰολικῶς τὴν ἡμέραν. τὴν γὰρ ἠῶ οἱ Αἰολεῖς, αὔων φασί. κυρίως αὔω λέγεται, τὸ ἕως τῆς ἕω καθεύδω. τὸ δὲ ἄω, σημαίνει δύο. τὸ πνέω, οὗ ὁ μέλλων, ἄσω. καὶ τὸ κοιμῶμαι, οὗ ὁ μέλλων, ἀέσω. ἐξ οὗ καὶ ἀεσίφρων.

Αὔως, ἡ ἠώς. τουτέστιν ἡ ἡμέρα. οὕτω λέγεται παρὰ τοῖς αἰολοῖς. Σαπφώ. πότνια αὔως. ἐπειδὴ φαινομένης αὐτῆς, τὰ ζῶα φθέγγονται. καὶ ἀλλήλοις ἐπὶ τὰ ἔργα καλοῦσιν οἱ ἄνθρωποι. Καὶ ἕσπερε πάντα φέρων ὅσα φαινόλις ἐσκέδασ' αὔως. εἴρηται παρὰ τὸ αὔω τὸ βοῶ, αὔως.

ΤΟ ΑΛΦΑ ΜΕΤΑ ΤΟΥ Φ

Ἀφαδής, ἐχθρός. παρὰ τὸ ἀφανδάνειν. καὶ ἀφαδία, ἡ ἀπαρέσκουσα ἔχθρα. Εὔπολις ἐν Δραπέταις. Δοκῶ μοι νῦν ὁρᾶν ἀφαδίαν. εἴρηται παρὰ τὴν ἀπὸ καὶ τὸ ἁδεῖν, ὃ σημαίνει τὸ ἀρέσκειν, ἵν' ἡ μὴ ἀρέσκουσα. ἀφαδία οὖν, ἡ ἀφανδάνουσα. καὶ οἱ ἐχθροὶ δὲ τοιοῦτοι ἀφανδάνοντες καὶ πολέμιοι.

Ἀφάμαρτεν, ἀπέτυχεν. ἀπὸ τοῦ ἁμαρτῶ.

Ἀφαμαρτοεπής, ὁ ἁμαρτάνων ἐν τῷ λέγειν.

Ἄφαλον. Κυνέην ταυρείην ἄφαλόν τε καὶ ἄλοφον. τὴν ἐκ ταυρείου δέρματος, ἄφαλόν τε καὶ ἄλοφον κατὰ ἐπιτήδευσιν, ἵνα λανθάνῃ. φάλοι γὰρ τὰ ἐπὶ τῶν περικεφαλαιῶν μικρὰ ἀσπιδίσκια. λόφοι δὲ αἱ τρι-

Ἀφακά, σύρων μὲν ἐστὶν ἡ λέξις. δύναται δὲ κατὰ < χώσεις. Ἑλλάδα γλῶσσαν, εἶναι τὸ δημῶδες ἐπίρρημα, περίλημμα. ἐπὶ λαλούσης τῆς Ἀφροδίτης ἐκεῖ τὸν Ἄδωνιν. ἢ τὴν πρώτην, ἢ τὴν ἐσχάτην περιβολήν.

Ἀφανίσαι, οἱ παλαιοὶ οὐχὶ τὸ μολῦναι ὡς νῦν, ἀλλὰ τὸ τελέως ἀφανῆ ποιῆσαι.

Ἄφαρ, ἐπίρρημα μεσότητος ἀντὶ τοῦ εὐθέως. παρὰ τὸ ἁπλῶς ῥῆμα τὸ εὐθέως. οὕτω ταχέως καὶ ἅμα τῷ ἅψασθαι, καὶ ἵεσθαι γινόμενον. ἐξ οὗ καὶ οἱ Ἴωνες καὶ οἱ Ἐφέσιοι ἀφαρεὶ λέγουσι τὸ ταχέως, καὶ ἀσκόπως ποιεῖν τι καὶ φθέγγεσθαι. σημαίνει δὲ τέσσαρα. τὸ ταχέως, Ἄφαρ δ' ἔσπε Παλλὰς Ἀθήνη ἔγχει ἐμῷ. σημαίνει δὲ καὶ τὸ πρόχειρον καὶ παραχρῆμα. Ἄφαρ δὲ χρεὰ μύνειν ἐστὶ καὶ ἡμῖν. καὶ τὸ ἀφνίδιον. Ὡς δ' ἄφαρ ἐκ προχόων ἐλασαία τὸ μώνυχας ἵππους. καὶ τὸ ῥαδίως. Ἄφαρ δ' οἱ ἄγγελος < ἦλθεν.

Ἀφάρτεροι. τῶν δ' ἵπποι μὲν ἔασιν ἀφάρτεροι. ταχύτεροι. παρὰ τὸ ἄφαρ ἐπίρρημα σημαῖνον τὸ ταχέως. ἔνθεν οἱ Ἀλεξανδρεῖς, ἀφαρεὶ λέγουσι τὸ ἐσπουδασμένως καὶ ταχέως καὶ ἀπερισκέπτως ποιεῖν τι καὶ λέγειν.

Ἀφαρεύς, ὁ ἥρως. Ἀφαρῆτε δὴ ἴσυρόντε. ὁ δὲ Ἀπολλώνιος καὶ Πίνδαρος, ἀφαρῆος ὑποτίθεσι τὴν εὐθεῖαν. εἴρηται οὖν παρὰ τὸ φάρος τὸ παρὰ τοῖς ῥαγινοῖς συστελλόμενον. καὶ ἐν παραγωγῇ, ἀφαρεύς. ὁ δὲ Ἡρωδιανός φησι τὰ τοιαῦτα τῶν ὀνομάτων, παρὰ τῆς ἄρης συγκεῖσθαι. Τυνδάρης, ἀμφιάρης καὶ ἀμφιάραος. γέγονεν οὖν καὶ τὸ ἀφάρης οὕτως. εἶτα παρώνυμον, ἀφαρεύς. ὁ δὲ κρά-

της, παρὰ τὸ ἄφαρ ἐπίῤῥημα.

Ἀφάροτος, ἡ ἀναρότριαστος γῆ. φάρος γὰρ ἡ ἄροσις. οἷον, ἄφαρος, καὶ πλεονασμῷ τοῦ φ, ἄφαφαρος. καὶ αὕτη δὲ ἡ ἄροσις, παρὰ τὸ αἴρειν ἢ διαιρεῖν. ἢ φάρος, παρὰ τὸ φάρσαι, ὅ ἐστι σχίσαι. καὶ γὰρ διαφάρους φασὶ χιτῶνας, τοὺς εἰς δύο μέρη κεχωρισμένους. καὶ φάρσος, τὸ ἀπόσχισμα τῆς ἐσθῆτος. ἐκ τοῦ φ.

Ἀφαυρός, ὁ ἀσθενής. ἢ τὸ ἄγαν παῦρος καὶ ὀλίγος κατὰ δύναμιν. ἢ παρὰ τὸ φῶ τὸ λέγω. ὁ μέλλων, φάσω, γίνεται φαρός, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀφαρός. καὶ πλεονασμῷ τοῦ υ ἀφαυρός. ὁ μὴ δυνάμενος διὰ ἀσθένειαν λέξαι. ἢ ὁ μηδενὸς λόγου ἄξιος. ἢ παρὰ τὸ φῶ τὸ φαίνω, παράγωγον ῥῆμα, φάω. καὶ ἐξ αὐτοῦ φάρος ὄνομα. καὶ κατὰ στέρησιν, ἀφαρός. καὶ πλεονασμῷ τοῦ υ, ἀφαυρός, ὁ ἀλαμπὴς καὶ εὐτελής. ὀξύνεται δὲ τὸ φαρός, πρὸς ἀντιδιαστολὴν τοῦ παρὰ Καλλιμάχῳ εἰρημένου. οἷον, Ἠ ἄφαρον φαρόωσι. ἄφαρον δὲ τὴν ἀγεώργητον γῆν, παρὰ τὸ φέρω. ὡς τὸ φέρτερος.

Ἀφαυρά, ἀσθενῆ. ἀμαυρότερα. ἢ κουφότερα.

Ἀφάσσειν, τὸ ψηλαφᾶν. παρὰ τὸ ἅπτω, ἁφή, ἀφῶ, ἀφάσσω, τὸ τῇ ἁφῇ ὑποβάλλω. ὡς μάθη, μαθλάσσω.

Ἀφέστατε, ἀπόθεν καὶ χωρὶς ἑστήκατε. κατὰ συγκοπήν. ἀφεστᾶσι, πόῤῥωθεν ἑστᾶσιν. ἑστήκασι κατὰ συγκοπήν.

Ἄφεμα. ἐκ τοῦ ἵημι, ἵεμαι, εἷκα εἷμαι, ἕμα, καὶ ἐν συνθέσει, ἄφεμα, τὸ ἀπόσταλμα.

Ἀφετήρ, ἀπὸ τοῦ ἵημι, ἕτης, καὶ ἑτήρ, καὶ ἀφετήρ.

Ἀφ' ἑστίας ἄρχεται, τουτέστιν ἀπό τινος ἑστίας ἄρχεται. ἑστίαν γὰρ ἐκάλουν οἱ ἀρχαῖοι οὐ μόνον τὸ σκεῦος, οὐδὲ μὴν αὐτὴν τὴν θεάν, ἀλλὰ καὶ τὴν οἰκίαν. καθὰ ὅταν λέγῃ πᾶς γὰρ ἐπίστιόν ἐστιν ἑκάστῳ. καὶ Τρῶας μὲν λέξασθαι ἐφέστιοι ὅσσοι ἔασιν, ὅσσοι οἶκον ἔχουσι. καὶ ἐν τῇ συνηθείᾳ λέγεται. ἀφ' ἑστίας ἄρχεται, τουτέστιν ἀπό τινος οἰκίας ἄρχεται.

Ἀφελής, οὗ ὑγιὲς τὸ σῶμα καὶ ὁλόκληρος. οὕτω παρὰ Ἀθηναίοις. παρὰ τὸ μηδενὸς ἀφαιρεῖσθαι μέρους τοῦ σώματος, ἀλλ' ὑγιὲς εἶναι. λέγεται δὲ ἀφελὴς καὶ ὁ εὔκολος, ἐν ἄν τις ἐλοιδία τὴν εὐκολίαν. Ἀριστοφάνης ἱππεῦσι. Διὰ τῶν ἀφελῶν πεδίων ἔῤῥει καὶ τῆς στάσεως περιέσυρας. καὶ οἱ βασιλεῖς καὶ οἱ ἱερεῖς ἐδοκιμάζοντο Ἀθήνηθεν, εἰ ἀφελεῖς καὶ ὁλόκληροι. λέγεται καὶ ὁ ἁπλοῦς ἐν τῷ βίῳ.

Ἀφελῶν πεδίων, ἀντὶ τοῦ ὁλοκλήρων, κατὰ στέρησιν τῶν μεγάλων καὶ ἀνεπικωλύτων.

Ἀφέλεσθε. Ἐπεί μ' ἀφέλεσθέ γε δόντες. ἐπεὶ δή με δεδωκότες μοι αὐτὴν ἀφείλεσθε. καὶ ὑβρίσετε ἑαυτούς. οὐ γὰρ ἐμέ. ἀπὸ τοῦ ἕλω τὸ λαμβάνω, ἐν συνθέσει, ἀφέλω. ὁ παθητικὸς ἐνεστώς, ἀφέλομαι. τὸ πληθυντικόν, ἀφελόμεθα. τὸ δεύτερον, ἀφέλεσθε.

Ἀφερτή. οἷον, Ἀφερτὴ δ' ἀρετή. ἀπὸ τοῦ φέρω, γίνεται φερτός, καὶ φερτή, καὶ ἀφερτή. ἐκ δὲ τοῦ φερτός, προφερέστερος τὸ συγκριτικόν, καὶ προφερέστατος.

Ἀφέσιος, Ζεὺς ἐν Ἄργει τιμᾶται. εἴρηται δὲ ὅτι, Δευκαλίων τοῦ κατακλυσμοῦ γενομένου διαφυγών, καὶ εἰς τὴν ἄκραν τῆς Ἀργοῦς διασωθείς, ἱδρύσατο βωμὸν Ἀφεσίου Διός. ὅτι ἀφείθη ἐκ τοῦ κατακλυσμοῦ. ἡ δὲ ἄκρα, ὕστερον Νεμέα ἐκλήθη. ἀπὸ τῶν Ἀργείου βοσκημάτων ἐκεῖ νεμομένων. οὕτως Ἀῤῥιανὸς ἐτυμολογεῖ ἐν τῷ β' τῶν Βιθυνιακῶν.

Ἀφεῦ, εἰς τὸ ἕς.

Ἀφῆκα, ἐκ τοῦ ἵημι. ὁ μέλλων, ἥσω. ἧκα, καὶ ἐν συνθέσει, ἀφῆκα. Ὁ δ' ἀφήμενος οὐ καλέει. ἀντὶ τοῦ πόῤῥω καθεζόμενος.

Ἀφεῖναι, τὸ ἀπολῦσαι ἐγκλήματος. ἀφῆναι, τὸ τὰς ἐπισεσωρευμένας κριθὰς ταῖς χερσὶ τρίβειν.

Ἀφέωκα, τὸ θέμα ἀμφίβολον. ὁ παρακείμενος, ἀφεῖκα. εἶτα ἐλλείψει τοῦ ι, καὶ πλεονασμῷ τοῦ ω, ἀφέωκα. οὐ δεῖ δὲ τὰ ἀμφιβαλλόμενα παραλαμβάνειν. ἀλλ' ὥσπερ παρὰ τὸ πέπλεκα γίνεται πέπληκα, καὶ πέπλωκα κατὰ τροπὴν τοῦ η εἰς ω, οὕτω καὶ ἧκα. πλεονασμῷ τοῦ ε, ἕηκα. καὶ τροπῇ τοῦ η εἰς ω, ἀφέωκα. καὶ ὁ παθητικὸς παρακείμενος κατὰ τὸ τρίτον ἀφέωνται. οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν. τὸ δὲ θέμα, ἵημι. ὁ παρακείμενος, ἀφῆκα. καὶ Ἀττικῶς, ἀφέωκα. οἱ γὰρ Ἀττικοὶ εἶκα πλεονάζουσι τὸ ε κατὰ τὸν παρακείμενον, ὅτε καὶ τὸ ε ἐπαγόμενον φωνῆεν, τρέπουσιν εἰς ω. ὁ παθητικός, ἀφέωμαι. καὶ τὸ τρίτον τῶν πληθυντικῶν, ἀφέωνται.

Ἀφίει. ἔστι ῥῆμα ἰδίως περισπώμενον καὶ δασυνόμενον. ὁ παρατατικός, ἴουν, ἵεις, ἵει. καὶ ἐν συνθέσει, ἀφίει. καὶ προΐει. ἀφίειν δὲ ἐκ τοῦ ἀφίημι, ὡς τὸ ἐτίθην παρατατικός. Ἰστέον δὲ ὅτι τὸ τίθημι, καὶ δίδωμι, καὶ ἵημι, οἱ παρῳχημένοι μᾶλλον ἀπὸ τῶν εἰς ω εἰσὶν ἐν χρήσει ἤπερ ἀπὸ τῶν εἰς μι. Ὡς εἶπών ἐν χερσὶ τίθει. Καὶ ἐδίδουν αὐτῷ ῥαπίσματα. καὶ τὰ μὲν πρῶτα πρόσωπα τοῦ παρατατικοῦ, γράφεται διὰ τοῦ η, ὡς ἀπὸ τῶν εἰς μι. τὰ δὲ δεύτερα καὶ τρίτα διὰ διφθόγγου, ὡς ἀπὸ περισπωμένων.

Ἀφιᾶσιν. ἔστι ῥῆμα, ἵημι. τὸ δεύτερον, ἵης. τὸ τρίτον, ἵησι. τὸ πρῶτον τῶν πληθυντικῶν, ἵεμεν, ὅθεν τὸ ἀφίεμεν. τὸ δεύτερον, ἵετε, καὶ ἀφίετε. τὸ τρίτον, ἱεῖσιν. ὁμοίως τῇ δοτικῇ τῶν πληθυντικῶν τῆς ἰδίας μετοχῆς. ταῦτα δὲ τὰ τρίτα πρόσωπα τῶν εἰς μι πληθυντικῶς οἱ Ἴωνες προσάδω τοῦ α, καὶ συστολῇ τῆς παραληγούσης, προφέρουσιν. ἀφιᾶσι. τιθέασι. διδόασι. ζευγνύασι. καὶ ἀπὸ τοῦ ἱεῖσιν Ἰωνικῶς, ἱέασι. καὶ ἐν συνθέσει, ἀφιέασι. καὶ κατὰ συναίρεσιν Ἀττικήν, ἀφιᾶσιν. ἰᾶσι, πέμπουσιν. ἰᾶσι, πορεύονται.

Ἀφήτωρ, ὁ τοξότης. Οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει. ἢ γοῦν ὁ βαθμός. ἡ φλιά. παρὰ τὸ ἵημι, ἕτης, καὶ ἀφέτης. ὡς τίθημι θέτης, καὶ δίδωμι, δότης. ταῦτα δὲ γίνονται κατὰ τροπὴν εἰς ηρ. θέτης, θετήρ. καὶ συνθέσει, ὑμνοθετήρ. δότης δοτήρ. οὕτως ἕτης, ἑτήρ. καὶ ὡς δοτήρ, δώτωρ ἐάων, οὕτως ἕτης ἕτωρ, καὶ ἥτωρ, καὶ ἀφήτωρ, ὁ ἀφεὶς τὰ βέλη. ἢ ὁ ἥλιος. ἢ τοιόνδε ὁ φήτορος, ὁμοίως πᾶσι προφητεύοντος καὶ μαντευομένου, τῷ, τε πένητι καὶ τῷ πλουσίῳ.

Ἄφθα, ἡ ἐν στόματι ἕλκωσις. τὸ δὲ αὐτὸ καὶ φθόη.

Ἀφέξει. ἐκ τοῦ ἔχω, ἕξω. ἀπέχω, ἀφέξω. Οὐδ' ὅγε πρὶν λοιμοῖο χεῖρας ἀφέξει. ἐπίσχει. παύσει.

Ἀφίκμεθα. ἔστιν ἵκω. ὁ παθητικὸς δεύτερος ἀόριστος, ἱκόμην. τὸ δεύτερον, ἵκου. καὶ ἐν συνθέσει, ἀφίκου. ἀπὸ τοῦ ἵκω. ἵξω, ἷγμαι, ἵγμεθα, καὶ ἀφίγμεθα.

Ἀφηνιάζω. εἴρηται ἡ λέξις ἀπὸ μεταφορᾶς τῶν ἵππων τῶν σκληρυνομένων καὶ ἀποθέντων ἡνίων καθεστώτων. ἀφηνιάζειν οὖν ἐστι, τὸ σκληρύνεσθαι καὶ ἀποθεῖν τῆς εὐθείας ὁδοῦ εἶναι. γίνεται ἐκ τοῦ ἡνίον, ὃ σημαίνει τὸν λῶρον. ἡνιάζω, καὶ ἀφηνιάζω.

Ἄφλαστον. οἷον, Ἄφλαστα καὶ φώσσωνας ὠργυωμένους. τὰ ἀκροστόλια τῆς νηὸς κατὰ ἀντίφρασιν. ἔυθλαστα γάρ. κατὰ μετάθεσιν τοῦ θ εἰς φ. ὃ ὥσπερ λέγεται καὶ κορωνίς. καὶ ἀπὸ τοῦ κρικίου τῆς θύρας. καὶ τὸ ἐν τοῖς βιβλίοις ἐπικαμπὲς σχῆμα, ὅτε σημεῖον ποιοῦμεν. διαφέρει δὲ τῶν κορύμβων. ἄφλαστα μὲν λέγονται τὰ πρυμνήσια. κόρυμβα δὲ τὰ πρωρήσια.

Ἀφλοισμός. οἷον, Ἀφλοισμὸς δὲ περὶ στόμα γίνεται. γέγονε παρὰ τὸν ἀφρόν. ἀφροισμός, καὶ ἀφλοισμός. ἢ παρὰ τὸ ἀφρίζω, ἀφρισμός. καὶ μεταβολῇ τοῦ ρ εἰς λ καὶ πλεονασμῷ τοῦ ο. ἢ παρὰ τὸ φλέω, φλοισμός. καὶ ἀφλοισμός. ἔστι δὲ ψόφος ποιός, ἢ ἀφρός.

Ἄφενος. ἔστιν ἔμος, ὁ ἐνιαυτός. Καλλίμαχος. Τετράενον Δαμάσου παῖδα Νεοπτόλεμον. καὶ παρ' Ὁμήρῳ. Ἠνις ἠκέστας, τουτέστιν ἐνιαυσιέας. παρὰ τὸ ἕω τὸ πληρῶ. ἐκ τούτου γίνεται σύνθετον, ἄφενος. ὁ πληρούμενος ἐνιαυτοῦ συναγόμενος πλοῦτος. πλοῦτος δὲ ὁ ἐκ πολλῶν. ὁ ποιητής, οὐδετέρως χρῆται τῇ λέξει. τινὲς δὲ ἀρσενικῶς. Τὸ ἀπ' ἐνιαυτοῦ περιόντες νέωτα. ἢ ἀπένος, τὸ μὴ ἐν πενίᾳ, ἀλλ' ἐν περιουσίᾳ χρημάτων. Οὐδέ σ' οἴω ἄφενος καὶ πλοῦτον ἀφύξειν. ὅτε μὲν κλίνεται ἄφενος ἀφένου, ἀρσενικόν ἐστιν. οἷον, Οὕτ' ἀρετὴ ἀφένοιο. ἄφενος λέγεται ὁ ἄνθρωπος ὁ πλήρης τοῦ ἀφένου ὀξυτόνως. ὅτε δέ ἐστιν ἄφενος ὡς τέμενος, οὐδέτερόν ἐστι. τὸ ἄφενος, τοῦ ἀφένους. ἡ δοτική, τῷ ἀφένει, καὶ κατὰ συγκοπήν, ἀφνει. παρὰ τὸ ἄφενος, γίνεται ἄφνος κατὰ συγκοπήν, ᾧ κέχρηται Πίνδαρος. Οἱ δ' ἄφνει πεποίθασιν. ἐκ τούτου γίνεται ῥῆμα, ἀφνῶ. καὶ ἐξ αὐτοῦ, ἀφνήμων. Ἀντίμαχος. Πολλὰ δὲ μῆλα τά περ ἀφνήμονας ἄνδρας.

Ἀφνειός, ἐκ τοῦ ἄφενος. πλεονασμῷ τοῦ ε, ἀφένεος. καὶ κατὰ συγκοπήν, ἀφνεός. καὶ ἀφνειὸς βιότοιο, ὁ πλούσιος. ἢ οἷον ἀπένεος, ὁ μὴ πενόμενος.

Ἄφνω. παρὰ τὸ ἀφανὴς ὄνομα, γίνεται ἐπίῤῥημα ἀφανῶς. καὶ συγκοπῇ καὶ ἀποβολῇ τοῦ σ, ἄφνω, τὸ ἐξαίφνης.

Ἄφοδος, ὁ ἀπόπατος. οἷον εἰ ἔξω τῆς ὁδοῦ γινόμενος. πάτος γὰρ ἡ ὁδός. λέγεται δὲ ἄφοδος καὶ ἡ ἀναχώρησις. ὥσπερ καὶ ἔφοδον τὴν ἐπέλευσιν λέγομεν.

Ἀφόρδιον, ἡ ἀκαθαρσία, καὶ τὸ ἄξιον ἀπελασίας. εἴρηται παρὰ τὸ ἀφορίζω, ἀφορίζιον, καὶ ἀφορίδιον, καὶ ἀφόρδιον. συγκοπῇ. τὸ ἀφορίζεσθαι καὶ ἀπελαύνεσθαι ἄξιον. ἢ ἀφοδία, καὶ ἀφορδία.

Ἀφοσιοῦται, τὸ πληροῦται. ἀπὸ τοῦ ὅσιος, ὁσιῶ, καὶ ἀφοσιῶ, τὸ τὰ νενομισμένα αὐτῇ τῇ ταφῇ πληρῶσαι. εἰς τὸ ἀφός. Ἰλιάδος ξ.

Ἀφόωντα. Καὶ ἀγκύλα τόξ' ἀφόωντα. ψηλαφῶντα. ἀπὸ τοῦ ἁφή, ἀφῶ. ἢ φόωντα, ἀντὶ τοῦ λαμπρύνοντα. καθαίροντα. ἀπὸ δὲ τοῦ ἀφῶ, ἀφάω. ἀφάοντα, ἀφῶντα. καὶ πλεονασμῷ τοῦ ο, ἀφόωντα.

Ἄφρων, παρὰ τὸ φρῶ τὸ ποιῶ. μετὰ τοῦ στερητικοῦ α, ἄφρων.

Ἀφραίνω, ἐκ τοῦ φρήν, φρενός, φραίνω καὶ ἀφραίνω. καὶ ἀφραίνοντα, ἀφρονοῦντα. ἀνοηταίνοντα.

Ἀφήτωρ. ὁ φατρίαν καὶ συγγένειαν μὴ ἔχων. φατρία δὲ κυρίως, τὸ τρίτον μέρος τῆς φυλῆς. ἄφιλος. ἢ ἄπολις.

Ἀφροντιστήσας, ἀμεριμνήσας, ἢ ἀμελήσας, ἀπὸ τοῦ ἀφροντιστῶ. τοῦτο παρὰ τὸ φροντίζω, φροντίσω. πλεονασμῷ τοῦ τ μετὰ περισπωμένης, φροντιστῶ, καὶ ἀφροντιστῶ, καὶ ἀφροντιστήσας μετὰ τοῦ στερητικοῦ α. τὸ φροντίζω, παρὰ τὸ φροντίς. τοῦτο παρὰ τὸ τὰς φρένας τιθέναι. οἱ γὰρ φροντίδας ἔχοντες, τὰς φρένας τιμωροῦνται.

Ἀφρός, ἐκ τοῦ προΐω, γίνεται προῶ, καὶ πρῶ, καὶ φρῶ ῥῆμα. ἐκ τούτου γίνεται φρός. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀφρός. τὸ μετὰ σφοδρᾶς φορᾶς προϊέμενον.

Ἀφοσιώσας, ὁ καθάρας. ἢ ξενώσας, ἢ τὴν ὁσίαν ποιήσας, τουτέστι τὴν κηδείαν, ἢ τὴν ἐπὶ τῷ θανάτῳ μνήμην. ὅσιον λέγεται τὸ καθαρὸν τὸ ὀφειλόμενον. διὰ τοῦτο καὶ τὴν ὁσίαν τῶν ἀπελθόντων φαμέν. τουτέστιν οὐδὲν ὀφείλω αὐτοῖς, λοιπὸν οὐκ εἰμὶ ὑπεύθυνος. ἢ μᾶλλον ἀφοσιούμενοι, τιμῶντες. ἢ τὸ ὅσιον καὶ τὸ καθαρὸν καὶ τὸ ὀφειλόμενον ποιῶ. παρὰ τὴν ἄφος, ὃ σημαίνει τὴν ῥαγάκανθον. ἀφόσιοι γὰρ καὶ καθαίρει τὰ ἐν τῷ θώρακι ὑγρά.

Ἄφρεον, ἢ ἄφριζον. ἀφρὸν ἔπεμπον.

Ἀφροδίτη, παρὰ τὸ δύειν ἐκ τοῦ ἀφροῦ, ἤγουν ἀνέρχεσθαι τοῦ θαλασσίου. ἐκεῖθεν γὰρ ἀνῆλθεν. Ἡσίοδος τὴν Ἀφροδίτην, ἀφρογενέαν θεὰν κικλήσκει. Οὕνεκεν ἀφρῷ θρέφθη. ἀτὰρ Κυθέρειαν, ὅτι προσέκυρσε Κυθήροις. ἡ δὲ Φιλομμηδέα, ὅτι μηδέων ἐξεφαάνθη. τινὲς δὲ παρὰ τὸν ἀφρὸν τῆς συνουσίας. ἔφορος γάρ ἐστιν. ἢ διὰ τὸ ἐνθαλάττιον αὐτῆς τὴν γένεσιν εἶναι. τινὲς δὲ παρὰ τὴν ἀφροσύνην. ἡ γὰρ ἀφροσύνη, ἐν αἰτίᾳ ἐστί

τῇ φρονήσει. ἤγουν τῇ ἀθηνᾷ. ὁ δὲ δίδυμος παρὰ τὸ ἁβρὸν τῆς διαίτης. διχῶς δὲ ἡ ἁβροδίαιτος· ὅτι δι' αὐτὴν διὰ τὸ κάλλος χλιδῆς. ἢ ὅτι οἱ κατεχόμενοι τῇ δὲ τῇ θεῷ ἁβροὶ καὶ πολυτελεῖς. τὸ β τῷ φ συγγενές ἐστι δῆλον ἐκ τοῦ μακεδόνας μὲν τὸν φίλιππον βίλιππον καλεῖν. καὶ τὸν φαλακρόν, βαλακρόν. καὶ τοὺς φρύγας. βρύγας. καὶ τοὺς ἀνέμους διὰ τὸ φυσᾶν φυσήτας ὄντας, βύκτας. ὅμηρος, Βυκτάων ἀνέμων.

Ἀφραδία. ἡ ἀπειρία. ἐκ τοῦ ἀφραδής. τοῦτο ἐκ τοῦ φράζω, φραδής. καὶ μετὰ τοῦ στερητικοῦ α, ὁ ἄβουλος. καὶ ἄπειρος. καὶ τὸ θηλυκόν, ἀφραδία.

Ἀφραδίῃσιν. ἀβουλίαις. ἀφροσύναις. ἀπὸ τοῦ φράζω, ἔφραδον, φραδία, καὶ ἀφραδία. καὶ ἀφραδέοντα, ἀσυνετοῦντα. καὶ ἀφραδέως, ἀνοήτως. ἀσυνέτως. ἀπείρως. ἀπὸ τοῦ ἀφραδής.

Ἀφροδίτη, σημαίνει δύο. τὴν μὲν τῆς θεοῦ, Ἀμφιάρεω φιλότητος ἐϋστεφάνου ἀφροδίτης. καὶ τὴν τῆς συνουσίας. Καὶ ἐκλελάθον τ' ἀφροδίτης τὴν ἄρ

Ἀφυής. ἐκ τοῦ φυή, ὃ σημαίνει τὸν τρόπον καὶ τὴν θέσιν. Ἀμφοτέρην δὲ φυὴν ἐδάην. μετὰ τοῦ στερητικοῦ α, ἀφυής. ὁ κακότροπος.

Ἀφύη. ἰχθύδιον μικρὸν καὶ εἴρηται δὲ ἑνικῶς σπανιάκις. πλεονάκις δὲ πληθυντικῶς. ἀριστοφάνης. Οὐ πώποτ' ἀφύας εἶδον ἀξιωτέρας. εἴρηται δὲ παρὰ τὸ μὴ εἰς μέγεθος φύεσθαι, φύω. φυὴ καὶ ἀφύη. ἢ ἡ μὴ πεφυκυῖα. τοῦ α κακὸν σημαίνοντος. ὁ παιανός. Ὧδε καὶ ἡ πεδανὴς ἀφύης ὀλίγη πέλει ἔθνος οὔτινος ἐκγεγάασιν ἀφ' αἵματος οὐδὲ τοκήων. καὶ μεθ' ἑτέρων ζήτει στίχους. Ἐκ δὲ γενέθλης οὔνομ' ἐπικλήδην ἀφήτιδες αὐδάωνται. γράφεται ἀφυήτιδες.

Ἀφυσγετόν. τὴν ἰλὺν δέ, καὶ συρφετόν. παρὰ τὸ ἀφύω. ἀφ' οὗ τὸ ἀφύσσω. ὡς ὑλάω ὑλάσσω ὀδύω, ὀδύσσω τὸ ὀργίζομαι. γίνεται ἀφυγετός. ὡς πήσσω, παγετός. καὶ πλεονασμῷ τοῦ σ, ἀφυσγετός. τὸ ἀφυσσόμενον ἀπὸ τοῦ ῥεύματος. τρέπεται γὰρ τὰ διὰ τοῦ σσ εἰς γ. ἢ παρὰ τὸ φεύγω, φυγετόν, καὶ ἀφυγετόν. τὸ μὴ ἀποφεῦγον τῇ καταφορᾷ τοῦ ῥεύματος.

Ἀφύσσω. ὁ μέλλων, ἀφύξω. ἀπὸ τοῦ ὕω τὸ βρέχω, ὁ μέλλων, ὕσω. καὶ ἐν συνθέσει ἀφύσω, πλεονασμῷ ἑτέρου σ. τοῦτ' ἔστι τὸ ἀπό τινος ἐπιῤῥέοντος ἀπαντλᾶν καὶ ἀπαῤῥύεσθαι. ἢ ἐκ τοῦ ἀρύω τὸ ἀπαντλῶ, ἀρύσσω. καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς φ, ἀφύσσω, ἀφυσσόμενοι. ἐκ τοῦ φύω τὸ κρατῶ. Ἐν τ' ἄρα οἱ φῦ χειρί. μετὰ τοῦ ἐπιτατικοῦ α, ἀφύω, ὁ μέλλων, ἀφύσω, καὶ πλεονασμῷ τοῦ σ μεταγομένου τοῦ χρόνου εἰς ἐνεστῶτα, ἀφύσσω. ἀνατρέπεται δέ, ἐπειδὴ τὰ ἀπὸ μελλόντων εἰς ἐνεστῶτα παραγόμενα, ἄχρι τοῦ παρατατικοῦ κλίνεται. δωρικὴ δὲ ἡ λέξις. καὶ πλεονασμῷ τοῦ λ, λαφύσσω. ἀπὸ μεταφορᾶς τῶν φυσσωμένων ἀσκῶν.

Ἀφυλίσαι. παρὰ τὴν ἰλύν. καὶ κατὰ μετάθεσιν, ὕλις. καὶ ἐν συνθέσει, ἀφυλίσαι.

Ἄφυκτος. παρὰ τὸ φεύγω, φευκτός. ὡς ἔχω, ἑκτός, καὶ εὔχω, εὐκτός. καὶ κατὰ ἔνδειαν τοῦ ε, φυκτός, καὶ ἄφυκτος. εἰς ὃ τέτυκται.

ΤΟ ΑΛΦΑ ΜΕΤΑ ΤΟΥ Χ

Ἀχανὲς πέλαγος. παρὰ τὸ χαίνω. χανῶ. χανές. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀχανές. τὸ λίαν κεχηνός. δηλοῖ δὲ καὶ ἄνεον εἶναι καὶ μὴ χαίνειν κατὰ στέρησιν.

Ἀχάναι, σκεῦος εἰς ἐπισιτισμὸν χρήσιμον. εἴρηται παρὰ τὸ χαίνειν. χάνη καὶ ἀχάνη τοῦ α ἐπιτατικοῦ νοουμένου.

Ἀχαιός, ἐθνικόν. ποσαχῶς λαμβάνονται τὰ ἐθνικά, τετραχῶς. ἐκ πόλεως. ἐξ ἔθνους. ἐκ χώρας. ἐκ βασιλείας. τὸ δὲ ἀχαιός, ἀπὸ ἀχαιοῦ βασιλέως. τὰ διὰ τοῦ αιος, εἰ ἔχοιεν πρὸ τῆς αι διφθόγγου τὸ χ, προπερισπᾶται. οἷον, ἀχαῖος. βοχαῖος. σεσημείωται τὸ ἀχαιός. καὶ τὸ εὐρυσχαιός.

Ἀχαιΐδες. ἔστι δὲ ἐθνικόν, ἐκ τοῦ ἀχαιΐς. τοῦτο ἐκ τοῦ ἀχαΐα, καὶ σημαίνει δύο. τὸ δὲ ἀχαιός, εἶδος τῶν ὑποπεπτωκότων τῷ ὀνόματι, ἐθνικοῦ.

Ἀχαιΐνεα, ἡ ἔλαφος. ἀπολλώνιος. Ἣν τ' ἀγρῶται ἀχαιϊνέην καλέουσιν. ἀπὸ ἀχαιϊνέας πόλεως, ἐν ᾗ εἴδη εἰσὶν ἐλάφων μεγάλων.

Ἀχαιά, ἡ δημήτηρ παρὰ ἀττικοῖς. ἀριστοφάνης ἀχαρνεῦσιν. Οὐδ' ἂν τὴν ἀχαιὰν ῥαδίως ἠνέσχετ' ἄν. εἴρηται παρὰ τὸ ἄχος τῆς κόρης. ἢ ὅτι μετὰ κυμβάλων ἤχουσα τὴν κόρην ἐζήτει. ἢ ὅτι τοῖς ταναγραίοις μεταστᾶσιν ἐκ τανάγρας ἡ δημήτηρ κατ' ὄναρ φανεῖσα, ἐκέλευσεν αὐτὰς ἀκολουθῆσαι τῷ γενομένῳ ἤχῳ. καὶ ὅπου ἂν παύσηται ἐκεῖ πόλιν κτίσαι. καὶ ἱδρύσαντο ἱερὸν ἀθηνᾶς δημήτερος.

Ἀχαιμένης. ὁ ἥρως, ἀφ' οὗ καὶ οἱ πέρσαι ἀχαιμενίδαι. γέγονεν υἱὸς περσέως. ὠνόμασται δὲ ἀπὸ τοῦ εἶναι τὸν προπάππον αὐτοῦ ἀπὸ τῆς ἀχαΐας. οὕτω νικόλαος ἐν δευτέρῳ τῶν ἱστοριῶν.

Ἀχέρων, ὁ ἐν ᾅδου ποταμός. παρὰ τὸ ἐστερῆσθαι χαρᾶς τοὺς ἐκεῖ κατιόντας. ἢ ὅτι τὰ ἄχεα ῥέων. καὶ καθ' ὑπέρθεσιν, ἀχέρων.

Ἀχερωΐς. ἡ λεύκη τὸ δένδρον. παρὰ τὸν ἀχέροντα ποταμόν. φασὶ γὰρ τὸν ἡρακλέα μετὰ τὸν κέρβερον κατελθόντα, καὶ παρὰ τῷ ἀχέροντι πεφυκὸς τὸ δένδρον ἑωρακότα, ἡσθῆναι ἐπὶ αὐτῷ καὶ ἀνενεγκεῖν. καὶ παρὰ τὸν ἀχέροντα, ἀχεροΐδα καλεῖσθαι. ἵν' ᾖ ἀχεροντίς. καὶ κατὰ συγκοπὴν καὶ ἔκτασιν τοῦ ο εἰς ω, ἀχερωΐς. ἀριστοτέλης δὲ τὴν αἴγειρον λέγει, ὅτι πάντα τὰ ὑλώδη φυτά, ἀχερούσια λέγει.

Ἀχερουσίας, λίμνη ἐστὶ πλησίον ἡρακλείας πόντου. Ἔνθα μὲν εἰς ἀΐδαο καταιβάτις ἐστὶ κέλευθος, ἀκτή τε προβλὴς ἀχερουσιὰς ὑψόθι τείνει.

Ἄχερδος, ἡ ἀγρία ἄπιος. ἀχερός τις οὖσα. ἡ δυσχερὴς ταῖς χερσὶ λαβέσθαι. καὶ πλεονασμῷ τοῦ δ, ἄχερδος. ὡς δείω, δείδω. οἷον, μοχθηρὸς ὢν καὶ τὴν γνώμην ἀχερδούσιος. ἢ σκληρός. ἔστι δὲ εἶδος ἀκάνθης.

Ἀχέων, λυπούμενος. παρὰ τὸ ἄχος, ἀχέω. ἀχεύων δέ, ἀπὸ τοῦ ἀχεύω.

Ἀχελῶος, ποταμὸς μεταξὺ αἰτωλίας καὶ ἀκαρνανίας. κοινῶς δὲ πᾶν ὕδωρ ἀχελῷος καλεῖται. διότι δὲ τῶν ἐν τῇ ἑλλάδι ποταμῶν μέγιστος εἶναι ὁ ἀχελῷος. διὸ καὶ πᾶν ὕδωρ τῇ τούτου προσηγορίᾳ καλεῖται. καὶ ὅμηρος. Τῷ οὐδὲ κρείων ἀχελώϊος ἰσοφαρίζει.

Ἀχῆνες, οἱ πένητες. ἤτοι ἀχῆνες τινὲς ὄντες. οἱ μηδὲν ἔχοντες. ἢ παρὰ τὸ τὰ κενὰ τῶν σκευῶν ἠχεῖν. ὧν ἡ πενία τὰ ἀγγεῖα ποιεῖ ἠχεῖν.

Ἀχηρής, ὁ λυπηρός, ἐκ τοῦ ἀχαρής. ἐκτάσει τοῦ α εἰς η, ἀχηρής. διὰ τί ὀξύνεται. οὐ γὰρ ἐστὶ τοῦ τύπου τῶν διὰ τοῦ ηρης. ὁ τόνος οὖν λέγει τὸ σχῆμα, ὅτι οὐκ ἀπὸ τοῦ ἄχος ἀχήρης, ὡς ξίφος ξιφήρης.

Ἄχθος ἀρούρης. παρὰ τὸ ἄγω ἀκτός, καὶ ἄχθος. ὡς ἔχω, ἑκτός. τὸ ἀγόμενον καὶ βαρυνόμενον. ἢ παρὰ τὸ ἄχος, πλεονασμῷ τοῦ θ.

Ἀχιλλεύς, παρὰ τὸ ἄχος λύειν. ἰατρὸς γὰρ ἦν. ἢ διὰ τὸ ἄχος ὅ ἐστι λύπην ἐπενεγκεῖν τῇ μητρὶ καὶ τοῖς ἰλιεῦσιν. ἢ διὰ τὸ μὴ θιγεῖν χείλεσι χιλῆς, ὅ ἐστι τροφῆς. ὅλως γὰρ οὐ μετέσχε γάλακτος, ἀλλὰ μυελοῖς ἐλάφων ἐτράφη ὑπὸ χείρωνος. ὅτι ὑπὸ μυρμιδόνων ἐκλήθη καθάπερ φησὶν εὐφορίων, Ἐς φθίην χίλοιο καὶ ἤϊε πάμπαν ἄπαστος. τοὔνεκα μυρμιδόνες μιν ἀχιλλέα φημίξαντο.

Ἀχλάξ, ἡ λιθώδης, καὶ ψαμμώδης ἄμμος, ἢ ὁ μικρός.

Ἀχλύς, σκοτία. ἀορασία. ἡ ἄγαν ἀλύουσα λίθος. καὶ ἀποκρύπτουσα παρὰ τὸ ἀλύω τοῦ α ἐπιτατικοῦ. ἢ ἀπὸ τοῦ ἄχω ἀχὺς καὶ ἀχλύς. παρὰ τὸ τὰς ὄψεις ἡμῶν ὀχλεῖν καὶ λυπεῖν. ἔστι χέω, καὶ ἐξ αὐτοῦ γίνεται χύω, χύσω. ὡς πρέω, ῥύω. ἀποβολῇ τοῦ ω, χύς. καὶ πλεονασμῷ τοῦ λ, χλύς. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀχλύς, ἡ πάνυ κεχυμένη. ζόφος γάρ ἐστιν. ἢ παρὰ τὸ ἄγαν καὶ τὸ ἐλῶ. ἡ ἄγαν συγκλείουσα καὶ ἀποκρύπτουσα.

Ἀχνάσδημι, κακῶς παρὰ ἀλκαίῳ. ἔστιν ἄχω. παράγωγον, ἀχάζω. ἀχάζημι, καὶ τροπῇ τοῦ ζ εἰς σ καὶ δ πλεονασμῷ τοῦ ν, ἀχνάσδημι. οὕτως ἡρωδιανὸς περὶ παθῶν.

Ἄχνη, σημαίνει δύο. τὸ ἄχυρον. Ὡς δ' ἄνεμος ἄχνας φορέει. λέγεται καὶ τὸ ἐπιπολάζον τῇ θαλάσσῃ. Ἄχνη ὑπεκρύφθη. ἄχνη πᾶσα λεπτότης ὑγροῦ τε καὶ ξηροῦ. ἐπὶ μὲν ὑγροῦ, Ἀπέπτυεν δ' ἁλὸς ἄχνην. ἐπὶ δὲ ξηροῦ, Κρινόντων καρπόν τε καὶ ἄχνας. παρὰ τὸ ἔχω, ἔχνη. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀέχνη τις οὖσα. ἡ μὴ δυναμένη ἔχεσθαι καὶ κρατεῖσθαι διὰ τὸ λεπτομερὲς καὶ τρομόν. ἀλέξανδρος δὲ ὅτι ἀσκληπιός λέγει αὐτὴν παρὰ τὸ ἀΐξω μέλλοντα εἶναι. ὡς τεύχω τεύξω, τέχνη. ἀποβολῇ τοῦ ι. ζήτει εἰς τὸ ἔχνης.

Ἀχνύς, ἡ λύπη. παρὰ τὸ ἄχος, γίνεται παρώνυμον ἀχύς. καὶ πλεονασμῷ τοῦ ν, ἀχνύς. Οἱ τῆς δ' ὀλοφυρομένης, ἀμφ' ἄχνυϊ εἴβεται αἰών.

Ἄχνυμαι. ἐκ τοῦ ἄχος, ἀχῶ, ἀχύω, ἀχύνω πλεονασμῷ τοῦ ν. ὡς δύω, δύνω. ἐν ὑπερβιβασμῷ, ἀχνύω. καὶ παράγωγον, ἄχνυμι. ὁ παθητικὸς ἐνεστώς, ἄχνυμαι.

Ἄχος, ἡ λύπη. ἐκ τοῦ χῶ τοῦ δηλοῦντος τὸ διαχεῖσθαι. ἐξ οὗ καὶ τὸ χαίρω. γίνεται ἀχῶ. παρὰ τὸ μὴ διαχεῖσθαι, ἀλλὰ συνέχεσθαι τὴν ψυχὴν ὑπὸ λύπης. ὅθεν καὶ τὸ χαίρειν εἴρηται, παρὰ τὸ διαχεῖσθαι τὴν ψυχὴν ὑπὸ τῆς ἡδονῆς. ἢ παρὰ τὸ ἔχω κατ' ἀντίφασιν ὃ οὐ θέλει τις ἔχειν. ἢ χῶ τὸ χωρῶ, χός. μετὰ τοῦ στερητικοῦ ἄχος. τὸ μὴ χωρούμενον διὰ τὴν λύπην. ἢ χῶ, τὸ χέω. μετὰ τοῦ στερητικοῦ, ἄχος. τὸ μὴ χεόμενον. ἢ παρὰ τὸ ἔχω.

Ἀχῶρα. ἀρσενικῶς, τὰ ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ πίτυρα. ἀριστοφάνης. Ἀδεχὴ γὰρ αὐτοῦ τὴν ἀχῶρα ἐκλέγεται ἀεὶ ἐκ τοῦ γενείου. ἡ εὐθεῖα, ἀχώρ. κατὰ ἀποβολὴν τοῦ ν ἀπὸ τοῦ ἀχνώρ ἀπὸ τοῦ ἄχνη. ὃ σημαίνει πᾶν λεπτομερὲς καὶ κοῦφον. ἀχὼρ δὲ σημαίνει τὸ πιτυρῶδες τῆς κεφαλῆς.

Ἀχράς, ἡ ἀγρία ἄπιος παρὰ τὴν ὄχλησιν τὴν ἐν τῷ ἐσθίεσθαι γινομένην ὑπὸ αὐτῆς. ἢ ἡ μηδέπω ἐν χρείᾳ γεγονυῖα.

Ἄχραντον. ἀμόλυντον καὶ καθαρόν. παρὰ τὸ χραίνω χρανῶ, χραντὸς καὶ ἄχραντος. ἢ ἀχέραντον. οὗ μηδέπω χεὶρ ἥψατο. ἢ τὸ μηδέπω ἐν χρείᾳ γεγονός. ἢ ἀχρόαντον, τὸ μὴ χροὸς ἁψάμενον.

Ἀχρεῖος. ἐκ τοῦ χρεία μετὰ τοῦ στερητικοῦ α, ἀχρεῖος οὗ μὴ ἔχει τις χρείαν. καὶ ὤφειλεν εἶναι ἄχρειος. ὅτι τὰ ἀπὸ τοῦ εἰς α καὶ η θηλυκῶν συντεθέντα, προπαροξύνονται. πύλη, εὐρύπυλος. ἀλλὰ τὰ διὰ τοῦ ειος ἔχοντα ἐν τῇ πρώτῃ συλλαβῇ τὸ ἄλφα, πρὸ μιᾶς ἔχει τὸν τόνον. καὶ τὸ οὐδέτερον, ἀχρεῖον. ἀπὸ δὲ ὀνόματος μετετέθη εἰς ἐπιῤῥηματικὴν σύνταξιν.

Ἀχρεῖον. ἔστι ῥῆμα χρεῶ, δηλοῦν τὸ ἅπτομαι καὶ πλησιάζω. ἐξ οὗ παράγωγον, χραύω. ἀφ' οὗ τὸ ἔχραε, τὸ ἐπεβάρυνεν. ἐξ οὗ χρής, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀχρής. καὶ ἀχρεῖον, τὸ ἀσθενές, καὶ βάρους ἀμέτοχον. οἷον, Ἀχρεῖον ἰδών. ἀντὶ τοῦ ἀσθενῶς καὶ ταπεινῶς. ἰλιάδος β. ἐπὶ δὲ τῆς πηνελόπης. οἷον, Ἀχρεῖον δ' ἐγέλασσεν. ἔστι πλαστὸν καὶ ἐπιπόλαιον, μέχρι τοῦ τὰ χείλη διανοίγειν.

Ἀχρήϊος, ἔστι κτητικόν, ἀπὸ τοῦ ἀχρεῖος κατὰ ἔκτασιν τοῦ ε εἰς τὸ η. καὶ διαστάσει τοῦ ι, ἀχρήϊος, οἷον, Ἀχρῆς δ' ἀνέπαλτο.

Ἀχρής. ἔστιν ἀχροῦς. καὶ τροπῇ αἰολικῇ τῆς ου διφθόγγου εἰς τὸ η, ὡς παρὰ τὸ φοβούμενος, φοβήμενος, γίνεται ἀχρής. ἢ ὡς παρὰ τὴν χροιάν, γίνεται μελαγχροίης, οὕτως ἀχροίης. καὶ κατὰ συγκοπήν, ἀχρής.

Ἄχρι. ἕως. παρὰ τὸ μέχρι ἐπίρρημα γίνεται κατὰ ἀποβολὴν τοῦ μ, καὶ μεταθέσει τοῦ ε εἰς α.

Ἄχνη. ὅμηρος τὸ ἐπιπολάζον τῇ θαλάσσῃ ἀφρῶδες. ἱπποκράτης τὸ λεπτὸν ξύσμα τοῦ λίνου. αἰσχύλος δὲ τὸν καπνόν. καὶ ἀριστοφάνης οὕτως. Ἄχνη ἴπνου.

Ἄχος. ἡ ἀχλὺς ποιοῦσα τοὺς παθόντας. ἐκ τοῦ τῆς πολλῆς λύπης, φθέγγεσθαι ἐπεχόμεθα.

Ἄχυρον. ἡ καλάμη ἡ ἀλλοιωθεῖσα, ἄχυρον λέγεται. εἴρηται παρὰ τὸ ἀεὶ χυρὸν τι ὄν. οὐδὲν ἔχον ἐχυρόν.

Ἀχυρμιαί, οἱ τόποι εἰς οὓς τὰ ἄχυρα λικμώμενα ἐπιφέρονται. ἀχυριαί τινες οὖσαι. πλεονασμῷ τοῦ μ.

Ἀχύνετον, σημαίνει τὸ πολύ. νίκανδρος. Ἔνθα πῦρ μὲν ἀείζωον καὶ ἀχύνετον ἔζεσεν ὕδωρ. τὸ πολὺ χυτόν. ἢ πολὺ ἐκζέσαν πῦρ. εὐλαβεῖται τὸ ὕδωρ. ὁπηλίκον δὲ ἐὰν ᾖ σβέννυσι τὸ ὕδωρ. ἐγράφη δὲ τὸ α κατ' ἐπίτασιν. ὡς ἄξυλος. ἀπὸ τοῦ χύω. χέω. χύνω χύνετον, καὶ ἀχύνετον.

ΤΟ ΑΛΦΑ ΜΕΤΑ ΤΟΥ Ψ

Ἄψεα. κυρίως αἱ συναφαὶ τῶν μελῶν· καταχρηστικῶς δὲ καὶ τὰ μέλη. παρὰ τὸ ἅπτω, ἅψω, ἄψον. καὶ ἄψεα, τὰ ἐξ ἀλλήλων συγκείμενα καὶ συνηρμοσμένα. νίκανδρος. Τῶν δέ τε κάμνοντος ὀλίγος περὶ ἄψεα θυμός.

Ἀψεγέως, σημαίνει τὸ ἀμέμπτως. κατασκευάζεται ὥσπερ τὸ ἀψοφέως. ἀπὸ τοῦ ἄψοφοι ἀψόφων, γέγονε τὸ ἐπίρρημα ἀψόφως. καὶ πλεονασμῷ τοῦ ε ἀψοφέως. διαιρεῖσθαι δὲ οὐκ ἔστιν. ὅμοιον δὲ τούτου καὶ τὸ ἀπερέως παρ' ἡσιόδῳ. ἀπὸ τοῦ περέως τὸ ταχέως.

Ἀψίνθιον. εἶδος βοτάνης πικρᾶς. ὡς καὶ τὸ ἀβρότονον. ἔνιοι δὲ τῶν κωμικῶν, ἀπίνθιον καλοῦσι. καὶ ἔστιν ἤτοι ἀπίνθιον. ὃ οὐκ ἄν τις πίνοι διὰ πικρότητα. ἢ παρὰ τὸ ἅπτω. οὗ οὐδεὶς ἅπτεται.

Ἀψίνορον. παρὰ τὸ ἄψ ὃ σημαίνει τὸ εὐθέως, καὶ τὸ νόρος. τὸ εὐθέως νόρον λαμβάνον, καὶ ταχέως πληρούμενον. καὶ ἀτιμαγία, ἢ πρὸς ὀλίγον διαφορά.

Ἀψίς, σημαίνει τὸν δεσμόν. ὡς τὸ, Μή πως ὡς ἀψῖσι λίνου ἁλόντε πανάγρου. εἴρηται παρὰ τὸ ἅπτω τὸ σημαῖνον τὸ δεσμῶ. οἷον, Βόεσσιν δ' ἐξῆπτεν ἱμάντας. καὶ ἄψας ἀμφοτέρους εὐστρεφέσιν τεσιν οἷος. σημαίνει δὲ καὶ τὸ τροχοῦ τὸ ἐπικαμπὲς ξύλον. παρὰ τῷ ἡσιόδῳ. οἷον, Τρισπίθαμον δ' ἄψιν τάμνειν δωδεκαδώρῳ ἁμάξῃ. γέγονε καὶ αὐτὸ παρὰ τὸ ἅψω, ἀψίς. ἡ ἀπομηθύνει τῆς γῆς. ὤφειλε δὲ βαρύνεσθαι καὶ συστέλλειν. τὰ τοιαῦτα. τὰ γὰρ εἰς σος ὀνόματα ἀπὸ μελλόντων γινόμενα, καὶ βαρύνεται καὶ συστέλλει τὸ ι. μέμψω, μέμψις. ἕξω, ἕξις. λέξω, λέξις. οὕτω καὶ ἅψω, ἅψις ὤφειλεν εἶναι. ὅθεν ἡσίοδος ἀναλογώτερον εἶπεν ἅψις βαρυτόνως. ἔστιν οὖν εἰπεῖν, ὅτι ἐπειδὴ τὸ ἀψὶς ἐκτείνει τὸ ι, τούτου χάριν καὶ ὀξύνεται. τὰ γὰρ εἰς ις ὀξύτονα θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν ἁπλᾶ ἐκτείνοντα τὸ ι ἐπὶ τέλους ἔχουσι τὸν τόνον. οἷον, κνημίς. κρηπίς. σφαγίς. οὕτως οὖν καὶ ἀψίς. πρόσκειται ἁπλᾶ, διὰ τὸ τανυκρήπις σύνθετον. τὰ εἰς ις ὀξύτονα θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν κοινά, ἀποστρέφουσι τὴν ει δίφθογγον. σανίς, ῥανίς, βολίς, θυρίς. πρόσκειται ὀξύτονα, διὰ τὸ ἀντήρεις. ὑπὲρ μίαν συλλαβήν, διὰ τὸ κλείς, κοινολεκτούμενα. τὸ γὰρ εὐσεβὴς καὶ εὐγενής, διὰ τῆς ει διφθόγγου γράφουσιν οἱ βοιωτοί.

Ἄψυρτοι, ἔθνος σκυθικόν. ὧν ἐν τῇ γῇ κεῖται τὸ σῶμα. Τοῦ ἀψύρτου κεῖται ὀστέα κεῖνα μετ' ἀνδράσιν ἀψυρτεῦσιν. ἀπολλώνιος.

Ἄψορρον, ἐπίρρημα μεσότητος, ἀντὶ τοῦ ὀπισθόρμητος. γίνεται ἐκ τοῦ ἄψ, καὶ τοῦ ὄρω τὸ διεγείρω τὸ ὁρμῶ. πλεονασμῷ τοῦ ρ. οἷον, Ἄψορροι ἐλλεσθε.

Ἀψορρόου. οἷον, Ἀψορρόου ὠκεανοῖο. παρὰ τὸ ἄψ καὶ τὸν ῥόον, πλεονασμῷ τοῦ ο. ἢ παρὰ τὸ αἶψα, ἄψορρος. ἀμφότερα γὰρ δύνανται εἶναι.

Ἄψ. σημαίνει δὲ εἰς τοὐπίσω. ἀπὸ τοῦ α τοῦ σημαίνοντος τὸ ὀπίσω, ἄψ, κατὰ πλεονασμὸν τοῦ ψ. ἢ παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ. ὁμήρου, ἕψω, ἕψ, καὶ ἄψ. ἰάσων δὲ λέγει αὐτὸ εἶναι ἀόψ. τὸ μὴ ὀπτόν. τὰ ὀπίσω οὐκ ὀπτὰ καὶ οὐ θεωρητά, ἀόψ οὖν, καὶ ἄψ. ἡρωδιανὸς δὲ μηδέποτε τὰ διπλᾶ πλεονάζειν. πλούταρχος δὲ ἀπὸ τοῦ ὀπίσω τὸ ἄψ λέγει εἶναι. τοῦ ο εἰς α τραπέντος καὶ τοῦ π εἰς ψ. τοῦτο δὲ δίχρονον. σημαίνει τρία. τὸ εἰς τοὐπίσω, καὶ τὸ μετὰ ταῦτα. ὡς τὸ, Ἂψ δ' εἰς ἴλιον ἦλθεν. σημαίνει καὶ τὸ ἔσω. ὡς τὸ, Ἂψ δὲ ποδῶν ἰὼν καταρέζει.

Ἄγκυρα. πόλις γαλατίας. οἱ δὲ, φρυγίας. ἱστορεῖ μιθριδάτης καὶ ἀριοβαζάνης, νεκλύδας τοῖς γαλάταις συμμαχήσας, διώξας τοὺς ὑπὸ πτολεμαίου σταλέντας αἰγυπτίους ἄχρι θαλάσσης, καὶ λαβὼν τὰς ἀγκύρας τῶν νεῶν αὐτῶν, καὶ μισθὸν τῆς νίκης εἰς πολισμὸν δοὺς, χαρακῶσαι καὶ ὀνομάσαι οὕτως.

ΤΕΛΟΣ ΤΟΥ ΑΛΦΑ ΣΤΟΙΧΕΙΟΥ.

IC

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ ΒΗΤΑ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ ΒΗΤΑ ΜΕΤΑ ΤΟΥ ΑΛΦΑ.

Βαβάκτης, ὀρχηστής. λάλος. μανιώδης. βακχευτής. λέγεται δὲ καὶ ὁ πάν. κρατῖνος. Χαῖρε χρυσόκερω βαβάκτα κήλων πάν. παρὰ τὸ βάζω τὸ λαλῶ, βάξω, βέβαγμαι. βέβακται. βαβάκτης, ὁ πολλὰ λαλῶν φλύαρος.

Βάβαξ, λάλος. φλύαρος. παρὰ τὸ βάζω, βάξω, βάξ. καὶ κατὰ ἀναδιπλασιασμόν, βάβαξ. ἀριστοφάνης. Κατ' οἶκον ἐστρωφᾶτο μισητός. ἔστι καὶ ἐπίρρημα βαβαί βαβαιάξ θαυμαστικὸν ἐπίφθεγμα.

Βάβαξ. μάταιος. ἐνθουσιῶν ἀναιδής.

Βαβυλών, πόλις ἀσσυρίας. ἣν σεμίραμις ἐτείχισε τῷ περιβοήτῳ τείχει. εἴρηται δὲ ἀπὸ βήλου. ὃς κτίσας αὐτήν, ἀπ' αὐτοῦ προσηγόρευσε. καλὰ γὰρ καλεῖται τῇ σύρων φωνῇ, ὁ τῇ ἑλληνίδι, βῆλος. δηλοῖ δὲ μοι βήλων. καὶ ἐν διπλασιασμῷ, βαβηλών. καὶ βαβυλὼν κατὰ τροπὴν τοῦ η εἰς υ, ὡς τηρῶ τηρὸς καὶ τυρός. τὸ εἰς φυλακὴν καὶ τήρησιν γάλα.

Βάδην ἀπιόντος, ἠρέμα παραγινομένου, ἢ θᾶττον, ἢ ταχέως. μένανδρος. Τὸ δὴ λεγόμενον τοῦτο θᾶττον, ἢ βάδην. παρὰ τὸ βαίνω, βάδην. ὡς περιτείνω, τάδην.

Βαθμός, παρὰ τοῖς στρατηγικοῖς, ἡ ἐφ' ἓν τῆς φάλαγγος στάσις.

Βάζω, σημαίνει τὸ λέγω. οἷον, Εὖ μὲν βάζουσι, κακῶς δ' ὄπιθεν φρονέουσι. παρὰ τὸ βοῶ, βῶ. καὶ ὥσπερ παρὰ τὸ φῶ, φάζω. καὶ ὁ μέλλων, φάσω. καὶ πλεονασμῷ τοῦ κ, φάσκω, οὕτω καὶ παρὰ τὸ βῶ, βάζω. ὁ μέλλων, βάξω. ἐκ δὲ τοῦ βάζω, γίνεται καὶ βράζω κατὰ πλεονασμὸν τοῦ ρ. δύναται δὲ εἶναι καὶ παρὰ τὸ βοή, βοάζω, καὶ συγκοπῇ, βάζω. ὡς παρὰ τὸ θῶ τὸ ὀξύνω, γίνεται θοήγω, καὶ συγκοπῇ, θήγω.

Βαίον, παρὰ τὸ βία τίλλεσθαι. σημαίνει τὸν κλάδον τοῦ φοίνικος.

Βακχεύω, σημαίνει τὸ μεθύσκομαι. καὶ βακχευτής, ὁ μεθυστής. παρὰ τὸ βάκχος ὃ σημαίνει τὸν οἶνον. τοῦτο παρὰ τὸ ἄχος ὃ σημαίνει τὴν λύπην, καὶ τὸ βῶ τὸ βαίνω. ὁ γὰρ ἔχων λύπην καὶ εἰς μέθην ἐμπίπτων, ἀφίησιν αὐτὴν τὴν λύπην. ὑπερέβη γὰρ ἡ μέθη τὴν λύπην.

Βάκχος, μαινόμενος. παρὰ τὸ βάζω, βάξω, βάχος. καὶ πλεονασμῷ τοῦ κ, βάκχος. ὡς ἰαχή, ἴαχος καὶ ἴακχος. οἱ γὰρ μεθύοντες, πλείονι τῇ φωνῇ, καὶ ἐνθουσιῶντες χρῶνται. λέγεται δὲ ὁ ἱερὸς διονύσου ἀνήρ. καὶ κλάδος, ὁ ἐν ταῖς τελεταῖς. ἢ στέφανος.

Βακτηρία, ἀπὸ τοῦ ἐρείδειν τὴν βάσιν ἐπ' αὐτῆς. τουτέστι στήριγμα εἶναι τοῦ περιπατεῖν καὶ βαδίζειν εὐκόλως. ἢ παρὰ τὸ τὴν βάσιν τηρεῖν.

Βάκηλος, εἰς μὲν τὸ λεξικὸν τὸ ῥητορικὸν εὗρον σημαῖνον οὕτω. μέγας μὲν ἀνόητος καὶ γυναικώδης. εἰς δὲ τοὺς ἐτυμολόγους, ἀποτετμημένος τὰ αἰδοῖα. εἴρηται δὲ οἱονεὶ βιάκολος τις ὤν. ὁ βία καὶ μανία κόλος γενόμενος. οὕτω γὰρ ἐκάλουν τοὺς Γάλλους οἱ περὶ τὴν μητέρα τῶν θεῶν ὀργιάζοντες, καὶ ἑαυτοὺς ἐκτέμνοντες. βιάκολος, καὶ βάκολος. καὶ τροπῇ τοῦ ο εἰς η, ὡς ἔλαφος, ἐλαφηβόλος.

Βάκηλος, ὁ εἰς ἀφροδίσια τὰ αἰδοῖα μὴ ἔχων. κήλων γὰρ τὸ αἰδοῖον. ἔνθεν καὶ κήλων ὄνος ὁ συνουσιαστικός. ἵν' ᾖ ἄκηλος. καὶ πλεονασμῷ τοῦ βῆτα, βάκηλος. ὡς ῥόδος βρόδος.

Βάθος, παρὰ τὸ μετὰ βίας θεῖν.

Βαθεῖαν αὔλακα. ὅπερ ἐστὶ σχὶς γῆς ὑπὸ ἀρότρου. ἢ μεταφορὰ ἀπὸ τοῦ βαθείας φρένας καὶ κεκρυμμένας.

Βαθυζώνους, βαρβάρων γυναικῶν τὸ ἐπίθετον. ἀπὸ τοῦ βαθέως ζώννυσθαι.

Βαθύλειμος. βαθείας λειμῶνας ἔχουσαν. ἀπὸ τῆς λειμῶνος γενικῆς. βαθυλείμωνος, καὶ κατὰ συγκοπήν.

Βαθύς, ἐπὶ τοῦ βάθους γὰρ βία ὁρμῶμεν. ἢ ἐκ τοῦ βύω τὸ ὁρμῶ. ὁ μέλλων, βύσω. καὶ βαθύς. ἐν ᾧ τις βρέχειν οὐ δύναται.

Βαθυλήιος, ἀντὶ τοῦ πολυλήιος. πολύσπορος.

Βαθυκόλπων. πέπλος τὸ ἱμάτιον καλεῖται ἑλληνικῶς. βάρβαρον καὶ τὸ βαθυκόλπους ἀπὸ τοῦ ἐκ τῆς ζώσεως κολπώματος.

Βάθρον, τὸ θεμέλιον. καὶ βάθρα, ἀγάλματα. ἔστι δὲ ῥηματικόν. παρὰ τὸ βῶ τὸ βαίνω, γίνεται παράγωγον βῆμι, καὶ βίβημι. ἐξ οὗ τὸ μακρὰ βιβάς. ῥηματικὸν ὄνομα, βάτρον, καὶ βάθρον. ἐφ' ᾧ ἔστι βαίνειν. σημαίνει καὶ τὸ βῆμα ἐφ' οὗ καθίζομεν. καὶ βάσιν τοῦ ἀνδριάντος καὶ ὑποπόδιον καὶ ὁ ἐμβάς, καὶ βαθμός. ἴσως οἱ πόδες.

Βαλανάγρα, ἡ κλείς. παρὰ τὸ ἀγρεύειν τὴν βάλανον. βάλανος δέ ἐστι τὸ ἐπὶ τὸν μοχλὸν σιδήριον, ὃ καλεῖται

μάγγανον. αὐτὴ ἐκ τῶν ῥητορικῶν.

Βαλάντιον, τὸ ἀκόντιον. διὰ τὸ βάλλειν τοὺς ἐναντίους.

Βακτηρία, ἣν ἐκάλουν ὀρθήν. ἐχρῶντο δὲ αὐτῇ οἱ ἐν πόρνείοις καὶ οἱ δικάζοντες. τὴν δὲ καμπύλην, οἱ ἄγροικοι.

Βακίας, βόρβορος. πηλός, ὑπὸ ταραντίνων.

Βάκτρον, βακτηρία, καὶ ῥόπαλον.

Βαλανεῖον, τὸ λουτρόν. τινὲς δὲ λέγουσι παρὰ τὸ ἀποβάλλειν τὰς ἀνίας. καὶ ὅμηρος περὶ ἐτυμολογίας λέγων. Λοῦσ' ἐκ τρίποδος μεγάλου, θυμῆρες κεράσασα, κὰκ κεφαλῆς τε καὶ ὤμων, ὄφρα μοι ἐκ κάματον θυμοφθόρον εἵλετο γυίων. οὐ λέγουσι δὲ καλῶς. εἰ γὰρ ἦν ἐκ τούτου, ὤφειλε γράφεσθαι διὰ τοῦ ι. ἀλλ' ἔστιν εἰπεῖν ὅτι ἀπὸ τῶν βαλάνων εἴρηται. οἱ γὰρ ἀρχαῖοι βαλάνοις εἶχον ἔθος ὑποκαίειν. παρὰ τὸ τὰς βαλάνους αὔειν, τουτέστι τὰς δρῦς. οὕτω γὰρ καλοῦνται οἱ δρῦς, καὶ ἁπλῶς πᾶν φυτόν. ἐπαφρόδιτος δὲ παρὰ τὸ αὔω τὸ σημαῖνον τὸ καίω. ἵνα μὴ πάθωσιν ὥσπερ αὐτοί.

Βάλανος, ὁ τῶν δρυῶν καρπός.

Βαλβίς, ἡ ἀφετηρία, καὶ ὁ καμπτός, ἤγουν ἡ ἄφεσις τῶν δρομέων. ἦσαν δὲ ξύλα δύο, ἀφ' ὧν σχοινία διετείνετο. ἀφ' ἧς βαλβῖδος, ἐξέτρεχον οἱ ἀγωνιζόμενοι. λυκόφρων. Ἐπεὶ δ' ἄκραν βαλβῖδα μηρίνθου σχάσας ἄνειμι. παρὰ τὸ βῶ τὸ βαίνω, γίνεται βηλός. οἷον, βηλοῦ ἀπὸ θεσπεσίοιο. καὶ ὥσπερ παρὰ τὸ ψῆφος γίνεται ψηφίς, οὕτω καὶ παρὰ τὸ βηλὸς βηλίς. καὶ τροπῇ τοῦ η εἰς α, καὶ πλεονασμῷ τοῦ β, βαλβίς. βάσις τις οὖσα. καὶ βαλβῖσιν, ἀντὶ ταῖς ἀρχαῖς. εἴρηται δὲ ἀπὸ τῶν δρομέων. ἢ ἡ εὐθὺ ὑπὸ ὕσπληγγος γινομένη γραμμή, διὰ τὸ ἐπ' αὐτῆς βεβηκέναι τοὺς δρομέας βαλβὶς καλεῖται. καὶ ὁ τῆς ἀφετηρίας τόπος.

Βαλίας, ὄνομα τοῦ ἵππου τοῦ ἀχιλλέως. ἔνιοι καμπτῆρα. σημαίνει δὲ καὶ τὸν ποικίλον. εὐριπίδης. βαλιὰν ἔλαφον φησίν. ἢ φάλιος ὢν, ὁ λευκομέτωπος, καὶ ὁ λευκός.

Βαλίαι, αἱ ταχεῖαι. παρὰ τὸ βάλλειν καὶ ταχέως φέρεσθαι τὸ βαλλόμενον. ἢ παρὰ τὸ πάλλεσθαι διὰ τὸ τάχος. οἷον, βαλίαις ἀσκαίρων ἄρπυίαις. ἢ παρὰ τὸ βαίνειν, βάλις. καὶ βαλιά, ἡ ποικίλος. καὶ τὸν διόνυσον θρᾶκες.

Βάλλις, εἶδος βοτάνης ἄνθους. ὃ δοκεῖ ποιεῖν ἀναζῆν τοὺς τεθνεῶτας ὁμοίως τῇ ἀρυώνῃ. οἱονεὶ βιαλλίς τις οὖσα. ἐπειδὴ δοκεῖ βίον ἄλλον ποιεῖν, καλεῖται βάλλις.

Βάλε. ὥσπερ ἀπὸ τοῦ ἄγε προστακτικοῦ ῥήματος μετατίθεται καὶ γίνεται ἐπίρρημα παρακελεύσεως ἄγε. οἷον, ἄγε δή μοι ὦ μοῦσα. καὶ ἀπὸ τοῦ φέρε προστακτικοῦ ῥήματος φέρε, οὕτω καὶ ἀπὸ τοῦ ἔβαλον, ἔβαλες. ἔβαλε, οὗ τὸ προστακτικόν, βάλε. μετατιθέμενον γίνεται σχετλιαστικὸν καὶ ἐπίρρημα, τὸ ἂν φεῦ. οἷον, βάλε βάλε κηρύλος εἴην. τοῦ τε πλεονασμοῦ γὰρ τὸ ἀντὶ σχετλιαστικοῦ ὄντος ἐπιρρήματος ὡς παρὰ τῷ ποιητῇ, ἀδεῖλε, γίνεται ἀβάλε. ἀμφότερα μίαν σημασίαν ἔχουσι. τὰ, καὶ τὸ βάλε καὶ τὸ ἀβάλε. ἔστι δὲ ἴδια. καὶ ἴδια τὸ βάλε. καὶ ἐν συνθέσει τὸ ἀβάλε. καὶ κατὰ ἀφαίρεσιν, βάλε.

Βάλλετε, σημαίνει τὸ ῥίπτετε. βολὴ γὰρ κυρίως, ἡ ἀπὸ τοῦ τόξου πεμπομένη.

Βαλάντιον, μαρσίππιον ἀπὸ τοῦ ὄπισθεν.

Βάλον, ῥῆμα ὁριστικὸν πληθυντικὸν δυνάμενον εἶναι καὶ ἑνικόν. ἔβαλον γὰρ χρόνου παρατατικοῦ. ἔστι παρὰ τὸ βάλλω, ἐξ οὗ καὶ βολή. ὥσπερ στέλλω, στολή. ἀπὸ δὲ τοῦ βάλλω, γίνεται βαλίζω. κλίνεται τὸ βάλλω ἕως τοῦ παρατατικοῦ καὶ μόνον.

Βάλλω, παρὰ τὸ βῶ τὸ βαίνω γίνεται. ὥσπερ θῶ, θάλλω, καὶ ἰῶ ἰάλλω. οἱ γὰρ βάλλοντες διαβαίνουσι. σημαίνει δὲ τρία. ἐπὶ τοῦ προϊέμενον ἐπιτυγχάνειν. Βέλος ἐχεπευκὲς ἐφιεὶς βάλλε. καὶ ἐπὶ τοῦ ἐπιθεῖναι. Τάων ἡ μὲν ἔβαλλε θρόνοις ἔνι ῥήγεα καλά. καὶ ἐπὶ τοῦ ἐν ἡμῖν συνήθους. Τὸν μὲν παρ ποδ' ἐόντα χαμάδις βάλε.

Βαλών. αἱ εἰς ων λήγουσαι μετοχαὶ τοῦ δευτέρου ἀορίστου ὀξύνονται. δραμών. ἐλθών. πιών. οὕτως οὖν καὶ βαλών. ἀντίκειται τὸ πέφνων. αἱ γὰρ εἰς ων λήγουσαι μετοχαί, ὁπότε ἐν ἐπιπλοκῇ ἔχουσι σύμφωνον, ὧν τὸ δεύτερον ἐστὶν ἀμετάβολον, πάντως βαρύνονται. τέμνων. κάμνων. τούτοις ὅμοιον τὸ πέφνων.

Βαλανεῖον, δίφθογγον. διατί. τὰ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ ειον γινόμενα οὐδέτερα, διὰ τῆς ει διφθόγγου γράφεται. κουρεύς, κουρεῖον. κναφεύς, κναφεῖον. γραφεύς, γραφεῖον. γραμματεύς, γραμματεῖον. ἢ καὶ τὰ διὰ τοῦ ειον οὐδέτερα μονογενῆ ὑπὲρ τρεῖς συλλαβάς, πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ διφθόγγου γράφονται. οἷον, μαγειρεῖον. πατριαρχεῖον. ὀρφανοτροφεῖον. ἰατρεῖον. ἰαμβεῖον. βυρσοδεψεῖον. ἐπισκοπεῖον. οὕτω καὶ βαλανεῖον. πρόσκειται μονογενῆ, διὰ τὸ ἐναντίον. πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τὸ αἰπόλιον, καὶ ἀρτοπώλιον. ὑπὲρ τρεῖς συλλαβάς, διὰ τὸ παιδίον, οὐκ ἀναστρέφοντος τοῦ κανόνος. οὐ γὰρ πάντα τὰ τρισύλλαβα διὰ τοῦ ι. ἰδοὺ γὰρ τὸ πτωχεῖον, πορνεῖον, πρωτεῖον, καὶ δευτερεῖον, διὰ τῆς ει διφθόγγου γράφονται. ἀπὸ γὰρ τῶν διὰ τοῦ ευω.

Βάμμα κυζικηνόν, τὴν ἀκαθαρτὸν ἀσχημοσύνην ἀττικοὶ λέγουσι. διὰ τὸ τίλμα. ἐσκώπτοντο γὰρ ἐπὶ μαλακίᾳ.

Βαμβαίνειν, διστάζειν. τρέμειν τοῖς ποσί, καὶ ὑπὸ τρόμου ἠχεῖν τοὺς ὀδόντας. καὶ τῇ γλώσσῃ ἀσήμως φθέγγεται. ἔστι δὲ καὶ ῥητορικὴ ἡ λέξις καὶ ποιητική. Τάρβησέν τε βαμβαίνων. στραβὸς δὲ διὰ στόμα γίνεται ὀδόντων. εἴρηται ἀπὸ μεταφορᾶς τῶν ποδῶν, ἐπὶ τῶν μὴ ἑδραίαν τὴν φωνὴν ἐχόντων. οἱ γὰρ καταπλάσσετοι ὑπὸ φόβου, οὐχ οἷοί τε ἑδραῖοι ἀμφοτέραις ταῖς βάσεσιν εἶναι, ὥς φησιν ὁ ποιητής, ἀλλὰ μεταοκλάζειν καὶ ἐπ' ἀμφοτέροις τοὺς πόδας ἵζειν. ἔστι γοῦν βαίνω. καὶ κατ' ἀναδιπλασιασμόν, βαβαίνω. καὶ πλεονασμῷ τοῦ ν, βαμβαίνω. τοῦ ὑπὸ τρόμου ἠχεῖν τοὺς ὀδόντας, καὶ ἀνάρθρως λέγειν.

Βάναυσος, κυρίως πᾶς τεχνίτης διὰ πυρὸς ἐργαζόμενος. βαῦνος γὰρ ἡ κάμινος ῥητορικῶς. σοφοκλῆς. Οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην. εἴρηται δὲ παρὰ τὸ ταῖς βαύνοις αὔειν. τουτέστι ταῖς καμίνοις καίειν. καταβέβηκε δὲ ἡ λέξις εἰς πάντα χειροτέχνην.

Βαῦ, ὃ μὲν ἐκ τοῦ βῆναι, βαῦναι. καὶ κατὰ συγκοπήν, βαῦ. ὃ δὲ θέμα ἐστί, βῶ βάς βᾶ, καὶ τὸ ἀπαρέμφατον, βαῦ.

Βάξις, παρὰ τὸ βάζω, βάξω, βάξις. σημαίνει δὲ τὴν φήμην, καὶ τὴν ῥῆσιν. μίμνερμος. Καὶ μὲν ἐπ' ἀνθρώποις βάξις ἔχει χαλεπή. ἀργαλέης αἰεὶ βάξιος ἱέμενοι.

Βάπτω, παρὰ τὸ βῶ τὸ βαίνω, παράγωγον, βάπτω. οἷον, ἐμβαίνειν ποιῶ. τὸ γὰρ ἄρτι ἐμβαίνει κατὰ τοῦ ὑποκειμένου τὸ δευσοποιὸν χρῶμα.

Βάπτισμα, ἐν ᾧ βάλλεται, ἤγουν ἐπιπίπτει τὸ πταῖσμα.

Βάραθρον, τόπος βαθύς, ὅπου οἱ κακοῦργοι ἐμβάλλονται. ἢ τόπος κοῖλος. τὰ μὲν ἄνω ἔχων ἰσχυρά, ὑπόχαυνα δὲ τὰ κάτω. ὥστε καταδῦναι τὸν ἐπιβάντα. ἐν δὲ φιλιππικοῖς ὁ δημοσθένης τὴν λέξιν οὐ κυρίως εἶπεν, ἀλλ' ἐκ μεταφορᾶς. οἷον ἐν τῷ ὀλέθρῳ. ἔστι γὰρ ῥητορική. ὁ δὲ ποιητής, βέρεθρον τὸ χάσμα διὰ τοῦ ε φησίν. ἀττικῶς δὲ διὰ τοῦ α. κυρίως γὰρ βάραθρα καλοῦσι τοὺς κοίλους τόπους. δι' ὧν οἱ ποταμοὶ καταπίνονται καὶ εἰς βαίνουσι. παρὰ τὸ βαίνω, βάθον, καὶ βάθρον. καὶ βάραθρον κατὰ πλεονασμόν. καὶ ἰωνικῶς, βέρεθρον. Ἢ χ' ἰβάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον. ἢ κατὰ ἀντίφρασιν, τὸ ἀβαρὲς εἶναι διὰ τὴν κοιλότητα.

Βάραγχος, ἰσοδύναμος μάλιστα πλεονασμῷ τοῦ ἄλφα. οἱ γὰρ ἄλλοι, βράγχος. καὶ βαραγχιᾶν, ἀντὶ τοῦ βραγχιᾶν πολλάκις ἐστὶ παρὰ ἀττικοῖς. ἡρωδιανός.

Βάρβαρος, ὠνοματοπεποίηται ἡ λέξις. οἷον, κατὰ μίμησιν τῆς γινομένης αὐτῷ τραχύτητος ἐν τῇ φωνῇ. ἀφ' οὗ καὶ βρόγχος λέγεται, δι' οὗ ἀναστρέφεται ἡ φωνή. καὶ αὐτὸ τὸ βραχιᾶν, τὸ σπαράττειν τὴν φωνὴν καὶ βραχεῖαν ἔχειν.

Βάρβιτος, εἶδος μουσικοῦ ὀργάνου. ψαλτήριον, ἢ κιθάρα. εἴρηται δὲ οἱονεὶ βαρύμιτός τις ὤν. ὁ βαρεῖαν τὴν φωνὴν καὶ τὸν φθόγγον ἀφιείς. μίτους γὰρ τὰς νευρὰς ἔλεγον. ἐπειδὴ πρὸ τῆς χρήσεως τῆς νευρᾶς λινοῖς στήμοσιν ἐκέχρηντο. ὅθεν καὶ οἱ αἰολεῖς βάρμιτον αὐτὸ καλοῦσι.

Βάρδιστος, παρὰ τὸ βάρος, βαρύς. καὶ διὰ τοῦ μ φασί. μεταφορικῶς, βαρδύς. πλεονασμῷ δὲ τοῦ δ, καὶ ἐν ὑπερθέσει, βραδύς. εἶτα βραδίων βράδιστος. καὶ ἐν ὑπερθέσει, βάρδιστος. ἰλιάδος ψ. Ἀλλά τοι ἵπποι βάρδιστοι θείειν. ἀντὶ τοῦ βραδύταχοι.

Βαρδίνης, ποταμός. εἴρηται παρὰ τὸ βαρείας καὶ ἐπαχεῖς ἔχειν δίνας. βαρυδίνης τις ὤν.

Βάρις, παρὰ τὸ βάρος. καὶ τροπῇ τοῦ βραχέος. σημαίνει δὲ τὸν πύργον, καὶ τὴν κλίνην. παρὰ τὸ μετὰ βίας πολλῆς ἀρηρέναι. βάρεις. τείχη. πλοῖα. στοαί. αὐλαί. πύργοι. σφαῖραι. τινὲς δὲ λέγουσιν, αἱ μεγάλαι καὶ ὑπόβαθροι πέτραι. Ἀπὸ βαρέων ἐλεφαντίνων.

Βαρείας χεῖρας, ὑβριστικάς. φονικάς. ὅπλῳ βεβαρημένας. καὶ οἰκοιλης παρὰ γυναιξὶ βαρείας χεῖρας.

Βάρηκες, τὰ οὖλα τῶν ὀδόντων. οἱ δὲ σιαγόνας. οἱ δὲ τὰ ἐν τοῖς ὀδοῦσιν ἀπὸ τῆς τροφῆς ἐνισχόμενα. σημαίνει δὲ καὶ τὸ τρῦπαν.

Βάναυσοι, οἱ ἑδραῖοι τεχνῖται. οἱ δέ, τὸν λύπην.

ἀπάνθρωπον καὶ ὑπερήφανον. ἐν οἷς βαναύσου χειρός, τῆς ὑβριστικῆς, ἢ τεχνικῆς.

Βαρκάζειν, τὸ βαρβαρίζειν. εἴρηται ἀπὸ τῶν βαρκάνων, οἱ εἰσι βάρβαροι. ἦν οὖν κεραβάζειν, καὶ ἐν ὑπερβιβασμῷ, βαρβακίζειν, καὶ βαρκάζειν.

Βαρκαῖοις ὄχλοις, λιβυκοῖς. ἀπὸ βάρκης πόλεως ἑλληνικῆς. καὶ ἔστιν ἀπὸ μέρους.

Βαρύθω. βαρύθει δέ μοι ὦμος ὑπ' αὐτοῦ. ἀπὸ τοῦ βαρύς, βαρύω. πλεονασμῷ τοῦ θ, βαρύθω. τὸ δὲ βαρύς, παρὰ τὸ βάρος. ὥσπερ παρὰ τὸ πλάτος πλατύς. τὸ δὲ βάρος, παρὰ τὸ βίᾳ αἴρεσθαι. ἔστι δὲ ἀπὸ τοῦ βῶ τὸ βαίνω.

Βάσανος, παρὰ τὸ βιάζω, βιάσω. βιάσανος καὶ βάσανος. ἢ παρὰ τὸ βίβημι, βήσω, καὶ τὸ ἀνία, ὃ σημαίνει τὴν λύπην. ἢ ἀπὸ τῆς βασάνου τῆς χρυσοχοϊκῆς λίθου, ἐν ᾗ δοκιμάζεται ὁ χρυσός. κἄντε ὄβρυζος, κἄντε κίβδηλος ᾖ.

Βασανίζειν, οὐ τὸ αἰκίζεσθαι καὶ τιμωρεῖσθαι παρὰ τοῖς ἀττικοῖς, ἀλλὰ τὸ ἀνακρίνειν, καὶ δοκιμάζειν, καὶ ἐλέγχειν τἀληθὲς διὰ λόγων. βάσανος γὰρ ἐστὶ λίθος λεγομένη, ἡ τὸ χρυσίον παρατιθέμενον δοκιμάζουσα. οὕτω πάντες κέχρηνται οἱ ἀξιόλογοι. ἐκ τοῦ ῥητορικοῦ.

Βασιλεύτωρ. παρὰ τὸ βασιλεύσω. ἀντίμαχος ἐν πρώτῃ θηβαΐδος. Οἵ οἱ ἔσαν βασιλεύτορες αἰπαλήων.

Βασιλίς, ἡ τοῦ βασιλέως γυνή. ὥσπερ βαλανίς, ἡ τοῦ βαλανέως. ἀπὸ τοῦ βασιλεύς βασιλῆος, γίνεται βασιληίς. καὶ ἀποβολῇ τοῦ η, βασιλίς.

Βασιλεύς, σημαίνει τρία. τὸν θεόν. ὡς τό, ζεῦ βασιλεῦ. καὶ τὸν βασιλέα, ὡς τό, Βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής. καὶ τὸν οἰκοδεσπότην, Βασιλῆι δὲ κεῖται ἄγαλμα. παρὰ τὸ σίνω τὸ βλάπτω, σινεύς, ὁ βλαπτικός. μετὰ τοῦ στερητικοῦ α, ἀσινεύς, ὁ ἀβλαβής. ὃν οὐδεὶς δύναται βλάψαι. καὶ τροπῇ τοῦ ν εἰς λ καὶ πλεονασμῷ τοῦ β, βασιλεύς. ἢ παρὰ τὸ βαίνειν ἵλεως. ἢ παρὰ τὸ πεπᾶσθαι λαούς, ὅ ἐστι κεκτῆσθαι. πάσασθαι γὰρ τὸ κτήσασθαι. καὶ πάμματα, τὰ κτήματα καὶ πολυπάμμονα. ἵν' ἢ πασιλεὺς καὶ βασιλεύς. ἢ πασιλεύς τις ὤν, ὁ πάντας λεύσσων, καὶ πάντας προνοῶν. ἢ παρὰ τὴν βάσιν καὶ τὸ λεύσειν. ὁ ἐν τῷ περιιέναι περιβλεπτος. ἢ παρὰ τὸ βάσιν ἰλεὼς ἔχων. τουτέστι μετὰ πλήθους ποιούμενος τὴν βάσιν καὶ τὴν ἔξοδον. δεῖ γὰρ ἀληθῶς βασιλέα καλοποιεῖν. ὁ δὲ κακοποιῶν, τύραννος. ἢ παρὰ τὸ βάσις εἶναι λαοῦ. τουτέστιν ἕδρα καὶ στήριγμα. Πόσας γενικὰς ἐπιδέχεται, ἕξ. βασιλεύς βασιλέος κοινῶς. βασιλέως ἀττικῶς. βασιλῆος ἰωνικῶς. καὶ αἰολικῶς. ἀλλ' οἱ αἰολεῖς προπαροξύνουσιν. ἀχίλληος. καὶ βασίληος. βασιλεύς βασιλέος. καὶ κράσει τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον, βασιλεῦς παρὰ τοῖς αἰολεῦσιν ἢ δωριεῦσιν. ὥσπερ Ὀδυσσεῦς τε λαβὼν κυσεχειρας ἐπὶ καρπῷ, ἀντὶ ὀδυσσέως. Ποσαχῶς συναιρεῖται τὸ ε καὶ ο, τριχῶς. παρ' ἡμῖν μὲν οὖν εἰς τὴν ου δίφθογγον, ὡς δημοσθένεος, δημοσθένους. παρὰ δὲ τοῖς ἀθηναίοις εἰς τὴν ει δίφθογγον. ὡς πλέον πλεῖν, καὶ δέον δεῖν. παρὰ δὲ τοῖς δωριεῦσιν, εἰς τὴν

ευ διφθόγγου. ὥσπερ τὸ ἐμέο, ἐμεῦ. σπέους, Θηεῦντο μέρμηρα ἔργα. Τὰ εἰς ευς λήγοντα ἀρσενικά, εἴτε μονοσύλλαβα, εἴτε ὑπερδισύλλαβα, ἅπαντα ὀξύνονται. δηλονότι κοινολεκτούμενα. βασιλεύς. ἀχιλλεύς. πηλεύς. ζεύς. φεύς ὁ διόνυσος. νεύς, ὄνομα ποταμοῦ. δνεύς, ὄνομα πόλεως ἐν λυκίᾳ, ἔνθα ἀνεγράφη ἡ χίμαιρα. σεύς, ὁ σκώληξ. τὸ φλεύς καὶ νεύς, οὐ συνήθη ἐστὶ τοῖς ἔθνεσι. τὸ δὲ σεύς, οὐδὲ ἐν χρήσει εὕρηται κατὰ τὴν εὐθεῖαν, ἀλλὰ κατὰ τὰς πλαγίας. πρόσκειται κοινολεκτούμενα. οἱ γὰρ αἰολεῖς, βαρύνοντες λέγουσιν, ἀχίλλευς. πήλευς. τοῦτο δὲ τὸ ἄρες αἰολικῶς. κοινῶς γὰρ ἄρης λέγεται. πρόσκειται ἀρσενικῶς, διὰ τὸ νεῦς καὶ γρεῦς παρὰ τοῖς ἴωσιν. ἀλλὰ θηλυκά ἐστιν ἡ ναῦς ἡ γραῦς. Ἰστέον ὅτι τὰ εἰς ως, ἐὰν μὴ ἔχῃ πρὸ τοῦ ε σύμφωνον, συναιροῦνται παρὰ τοῖς ἀθηναίοις. οἷον, ἐρετριεύς, ἐρετριέως, καὶ ἐρετριῶς. πειραιεύς πειραιέως, καὶ πειραιῶς. τοῦ ε καὶ ω εἰς ω κιρνωμένου. ἐὰν δὲ μὴ ἔχῃ καθόλου τὸ ε, οὐ κιρνᾶται. οἷον, βασιλέως, ἀχιλλέως. ἐπεὶ δὲ γίνονται αἰτιατικῶς κατὰ συναλοιφὴν τοῦ ε εἰς ω, τὰς αἰτιατικὰς εἰς α μόνον ποιοῦσιν. οἷον, τὸν ἐρετριέα, τὸν ἐρετριᾶ. τὸν πειραιέα, τὸν πειραιᾶ. ἐπειδὴ τὸ α μακρὸν ἦν καὶ πρὸ τῆς συναλοιφῆς. πᾶσα γὰρ γενικὴ εἰς ος λήγουσα θέλει ἔχειν τὴν αἰτιατικὴν τῶν ἑνικῶν εἰς α ὁμόφωνον καὶ ὁμόχρονον. οἷον, αἴαντος, αἴαντα. ὁμοίως, πηλέως, πηλέα. οἱ μέντοι ἀθηναῖοι, ἐπειδὴ πηλέως καὶ ἀχιλλέως διὰ τοῦ ω μεγάλου γράφουσι, τούτου χάριν καὶ τὴν αἰτιατικὴν ποιοῦσιν εἰς α μακρόν. ἵνα ἰσόχρονος γένηται τῇ ἰδίᾳ γενικῇ. εὐριπίδης. Καὶ μὴν δέδορκα τόνδε πηλέα πέλας. εἰδέστων ὑπὸ πεπλωκότων τῷ ὀνόματι. ταῦτα πρὸς μὲν τὰ προσηγορικὰ τασσόμενα, τάξιν ἐπιθετικῶν ἔχουσιν. ὁ βασιλεὺς κωνσταντῖνος. ὁ προφήτης σαμουήλ. ἐπιθέτοις δὲ συμπλεκόμενα, προσηγορικῶν. προσηγορικὰ γὰρ ὁ καλὸς βασιλεύς. ὁ εὐκλεὴς πολίτης. ἔστι δὲ ὅτε τὰ ἐπίθετα τὰ αὐτὰ προσηγορικὰ γινόμενα καὶ ἐπιθετικά. τὰ μὲν ὑποκείμενα, τὰ δὲ ἐπιτιθέμενα. δίκαιος. σοφός. μέγας. ὁ σοφὸς δίκαιος. ὁ μέγας δίκαιος. ταῦτα δὴ ἐπιθετικὰ ὄντα, πολλάκις προσηγορικῶν καὶ ἐπιθετικῶν σύνταξιν ἐπέχουσιν ἀλλήλοις ὑποκείμενά τε καὶ ἐπιτιθέμενα. οἷον, δίκαιος, σοφός. μέγας. σοφός. ὁ σοφὸς δίκαιος. ὁ μέγας δίκαιος.

Βάσκανος. ὁ κακίζων καὶ μεμφόμενος ἅπαντα, καὶ πικρώμενος εἰς ἀπέχθειαν ἄγειν. ὁ φθονερὸς καὶ βλαβερός. οὕτως ἀριστοφάνης. οὕτως εὐριπίδης. φερεκράτης δὲ ἀντὶ τοῦ λυπηροῦ λαμβάνει τὴν λέξιν. οἷον, Ὀλαγώς με βασκαίνει καὶ λυπεῖ. εἴρηται δὲ φάσκανος τις ὤν. ὁ τοῖς φάεσι καίνων. ἤγουν διαφθείρων διὰ τοῦ βλέμματος. καὶ ἐκ τοῦ βάσκανος, βασκαίνω, ἢ φασκαίνω. ἀντὶ τοῦ αἰτιᾶται καὶ μέμφεται καὶ συκοφαντεῖ. οὕτω δημοσθένης ἐν τῷ ὑπὲρ κτησιφῶντος καὶ τοῖς ἑξῆς. Βάσκανον δὲ καὶ πικρὸν καὶ κακόηθες οὐδὲν ἐστι πολίτευμα ἐμφαίνουσιν. ἀντὶ τοῦ φιλαιτίου καὶ συκοφαντικοῦ.

Βάσκ' ἴθι. τινὲς ὥς ἀπαθὲς καὶ οὐκ ἐν παραθέσει. ἀλλὰ καινῶν ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς μι λήγοντα μετὰ προθέσεων φιλοῦσι συντίθεσθαι. μέτειμι. σύνειμι. μετὰ ἄλλων δὲ λέξεων οὐδέποτε. τὸ οὖν ἴθι, ἀπὸ τοῦ εἶμι. καὶ ἄλλως. τὰ εἰς ι, παραχθέντα προστακτικὰ κατ' ἀρχὴν οὐ συντίθενται, πλὴν τῶν προθέσεων. ὥστε δῆλον ἐν παραθέσει δεῖ ἀναγινώσκειν αὐτό. τὸ δὲ βάσκε, ἀπὸ τοῦ βάσκω. τοῦτο παρὰ τὸ βῶ, βήσω. πλεονασμῷ τοῦ κ βήσκω. καὶ τροπῇ τοῦ η εἰς α, βάσκω. καὶ ἐπειδὴ οὐδέποτε βαρυτόνως μέλλων διὰ τοῦ κ ἐκφέρεται, μετάγεται εἰς ἐνεστῶτα. βαρυτόνως εἶπε, διὰ τὸ πλακῶ. Καὶ κακῶν ἐπιβασκέμεν υἷας ἀχαιῶν. ἀντὶ τοῦ κακῶν ἐπιβαίνειν, καὶ ἐν κα-

Βασκέμεν, ῥῆμα ἀπὸ ἐνεστῶτος. καὶ οἱ δωρικοὶ ποιοῦσι τὰς εἰς ειν ἀπαρέμφατα, διὰ τοῦ εμεν προφέρουσι. τοῦτο ἐκ τοῦ βῶ, βάσκω. ἐπειδὴ τὰ ῥήματα τῆς δευτέρας συζυγίας διὰ τοῦ ασκω γίνεται. οἷον, γεννῶ, γεννάσκω. ἁλῶ, ἁλάσκω. καὶ κατὰ παραγωγὴν, ἀλασκάζω, ἠλάσκαζον.

Βασσάρα, σημαίνει κυρίως τὴν βάκχην ὡς ὠρίων λέγει. ἀπὸ τούτου δὲ ἡ κασσωφερὴς καὶ πόρνος γυνή, εἴρηται βασσάρα. λυκόφρων. Ἡ δὲ βασσάρα σεμνῶς κασσωρεύουσα κοιλαινεῖ δρόμοις, τῆς πολυμόρφου βασσάρας λαμπουρίδος. λαμπουρὶς δὲ ἐστιν ἡ ἀλώπηξ. λέγεται βάσσαρος ἡ ἀλώπηξ κατὰ ἡρόδοτον ὑπὸ κυρηναίων. λέγεται βάσσαρος οὐδετέρως, καὶ ἡ βῆσσα.

Βασσαρίδες, αἱ βάκχαι. παρὰ τὸ διάγειν ἐν βήσσαις. ὅ ἐστιν ὀρεινοῖς τόποις. ἢ παρὰ τὸ βασσάρη τὸ λεγόμενον ὑπόδημα. ὅπερ εἴρηται παρὰ τὸ τῇ βάσει ἀρηρέναι. λέγονται βασσάραι αἱ θρακίαι βάκχαι. χιτῶνας οὖν ἐφόρουν ἀπὸ τοῦ βάκχου διονύσου, ἀπὸ τῶν βησσῶν.

Βάσσων, ἐπίχαρμος, βάσσον χωρίον, ἀντὶ βαθύτερον. εὔγεον. ἀπὸ τοῦ βαθύς, βαθύτερος. βαθίων. βάσσων. ὁ βαθύτερος.

Βασταχαλίσαι, βαχηλιάσαι. βάσταχας γὰρ τοὺς βαχήλους οἱ βοιωτοὶ καλοῦσι. βάστακας, τοὺς πλουσίους καὶ εὐγενεῖς.

Βάτταλος, ἐπώνυμον ἦν δημοσθένους. ἐκάλουν δὲ οἱ παλαιοὶ τὸν μαλακὸν καὶ βδελυρὸν καὶ αἰσχρὸν οὕτως. ἀπὸ βαττάλου τινὸς αὐλητοῦ. ὃς μαλακὸς ὤν, καὶ αὐλήματα τοιαῦτα ἐφεῦρεν. οἱ δέ, βάτταλον ὄνομα παρὰ τοῖς παλαιοῖς τῶν μαλακιζομένων τὸν πρωκτόν. ἀπὸ τοῦ τύπτεσθαι ἐν τῷ ἔργῳ, καὶ βατταλίζεσθαι. οὕτως εὕρομεν εἰς τὸ ῥητορικὸν λεξικόν.

Βατταρίζειν, εἴρηται τὸ μόλις λαλεῖν. ἀπὸ τοῦ βάττου τοῦ θηρίου τοῦ εἰς τὴν κυρήνην τὴν ἀπὸ τῆς θήρας ἀποικίαν ἀναγαγόντος ἰσχνοφώνου ὄντος. ὡς γὰρ βαρβαρίζειν, οὕτω βατταρίζειν κατὰ μίμησιν φωνῆς. ὡς τὸ ποππύζειν. ὃ καὶ πιθανώτερον. ἐπεὶ γὰρ ὁ βάττος πρὸς τὸ ἐπέχεσθαι τὴν φωνὴν ὠνόμασται βατταλίζων, ἐπειδὴ τοιοῦτον ἦχον προφερόμενος. ἡ δὲ βαττολογία, ἤτοι ἡ πολυλογία. ἀπὸ βάττου τινὸς ἔθνους, μακροὺς καὶ πολυμήκεις στίχους ποιήσαντος εἰς τὰ εἴδωλα ταυτολογίαν ἔχοντας. ὁ βάττος οὗτος τῆς κατὰ κυρήνην ἀποικίας ἡγήσατο μογιλάλος τις ὤν. ἀπὸ τούτου καὶ τοὺς μὴ εὐθυστόμους μὴ δὲ τρανῶς κεχρημένους τῇ γλώττῃ, ἀλλ' ἐπισεσυρμένως φθεγγομένους καὶ παρασήμως, βατταρίζειν φασί. βατταρίζειν οὖν τὸ ἐν τῇ συνηθείᾳ λέγεται καὶ ὁ βάττος ἔχων τόποις.

Βατιεία βερβερίζειν.

Βάτεια, ἀπὸ τοῦ βάττος, βατία διὰ τοῦ ι. ὡς αἰτωλός, αἰτωλία. τὸ ἐθνικὸν, βατιεύς, καὶ βατιάτης. ἀντὶ δὲ τοῦ τόπου, ἐπαφρόδιτός φησιν, ἀπὸ τοῦ πατῶ, πάτος. καὶ ἀπὸ τοῦ πατοῦντων ἵππων. τοῖς γὰρ ἐν ταῖς ὁδοῖς ὀλισθοῖς τε καὶ σύνεχεσι βριμμοῖς, πάτους ἔλεγον. πάτος οὖν πάτεια. καὶ πλεονασμῷ τοῦ ι, πατίεια καὶ βατίεια. ἔστι δὲ τόπος ἐν τῇ πεδιάδι τῆς ἰλιάδος. ὅμηρος. Τὴν ἤτοι ἄνδρες βατίειαν

Βατίεια, τόπος τῆς τροίας ἀπὸ τῆς βατιείας κικλήσκουσι. τῆς δαρδάνου γυναικός ἐξῆς γενέσθαι τὸ ἐριχθόνιον. ἐν ὑπομνήματι λυκόφρονος. οὕτως ὧρος. ἐγὼ δὲ εὗρον ἐν τοῖς ῥητορικοῖς τὴν λέξιν οἰκίαν τινὰ σημαίνουσαν, ἀπὸ ματίωνος ἐπωνομασμένην δεσπότου. ἢ σκεῦος, ἢ κόσμον, ἢ χωρίον τι. λέγεται δὲ καὶ τῆς συκαμίνου ὁ καρπὸς ὁ πο-

Βάτος, ἡ ἄκανθα. εἴρηται κατ' ἀντίφρασιν βάλσαμος καὶ μόρα. φασὶν. ὁ μὴ ὢν βατός. καὶ ἔστιν ἐν τόνῳ προξυτόνῳ. καὶ τοιαῦτα πολλά. ὡς παρὰ τὸ κυρτός, κύρτος. ξανθός, ξάνθος. λευκός, λεῦκος, ὄνομα κύριον. οὕτω βατός, βάτος. καὶ παρὰ τὸ δρέπω, δρόπος, καὶ βατροδρόπος. φίλων.

Βάτραχος, παρὰ τὸ βοὴν τραχεῖαν ἔχειν, βοάτραχος τις ὤν. ἔστι δὲ πεποιημένη ἡ λέξις. καὶ βατραχίς, ἱμάτιον χροά.

Βατὴρ, ἡ ἀρχὴ τοῦ τῶν πεντάθλου σκάμματος. Αὐτὰρ ἐκήρυξας τὸ βατῆρα τὸ λόγου φησί τις. ὅτι τὸ ἐπικαιρότατον καὶ τὸ πρῶτον. ῥηματικὴ δὲ ἐστιν ἡ λέξις. οὐ παρὰ τὸ βαίνω, ἐγένετο γὰρ ἂν βάτης, ἀλλὰ παρὰ τὸ βίβημι βατήρ.

Βάτης, παρὰ τὸ βαίνω. βάντης ὤφειλεν εἶναι, ὡς φαίνω φάντης καὶ ἱεροφάντης. ἀλλ' ἀπὸ τοῦ βίβημι, βάτης καὶ διαβάτης καὶ ἱπποβάτης. φίλων. βάτης. ἔστι τὸ θέμα βῆμι. ὁ παρατατικὸς ἔβην. ὁ β' τῶν δυϊκῶν, ἔβατον. ὁ γ', ἐβάτην.

Βάτην, τὴν μεσημβρινήν. καὶ ἀφαιρέσει τοῦ ε, βάτην.

Βαῦνος, ἡ κάμινος. παρὰ τὸ αὔω, τὸ καίω. Ἵνα μή ποθεν ἄλλοθεν αὔοι. γίνεται αὖος. καὶ πλεονασμῷ τοῦ β, βαῦνος. λέγεται δὲ καὶ ὁ βουνός.

Βαυκίδες, ὑποδήματα ἰωνικὰ πολυτελῆ. καὶ βαυκισμός, ὄρχησις. καὶ βαυκίζεσθαι, τὸ θρύπτεσθαι. καὶ βαυκὸς κατὰ κοινῶν. Κατεβαυκάλισε με φιλοκώμιος.

Βαύκαλον. κίζομαι. τρυφερόν, καὶ ὡραῖον. βαυκὸν γὰρ τὸ τρυφερόν.

Βδελύσσω. παρὰ τὸ βδελύω. τοῦτο παρὰ τὸ βδέλλω τὸ ἀμέλγω. βδάλλειν γὰρ λέγουσιν οἱ ἀττικοὶ τὸ ἀμέλγειν. καὶ γὰρ ἡ βδέλλα, ἀμέλγουσι νέοι ἐκεῖ ἐν τῷ αἷμα ἐπισπᾶν. γίνεται βδέλλα, τοῦ α

Βδέλυγμα, δυσοσμία. ἀπὸ τοῦ βδελύσσω. τὰ γὰρ εἰς σσω, βδελύξω. βεβδέλυχα. βεβδέλυγμαι. βδέλυγμα. ἀπὸ δὲ τοῦ βδέλυγμα, γίνεται ὁ βδελυγμός, καὶ ὁ βδελυρός ὁ ἀναιδής, καὶ τὸ μιαρόν.

Βδελυγμίας, καὶ ἡ βδελυγμία. σάττεσθαι, καὶ ἀποστρέφεσθαι ἄξιος. καὶ βδελύττομαι εἴρηται παρὰ τὴν βδέλλαν. παρὰ τὸ βδάλλω, βδαλυρός, ὡς λήγω, λαγαρός, λέπω, λεπυρός. τουτέστιν ὁ ἀναιδὴς καὶ πανταχόθεν ἕλκειν καὶ ἀρπάζειν βουλόμενος. ἀπὸ τοῦ μύ-

Βδόλος, ἡ δυσωδία τοῦ λύχνου, καὶ ἡ βόλος, καὶ ἡ βδελυρία. πορδή. Τὸν βδόλον οὐκ ἔσθ' ἥτις εἰς ὑπόστασιν δύναται. παρὰ τὸ ὄζω, ὄζολος. ὅθεν καὶ ὀζόλαι οἱ λοκροὶ καλοῦνται, διὰ τῆς ἐκ τοῦ αἰγονομεῖν δυσωδίας. ἀφαιρέσει τοῦ ο, ζόλος. ὡς τὸ ὀδύρεσθαι, δύρεσθαι. τροπῇ τοῦ ζ εἰς β δ, βδόλος. καὶ τὸ ῥῆμα, ὀζεῖ. βδεῖ. ὡς τὸ ῥοιζῶ, ῥοιβδῶ.

Βαιαί, αἱ ἐν ἰταλίᾳ ἀπὸ βαιοῦ τοῦ ὀδυσσέως κυβερνήτου ἐκλήθη. τελευτήσαντος κατὰ τὴν ἄορνιν τῆς ἰταλίας. τὸ ἐ-

Βαιόν, ὃ λέγεται καὶ ἠβαιόν. τὸ μικρὸν θυμικόν, βαιά τις. ἢ ὀλίγον. παρὰ τὸ βῶ τὸ βαίνω, βαιόν. οὐ ἔστιν ἐπ' ὀλίγον βῆναι. ἢ παρὰ τὴν ἥβην, ἥτις ταχέως ἀπέρχεται, καὶ ταχέ-

Βαίων. ὃς καὶ βλέννος ὡς λέγει. ζήτει εἰς τὸ ἠβαιός. λέγεται. ἔστιν ἰχθὺς παραπλήσιος κωβιῷ. ἐπίχαρμος δὲ βαιόνας λέγει. καὶ παροιμία δὲ παροιμία ἐστί. Μή με βαίων κακώσῃ ἰχθύς. ἀντὶ φιληδόνου εἴρηται.

Βαίτυλος, λίβανον τὸ ὄρος τῆς ἰλίου πόλεως. βαίτυλος δὲ ἐκλήθη καὶ ὁ λίθος, ὃν ἀντὶ διὸς ὁ κρόνος κατέπιεν. εἴρηται δὲ ὅτι ἡ ῥέα βαίτῃ αὐτὸν σπαργανώσασα, τῷ κρόνῳ δέδωκε. βαίτη δὲ ἐστὶ τὴν διφθέραν. καὶ παρὰ τὸ βαίτη, βαίτηλος. βαίτη, γάστρον προβάτειον, ἢ αἴγειον.

ΤΟ ΒΗΤΑ ΜΕΤΑ ΤΟΥ Ε

Βεβαιῶ, παρὰ τὸ βέβαιον. τοῦτο παρὰ τὸ βαιόν, ὅ ἐστι τὸ μικρὸν καὶ ἀληθές. τοῦτο ἐκ τοῦ βίβημι, βήσω. ὁ δεύτερος ἀόριστος, ἔβην. ἡ μετοχή, βάς βάντος. καὶ ἐξ αὐτοῦ βαιός, καὶ βαιός. καὶ κατὰ ἀναδιπλασιασμόν, βέβαιος. ἢ παρὰ τὸ βιβῶ, βίβαιος, ὡς τιμῶ τίμαιος. καὶ τροπῇ αἰολικῇ τοῦ ι εἰς ε. ὡς ἀγχίμαχος, ἀγχέμαχος. ἀδίκαστος, ἀδέκαστος, γίνεται βέβαιος. ὁ ἀσφαλὴς καὶ ἑδραῖος καὶ βεβηκώς. πρὸς ἀντιδιαστολὴν τῶν ἀστηρίκτων. τὰ διὰ τοῦ αιος ἀπὸ ῥημάτων εἴτε κύρια, εἴτε προσηγορικά, προπαροξύνονται καὶ διὰ τῆς αι διφθόγγου γράφονται. οἷον, πηδῶ, πήδαιος. ὑλῶ, ὕλαιος. λύω, λύαιος, ὄνομα κύριον. ματῶ, μάταιος. οὕτως οὖν καὶ βιβῶ, βίβαιος. οὕτω βεα-

Βεβαία, πηγὴ οὕτω καλουμένη ἐν εὐβοίᾳ. ἐλυ- γένης. μολογεῖ δὲ τεῦκρος, ὅτι φησὶ τῶν ἐν τῇ νήσῳ ποταμῶν ἐκλιπόντων καὶ πηγῶν, μόνη αὕτη ὁμοίως διέμεινε πολύυδρος. παρὰ τὸ βέβαιον οὖν καὶ ἀνελλιπές.

Βεβάασιν. ἀπὸ τοῦ βεβήκασι παρακειμένου ὅτες, βεβαῖα. κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ η εἰς α. ἡνίκα οἱ ἴωνες ἐν τῷ ῥήματι ἀφαίρεσιν ποιήσονται τοῦ συμφώνου, τότε καὶ συστολὴ παρακολουθεῖ. οἷον, ἕστηκα, ἕσταα. βέβηκα, βέβαα. βεβαώς, βεβαότος. καὶ βεβώς, βεβῶτος. καὶ πλεονασμῷ, βεβαώς, βεβαῶτος, καὶ ἐμβεβαῶτα. καὶ ἐπειδὴ ἡ γενικὴ τοῦ ἀρσενικοῦ κανών ἐστι τοῦ θηλυκοῦ, ἔχει τὸ ἑστῶσα. βεβῶ-

Βεβάμεν, καὶ βεβάμεν. ἀμ. προπαροξύνεται ὡς τεθνῶσα. ἀπὸ τοῦ βεβήκαμεν γέγονε κατὰ συγκοπήν. εἰ δὲ παροξύνεται, ἀπαρέμφατόν ἐστιν. οἷον, Ἀλλὰ μάλ' ἀμφ' αὐτῷ βεβάμεν σχεδόθεν τε μάχεσθαι.

Βεβίηκε. Τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς. κατὰ πεποίηνται. βεβίασται. ἀπὸ τοῦ βιάζω, βιάσω, βεβίακα, καὶ τὸ παθητικόν.

Βέβουλα. Καὶ γὰρ Κλυταιμνήστρας προβέβουλα. προκέκρικα. προτετίμηκα. ἀπὸ τοῦ βούλω βαρυτόνου, ὁμοίως, βουλήσω. ὡς μέλω, μελήσω. θέλω, θελήσω. ὁ παρακείμενος, βεβούληκα. ὁ μέσος βέβουλα. καὶ βεβόληατο. Ἰλιάδος ι. Πένθεϊ δ' ἀτλήτῳ βεβολήατο. ἔκτασιν δὲ ἔχει ποιητικὴν τοῦ ε εἰς τὸ η, διὰ τὴν ἐπαλληλίαν τῶν βραχέων. τὴν ψυχὴν τετρωμένοι ἦσαν. ἐλυποῦντο. ἀντὶ τοῦ μὲν σώματος, βεβλήατο. ἀντὶ δὲ ψυχῆς, βεβολήατο. τοιοῦτόν ἐστι καὶ τὸ πεφοβήατο, καὶ τὸ δεδμήατο. ἀπὸ τοῦ βάλλω, ῥηματικὸν ὄνομα, βολή. ἀπὸ τοῦ βολή, ῥῆμα βολῶ, βολήσω, βεβόληκα, βεβόλημαι. ὁ ὑπερσυντέλικος, ἐβεβολήμην, ἐβεβόλησο, ἐβεβόλητο. καὶ Ἰωνικῶς, ἐβεβολήατο. λέγει δὲ ὁ τεχνικός, οἱ μέντοι ἀπὸ τῶν περισπωμένων ταῦτα συλλαβόντες πρὸ τοῦ α ἔχουσι τὸ ε. οἷον, πεποίηνται, πεποιέαται. οὕτως οὖν καὶ βεβολέατο. καὶ διὰ τὸ ἐπάλληλον τῶν βραχέων, ἔκτασις γέγονε τοῦ ε εἰς τὸ η. βεβολήατο. οὕτω Ζηνόβιος, καὶ ἄλλοι.

Βέβηλος, ὁ μὴ ἱερὸς τόπος. ἀκάθαρτος καὶ βατὸς πᾶσιν. ἀπὸ τοῦ βῶ, βήσω, βηλός. καὶ διπλασιασμῷ, βέβηλος, ὁ βάσιμος πᾶσι. πρὸς ἀντιδιαστολὴν τοῦ ἀδύτου. λέγεται βέβηλος ἀνήρ, ὁ μιαρὸς καὶ ἀκάθαρτος, ἢ καὶ ἀμύητος. ἀπὸ τοῦ τόπου. ὁ ἐν ἀνιέροις τόποις ἄξιος διατρίβειν. Σοφοκλῆς δὲ ἐν Οἰδίποδι, βέβηλον τὸν ἰδιώτην φησί.

Βεβρώσεται. Χρήματα δ' αὖτε κακῶς βεβρώσεται. ἀπὸ τοῦ βρῶ, βρώσω, βέβρωκα, βέβρωμαι, βέβρωσαι. μετὰ ὀλίγον μέλλων, βεβρώσομαι. τὸ τρίτον, βεβρώσεται.

Βεβρώθοις. Ὠμὸν βεβρώθοις Πρίαμον. φάγοις. βρῶ, βρώσω, βέβρωκα. ἐκ τούτου, ῥῆμα βεβρώκω. γέγονε τροπῇ τοῦ κ εἰς θ, βεβρώθω. ὁ παρατατικός, ἐβέβρωθον. ἡ μετοχή, ὁ βεβρώθων, τοῦ βεβρώθοντος. τοῦ εὐκτικοῦ, βεβρώθοιμι, βεβρώθοις.

Βέβρυχε. παρὰ τὸ βρύχω, βρύξω, βρύξ. καὶ ἀναδιπλασιασμῷ, βέβρυξ.

Βέρης, ὁ δραπέτης. καὶ βερηδεύει, δραπετεύει.

Βεελφεγώρ, ἐστὶν ὄνομα εἰδώλου, τὸ λεγόμενον Βαάλ. καὶ λέγεται παρὰ Ἑβραίοις, βήλ. καὶ φεγώρ, ὄνομα τόπου. καὶ διαλύσει τοῦ η εἰς δύο ε, καὶ τροπῇ τοῦ α εἰς ε, γίνεται σύνθετον βεελφεγώρ, ἤγουν τὸ βὴλ ἐν Φεγώρ.

Βέθρον, βέρεθρον. καὶ συγκοπῇ, βέθρον. Κράτης καὶ Εὐφορίων οὕτω.

Βέρεθρον, ὁ πηλώδης τόπος καὶ καταπηγὰς ποιῶν τοὺς ἀνθρώπους. εἴρηται δὲ ἀπὸ τοῦ οἱονεὶ βέρεθρον εἶναι καὶ βάθος ποιεῖν τῷ ἄρθρῳ τοῦ ποδός. ἢ τὸ τὴν γῆν θραύειν. Πολλὸν δὲ κατὰ χθονός ἐστι βέρεθρον. σημαίνει καὶ τὸ σκότος καὶ τὸ βάθος. Ἔξω δ' ἐξίσχει κεφαλὰς δεινοῖο βερέθρου.

Βέλος. παρὰ τὸ βάλλω, τὸ τιτρώσκω. πᾶν γὰρ τὸ ἀπὸ μηχανῆς βαλλόμενον, βέλος εἴρηται.

Βελένοι, ὄσπρια. Καὶ τῶν βελέκκων. Ἀριστοφάνης.

Βέλεμνα, βέλη. ἔστι δὲ καὶ ῥῆμα. παρὰ τὸ βέλος, βέλεμος. ὡς ἔχω, ἔχεμος. τήλεμος. πλεονασμῷ τοῦ ν, βέλεμνος. καὶ βέλεμνον, Ἡρωδιανὸς περὶ παθῶν. Ἰστέον ὅτι διακρίνονται ἡ εὐθεῖα τῶν οὐδετέρων καὶ ἡ αἰτιατικὴ ἀπ' ἀλλήλων, οὕτως. ὅτε τὸ ῥῆμα καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ ὑποκειμένου φέρεται καθ' οὗ καὶ τὸ οὐδέτερον ὄνομα, τότε τὸ οὐδέτερον εὐθεῖά ἐστιν. ὡς ἀντὶ τοῦ βέλος ἔπεσεν. αὐτὸ γὰρ ἔπιπτε τὸ βέλος. τοῦτο δὲ ἴδιον εὐθείας, τὸ τὴν διάθεσιν τοῦ ῥήματος ἕλκειν εἰς ἑαυτήν. παιδίον ἀπέθανε. Γύναιον ὑφαίνει. ὅτε μέντοι τὸ ῥῆμα ἐξ ἄλλης αἰτίας πρόεισι, τότε τὸ οὐδέτερον αἰτιατική ἐστιν. ὡς ἀντὶ τὸ βέλος ἥρπασεν. ἄλλος γὰρ ὁ ἁρπάσας. ἁρπάζεται γὰρ τὸ βέλος. τὸ κρέας ἔκλεψε. τὸ μαχαίριον ἔλαβεν.

Βελόνη, παρὰ τὸ βέλος καὶ. οὕτω Ζηνόβιος. διὰ τὴν τούτου ὀξύτητα. ἢ παρὰ τὸ ὅλην βάλλεσθαι. τὰ διὰ τοῦ ονη, εἰ μὲν οὐσίαν σημαίνει, πάντα βαρύνονται. οἷον, βελόνη. περόνη. ἀγχόνη, τὸ σχοινίον. ἀντὶ δὲ τοῦ πράγματος, ὀξύνεται. οἷον, ἡδονή. καλλονή. ἀγχονή, ἡ ἄγξις.

Βελλεροφόντης, βέλλερα γὰρ τὰ κακά. ἐστὶν οὖν ὁ προνοούμενος παύειν τὰ κακά. οὗτος πρότερον ἐκαλεῖτο Ἱππόνους. ἀνελὼν δὲ Βέλλερον τὸν Κορίνθιον, Βελλεροφόντης ἐκλήθη. Τὰ εἰς της ἀρσενικά, μὴ ὄντα σύνθετα παρὰ τὸ κράτος, μὴ δὲ ἔχοντα οὐδέτερον εἰς ες, εἰς ου ἔχει τὴν γενικήν. οἷον, πολίτης, πολίτου. δεσπότης, δεσπότου. μητιέτης, μητιέτου. Βελλεροφόντης, Βελλεροφόντου. πρόσκειται ἀρσενικά, διὰ τὸ φιλότης. μὴ ὄντα σύνθετα παρὰ τὸ κράτος, διὰ τὸ Σωκράτης, Σωκράτους. μὴ ἔχοντα οὐδέτερα, διὰ τὸ ἐνναέτης ἐνναέτους, ἐνναέτες. τοῦτο δὲ ὅτε μὲν σημαίνει τὴν σωματικὴν ἡλικίαν, ἐνναέτης, βαρύνεται. εἰ δὲ χρόνον ἐνναετής, ὀξύνεται.

Βέλτερος, οὐ παρὰ τὸ βάλλω γέγονεν. ἐπεὶ βάλτερος ὤφειλεν εἶναι. ὡς παρὰ τὸ θάλλω, θάλος, ἀλλὰ παρὰ τὸ βέλλω. ὅθεν καὶ βολὴ καὶ βέλος. τοῦτο ῥηματικὸν ὄνομα, βέλτος. καὶ τὸ συγκριτικόν, βέλτερος. οὕτως Ὠρίων. ὁ δὲ Φιλόξενος εἰς τὰ συγκριτικὰ λέγει, ὅτι τὸ βέλτερος καὶ φέρτερος, οὐκ εἰσὶ συγκριτικά. θέματα δὲ εἰσὶ συμπεπτωκότα τύποις συγκριτικῶν. οὐδὲ γὰρ πάντα τὰ εἰς της παρωνυμικά εἰσιν. οὐδὲ πάντα τὰ εἰς κος, κτητικά. καὶ δῆλον ἐκ τούτου. οὐδὲν εἰς ρος λήγει συγκριτικὸν μετὰ στερήσεως λεγόμενον. εἰ οὖν ἀβέλτερος φαμέν, δηλονότι οὐ συγκριτικόν. τὸ γὰρ ἀτυχέστερος οὐκ ἐν τῷ συγκριτικῷ εἴληφε τὴν σύνθεσιν, ἀλλὰ παρὰ τὸ ἀτυχὴς ἐσχημάτισται.

Βελτίων. ἐκ τοῦ βάλλω ἢ βέλλω, γίνεται ῥηματικὸν ὄνομα βέλτος. ἐκ δὲ τούτου, γίνεται συγκριτικὸς τύπος εἰς ων βελτίων. καὶ ὑπερθετικός, βέλτιστος. Ὠρίων.

Βένθος, τὸ βάθος. παρὰ τὸ βάθος. βέθος καὶ βένθος πλεονασμῷ τοῦ ν. ὡς πάθος, πέθος, καὶ πένθος.

Βέμβιξ. ὁ στρόμβος ἐν οἷς οἱ παῖδες στρέφοντες καὶ παίοντες ἱμᾶσι, παίζουσι. πέμπιξ τις ὤν. παρὰ τὸ πέμπεσθαι καὶ ἐλαύνεσθαι.

Βεμβράς, εἶδος ἰχθύος εὐτελοῦς. Ἐπίχαρμος δὲ αὐτὰς βράδυνας καλεῖ. Βράδυνές τε καὶ κίχλαι. λαγοὶ δράκοντές ἄλκιμοι. γίνεται δὲ ἐξ αὐτῆς σκευασία τις, ἡ προσαγορευομένη μεμβραφύα. Ἀριστώνυμος. Ταῖς μεμβραφύαις προσέοικεν ὁ καρκινοβάτης. καὶ αὖθις. Οὐ τάφη νῦν ἐστι σαφῶς, οὐ τὰς βεμβράς κακόδαιμον.

Βέροια, πόλις Μακεδόνων, ἥν φασιν ἀπὸ Φέρητος τινὸς κτισθῆναι. Φέροια, καὶ κατὰ Μακεδόνας, Βέροια, τροπῇ τοῦ φ εἰς β. ὡς Φερενίκη, Βερενίκη, ἡ γυνὴ τοῦ πατρὸς Πτολεμαίου. καὶ τὴν κεφαλήν, κεβαλὴν λέγουσι.

Βεστῖνοι, ἔθνος ἐν Ἰταλίᾳ. ὠνόμασται δὲ ἀπὸ τοῦ θηριώδεις εἶναι. βέστια γὰρ τὰ θηρία κατὰ τὴν τῶν Ῥωμαίων διάλεκτον.

Βέχειρ, ἔθνος Σκυθικόν, ὡς ἄπειρ. ἡ μετὰ τοῦ σ, σάπειρ.

Βέσον, τὶ μάτιον ὑπὸ Λακώνων. οἱ δὲ, βέπον. Διογένης.

Βεῦδος. Καλλίμαχος. Ἐν δὲ πάρω καλά τε καὶ αἰόλα βεῦδε' ἔχουσαι. σημαίνει δὲ τὰ ποικίλα, ἢ πορφυρᾶ ἱμάτια. Δίδυμος, τὰ δέρματα βοεύδεα, ἢ τὰ εὔδιαν ἡμῖν παρέχοντα. Ἡρωδιανὸς δὲ εὔδεα, καὶ πλεονασμῷ τοῦ β, βεύδεα. παρὰ τὸ εὕδειν. Διογένης. ἔστι πόλις, καὶ γυναικὸς ἱμάτιον πολυτελές. παρὰ Ἑρμωνεῦσι δὲ καὶ ἄγαλμα.

ΤΟ ΒΗΤΑ ΜΕΤΑ ΤΟΥ Η

Ἦτα τὸ στοιχεῖον, ὅτι δευτέραν ἔχον τάξιν, ἐπιβέβηκε τῶν λοιπῶν.

Βῆ περισπᾶται. Βῆ δ' ἀκέων, ἀντὶ τοῦ ἐπορεύθη. παρὰ τὸ βῶ, βῆμι, ὁ β ἀόριστος, ἔβην. ἢ παρὰ τὸ βίβημι. ὁ β ἀόριστος ἔβην. τὸ γ, ἔβη. καὶ κατὰ ἀφαίρεσιν, βῆ. Ἰστέον ὅτι μετὰ τὴν ἀφαίρεσιν τοῦ κλιτικοῦ μορίου, εἰ μὲν μακρὰ συλλαβὴ ὑπολείποιτο, περισπᾶται. οἷον, ἔφης, φῆς. ἔβην, βῆν. εἰ δὲ βραχεῖα, ὀξύνεται. ἔβαν, βάν. ἔσαν, σάν.

Βῆ, τὸ μιμητικὸν τῆς τῶν προβάτων φωνῆς. οὐχὶ βαὶ λέγεται ἀττικῶς. Κρατῖνος Διονυσαλεξάνδρῳ. Ὁ δ' ἠλίθιος ὥσπερ πρόβατον βῆ βῆ λέγων βαδίζει. ἐν τρίτῃ κλίσει.

Βείομαι, Ἰλιάδος ο. Τῷ ῥα καὶ οὔτι Διὸς ἔστιν ἡ λέξις. βείομαι φρεσίν. ἀντὶ οὐδαμῶς κατὰ τὴν αὐτοῦ γνώμην βιώσομαι, ἀλλὰ κατὰ τὴν ἐμαυτοῦ. διὸ οὐδαμῶς τοῦ Διὸς ἐπιστροφὴν ποιήσομαι. Δημήτριος δὲ ἀπὸ βήσομαι ἀντὶ τοῦ ζῶ. οὕτως ἔχει καὶ τό, Οὐ γάρ μοι δηρὸν βέῃ. οὐ προβήσει κατὰ τὸ ζῆν πολὺν χρόνον. βέω ἐστί, καὶ πλεονασμῷ τοῦ ἰῶτα, βείω. Ἰλιάδος χ. Ἕκτορ τέκνον ἐμὸν τί νυ βείομαι. ἀντὶ τοῦ ἐς τί ἐπιβιώσω. καὶ ζήσω.

Βηλός, βαθμὸς θύρας. ἢ ὁ οὐρανός. οἷον, Ῥῖψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο. ἀπὸ τοῦ οὐρανοῦ. ἀπὸ γὰρ τοῦ βεβηκέναι τοὺς θεοὺς ἐπ' αὐτῷ, καὶ τοὺς ἀστέρας καὶ ἐπιβαίνειν εἴρηται. τῷ δὲ τόνῳ καθάπερ οἱ Ἀρίσταρχοι, βηλὸν ὡς πηλόν, τὸν τῶν θεῶν βαθμόν. ἕτεροι δὲ τὸν βηλὸν εἶπον τὸν ἀνωτάτω πάγον καὶ περιέχοντα τὸν πάντα ἀέρα. ἄλλοι δέ, τὴν περίοδον τοῦ αἰθέρος καὶ τῶν ἀστέρων. τινὲς δὲ κατὰ Χαλδαίους, τὴν ἀνωτάτω τοῦ οὐρανοῦ περιφέρειαν. οἱ δὲ κατὰ Δρύοπας τὸν Ὄλυμπον. ἄμεινον δὲ τὴν βατῆρα λέγειν. κοινῶς δὲ σημαίνει ὁ βηλὸς τὸν οὐδὸν τῆς θύρας, ὃν καλοῦσι φλιάν. Καὶ οὐδὸν ἀπολιθέω. ὁ γὰρ ποιητὴς ὑποτίθεται τὸν οὐρανόν, πύλας ἔχοντα. γίνεται παρὰ τὸ βήσω, μέλλοντα. ᾧ ἐπιβαίνουσιν οἱ εἰσιόντες καὶ ἐξιόντες. βηλὸς ἀπὸ τοῦ βαίνεσθαι. ὡς καὶ ὁδός, ἀπὸ τοῦ ὁδεύεσθαι. καὶ ὁ Πανύασις δὲ τὰ πεδία βαιόλα λέγει.

Βῆμα, παρὰ τὸ βῶ, τὸ βαίνω. τὸ δὲ παρὰ τοῖς φιλοσόφοις σύμβαμα, παρὰ τὸ βίβημι. τὸ δὲ βᾶμα καὶ σχᾶμα, κατὰ τὴν Δωριέων φωνὴν εἴρηται. ἀντὶ βῆμα καὶ σχῆμα. σχῆμα δὲ καὶ βῆμα δηλονότι οὐκ ἀθρόον δεῖ οὔτε τινὸς τῶν μαθημάτων, ἀλλ' οὐδὲ τινὸς τῶν χωρίων ὑπεράλλεσθαι. κατὰ βαθμὸν δέ τινα καὶ τάξιν προϊέναι. καὶ μὴ τὰ μὲν προηγούμενα παρατρέχειν. ὑπὲρ δὲ τὰ ἐσκαμμένα ἅλλεσθαι. ὅθεν καὶ παροιμία. Γείτων κινῶν τὸν πόδα. τὰ πρὸ δὲ ἡ παροιμία ἀντὶ τῶν μήπω μυηθέντων τὰ προοίμια. περὶ δὲ τὴν τῶν τελῶν κατάληψιν ματὴν σπουδαζόντων. βῆμα σημαίνει τὸ λογεῖον.

Βῆσσα, ὁ βασιμώτατος καὶ ὑψηλός. καὶ κοῖλος τόπος. παρὰ τὸ βήσω μέλλοντα, γίνεται βῆσα. πλεονασμῷ ἑτέρου σ. δι' ὧν ἐστι βαίνειν καὶ πορεύεσθαι. οἱ δέ, πόλιν Λοκρίδος φασί. συστέλλεται τὸ α, ὡς κνίσσα.

Βῆσσαν, κοιλάδα ὕδωρ ἔχουσαν καὶ μέσον τῶν ὀρῶν. τὴν συνάγκειαν. ἄλλοι τὸ ἔνυδρον.

Βητάγων, ὁ Κρόνος ὑπὸ Φοινίκων.

Βηχμός, νυσταγμός.

Βήθυλος, εἶδος ὀρνέου. δήθυλος ἦν. τροπῇ γὰρ τοῦ δ εἰς β. οἷον, Δελφοί, Βελφοί. ἐνδῦσαι, ἐμβῦσαι.

Βητάρμονες, οἱ ὀρχησταί. παρὰ τὸ βαίνειν ἁρμοδίως. διὰ τὸ βαίνειν μετὰ ἁρμονίας. βητάρμων καὶ βητάρμων πλεονασμῷ τοῦ τ. λέγεται δὲ βηταρμός, καὶ ἐνόπλιος ὄρχησις. οἷον, καὶ κείροντα βηταρμὸν ἐνόπλιον ἀλίσιον.

ΤΟ ΒΗΤΑ ΜΕΤΑ ΤΟΥ Ι

Βία, σημαίνει β. τὴν δύναμιν, ὡς τὸ καὶ ἡ δὲ βίη λέλυται. καὶ τὴν ἐκ δυναστείας ἀδικίαν. ὡς τὸ τὴν ῥα βίῃ ἀέκοντος ἀπηύρων. καὶ βίηφιν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας. τὴν ἀδικίαν. καὶ τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον. Οὔτε βίας βοῶν ὑπεδείδισαν οὔτε ἰωκάς. ἀμφότερα παρὰ τὸ ἴα, ὃ σημαίνει τὴν δύναμιν, καὶ πλεονασμῷ τοῦ β, βία. τὸ δὲ μετὰ δυνάμεως καὶ βιαστικῶς τι πράττειν, βία εἴρηται. τὸ δὲ ἴα, παρὰ τὸ ἴς ἰνός. τὸ θηλυκόν, ἴα.

Βίβημι. ὁ παρατατικός, ἔβην. Ἂν δ' ἄρ' ἔβη Πρίαμος. βαίνειν λέγεται τὸ ἁπλῶς διασκελῶν βαδίζειν. ἀναβαίνειν. ἡ ἐκ τῶν κάτω πρὸς τὰ ἄνω ἀνάδοσις. ὁμοίως, βήσω. μετάγεται δὲ εἰς ἐνεστῶτα καὶ μέλλοντα οὐκ ἔχει. τὰ γὰρ ποιητικά, ἀπὸ μελλόντων εἰς ἐνεστῶτα μεταγόμενα, ἄχρι τοῦ παρατατικοῦ κλίνονται.

Βιβάω, βιβῶ. ὁμοίως, βήσομαι, βήσῃ. γίνεται ἐκ τοῦ βῶ τὸ βαίνω. δευτέρας συζυγίας τῶν περισπωμένων, βιβάοντα. Μακρὰ βιβῶντα. μεγάλα διαβαίνοντα. Καὶ ὁ δ' ᾔει μακρὰ βιβάσθων. παρὰ τὸ βιβάζω, γίνεται βιβαστός. καὶ ὡς ἁρμόζω ἁρμοστός, γίνεται ὁρμαθός, οὕτω καὶ βιβαθός. καὶ ῥῆμα ἐξ αὐτοῦ, βιβάθω. ἢ ἀπὸ τοῦ βιβῶ, βιβάθω. καὶ πλεονασμῷ τοῦ σ. ἡ μετοχή, βιβάσθων, ἀντὶ τοῦ πατῶν.

Βίβλος. διὰ τὸ τοὺς βίους βάλλεσθαι ἐν αὐτῇ. ἢ παρὰ τὸ βύω, τὸ ἀσφαλίζω. καὶ βιβλίον.

Βιβλίδες, τὰ βιβλία, ἢ κολοιμία τὰ ἐκ βίβλου πεπλεγμένα

Βίβλινος οἶνος. οὕτως ὕδωρ δὲ πίνει, τὸν δὲ βίβλινον στυγεῖ.
ἀπὸ Βιβλίνης οὕτω καλουμένης θρᾳκίας ἀμπέλου.
ἤγουν διὰ τὸ εὐθαλὲς εἶναι, ἐν Ἑλλάδι μετετέθη. καὶ ἐν Σι-
κελίᾳ ὑπὸ Πόλλιδος τοῦ Σικυωνίου τυράννου. ἔνθεν αὐ-
τὴν τινὲς καὶ Πόλλιον καλοῦσιν. Ἐπίχαρμος δὲ, ἀπὸ Βι-
βλίνων ὀρῶν τῆς Θρᾴκης ἔνθεν φύεται, λελέχθαι αὐτὸν
οἴεται. ὅμως δὲ ἐν τῇ ἕκτῃ τῆς Ἰλιάδος, ἐν ᾗ ἄξω φησὶ
ποταμὸν Βιβλίνην. ἀφ᾽ οὗ καλοῦσιν οἶνον βίβλινον,
διὰ τὰς πεφυκυίας ἀμπέλους. διὰ δὲ τοῦ μ γράφουσι τὸν
ποταμὸν, Βιμβλίνην. καὶ τὸν Νάξιον οἶνον διὰ τοῦ μ, βίμ-
βλινον. ἔστιν οὖν ὁ βίβλινος εἶδος οἴνου, καὶ γένος ἀμπέ-
λου ἐν Θρᾴκῃ. καὶ ὁ παλαιὸς οἶνος.

Βίνη, πόλις. μέμνηται ταύτης Ἡρόθεος, καί φησιν ὠνομά-
σθαι ἀπὸ Φιλίππου οἰκισθεῖσαν ἀπὸ τῶν ἐν αὐτῇ συνοικισθέν-

Βινεῖν, τὸ συνουσιάζειν. παρὰ τὸ βίος   τῶν μοιχῶν. ὅρος.
δηλονότι ὡς ἐν ὑποθέσει Ἀριστοφάνης. οὖν, οἱ κοιμίζοντες ἤδη τὴν
ἡλικίαν, ἀρχὰς ἔχουσι τοῦ βίου. ἄλλοι δὲ παρὰ τὸ βουνεῖν δεδώ-
κασι τὴν λέξιν κατὰ συγκοπὴν τοῦ υ εἶναι. λέγει δὲ ὁ Ἡρωδιανὸς ὅτι
τοῦτο διαφορεῖται κατὰ τὴν γραφήν. τινὰ γὰρ τῶν ἀντιγρά-
φων, διὰ τῆς ει διφθόγγου γράφουσι τὴν λέξιν, τινὰ δὲ διὰ τοῦ ι.
ὑπὸ δὲ ἀσυφίας καὶ πλήθους ἐτῶν, βινεῖν εἰργόμενον.

Βιπάζειν, Σάφων καὶ Ἐπίχαρμος τὸ βαπτίζειν, βιπάζειν λέ-
γουσιν. οὕτως Ἡρωδιανός.

Βιστονίη. Βιστονίη φόρμιγγι λιγείης ἦ κεν ἀοιδῆς. θρᾳκικῆς.
ἀπὸ Βίστωνος τοῦ Τερψιχόρου.

Βίος. ἡ ζωή, ἡ βιοτὴ προσαγορεύεται. παρὰ τὸ μετὰ βίας καὶ
ἀνάγκης ζῆν, ὥς φησιν Ὅμηρος. Θεοὶ ῥεῖα ζώοντες, οὐχ
οὕτως οἱ ἄνθρωποι. ὡς γὰρ ἐπεκλώσαντο ζώειν ἀχνυμέ-
νους. αὐτοὶ δὲ τ᾽ ἀκηδέες εἰσίν. ἢ παρὰ τὸ βέω τὸ πορεύο-
μαι. ἵνα ᾖ ὁ βίος, ἡ ὁδὸς καὶ πορεία. τὸ γὰρ βέω, κυρίως
τὸ πορεύομαι σημαίνει. Ὄφρ᾽ ἂν ἐγὼ βέω προτὶ Ἴλιον. καὶ τὸ,
Ζῆνδε βέω ἐκ προμολῆς. Τίνυ βέομαι ἄνα πάθου-
σα. τὰ δὲ παρὰ τὸ βίος συγκείμενα, εἴτε κατ᾽ ἀρχὰς λέ-
γεται εἴτε κατὰ τὸ μέσον, διὰ τοῦ ι γράφονται. οἷον, βιωφελής. βιοτελής.
βιοπλανής, καὶ βιοπλανές. τὸ δὲ ἐντελές, βιοπλανέες, ὡς
ἀκλεέες, ἀκλεές. ὄλβιος. ἄμφιος. ἀμφίβιος. Ποσαχῶς
ὁ βίος, πενταχῶς. βίος, ὁ χρόνος τῆς ζωῆς. βίος καὶ ἡ ἐν-
τεῦθεν τῆς ψυχῆς μετάστασις. βίος, καὶ ἐν ᾧ τις διαβί-
βᾳ. βίος καὶ τὸ ἐπιτήδευμα, εἴτε ἰατρός ἐστιν, ἢ μηχανι-
κός, ἢ τεκτονικός. καὶ τὰ ὅμοια. βίος καὶ τὸ εἶδος τῆς ζωῆς.
καθὸ λέγομεν, τὸν μὲν σεμνὸν καὶ κόσμιον ἐλέσθαι βίον. τὸν δὲ

Βιβλιαίγιθος, Ἀνδρέας ὁ ἰα-   ἄσεμνον, καὶ ἀκόσμιον.
τρὸς ἐπεκλήθη ὑπὸ Ἐρατοσθένους. ὅτι λάθρα αὐτοῦ τὰ βι-
Βιός, ὀξύνεται τὸ τόξον διὰ τὸ πρὸς τὸν   βλία μετέγραψε.
βίον διάστασιν. ἔοικε δὲ ὑπὸ τῶν ἀρχαίων ὁμωνύμως
λέγεσθαι βιός, τὸ τόξον καὶ ἡ ζωή. Ἡράκλειτος οὖν ὁ σκοτει-
νός. Τῷ οὖν τόξῳ ὄνομα βιός. ἔργον δὲ θάνατος. ἢ παρὰ
τὴν βίαν τῆς τάσεως, τὸ ὅπλον οὕτω κεκλῆσθαι, ἐπειδὴ
μετὰ βίας τείνεται. ἢ ὅτι δι᾽ αὐτοῦ τὰ πρὸς τὸν βίον οἱ ἀρ-
χαῖοι εἶχον ἐν ταῖς θήραις αὐτῷ χρώμενοι, τὰ πρὸς τὸν
βίον ἐπορίζοντο τοξεύοντες τὰ πτηνὰ καὶ τὰ τετράποδα.

Βίοτος, σημαίνει τὴν ζωήν. ὥς τὸ, Ἔνθα κέ τοι Μενέλαε φάνη βιό-
τοιο τελευτή. Ἰλιάδος η. καὶ τὰ κτήματα, καὶ τὰ πρὸς τὸ
ζῆν χρήματα. Βίοτόν τε τεὸν καὶ κτήματα πάντα.

Βιώνη, εὐκτικὸν ὡς παρ᾽ Ἀριστοφάνει. Ἀναβιώνην νῦν πάλιν.
βιῶν, βιοῦντος. βιοίην, βιοίης, βιοίη, καὶ πλεονασμῷ τοῦ η,
βιῴη. καὶ κατ᾽ ἔκτασιν τοῦ ο εἰς ω, βιῴην. ἢ ὥσπερ ἀπὸ τοῦ
δοὺς, δόντος, δοίην. καὶ ἐκτάσει, δῴην, οὕτω καὶ βιοὺς, βι-
όντος, βιοίη. καὶ κατ᾽ ἔκτασιν, βιώην. τὸ δὲ βιῶ, ἐστὶ μὲν ἐκ
δευτέρας συζυγίας τῶν περισπωμένων βιᾷς, βιᾷ, ἐκ τοῦ
βία. ὅθεν καὶ τὸ, Ἐβιήσατο παῖδα. ἡ δὲ ἐστὶ τρίτης, βιῶ, βι-
οῖς. καὶ ἐκ τούτου βίος, βίωμι. ὁ δεύτερος ἀόριστος, ἐβίων,
τὸ πληθυντικὸν, ἐβίωμεν. καὶ τὸ ἀπαρέμφατον, βιῶναι,
τὸ ζῆσαι. βίωμι, ἐβίων, βιούς, βιόντος. τὸ προστακτι-
κὸν, βίωθι. τὸ τρίτον, βιώτω, τὸ ζησάτω. βιάω, βιῶ, βιά-
ομαι, βιῶμαι. βιαοίμην, βιῴμην. βιάοιο, βιῷο. βιάοι-
το, βιῷτο. καὶ πλεονασμῷ τοῦ α, βιάατο. Τῷ ἴκελος ὥστε εἰ ἐ-
βιώατο μοῦνον ἐόντα. ἀντὶ τοῦ ὡσανεὶ αὐτὸν ἐβιάσαντο.

Βίαιος, παρὰ τὸ βία, τοῦτο παρὰ τὸ ἰς ἡ δύναμις. τοῦτο παρὰ
τὸ ἔω, τὸ ὑπάρχω. ἡ ὑπάρχουσα ἔν τινι. προπαροξύνεται.
τὰ γὰρ ἔχοντα τὸ ι ἐν τῇ παραληγούσῃ καὶ παραγόμενα ἀπὸ θηλυκῶν,
προπαροξύνονται. οἷον, δίκη, δίκαιος. τιμή, τίμαιος. οὕ-
τως καὶ βία, βίαιος. καὶ ἐξ αὐτοῦ, βιαία.

ΤΟ ΒΗΤΑ ΜΕΤΑ ΤΟΥ Λ

Βλὰξ, ὁ εὐήθης καὶ ἀργὸς καὶ ἀνόητος. Ἀριστο-
φάνης, Βλάκες φυγεργοί. εἴρηται ἀπὸ τοῦ
μαλακός. καὶ τὸ ὑποκοριστικὸν, μάλαξ.
ὡς βωμολόχος, βῶμαξ. πλούσιος, πλού-
ταξ. μάλαξ οὖν, καὶ κατὰ συγκοπὴν καὶ τρο-
πὴν, βλάξ. ὡς δὲ τὸ λεξικὸν τὸ ῥητορικὸν εὗρον ἐγὼ εἰρῆ-
σθαι τὴν λέξιν, ἀπὸ ἰχθύος τινὸς, ὁμοίῳ σιλούρῳ. ἀχρή-
στου ὄντος, ὡς μηδένα αὐτῷ χρήσασθαι. πολιτείας δὲ,
βλακικόν τε ἡμῶν τὸ πάθος ὡς ἂν λέγοι τις πνευμονίαν.
ἀπὸ τοῦ θαλαττίου ζώου ὄντος ἀναισθήτου. οἱ δὲ, ἀπὸ τοῦ
πρὸς τῇ Κύμῃ χωρίου τῆς Βλακίας. οὗ μέμνηται καὶ Ἀρι-
στοτέλης. Καὶ ἐν Ἀλεξανδρείᾳ δὲ τέλος τι βλακεννόμιον
ὃ οἱ ἀστρολόγοι τελοῦσι διὰ τοὺς μωροὺς εἰσιέναι πρὸς

Βλάπτω. ἔστι βρῶ, τὸ ἐσθίω. κατὰ τροπήν. ἐξ   αὐτούς.
βλῶ. καὶ κατὰ παραγωγὴν, βλάπτω. ἀπὸ μεταφορᾶς τῶν
ἐσθιομένων, καὶ μηκέτι ὑγιαινόντων.

Βλάβη. ἀπὸ τοῦ βλάβω, βλάβη. βλάπτεται δὲ ἔστι τοὐνα-
τίον τι. ἔνθα καὶ τὸ βλάβος. εἰ δὲ ἰδίως ἀπὸ τοῦ βλάπτω, ὤφει-
λεν εἶναι βλαφή. ὡς σκάπτω, σκαφή.

Βλαστὸς, παρὰ τὸ βλώσκειν, ὃ σημαίνει τὸ αὔξεσθαι.

Βλάσφημος, παρὰ τὸ βλάβη καὶ τὸ φήμη, γίνεται βλάσφημος.
ὁ βλάβας λέγων. ἢ παρὰ τὸ φήμη καὶ τὸ βάλλω, ὁ τὰς φή-

Βλαισὸς, παραλυτικός.   μας βάλλων. ὁ λοίδορος.
οὕτως εἰς τὸ ῥητορικόν. ὁ δὲ Ἐτυμολόγος, ὁ τοὺς πόδας ἐπὶ
τὰ ἔξω διεστραμμένος, καὶ τῷ λ στοιχείῳ ἐοικώς. διὰ
τοῦτο καὶ Λάμβδα ἐκαλεῖτο ἡ γυνὴ μὲν Ἠετίωνος, μήτηρ

δὲ Κυψέλου τοῦ Κορίνθου τυράννου. εἴρηται δὲ βλαισὸς
ὁ βεβλαμμένος τὸ ἴσον τῶν ποδῶν. τὸ ἐναντίον γοῦν, ὁ
ἐπὶ τὰ ἔσω ἔχων τοὺς πόδας. καλεῖται ῥαιβὸς ὁ διερρ-
ραισμένος ἤτοι διεφθαρμένος τὸ ἴσον τῆς βάσεως.

Βλαῖκος, ὁ δαλός. κλάδος. ὄζος.

Βλαιτόπους, ὁ βλαισόπους.

Βλέφαρον, τὸ βλέποντος φάρος. ἢ παρὰ τὸ αἴρεσθαι ἐν τῷ
βλέπειν. ἢ αἰρομένων αὐτῶν ἡμεῖς βλέπομεν, ἢ παρὰ

Βλέψις, βλέψις.   τὸ βάλλειν τοὺς ὦπας.

Βλέννα, μύξα. οἱ δὲ, διὰ τοῦ π, πλέννη. καὶ πλέναι τὰ ἀ-
σθενῆ, καὶ δυσκίνητα.

Βλεφαρίδες, αἱ ἐν τοῖς βλεφάροις τρίχες.

Βλέμμυες, ἔθνος βάρβαρον λιβυκόν. ἀπὸ Βλέμμυος
ἑνὸς τῶν Δηριάδου τῶν ὑποστρατηγῶν. ἔστι δὲ ὀρόντης,
καὶ ὀρουάνδης, καὶ βλέμμυς. τοὺς καταρράκτας φασὶ τοὺς

Βλεμεαίνω. παρὰ τὸ βρέμω, βρε-   σαι κολῶναι.
μαίνω. καὶ τροπῇ τοῦ ρ εἰς λ, καὶ πλεονασμῷ τοῦ ε. Ἰλιά-
δος ο. Σθένεϊ βλεμεαίνων. τῇ ἑαυτοῦ δυνάμει γαυριῶν,
καὶ ἐπαιρόμενος. μαργαίνων καὶ ἐνθουσιῶν. σφοδρῶς
ἐπιρρωννύμενος. ἔνιοι δὲ τῷ βλέμματι φοβῶν. οὖν, τὴν
δύναμιν διὰ βλέμματος ἐνδεικνύμενος.

Βλεὶς, Ἐπίχαρμος, τυροβλείς. φασὶν οἱ μὲν ἀπὸ τοῦ
βληθεὶς κατὰ συγκοπὴν τῆς καὶ θ, βλείς. ἢ ἀπὸ τοῦ βλῆμι.
ὁ δεύτερος ἀόριστος, ἔβλην. οἷον, Πόθεν δὲ ὤλισθες εὖ πε-
πτὲς ἔβλης. ἡ μετοχὴ, βλεὶς. κίνημα γὰρ καὶ οὐ συγκοπή.
οὕτως Ἡρωδιανὸς περὶ παθῶν.

Βλείμην. ἔστι βλῶ, βλῆμι, βλήσω, ἔβλην. ὁ μέσος δεύτε-
ρος, ἐβλείμην. τὸ εὐκτικὸν, βλείμην. τὸ δεύτερον,
βλεῖο. Ἰλιάδος υ. Εἴ περ γάρ κε βλεῖο πονεύμενος. ἐάν γὰρ
βληθῇς πολεμῶν, ἐνεργῶν.

Βλῆτο, ἀπὸ τοῦ βλῶ, βλήσω. βέβληκα. ὁ παθητικὸς, βέ-
βλημαι. ἐβεβλήμην, ἐβέβλησο, ἐβέβλητο. καὶ κατὰ συγκο-
πὴν, ἔβλητο. οὖν, Ἔβλητο πρὸς στῆθος. εἶτα ἀφαιρέσει.

Βλῆσθαι, βληθῆναι. ἀπὸ τοῦ   οὖν, Βλῆτο γὰρ δουπικὰ κισσός
βλῶ, βλήσω, βέβληκα, βέβλημαι, βεβλῆσθαι. καὶ κατὰ
ἀφαίρεσιν τῆς βε συλλαβῆς. Πρὶν βλῆσθαι Μενέλαον.

Βλήμενος. ἀσκηθείς. ὡς γὰρ ὁ οὐτασμένος ἀναδρομὴν
ἔπαθε τοῦ τόνου, οὕτω καὶ τὸ βλήμενος, ἐκ τοῦ βεβλημένος κατὰ

Βληχρὸν, τὸ ἀσθενὲς παρ᾽ Ὁμήρῳ, καὶ Ἀλκαί-   συγκοπήν.
ῳ, καὶ ἄλλοις. Πίνδαρος δὲ ἐπὶ τοῦ ἰσχυροῦ αὐτὸ λέγει.
ἐκ τοῦ ῥηματικοῦ. εἴρηκε δὲ τὴν λέξιν ἐπὶ μὲν τοῦ ἀσθενοῦς,
παρὰ τὴν βληχὴν τὴν τῶν προβάτων τὴν φωνὴν οὐδὲν οὖσαν.

Βληχρὸς οὖν καὶ ἀβληχρὸς, τοῦ αὐτοῦ σημαινομένου μέ-
νοντος, ὥσπερ στάχυς, ἄσταχυς. ἢ ἀπὸ τοῦ βέβληται, βλη-
χρὸς, ὁ καταβεβλημένος καὶ πεπτωκὼς, ἀπὸ τῶν παλαι-
όντων. ὁ δὲ ἰσχυρὸς, ἀπὸ τοῦ βέβληκα. ὁ καταβάλλων.

Βλῆτρος, ὁ ἀπόπληκτος. οὗ ὑπὸ τῶν ὀξέων νόσημα τὸ αἰ-

Βλῆτροισι. βλῶ, βλήσω, βλῆτρον.   φνιδίως τελευτῶν.
σημαίνει δὲ τοὺς κατὰ τὰς ἁρμονίας γόμφους τοὺς πιούρους. καὶ
βλῆτρα, ἐμβλήματα.

Βλῆρ, αἰολικῶς, τὸ δέλεαρ. οἱ Αἰολεῖς τὸ δ εἰς β τρέπουσι.
τοὺς γὰρ δελφῖνας, βελφῖνας φασί. καὶ τοὺς δελφοὺς, βελ-
φούς. οὕτως οὖν δέλεαρ, βέλεαρ. καὶ κατὰ συγκοπὴν καὶ συνα-
λοιφὴν, βλῆρ πεποίηται. οὕτω καὶ οἱ Βοιωτοὶ ποιοῦσι.

Βλίσαι, τὸ τὰ κηρία θλῖψαι τῶν μελισσῶν. ἀπὸ τοῦ
μέλι, μελίζω. καὶ κατὰ συγκοπὴν καὶ τροπὴν, βλίζω.
καὶ ἀττικῶς, βλίττω καὶ βλίττειν. τὸ ἀφαιρεῖν τὸ μέλι ἀπὸ
τῶν κηρίων. τουτέστιν ἐκπιέζειν καὶ θλίβειν. ἐπὶ τοῦ κι-

Βλιμάζειν, τὸ τιτθολαβεῖν,   νεῖσθαι πως.
ἤγουν ψηλαφᾶν τὰ στήθη, καὶ τοὺς μαστοὺς καταλαμ-
βάνειν τῇ ἁφῇ, καὶ ἅπτεσθαι τῶν ἀπορρήτων μελῶν τῶν γυ-
ναικείων. καὶ διεγείρειν τὰς ἐπιθυμίας ὥς φησι Κρατῖνος.
Ὡς μαλακὸν καὶ τέρεν τὸ χρῶτ᾽ ἴδιον ὦ θεοί. καὶ γὰρ ἐβλί-
μαζον αὐτὴν ἡ δ᾽ ἐφρόντιζεν οὐδὲ ἕν. εἴρηται δὲ παρὰ τὸ φλί-
βω, ὅθεν καὶ φλιά. καὶ Ὅμηρος. Πολλῆσι φλιῇσι παραστὰς
φλίψεται ὤμους. παράγωγον, φλιμάζω. καὶ ὡς φλίβω,
θλίβω, οὕτω φλιμάζω, βλιμάζω. φαίνεται δὲ καὶ σύμ-
μαχος, παρὰ τὸ βλιμάζειν τοῦ μαζοῦ ἐγκειμένου.
λαμβάνεται δὲ ἡ λέξις, καὶ ἐπὶ τοῦ τὰ κηρία τῶν
μελισσῶν τρυγᾶν. καὶ βλιμάζειν, τὸ ἀποστάζειν τοῦ
μέλιτος. καὶ βλιμάζομεν. εἰσὶν ἄλλοι οἱ φασὶν, ὡς καὶ
βλύω λέγεται. παρὰ τὸ φλύω τὸ ἀναδίδωμι. οἷον,
Ἀνὰ δ᾽ ἔφλυε καλὰ ῥέεθρα. κατὰ τροπὴν τοῦ φ εἰς
βῆτα. Ὅμηρος. Οἶνον ἀποβλύζων. ἀντὶ τοῦ ἀπε-
μῶν. ὁ τρόπος ὀνοματοποιΐα. καὶ ἐν συνθέσει εὔπο-
λις ἅμα βλυσθοιμῆσαι, καὶ χλοῆσαι τὴν πόλιν. ἄλλοι
δέ φασι κλιμάζειν τὸ διαστρέφειν. κλίμαξ δέ ἐστιν εἶ-
δος ὀργάνου βασανιστικοῦ. οἷον, Τῇ κλίμακι διαστρέ-
φονται. οἷον, τὰ μέλη στρεβλούμενοι.

Βλίτυρι καὶ σκινδαψός
ἄλογον. γέγονε δ᾽ ἤδη παροιμιῶδες. ὡς καταριθμεῖσθαι
ἐν καταλόγῳ φαρμάκων. Ἰόβας δὲ τὸν σκινδαψὸν,
ὄργανον μουσικὸν ἀποδίδωσι. τὸ δὲ βλίσυρι, χορδῆς
μίμημα, οὐκ εὖ.

Βλοσυρὸς, καταπληκτικός. φοβερός. δεινός. παρὰ
τὸ σοβαρῶς καὶ ἐπηρμένως λάζεσθαι, ἢ βλέπειν.
οἱ δὲ λαμπρὸς, ἢ χαλεπός. ἄλλοι σεμνός. ἡ δὲ Γοργὼ
βλοσυρῶπις τις ἐστί, τουτέστι φοβερὰ καταπληκτι-
κὴ τὴν πρόσοψιν. ἀπὸ τοῦ βάλλειν καὶ σύρειν τὰ ὄμ-
ματα. βολαὶ γὰρ τὰ ὄμματα.

Βλωμὸς, ὁ ψωμός. Καλλίμαχος. Ὅσον βλωμοῦ πί-
ονος ἠράσατο. εἴρηται δὲ ἀπὸ τοῦ ψωμός, βλωμός.
τοῦ ψ εἰς βῆτα τραπέντος. ἢ παρὰ τὸ φλωμὸς καὶ
κατὰ τροπὴν, βλωμός. σημαίνει δὲ τὸ κλάσμα τοῦ
ἄρτου. ἢ παρὰ τὸ βρῶ τὸ ἐσθίω, βρωμὸς, καὶ βλωμός.
ὡς παρὰ τὸ βῶ, βωμός. ἄλλοι δὲ παρὰ τὸ βάλλειν εἰς
τὸ στόμα. Ἡσίοδος. Τετράτρυφον ὀκτάβλωμον.

Βλῶσις οἷον, Δίφου τέτυκται βλῶσις. ἡ ἕδρα. σημαί-
νει δὲ καὶ τὸ πορευτικόν. ἴσως μόλησις οὖσα. τροπῇ
τοῦ μ εἰς βῆτα.

Βλωθρή. οἷον, Ἠ πίτυς βλωθρή. μακρά. μεγάλη.

ἢ ἡ ἀναδρομὴ ἢ αὔξησις. εἴρηται παρὰ τὸ αἰθέρα καὶ τὸ μολεῖν. μολαιθέρη τις οὖσα, ἡ εἰς τὸν αἰθέρα μολίσκουσα. ἢ κατὰ συγκοπὴν ἢ τροπὴ τοῦ μ εἰς β διὰ τὴν ἀσυνταξίαν, καὶ ἐκτάσει τοῦ ο εἰς ω, βλωθρή. ἢ παρὰ τὸ μολεῖν καὶ τὸ θορεῖν. ἡ ταχέως μολίσκουσα ἢ θοροῦσα.

Βλώσκω, σημαίνει τὸ αὐξάνω. ἀπὸ τοῦ μολῶ, γίνεται παράγωγον, μολίσκω. καὶ ὥσπερ τελῶ, τελίσκω. καὶ γαμῶ, γαμίσκω. ἢ μεταθέσει, μολίσκω. καὶ ὑπερθέσει, βλοίσκω. καὶ κατὰ συγκοπὴν καὶ ἔκτασιν τοῦ ο εἰς ω βλώσκω. Ἰστέον ὅτι τὰ μὲν ἀπὸ τῆς πρώτης συζυγίας παραγόμενα, διὰ τοῦ ισκω γίνονται. οἷον, τελίσκω. τὰ δὲ ἀπὸ τῆς δευτέρας, διὰ τοῦ ασκω. οἷον, γελάσκω.

Βλίω. πᾶσα δὲ λέξις ἀπὸ τῆς βλι συλλαβῆς ἀρχομένη, διὰ τοῦ ι γράφεται. χωρὶς εἰ μὴ ἀπὸ κλίσεως ἢ μετασχηματισμοῦ. πρόσκειται ἀπὸ κλίσεως ἢ μετασχηματισμοῦ, διὰ τὸ βλῆμι, καὶ βλάβω.

Βλίσαι, τὸ συνεχῶς βαστάσαι. Βλίσκοι, οἱ βοιωτοί.

Βλίμη, ὁ προπηλακισμός. Βλίτον, λάχανον.

Βλιαρόν, ἤγουν λαῦρον. Βλίκας, φύλλον συκῆς.

Βλίκανον, σημαίνει τὸν βάτραχον. Βλίτυρον ἐστὶ φυτὸν ἢ φάρμακον, ἢ χορδῆς μίμημα.

ΤΟ Β ΗΤΑ ΜΕΤΑ ΤΟΥ Ο

Βοᾷ. βοάω, βοῶ. ἐκ τοῦ βοή γίνεται βοῶ βοᾷς. τὸ παθητικόν, βοῶμαι. τὸ δεύτερον, βοᾷ σύ, καὶ παρὰ σύ. ἔχει τὸ ι προσγεγραμμένον. τὸ δὲ βοᾶν καὶ γελᾶν ἀπαρέμφατα, οὐκ ἔχει τὸ ι προσγεγραμμένον. ὅτι ἀπὸ τοῦ παρατατικοῦ γέγονε τοῦ ἐβόα καὶ ἐγέλα. καὶ ὁ παρατατικός, οὐκ ἔχει τὸ ι προσγεγραμμένον. καὶ ὅτι τὰ εἰς ν λήγοντα ῥήματα, οὐδέποτε ἔχει πρὸ τοῦ ν τι ἀνεκφώνητον. δεῖ δὲ γινώσκειν ὅτι τὸ βοᾷς καὶ γελᾷς, οἱ δωριεῖς βοῇς καὶ γελῇς λέγουσι. καὶ μηδεὶς οἰέσθω ἀπὸ τοῦ βοᾷς καὶ γελᾷς γέγονε κατὰ τροπὴν τοῦ α εἰς η, ἀλλ' ἀπὸ τοῦ βοάεις καὶ γελάεις κατὰ κρᾶσιν. οἱ γὰρ δωριεῖς, τὸ α καὶ ε, εἰς η κιρνῶσιν. οἷον, τὰ ἐμά, τἠμά.

Βοήσω. ἰστέον ὅτι ἐν τῇ δευτέρᾳ τῶν περισπωμένων, ὧν τε παραλήγονται τῷ ο. βοῶ. γοῶ. ἀκροῶ. μανοῶ. ἀλοῶ. καὶ τὰ μὲν δύο διὰ τοῦ η ἔχει τὸν μέλλοντα. βοήσω, καὶ γοήσω. τὰ δὲ δύο, διὰ τοῦ α. ἀκροάσω, καὶ μανοάσω. τὸ δὲ ἕν, διφορεῖται. ἀλοάσω, καὶ ἀλοήσω. ἡ γὰρ δευτέρα ἐπὶ τοῦ μέλλοντος ἔχει τὸ η ἢ τὸ α. ἐάσω. ἀλλ' ἡνίκα καθαρεύει ὁ ἐνεστώς, τότε ὁ μέλλων διὰ μακροῦ τοῦ α ἐκφέρεται. οἷον, ἀνιῶ, ἀνιάσω. θεῶ, θεάσω. ἰῶ, ἰάσω. καὶ ἡνίκα ἔχει τὸ ρ, διὰ μακροῦ τοῦ α ὁ μέλλων. οἷον, γηρῶ, γηράσω. φυρῶ, φυράσω. ἡνίκα δὲ ἔχει τὸ λ, τότε ὁ μέλλων διὰ βραχέος τοῦ α. οἷον, θλῶ, θλάσω. γελῶ, γελάσω. τὰ δὲ ἔχοντα ἐν τῷ ἐνεστῶτι σύμφωνον, χωρὶς τοῦ λ καὶ τοῦ ρ, διὰ τοῦ η ἔχει τὸν μέλλοντα. οἷον, ζῶ, ζήσω. νικῶ, νικήσω. πεινῶ, πεινήσω. διψῶ, διψήσω. τὸ δὲ πεινάσω, καὶ διψάσω, κατὰ τροπὴν δωρικὴν γέγονε τοῦ η εἰς α. τὰ δὲ ποιοῦντα παράγωγα εἰς μι, κἄν τε λ ἔχῃ, κἄν τε ρ, διὰ τοῦ η ἔχει τὸν μέλλοντα. οἷον, πλῶ, πιμπλῶ, πίμπλημι, πλήσω. χρῶ, κιχρῶ, κίχρημι, χρήσω. στῶ, ἱστῶ, ἵστημι, στήσω.

Βόωσιν, ἐστὶ βοάουσι. κατὰ κρᾶσιν, βοῶσι. τὸ γ' τῶν πληθυντικῶν, βοάουσι, βοῶσι. βοόωσι. πλεονασμῷ τοῦ ο.

Βοή, κυρίως ἡ μάχη. ὅθεν καὶ βοὴν ποιητικῶς. ἀγαθὸς μενέλαος. καὶ βοηθεῖν, τὸ εἰς βοὴν θέειν. βοὴν ἀγαθός, ὁ ἐν τῷ πολέμῳ γενναῖος. ἡ μὲν γὰρ δειλία, θραύουσα τὸ πνεῦμα, βραχεῖαν ἀποτελεῖ τὴν φωνήν. βαίνει γὰρ ἐπὶ τοὺς ἀκούοντας ἡ βοή.

Βοή, ὄνομα προσηγορικόν. παρὰ τὸ βέω, βοή, ὡς χέω, χοή. τὸ σημαῖνον τὸ βαίνω. ἤγουν πλεονασμῷ τοῦ ι, βείω. οἱονεὶ ἡ διὰ τῆς τραχείας ἀρτηρίας βαίνουσα καὶ ἐκπεμπομένη φωνή. ἢ παρὰ τὸ βέω, τὸ ῥέω. ἡ ἐκ τῶν ῥεομένων πνευμάτων ἀποπεμπομένη. τὰ εἰς η λήγοντα καθαρὰ δισύλλαβα τῷ ο παραληγόμενα, ὧν ὑπὸ κατάρχας τὸ ε ὑπάρχον, ὀξύνεται. πνέω, πνοή. χέω, χοή. τὸ βο, μικρόν. διατί, τὰ ἔχοντα τὸ ε ἐγκείμενον.

Βοηθός, δῆλον τὸ σημαινόμενον. εἴρηται ἀπὸ τοῦ εἰς βοὴν θέειν. ἢ ὁ εἰς τὴν βοὴν θοός, καὶ ταχύς. καὶ βοηθεῖν, τὸ ἅμα τῇ

Βοηδρομεῖν, τὸ μετὰ σπουδῆς παραγίνεσθαι. βοηθεῖν. κᾶρες δὲ ἤγουν βοηθεῖν. τουτέστιν ἐπὶ τὴν μάχην δραμεῖν. ἐστὶ δὲ καὶ ἡ βοηδρομία, ἑορτή τις ἀθήνησι καλουμένη. καθ' ἣν ἡμέραν ἐβοήθει ὁ ξοῦθος σπουδῇ πολλῇ πολεμουμένοις ἀθηναίοις ὑπὸ εὐμόλπου τοῦ ποσειδῶνος. ἐρεχθεὺς δὲ τότε ἀθηναίοις ἐβασίλευε.

Βοηδρομίαις, βοηθείαις, συμμαχίαις.

Βοηδρομιών, μὴν παρὰ ἀθηναίοις εἴρηται. ὅτι ἐν αὐτῷ ἐτιμᾶτο βοηδρόμιος ἀπόλλων. τὴν δὲ ἀρχὴν ἔλαβεν ὅτι τοῦ πολέμου συστάντος ἀθηναίοις, καὶ ἐλευσινίοις συμμαχήσαντος ἴωνος κατὰ συγγένειαν, ἐνίκησαν οἱ ἀθηναῖοι. ἀπὸ οὖν τῆς τοῦ στρατεύματος βοῆς τῆς ἐπὶ τῷ ἄστει δραμούσης, ὅ, τε ἀπόλλων βοηδρόμιος ἐκλήθη καὶ ἡ θυσία, καὶ ὁ μήν. καὶ τὰ βοηδρόμια ἐτελεῖτο ἑορτή. φερεκύδης δὲ ἐν τοῖς αὐτόχθοσι, διὰ τῆς φωνῆς σημεῖον, ἣν τὸ πρότερον ἀξύνετον οὖσαν εὗρε καὶ διήρθρωσεν.

Βοΐ. ἰστέον ὅτι ἐνταῦθα οὐ συναιρεῖται ὡς λητοΐ, λητοῖ. οὐδέποτε γὰρ δοτικὴ ἑνικὴ μονοσύλλαβος ἐκφωνεῖ τὸ ι. οἷον, τῷ νῷ, τῇ γῇ. εἰ οὖν ἐγένετο κατὰ συναίρεσιν βοΐ, βοῖ, ἔμελλεν ἐκφωνεῖσθαι τὸ ι ὅπερ ἐστὶν ἄτοπον. τὸ γὰρ ι, τότε ἐστὶν ἀνεκφώνητον, ἡνίκα ἐστὶ μετὰ μακροῦ φωνήεντος.

Βοιωτός. ἄρνη ἡ μήτηρ αὐτοῦ τεκοῦσα αὐτὸν λαθεῖν βουλομένη τὸν πατέρα, ἐξέρριψεν εἰς βοῶνα. παρὰ τὸ οὖν μετὰ βοῶν τραφῆναι, βοωτὸς καὶ βοιωτὸς ἐκλήθη. εὐφορίων. Τόν ῥα ποσειδάωνι δαμασσαμένη τέκε μήτηρ. βοιωτὸν δ' ὀνόμηνε, τὸ γὰρ καλέουσι βοτῆρες, ὅτι ἑ παρ' ῥωῆσι βοῶν ἀπεθήκατο [illegible].

Βοιωτία, ἡ χώρα. ἀπὸ βοιωτοῦ τοῦ υἱοῦ ἄρνης τῆς αἰολίδος καὶ ποσειδῶνος, βασιλεύσαντος τῆς χώρας. ἢ ἀπὸ τῆς καθηγησαμένης βοὸς τῷ κάδμῳ. τὸ πρότερον, ἀονία ἐκαλεῖτο ἀπὸ τῶν κατοικούντων αὐτὴν ἀόνων. μετωνομάσθη δὲ βοιωτία, ἀπὸ βοιωτοῦ ποσειδῶνος καὶ ἄρνης. ἔνιοι δὲ καὶ οἱ βοιωτοὶ τιμῶσι τὸν προπάτορα αὐτῶν βοιωτόν. καθ' ἑτέρους δὲ ἀπὸ τῆς ἐλαθείσης κατὰ τὸ πυθόχρηστον ὑπὸ κάδμου βοός. ἄγουσα γὰρ αὐτὸν ἡ βοῦς εἰς ἐκεῖνα τὰ μέρη ἀνακλιθεῖσα ἀπέθανεν.

Βοαΐδας, ὁ ἡρακλῆς ὁ τὰς βόας τοῦ γηρυόνου ἀγαγὼν τῷ διΐ.

Βοάγρια, τὰ ἐκ βοὸς ἀγρευόμενα λάφυρα. ἐστὶ καὶ βοάγριος ποταμός.

Βοείας, τὰς ἐκ βοείων βυρσῶν ἀσπίδας. ἀπὸ τοῦ βεβυρσῶσθαι τοῖς βοείοις. καὶ βοείας, τὰς ἀσπίδας ὁμοίως.

Βοὸς πόδα. οἱ μὲν ἀττικοί, ἐπὶ ζῶντος λέγουσιν. ἐπὶ δὲ τῶν τεθνηκότων, βόεον πόδα φασίν. ὡς πατρὸς κλῆρον, ἐπὶ ζῶντος. πατρῷον δέ, τελευτήσαντος. παρὰ ὁμήρῳ δὲ συγχεῖται. οἷον, ὡς εἰπὼν ἔρριψε βοὸς πόδα ἐπὶ τοῦ νεκροῦ. καὶ ἐπὶ τοῦ ζῶντος, Ἀσπίδ' ἀφ' ἱππείων ὁ πλέων. καὶ εἰς τὰς διαφοράς, βοὸς πούς ὁ τοῦ ζῶντος. βόεος δέ, ἐπὶ νεκροῦ.

Βοῦς, τὸ ζῷον, παρὰ τὸ βῶ, τὸ τρέφω. τὸ τρέφον ἡμᾶς ἐκ τῆς περὶ τὴν γῆν ἐργασίας. οὐ δυνάμεθα δὲ λέγειν ἐπὶ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν, τοὺς βόας καὶ βοῦς. τὸ γὰρ α καὶ ο, οὐ κιρνᾶται εἰς τὴν ου δίφθογγον, ἀλλ' εἰς ω. ἀλλὰ λέγουσιν ὅτι ὁμοφωνία γέγονε τῆς εὐθείας τῶν πληθυντικῶν, καὶ τῆς αἰτιατικῆς. πᾶσα γὰρ εὐθεῖα πληθυντικῶν εἰς ς λήγουσα καὶ συνῃρημένη κατὰ τὸ τέλος, ἔχει τὴν αἰτιατικὴν καὶ κλητικὴν ὁμόφωνον αὐτῇ. οὐ κλίνεται βοῦς βουός. τὰ γὰρ εἰς ς λήγοντα μετὰ διφθόγγου, ἀποβάλλουσι τὸ ὑποτακτικὸν αὐτῶν φωνῆεν ἐν τῇ γενικῇ. πλὴν τοῦ κλείς, κλειδός. παῖς, παιδός. καὶ δαΐς, δαΐτος. βοῦς, βοός. καὶ τὸ συνῃρημένον οὐκ ἔχει. οὐδέποτε δισύλλαβος γενικὴ ἀπὸ μονοσυλλάβου εὐθείας, γινομένη συναίρεσιν ἐπιδέχεται. τῷ βοΐ. καὶ τὸ συνῃρημένον οὐκ ἔχει. οὐδέποτε δισύλλαβος δοτικὴ βραχυκατάληκτος, συναιρεῖται. ἡ αἰτιατική, τὸν βόα καὶ βοῦν. ὦ βοῦ.

Βοῶπις, εὐόφθαλμος. καλή. εἶδος τῶν ὑποπεπτωκότων τῷ ὀνόματι, προσηγορικόν.

Βοῶν, σημαίνει γ'. τὴν μάχην. Αὐτὰρ ὁ μακρὰ βοῶν. καὶ τὸ ζῷον. Μυκηθμοῦ δ' ἤκουσε βοῶν. σημαίνει καὶ τὴν ἀσπίδα. Χαλκοῦ τε ῥινοῦ τε βοῶν τ' εὐποιητάων.

Βοῦς, σημαίνει δύο. τὸ ζῷον, Αὐτὰρ ὁ βοῦν ἱέρευσεν. καὶ τὴν ἀσπίδα. βόας αὔας. καὶ βοῦν ἀζαλέην. βοῦν δωρικῶς τὴν ἀσπίδα, ὅτι ἐκ βοείων ἐστὶ δερμάτων. συνεκδοχικῶς, τὸ ὅπλον. ἔστι βοῦς, καὶ εἶδος πλακοῦντος διδομένου τοῖς εἰς τροφωνίου καταβαίνουσι. διότι οἱ καταβαίνοντες εἰς τὰ ἄδυτα, μυκηθμοῦ αἰσθάνονται.

Βόθρος. δῆλον τὸ σημαινόμενον. ὅμηρος. Βόθρον ὀρύξαι, ὅσσον τε πυγούσιον ἔνθεν καὶ ἔνθεν. παρὰ τὸ βῶ, βέω, βέθρος, καὶ βόθρος, κατ' ἀντίφασιν. ἐφ' ὃν οὐδεὶς βαίνει. ἢ παρὰ τὸ βάθος, βάθρος, καὶ βόθρος. ἢ παρὰ τὸ βάραθρον συγκοπῇ καὶ τροπῇ τοῦ α εἰς ο.

Βόθυνος. ὥσπερ παρὰ τὸ θρασύ, γίνεται θράσυνος, οὕτω καὶ παρὰ τὸ βαθύ, βάθυνος καὶ βόθυνος, ὁ λάκκος.

Βολβός, ἐπὶ τοῦ ὀφθαλμοῦ, ἀπὸ τῆς πρὸς τὸν ἐκ γῆς βολβὸν ἐμφερείας. ἐπὶ δὲ τοῦ ἐσθιομένου, παρὰ τὸ βίᾳ ἀναβάλλεσθαι.

Βόλβιτον, τὴν παντοδαπὴν κόπρον. βόλιτον γὰρ ἐστί. καὶ πλεονασμῷ τοῦ β. κυρίως δὲ ἡ βοός.

Βολεῶνας. οὕτω λέγεται οὗ ἡ κόπρος τῶν βοῶν καὶ τῶν ὑποζυγίων βάλλεται. οἷον, τοὺς κοπρῶνας. λέγεται καὶ τόπος λιμένος, ἔνθα δέχονται αἱ ἄγκυραι.

Βόλιτον, βόλβιτον δὲ ἴωνες. οἵ τε ἄλλοι καὶ ἱππῶναξ. οἷον, Βολβίτου κασιγνήτην. εἶτα Νὴ τὸν ποσειδῶ καὶ βολίτινον. θάτερον κατὰ παραγωγήν. εἴρηται δὲ οἱονεὶ βοὸς λιτόν. γὰρ ἀμάρτημα τὸ κοπρῶδες. καὶ πλεονασμῷ τοῦ β, ὡς φέρω, φέρβω, βόλβιτον.

Βόλινον, κώμη τις τῆς ἀχαΐας. πλησίον πατρῶν καὶ τοῦ καλουμένου δρεπάνου. εἴρηται δὲ ὅτι νύμφη τις διωκομένη ὑπὸ ἀπόλλωνος ἐρῶντος, κατὰ τόνδε τὸν τόπον μέλλουσα ἀγρεύεσθαι, ἐξέρριψεν ἑαυτὴν εἰς θάλασσαν. ὅθεν τὸ χωρίον οὕτως ἐκαλεῖτο. ἀπὸ τῆς βολῆς τῆς νύμφης.

Βόλιμος, τὴν παραγωγὴν ἀπέδωκε, καὶ τὸ σημαινόμενον εὗρον εἰς τὸ ῥητορικὸν λεξικόν. ἐστὶ μόλιβος. καὶ κατὰ ἐναλλαγήν, βόλιμος παρὰ συρακουσίοις.

Βόμβος, ψόφος τις. ὠνοματοπεποίηται δὲ ἡ λέξις κατὰ μίμησιν τῆς γινομένης φωνῆς. καὶ βομβεῖν οὐξ αὐτῆς τὸ ἠχεῖν. καὶ βομβόλυξ. πομφόλυξ.

Βομβύκη, ὄνομα αὐλητρίδος. παρὰ τὸν βόμβον τῶν αὐλῶν. καὶ βόμβυξ, αὐλοῦ τι εἶδος. καὶ ζῷον, ἀφ' οὗ τὰ βομβύκινα ὑφάσματα.

Βομβηδόν. Ἠὲ μελισσονόμοι ὥστε ῥηγμῖνα πνιόωσι βομβηδὸν κλονέονται. κυρίως βόμβος, ὁ τῶν μελισσῶν ἐστιν ἦχος. ἔνιοι δὲ τῆς βομβύνης λεγομένης μελίσσης. ἀπολλώνιος. τὰ δὲ εἰς δον ἐπιρρήματα ὀξύνονται, χωρὶς τοῦ ἔνδον.

Βομβυλιός, εἶδος παραπλήσιον μελίσσῃ. εἴρηται δὲ παρὰ τὸ βομβεῖν. ἐστὶ δὲ καὶ ποτηρίου εἶδος. ἀπὸ μεταφορᾶς τοῦ ζῴου. καὶ γὰρ αὐτὸ ποιῶς πως κατεσκευάζετο, ὥστε πινόντων βομβεῖν. καὶ τὸ ἐλαιηρὸν δὲ ἀγγεῖον καθ' ὁμοιότητα τοῦ στενοπόρου ἐκπώματος, βομβυλιός.

Βόρμος, βρόμος. καὶ καθ' ὑπέρθεσιν, βόρμος, λέγεται. καὶ βόρμοξ. ἐστὶ δὲ τροφὴ τετραπόδων.

Βορά, ἡ τροφή. παρὰ τὸ βῶ, τὸ τρέφω. ὁ μέλλων, βόσω. βορός, καὶ βορά. ἐξ αὐτῶν βοράζω, τὸ τρέφω.

Βορᾶς, παρὰ τὸ βορῶντα τὰ σώματα ἡμῶν ποιεῖν καὶ ὑγιεινότατα. ὁ μὲν ὠρίων ὠνοματοπεποιῆσθαι τὴν λέξιν φησὶ κατὰ μίμησιν τοῦ γινομένου ἤχου κατὰ τὴν πνοὴν αὐτοῦ. ἄλλοι δέ, παρὰ τὸ βάρος, βορέας. ἢ παρὰ τὸ βῶ, τὸ τρέφω. ὁ τρέφων καὶ αὔξων τοὺς καρπούς. ἢ παρὰ τὸ βορά. βορᾶς γὰρ ἡμῖν αἴτιος ἐστὶ τροφῆς αὔξων τοὺς καρπούς. ἢ παρὰ τὸ βαίνειν αὐτὸν ἐρέαον πρὸς ἡμᾶς.

Βόρβορος. παρὰ τὸ βάρος, βάρβαρος. καὶ τροπῇ τοῦ α εἰς ο, βόρβορος. βόρβορος γὰρ λέγεται τὸ περίττωμα τῆς γαστρός. τοῦτο γὰρ ἐν τοῖς ἄνω κείμενον βάρος ἐμποιεῖ. ἢ παρὰ τὸ βορά, βορός. ἡ ἐκ τῆς βορᾶς κόπρος. διπλασιασμῷ καὶ πλεονασμῷ τοῦ ρ, βόρβορος. ἡ ἐκ τῆς τροφῆς γινομένη ὕλη.

Βοσόρ. ἑβραϊκὴ ἡ λέξις. σημαίνει δὲ ἱμάτιον ἐκ κοκκίνου βεβαμμένον. λέγεται δὲ καὶ τὸ σῶμα. ὡς τό, Οὗ τὸ ἐρύθημα ἐξ ἀμπέλου βοσόρ. ἤγουν οὗτινος τὸ σῶμα, ἐξ ἀμπέλου ἐβεβαμμένον.

Βολωσία, ἡ εἰλείθυια. βολὰς γὰρ τὰς ὠδῖνας ὠνόμαζον.

ἢ ἡ ἀναδρομὴ καὶ αὔξησις. εἴρηται παρὰ τὸν αἰθέρα καὶ τὸ μολεῖν. μολαιθέρησκουσα, ἡ εἰς τὸν αἰθέρα μολίσκουσα. καὶ κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ μ εἰς β διὰ τὴν ἀσυνταξίαν, καὶ ἐκτάσει τοῦ ο εἰς ω, βλωθρή. ἢ παρὰ τὸ μολεῖν καὶ τὸ θορεῖν. ἡ ταχέως μολίσκουσα καὶ θοροῦσα.

Βλώσκω, σημαίνει τὸ αὐξάνω. ἀπὸ τοῦ μολῶ, γίνεται παράγωγον, μολίσκω. καὶ ὥσπερ γελῶ, γελίσκω. καὶ γαμῶ, γαμίσκω. καὶ μεταθέσει, μολίσκω. καὶ ὑπερθέσει, βλοίσκω. καὶ κατὰ συγκοπὴν καὶ ἔκτασιν τοῦ ο εἰς ω βλώσκω. Ἰστέον ὅτι τὰ μὲν ἀπὸ τῆς πρώτης συζυγίας παραγόμενα, διὰ τοῦ ίσκω γίνονται. οἷον, τελίσκω. τὰ δὲ ἀπὸ τῆς δευτέρας, διὰ τοῦ άσκω. οἷον, γελάσκω.

Βλίω. πᾶσα δὲ λέξις ἀπὸ τῆς βλι συλλαβῆς ἀρχομένη, διὰ τοῦ ι γράφεται. χωρὶς τῶν μὲν ἀπὸ κλίσεως ἐχόντων τὸ η, οἷον αὐτῇ. προσκεῖται ἀπὸ κλίσεως ἔχον μετὰ, διὰ τὸ βλῆμι, καὶ βληδο.

Βλίσαι, τὸ συνεχῶς βαστάσαι. Βλίσκοι, οἱ βοιωτοί. Βλίμη, ὁ προπηλακισμός. Βλίτον, λάχανον. Βλιαρόν, ἀντὶ τοῦ λαῦρον. Βλίκας, φύλλον συκῆς. Βλίκανον, σημαίνει τὸν βάτραχον. Βλίτυρον ἐστὶ φυτὸν ἢ φάρμακον, ἢ χορδῆς μίμημα.

ΤΟ Β ΗΤΑ ΜΕΤΑ ΤΟΥ Ο.

ΒΟᾷ. βοάω, βοῶ. ἐκ τοῦ βοὴ γίνεται βοῶ βοᾷς. τὸ παθητικὸν, βοῶμαι. τὸ δεύτερον, βοᾷ σύ, καὶ παρὰ σύ. ἔχει τὸ ι προσγεγραμμένον. τὸ δὲ βοᾷν καὶ γελᾷν ἀπαρέμφατα, οὐκ ἔχει τὸ ι προσγεγραμμένον. ὅτι ἀπὸ τοῦ παρατατικοῦ γέγονε τοῦ ἐβόα καὶ ἐγέλα. καὶ ὁ παρατατικός, οὐκ ἔχει τὸ ι προσγεγραμμένον. ὅτι τὰ εἰς ν λήγοντα ἐν ἡμῖν, οὐδέποτε ἔχει πρὸ τοῦ ν τὸ ι ἀνεκφώνητον. δεῖ δὲ γινώσκειν ὅτι τὸ βοᾷς καὶ γελᾷς, οἱ δωριεῖς βοῆς καὶ γελῆς λέγουσι. καὶ μηδεὶς οἰέσθω ἀπὸ τοῦ βοᾷς καὶ γελᾷς γέγονε κατὰ τροπὴν τοῦ α εἰς η, ἀλλ᾽ ἀπὸ τοῦ βοάεις καὶ γελάεις κατὰ κρᾶσιν. οἱ γὰρ δωριεῖς, τὰ αε, εἰς η κιρνῶσιν. οἷον, τὰ ἐμά, τἠμά.

Βοήσω. Ἰστέον ὅτι ἐν τῇ δευτέρᾳ τῶν περισπωμένων, ὅσα τε παραλήγονται τῷ ο. βοῶ, γοῶ. ἀκροῶ. μανοῶ. ἀλοῶ. καὶ τὰ μὲν δύο διὰ τοῦ η ἔχει τὸν μέλλοντα. βοήσω, καὶ γοήσω. τὰ δὲ δύο, διὰ τοῦ α. ἀκροάσω, καὶ μανοάσω. τὸ δὲ ἓν, διφορεῖται. ἀλοάσω, καὶ ἀλοήσω. ἡ γὰρ δευτέρα συζυγία τὸν μέλλοντα ἔχει τὸ η καὶ τὸ α. ἐάσω. ἀλλ᾽ ἡνίκα καθαρεύῃ ὁ ἐνεστώς, τότε ὁ μέλλων διὰ μακροῦ τοῦ α ἐκφέρεται. οἷον, ἀνιῶ, ἀνιάσω. θεῶ, θεάσω. ἰῶ, ἰάσω. καὶ ἡνίκα ἔχῃ τὸ ρ, διὰ μακροῦ τοῦ α ὁ μέλλων. οἷον, κηρῶ, κεράσω. φυρῶ, φυράσω. ἡνίκα δὲ ἔχῃ τὸ λ, τότε ὁ μέλλων διὰ βραχέος τοῦ α. οἷον, θλῶ, θλάσω. γελῶ, γελάσω. τὰ δὲ ἔχοντα ἐν τῷ ἐνεστῶτι σύμφωνον, χωρὶς τοῦ λ καὶ τοῦ ρ, διὰ τοῦ η ἔχει τὸν μέλλοντα. οἷον, ζῶ, ζήσω. νικῶ, νικήσω. πεινῶ, πεινήσω. διψῶ, διψήσω. τὸ δὲ πεινάσω, καὶ διψάσω, κατὰ τροπὴν δωρικὴν γέγονε τοῦ η εἰς α. τὰ δὲ ποιοῦντα παραγωγὰ εἰς μι, κἄν τε λ ἔχῃ, κἄν τε ρ, διὰ τοῦ η ἔχει τὸν μέλλοντα. οἷον, πλῶ, πιμπλῶ, πίμπλημι, πλήσω. χρῶ, κιχρῶ, κίχρημι, χρήσω. στῶ, ἱστῶ, ἵστημι, στήσω.

Βοῷεν, ἐστὶ βοάοιμι. καὶ κράσει, βοῷμι. τὸ τρίτον τῶν πληθυντικῶν, βοάοιεν, βοῷεν. βοόωντο. πλεονασμῷ τοῦ ο.

Βοὴ, κυρίως ἡ μάχη. ὅθεν καὶ βοὴν ἀγαθὸς μενέλαος, ποιητικῶς. καὶ βοηθεῖν, τὸ εἰς βοὴν θεῖν. βοὴν ἀγαθός, ὁ ἐν τῷ πολέμῳ γενναῖος. ἢ μᾶλλον ἡ δειλία, θραύουσα τὸ πνεῦμα, βραχεῖαν ἀποτελεῖ τὴν φωνήν. βαίνει γὰρ περὶ τοὺς ἀκούοντας ἡ βοή.

Βοὴ, ὄνομα προσηγορικόν. παρὰ τὸ βέω, βοή, ὡς χέω, χοή. τὸ σημαῖνον τὸ βαίνω. ἔξω πλεονασμῷ τοῦ ι, βείω. οἱονεὶ ἡ διὰ τῆς τραχείας ἀρτηρίας βαίνουσα καὶ ἐκπεμπομένη φωνή. ἢ παρὰ τὸ βέω, τὸ ῥέω. ἡ ἐκ τῶν ῥεομένων πνευμάτων ἀποπεμπομένη. τὰ εἰς η λήγοντα καθαρὰ δισύλλαβα τῷ ο παραληγόμενα, ὧν ὑπὲρ κατ᾽ ἀρχὰς τὸ ε ὑπάρχον, ὀξύνεται. πνέω, πνοή. χέω, χοή. τὸ βο, μικρόν. διὰ τί, τὰ ἔχοντα τὸ ε ἐγκείμενον.

Βοηθὸς, δῆλον τὸ σημαινόμενον. εἴρηται ἀπὸ τοῦ εἰς βοὴν θεῖν. ἢ ὁ εἰς τὴν βοὴν θοός, καὶ ταχύς. καὶ βοηθεῖν, τὸ ἅμα τῇ βοῇ θεῖν.

Βοηδρομεῖν, τὸ μετὰ σπουδῆς παραγίνεσθαι. κᾶρες δὲ ἀντὶ βοηθεῖν. τουτέστιν ἐπὶ τὴν μάχην δραμεῖν. ἔστι δὲ καὶ ἡ βοηδρομία, ἑορτή τις ἀθήνῃσι καλουμένη. καθ᾽ ἣν ἡμέραν ἐβοήθει ὁ ξοῦθος, σπουδῇ πολλῇ πολεμουμένοις ἀθηναίοις ὑπὸ εὐμόλπου τοῦ ποσειδῶνος. ἐρεχθεὺς δὲ τότε ἀθηναίοις ἐβασίλευε.

Βοηδρομίαις, βοηθείαις, συμμαχίαις.

Βοηδρομιὼν, μὴν παρὰ ἀθηναίοις εἴρηται. ὅτι ἐν αὐτῷ ἐτίματο βοηδρόμιος ἀπόλλων. τὴν δὲ ἀρχὴν ἔλαβεν ὅτι πολέμου συστάντος ἀθηναίοις, καὶ ἐλευσινίοις συμμαχήσαντος ἴωνος κατὰ συντυχίαν, ἐνίκησαν οἱ ἀθηναῖοι. ἀπὸ οὖν τῆς τοῦ στρατεύματος βοῆς τῆς περὶ τῷ ἄστει δραμούσης, ὅ, τε ἀπόλλων βοηδρόμιος ἐκλήθη καὶ ἡ θυσία, καὶ ὁ μήν. καὶ τὰ βοηδρόμια ἐτελεῖτο ἑορτή. φερεκύδης δὲ ἐν τοῖς αὐτόχθοσι, διὰ τῆς φωνῆς σημεῖον, ἣν τὸ πρότερον ἀξύνετον οὖσαν εὗρε καὶ διήρθρωσεν.

Βοΐ. Ἰστέον ὅτι ἐνταῦθα οὐ συναιρεῖται ὡς λητοΐ, λητοῖ. οὐδέποτε γὰρ δοτικὴ ἑνικὴ μονοσύλλαβος ἐκφωνεῖ τὸ ι. οἷον, τῷ νῷ, τῇ γῇ. εἰ οὖν ἐγένετο κατὰ συναίρεσιν βοΐ, βοῖ, ἔμελλεν ἐκφωνεῖσθαι τὸ ι ὅπερ ἐστὶν ἄτοπον. τὸ γὰρ ι, τότε ἐστὶν ἀνεκφώνητον, ἡνίκα ἐστὶ μετὰ μακροῦ φωνήεντος.

Βοιωτός. ἄρνη ἡ μήτηρ αὐτοῦ τεκοῦσα αὐτὸν, λαθεῖν βουλομένη τὸν πατέρα, ἐξέρριψεν εἰς βουδῶνα. παρὰ τὸ οὖν μετὰ βοῶν τραφῆναι, βοωτὸς καὶ βοιωτὸς ἐκλήθη. εὐφορίων. Τὸν ἐκ ποσειδάωνι δαμασσαμένη τέκε μήτηρ. Βοιωτὸν δ᾽ ὀνόμηνε, τὸ γὰρ καλέουσι βοτῆρες, ὅτι ἐρα παρώησι.

Βοιωτία, ἡ χώρα. ἀπὸ βοιωτοῦ τοῦ υἱοῦ ἄρνης τῆς αἰολίδος καὶ ποσειδῶνος, βασιλεύσαντος τῆς χώρας. ἢ ἀπὸ τῆς καθηγησαμένης βοὸς τῷ κάδμῳ. τὸ πρότερον, ἀονία ἐκαλεῖτο ἀπὸ τῶν κατοικούντων αὐτὴν ἀόνων. μετωνομάσθη δὲ βοιωτία, ἀπὸ βοιωτοῦ τοῦ ποσειδῶνος καὶ ἄρνης. ἔνιοι δὲ καὶ οἱ βοιωτοὶ τιμῶσι τὸν προπάτορα αὐτῶν βοιωτόν. καθ᾽ ἑτέρους δὲ ἀπὸ τῆς ἐλαθείσης κατὰ τὸ πυθόχρηστον ὑπὸ κάδμου βοός. ἄγουσα γὰρ αὐτὸν ἡ βοῦς εἰς ἐκεῖνα τὰ μέρη ἀνακλιθεῖσα ἀπέθανεν.

Βοαΐδας, ὁ ἡρακλῆς ὁ τοὺς βόας τοῦ γηρυόνου ἀγαγὼν τῷ δηΐ.

Βοάγρια, τὰ ἐκ βοῶν ἀγρευόμενα λάφυρα. ἔστι καὶ βοάγριος ποταμός.

Βοείας, τὰς ἐκ βοείων βυρσῶν ἀσπίδας. ἀπὸ τοῦ βεβυρσῶσθαι τοῖς βοείοις. καὶ βοείας, τὰς ἀσπίδας ὁμοίως.

Βοὸς πόδα. οἱ μὲν ἀττικοί, ἐπὶ ζῶντος λέγουσιν. ἐπὶ δὲ τῶν τεθνηκότων, βόειον πόδα φασίν. ὡς πατρὸς κλῆρον, ἐπὶ ζῶντος. πατρῷον δὲ, τελευτήσαντος. παρ᾽ ὁμήρῳ δὲ συγχεῖται. οἷον, ὡς εἰπὼν ἔρριψε βοὸς πόδα ἐπὶ τοῦ νεκροῦ. καὶ ἐπὶ τοῦ ζῶντος, Ἀσπίδ᾽ ἀφ᾽ ἱππείων ὁ πλέων. καὶ εἰς τὰς διαφοράς, βοὸς πούς ὁ τοῦ ζῶντος. βόειος δὲ, ἐπὶ νεκροῦ.

Βοῦς, τὸ ζῷον, παρὰ τὸ βῶ, τὸ τρέφω. τὸ τρέφον ἡμᾶς ἐκ τῆς περὶ τὴν γῆν ἐργασίας. οὐ δυνάμεθα δὲ λέγειν ἐπὶ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν, τοὺς βόας καὶ βοῦς. τὸ γὰρ α καὶ ο, οὐ κιρνᾶται εἰς τὴν ου δίφθογγον, ἀλλ᾽ εἰς ω. ἀλλὰ λέγουσιν ὅτι ὁμοφωνία γέγονε τῆς εὐθείας τῶν πληθυντικῶν, καὶ τῆς αἰτιατικῆς. πᾶσα γὰρ εὐθεῖα πληθυντικῶν εἰς σ λήγουσα καὶ συνῃρημένη κατὰ τὸ τέλος, ἔχει τὴν αἰτιατικὴν καὶ κλητικὴν ὁμόφωνον αὐτῇ. οὐ κλίνεται βοῦς βουός. τὰ γὰρ εἰς σ λήγοντα μετὰ διφθόγγου, ἀποβάλλουσι τὸ ὑποτακτικὸν αὐτῶν φωνῆεν ἐν τῇ γενικῇ. πλὴν τοῦ κλείς, κλειδός. παῖς, παιδός. καὶ δαΐς, δαΐτος. βοῦς, βοός. καὶ τὸ συνῃρημένον οὐκ ἔχει. οὐδέποτε δισύλλαβος γενικὴ ἀπὸ μονοσυλλάβου εὐθείας, γινομένη συναίρεσιν ἐπιδέχεται. τῷ βοΐ. καὶ τὸ συνῃρημένον οὐκ ἔχει. οὐδέποτε δισύλλαβος δοτικὴ βραχυκατάληκτος, συναιρεῖται. ἡ αἰτιατική, τὸν βόα καὶ βοῦν. ὦ βοῦ.

Βοῶπις, εὐόφθαλμος. καλή. εἶδος τῶν ὑποπεπτωκότων τῷ ὀνόματι, προσηγορικόν.

Βοῶν, σημαίνει γ΄. τὴν μετὰ ἠχῆς. Αὐτὰρ ὁ μακρὰ βοῶν. καὶ τὸ ζῷον. Μυκηθμοῦ δ᾽ ἤκουσε βοῶν. σημαίνει καὶ τὴν ἀσπίδα. Χαλκοῦ τε ῥινοῦ τε βοῶν τ᾽ εὐποιητάων.

Βοῦς, σημαίνει δύο. τὸ ζῷον, Αὐτὰρ ὁ βοῦν ἱέρευσεν. καὶ τὴν ἀσπίδα. βόας αὔας. καὶ βοῦν ἀζαλέην. βοῦν δωρικῶς τὴν ἀσπίδα, ὅτι ἐκ βοείων ἐστὶ δερμάτων. συνεκδοχικῶς, τὸ ὅπλον. ἔστι βοῦς, καὶ εἶδος πλακοῦντος διδομένου τοῖς εἰς τροφωνίου καταβαίνουσι. διότι οἱ καταβαίνοντες εἰς τὰ ἄδυτα, μυκηθμὸν αἰσθάνονται.

Βόθρος. δῆλον τὸ σημαινόμενον. ὅμηρος. Βόθρον ὀρύξαι, ὅσον τε πυγούσιον ἔνθα καὶ ἔνθα. παρὰ τὸ βῶ, βέω, βέθρος, καὶ βόθρος, κατὰ ἀντίφασιν. ἐφ᾽ ὃν οὐδεὶς βαίνει. ἢ παρὰ τὸ βάθος, βάθρος, καὶ βόθρος. ἢ παρὰ τὸ βάραθρον συγκοπῇ καὶ τροπῇ τοῦ α εἰς ο.

Βόθυνος. ὡς ὑπὸ παρὰ τὸ θρασύς, γίνεται θράσυνος, οὕτω καὶ παρὰ τὸ βαθύς, βάθυνος καὶ βόθυνος, ὁ λάκκος.

Βολβός, ἐπὶ τοῦ ὀφθαλμοῦ, ἀπὸ τῆς πρὸς τὸν ἐκ γῆς βολβὸν ἐμφερείας. ἐπὶ δὲ τοῦ ἐσθιομένου, παρὰ τὸ βίᾳ ἀναβάλλεσθαι.

Βόλβιτον, τὸ πολυτροφώτερον. βόλιτον γὰρ ἴων. καὶ πλεονασμῷ τοῦ β. κυρίως δὲ ἡ βοός.

Βολεῶνας. οὕτω λέγεται ἡ κόπρος τῶν βοῶν καὶ τῶν ὑποζυγίων βάλλεται. οἷον, τοὺς κοπρῶνας. λέγεται καὶ τόπος λιμένος, ἔνθα δέονται αἱ ἄγκυραι.

Βόλιτον, βόλβιτον δὲ ἴωνες. οἵτε ἄλλοι καὶ ἱππῶναξ. οἷον, Βολβίτου κασιγνήτην. εἶτα νὴ τὸν ποσειδῶ καὶ βολίτου. θάτερον κατὰ παραγωγήν. εἴρηται δὲ οἱονεὶ βοὸς λιτὸν ἀπόπτημα τὸ κοπρῶδες. καὶ πλεονασμῷ τοῦ β, ὡς φέρω, φέρβω, βόλβιτον.

Βόλινον, κώμη τις τῆς ἀχαΐας. πλησίον πατρῶν καὶ τοῦ καλουμένου δρεπάνου. εἴρηται δὲ ὅτι νύμφη τις διωκομένη ὑπὸ ἀπόλλωνος ἐρῶντος, κατὰ τοῦ τόπου μέλλουσα ἀγρεύεσθαι, ἐξέρριψεν ἑαυτὴν εἰς θάλασσαν. ὅθεν τὸ χωρίον οὕτως ἐκαλεῖτο. ἀπὸ τῆς βολῆς τῆς νύμφης.

Βόλιμος, τὴν παραγωγὴν ἀπέδωκε, καὶ τὸ σημαινόμενον εὗρον εἰς τὸ ἐκκριτικὸν λεξικόν. ἐστὶ μόλιβος. καὶ κατὰ ἐναλλαγήν, βόλιμος παρὰ συρακουσίοις.

Βόμβος, ψόφος τις. ὠνοματοπεποίηται δὲ ἡ λέξις κατὰ μίμησιν τῆς γινομένης φωνῆς. καὶ βομβεῖν ἐξ αὐτῆς τὸ ἠχεῖν. καὶ βομβόλυξ. πομφόλυξ.

Βομβύκη, ὄνομα αὐλητρίδος. παρὰ τὸν βόμβον τῶν αὐλῶν. καὶ βόμβυξ, αὐλοῦ τι εἶδος. καὶ ζῷον, ἀφ᾽ οὗ τὰ βομβύκινα ὑφάσματα.

Βομβηδόν. αἱ μέλισσαι νόμοι ὥστε ῥηθεῖ καπνιῶσι βομβηδὸν κλονέονται. κυρίως βόμβος, ὁ τῶν μελισσῶν ἐστιν ἦχος. ἔνιοι δὲ τῆς βοξύνης λεγομένης μελίσσης. ἀπολλώνιος. τὰ δὲ εἰς δον ἐπιρρήματα ὀξύνονται, χωρὶς τοῦ ἔνδον.

Βομβυλιός, εἶδος παραπλήσιον μελίσσῃ. εἴρηται δὲ παρὰ τὸ βομβεῖν. ἔστι δὲ καὶ ποτηρίου εἶδος. ἀπὸ μεταφορᾶς τοῦ ζῴου. καὶ γὰρ αὐτὸ ποιῶς πως κατεσκεύαστο, ὥστε ποιεῖν τὸ βομβεῖν. καὶ τὸ ἐλαιηρὸν δὲ ἀγγεῖον καθ᾽ ὁμοιότητα τοῦ στενοπόρου ἐκπώματος, βομβολιός.

Βόρμος, βρόμος. καὶ καθ᾽ ὑπέρθεσιν, βόρμος, λέγεται. καὶ βόρμοξ. ἔστι δὲ τροφὴ τετραπόδων.

Βορά, ἡ τροφή. παρὰ τὸ βῶ, τὸ τρέφω. ὁ μέλλων, βώσω. βορός, καὶ βορά. ἐξ αὐτῶν βοράζω, τὸ τρέφω.

Βορᾶς, παρὰ τὸ βορώτατα τὰ σώματα ἢ μᾶλλον ποιεῖν καὶ ὑγιεινότατα. ὁ μὲν ὠρίων ὠνοματοπεποιῆσθαι τὴν λέξιν φησὶ κατὰ μίμησιν τοῦ γινομένου ἤχου κατὰ τὴν πνοὴν αὐτοῦ. ἄλλοι δὲ, παρὰ τὸ βάρος, βορέας. ἢ παρὰ τὸ βῶ, τὸ τρέφω. ὁ τρέφων καὶ αὔξων τοὺς καρπούς. ἢ παρὰ τὸ βορά. βορᾶς γὰρ ἡμῖν αἴτιος ἐστὶ τροφῆς αὔξων τοὺς καρπούς. ἢ παρὰ τὸ βαίνειν αὐτὸν ἔρεον πρὸς ἡμᾶς.

Βόρβορος. παρὰ τὸ βάρος, βάρβαρος. καὶ τροπῇ τοῦ α εἰς ο, βόρβορος. βόρβορος γὰρ λέγεται τὸ περίττωμα τῆς γαστρός. τοῦτο γὰρ ἐν τοῖς ἄνω κείμενον βάρος ἐμποιεῖ. ἢ παρὰ τὸ βορά, βορός. ἡ ἐκ τῆς βορᾶς κόπρος. διπλασιασμῷ καὶ πλεονασμῷ τοῦ ρ, βόρβορος. ἡ ἐκ τῆς τροφῆς χυνθεῖσα ὕλη.

Βοσόρ. ἑβραϊκὴ ἡ λέξις. σημαίνει δὲ ἱμάτιον ἐκ κοκκίνου βεβαμμένον. λέγεται δὲ καὶ τὸ σῶμα. ὡς τὸ, Οὗ τὸ ἐρύθημα ἐξ ἀμπέλου βοσόρ. ἀντὶ οὗτινος τὸ σῶμα, ἐξ ἀμπέλου οἴνου βεβαμμένον.

Βολοσία, ἡ εἰλείθυια. βολὰς γὰρ τὰς ὠδῖνας ὠνόμαζον.

ETYMOLOGICUM MAGNUM GRAEC

βόλος, ὑπὸ Κρητῶν, καὶ ἡ διὰ σαγήνης ἄγρα, καὶ ὁ τῶν κύβων καὶ ἀστραγάλων.

Βόσκω, παρὰ τὸ βῶ τὸ τρέφω. ὁ μέλλων, βόσω. πλεονασμῷ τοῦ κ, βόσκω. ὡς τιτρώσω, τιτρώσκω. θνήσω, θνήσκω. ἐξ οὗ βόσις ἡ τροφή. καὶ συ-

Βόστρυχος, ὁ πλόκαμος τῆς τριχός. Σοφοκλῆς. Νεωρῆ βόστρυχον τετμημένον. παρὰ τὸ βοτρύω, βότρυχος καὶ βόστρυχος, ὁ βοτρυώδης. μετὰ σχήματος γὰρ βοτρυώδους ἀπαρτῆται. Πλοχμοί βοτρύοντες ἐπερρώοντο κι-

Βώτης.

Βόσπορος, οἱονεὶ βοὸς πόρος. ὠνόμασται γὰρ ἀπὸ τῆς Ἰοῦς τῆς θυγατρὸς Κάδμου. ταύτην γὰρ ἡ Ἥρα κατὰ ζηλοτυπίαν οἶστρον ἔπεμψεν. ἡ δὲ ἐλαυνομένη, ὥσπερ βοῦς, ἐντεῦθεν ἐκεῖθεν διῆλθε τὸν τόπον, ὡς φησὶ Διονύσιος. Ἰοῦς αὐτοῦ Θρηϊκίου στόμα Βοσπόρου. ὅν ποτε Ἰὼ Ἥρης ἐννεσίῃσιν ἐνήξατο πόρτις ἐοῦσα. Φύλαρχος δὲ ὅτι οἱ ἐν τῷ Εὐξείνῳ πόντῳ ᾤκησαν ἀποικοι Γεωργίας. οἱ δὲ ἐκ τῆς ἐμπορίας. διὸ καὶ Βόσπορος ἐκεῖνο τὸ μέρος ἐκαλεῖτο τοῦ πελάγους, ὅτι ἐπορεύετο. Τινὲς δὲ τοὺς στενοὺς πορθμοὺς, βοσπόρους εἰρῆσθαι. ἢ ὅτι τὸ παλαιὸν ἐν ποταμοῖς τινες ἤθελον εἰς τὸ πέραν διαβῆναι σχεδίας πηγνύντες, καὶ βοῦς ὑποζεύξαντες αὐτῷ τοῦτο διεπόρευον. ὅθεν ἡ ἐπωνυμία.

Βοτάνη, παρὰ τὸ βίᾳ τείνεσθαι, ἤγουν αὔξειν.

Βοτὰ, πρόβατα. καὶ βοσκήματα. καὶ τὰ λεγόμενα βοτά, ἀπὸ τοῦ βόσκεσθαι καὶ βοτεῖν βόσκειν.

Βοτὴρ, ὁ ποιμήν. καὶ ἀπὸ τοῦ βόσκεσθαι καὶ βοτεῖν βόσκειν. διὰ τοῦ ο, καὶ διὰ τοῦ ω. ὅθεν καὶ τὸ Κτεῖνον δ' αὐτοῦ μηλοβοτῆρας. τοὺς βοσκητῆρας καὶ νομέας τῶν μήλων. παρὰ τὸ βῶ τὸ τρέφω. βόσω, βοτὴρ, καὶ βότειρα. ὡς σωτὴρ, σώτειρα. καὶ βότης. ὁ παρὰ καὶ βούτης λέγεται, πλεονασμῷ τοῦ υ. καὶ συβώτης καὶ συβώσιον ἐκτάσει τοῦ ο εἰς ω. ὁ δὲ Φιλόξενος, παρὰ τὸ βόσκω, βοτὴρ ἀποβολῇ τοῦ κ.

Βοττίον, ἔθνος Μακεδόνων. καὶ Βοττία ἡ χώρα ἀπὸ τῶν βοτῶν. ὅτι πολυθρέμματός ἐστι. καὶ τὸ ἔθνος. ἢ παρὰ τὸ βοτῶν, βοτιανή. καὶ πλεονασμῷ τοῦ τ, βοττιανή. ἢ ἀπὸ τοῦ Βόττωνος τοῦ ἡγησαμένου τῆς ἐκεῖσε ἀποικίας.

Βόττεια, πόλις Μακεδονίας. καὶ διὰ τοῦ ε ψιλοῦ, Βόττεα. τούτου τὸ ἐθνικὸν, Βοττεάτης. τὸ δὲ ἐθνικὸν τοῦ Βόττεια, διὰ τοῦ ι. ὡς Στράβων ἐν ζ. καλεῖται δὲ ἀπὸ Βόττωνος Κρητὸς ἡ πόλις. οἱ οἰκοῦντες, Βοττιαῖοι. καὶ Βοττική, ἡ Χαλδαϊκὴ γῆ. καὶ θηλυκῶς λέγεται Βοττιαίς. καὶ Βοτταϊκή.

Βόρβω, παρὰ τὸ ποσὶν, πόρβω, καὶ βόρβω. ὁ τοῖς ποσὶ καὶ τὸ πατέρεων. ἢ παρὰ τὸ βῶ τὸ πατῶ. ὁ τοῖς ποσὶ τριβόμενος, τουτέστι πατούμενος.

Κτηπινόν.

Βοτρυδὸν, συνεστραμμένως ὡς ἐν βότρυος σχήματι.

Βουβάλιον, κόσμος χρυσοῦς περιτιθέμενος τῷ καρπῷ. Δίφιλος ἐν Παλλακῇ. Βουβάλια καρπῶν περιθέντα φο-

Βουβάρας, εἴρηται διὰ τὸ ἐχθρὸν αὐτοῦ τὸν ἀέρα συνιστάμενον. προτομήν τινα βουβάλου δεξαμένην χρυσῆν. καὶ βούβαλον μέγα καὶ πολύ. ὁ μεγαλοναύτης. ἢ ὁ μεγάλως βαρύς. παρὰ τὸ βοῦ ἐπιτατικὸν, καὶ τὸ βᾶριν, εἶδος πλοίου. ἢ παρὰ τὸ βάρος ἔχοντα. καὶ καυχητιῶντα. περὶ ἀλαζόνος γὰρ λέγεται, ὃν καὶ βαρυέταν εἰρήκασι.

Βούβοσις, πολυφαγία.

Βουβωνία, κόπος.

Βούβασις, κώμη τῆς Αἰγύπτου καὶ θεός. ὅτι ἡ Ἰὼ ἡ Ἰνάχου εἰς βοῦν μεταβληθεῖσα καὶ μετὰ τὸ διὰ γῆς καὶ θαλάσσης πλάνην εἰς Αἴγυπτον παραγενομένη, ἐπιβᾶσα τέλματι χθοὸς τόπου τοῦ ὑγροῦ τῶν χηλῶν, ἴχνη τῷ πηλῷ ἐνεχάραξεν. ὁ δὲ τῆς χώρας βασιλεὺς ἑωρακὼς τὸ μὲν τῆς ἐμπροσθίας χηλῆς τῷ β στοιχείῳ ἐμφερές. τὸ δὲ τῆς ὀπισθίας τῷ ω. ἰδὼν τὸν βοῦν ὠνόμασε. τὴν δὲ κώμην, Βούβαστιν ἀπὸ τῆς τοῦ βοὸς βάσεως. ὥστε κατὰ τοῦτον τὸν λόγον καὶ διὰ τῆς ει διφθόγγου. δεῖ γὰρ εἰς ω. ὁ μέντοι Ἡρωδιανός φησι διὰ τοῦ ι, παρὰ τὸ ἰέναι σχηματιζόμενον ὅτι πολλήν φησι

Βούβαστος, πόλις Αἰγύπτου. καὶ Βουβαστῖτις ἡ πόλις. τὸ ἐθνικὸν, Βουβαστίτης.

ἦλθεν ἐπί τήν.

Βούβρωστις, κυρίως ὁ μέγας λιμός. ὅτι καὶ βοῦς λυμαίνεται, καὶ τοὺς βοῦς βρῶσιν ποιεῖ ὁ χαλεπὸς λιμός. αὐτοῦ δὲ τοῦ, Ἔνθα κακὴ βούβρωστις ἐλαύνει. Ἰλιάδος ω. ἀντὶ μεγάλη ἀνία καὶ λύπη. ἔνιοι δὲ βούβρωστιν τὴν οἰκτρὰν.

Βούδιον, πόλις Θεσσαλίας. οἱ δὲ, Ἠπείρου.

Βουγάϊον, ἐργάτην βοῶν. οἱ δὲ, μεγάλαυχον. ἀμαθῆ. ἀλα-

Βουζυγία, γένος τι Ἀθήνησιν ἔργα. Βοῶν καὶ Ἀναιθηρὰν ἱερωσύνην ἔχον. Βουζύγης γὰρ τις τῶν ἡρώων. πρῶτος βοῦς ζεύξας, τὴν γῆν ἤροσεν. ἀφ' οὗ γένος Βουζυγία.

Βουβὼν, τὸ παρ' ἑκάτερα τῆς ἥβης μέρος. ἐν ἀρχῇ τῶν μηρῶν κείμενον. εἴρηται δὲ ὅτι τοῦ βαίνειν ἐστὶν ὑπηρέτης. παρὰ τὸ τὸ βῶ, τὸ βῶν. καὶ συνθέσει τοῦ ἐπιτατικοῦ βου, τὸ βουβὼν. ὁ μεγάλως βαίνων. ἢ δι' οὗ μεγάλως βαίνομεν. βουβὼν λέγεται καὶ τὸ πάθος τὸ εἰς ὕψος βαῖνον. ἀπὸ τοῦ ἐπαίρεσθαι καὶ μεγάλως βαίνειν εἰς οἴδημα. ὅπερ τινὲς φασὶ βομβάδνα, ὡς λέγει Ἡρωδιανὸς ἐν τῷ καθόλου. Μένανδρος ἐν τῷ Γεωργῷ. Οἴ, βουβὼν ἐπήρθη τῷ γέροντι. καὶ ῥῆμα παρ' αὐτῷ βουβωνιᾷ. ἔστι καὶ Βουβὼν πόλις Λυκαονίας, ἀπὸ Βούβωνος λῃστοῦ. ὁ πολίτης Βουβώνιος ὤφειλεν εἶναι. ἀλλ' ἔστι Βουβωνεύς. εἴρηται ἀπὸ τοῦ βοῦ ὅπερ ἀπὸ τοῦ ζῴου ληφθὲν, σημαίνει τὸ μέγα, ὡς ἐν τῷ βούλιμος. καὶ βούπαλος κύριον. παρὰ δὴ τὸ ἐπιτατικὸν καὶ τὸ γαῖα σύνθετον, τὸ Βουγαῖος. ἢ παρὰ τὸ γαίειν τὸ γαυριᾶν. ὅπερ καὶ αὐτὸ παρὰ τὴν γαῖαν γέγονεν. ἵν' ᾖ ἀπὸ τοῦ μεγέθους τῆς γῆς. ὁ μεγαλόφρων. Ὑπόδειαν ἄμυν-

Βουθόη, πόλις Ἰλλυρίδος. εἴρηται, ὅτι Κάδμος αὐτοῦ βοῶν ζεύγους ἐκθηβῶν ταχέως εἰς Ἰλλυριοὺς παραγενόμενος ἔκτισε πόλιν. καὶ ἀπὸ τῶν βοῶν καὶ τοῦ θοῶς φυγεῖν, Βουθόην ὠνόμασεν. ἢ ἀπὸ τοῦ βουτοῦ, Βουτόη, καὶ Βουθόη. τὸ ἐθνικὸν, Βουθόαιος.

Τρεπέσβουγάϊε.

Βουθοίη, πόλις τῆς Ἰλλυρίδος. Σοφοκλῆς ὀνομάζει. Βουθόη δ' Ἰλλωνος αὐτοῦ προχοῇσιν ἐν ἄλθη. εἴρηται ἀπὸ τοῦ βοηθοῦν γενέσθαι παραγενέσθαι. Βουθία, πόλις Ἰωνίας. τὸ ἐθνικὸν, Βουθιαῖος.

Βουθέρει, ἐν ᾧ τόπῳ βόες θέρους νέμονται.

Βουκάπη, ἡ φάτνη τῶν βοῶν. ἀπὸ τοῦ κάπτω τὸ ἐσθίω, τὸ κάπη. τουτέστιν ἐν ᾗ οἱ βοῦς κάπτουσι.

Βούκαια πόλις Φωκίδος ἐν τῷ ἐπιγρασμῷ. ὠνόμασται δὲ ὅτι ποτὲ Δευκαλίων καὶ Πύρρα κατὰ κλυσμὸν φεύγοντες, παρ' αὐτοῖς διεσώθησαν. καὶ σημεῖον τούτου κατ' ἐνιαυτὸν πυρὰν ἀνάπτοντες, μεγάλην βοῶν ἐπελαύνουσιν αὐτῇ ἐπιβοῶντες Ἐξ ὥστε βοῦς κατὰ τὰ πάτρια, καὶ κατακαίουσιν αὐτόν. ἀπὸ γοῦν τοῦ καίειν τὸν βοῦν λέγεται Βούκαια, καὶ Βουκαεύς.

Βούκαιος, Μένανδρος, Βουκαιὸς τἀλέγοι καὶ ὄροι τύπος. καὶ Θεόκριτος. σημαίνει δὲ τὸν ἀροτριαστὴν, τὸν τοῖς βουσὶ καίνοντα τὴν γῆν. τουτέστι κόπτοντα καὶ σχίζοντα.

Βούκερα, λίμνη τις ποτὲ μὲν καλουμένη. νῦν δὲ εἶδος βοτάνης ἀπὸ τοῦ σχήματος τοῦ παρὰ τὴν θέσιν. ἐπειδὴ κέρατι βοὸς ἔοικε. καὶ Νίκανδρος ἐν Ἀλεξιφαρμάκοις παρετυμολογεῖ αὐτὴν λέγων. Ἄλλοτε βουκέραος χλοηγόνου ὀρ. ἀκεραίας εὐκαμπέας πετάλοισιν ὑπηνεμίοισιν ἀέξει.

Βουκέρας, ἡ πηλὶς τὸ σπερμάτιον. Διότιμος. Βουκεραΐς, κρήνη ἐν Πλαταιαῖς, ἥτις ὠνόμασται, Πόλυβος δ' ἐξ Ἄργους ἔκτισε Πλαταιάς μετὰ τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμόν. βοὸς αὐτῷ ἡγουμένης κατὰ χρησμὸν, ὡς ποτε Κάδμῳ. ἣν ἐκέλευσε κατακλιθεῖσαν τῷ κέρατι ἀνατάξαι τὴν γῆν, καὶ κρήνην ἀναφανῆναι, ἣν ἀπὸ τοῦ κέρατος τοῦ βοὸς, Βουκεραΐδα καλεῖσθαι. οὕτω Θέων ἐν τοῖς ὑπομνήμασι τοῦ α αἰτίου. Καλλίμαχος οὕτω καὶ Στεῖνος ἐν τῇ ἐπιτομῇ τῶν Φίλωνος περὶ πόλεων πολυΐδος λέγει τὸν χρησμόν.

Βουκέφαλος, ὁ ἵππος ὃν Ἀλέξανδρος ἐκέκτητο. οὐχ ὥς τινες οἴονται ὅτι βοὸς κέρατα εἶχεν. τοῦτο γὰρ ψευδές. ἐκοσμεῖτο γὰρ ὑπὸ Ἀλεξάνδρου χρυσοῖς. καὶ οὐ διὰ τὰ κέρατα Βουκέφαλος ὠνόμασται, ἀλλ' ὅτι οὕτως ἐν Θεσσαλίᾳ ἐκαλοῦντο οἱ ἵπποι ἔχοντες ἐγκεκαυμένον βουκράνιον. ὅτι δὲ τῶν Θετταλικῶν ἵππων τινὲς ἐκαλοῦντο βουκέφαλοι, δηλοῖ Ἀριστοφάνης ἐν Ἀναγύρῳ. Μὴ κλαῖ', ἐγώ σοι βουκέφαλον ὠνήσομαι. καὶ πάλιν. Ψήχει ἠρέμα τὸν βουκέφαλον καὶ κοππατίαν. λέγεται δὲ ἐγκεχαραγμένον ἔχων τοῖς ἰσχίοις βουκράνιον.

Βουνὶς, καὶ βουνῖτις ἡ γῆ. εἴρηται δὲ παρὰ τοὺς βουνούς. βουνοὶ δὲ εἰσιν οἱ ὑψηλοὶ καὶ ὀρώδεις, καὶ γεώλοφοι τόποι.

Βουόα. ἀλλ' ἔτι Σταχαθαίβου-

παρὰ τὸ βαίνειν ἄνω.

σοαι ἐλλείπει τοῦ ς, καὶ πνεῦμα προσῆλθε τὸ δασύ.

Βουκόλοι, οὐ μόνον οἱ τῶν βοῶν νομεῖς, ἀλλὰ καὶ ζῷα τινὰ οὕτω καλοῦνται. καὶ βουκολισμὸς, μελοποιίας τινὸς εἶδος.

Βουκόλος, ἤτοι βουκόμος τις ὤν. παρὰ τὸ κομεῖν περὶ τὰς βοῦς, ὅ ἐστιν ἐνεργεῖν καὶ διατρίβειν. ἢ βουσὶ κεκλωμένος, ὅ ἐστιν ἐγκελευόμενος. ἢ παρὰ τὸ κέλλω ὅ σημαίνει ὁρμᾶν τοῖς βουσὶ κέλλων. βουκολῶ σημαίνει καὶ τὸ σοφίζομαι. Δίδυμος δὲ παρὰ τὸ κομεῖν εἴρηκεν, ἵν' ᾖ βουκόμος. ὡς ἱπποκόμος. καὶ κατὰ τροπὴν, βουκόλος, καὶ βουκολεῖν, βόας νέμειν.

καὶ ὀρχήσεως.

Βουλυτὸς, ἡ δειλινὴ ὀψία, ὅτε οἱ βόες ἀπολύονται τῶν ἔργων.

Βούλιμος, ὁ μέγας καὶ αὐτοῦ τεταμένος λιμός. παρὰ τὸ βοῦ ἐπιτατικὸν μόριον, καὶ τὸ λιμός.

Βούλω, βαρύνεται. ἐπειδὴ τὰ εἰς λω λήγοντα καθαρὰ δισύλλαβα παραληγόμενα τῇ ου διφθόγγῳ, τὰ μὲν β βαρύνονται, τὰ δὲ β περισπῶνται. βαρύνονται, βούλω, καὶ οὔλω. Ὅμηρος. Οὖλέ τε καὶ μέγα χαῖρε. περισπώμενα οὐλῶ, παρὰ τὸ οὐλὴ τὸ τραῦμα. ἔνθα κατουλώσας. καὶ δουλῶ, παρὰ τὸ δοῦλος. ἀπὸ δὲ τοῦ βούλω, παράγωγον βουλεύω. ὡς δράχω, ἀρχεύω.

Βουλὴ, ὁμοίως ῥηματικὸν εἶδος τῶν ὑποσπάστων τοῦ προσόμαστι, προσηγορικοῦ. γίνεται παρὰ τὸ βέλλω, βολή. ἡ συστοιχὸς τῆς γνώμης φορά. ἢ ἐπιβολὴ τῆς ψυχῆς. καὶ πλεονασμῷ τοῦ υ βουλή, ἢ τοῦ νοὸς ἐμβολή. ἢ παρὰ τὸ βάλλω, βαλή, καὶ πλεονασμῷ, βουλή. ἔστι δὲ τὸ α εἰς ο, ὡς ἐν τῷ ἡμέρα, ἡμερόβιος. ἦρα ἠρόδοτος. ὥρα, ὡροσκόπος. σημαίνει δὲ τὸ ἄθροισιν καὶ τὸ προβούλευμα. ὡς τὸ, Βουλὴν δὲ πρῶτον μεγαθύμων ἷζε γερόντων. καὶ τὴν γνώμην, Χρεὼ βουλῆς ἐμὲ καὶ σὲ διοτρεφὲς ὦ Μενέλαε. καὶ, Διὸς δ' ἐτελείετο βουλή. καὶ τὴν προαίρεσιν, καὶ τὴν θέλησιν. ὡς τὸ, Νῦν δ' ἐμὲ μὲν στυγερὰς θετὶ δὸς οἴζην ἐγκεβουλᾶς.

Βουληφόρος, πρόβουλος. ἀρχίβουλος. ἡγεμών. ἄρχων. βουλευτικός. σημαίνει ποτὲ μὲν τὸν βασιλέα, ὡς τὸ, Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα. ποτὲ δὲ ἐπιθετικῶς αἱ ἐκκλησίαι, ἐν αἷς αἱ βουλαὶ ἀναφέρονται. ὡς τὸ, Τοῖσι δ' οὔτ' ἀγορὴ βουληφόρος. τὰ ἐκ β τελείων σύνθετα ὁμοίως ἀπὸ εὐθείας. ὡς τὸ, ζῷον, ζωηφόρος, καὶ ἑωσφόρος. ἀπὸ γενικῆς, οὐδείς οὐδενός, οὐδενόσωρα. ἀπὸ δοτικῆς, ἄρηϊ, ἀρηΐφιλος. ἀπὸ αἰτιατικῆς, πόδα, ποδαλείριος. ἀπὸ δὲ κλητικῆς μόνον, οὐ γίνεται σύνθετον. ἐπειδὴ πᾶσα πτῶσις γ προσώπου ἐστὶ πλὴν τῆς κλητικῆς. ἡ δὲ κλητική, αὐτοτελής ἐστι. καὶ πολλάκις τελείου λόγου ἀποπληροῖ. ὡς τὸ, Ὦ μάκαρ Ἀτρείδη μοιρηγενὲς ὀλβιόδαιμον. καὶ πάλιν, Διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ. τὸ δὲ τέλειον, μετὰ τοῦ ἀτελοῦς οὐ συντίθεται. τὸ δὲ γυναιμανὲς, οὐκ ἀπὸ τοῦ ὦ γύναι, καὶ τοῦ μαίνομαι ῥήματος, ἀλλ' ἀπὸ κοινοῦ ἀπὸ γυναικός. ἔστι δὲ τὸ ῥῆμα φέρω. Ὡς δ' ἄνεμος ἄχνας φορέει. ἀφ' οὗ φορητός. ἀπὸ δὲ τοῦ φέρω, φερτός, ἔνθα τὸ συμφερτή. τὸ συγκριτικὸν, φερέστερος. καὶ προφερέστερος, καὶ προφερέστατος ὑπερθετικόν. ἰστέον ὅτι τὸ φέρω κατὰ τέλος συντίθεται. σπανίως δὲ καὶ κατὰ τὴν ἀρχήν. ὡς τὸ, Φέρεκλος, Φερέσαχμος. Φερσεφόνη. Τελεσφόρος, τοξοφόρος. οὕτως οὖν παρὰ τὸ βουλή καὶ τὸ φέρω, γίνεται βουληφόρος. τὰ δὲ εἰς η λήγοντα θηλυκὰ σύνθετα, ἢ φυλάσσουσι τὸ η, ἢ τρέπουσιν εἰς ο, γῆ, γηγενής. ὀδύνη, ὀδυνηφάτος. κρήνη, κρηνοφύλαξ. ταῦτα δέ, τὰ παρὰ τὸ φέρω προξυνεται, εἰ μὴ ἄρα τύπος κωλύοι, διὰ τὸ εὖ μόριον καὶ τὰς προθέσεις, καὶ τὴν α στέρησιν. εὔφορος πρόσφορος.

ἄφορος.

Βουλεία, ὁ χρόνος τοῦ βουλεύειν. ὡς παρὰ στρατηγεία χρόνος ὅπου στρατηγεῖ.

Βούπρηστις, ἔστι λάχανον ἄγριον γένος. ὅμοιον τῷ σινάπι καὶ τῇ λαμψάνῃ. Βούπρηστις δέ φασι λέγεται διὰ τὸ τοὺς γευσαμένους αὐτῆς, μεγάλως ἐμπρᾶσθαι. τουτέστι φυσᾶσθαι. τὸ γὰρ βοῦς ἀντὶ τοῦ μεγάλου ἔταττον οἱ ἀρχαῖοι. καὶ βούπαιδα, τὸν μέγαν παῖδα.

Βουπράσιον, τόπος οὕτω καλούμενος, καὶ πόλις, καὶ ποταμὸς, καὶ χώρα τῆς Ἤλιδος. τὸ ἐθνικὸν Βουπρασιεύς, καὶ Βουπράσιος.

Βούσιρις. ὁ ἥρως ὁ τῆς Αἰγύπτου βασιλεύς. ἀφ' οὗ καὶ ἡ πόλις οὕτω καλεῖται. εἴρηται παρὰ τὸ βοῦς εἴργειν. ὁ δυνάμενος μόνος ζευγνύειν δύο βοῦς.

παρὰ τὸ βοῦς καὶ τὴν σειράν, ἵν' ᾖ ὁ ἰσχυρὸς καὶ ἀνδρεῖος, ὥστε δύνασθαι βοῦν ἄγειν σειραῖς. ὥσπερ καὶ λαέρτης λέγεται. γράφεται δὲ διὰ τοῦ ι. ὤφειλε διὰ διφθόγγου. τὰ γὰρ διὰ τοῦ ιρις, ἀποστρέφεται τὴν ει δίφθογγον. οἷον, ὄσιρις ὁ διόνυσος παρ' αἰγυπτίοις. ἔστι καὶ ὄνομα πόλεως οὕτω λεγομένης. καὶ ὄνυγλος. καλάσιρις λινοῦν ἱμάτιον. ἶρις ἡ τῶν θεῶν ἄγγελος. κίρις, ὄνομα ποταμοῦ. τίρις, ὄνομα δούλης. σίρις, καὶ ξίρις, ποτὲ μὲν γὰρ διὰ τοῦ σ λέγεται αὐτό, ποτὲ δὲ διὰ τοῦ ξ. καὶ ποτὲ μὲν διὰ τοῦ ι γράφεται. ποτὲ δὲ διὰ διφθόγγου. κρεῖττον δὲ διὰ τοῦ ι. σημαίνει δὲ ἀρωματικὸν φυτόν. χωρὶς τοῦ μὴ ἔχει τοῦτο ἀπὸ προυποκειμένου, διὰ τὸ χείρ, χειρός, χειρίς. σημαίνει τὸ χειρομά- μινον.

Βοῦρα, πόλις τῆς ἀχαΐας, ἣν ᾤκησεν ἐξάδιος ὁ κένταυρος. καὶ ἐκεῖ αὐτοῦ τὰ βουστάσια ἐφύλαττε. διὸ καὶ βοῦρα ὠνομάσθη. ἀπὸ τοῦ τὰς βοῦς ὤρειν, ὅ ἐστι φυλάττειν. βοῦρα τε δεξαμένοιο βοοστάσιες οἰκιάδαο.

Βούπαις, εἴωθε γὰρ τῇ προσθήκῃ τοῦ ἵππου ἢ τοῦ βοός, τὸ μέγεθος τοῦ ὑποκειμένου δηλοῦν. ἀπὸ μὲν τοῦ βοὸς βούσυκον. ἀπὸ δὲ τοῦ ἵππου, ἱπποσέλινον. καὶ θυμὸν ἱππογνώμονα, τὸν μεγαλόγνωμον. βοῦται, βουκόλοι. βοῦτα, λατῖνοι τὰ ἐκ πυρᾶς καλοῦσι λείψανα. παρὰ τὸ φῶ τὸ λάμπω, γίνεται φῶτα. τροπῇ τοῦ φ εἰς β καὶ ω εἰς ου, βοῦτα.

Βουτάδαι, δῆμος ἀπὸ τῆς οἰνηΐδος φυλῆς, ἀφ' ἧς οἱ δημόται. ἢ οἱ ἀπὸ βούτου. οὗτος δὲ ὁ βούτης τὴν ἱερωσύνην ἔσχε. καὶ ἀπ' αὐτοῦ βουτάδαι ἐκαλοῦντο. καὶ βουτρόφος τάξις ὡς φασὶ τῆς ἱερωσύνης. ἡ τρέφουσα τοὺς βοῦς, ὥστε θύεσθαι τοῖς θεοῖς δημοσίᾳ. καλοῦνται δὲ καὶ ἐτεοβουτάδαι, οἱ ἀπόγονοι τοῦ βούτου.

Βουτίδης, τὰ εἰς ης εἰς ου ἔχοντα τὴν γενικήν, ἢ διὰ τοῦ αδης, ἢ διὰ τοῦ ιδης ποιεῖ τὸ πατρωνυμικόν. ἱππότης, ἱππότου, ἱπποτάδης. δότης, δότου, δοτάδης, κύριον. εἰ δὲ διὰ τοῦ ιδης, διὰ τοῦ ι γράφεται. κορωνήτης, κορωνήτου, κορωνητίδης. βιότης, βιότου, βιοτίδης. οὕτω βούτης, βούτου, βουτίδης, τοῦ ποσειδῶνος υἱός. τὰ δὲ εἰς ος διὰ τοῦ αδης ποιοῦσι τὰ πατρωνυμικά. οἷον, αὔξεντος, αὐξεντιάδης. ἀσκληπιός, ἀσκληπιάδης. ἥλιος, ἡλιάδης. ὀϊλιάδης οὐκ ἔστιν, ὀϊλείδης γάρ. ἐπεὶ ὀϊλείδης εἶχεν εἶναι. οἱ δὲ ποιηταὶ πολλάκις ἀποβάλλουσι τὸ α. οἷον, ἐριχθονιάδης, ἐριχθονίδης. τελαμωνιάδης, τελαμωνίδης. τὰ δὲ εἰς ας ἰσοσυλλάβως κλινόμενα, διὰ τοῦ αδης ποιοῦσι τὸ πατρωνυμικόν. βορέας βορέου, βορεάδης. αἰνέας, αἰνέου, αἰνεάδης. κέας, κέου, κεάδης. πυλέας, πυλέου, πυλεάδης, καὶ κατὰ συγκοπήν, πυλάδης. δημέας, δημέου, δημεάδης, καὶ δημάδης.

Βούτυπος, ἱερεύς τις, ὃς τοὺς βοῦς ἐν ταῖς θυσίαις τῷ πελέκει τύπτων ἔθυε.

Βούτυπος οἷα πόδας ταχύων. ἀπολλώνιος.

Βουθρωτός, ἢ βουθρωτὸς πόλις τῆς ἠπείρου, ὥς φησι τεῦκρος ὁ κυζικηνός. ὅτι ἑλένου ἐκ τῆς πατρίδος εἰς τὴν ἤπειρον παραγενομένου, θύοντος δὲ ἐπιβατήρια, ἡ βοῦς οὐ καιρίαν λαβοῦσα πληγήν, ἔφυγε. καὶ κόλπον τινὰ τῆς ἠπείρου διανηξαμένη, εἰς γῆν ἐξέρχεται. καὶ καταπεσοῦσα, ἀπέθανεν. ὁ δὲ ἕλενος συμβόλῳ θείῳ χρησάμενος, κτίζει πόλιν, καὶ ἀπὸ τοῦ συμβάντος, βουθρωτὸν αὐτὴν ὠνόμασε. τὸ ἐθνικόν, βουθρώτιος.

Βουφόνια, ἑορτή τις παρὰ ἀθηναίοις τὰ βουφόνια. ἐν ᾗ πολλοὶ ἔθυον τοὺς βόας. καὶ ἤγετο αὕτη σκιροφοριῶνος μηνὸς τετάρτῃ ἐπὶ ι.

Βουφόνεον, ἐβουθύτουν. βοῦς ἔθυον.

Βούχετα, ἢ βουχέτιον. ἔστι δὲ πόλις τῆς ἠπείρου, οὐδετέρως καὶ πληθυντικῶς λεγομένη. ἥ φησι φιλόχορος ὠνομάσθαι, διὰ τὸ τὴν λητώ, ἢ τὴν θέμιν ἐπὶ βοὸς ὀχουμένην ἐλθεῖν ἐκεῖ, κατὰ τὸν τοῦ δευκαλίωνος κατακλυσμόν. μέμνηται δὲ τοῦ ἐθνικοῦ καλλίμαχος. οἷον, ἐξ ἁλὸς οὐδ' ἵκηιν ἂν ἐρα βουχέτιον ἕλκειν.

ΤΟ ΒΗΤΑ ΜΕΤΑ ΤΟΥ ΡΩ.

Βραδύς, παρὰ τὸ βάρος βαρύς. καὶ ἐν ὑπερθέσει τοῦ ρ, καὶ πλεονασμῷ τοῦ δ.

Βρᾶ, ἀπὸ τοῦ ῥάδιον γίνεται κατὰ πλεονασμὸν τοῦ β αἰολικῶς, βράδιον. καὶ κατὰ συγκοπὴν βρᾶ. οὕτως ἡρωδιανὸς καὶ χοιροβοσκός.

Βραβεῖον, ἀπὸ τοῦ ῥάβδος, ῥαβδεῖον. καὶ τροπῇ τοῦ δ εἰς β καὶ ὑπερβιβασμῷ, βραβεῖον. λέγεται δὲ τὸ βασιλικὸν σκῆπτρον. ἐξ οὗ καὶ βραβευταί, οἱ τὰς βασιλικὰς ῥάβδους κατέχοντες, καὶ τοῖς νικῶσι τοὺς στεφάνους διδόντες. καὶ βραβεῖον λέγεται ὁ παρὰ τῶν βραβευτῶν διδόμενος στέφανος τῷ νικῶντι. τὸ βεῖ, δίφθογγον. τὰ διὰ τοῦ ειον κτητικά.

Βραβεύει, ἐπιψηφίζεται. διανέμει. καὶ βραβευτής, διοικητής. ὁριστής. βραβευταὶ δὲ κυρίως λέγονται, οἱ τὴν ῥάβδον ἀπὸ φοίνικος ἢ τινὸς ἄλλου διδόντες σύμβολα τῆς νίκης, ῥαβδευταί τινες ὄντες. καὶ ὑπερθέσει τοῦ ρ. ἢ οἱ διαλλάκται. καὶ βραβεῖα, αἱ διαλλαγαί.

Βράβηλα, τὰ καλούμενα δαμασκηνά. θεόκριτος. Ὄρπακες βραβίλοισι καταβρίθοντες ἔραζε. ἀθήναιος δὲ ἐν τῷ β τῶν δειπνοσοφιστῶν, σέλευκον ὀνομάζειν κοκκύμηλα, καὶ βράβηλα καὶ βάδρυα. εἴρηται δὲ βοράβηλα τινὰ ὄντα, τὰ τὴν βορὰν ἐκβάλλοντα. ἔστι γὰρ μαλακτικὰ τῆς γαστρός. εἴρηται δὲ καὶ μαλόδρυα τινὰ ὄντα. δαμασκηνὰ δὲ κατ' ἐξοχήν, διὰ τὸ ἐν δαμασκῷ τῇ πόλει γεωργούμενα εἶναι εὐθαλέστερα καὶ καλλίονα.

Βραγχιάζω, ὁ μέλλων, βραγχιάσω. ὁ ἀόριστος, ἐβραγχίασα. ἐβραγχίασεν ὁ λάρυγξ. παρὰ τὸ βρέχω, γίνεται βρόχος. καὶ βροχίων, τὸ συνεχῶς βρεχόμενον. ἐξ οὗ καὶ βράχος τὸ τῆς θαλάσσης. ὠνοματοπεποιῆσθαί φασι τὴν λέξιν κατὰ μίμησιν τῆς γινομένης αὐτῷ βραχύτητος ἐν τῇ φωνῇ. ἢ βρόγχος λέγεται ὁ λαιμὸς καὶ φάρυγξ. ὃς καὶ βράγχος παρὰ τοῖς παλαιοῖς λέγεται. ἀφ' οὗ τὸ σόστον ἐβραγχώδης. ἀφ' οὗ τὸ πάθος ἐκάλεσαν βραγχιᾶν. ἐγὼ δὲ οἶμαι παρὰ τὸ βαρεῖαν ἰαχὴν ἔχειν, τουτέστι φωνήν. γίνεται βαριχιᾶν, καὶ βραγχιᾶν. βραγχιᾶν γὰρ τὸ ἡσύχως ὀδύρεσθαι, καὶ τὸ σὺν παρὰ καὶ τραχείᾳ τῇ φωνῇ χρῆσθαι. καὶ βράγχος, νόσημά τι περὶ τὸν βρόγχον.

Βράζει, παρὰ τὸ βῶ τὸ λέγω, γίνεται βάζω. καὶ πλεονασμῷ τοῦ ρ, βράζω.

Βράσσω, τὸ ζέω. ὅθεν καὶ ἀναβράσσω λέγεται ἀττικῶς. ἐκ τοῦ ἀποτελέσματος λαμβάνοντες τὴν λέξιν. ἀριστοφάνης. Ἀναβράττω κίχλας. ἀντὶ τοῦ ἕψω.

Βράσσων, εἴρηται παρὰ τὸ βάρος, ἢ βαρῶ βαράσσω, καὶ κατὰ συγκοπήν, βράσσων. ὁ βραδὺς καὶ βραχύς, ἑκάτερον σημαίνει. καὶ γὰρ ἀπὸ τοῦ βραδύς, γίνεται βραδύτερος, καὶ βραδίων, καὶ βράσσων. καὶ ἀπὸ τοῦ βραχύς, βραχύτερος, βραχίων, βράσσων. ὅθεν ὁ ποιητὴς εἰδὼς ἀμφοτέρων σημαντικὴν τὴν λέξιν, ἐπιφέρει διασαφῶν καὶ λύων τὸ ἀμφίβολον. Βράσσων τε νόος, λεπτὴ δέ τε μῆτις. ἰλιάδος ψ. ἀντὶ τοῦ βραδύτερος, ἐλάσσων. ἢ ταρασσόμενος καὶ ἀκατάστατος ἀπὸ τοῦ βρασμοῦ. οὐ σταθερός, ἢ ἄτακτος.

Βραχύς, κατὰ τροπὴν τοῦ λ εἰς ρ. παρὰ τὸ ἀποβεβλῆσθαι μέρος καὶ ἐλάσσονα γενέσθαι εἴρηται. οὕτως ἡρακλείδης, ὥς φησιν ὦρος.

Βραχίων, εἴρηται ὅτι βραχύτερός ἐστι τοῦ λοιποῦ μέρους τῶν χειρῶν. ἢ ἐκ τοῦ βραχύς καὶ τοῦ κίων, βραχυκίων τις ἐστί.

Βράχω, σημαίνει τὸ ἠχῶ. ὀνοματοποιΐα ἡ λέξις ἐστίν. Ἀμφὶ δὲ βράχε.

Βρέχω, ὁ μέλλων, βρέξω. γίνεται παρὰ τὸ βρόχος. ἢ παρὰ τὸ βάλλω, βλῶ. καὶ βρῶ, βρέχω, ἀπὸ τοῦ ἠχοῦν τῶν ὑδάτων. ὅθεν καὶ ὅμηρος, ὀνοματοποιΐα ἐστί. τούτου τὰ ἐνεργητικὰ οὐχ εὕρηνται. ἐπειδὴ τὰ αὐτῶν εὐθειῶν ἐνεργητικὰ δεχόμενα ῥήματα πρῶτα καὶ δεύτερα πρόσωπα οὐκ ἔχει. οὐδὲ γὰρ βρέχω ἐγώ, οὐδὲ βρέχεις σύ, ἀλλὰ βρέχει καὶ χιονίζει καὶ ἀστράπτει ὁ θεός. πᾶν νόημα καὶ πᾶς λόγος τέλειος ἐξ ὀνόματος καὶ ῥήματος σύνισταται. οἷον, λέγει ὁ πλάτων. δημηγορεῖ δημοσθένης. χωρὶς τούτων, οὐδέν ἐστι τέλειον. ἐὰν γὰρ εἴπω ἀναγινώσκει, ὀφείλω εἰπεῖν καὶ τὸ ἐπαγόμενον. ἢ θεόδωρος, ἢ ἄλλος. διότι πολλοί εἰσιν οἱ ἀναγινώσκοντες. ὅταν δὲ ἐρωτηματικῶς εἴπω βρέχει, ἢ βροντᾷ, διά τι οὐ προστίθησι καὶ τὸ ἐπαγόμενον. διότι εἷς ἐστιν ὁ ταῦτα ποιῶν, τουτέστιν ὁ θεός. ὥσπερ καὶ ἐπὶ τοῦ βασιλέως. οἷον, ἔδωκεν ἀξίας. ἐποίησε σπαθαρίας. καὶ οὐ λέγει ὁ δεῖνα, ἐπειδὴ εἷς ἐστιν ὁ ταῦτα πράττων.

Βρέγμα, καὶ βρεχμόν, τὸ ὑπὲρ μετώπου μέρος. ἐκ τοῦ ῥητορικοῦ λεξικοῦ. ἐν δὲ τοῖς ἐτυμολογικοῖς, τὸ τῆς κεφαλῆς ἄκρον κρανίον. ὅπερ ὁ ποιητὴς βρεχμὸν καλεῖ. ὥσπερ παρὰ τὸ ἔχω γίνεται ἐχμὸς καὶ νεοχμός, οὕτω καὶ παρὰ τὸ βρέχω, γίνεται βρεχμὸς καὶ βρέχμα. ἐπειδὴ ἐν τοῖς ὑετοῖς καὶ ἐν ταῖς ἄλλαις καταχύσεσι τῶν ὑγρῶν, τοῦτο πρῶτον βρέχεται.

Βρέμει, ἠχεῖ κυρίως. οἷον, Μέγα βρέμεται χαλεπαίνων. σημαίνει δὲ καὶ τὸ ὁρμᾶν. παρὰ τὸν βρόμον τὸν τοῦ πυρὸς ἦχον πεποίηται. ἐγὼ δὲ τὸν βρόμον, ἀπὸ τοῦ βρέμω.

Βρεντήσιον, χωρίον τῆς ἰταλίας. περὶ τὴν ἀδρίαν, ἀπὸ βρέντου τοῦ ἡρακλέους. ἢ ὡς εὐλίμενος οὖσα. ἐνὶ γὰρ στόματι λιμένες πολλοὶ συγκλείονται. ὡς ἐοικέναι τοίνυν κεφαλῇ ἐλάφου, οὕτως ὠνόμασται. ἔχει λιμένας κέρασιν ἐλάφου παραπλησίους. βρέντον δὲ καλοῦσι τὴν ἔλαφον μεσσάπιοι. καὶ βρέντιον μεσσαπίοις ἡ κεφαλὴ τῆς ἐλάφου. τὸ ἐθνικόν, βρεντέσιος.

Βρεττανοί, ἔθνος ἀπὸ κελτοῦ τῆς βρεττάνου θυγατρός. βρεττία δὲ ἡ νῆσος ἐν τῷ ἀδρίᾳ. ποταμὸν ἔχουσα βρέντιον. οἱ δέ, βρεντανίδαι. καὶ τὸ ἐθνικὸν ἔδει βρεντιανός, ὡς πολύβιος. νῦν δὲ λέγονται βρέντιοι. εἰσὶ καὶ βρεντανίδες νῆσοι ἐν τῷ ὠκεανῷ. τὸ ἐθνικόν, βρεντανοί.

Βρέφος, τὸ νεογνὸν παιδίον. κυρίως ἐπὶ ἀνθρώπου. καλλίμαχος ἐν τρίτῳ τῶν αἰτίων. καὶ ἐπὶ σκύμνου τίθησι. παρὰ τὸ βράττω τὸ ἀμέλγω. τὸ βράττον τὸ γάλα. τροπῇ τοῦ α εἰς ε. ἢ ὅτι βροτός ἐστιν εἰς φῶς προελθών.

Βρένθιον, μύρον τῶν παχέων, ὡς ἡ βάκχαρις. οἱ δέ, ἄνθινον μύρον. καλοῦσι δὲ καὶ ὀρνεόν τι βρένθον. ὃ ἔνιοι κόσσυφον καλοῦσι. κύπριοι δὲ βρενθίσι τὴν θρίδακα λέγουσι.

Βρενθία, διότι ῥιζία τινά, οἷς ἐρυθαίνονται τὰς γνάθους αἱ γυναῖκες. οἱ δέ, φῦκος ἄγχουσαν οὐκ εὖ.

Βρέδον, ἔλαφον, ἢ κεφαλὴν ἐλάφου.

Βρενθύεται, μεγαλοφρονεῖ, ἐπαίρεται, οἱονεὶ θρύπτεται. βυζαντῖνος φησὶν ἐν τοῖς περὶ χρηστομαθίας οὕτω. βρένθιον εἶδος μύρου. καὶ οὕτως ἐν τοῖς ἰάμβοις. τοὺς οὖν ἀλαζόνας καὶ τυφερούς, μύρῳ χρίεσθαι ἀκολουθεῖ. καὶ ἀπὸ τούτου τοὺς δηλαδὴ τοὺς θρυπτομένους ἐπὶ σώματι τὰ πάξαπλα βρενθυομένους λέγουσιν. οὕτως εὗρον ἐν τῷ αὐτῷ βιβλίῳ.

Βρενθυόμενοι, δυσχεραίνοντες. ὀργιζόμενοι. θυμούμενοι. καὶ βρενθύεσθαι, τὸ διὰ θυμὸν μετεωρίζεσθαι, προσποιεῖσθαι ὀργίζεσθαι. παρὰ τὸ μετὰ βάρους θύειν, ὅ ἐστιν ὁρμᾶν. σημαίνει καὶ ἐπαιρόμενοι, μέγα φρονοῦντες.

Βρέτας, παρὰ τὸ βροτός, βρέτας κατὰ τροπήν. τὸ βροτοειδὲς ἄγαλμα, τὸ βροτῷ ὅμοιον. κυρίως δὲ τὸ ἀπὸ ξύλου πεποιημένον ἀνθρώπου ἄγαλμα. εἴδωλον. μορφή. κυρηναῖοι δὲ τὴν ἀναίσθητον.

Βρεττία, μέλαινα πίσσα. καὶ βάρβαρος ἀπὸ τοῦ βρεττίων ἐθνικοῦ.

Βρέφος, παρὰ τὸ φέρβω τὸ τρέφω, γίνεται φέρβος. καὶ κατὰ μετάθεσιν τῶν στοιχείων, βρέφος. τὸ δεόμενον τροφῆς. ἢ παρὰ τὸ εἰς φῶς βεβηκέναι.

Βριαρός, ὁ ἰσχυρός. καὶ βριαρώτερος. παρὰ τὴν βίαν, βιαρός. καὶ πλεονασμῷ τοῦ ρ, βριαρός. ἔνθεν βριάρεως, ὁ ἑκατόγχειρ θεός. ἢ παρὰ τὸ βρίω, ἀφ' οὗ καὶ βρῖθος τὸ βάρος. καὶ ὥσπερ παρὰ τὸ στάχος γίνεται στάχυς, οὕτω καὶ παρὰ τὸ βρῖθος βριθύς. καὶ βριθύ, μέγα τι βαρόν. καὶ βριθοσύνη. καὶ βριάω βριῶ, ῥῆμα. καὶ παρώνυμον, βριαρεύς. ὡς πομπός, πομπεύς. καὶ ἀπὸ τοῦ βριαρεὺς γενική, ἀττικῶς βριάρεως. καὶ αὕτη εἰς εὐθεῖαν ἀναχθεῖσα, ἐποίησε τὴν βριάρεως.

Βριαρόν, δεινόν. φοβερόν. ἰσχυρόν. βριηρόν, μεγάλως κεχαρισμένον.

Βριαρηο. οἷον, Βριαρηο κόρα. ἔστι βριάρηος ἡ εὐθεῖα ὡς μονήρης. ἡ γενικὴ βριαρήου, καὶ θετταλικὴ γενική, βριαρήοιο, καὶ συγκοπῇ, βριαρήο.

Βρίακχος, θηλυκῶς ἡ βάκχη. ἡ βριαρῶς ἰακχάζουσα. Σοφοκλῆς. ἐπῳδὲ χερσὶν ἀγρὰν βρίακχον.

Βριήπυος, μεγαλόφωνος. βαρύφωνος. μέγα καὶ βαρὺ βοῶν. παρὰ τὸ βρι καὶ τὸ ἠπύειν, ὅ ἐστι φωνεῖν. ἢ μέγας,

Βρίζω, τὸ κοιμῶμαι. ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις Ἀγαμέμνονα. ἢ δῖον. Ἰλιάδος Δ. ἡσυχάζοντα, ἢ νυστάζοντα. καὶ ὑπνοῦντα, ἢ ἀμελοῦντα.

Βρίξαι, τὸ μετὰ βορὰν καὶ τροφὴν καθευδῆσαι. βορίξαι τινόν. σημαίνει καὶ τὸ ἀναπαύεσθαι καὶ καθεύδειν.

Βριζώ, θεὸς παρὰ Δηλίοις. παρὰ τὸ βρίζειν, ὅ ἐστι καθεύδειν. Βριζώ, θεὸς διὰ ἐνυπνίων μαντευόμενος.

Βρίκελος, ἔστι βαρβαρικὸν τὸ ὄνομα. τίθεται δὲ καὶ ἐπὶ προσώπων βαρβαρικῶν. καὶ εἴρηται οἱονεὶ βροτῷ εἴκελος, ἢ βριξὶν εἴκελος. βρίγες γὰρ ἔθνος βαρβαρικόν. ἄλλοι δὲ βρικέλλους τοὺς κελεύοντας. παρὰ τὸ βρι, καὶ τὸ κέλομαι. ἢ τοὺς ἰσοπόδας.

Βριμαίνω, σημαίνει τὸ ὀργίζεσθαι. παρὰ τὸ βρι, τὸ ὑπὸ ὀργῆς βαρύνεσθαι. λέγεται καὶ βριμῶ, ὅθεν καὶ βριμοῦσθαι καὶ βριμῆσαι. κἀμοὶ δοκεῖ παρὰ τοῦ τὸ βριμῶ περιῆχθαι τὸ βριμαίνω τὸ θυμοῦμαι. καὶ βριμωμένη, ὀργιζομένη.

Βριμώ, ἡ Φερσεφόνη. αὕτη δὲ λέγεται καὶ Ἑκάτη. Ἀπολλώνιος. Βριμὼ νυκτιπόλον χθονίην ἐνέροισιν ἄνασσαν. Ἑρμῆν ἐρασθέντα αὐτῆς κυνηγετοῦσαν, ἐθελῆσαι βιαίως μιχθῆναι, ἡ δὲ ἐνεβριμήσατο αὐτῷ. ὁ δὲ φοβηθεὶς ἀπέστη. καὶ ἐντεῦθεν Βριμὼ προσηγορεύθη.

Βρίσαι, νύμφαι οὕτω καλούμεναι. ἢ ὅτι βλίσαι. καὶ γὰρ μελισσουργίαν αὗται τὴν ἀρίστην ἐδίδαξαν. τροπῇ τοῦ λ εἰς ρ. ἢ παρὰ τὸ βρύειν, ὅ ἐστιν ἀνθεῖν τὴν ἐλαίαν. ἧς τὴν ἐργασίαν καὶ αὐτὴν ὑπέδειξαν ἀρίσταις γενέσθαι διὰ τῆς ἀμβροσίας. ἢ ἀπὸ τοῦ βρίξαι καὶ κατακοιμίσαι αὐτὸν, καὶ καταβαυκαλίσαι ὅτε ἐτιθήνουν αὐτόν. βρίσαι, τὸ ἐπελθεῖν βαρέως.

Βρισαῖος, οὕτως ὁ Διόνυσος. καὶ εἰ μὲν διὰ τοῦ ι, παρὰ τὸ βρίζειν ἐστίν. ὁ ὁρμητικός. εἰ δὲ διὰ τοῦ η, ἀπὸ κρᾶς Λεσβιακῆς κρήσης. ἧς μέμνηται Ἀνδροτίων. ὅτι τὸ ἱερὸν τοῦ θεοῦ ἐν τῇ Βρίσῃ φησὶν ἱδρῦσθαι ὑπὸ Μάκαρος.

Βριλησσός, ὄνομα τόπου τῆς Ἀττικῆς.

Βρίμη, ἡ ἰσχύς. Ἀπολλώνιος Ἀργοναυτικοῖς. Μηδείης ποτὲ βρίμη φαρμάκου. παρὰ τὸ βρι, γέγονε ῥῆμα βρίθω. ὁ μέλλων, βρίσω. ὅθεν ὀνοματικὸν ῥηματικόν, βρίμη. βαρύνεται. τὰ γὰρ εἰς μη λήγοντα ἑνὶ φωνήεντι παραληγόμενα, βαρύνεται. φήμη. τὰ δὲ ἔχοντα πρὸ τοῦ μ ἕτερον σύμφωνον, ὀξύνεται. γραμμή.

Βρισηΐς, ὁ ἥρως. οἷον, Κούρην Βρισῆος. παρὰ τὸ βρίθω τὸ βαρῶ, βρίσω, Βρισεύς. καὶ παρωνυμικῶς, Βρισηΐς, παρὰ τὸ βρίθω. παρὰ τὸ βαρεῖν τῷ κάλλει πάσας τὰς γυναῖκας. ἢ παρὰ τὸ βαρεῖν τοὺς Ἕλληνας. ἐβάρησε γὰρ καὶ ἔβλαψε τοὺς Ἕλληνας, διὰ τὸ λαβεῖν αὐτὴν τὸν Ἀγαμέμνονα.

Βριτόμαρτις, καὶ Ἄρτεμις καὶ νύμφη. Καλλίμαχος. Ἐλλόφονον Βριτόμαρτιν εὔσκοπον. τῆς δὲ θεοῦ Βριτομάρτιδος, ὅτι ταῖς Βρίσαις νύμφαις ὁ μάρτυς. καὶ Νεάνθης ἐν τῷ πρώτῳ περὶ τελετῶν φησὶ χρησμὸν δοθῆναι ὅτι ἐκ τῆς μήτρας τῆς Ἑκάτης γεννησόμενος, μεταστήσει τῆς βασιλείας αὐτόν. γεννηθείσης δὲ τῆς Ἑκάτης, τὰς συμπαρούσας νύμφας τῇ λεχοῖ ἀναβοῆσαι, βρίτον τουτέστιν ἀγαθόν. παρὰ τοῦτο δὴ τὸ ἐπίφθεγμα, ὠνομάσθαι τὴν θεόν.

Βρόδον, βρόδον ἐστὶ κατὰ διάλεκτον παρὰ τὸ ῥόδον. πλεονασμῷ τοῦ β. ὥσπερ ῥυτίδες, βρυτίδες. καὶ ῥίζα, βρίσδα κατὰ διάλυσιν τοῦ ζ. Βρόμος, κυρίως ὁ τοῦ πυρὸς ἦχος. πεποιημένη δέ ἐστιν ἡ φωνὴ κατὰ μίμησιν τοῦ ἀποτελουμένου ψόφου ἐν πυρί. οἷον, Τόσσος γε πέλει βρόμος πυρὸς αἰθομένοιο. ἢ παρὰ τὸ βρέμω, βρόμος. ὡς λέγω, λόγος. καὶ βρομήσει, φυσήσει. Διογένης.

Βρόμιος, ὁ Διόνυσος. παρὰ τὸν βρόμον. καὶ γὰρ τῆς Σεμέλης κεραυνωθείσης, ἡρπάγη ὑπὸ τοῦ Ἑρμοῦ, κατὰ βούλησιν τοῦ Διὸς ἐκ μέσου τοῦ πυρός.

Βροντή, παρὰ τὸν βρόμον, βρομή, καὶ βροντή. ἔμπυρος γὰρ οὖσα οὕτως ὠνόμασται.

Βρόταχος, τὸν βάτραχον Ἴωνες, καὶ Ἀριστοφάνης. καὶ παρὰ Ξενοφάνει. βάταχος, καὶ καθ' ὑπερβιβασμὸν, βράταχος, καὶ βρόταχος.

Βρότος, τὸ αἷμα, ἀπὸ τοῦ βροτοῦ. κυρίως γὰρ βρότος τοῦ ἀνθρώπου, καὶ οὐδέποτε ἄλλου ζώου. καὶ βροτόεντα, καὶ ἔναρα βροτόεντα. τὰ ᾑμαγμένα, ἢ ἡματωμένα. οἱ δὲ, βροτόεν τὸ λαμπρόν. σημαίνει καὶ χειμάρρουν.

Βροτὸς, ὁ ἄνθρωπος. παρὰ τὸ μείρω τὸ μερίζω, μέμορα, γίνεται μορτός. καὶ καθ' ὑπέρθεσιν καὶ τροπῇ τοῦ μ εἰς β, βροτός. ὁ μεμερισμένην ἔχων τὴν φωνήν. ἢ ὅτι καὶ βιβρώσκεται θανών. ἔστι δὲ συνώνυμον. ἄνθρωπος. βροτός. μέροψ.

Βροτολοιγέ, ἀνθρωποφθόρε. παρὰ τὸ βροτὸς, καὶ τὸ λοιγός. ὀξύνεται. τὰ γὰρ εἰς ος ὀνόματα δισύλλαβα ὀξύτονα, ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον. οἷον, κακός, ἄκακος. σοφός, ἄσοφος. φίλος, ἄφιλος. οἶκος, ἄοικος. ῥωμαϊκός, πολυρωμαϊκος. χωρὶς τῶν ἐπὶ ἐθνικῶν λαμβανομένων. οἷον, ἀχαιός, φιλαχαιός. βοιωτός, φιλοβοιωτός. καὶ χωρὶς τοῦ ἰατρός, ἀρχιατρός, καὶ ἀγακλεής. καὶ χωρὶς εἰ μὴ διὰ σημασίαν τινὰ φυλάττοιεν ἐν τῇ συνθέσει τὴν ὀξεῖαν τάσιν, ὡς τὸ βροτολοιγός, ἵνα φυλάττοιεν τὴν ἐνέργειαν. βροτολοιγὸς γάρ ἐστιν ὁ φθείρων τοὺς ἄνδρας. τούτου χάριν καὶ ὁ τόνος ἐφυλάχθη. ἂν γὰρ προπαροξύνοιτο, ἤμελλε παρέχειν ἔμφασιν ὅτι πάθος ἐστί. καὶ γὰρ τὰ προπαροξύτονα, χαίρουσιν ἀναλύεσθαι εἰς πάθη. ὥσπερ ἐπὶ τοῦ λιθόβολος ὁ λίθοις βληθείς. λιθοβόλος δὲ, ὁ λίθοις βάλλων. καὶ κάρατμος, ὁ τὴν κάραν τμηθείς. καρατόμος δὲ, ὁ τὰς κάρας τέμνων, οἷον, ἐπὶ δημίου. τὰ γὰρ παροξυνόμενα, σημαίνουσι τὴν ἐνέργειαν. οἷον, ἡ μὲν Γοργὼ λέγεται κάρατμος, ὡς ἀποτμηθεῖσα τὴν κεφαλήν. ὁ δὲ Περσεὺς καρατόμος, ὁ τῆς Γοργοῦς τὴν κεφαλὴν τεμών. τὸ δὲ κλειτὸς καὶ κλυτὸς, εἰ μὲν μετὰ ἁπλοῦ συντεθῇ ὑπὲρ μίαν συλλαβήν, φυλάσσει τὴν ὀξεῖαν τάσιν. οἷον, κλειτὸς, ἀγακλειτός. εἰ δὲ μετὰ πτωτικοῦ, ἢ ἁπλοῦ τοῦ μονοσυλλάβου, προπαροξύνεται. πρόκλειτος, ὀνομάκλυτος. τὸ δὲ δουρίκλυτος, ἐν παραθέσει.

Βρόγχος, ὁ λαιμός. ἢ βρόχος, ὃν καὶ φάρυγγα καλοῦσι. καὶ ἐπὶ τῶν ἰχθύων, τὰ βράγχια ἔχοντα. παρὰ τὸ βρέχω, βρόχος τίς ὤν. ὁ ἐν τῷ σιτεῖσθαι καὶ πίνειν βρεχόμενος. ἡ μὲν συνήθεια, βρόγχον καλεῖ. οἱ δὲ ἀρχαῖοι. βράγχον. ἔνθα καὶ βραγχίαν.

Βρόχος, ἐπὶ τοῦ σχοινίου. τὸ περιτιθέμενον ἐν τῷ λαιμῷ. κυρίως δὲ βρόχος λέγεται, ὃ εἰς τὰς ἀγκύρας ἐνημμένος. καὶ τὰ ἀπόγεια σχοινία, διὰ τὸ βρέχεσθαι. ἢ ὁ ἐπιτιθέμενος τῷ βρόγχῳ, ἤγουν τῷ λαιμῷ. τινὲς δὲ παρὰ τὸ τὸν βρόχον ἄγχειν. σκληρὸν δὲ τοῦτο.

Βροτὸς, ὡς μὲν Εὐήμερος ὁ Μεσσήνιος, ἀπὸ Βρότου τινὸς αὐτόχθονος. ὁ δὲ Ἡσίοδος, ἀπὸ βρότου τοῦ αἰθέρος, καὶ ἡμέρας. ἄλλοι δὲ ἀπὸ βρότου τοῦ αἵματος. θνηκθεὶς γὰρ αἱμόρρυτος φαίνεται. ἢ ὅτι ἡ τροφὴ τῶν ζώων, τὸ ἀπὸ ἥπατος ἐπὶ πᾶν μέρος φερόμενον αἷμα. οἱ γὰρ θεοὶ κατὰ ἀντιδιαστολὴν ἀναίμονές εἰσιν. ἢ παρὰ τὸ μείρω, μορτός. ὡς φθείρω, φθαρτός. καὶ τροπῇ βροτὸς, ὁ ὑπὸ μοίρᾳ πεπτωκώς.

Βρουμάλιον, παρὰ τὸ ἐξ ἀπορίων βρωμάτων τρέφεσθαι ἅλις. ἔστι δὲ ἡ λέξις ῥωμαϊκή.

Βυζάντιον, ἡ πόλις. διὰ τὸν Βύζαντα τὸν Θρᾴκης βασιλέα.

Βρυγμός, νόσος. ἀπὸ τοῦ τοὺς ὀδόντας πιέζοντα ψόφον ἀποτελεῖν. ὡς ἐν ῥίγει συμβαίνει. καὶ βρύκουσα, δάκνουσα. καὶ Ἱπποκράτης τὸ βρύκειν τοὺς ὀδόντας, ἐπὶ τῆς συνερείσεως τέθεικε. βρύκειν γὰρ τὸ λάβρως ἐσθίειν. ἀπὸ τοῦ τρίβειν τοὺς ὀδόντας.

Βρόχθος, τὸ ὀλίγον πόμα, καὶ ἡ φάρυγξ, δι' ἧς καταπίνομεν. Θεόκριτος. Ὡς μέλι τοι γλυκὺ τοῦτο κατὰ βρόχθοιο γένοιτο. παρὰ τὸ βρέχω, βέβροχα, βρόχος. καὶ βρόχθος, κατὰ πλεονασμόν. τὸ γὰρ πινόμενον, βρέχει. καὶ τὸ πῖνον ὄργανον, βρέχεται. πεποιημένη δέ ἐστιν ἡ λέξις. ἀπὸ τοῦ γινομένου ποιοῦ ἤχου ἐν τῷ καταπίνειν.

Βρωμήτης, χορτοφάγος. καὶ ὄνος διὰ λιμὸν ὀγκούμενος.

Βρῶσις, παρὰ τὸν βρώσω μέλλοντα, γίνεται βρῶσις, ἡ τροφή. ὡς λέξω, λέξις. καὶ βρώμη. ὡς κωλύσω, κωλύμη. καὶ φιλήσω, φιλήμη. σημαίνει δὲ τὴν βρῶσιν. οἷον, Μνησόμεθα βρώμης. καὶ βρῶμα, παρὰ τὸν βρώσω μέλλοντα. βρῶ γὰρ τὸ ἐσθίω, ἐνεστώς.

Βροῦχος, εἶδος ἀκρίδος. παρὰ τὸ βρύκειν τὸ ἐσθίειν, βρύκος. καὶ βροῦχος, κατὰ πλεονασμὸν τοῦ ο. τὸ αὐτὸ δὲ καὶ μάσταξ καλεῖται, παρὰ τὸ μασᾶσθαι. Νίκανδρος. Μάστακι στὸ βόρῳ ἐναλίγκιος. Κλείταρχος δέ φησιν ὅτι κατὰ Ἀμβρακιώτας, μάσταξ καλεῖται.

Βρυγμός, ἡ σύντριμμος ἐδωδή. ἢ τρισμὸς ὀδόντων. ἢ μύλων ἀκόνησις. ἢ ἀκρίς. ἐκ τοῦ βρύκω, βρυγμός. ὡς νύσσω, νυγμός.

Βρύκω. παρὰ τὸ βορὰν, βορύκω, καὶ βρύκω, τὸ ἐσθίω. ἐκ τούτου βρυκανός. ὡς πείθω, πιθανός. ἵκω, ἱκανός. καὶ ὡς πεύκη, πευκανός, καὶ πευκεδανός, οὕτω καὶ βρύκω, βρυκεδανός. ὁ πολυφάγος. ἢ μακρός. σημαίνει δὲ τὸ ῥῆμα, τὸ συνερείδειν τοὺς ὀδόντας μετὰ φόβου.

Βρύτια, ἃ καὶ βρύτεα. τὰ τῆς σταφυλῆς πιέσματα. ἅ τινες, στέμφυλα λέγουσι. παρὰ τοὺς βότρυς, βρύτια. οἱ δὲ Ἀττικοί, τὰ τῶν ἐλαιῶν ἀλέσματα.

Βρύττοντες, οὕτως οἱ Ἀθηναῖοι τοὺς πυρέττοντας ἔλεγον. παρὰ τὸ βρεύχειν, ὅ ἐστιν ὁ πυρετός. εἰς δὲ τὸ ἐκτρινὸν λεξικὸν, εὗρον σημαίνουσαν τὴν λέξιν, ἀντὶ τοῦ ὀρύττοντες.

Βρύπτειν, ἐσθίειν. Διογενιανός. εὗρον ἐγώ:—

ΤΟ ΒΗΤΑ ΜΕΤΑ ΤΟΥ Υ.

Βύβλος. πόλις Φοινίκης ἀρχαιοτάτη. εἴρηται ὅτι τὰ ἐν αὐτῇ τιθέμενα βιβλία, ἄσηπτα διαφυλάττεται. οἱ δέ φασιν ὅτι, Ἶσις ἀπὸ τῆς Αἰγύπτου παραγινομένη, κλαίουσά τε τὸν Ὄσιριν, τὸ διάδημα τῆς κεφαλῆς ἐκεῖσε ἀπέθετο βύβλινον ὑπάρχον, ἀπὸ τῆς ἐν τῷ Νείλῳ φυομένης βύβλου. Ἡσίοδος Βύβλον τ' ἀγχίαλον, καὶ Σιδῶν' ἀνθεμόεσσαν. τὸ ἐθνικὸν, Βύβλιος, καὶ Βυβλίας.

Βύβλιον καὶ βιβλίον διαφέρει. βύβλιον λέγεται τὸ ἄγραφον. οἷον, ἐπὶ τὸ βυβλίον σου ταῦτα γράψαι. δηλονότι ἄγραφον. βιβλίον δὲ τὸ γεγραμμένον. ἔστι δὲ καὶ ὄνομα πόλεως. ἐξ οὗ καὶ βύβλινος οἶνος. ἀπὸ Βύβλου πόλεως.

Βύζην, ἱκανῶς καὶ δαψιλῶς. ὡς τὸ χύδην. βεβυσμένος.

Βυκχίς, ὄνομα αἰολικόν. παρὰ τὸ Βάκχος, Βακχίς, καὶ Βυκχίς. ὡς ἵππος, ἱππίς. καὶ οἶκος, οἰκίς. καὶ τροπῇ τοῦ α εἰς υ.

Βύκτης. ὁ ἠχητικός. ὁ μεγάλα υ. ὡς βάθος, βυθὸς ἠχῶν. Ὅμηρος. Βυκτάων ἀνέμων. καὶ Λυκόφρων. Βύκτας ἐν ἀσκῷ συγκατακλείσας βοός. παρὰ τὸ βύω. βέβυσμαι. παράγωγον, βύζω. ὁ παρακείμενος, βέβυκται. ἐξ αὐτοῦ, βύκτης. ἢ πεποίηται ἀπὸ τοῦ βυθοῦ, καὶ τὸ ἀράττειν. ἢ παρὰ τὸ βυ, βύκτης. τὸ γὰρ βυ, ἐπὶ τοῦ μεγάλου ἔλεγε. καὶ Σώφρων, βύβα ἀντὶ τοῦ μεστὰ καὶ πλήρη καὶ μεγάλα βύζειν. εἰς τὸ νῆμα.

Βυούσης. μύω, τὸ καμμύω. ὁ μέλλων, μυσῶ. τροπῇ τοῦ μ εἰς β, βυσῶ. καὶ μετάγεται εἰς ἐνεστῶτα. βυσῶ, βυσεῖς. ἡ μετοχή, βυσῶν, βυσοῦσα.

Βύνη, ἡ Λευκοθέα ἡ Ἰνώ. οἷον, Βύνης καταλέκτριαι αὐθηέσης. εἴρηται παρὰ τὸ εἰς βυθὸν δύνειν, βυθοδύνη, καὶ κατὰ συγκοπὴν, δύνη. ἢ παρὰ τὸ δύνω, δύνη. ἡ κατάδυσα

θάλασσαν. καὶ βύνη κατὰ συγκοπήν. ἢ οἷον θαλάμη. ἢ πεύκη, ὡς παρὰ λυκόφρονι.

Βύρσα, παρὰ τὸ δείρω, τὸ ἐκδέρω. ὁ μέλλων αἰολικῶς, δέρσω, καὶ δέρσα. καὶ βύρσα, ἡ ἐκδερομένη τῶν σωμάτων. ἢ παρὰ τὸ ῥύω, ῥύσα. καὶ πλεονασμῷ τοῦ β, βύρσα κατὰ ὑπερβιβασμόν. ἢ παρὰ ἐρρεομένη τῷ ἱδρῶτι.

Βυρσοδέψης, παρὰ τὸ δέψω, ὅ ἐστιν ἁπαλῦναι. ὁ αὐτὸς δὲ καὶ σκυτοδέψης καλεῖται.

Βυθός, τὸ ἄφατον βάθος. κατὰ συγκοπὴν τοῦ α εἰς υ. ἢ παρὰ τὸ βύζω, βυσὸς καὶ βυθός. κατὰ τροπὴν τοῦ θ εἰς σ καὶ πλεονασμῷ ἑτέρου σ, γίνεται βυσσός. τὸ βάθος.

Βύσσος, εἶδος βοτάνης. ἐξ οὗ καὶ τὰ ἀπ᾽ αὐτῆς βαπτόμενα ἱμάτια, βύσσινα λέγονται.

Βύζαντες, λίβυες περὶ καρχηδόνα τῆς λιβύης ἔθνος. ἀφ᾽ οὗ ἡ πόλις, βυζάντιον. καὶ βυζάντιοι ἐν λιβύῃ. βυζάντιον δὲ τὸ ἐν θράκῃ βασίλειον. πόλις διασημοτάτη πρὸς τῇ προποντίδι. πρὸς τῷ μέρει τῆς εὐρώπης. ἐκλήθη δὲ ἀπὸ βύζαντος τοῦ κρεούσης τῆς ἰοῦς θυγατρὸς καὶ ποσειδῶνος. ἢ ὅτι τοῦ στόλου βύζης ἦν ἡγεμών. μετωνομάσθη δὲ κωνσταντινούπολις καὶ νέα ῥώμη. τὸ ἐθνικὸν, κωνσταντινουπολίτης ἄνευ τοῦ υ. τὸ κτητικὸν, βυζάντεια δὲ χαλκώματα.

Βυσσοδομεύω. Δόλον φρεσὶ βυσσοδομεύων. ὁ ἐν ἑαυτῷ ἐν βάθει διαλογιζόμενος. καὶ κεκρυμμένα βουλευόμενος, ἢ ἐνθυμούμενος. βυσσοδομεῖν, ἐν βυθῷ τινὶ οἰκοδομεῖν. παρὰ τὸν βυσσὸν, καὶ τὸ δέμω τὸ οἰκοδομῶ. τὸ ἐν βάθει κατασκευάζειν. ὡς τεμεῖν πρότερον γνωσθῆναι, πρὶν ὑπερέχειν ἄνω.

ΤΟ ΒΗΤΑ ΜΕΤΑ ΤΟΥ Ω

Βώκαρος, τὸ ἔαρ ὑπὸ βοιζηνίων. παρὰ τὸ τῷ βίῳ χαρὰν φέρειν. βώχαρος, καὶ βώκαρος. καὶ ποταμὸς δὲ σαλαμῖνος οὕτω καλούμενος.

Βῶλος, ἡ γῆ. παρὰ τὸ βίῳ τὸ τρέφω. ὅθεν καὶ βώστρον. ἐξ αὐτοῦ βῶλαξ. ὡς λίθος, λίθαξ. ἢ παρὰ τὸ ὑπὸ τῶν βοῶν ἀλοᾶσθαι κοπτομένη ἡ γῆ. ἢ παρὰ τὸ πωλεῖσθαι καὶ συνεχῶς παρ᾽ αὐτῶν στρέφεσθαι. πῶλος καὶ βῶλος. ἢ ὅτι βαλλόμενος λύεται.

Βωμός, σημαίνει δύο. τέμενος. ἱερὸν ὅπου θύουσι τοῖς θεοῖς. παρὰ τὸ βῶ τὸ βαίνω. ὁ βεβηκὼς καὶ ἱδρυμένος τοῖς θεοῖς πρὸς θυσίαν. τίθεται γὰρ τὰ ἱερὰ ἐπ᾽ αὐτῷ. ἢ παρὰ τὸ βαίνειν τὸ αἷμα ἐν αὐτῷ. δηλοῖ δὲ καὶ τὴν βάσιν ὡς παρὰ ὁμήρῳ. Ἅρματα δ᾽ ἂμ βωμοῖσι τίθει. παρὰ τὸ βῶ, ὅπου τὰ τιθέμενα βέβηκε.

Βωμολόχοι, κυρίως ἐλέγοντο οἱ ἐπὶ τῶν θυσιῶν ἐπὶ τοῖς βωμοῖς λοχῶντες. ὅ ἐστι καθεζόμενοι, καὶ μετὰ κολακείας προσαιτοῦντες. οὕτω γὰρ ὑπὲρ τοῦ λαβεῖν τι παρὰ τῶν ἀποθυόντων, πολλὰ λιπαροῦσι κολακεύοντες. μεταφορικῶς δὲ καὶ οἱ παραπλησίως τούτοις ἕνεκα ὠφελείας τινὰ κολακεύοντες ἄνθρωποι. εὐκόλοι καὶ ταπεινοὶ καὶ παντοῖον ὑπομένοντες ἐπὶ κέρδει διὰ τὸ παίζειν τε καὶ σκώπτειν. ὅθεν καὶ βωμακεύματα, καὶ βωμολοχεύματα. ἔτι δὲ καὶ οἱ παραλαμβανόμενοι ταῖς θυσίαις αὐληταὶ καὶ μάντεις. ἀπολλόδωρος δὲ ὁ κυρηναῖος, τὸν εὐτράπελον, καὶ γελωτοποιόν. τινὲς δὲ τὸν μετά τινος εὐτραπελίας κόλακα. καὶ τὸν πανοῦργον Βωμολοχίαις, Οὐ συνήθης ἐμοὶ ⟨καὶ συκοφάντην⟩. γε βωμολοχίαις καὶ γλίσχραις ἐλπίσιν ἐγκαλλωπίζεσθαι. κολακείαις, γελωτοποιίαις.

Βώμαξ, ὁ βωμολόχος. ὁ τὰ ἀπὸ τῶν βωμῶν πρὶν καρπωθῆναι αἴρων. τάσσεται δὲ καὶ ἐπὶ τῶν μαλακιζομένων. λέγεται καὶ βώμαξ ὁ μικρὸς βωμὸς ὑποκοριστικῶς. οὕτω πρότερον ἐκαλεῖτο ὁ εὐρώτας. εἴρηται παρὰ τὸ βοὸς μυκηθμὸν παραπλήσιον ἔχειν.

Βωνίτης, σημαίνει τὸν βουκόλον. καλλίμαχος. Οἵους βωνίτησιν ἐνὶ κρύπτουσι γυναῖκες. διὰ τὸ ι, ὡς πολί⟨της⟩.

Βῶξ. παρὰ τὸ βοάζω, βοάξω, βόαξ. καὶ κατὰ συναίρεσιν, βῶξ. εἶδος ἰχθύος. σύνθετον δέ ἐστι μεταπεπλασμένου τοῦ διπλοῦ. ὥσπερ εἴκεσθαι τὸ βοῦ ἐπὶ τὰ τινὸς καὶ τὸ ὄψ. τοιοῦτος γάρ ὁ ἰχθύς. ὅμοιον καὶ τὸ κάλυξ, παρὰ τὸ καλύψω μέλλοντα. τὸ κεκαλυμμένον ῥόδον. ἡρωδιανὸς δέ φησι καὶ δισυλλάβως λέγεσθαι. ὡς ἀριστοφάνης. Ἀλλ᾽ ἔχουσι γαστέρα μεστὴν βοάκων. καὶ φερεκράτης. τέλη ῥεῖς. ἀλλὰ φωνὴν οὐκ ἔχει. σημαίνει ἰχθῦν γε φασὶ τὸ παράπαν. Νὴ τὼ θεὼ κοὐκ ἔστιν ἰχθὺς ἄλλος ἢ βόαξ. ἀριστοτέλης δὲ, ὅτι φωνὴν προΐεται. καὶ οὕτως ὠνόμασται.

Βώσεσθε, Πῶς τίμος βώσεσθε δυσάμμοροι. ἀπολλώνιος. σημαίνει τὸ βιώσεσθαι.

Βωστρεῖν, καλεῖν. βοᾶν. παρὰ τὸ βοῶ, βοάζω, βοαστής. εἶτα ῥῆμα βοαστρῶ. ὡς ἀπὸ τοῦ καλῶ. καλίζω, καλλιστής, καὶ καλλιστῶ.

Βώτορες, βοσκήτορες. νομεῖς. παρὰ τὸ βῶ ῥῆμα βέβοται, βότης, καὶ βοτήρ. ὡς ἐλάτης, ἐλατήρ. καὶ ἐπεκτάσει βώτωρ. ὡς μέντης, μέντωρ.

Βώτιον, χωρίον περὶ τὸ ἴλιον. εἰς ὃ κατα⟨κ⟩λιθεὶς ἀγαμέμνων ἐπεδώσατο τὴν ἄρτεμιν εὐμενῆ αὐτῷ γενέσθαι πλέοντι. καὶ ὠνόμασται οὕτως ἀπὸ τῆς αἰτίας ταύτης, βώτιον.

Βωτιάνειρα, ἡ βόσκουσα τοὺς ἄνδρας καὶ τρέφουσα. ὡς σωτὴρ, σώτειρα. καὶ δημήτηρ, δημήτειρα. οὕτως ἀνὴρ ἄνειρα. καὶ μετὰ τοῦ βῶ τὸ τρέφω, βωτιάνειρα, καὶ καλλιάνειρα.

Βῶ, σημαίνει τρία. τὸ τρέφω, ἐξ οὗ καὶ βοῦς. καὶ βόσις, ἡ τροφή. ὁ μέλλων, βόσω. βῶ τὸ πατῶ, ἐξ οὗ καὶ βότρυς. βῶ τὸ βαίνω, ἐξ οὗ ὁ μέλλων βήσω. καὶ βίβημι τὸ πορεύομαι. καὶ βῆμα, καὶ βῆσα. βῶ τὸ λέγω, ἐξ οὗ καὶ βάζω.

ΤΕΛΟΣ ΤΟΥ ΒΗΤΑ ΣΤΟΙΧΕΙΟΥ

ΙC

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ ΓΑΜΑ ΣΤΟΙΧΕΙΟΥ

ΤΟ ΓΑΜΑ ΜΕΤΑ ΤΟΥ ΑΛΦΑ

Γάμμα τὸ στοιχεῖον, παρὰ τὸ ἀμᾶν τὴν γῆν, ἤγουν θερίζειν. δρεπανῶδες γάρ ἐστιν. ὧ καὶ ὁ τύπος τοῦ γράμματος ὅ⟨μοιός ἐστι⟩.

Γάγαι, πόλις λυκίας. εἴρηται ὅτι ῥόδιοι λυκίοις αἰροῦντες τόπον ἐν ᾧ κατοικήσουσιν, ἐβόων γᾶ γᾶ τῇ πατρῴᾳ φωνῇ δωρίζοντες. καὶ ἐν τεῦθεν τὸ ὄνομα ἐτέθη τῇ πόλει. ἢ ὅτι νέμμος στρατηγῶν ῥοδίων, καὶ τοὺς λυκίων καὶ κιλίκων λῃστεύοντας κατὰ θάλασσαν νικήσας, νυκτὸς χειμῶνι περιέπεσε. καὶ κινδυνευούσης τῆς νεὼς τῶν ἐμπλεόντων ἀναβοησάντων τῇ δωρίδι φωνῇ γᾶ γᾶ, ἐκ τοῦ ἐπιφθέγματος προσέσχον καὶ ἐσώθησαν. ἡμέρας δὲ γενομένης κατὰ τὸν τόπον ἔκτισε πόλιν, καὶ ὠνόμασεν αὐτὴν ἀπὸ τῆς λεχθείσης φω⟨νῆς, Γάγαι⟩.

Γαγγαμών. παρὰ τὸ γῶ τὸ λαμβάνω, γίνεται γάζω. καὶ ὡς σκεδῶ σκεδάζω σκεδασμός. κλύζω κλυσμὸς καὶ κατακλυσμός, οὕτω γάζω, γασμός. καὶ κατ᾽ ἔλλειψιν τοῦ σ καὶ διπλασιασμῷ, γίνεται γαγγάμων γαγγάμονος. ἤ ἐστι δὲ τὸ λαμβάνον δίκτυον. ἔστι κυρίως γαγγάμη, σαγήνη, ἢ δίκτυον. ὅθεν καὶ οἱ σαγηνευταὶ γαγγαμουλκοὶ οἱ σαγηνεύοντες. καὶ γαγγαμεύς τις, ὁ τῇ γαγγάμῃ ἐργαζόμενος.

Γαγγαλίζω, παρὰ τὸ γελῶ, γελίζω. καὶ τροπῇ τοῦ ε εἰς α, γαλίζω. καὶ κατὰ ἀναδιπλασιασμὸν ἑτέρου γ, γαγγαλίζω, τὸ εἰς γέλωτα ἄγω.

Γάγγραινα, πάθος διαβρωτικὸν σαρκῶν. παρὰ τὸ γράω ὅ ἐστι τὸ ἐσθίω. καλλίμαχος. Αἰζηῶν ἔγραε κηδόμενος. ἀντὶ τοῦ ἤσθιεν. γίνεται γραῖνα. καὶ ἐν διπλασιασμῷ, ⟨Γάγγραινα⟩.

Γάδειρα, τὰ γάδειρα λέγονται πληθυντικῶς. ἀπὸ τῆς γῆς καὶ τοῦ δειρά. οἱονεὶ γῆς δειρά. τὰ γὰρ γάδειρα, τῆς γῆς ἐξοχή ἐστιν. εἰς τὸ γάλλος.

Γαζοφυλάκιον, θησαυροφυλάκιον. γάζα γὰρ ὁ θησαυρὸς εἰς τὸ ῥητορικόν. καὶ πλοῦτος καὶ ταμιεῖα γάζας. διο⟨νύσου⟩.

Γάκινος, ὁ σεισμὸς κατὰ ἀθηναίους. ὁ τὴν ⟨γῆν κι⟩νῶν. ἔστι δὲ καὶ ῥητορικὴ ἡ λέξις.

Γάλα, παρὰ τὸ γῦα καὶ τὸ ἄλλομαι. τὸ ἐκ τῶν γυίων ἀλ⟨λόμενον⟩.

Γαληψός, πόλις θράκης. ὠνόμασται δὲ ἀπὸ γαλήψου τοῦ ἐκ θάσου καὶ τηλέφης. ὁ πολίτης, γαλήψιος. τὰ δὲ εἰς ψος ὑπὲρ δύο συλλαβὰς, ὀξύνεται. σκινδαψός, ὀργάνου ὄνομα καὶ κύριον. τίθεται καὶ κατ᾽ οὐδενός. ὡς τὸ τραγέλαφος. χεραψός. καλυψός.

Γάλα. παρὰ τὸ καλὸν εἶναι εἰς ἀναστροφήν. κάλα, καὶ γάλα. ἐκ δὲ τοῦ γάλα, γαλήνη. ἡ πραεῖα καὶ ἐφεσταμένη θάλασσα. ἢ παρὰ τὸ γελᾶν γελάνη τις οὖσα. καὶ γαλήνη, ἡ πρᾶον ἔχουσα καὶ ἡδὺ θέαμα. ζήτει εἰς τὸ γάκινος.

Γαλαθηνός, ὁ ὑποτίτθιος καὶ ὑπομάζιος. ὥσπερ παρὰ τὸ δείσω μέλλοντα, γίνεται δεινός. κλείσω κλεινός, οὕτω καὶ παρὰ τὸ θήσω μέλλοντα, δηλοῖ τὸ θρέψω, γίνεται θηνός. καὶ ἐν συνθέσει μετὰ τοῦ γάλα, γίνεται γαλαθηνός. ὁ ὑπὸ γάλακτος τρεφόμενος.

Γαλατία, χώρα. ὠνομάσθη ὥς φησι τίμαιος ἀπὸ γαλάτου κύκλωπος καὶ γαλατείας υἱοῦ. ἢ διὰ τὸ ἐν αὐτῇ ὑπὸ καίσαρος αὐτοῦ στουκα καταλειφθῆναι γάλλους στρατιώτας, ἡ χώρα. ἡ δὲ πόλις, ἄγκυρα.

Γαλόω. οἱ μὲν λέγουσιν ὅτι ἐστὶ γάλως. εἶτα διαλύσει τοῦ ω, γάλοως. ὡς τὸ, Ἐξ αἰθούσης ἐπεὶ πότνια ἔβη. ὁ δὲ ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν λέγει ὅτι ἐστὶν εὐθεῖα ἡ γάλως. ἔστι δὲ ἡ ἀνδρὸς ἀδελφή. κλίνεται τῆς γάλω. ὁ κανών. τὰ δὲ βαρύτονα κατὰ ἀποβολὴν τοῦ σ κλίνονται. τῆς κέω. ἡ δοτική, τῇ γάλω. καὶ πλεονασμῷ τοῦ ο, γαλόω. διὰ τοῦ καταβιβάζειν τὸν τόνον, ἐπειδὴ οὐδέποτε ἐπὶ τέλους κειμένου τοῦ ω, τρίτη ἀπὸ τέλους τίθεται ἡ ὀξεῖα. χωρὶς τῶν ἀττικῶν. κλίνεται δὲ καὶ γάλως, γάλωτος, ὡς γέλως γέλωτος.

Γάλλυς, ὁ φιλοπάτωρ πτολεμαῖος. διὰ τὸ φύλλα κισσοῦ κατεστίχθαι, ὡς οἱ γάλλοι. ἀεὶ γὰρ ταῖς διονυσιακαῖς τελεταῖς, κισσῷ ἐστεφανοῦντο.

Γάλλος, ὁ τῇ μητρὶ τῶν θεῶν ὀργιαζόμενος. ὁ ἄλλος τις γενόμενος καὶ μεταβαλὼν τὴν φύσιν ἐξ ἀνδρῶν. καὶ οὔτε ἀνὴρ ὢν, οὔτε γυνή. ἐξετέμνοντο γὰρ οἱ τελούμενοι τῇ θεῷ. ἢ ἀπὸ γάλλου ποταμοῦ τῆς φρυγίας παρ᾽ ὃν ἐτελοῦντο.

Γάδειρα, ἢ ὥς φησι κλαύδιος ἰούλιος ἐν ταῖς φοινικικαῖς ἱστορίαις. ὅτι ἀρχέλεως υἱὸς φοίνικος κτίσας πόλιν ὠνό⟨μασε⟩

ETYMOLOGICUM MAGNUM GRAEC

μασε τὴν φοινίκων γραφήν. γάδδιν γὰρ παρ᾽ αὐτοῖς, τὸ ἐκ μικρῶν ὠνοδομημένον.

Γαλεάγρα, ἡ τῶν θηρίων ὑποδοχή. Γαλερὸν, ἱλαρόν. ἡδύ. πρᾶον. τάσσεται δὲ ἐπὶ βλεμμάτων. καὶ γαλερωπὸς, ὁ γαλερὸν καὶ ἐπιτερπὲς βλέπων.

Γαλιάγκων, ὁ τὸν βραχίονα ἐλάττω ἔχων.

Γάλωνες, χῶμα ἵππων τὸ ὀνομασθέν. τὰ περὶ φράγματα φοίνικες.

Γάμος. παρὰ τὸ δαμῶ τὸ δαμάζω, γίνεται δάμος, καὶ γάμος. ὁ δαμαστικὸς τῶν θηλειῶν. ὅθεν καὶ τὰς παρθένους ἀδμῆτας λέγει ὅμηρος. οἷον, Παρθένος ἀδμής. οἱ δὲ, παρὰ τὸ γυναῖκα γάμος. ἐτυμολογοῦσι δὲ παρὰ τὸ δύο ἅμα εἶναι, κατὰ μετάθεσιν τοῦ δ εἰς γ. γαμβρὸν δὲ τὸν νυμφίον, ἢ τὸν κατ᾽ ἐπιγαμίαν οἰκεῖον. ἐναλλάσσεται δὲ τὸ ὄνομα πολλάκις. σοφοκλῆς δὲ τὸν πενθερὸν ἀντὶ τοῦ γαμβροῦ λέγει.

Γαμησείω, διὰ τῆς ει διφθόγγου. ἀπὸ τοῦ γαμήσω μέλλοντος. καθόλου γὰρ τὰ ἀπὸ ἐνεστώτων ἢ μελλόντων διὰ τοῦ σείω γινόμενα παράγωγα ὑπὲρ δύο συλλαβὰς, διὰ τῆς ει διφθόγγου γράφεται. οἷον, ἀπὸ μὲν ἐνεστώτος, ὀλῶ, ὀλείω κιχῶ, κιχείω. κρατῶ, κρατείω. ἀπὸ δὲ μελλόντος, ὄψω, ὀψείω. βρώσω, βρωσείω. οὐ κανονίζεται ἡμῖν τὸ ψῶ ψίω, τὸ ἐμβρωματίζω. ἐπειδὴ οὐκ ἔστιν ὑπὲρ δύο συλλαβάς.

Γαμηλία, ἡ εἰς τοὺς φράτορας διδομένη ἐγγραφή, καὶ εἰσαγωγὴ ἐπὶ γάμοις, ἣ ὠνόμαζον καὶ κουρεῦτιν. οἱ δὲ φασὶ γαμηλίαν θυσίαν, ἣν ἔθυον τοῖς δημόταις οἱ εἰς τοὺς ἐφήβους ἐγγραφόμενοι καὶ μέλλοντες γαμεῖν. ἐγίνετο δὲ ἡ θυσία τῇ ἥρα καὶ ἀφροδίτῃ. καὶ χαρισι.

Γαμηλίαι, αἱ ἐπὶ τοῖς γάμοις ἑορταί. λυκόφρων. Καὶ γαμηλίους ἀεξιθυηλάς.

Γαμήλια, παρὰ τὸ γαμῶ, γαμήσω, γαμήλια. ὥσπερ δημῶ δημήσω, δημήλια. καὶ θεμήλια. καὶ ὡς παρὰ τὸ κατοικῶ κατοικήσω κατοικήσια, καὶ κατοικέσια. ἔστι δὲ θυσία τοῖς ἐν τῷ δήμῳ θεοῖς. ἡ εἰς τοὺς φάτρας ἐγγραφὴ τῶν ἐφήβων, γαμηλία ἐλέγετο. γαμήλιος, ὁ εἰς τοὺς γάμους πλακοῦς, πλακουντοποιούμενος πλακοῦς.

Γαμβρὸς, παρὰ τὸ γαμῶ, γαμηρός. καὶ κατὰ συγκοπὴν καὶ πλεονασμὸν τοῦ β. ἢ παρὰ τὸ γάμος.

Γαμψὸς, ὁ κεκαμμένος. παρὰ τὸ κάμπτω, κάμψω, γαμψός. τροπῇ τοῦ κ εἰς γ. ὡς καμψώνυχες, γαμψώνυχες.

Γαμφηλὴ, ἡ γνάθος. ἡ σιαγών. παρὰ τὸ κάμπτω, γάμπτω. καὶ ὥσπερ παρὰ τὸ θάπτω, γίνεται ταφὴ, οὕτω καὶ παρὰ τὸ γάμπτω, γαμφὴ, καὶ γαμφηλή.

Γάνος, παρὰ τὸ γανῶ τὸ λαμπρύνω, γίνεται γάνος. λαμπρὸν γανόωντες. καὶ γεγανωμένος. καὶ γάνυται δέ γε τοῖς ἐνοσίχθων. χαίρει καλλωπίζεται. παρὰ τὴν γῆν, γῶ γανῶ. τὴν θάλλουσαν τοῖς φυτοῖς. τὴν λαμπρὰν καὶ χαρᾶς ἡμῖν αἰτίαν γενομένην.

Γανυμήδης, ὁ ἥρως ὁ οἰνοχόος. παρὰ τὸ γάνος μήδεσθαι τῷ διΐ. ὅπερ ἐστὶ τὸ πόμα τὸ λαμπρόν. εὐριπίδης. Ὁ ποῦ βότρυος ἐν δαιτὶ γίνεται γάνος. ἢ παρὰ τὸ γάνυσθαι τοῖς μήδεσι συνετοὺς ὥς εὐμήδης.

Γαργαλίζει, κινεῖ. ὑποσαίνει. προτρέπει. ἐρεθίζει. καὶ γαργαρίζει, ἐρεθίζει ἀπὸ τοῦ στόματος ὥστε ἐμέσαι.

Γάργαρος, πόλις τῆς ἴδης ἐν ὑψηλῷ τόπῳ κειμένη. ἣν κατῴκουν λέλεγες. ἐξῆς διὰ τὸ κρυῶδες ὑποκατέβησαν οἱ γαργαρεῖς, καὶ ᾤκησαν αὐτὴν ὑπὸ πεδίον γάργαρον. ἐκείνη δὲ ἐρημωθεῖσα, καλεῖται παλαιὰ γάργαρος. ὠνόμασται δὲ ἀπὸ γαργάρου τοῦ διός. ὥς δηλοῖ νυμφίος ὁ φιλόσοφος. οὕτως ἐπαφόδιτος ἐν ὑπομνήματι θ ἰλιάδος, παρατιθέμενος κλείταρχον αἰγινήτην λεξικογράφον. ἄλλοι δὲ ἀπὸ τοῦ γαργαρίζειν καὶ ἀναδιδόναι τὰ ὕδατα. ἀπὸ μεταφορᾶς τοῦ ἐν τοῖς σώμασιν ἡμῶν γαργαρεῶνος. καὶ γὰρ τὸ σῶμα τοῦτο ἀπὸ πάχεος εἰς λεπτὸν καὶ ὀξὺ λήγει.

Γαργαρεὼν, ὥσπερ ἀκροπάτης ἡ λεγομένη σταφυλή. ἀπὸ τοῦ ἤχου τοῦ γινομένου ἐν τῇ θεραπείᾳ αὐτῆς. ὥς δὲ σύρανος, τὸ ἄκρον τῆς λάρυγγος. ἀπὸ τοῦ ὁμοφαδοῦς ἤχου τοῦ ἐν τῇ καταπλώσει γινομένου.

Γαρίμας, ἐκ τοῦ μαρίκας. ἢ ἐκ τοῦ γαρίκας τὸ μαρίκας. βάρβαρον δὲ τὸ ὄνομα, καὶ ἡ κλίσις, καὶ ὁ τόνος. ἡρωδιανὸς περὶ παθῶν.

Γάρνον, τὸ ἔσω τῆς πλήμνης σιδήριον. ὃ τὸν ἄξονα τρίβει.

Γάστριον, πέμμα τι σησαμῶδες, παρὰ κρησί.

Γαυσὸν, σκαμβόν. χωλόν. στρεβλόν. διεστραμμένον. γαυλοὶ λέγονται καὶ τὰ φοινικὰ πλοῖα. καὶ γαυλιτικὰ χρήματα παρὰ ξενοφῶντι, τὰ ἀπὸ τῶν πλοίων.

Γαφάγας, σκώληξ. ὑπὸ συρακουσίων. ὁ ἡμεῖς ἔντερον. καὶ γηφάγοι, οἱ πένητες. ἄποροι. ὥς τὰς ἐκ γῆς βοτάνας σιτιζόμενοι, τροφῆς ἀμοιροῦντες.

Γαστερόχειρες καὶ ἐγχειρογάστορες, οἱ ἀπὸ χειρῶν ζῶντες. καὶ γαστέρες, οἱ τροφῆς μόνης ἐπιμελούμενοι. καὶ γαστρίδες, οἱ τὰς ἔλμινθας ἔχοντες.

Γαστὴρ, παρὰ τὸ γῶ τὸ λαμβάνω καὶ δέχομαι, γίνεται γαστήρ. ἡ πάντα τὰ τοῦ βίου μὴ πληρουμένη λαμβάνουσα. ἐκ τοῦ γαστὴρ, γίνεται γάστρα. ἡ εἰς κύτος γινομένη τοῦ λαμβάνειν γάστρην μὲν τρίποδα.

Γαστρίζεσθαι, λαμπρότερον τρέφεσθαι. λαμπρῶς διαιτᾶσθαι. γάστρις γὰρ ὁ πολυφάγος καὶ ἀκρατὴς περὶ τὴν γαστέρα.

Γαστρίμαργος, πόθεν ἐτυμολογεῖται. οὐδεὶς οὔτε γραμματικῶν οὔτε ῥητόρων ἐμνημόνευσεν. ἀριστοτέλης δὲ ἐν τῷ περὶ ζώων μέμνηται. ζῷον μάργον λέγων. καὶ ὅτι γίνεται ἀπὸ σήψεως, μεταξὺ τῆς γῆς καὶ τοῦ ὕδατος. καὶ ἀφ᾽ οὗ γεννηθῇ, οὐ παύεται γηΐφαγον, ἕως οὐκ ἐκτριβήσαν τὴν γῆν, εἰς ἐπιφάνειαν ἔλθοι. καὶ ἐλθὸν, θνήσκει τρεῖς ἡμέρας. ἔρχεται γὰρ νέφος βροχῆς καὶ βρέχει ἐπάνω αὐτοῦ. καὶ ἀναζῇ μηκέτι γηΐφαγον. καὶ ἐκ τούτου οἱ μετὰ τοὺς ἀρχαίους φιλοσόφους ἑρμηνεύοντες, τοὺς πολυφάγους γαστριμάργους ἐκάλεσαν. δύναται δέ τις εὐσεβῶς τοῖς οὖσιν ἐπιλαβεῖν τὰ εἰρημένα. πᾶν γὰρ πάθος, ἀπὸ σήψεως γίνεται. καὶ ἐπὰν γεννηθῇ, οὐ παύεται ἐσθίον τὴν ὑποστήσασαν καρδίαν, ἕως ἂν διὰ τῆς γνωστικῆς ἕξεως, εἰς φανέρωσιν ἔλθοι. καὶ ἐλθὸν, θνήσκει ταῖς τρισὶ δυνάμεσι τῆς ψυχῆς. καὶ οὕτως ἡ χάρις τοῦ ἁγίου πνεύματος διὰ νέφους τῆς διδασκαλίας ἐπιφανεῖσα, σταλαγμοὺς δίδωσι γνώσεως καὶ ζωοποιεῖ. οὐ κατὰ τὸ πρότερον ἐμπαθῆ ζωὴν, ἀλλὰ κατὰ τὸ ἐπ᾽ ἀρετῇ καὶ θεῷ οἰκείαν.

Γαῦλος, ποιμενικὸν ἀγγεῖον. ἢ κάδος, εἰς ὃ τὸ γάλα δέχονται. παρὰ τὸ γῶ τὸ χωρῶ, γίνεται γάζω. γάλος. καὶ γαῦλος. καὶ οὐ πάντως δεῖ παρὰ τὸ γάλα λαμβάνειν. λέγεται δὲ καὶ φοινικῆς γαῦλος, διὰ τὸ πλεῖστα δέχεσθαι, ὥς φησιν ἡρόδοτος ἐν τῇ τρίτῃ τῶν ἱστοριῶν. ἔστι δὲ εἶδος πλοίου λῃστικοῦ, ἥτις καὶ λίβυρνος καλεῖται. ἢ γύαλος κοῖλος ὤν. τουτέστι κοῖλος. λέγεται καὶ ἀντλητήριον τι.

Γαῦρος, ὁ ἐπηρμένος καὶ τεθαρσημένος. παρὰ τὸ γαίω τὸ γαυριῶ, γίνεται γαῦρος. καὶ τροπῇ τοῦ ι εἰς υ. ὡς κλαίω, κλαύσω.

Γαίω, τὸ γαυριῶ. παρὰ τὸ γαῖα. μεγάλη γάρ ἡ γῆ. τὸ δὲ γαῖα, παρὰ τὸ γῶ, τὸ χωρῶ. ἡ χωρητική. ὡς παρὰ τὸ μῶ τὸ ζητῶ, μαῖα. καὶ παρὰ τὸ ἔρω τὸ φθείρω, ἔραια καὶ γραῖα πλεονασμῷ τοῦ γ. τὰ δὲ ἀπὸ περισπωμένων μονοσυλλάβων ῥημάτων διὰ τοῦ αια γινόμενα θηλυκὰ, διὰ τῆς αι διφθόγγου γράφεται. οἷον, μῶ, μαῖα. γῶ, γαῖα. τὸ α βραχύ. διατί. πᾶν θηλυκὸν εἰς α λῆγον, ὀξυνόμενον ἢ περισπώμενον, ἐκτείνει τὸ α. προπαροξυνόμενον δὲ ἢ προπερισπώμενον, συστέλλει αὐτό. ἢ τὰ διὰ τοῦ αια παράγωγα ὑπὲρ δύο συλλαβάς εἰσι, καὶ ἐκτείνονται. τὸ δὲ μαῖα, γαῖα, διήλλαξε καὶ περὶ

Γαῖα. ἔστι γῶ σημαῖνον τὸ τίκτω. δηλοῦ τὸ χθόνιον. γίνεται διὰ τοῦ ε ψιλοῦ. οἱονεὶ ἡ γεννητική. ἐκ ταύτης, γεωμέτρης. γεώλοφος. γεωργός. τὰ δὲ εἰς α λήγοντα ἐν τῇ κατ᾽ ἀρχὴν συνθέσει, φυλάττει τὸ α ἢ τρέπει αὐτό. ὁ πυροπώλης. γεωμέτρης. γεώλοφος. ἔστι δὲ ὄρος ὕψωμα γῆς. καλοῦσι δ᾽ οὕτω καὶ τὸν παχὺν καὶ ἀναίσθητον ἄνθρωπον. ἐκ τοῦ ἐρητρικοῦ. τὸ δὲ γέα, κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς η, γίνεται γῆ. ἐκ τούτου γίνεται ἄλλη παραγωγὴ διὰ τῆς αι διφθόγγου γαῖα. ὡς περισελήνη σεληναία. ἀθήνη, ἀθηναία. ἀλλ᾽ ἀντιλέγεται σέργιος ὁ γραμματικὸς λέγων ὅτι οὐκ ἐκ τοῦ γῆ ἐστὶ τὸ γαῖα, ἀλλ᾽ ἀπὸ τοῦ γαίω.

Γαιήοχος, ἀπὸ τοῦ τὴν γαῖαν ἔχειν, γίνεται γαιόχος. καὶ πλεονασμῷ τοῦ η, γαιήοχος. ὁ ἐπὶ τῆς γῆς ὀχούμενος. περιλαμβάνει γὰρ αὐτὴν ὁ ὠκεανός. δεσπότης γάρ ἐστι τῶν ὑδάτων. ἢ ὁ συνέχων καὶ βαστάζων τὴν γῆν. φασὶ γὰρ ἐπὶ ὕδατος αὐτὴν ἐστηρίχθαι. καὶ ἐννοσίγαιος λέγεται. τῇ γὰρ τοῦ ὕδατος παρὰ χθόνιον τινὰ μεταστάσει, γίνεται ὁ σεισμός. ἢ ὁ χαίρων τοῖς ἅρμασιν. ἵππιος γὰρ ὁ θεός. γαίειν γὰρ τὸ χαίρειν καὶ σεμνύνεσθαι.

Γαιήιος, πλεονασμῷ τοῦ η. ὡς τὸ νυσήιον, νυσήιον.

Γαιζῆται, οἱ γαλάται. παρὰ τὸ τὴν γῆν ζητεῖν. ἐκπεσόντες γὰρ τῆς ἑαυτῶν χώρας, πολλὴν γῆν περιῆλθον ζητοῦντες ὅπῃ οἰκήσουσιν. εὐφορίων ἢ πολυχαρίκ. ὅθεν καὶ γαιζῆται περὶ δείρεα χρυσοφορεῦντες.

Γαιοδόται, οἱ ἀρχιτέκτονες. ἢ οἰκονόμοι. παρὰ τὸ δεῖν, ὅ ἐστι τὸ μετρίζειν. οἱ τὴν γῆν διαμετρίζοντες. ὅ ἐστι διαγράφοντες εἰς οἰκήματα. καλλίμαχος. Γαιοδόται καὶ σπάρτα διηνεκὲς εὖτε βάλωνται.

Γαίων, ἱλαρός. γαυριῶν. τερπόμενος. γαίουσα δὲ ὑπερφρονοῦσα. γαίεσκον δὲ, ἔχαιρον.

Γαιός, ὁ ἐπίγειος ἄνεμος. Γαιὸν, τὸν ἐργάτην βοῦν. ἰταλιῶται δὲ καὶ ταραντῖνοι, γαῖον τὸν μισθὸν λέγουσι.

Γαῖσος, ἐμβόλιον σιδηρόν. ῥίκρων δὲ τὴν φωνὴν, τὰ ἐπὶ τῶν ἀκοντίων, ἃ οἱ ῥωμαῖοι καλοῦσι γαίσους.

ΤΟ ΓΑΜΑ ΜΕΤΑ ΤΟΥ Ε

Γεωπεῖναι, παρὰ ἡροδότῳ οἱ ὀλίγην γῆν ἔχοντες. οἱονεὶ πεινῶντες γῆν.

Γέγειος, ὁ ἀρχαῖος. παρὰ ὥρος. ἑκαταίῳ. Καὶ καλῶν ἡρόδοτος ὁ γέγειος ἔχει λόγος. καὶ ἡ χεῖ γέγεια ἄνθεα μηκωνόσστε. παρὰ τὸ γέα τὸ διὰ τοῦ ε ψιλοῦ, γίνεται κτητικῷ τύπῳ, γεῖος. καὶ διπλασιασμῷ καὶ συναιρέσει, γέγειος. ἢ παρὰ τὸ γέα, γέειος. καὶ πλεονασμῷ τοῦ γ, γέγειος.

Γεγάασι, γεγένηνται. ἀπὸ τοῦ γείνω, γέγονα, γεγόνασι, καὶ κατὰ συγκοπὴν καὶ πλεονασμὸν τοῦ α, γεγάασιν. ἐγεγάασιν. ἐκγεγένηνται. κατοικοῦσι.

Γεγανωμένος, λελαμπρυσμένος. ἢ χαίρων. ἢ διακεχυμένος. ἢ κεκαλλωπισμένος. καὶ γανωθεὶς, οἷον καλλωπισθείς. καὶ γανῶσαι, ἐπὶ τοῦ λαμπρῦναι. καὶ γανοῦν, λευκᾶναι. καὶ γανερὸν, λαμπρόν. λευκόν. καὶ γάνος, ὕδωρ. χάρμα. φῶς. λίπος. αὐγή. λευκότης. λαμπηδών. ὑπὸ δὲ κυπρίων, παράδεισος.

Γεγαυῖα. ῥῆμα γῶ, δηλοῦ καὶ τὸ γείνω. ὁ μέλλων, γήσω. ὁ παρακείμενος, γέγηκα. καὶ ὡς ἀπὸ τοῦ βέβηκα, βέβαα, οὕτω γέγηκα, γέγαα. ἡ μετοχὴ, ὁ γεγαὼς, τοῦ γεγαότος. τὸ θηλυκὸν, γεγαυῖα. ἑλένη διὸς ἐκγεγαυῖα. ἢ ἐκ τοῦ διὸς γεννηθεῖσα. καὶ τὸ γεγῶσα παρ᾽ αὐτό. καὶ ὢν γάρ ἐστιν ὁ λέγων. αἱ εἰς ως μετοχαὶ, εἰ μὲν ὦσιν ἀπαθεῖς, διὰ τοῦ ο κλινόμεναι, τὸ θηλυκὸν ἔχει διὰ τοῦ υια. εἰ δὲ κατὰ πάθος, τὴν κλίσιν μὲν ἔχει διὰ τοῦ ω. καὶ τὸ θηλυκὸν μεταποιοῦσιν εἰς α. ἑστὼς, ἑστῶσα. γεγὼς. γεγῶσα. ἀπὸ τοῦ γενῶ τὸ γίνομαι, ὁ μέλλων, γενήσω. ὁ μέσος παρακείμενος, γέγονα. ἀποβολῇ τοῦ ν γέγηκα. ἡ μετοχὴ, γεγαώς. τροπῇ τοῦ η εἰς α. καὶ ἔστι σεσημειωμένον τὸ γεγαὼς, μεμαώς. βεβαώς. ἑσταώς. ἃ περὶ κατὰ κρᾶσιν γίνεται, γεγὼς, γεγῶτος. μεμὼς, μεμῶτος. βεβὼς, βεβῶτος. ἑστὼς, ἑστῶτος. καὶ τὰ θηλυκὰ, γεγῶσα. μεμαῶσα. βεβῶσα. ἑστῶσα. καὶ τὰ οὐδέτερα διὰ τοῦ ω μεγάλου. τὸ γεγὼς, τὸ μεμὼς, καὶ τὰ ὅμοια. ζήτει εἰς τὸ κεκμηκότα.

Γεγωνεῖν, σημαίνει τὸ τὴν φωνὴν ἐξάκουστον ποιεῖν. παρὰ τὸ γνώω, καὶ ἐν ὑπερθέσει, γωνῶ. καὶ κατὰ ἀναδιπλασιασμόν, γεγωνῶ. οἱ γὰρ ἐξακουόμενοι, γνωστοί εἰσι. δίδυμος δέ φησι γεγωνεῖν εἶναι, τὸ εἰς πᾶσαν γωνίαν ἀφικνεῖσθαι τὴν φωνήν. ἢ παρὰ τὸ γνόω γνῶ, γέγνωκα. καὶ καθ' ὑπέρθεσιν καὶ αὔξησιν. γέγωνα, καὶ γεγωνὼς ἡμε-

Γεγωνέμεν. ἀπὸ τοῦ φωνῶ, τὸ ἀπὸ τοῦ φ   το χῆ. εἰς γ, γεγωνῶ, γεγωνήσω, γεγώνηκα. ἀπὸ τοῦ γωνῶ, γωνεῖν καὶ γεγωνεῖν κατὰ ἀναδιπλασιασμόν. καὶ ποιητικῶς, γεγωνέμεν. ἀπὸ τοῦ γνόω, ὅθεν καὶ τὸ γνώωσι, γίνεται μέσος παρακείμενος γεγωνώς. ἐκ βοῶν. κράζων. ἐκ τοῦ γωνῶ, μέσος παρακείμενος, γέγωνα. ἡ μετοχή, γεγωνώς. ἐξ αὐτοῦ γεγωνότερος συγκριτικόν. καὶ γεγωνότερον ἐπίρρημα, σημαίνει δὲ ἀκουστότερον. καὶ λαμπρότερον.

Γεγωνοκῶμαι, γυναῖκες, αἳ τὰς κώμας ἐμπιπλῶσαι

Γέλως, παρὰ τὸ γένυον ἄλλειν, ὅ ἐστι συ-   βοῆς. στρέφειν. περὶ γὰρ τὸ γένυον μύες τινὲς κινούμενοι, ποιοῦσι τὸν γέλωτα. ἢ παρὰ τὸ τὰ γυῖα λύειν, ὅ ἐστι τὰ μέλη. ἢ παρὰ τὴν ἕλην ὃ σημαίνει τὴν θερμασίαν. οἱ γὰρ θερμοί, πολλὰ γελῶσιν. ἢ παρὰ τὸ χέω, χέλως, καὶ γέλως. οἱ γὰρ γελῶντες, ἐκκεχυμένην ἔχουσι τὴν ψυ-

Γελοῖος, ὁ καταγελαστότατος. παρὰ τὸ γέλως   χήν. γελῶ, γελώϊος. ὡς πατρώϊος. καὶ βοιωτικῶς, γελοῖος. οἱ γὰρ βοιωτοὶ τὸ ω καὶ ι, εἰς τὴν οι δίφθογγον τρέπουσι. τὸ πατρώϊος, πατροῖος λέγοντες, καὶ τὸ ἡρώϊος, ἡροῖος. ἐξ οὗ καὶ γελοίϊον. τὰ διὰ τοῦ οιος ὀνόματα ὑπὲρ δύο συλλαβὰς ἅπαντα προπερισπᾶται. οἷον, παντοῖος. ἀλλοῖος. ἑταιροῖος. οἱ δὲ μεταγενέστεροι τῶν ἀττικῶν, τὸ γέλοιος, καὶ ὅμοιος, προπαροξύνουσιν οὐκ εὖ. γέλοιος λέγεται, ὁ γέλωτος ἄξιος. γελοῖος δέ, ὁ γέλωτος ποιός.

Γελαστὸς καὶ ἀγέλαστος. ὅμηρος. Δεῦτε ἵνα ἔργα γέλαστα καὶ οὐκ ἐπιεικτὰ ἴδησθε. διὰ δεῖ γελᾶν. καὶ ἀγέλαστα, ἐφ' οἷς δεῖ μὴ γελᾶν, ἀλλ' ὀργίζεσθαι. παρὰ τὸ γελῶ, γελάζω, γελαστός. ὡς πελῶ πελάζω, πελαστός. πλανῶ πλανάζω. καὶ συγκοπῇ, πλάζω.

Γεμέωσι δὲ πασάδες. γεμῶμαι, γεμῆτε, γεμῶσι. καὶ πλεονασμῷ ποιητικῶς τοῦ ε, γεμέωσιν. οὕτως ἡρωδιανός.

Γεγάμεν, γεγενῆσθαι. παρὰ τὸ γῶ γήσω, γέγημι. ἀπαρέμφατον, γεγάναι. καὶ δωρικῶς, γεγάμεν. ὡς τιθέναι, τιθέμεν.

Γεγυρωμένοις, ἢ γυρωκότας σώμασι. κεκαμμένοις.

Γέργυραν, αὐλήν, ἢ δεσμωτήριον.

Γέλα, πόλις σικελίας. ἀπὸ Γέλα τοῦ ποταμοῦ, ἐν ᾧ παράκειται ἡ πόλις. ἢ ὅτι ἀντίφημος ὁ δεινομένους ὁ ῥόδιος, κατὰ χρόνον εἰς δελφοὺς παραγενόμενος, ἤκουσεν ὡς δέοι αὐτὸν πρὸς δυσμὰς ἀπιόντα, πόλιν κτίζειν. ἐπὶ δὲ τῇ ἀπροσδοκήτῳ ἀκοῇ, ἐγέλασε. καὶ ἀπὸ τοῦ συμβάντος, ὠνόμασε τὴν πόλιν καὶ τὸν παρακείμενον ποταμόν. τὸ ἐθνικόν, γελῷος, οἷον. Γέλας δ' ἀθανατοὶ θεοί. κατὰ συστολὴν λαμβάνεται ὡς ἡ μετοχὴ δηλοῖ. γέλαντος γὰρ ἡ γενικὴ κατὰ συστολὴν τοῦ α. τὰ δὲ ἐνδέοντα συλλαβῇ ῥήματα πρόσωπα τῶν πληθυντικῶν καταλήγουσιν εἰς τὴν παραλήγουσαν τῆς γενικῆς τῶν μετοχῶν. οὕτω ζηνόδοτος.

Γεννῶ, τὸ τίκτω. παρὰ τὴν γῆν τὴν πάντων μητέρα. ἔστι γὰρ γέα. ἐξ οὗ ῥῆμα, γέω. καὶ πλεονασμῷ τοῦ ν, γεννῶ. ἢ παρὰ τὸ γείνω, γεννῶ. ἐπὶ μὲν τῆς γεννήσεως, διὰ δύο νν. ἐπὶ δὲ τῆς ποιήσεως καὶ κτίσεως, δι' ἑνός. ἐξ οὗ καὶ γενητός, ὁ κτιστός. τὰ δὲ ἀπὸ τοῦ γινῶ γινόμενα ὀνόματα, δι' ἑνὸς ν ἐκφέρονται. οἷον, γένεσις, γενέθλιον.

Γενέθλη, ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεχθέντος ἡμέρα. παρὰ τὸ γεννῶ, γένεθρα. καὶ ἰωνικῶς, γενέθρη. ὡς κολυμβῶ, κολυμβήθρα. καὶ κατὰ τροπήν, γενέθλη. ὅθεν καὶ τὸ γενή. ἀπὸ τοῦ γεννῶ, γεννή. ὡς ἀπειλῶ, ἀπειλή. εἰλῶ, εἰλή. ὠνῶ, ὠνή. καλλίμαχος. Τὴν δὲ γενὴν οὐκ οἶδα.

Γενῶ, τὸ παρὰ τῷ ὁμήρῳ, γενήσω. ὁ δεύτερος ἀόριστος ἔγενον. ὁ μέσος, ἐγενόμην. ζήτει εἰς τὸ ἐγείνατο.

Γενεθλιαλογία, μαντεία περὶ τῆς γεννήσεως.

Γενέθλια, ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτήσασα τοῦ τεχθέντος ἑορτή. καὶ γενέσια, ἡ δι' ἐνιαυτοῦ μνήμη.

Γενεά, παρὰ τὸ γένος, γενεά. σημαίνει δὲ ἕξ. ἐπὶ μὲν γὰρ τοῦ παντὸς τῶν ἀνθρώπων γένους, Οἵη περ φύλλων γενεή, τοίη δὲ ἀνδρῶν. ἐπὶ δὲ τῆς εὐγενείας, Γενεὴν μὲν ὑπέρτατός ἐστιν ἀχιλλεύς. ἐπὶ δὲ τῆς ἡλικίας Οὕνεκ' ἐγὼ γενεῆφι νεώτατος. ἐπὶ δὲ τῶν προγόνων, Τῆς γὰρ τοι γενεῆς, ἧς ῥάδες ὑπ. ἐπὶ δὲ τῶν ἐκγόνων, Κρείσσων δ' αὖτε διὸς γενεὴ ποταμοῖο τέτυκται. ἐπὶ δὲ διαστήματος χρόνου, τῶν μὴ κατ' αὐτὸ βεβιωκότων. Τῷ δ' ἤδη δύο μὲν γενεαί.

Γένος, ἐκ τοῦ γένω τοῦ σημαίνοντος τὸ τίκτω, γίνεται γένος. ὡς θένω, θένος. μένω, μένος. καὶ νείφω, νέφος. ζήτει εἰς τὸ γεννητικόν.

Γένειον. παρὰ τὸ γένος, γένειον. ὡς δάνος, δάνειον. ἀπ' αὐτοῦ γὰρ τὰ γένη διαστέλλονται, καὶ διακρίνει τὰ γένη. λέγεται ἀπὸ ἱστορίας. ἔθνος γὰρ εἴκοσι καὶ πέντε χιλιάδων, ἐπελθὸν παρεκάθητο τοὺς ῥωμαίους. ἐκεῖνοι δὲ ὀλίγοι ὄντες, ἀνοίξαντες ἑτέρας πύλας, ἔφερον τὰς σκλαβηνίας. ἔτι δὲ οἱ σκλάβοι ὀλίγοι ὄντες, ἔφερον τὰς γυναῖκας αὐτῶν. καὶ περιθέμενοι αὐταῖς σχῆμα ἀνδρεῖον καὶ γενειάδας, ἐξήρχοντο. ἰδόντες δὲ τὸ πλῆθος τὰ ἔθνη, ἠρώτων τοὺς ῥωμαίους τίνες εἰσὶν οὗτοι. καὶ ἔλεγον λογγίβαρδοι. τουτέστι βαθεῖαν ὑπήνην καὶ μακρὰν ἔχοντες.

Γενειάδες, ἐκ τοῦ γένειον. ἡ βαθεῖα ὑπήνη. γενειάδες αἱ κατὰ τῶν γενείων γινόμεναι τρίχες. τινὲς γὰρ ἐθειράδες, παρὰ τῶν τόπων ἐν ᾧ πεφύκασι τὰ γένεια. οἱονεί, κένυς τίς ἐστιν. ὅτι κενόν ἐστι τὸ κατ' αὐτὴν μέρος τῶν ὀστέων. σημαίνει δὲ καὶ σιαγόνα. Μετὰ γναπτῇσι γένυσσιν. γένυς μὲν ὁ τόπος τῶν τριχῶν. γένειον δὲ αἱ τρίχες.

Γενήσεται, γενῶ τὸ παρὰ τῷ ὁμήρῳ, γενήσω. ὁ μέσος, γενήσομαι. τὸ τρίτον, γενήσεται.

Γενναῖος, ἀνδρεῖος. εὐγενής. συγγενής. μέγας.

Γέντο, ἐκ τοῦ γείνω. γενῶ. ὁ δεύτερος, ἔγενον. ὁ μέσος, ἐγενόμην ἐγένετο, καὶ γέντο. οἷον, Γέντο δ' ἱμάσθλην. σημαίνει τὸ ἔλαβεν. ἕλω τὸ λαμβάνω. ὁ δεύτερος ἀόριστος, ἕλον, ἑλόμην, ἕλου ἕλετο. καὶ κατὰ συγκοπήν, ἕλτο. καὶ τροπῇ τοῦ λ εἰς ν δωρικῶς, ὡς ἦλθεν ἦνθεν, γίνεται ἕντο. καὶ πλεονασμῷ τοῦ γ, γέντο.

Γεννῆται, ἐπὶ γένους σύστημα ἐκ τριάκοντα ἀνδρῶν συνεστώς. οὗ οἱ μετέχοντες, ἐκαλοῦντο γεννῆται. οὐ κατὰ γένος ἀλλήλοις προσήκοντες. οὐδὲ ἀπὸ τοῦ αὐτοῦ αἵματος. ἀλλ' ὥσπερ οἱ δημόται καὶ οἱ φράτορες ἐκαλοῦντο, νόμων κοινωνίαν τινὰ ἔχοντες, οὕτω καὶ οἱ γεννῆται συγγενικῶν ὀργίων ἢ θεῶν. ἀφ' ὧν ὀργεῶνες ὠνομάσθησαν. ἢ οἱ τοῦ αὐτοῦ γένους μετέχοντες, ἢ ἀπ' ἀρχῆς κοινὰ ἱερὰ ἔχοντες. οἱ δέ, ὁμογαλάκτους φάτορας συγγενεῖς τοὺς γεννήτας.

Γένος, ἐπὶ ἔθνους τάσσεται. καὶ ἐπὶ πόλεως. καὶ ἐπὶ συστήματος. καὶ ἐπὶ τέκνου, καὶ ἐπὶ σπέρματος.

Γενούστης, παρὰ πλάτωνι ἐν φιλήβῳ. ἐπὶ δὲ τῆς τοῦ θεοῦ ἐννοίας. οἷον, ὁ γεννητικός.

Γέρων, παρὰ τὸ ἔρρω τὸ φθείρω, ἔρρων καὶ γέρων. ὁ μετὰ φθορᾶς εἰς τὸν ᾅδην πορευόμενος. πλεονασμῷ τοῦ γ. ἢ παρὰ τὸ εἰς τὴν γῆν ἔρρειν. τουτέστι φθείρεσθαι διὰ τὸ θανάτου ἐγγὺς εἶναι. ἢ παρὰ τὸ εἰς γῆν ὁρᾶν τῷ κεκυφέναι, καὶ περὶ αὐτὴν νενευκότα περιπατεῖν. ἢ παρὰ τὸ τῆς γῆς ἐρᾶν πλησίον ὄντας θανάτου καὶ τάφου δεομένους. ἢ παρὰ τὸ γέρας ὃ σημαίνει τὴν τιμήν. ἢ παρὰ τὸ εἴρω τὸ λέγω. λεκτικοὶ γὰρ οἱ γέροντες, ἔρων καὶ γέρων. καὶ ὅμηρος. Γήραϊ δὴ πο   πεπονθότες ἀλλ' ἀγορηταὶ ἐσθλοί.

Γέροντος, ὁ κανών. τὰ εἰς ρων λήγοντα δισύλλαβα, μὴ ὄντα συγκριτικά, φυλάσσει τὸ ω. φάρων, φάρωνος. πλέρων, πλέρωνος. ἄκρων, ἄκρωνος. ἄμβρων, ἄμβρωνος. σάφρων σάφρωνος δέ, κοινόν ἐστι. τὸ δὲ γέρων, ὡς μετοχικὸν ἐκλίθη. συνεξηκολούθησε γὰρ τῷ φέρων, φέροντος. οὐκ ἔστι δὲ μετοχή, ἀλλ' ὄνομα. εἰ γὰρ ἦν μετοχή, ἐφύλαττεν εἶχε τὸ ω ἐπὶ τῆς κλητικῆς. αἱ γὰρ μετοχαὶ καὶ τὰ μετοχικὰ ὀνόματα, τὰς αὐτὰς ἔχουσιν ὀρθὰς καὶ κλητικάς. τὸ δὲ ὦ γέρον, διὰ τοῦ ο μικροῦ.

Γερόντειον, τὸ τῇ ει διφθόγγῳ. τὰ ἀπὸ τῶν εἰς ων βαρυτόνων, διὰ τοῦ ντ κλινομένων, διὰ τῆς ει διφθόγγου γράφεται. λέων, λεόντειος δορά. τὸ κύριον διὰ τοῦ ι. δράκων, δρακόντειον αἷμα. γέρων, γερόντειος. ἀνακρέων, ἀνακρεόντειος. λαομέδων, λαομεδόντειος. καὶ τὰ ἀπὸ τῶν εἰς ων περισπωμένων. ξενοφῶν, ξενοφώντειος. δημοφῶν, δημοφώντειος. πλὴν τοῦ ποσειδῶν, ποσειδώνιος. καὶ τὰ ἀπὸ τῶν εἰς ων βαρυτόνων μὴ κλινομένων. διὰ τοῦ ν τ, δίφθογγον ἔχει. θέων, θεώνειος. τρύφων, τρυφώνειος. πλὴν τοῦ ἀπόλλων, ἀπολλώνιος. καὶ ἀμμώνιος. τὰ θηλυκὰ αὐτῶν ταῦτα, διφθόγγῳ γράφεται. ἀπολλωνεία βάξις. καὶ ἀμμωνεία φήμη. γέροντες, γερόντων. καὶ πλεονασμῷ τοῦ ε, γερόντεων. ναῦται, ναυτῶν, καὶ ναυτέων. τοῦτο διαίρεσίς ἐστι καὶ οὐ πλεονασμός. ὁ γὰρ τόνος διελέγχει. εἰ μὲν γὰρ περισπᾶται, δῆλον ὅτι διαίρεσις. εἰ δὲ βαρύνεται, δῆλον ὅτι πλεονασμὸς καὶ οὐ διαίρεσις. οὕτως ἡρωδιανός.

Γέροντα μῦθον, καὶ γέροντα πρᾶγμα ἑτέρως. καὶ ἀρσενικόν. καὶ οὐδέτερον. καὶ ἀρχαῖον, καὶ παλαιόν.

Γερούσιος, καὶ γερουσία. παρὰ τὸ γέρων. γερούσιος οἶνος, ὁ ἔντιμος. ὡς ἑκών, ἑκούσιος. καὶ ἐθέλων, ἐθελούσιος.

Γέρας, ἡ τιμή. παρὰ τὸ γῆρας. αἰδοῦς γὰρ ἄξιοι καὶ τιμῆς οἱ γέροντες. ἢ παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ, ἔρας καὶ γέρας. οὗ πᾶς ἐρᾷ. τὰ γέρα, ὅ ἐστι τὰς τιμάς. ἀπὸ τούτου τὰ γέραα, ἰωνικῶς. καὶ κατὰ συγκοπήν, γέρα. γέρα πεσέμεν,

Γεραρός, ὁ ἔντιμος. παρὰ τὸ   ἀντὶ τοῦ κατέχειν. γέρας, γεραός. καὶ παραγωγῇ, γεραηρός. ὡς μέλιτος, μελιτηρός. καὶ ἐν συγκοπῇ, γεραρός, ὁ τῶν γερῶν ἄξιος.

Γεραιός, ὁ πρεσβύτης. ἀπὸ τοῦ γέρας γεραός, καὶ γε-

Γεραίτερος, οὐ παρὰ τὸ γέρων ἐσχημάτισται.   ραιός. οὐδ' ὅλως γάρ ἐστι παρὰ τὸ γέρων συγκριτικόν. ἃ παρασχηματίζονται τοῖς τρισὶ γένεσιν, ἀλλὰ παρὰ τὸ γεραιός, τὸ γεραιότερος. ὡς παλαιός, παλαιότερος. καὶ κατὰ συγκοπήν, γεραίτερος. ἰστέον δὲ ὅτι τὰ εἰς ρος συγκριτικά, ἢ διὰ τὸ ο λέγεται, ἢ διὰ τοῦ ω μεγάλου. ὅθεν τὸ γεραίτερος, καὶ μεσαίτερος, καὶ φιλαίτερος, κατὰ συγκοπὴν γέγονεν, ἀπὸ τοῦ μεσαιότερος, καὶ φιλαιότερος. καὶ τῶν ὁμοίων. ὅθεν ἁμαρτάνουσιν οἱ λέγοντες μεσαίτατος, καὶ φιλαίτατος, καὶ ἀρσενικώτατος. οὕτω φιλόξενος εἰς τὰ συγκριτικά.

Γεραῖραι. παρὰ ἀθηναίοις γυναῖκές τινες ἱεραί. ἃς ὁ βασιλεὺς καθίστησιν ἰσαρίθμους τοῖς βωμοῖς τοῦ διονύσου διὰ τὸ γεραίρειν τὸν θεόν. οὕτω διονύσιος ὁ ἁλικαρνα-

Γεραισιάδες. οὕτω νύμφαι καλοῦνται ἐν   σεύς. γορτύνῃ τῆς κρήτης. ὅτι τὸν δία τρέφουσαι, ἀγέραιρον.

Γεραιστός, ἀκρωτήριον εὐβοίας ἱερὸν ποσειδῶνος. παρὰ τὸ ἐν αὐτῷ γεραίρεσθαι τὸν ποσειδῶνα. παρὰ τὸ γερῶ, γεράζω. γεραστός.

Γεραίστιον, χωρίον τῆς ἀρκαδίας, παρὰ τὸ γέρας, ὅτι τίμιόν ἐστι, διὰ τὸ ἐκεῖ τὸν δία σπαργανωθῆναι.

Γέραστος, γεραστοῦ διαφέρει. γέραστος μὲν γὰρ ἀπὸ τοῦ γέρας. ὁ ἔντιμος. γεραστὸς δέ, ἀκρωτήριον ἅμα καὶ ἐπίνειον εὐβοίας. ἐν ᾧ ποσειδῶνος ἱερόν.

Γερήνιος, ἔντιμος. παρὰ τὸ γέρας. ἢ ἀπὸ τοῦ γερήνη γερήνιος, ὁ ἐν γερήνῃ κώμῃ τῆς πύλου τραφείς.

Γέρανος, ὁ ὄμβρος ὑπὸ κυρηναίων. παρὰ τὸ τὴν γῆν ῥαίνειν. οὕτως ἑρρένιος φίλων ἐν τῷ περὶ χρηστομαθίας. φησὶ δὲ τὴν δευτέραν δασύνεσθαι.

Γέρανος, τὸ ζῶον. οἱονεὶ γήρευνός τις οὖσα. ἀπὸ τοῦ τὰ τῆς γῆς ἐρευνᾶν σπέρματα. ἥτις καὶ σπερμολόγος καλεῖται. ὅτε γὰρ ὁ γεωργὸς σπείρει καὶ οὐ χωννύει αὐτὰ, ἐκείνη συλλέγουσα ἐσθίει. ἔστι δὲ καὶ οὐδετέρως τὸ γέρανον. ἔστι καὶ ποιά τις ὄρχησις. καὶ ὄργανον ξύλινον, ἐν ᾧ κόπτουσιν οἱ ἀλφιτοποιοὶ τὰ ἄλφιτα. ὅθεν καὶ γεράνια τὰ ἄλφιτα καλοῦσι. γέρανος καὶ ὁ ἐν τῇ σκηνῇ ἅρπαξ κατεσκευασμένος ὑπὸ τοῦ μηχανοποιοῦ. ἐξ οὗ ὁ ἐσκευασμένος ὑποκριτὴς ραγῳδίας.

Γερασηνός, ἀπὸ τόπου. Ἀλέξανδρος πόλιν παραλαβὼν, τοὺς ἐν ἡλικίᾳ πάντας κτείνας, ἀπέλυσε τοὺς γέροντας. οἱ δὲ συνελθόντες, κτίζουσι πόλιν. καὶ λαβόντες γυναῖκας, ἐπαιδοποίησαν.

Γέρων, σημαίνει τρία. τὸν προβεβηκότα τῇ ἡλικίᾳ. ὡς τὸ, Παῖδάς τε πρόθηβας πολιοκροτάφους τε γέροντας. καὶ τὸν ἔντιμον. ὡς τὸ, Δαίνυ δαῖτα γέρουσι. καὶ τὸν παλαιόν, ὡς τὸ, Εἵλετο δὲ σάκος εὐρὺ γέροντος.

Γενεὰ, σημαίνει τέσσαρα. ποτὲ μὲν τὴν ἡλικίαν. Γενεῇ δὲ νεώτατος ἔσκον ἁπάντων. καὶ τὴν εὐγένειαν. Γενεῇ μὲν ὑπέρτερός ἐστιν Ἀχιλλεύς. καὶ τὴν φυλήν. Οἵη περ φύλλων γενεή. καὶ πᾶσαι γενεαί. γενεὰ λέγεται καὶ τὰ εἴκοσιεννέα ἔτη. ὡς τὸ, Τῷ δ' ἤδη δύο μὲν γενεαί.

Γεράνεια, ὄρος Μεγάρων. Εὐφορίων. Καὶ ὁ χθηρῆς Γερανείης. εἴρηται δὲ ὅτι Μεγαρεὺς ὁ Διὸς καὶ μιᾶς τῶν καλουμένων Σιθνίδων νυμφῶν, τοῦ κατακλυσμοῦ γενομένου πρὸς φωνὴν γεράνων νηχόμενος, προσέφυγε τῇ ἄκρᾳ τοῦ ὄρους. ἀπὸ δὲ τῶν γεράνων, Γεράνειαν ἐκάλεσαν τὸν τόπον.

Γεράνδρυον. Ἀπολλώνιος. Ἔσκε δέ τι βριαρὸν στύπος ἀμπέλου ἔντροφον ὕλην, πρόχνυ γεράνδρυον. τὸ μὲν ἔκταμον. ἔστι δὲ παλαιὸν φυτόν. σημαίνει τὸ γεγηρακὸς καὶ παλαιὸν δένδρον. ἢ τὸ ἐν τῇ γῇ συμφυὲς ἐξηραμμένον. εἴρηται παρὰ τὴν δρῦν. δοκεῖ γὰρ πρὸ τῶν φυτῶν ἐγνῶσθαι δρῦς. ὅθεν καταχρηστικῶς, δρυμοὺς ἐκάλουν τοὺς δασεῖς τόπους ἀφ' οἱωνδήποτε ὄντας φυτῶν. καὶ δρυφάκτους, τοὺς ἀπὸ ξύλων περιορισμούς.

Γεργύρα, ὁ ὑπόνομος δι' οὗ τὰ ὕδατα φέρεται τὰ ὄμβρια. γεώρυγά τινα ὄντα. τὰ ὑπὸ τὴν γῆν ὀρύγματα. καὶ κατὰ συγκοπὴν καὶ μετάθεσιν καὶ διπλασιασμόν, γεργύρα. ζήτει εἰς τὸ γοργύρα. ὁ δὲ Ἀλκμὰν διὰ τοῦ ε, γεργύρα φησί.

Γέρδιος, ἡ ὑφάντρια. εἴρηται παρὰ τὸ ἐπάνω τῆς γῆς ἔχειν ἕδος. ὅ ἐστιν ἐπάνω τῆς γῆς ἕζεσθαι.

Γέρρα, περσικὰ μέν ἐστιν ὅπλα. δερμάτινα κυρίως. καταχρηστικῶς δὲ, ἅπαν σκέπασμα. εἴτε δερμάτινον, εἴτε ἐξ ἄλλης τινὸς ὕλης, γέρρον ἐλέγετο. λέγεται δὲ οὕτω καὶ τὰ γυναικεῖα αἰδοῖα παρὰ Σικελοῖς. εἰσὶ δέρρα τινὰ ὄντα, τροπῇ τοῦ δ εἰς γ. παρὰ τὸ δέρας ὅ ἐστι τὸ δέρμα. λέγεται δὲ γέρρα, καὶ τὰ δερμάτινα αἰδοῖα. δέρρα καὶ αἱ σκηναί, ἐν αἷς τὰ ὤνια ἐπιπράσκετο. καὶ τὰ στρωτήρια. λέγοιτο ἂν ὁμοίως καὶ τὰ τῶν σκηνῶν περιφάγματα. διὸ καὶ Δημοσθένης, τὰ τῶν σκηνῶν σκεπάσματα γέρρα καλῶν, ἐμπιπράσθαι λέγει. ἀπὸ σταυροῦ δέ φησιν Εὔπολις καὶ Δημοσθένης τὰ γέρρα ἐνεπίπρασαν. καὶ οἱ τόποι οἱ περιπεφραγμένοι. καὶ ἀσπίδες περσικαὶ ἐκ λύγων.

Γεῦσις, κυρίως ἡ ἐπὶ τῶν ὑγρῶν προφορά. δεῦσίς τις οὖσα. παρὰ τὸν δεύσω μέλλοντα. ὡς γνώσω, γνῶσις.

Γέφυρα, πόλις Βοιωτίας. ἡ καὶ Τάναγρα καὶ Γραῖα καὶ Ποιμανδρία καλουμένη. εἴρηται ὅτι ἐν σχεδίᾳ κώμην κατοικοῦντες, καὶ ἐν τῇ περαίᾳ γῇ τοῦ Ἀσωποῦ, διὰ τοῦ χειμῶνος ἐν ταῖς πρὸς ἀλλήλους ἐπιμιξίαις γεφύραις ἐχρῶντο.

Γεφυρεῖς, δῆμος Ἀττικός. ὅθεν καὶ Γεφυραία Δημήτηρ. εἴρηται ἀπὸ τοῦ ἔχειν γέφυραν, δι' ἧς ἐπὶ Ἐλευσῖνα κάτεισιν οἱ μύσται.

Γέφυρα, ἡ κατὰ τὸν τόπον οἰκοδομή. δι' ἧς ὁδοὶ πόροι πορεύονται. παρὰ τὴν γῆν καὶ τὸ φυρῶ τὸ ἀναμιγνύω, γηφυρά τις οὖσα. ἡ τῇ γῇ φυραθεῖσα, καὶ ἐφ' ὑγροῦ τόπου κειμένη. ἢ ἡ ἐφ' ὑγροῦ γῆ. οἱονεὶ γεφυγρά τις οὖσα. Ὅμηρος δὲ, Πολέμοιο γεφύρας. Ἰλιάδος δ. διόδους. τάξεις. ὑποχάς. τὰ μέσα τῆς φάλαγγος. γεφύρωσε δὲ κέλευθον, ἀντὶ τοῦ διαβατὴν ἐποίησε.

Γείνατο, σημαίνει τὸ ἐγέννησεν. ἔστι γένω τὸ σημαῖνον τὸ τίκτω. πλεονασμῷ τοῦ ν, γεννῶ. καὶ πλεονασμῷ τοῦ ι, γίνεται γείνω, τὸ γεννῶ. ὁ μέλλων, γενῶ. ὡς μείνω, μενῶ. κείρω, κερῶ. ὁ ἀόριστος ἔγεινα, ὡς ἔμεινα. ὁ μέσος, ἐγεινάμην. τὸ τρίτον, ἐγείνατο. καὶ κατὰ συγκοπήν, γείνατο.

Γεωφάνιον, χωρίον ἐστὶν ἐν ᾧ γῆς εἶναι μέταλλον. ἡ δὲ γῆ ξανθοτέρα πεποιημένη τοῖς ζωγράφοις εἰς τὰς γραφάς. τάχα δὲ ἡ μίλτος ἐστίν. ἢ μεταλλονικῆς κεραμίτιδος, ἢ τινος ἄλλης ἐργασίας.

Γεύλοφα, ἢ γεώλοφα. ὄχθαι τινές. ὀρεινώδη.

Γείτων, παρὰ τὸ γέα, γείτων. καὶ κατὰ συναίρεσιν, γείτων. ἢ ἀπὸ τοῦ γείνω τοῦ σημαίνοντος τὸ πλησιάζω, γέγονε γείτων. ἢ παρὰ τὸ γῆ, γηίτων. καὶ κατὰ συναίρεσιν, γείτων. καὶ ὥσπερ ἀπὸ τοῦ εὐδαίμων εὐδαίμονος, γίνεται εὐδαιμονῶ, οὕτω καὶ ἀπὸ τοῦ γείτων γείτονος, γειτονῶ, καὶ γειτονιῶ, καὶ γειτνιῶ, συγκοπῇ.

Γεῖσα. Δεῖ γινώσκειν ὅτι πληθυντικῶς οὐδετέρως λέγεται. οἷον, Οὐ γεῖσα χρυσομήκη, οὐδ' ἐπάλξεις. Λυκόφρων. σημαίνει δὲ πᾶν ἐξέχον μέρος, καὶ τὰ πρὸ τῶν θυρῶν στεγάσματα. καὶ τὸ καλούμενον νῦν περίπτερον, τὸ ἄκρον τῆς ὀροφῆς. Ῥήξας παλαιὰ γεῖσα τεκτόνων πόνον. Εὐριπίδης. γίνεται παρὰ τὸ γέα, γεῖσα, καὶ γεῖσα κατὰ συναίρεσιν. καὶ γεισίποδες, αἱ δοκοί. αἱ ἐγκείμεναι δοκίδες, ἐφ' ὧν τὰ γεῖσα τίθενται.

Γεισίποδες, παρὰ τὸ εἶναι βάσεις τῶν θεμελίων. καὶ γεισῶσαι, καὶ γείσωσις, τὸ τῆς γῆς ἔκθετον. Ἀριστοφάνης δὲ καὶ τὰς ὤας τοῦ ἱματίου, γεῖσα εἶπε.

Γειόμορος, ὁ γεωργὸς καλεῖται. Τέμνοντα σπορίμην αὔλακα γειομόρον. εἴρηται ἀπὸ τοῦ τὴν γῆν μορεῖν, ὅ ἐστι πονεῖν. γειόμορος οὖν, ὁ γεωπόνος.

Γειότομον ἄροτρον, ἡ γῆ. καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν οὐκ ἔχει. μάχεται ἡ φύσις τοῦ ὀνόματος τῇ φύσει τῆς σημασίας.

ΤΟ ΓΑΜΑ ΜΕΤΑ ΤΟΥ Η.

Γῆ, παρὰ τὸ γῶ τὸ χωρῶ. ἡ πάντα χωροῦσα. τοῦτο δὲ παρὰ τὸ χῶ. τροπῇ τοῦ χ εἰς γ, γῶ. ἀφ' οὗ παράγωγον, χείω. οἷον, Οὐδὸς ἀμφοτέρους ὅδε χείσεται.

Γηγενής. χωρὶς τοῦ ι. οἱ γὰρ Δωριεῖς, γαγενής λέγουσιν, ὥς φησιν Ἡρωδιανός. ὅλα ταῦτα χωρὶς τοῦ ι. ἐπειδὴ ἀπὸ τῆς γῆ εὐθείας ἔχει τὴν σύνθεσιν. οἷον, γήπεδον. γηπόνος. γηλοχής. ὡς παρὰ Καλλιμάχῳ. Γηλοχέες θεράποντες ἀσιγήτοιο λέβητος. Χοιροβοσκός.

Γήδιον. Ἐχόντων τῶν πρωτοτύπων, γῆ. καὶ γαῖα, καὶ γέα, ἐκ ποίου τούτων γέγονε τὸ γήδιον. λέγει δὲ ὁ Δίδυμος ὅτι ἐστὶ γέα διὰ τοῦ ε. καὶ ἐπειδὴ ἡνίκα ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ φωνήεντος ἄρχεται καὶ παραλήγει τῷ ε ἢ τῷ ο, τότε γίνεται διὰ τοῦ ιδιον ἡ παραγωγή. καὶ προσέρχεται κατὰ τὴν παραλήγουσαν τὸ ι. οἷον, πράξεως, πραξείδιον. λέξεως, λεξείδιον. βοῦς βοός, βοΐδιον. νοῦς νοός, νοΐδιον. οὕτως οὖν καὶ γέα γέας, γείδιον διὰ τῆς ει διφθόγγου. καὶ κατ' ἔκτασιν Ἀττικὴν τοῦ ε εἰς η, γήδιον. διὰ τοῦ η καὶ ι. ὥσπερ εἰκάζω, ᾔκαζον. καὶ εἰδεῖν, ᾔδειν. περὶ δὲ τούτου, ζήτει εἰς τὸ περὶ κτητικῶν τοῦ Χοιροβοσκοῦ.

Γήπεδον, σημαίνει τὸ χωρίον. ὥσπερ καὶ οἰκόπεδον, τὸ γῇ καὶ οἰκήμασιν ἀπαρτιζόμενον. γίνεται δὲ παρὰ τὸ γῆ, γήπεδον.

Γήπαιδες, οἱ λεγόμενοι Λογγίβαρδοι. οἱονεὶ, γέταιπαιδες. οἱ Γετῶν παῖδες.

Γήτειον, τὸ χλωρὸν κρόμμυον. Ἀριστοφάνης. Μήτε γητείων νέων. παρὰ τὸ ἐκ γῆς ἐτεῖον. τὸ αὐξόμενον ἐκ τῆς γῆς ὄν. λέγεται δὲ καὶ γήθυον. γράφεται διὰ τῆς ει διφθόγγου. τὰ γὰρ ἀπὸ τῶν εἰς ος δισυλλάβων οὐδετέρων, διὰ τοῦ ειον γινόμενα οὐδέτερα μόνον, διὰ τῆς ει διφθόγγου γράφεται. οἷον, δάνος, δάνειον. γένος, γένειον. βρένθος, βρένθειον. ἔστι δὲ εἶδος πολυτελοῦς μύρου. οὕτως οὖν καὶ ἀπὸ τῆς γῆς, γίνεται γῆτος, καὶ γήτειον. πρόσκειται μονογενῆ, διὰ τὸ ἄγος ἅγιον διὰ τοῦ ι. ἀλλ' οὐκ ἔστι μόνον. ὁ ἅγιος γὰρ καὶ ἡ ἁγία καὶ τὸ ἅγιον.

Γηθοσύνη. παρὰ τὸ γῆ, γίνεται γήθω. καὶ γηθῶ καὶ γηθοσύνη, ἡ χαρά. παρὰ τὴν γῆν δὲ, ἐπειδὴ θάλλουσα τοῖς καρποῖς, χαίρειν ἡμᾶς ποιεῖ. ὡς τὸ, Ἦ κεν γηθήσαι Πρίαμος. ἔστι συζυγίας πρώτης τῶν περισπωμένων.

Γηρονομῶ. τὸ ρω, μέγα. ἐκ τοῦ γῆρας γήραος, γήρως. καὶ τοῦ νομῶ, τὸ ἐπιμελοῦμαι. τὰ δὲ παρὰ Ἀττικῶν γενικῶν σύνθετα, διὰ τοῦ ω μεγάλου γράφεται. οἷον, ἡρωφόρος. κερωφόρος. γηρωνόμος. καὶ παροξύνονται. τὰ γὰρ ἀπὸ ῥήματος συντεθέντα ὀνόματα, πρὸ μιᾶς ἔχουσι τὸν τόνον. τὰ δὲ ἀπὸ ὀνόματος, προπαροξύνονται.

Γηραιός. παρὰ τὸ γέρας ὃ σημαίνει τὴν τιμήν. ἕπεται γὰρ τοῖς γέρουσιν ἡ τιμή. τὰ γοῦν παρ' αὐτῷ συγκείμενα, διὰ τοῦ η γράφεται. οἷον. καλόγηρος. βαθύγηρως. ὑπέργηρως. κλίνεται κατὰ ἀποβολὴν τοῦ σ.

Γηράς. λέγεται ὅτι ἀπὸ τοῦ γηράσας, κατὰ συγκοπὴν, γηράς. οὐκ ἔστι δὲ ἐντελὴς ἡ κλίσις. ἀπὸ τοῦ γηρῶ, γίνεται γήρημι. ἡ μετοχή, γηράς. ὥσπερ ἵστημι, ἱστάς. τὸ ἀπαρέμφατον γηράναι, ὡς ἱστάναι. ἡ γενική γηράντος, ὡς ἱστάντος. οἷον, Γηράντων ἀνδρῶν. καὶ ἡ δοτική, Γηράντεσσι τοκεῦσιν. ἀντὶ τοῦ τοῖς γηρῶσιν. ἡ αἰτιατική, Γηράντας τιμᾶν. ἔστι δὲ πρώτης καὶ δευτέρας συζυγίας τὸ γηράς, ὥσπερ τὸ πιμπλάς. ὅθεν πιμπλῶ, πιμπλᾷς. καὶ πιμπλεῖς. οὕτως οὖν καὶ γηρῶ, γηρᾷς, καὶ γηρεῖς. ἡ μετοχή, Γηρεὶς ἐν οἰκείοισιν. ἡ γενική, γηρέντος, ὥσπερ τιθέντος. Ξενοφῶν. οἷον, Ἀνδρὸς γηρέντος πολλὸν ἀφαυρότερος.

Γῆρυς, ἡ φωνή, παρὰ τὸ γέρας. ἡ γὰρ φωνὴ τοῖς γέρουσι πρέπει. ἢ παρὰ τὸ γῶ τὸ χωρῶ. ἡ διὰ τῆς τραχείας ἀρτηρίας χωροῦσα.

Γηρυών, ὁ ἥρως ὁ ἐν Ἐρυθείᾳ τὰς βοῦς ἔχων. τριχῶς σχηματίζεται τὸ ὄνομα. Γηρυών, Γηρυονεύς, Γηρυόνης. ἀφ' οὗ κλίσις διάφορος. παρὰ τὸ γηρύω ὅ ἐστι φθέγγομαι. πλεονασμῷ τοῦ ν. καὶ ἔσω βαρύτονος μὲν ἡ μετοχή. ὀξύνεται δὲ τὸ ὄνομα. καὶ κατὰ μεταπλασμόν. Γηρυονεύς, καὶ Γηρυόνης πρέπον ὄνομα βουκόλῳ. Ἡρακληΐδι. ὁ δὲ Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν, λέγει αὐτὸ ἀπὸ τοῦ Γηρυόνης εἶναι. κατὰ ἀποκοπὴν τῆς ης συλλαβῆς. καὶ ἐκτάσει τοῦ ο εἰς ω, Γηρυών. ὥσπερ πόθεν, πῶς.

ΤΟ ΓΑΜΑ ΜΕΤΑ ΤΟΥ Ι.

Γίγαντος. μεγάλου. ἰσχυροῦ. γιγαντία, ἡλικία. καὶ γίγαντες οἱ ποιοῦντες.

Γίγας. παρὰ τὸ γῶ τὸ χωρῶ, γίνεται γάς. καὶ κατὰ ἀναδιπλασιασμόν, γίγας. ἢ παρὰ τὸ ἐκ τῆς γῆς ἰέναι. οἷον, Οὓς καλέουσι γίγαντας ἐπώνυμον ἐν μακάρεσσιν. οὕνεκα γῆς ἐγένοντο, καὶ αἵματος οὐρανίοιο. οὕτως Ὀρφεὺς ἐν τῷ ὀγδόῳ τοῦ ἱεροῦ λόγου.

Γιγωνίς, ἄκρα μεταξὺ Μακεδονίας καὶ Πελλήνης. καὶ Γιγωνὶ ἐντεῦθεν ὁ Διόνυσος εἴρηται ἀπὸ τῶν γιγάντων. ἢ ἀπὸ τοῦ ῥέοντος ποταμοῦ Γίγαντος.

Γίγγλυμος, ὁ στρεφόμενος γόμφος ἐπὶ τῶν θυρῶν καὶ ἐπὶ τοῦ θώρακος. οἱ στροφεῖς. καὶ φιλήματος εἶδός τι.

Γνώσκω. ἔστι ῥῆμα γνῶ, γνώσω. καὶ κράσει τοῦ ο καὶ η εἰς ω, γνώσω. ὡς ὀγδοήκοντα, ὀγδώκοντα. πλεονασμῷ τοῦ κ, γνώσκω. ὡς ὀλῶ, ὀλέσκω. καὶ μετάγουσι τὰ τοιαῦτα εἰς ἐνεστῶτα. διότι τὸ κ οὐκέτι χαρακτηριστικὸν βαρυτόνου μένοντος. πλεονασμῷ τοῦ γ, γνώσκω. ἢ κατὰ ἀναδιπλασιασμόν, γιγνώσκω. καὶ ἐκβολῇ τοῦ ἑνὸς γ, γινώσκω. καὶ μετῆλθεν ἀπὸ τοῦ θέσει εἰς τὸ φύσει μακρόν. ὁ μέντοι μέλλων οὐκέτι χωρεῖ. διατί. τὰ γὰρ εἰς σκω λήγοντα ῥήματα, μέλλοντα οὐκ ἔχει. πλὴν τοῦ θνήσκω, θνήξω. ἁλύσκω, ἀλύξω. τὸ γὰρ διδάξω, οὐκ ἐκ τοῦ διδάσκω, ἀλλ᾽ ἐκ τοῦ διδάχω. ἀφ᾽ οὗ καὶ διδαχή. ἀλλὰ καὶ τὰ διὰ τοῦ ανω βαρύτονα. λανθάνω. λαμβάνω. μανθάνω. καὶ τὰ διὰ τοῦ ινω. φαείνω. οὐ δὲ τὸ ὀρίνω καὶ ὠδίνω καὶ περὶ διὰ τί. καὶ τὰ διὰ τοῦ ειω παρὰ ἐνεστώτων ἢ μελλόντων γινόμενα. οἷον, ὀψείω, βρωσείω. θείω. πλὴν τοῦ κλείω. ταῦτα δὲ παρὰ ἐνεστώτων γινόμενα, ἔχουσι παρατατικόν. οἷον, τελῶ, τελείω, ἐτελείωμεν. δηλοῖ καὶ, ἐτελείετο βουλή. τὰ δὲ παρὰ μελλόντων γινόμενα, οὐδὲ παρατατικὸν ἔχει. οἷον, βρώσω, βρωσείω. πλὴν τοῦ ὄψω, ὀψείω. εὑρέθη γὰρ ὤψεον. καὶ τὰ διὰ τοῦ υθω. οἷον, μινύθω. καὶ τὰ διὰ τοῦ εθω. φλεγέθω. τελέθω. καὶ τὰ διὰ τοῦ αθω. κνάθω. καὶ τὰ διὰ τοῦ εθω, μετ᾽ ἐπιπλοκῆς συμφώνου, ὡς τὸ ἐρέχθω, ἄχθω. καὶ τὰ εἰς βω τῷ ε παραληγόμενα. ἢ μόνου ἢ μετὰ ἀφώνου, βαρύνεται. ὡς τὸ σέβω, φέρβω. καὶ τὰ εἰς νω βαρύτονα τῷ ε παραληγόμενα. ὡς τὸ στένω, θένω. τὸ γὰρ μένω, ὡς ἀπὸ περισπωμένου ἔχει τὴν κλίσιν. καὶ τὰ εἰς μνω. οἷον, μίμνω. τέμνω. κάμνω. ὁμοίως ἔχει καὶ δέμω, τέμω. ὁ γὰρ παρακείμενος αὐτῶν ὡς ἀπὸ περισπωμένου. ὁμοίως ἂν ἔχοι καὶ ἡ πέμπτη συζυγία τῶν βαρυτόνων, τὴν πρώτην συλλαβὴν διπλασιάζει, καὶ λήγει εἰς ἀμετάβολον. οἷον, καρκαίρω. μαρμαίρω. μορμύρω. παμφαίνω. ὁμοίως καὶ τὰ εἰς ω λήγοντα ἔχοντα πρὸ τοῦ ω, β σύμφωνα κατ᾽ ἐπιπλοκήν. ὧν τὸ δεύτερον ἐστὶν ἀμετάβολον. οἷον, μέμβλω. ὄφλω. ἔγρω. δάκνω. καὶ τὰ εἰς ω καθαρὰ τῇ υι διφθόγγῳ παραληγόμενα. ὀπυίω. καὶ τὰ διὰ τοῦ υω ὑπὲρ β συλλαβὰς ποιοῦσι παράγωγον εἰς μι. πηγνύω, πήγνυμι. καὶ τὰ ἀττικὰ βαρύτονα. ἀλέξω. ἄλξω. ἕψω. καὶ τὰ ποιητικά, ὡς τὸ ὄσσω, ἐκ τοῦ ὄπτω. καὶ λεύσσω, ἐκ τοῦ βλέπω. καὶ πέσσω, ἐκ τοῦ πέπτω. καὶ κορύσσω, ἐκ τοῦ κορύπτω. καὶ τὰ παραγόμενα ἀπὸ μελλόντων εἰς ἐνεστῶτα. ὡς τὸ ὄρσω. δηλοῖ τὸ ὄρσε. καὶ ἄξω, ἄξετε πριάμοιο βίην, καὶ τὰ εἰς δω, ἔχει πρὸ τοῦ δ τὸ λ ἢ τὸ ν. οἷον, σπένδω, κυλίνδω. ἔλδω. μέλδω. ταῦτα πάντα ἄχρι τοῦ παρατατικοῦ κλίνονται.

Γίνω, παρὰ τὸ γίγνω. τὸ γι μακρόν. καὶ τὰ θεματικὰ ἡνίκα ἀποβάλωσι σύμφωνον, εἰς φύσει μακρὰ μεταβαίνουσι.

Γίνεσθαι, τὸ σημαῖνον τὸ ἀποτελεῖσθαι, διὰ τοῦ ι γράφεται. καὶ ὤφειλε διὰ διφθόγγου, εἴγε τὰ ἀπὸ τοῦ ἄλλου ἔχει τὸ ε. γίνομαι, ἐγινόμην, καὶ ἐγινάμην. ἀλλὰ πρὸς ἀντιδιαστολὴν τοῦ γείνεσθαι τοῦ σημαίνοντος τὸ γεννᾶται. τὸ δὲ γίνεσθαι σημαῖνον τὸ τελειοῦται, ἀπὸ τοῦ γίγνεσθαι γέγονε κατὰ ἀποβολὴν τοῦ γ. τὸ δὲ γίγνεσθαι, διὰ τοῦ ι γράφεται. ἐπειδὴ ἀπὸ τοῦ γένομαι γέγονεν ἐν πλεονασμῷ συμφώνου γίγνεσθαι. τὸ ε γὰρ ἐν πλεονασμῷ συμφώνου γενόμενον, τρέπεται εἰς τὸ ι. οἷον, μένω, μίμνω. τέκω, τίκτω. οὕτως οὖν καὶ γένεσθαι, γίγνεσθαι.

ΤΟ ΓΑΜΑ ΜΕΤΑ ΤΟΥ ΛΑΜΔΑ.

Γλάγος, τὸ γάλα. ἐκ τῆς γάλακτος γενικῆς, γίνεται γλάκος καὶ γλάγος.

Γλάξ, βοτάνης εἶδος γαλακτοποιητικῆς. παρὰ τὸ γάλακτος εἶναι αὐξητικὴν ταῖς ἐσθιούσαις, γάλαξ, καὶ γλάξ.

Γλαίνους, τὰ λαμπρύσματα τῶν περικεφαλαιῶν. οἷον ἀστέρας.

Γλάμυξα, ὄμματα γλαμῶν, οἱ κανθοὶ ψωρώδεις. καὶ γλαμυξιᾶν, τὸ γλαμᾶν, ὅπερ ἐστὶ λημᾶν.

Γλαμυρὸν καὶ γλαμῶδες, ὑγρὸν καὶ καιόμενον δακρύοις ὄμμα. καὶ γλαμυρούς, ἐν ὑγροβίοις.

Γαλακτοφάγος. ἰλιάδος ν. Καὶ ἀγαυῶν ἱππημολγῶν γλακτοφάγων ἀβίων τε δικαιοτάτων ἀνθρώπων. ἤτοι λαμπρῶν, καὶ ἐνδόξων. ἢ ἐθνικὸν ὄνομα οὕτω καλουμένων ἵππους ἀμελγόντων. γαλακτοφάγοι γάρ εἰσιν. ὅθεν καὶ γλακτοφάγους αὐτοὺς εἶπεν. ἐκ τοῦ ἀμέλγω, ἀμολγός, καὶ ἱππημολγός, ὁ ἵππους ἀμέλγων. οἷον ἀρκούμενοι γάλακτι, καὶ λιτῇ ἢ λιτῇ διαίτῃ. καλῶς οὖν εἴρηται δικαιοτάτους. ἐπιθυμία γὰρ πλειόνων ἐπὶ ἀδικίαν ἄγει. τοῦτο συνιδὼν καὶ λυκοῦργος, κοινὴν καὶ οὐ περιττὴν λακεδαιμονίοις τράπεζαν εἰσήνεγκεν. ἀβίων δὲ ἤτοι βιοῖς μὴ χρωμένων. ὅ ἐστι τόξοις. τινὲς δὲ τούτους σαρμάτας φασίν. ἢ τὸ α κατ᾽ ἔκτασιν, ἵν᾽ ᾖ πολυβίων καὶ πολυετῶν. ἢ τὸν ἡμέτερον βίον μὴ ἐγνωκότων. ἐπιφέρει γὰρ δικαιοτάτων, ἢ μὴ βιαζομένων. ἔστι δὲ καὶ ἔθνος ἐν σκυθίᾳ. οἱ ἁμαξόβιοι καὶ νομάδες ὀνομαζόμενοι.

Γλαρίς, λιθοξοϊκὸν ἐργαλεῖον. καλλίμαχος. Καὶ γλαρίδες σταφύλη τε καθιεμένη τε μολιβδίς. παρὰ τὸ γλάπτω τὸ κοιλαίνειν τοὺς λίθους. ἢ ἀπὸ τοῦ γλαφυρὸς γλαφυρίς, καὶ κατὰ συγκοπήν, γλαρίς. σμίλην, ἢ ῥίνην, ἢ κόρυγμα.

Γλαύξ, πετεινὸν νυκτερινόν. ὃ καὶ τῇ ἀθηνᾷ προσανατίθεται. παρὰ τὸ γλαύσσω, γλαύξω κατὰ ἀφαίρεσιν τοῦ ω. ἔστι γὰρ ὀξυωπέστατον τὸ ζῷον, ἐν νυκτὶ ὁρᾶν δυνάμενον. δημόκριτος δὲ ἱστορεῖ ὅτι μόνον τῶν γαμψωνύχων καὶ σαρκοφάγων μὴ τυφλὰ τίκτειν. ὅτι πολὺ πυρῶδες καὶ θερμὸν περὶ τοὺς ὀφθαλμοὺς ἔχει. ὃ σφοδρῶς ὀξὺ καὶ τμητικὸν ὑπάρχον, διαιρεῖ καὶ ἀναμίγνυσι τὴν ὅρασιν. διὸ καὶ ἐν ταῖς σκοτομήνησιν ὁρᾷ διὰ τὸ πυρῶδες τῶν ὄψεων.

Γλαύσσουσιν, ἀντὶ τοῦ λάμπουσι. Διὰ γλαύσσουσι δ᾽ ἀταρποί. δηλοῖ γλαυκῶπις. καὶ γλαύσσειν, φαύσκειν.

Γλαυκός. τὸ ἐπίθετον τὸ σημαῖνον τὴν ἔχουσαν τὰ πυρώδη τὰ ὄμματα. παρὰ τὸ γλαύσσω, γλαυκός. ὡς λεύσσω λευκός. παρὰ δὲ τὸ γλαυκός, γίνεται ῥῆμα παράγωγον, γλαυκῶ, καὶ γλαυκιῶ. γλαυκή, ἰσχυρά, καὶ λευκή. γλαυκὸν γάρ, λαμπρόν. θρασύ. ἰταμόν.

Γλαύκιος, ὁ τὸ γλαυκὸν ἔχων ἐν τῷ ὀφθαλμῷ. παρὰ τὸ γλαύσσω, ὅ ἐστι λάμπω.

Γλαυκώπιον, τὴν ἀκρόπολιν οἱ ἀρχαῖοι, ἢ τὸ ἐν ἀκροπόλει τῆς ἀθηνᾶς ἱερόν. ἀπὸ γλαύκου τινὸς αὐτόχθονος, ἐν τῷ τόπῳ τούτῳ κατοικήσαντος.

Γλαυκῶπις. ἤτοι γλαυκόφθαλμος. καλή. ἢ γλαυκοὺς καὶ καταπληκτικοὺς τοὺς ὦπας ὅ ἐστι τοὺς ὀφθαλμοὺς ἔχουσα. ἢ ἀπὸ τοῦ δεινὸν γλαύσσειν τοῖς ὀφθαλμοῖς, ὅ ἐστιν ἀπαυθύσσειν. ἢ ἀπὸ τοῦ γλαυκὰ ὀπίζεσθαι. τουτέστιν ἐμβλέπεσθαι. ἢ ἀπὸ τοῦ γλαυκοποιοὺς ὄρους, ὃ λυκαβηττὸς καλεῖται. ἢ παρὰ τὸ γλαύσσω, γλαύξω. δηλοῖ καὶ ἡ γλαύξ, τὸ ὄρνεον.

Γλαφυρή, ὄμμα. ἡ γλαφυρά. τὸ ἀρσενικόν, ὁ γλαφυρός. γίνεται παρὰ τὸ γλάφω τὸ διορύττω. δηλοῖ καὶ γλάφυ πέτρησεν. σημαίνει δὲ τὸ σπήλαιον. γλάφω. γλάψω. ἔγλαψα. ἡ μετοχή, γλάψας. οἷον, εὐνὰς ἐν ψαμάθοισι διαγλάψας ἁλίῃσιν. ὅμηρος. διακοιλάνασα.

Γλαφυρόν, ἡδύ. κοῖλον. βαθύσοφον. ἔμπειρον, ἀκριβές. ἀντὶ τοῦ κοίλου. παρὰ τὸ γλάπτω, τὸ κοιλαίνω, ἢ διορύττω. δηλοῖ γλάμματα. καὶ γράμματα. γλάπτω γλαφυρός, ὡς λέπω λεπυρός. ἀντὶ δὲ τοῦ ἡδέος, τὸ διορύττον καὶ κινοῦν τὴν ἀκοὴν πρὸς ἡδονήν. καταχρηστικῶς δὲ καὶ ἀντὶ τῶν ἄλλων. ἔστι δὲ καὶ ῥῆμα. γλαφυραφόρμιγξ, ἡ γεγραμμένη καὶ κεκοιλασμένη. καταχρηστικῶς λέγεται γλαφυρὸς ἄνθρωπος, παρὰ τὸ γλάπτω. ἢ παρὰ τὸ γλάφω. γλύφω, γλαφυρός. ὡς θρύπτω, τρυφός. καὶ ὡς δάσος, δασύς. πάχος, παχύς. οὕτω γλάφος, γλαφύς. καὶ γλαφὺ τὸ κοῖλον σπήλαιον. ἄντρον. Γλάφυ πέτρησεν, ἡ ὁδός.

Γλήνη. ἡ κόρη τοῦ ὀφθαλμοῦ. γαλήνη τις οὖσα. καὶ κατὰ συγκοπήν, γλήνη. παρὰ τὸ γαληνιοῦσθαι τὸν νοῦν δι᾽ αὐτῆς τῇ τῶν ὁρατῶν ποικιλίᾳ. ἢ παρὰ τὸ αἴγλην, αἰγλήνη. καὶ ἀποβολῇ τῆς αι συλλαβῆς. ἢ ἀπὸ τοῦ γλαύσσειν, ὅ ἐστι λάμπειν. εἰσὶ γὰρ ἔμπυροι. ὅθεν καὶ ὁ λέων παρ᾽ ὁμήρῳ γλαυκιόων.

Γλήνεα, κόσμια. πολλῆς θέας ἄξια. ἀξιοθεατότατα χρήματα, παρὰ τὴν αἴγλην τὴν λαμπρότητα. τὰ ποικίλματα. οἱ δὲ, ζώδια.

Γλεῦκος, τὸ ἀπὸ τῆς ληνοῦ ἀπόσταγμα αὐτομάτως καταρρέον ἀπὸ τῆς σταφυλῆς. ἔστι δὲ τοῦ τρυγὸς γλυκύτατον καὶ λιπαρώτατον.

Γλήνην, κόρην. ὄψιν. ὀφθαλμόν. παίγνιον. οἱ δὲ, κατ᾽ οὐδενὸς ἄξιον. καὶ τὴν πεπλασμένην κόρην, πρόσοψιν. καὶ γλήνας, τὰ κηρία τῶν μελισσῶν.

Γλαυσόν, λαμπρόν. καὶ γλαύσσει, λάμπει. φαίνει. φαύσκει. καὶ γλαῦξον, ἐπίλαμψον.

Γλαυκίζειν, τὸ ἀμβλυώττειν.

Γλίσχρον, ἰατρικῶς τὸ ἐχέκολλον καὶ μὴ διασπώμενον. γλίσχρως δὲ τὸ εὐτελῶς καὶ λεπτῶς διαιτᾶσθαι.

Γλισᾶς, ὄνομα πόλεως. κλίνεται δὲ γλισᾶντος. καὶ ὤφειλεν εἶναι γλισᾶ, ὡς θωμᾶς, θωμᾶ. μηνᾶς, μηνᾶ. ἀλλ᾽ ἔστιν εἰπεῖν ὅτι ἀπὸ τοῦ γλισάεις γλισάεντος. ὡς τιμήεντος, τιμῆντος. παράγεσθαι δὲ λέγουσιν ἀπὸ τοῦ γλίαρχος. ἀποστρέφεται δὲ τὴν ει δίφθογγον. γλίον τὸ ἰσχυρόν. γλία, ἡ κόλλα. γλιάσαι, τὸ παίζειν.

Γλιχύτης, ἡ ἀτυχής. ἡ ἐρωτική.

Γλιχώ, ἡ φειδωλός, ἢ περίεργος.

Γλίνα, ὁ ῥύπος.

Γλίσχρος. ὁ λίχνος καὶ ἐπιθυμῶν ἐφυβρίστως. οἱονεὶ λίσχος, ὁ λίαν ἐπὶ πολὺ ἐχόμενος. πλεονασμῷ τοῦ γ. ἢ παρὰ τὸ γλίχω. ὡς κόπτω, κόπρος. κάπτω, κάπρος, ὁ γλιχόμενος τροφῆς ὑπὲρ τὸ δέον. εἰς δὲ τὸ ῥητορικὸν λεξικὸν εὗρον ὅτι τὴν λέξιν ἐμπαθές, κολλῶδες. καὶ γλίσχρος, ἀτυχής. φειδωλός. σκνιφός. πάνυ ἐπιπαρός.

Γλιχόμενος, καρτερῶν, ἢ ἐπιθυμῶν. ἀριστοφάνης ἐν γεωργοῖς. Τί δῆτα τούτων τῶν κακῶν ὦ παῖ γλίχῃ. γλίχεσθαι, λίαν ἔχεσθαι. ἐπιθυμεῖν. παρὰ τὸ λίαν ἔχεσθαι. καὶ πλεονασμῷ τοῦ γ, γλίχεσθαι.

Γλουτός, τὸ σφαίρωμα τῆς κοτύλης. ἢ τὸ ὑπὸ τὸν πρωκτὸν μέρος ὄπισθεν τῶν μηρῶν. διὰ τὸ τρυφερὸν καὶ ἁπαλόν, καὶ γλιῶδες, οἱονεὶ γλοιοί τινες ὄντες. καὶ γὰρ οὗτοι μετὰ λειότητος ὑγροί εἰσιν. ἢ τοῦ λαγόνας εἶναι.

Γλοιός, ὁ νωθρός. καὶ γλοιὸν τὸ λιπαρὸν καὶ μοχθηρὸν τῷ ἤθει. καὶ γλοιάζειν, τὸ τοῖς ὄμμασιν ἐπιμύοντα μυκτηρίζειν καὶ κακοηθεύεσθαι. οἱ δὲ, διαγελᾶν.

Γλυκύς. παρὰ τὸ γλεῦκος ὅ ἐστιν ὁ νεωστὶ ἀποστάζων ἐκ τῆς ληνοῦ οἶνος. τὰ δὲ εἰς υς ἐν γενικῇ, ποιοῦσι συγκριτικὰ καὶ ὑπερθετικά. οἷον, ὁ βραδύς, ἡ βραδεῖα, τὸ βραδύ. τὸ συγκριτικόν, βραδύτερος, βραδίων, βράδιστος. οὕτως οὖν καὶ γλυκύς, γλυκεῖα, τὸ γλυκύ. καὶ τὸ συγκριτικόν, γλυκύτερος, γλυκίων, γλύκιστος. ὅθεν τὸ πρεσβύτερος, καὶ νεώτερος παραλόγως. ἀπαρασχημάτιστα γὰρ τοῖς ἐν γενέσιν. ἀλλὰ μήποτε ὁμότυπα συγκριτικὰ ὄντα ταῦτα ὑπάγονται. φιλόξενος.

Γλύκιον. ὅτι τὰ εἰς ων συγκριτικὰ ὑπὲρ δύο συλλαβάς, ἀναβιβάζουσι τὸν τόνον ἐπὶ τῆς κλητικῆς. ἀρείων, ὦ ἄρειον. βελτίων, ὦ βέλτιον. ὦ γλύκιον.

Γλύσσων, ὁ γλυκύτερος, παρὰ ἀριστοφάνει. Γλύσσονα σῦκα. παρὰ τὸ γλυκίων, γλύσσων. ὡς βραδίων, βράσσων.

Γλύκων, εὐήθης.

Γλυφίς, παρὰ τὸ γλάφω, γλύφω. γλυφίς, ἡ χηλὴ τῆς ἀκίδος. ἤγουν ἡ ἐκκοπὴ τοῦ βέλους, ἡ ἐντιθεμένη τῇ νευρᾷ τοῦ τόξου. παρὰ τὸ ἐγγεγλύφθαι. ὅ ἐστι κεκοιλάνθαι. ἢ παρὰ τὸ γλάπτω, γλαφίς, καὶ γλυφίς. οἷον,

Ἕλκε δ' ὁμοῦ γλυφίδας τε λαβὼν καὶ νεῦρα βόεια. τὰς παρὰ τοῖς πτεροῖς ἐντομὰς τοῦ βέλους. γλυφὶς καὶ ἡ κεφαλὴ τοῦ κίονος. λαΐνεαις χαλκίοις τε γλυφίδεσσιν ἀρηρότα. λέγεται γλυφὶς, καὶ τὸ γλυφοῦν ἐργαλεῖον. ὃ καὶ γλύφανον ὠνόμασε θεόκριτος. λέγεται δὲ κατὰ σύνθεσιν, ὦ τε γλυφίς.

Γλύφιον, ἀγρόν τι καὶ ὄρος. ὅθεν νύμφαι γλυφίαι.

Γλῶσσα, παρὰ τὸ γνῶ γνώσω γνῶσσα, καὶ γλῶσσα. ἡ ὑπὸ γνῶσιν ἄγουσα τὰ ἐν τῇ διανοίᾳ. ἢ δι' ἧς τὰ τῆς ψυχῆς βουλεύματα γινώσκομεν. ἢ παρὰ τὸ κλώθω κλώσω κλῶσα, καὶ γλῶσσα. κλωθομένης γὰρ τῆς γλώσσης, ἐξέρχονται οἱ λόγοι. ἢ διὰ τὸ εὐχερῶς κλᾶσθαι. καὶ γὰρ κλωμένη τὴν ἔναρθρον φωνὴν ἀποδίδωσι. διὰ δύο σσ. τὰ παρὰ ἀττικοῖς. Τόσσα, βραχύ. τὰ εἰς σα λήγοντα θηλυκὰ παραληγόμενα ἐν τῶν διπλῶν ἢ διὰ δύο σσ ἐκφερόμενα καὶ βαρυνόμενα, συστέλλει τὸ α. οἷον, μάζα. ῥίζα. δίψα. δόξα. ἢ καὶ οὕτω. τὰ εἰς σα λήγοντα θηλυκὰ ἀπὸ μελλόντων ἢ ἐνεστώτων γινόμενα, συστέλλει τὸ α. οἷον, κνίζω, κνίσω, κνίσα. ἵζω τὸ καθέζομαι. ἷζα, ῥίζα. ἄγω, ἄξω, ἄξα, καὶ ἅμαξα. μῶ τὸ ζητῶ, μώσω, μῶσα καὶ μοῦσα. σημαίνει τρία. τὸ μέρος τοῦ σώματος. ὡς τὸ, Τοῦ δ' ἀπὸ μὲν γλῶσσαν πρυμνὴν τάμε χαλκός. καὶ τὴν διάλεκτον. ὡς τὸ, Οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ' ἴα γῆρυς, ἀλλὰ γλῶσσ' ἐμέμικτο. σημαίνει καὶ σκεῦος. ἐξ οὗ καὶ γλωσσόκομον, τὸ τὰς γλώσσας δεχόμενον. τὰ δὲ περὶ αὐτὴν, τὴν αὐτὴν φυλάττει γραφήν. ἄγλωσσος. ἑτερόγλωσσος. πολύγλωσσος.

Γλωσσάσπις, ὁ τῇ γλώσσῃ οἷον ἀσπίδι καὶ προβολῇ κεχρημένος. ἀπὸ μεταφορᾶς τῶν πολεμούντων.

Γλωττοστροφεῖν, περιλαλεῖν, καὶ στωμύλλεσθαι.

Γλωττοδεψεῖν, αἰσχρουργεῖν.

Γλωσσάργιον, στόμφριον, ἢ ταχύγλωσσον.

Γλωττοποιός, ὁ τὰς αὐλητικὰς γλώττας ποιῶν.

Γλωττοκομεῖον, ἐν ᾧ οἱ αὐληταὶ ἀπετίθεσαν τὰς γλώττας. εἴρηται δὲ καὶ τὸ γυναικεῖον αἰδοῖον ὑπὸ εὐβούλου. φοινικιστὴν σκώπτοντος.

Γλυκυθυμία, ἡ περὶ τὸ ζῆν ἡδονή. καὶ οἷον φιλοψυχία. λέγεται ἁπλῶς καὶ πᾶσα ἡδονή.

Γλωχίν, ἡ γωνία. καὶ οἰστῷ τριγλώχινι. τρεῖς ἀκίδας ἔχοντι. τουτέστι τριγώνῳ. παρὰ τὸ γλύψαι καὶ κοιλᾶναι. ἢ παρὰ τὸ γωνίας ἔχειν. ἢ παρὰ τὸ γλάφω, γλωχίν.

ΤΟ ΓΑΜΑ ΜΕΤΑ ΤΟΥ Ν.

Γνάθος, ἡ παρειά. παρὰ τὴν γνάμψιν καὶ κάμψιν ἢ κλάσιν. ἡ καμπτομένη σιαγών. οἷον, φυσᾷ γνάθος ἀντίον ἥκυδα.

Γναθμός, οἷον, Γναθμὸν ἐξελάσαιμι συὸς ὡς ληϊβοτείρης. ἔστι δὲ ἡ γνάθος. παρὰ τὸ γνάπτω, γέγναπται, γναπτός, καὶ γναθμός. ὡς κέκλαυσται, κλαυθμός. ὁ δὲ ἡρωδιανός, γνάθος. καὶ πλεονασμῷ τοῦ μ, γναθμός. ὄνομα προσηγορικόν. γέγονε δὲ παρὰ τὸ κάμπτω. τροπῇ τοῦ κ εἰς γ. ὡς κόνυ, γόνυ. γίνεται γνάπτω. ὁ παθητικὸς παρακείμενος, γέγναμμαι, γναμμός. καὶ τροπῇ τοῦ μ εἰς θ, γναθμός.

Γνάμπτω, ἐκ τοῦ κάμπτω. σύνηθες δὲ τοῖς παλαιοῖς λέγειν γνάπτω. ἀνεγνάφθη δὲ ἡ αἰχμή, ἄνευ τοῦ μ. καὶ ἐπέγναψε γὰρ ἅπαντας, ἄνευ τοῦ μ. ἐν τῇ συνηθείᾳ. Οἱ δ' ὥστ' αἰγυπιοὶ γαμψώνυχες. καὶ τὸ ἐοίκαμεν ὑπὸ συγκοπῆς ἀχθὲν, ἔοιγμεν. μετὰ τῆς ἀνὰ προθέσεως, ἀναγνάμπτω. ἡ δὲ ἀνά, σημαίνει τὴν ἐξ ὑστέρου ἐπάνοδον. Τὰ εἰς πτω λήγοντα ῥήματα, βαρύνεται. βλάπτω, βάπτω. ὀπτῶ. τὸ δὲ ὀπτῶ, ἐκ τοῦ ὄπτω βαρυνομένου διήλλαξε. χωρὶς εἰ μὴ προκατάρχει ὄνομα. διὰ τὸ ἀελπτῶ καὶ ἀεπτῶ. ἔστι δὲ ἄελπτος καὶ ἄεπτος.

Γνήσιος, γεννήσω, γεννήσιος. ὡς θαυμάζω, θαυμάσιος. καὶ κατὰ συγκοπὴν, γνήσιος. ὁ ἐκ τῆς αὐτῆς γεννηθείς, καὶ μὴ νόθος. ἢ ἀπὸ τοῦ γεννητὸς, γεννητόσιος, ἢ γεννήσιος. ὡς πλοῦτος, πλούσιος. καὶ συγκοπῇ, γνήσιος. αἱ δὲ παιδοποιίαι παρὰ τῷ ποιητῇ, τετραχῶς λέγονται. γνήσιος, ὁ ἐκ νομίμων γάμων. νόθος ὁ ἐκ παλλακίδος. παρθένιος, ὁ ἐκ παρθένου νομιζομένης. καὶ σκότιος, ὁ ἐκ λαθραίας μίξεως.

Γνόφος, ἡ συννεφία. ὁ ζοφώδης ἀήρ. παρὰ τὸ κενὸς φάους εἶναι, κνόφος καὶ γνόφος. ἢ παρὰ τὸ νείφω, νόφος. καὶ πλεονασμῷ τοῦ γ. ἢ παρὰ τὸ δεύειν καὶ τὸ νέφος, γίνεται δνόφος. καὶ ἐν συγκοπῇ, δνόφος καὶ γνόφος.

Γνοίης, ἐκ τοῦ γνῶμι. ἡ μετοχὴ, γνούς. καὶ τὸ εὐκτικόν, γνοίην, Γνοίης χ' οἵου φωτός. τὸ πλῆρες, γνοίησκε, ἀντὶ τοῦ μάθοις ἄν.

Γνὺξ, ἐπὶ γόνατα. παρὰ τὸ γόνυ, γόναξ. καὶ, Γνὺξ δ' ἔριπεν οἰμώξας. ἀντὶ τοῦ ἐπὶ γόνυ ἔπεσεν.

Γνύπετον, ἀργόν, ἢ ἔκλυτον.

Γνύπετοι, στυγνοί. καὶ οἷον νενυγμένοι. καὶ τὸ κατεγνυπῶσθαι ῥῆμα, [illegible] δηλοῖ. ἢ ἐκτεταμένοι. δειλοί. ἄλλοι, κατηφεῖς.

Γνώμη, ποιά τις διάθεσις. παρὰ τὸ νοῶ νοήσω, νοήμη. καὶ κατὰ κρᾶσιν, νώμη. καὶ πλεονασμῷ τοῦ γ, γνώμη. καὶ γνωματεύοντες.

Γνωματεύω, ἐγίνωσκον ὅσοι ἦσαν ἀφηρημένοι. παρὰ τὸ γνώμη καὶ τὸ ματεύω τὸ ζητῶ. σημαίνει δὲ τὸ διακρίνω. καὶ διαγινώσκω ἀκριβῶς.

Γνώμων, ὁ ὀδοὺς τῶν ἀλόγων ζώων. ἔνθεν καὶ προβατογνώμων εἴρηται, ἀπὸ τοῦ τὸν χρόνον ἀπ' αὐτοῦ διαγινώσκεσθαι. ἔνθεν καὶ λέγεται γνώμων, ὁ ἤδη βεβληκὼς τοὺς ὀδόντας. ἐγὼ δὲ εὗρον ἐν τοῖς ῥητορικοῖς τὴν λέξιν σημαίνουσαν οὕτως. γνώμων ὁ συνετός. λέγεται καὶ γνώμων κανόνιόν τι μηχανικόν. καὶ τι σχῆμα γεωμετρικόν. καὶ διοπτρικοῦ ὀργάνου μέρος. καὶ δὴ καὶ ἀστρονομικοῦ. ἀλλὰ καὶ τὸ ἐν τοῖς γνωμονικοῖς ὀργάνοις μάλιστα λαμβανόμενον. καὶ γνώμονες, ἄρχοντές τινες ἀθήνησι λέγονται. καὶ οἱ ἀκριβεῖς ἀπὸ τοῦ γνῶναι.

Γνώριμος, παρὰ τὸ γνώσω μέλλοντα, γίνεται γνώσιμος. ὡς ὠνήσω ὠνήσιμος. καὶ τροπῇ τοῦ σ εἰς ρ, γνώριμος.

Γνωτὸς, ὁ ἀδελφός. παρὰ τὸ γνώσω μέλλοντα, γίνεται γνωτός. ὅτι τῶν ἄλλων μᾶλλον γινώσκεται. ἢ ὁ ἅμα τινὶ γεννητὸς, γνητὸς καὶ γνωτός. ἔστι δ' ὅτε σημαίνει καὶ τὸ φανερὸν καὶ γνώριμον. ὡς τὸ, Γνωτὸν δὲ μάλα καὶ ὃς νήπιός ἐστιν.

Γνωσιμαχῆσαι, γνόντα ὅτι πρὸς κρείττονα αὐτῷ ἐστιν ἡ μάχη. ἡσυχάσαι. ἢ μεταβουλεύσασθαι. καὶ τὸ ἤδη κεκυρωμένῃ γνώμῃ μάχεσθαι. ἢ τὸ νοεῖν τὴν ἑαυτοῦ ἀσθένειαν. τήν τε τῶν ἐναντίων ἰσχύν.

Γνώσεαι, ὁ κανών. οἱ ἴωνες ἐπὶ τῶν τρίτων προσώπων τῶν παθητικῶν ἀποβάλλοντες τὸ τ, δεύτερον ποιοῦσιν. οἷον, βούλεται, βούλεαι. οὕτω γνώσεται, γνώσεαι.

Γνῶτε, ἐκ τοῦ γνῶμι γνώσω. ὁ δεύτερος ἀόριστος, ἔγνων. ἡ μετοχὴ, γνοὺς γνόντος. καὶ τὸ προστακτικὸν, γνῶθι γνώτω. γνῶτε. φυλάττει δὲ τὸ ω παραλήγουσαν τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν. ἐκ τοῦ γνῶ, γίνεται παράγωγον γνῶμι. ὁ μέλλων, γνώσω. ὁ δεύτερος ἀόριστος, ἔγνων. καὶ τὸ ὑποτακτικόν, ἐὰν γνῶ, ἐὰν γνῷς, ἐὰν γνῷ. Γνῶ δὲ καὶ ἀτρείδης.

Γνώωσιν. Ἵνα γνώωσι καὶ οἵδε. ὅπως μάθωσι καὶ οὗτοι. ὑποτακτικόν ἐστιν ἐνεστῶτος καὶ παρατατικοῦ. ἐστὶ γνώω ἐκ τῆς συζυγίας τῶν περισπωμένων. Τὰ διὰ τοῦ ωω καθαρὰ δισύλλαβα, διὰ τοῦ ω μεγάλου γράφεται. σώω. ζώω. χώω. ῥώω. ἔνθα ῥώοντο. πλώω καὶ γνώω οὕτως. ὅμοιον δὲ τὸ κολωῶ κατὰ τὴν γραφὴν οὐ κατὰ τὸν τόνον. οὐδὲ κατὰ τὴν ποσότητα τῶν συλλαβῶν. τοῦτο γὰρ καὶ πρώτης καὶ δευτέρας συζυγίας ἐστί. καὶ παρὰ φιλοξένῳ σὺν τῷ ι γράφεται. τὸ ἀλώω, ἢ βώω, ἢ ἐπαύξησιν χρονικὴν ἔσχον, ἢ πλεονασμὸν τοῦ ω. ἐκ δὲ τοῦ γνώω, ὁ παρακείμενος, ἔγνωκα. ὁ παθητικός, ἔγνωσμαι. ἐξ οὗ καὶ τὸ ἐγνώσθην.

ΤΟ ΓΑΜΑ ΜΕΤΑ ΤΟΥ Ο.

Γογγύζω, ἀπὸ τοῦ γρύζω τὸ τῇ φωνῇ ὑποκλαίω καὶ παρακαλῶ. κατὰ ἀναδιπλασιασμὸν, γογγρύζω. πλεονασμῷ τοῦ ἑτέρου γ καὶ ἀποβολῇ τοῦ ρ, γογγύζω. οἱονεὶ τὸ τῇ φωνῇ ὑποκλαίω. ἢ τὸ γογγρύζω ἀπὸ τοῦ γογγύζω πλεονασμῷ τοῦ ρ. ὡς ἐρκτὸς ἄρρεκτος.

Γόγγρος, εἶδος ἰχθύος. παρὰ τὸ γρῶ ὃ σημαίνει τὸ ἐσθίω. ἀφ' οὗ κλίνεται γράω. καὶ ἔγρασεν, ἀντὶ ἤσθιεν. ἀφ' οὗ ῥηματικὸν ὄνομα γρὸς ὁ καθ' ἑαυτὸ οὐ ῥητόν. ἐν δὲ πλεονασμῷ, γόγγρος. ἀπεσθίει γὰρ τῶν πολυπόδων τὰς πλεκτάνας.

Γοισοῦται, πλατύνεται. ἐλαύνεται. χαλκεύεται. κάμπτεται. κοιλαίνεται. μελαίνεται.

Γόμφιοι, μύλοι. σφῆνες. δεσμά. ἄρθρα. σύνδεσμοι ὀδόντων. παρὰ τὸ κάμπτω, γίνεται γάμπτω. καὶ ἐξ αὐτοῦ, γόμφιος. διότι οὖν γνάμπτεται καὶ κάμπτεται ἡ τροφή. ἐπὶ δὲ τῶν σφηνῶν, Γόμφοισιν ἀρήρειν. ἀπὸ μεταφορᾶς τῶν ἡμετέρων γομφίων. ὥσπερ γὰρ ἀσφαλῶς δράσσονται οὗτοι καὶ σφίγγουσι τὰ παραβαλλόμενα αὐτοῖς, οὕτω κἀκεῖνα τὰς περιτιθεμένας αὐτοῖς σανίδας.

Γόμφος κυρίως τὸ ξύλινον καρφίον. παρὰ τὸ κένομμαι παρακείμενον, κόμφος, καὶ γόμφος.

Γόνος, παρὰ τὸ γείνω, γόνος. ὁ παῖς. σημαίνει τρία. ποτὲ μὲν ἀπόγονον. Ὄφρα ἴδῃς οἷος Ζηνὸς γόνος. τάσσεται καὶ ἐπὶ τῆς γονῆς. Γόνος δ' οὐ γίνεται αὐτῶν. ἐπὶ δὲ τοῦ οἰκέτου, Ἀπολλήξει τὸν ἐμὸν γόνον ἐξερέουσα. ἀντὶ τοῦ τὸ ἐμὸν γένος.

Γόνυ, παρὰ τὸ κονῶ τὸ ἐνεργῶ, κόνυ καὶ γόνυ. ἢ παρὰ τὸ ὡς γωνίαν ἀποτελεῖν ἐν τῷ κάμπτεσθαι τὸ σκέλος. ἐτυμολογεῖται δὲ παρὰ τὸ εἰς γῆν νεύειν. κλίνεται γόνυος. καὶ ἐν ὑποθέσει, γουνός. καὶ γόνατα, κόνατά τινα ὄντα. τροπῇ τοῦ κ εἰς γ. παρὰ τὸ κονεῖν ὅ ἐστιν ἐνεργεῖν. γόνατα γόνυα καὶ γοῦνα. καὶ γούνων, ἀπὸ τῶν γονάτων. ἢ ἀπὸ τῶν γονύων.

Γόος, ὁ θρῆνος. παρὰ τὴν βοήν, βόος. καὶ τροπῇ, γόος. ἢ παρὰ τὸ γέω τὸ χωρῶ, γέγονε γόος γόου. καὶ ἐξ αὐτοῦ ὄνομα ἀρσενικόν, γοερός. τὸ θηλυκόν, γοερά. τὸ οὐδέτερον, γοερόν. καὶ ἐπίρρημα, γοερῶς.

Γόης, ψεύστης. ἀπατεών. παραλογιστής.

Γόον. Οἱ μὲν ἔπειτα ζώοντα γόον ἔκτερα δῖον. ἀντὶ τοῦ ἐγόων. ἐθρήνουν. ὁ μὲν ἀπολλώνιος δευτέρας συζυγίας αὐτὸ εἶναι λέγει, καὶ παρατατικοῦ. ὁ δὲ ἡρωδιανός, δευτέρου ἀορίστου. ὥσπερ κτυπῶ ἔκτυπον, οὕτω γοῶ, ἔγοον. κάλλιον οὖν κατὰ συστολὴν λέγεσθαι παρατατικοῦ χρόνου. πειθόμεθα ἀπολλωνίῳ. οὕτω ζηνόδοτος.

Γοργός, ἀπὸ τῆς ὀργῆς ὀργὸς καὶ γοργός. γοργὼν, τὸ ζῷον τὸ τερατῶδες. καὶ πληθυντικῶς, γοργόνες. τρεῖς γὰρ ἱστοροῦνται καὶ καθ' ἡσίοδον. παρὰ δὲ τὸ γοργὸν τῶν ὀφθαλμῶν, ἢ παρωνύμως. διὰ γὰρ τῆς γοργότητος καὶ ὀξύτητος τῶν ὀφθαλμῶν, ἀπελίθουν τοὺς ὁρῶντας. ἰλιάδος θ. Γοργοῦς ὄμματ' ἔχων. γοργότητος. ἢ ἀντὶ τοῦ γοργόνος ὅ ἐστι φοβερά. ἀπὸ δὲ εὐθείας τῆς γοργὼ, γοργοῦς εἶπε τὴν γενικήν. ὡς σαπφώ, σαπφοῦς.

Γόργυρος, ὁ διόνυσος. ἀπὸ γοργύρας τόπου τῆς σάμου.

Γόργυρον, δεσμωτήριον. γοργύρα ὑπόνομος. βορβορώδης. καθόλου δὲ ἔλεγον οὕτω τὰς δυσεξιτήτους κατασκευάς, καὶ μὴ ἐπ' εὐθείας. εἰς τὸ γέργυρα.

Γογγυλόσκηνος, στρογγύλον τὸ σῶμα ἔχων.

Γοῖτον, ἔρυπον. οἱ δέ, τρῖσον.

Γοργεῖα, τὰ ῥαγικὰ προσωπεῖα. ἤγουν μορμολύκεια.

Γοργόν, δεινόν. οἱ δὲ φαιὸν ἱμάτιον.

Γοργυθίων, ὄνομα κύριον. παρὰ τὸ γοργὸς γόργυθος. καὶ ὡς ἐ-

φαιστος ἡφαιστίων, οὕτω γέργυθος γοργυθίων, ὁ γοργώτατος. πρέπει γὰρ ἥρωϊ τὸ ὄνομα.

Γοῦθος. ὁ ἄρχων σκυθῶν τῶν καλουμένων γούθων. ἔοικε γὰρ ἀπὸ τοῦ ἡγεμόνος αὐτῶν κληθῆναι. τὰ γὰρ πολλὰ ἔθνη, ἀπὸ τῶν ἡγεμόνων καλοῦνται. οὕτως ὦρος.

Γοῦρος, ληκύθου εἶδος. παρὰ τὸ γοῦρον ὅ ἐστι ῥύπος.

Γουνοῦμαι καὶ γουνάζομαι, τὸ ἱκετεύω. Καί μιν γουνάσομαι. γονυπετήσω. λιτανεύσω. ἱκετεύσω αὐτόν. κυρίως δὲ τὸ τῶν γονάτων ἁπτόμενον προσπίπτειν. ἀπὸ μὲν τοῦ γουνῶ, τὸ γουνοῦμαι. ἀπὸ δὲ τοῦ γουνάζομαι, τὸ γουνάσομαι.

Γουνὸς ἀλωῆς, ἐν τῷ γονιμωτάτῳ καὶ καρπίμῳ χωρίῳ τῆς γῆς. λέγεται δὲ γουνός, οὐ ψηλὸς τόπος. ἀπὸ μεταφορᾶς τῶν ἐν τῷ σώματι γονάτων ἃ ὀξέα εἰσί. ὥσπερ τινές, ὁ τραχὺς τόπος. ὁμοίως ἀπὸ τῶν γονάτων ὀστωδῶν καὶ τραχέων ὄντων. πλεῖον γὰρ ἐν τοῖς ὀρθίοις καὶ πετρώδεσι τόποις τὰ φυτὰ αὔξεται. παρὰ τὸ γονῶ ῥῆμα, γίνεται γόνος βαρύτονον, ὡς λέγω, λόγος. ὃ σημαίνει τὸ γεγεννημένον. ὁ δὲ γεννητικὸς γονός, ὀξυτόνως. πλεονασμῷ τοῦ υ, γουνός. ὁ γεννητικὸς τόπος. ὁ γόνιμος, καὶ κάρπιμος. ἡρωδιανός.

ΤΟ ΓΑΜΑ ΜΕΤΑ ΤΟΥ Ρ

Γραικός, καλλίμαχος. Γραικοὶ καὶ γῆς ἡμετέρης ἀδαεῖς. παρὰ τὸ ἔραισαι, ἐραικὸς καὶ γραικός. διὰ τὸ τὴν πολυανδρίαν, οὕτως οἱ ἕλληνες ἐκαλοῦντο. ἢ ἀπὸ ὀνόματος ἐθνικοῦ γραικοῦ. ὡς ἀπὸ τοῦ ἕλλην ἐθνικοῦ ἑλληνιστί, καὶ γραικιστί.

Γραῖα, παρὰ τὸ ἔραιω τὸ φθείρω. ἡ ὑπὸ χρόνου διεφθαρμένη. ἢ παρὰ τὸ γεραιός, γεραιά. καὶ ἐν συγκοπῇ, γραῖα.

Γραῦς, ἡ παλαιὰ γυνή. ἀπὸ τοῦ γράειν ὅ ἐστιν ἐσθίειν ἢ ξύειν. ἡ ταῖς ῥυτίσι κατεξυσμένη. ἢ παρὰ τὸ ἔραιω, ἐραῦς καὶ γραῦς, ἡ διαραιωθεῖσα ὑπὸ χρόνου. ἢ παρὰ τὸ γράφεσθαι ὅ ἐστι καταξέεσθαι. γραῦς, ἡ κατεξυσμένη τὸ σῶμα διὰ τὸ γῆρας.

Γραβδίς, ἡ λαμπάς, παρὰ τὸ γράφω τὸ ξύω. ἡ κατεξυσμένη καὶ διεσχισμένη. ἢ παρὰ τὸ γράφεσθαι τὸ ξέεσθαι, γραυδίς. ἡ κατεξεσμένη λαμπάς.

Γραπίς, ὁ ἐρρυτιδωμένος. ἀπὸ τοῦ καταγεγράφθαι ταῖς ῥυτίσι. καὶ γραπίνης, οἶνός τις τραχύς. Γράσων, ἡ χλωρὰ κριθή. παρὰ τὸ γράω ῥῆμα. δηλοῖ τὸ ἐσθίω. καλλίμαχος. Ὃς αἰζηῶν ἔγραε κηδεμόνος. ὅμως δὲ εὗρον τὸ ἔχον ἐγώ. οἷον, καὶ τόνος αἰζηῶν ἔγραε δὲ μοῦνος. τούτου ὁμήρων γραίσω. καὶ γράσος ὁ μωρὸς καὶ ἀνούστατος. κυρίως δὲ ὁ ἐν τοῖς τῶν προβάτων ἐρίοις συναγόμενος ῥύπος. καὶ γράσος, ἡ τῶν μασχαλῶν δυσωδία.

Γράσος, τὸ λιπαρὸν καὶ πιμελῶδες παρὰ ῥωμαίοις.

Γράδιον, σὺν τῷ ι. καὶ λέγουσί τινες ὅτι ἐπειδὴ καὶ τὸ γραΐδιον ἔχει τὸ ι, τούτου χάριν καὶ τὸ γράδιον. οἷον, Γραΐδιον κελουργεῖν. παρὰ ἀριστοφάνει. οὐκ ἔστι δὲ καὶ ἀναγκαστικὸς οὗτος ὁ λόγος. ἰδοὺ γὰρ καὶ τὸ αἰζηός οὐκ ἔχει τὸ ι, καὶ ὅμως τὸ αἰζήϊος ἐπλεόνασε τὸ ι. τὸν αὐτὸν τρόπον καὶ τὸ γράδιον μὴ ἔχον τὸ ι, ἐν τῷ γραΐδιον ἐπλεόνασε. Δεῖ γινώσκειν ὅτι οὔτε ἀπὸ τῆς γραίας ὅ ἐστι δύναται ἔχειν τὸ ι, οὔτε ἀπὸ τῆς γραῦς γραός. ἀπὸ μὲν τοῦ γραῦς, ὅτι ἐπειδὴ ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ φωνήεντος ἤρξατο. τότε δὲ ὡς ἔμαθον διὰ τοῦ διον ἐστὶν ἡ παραγωγή. οἷον, μῦς μυός, μύδιον. βότρυς βότρυος, βοτρύδιον. βιβλίον, βιβλίδιον. οὕτως οὖν καὶ ἀπὸ τοῦ γραῦς γραός, γράδιον. ἀπὸ δὲ τοῦ γραῖα γραίας ὅ ἐστιν, οὐ δύναται πάλιν ἔχειν τὸ ι. ἐπειδὴ πάλιν ἡ τελευταία συλλαβὴ τοῦ πρωτοτύπου τῆς γενικῆς ἀπὸ φωνήεντος ἤρξατο, καὶ τὴν αι δίφθογγον παραλήγεται. τότε δὲ διὰ τοῦ διον ἐστὶν ἡ παραγωγὴ καὶ ἀποβάλλεται τῆς αι διφθόγγου τὸ ι. οἷον, κεφάλαιον κεφαλαίου, κεφαλάδιον. σπήλαιον σπηλαίου, σπηλάδιον. οὕτως οὖν καὶ γραίας γράδιον, χωρὶς τοῦ ι. ἀλλ' ἐπεὶ ἡ παράδοσις ἔχει τὸ ι, συνηγορήσωμεν αὐτῷ, καὶ εἴπωμεν αὐτὸ σὺν τῷ ι γράφεσθαι. ἔστι γραῦις γραυΐδι παρὰ καλλιμάχῳ. καὶ ἐπειδὴ ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ συμφώνου ἄρχεται, τούτου χάριν διὰ τοῦ ιδιον γίνεται ἡ παραγωγή. οἷον, ψυχῆς, ψυχίδιον. Γνώμης, Γνωμίδιον. οὕτως οὖν καὶ γραῦις γραυΐδος, γραυΐδιον. καὶ κατὰ ἀποβολὴν τοῦ υ καὶ συναιρέσει τοῦ α καὶ ι εἰς τὴν αι δίφθογγον, γραΐδιον. ἢ λέγεται ὅτι ἀπὸ τοῦ γραῖα, γραῒς γραΐδος γραΐδιον, καὶ κατὰ συγκοπὴν τοῦ ἐνόσι καὶ συνθέσει· γραΐδιον. ἔστιν εἰς τὸ ἀργυρίδιον.

Γραφείδιον. ὥσπερ ἀπὸ τοῦ ἄγω ἐστὶν ἀγεῖον καὶ ἀγείδιον, οὕτω καὶ ἀπὸ τοῦ γράφω, γραφεῖον καὶ γραφείδιον.

Γραφείην, ἀπὸ τοῦ γράφω. ἡ μετοχὴ γραφεὶς γραφέντος. καὶ τὸ εὐκτικόν, γραφείην.

Γραμματοκύφων, ἀντὶ τοῦ γραμματεύς. ὅτι οἱ γραμματεῖς πρὸς κεκυφότες γράφουσιν. ἢ ἐν ἀγορᾷ γραμματεύς. ἐπεὶ οἱ ἀγοραῖοι τῷ κύφωνι μαστιγοῦνται. διὰ τοῦτο δὲ αὐτὸν εἶπε καὶ περίσσημμα ἀγορᾶς παρὰ δημοσθένει.

Γραῦς, ἀττικῶς. ἀναλογώτερον ἐστὶ τὸ γρεῦς. ῥέω. ὁ μέλλων, ῥεύσω. πλεονασμῷ τοῦ γ, γρεύσω. γραῦς, τὸ διερρυηκὸς γύναιον. γραῖς, ὁ κανών. διὸ μόνα ταῦτα εἰς αυς θηλυκὰ μονοσύλλαβα περισπώμενα. κλίνονται δὲ ἀμφότερα διὰ τοῦ ος. ναῦς, ναός. γραῦς, γραός.

Γράφω, πρὸς διάφορον σημασίαν. τὸ γὰρ εἴπω γράφω σοι δίκην, σημαίνει τὸ ἐπιστέλλω σοι. τὸ δὲ γράφω σε αἰτιατική, σημαίνει τὸ ἐκτύπωμά σου ποιῶ. τὸ δὲ γράφω σου γενική, σημαίνει τὸ ἐγγράφως κατὰ σοῦ εἰς δικαστήριον ἀποτίθημι. ἀντὶ τοῦ κατηγορῶ σου.

Γράμμα, ὃ δηλοῖ τὸ ποίημα, παρὰ τὸ γλάπτω τὸ κοιλαίνω. ὁ μέλλων, γλάψω. ὁ παρακείμενος, γέγλαφα. ὁ παθητικός, γέγλαμμαι. ἐξ αὐτοῦ γλάμμα. καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον, γράμμα. Ποσαχῶς τὸ γράμμα, ἑπταχῶς. γράμμα ὁ τόνος. γράμμα, ὁ χαρακτήρ. γράμμα ἡ ἐπιστολή. γράμμα τὸ ζωγράφημα. γράμμα καὶ τὸ ψήφισμα. γράμματα οἱ χαρακτῆρες τῶν στοιχείων. οἷον, Γράμματα δ' ἐν φλοιῷ γέγραπται. ἢ παρὰ τὸ γράφεσθαι ὅ ἐστι καταξέεσθαι. ὡς τρέφω θρέμμα, οὕτω καὶ γράφω γράμμα. ὅμηρος. Εὐνὰς δ' ἐν ψαμάθοισι διαγράψασθαι. γράμματα ἐκάλουν οἱ παλαιοὶ τὰ συγγράμματα. ὡς καλλίμαχος. Γράμματα δ' οὐκ ἐΐλιατεν ἀπόκρυφα. καὶ ὁμήρειον δὲ καλεῦμαι γράμμα. ἔνθεν καὶ γραμματικὴ ἡ παρὰ πολλοῖς γεγραμμένοις αὐτὴν προσεσχηκέναι βίβλοις. ἢ ὥσπερ παρὰ τὸ πρᾶγμα ἐστὶ πραγματικὸς καὶ πραγματική, οὕτω καὶ παρὰ τὸ γράμμα ἐστὶ γραμματικὸς καὶ γραμματική.

Γραμματεῖον, ἰστέον ὅτι τινὲς γραμματεῖον λέγουσι τὸ μικρὸν βιβλίον. ὁ δὲ ὦρος λέγει ὅτι οὐ λέγεται τὸ μικρὸν βιβλίον γραμματεῖον, ἀλλ' ἡ μικρὰ δέλτος. καὶ δῆλον εἴγε εἶπεν ὁ δημοσθένης γραμματεῖον καὶ βιβλίον.

Γραμματείδιον, ἀμφίβολον εἴτε διὰ τῆς ει διφθόγγου, εἴτε διὰ τοῦ ι. καὶ εἰ μὲν ἀπὸ τοῦ γραμματίου τοῦ σημαίνοντος τὸ μικρὸν γράμμα, διὰ τοῦ ι ἐστίν. ὡς ὀψάριον, ὀψαρίδιον. λαχανίον, λαχανίδιον. εἰ δὲ ἀπὸ τοῦ γραμματείου γέγονε τοῦ σημαίνοντος τὴν μικρὰν δέλτον, διὰ τῆς ει διφθόγγου. ὥσπερ ἀγγεῖον, ἀγγείδιον. γραφεῖον, γραφείδιον.

Γρηΰν, τὸ ἐπιπολάζον τῷ γάλακτι. νίκανδρος εἰς τὰ ἀντιφάρμακα.

Γρήϊον, παλαιόν. Γρηνη, ἄνθη σύμμικτα.

Γραινός, ἐραινός. ἐθνικόν. ῥωμαῖοι δὲ τὸ γ προθέντες, γραινόμασι.

Γρήνικος, ἔστι ὄνομα ποταμοῦ. παρὰ τὸ κρήνη, κρηνΐνος καὶ γρήνικος, ὁ ἐκ τῆς κρήνης. ἢ ἀπὸ τοῦ γῆ καὶ τοῦ νικῶ, γήνικος καὶ γρήνικος, ὁ τὴν γῆν νικῶν. ἢ ἀπὸ τοῦ νικῶ καὶ τοῦ γραικός, γέγονε γραίνικος. καὶ κατὰ μετάθεσιν τῆς αι διφθόγγου εἰς η. ἐκεῖ γὰρ οἱ γραικοὶ ἐνίκησαν τοὺς βαρβάροις.

Γρίπισμα, τὸ κέρδος.

Γριπεύς, ὁ ἁλιεύς. παρὰ τὸ γρῖπον παρωνύμως. ἢ ὁ ἐράπτων τοὺς γρίπους, τὰ ἁλιευτικὰ λίνα.

Γρηγορῶ, παρὰ τὸ ἐγείρω. οὗ ὁ μέλλων, ἐγερῶ. καὶ τροπῇ τοῦ ε εἰς ο, ἐγορῶ. καὶ πλεονασμῷ τοῦ γ καὶ ρ, γρεγορῶ. καὶ τροπῇ τοῦ ε εἰς η γρηγορῶ.

Γρίπος, τὸ δίκτυον. παρὰ τὸ ἀγρεύειν. ἐνδείᾳ τοῦ α. τὸ δ' αὐτὸ καὶ γρῖφος καλεῖται. παρὰ τὸ γράφειν, ὅ ἐστι ξύειν. ὅτι τὴν γῆν ξύων. γράφος, καὶ γρῖφος. λέγονται γρῖφοι καὶ τὰ δίκτυα καὶ τὰ συμπόσια καὶ ζητήματα. εἴρηται δὲ παρὰ τὸ ἀγρεύειν, ὅ ἐστι ζητεῖν. ὁ παρακολουθεῖ τῇ ἄγρᾳ καὶ τῇ θήρᾳ. ἡρωδιανός. καὶ γριφῶδες, τὸ δύσκολον, καὶ συμπεπλεγμένον λόγιον.

Γρῖφος, ζήτημα. αἴνιγμα δύσκολον. ἔνθεν καὶ τὴν χλεύην, γρίπισμα φασί. γρῖφον οὖν λέγεται τὸ δύσλυτον αἴνιγμα. ἴσως γὰρ φιάλην γέμουσαν οἴνου καὶ ἔλεγον αἰνίγματα ἐν τοῖς συμποσίοις ἀλλήλοις. καὶ ὁ ἐπέλυσεν, ὁ ἀπορηθεὶς ἔπινε τὴν φιάλην. Τὰ εἰς φος δισύλλαβα μονογενῆ ἀρσενικά, ἐπὶ φωνήεντι θέλουσι παραλήγεσθαι. λόφος. ζόφος. νέφος. κέπφος, εἶδος ὀρνέου. οὕτω καὶ γρῖφος. τὸ δὲ ῥοῦφος, οὐκ ἔστιν ἑλληνικόν, ἀλλ' ἰταλικόν. μονογενῆ, διὰ τὸ κῦφος. δισύλλαβα, διὰ τὸ φίλοιφος. σημαίνει δὲ τὸν φιλοσιτίαστήν. ὅμως. πᾶσα λέξις ἀπὸ τοῦ γρι ἀρχομένη, διὰ τοῦ ι γράφεται. γρίνπις, ὁ οὐρανός. γρῖνος, τὸ δέρμα. γρίσων, ὁ χοῖρος. ἀριστοφάνης δέ φησι δρομέως ὄνος.

Γριπώμενα, συνελιττόμενα καὶ σπασμωδῶς συμπάσχοντα. οἱ δὲ συνελίζοντα.

Γρώνη, ἡ κοίλη καὶ τετρημμένη πέτρα. ἢ δεχομένη τὰ σχοινία. παρὰ τὸ γῶ τὸ χωρῶ, γώνη καὶ γρώνη. κλίνεται γρώνης.

Γρωνοί, νομοὶ δρύϊνοί τινες ὄντες. κατὰ ἐναλλαγὴν τοῦ δ εἰς γ. οἷον, Γρωνοὶ μὲν δαίοντο μέγας δ' ἥφαιστος ἀνέστη. ἢ γρωνοί, τὰ τῶν γεράνδρυων ξύλα. ὡς τὸ γέροντα, γέρωνα. κλίνεται γέρωνος γρωνός. σέλευκος. δαλός. λυκόφρων.

Γρυπός, ὁ ἐπικεκαμμένην ἔχων τὴν ῥῖνα. ῥυβὸν γὰρ τὸ ἐπικαμπὲς παρὰ τοῖς αἰολεῦσιν. ἢ τὸ ῥαιβόν καὶ τροπῇ τοῦ β εἰς π καὶ πλεονασμῷ τοῦ γ, γρυπός. ἢ παρὰ τὸ ῥέπω, ῥυπός, καὶ γρυπός. ἢ ἐφ' ἓν μέρει ῥέουσα ῥίς. σημαίνει καὶ τὸ ἐνστυγνόν.

Γρυπανίζειν, σείεσθαι τὴν γῆν βαλλομένην. καὶ ὥσπερ ῥυσοῦσθαι ἀπὸ σεισμοῦ. οὕτως ἀντιφῶν.

Γρυποῦσθαι, συγκάμπτεσθαι. γρυπαίνειν, τὸ ῥυποῦσθαι λέγεται. οἷον αὐτῶν παλαιῶν ξυλιφίων ὅταν κάμψαντες ἀφῶμεν αὐτά. ἀντιφῶν δέ φησιν ἐν ἀληθείας β. Καὶ ὧν γὰρ τὴν γῆν καὶ συντήκων, γρυπάνιον ποιεῖ. καὶ μελάνθιος. Ἐφεσμός φησι γέγονε καὶ ἔγρυπεν ἡ γῆ.

Γύαλον, τὸ κοίλωμα. οἷον θώρηκος γύαλον, ἀντὶ τοῦ κοῖλον τοῦ θώρακος. κυρίως δὲ τὸ κοῖλον τῆς χειρὸς λέγεται γύαλον. παρὰ τὸ γῶ τὸ χωρῶ καὶ λαμβάνω, ἐστὶ παράγωγον γύω. ἀφ' οὗ γύον. καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, γύαλον. ἡ πάντα χωροῦσα καὶ λαμβάνουσα. ὡς πτύω, πτύαλον.

Γύης, καὶ μέτρον τῆς γῆς, καὶ μέρος ἀρότρου. καὶ τοῦ μὲν μέμνηται ὅμηρος ἐν συνθέσει, πεντηκοντόγυον, πεντηκοντάγυον, ὅ ἐστι πεντήκοντα πλέθρων. Γύης γὰρ μέτρον γῆς. οἱ δὲ πεντήκοντα ζευγῶν. τοῦ δὲ ἀρότρου ὁ ὀδούς. Πρίονοι δὲ γύην. παρὰ τὸ γαῖα, ἐστὶ γύη. εἶτα ἡ γύη τῆς γύης. καὶ μεταχθείσης τῆς γενικῆς εἰς εὐθεῖαν, ἐστὶν ὁ γύης τοῦ γύου. ὥσπερ ἡ ἀράχνη τῆς ἀράχνης καὶ ὁ ἀράχνης τοῦ ἀράχνου.

Γυῖα, κυρίως τὰ τῶν ποδῶν λέγεται. παρὰ τὸ ἐπὶ τῆς γύης ὅ ἐστι τῆς γῆς ἱέναι. ἐπὶ γὰρ ταύτης βέβηκε. καὶ ἡ πρώτη κίνησις τῶν ἀνθρώπων διὰ χειρῶν καὶ ποδῶν ἐστί. ἢ παρὰ τὴν γῆν, ἐστὶ γηΐα. καὶ τροπῇ τοῦ η εἰς υ, γυῖα. τάττεται καὶ ἐπὶ τῶν χειρῶν. οἷον, Γυῖα δ' ἔθηκεν ἐλαφρὰ πόδας τε καὶ χεῖρας. ἔστι δὲ παρὰ τὸ γῶ τὸ χωρῶ, γύω καὶ γύον. ὡς πτῶ, πτύω. καὶ ἐνθεῦ, θύον. καὶ πλεονασμῷ τοῦ ι, γυῖον, τὸ λαμβάνον, καὶ δεχόμενον. δύναται δὲ καὶ ἐπὶ τῶν μικρῶν παιδίων τάττεσθαι ἡ λέξις. ταῦτα γὰρ χερσὶ καὶ ποσὶ βαίνουσιν ἐπὶ τῆς γύης τῆς γῆς. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν λοιπῶν μερῶν.

Γυιώσω, βλάψω. χωλώσω. κυρίως τὸ τὰ γυῖα, τουτέστι τὰ μέλη βλάπτειν. λέγεται καὶ ἀπὸ τοῦ γυιώσης, βλάψης. τὰ μέλη ἐκλύσης. ἔστι τὰ καὶ ἀντὶ βλάβης ἁπλῶς. καταχρηστικῶς δὲ καὶ ἀντὶ τοῦ ἁπλῶς βλάπτειν.

Γυμνός, ὁ ἄνευ ἱματίων. ὥσπερ παρὰ τὸ σκύζω, σκύμνος, καὶ στεύω στεμνός, οὕτω κύπτω κυμνός, καὶ γυμνός. ὁ γὰρ τοιοῦτος κύπτει κρύπτων τὰ αἰδοῖα ὑπὸ αἰδοῦς. ἢ παρὰ τὸ τὰ γυῖα μόνα ἔχειν, τουτέστι τὰ μέλη.

Γυμνάσια, οἱ τόποι ὅπου ἐγυμνάζοντο. κυρίως οὖν ἐπὶ τῶν ἀθλητῶν. ἐπειδὴ γυμνοὶ ἠγωνίζοντο. ἐπειδὴ πρῶτον γυμνὸς ὁ Ὄρσιππος ἔδραμεν ἐν Ὀλυμπίᾳ, ὥς φησιν Ὧρος. ἀφ' οὗ καὶ ὁ τόπος καὶ οἱ ἀγῶνες γυμνάσια. ἢ λουτρά, ἢ ἱππικοὶ ἀγῶνες, ἢ κυνηγέσια. ἔθος γὰρ τοῖς παλαιοῖς περιζώματα φορεῖν ἐν τοῖς αἰδοίοις, καὶ οὕτως ἀγωνίζεσθαι. κατὰ δὲ τὴν τριακοστὴν ἕκτην ὀλυμπιάδα Ὀρσίππου τοῦ Λακεδαιμονίου ἀγωνιζομένου λυθὲν τὸ περίζωμα, αἴτιον αὐτῷ λύπης ἐγένετο. ἐξ οὗ καὶ νόμος ἐτέθη γυμνοὺς τρέχειν.

Γυμνοπαιδία, ἑορτὴ Λακεδαιμονίων. ἐν ᾗ παῖδες ᾖδον τῷ Ἀπόλλωνι παιᾶνας γυμνοὶ εἰς τοὺς περὶ Πύλαιαν πεσόντας. γυμνάσαι λέγεται καὶ εἰς φῶς ἀγαγεῖν. ἐξ οὗ καὶ γεγυμνασμένον τὸ φανερὸν καὶ δεδαμασμένον.

Γύννις, ὁ γυναικώδης καὶ μαλακός. παρὰ τὸ γυνή, παρωνύμως γύννις. ὡς δάφνη, δάφνις, καὶ νύμφη, νυμφίς.

Γύαλα, τὰ ἄκρα καὶ τὰ τέρματα. ζώνας. τεμένη. πτερύγια. ποτήρια. πτύχας. στολισμούς. περιβόλους.

Γύαλος, κύβος. τετράγωνος λίθος.

Γυάλας, εἶδος ποτηρίου παρὰ Μακεδόσι.

Γυμνηλοί, οἱ ἀκτήμονες πένητες.

Γυμνασία, ἄσκησις. μελέτη.

Γυνή, παρὰ τὸ γῶ τὸ λαμβάνω καὶ δέχομαι, γονή. ἡ δεκτικὴ τοῦ σπέρματος. ἢ παρὰ τὸ γείνω, γίνεται γονή. καὶ τροπῇ τοῦ ο εἰς υ αἰολικῶς. ὡς ὅμοιον, ὕμοιον, γονή γυνή. ἄκλιτον δὲ ἐστιν. ἐπειδὴ τὰ εἰς η λήγοντα δισύλλαβα τῷ υ παραληγόμενα ἐκτεταμένον ἔχουσιν. οἷον, μύνη ἡ πρόφασις καὶ προτροπή. βύνη ἡ θεός, ἥτις καὶ ἰνὼ ὕστερον ἐκλήθη. θύνη, ὄνομα κύριον. τὸ δὲ γυνὴ συστέλλει τὸ υ. διὰ τοῦτο οὖν ὡς μονήρης ἄκλιτος μένει. εὕρηται δὲ παρὰ Φερεκράτῃ ἡ αἰτιατικὴ τὴν γυνήν. οἷον, τὴν γὰρ τοιαύτην δεῖ καὶ μητέρα εἶναι καὶ γυνήν. καὶ αἰτιατικὴ τῶν πληθυντικῶν, ἀλλ' ὁρῶ τὰς γύνας.

Γυναικός. ἰστέον ὅτι ἑτερόκλιτόν ἐστιν. ἐπειδὴ ἀπελείφθη ἡ γύναιξ εὐθεῖα. τὰ γὰρ εἰς αιξ κοινά εἰσι τῷ γένει. οἷον, ὁ αἶξ καὶ ἡ αἶξ. ὁ γραῖξ, καὶ ἡ γραῖξ. ὁ θρᾶξ, καὶ ἡ θρᾶξ. τοῦτο δὲ ἐπειδὴ τὸ σημαινόμενον κωλύει εἶναι ἀρσενικόν. οὐ γὰρ λέγεται ὁ γύναιξ, ἀπελείφθη. ἔστι δὲ ἡ γενική, γυναικός. ὡς ἀπὸ τῆς γύναιξ εὐθείας.

Γυναιμανές, ἐκ τοῦ μαίνω μανῶ, καὶ τοῦ γυνή γυναικός, γίνεται γυναιμανὲς κατὰ συγκοπήν. οὐ κατὰ τῆς γύναι κλητικῆς ἔχει τὴν σύνθεσιν, ἀλλ' ἀπὸ τῆς γυναικός, λέγεται γὰρ ὀφείλεσθαι γυναικομανές. καὶ κατὰ συγκοπήν, γυναιμανές. ἢ λέγεται ὅτι ὥσπερ παρὰ τὸ τιμή, τιμόθεος, οὕτω καὶ ἀπὸ τοῦ γυνή, γυνομανές. καὶ κατὰ μετάθεσιν τοῦ ο εἰς τὴν αι δίφθογγον. ὥσπερ μεσόπολις μεσαιπόλιος, γυναιμανές. σημαίνει δὲ ἤτοι ἐπὶ γυναιξὶ μαινόμενον, ἢ γυναῖκας εἰς μανίαν φέρων διὰ τὸ κάλλος. ἀλλ' οὔτε τὸ βακχέβακχος ἀπὸ κλητικῆς λέγεται σύντεθεν, ἀλλ' ἀπὸ τοῦ βάκχου, γέγονε βακχέβακχε. καὶ τροπῇ τοῦ ο εἰς ε. ὡς ἀλλοτρίβανον, ἀλλεξίβανον.

Γύρινοι, οἱ μικροὶ βάτραχοι. παρὰ τὸ γυρὸν τὸ περιφερές. τοιοῦτοι γάρ εἰσι.

Γυριννώ, ὄνομα κύριον Λεσβίας κόρης. εἴρηται παρωνύμως, παρὰ τὸ γύρινος ὃ δηλοῖ τὸν βάτραχον, γυριννώ. ὡς ἔρατος, ἐρατώ. καὶ κλέος, κλεὼ καὶ κλειώ.

Γυρός, γυρὸς ἐν ὤμοισιν. ὀδυσσείας τ. ὁ περιφερὴς καὶ στρογγύλος, ἢ κυρτός. τὸ θηλυκόν, γυρά. ἐξ οὗ καὶ γυραὶ πέτραι. καὶ βόθρος.

Γυρῶσαι. ἄρατος. καὶ φυτὰ γυρῶσαι. σημαίνει τὸ φιαλῶσαι καὶ περιφάξαι. ἢ βόθρον ὀρύξαι ἐν ᾧ τὰ φυτὰ κατατίθενται. παρὰ τὸ γῦρον ποιεῖν ἐν τῷ περιφάσσειν.

Γύψος, οἱονεὶ γῆς ψὸς τις οὖσα. ἢ ἑψηθεῖσα γῆ.

Γύψ, παρὰ τὸ γυρεύειν τὰ ὕλη.

Γῶ. γῶ, σημαίνει τέσσαρα. τὸ χωρῶ, ἐξ οὗ καὶ γῆ ἡ χωριτικὴ πάντων. τὸ λαμβάνω καὶ δέχομαι, ἐξ οὗ καὶ γωρυτός, ἡ τῶν βελῶν θήκη. χωρυτός τις οὖσα. παρὰ τὸ χωρεῖν τὰ ἔρυτα, τουτέστι τὰ τόξα, ἢ τὰ βέλη. εἰς ἣν τὰ ἔρυτα χωρεῖται. τὸ γεννῶ, ἐξ οὗ καὶ γυνή. τὸ φωνῶ, ὅθεν καὶ γεγωνώς.

Γωνία, ἔστι κάμπω τὸ πράττω. ἐξ οὗ γίνεται πόνος πονῶ. καὶ τροπῇ τοῦ π εἰς κ, κονῶ, κόνυ, καὶ γόνυ, τὸ μέλος κατὰ τὸ καμπτόμενον. ἐκ τοῦ γόνυ, τὸ κτητικόν, γωνία κατ' ἔκτασιν τοῦ ο εἰς ω. ὅπερ ἐπικαμπτεῖ τε καὶ κεκλασμένῳ σχήματι φύσει πεποίηται.

Γωνίδιον, ὡς τὸ ἀργυρίδιον.

Γυπαίειν, τὸ συσπᾶσθαι, καὶ φρίττειν, καὶ τρομαίνειν, καὶ οἴεσθαι τὴν γῆν πάλλομένην. καὶ ὡς περ ἅλλεσθαι ὑπὸ σεισμοῦ.

Γύλιος, εἶδός ἐστι πήρας στρατιωτικῆς, ἐν ᾧ εἰσι σκόροδα καὶ κρόμμυα. ὀξύνεται δὲ οὐχὶ παροξύνεται. διὸ γίνεται ἀγγεῖον ὁδοιπορικὸν εἰς ἀπόθεσιν τῶν ἀναγκαίων ὧν ἔχουσιν οἱ στρατιῶται. ἔστιν οὖν στρατιωτικὸν σκεῦος.

Γύλιον, χοῖρον, ἢ λέοντα. σημαίνει δὲ καὶ τὸν ἡρακλέα:—

ΤΕΛΟΣ ΤΟΥ ΓΑΜΑ
ΣΤΟΙΧΕΙΟΥ:—

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ ΔΕΛΤΑ ΣΤΟΙΧΕΙΟΥ.
ΤΟ ΔΕΛΤΑ ΜΕΤΑ ΤΟΥ ΑΛΦΑ:—

Δᾴδες, λαμπάδες. ἔχει τὸ ι. ἐπειδὴ εὕρηται κατὰ διάστασιν δαΐδων. γίνεται δὲ ἐκ τοῦ δαίω τὸ διακόπτω καὶ καίω. ὁ μέλλων, δαίσω. καὶ λοιπὸν ἐκ τοῦ δαΐς, καὶ δᾴς κατὰ συναίρεσιν. ἔμεινε δὲ τὸ ι ἀνεκφώνητον.

Δάειρα, ἡ Περσεφόνη παρὰ Ἀθηναίοις. παρὰ τὴν δᾷδα. ἐπειδὴ μετὰ δᾳδῶν ἐπιτελεῖται αὐτῇ τὰ μυστήρια. ἢ ὅτι δᾳδαφορεῖ.

Δαήρ, ἀνδρὸς ἀδελφός. παρὰ τὸ δαίω τὸ γινώσκω. ἀφ' οὗ τὸ ἐδάην. δαήρ, ὁ ἐν γνώσει ὢν τοῖς κατ' ἐπιγαμίαν οἰκείοις. τινὲς δὲ παρὰ τὸ δαίω τὸ καίω εἴγε τούτοις ἐν τοῖς γάμοις ἔθος ἐστὶ λαμπαδηφορεῖν. οὕτω καὶ παρὰ τὸ πατῶ τὸ συνουσιάζω, πατήρ.

Δαηρόν, λαμπρόν. ξηρόν. καυματηρόν.

Δαήμων, παρὰ τὸ δαίω δαῶ τὸ μανθάνω, δαήσω, δαήμων. ὡς διδῶ δηδήσω, δηδήμων. ἔνθα δὲ δάηκα, καὶ δαῶμεν.

Δαημονέστατα, τεχνικώτατα. ἐμπειρότατα. ἐπιστημονικώτατα. καὶ δαημοσύνη, μάθησις.

Δαΐφρων, διακόπτων. ἀπὸ τοῦ δαίω τὸ κόπτω. ἢ παρὰ τὴν δαΐν τὴν μάχην, ὁ καταμαχόμενος. σημαίνει καὶ τὴν νίκην καὶ πεύκην.

Δαΐς καὶ δᾴς, ἡ λαμπάς. Ἀριστοφάνης. ὅτι οὐκ ἔργον ἐστὶν ὧ δᾷς εἶναι πάλιν φλόγα. παρὰ τὸ δαίω τὸ καίω, δαΐς. ὡς κόπτω, κοπίς. καὶ λεπῶ, λεπίς. ἔστι καὶ δαῒς ἡ μάχη, παρὰ τὸ δαίω τὸ διακόπτω. κατὰ διάλυσιν δαΐω. καὶ πλεονασμῷ τοῦ ζ, δαΐζω. ὁ μέλλων, δαΐσω. ἐξ αὐτοῦ δαΐς. κλίνεται δαΐδος. ὁ κανών. τὰ εἰς ις ὀξύτονα θηλυκὰ ὑπὲρ μίαν συλλαβήν, διὰ τοῦ δος κλίνεται. οἷον, ἐλπὶς ἐλπίδος. δαῒς δαΐδος. ἡ δοτική, δαΐδι. καὶ κατὰ συγκοπὴν τῆς δι συλλαβῆς, δαΐ. ἐν δαῒ λυγρῇ. ἐξ αὐτοῦ δαΐφρων, ὁ πολεμικὸν φρόνημα ἔχων. παρὰ τὸ δαῒ δοτικήν, καὶ τὸ φρήν. ὁ τὰ περὶ πόλεμον φρονῶν. σημαίνει καὶ τὸν συνετόν. παρὰ τὸ δαίω τὸ γινώσκω. ἵν' ᾖ ὁ δεδαηκὼς φρόνησιν. ἢ παρὰ τὸ δα ἐπιτατικόν. ὁ μεγάλως φρονῶν. τὰ δὲ ἐκ δύο τελείων συγκείμενα ὀνόματα, ἢ ἀπὸ εὐθείας συντίθεται, ὡς τὸ ἕως, ἑωσφόρος, ἢ ἀπὸ γενικῆς, ὡς τὸ οὐδεὶς οὐδενός, καὶ τὸ ὥρα ἡ φροντίς, οὐδενόσωρα. καὶ θὴν θηνός, θηνάσσοντος. ἢ ἀπὸ δοτικῆς, ὡς ἄρηϊ, ἀρηΐφιλος. καὶ δουρί, δουρικλυτός. ἢ ἀπὸ αἰτιατικῆς, ὡς τὸ νοῦν, νουνεχής. καὶ πόδα, ποδαλείριος. ἀπὸ δὲ κλητικῆς μόνον, οὐ συντίθεται. ἀντὶ δὲ τοῦ δαΐφρονος πηνελοπείης, οὐ σημαίνει τὴν πολεμικήν, ἀλλὰ τὴν σώφρονα καὶ συνετήν. παρὰ τὸ δαῶ τὸ μανθάνω, δαΐσω. καὶ ἐξ αὐτοῦ, δαΐφρων. τὰ γὰρ ἀπὸ τῆς πρώτης συζυγίας τῶν περισπωμένων γινόμενα ὀνόματα, ἢ τῷ ο παραλήγουσιν, ὡς τὸ ἁμαρτῶ ἁμαρτεπής. μισῶ, μισογύνης. ἢ τῷ ι. ὡς τὸ ἐλῶ, ἐλίππους. οἰδῶ, οἰδίπους. ἁμαρτίνοος. οὕτω δαῶ δαΐσω, δαΐφρων. ἢ παρὰ τὴν διὰ πρόθεσιν καὶ τὸ φρήν, διάφρων. σημαινούσης ἐπίτασιν. καὶ ἐν ὑπερβιβασμῷ, δαΐφρων. σώφρων. ἐχθρόφρων δέ, πολέμιος.

Δάκνω, παρὰ τὸ δα ἐπιτατικὸν μόριον, καὶ τὸ καίνω τὸ κόπτω, γίνεται δακαίνω. ἐξ οὗ καὶ τὸ δαγκάνω, ἀποβολῇ τοῦ ι καὶ πλεονασμῷ τοῦ γ. εἶτα πάλιν ἀποβολῇ τοῦ ι καὶ συγκοπῇ, δάκνω. Καλλίμαχος. ξεῖνος ἐχιδναίων μὲρ ἀθεν ἄγων δάκετον.

Δάκετον, θηρίον ἑρπετόν. παρὰ τὸ δάκνω, δάκνετον καὶ δάκετον, καὶ δάκετος. δάκια τὰ μικρὰ θηρία.

Δάκος, τὸ θηρίον. παρὰ τὸ δάκνω. Πίνδαρος. ἐμὲ δὲ χρὴ φεύγειν δάκος ἀδινὸν κακηγορίαν. σημαίνει καὶ δῆγμα ὡς παρὰ Νικάνδρῳ. ἔνθα σῆμα δέ τοι δάκεος αἱμορροοῦς.

Δάκτυλος. διατί προπαροξύνεται. τὰ διὰ τοῦ υλος ἔχει τὴν πρώτην συλλαβὴν διὰ δευτέρου συμφώνου μηκυνομένην προσηγορικὰ ὄντα, προπαροξύνεται. οἷον, σφόνδυλος, γόγγυλος.

Δάκρυον, ὡς ἐπίπαν παρὰ τὸ ἐκ δέους ἢ ἐπὶ δέοντος ἐκρεῖν. παρὰ τὸ δήκω τὸ δαγκάνω. ἢ παρὰ τὸ δάκνω, δάκνυον καὶ δάκρυον. δακνομένης γὰρ τῆς ψυχῆς ἢ τῆς καρδίας, ἐξέρχεται τὸ δάκρυον. ἢ παρὰ τὸ δάκνεσθαι τὰ ὄμματα ὑπ' αὐτοῦ.

Δάκρυσι, δοτικὴ τῶν πληθυντικῶν. ἡ εὐθεῖα, τὸ δάκρυον. καὶ ὤφελλεν εἶναι δακρύοις. ἀλλὰ κατὰ μεταπλασμόν, δάκρυσιν. ὥσπερ πρόβασιν. ἡ γὰρ τέλους συλλαβὴ ἡ τοις, εἰς σι τρέπεται. προβάτοις, πρόβασι. ἐγκάτοις, ἔγκασι. πετάλοις, πέταλσι. πᾶν γὰρ πληθυντικὸν ἔχει ἀμετάβολον πρὸ τοῦ τέλους, τοῦτο ἔχει καὶ ἐν τοῖς ἑνικοῖς. ἕκτορσι, ἕκτορ. ἕκτορσιν, ἕκτορ. τὸ δὲ δάκρυ, γέγονεν ἀπὸ τοῦ δάκρυον. οὐ κατὰ ἀποκο-

ὀξύτονον, ἀλλὰ κατὰ σχηματισμόν. τὸ δάκρυ τοίνυν. ἡ γενική, δάκρεος. ἡ δοτική, δάκρει. καὶ τὸ πληθυντικόν, δάκρεα. ὡς πώεα ἄστεα.

Δακρυόεις, παρὰ τὸ δάκρυον. τὸ δὲ δάκρυον, ἢ παρὰ τὸ κρύος καὶ τὸ δα ἐπιτατικόν, ἢ παρὰ τὸ δα, καὶ τὸ κάμνω τὸ κόπτω. ἔστι δάκρυα. καὶ κατὰ συγκοπήν, δάκρυ. ἢ παρὰ τὸ δάκρυον, γέγονε δάκρυ. ἔστιν ἀπὸ συνθέτου λέξις ἁπλῆ. ἔστι γὰρ ἀρίδακρυς, γέγονε δάκρυς. πολύδακρυς, δάκρυς. οὕτως ἡρωδιανὸς περὶ παθῶν.

Δάκρυς, δακρύω. δακρύσω. ἀποβολῇ τοῦ ω, δάκρυς. καὶ μετὰ τοῦ πολύς, πολύδακρυς, πολυδάκρυος. προπαροξύνεται. Τὰ εἰς υς σύνθετα ἀρσενικὰ καὶ κοινὰ ὄντα τῷ γένει προπαροξύνεται. γέγονεν ἄλλως. τὰ εἰς υς ὀνόματα, εἴτε βαρύνεται, εἴτε ὀξύνεται, εἴτε περισπᾶται, ἐν τῇ συνθέσει συστέλλοντα τὸ υ, προπαροξύνεται. οἷον, ὀφρῦς, λευκόφρυς.

Δάκτυλος, παρὰ τὸ δράσσω, δράκτυλος τίς ὤν. παρὰ γὰρ τὸ δράσσεσθαι. ἢ παρὰ τὸ δέχω, δέξω, δέδεχα, δέδεγμαι, δέδεκται, δέκτυλος, καὶ δάκτυλος. καὶ δάκτυλοι, οἱ δεκτικοὶ ὄντες τῶν διδομένων. ἢ παρὰ τὸ δείκω, τὸ δεικνύω, δείκτυλοι, καὶ δάκτυλοι. δι' αὐτῶν γὰρ ἡ δεῖξις γίνεται. λέγονται δὲ δάκτυλοι, καὶ οἱ κορύβαντες. καὶ νομίζω αὐτοὺς δακτύλους ὠνομάσθαι, διὰ τὸ δεδέξασθαι, δακτύλους τινὰς ὄντας. ἢ δεκτύλους, τοὺς δεκτικούς, καὶ ὑπηρετικούς.

Δάκτυλα, ζήτει εἰς τὸ λύχνα.

Δακτύλιος, αὐτὸς τῆς ἕδρας. ἢ διὰ τὸ δακτύλοις ἐοικέναι εἶναι, ἢ ἀπὸ μεταφορᾶς τῆς στρογγυλότητος τοῦ σημαντῆρος τῆς σφραγίδος. ὁ δὲ φορούμενος δακτύλιος, ἀπὸ τοῦ περὶ τὸν δάκτυλον εἶναι. λέγονται δὲ δακτύλιοι, οἱ τετρημένοι λίθοι, ἐξ ὧν τὰ ἀπόγαια σχοινία ἀνάπτουσιν. ἐκ τοῦ ῥητορικοῦ. λέγεται καὶ τοῦ πηδαλίου τὸ ἄκρον. καὶ τὸ ἐπίσπαστρον τῆς θύρας.

Δαλός, ὁ πεπυρακτωμένος ἄνθραξ. ἢ λαμπάς, ἢ ξύλου ἀπόκαυμα. ἢ δαλίον ἡμίφλεκτον. λέγεται δὲ καὶ δαλός, καὶ δαελός παρὰ σαπφοῖ. παρὰ τὸ δαίω, δαλλός. ἢ παρὰ τὸ δαίω, δαερός. ὡς φαίνω, φανερός. καὶ ἀττικῶς, δαελός. καὶ ἰωνικῶς, δαυλός. καὶ κοινῶς, δαλός. παρὰ δὲ τὸ δαίσω μέλλοντα, γίνεται δαυλός. καὶ πλεονασμῷ τοῦ υ, δαυλός.

Δάμαρ, ἡ γαμετή. παρὰ τὸν γάμον, τροπῇ τοῦ γ εἰς δ, ἢ παρὰ τὸ δαμάζεσθαι καὶ ὑπεζεῦχθαι ἀνδρί. γυνή. φίλη.

Δαμάζω, παρὰ τὸ δέμας ἄζειν. ὅ ἐστι ξηραίνειν.

Δαμείη. δαμῶ τὸ ὑποτάσσω. ὁ μέλλων, δαμήσω. ὁ δεύτερος ἀόριστος, ἔδαμον. ἐδάμην, καὶ ἐδάμημεν. ἡ μετοχή, δαμείς. τὸ γὰρ μ τοῦ ν οὐκ ἔστι κλιτικόν. πᾶν γὰρ πρῶτον πρόσωπον καὶ τὰ ἑξῆς εἰς ς ὀξύτονον, ποιεῖ τὴν μετοχήν. τὸ εὐκτικόν, δαμείην. τὸ πληθυντικόν, δαμείημεν. καὶ κατὰ συγκοπήν, δαμεῖμεν καὶ δαμεῖεν. τὰ εἰς μεν εὐκτικὰ εἰς ῃ διφθόγγω. Ἀλλ' οἱ χοίδ' ἄλλοισι δαμείεν. τουτέστιν ὑποταγείεν. δαμείησαν δὲ ὤφειλεν εἶναι.

Δαμᾷ, ἰλιάδος α. Εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ. ἀντὶ δαμάζει. καταπονεῖ. ἐνεστώς. γέγονε δὲ παρὰ τὸ δέμω τὸ δαμάζω. ὁ δεύτερος ἀόριστος, ἔδαμον. κἂν ποτε τύχῃ τὸ ε σὺν ἄμεταβόλω, εἰς α αὐτὸ τρέπει ὁ δεύτερος ἀόριστος. ὁ μέλλων δεύτερος, δαμῶ. καὶ μεταγεται ὁ μέλλων εἰς ἐνεστῶτα. καὶ γίνεται δαμῶ, δαμᾷς, δαμᾷ. τινὲς δὲ οὕτω. δαμῶ, καὶ ὁ μέλλων, δαμάσω. τὸ τρίτον, δαμάσει. καὶ ἀποβολῇ τῆς ει συλλαβῆς, δαμᾷ. ἢ ὡς ἡρωδιανός. ἀπὸ τοῦ δαμάζω, γίνεται δαμῶ κατὰ συγκοπήν. τὸ πρωτότυπον, δαμῶ. παράγωγον, δαμάζω. ἐξ οὗ τὸ δάμνω. καὶ εἰς μι, δάμνημι. ἀπὸ τοῦ δαμνῶ, Τὴν μὲν ἐμὰ σπουδῇ δάμνημ' ἐπέεσσι. ἐδάμων, ἐδάμαζον. ἐδάμην. δεδάμακα. καὶ κατὰ συγκοπήν, δέδμηκα, καὶ δεδμήμην. ἐδάμασα καὶ ἑξῆς αὐτά.

Δάμνησι. δαμάζει. ἀναιρεῖ. ὑποτάσσει. Τῷ δάμνησι στίχας ἀνδρῶν. ὁ ποιητής, ἄνευ τοῦ ι. ὁ δὲ ἀρίσταρχος, σὺν τῷ ι. τὸ μὲν ἀπὸ τοῦ δάμνημι. τὸ δὲ ἀπὸ τοῦ δάμνω ὑποτακτικοῦ. τὸ δὲ δάμνω, ἀπὸ τοῦ δαμάζω κατὰ συγκοπήν.

Δαμᾶς, ὄνομα κύριον παρὰ τὸν δαμάσω μέλλοντα, δαμᾶς. ὡς θαυμάσω, θαυμᾶς. καὶ δώσω, δώς. καὶ στήσω, στάς.

Δαμασκός, πόλις συρίας. περὶ τὸν ἀντιλίβανον. εἴρηται ὅτι δαμᾶς στρατεύων μετὰ διονύσου ἐκεῖσε, σκηνὴν πηξάμενος, ἱδρύσατο ἐκεῖ συρίας θεοῦ ξόανον. ἡ οὖν δαμᾶς σκηνή, δαμασκός. ἢ ὅτι ἀσκὸς εἷς τῶν γιγάντων. ὃς μετὰ λυκούργου τὸν διόνυσον ἔδησε, καὶ εἰς ποταμὸν ἐνέβαλλεν. ἐφονεύθη δὲ ὑπὸ ἑρμοῦ. καὶ ἀσκὸς ἐξεδάρη, καὶ ἐκεῖ ἐτάφη. καὶ ἐκ τοῦ ταφέντος ἡ πόλις ἐκλήθη. καὶ τὰ ὁμοδοχὰ δὲ δέρματα, ἀσκοὺς καλοῦσιν.

Δάμασος, ὄνομα κύριον. παρὰ τὸ δαμάζω, τροπῇ λοιπόν. δαμάσω. δάμασος. ὡς ἱππάζω, ἱππάσω, ἵππασος. ἐκ δὲ τοῦ δεδάμασται, δαμάστωρ, ὄνομα κύριον. ὡς τετέλεσται, τελέστωρ. καὶ δαμαστορίδης.

Δάμις, ὄνομα κύριον. ἔστι δὲ παρώνυμον, δωρίδι διαλέκτω. παρὰ τὸ δῆμος, γίνεται δῆμις, καὶ δάμις δωρικῶς. ὥσπερ ἀπὸ τοῦ δοῦρος, γίνεται δοῦρις ὄνομα κύριον.

Δανά, τὰ ξηρὰ ξύλα. οὕτω καὶ εἰς τὸ ῥητορικόν. οἷον, διά τε ξύλα δανὰ κέασσαι. παρὰ τὸ δὴν τὸ ἐπὶ πολὺν χρόνον, γίνεται δανά. τὰ διὰ τὸν χρόνον ξηρά. ἢ παρὰ τὸ δαίω τὸ καίω. τὰ εἰς καῦσιν ἐπιτήδεια. εὔκαυστα. θερμά.

Δανάκης, νόμισμα, ὅ ἐστιν ὄνομα βαρβαρικὸν πλέον ὀβολοῦ ὃ τοῖς νεκροῖς ἐν τοῖς στόμασιν ἐτίθεσαν. καλλίμαχος. Τοὔνεκα καὶ νέκυες πορθμήϊον οὔτι φέρονται. μούνη ἐπὶ πολίων ὅτε θυμὸν ἡσῶμεν. ἀλλ' οὐσανοῖς ἐκ στομάτεσσι νεὼς ἀχερουσίας ἐπιβάθρον δανάκης. ἀχερουσία δέ ἐστι λίμνη ἐν ᾅδου. ἣν διαπορθμεύονται οἱ τελευτῶντες, τὸ προειρημένον νόμισμα διδόντες τῷ πορθμεῖ. εἴρηται δὲ δανάκης, ὁ τοῖς δαναοῖς ἐμβαλλόμενος. δαναοὶ γὰρ οἱ νεκροί. τουτέστι ξηροί. δανὰ γὰρ τὰ ξηρά. ἡρακλείδης ἐν τῷ δευτέρῳ περσικῶν.

Δάνειον, παρὰ τὸ δάνος, ὃ σημαίνει τὸ δῶρον. εὐφορίων.

Τῷ ἑάοι δάνος ὤπασεν ἕκτωρ. ὡς οὖν τέλος, τέλειον, οὕτω δάνος, δάνειον. κατὰ ἀντίφρασιν, τὸ μὴ δῶρον. Σύφων δὲ ὅτι παρὰ κυπρίοις φησὶ τὸ παλαιὸν ἀντὶ τοῦ ἀναφαιρέτου δώρου τάττεσθαι τὴν λέξιν. δίδυμος δέ, τὸ χρονίζον χρέος. παρὰ τὸ δὴν, δάνος καὶ δάνειον. ἢ παρὰ τὸ δίδοσθαι μετ' ἀνίας. διογένης, μερίδος ἰσχύν. γέρας.

Δάος, ἡ λαμπάς. παρὰ τὸ δαίω. Δάος μετὰ χερσὶν ἔχουσαι. τὰ εἰς ος οὐδέτερα ἔχοντα πρὸ τοῦ τέλους τὸ α, συστέλλει. φάος. χάος. πλὴν τοῦ φᾶρος. πρᾶγος.

Δαπάνη, παρὰ τὸ δάπτω τὸ ἐσθίω, δαπάνη. ὡς θήγω, θηγάνη. ἀκονῶ, ἀκόνη. περῶ, περόνη. ἢ δάπτω, δάπη. καὶ πλεονασμῷ τοῦ α, καὶ προσθήκῃ τοῦ ν. τί γὰρ οὕτω δάκνει ὡς δαπάνη. καὶ ῥῆμα, δαπανῶ. καὶ παράγωγον, δαπανηρός.

Δάπεδον, παρὰ τὸ δα ἐπιτατικόν. τουτέστι τὸ μέγα καὶ πλατὺ πέδον, ὅ ἐστιν ἔδαφος. τὸ δὲ δα, γίνεται καὶ ζα κατὰ μετάθεσιν τοῦ δ εἰς ζ. ὅθεν καὶ ζάπλουτος, ὁ πάνυ πλούσιος.

Δάπιδες, τάπητες. παρὰ τὸ ἐν δαπέδῳ στρώννυσθαι.

Δάπτω, τὸ ἐσθίω, καὶ τὸ διὰ στόματος σπαράττειν. ἐξ οὗ καὶ τὸ δάψαι. Ἥμενα παρὰ νηυσὶ κύνας καταδάψαι ἀχαιῶν. καὶ δάπης, ὄνομα. παρὰ τὸ δα μόριον. ὁ γὰρ ἀπὸ τοῦ ζα γέγονεν αἰολικῶς καὶ τὸ ἅπτω, γίνεται δάπτω. κυρίως γὰρ τὸ λάβρως ἐσθίειν σημαίνει.

Δάρας, παρὰ τὸ ἐν τῷ αὐτῷ χωρίῳ συλληφθῆναι δαρεῖον παρὰ ἀλεξάνδρου. ὑπὸ δὲ ἀναστασίου κτισθέν, ἐκλήθη ἀναστασιούπολις.

Δανειζόμενοι, οὐ μόνον οἱ δανειζόμενοι, ἀλλὰ καὶ οἱ δανεισταί. δανειστὴν δὲ διογένης, καὶ τὸν δεδανεισμένον.

Δαρδάπτω, ἀπὸ τοῦ δάπτω. κατὰ ἀναδιπλασιασμόν, δαδάπτω. καὶ πλεονασμῷ τοῦ ρ, δαρδάπτω τὸ κατεσθίω. τὸ δὲ δάπτω, σημαίνει καὶ τὸ διέλλω, καὶ κόπτω, καὶ τέμνω. Διὰ δὲ χρόα καλὸν ἔδαψεν. ἔτρωσεν. ἔκτεινεν. καὶ δαρδάπτομαι, διασπαράττομαι.

Δαρεῖος, τὰ ἀπὸ τῶν εἰς ις διὰ τοῦ ειος γινόμενα πρὸ μιᾶς ἔχοντα τὸν τόνον, διὰ τῆς ει διφθόγγου γράφεται. δῆρις, δηρεῖος. καὶ τροπῇ, δαρεῖος. οἱονεὶ ὁ πολεμικός. ἢ τις, ὄνομα πόλεως. καὶ ἡ τείος ὁ πολίτης μάντις. μάντις μαντεῖος. ὁ ἀπόλλων. ἔφορος γὰρ τῆς μαντείας. προσκεῖται πρὸ μιᾶς τὸν τόνον ἔχοντα, ἐπειδὴ ἀπὸ τοῦ μάντις, γίνεται κύριον μάντιος.

Δαρεικός, νόμισμα τι ἦν χρυσοῦν. ὅ που δαρεῖος πρῶτος ἐπενόησεν. ἀπὸ γὰρ τοῦ δαρεῖος, δαρειανός. καὶ κατὰ συγκοπήν.

Δάρης, παρὰ τὸ δείρω καὶ ἐκδείρω, γίνεται δέρης. καὶ τροπῇ, δάρης. ἱερεὺς γὰρ ὡς ἱερεὺς ἔσχε καὶ τὸ ὄνομα παρὰ τὸ ἐκδέρειν τὰ θύη. ἢ παρὰ τὸ δαίω τὸ καίω, δάης. καὶ πλεονασμῷ τοῦ ρ, δάρης. ἢ παρὰ τὸ δαίω τὸ μανθάνω, δάρης. ἐξ οὗ καὶ τὸ ἄρης.

Δαστία, τὸ πνεῦμα. παρὰ τὸ σφοδρὸν καὶ μέγα εἶναι πρὸς σύγκρισιν τῆς ψιλῆς. παρὰ τὸ δα ἐπιτατικόν, καὶ τὸ σεύω τὸ ὁρμῶ. τὸ σφοδρῶς ἐκπεμπόμενον πνεῦμα.

Δάσκιος, ὁ μεγαλόσκιος. οὐκ ἀπὸ τοῦ δασύσκιος κατὰ συγκοπήν, ἀλλ' ἀπὸ τοῦ δα ἐπιτατικοῦ. οἷον, Δάσκιον εἰσελάσαντος ἕλος σύνδενδρον.

Δασύλλιος, ὁ διόνυσος. ἀπὸ τοῦ δασύνειν τὰς ἀμπέλους. δασύς, ὑλώδης τόπος καὶ σύνδενδρος. δασυλλίς, δρυός.

Δάσαντο. Καὶ τὰ μὲν εὖ δάσαντο. καλῶς ἐμερίσαντο. ἀπὸ τοῦ δαίω, δάσω, δάξω. καὶ δάσονται, φαγοῦνται, ἢ μερισοῦνται.

Δασμός, ὁ μερισμός. παρὰ τὸ δάζω, ἀφ' οὗ τὸ δάζομαι. καὶ ἐδάσαντο. δέδασμαι, δασμός. ὡς σκεδάζω, σκεδασμός.

Δασπλῆτις, ἡ ἐριννύς. Καλοῦν δασπλῆτα λέγεται τὸν δασμόν. κορυβός. σημαίνει δὲ κυρίως τὴν δυσπρόσπελαστον. ᾧ οὐκ ἄν τις προσπελάσοι διὰ τὸν φόβον. παρὰ τὸ δα, ἢ τὸ ὀργήν. ἡ μεγάλως προσπελάζουσα. ἢ ἄγαν χαλεπὴ ἐν οἷς ἂν προσπελάσῃ. ἢ δασπλῆτις λέγεται ἡ ἐριννύς, παρὰ τὸ πλήσσειν τοὺς ἁμαρτωλούς. θεόκριτος δὲ ἑκάτης αὐτὸ εἶναι ἐπίθετον λέγει. ἡ μεγάλων κακῶν ἀναπιμπλαμένη. ἢ ἄπληστος τιμωρός. καὶ δασπλής.

Δάστηρα. Δεῖ γινώσκειν ὅτι τὸ δάστηρα ὄνομά ἐστι λίμνης. καὶ βρυσμός. ἔστι δὲ ὄνομα βασιλέως καὶ πάσυνης καὶ μάσυνης ὀνόματα ποταμῶν. καὶ ὀσροήνη. ὅ ποτε τινὲς ὀρροίνη λέγουσιν. ἔστι δὲ χώρα οὕτω καλουμένη ἐν συρίᾳ. τὸ σ ἐν συλλήψει ἐστὶ μετὰ τῶν ἐπιφερομένων συμφώνων. ὅτι γὰρ οὐκ ἔστιν ἐν διαστάσει, δῆλον ἐκ τοῦ μὴ ἄρχεσθαι ἐπιφερομένην συλλαβὴν ἀπὸ τοῦ σ. εἰ γὰρ ἦν τὸ σ ἐν διαστάσει, καὶ ἐληγεν ἡ συλλαβὴ εἰς τὸ σίγμα, εἶχεν ἂν ἡ ἐπιφερομένη συλλαβὴ ἀρχὴν ἀπὸ τοῦ σίγμα, διὰ τὸν κανόνα τοῦτον. Πᾶσα γὰρ συλλαβὴ καταλήγουσα εἰς σίγμα, ἔχει καὶ τὴν ἑξῆς συλλαβὴν ἀπὸ τοῦ σίγμα ἀρχομένην. οἷον, νύσσω. πλήσσω. καὶ τὰ ὅμοια.

Δασμοφορεῖν. τοῦ ρ ἀποβαλλόντος τὸ ἰῶτα παρὰ τοῖς δωριεῦσι, γίνεται ὀξείᾳ τάσει δασμοφορεῖν. δασμοφορεῖν δέ ἐστι τὸ τὰ δημόσια φέρειν. δασμὸς γὰρ μέρος φόρου. ἀπαρχή. Δασμοφορεῖν οὖν, τὸ φόρους λαμβάνειν.

Δατῶ, τὸ μερίζω. καὶ δατούμεθα, τὸ μεριζόμεθα. οἷον, Δατεόμεθα λήϊδ' ἀχαιοί. καὶ χθόνα ποσσὶ δατεῦντο. ἀντὶ τοῦ ἐμέριζον βαδίζουσαι. ἰλιάδος ψ. μερισμῷ γὰρ τινὶ ὅμοιον γίνεται κατὰ τὴν πορείαν. ἄλλοτε ἀλλαχοῦ τῶν ποδῶν τιθεμένων. παρὰ τὸ δαστός, δαστῶ. καὶ ἐνδείᾳ τοῦ σίγμα, δατῶ. ἢ παρὰ τὸ δαίω τὸ μερίζω. ἀφ' οὗ τὸ δάζω, καὶ δάσω. ἐξ οὗ τὸ δαστός καὶ ἄδαστος. καὶ κατ' ἔλλειψιν, ἄδατος. καὶ ἄδαστα παρὰ σοφοκλεῖ ἐν αἴαντι, τὰ ἀμέριστα καὶ ἀδιαίρετα.

Δατητής, παρὰ ἀττικοῖς, ὁ διανεμητής. ἀριστοτέλης. Τίν' οἶδα τὴν δαιτητήν. ἀπολλόδωρος διὰ τοῦ τ φησί. παρὰ τὸ δαίω, δαστός. καὶ ῥῆμα, δαστῶ. ὁ παρακείμενος, δέδασται. καὶ ἐνδείᾳ τοῦ σ, δέδαται. ἀφ' οὗ ὄνομα δατητής. ὡς πεποίηται, ποιητής. διαιρετῆρες. μερισταί.

Δαῦλον, δασὺ ἡμίφλεκτον ξύλον.

Δαυλὸς, ὁ δασύς. παρὰ τὸ δάσος, γίνεται ῥῆμα δασῶ. ὡς τεῖχος, τειχῶ. ἀφ' οὗ φησὶ Πίνδαρος, τετείχηται. ἐκ τοῦ δασῶ, γίνεται κατὰ παραγωγὴν, δασαύω. ὡς χεῶ, χεαύω. καὶ ψῶ, ψαύω. εἶτα κατὰ συγκοπὴν, δαύω. ὁ μέλλων, δαύσω. καὶ ὡς παύσω παῦλος, οὕτω δαύσω, δαῦλος. ἢ παρὰ τὸ δαίω τὸ καίω. ὁ μέλλων, δαίσω, δαιλός. καὶ τροπῇ τοῦ ι εἰς υ, δαυλός. ὁ καιόμενος καὶ δασύς. τὰ γὰρ δασέα, ταχέως καίονται.

Δαυλὶς, πόλις ἐν τῷ Παρνασῷ κειμένη. μῦθος δὲ ἐκεῖ γέγονε τὰ κατὰ τὸν Τηρέα καὶ τὰς ἀδελφὰς Πρόκνην καὶ Φιλομήλαν. εἴρηται δὲ διὰ τὸ πολύδασος ἔχειν. δαῦλον γὰρ τὸ δασύ. Αἰσχύλος. Δαυλὸς ὑπήνη καὶ γλυφάδας πυθμήν. ἢ δαυλίδα. ὅτι ταῖς δύο ἀδελφαῖς ἐκεῖ συνηυλίσθη ὁ Τηρεύς. φασὶ δὲ καί τινες, δαυλιάδας καλοῦσι. καὶ ἡ πόλις δὲ νῦν, Δαυλία καλεῖται. καὶ Δαυλίαν κορώνην, ἀντὶ τοῦ ἀηδόνα. Ἀριστοφάνης διὰ τὸν μῦθον. ἄλλοι τὴν δασεῖαν.

Δαύω, τὸ κοιμῶμαι. Σαπφώ. Δαύοις ἀπαλᾶς ἑταίρας ἐν στήθεσιν. λέγει δὲ Ἡρωδιανὸς, διὰ παντὸς ἡ λέξις παρὰ Σαπφῷ. καὶ γίνεται παρὰ τὸ δέω τὸ δεσμῶ. Ὅμηρος ἐν Ὀδυσσείᾳ. Πῶς ἂν ἐγώ σε δέοιμι. ὁ κατὰ συναλοιφὴν, γίνεται δῶ. τοῦτο τὸ δῶ κατὰ παραγωγὴν, γίνεται δαύω. κυρίως τὸ δεσμῶ. εἴρηται καὶ ἐπὶ τοῦ καθεύδειν. οἱ γὰρ καθεύδοντες, δεσμουμένοις ἐοίκασι.

Δαύω, τὸ καίω παρὰ Σιμωνίδῃ. Μηρίων δὲ δαυμένων. παρὰ τὸ δαίω τὸ καίω, τροπῇ τοῦ ι εἰς υ. Δαυχμὸν, εὔκαυστον ξύλον.

Δαφοινὸς, ὁ πυῤῥὸς, ἢ ἐρυθρὸς, ἢ μέλας. ἢ μᾶλλον παρὰ τὸ δα, καὶ τὸ φοινός. ὁ μεγάλως φοινός. τουτέστι μέλας. φόνος γὰρ τὸ αἷμα. ἢ ἀπὸ τοῦ ζα, ζαφοινὸς, καὶ δαφοινὸς ἐν τροπῇ. ὁ φόνιος αὐτῶν. παρὰ τὸ δα καὶ τὸ φόνος. ἢ παρὰ τὸ δαίω. ἐκ τοῦ φόνος, τὸ θηλυκὸν, φονή. καὶ πλεονασμῷ τοῦ ι, φοινή. καὶ τὸ ἀρσενικὸν, φοινός. καὶ μετὰ τοῦ δα, δαφοινός. διατί οὐ καταβιβάζει τὸν τόνον. τὰ γὰρ ἐξ ὀξέος ὀνόματα, ἐν τῇ συνθέσει ἀναβιβάζουσι τὸν τόνον. οἷον, τέλος, ὀψιτέλεστος. τοῦ δὲ διὰ τὸ σημαινόμενον, ἐκωλύθη βαρύνεσθαι. χωρὶς γὰρ ἔφησιν εἰ μὴ διὰ σημασίαν τινὰ κωλυθῇ. διὰ τὸ λοιγὸς, βροτολοιγός. καὶ χωρὶς τῶν ἐθνικῶν. ἀχαιὸς, παναχαιός. καὶ χωρὶς τοῦ ἱερὸς, ἀρχιερός.

Δάφνη, τὸ φυτόν. δαοφώνη τις οὖσα. ἡ ἐν τῷ δαίεσθαι φωνοῦσα. ἠχεῖ γὰρ καιομένη. μαρτυρεῖ Θεόκριτος. Χ' ὡς αὕτα λακεῖ μέγα καππυρίσασα.

Δαφνίτας, ὁ Ἀπόλλων παρὰ Συρακουσίοις.

Δέω, σημαίνει τέσσαρα. τὸ δεσμεύω. τὸ φοβοῦμαι, ἐξ οὗ δέος, ὁ φόβος. τὸ πρέπω, ἐξ οὗ, ἔδεον, ἔδεες, ἔδεε. καὶ κράσει, ἔδει τὸ ἔπρεπε. τὸ ἱκετεύω, ἐξ οὗ καὶ δέησις.

Δαίω, σημαίνει τέσσαρα. τὸ μανθάνω, ἐξ οὗ καὶ ἔδαην τὸ ἔμαθον. δαίω τὸ μερίζω, ἐξ οὗ καὶ δαιτρὸς, ὁ μάγειρος. δαίω τὸ εὐωχοῦμαι, ἐξ οὗ καὶ δαὶς δαιτὸς, ἡ εὐωχία. καὶ δαιτυμόνες, οἱ φίλοι. δαίω τὸ καίω. ἐξ οὗ καὶ δᾶδες, αἱ καιόμεναι. ἡ δὲ εὐθεῖα, δὰς, δαδός. καίω, καὶ τροπῇ τοῦ κ εἰς δ, δαίω. ἢ ἀπὸ τοῦ αἴθω, τροπῇ καὶ

Δαίδαλος, τὸ κύριον ὄνομα τοῦ ἥρωος. ἐξ ὑποθέσεως. παρὰ τὸ δαίω, σημαίνει τὸ ἐπίσταμαι, δάαλος, ὁ ἐπιστήμων. καὶ πλεονασμῷ τοῦ δ, δαίδαλος. ἢ παρὰ τὸ δαίω τὸ μανθάνω. καὶ δαίδαλα, ποικίλα κατασκευάσματα, τὰ ἐκ δαήσεως καὶ ἐμπειρίας ὄντα. ἢ παρὰ τὸ δαῆναι τὰ ἐκ μαθήσεως γεγονότα. ἢ ἀπὸ τοῦ δαιδάλου, τοῦ ποικίλλοντος τὰ ἴδια ἔργα. ἢ ἀπὸ Δαιδάλης Ἀθηνᾶς μάμμης, ἢ τροφοῦ. πᾶν δὲ τὸ ὑπὲρ τῆς παρθένου δημιουργούμενον, ἐπ' αὐτὴν ἀναφέρεται.

Δαιδάλεον, τὸ ὑπὸ Δαιδάλου κατασκευασθέντα ἀνδριάντα. καὶ δαιδάλεον, τὸ ποικίλον τῇ κατασκευῇ. ἔστι δὲ ἀπὸ τοῦ δαίδαλος κατὰ ἀποβολὴν τοῦ ι. τοῦτο ἀπὸ τοῦ Δαιδάλου κυρίου ὀνόματος μηχανοποιοῦ. ὃς πρῶτος κατεσκεύασε ποικίλα καὶ διάφορα ζῶα. ἢ ἀπὸ τοῦ δαίω τὸ μανθάνω, γίνεται δαιδάλειος. ἢ ἀπὸ τοῦ δαιδάλλω τὸ ποικίλλω. παρὰ τὸ δαίω, παράγωγον δαιάλλω. ὡς ἄγω, ἀγάλλω. καὶ ἴω, ἰάλλω. καὶ πλεονασμῷ τοῦ δέλτα, δαιδάλλω.

Δαίμων. δαίω τὸ μανθάνω, ἐξ οὗ καὶ δαίμων. οἱονεὶ δαήμων τις ὤν. ἢ παρὰ τὸ δαίω τὸ γινώσκω, γίνεται δαίμων. ὁ πάντα ἐπιστάμενος καὶ γινώσκων. καὶ ἐν ἀφαιρέσει τοῦ δ, αἵμων. Αἵμονα θήρης. ἢ παρὰ τὸ δαίω τὸ μερίζω, ὁ ἑκάστῳ ἀπομερίζων.

Δαιμόνιος, μακάριος, ἢ θαυμαστός. παρὰ τὸ δαίμων, δαίμονος. τὸ μο, μικρὸν, ὡς κοινὸν τὴν ι, ὡς ἐπίθετον. δαιμόνιε, μακάριε. ἢ κακόδαιμον, φαυλότατε. καὶ δαιμονίη, εὐδαίμων καὶ μακαρία. ὁτὲ δὲ κακὴ καὶ φαύλη.

Δαίνυντο, εὐωχοῦντο. ἀπὸ τοῦ δαίνυμι, τὸ παθητικὸν, δαίνυμαι. ὁ παρατατικὸς, ἐδαινύμην, ἐδαίνυσο, ἐδαίνυτο. τὸ τρίτον τῶν πληθυντικῶν, ἐδαίνυντο. καὶ ἀφαιρέσει τοῦ ε. Τὰ εἰς ω λήγοντα ῥήματα βαρύτονα ποιοῦντα παράγωγα διὰ τοῦ νύω, εἰ μὲν διφθόγγῳ παραλήγεται, δι' ἑνὸς ἀμεταβόλου ἐκφέρεται. οἷον, δαίω, δαινύω. εἰ δὲ ἐνὶ φωνήεντι, διὰ δύο. οἷον, ἕω, ἐννύω. σβέω, σβεννύω. ἢ δαίω. καὶ πλεονασμῷ τοῦ ν, δαίνω δαινύω, καὶ δαίνυμι, τὸ εὐωχοῦμαι. ἐξ οὗ καὶ τὸ δαινύμενος. ὡς ὀρέγω, ὀρεγνύω, ὀρέγνυμι.

Δαὶς, παρὰ τὸ δαίω τὸ μερίζω. ὁ μέλλων, δαίσω. ἀποβολῇ τοῦ ω, δαὶς, ἡ μεριστὴ εὐωχία. τὸ γὰρ παλαιὸν διένεμον τὰς τροφάς. ἢ παρὰ τὸ δαίω τὸ καίω. ἐπειδὴ διὰ πυρὸς γίνεται πάντοτε. διὰ τοῦτο τὰ ἄλλα ζῶα ὠμοφάγα καὶ ὠμησταί. Δαιτὸς ἐΐσης. πάσιν ὁμοίας, ἢ ἰσομοίρου καὶ μεριστῆς. ὅθεν, Μοιρασσάμενοι, δαίνυντ' ἐρικυδέα δαῖτα. εἰς τὸ παῖς. τρία εἰσὶν εἰς αις ὀνόματα. ἀρσενικὸν, ὁ παῖς. θηλυκὸν, ἡ δαίς. οὐδέτερον, τὸ σταῖς. σημαίνει δὲ τὴν ζύμην, τὸ ἄλευρον. ἀσεσημείωται.

Δαιταλεὺς, ὁ εὐωχητής. ἀφ' οὗ δρᾶμα Ἀριστοφάνους ὠνόμασται Δαιταλεῖς. γίνεται παρὰ τὸ δαιτεύς. καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς. καὶ γίνεται παρὰ τὴν δαῖτα τὴν εὐωχίαν. ἢ παρὰ τὸ δαίω τὸ εὐωχοῦμαι, δαιαλεύς. καὶ πλεονασμῷ τοῦ τ, δαιταλεῦσι. δαιτυμόσι. θιασώταις, ἢ συμπόταις. καὶ συνδαιταλεῖς. ἤγουν εὐωχηταί. δαιταλεὺς, ὁ ἐπὶ τὰ δεῖπνα πορευόμενος.

Δαισάνη, πτισάνη. ἀπὸ τοῦ ἐπτισμένου ἑψηθεῖσα. παρὰ τὸ δαίσασθαι ὅ ἐστιν εὐωχεῖσθαι ἢ ἐσθίειν. τὴν γὰρ πρώτην τροφὴν πρὸ τῆς εὑρέσεως τῶν ἄρτων οὕτως ἐποίουν.

Δαιτήριον, τόπος ἐν Ἰλιάδι σταδίου. ἀπὸ τοῦ ἐν αὐτῷ καθήμενον Ἡρακλέα, μετὰ τὸν πρὸς Αὐγέα πόλεμον, τὰ λάφυρα τοῖς συμμάχοις δαίσαι, ὅ ἐστι μερίσαι. δαιτήριον, οἱονεὶ μεριστήριον.

Δαίτωρ, ὄνομα κύριον. παρὰ τὸ δαίω, δαίσω, δαίτωρ. ὡς πράξω πράκτωρ. καὶ ἄξω, ἄκτωρ.

Δαιτρὸς, παρὰ τὸ δαίω τὸ μερίζω καὶ κόπτω, γίνεται δαιτρός. μεριστής. μάγειρος. ὁ μερίζων τὰ κρέατα. ἐξ οὗ καὶ δαιτρεύειν, τὸ μερίζω. καὶ δαιτρὸς, μεριστής. καὶ δαιτροπόνος, σιτοποιός.

Δαιτὸς ἐΐσης. τῆς ἐξ ἴσου μεριζομένης εὐωχίας καὶ τροφῆς. οὕτω γὰρ εἰστιῶντο μεριζόμενοι τά, τε πρόβατα καὶ τὸν ποτόν.

Δαίτης. Τοὺς καὶ δαίτης ἠντήσατο. οἱ μὲν γὰρ ἀπὸ τῆς δαιτὸς γενικῆς. οἱ δὲ, ἀπὸ τοῦ δαίσω μέλλοντος. διὸ καὶ βαρύνεται.

Δαιτὶς, τόπος ἐν Ἐφέσῳ. εἴρηται ἀπὸ τοιαύτης αἰτίας. Κλυμένη θυγάτηρ βασιλέως, μετὰ κορῶν τε καὶ ἐφήβων, εἰς τὸν τόπον τοῦτον παραγενομένη, ἔχουσα καὶ ἄγαλμα Ἀρτέμιδος, μετὰ τὴν ἐκ τοῦ λειμῶνος παιδιὰν καὶ τέρψιν, ἔφη δεῖν τὴν θεὸν εὐωχεῖσθαι. καὶ αἱ μὲν σέλινα καὶ ἄλλα τινὰ συνάγουσαι ἀνέκλιναν. οἱ δὲ ἔφηβοι ἐκ τῶν πλησίον ἁλοπηγίων ἅλας λαβόντες παρέθηκαν τῇ θεῷ ἀντὶ δαιτός. τῷ δ' ἑξῆς ἐνιαυτῷ μὴ τούτου γενομένου, μῆνις τῆς θεοῦ καὶ λοιμὸς κατέλαβε. καὶ κόραι καὶ νέοι διεφθείροντο. χρησμὸς οὖν ἐδόθη δι' οὗ ἐξευμενίσαντο τὴν θεὸν, καὶ δαῖτας αὐτῇ ἐπετέλεσαν, κατὰ τὸν τῶν κορῶν καὶ τῶν ἐφήβων τρόπον. καὶ ἐκ τοῦ συμβάντος παυσαμένου τοῦ λοιμοῦ, ἥ, τε θεὸς καὶ ὁ τόπος ἀπὸ τῆς δαιτὸς, Δαιτὶς προσηγορεύθη. ἢ ἀπὸ τοῦ Λυδόν τινα κάπηλον αὐτόθι κατοικήσαντα παρέχειν τὰ πρὸς τὴν δαῖτα τοῖς ἐπιξενουμένοις. ἦν δὲ τὸ χωρίον αὐτοῦ ὅπου ἡ Ἔφεσος, ἀφ' οὗ καὶ ἡ πόλις.

Δαίσιον, ἐνδόσιμον. Δαίσιος μὴν παρὰ Μακεδόσιν. ἐρ. σι-

Δαιτυμόνες, εὐωχηταὶ, καὶ εὐωχούμενοι. Σιτογόνος.

δαιτυμὼν, ὁ τὴν θοίνην παρέχων.

καὶ μάγειρος. εἰς τὸ

διογενής :~

ΤΟ ΔΕΛΤΑ ΜΕΤΑ ΤΟΥ Ε.

Δέαται. ἀπὸ τοῦ δέω, δέαται, καὶ κατὰ συγκοπὴν, δᾶται. ἢ ἀπὸ τοῦ δέδενται. καὶ ξυνεδέδετο, ἀντὶ τοῦ δεδεμένοι ἦσαν ἰωνικῶς. ἀπὸ τοῦ ἐδέδεντο. Πρόσθε δέ μοι ἀέλιος δέατ' εἶναι. ἔστι δαίω τὸ καίω. ὁ μέλλων, δαίσω. καὶ ἀποβολῇ τοῦ ι, δάσω. ὁ παρακείμενος, δέδακα. ὁ παθητικὸς, δέδαμαι. ὁ ὑπερσυντέλικος, ἐδεδάμην, ἐδέδασο, ἐδέδατο. ἀποβολῇ τοῦ δευτέρου δ καὶ συναρχομένου, δέατο.

Δέγμενος. ἀπὸ τοῦ δεδεγμένος, κατὰ συγκοπὴν, δέγμενος, ὡς εἶναι παρακείμενος. ἢ ἀπὸ τοῦ δεχόμενος, ὡς εἶναι ἐνεστώς. τὸ δὲ χ, εἰς γ μετεβλήθη. τῆς συντάξεως οὕτως ἀπαιτούσης. ζήτει εἰς τὸ δέχομενος.

Δεδέχαται. ἐκ τοῦ δέχω, δέξω, δέδεχα, δέδεγμαι, δέδεξαι, δέδεκται. καὶ ἰωνικῶς, δεδέχαται. καὶ πλεονασμῷ τοῦ ι, δειδέχαται.

Δεδαίαται. δαίω τὸ μερίζω. ὁ παθητικὸς παρακείμενος, δέδαιμαι, δέδαιται. καὶ τὸ ἰωνικὸν, δεδαίαται. καὶ ὤφειλε συσταλῆναι ἡ παραλήγουσα. ἀλλὰ διὰ τὸ μέτρον ἔμεινε τὸ ι. Διχθὰ δεδαίαται.

Δεδμήατο. δαμῶ, δμῶ. δευτέρας συζυγίας. δέδμηκα. δέδμημαι, ἐδεδμήμην. καὶ ἰωνικῶς, δεδμέατο. ὁ κανών. ταῦτα δὲ τὰ τρίτα ἰωνικά. καὶ ἐκτάσει τοῦ ε εἰς η, δεδμήατο, χρόνου ὑπερσυντελίκου.

Δεδήει, ἐξεκαίετο. διεγήγερτο. ἀπὸ μεταφορᾶς τοῦ πυρός. δαίω, δαίσω, δέδαικα ὁ παρακείμενος. ὁ μέσος, δέδαια. τροπῇ τοῦ α εἰς η, δέδηα. ὁ ὑπερσυντέλικος, ἐδεδήειν. καὶ συναρχομένως δεδήει. Πάντη γάρ σε περὶ στέφανος πολέμοιο δέδηε. ἀντὶ τοῦ περιεκύκλωσεν. ἐδέσμευσεν.

Δέδια. ἔστι δίω τὸ φοβοῦμαι. ὁ μέλλων, δίσω. ὁ παρακείμενος, δέδικα. ὁ μέσος, δέδια. καὶ μεταθέσει τοῦ ε εἰς ι, δείδια. ἡ μετοχὴ, δεδιώς, διὰ τοῦ ι.

Δέδοικα. δίω τὸ φοβοῦμαι. ὁ παρατατικὸς, ἔδιον. ὁ παρακείμενος, δέδικα. ὁ μέσος δέδια. ἔστι δείδω τὸ φοβοῦμαι. οἷον, Δείδω μή τι πάθω. ὁ παρακείμενος, δέδοικα. καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δ, ἔτρεψε τὸ ἔσχατον δ εἰς κ, καὶ γέγονε δέδοικα. ὁ δὲ Ἀλέξανδρος ὁ Κοτιαεὺς, θαυμασίως ἀπολογεῖται λέγων. ὅτι πολλά εἰσι ῥήματα ἀπὸ μελλόντων εἰς ἐνεστῶτα μεταγόμενα. καὶ τρέπει τὸ σ εἰς τὸ χ ἢ εἰς τὸ κ. οἷον, σμῶ, σμήσω. σμήχω, σμήξω. ὀλῶ, ὀλέσω, ὀλέκω. οὕτως οὖν ἐκ τοῦ δείσω μέλλοντος, ἐγένετο ἐνεστὼς, δείκω. καὶ ἐκ τούτου ὁ μέσος παρακείμενος, δέδοικα. διατί δείκω ἐγένετο, καὶ οὐ δείχω. ἐπειδὴ τὰ εἰς χω ῥήματα, τῇ ει διφθόγγῳ παραλήγεται, πλὴν τοῦ στείχω, λείχω. οὕτω Ζηνόδοτος. ἀπὸ τοῦ δεδοίκαμεν, κατὰ συγκοπὴν, δέδιμεν. τὰ γὰρ εἰς μεν πληθυντικὰ καθαρὰ θέλει εἶναι.

ἐὰν δ' ὑπὸ σύμφωνον γένηται, κατὰ πάθος λέγεται εἶναι. φέρομεν, φέρμεν. ἐοίκαμεν, ἔϊκμεν. ἐπεπίθομεν ἐπέπιθμεν.

Δεδίκω. λέγει ὁ ἡρωδιανὸς ὅτι τὰ σχήματα ἀπὸ παρακειμένου εἰς ἐνεστῶτα παράγονται. οἷον, δέδικα, δεδίκω. ὥσπερ ὄλωλα, ὀλώλω.

Δεδοκημένος, παθητικὸς παρακείμενος ἀπὸ τοῦ δοκῶ. ἀντὶ τοῦ δοκεύων, ἐπιτηρῶν, ἢ δεχόμενος.

Δέδορκα. δέρκω, δέρξω, δέδορκα ὁ μέσος παρακείμενος. ἢ ἔστι δρῶ τὸ βλέπω, ἐξ οὗ δρήσω τὸ ποιήσω μᾶλλον κατὰ ἀντίφασιν. ὁ μέλλων, δράσω. ὁ παρακείμενος, δέδρακα. καὶ τροπῇ τοῦ α εἰς ο, καὶ ὑπερθέσει, δέδορκα.

Δέησις, ὄνομα ῥηματικόν. γίνεται ἐκ τοῦ δεῶ, δεήσω. δεδέηκα. δεδέημαι, δεδέησαι, δέησις. τὰ γὰρ ἀπὸ τοῦ παθητικοῦ παρακειμένου γινόμενα ὀνόματα, συναρχεσθαι θέλει. ἰστέον δὲ ὅτι τὸ δεῶ, οὐχ εὕρηται ἐν χρήσει. ἀλλ' οὐδὲ τὸ δέω βαρύτονον. ἀλλὰ τὰ παθητικὰ μόνον. δέομαι, ἐδεόμην. κλίνεται δεήσιος. ὁ κανών. τὰ ἀπὸ τοῦ παθητικοῦ παρακειμένου δευτέρου προσώπου γινόμενα ὀνόματα, διὰ καθαροῦ τοῦ ος κλίνεται. καὶ τὸ ἀττικόν, δεήσεως. ὁ κανών. καὶ τὰ παραλήγοντα τῶν φωνηέντων εἰς ε μεταβάλλουσι.

Δέκατος, πόθεν. παρὰ τὸ δέχω τὸ λαμβάνω, δέχατος, καὶ δέκατος. δεκτικὴ γάρ ἐστι πάντων τῶν ἀριθμῶν ἡ

Δεκάς, ὁ ἀριθμός. παρὰ τὸ δέχομαι, δεχάς. ἢ δεκάς. διὰ τὸ δέχεσθαι τὸ ἄπειρον. ὀρφεὺς δὲ κλαδοῦχον ὠνόμασεν, ὅτι πάντες οἱ ἀριθμοὶ ἐξ αὐτῆς φύονται. δέχομαι δεχὰς καὶ δεκάς. ἡ ἔχουσα ἐν αὐτῇ πάντα ἀριθμόν. ἐκ δὲ τοῦ δεκάς, γίνεται δέκατος. καὶ θηλυκῶς, δεκάτη. ἢ παρὰ τὸ ἑξῆν τὴν ἑβδόμην, ἢ παρὰ τὸ τὰ χορηγούμενα δεῖν, ἤγουν δεσμεῖν.

Δεκάχορδον. παρὰ τὸν δέκα ἀριθμὸν καὶ τὸ χορδή. τοῦτο παρὰ τὸ χέω, τὸ ἠχῶ. χεορδή, καὶ χορδὴ τὸ χέουσα ᾠδήν.

Δεκατευτήριον, ἀπὸ τοῦ δεκατευτής. τοῦτο παρὰ τὸ δεκατεύειν. σημαίνει δὲ τὸ δεκάτην εἰς πράττεσθαι καὶ λαφυραγωγεῖν. τὸ τὴν δεκάτην εἰσφέρειν ὧν ἔχειν τις χρημάτων. ἢ δεκάτην εἰσπράττειν. τὰ γὰρ ἐκ τῶν πολεμίων ληφθέντα, ἐδεκάτευον τοῖς θεοῖς. διὸ κυρίως δεκατεῦσαι, τὸ καθιερῶσαι. κατὰ μεταφορὰν δὲ τὸ δεκάτην ὁποσοῦν λαβεῖν, καὶ ἀπαιτῆσαι. θουκυδίδης δὲ ἐπὶ τοῦ τελωνεῖν τὴν δεκάτην ἔθηκε, καὶ τὸ δεκατεύειν. ὅθεν καὶ δεκατευτὰς τοὺς τελώνας ἔλεγον, τοὺς τὴν δεκάτην ἐκλέγοντας. καὶ δεκατηλόγους τοὺς αὐτούς. λέγεται δὲ καὶ τὸ ἀρκτεύειν. ἐπειδὴ ἐθεράπευον τὴν ἄρτεμιν αἱ παρθένοι περὶ τὸν δέκατον χρόνον.

Δεκαφυῖα, τὰ δεκαπλάσια. καλλίμαχος. τῶν ἔτι ποι δεκαφυῖα φάρη ζωάγρια τίσειν. καὶ δεκαφυῖον. εἴρηται οἱονεὶ δεκαφυῶ. δεκάκις πεφυκότα. τὸ γὰρ φυῶ, αἰολικῶς φυίω φασί. καὶ τὸ ἀλύω, ἀλυίω.

Δεκαδοῦχος. δέκα μὲν ἦρχον μετὰ τοὺς τριάκοντα καταστάντες. ἐκαλεῖτο μέντοι τούτων ἕκαστος τῶν ἀρχόντων, δεκαδοῦχος. ὡς δηλοῖ λυσίας.

Δεκάδας, τοὺς τῆς αὐτῆς δεκάδος καὶ ὑπὸ τῶν αὐτῶν δεκάρχη.

Δεκαδαρχίαι, τὰς ὑπὸ λακεδαιμονίων καταστασθείσας ἐν ταῖς πόλεσι δεκαρχίας συνεχῶς ὀνομάζουσιν οἱ ἱστορικοί. καὶ φίλιππος μέντοι παρὰ θετταλοῖς, δεκαδαρχίαν κατέστησεν, ὡς δημοσθένης ἐν ἕκτῳ φιλιππικῶν.

Δεκάσαι, τὸ διαφθείρειν τοὺς δικάζοντας ἢ τοὺς ἐκκλησιαστὰς χρήμασι καὶ δώροις. ἐκλήθη δὲ ἀπὸ τοῦ κατὰ δέκα ἀθροιζομένους λαμβάνειν τὰ δῶρα. πρῶτον δέ φησι δεκάσαι μέλητα. ἐξ οὗ καὶ τὸ ἐριθεύεσθαι, τὸ δεκάζεσθαι. καὶ ἡ ἐριθεία εἴρηται ἀπὸ τῆς τοῦ μισθοῦ δόσεως. ἄλλως. λύκος ἐστὶν ἥρως, μορφὴν ἔχων τοῦ θηρίου. πρὸς δὲ τοῖς ἐν ἀθήναις ἀνεστήλωται δικαστηρίοις. πρὸς ὃν οἱ δωροδοκοῦντες κατὰ δέκα γινόμενοι, ἀνεστρέφοντο. ἔνθεν καὶ ἡ παροιμία. λύκου δεκάς. ἐξ οὖν τῆς δεκάδος τὸ δεκάζειν καὶ δεκάζεσθαι τὸ δωροδο-

Δεκελεικὸς πόλεμος, ὁ πελοποννησιακός. ἐκλήθη δὲ ἀπὸ μέρους τὸ τελευταῖον. τὸν αὐτὸν δὲ καὶ ἀρχιδάμειον. δεκελεικὸν μὲν καθὸ δεκέλεια ἀθηναίοις ἐπετειχίσθη. ἀρχιδάμειον δέ, ὅτι ἀρχίδαμος αὐτοῦ ἡγεῖτο. τὸ λει, δίφθογγον. διατί. ἀπὸ τοῦ δεκέλεια, δεκελειανός, καὶ δεκελεικός. ὡς βοῦς βοός, βόειος, βοεικός. βοεικὰ ζεύγη.

Δέλεαρ, τὸ τῷ ἀγκίστρῳ περιτιθέμενον. ἐφ' ᾧ τοὺς ἰχθύας ἀγρεύεσθαι καλεῖται. ἔνθ' ἐνὶ τῷδε παγίδεσσιν ὀλέθρια δείλατα δειλαῖς. παρὰ τὸν δόλον, δόλεαρ. καὶ τροπῇ δέλεαρ. ἢ παρὰ τὸ ἕλος ἕλεαρ, καὶ δέλεαρ. διὰ τὸ ἔστιν ἑλεῖν. ἢ παρὰ τὸ δηλεῖσθαι τὸ βλαπτικόν. ἢ παρὰ τὸ δέω τὸ δεσμεύω. τὸ περιδεσμούμενον τῷ ἀγκίστρῳ. ἢ παρὰ τὸ δέλω, τὸ δελεάζω.

Δελήτιον, τὸ δέλεαρ. σοφοκλῆς, ἔχε τὸ δελήτιον. ἢ σώφρων. οἱ δέ, τὸ ἄγγος ἐν ᾧ τὸ δέλεαρ ἔγκειται. παρὰ τὸ δέλεαρ, δελεάτιον. καὶ κατὰ συναίρεσιν τοῦ ε α εἰς η, δελήτιον.

Δελφύς. δελφὺς καὶ δελφινία, ἡ μήτρα. ἡ γαστήρ. ὅτι ἀδελφοποιός ἐστι, καὶ ἀδελφὰ ποιεῖ τὰ τικτόμενα. ὅθεν καὶ ὁμόδελφυς, ὁ ἀδελφός.

Δέλφαξ, ὁ γαλαθηνὸς χοῖρος. ἐπίχαρμος. δέλφακά τε τὴν γείτονα τοῖς ἐλευσινίοις φυλάσσετε. παρὰ τὴν δελφὺν τὴν μήτραν. κυρίως γὰρ ἐπὶ τῆς θηλείας λέγεται. δέλφαξ, ἡ δελφὺν ἔχουσα.

Δελφάκιον, τὸν χοῖρον. καὶ δελφακοῦσθαι, τελειοῦσθαι τὰς σῦς. διογένης.

Δελφικά, τὸν τρίποδα ῥωμαῖοι. ἐπεὶ πρῶτον ἐν δελφοῖς γέγονεν. ἢ τρίποδα τὸν διονύσου οἷον ἀδελφικόν. καὶ δελφικόν. καὶ δελφίς, παρὰ τὸ δέλφω.

Δελφοί. καὶ δελφὸς ἀνὴρ τὸ ἐθνικὸν οἱ πύθιοι, ἀδελφοί τινες ὄντες κατ' ἀφαίρεσιν τοῦ α. ὅτι τὰ διονύσου μέλη κατασπαράξαντες οἱ τιτᾶνες, τῷ ἀπόλλωνι παρέθεντο ἐμβαλόντες λέβητι. ὁ δὲ παρὰ τὸν τρίποδα ἀπέθετο παρὰ τῷ ἀδελφῷ.

Δελφίνιος, ὁ ἀπόλλων. ὅτι κασταλίῳ τῷ κρητὶ ἀποικίαν στελλομένῳ, ὁ ἀπόλλων ὁμοιωθεὶς δελφῖνι, προηγήσατο τῆς νεὼς ἕως τοῦ κρισσαίου κόλπου. καὶ ἐκεῖ χαριτικήσας, ἐκράτησε τὸν τόπον. καὶ ἀπ' αὐτοῦ δελφοὺς ἐκάλουν τοὺς ἐνοικοῦντας. καὶ δελφινίου ἀπόλλωνος ἱερὸν ἱδρύσαντο. τινὲς δέ φασιν, ὅτι ὁ δελφὶς εἰς τὴν ναῦν ἦλθε, καὶ κατὰ τοῦτον τὸν τόπον ἐπήδησεν εἰς τὴν θάλασσαν. δελφῖνες οἱ ἰχθύες, καὶ μέρος νεώς. διὰ τοῦτο δελφινοφόρους λέγουσι ναῦς, ὡς σχῆμα ἐχούσας δελφῖνος.

Δέμα. ζηνόδοτος παρὰ τὸ δέω καὶ ζέω, πόθεν οὐ λέγεται δεῦμα καὶ ζεῦμα, ὡς πνέω, πνεῦμα, καὶ ῥέω, ῥεῦμα. ἄλλως. ἕνεκα ὁ παρακείμενος, ὤφειλεν εἶναι τὸ ῥηματικὸν ὄνομα ζέσμα. ἔζεσμαι γὰρ ὁ παθητικός. λέγει ὅτι δέμα ὑγιές ἐστιν. ἀπὸ τοῦ δέδεμαι παρακειμένου. καὶ τὸ ζέσμα, παρητήσατο τὸ ς. οὕτω φίλων εἰς τὸ ῥητορικόν.

Δεμεναί, χώρα τῆς σικελίας. ὅτι ἐν αὐτῷ δέδεται ὁ τυφῶν ὑπὸ τὴν αἴτνην.

Δέμας, τὸ σῶμα. παρὰ τὸ δέω τὸ δεσμεύω. τῇ γὰρ ψυχῇ συνδέδεται τὸ σῶμα. ἢ ἀπὸ τοῦ δίδω διδεῖς, δίδημι. ὁ παθητικὸς παρακείμενος, δέδεμαι. ἐξ αὐτοῦ δέμας. τὸ γὰρ σῶμα, δεσμός ἐστι τῆς ψυχῆς. ἢ παρὰ τὸ δέμω τὸ οἰκοδομῶ, δέμας. τὸ δόμημα γάρ ἐστι τῆς ψυχῆς καὶ οἰκητήριον. ἰστέον ὅτι τὸ βρέτας, δέπας, δέμας, οὐ κλίνονται. οὐ γὰρ λέγουσι τούτων τὰς γενικάς. ζήτει εἰς τὸ κρέας τὸν κανόνα.

Δέμνια, ἔνιοι τὰ στρώματα. ἀπὸ τοῦ τὸ δέμας ἐπ' αὐτὰ μένειν. ἢ ὡς παίζω παίγνιον, ἀράσσω ἀράχνιον, οὕτω δέμω, δέμνιον. τὸ εἰς σώματος ἀνάπαυσιν οἰκοδομηθέν, ἢ συνδεθέν. ἔνθα ὅμηρος. μαλακοῖς δεδμημένοι ὕπνῳ. καὶ τὴν τοῦ κοιμᾶσθαι παρασκευὴν νύκτα, δμήτειραν. δέμνιον δέ, ἡ κλίνη.

Δενδίλλων, διανευόμενος. παρὰ τὸ δινεῖν τοὺς ἴλλους, ἤγουν κινεῖν τοὺς ὀφθαλμούς, καὶ μεταφέρειν. ἴλλοι δὲ οἱ ὀφθαλμοὶ οἱ ῥᾳδίως εἰλούμενοι καὶ εὐμετάφοροι πρὸς ἑκάτερα.

Δενδαλίδες, ἱεραὶ κριθαί.

Δενδρυάζειν, τὸ καταδύειν καὶ κρύπτεσθαι. κυρίως ἐπὶ τοὺς δρῦς. καταχρηστικῶς δέ, καὶ ἐπὶ τοῦ ἁπλῶς δύειν καὶ κρύπτειν. ἀπὸ τῶν παλαιῶν ταῖς δρυσὶ σκεπαζομένων. τοὺς γὰρ παλαιοὺς τῶν ἀνθρώπων πρὸ τῆς τῶν οἴκων εὑρέσεως, ἐν τοῖς κοιλώμασι τῶν δρυῶν λέγεται καταδύνοντας οἰκεῖν. παρὰ τὸ δρύας, δρυάζειν, καὶ δενδρυάζειν. σημαίνει καὶ τὸ καθ' ὕδατος δύεσθαι καὶ κρύπτειν ἑαυτόν.

Δεξίων. οὕτως ὠνόμασται σοφοκλῆς ὑπὸ ἀθηναίων. μετὰ τὴν τελευτήν φασιν ὅτι ἀθηναῖοι τελευτήσαντι σοφοκλεῖ, βουλόμενοι τιμὰς αὐτῷ περιποιῆσαι, ἡρῷον αὐτῷ κατασκευάσαντες, ὠνόμασαν δεξίωνα ἀπὸ τῆς τοῦ ἀσκληπιοῦ δεξιώσεως. καὶ γὰρ ὑπεδέξατο τὸν θεὸν ἐν τῇ αὐτοῦ οἰκίᾳ, καὶ βωμὸν ἱδρύσατο. ἐκ τῆς αἰτίας οὖν ταύτης, δεξίων ἐκλήθη.

Δεξιά, ἡ χείρ. καὶ ὁ ποιητὴς δεξιτερὴ λέγει, ἀπὸ τοῦ δέχεσθαι δι' αὐτῆς τὰ διδόμενα. ἢ δεξιά τις οὖσα, ἀπὸ τοῦ τὰς πλείονας δι' αὐτῆς διεξιέναι πράξεις. καὶ παρωνύμως, δεξιὸς ὁ ἐπιτήδειος καὶ ἄριστος. ἢ ἀπὸ τοῦ δεκτός, δεξιά. ὡς ἀνόρεκτος, ἀνορεξία. εὔθηκτος εὐθηξία.

Δεξιολάβος, παραφύλαξ.

Δεξιμήλων θεῶν, ἀπὸ τοῦ δέχεσθαι τὰ θυόμενα μῆλα. εἴσιν οὖν βωμοί.

Δέοιμι. πῶς ἂν ἐγώ σε δέοιμι. ἀντὶ τοῦ εὑρίσκοιμι. κατὰ λαμβάνοιμι. ἀπὸ τοῦ δήεις τὸν γενέσιον. ἀρίσταρχος δέ, πῶς ἂν εὐθύνοιμι. οἱ δέ, ἀντὶ τοῦ δῆσαι, καὶ δεσμεῦσαι.

Δεξιτερός, ὅ ἐστιν ἀπὸ τοῦ δεξιός, ὤφειλεν εἶναι δεξιώτερος. ὡς λογιώτερος. ἔστιν οὖν παρώνυμος ὁ χαρακτήρ. παρὰ γὰρ τὸ δεξιός, γίνεται δεξιερός. ὡς ἄριστος, ἀριστερός. φθόνος, φθονερός. καὶ πλεονασμῷ τοῦ τ, δεξιτερός. οὕτω φίλων. ὁ δὲ ἡρωδιανὸς λέγει μὲν καὶ τοῦτο ὅτι συνεξέδραμε τὸ ἄριστος ἀριστερός. καὶ τὸ δεξιὸς δεξιτερός. τοῦτο γὰρ συνεκδρομὴ καὶ οὐ πλεονασμός. ὥσπερ καὶ παρὰ τὸ πρόβατον γίνεται προβάτιον. οἷος οἰότερον, ὡς λέγει σώφρων. ταῦτα γὰρ οὐ λέγεται πλεονασμός, ἀλλὰ συνεκδρομὴ τοῦ προβάτεον. οὕτω δεξιτερός, ὡς ἀριστερός.

Δεξιάδην, δεξιοῦ υἱόν. ἢ ἀντὶ τοῦ ἐκ δεξιᾶς. εἴτε οὖν παρωνυμικόν, εἴτε ποιότητος, ἢ τόπου, ἐπίρρημα δύναται εἶναι. καὶ τοῖς ἄνω, καὶ τοῖς ἑπομένοις συντάττεσθαι. ἡ δ' ἰφινόου δεξιάδην βάλεν. ἢ βάλεν δεξιάδην ὦμον. ἢ δεξιάδην ἐπάλμενος ἀπὸ τῶν δεξιῶν ὤμων.

Δέος, παρὰ τὸ δείω τὸ φοβοῦμαι, γίνεται δέος ὁ φόβος. ὡς νείφω, νέφος. ἢ ἀπὸ τοῦ δέω τὸ δεσμεύω. ὅτι ὁ φόβος, συνδεῖ τοὺς πόδας καὶ τὰ μέλη τοῦ σώματος.

Δέπας, ἔκπωμα. ποτήριον. παρὰ τὸ δέχω, δέχας καὶ δέπας, δι' οὗ δεχόμεθα τὸν οἶνον. τούτου δὲ γενικὴ οὐ λέγεται, καὶ τῶν ὁμοίων. εἰς τὸ κρέας.

Δέρω, σημαίνει δύο. τὸ ἐκδέρω, ἐξ οὗ καὶ δειρή, ὁ τράχηλος. τὸ τύπτω, ἐξ οὗ καὶ τὸ ἔδαρεν.

Δέρκω, τὸ ὁρῶ. παρὰ τὸ δρῶ τὸ πράττω, δρέκω, καὶ καθ' ὑπερθέσιν, δέρκω. ἢ παρὰ τὸ διέρχεσθαι, δέρκεσθαι εἴρηται.

Δερκευνέος, ἐπίθετον τοῦ λαγωοῦ. ἐπειδὴ δοκεῖ κοιμώμενος βλέπειν. νίκανδρος εἰς τὰ ἀντιφάρμακα. ἢ σκίνακος δερκευνέος.

Δέρη, ὅπερ καὶ δειρὰ καλεῖται. καὶ ἐκ τούτου, δειροτομῆσαι. κυρίως δὲ δέρη καὶ δειρὰ καλεῖται ἐπὶ τῶν τετραπόδων, ὁ τῶν ἀλόγων ζώων τράχηλος, διὰ τὸ ἐντεῦθεν ἐκδέρεσθαι. καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀνθρώπων. ἔστι δὲ παράγωγον παρὰ τὸ δέρω, δέρα καὶ δέρη ἰωνικῶς, καὶ δειρή. ἢ κατὰ πλεονασμὸν τοῦ δ, εἰρά τις οὖσα. παρὰ τὸ εἴρειν τὸ λέγειν. ἡ φωνητική.

Δέρος. τὸ κώδιον. αἱ τοιαῦται εὐθεῖαι, ἤτοι ἰωνικαί εἰσιν, ἢ δωρικαί. οἷον, δέρος, κῶος. ἀπὸ τοῦ δέρας καὶ κῶας πεποίηνται. ἢ παρὰ τὸ δείρω, δέρος. ὡς μείρω, μέρος. καὶ φθείρω, φθόρος.

Δέῤῥις, ἱμάτιον παχὺ, ἢ δέρμα, ἢ τρύχινον παραπέτασμα, ἐπὶ ταῖς θύραις ταῖς αὐλείαις βαλλόμενον. ἔστι καὶ ῥῆμα. εὔπολις. Γυνὴ μέλαιναν δέῤῥιν ἠμφιεσμένη. ἐπὶ τοῦ ἱματίου. ἐπὶ δὲ τοῦ παραπετάσματος, πλάτων. παρὰ τὸ δέρω, δέρις. καὶ πλεονασμῷ τοῦ ρ, δέῤῥις. λέγεται καὶ τὰ ξηρὰ δέρματα, καὶ ἀμάλακτα. καταχρηστικῶς δὲ, καὶ πάντα τὰ δέρματα.

Δέργματα, τὰ ὄμματα. δέρξεις γὰρ αἱ βλέψεις. ὡς ἀπὸ τῶν βλεπομένων καὶ τῆς ἐνεργείας ὠνόμασται. δέρκεσθαι γὰρ, τὸ βλεπόμενον δέρχεσθαι δηλοῖ. ἐκ τοῦ δρῶ, παράγωγον, δρέκω. καὶ ὑπερβιβασμῷ. λέγονται καὶ αἱ ὁράσεις, καὶ δέργμα.

Δέῤῥον. Δέῤῥον ἔσω δύνοντα. ὁ λυσίας λ. παρὰ τὸ δέρω, δέτρον, τὸ δέρμα. ὡς μείρω, μέτρον. καὶ φέρω φέρτρον. ἐν δὲ τῷ ῥητορικῷ λεξικῷ, εὗρον σημαίνειν τὴν ἐπίπλουν. τὴν ὑπὸ τὴν σάρκα πιμελήν. ἢ τὸν ὑποκείμενον τῷ ἥπατι ὑμένα, ἢ τὴν δοράν. ἄλλοι δὲ τὸν ὑπὸ τῶν ἰατρῶν λεγόμενον ἦτρον. ἀρίσταρχος δὲ τὸ δέρμα καὶ πάντα τὰ ἔσχατα τὰ πρὸ τοῦ ἥπατος. ἄμεινον δὲ τὸ ῥάμφος δέτρον. ἀπὸ τοῦ δέρειν, ὅ ἐστι κρούειν. τούτῳ δὲ διαῤῥήσσουσιν ἃ ἂν ἐσθίωσιν οἱ γῦπες τῇ κρούσει τοῦ ῥάμφους. ἔστι δὲ τὸ ὄνομα ῥηματικόν. ὡς παρὰ τὸ πλήσσω πλῆκτρον, οὕτω καὶ δέρω δέῤῥον.

Δερμηστής. λυσίας μὲν τὸν σκώληκα φησὶν οὕτω λέγεσθαι. ἀρίσταρχος δὲ, τὸν ὄφιν. εἴη δ' ἂν μᾶλλον ὁ τὰ δέρματα ἐσθίων. ἐκ τοῦ ἔδω.

Δερμύλλει, αἱμοποτεῖ. οἱ δὲ, ἐκδέρει.

Δέρμα, κυρίως ἐπὶ ἀλόγων. παρὰ τὸ δέρω τὸ ἐκδέρω. καὶ ἐπὶ τῶν λοιπῶν ζώων, παρὰ τὸ τέρμα εἶναι τοῦ σώματος, ὅ ἐστι πλήρωμα. τροπῇ τοῦ τ εἰς δ, δέρμα. ἔξωθεν γὰρ ἐπιβέβληται παντὶ τῷ σώματι. ἢ δέμας ὄν. καὶ πλεονασμῷ τοῦ ρ, δέρμα. ἄλλως. δέρμα τὸ παρατεινόμενον ὅλῳ τῷ σώματι. ὃ ποιητικώτερον, λέγεται καὶ ῥινός, καὶ σύφαρ, καὶ στερφνός, καὶ ἀνθρωπή. ἐπὶ ἀλόγων, πέσκος, καὶ νάκος. εἴρηται δὲ τέρμα οἱονεὶ τέλος τοῦ σώματος. ἢ δέμα τὶ ὄν. τὸ δεσμῷ ἐοικός, παρέντος τοῦ ρ. ὡς κέντριον, καὶ ἰατρική. κέντιον τὸ καὶ ἰατική. διὸ καὶ ἐντεῦθεν ἡ δορά. τὸ ἀπεστυρμένον δέρμα.

Δεβιστήρ, τὸ δέρμα. παρὰ τὸ δέρος, δεριστήρ. καὶ πλεονασμῷ τοῦ β. πλεονάζουσι δὲ τὸ β συρακούσιοι. ὡς ἐπὶ τοῦ ὀλβάχνιον. ὀλάχνιον γάρ ἐστι τὸ ἀπαθὲς τὸ τὰς οὐλὰς ἔχον. σημαίνει δὲ τὸ κανοῦν ἐν ᾧ ἀπετίθεντο τὰς οὐλὰς, ἢ τὰς ὀλάς.

Δεσμός. παρὰ τὸ δέω τὸ δεσμεύω, δέδεσμαι, δεσμός. πᾶν ῥῆμα τῆς τρίτης συζυγίας τῶν περισπωμένων, ἐν τοῖς ὀνόμασιν, ἢ διὰ τοῦ ω ὀξυτόνως προεκφέρεται. οἷον, χρυσῶ, χρυσωτής. μισθῶ μισθωτός. μισθωτής. ἢ διὰ τοῦ ο βαρύνεται. ὀμόσω ὀμότης. ἀρόσω, ἀρότης. οὐκ ὀρθῶς οὖν τὸ δεσμώτης, ἀπὸ τοῦ δεσμώσω μέλλοντος. ἐπεὶ ὤφειλεν εἶναι δεσμωτής, ἀλλ' ἀπὸ τοῦ δεσμός.

Δεσπότης, παρὰ τὸ δεσπόζω, δεσπόσω, δεδέσποκα, δεδέσποσμαι. τὸ τρίτον, δεδέσποται. δεσπότης ἐξ αὐτοῦ. καὶ τῇ ἐλλείψει τοῦ σ, ἀνεβιβάσθη ὁ τόνος. ἢ παρὰ τὸ δέω, δεσμώτης, καὶ δεσπότης. ὁ δεσμὸν περιβάλλων καὶ δουλαγωγῶν. ἢ δεσπότης τὶς ὤν, ὁ δέος ἐμποιῶν τοῖς οἰκέταις, κατὰ ἀποβολὴν τοῦ ι. ἡ κλητική, ὦ δέσποτα. καὶ διατί οὐκ ἐγένετο ἡ κλητικὴ δεσπότα, ὡς ὁ ζόλης ὦ ζόλα, καὶ λέγει, ὅτι τὸ δέσποτα ἀπὸ εὐθείας γέγονε τῆς δέσποτος δεσπότου ὡς μαρτυρεῖ ἡ σύνθεσις, ἀδέσποτος. ἡ κλητική, δέσποτε. καὶ τροπῇ τοῦ ε εἰς α. ἢ κατὰ μεταπλασμὸν ἐφύλαξε τὸν τόνον τοῦ δέσποτε δέσποτα. δεσπότης, δεσμότης, διὰ τὸ πάντα περιέχειν καὶ συγκρατεῖν.

Δέσποινα, σύνθετον. δεσποία, ἡ δέος ποιοῦσα. ἀπὸ τοῦ δεσποιὸς ἀρσενικοῦ κατὰ συγκοπὴν δέσποινα. ὡς θεόφατον, θέσφατον. πλεονασμῷ τοῦ ν. ἢ ὥσπερ ἀπὸ τοῦ ἀρύτω, γίνεται ἀρύταινα, καὶ βαίνω, ἀμφίσβαινα, οὕτω καὶ παρὰ τὸ δεσπόζω, γίνεται δεσπόζαινα. καὶ τροπῇ τοῦ ζ εἰς α, καὶ συναιρέσει τοῦ ο καὶ ι εἰς τὸν οι δίφθογγον, δέσποινα. οὐ γὰρ παράγεται ἀπὸ τοῦ δεσπότης ἀρσενικοῦ. ἐπεὶ ὤφειλεν εἶναι τὸ θηλυκὸν δεσπότις καὶ οὐ δέσποινα.

Δυσαύχενες, οἱ ἀσκοὶ, διὰ τὸ ἐκ τῶν αὐχένων δεῖσθαι.

Δετή, ἡ λαμπάς. ὅμηρος. Καιόμεναι δεταί. ἀπὸ τοῦ δίδημι ῥήματος, γίνεται δετὸς καὶ δετή. ἡ ἐκ δεδεμένων δάδων λαμπάς.

Δεύω, σημαίνει δύο. τὸ βρέχω, ὡς τὸ, Δεύοντο δὲ δακρυόεσσι κόλποι. ἡσίοδος. Πῖλον ἔχειν ἀσκητὸν ἵν' οὔατα μὴ καταδεύῃ. εἴρηται παρὰ τὸ ὕδια. ὑέτιος γὰρ ἐστὶν ὕδωρ. κυρίως γὰρ τὸ ὑπὸ διὸς ὕεσθαι, ὅ ἐστι βρέχεσθαι. δεύω, καὶ δεύω. ἢ παρὰ τὸ δέω τὸ χρήζω, πλεονασμῷ τοῦ υ. τὸ δὲ δεύομαι βρέχεσθαι. σημαίνει δὲ καὶ τὸ ἐνδέομαι. ὡς τὸ Ἐδεύησεν δὲ οἰκήϊον ἀγρονικέσθαι. ἐξ οὗ καὶ τὸ Ἠδ' ἔτι καὶ χρόνου ἐπιδεύεαι. ὁ ἐνδεὴς, δέω τὸ χρήζω. καὶ ποιητικῶς πλεονασμῷ τοῦ υ, δεύω. ἐκ τοῦ δεύω, γίνεται δεύεται. καὶ οἱ ἴωνες ἀποβάλλουσι τὸ τ τοῦ τρίτου προσώπου, καὶ ποιοῦσι δεύτερον. σημαίνει δὲ τὸ ἐνδεὴς εἶ. χρήζεις. ἔστι καὶ περισπώμενον. δεῶ, δεήσω, ἐδέησα, ἐδέησε. καὶ πλεονασμῷ, ἐδεύησε.

Δευόμενοι, ἐνδευόμενοι, χρήζοντα. παρὰ τὸ δεύω τὸ χρήζω.

Δευοίατο. ῥῆμα εὐκτικὸν παθητικὸν, τρίτου προσώπου τῶν πληθυντικῶν, μέσου ἀορίστου δευτέρου. καὶ οἱ ἴωνες ἐπὶ τοῦ εὐκτικοῦ τρίτου προσώπου τῶν πληθυντικῶν, τιθέασιν ἀντὶ τοῦ ν, α. τὸ γὰρ πίθοιντο, πιθοίατο λέγουσιν. οὕτω καὶ τοῦτο. καὶ οἱ αἰολεῖς τρέπουσι τὸ ἀμετάβολον εἰς α.

Δεῦρο, καὶ δεῦτε. ἀπὸ τοῦ θέω, φρασίατο, καὶ ἠνοίατο. γίνεται θεῦσο. καὶ τροπῇ τοῦ θῆτα εἰς δ καὶ τοῦ σ εἰς τὸ ρ, γίνεται δεῦρο, καὶ δεῦτε. οἱ γὰρ προκαλούμενοι, θέουσι πρὸς τοὺς καλοῦντας. ἔστι δὲ τὸ δεῦρο χρόνου δηλωτικόν. καὶ γράφεται ὥσπερ καὶ τὸ δύο μικρὸν καὶ μέγα ἀττικῶς. ἔστι δὲ καὶ ῥῆμα προστακτικόν. καὶ σημαίνει δύο. τὸ ἐνταῦθα. ὡς τὸ, Δεῦρ' ἴθι νύμφα φίλα. καὶ Δεῦρο μαχησόμενος. σημαίνει καὶ ἔξελθε. ὡς ἐν τῇ θείᾳ γραφῇ. Λάζαρε δεῦρο ἔξω, ἀντὶ τοῦ ἔξελθε. τὸ πληθυντικὸν αὐτοῦ, δεῦτε. εἰ γὰρ ὁ κανὼν λάβοι αὐτὸ ἐπίῤῥημα, ἀνοίκιόν ἐστιν. ἐπειδὴ τὰ ἐπιῤῥήματα ἀριθμὸν οὐκ ἐπιδέχονται. κανὼν γάρ ἐστιν ὁ λέγων. ζήτει εἰς τὸ ἄγετε, καὶ βάλετε. ἐκ τοῦ δεῦρο, δευρί.

Δευσοποιὸς πονηρία, ἡ ἔμμονος καὶ ἀνίατος. ἀπὸ μεταφορᾶς τῆς ἔμμονον ἐχούσης τὴν χρόαν. διὰ τὸ ἀκριβῶς καὶ κατόχως βεβάφθαι. δευσοποιὸν γὰρ, τὸ δυσέκπλυτον καὶ δυσεξίτηλον.

Δευσοποιὸν, τὸ ἔμμονον, καὶ μὴ ἐκπλυνόμενον βάμμα. τὸ γνησίως βεβαμμένον.

Δεύτερος, ὄνομα ἀρσενικόν. εἶδος παραγώγου. γίνεται παρὰ τὸ δεύω τὸ λείπω. ὁ λειπόμενος τοῦ πρώτου. ἢ παρὰ τὸ συνδεδέσθαι ἑτέρῳ ἀριθμῷ. καθόλου τὰ διὰ τοῦ τερος ὀνόματα εἴτε ὀξύνονται εἴτε βαρύνονται, διὰ τοῦ ε ψιλοῦ γράφεται. οἷον, κρατερός. σοφώτερος. ἴκτερος, ὕστερος, οὕτω καὶ δεύτερος. Δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν. ἐπίῤῥημα χρόνου δηλωτικόν.

Δεύτατος. παρὰ τὸ δεύω καὶ δεύομαι τὸ λείπομαι, γίνεται δεύτερος, καὶ δεύτατος. ὥσπερ ἀπὸ τοῦ φέρω, φέρτερος καὶ φέρτατος. ἤγουν ὁ λειπόμενός τινος τῇ τάξει καὶ μὴ πρῶτος. Ὃς δεύτατος ἔστιν ἀχαιῶν. καὶ δεύτερον αὐτὸ λυσίας ἴδων.

Δεύνυσος, ὁ διόνυσος. ἀνακρέων. Πολλὰ δ' ἐρίβρομον δεύνυσον. τοῦ ι τραπέντος εἰς ε, γίνεται δεόνυσος. οὕτω γὰρ σάμιοι προφέρουσι. καὶ συναιρέσει, δεύνυσος. ὡς θεόδωρος, θεύδωρος. ἔνιοι δέ φασιν ὅτι ἐπειδὴ ἐβασίλευσε νύσης. κατὰ δὲ τὴν ἰνδῶν φωνὴν, δεῦνις ὁ βασιλεὺς λέγεται.

Δέχομαι, εἴρηται παρὰ τὴν δεξιάν. κυρίως γὰρ δέχεσθαι, τὸ ἐν τῇ δεξιᾷ λαβεῖν λέγεται.

Δέχαται. ἐκ τοῦ δεδέχαται, κατὰ συγκοπὴν δέχαται.

Δεξιῶ. ἀπὸ τοῦ δέχω, δέξω. καὶ πλεονασμῷ τοῦ ι, δεξιῶ. καὶ ἐδεξιοῦτο, τὸ λυτήριον, ἀντὶ τοῦ φιλοφρόνως ὑπεδέχετο.

εἰς τὸν κανόνα τῆς μεγάλης ἑβδομάδος.

Δέκτο, ἐκ τοῦ δέχω. ὁ παρακείμενος, δέδεχα. ὁ παθητικός, δέδεγμαι, δέδεκται. καὶ τὸ ἀπαρέμφατον δεδέχθαι. καὶ κατὰ ἀφαίρεσιν τοῦ διπλασιασμοῦ, δέχθαι. ὁ ὑπερσυντέλικος, ἐδεδέγμην. τὸ τρίτον, ἐδέδεκτο. καὶ συναρχομένως, ἔδεκτο.

Δέχνυμαι. ἐκ τοῦ δέχω, οὗ τὸ παθητικὸν δέδεκτο, καὶ δέκτο. κοινὸν δέχομαι, γίνεται δεχύω. καὶ πλεονασμῷ τοῦ ν, δεχύνω. ὡς πληθύω, πληθύνω. καὶ ὑπερθέσει τοῦ ν, δεχνύω. ἀφ' οὗ δέχνυμι τετάρτης συζυγίας τῶν εἰς μι. ζήτει εἰς τὸ δέχομαι. ἐξ οὗ τὸ, Δέχνυσο μῆτερ.

Δεῖγμα. κυρίως μὲν τὸ δεικνύμενον ἀφ' ἑκάστου τῶν πωλουμένων. ἔστι δὲ τόπος τὶς ἀθήνησιν ἐμπορίου εἰς ὃν τὰ δείγματα ἐκόμιζον καλούμενος οὕτως. ἀττικὸν δὲ ἐστὶν ἔθος, τὸ καλεῖν ἀπὸ τῶν ἐν τόπῳ, καὶ αὐτοὺς τοὺς τόπους. οὕτως εὑ-ρον εἰς τὸ ῥητορικὸν λεξικόν.

Δειδήμων. παρὰ τὸ δειδῶ, δειδήσω, δειδήμων. ὡς φιλῶ, φιλήσω, φιλήμων. Ἀλλὰ μάλα τρῶες δειδήμονες. εὐλαβεῖς. φοβεροί.

Δείδια, ὅ ἐστι τὴν ἀσέληνον νύκτα. παρὰ τὸ … σκιωτηροί. δέος γίνεται. ἡ φόβου ἐμποιητική.

Δείδω. ἀπὸ τοῦ δέος, δέω καὶ δείω. καὶ κατὰ ἐπένθεσιν τοῦ δ, δείδω. ὅθεν καὶ δεισιδαίμων, ὁ εὐλαβὴς καὶ δειλός.

Δείδια. ἐκ τοῦ δείω ὅ ἐστι τὸ φοβοῦμαι, γίνεται παρὰ … παράγωγον δεδίω. ὁ μέσος παρακείμενος δέδια. καὶ πλεονασμῷ τοῦ ι δείδια. τὸ μέλλον, δείδια. τὸ τρίτον, δείδιε. Δείδιε γὰρ μὴ λαιμὸν ἀπαμήσῃ. ἡ μετοχὴ, δεδιώς δεδιότος. καὶ τὸ δείδιμεν, ἐκ τοῦ δεδίαμεν κατὰ συγκοπήν.

Δείδιμεν, εἰ μὲν ἔστιν ὑπερσυντέλικος, διὰ τῆς ει διφθόγγου γράφεται. ἀπὸ γὰρ τοῦ δείδω, ὁ ὑπερσυντέλικος, ἐδεδίειν. ἐδεδίειμεν. καὶ κατὰ συστολὴν, δείδιμεν. εἰ δὲ ἐστὶ μέσος παρακείμενος, διὰ τοῦ ι γράφεται. ἀπὸ γὰρ τοῦ δεδίαμεν καὶ δείδιμεν πλεονασμῷ

Δειδίξασθαι, ἐκφοβῆσαι. δείδω, δει… τοῦ ι κατὰ τὴν ἀρχήν. δίσω, καὶ δειδίξω. ἀπὸ τοῦ δίδω, παράγωγον δειδίω, δειδίσω, καὶ δειδίσσω. δειδίσσομαι. διαθέσεως ἐνεργητικῆς οὐκ ἔστι παθητικῆς. ἀντὶ ἐκφοβοῦν καὶ οὐ φοβοῦμαι. Καὶ οὔ σε ἔοικε κακὸν ὣς δειδίσσεσθαι δειλιᾶν. φοβεῖσθαι. εὐλαβεῖσθαι.

Δείδεθι. ἐστὶ δείδω. καὶ μεταθέσει τοῦ ι … δῶ. παράγωγον δείδημι. ὁ παρατατικὸς, ἐδείδην. τὸ πληθυντικὸν, ἐδείδιμεν. καὶ τὸ προστακτικὸν, δείδιθι.

Δείκελον. λέγεται καὶ δείκηλον. ὅ ἐστι δὲ ἄγαλμα, ἢ ὁμοίωμα. οἷον, Δείκηλα προΐαλλεν. καὶ δείκελον ἰφιγενείας παρὰ ἀθηναίῳ. ὥσπερ παρὰ τὸ πέμπω πέμπελος. ὅ ἐστι δὲ τῶν πολλῶν ἐνιαυτῶν ὄντα, οὕτω καὶ ἀπὸ τοῦ δείκω τὸ δεικνύω, τὸ δείκελος. καὶ ἐκτάσει τοῦ ε εἰς τὸ η, δείκηλον, τὸ ἴνδαλμα. κυρίως εἴρηται ἐπὶ τοῦ ἀγάλματος τοῦ διός. τὸ δὲ εἴκελον. καταχρηστικῶς δὲ τὸ οἷον δήποτε ἴνδαλμα. ἐπαφρόδιτος δὲ λείπειν τὸ ι φησὶ κατὰ τὰς ἀρχάς. ἰδεῖν εἴκελον τὸ τῇ ἰδέᾳ ἀνέκαστου ἐμφαινόμενον ὁμοιότητα. ἢ παρὰ τὸ δείω δείκω, δείκελον, τὸ ἐπὶ δέει καὶ φόβῳ πεμπόμενον, ὡς εἴδωλον. διαφέρει δὲ τὸ δείκελον καὶ εἴδωλον, κατὰ τὴν φωνὴν καὶ κατὰ

τὴν σημασίαν. παρὰ δὲ Δημοκρίτῳ, κατ' εἶδος ὅμοια τοῖς πράγμασιν ἀπόῤῥοια.

Δεικελισταί, μιμηταί παρὰ Λάκωσι.

Δείκανα, τὰ ποικίλα ὑφάσματα καὶ μορφὰς ἔχοντα. καὶ γὰρ τὰ πρόσωπα δείκανα καὶ δείκηλα.

Δεικανᾶται, προσαυδᾷ. προσασπάζεται. φιλανθρωπεύεται.

Δεικές, λαμπρόν. περιφανές. ὅμοιον. γράφεται καὶ δευκές.

Δεικνύμενος, δεξιούμενος λόγοις. Τὰ δὲ δεικνύμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς. παρὰ τὸ δέξαι. οἱ γὰρ δεξιούμενοι τινάς, δοκοῦσι δεικνύειν τοῖς δεξιουμένοις τὰ ὄψα. σημαίνει δὲ καὶ τὸ δεικνύει. Θῆκεν ἄεθλα δεικνύμενος Δαναοῖς. Ἰλιάδος ψ.

Δείκω, σημαίνει δύο. ἐκ τοῦ δεύκω τὸ βλέπω. κατὰ τροπὴν τοῦ υ εἰς ἰῶτα. ἐκ τοῦ δείκω, γίνεται τὸ δεικνύω. ἔστι καὶ δίκω τὸ βάλλω. καὶ δίκω, τὸ δακάνω.

Δεικνύει. οὕτως ἀναγνωστέον. Οὐ γάρ οἱ ἠέλιος δείκνυ νομόν. ἀπὸ τοῦ δείκνυσιν ἀποκοπή. ὅσοι δὲ ἀνέγνωσαν δεικνύ, βουλόμενοι ἐκ τοῦ δεικνύς παραλαμβάνειν κατὰ συστολήν, ἡμάρτον. ἀσύστατον γάρ. οὕτως Ἡρωδιανός. Δεικνύω δείκνυμι. ὁ παρατατικός, ἐδείκνυν, ἐδείκνυς, ἐδείκνυ. καὶ τὸ προστακτικόν, δείκνυ τὸ τῆς μάστιγος εὐσεβὲς πολύανδρον. ὡς τοὺς Μακκαβαίους ὁ Θεολόγος. ὥσπερ τὸ ἵστη, ἵστης. ἵστη μοι ὄμμα. προ-

Δεικτήριον, τόπος τῆς Σάμου. ὅτι ἐν σακτινόν. αὐτῷ ἡ Ἀθηνᾶ διέγραψε τὴν κεφαλὴν τῆς Γοργόνος δεικνύουσα τῷ Περσεῖ, ὅτε αὐτὸν ἀπέστειλεν ἐπὶ τὴν γοργομίαν. παρὰ τὴν δεῖξιν οὖν, δεικτήριον.

Δέξις. δείκω. καὶ ὁ μέλλων, δείξω. δεῖξις καὶ ἀπόδειξις.

Δείελος. ἀττικοὶ τὸ δείελος. Ἰλιάδος φ. Εἰσόκεν ἔλθῃ δείελος ὀψὲ δύων. ἡ δείλη, δείελος εἴρηται. ὥσπερ ἑσπέρα, ἕσπερος. ὠνή, ὦνος. χολή, χόλος. σύνηθες Ἴωσι τὸ ε πλεονάζειν. ἥλιος, ἠέλιος. δειλινόν, δειελινόν. οἷον, Δειελινὸν κλίνοντος ὑπὸ ζόφον ἠελίοιο.

Δείλη, παρὰ τὸ ἐνδεῖν καὶ ἐλλείπειν τὴν ἕλην. τουτέστι τὴν θερμασίαν. δεέλη, καὶ κατὰ κρᾶσιν δείλη. ἀπὸ δὲ τούτου. οἷον, ἡ δείλη τῆς δείλης, γίνεται ἐπιρρηματικὴ σύνταξις. οἷον, Δείλης ἦλθον, ὡς παρὰ τῷ ποιητῇ. Ἔσσεται ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ. ἄλλως. παρὰ τὸ ἐνδεῖν τηνικαῦτα τὴν ἕλην. ἀπὸ γὰρ τῆς μεσημβρίας ἀμυδροτέρα γίνεται ἡ τοῦ ἡλίου θερμότης. λέγεται δείλη καὶ δεέλη καὶ δεείλη.

Δειλός, σημαίνει δύο. τὸν ἀσθενῆ, παρὰ τὸ δέος, δειλός. ἢ ὥσπερ ἀπὸ τοῦ βῶ σημαίνοντος γίνεται βηλός, οὕτως ἀπὸ τοῦ δείδω δείσω, σημαῖνον τὸ φοβοῦμαι, γίνεται δειλός. ἀντὶ μὲν τοῦ δειλαίου, Ὤμοι ἐγὼ δειλός. καὶ τὸν παρ' ἡμῖν λεγόμενον. ὡς τό, Ἔνθ' ὅ γε δειλὸς ἀνὴρ ὅ τ' ἄλκιμος.

Δειλιῶ, ἐκ τοῦ δειλός.

Δειλακρίων, ὁ δειλός. Ἀριστοφάνης. Ὦ δειλακρίων πῶς ἦλθες. σύνθετος ἡ λέξις. παρὰ τὸ δειλὸς καὶ τὸ ἄκρος. ὁ ἄκρως δειλός. εἴρηται καὶ δειλάκρος, καὶ δειλάκρα. καὶ δειλακρίνας. δειλακρίων οὖν, ὁ ἐλεεινός. ταλαίπωρος. ἄχρειος.

Δεῖμος, ὁ φόβος. ὥσπερ ἀπὸ τοῦ ἄνθος γίνεται ἄνθιμος, καὶ ἀπὸ τοῦ κῦδος, κύδιμος, οὕτω καὶ ἀπὸ τοῦ δέος δέϊμος καὶ δεῖμος, ὁ δέος ἐμποιῶν. ὄνομα πρέπον Ἄρεος παιδί. Ὅμηρος. Δεῖμός τε φόβος τε.

Δεῖμα, ὁ φόβος. ἔστι καὶ ῥῆμα. ὥσπερ ἀπὸ τοῦ ποιήσω μέλλοντος, γίνεται ποίημα, οὕτω καὶ ἀπὸ τοῦ δέω τὸ φοβοῦμαι πλεονασμῷ τοῦ ἰῶτα, δείω. ὁ μέλλων, δείσω. γίνεται δεῖμα δείματος. Δειματῶ, παρὰ τὸ φόβον. παραγωγὴ ἀπὸ ὀνόματος. ὡς τὸ δεῖμα δειμαλέος. ἀπὸ ῥήματος, ὡς τὸ οἰδῶ οἰδαλέος. καὶ ἀπὸ ἐπιρρήματος.

Δειμαλέος, εὐλαβής. ὥσπερ ἀπὸ τοῦ τάρβος γίνεται ταρβαλέος, οὕτω καὶ ἀπὸ τοῦ δεῖμος, δειμαλέος. δεῖ δὲ γινώσκειν ὅτι τὰ διὰ τοῦ αλεος ὑπὲρ τρεῖς συλλαβάς, πρὸ μιᾶς τὸν τόνον ἔχουσιν. οἷον ἀργαλέος. νηφαλέος. σεσημείωται μέντοι δὲ τέσσαρα ταῦτα. δαιδάλεος, ἀπὸ τοῦ δαίδαλος. ἔστι καὶ κονισάλεος. Κονισάλεον δίφρον, ὡς παρὰ Ἀντιμάχῳ. ἀπὸ τοῦ κονίσαλος, ἀποβολῇ τοῦ ι. ἀταθάλεος, ἀπὸ τοῦ ἀτάθαλος, πλεονασμῷ τοῦ ε γέγονεν. ἢ ἀπὸ τοῦ ἀτάσθαλος. αἰθάλεος. τοῦτο δὲ διαφέρεται, καὶ πρὸ μιᾶς ἔχει τὸν τόνον. ἀπὸ τοῦ αἴθω γὰρ ὑπάρχει. ὡς νήφω, νηφάλεος. ἡνίκα δὲ πρὸ δύο ἔχει τὸν τόνον, ἀπὸ τοῦ αἴθαλος γέγονε κατὰ ἀποβολὴν τοῦ ι. ὡς Πῦρ θ' αἰθάλεοι πρηστῆρες.

Δειμάμενος. τὸ θέμα δέμω τὸ οἰκοδομῶ. ἔδειμα. ἐδειμάμην. ἡ μετοχή, δειμάμενος.

Δείδεκτο, ἐδεξιοῦτο. Δείδεκτ' Ἀχιλῆα.

Δέδοικα, ἀπὸ τοῦ δείκω.

Δεῖν. Δεῖν ὠήθην. δέον εἶναι ὑπέλαβον. ἀναγκαῖον ἐνόμισα. ὥσπερ ἀπὸ τοῦ πλέον γίνεται κατὰ κρᾶσιν τοῦ ε καὶ ο εἰς ει δίφθογγον, πλεῖν. σταδίου λαλίστερα, ἀντὶ τοῦ πλέον σταδίου φλυαρώτερα, οὕτω καὶ ἀπὸ τοῦ δέον γίνεται δεῖν. Δεῖν τόδε γενέσθαι. ἢ ἀπὸ τοῦ πλέειν, πλεῖν. ὡς δέειν, δεῖν.

Δείους. ἀπὸ τῆς δέους γενικῆς καὶ σπέους, γίνεται κατὰ πλεονασμὸν τοῦ ι, δείους καὶ σπείους. οἷον, Χλωροὶ ὑπὸ δείους. καὶ ἦρα κατὰ σπείους. ὡς τὸ σῖγμα.

Δεῖνος, προπερισπᾶται. ὁ ψυκτήρ. παρὰ τὸ δέος ἐμποιεῖν.

Δεινός, ὁ φόβου ποιητικός. ὡς δὲ τὸ ῥητορικὸν εὗρον. πανοῦργος. ἱκανός. ἀκολάκευτος. σοφός. ἔμπειρος. ὥσπερ ἀπὸ τοῦ ἔλεος γίνεται ἐλεεινός, οὕτω καὶ παρὰ τὸ δέος, γίνεται δεϊνός. καὶ κράσει, δεινός. ὁ φόβου ἐμποιητικός. ὅθεν καὶ αἰνός, ὁ χαλεπός.

Δείνων, καὶ Δεινία, ὄνομα κύριον. παρὰ τὸ δεινός. τὰ δὲ παρ' αὐτοῦ συγκείμενα ἅπαντα, διὰ διφθόγγου γράφεται, δειπνολόχος. καὶ ῥῆμα δειπνῶ. ἤτοι τὸ δειπνοπαθῶ.

Δεῖπνος, τὸ παρ' ἡμῖν ἄριστον λεγόμενον. ὅθεν καὶ δειπνῶ. δόρπος δὲ ὁ ἑσπερινός. ἐκ τοῦ δεῖ τοῦ σημαίνοντος τὸ πρέπει καὶ πόνος. τὸ πόνος ἴσως ὤν. καὶ δεῖπνος, μεθ' ὃν δειπνεῖν. δεῖπνον, ὁ καιρὸς τῆς τροφῆς. καὶ ἡ ἐν τριώδει καιριδίως μέν ἡ τροφή. οἱ δὲ κωμικοὶ οἱ νεώτεροι συγχέουσι τὸν καιρὸν ἑσπερινὴν τροφὴν δεῖπνον ὀνομάζοντες ὡς καὶ νῦν, μεθ' ὃν δειπνεῖν. ἕωθεν ἐσθίοντες ἐπὶ πόλεμον ἢ ἐπὶ ἐργασίαν ἐξήρχοντο. ἐπαφρόδιτος δὲ παρὰ τὸ δάπτω, δάπτον καὶ δάπανον καὶ δεῖπνον κατὰ τροπὴν καὶ πλεονασμόν.

Δειπνιστός. ἔστι δειπνῶ, δειπνιτός. Ἀλλ' ὅτε δὴ δειπνιστὸς ἔην. περισπῶν τὸ ς, διὰ τοῦ ἰῶτα γράφεται. ἀπὸ τοῦ δειπνίζω δειπνιστός. ὥρος.

Δειπνολόχος, κλεπτοφόρος. καὶ Ἡσίοδος. Γυναικὸς δειπνολόχης. τῆς κακαλοχούσης. τῆς λάθρη αἰτούσης, καὶ μὴ φανερῶς. ἢ τις χωρὶς δόλου τἀνδρὸς καίει. καὶ γεράσαι πρὸ ὥρας ποιεῖ.

Δείρη, βαρυτόνως ἡ πόλις.

Δειρή, ἐκ τοῦ δέρω, δέρη. καὶ πλεονασμῷ τοῦ ι, δειρή. κυρίως ἀπὸ μεταφορᾶς. κατὰ τοῦτο τὸ μέρος πρὸ τοῦ δὲ χρῆν ἐκδέρεσθαι τὰ ζῶα. ἀπὸ δὲ τούτου, μετῆλθε καὶ ἐπὶ τῶν λοιπῶν ἀνθρώπων. οἱ μέντοι Αἰολεῖς, δέῤῥην λέγουσι. καὶ κατὰ παρασχηματισμόν, δέῤῥις. ἤτοι δὲ καὶ τίθεται μέντοι

Δεῖσα, ἡ ὑγρασία. οὐ γρώδης καὶ βοτανώδης βύρσαν. τόπος. παρὰ τὸν δεύσω μέλλοντα, σημαίνει τὸ βρέχω, γίνεται δεῦσα καὶ δεῖσα. ἡ δυσωδία. εἴρηται παρὰ τὸ δίω τὸ διὰ τοῦ ι γραφόμενον, ὃ σημαίνει τὸ φοβοῦμαι. ἵν' ἡ δεῖσα, ἡ δυσοσμία ἣν φεύγομεν. εἴτε οὖν διὰ τοῦ ι, εἴτε διὰ τῆς ει διφθόγγου, τὸ δίω καὶ δείω διαφέρεται. ὅθεν δέος καὶ δῖος διὰ τοῦ ι. ὅθεν καὶ τὶς περὶ ἄστυ Πριάμου δῖον.

Δεισήνωρ, ὄνομα ἥρωος. παρὰ τὸν δείσω μέλλοντα καὶ τὸ ἀνήρ. ὡς εὐήνωρ, ἀντήνωρ. τὸ γὰρ ἀνήρ ἐν τῇ συνθέσει, τρέπει τὸ μὲν ἄλφα εἰς ἦτα, τὸ δὲ η εἰς ω. Δεισήνορά θ' ἱππόθοόν τε.

Δεισιδαιμονία. λέγεται ἡ πρὸς τοὺς πονηροὺς δαίμονας ἐπιμέλεια. εἰς τὸ δείδω καὶ φόβος. γίνεται παρὰ τὸ δείδω. ὁ μέλλων, δείσω, καὶ τὸ δαίμων ὃ σημαίνει τὸν θεόν. Ἰστέον ὅτι παρὰ μὲν τοῖς Ἕλλησιν ἐπὶ καλοῦ λαμβάνεται. παρὰ δὲ ἡμῖν τοῖς Χριστιανοῖς, ἐπὶ τῆς ἀσεβείας λέγεται ἡ δεισιδαιμονία.

Δεισιδαίμων. θεοσεβής, ἢ ἀμφίβολος περὶ τὴν πίστιν, καὶ οἱονεὶ δεδοικώς.

ΤΟ ΔΕΛΤΑ ΜΕΤΑ ΤΟΥ Η

Δηθύνω, τὸ βραδύνω. ἐκ τοῦ δηθά, ὅ ἐστι τὸ ἐπὶ πολὺ δηθύω. καὶ πλεονασμῷ τοῦ ν, δηθύνω. πλεονάζει τὸ ν ἐν τοῖς ῥήμασι. πολλάκις δὲ ῥήματα ἀπὸ ἐπιρρημάτων γίνεται. ὡς ὀψέ ὀψίζω. θαμά, θαμίζω. τὸ δῆθεν, ποτὲ μέν ἐστι παραπλήσιον δή, ποτὲ δὲ ὡς δή.

Δηθά, ἐπίῤῥημα χρόνου δηλωτικόν. ἐκ τοῦ δήν, γίνεται δηνθά. καὶ ἀποβολῇ. οἷον, Δηθὰ μάλα στενάχων. πολλὰ συνεχῶς.

Δήιος, ὁ πολεμικός. καὶ ἐπίθετον τοῦ πολέμου. Δήιον ἐς πόλεμον καὶ πάλιν. σημαίνει τὸν ἐχθρὸν καὶ πολέμιον. καὶ δηΐοισι. παρὰ τὸ δέος, δέϊος, καὶ δήϊος. ὁ δέος ἐμποιῶν. ἢ παρὰ τὸ δαίω τὸ καίω, δάϊος, καὶ δήϊος, ὁ καυστικός. ἢ παρὰ τὸ δαίω τὸ κόπτω. δήϊος, ὁ διακοπτικὸς ἀνθρώπων καὶ οἴκων καὶ πόλεων καὶ δένδρων.

Δηίων. ἀπὸ τοῦ δήϊος, γίνεται δηΐων. ὡς ἀπὸ τοῦ διπλάσιος, διπλασίων.

Δηιότης, ἡ μάχη. παρὰ τὸ δηοῦσθαι ἐν αὐτῇ τοὺς τιτρωσκομένους.

Δηώσας, σημαίνει τὸ διακόψας. ἔστι δαίω τὸ κόπτω, ἰκαίω. διαλύσει τῆς αι διφθόγγου, γίνεται δαΐς. καὶ ὄνομα δήϊος. κατὰ τροπὴν τοῦ ἄλφα εἰς ἦτα. καὶ ῥῆμα δηΐω. ἐξ οὗ τὸ δηιόω. καὶ περισπωμένως δηιῶ. εἶτα κατὰ συναίρεσιν, δηῶ δηώσω. δηώσειν, ἀνελεῖν. φονεύσειν.

Δήετε, εὑρίσκετε. ὅτι ὅτινες καὶ τὴν Δήμητραν Δηὼ λέγουσι. διὰ τὸ τοὺς ἐντυγχάνοντας αὐτῇ τὴν θυγατέρα λέγειν δήεις, ὅ ἐστιν εὑρήσεις. γίνεται δὲ παρὰ τὸ δέω τὸ σημαῖνον τὸ εὑρίσκω, δήω.

Δηώ, ἡ Δημήτηρ. καὶ διφορεῖται ὥς φησιν ὁ τεχνικός. οἱ δὲ γὰρ ἡ παράδοσις τὸ ἦτα μετὰ τοῦ ἰῶτα, καὶ χωρίς. καὶ εἰ μὲν μὴ ἔχει τὸ ἰῶτα, λέγει ὅτι ἐστὶ παρὰ τὸ δήω τὸ σημαῖνον τὸ εὑρίσκω. καὶ γὰρ ἡνίκα περιήρχετο εἰς ζήτησιν τῆς θυγατρὸς αὐτῆς, κατ' εὐφημισμὸν ἔλεγον πάντες, δήεις, τουτέστιν εὑρήσεις. ἢ ἐπειδὴ αὐτὴ ἐφεῦρε τὸν σῖτον. εἰ δὲ ἔχει τὸ ἰῶτα, λέγεται ὅτι γέγονε παρὰ τὸ δαίω τὸ κόπτω κατὰ τροπὴν ἰωνικὴν τοῦ ἄλφα εἰς ἦτα. καὶ γὰρ ἡ Δημήτηρ γῆ ἐστιν. ἡ δὲ γῆ διακόπτεται ἐν τῷ ἀροτριᾶσθαι. ἢ παρὰ τὸ δαίω τὸ καίω. ὅτι μετὰ λαμπάδων ἐζήτει τὴν θυγατέρα. τινὲς δέ φασιν ὥς λέγει ὁ τεχνικός, ὅτι ὑποκοριστικόν ἐστιν, ἀπὸ τοῦ Δημήτηρ Δηώ. ἀγνοοῦντες τὸν σχηματισμὸν τῶν τοιούτων ὑποκοριστικῶν. τὰ γὰρ τοιαῦτα ὑποκοριστικά, θέλει φυλάττειν τὸ σύμφωνον τῆς δευτέρας συλλαβῆς τῶν ἰδίων πρωτοτύπων. οἷον, ὑψιπύλη, ὑψώ. εἰδοθέα, εἰδώ. εἰ οὖν Δημήτηρ, Δημὼ ὤφειλεν εἶναι. ἀλλ' οὐκ ἔστιν ὑποκοριστικόν. Δηώ, ἢ ὅτι πολλὴν ἐδήωσε γῆν, τουτέστι διέκοψε ζητοῦσα τὴν θυγατέρα. ἢ γνῶτίς ἐστι κατὰ τροπὴν τοῦ γάμμα εἰς δέλτα. ἢ ὅτι λυπουμένη διὰ τὴν θυγατέρα, ἐδαίετο τὴν ψυχήν. ἢ Δηώ, παρὰ τὰς δηάς. οὕτω γὰρ δηαὶ προσαγορεύονται ὑπὸ Κρητῶν αἱ κριθαί.

Δῆλος, καὶ εὔδηλος. παρὰ τὸ δήω τὸ εὑρίσκω. ὡς τό, Δήομεν ἀγλαὸν ἄλσος Ἀθήνης. ὁ μέλλων, δήσω. καὶ δῆλος ὁ

εὑρετὸς καὶ προφανής. ὡς τὸ παρὰ τὸ ἥσω, ἧλος. ἢ ὅτι παρ' ὧν μὲν ἐπὶ τὸ δέω τὸ σημαῖνον τὸ εὑρίσκω. οὗ μέμνηται ἀλκαῖος. ἐπὶ μηδὲν ὃ οὐ δέω ταῦτα μαρτυρεῦντας. καὶ ὡς εἴκω, εἴκελος, οὕτω δέω, δέελος. τὰ γὰρ πρόδηλα, ῥᾳδίως εὑρίσκονται. ἀπὸ δὲ τοῦ δέω, κατ' ἔκτασιν δήω.

Δῆλος, ἡ ἱερὰ τοῦ ἀπόλλωνος. εἴρη- ⟨ἀφ' οὗ τὸ δῆλος. ται ὅτι κρυπτομένην αὐτὴν ἐν τῇ θαλάσσῃ, ὁ ζεὺς δήλην ἐποίησε, καὶ ἀνέδωκεν ἵνα ἡ λητώ. Ζεὺς γὰρ ἐρασθεὶς λητοῦς τῆς κοίου θυγατρὸς ἑνὸς τῶν τιτάνων καὶ φοίβης, ἔγκυον αὐτὴν ἐποίησεν. ἥτις δεκαμηνιαίου χρόνου διαγενομένου περιῄει τὰ διὰ θαλάσσης εἰς ἀστέριον τὴν νῆσον μίαν οὖσαν τῶν κυκλάδων. ἐκεῖ τε ἐλθοῦσα καὶ ἁψαμένη δύο φυτῶν ἐλαίας καὶ φοίνικος, διδύμους ἀπεκύησε παῖδας. ἄρτεμιν καὶ ἀπόλλωνα. καὶ τὴν νῆσον ἐκάλεσε δῆλον, ὅτι ἐξ ἀδήλου βάσεως ἐρριζώθη.

Δῆλος, ὁ φανερός, ἐκ τοῦ δαλός, κατὰ τροπὴν τοῦ ἄλφα εἰς η.

Δηλῶ, τὸ φανερῶ. ἐκ τοῦ δῆλος, ⟨καὶ ἀναδόσει τοῦ τόνου. καὶ τὸ βλάπτω. ἐξ οὗ τὸ δηλήσονται. καὶ ἐδηλήσαντο, ἀντὶ τοῦ ἔβλαψαν. γίνεται παρὰ τὸ δῆρις ὅ ἐστι τὴν μάχην, δηρῶ, καὶ δηλῶ. ἢ παρὰ τὸ κῆλα τὰ βέλη. οἱονεὶ τὰ φθαρτικὰ καὶ βλαπτικά. κατὰ τροπὴν τοῦ κ εἰς δ. ὡς καίω, δαίω. γίνεται δηλῶ τὸ βλάπτω. καὶ δηλητήριον, τὸ θανάσιμον, καὶ βλα- ⟨πτικόν.

Δῆμος, τὸ πλῆθος. παρὰ τὸ δέω τὸ δεσμεύω, δέμος καὶ δῆμος. ὥσπερ δεδεμένος ὄχλος. ὡς μένω, μένις καὶ μῆνις. ἢ παρὰ τὸ δέμας, δῆμος. οἷον, ἐν σώματι ὑπάρχων. ἢ διδῆμι τὸ δεσμῶ. ὁ μέλλων, δήσω. καὶ ἐξ αὐτοῦ δῆμος. τὰ δὲ περιληπτικὰ δύο συντάξεις ἐπιδέχεται τῷ λόγῳ τῆς φωνῆς, καὶ τῷ λόγῳ τοῦ σημαινομένου. ἡ μὲν φωνὴ ἑνική. τὸ δὲ σημαινόμενον, πληθυντικόν. τὸ δῆ, ἦτα. διότι εὑρέθη παρὰ τοῖς δωριεῦσι λεγόμενον δᾶμος. καὶ ἡμεῖς τὰ τῶν δωριέ- ⟨ων α εἰς η τρέπομεν.

Δηλονότι. παρὰ τὸ δῆλον τὸ φανερόν, καὶ τὸ ὅτι ἀντὶ ἐπιτάσεως, σημαίνει τὸ πάνυ. δηλονότι γάρ, τὸ πάνυ φανερόν.

Δήπου, ὡς δὴ δήπουθεν. δηλονότι ἔκ τινος τόπου.

Δῆτα, οὕτω. δῆθεν. ὡς δὴ μάλιστα ἐκ τοῦ δηθύνω.

Δημεύειν, τὸ τινὸς οὐσίαν δημοσιῶσαι. καὶ τὸ ἐνδημεῖν,

Δημός, σημαίνει δύο. ὀξυτόνως τὸ λί- ⟨δήμιοι τὸ δημαγωγεῖν. πος. ἐν τῷ πίονι δημῷ. παρὰ τὸ δαίω τὸ καίω. ὁ δεύτερος ἀόριστος, ἔδαον. δαμὸς καὶ δημός, τὸ καιόμενον ἐν ταῖς θυσίαις. ἢ δι' οὗ καίονται αἱ θυσίαι. καυστικὸν γὰρ τὸ λίπος. ὡς παρὰ τὸ θύω, θυμός. καὶ χύω, χυμός, οὕτω καὶ δήω τὸ καίω δημός. ἢ παρὰ τὸ δέω τὸ δεσμῶ, δεμός καὶ δημός. κατὰ ἀντίφρασιν τὸ εὐδιάλυτον. καὶ τὴν δημότην κατὰ διάλεκτον. ὡς ἐν τῷ μ ὅμηρος. δημὸν τὴν δημότην φησί, τὴν δημοτικόν.

Δημάδης, οὐκ ἔχει τὸ ι. ἀπὸ γὰρ τοῦ δημέας, γίνεται δημεάδης. καὶ κατὰ συναίρεσιν, δημάδης. καὶ ὤφειλεν εἰς τὸ η γίνεσθαι ἡ κρᾶσις. ἀλλὰ διὰ τὸν χαρακτῆρα, εἰς α ἐγένετο. τὰ γὰρ εἰς δης πατρωνυμικά. ἢ τύπου πατρωνυμικοῦ ὄντα, ἢ τὸ ι θέλει παραλήγεσθαι, ἢ τὸ ἄλφα. οἷον, πηλείδης, αἰακίδης, εὐρυμάδης. πυλάδης. οὕτως ⟨οὖν καὶ δημάδης.

Δημολάλητος, περιβόητος.

Δήμαρχος, ὁ δήμου τινὸς ἄρχων. ὃς καὶ τοῦ κατὰ χώραν δήμου προΐσταται, καὶ ἀπεγράφετο τὰς οὐσίας ἑκάστῳ πρὸς τὰ

Δημόκοινος, δημόσιος βασα- ⟨δημόσια ὀφλήματα. νιστής, ἢ ὁ δήμιος. ἤγουν ὁ ἐκ τοῦ δήμου τὸ φονεύειν κληρωθείς. σοφοκλῆς. Οἷος γὰρ ἡμῶν δημόκοινος οἴχεται. εἴρηται παρὰ τὸ καίνειν τὸ φονεύειν. ὁ ἐκ τοῦ δήμου ἐπιτεταγμένος καίνειν. καὶ κατὰ τροπὴν τοῦ α εἰς ο, δημόκοινος.

Δημόσιος, ὁ τῆς πόλεως δοῦλος. ὃς ὑπηρετεῖ τοῖς δικαστηρίοις καὶ τοῖς κοινοῖς ἔργοις. ἐκ τοῦ ῥηματικοῦ, δῆμος δημότης. καὶ δημόσιος. δημοσιεύειν, τὸ τὰ δημόσια ὑπη- ⟨ρετεῖν ἄνευ μισθοῦ.

Δημοδέστερος, ἀσχημονέστερος. διὰ τὸ ἐν ὄψει πάντα γινόμενα διὰ τὸν δῆμον.

Δημοθοινία, τοῦ δήμου εὐωχία. ἡ θυσία.

Δημοῦσθαι, παίζειν. οὕτω πλάτων. καὶ δημώτατα, παί-

Δήμια, τὰ δημόσια. τὰ παρὰ τοῦ δήμου ἐξαι- ⟨γνια. ρέτως διδόμενα τοῖς βασιλεῦσιν. ἰλιάδος ρ. δήμια πίνουσι, καὶ σημαίνουσιν ἕκαστος. τὰ διδόμενα παρὰ

Δημιουργεῖον, ἐργαστήριον. ⟨τοῦ δήμου καταναλίσκουσι.

Δημιουργός, πολλὰ σημαίνει ἡ λέξις. σημαίνει γὰρ τοὺς τεχνίτας. ἀφ' ὧν καὶ ὁ τῶν πάντων ποιητὴς θεός, δημιουργὸς εἴρηται. δημιουργοὶ δὲ ἐκαλοῦντο παρά τε ἀργείοις καὶ θεσσαλοῖς, οἱ περὶ τὰ τέλη. ἵνα σημαίνῃ τὰ δημόσια ἐργαζομένους, καὶ διαφροντίδας ἔχοντας. παρὰ τοῖς ἀττικοῖς καὶ τὰς πλανώσας τὰς ἐργαζομένας γυναῖκας. λέγονται δ' οὕτω τοῖς ἐμπείροις. ἐνιότε δὲ τοὺς ὀψοποιοῦντας. λέγονται καὶ οἱ περὶ τὰς χειρουργίας καὶ τὴν τῶν τεχνῶν ἐπιμέλειαν. κοινὰς γὰρ μονονουχὶ παρέχοντας

Δημήτηρ. παρὰ τὸ γῆ καὶ τὸ μήτηρ, γημήτηρ τις ⟨χεῖρας. οὖσα. καὶ κατὰ τροπὴν τοῦ γ εἰς δ. ἢ δημομήτηρ κατὰ συγκοπήν. ἢ παρὰ τὸ δηΐειν τὴν γῆν καὶ τέμνειν ἐν ταῖς ἀροτριάσεσι. ἢ παρὰ τὸ δήω τὸ εὑρίσκω. ἢ παρὰ τὸ δαίω τὸ καίω. λαμπαδοῦχος γὰρ ἡ θεός. σημαίνει δὲ καὶ αὐτὴν τὴν θεόν, καὶ τὸν καρπόν, καὶ τὸν σῖτον, καὶ τὴν γεωργικὴν ἐπιστήμην.

Δημήτερος ἀκτή. διὰ τὸ καταγνυσθαι ἐν τῇ ἅλῳ τὸν στάχυν τὸν εὐαγῆ. ἢ αὐτὸν τὸν σῖτον ἐν τῷ μύλῳ θραύεσθαι.

Δημήτριος, ὁ πύκτης. τοιοῦτοι δὲ εἰσὶ καὶ οἱ πύκται. ἢ ἐπειδὴ ἐν ταῖς ἀμφισβητήσεσιν ἔτυπτον τοὺς ἀμφισβητοῦν- ⟨τας.

Δήν. ὅμηρος. Δὴν γὰρ ἄνεῳ ἦσαν. τουτέστιν ἐπὶ πολὺν χρόνον, ἄφωνοι ὑπῆρχον, καὶ ἥσυχοι. ἀπὸ τοῦ αἰὼν ὅ ἐστι τῆς ζωῆς χρόνον. πλεονασμῷ τοῦ δ, δαιών. καὶ συγκοπῇ δών. καὶ κατὰ τροπὴν δήν. τὰ δὲ εἰς ην ἐπιρρήματα,

Δήνεα. ἰλιάδος δ. Ἤπια δήνεα οἶδε. ⟨διὰ τοῦ η γράφεται. τὰ βουλεύματα, ἀπὸ τοῦ μήδεα κατὰ τροπὴν τοῦ μ εἰς ν. ἢ παρὰ τὸ δὴν ἐπίρρημα. χρόνου γὰρ δεῖται ἡ βουλή. ἔνθα, Καὶ πᾶσι δηρὸν βουλεύειν ἵν' ἔχῃ καὶ πολλὸν ἄμεινον. ἢ παρὰ τὸ δήω τὸ εὑρίσκω, δῆνος. ὡς κτήνω, κτῆνος.

Δηρόν, ὀνοματικὸν ἐπίρρημα. πολλὰ γάρ ἐστι τοιαῦτα. ὡς πέρα ἡ πέρα τῆς πέρας τὴν πέραν. καὶ ἐπίρρημα Πέραν τοῦ χειμάρρου τῶν κέδρων. καὶ πρώϊος, πρωΐα. ἡ αἰτιατική, πρωΐαν. καὶ κατὰ τροπὴν βοιωτικήν, πρωΐην. ἐξ οὗ τὸ πρωΐην ἐπίρρημα. οὕτω δηρόν, ὅ ἐστι πολὺν χρόνον.

Δηναιός. ὄνομα ἀρσενικόν. ὁ πολυχρόνιος. ἰλιάδος ε. Μάλ' οὐ δηναιός. τὸ οὐδέτερον, δηναιόν. καὶ συγκοπῇ, δηνόν. καὶ κατὰ τροπὴν τοῦ ν εἰς ρ, δηρόν. καὶ μετάγεται εἰς ἐπιρρηματικὴν σύνταξιν. τὸ δή, ἦ, καὶ τὸ ρον μικρόν. ὅτι ἀπὸ ὀνόματος παρῆχθη. τὰ γὰρ ἀπὸ διαφόρων πτώσεων εἰς ἐπιρρηματικὴν σύνταξιν μεταγόμενα, καὶ τὴν αὐτὴν γρα- ⟨φὴν ταῖς πτώσεσιν ἔχει.

Δῆρις, ἡ μάχη καὶ ἡ ἔρις. Δῆριν ἀπειρεσίην πολεμόκλονον ἔργον ἄρηος. παρὰ τὸ δα καὶ τὸ ἔρις, δαέριστις οὖσα. ἡ μεγάλη ἔρις. ἢ παρὰ τὸ δηλεῖσθαι, δῆλις καὶ δῆρις. ἢ παρὰ τὸ δαίω τὸ σφάζω καὶ κόπτω, γίνεται ὄνομα δαῒς βαρύτονον. καλλίμαχος. Ἐς δαῒν ἐρχομένων. καὶ ἐκτάσει τοῦ α εἰς η, δηΐς. καὶ πλεονασμῷ τοῦ ρ, δῆρις. ἐκ τούτου γίνεται ῥῆμα δηρίω καὶ δηριῶ περισπώμενον καὶ βαρύτονον. ὡς κόνις, κονίω. δῆρις δηρίω, καὶ δηριῶ. οἷον, Δὴ τότε δηριόωντο ποσειδάων καὶ ἀπόλλων.

ΤΟ ΔΕΛΤΑ ΜΕΤΑ ΤΟΥ Ι.

Δία, ἡ νάξος, οὕτω πρότερον καλουμένη. ὅμηρος. Δίῃ ἐν ἀμφιρύτῃ. ἀπὸ τῆς διὸς γενικῆς. διότι ἐν αὐτῇ ἐτράφη ὁ ζεύς. καλλίμαχος. Ἐν δίῃ τὸ γὰρ ἔσκε παλαιότερον οὔνομα νάξῳ.

Διαβασιλίζεται, τῆς βασιλείας ἀντιποιεῖται.

Διάβολος, παρὰ τὸ διαβάλλειν. τὰ δὲ παρὰ τὸ βάλλω συγκείμενα, διὰ τοῦ ο μικροῦ γράφεται. οἷον, ἐλαφηβόλος. ἑκατηβόλος. καὶ διάβολοι, ἀπατητικοί.

Διαβούλιον. οὐδέτερον ὑποκοριστικόν. παρὰ τὸ βουλή. προπαροξύνεται. πᾶν γὰρ εἰς ον οὐδέτερον καθαρὸν μονογενὲς τῷ ι μόνῳ παραληγόμενον ὑπὲρ δύο συλλαβάς, προπαροξύνεται. εἴτε κύριον. εἴτε προσηγορικόν. εἴτε ὑποκοριστικόν.

Διαίνω, τὸ βρέχω. τὸ ὑγραίνω. ὅμηρος. Δίαι- ⟨στικόν. νε δέ μιν μέλαν ὕδωρ. κυρίως τὸ ἐκ διὸς βρέχεσθαι. διὸς δίω, διαίνω. ὡς μιῶ, μιαίνω.

Δίαιτα. δαὶς δαιτός, δαῖτα καὶ δίαιτα.

Διαιτηταί, κριταί. καὶ διαιτᾶν, διακρίνειν.

Διαείσεται, γνωρίσει. διαγνώσεται. γνώσει, μαθήσεται. ἰλιάδος θ. Αὔριον ἣν ἀρετὴν διαείσεται.

Διαδικασία. οὐχ ἁπλῶς πᾶσα δίκη, ἀλλ' ἐν αἷς περί τινος ἀμφισβήτησίς ἐστι. λέγεται διαδικάσαι τισὶ πρὸς τὸ δημόσιον, ὡς ὀφειλομένων αὐτοῖς χρημάτων ἐν τῇ δημευθείσῃ οὐσίᾳ. δύο γένη. ἡ ἐπίκρισις τοῦ ἐπιτηδείου πρὸς λει- ⟨τουργίαν καὶ εἰς τάγμα.

Διακέκοπται. σημαίνει, ἀδόκιμα ἐστί. διέκοπτον γὰρ τὸ ἀδόκιμον νόμισμα οἱ παλαιοί.

Διαβούλια, τὰ ἐκ λογισμῶν ἀτόπων πλάσματα.

Διακναιόμενος, ξεόμενος, ἢ λυπούμενος. καὶ διακεκναισμένη, διεφθαρμένη.

Διακλιμακίσας, διαπαλαίσας. κλίμαξ γὰρ καὶ κλιμακισμὸς πάλαισμα ποιόν.

Διακαυνιάσαι, διακληρῶσαι. καῦνος γὰρ λέγεται ὁ κλῆρος. κράτης. Πυλίων ἀπὸ προτέρου τὴν καύνον ἀριθμήσεις. καὶ ὅμως ὡς καυνίῳ μάλιστα χρωμένων.

Διαγράψαι, ἀντὶ ἀνελέσθαι τὸ ἔγκλημα. λέγεται δὲ διαγράψαι, καὶ τὸ διαξῦσαι. ἀπὸ τῶν περιγεγραμμένων καὶ περαι- ⟨ουμένων.

Διακονεράζεσθαι(?), τὸ ἀγενὲς βλέπειν. παρὰ τὸ διὰ γυιὰ τὰς κόρας τῶν ὀφθαλμῶν, καὶ μὴ ἐπ' εὐθείας βλέπειν. ἢ τὸ ἀτενές, διὰ τὸ τοὺς ὀφθαλμοὺς λέγεσθαι.

Διακωδωνισθέντες, διαφημισθέντες. ἐπιπλεῖστον αὐτῶν διαπειρομένων λαμβάνεται. τέτακται δὲ καὶ ἀντὶ τοῦ διαπειραθέντες. οὕτω λυσίας. ἀπὸ τῶν ἵππων μετῆνεκται. εἰώθασι γὰρ οὕτω δοκιμάζειν τοὺς γενναίους ἵππους, εἰ μὴ καταπλήσσονται τὸν ἐν τῷ πολέμῳ θόρυβον τοὺς κώδωνας ψοφοῦντες.

Διακριδόν, διακεκριμένως, ἐν διακρίσει. ἐξ ἐπιδικίας

Διακρινθῆτε. Ἄλλοι δὲ διακρινθῆτε τάχιστα. ἰλιάδος Γάμμα. ἀντὶ τοῦ διαχωρισθείητε. τὸ θέμα, διακρίνω. κρινῶ, κέκρικα, κέκριμαι, ἐκρίθην. κριθείς, κριθέντος, κριθείην. ἢ ἐκ τοῦ διεκρίθην πλεονασμῷ τοῦ ν ποιητικῶς, γίνεται διεκρίνθην. τὸ εὐκτικὸν διακρινθείημεν, διακρινθείητε. καὶ κατὰ συγκοπήν, διακρινθῆτε. ὡς τὸ διακοσμηθεῖμεν ἐκ τοῦ κοσμηθείημεν κατὰ συγκοπήν. εὐκτικὸν παθητικοῦ πρώτου ἀορίστου.

Διεκωδώνησε, διεπείρασεν. ἐπειδὴ περιιόντες τοῖς περιβόλοις τοῖς κώδωσιν οἱ τειχοφυλακοῦντες, ἀποπεῖραν ἐποιοῦντο τοῖς τεταγμένοις φυλάττειν. ζήτει εἰς τὸ

Διάθεσις. ἐχρῶντο τῇ διαθέσει οἱ ῥή- ⟨διεσπουδάσωσι. τορες ἀντὶ γνώμης ἢ διανοίας τῶν δρώντων. καὶ ἀντὶ τοῦ διαθεῖναι λόγον. καὶ ἀντὶ τοῦ ἐξαγγεῖλαι. καὶ ἀντὶ διακοσμήσεως. καὶ διατίθεσθαι, διαθήκας γράφειν. λαμβάνεται ἀντὶ τοῦ πωλεῖν τὰ προσόντα καὶ ἀντὶ τοῦ πάσχειν.

Διαβάτης, ὄργανόν τι τεκτονικόν.

Διάγειν, περιέλκειν, καὶ ἐξαπατᾶν.

Διαγραφή, ἡ συνθήκη καὶ ἀντὶ ζωγραφικοῦ πίνακος.

Διακίγκλισον, διάσεισον. κίγκλος δὲ ὄρνεον καὶ σεισοπυγίς.

Διακρία, καὶ διακριεῖς οἱ εὐβοεῖς, ἀπὸ ὄρους τῆς εὐβοίας. εἴρηται ὅτι ἐν τινι ὄρει τῆς εὐβοίας διεκρίθησαν πρὸς ἀλλήλους περὶ τοῦ καλλίστου τῶν γεγονότων, ἥφαιστος καὶ ἑρμῆς καὶ ἀθηνᾶ. καὶ ἥφαιστος μὲν ὁ τιτάνος θαυμάσιον θεῶν ἔργον. ἑρμῆς δὲ οἰκίαν χρησιμωτάτην. ἀθηνᾶ δὲ βοῦν. ἀπὸ τῆς διακρίσεως οὖν, τό, τε χωρίον καὶ οἱ εὐβοεῖς ἀπὸ μέρους ὠνο- ⟨μάσθησαν.

Διάκτορος. παρὰ τὸ διάγω, διῆκται, διά- κτωρ διάκτορος. καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν. ὁ τοὺς λόγους διάγων. ὅμηρος. Διακτόρῳ ἀργειφόντῃ. ἄγοντι τὰς ἀγγελίας τῶν θεῶν. ἀγγελιαφόρῳ. ἢ διακτόρῳ καὶ σαφεῖ κατὰ τὸ λέγειν. καὶ διάγγελον τινὲς σημαίνοντι τὰς ἀγγελίας. ἐκ τοῦ τρέω τὸ σαφηνίζω. ἀφ' οὗ ἀριστοφάνης. Εἰ μὴ τετρήσω ταῦτα καὶ λακήσομαι. γίνεται οὖν διάκτο-

ρος, καὶ πλεονασμῷ τοῦ κάππα. ὁ διασαφηνίζων ἐν τῷ λέγειν. οὗτοι δὲ τὸ ἑρμοῦ φασί, παρὰ τὸ κέαρ τῶν τετελευτηκότων νομίζειν. ἢ ὁ διάγων τὰς ψυχάς. τοῦτο δὲ ἑρμοῦ ἐπίθετον. παρὰ δὲ τοῖς ἄλλοις ποιηταῖς, ἁπλῶς ἐπὶ τοῦ διακόνου τίθεται. καλλίμαχος. ἐπὶ Γλαύκου τὸ ἐπίθετον. Ἀλλὰ θεῆς ἥ τις με διάκτορον ἔλλαχε παλλάς. διάκονον καὶ διαγωγέα τῶν ψυχῶν.

Διάκονος, ἀπὸ τοῦ ἐνέκω τὸ φέρω καὶ προστρέχω. ἐν συνθέσει, διαενέκω. καὶ ῥηματικὸν ὄνομα, διαένεκος. καὶ καθ' ὑπέρθεσιν καὶ τροπῇ, διαένοκος. καὶ κράσει τοῦ α καὶ ε εἰς α μακρόν, διάκονος. ὁ διαφέρων τὰ κελευόμενα. τινὲς παρὰ τὸ κονεῖν τὸ ὑπηρετεῖν, ἐγκονεῖν, τὸ ἐπείγεσθαι. ὅθεν τὸ ἐγκονέουσαι.

Διακορής, μεμεστωμένος.

Διακηρυκεύεται, διὰ κηρύκων συνθήκας ἢ πρεσβείας ποιεῖται. παρὰ τὸ κῆρυξ κήρυκος. κηρυκεύω καὶ διακηρυκεύω.

Διάλεκτος, ἥτις καθ' ἣν ἕκαστοι ἄνθρωποι διαλέγονται πρὸς ἀλλήλους κατὰ τὴν ἰδίαν συνήθειαν. ἢ ἀπὸ τοῦ διαλελέχθαι καὶ διακεκρίσθαι ἀπὸ τῶν ἄλλων. ἑκάστη γὰρ αὐτῶν διακέκριται τῆς ἑτέρας. ἢ ἀπὸ τοῦ ἐξηλέχθαι ὡς κρατιστεύουσα.

Διαμπάξ, δι' ὅλου. διαπαντός. διηνεκῶς. ἐξεναντίας. ἀπὸ τοῦ διαρπάζω, διαρπάξω. ἀποβολῇ τοῦ ω, καὶ τροπῇ τοῦ ρ εἰς μ.

Διαμπερές, διαμπάξ. δι' ὅλου. παρὰ τὸ πέρας, διαπέρας. κατὰ πλεονασμὸν τοῦ μ καὶ μεταθέσει ἰωνικῇ τοῦ α εἰς ε, διαμπερές. τουτέστι τὸ ἀπ' ἀρχῆς ἕως τοῦ τέλους πέρας.

Διαλείμματα, διαστήματα. διαχωρίσματα.

Θεὸς ἐν σαρκί, καὶ οὐκ ἐκ διαλείμματος τῶν ἐνεργειῶν ὡς ἐν τῷ προφητικῷ ὁ ἅγιος βασίλειος εἰς τὴν χριστοῦ γέννησιν.

Διαμῶ, τὸ θερίζω. σχήματος συνθέτου. ἐκ τῆς διὰ προθέσεως, καὶ τοῦ ἀμῶ τὸ θερίζω. ἔστι δὲ δευτέρας συζυγίας. ὁ μέλλων, διαμήσω. διάμησε. τὸ δὲ ἀμῶ ἐκ τοῦ ἄμη, ὅπερ ἐστὶ γεωργικὸν ἐργαλεῖον. ἡ λεγομένη

Διαμυλλαίνειν. ἀριστοφάνης. διαμυλλαίνεσθαι ⟨ δρεπάνη τοῖς χείλεσιν ἀπὸ τῶν μύλλων. μύλλα γὰρ τὰ χείλη. καὶ μύσταξ. ἢ τὸ ἐξιλλαίνειν καὶ κοπτεῖν καὶ διαστρέφειν τὰ χείλη.

Διαμυδαίνεται, διαπηδᾷ, καὶ διαρρεῖ, καὶ διηθεῖται.

Διάνοια, ἡ ἐνθύμησις. διανοητικὴ οὖσα, ἢ διανοουμένη.

Διαμερπτός. ἡ εὐθεῖα διαμερπτός. σχήματος παρασυνθέτου. καὶ πόθεν διαχωρίζεται τὰ παρασύνθετα ἐκ τῶν συνθέτων. ἐκ τῆς διαφορᾶς τοῦ τόνου. τὰ μὲν γὰρ σύνθετα, προπαροξύνεται. τὰ δὲ παρασύνθετα, ὀξύνεται. ταῦτα δὲ ὀξύνεται, ἐπειδὴ ἀπὸ ῥήματος ἔσχον τὴν σύνθεσιν. οἷον, ἐκλέγω, ἐκλεκτός. ἐπίλεκτος δὲ προπαροξύνεται, ὅτι ἀπὸ ὀνόματος ἔσχε τὴν σύνθεσιν. ἐκ τῆς ἐπὶ προθέσεως, καὶ τοῦ λεκτός. οὕτως οὖν καὶ διαμερπτῶ διαμερπτήσω διαμερπτός.

Διαπρύσιον. Ἤυσε δὲ διαπρύσιον. ἐξάκουστον. μέγα, καὶ διαβόητον. παρὰ τὸ πεύθομαι, ἐπυθόμην, πύσιον. καὶ πλεονασμῷ τοῦ ρ. ἢ ἀπὸ τοῦ περῶ περάσω, περάσιον. καὶ κατὰ συγκοπήν, πράσιον. καὶ τροπῇ, πρύσιος, καὶ διαπρύσιος. ὡς μάθω, μῦθος, μύθιος.

Διαπραθέειν, διαπραθεῖν. ὡς τὸ φατέειν. τοῦτο ἀπὸ τοῦ πέρθω. ὁ δεύτερος ἀόριστος ἔπραθον.

Διαπαντός, ἐπίρρημα χρόνου δηλωτικόν.

Διαειφίσασθαι, εἴφεσι διαγωνίσασθαι. κυρίως ἤδη καὶ τὸ μάχεσθαι.

Διαπατταλευθῆσαι, τὸ ταῖς βύρσαις διαταθῆσαι πατ-

Διαποδίζων, βασανίζων, καὶ ἐπιμελῶς ⟨ τάλοις. ἐξετάζων.

Διαπεσεῖν, τὸ ἐκ πολεμίων διασωθῆναι.

Διαπτερῶσαι, ἀνευρύναι. διαστῆσαι.

Διάτορον, ὀξύτονον. σαφές. ὀξύηχον. λέγεται καὶ ὁ στύραξ.

Διαυλία. ὅταν δύο ᾄδωσι.

Διαπηνικίζω, ἀπατῶ. κρατῖνος. Τοῦτον μὲν καλῶς διεπηνίκισας λόγον. εἴρηται ἀπὸ τῆς πηνίκης, ἥ ἐστι περίθετος κόμη ὥσπερ φενάκη. ἢ τοῖς ὁρῶσιν ἀπατᾷ, ὡς φύσει οὖσα. τινὲς δὲ τὸ ποικίλλω ἐξηγοῦνται ἀπὸ τῶν πηνῶν ἢ πηνίων, ὄντων ποικίλων. ἵν' ᾖ πηνίζω, καὶ πηνικίζω.

Διαπυτιδικίσαι, διαλαλῆσαι. διαφυγεῖν.

Διαπιθηκίσαι, τὸ διαπαῖξαι ἀπὸ τῶν πιθήκων. φιλοπαίγμονες ἄγαν γὰρ τὸ ζῶον.

Διαπατταλεύω, τὸ διερευνᾶν καὶ ζητεῖν ἐπιμελῶς. ἢ τὸ διατείνεσθαι πατάλοις τὰς βύρσας. ἀπὸ τῶν τὰς βύρσας διατεινόντων. καὶ διαπεπατταλευμένα, διεσφηκωμένα, ὥστε μηδὲ πάτταλον διεῖραι διὰ πυκνότητα. διὰ ταμεῖναι ἀπὸ τῶν τοίχων τῶν μὴ ἐχόντων πασσάλου τόπον. οἷον ἐπ' ἀκριβὲς ἠγμένα. ἡ μεταφορὰ ἀπὸ τῶν ψυχομένων δερμάτων.

Διαρρήδην, τὸ φανερῶς, καὶ σαφῶς. παρὰ τὸ ῥῶ τὸ λέγω. ὁ μέλλων, ῥήσω. ἐξ αὐτοῦ ῥήδην. καὶ ἐν συνθέσει, διαρρήδην, καὶ ἐπιρρήδην.

Διαρραῖσαι. ῥαίω τὸ φθείρω. γίνεται ἀπὸ τοῦ φθαίρω δωρικοῦ. τοῦτο ἀπὸ τοῦ φθείρω. οἱ γὰρ δωριεῖς, τὴν ει δίφθογγον, εἰς αι τρέπουσι. τὸ κύπειρον, κύπαιρον λέγοντες, καὶ τὸ εἶκεν, αἶκεν. τὸ αι δίφθογγον. ἢ ὅτι ἐκ τῆς παραγωγῆς αὐτὸ ἔσχηκεν, ἢ ὅτι ἱκανῶν ἐστιν ὀλίγων. ὅτι τὰ διὰ τοῦ αιω ῥήματα ἀσυναίρετα ὄντα, κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον, διὰ τῆς αι διφθόγγου γράφεται. οἷον, παλαίω. ἀπὸ δὲ τοῦ φθαίρω, ἀποβολῇ τῶν δύο στοιχείων, αἴρω. καὶ μεταθέσει, ῥαίω.

Διαρύτειν, διαρύειν. διαντλεῖν. ὡς ἀρύτειν, τὸ ἀν-

Διαρρικνοῦσθαι, τὸ τὴν ὀσφῦν φορτικῶς περιά ⟨ τλεῖν. γειν. κράτης τροφωνίῳ. Σίφιζε καὶ ἀποδίζε καὶ διαρρίκνου. ἐκ τοῦ ῥικνῶ. ἐρείκω τὸ σχίζω καὶ ἐρικνῶ. ἅμα τὸ τῷ πλεονασμῷ τοῦ συμφώνου, συνεστάλη ἡ δίφθογγος.

Δίας, ὁ ἥρως. εἷς τῶν τιτάνων. παρὰ τὴν διὸς γενικήν, δίας. ἢ εἷς τῶν πελοπιδῶν. γίνεται παρὰ τὸ δῖος, δεῖας. καὶ ἐν συναλοιφῇ, δείας, διὰ τῆς ει διφθόγγου. ὁ

Διασία, ἑορτὴ ἐπιτελουμένη ἀθήνησι ⟨ δίος ἐμποιῶν. τῷ διΐ. παρὰ τὰς ἄσας τὰς ἀνίας. οἷον, Μήμυν ἐδδείσιν ἄσαι. καὶ ἀσσόμενος ἡμετέρῃ χῆ. διασία οὖν, ἡ ἀποτρέπου-

Δίασμα, ἡ πρώτη τοῦ ἱματίου ἐργασία. ⟨ σα τὰς ἄσας. καλλίμαχος. Δίασμα τοῦ φάρεος ἀρχήν. ἀπὸ τῆς διαίσεως τοῦ μερισμοῦ. ἐπεὶ τοὺς στήμονας διαμερίζουσι. οἱ δὲ δασμαίουσιν, δάσμα. καὶ πλεονασμῷ τοῦ ι, δίασμα. ἢ παρὰ τὸ ἄσω, ἄσαι, καὶ ἄσμα. καὶ δίασμα. τοῦτο τὸ ἄσω, γίνεται αἰολικῶς, ἄζω. ἅζομαι καὶ διάζομαι. οἱ γὰρ αἰολεῖς τὰ δύο σσ, εἰς ζ τρέπουσιν. οὕτω γὰρ καὶ τὸ μέσσον, ἀπὸ τοῦ μέγας, μέζων φασὶ καὶ μείζων. καὶ τὸ ὀλίζων, ἀπὸ τοῦ ὀλίγος, ὀλίζων.

Διασφάξ, ὁ διεστὼς τόπος. ἡρόδοτος. τοῦ ὄρεος ἐστὶ διασφάξ. καὶ διὰ τῆς διασφάγος, ἀσωπὸς ἐστιν. εἴρηται ὡς ἀπὸ τοῦ θερίζω θρίζω, θρίξ. βαστάζω βαστάσω, βαστάξ, καὶ νεκροβάσταξ. οὕτως ἀπὸ τοῦ σπῶ σπάζω σπάξω, σπάξ. καὶ σφάξ, καὶ διασφάξ.

Διαστείσοις. ἔοικεν ὠνομάσθαι οἱ διαστεῖσοι παρὰ τὸ κρίνεσθαι καὶ διαστῆναι πρότερον. εἶτα βάλλεσθαι, ἵν' ἀκαινούργητοι μᾶλλον ὦσι.

Διασεσοβημένος. τεταραγμένος. ἄτακτος. τεθορυβημένος. σοβεῖν γὰρ τὸ τρέχειν. παρὰ τὸ σεύω ῥῆμα. ἢ σοῦ ὁ ση-

Διασαλακώνισον, ἀντὶ τοῦ διαθρυ- ⟨ μαίνει τὸ ὁρμῶ. ψαι. διαγαυρίασον. ἀριστοφάνης. Τρυφερόν τι διασαλακώνισον. σαλάκωνας γὰρ ἐκάλουν τοὺς διαθρυπτομένους. ἀπὸ τοῦ σαλεύεσθαι, ὅ ἐστιν ἀκριβῶς διαβαίνειν, καὶ οἱονεὶ σείεσθαι παρὰ τὸν σάλον. Ὁρῶ γὰρ ὡς ὄμφακα διασαυλούμενον. ἀριστοφάνης.

Διασαυλούμενος, ἁβρυνόμενος, καὶ διαθρυπτόμενος. παρὰ τὸν σαῦλον τὸν τρυφερὸν καὶ γαῦρον. σιμωνίδης ἐν ἰάμβοις. Καὶ σαῦλα βαίνων ἵππος ὡς κορωνίτης.

Διαστέλλειν, ἀντὶ τοῦ ἀποστέλλειν. οἷον, Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλέα.

Διασκανδικίσας, τὸ διευριπιδίσας. σκάνδιξ γὰρ λάχανον. ἡ δὲ μήτηρ εὐριπίδου, σκάνδικας ἐπίπρασκεν.

Διαστῆναι, διέστησαν, καὶ διεχωρίσθησαν. ἀπὸ τοῦ ἵστημι. ὁ δεύτερος ἀόριστος, ἔστην. τὸ γὰρ τῶν δυϊκῶν, στῆτην. τῶν δυϊκῶν χρῆσις, ἀττικῆς ἁρμόδιος.

Διατοῦτο, δεικτικὴ ἀντωνυμία, ἢ μᾶλλον ἐπίρρημα δει-

Διατάχους, ἐπίρρημα ἐπιτάσεως. ἐκ τῆς ⟨ κτικόν. διὰ προθέσεως καὶ τοῦ τάχους.

Δίας. ὡς ἀπὸ τοῦ δράκων δράκοντος, δρακοντίας, οὕτω καὶ ἀπὸ τοῦ διός, γίνεται διΐας. καὶ κράσει, δίας. ἰστέον δὲ ὅτι τὸ δίας καὶ θείας, διὰ τοῦ ν τοῦ κλίνονται. τὸ δὲ θείας καὶ δίας, ἰσοσυλλάβως.

Διαπαντός, ἐπίρρημα τοπικόν.

Διαάσπιδος, κράτης λέγει ὅτι τινὲς μὲν ἀπὸ τοῦ α ποιοῦνται τὴν διαστολήν, ἵν' ᾖ δι' ἀσπίδος πεδίον. ἀσπίδα τὸ πεδίον εἰρηκότες. τουτέστιν ἐπιμήκους καὶ μακροῦ ἢ πλατέος καὶ περιφεροῦς. ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος, διὰ τὰ μακρὰ τῶν πεδίων καὶ εὐρέα, περιφερῆ φαίνεσθαι μηδενὸς ἄλλου ὁρωμένου τέρματος, ἀλλὰ τοῦ ὁρίζοντος ἀέρος. ἄλλοι δὲ ἐκδέχονται οἱονεὶ τοῦ ἔχοντος πολλὰς ἀσπίδας ἐκ τῶν νεκρῶν, καθότι ἐπιφέρει. Ἂν' ἔντεα καλὰ λέγειν. ἐν ᾧ τῶν ἀνῃρημένων αἱ ἀσπίδες ἔκειντο. οἱ δέ φασι σπιδέος, πολλοῦ καὶ μακροῦ. καὶ γὰρ αἰσχύλος πολλάκις οὕτως ἔχειν τὴν λέξιν τίθεται. οἷον, σπιδὲς τὸ μῆκος ὁδοῦ. καὶ ἀντίμαχος. οὐ δὲ σπιδόθεν προνοῆσαι, ἀντὶ τοῦ μακρόθεν. καὶ ταῦτα μὲν ὁ ἀρίσταρχος. κράτης δὲ προκρίνει τὴν δίχα τοῦ α γραφὴν καὶ ζηνόδοτος. καί φησι. σπιδέος, τουτέστιν ἀσπόρου καὶ τραχέος καὶ μεγάλου. καὶ τούτῳ συγκατατίθεμαι τοῖς ἀνδράσιν. ὁρῶ γὰρ πολλὴν τὴν χρῆσιν παρὰ ἀρχαίοις.

Διατρύγιος, τῶν ἅπαξ εἰρημένων, καὶ διαφόρως λαμβάνεται. ἤ τις γάρ φησιν, Ἄμπελοι πέλοι ὄρχοι. ὥστε ἐν τῷ μεταξὺ ἀπείρεσθαι τρύγη. τρύγη δὲ ὁ δημήτριος καρπός. ἵν' ᾖ διατρύγιος. διὰ μέσου τρύγη κατασπειρόμενος. ὁ ἐκ διαφόρων ἀμπέλων καταπεφυτευμένος πρωΐμων καὶ ὀψίμων. ὡς ἐν διαφόρῳ καιρῷ τρυγᾶσθαι, ἢ τρυγήσιμος.

Διάττειν, ὁρμᾶν, διατρέχειν. ἢ διάγειν. οἷον διαθεῖν. ἀπὸ τοῦ θέω τὸ τρέχω. τροπῇ τοῦ θ εἰς τ, καὶ πλεονασμῷ ἑτέρου τ. ζήτει εἰς τὸ σεύω.

Διαττᾶν, τὸ διασῆθειν, ἀπὸ τοῦ σῶ ῥήματος. ἔνθα τὸ σήθω. ὡς κνῶ κνήθω, καὶ νῶ νήθω. διασσᾶν οὖν, καὶ διαττᾶν ἀττικῶς.

Διατρίβειν, παρασύρειν. παρέλκειν. ἀναβάλλεσθαι. ἐμποδίζειν. κωλύειν.

Διάτορον, ἐπίρρημα ὀξύ.

Δίαυλον, ζήτει εἰς τὸ στάδιον.

Διαφρῶ, σημαίνει τὸ διακομίζω καὶ διιέναι καὶ ἀφιέναι ποιῶ. εἴρηται παρὰ τὸ ὦ ὃ σημαίνει τὸ ἀφίημι. ὅπερ καὶ ἀφῶ λέγεται καὶ προῶ. εἶτα κατὰ συγκοπήν, πρῶ φρῶ. καὶ κατὰ δευτέραν σύνθεσιν, διαφρῶ, καὶ ἐσφρῶ. ἀριστοφάνης, Τῶν μηρίων τῇ κνίσσῃ οὐ διαφρήσεται. γέγονε δὲ ἡ τροπὴ τῆς προ, ὡς ἐν τῷ προοίμιον, φροίμιον. προοῦρος. φρουρός.

Διαφρυκτρῶν, τὸ διαψηφίζειν, ἢ διακληροῦν. εἴρηται ἀπὸ τῶν κυάμων δι' ὧν τὸ παλαιὸν ἐψηφίζοντο. ὕστερον γὰρ ταῖς ψήφοις ἐχρήσαντο. τοὺς δὲ κυάμους φρυκτοὺς ἐκάλουν. καὶ τοὺς θαλλούς, δι' ὧν ἱκέτευον.

Διαψαίρουσι, διαπνέουσι. ψαίρειν γὰρ τὸ πνεῖν οἱ ναυτικοὶ λέγουσι. διαψαίρουσα, διασύρουσα. καὶ τιμόθεος τὴν ἐκλυομένην καὶ κατερρέουσαν. σημαίνει καὶ τὴν ἠρεμαίαν. εὐριπίδης ἐπὶ τοῦ καθαίρειν. οἷον, Γλῶσσα ἡ διαψαίρουσα μυκτήρων τόπους.

Δίγονος μάσθλης, διπλοῦς ἱμάς. ἢ ὅτι οὐ μόνον κατὰ τὴν βαφὴν τοιοῦτος, ἀλλὰ καὶ ἀπὸ τοῦ αἵματος ἐκέχρωστο. σοφοκλῆς ἀνδρομέδᾳ. ἰδοὺ δὲ φοινὸν μάσθλητα δίγονον. ἐκ τοῦ ῥητορικοῦ. ὁ δὶς κεχρωμένος.

Διδάσκω, δαίω τὸ ἐπίσταμαι. ὁμήρου, δαίσω. πλεονασμῷ τοῦ κ, δαίσκω. ὡς μεθύσω μεθύσκω. καὶ κατὰ ἀναδιπλασιασμὸν, διδαίσκω. ὡς γνώσω, γνώσκω, καὶ γιγνώσκω. καὶ ἀποβολῇ τοῦ ι, διδάσκω. οὐδέποτε γὰρ τὰ εἰς σκω ῥήματα τῇ κοινῇ οὔσῃ διφθόγγῳ τῇ διὰ τοῦ ι παραλήγεται. ὅθεν ἐπιμεμπτέος ἀρίσταρχος τὸ αἰκέστε τῷ εἴσκοντες διὰ τῆς ει διφθόγγου γράφων τῆς διὰ τοῦ ι. πρόσκειται κοινὰ, διὰ τὰ αἰολικά. οἱ γὰρ αἰολεῖς θναίσκω καὶ μιμναίσκω, διὰ τῆς αι διφθόγγου λέγουσιν. ἡρωδιανὸς δὲ λέγει ὅτι χρύσιππός φησι παρὰ τὸ ἀσκεῖν τὸ σημαινόμενον τὸ διδάσκειν ἐστὶ, ἀσκῶ, διάσκω. καὶ ἐπενθέσει τοῦ δ, διδάσκω. ἀπὸ δὲ τοῦ διδάσκω, διδάσκαλος. ὡς ἴξω, ἴξαλος. ἢ παρὰ τὸ διδόναι τὸ καλόν.

Διδάσκαλον, οὐκ ἀθηνῆσι λεκτέον. ἰδίως δὲ διδασκάλους λέγουσιν οἱ ἀττικοὶ τοὺς ποιητὰς τῶν διθυράμβων ἢ τῶν κωμῳδιῶν, ἢ τῶν τραγῳδιῶν, ἢ τοὺς μουσικούς. ἐκ τοῦ δαίω, δαίσω, δαίσκω, τὸ μανθάνω. ὡς ὀλέσω, ὀλέσκω. καὶ ὅτι τὰ εἰς σκω ῥήματα οὐ θέλουσι παραλήγεσθαι τινὶ ἀνεκφωνήτῳ, γέγονε δάσκω. καὶ μετάγεται εἰς ἐνεστῶτα. καὶ διπλασιασμῷ, διδάσκω. διὰ τί ἀναδιπλασιάζεται, ἐπειδὴ ὁ διδάσκων, διπλοῦς θέλει εἶναι.

Διδύμοις. παρὰ τῷ ποιητῇ διδύμοισι τοῖς [illegible]μαι. διφυεῖς. ὡς αὐλοὶ δίδυμοι. διδυμάονες δὲ, οἱ ἡμεῖς.

Δίδυμοι, δύο. διπλοῖς. διδύμους.

Δίδυμος, ὁ ὄρχις. παρὰ τὸ δύο, δύμος. καὶ ἐν διπλασιασμῷ, δίδυμος. τὸ δὲ δύο, ἀριθμοῦ σημαντικόν. ἢ παρὰ τὸ δὶς ἐπίρρημα, γέγονε δισσὸς δίσσυμος. καὶ κατὰ ἀντίθεσιν, δίδυμος.

Δίδυμος, ὁ μεθ᾽ ἑτέρου τεχθείς. ἐκ μιᾶς συλλήψεως. παρὰ τὸ δύω, δύνω. δίδυμος, ὁ σὺν ἑτέρῳ ἐξελθὼν τῆς γαστρός. δύω, δίδυμος.

Διδύμη, νῆσος μία τῶν αἰολίδων. εἴρηται ἀπὸ τοῦ σχήματος, διπλῆ πως φαινομένη.

Διδυμαῖος, ἀπόλλων. καὶ διδυμεύς, ἀπὸ τῶν ἐν μιλήτῳ διδύμων. καλλίμαχος. φοῖβε τε καὶ ζεῦ διδύμων γενάρχα.

Δίδωμι. ἐκ τοῦ δῶ, κατὰ ἀναδιπλασιασμὸν, διδῶ. καὶ ἐξ αὐτοῦ παράγωγον ῥῆμα εἰς μι, δίδωμι. ἀτὰρ καὶ δῶρα διδώσομεν. ἔστι δὲ ποιητικὸν κατὰ ἀναδιπλασιασμόν. ἀπὸ τοῦ δώσομεν, διδώσομεν, διδοῦσι περισπωμένως. ἐκ τοῦ διδῶ διδῶ.

Διδώ, ἡ ἐρασθεῖσα αἰνείου ἡρωΐς. φασὶ δὲ αὐτὴν ἐλίσσαν, ἤτοι ἐλίσσαν ὀνομαζομένην, κληθῆναι ὕστερον τῇ τυρίων φωνῇ, διδώ. διὰ τὸ πολλὰ πλανηθῆναι ἀπὸ φοινίκης ἀπάρασαν εἰς καρχηδόνα. τῇ γὰρ φοινίκων φωνῇ τὴν πλανῆτιν διδὼ προσαγορεύουσι. πυρὰν γὰρ αὐτὴν ἀνάψασαν, καὶ ἑαυτὴν τῷ πυρὶ ἐμβαλοῦσαν, οἱ τύριοι κλαίοντες, καὶ τὴν πυρὰν περιερχόμενοι, διδὼ ἀνεκάλουν, ὅ ἐστι πλανῆτιν.

Δίδη, ἀπὸ τοῦ δέω, διδῶ. παράγωγον δίδημι, τὸ δεσμῶ. ὁ παρατατικός, ἐδίδην, ἐδίδης, ἐδίδη. ὅθεν καὶ δίδη μόσχοισιν λύγοισιν. ἀντὶ τοῦ ἔδησε ταῖς ἁπαλαῖς λύγοις, καὶ τοῖς βλαστήμασι τοῖς ἁπαλοῖς ἐδεσμεύσεν. ἰλιάδος λ.

Δίε. δείω τὸ φοβοῦμαι. ὁ δεύτερος ἀόριστος, ἔδιον, ἔδιες, ἔδιε, καὶ δίε. περὶ γὰρ δίε ποιμένι λαῶν. ἐδεδοίκει.

Δίεπε. διέτασσεν. ἐδίωκεν, ἢ διεκόσμει. διέπω τὸ εὐτρεπίζω, ἢ ἔπω τὸ ἀκολουθῶ, καὶ διέπω. ὁ μέσος παρακείμενος, δίεπα.

Δίεσθαι, ἡ παράδοσις προπαροξύνει. ἀπὸ τοῦ δίω τοῦ σημαίνοντος τὸ διώκω, γέγονε παράγωγον δίημι. τὸ παθητικὸν, δίεμαι. τὸ τρίτον, δίεται. καὶ τὸ ἀπαρέμφατον δίεσθαι. ὦρτο δίεσθαι διώκειν. καὶ δηΐοις προτὶ ἄστυ δίεσθαι. ἢ ἀπὸ τοῦ δίω βαρυτόνου σημαίνοντος τὸ διώκω. καὶ δίενται, διώκονται.

Διεξίμεναι, διεξελθεῖν. ἀπὸ τοῦ διεξιέναι προσθέσει τοῦ μ, διεξίμεναι.

Διέφθορας, ἀντὶ τοῦ διέφθαρσαι. ἀπὸ τοῦ φθείρω μέσου παρακειμένου.

Διέφασαι, παρὰ ἰβύκῳ. ἔστιν ἔφθαρσαι. καὶ κατὰ πάθος, ἔφαρσαι. καὶ καθ᾽ ὑπέρθεσιν, ἔφρασαι, καὶ διέφασαι.

Διέτμαγεν. τμήγω τὸ κόπτω. ὁ μέλλων τμήξω. ὁ μέσος παρακείμενος, ἔτμηγα. ὁ δεύτερος ἀόριστος, ἔτμαγον. ὁ παθητικός, ἐτμάγην. καὶ τὸ τρίτον τῶν πληθυντικῶν κατὰ συγκοπὴν, ἔτμαγεν διὰ τοῦ ε. καὶ ἐν συνθέσει, διέτμαγεν, ἀντὶ διεχωρίσθη. ἡ μεταφορὰ ἀπὸ τῶν τεμνομένων σωμάτων.

Διεσκαριφησάμεθα, ἀντὶ διελύσαμεν, διεσχίσαμεν. σκαριφὸν γάρ ἐστι τὸ κάρφος καὶ φρύγανον. ἔστι δὲ τὰ τοιαῦτα εὐδιάλυτα καὶ εὐφύσητα. οὕτως ἰσοκράτης. ἢ σκαριφήσασθαι ἀντὶ τοῦ, τὸ ἐσυρμένως ποιεῖν. καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν.

Διεκρανώσατε, συνανεώξατε. παρὰ τὸ κάρα, διεκρανώσατε. καρανῶ, καὶ διακαρανῶ. δοκεῖ γὰρ τῶν πίθων ἡ ἀλοιφὴ, κάρα εἶναι. οὕτως ἁμάραντος ὑπομνηματίζων τὸ ἡδύλλιον θεοκρίτου. οὐκ ἔστι γραφὴ λυκίδας, ἢ θαλύσια.

Διεδικήκησε. διέγραψε τῇ χειρὶ, στρογγύλην αὐτὴν ποιήσας ὡς δεδίδυχα. ἢ διέξεψεν. ἐκ τοῦ ῥητορικοῦ.

Διεσαρδάνωσε. διεγέλασεν. οὐκ ἐν διαχύσει, ἀλλ᾽ οἰκεῖον σαρδάνιον γέλωτα.

Διεκωδώνισεν, ἀντὶ διεπείρασε καὶ ἐξήτασεν. ἡ δὲ μεταφορὰ, ἀπὸ τῶν περιπολούντων τοῖς κώδωσι τὰς φυλακὰς νυκτός, ἢ ἀπὸ τῶν δοκιμαζόντων τοῖς μαχίμοις ὄρτυγας ἤχῳ τοῦ κώδωνος. ἢ ἀπὸ τῶν ἵππων. εἰώθασι γὰρ οὕτω δοκιμάζειν τοὺς γενναίους ἵππους, εἰ μὴ καταπλήσσονται.

Διεσμιλευμένου, ἠκριβωμένου. ἐξεσμένου. περικεκαθαρμένου.

Διεσποδήσατε, διεσείσατε. διετινάξατε.

Διευκρινησάμενος, διαλυσάμενος. ἀπὸ τοῦ εὐδιακρινεῖν.

Διερός, ὁ ὑγρός. καλλίμαχος. διερὴν δ᾽ ἀπεσείσατο λαίφην. λέγεται διερός, καὶ ὁ ζῶν ἐκ μεταλήψεως. ὅμηρος. οὐκ ἔσθ᾽ οὗτος ἀνὴρ διερὸς βροτός. τουτέστι ζῶν καὶ ἐρρωμένος. ὀδυσσείας ζ. οἱ γὰρ ζῶντες, ὑγροί. αὖοι δὲ οἱ τεθνεῶτες. παρὰ τὸ διαίνω τὸ ὑγραίνω, γίνεται διαρός. ὡς μιαίνω, μιαρός. λιπαίνω, λιπαρός. καὶ τροπῇ, διερός. διερῷ ποδί. ὀδυσσείας ι. μεταφορικῶς τῇ νηΐ. καὶ γὰρ ἁλὸς ἵππους, τὰς ναῦς καλεῖ τροπικῶς. οἱ δὲ, τῷ ὀξεῖ καὶ ταχεῖ. ἢ τῷ θαλασσίῳ. διερὸν γὰρ, χλωρόν. βεβρεγμένον.

Δίζω καὶ δίζομαι, τὸ ζητῶ. διζημένη, ζητοῦσα. παρὰ τὸ δὶς ἐπίρρημα. ἀφ᾽ οὗ τὸ διστάζειν. καὶ ἀπὸ τοῦ διὸς, διάζειν. ὀρθῶς οὖν τὸ δίζω παρὰ τὸ δίς. οἱ γὰρ ζητοῦντες, ἐν διχονοίᾳ ὢν ζητεῖ. ὁ γὰρ εἰδὼς, οὐ διχονοεῖ, ἀλλ᾽ ἁπλῇ χρῆται γνώμῃ.

Διηγῶ, ἐκ τῆς δια προθέσεως καὶ τοῦ ἄγω. τὰ δὲ παρὰ τὸ ἄγω συντεθειμένα, διὰ τοῦ η γράφεται. ξυληγῶ. στρατηγῶ. ὁδηγῶ. διηγῶ. ὁμήρου, διηγήσω.

Διηνεκές. διηνεκές, τὸ ἐπίμηκες καὶ ἀδιάλειπτον. παρὰ τὸ ἓν τὸ ἀριθμητικὸν, ἐνεκές. τὸ ἡνωμένον καὶ ἀδιάστατον. μετ᾽ ἐκτάσεως καὶ συνθέσεως, διηνεκές. ἢ παρὰ τὸ ἐνέκω, ἐνεκὲς καὶ διανεκές. καὶ μεταθέσει τοῦ ε εἰς η, διηνεκές. ἢ παρὰ τὸ διήκω τὸ ἐκτείνω διηκής. καὶ πλεονασμῷ τῆς νε συλλαβῆς.

Διήρης, οὗ πρῶτος οἶκος. εὐριπίδης ἐν φοινίσσαις. μελάθρων ἐς διήρες ἔσχατον. ἀπὸ τοῦ δὶς, διήρης. ἤγουν ἡ δίστεγος. ἀπολλώνιος δὲ καὶ τὰς ναῦς τὰς ἐχούσας δύο ἢ καὶ τρεῖς στέγας διήρεις καὶ τριήρεις λέγει. ἢ ἀπὸ τοῦ δύο διήρης. ὥσπερ παρὰ τὸ μόνος μονήρης. καταχρηστικῶς δὲ λέγεται οὐ μόνον τὸ δίστεγες, ἀλλὰ καὶ τὸ ὁπόσων ἂν ᾖ στεγῶν. ὥσπερ καὶ διέδρων τῶν πλειόνων λέγεται.

Διήρεσα. διήρεσα χερσὶν ἐμῇσιν. ἰστέον ὅτι τὸ διήρεσα ἀντίκειται κατὰ τὸν μέλλοντα ἀπὸ τοῦ ἐρέσσω γινόμενον. ἐρέσω γὰρ ὁ μέλλων. καὶ ὤφειλεν εἶναι ἐρέξω. τὰ γὰρ διὰ δύο σσ ἐκφερόμενα κατὰ τὸν ἐνεστῶτα, διὰ τοῦ ξ ἐκφέρουσι τὸν μέλλοντα. χωρὶς τοῦ πάσσω, πάσω. πλάσσω, πλάσω. ἀλλ᾽ ἔστιν εἰπεῖν ὅτι καὶ τοῦτο σεσημειωμένον ἐστίν. ἡρωδιανὸς δέ φησιν ἀπὸ τοῦ ἀσσομένου τοῦ ἐρῶ. ὁμήρου, ἐρέσω. ὥστε λῶ τελέσω. ὁ ἀόριστος, ἤρεσα. καὶ διήρεσα.

Διήφυσε. διέκοψεν. ἀπὸ τοῦ διαφύσσειν, ἢ ἀφύσσειν, ὅ ἐστιν ἀντλεῖν. οἱ γὰρ ἀντλοῦντες διακόπτουσι τὸ ἀντλούμενον.

Δίζυγες, ἐζευγμένοι.

Διθύραμβος, ὁ διόνυσος. ἐπίθετόν ἐστι τοῦ διονύσου. ὅτι ἐν διθύρῳ ἄντρῳ τῆς νύσσης ἐτράφη. καὶ ὁμωνύμως τῷ θεῷ ὁ εἰς αὐτὸν ὕμνος. ἢ ἀπὸ τοῦ δύο θύρας βαίνειν τήν τε κοιλίαν τῆς μητρὸς σεμέλης, καὶ τὸν μηρὸν τοῦ διός. ἀπὸ τοῦ δεύτερον τετέχθαι. ἀπό τε τῆς μητρὸς, καὶ ἀπὸ τοῦ μηροῦ τοῦ διός. ἵν᾽ ᾖ ὁ δὶς θύραζε βεβηκώς. πίνδαρος δέ φησι λυθίραμβον. καὶ γὰρ ζεὺς τικτομένου αὐτοῦ ἐπεβόα. λῦθι ῥάμμα λῦθι ῥάμμα. ἵν᾽ ᾖ λυθίραμμος καὶ διθύραμβος κατὰ τροπὴν καὶ πλεονασμόν. ἡρωδιανὸς δέ φησι τὰ παρωνυμικὰ μὴ συντίθεσθαι.

Διιππασία καὶ ἀνθιππασία, τῶν ἵππων ἅμιλλα. ὥσπερ διωμοσία καὶ ἀντωμοσία τὸν αὐτὸν ἀμφω δηλοῖ.

Διιπολία, ἑορτὴ ἐπιτελουμένη διῒ πολιαίῳ, ἤτοι ἐν ἀκροπόλει τιμωμένῳ. πόλιν γὰρ τὴν ἀκρόπολιν ἔλεγον. λέγεται καὶ διιπόλειον, ὥσπερ βαλανεῖον. ἢ εἰς ἀπομνημόνευσιν τοῦ πελάνου καὶ βοός.

Διθυμία, διχοστασία.

Διίφιλος. ὥσπερ παρὰ τὴν ἄρει δοτικὴν γέγονεν ἀρηΐφιλος, οὕτω καὶ παρὰ τὸ διῒ, διΐφιλος. καὶ κράσει τῶν δύο ι εἰς ι μακρὸν, δίφιλος.

Διιπετής, ὁ νεῖλος καὶ ὁ ξάνθος. παρὰ τὴν διῒ δοτικὴν γέγονε καὶ τὸ πεσεῖν. οἱονεὶ ὁ ἀπὸ τοῦ διὸς πεπτωκώς. καὶ διιπετέος ποταμοῖο, τοῦ διαφανοῦς καὶ μεγάλου, ἢ καλλιρρόου, ἢ ὑπὸ τοῦ διὸς πληρουμένου. ἐπειδὴ διαυγὲς αὐτὸ τὸ ὕδωρ ἔχει. καὶ τὸν ἀέρα διιπετῆ καλοῦσιν. εὐριπίδης, λαμπρότερος ἢ πρίν. καὶ διιπετέστερος, ἀντὶ τοῦ διαυγέστερος.

Δίκτυον, παρὰ τὸ δικεῖν τοὺς ἰχθύας ἐν αὐτῷ, ὅ ἐστι βάλλεσθαι. δικῶ τὸ βάλλω. δίκυον καὶ δίκτυον κατὰ πλεονασμόν. ἢ παρὰ τὸ δίκω τὸ ἐμπλῶ δίκος, ὁ ἐμπλούμενος. καὶ τὸ κατὰ τῶν ἰχθύων ἐμπλούμενον, δίχυον, καὶ δίκτυον. ἀπὸ δὲ τοῦ δίκτυον κατὰ ἀποκοπὴν γίνεται δίκυ.

Διιπετεῖς ποταμοί, οἱ χείμαρροι. ὅτι ἐκ διὸς πίπτον τὸ ὕδωρ, πληροῖ τούτους. καὶ πεδίον δὲ διιπετὲς, νοτερὸν καὶ δροσῶδες. οἱ δὲ, τὸ διηνεκές. ἄλλοι διαυγές. καὶ ὁ κεραυνὸς διιπετὴς, ἀπὸ διὸς πίπτων, ἢ πετόμενος. ὅθεν καὶ διιπετεῖς συμφοραί. καὶ διιπετὴς γυνή, διαυγής.

Δικασπόλους, δίκας σπένδοντας. ἢ τοὺς τὸ δίκαιον πολουμένους.

Δικλίδες θύραι, αἱ εἰς δίχα τετμημέναι. ἐπικαρσίαι, ὥστε δύνασθαι τὸ ἕτερον κεκλεῖσθαι.

Δίκαιος, παρὰ τὸ δίκη δίκαιος. τοῦτο παρὰ τὸ δίχω τὸ διχάζω. ἐτυμολογεῖται δὲ παρὰ τὸ δύο ἔχειν. ἡ γὰρ δίκη τὰ δύο μέρη διΐστησιν. ἄλλο δέ ἐστι παραγωγὴ, καὶ ἄλλο ἐτυμολογία. ἡ μὲν παραγωγὴ, κατὰ τὴν ἀρχὴν μόνον θεωρεῖται τῆς λέξεως. ἡ δὲ ἐτυμολογία, κατὰ τὴν ἀρχὴν καὶ τὸ τέλος. ἢ παρὰ τὸ δίχω, δίχαιος καὶ δίκαιος. ἐκ τούτου γέγονε δικαιοσύνη. τὰ διὰ τοῦ οσυνη θηλυκὰ ὀνόματα, διὰ τοῦ ο μικροῦ γράφεται. πλὴν τοῦ ἁγιωσύνη. ἀγαθωσύνη. ἱερωσύνη. μεγαλωσύνη. ἢ τὰ διὰ τοῦ οτερος, καὶ οτατος. καὶ τὰ διὰ τοῦ οσυνη θηλυκὰ, εἰ μὲν ἔχει τὴν πρὸ αὐτοῦ συλλαβὴν μακρὰν διὰ τοῦ ο μικροῦ γράφονται. γοργότερος. ἐνδοξότερος. εἰ δὲ βραχεῖαν, διὰ τοῦ ω μεγάλου. νεώτερος. σοφώτερος. πλὴν τοῦ στενότατος καὶ κενότατος. ἅπερ φησὶν ἀπὸ τοῦ στεινὸς καὶ κεινὸς γέγονε.

Δίκη, ἡ θεός. παρὰ τὸ διχάζειν καὶ διαλύειν τοὺς φιλονεικοῦντας καὶ δικαζομένους, δίχη καὶ δίκη. ἢ παρὰ τὸ διχάζειν καὶ χωρίζειν τὸ ἄδικον ἐκ τοῦ δικαίου. δικαιοσύνη τις οὖσα, παρὰ τὸ εἰς δύο χέειν τὰ πράγματα. ἢ παρὰ τὸ δίζω τὸ ζητῶ, ἡ ζητοῦσα τὸ ἀληθές. ἢ παρὰ τὸ διστάζων. δεῖ γὰρ ἐν διστασμῷ ἀπόφασις τοῦ δικαίου. τὸ δὲ ι. τὰ εἰς κη θηλυκὰ, ἐνὶ φωνήεντι παραλήγεται.

πλὴν τοῦ ἐρείκη εἶδος φυτοῦ. εὐνείκη ὄνομα κύριον. νείκη, ἡ φιλονεικία, ἐκ τοῦ νεῖκος. καὶ ἄλλως. Ἰαξ ἔχοντα ἀναφαινόμενον τὸ υ, διὰ τοῦ ι γράφεται. οἷον μῦσος μίσος. δύκη, δίκη. ἀφοδύτη, ἀφοδίτη. σημαίνει τέσσαρα. τὴν κοινῶς νοουμένην δίκην. ὡς τό, Ὑμεῖς δὲ κατὰ φάσθε καὶ αὐτοὶ τήνδε τὴν δίκην. καὶ τὴν δικαιοσύνην. ὡς τό, Δίκας ἰθύνει θέμιστας. καὶ τὴν τιμωρίαν. ὡς τό, Τοῖς δὲ δίκην Κρονίδης τεκμαίρεται. καὶ τὴν ἀδικίαν. ὡς τό, Οἱ ῥα φυλάσσουσι δίκας καὶ σχέτλια ἔργα.

Δίκτη, ὄρος τῆς Κρήτης. καὶ ἄκρα κειμένη κατὰ τὸ Λιβυκὸν πέλαγος. καλεῖται δὲ καὶ οὐδετέρως. Ἄρατος, Δίκτῳ ἐν εὐώδει ὄρεος, σχεδὸν Ἰδαίου. ἀπὸ τοῦ τὸ δίκτον. εἴρηται παρὰ τὸ τέκω τίκτω. τίκτουσα, ἀπὸ τοῦ ἐκεῖ τεχθῆναι τὸν Δία. Ἀγαθοκλῆς δὲ θηλυκὸν ὄνομα εἶναι τὸ Δικταῖον ὄρος. οἱ δὲ νῆσον φασὶν εἶναι τὴν Δίκτην. καὶ ὄνομα ἀπὸ τῶν ἁλιευτικῶν δικτύων. ἐνταῦθα δὲ Διὸς ἄγαλμα ἀγένειον ἵστατο. λέγεται καὶ Δικταῖον.

Δίκρον καὶ δίκροον, τὸ δίκρανον ξύλον. Ἀριστοφάνης. Δίκροις ἔωθεν τὴν θεὸν κεκράγμασιν. Καλλίμαχος. Δίαγρον φίλτρον ἀγραμένη. εἴρηται ὅτι δίκαρόν ἐστι. τὸ δύο ἄκρας, ἢ δύο κάρη ἔχον. καὶ κατὰ συγκοπὴν, δίκρον. Ἀπολλώνιος δὲ, ἀπὸ τοῦ δικάρανον φησὶ συγκεκόφθαι. Ἀλέξανδρος δὲ, ὅτι Ἀσκληπιάδης ἐν τῷ τῶν παντοδαπῶν παρὰ τὸ κόρος, ὃ σημαίνει τὸν κλάδον. ἔνθεν καὶ κορυθαλὶς ἡ δάφνη λέγεται. καὶ κορεῖν, τὸ τοῖς κλάδοις στροῦν. ἐγὼ δὲ νομίζω μᾶλλον παρὰ τὸ κέρας. ὅθεν καὶ κέρος. ἵν' ᾖ δίκερος καὶ ὑπερθέσει δίκρεος καὶ τροπῇ τοῦ ε εἰς ο, δίκροος.

Δίνδυμον, ὄρος Φρυγίας. εἴρηται δὲ διὰ τὴν δίνησιν τὴν τῶν θεοφορήτων. πρῶτον γὰρ ἐκεῖθεν ἤρξαντο θεοῖς κάτοχοι εἶναι οἱ ἄνθρωποι. οὕτως Ὧρος ἐν τῷ περὶ ἐθνικῶν. ἢ ἀπὸ τῶν ἐν αὐτῷ δύο ἀκρωτηρίων, ἐπεὶ δύο ἄκρας ἔχει. Αὔρα γέγονέ τις κόρη εὔοπλος φιλοκύνηγος οἰκοῦσα ἐν τῷ Πόντῳ. ταύτην ποτὲ κυνηγοῦσαν σὺν Ἀρτέμιδι Διόνυσος ἑωρακὼς, καὶ βιασάμενος, ἐποίησεν ἔγκυον. ἰδοῦσα δὲ Ἄρτεμις ἐδίωξεν. ἀποπλήσασα φοβουμένη δὲ τὴν ὀργὴν τῆς θεοῦ ἡ Αὔρα, ἔρχεται ἐκ τοῦ Πόντου εἰς Κύζικον. καὶ ἀνελθοῦσα εἰς τὸ ὄρος δίδυμα τίκτει. διὸ ἐκάλεσε τὸ ὄρος Δίνδυμον.

Δίνη, ἡ συστροφή. ἐκ τοῦ δεύω τὸ βρέχω δεύνη. καὶ ἀποβολῇ τοῦ ε καὶ τροπῇ τοῦ υ εἰς ι, δίνη. ἢ παρὰ τὸ ζὰ, Διὸς δίνη. καὶ πλεονασμῷ τοῦ ν, δίνη. ἢ ἀπὸ τοῦ ἲς, ἰνὸς, ἡ δύναμις, ἴνη καὶ δίνη. ἡ μετὰ δυνάμεως συστροφή. ἢ ἐκ τοῦ εἱλῶ τὸ συστρέφω γίνεται ἴλη καὶ δίνη. ἐκ τοῦ τοῦ ἐστὶ τὸ δῖ, μακρόν. καὶ γὰρ τὸ ἰλαδὸν τὸ ι μακρόν. τὸ δῖ, ι. τὰ διὰ τοῦ ινη θηλυκὰ μονογενῆ, μὴ ἀπὸ ἐπιθέτου γινόμενα, διὰ τοῦ ι γράφεται. μονογενῆ εἶπε, διὰ τὸ ἐκεῖνος, ἐκείνη. μὴ ἀπὸ ἐπιθέτων γινόμενα, διὰ τὸ φωτεινός, φωτεινή. καὶ τὸ κύριον ὄνομα, Φωτεινή.

μετάγεται γὰρ ἀπὸ ἐπιθέτου.

Διωμοσία, ὅρκος ἐστὶν ὃν ὤμνυον οἱ φόνου ἀγῶνα διώκοντες ἢ φεύγοντες. ἀμφότεροι γὰρ ὤμνυον ἢ μὴν ἀληθῆ λέγειν.

Δίκροτος ναῦς, ἡ δύο στίχους ἐρετῶν ἔχουσα, ὡς παρὰ Ἰσοκράτει.

Διόμυς, ὁ γυναικείας καὶ πάνθηλυς.

Διὸς αὐγάς, τὰς ἡμέρας. τὸ φῶς.

Διοσημία, τὰ ἐκ τοῦ ἀέρος σημεῖα.

Διόσκουροι, οἱ Ἑλένης ἀδελφοί. καὶ Ζῆθος καὶ Ἀμφίων.

Δινωτοῖσι, πεποικιλμένοις. τετορνευμένοις. παρὰ τὸ δινῶ τὸ συστρέφω. τορνευτοῖς, ἢ στρογγύλοις ἀπὸ τῆς τῶν κλινοπόδων περιφερείας. ἢ ἐντεῦθεν δινωτὸν λέχος. τὸ ἀρσενικὸν δινωτός. καὶ τὸ θηλυκὸν, δινωτή, ἡ περιφερὴς ἐοικυῖα δίνῃ. Δῖνος δὲ ὁ τόρνος, παρὰ τὸ δινεῖσθαι καὶ κυκλοῦσθαι. ὅθεν καὶ τὸ δινῶ. ἢ ἐκ τοῦ δι-

Δῖνος, σημαίνει εἶδος ὀρχήσεως. καὶ εἶδος πο νη, δινωτηρίου. καὶ συστροφήν, καὶ τόρνον, παρὰ τὸ δινοῦσθαι. λέγεται δὲ ἀρσενικῶς.

Δινεύοι, ἀναστρέφοιτο. ὅθεν καὶ αἱ συστροφαὶ τῶν ἀνέμων, δῖναι λέγονται. δινῶ, δινεύω.

Διόγνητος, ὁ ὑπὸ Διὸς γνωριζόμενος. ὁ γνήσιος. διογενής. διόγνητος. εὐγενής.

Δίομος, ὄνομα κύριον, ἥρως Ἀθηναίου. ἀφ' οὗ Διομὰς ἑορτή. παρὰ τὴν Διὸς γενικὴν Δίομος. ὡς ἀνδρός, ἀνδρόμεος.

Διομήδης, ὄνομα κύριον. συντίθεται παρὰ τὴν Διὸς γενικὴν καὶ τὸ μήδω. τὰ δὲ παρὰ τὴν Διὸς γενικὴν συντιθέμενα, ἀποβάλλουσι τὸ ς. οἷον Διογενής. Διοπείθης. τὰ δὲ εἰς ης κύρια παρασύνθετα, ἅτινα ἔχει τὴν γενικήν. παντερπής. εὐπειθής. οὕτω Διομήδης. σεσημείωται, τὸ Θεοκρίνης. τὰ γὰρ διὰ τοῦ ινης εἰς ου ἔχει τὴν γενικήν. Λεπτίνης. Αἰσχίνης. οὕτω καὶ τὸ Ἀΐδης Ἀΐδου. παρὰ τὸ ἰδεῖν. ὅτι οὐδὲν αὐτίκα ἴδοις.

Διόνυσος, οἱ μὲν Διόνυξον αὐτὸν ὀνομάζουσιν. ὅτι σὺν κέρασι γεννώμενος ἔνυξε τὸν Διὸς μηρόν. ὡς Στησίμβροτος. οἱ δὲ Δεύνυσον. ἐπειδὴ βασιλεὺς ἐγένετο Νύσσης. Δεῦνον δὲ τὸν βασιλέα λέγουσιν οἱ Ἰνδοί. ὡς Ἰόβας. οἱ δὲ ἀπὸ τοῦ Διὸς καὶ τῆς Νύσσης τοῦ ὄρους ὠνομάσθαι. ἐπεὶ ἐν τούτῳ ἐγεννήθη ὡς Πίνδαρος καὶ ἀνετράφη. οἱ δὲ, ἀπὸ τοῦ τὰ πολλὰ διανύσαι καὶ κατορθῶσαι, ὡς Ἀλέξανδρος ὁ Θάσιος. οἱ δὲ ἀπὸ τοῦ δονεύειν καὶ κινεῖν τὰ σώματα πλεονασμῷ τοῦ ι. ὡς πυκνός, πυκινός. οἱ δὲ ἀπὸ τοῦ Διὸς ὑετοῖς κεράννυσθαι, ὅ ἐστιν ὕδασιν, ὡς πιθανεύεται Ἀριστόδημος. ἢ ὅτι Διὸς ὕοντος ἐτέχθη. ἢ παρὰ τὸ δάος δαόσιος. καὶ τροπῇ τοῦ α εἰς ι. παρὰ γὰρ Ἠλείοις ὁ αὐτὸς τῷ ἡλίῳ νομίζεται. ἵν' ᾖ ὀδαίων. ὁ τοῦ δάους, ὅ ἐστι πυρὸς ἢ φωτὸς αἴτιος. ἢ ἀπὸ τοῦ νεύω Διόνευσος καὶ Διόνυσος. ὁ ποιῶν διανεύειν καὶ μὴ σταθεροὺς εἶναι τοὺς πίνοντας. ἢ παρὰ τὸ πολλὰ διαλῦσαι, Διάλυσος, καὶ τροπῇ τοῦ α εἰς ο καὶ τοῦ λ εἰς ν.

Διονύσιος ὁ Θρᾷξ. ἰστέον ὅτι Θρᾷξ ἐλέγετο, ἢ διὰ τὸ τραχὺ τῆς φωνῆς, ἢ ὅτι τῇ ἀληθείᾳ Θρᾷξ ἦν. οὗτος δὲ ὁ Διονύσιος μαθητὴς ἦν τοῦ Ἀριστάρχου. καὶ τὸν ἑαυτοῦ διδάσκαλον ζωγραφήσας ἐν τῷ στήθει αὐτοῦ τὴν τραγῳδίαν ἐζωγράφει. διὰ τὸ ἀποστηθίζειν αὐτὸν πᾶσαν τὴν τραγῳδίαν.

Διονύσιος ὁ Ἀσκάλαφος, ἐλέγετο ἢ ὅτι συνεχῶς ἐμέμνητο τοῦ Ὁμηρικοῦ στίχου. οἷον, Ἀμφ' Ἀσκάλαφον καὶ Ἰάλμενον καὶ Ὀρέστην. ἢ ἐπειδὴ μακρὸς καὶ λεπτὸς ἦν καὶ ὠχρός. τοιοῦτον δέ ἐστιν ὁ ἀσκάλαφος τὸ ὄρνεον.

Διοπεύειν, τὸ ἐπιμελεῖσθαι.

Διοπὸς ὁ βασιλεὺς ἢ ὁ ἐπιμελητὴς καὶ ἐπόπτης, ἀπὸ τοῦ διέπειν, ἢ διοπτεύειν παρὰ τοὺς ὦπας. ἔνθα καὶ ὀφθαλμὸς βασιλικός, ὁ κατάσκοπος.

Διοπτεύω, κατασκοπῶ, ἀπὸ τοῦ ὄπτω. καὶ διοπτῆρα τὸν σκοπόν. καὶ διοπτεύων, ἐποπτεύων. ἐφορῶν. ἐπισκοπῶν. καὶ διοπέας, τοὺς βασιλεῖς.

Δῖος. ὡς παρὰ τοῦ Χίος Χῖος, οὕτω καὶ ἀπὸ τῆς Διὸς γενικῆς Δίιος. καὶ κράσει τῶν δύο ι εἰς ἓν, Δῖος. σημαίνει δὲ τρία. τὸν ἔνδοξον. ὡς τό, Δῖος Ἀχιλλεύς. καὶ Δῖος Ὀδυσσεύς. καὶ τὸν μέγαν. ὡς τό, Εἰς ἅλα δῖαν, ἀντὶ τοῦ εἰς θάλασσαν θείαν, ἢ θαυμαστήν. σημαίνει δὲ καὶ τὸν ἀγαθόν. ὡς ἐν Ὀδυσσείᾳ. Δῖος συβώτης. τὸ δῖ, ι. τέσσαρα γάρ εἰσι δισύλλαβα κτητικά. θεῖος καὶ κεῖος, διὰ διφθόγγου. Δῖος καὶ Χῖος, διὰ τοῦ ι.

Διόσκουροι, οἱ τοῦ Διὸς ἐπιμελούμενοι. τὸ γὰρ ἐπιμελεῖσθαι κορεῖν λέγουσιν. ἢ ὅτι τοῦ Διὸς κοῦροι, ὅ ἐστι νέοι.

Διόσκορος, οἱ μὲν παραθέσει λέγουσιν, ὅτι ἡ Διὸς γενικὴ ἐν τῇ συνθέσει ἀποβάλλει τὸ ς. εἰ οὖν τὸ Διόσκορος ἐφύλαξε τὸ ς, δηλονότι ἐν παραθέσει ἐστί. δεῖ σημειώσασθαι τὸ Διόσθυος παρὰ Καλλιμάχῳ. ἐν συνθέσει γὰρ ὢν ἐφύλαξε τὸ σ. ἔστι δὲ ὄνομα μηνός. οἱ δὲ ἐν συνθέσει λέγουσιν, ὅτι ἀπὸ δύο λέξεων ἐν συνθέσει οὐσῶν γίνονται αἱ παραγωγαί. οἷον ἱερὰ πόλις, ἱεραπολίτης. Ἄρειος πάγος, Ἀρεοπαγίτης. νέα πόλις, νεαπολίτης. οὐδέποτε δὲ ἀπὸ δύο λέξεων ἐν παραθέσει οὐσῶν γίνεται παραγωγή. οὔτε τεμένιον. οἷον, Θέτις Θετίδιον, ὁ ναὸς τῆς Θέτιδος. Ἡρακλῆς Ἡράκλειον, ὁ ναὸς τοῦ Ἡρακλέους. Αἰακὸς Αἰάκειον, ὁ ναὸς τοῦ Αἰακοῦ. τέμενος δὲ λέγεται τὸ ἀφιερωμένον χωρίον θεῷ, ἢ ἥρωι. εἰ οὖν ἐστι Διοσκορεῖον τεμένιον, τουτέστιν ὁ ναὸς τοῦ Διοσκόρου, δῆλον ὅτι οὐ παρήχθη ἀπὸ δύο λέξεων ἐν παραθέσει οὐσῶν. ἄρα οὖν τὸ Διόσκορος ἐν συνθέσει ἐστί.

Διπλοῦς, ἀπὸ συναιρέσεως ἐστὶ τοῦ διπλό- σύνθεσις ἐστί. -ος, καὶ τριπλόος. τὸ δὲ διπλόος καὶ τριπλόος, ἀπὸ τοῦ δὶς καὶ τρὶς εἶπον. τὸ δὲ διπλοῦς καὶ τριπλοῦς, οὐκ εἰσὶ σύνθετα. ζήτει εἰς τὸ Χοιροβοσκοῦ. παρὰ τὸ δύο πέλειν διπλόος, καὶ διπλοῦς.

Διπλῆν ἐκτάδιον, τὴν μεγάλην, ὥστε καὶ διπλῆν αὐτὴν χρώμενον ἔχειν.

Δίπλακα, Ἰλιάδος γ. σημαίνει δὲ διπλοΐδα. διπλοῦν ἱμάτιον. ὅ ἐστι χλανίδα δίπτυχον. διπλῆν. ἡ εὐθεῖα, δίπλαξ. σημαίνει δὲ τὴν χλαῖναν. οὕτω γὰρ καὶ δίπτυχα. ἐκ τοῦ διπλοῦς, δίπλαξ. ὡς λίθος λίθαξ. τοῦτο ἐκ τοῦ διπλόος.

Διπλόη, σημαίνει τὴν πανουργίαν. γίνεται ἐκ τοῦ διπλόος. τοῦτο ἐκ τοῦ δύο καὶ τοῦ πέλω, δυοπέλοος καὶ διπλόος, τροπῇ τοῦ υ εἰς ι.

Δίπτυχα, ὄνομα οὐδέτερον. γέγονε δὲ ἐκ τοῦ δίπτυξ ἀρσενικοῦ. τοῦτο ἐκ τοῦ πτύσσω τὸ ἀσφαλίζω, πτύξω, πτύξ. καὶ μετὰ τοῦ δύο, δίπτυξ δίπτυχος κλίνεται. καὶ μετάγεται εἰς εὐθεῖαν. καὶ τὸ οὐδέτερον, τὸ δίπτυχον. δίπτυχα ποιήσαντα. διπλώσαντα τὴν κνίσαν. νῦν δὲ λέγει τὸν ἐπίπλουν.

Δίπολις, ἐστὶν ἡ Λῆμνος. ἔχει γὰρ ἐν αὐτῇ Ἡφαιστίαν καὶ Μύριναν.

Δὶς καὶ τρίς. ἀπὸ τοῦ δυάκις καὶ τριάκις. ἆρον τὸ α καὶ τὸ κι. καὶ κατὰ συνίζησιν, δὶς καὶ τρίς. τὸ δὲ δὶς καὶ τρὶς, ἐν συνθέσει ἀποβάλλει τὸ ς. οἷον δίμηνος. δίπηχος. τρίπηχυς. σεσημείωται τὸ δισθανέες καὶ τὸ τρίσφυλλον, εἶδος βοτάνης παρὰ Νικάνδρῳ. συντιθέμενον δὲ ἀντὶ τοῦ δύο καὶ τρία λαμβάνεται.

Διπρόσωπος, ὁ δύο πρόσωπα ἔχων. καὶ τρίπους, ὁ τρεῖς πόδας ἔχων.

Δὶς ἡβήσαντα, τουτέστιν ἀναζήσαντα. φησὶ γὰρ μετὰ τὴν κρεουργίαν οἱ θεοὶ τὸν Πέλοπα ἀνεζωοποίησαν. καὶ τρισόζωος παρὰ Αἰσχύλῳ.

Διστάζειν, τὸ διχῶς βουλεύεσθαι. καὶ τὸ δύο στάσεις ἔχειν κατὰ διάνοιαν.

Δίσκος, σημαίνει λίθον τροχοειδῆ εἰς γυμνάσιον ἡρωϊκὸν ἐπιτήδειον. παρὰ τὸ δικῶ τὸ ῥίπτω. δίκος ὁ ῥιπτούμενος. καὶ πλεονασμῷ τοῦ ς.

Δίκω, Εὐριπίδης Δίκετε παῖδα δίκετε τρομερὰ σώματα μαινάδες. Πίνδαρος οὕτω παρετυμολογεῖ. Δίκε πέτρῳ χεῖρα κυκλώσας. ἀπὸ δὲ τοῦ δίσκου τούτου, οἱ νῦν ἀργύρεοι δίσκοι ὠνομάσθησαν. ἐπεὶ κυκλοτερεῖς εἰσὶ, καὶ ὅμοιοι ἐκείνοις. παρὰ τὸ δίκω τὸ βάλλω δίσκος πλεονασμῷ τοῦ ς, ὁ βαλλόμενος.

Δίφιλος, ὡς παρὰ τὸ ἀρχι γίνεται ἀρχίφιλος, οὕτω καὶ ἀπὸ τοῦ δὶ, διίφιλος. καὶ κράσει, δίφιλος.

Δίφρος, κυρίως τὸ ἅρμα. ὡς τό, Δίφρος δὲ χρυσέοισι καὶ ἀργυρέοισιν ἱμᾶσιν ἐντέταται. ἐτυμολογεῖται δὲ παρὰ τὸ δύο φέρειν τὸν μαχόμενον καὶ τὸν ἡνίοχον. ὡς τό, Ἂν δ' ἔβαν ἐν δίφροισι παραιβάται ἡνίοχοί τε. λέγεται καὶ ἐπὶ τῆς καθέδρας. σημαίνει τὸν θρόνον. ὡς τό, Τῇ δ' ἄρα δίφρον ἑλοῦσα φιλομμειδὴς Ἀφροδίτη. καὶ Μένανδρος. Ἐκάθητ' ἐπὶ τοῦ δίφρου μήτηρ τε καὶ παρθένος.

Διφροφόροι, αἱ ταῖς κανηφόροις εἵποντο δίφρους ἐπιφερόμεναι. Ἡρωδιανός. Τοὺς πέρσας φορείοις φερομένους διφροφορουμένους.

Διφθέρα, ὅσα κατ' ἐκείνην δή που φέρεται τὴν διφθέραν. τὸ γραμματεῖον, ἢ βυβλίον, ἢ βύρσαν, ἢ δέλτον. οἱ δὲ διφθέραν, τὴν ἐν τοῖς δύο μέρεσι φέρουσαν γράμματα.

Δίφω, σημαίνει τὸ ψηλαφῶ. ἰλιάδος π, Τῇ θέα δίφων. ζητῶν ἐρευνῶν. καλλίμαχος. Μηδ' ἀπ' ἐμεῦ δίφατε μέγα ψοφέουσαν ἀοιδήν. παρὰ τὸ ἅπτω, ἀφή. ἀφῶ καὶ διαφῶ. καὶ κράσει, διφῶ τὸ τῇ ἁφῇ ὑποβάλλω. ἐκ τοῦ ἁφή, γίνεται ἀφῶ ἀφάσσω. ὡς αἱμῶ, αἱμάσσω.

Δίχῃ, τὸ διχῶς. τὸ αὐτὸ καὶ δίχα. παρὰ τὸ δὶς ἐπίρρημα, δίχῃ καὶ δίχα, ὡς τρίχῃ καὶ τρίχα. Δίχα φρεσὶν ἥνδανε βουλή. καὶ ἀπὸ τοῦ δίχα, γίνεται διχθά. καὶ διχθαδίας κῆρας, δύο μοίρας.

Δίψα. παρὰ τὸ ἴπτω τὸ βλάπτω, ἴψα καὶ δίψα. ἡ βλάπτουσα τὸ σῶμα.

Διχόμηνος, διχομήνου, διχομήνῳ. καὶ κατὰ μεταπλασμὸν διχόμηνι. ὡς πολυπάταγος πολυπατάγῳ. ἔστι καὶ διχομηνίς, διχομηνίδος. διχομηνίδι. ἡ αἰτιατική, διχομηνίδα. ἔστι δέ, ἡ πεντεκαιδεκάτη. μεταπλασμέναι δὲ λέγονται, αἱ ὑπὲρ τὰς συλλαβὰς οὖσαι.

Διώνυσος, κατ' ἔκτασιν. ἀεὶ δὲ ἔστιν ἡ ἔκτασις ἡρωδιανός. παρὰ τῷ ποιητῇ, διὰ τοῦ ω μεγάλου καὶ τοῦ υ μακροῦ. ὡς τὸ, Διωνύσοιο τιθήνη. καὶ διόνυσος δέ φησιν. ἰλιάδος ζ. ἐγὼ δὲ ἀνέγνων παρά τινι, πόθεν ἐκλήθη διόνυσος, ἐν ἐπιγράμματι διονυσιακῷ οὕτω. Τὸν μὲν προκύψαντες θεῖον νέος τὸ κερίο. στέμματι κισσήεντι πλεχωίδες ἐστεφάνωσαν. εἶτα μεθ' ἑτέροις στίχοις. Λαβὼν μαιήιος ἑρμῆς τὸν διόνυσον δῆλον ὅτι παρ' ὦκυν ἐπέθηκεν ἐπωνυμίην τὸ κερίο κικλήσκων διόνυσον. ἐπεὶ ποδὶ φόρτον ἀείρων νῦν ἐχωλαίνων κρονίδης βεβριθότι μηρῷ. νῦσος ὅτι γλώσσῃ συρακοσίδι χωλὸς ἀκούεται. καὶ θεὸν ἀρτιλόχευτον ἐφήμισαν εἰραφιώτην. ὅτι μιν εὐώδινι πατὴρ ἔρραψε τῷ μηρῷ. διόδωρος δὲ ἀπὸ τοῦ διὸς καὶ τοῦ τόπου τῆς νύσης λέγει διόνυσον. ὡς ἐν νύσῃ παρὰ νυμφῶν ἀναγραφέντα τοῦ διὸς μηροῦ ἐκτεθέντα. καὶ τὸν μηρὸν ὄνομα λέγει τόπου.

Διονῦς, ὁ θῆλυ λέγεται.

Διωβελία, ὀβελοὶ δύο, οὓς ὁ δῆμος καθήμενος ἐμισθο-

Διώκω, παρὰ τὸ δίω τὸ αὐτὸ σημαῖνον. ἀφ' οὗ τὸ, 〈φορεῖ. Πόλεος πεδίοιο δίονται. ἔστι καὶ παραγωγὴ διώκω.

Διώκετον. ὅτι οἱ ἀττικοὶ καὶ ἐν τοῖς τρισὶ προσώποις τῶν δυικῶν τοῖς δυϊκοῖς χρῶνται ὡς ἀριστοφάνης καταιτιολεῖ. Τὸν αὐτὸν ὑποπεπτωκότες, ἐκβαίνετον τὸν πατέρα τοῖς ὀρχήμασι. τοιαῦτα καὶ τὰ παρὰ τῷ ποιητῇ. Διώκετον ἐμμενὲς αἰεί. ἅπερ ἔνιοί φασι διὰ τὸν κριτικὸν πόδα ἤγουν τὸν ἀμφίμακρον, μὴ δυνάμενον παραλαμβάνεσθαι εἰς σύμφωνον λέγειν. οὐκ ἠδύνατο γὰρ εἶναι διωκέτην. ἀκάθαρτον γὰρ τὸ δίω ἀμφίμακρος.

Δίωνται, σημαίνει τὸ διώκονται. ἔστι ῥῆμα δίω. παράγωγον, δίημι. ἐξ οὗ καὶ δίενται ἵπποι ἀεροπόδες. τοῦ ὑποτακτικοῦ, ἐὰν διῶ, δίωμαι. καὶ τὸ τρίτον τῶν πληθυντικῶν, δίωνται.

Διώνη, ἡ θεός. ἀπὸ τοῦ διός, διώνη, κατὰ ἔκτασιν τοῦ ο εἰς ω. ὅτι αὕτη πρώτη γέγονε γαμετὴ τοῦ διός. ἢ ἀπὸ τοῦ διδῶ, διδώνη καὶ διώνη. ἡ διδοῦσα τὰς τῆς γενέσεως ἡδονάς. ἢ διεύνη τις ἐστὶν ἡ πρώτη διευνασθεῖσα. ἢ ἀπὸ τοῦ διαίνεσθαι τὸ ὑγραίνεσθαι ἀπὸ τῶν ὑετῶν. ἢ αὐτή γάρ ἐστι ἡ γῆ.

Διώρης, ὄνομα κύριον. ἢ γὰρ παρὰ τὴν διὰ πρόθεσιν καὶ τὸ ὀρῶ, διαόρης. καὶ ἐκτάσει τοῦ ο εἰς ω. καὶ κράσει τοῦ ι καὶ α εἰς ι μακρόν. ἢ ὡς ἀπὸ τοῦ ὕλη ὑλήωρης παράγωγον, οὕτω καὶ ἀπὸ τῆς διὸς γενικῆς διώρης. Διώρεος ἄλκιμος υἱός.

Διώχης, δίφρος ἅρματος. ὁ δύο οἷός τε ἔχειν.

Διῶρυξ, ἀπὸ τοῦ ὀρύσσω ὀρύξω ὄρυξ. καὶ ἐν συνθέσει, διῶρυξ.

Διωλύγιον, μακρόν. μέγα. δεινόν. χαλεπόν. ἐπιπολὺ διῆκον, καὶ ἐξάκουστον. τὸ διόλου ἰόν, ἐκτάσει τοῦ ο εἰς ω, καὶ πλεονασμῷ τοῦ γ.

Διωλύγια πράγματα, τὰ μεγάλα καὶ χαλεπά. ἅπερ ἀπώλεσεν ἂν τοὺς περιπεσόντας αὐτοῖς.

ΤΟ ΔΕΛΤΑ ΜΕΤΑ ΤΟΥ Μ

Δμῶ. παρὰ τὸ δαμάζω. κατὰ συγκοπὴν δμῶ, τὸ ἀναιρῶ καὶ ὑποτάσσω. ἀδάμαστος γὰρ ὁ ὑποταγῆναι μὴ δυνάμενος.

Δμηθήτω, δαμασθήτω. τουτέστι πρᾶος καὶ ἐπιεικὴς γενέσθω. καὶ δμήτειρα, δαμάστρια, ἡ δμήτης.

Δμῶες, οἱ οἰκέται. παρὰ τὸν δμήσω μέλλοντα. ἀποβολῇ τοῦ ω, δμής. καὶ τροπῇ τοῦ η εἰς ω, δμώς. ὡς ῥήξω ῥηγμός καὶ ῥωγμός. ἵν' ᾖ ὁ δεδμημένος καὶ ὑποτεταγμένος τινί. ὁ θεράπων.

ΤΟ ΔΕΛΤΑ ΜΕΤΑ ΤΟΥ Ν

Δνοφερόν, τὸ μέλαν καὶ σκοτεινόν. Δνοφερὸν χέεν ὕδωρ. παρὰ τὸ νέφος νεφερόν. καὶ τροπῇ καὶ πλεονασμῷ. ἢ παρὰ τὸ γνόφος γνοφερὸν καὶ δνοφερόν. ἢ κνόφος κνοφερόν. ἀμαυρὸν καὶ ζοφῶδες.

Δνοπαλίζω. δνοπάλιξις ἡ διὰ χειρῶν κίνησις καὶ ἐκτίναξις. Ἀνὴρ ἄνδρ' ἐδνοπάλιζεν. τουτέστι διὰ χειρὸς εἶχεν, ἢ ἀνῄρει. ἐφόνευεν. ἐχρήσατο δὲ καὶ ἐν τῷ ὀδυσσείας ξ. Τὰ σὰ ῥάκεα δνοπαλίξεις, ἀντὶ τοῦ διὰ χειρὸς ἕξεις. ἀμφιέσῃ. συρράψεις. ἢ περιτινάξεις. περιστρέψεις. εἴρηται παρὰ τὸ δονεῖν καὶ τὰς παλάμας, δονοπαλίξαι. καὶ ἐν συγκοπῇ. ἢ παρὰ τὸ δονῶ καὶ τὸ πάλλω, δνοπαλίζω. ἀπὸ τῶν δύο τῶν ὁμοιοσήμων. ὡς ἐριχθόνιος καὶ ἐρεχθεὺς καὶ ῥοφὸν ἐδίνησεν. ἢ ἀπὸ τοῦ ἀλαπαδνός, γίνεται λαπαδνός. καὶ καθ' ὑπέρθεσιν τῶν στοιχείων τοῦ τε τῆς ἀρχῆς καὶ τῆς τρίτης, γίνεται δνόπαλος καὶ δνοπαλίζω.

ΤΟ ΔΕΛΤΑ ΜΕΤΑ ΤΟΥ Ο

Δοάσσατο, ἐνεδοίασε. Δοάσσατο κέρδιον εἶναι. ἔδοξεν. ἐνόμισε. λαμβάνεται καὶ οὕτως ἀπὸ τοῦ δοάσσω ὥς φασί τινες. ἀλλ' ὤφειλεν εἶναι ὁ ἀόριστος α, ἔδοξα. κυρίως οὖν τὸ μὴ ἐν μιᾷ γνώμῃ ἑστάναι. παρὰ τὸ δοιός. δοιάζω. ὡς ἵππος, ἱππάζω. λίθος, λιθάζω. ὁ μέλλων, δοιάσω. ἐδοιασάμην, ἐδοιάσατο. καὶ πλεονασμῷ τοῦ σ αἰολικῶς, ὡς ἔσεται ἔσσεται, ἐδοιάσσατο. καὶ ἀποβολῇ τοῦ ι, δοάσσατο. ἄλλοι δὲ ἀπὸ τοῦ δοκῶ δοκιμάζω, δοκάσσατο ἀποβολῇ τοῦ κ. ὥστε οἱ μὲν, ἔλλειψιν τοῦ κ. οἱ δέ, τοῦ ι. ἵνα μὴ παρ' ἄλλους ὡς καινὸν ἀκούσῃς, οὕτως ἡρωδιανὸς καὶ ἄλλοι. δοάσσατο, ἔδοξεν. δοιάσσατο, ἐδίστασε.

Δόγμα, οὐ παρὰ τὸ δοκῶ δόκημα καὶ κατὰ συγκοπὴν δόγμα. ἀλλὰ παρὰ τὸ δόκω βαρύτονον. ὁ μέλλων, δόξω.

Δοκεύω, παράγωγον ἀπὸ τοῦ δό- 〈δέδογμαι. δόγμα. κω βαρυτόνου. σημαίνει δὲ τὸ ἐπιτηρεῖν. φυλάσσεσθαι. προσδέχεσθαι. καὶ δόκησις, σκοπή. ἀπάντησις.

Δοκῶ, ἁπλοῦν πρώτης συζυγίας τῶν 〈ὑπόληψις. περισπωμένων. προσδοκῶ δὲ σύνθετον, δευτέρας. ὥσπερ τὸ συλῶ, ἁπλοῦν μὲν ἐστι συζυγίας δευτέρας. σύνθετον δέ, πρώτης. ἱεροσυλῶ, ἱεροσυλεῖς.

Δοκίμιον, ἐκ τοῦ δόκιμος. τοῦτο ἐκ τοῦ δοκῶ. παράγωγον, δόκιμος. ἢ παρὰ τὸ δέχω. Δοκιμασία, ἡ ἐξέτασις.

Δοκός, τὸ τὴν στέγην ἀνέχον ξύλον. παρὰ τὸ δέχω, δέχομαι. δοκός, ἡ δεχομένη τὰ ἐπιτιθέμενα βάρη. ἀξιοῦμεν λανδόκος, καὶ πανδόκος. ἢ ἀπὸ τοῦ δέκω δοκός. ὥστε μὴ εἶναι πάθος. τὰ δὲ παρὰ τὸ δέχω πάντα διὰ τοῦ κ. οἷον ξενοδόκος κατ' ἀντίστοιχον τοῦ χ εἰς κ. σημαίνει δὲ καὶ ἐνέδραν καὶ

Δόκανα, τάφοι τινὲς ἐν λακεδαιμονίᾳ. 〈βούλησιν. παρὰ τὸ δέξασθαι τὰς τυνδαρίδας φαντασίαν ἐχούσας τάφων ἀνεῳγμένων. ἢ παρὰ τὸ δοκεῖν, δόκανον.

Δολιχόν, οὖν δηθάτε. καὶ δολιχόν, ἀντὶ τοῦ πολὺν καὶ μακρὸν χρόνον. καὶ δολιχόσκιον ἔγχος, τὸ μέγα καὶ μακρόν, ἢ μακρὰν σκιὰν ἀποτελοῦν. ἢ μακρὰ πορευόμενον. παρὰ τὸ κίειν.

Δολιχαύλοις, τὰς μακροὺς αὐλοὺς ἐχούσας. αὐλὸς δὲ τὸ κοῖλον τῆς ἐπιδορατίδος, εἰς ὃ ἐντίθεται τοῦ ξύλου τὸ ἄκρον. αὐτὸ δὲ τὸ ξύλον, καυλός. αὐλὸς δὲ τοῦ σιδήρου τὸ κοῖλον. καὶ δολιχήρετμοι, μακρόκωποι. καὶ

Δόλοψ, ὄνομα κύριον. παρὰ τὸ δόλος. 〈τὰ ὅμοια. τροπῇ τοῦ σ εἰς ψ, δόλοψ. ὡς αἴθος, αἴθοψ. καὶ πλεονασμῷ τοῦ ι, αἰθίοψ. καὶ σκόλος, σκόλοψ. ἡ γενικὴ τῶν πληθυντικῶν, δολόπων. καὶ ὡς ἥφαιστος ἡφαιστίων, δόλων δολίων, οὕτω δολόπων δολοπίων, ὄνομα κύριον. πρέπει δὲ τὸ ὄνομα ἥρωϊ. καὶ γὰρ δολίωνα ἔγνωμεν οὕτω κληθέντα. οὗ ἐπώνυμοι οἱ κυζικηνοί. καὶ ὁ παρὰ τῷ ποιητῇ κατάσκοπος δόλων. καὶ δολίος ὁ οἰκέτης πηνελόπης. ἀπὸ δὲ τοῦ δόλοπος, καὶ ἐθνικὸν οὕτω

Δόλος, παρὰ τὸ δέω τὸ δεσμῶ. ὁ συνδῶν 〈κληθείη. τοὺς ἁλισκομένους. ὡς τό, Ἀλλ' ἄσφω ἐδόλος καὶ δεσμὸς ἐρύκει. ὅμηρος. ὡς χέω χόλος, καὶ θέω θόλος, οὕτω δέω δόλος. ἢ παρὰ τὸ δηλῶ τὸ βλάπτω, δῆλος. ὁ δηλούμενος καὶ βλάπτων, τροπῇ τοῦ η εἰς ο.

Δόλιος, παρὰ τὸ δόλος. τοῦτο παρὰ τὸ δέλω τὸ δελεάζω. ἐκ δὲ τοῦ δόλιος, γίνεται δολιῶ. ὁ παρατατικός, ἐδολίεον ἐδολίουν. τὸ τρίτον τῶν πληθυντικῶν, ἐδολιοῦσαν. καὶ ὤφειλεν εἶναι ἐδολίεον ἐδολίουν, ὡς ποιέω ἐποίεον ἐποίουν. ἀλλ' οἱ βοιωτοὶ ἐπὶ τῶν μὴ ἐχόντων τὴν μετοχὴν εἰς σ ὀξύτονον, ποιοῦσι τὸ τρίτον, τῷ πρώτῳ ἰσοσύλλαβον. οἷον ἐμάθομεν, ἐμάθοσαν. εἴδομεν, εἴδοσαν. ἐπὶ δὲ τῶν ἐχόντων τὴν μετοχὴν εἰς σ ὀξύτονον, ποιοῦσιν ἔνδειαν καὶ κρᾶσιν. οἷον, ἐκοσμήθημεν, ἐκόσμηθεν. ὡς τό, Αὐτὰρ ἐπεὶ κόσμηθεν. καὶ φυλάσσει τὴν παραλήγουσαν τῆς γενικῆς τῶν μετοχῶν.

Δολομῆτα. ὦ δόλια βουλευόμενε. τὰ εἰς ης βαρύτονα τὸ η παραληγόμενα, καὶ εἰς α τὴν κλητικὴν ἔχοντα, προπερισπῶνται. πεδῆτα. ἀγκυλομῆτα. πλὴν τοῦ

Δόμος, ὁ οἶκος. παρὰ τὸ δέμω τὸ οἰκοδομῶ 〈ἀκάκητα. ὡς νέμω, νόμος. ὁ οἰκοδομητὸς οἶκος.

Δόμεναι. ἔστι δίδωμι. ἡ μετοχή, δοὺς δόντος. καὶ τὸ ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου, δοῦναι. εἰώθασι δὲ οἱ δωριεῖς ἐπὶ τῶν εἰς ναι ἀπαρεμφάτων τοῦ δευτέρου ἀορίστου προτιθέναι τὴν με συλλαβήν. καὶ εἰ μὲν ὦσι δύο φωνήεντα, τὸ ἓν ἀποβάλλειν. οἷον δοῦναι, δόμεναι. θεῖναι, θέμεναι. εἶναι, ἔμεναι. καὶ πλεονασμῷ τοῦ μ, ἔμμεναι. εἰ δὲ ἓν φωνῆεν ᾖ, φυλάσσειν αὐτό. οἷον, στῆναι στήμεναι. βῆναι, βήμεναι.

Δονῶ. ἔστιν ἐνῶ καὶ σημαίνει τὸ κινῶ. πλεονασμῷ τοῦ δ καὶ τροπῇ τοῦ ε εἰς ο, δονῶ τὸ συστρέφω. σημαίνει καὶ

Δόναξ, ὁ κάλαμος. καλ- 〈κινεῖν. σείειν. σκεδαννύειν. λίμαχος. Καὶ δονάκι πλήθοντα λιπὼν ῥόον ἀστερίωνος. παρὰ τὸ δονῶ τὸ στρέφω, δῖνος. καὶ ὡς λίθος λίθαξ, οὕτω δίνω δίναξ. καὶ τροπῇ τοῦ ι εἰς ο, δόναξ. ὡς κλίνω, κλόνος. οἱ γὰρ ταρασσόμενοι, συστρέφονται. ἢ παρὰ τὸ δο-

Δόνακες, κάλαμοι ἁλιευτικοί, ἢ αὐλοί. 〈νεῖσθαι. πρότερον γὰρ ταῖς θύραις ἀντὶ κέρατος ἐχρῶντο καλάμοις. ἢ διό. καλάμοις ἀπὸ τοῦ ἐνδονήσει τὴν φυτείαν ὁρᾶσθαι. οἱ ἐν κινήσει. Σὺμ μάρψας δόνακας, μυρίκης τε ἐριθηλοὺς ὄζους. καὶ αὐλὸν τοῖς καλάμοις ἔχοντα. ἰλιάδος ς. Παρὰ ῥοδανὸν δονακῆα. τὸν καλαμώδη, εὐδιάσειστον. εὐκίνητον. διὰ τοὺς ἐν αὐτῷ πεφυκότας καλάμους.

Δοξοποιΐα, ἡ κενοδοξία.

Δόξα. παρὰ τὸ δέχω δέξω, δέξα καὶ δόξα. ἢ παρὰ τὸ δοκῶ δοκήσω, ἐδόκησα ἔδοκσα. καὶ τροπῇ τοῦ κ καὶ σ εἰς ξ. ἢ παρὰ τὸ δόκω βαρύτονον, δόξω. ἰλιάδος κ, Οὐδ' ἀποδόξης. οὐκ ἀποδοκήσεως καὶ ἐλπισμοῦ. ζήτει εἰς τὰς διαφορὰς εἰς τὸ Δ.

Δόρυ, σημαίνει δύο. τὸ ξύλον, καὶ τὸ ἀκόντιον. καὶ τὸ ξύλον μὲν, ὡς παρὰ ἡσιόδῳ. Ἕκατον δὲ δούρατ᾽ ἁμάξης. καὶ ὅμηρος. Καὶ δὴ δοῦρα σέσηπε νεῶν. καὶ τὸ ἀκόντιον, ὡς τὸ, Ἐϋμμελίης δόρυ θηξάσθω. καὶ πάλιν, Αἷμα κελαινὸν ἐρωήσει περὶ δουρί. εἴρηται ἀπὸ τοῦ δρῦς δρυός, δόρυ. ἐπὶ παντὸς λεγόμενον ξύλου ὑπὸ τῶν παλαιῶν. ὡς μὲν τις δρυμός, καὶ δρύφακτος. ἢ παρὰ τὸ δέρω τὸ λεπίζω. τοῦ γὰρ φλοιοῦ λεπίζεται τὰ ξύλα. ἢ παρὰ τὸ δρύπτω. ἢ ἐκ τοῦ δρῦς. οἱ γὰρ ἀρχαῖοι, ἐκ δρυΐνων κατεσκεύαζον. ἢ ἐκ τοῦ θορῶ, ὃ σημαίνει τὸ πηδῶ θόρυτον, τὸ ἐκ τῆς γῆς ἀνασχών. ὡς ὁ ποιητὴς λέγει περὶ ἐτυμολογῶν αὐτό. Ἐπεὶ οὔπω τοῖον ἀνήλυθεν ἐκ δρυγαίης. ὅμοιοι καὶ τὸ δέρμα, δόρυ.

Δορυξόος, ἐκ τοῦ δόρυ καὶ τοῦ ξέω. οὐδεὶς δὲ λέγει ἑλλήνων δόρυξος. ἀλλὰ δορυξόος. καὶ κατὰ συγκοπὴν, δόρυξος. ἔστι δὲ τόπος ὅπου ξύουσι τὰ δόρατα.

Δορυκτήτην, δοριάλωτον. αἰχμάλωτον.

Δορύκνιον, παρὰ νικάνδρῳ, ἀντιφάρμακον. ἔστι καὶ δορύχνιον. τὸ δορύκνιον τῶν θανασίμων ὑπάρχον πινόμενον. ἔστι δὲ κατὰ τὴν ὀσμὴν καὶ τὴν γεῦσιν, γάλακτι παραπλήσιον. εἰ δέ τις αὐτὸ κλάσειε, γάλακτος ἀποστάζει. ὅθεν δυσδιάκριτον τῷ πίνοντι, διὰ τὸ εἶναι γάλακτι παραπλήσιον. δημοφῶν δὲ ἐτυμολογεῖ αὐτὸ οὕτω κεκλῆσθαι, διὰ τὸ δόρατι ἴσον εἶναι κατὰ τὴν ἀναίρεσιν.

Δορίαλλος, λέγεται καὶ δόριλλος. ἀριστοφάνης. Αἱ γυναῖκες τὸν δορίαλλον φάγωνται. ἔστι δὲ τὸ γυναικεῖον αἰδοῖον ἐφ᾽ ὕβρει τραγῳδοποιοῦ δορίλλου. ἢ παρὰ τὸ δείρειν τὸ τυπτόμενον. ἢ τὸ τιλλόμενον τὰς τρίχας καὶ οἱονεὶ ἐκδερόμενον. οὕτω γὰρ πάλαι ἐψίλουν ὡς δηλοῖ ἀριστοφάνης, Ἡβυλλιῶσαι κατὰ τὶ παρατετιλμέναι.

Δόρπος, ὁ δεῖπνος. ἢ περὶ τὴν ἑσπέραν ἑστίασις. κυρίως ἡ ἑσπερινὴ τροφή. ἀπὸ τῶν δερμάτων. ὅτι ἐπὶ τῶν δερμάτων καθήμενοι, ἐσιτοῦντο. ἢ παρὰ τὸ δρέπεσθαι τοῖς ὀδοῦσιν. ἢ παρὰ τοὺς πόνους δρέπειν. ἢ παρὰ τὸ ἔρπειν ἡμᾶς εἰς τὸ ἰαύειν, ὅ ἐστι κοιμᾶσθαι. οὕτως ὦρος. ἐγὼ δέ φημι ὡς εὗρον σχόλιον παρακείμενον ἐν τῷ β΄ τῆς ἰλιάδος. δόρπος εἴρηται, παρὰ τὸ, οἱονεὶ παύεσθαι τηνικαῦτα λοιπὸν τοὺς πολεμοῦντας τοῦ δόρατος, ὅ ἐστι τοῦ πολέμου, καὶ ἡσυχάζειν. οὐ θαῦμα δὲ εἰ τὸ κοινὸν πάσης τροφῆς ἐπὶ μιᾶς τάττεται. καὶ γὰρ τὸ ποιητικὸν καὶ χειρουργία καὶ μαθήματα, καὶ ἄλλα μυρία ἐστί.

Δορκάς, τὸ τῆς ἐλάφου γέννημα. παρὰ τὸ δέρκω τὸ βλέπω, δερκὰς καὶ δορκάς. ὀξυδερκὲς γὰρ τὸ ζῷον, καὶ εὐόμματον.

Δόρξ, ὄνομα ζώου. ἀφ᾽ οὗ καὶ δορκάς. παρὰ τὸ δέρκω δέρξω. δέρξ. καὶ δόρξ. ὡς σκέπω σκέψω, σκέψ. ὀξυωπές γὰρ τὸ ζῷον.

Δορὰ, δέρμα. κρῆτες δὲ καὶ τὴν δανόν.

Δορίδες, μάχαιραι μαγειρικαὶ εἰς τὸ ἐκδέρειν τὰ θύματα ἐπιτήδειαι.

Δοράζει, κολάζει.

Δορατιζόμενοι, δόρασι μαχόμενοι.

Δοροῖς, κωρύκοις. δέρμασι.

Δορπηστός, ἡ τοῦ δόρπου ὥρα. οὕτω δὲ τὸ καθ᾽ ἡμᾶς δεῖπνον.

Δορυσσόον, ἀνδρεῖον. ἢ δόρατι φοβοῦντα καὶ πανοπλοῦντα(?). σσοῦντα, καὶ ὁρμῶντα.

Δορυφόρον, τὸν φύλακα τῶν τυράννων. καὶ τὸ κωφὸν πρόσωπον.

Δόσκον, ἔδωκεν δεύτερος ἀόριστος παρὰ αἰολεῦσι. καὶ πάντα φέρων ἀγαμέμνονι δόσκον, ἀντὶ ἐδίδουν. Ἰστέον δὲ ὅτι τὰ ἰωνικῶς κλινόμενα ἐπὶ τῆς τρίτης συζυγίας τῶν εἰς μι, καὶ τῶν περισπωμένων διὰ τοῦ ο ἐκφέρονται πρὸ τοῦ σκ. ἐδίδων, ἐδίδοσκον. ἔδων, ἔδοσκον. ἐχεύσσειν, ἐχεύσσκον.

Δοτὸς, ἐκ τοῦ δέδομαι παθητικοῦ παρακειμένου, δέδοται, δοτός. δοτικός, καὶ δοτική.

Δόρει. Ἰστέον ὅτι τὸ σὺν δόρει καὶ σὺν ἀσπίδι παρὰ ἀριστοφάνει γίνεται οὕτως. ὥσπερ ἀπὸ τοῦ γῆρας γίνεται γῆρος, καὶ ἀπὸ τοῦ δέρας δέρος, οὕτω καὶ ἀπὸ τοῦ δόρυ δόρατος, γίνεται δορός. κἀκεῖθεν ἡ δοτικὴ δόρει. ὥσπερ τεῖχος τείχει. τὸ δὲ δουρὶ ἀπὸ τῆς δουρὸς γέγονε δοτικῆς. Δουρὶ δ᾽ ἐπαΐσσων, ἀντὶ τοῦ σὺν δόρατι. ἢ ἐκ τοῦ δρῦς δρυός. ὑπερθέσει, δουρὸς καὶ δουρί. καὶ δουρικλυτὸς, ὁ κατὰ τὴν μάχην κλυτός.

Δοῦρα, δόρατα ξύλα. Ἰστέον ὅτι τὰ γόνυα. καὶ δόρυα γίνεται καθ᾽ ὑπερθέσιν τοῦ υ, γοῦνα, καὶ δοῦρα. ἢ ἀπὸ τοῦ γούνατα καὶ δούρατα. κατὰ ἀποβολὴν τῆς τα, γοῦνα καὶ δοῦρα.

Δουρηνεκὲς, δόρατος βολήν. δόρατος μῆκος, ἀπόστημα ὅσον δόρυ διατεῖναι.

Δουλιχόδειρος, ὁ μακροτράχηλος. παρὰ τὸ δολιχὸν τὸ μακρὸν καὶ τὸ δειρή, δουλιχόδειρος. ἐπειδὴ τὰ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκῶν γενόμενα.

Δοῦλος, παρὰ τὴν δύην, ὃ σημαίνει τὴν κάκωσιν, δύηλός τις ὤν. συγκοπῇ καὶ πλεονασμῷ, δοῦλος. ἢ παρὰ τὸ δέω τὸ δεσμῶ, δέλος καὶ δοῦλος. τοὺς γὰρ αἰχμαλώτους ἐδέσμουν. ἢ παρὰ τὸ δόλος, δοῦλος. ἡρακλῆς δὲ ἐν τῷ περὶ ἠχῆς, καὶ δεῖ, σχηματίζει παρὰ τὸ δέω τὸ ἐλλείπω, δέλος καὶ δοῦλος, ὁ ἐλλείπων τῇ ἀρετῇ, ὡς φησὶν ὁ ποιητής. Ἥμισυ γάρ τ᾽ ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς ἀνέρος, εὖτ᾽ ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσι.

Δούλη, εἶδος τῶν ὑποπεπτωκότων τῷ ὀνόματι πρός τι. ἔχει γὰρ τὴν δέσποιναν. καὶ πόσοι τρόποι τῆς δουλείας, τρεῖς. τὸ κατὰ δημιουργίαν, Ὅτι τὰ σύμπαντα δοῦλα σά. τὸ κατὰ δικαιοσύνην. Ἐπειδὴ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ. λέγεται δουλεία καὶ ἐπὶ τῶν ἀργυρωνήτων. ὡς τὸ, Ἠγόρασα δοῦλον.

Δοῦπος, ὁ κτύπος. ψόφος. οἱονεὶ ὁ δέους ὄπα ἔχων. ἢ ὁ δέος ἐμποιῶν. ὠνοματοπεποίηται δὲ ἡ λέξις. ἐξ οὗ, Δούπησε δὲ πεσών. σημαίνει τὸ ἀποθανεῖν πεσόντα ἐν τῷ πολέμῳ. ἢ χρῆσαι. καὶ, Δεδουπότος οἰδιπόδαο, ἰλιάδος ψ. ἐν πολέμῳ τεθνεῶτος.

Δόχμιος, ὁ πλάγιος. παράγωγον ἀπὸ τοῦ δοχμός. θεόκριτος. Δόχμος ἀπὸ προβολῆς κλινθείς. καὶ ἀποδοχμῶσαι, ἀποκλῖναι. παρὰ τὸ δέχω, δοχμός. ὡς βρέχω, βροχμός. ἵν᾽ ᾖ ὁ εὐχόρητος, καὶ ὃν ἔστιν εὐχερῶς δέξασθαι ἐν ταῖς εἰσόδοις.

Δόχμη, ἡ παλαιστή, ὅ ἐστι τὸ τετραδάκτυλον τῆς χειρός. ἀριστοφάνης. Καὶ πρὶν ἡμέραν φορέσαι, μείζον ἐνδυοῖν δοχμαῖν. παρὰ τὸ δέχω, γίνεται δοχμή. τὸ δὲ κοινὸν μέρος τῆς χειρός. καὶ δι᾽ οὗ δεχόμεθα τὰ διδόμενα. ὡς δράξω δραχμή, ἡ τῶν ὀβολῶν ἐπιληπτίς. καὶ αἴσσω αἰχμή. ἢ παρὰ τὸ δοχμός. ἐπειδὴ πλαγία τῇ χειρὶ μετροῦμεν. ἔστιν οὖν μέτρον τι.

Δοχμιακός, εἶδος μέτρου ἀντιπαστικοῦ. ἔστι δὲ μονόμετρον ὑπερκαταληκτον. οἷ, ἐγώ, δοῦλος ἐσοῖ. ἔστι δὲ εὑρεῖν πεδὺ φοινισσῶν. πολλὰ ἔρυθμα ὅμως, καὶ ἄλλα. ἀτὰρ δὴ καὶ ταῦτα. ἴαμβος, ἰαμβικός. δάκτυλος, δακτυλικός. παίων. ἐπίτριτος. οὗτοι μὲν οὖν ὀρθοὶ εἰσὶ ῥυθμοί. ἐν ἰσότητι γὰρ κεῖνται. ἢ γὰρ μονὰς πρὸς δυάδα. ἢ δυὰς πρὸς τριάδα. ἢ τριὰς πρὸς τριάδα. ἡ τριάς, πλεονεκτεῖ τοι μονάδος. ἐν τῷ δοχμιακῷ, τριάς ἐστι πρὸς πεντάδα, καὶ δυὰς ἡ πλεονεκτοῦσα. οὗτος οὖν ὁ ῥυθμὸς οὐκ ἠδύνατο καλεῖσθαι ὀρθός. ἐκλήθη τοίνυν δοχμιακός, ἐν ᾧ τὸ τῆς ἀνισότητος μεῖζον κατὰ τὴν εὐθεῖαν κρίνεται. καὶ τὸ μέτρον οὖν δοχμιακόν. ὡς ἐμπιπτόντων ἐν αὐτῷ τῶν ὀκτὼ χρόνων:~

ΤΟ ΔΕΛΤΑ ΜΕΤΑ ΤΟΥ Ρ:~

Δρῶ, σημαίνει τέσσαρα. δρῶ τὸ κρατῶ. ἐξ οὗ δράκτυλος καὶ δάκτυλος. δρῶ τὸ ὑπηρετῶ, ἐξ οὗ καὶ δραπέτης ὁ ἀποδρὰς τῆς δουλείας. δρῶ τὸ βλέπω. ἐξ οὗ ὑπόδρα ἰδών. καὶ δρήθω κατ᾽ ἀντίφασιν. οἱ γὰρ κοιμώμενοι, οὐ βλέπουσι. δρῶ τὸ πράττω. ἐξ οὗ καὶ δράμα. ἐκ τοῦ δρῶ, παράγωγον δράσσω. ὁ μέλλων, δράξω. διατί οὐκ ἔχει τὸ σ. εἰ δὲ ἔχει σ ὁ ἐνεστώς, τότε ὁ μέλλων διὰ τοῦ ξ. πλὴν τοῦ πλάσσω, πλάσω. ἱμάσσω, ἱμάσω. ἱμάσσω, ἱμάσω. πάσσω, πάσω. λεύσσω, λεύσω.

Δράγμα. πληθυντικῶς μὲν λέγουσι τὰ δράγματα. σημαίνει δὲ τοὺς στάχυας, ὅσους δύναται ὁ θεριστὴς τῇ ἀριστερᾷ περιλαβεῖν θερίζων. δράγματα τὰ τῶν χειρῶν πληρώματα. παρὰ τὸ δράξασθαι, σημαίνει τὸ λαμβάνειν. καὶ δραχμὴ τὸ πλῆθος τῶν κερμάτων, ἢ τῶν ὀβολῶν.

Δραθεῖν, σημαίνει τὸ κοιμᾶσθαι. καὶ καταδαρθεῖν, τὸ κοιμηθῆναι. καὶ δραθεῖν καθ᾽ ὑπερθέσιν. ὡς καρδία, κραδία. εἴρηται παρὰ τὸ δέρμα. δραθεῖν γὰρ κυρίως λέγεται τὸ ἐπὶ δερμάτων καθευδῆσαι. ἢ παρὰ τὸ δρῶ τὸ ἐνεργῶ. παράγωγον δρήθω, τὸ κοιμῶμαι κατὰ ἀντίφασιν. οἱ γὰρ κοιμώμενοι, οὐδὲν ἐνεργοῦσιν. ὁ μέλλων δρήσω. ὁ δεύτερος ἀόριστος ἔδραθον. ὁ μέλλων δεύτερος, δραθῶ. καὶ τὸ ἀπαρέμφατον, δραθεῖν. καὶ κατὰ διάλυσιν τῆς ει διφθόγγου, γίνεται δραθέειν.

Δράκων, παρὰ τὸ δέρκω τὸ βλέπω. ὀξυδερκὲς γὰρ τὸ ζῷον. ὁ δεύτερος ἀόριστος ἔδρακον, ὡς ἔπραθον, ἐκ τοῦ πέρθω. καὶ ἔτραπον ἐκ τοῦ τρέπω. ἔδαρκον ὤφειλεν εἶναι. ἀλλὰ κανών ἐστιν ὁ λέγων, ἔτι δὲ καὶ ἀπὸ βαρυτόνων θεμάτων. ὅθεν ἔχει τὸ α, κἄνπου τύχῃ τὸ ε σὺν ἀμεταβόλῳ, εἰς α αὐτὸ τρέπει ὁ δεύτερος ἀόριστος. καὶ ὅμηρος, Ἐσέδρακον ἄντην. καὶ οὐ δ᾽ ἂν νῶϊ διαδράκοι ἥλιος, ἀντὶ τοῦ ἴδοι.

Δρακίος, ὄνομα κύριον. ἀπὸ τοῦ δράσσω, ἵν᾽ ᾖ ὁ δραττόμενος. ὁ ἰσχυρός. ἢ παρὰ τὸ δρῶ τὸ πράττω, ἵν᾽ ᾖ ὁ πρακτικός.

Δρᾶμα, ποίημα. πρᾶγμα. παρὰ τὸ δρῶ τὸ ἐνεργῶ. ἀφ᾽ οὗ καὶ δρᾶσαι τὸ πρᾶξαι. ὁ παθητικὸς παρακείμενος, δέδραμαι. ἐξ αὐτοῦ δρᾶμα. λέγεται δὲ δράματα καὶ τὰ ὑπὸ τῶν θεατρικῶν μιμητικῶς γινόμενα, ὡς ἐν ὑποκρίσει. ὥς φησιν ἀριστοφάνης. ἐπειδὴ ἐν ἱερῷ ἡρακλέους δειπνοῦντες ἐγίνοντο χορός. καὶ τὰ ἐκ συσκευῆς δὲ καὶ κακουργίας δρώμενα κατά τινος ὑπό τινων δράματα.

Δρᾶναι, οἶμαι ἀπὸ τοῦ δρημι ἔδρην, τὸ ἀπαρέμφατον, δρᾶναι. κάλλιον οὖν ἀπὸ τοῦ δραίνω δρανῶ ἔδρανα δρᾶναι. ἔστιν ἰλιάδος κ. καὶ δρᾶνειν. ἰσχύειν. δύνασθαι.

Δρὰξ, σημαίνει ἴσον τῇ χειρὶ οἷόν τε δράξασθαι καὶ περιλαβεῖν. παρὰ τὸν δράξω μέλλοντα, δράξ. ὡς θήσω, θής.

Δράξων, ἡ λεγομένη σικελική. ἢ οἱ δὲ τοὺς κατὰ τὴν ἀγορὰν τῶν ἀλφίτων ἢ τοὺς ἄλλων τινῶν δραττομένους καὶ ἁρπάζοντας. οὕτως ἐρατοσθένης κατὰ πάδαλους(?) καλεῖ. παρὰ οὖν τὸ δράττεσθαι. εἰς τὸ διονύσους εὗρον ἐγὼ δράξων, σημαίνειν πορνοβοσκόν.

Δρέμω, ὁ μέλλων δραμῶ. ὁ δεύτερος ἀόριστος ἔδραμον. καὶ τὸ ἀπαρέμφατον δραμεῖν. τὸ ῥῆμα, δέρμω. ὁ δεύτερος ἀόριστος, ἔδαρμον. καὶ ὑπερθέσει, ἔδραμον. ὁ δεύτερος μέλλων, δραμῶ.

Δραπέτης, ὁ φυγάς. παρὰ τὸ δρῶ τὸ ὑπηρετῶ. καὶ ἀποδρῶ, τὸ ἀποφεύγω. ὅθεν καὶ ἀπέδρα. ὁ μέλλων, δράσω. καὶ μετὰ τοῦ πέτω σημαίνει τὸ ἀφίπταμαι, γέγονε δραπέτης. ὁ ἀποπτὰς καὶ ἀποστὰς τῆς ὑπηρεσίας. ἢ ὁ τὸ δρᾶν, ἤγουν τὸ πράττειν πεπτευκώς(?). τουτέστιν ἐκ

Δραπετίνδα, ὄνομα παιδιᾶς. ἔστι δὲ τῆς κλινομυίνδα καλουμένης τρόπος. εἴρηται δὲ παρὰ τὸ τῶν παίδων ὁ μὲν τις μύει τοὺς ὀφθαλμοὺς βοῶν, τηροῦ. φυλάττου. οἱ δὲ ἀποφεύγουσι φυλασσόμενοι τοῦ ἀγρευθῆναι. εἴρηται παρὰ τὸ δραπετεύειν καὶ φεύγειν τοὺς παίζοντας αὐτήν.

Δραστηρὸν, ὀνομαστικῶς κατ᾽ ἐπιβολήν. δραστῆρας, μαγείρους. διακόνοις.

Δραπέται, δύναται.

Δρήστειραι, διάκονοι. θεράπαιναι.

Δρῆσται. δρηστῆρες, οἱ ὑπουργοῦντες καὶ διακονοῦντες.

Δρησμοσύνη, θεραπείαν. ὑπηρεσίαν.

Δράσις, σημαίνει τὴν πρᾶξιν καὶ τὴν ὅρασιν. παρὰ τὸ δρῶ, τὸ πράττω καὶ τὸ βλέπω. τὸ δρὰ καὶ δρὰξ καὶ ὑπόδρα καὶ ὑπόδραξ. καὶ δρακτοὶ, οἱ ὀφθαλμοί. καὶ δραπέτης, ὁ περιβλεπόμενος μὴ ἁλῷ. δρῶ δράσω οὖν, δράσις. ὡς πράξω, πρᾶξις. παρὰ τὸ δρῶ τὸ ὁρῶ, ἀφ' οὗ καὶ δράσις ἡ βλέψις, δέδραται. δρακτὸς καὶ δρακτοὶ, οἱ ὀφθαλμοί.

Δρατά. Περὶ δὲ δρατὰ σώματα νήει. ἐπεσώρευε δὲ τὰ ἐκδεδαρμένα σώματα τῶν ἀνῃρημένων ἀνδρῶν. Ἰλιάδος ψ. ὡς φθείρω φθαρτὸς φθαρτὴ φθαρτά, οὕτω δείρω τὸ ἐκδέρω. δαρτός. δαρτά. καὶ καθ' ὑπέρθεσιν, δρατά, καὶ κατὰ μετάθεσιν. ὡς ὀφιόσπαρτον, ὀφιόσπρατον.

Δραύκαλος. Σοφοκλῆς Τυμπανισταῖς. ἐπεὶ ἡ Ἀθηνᾶ δοκεῖ περὶ αὐλαῖς αὐλίσαι τὸν δράκοντα ταῖς Κέκροπος θυγατράσιν. ὅτι συναυλίζονται κατὰ τὸ ἦθος Κεκρόπειόν τι δεῖ φυλάττειν. ὅτι συναυλίζεται μετὰ τῶν ἐν τῇ ἀκροπόλει δράκοντι προσεδρεύουσα τῇ θεῷ.

Δραχμή, σταθμὸς ὡρισμένος, ἢ τὸ συνάθροισμα τῶν ἓξ ὀβολῶν. παρὰ τὸ δέδραχμαι. δραχμή. τὸ παλαιὸν γὰρ τῶν ἀνθρώπων ὀβολοῖς κεχρημένων ἀντὶ νομίσματος, οἷς τῇ χειρὶ δραξαμένοις δυνατὸν ἦν περιλαβεῖν, τούτοις δραχμὴν ἐκάλουν, παρὰ τὸ δράξασθαι. αἱ δὲ ἑκατὸν δραχμαί, ποιοῦσι μνᾶν μίαν. εἰς τὸ ἐρεγμός. καὶ εἰς τὸ ἀρχόμενος περὶ τοῦ χωρὶς γ.

Δρεπτὸν, διηνεκῶς ἀπολαυστικόν. γυμναστικόν. καὶ ὅπως ὅτε ἁρπαστόν. Καὶ τὸ δρεπτὸν σκευώρηται παρὰ σοῦ φίλημα.

Δρέπειν, γυμνοῦν. τέμνειν. καὶ δρεπεῖς, οἱ γυμνηταί.

Δρεπάνη, ἡ Φαιακία. διὰ τὸ ἐκεῖ κεκρύφθαι τὸ δρέπανον ᾧ ὁ Κρόνος τὸν πατέρα τῶν αἰδοίων ἐξέκοψεν. ἢ ὅτι τὸ παρὰ Ἡφαίστου Δήμητρι δοθὲν, ἵνα τοὺς Τιτᾶνας διδάξῃ θερίζειν.

Δρέπανον, χώρα τῆς Σικελίας. εἴρηται ἀπὸ τοῦ ἐκεῖ κεῖσθαι τὸ δρέπανον, ᾧ ἀπέτεμε τὰ αἰδοῖα τοῦ οὐρανοῦ ὁ Κρόνος. ἢ ἀπὸ τοῦ σχήματος. δρεπανοειδὴς γὰρ ὁ τόπος. δρέπανον δὲ χώρα Βιθυνίας πρὸς τῷ Βοσπόρῳ κειμένη.

Δρῆσσος, ὄνομα κύριον. παρὰ τὸ δράσω μέλλοντα, δράσος, καὶ δρῆσσος κατὰ τροπήν. ὡς κτίσω, κτίσσος, καὶ ἑρήσω, ἕρησσος, καὶ εἴσω ἴσσος, κύριον.

Δρία, ἡ ὁδός. Ἀνὰ δρία βησσήεντα φεῦγε. οὐκ ἀπὸ τοῦ δρίεα κατὰ συγκοπήν. ἀλλ' ὥσπερ ἀπὸ τοῦ θύος γίνεται θύον, καὶ μέγαρος μέγαρον, οὕτω δρίος δρίον. καὶ ὡς μύρον μύρα, οὕτω δρίον δρία. ἀνὰ τοὺς συνδένδρους τόπους.

Δριμύς, παρὰ τὸ τὰς ῥῖνας μύειν. ἢ παρὰ τὸ δόρυ καὶ τὸ μένος.

Δρίφος. δρίφος Συρακούσιοι. φέρω τὸ δρίφον. δίφορος γὰρ καὶ δρίφος.

Δρόσος, κατὰ παράλειψιν τοῦ ι. οἷον, ἢ παρὰ τοῦ Διὸς σου μένη διοσσός τις οὖσα. καὶ πλεονασμῷ τοῦ ρ, δρόσος. ἢ παρὰ τὸ ὕω τὸ βρέχω, ὕσος. καὶ τροπῇ τοῦ υ εἰς ο, καὶ πλεονασμῷ τῶν συμφώνων, δρόσος. δροσίζω, καὶ δροσῶ, δροσίσω. καὶ ὁ παθητικὸς ἐνεστώς, δροσούμενοι. ἢ παρὰ τὸ ῥέω ῥόσος, καὶ δρόσος. ἢ παρὰ τὸ δρῶ τὸ πράττω, καὶ τὸ σῶος. ἡ σώους δρῶσα τοὺς καρπούς.

Δροίτη, ἡ πύελος. ὁ δὲ Αἰτωλός φησι τὴν σκάφην, ἐν ᾗ τίθενται τὰ βρέφη. Παρθένιος δὲ τὴν σορόν. καὶ Αἰσχύλος. καὶ ἔστι παρὰ τὸ δόρυ καὶ τὴν οἴτην, τὴν θανάτην. τὸ δόρυ τὸ εἰς θάνατον ἐπιτήδειον. ἢ ἐκ δρυὸς εἰς οἴτην πεποιημένη. καὶ εἰς τὸ δέχεσθαι τὸ σκῆνος. κατὰ τὴν ἑρμηνείαν οὖν, διὰ τοῦ υ γράφεται. παρὰ τὴν δρῦν τὴν ξυλίνην. καὶ ἴσως ὅτε μὲν σημαίνει τὴν πύελον, διὰ τοῦ υ. ὅτε δὲ τὴν σορόν, διὰ τῆς οι.

Δρωπακίζεσθαι, ταὐτόν ἐστι τῷ πιττοῦσθαι. ἄμφω δὲ τὸ τὰς τρίχας τοῦ παντὸς σώματος μαδᾶν χρίσμασι.

Δρυαχαρνεῦ, δρύϊνε ἀχαρνεῦ ἀναίσθητε. ἐκωμῳδοῦντο γὰρ οἱ Ἀχαρνεῖς, ὡς ἄγριοι καὶ σκληροί. πολέμιοι δὲ, ὡς ῥαδίως δεχόμενοι τοὺς περιγράφους. Θυτάδαι καὶ Προσπάλτιοι, ὡς δικαστικοί.

Δρύϊνος, ξύλινος. ὡς ἄν τις εἴποι λίθινος. πᾶν γὰρ ξύλον δρῦς καλεῖται παρὰ τοῖς παλαιοῖς. καὶ δρυμὼν, ὁ σύνδενδρος τόπος ἀπὸ τῶν δρυῶν. οὕτω γὰρ ἐκάλουν πᾶν δένδρον. καταχρηστικῶς δὲ, καὶ ἀκρόδρυα οὐ μόνον βαλάνους, ἀλλὰ παντὸς φυτοῦ καρπὸν ἐδώδιμον. καὶ γεράνδρυα, πάντα τὰ παλαιὰ φυτά. δρῦν γὰρ ἐκάλουν πᾶν δένδρον ἀπὸ τοῦ ἀρχαιοτέρου. καὶ δρυτόμος, ὑλοτόμος. ξυλοτόμος. τὸ δὲ δρῦς, τῆς μὲν εὐθείας, μακρὸν ἔχει τὸ υ. τῆς δὲ τῆς ἄλλης κλίσεως, βραχύ. ὁμοίως καὶ τὸ ἰχθύς. καὶ τὸ σῦς συός. ὗς, ὑός.

Δρύοψ, ὄνομα ἐθνικόν. τοὺς Δρύοπας ὑπὸ τὴν Παρνασσὸν οἰκοῦντας, μετέστησεν Ἡρακλῆς εἰς Πελοπόννησον. καλοῦνται δὲ ἀπὸ Δρύοπος υἱοῦ Ἀπόλλωνος καὶ Δίας τῆς Λυκάονος.

Δρυόχους, τοὺς πελέκους. οἱ μὲν, κρίνους ἀκούουσι τινὰς μεγάλους ἐπ' ὀβελίσκων κειμένους, οὓς καταπήγνυσθαι εἰς τὴν γῆν, ὥστε δι' αὐτῶν τρέχειν. οἱ δὲ, μολιβὰς τὰς θέσεις αὐτῶν κάτωθεν. ἔπειτα τὸν κύκλον ἄνω ἐπικεῖσθαι. ἄμεινον δὲ ἀκούειν δρυόχους, ξύλα ὀρθὰ, ἐφ' ὧν ἡ τρόπις ἐρείδεται τῆς πηγνυμένης νεώς, ἤγουν στηρίγματα. καλοῦνται δὲ αὗται καὶ ἐπιγκενίδες.

Δρυφάκτοις, ξυλίνοις θώραξι. ἢ τοῖς νῦν καλουμένοις καγκέλοις. τὰ διαφράγματα ἢ περιτειχίσματα. εἴρηται δὲ κυρίως πάντα τὰ ἀπὸ ξύλων γινόμενα. δρύφακτος ἴσως ὢν ὁ ἐκ δρυῶν φραγμός. πάλαι γὰρ τὰ πάντα ξύλα δρύας ἐκάλουν καὶ δρυμόν. ἢ παρὰ τὴν δρῦν καὶ τὸ πακτῶσαι, ὅ ἐστι πῆξαι, δρύπακτος καὶ δρύφακτος.

Δρύπτω, τὸ σπαράττω. Ὅμηρος. Δρυψάμενοι δ' ὀνύχεσι παρειάς. παρὰ τὰς δρῦς. τὸ γὰρ παλαιὸν ἁρπάζοντες τὰς βαλάνους περιπαίοντες ἀλλήλοις ἐσπάραττον. ἀπὸ δὲ τούτου, δρυμάσσω ῥῆμα τὸ σπαράττω. ἢ ἀπὸ τῶν περιλεπιζομένων δρυῶν εἴρηται.

Δρύψελλον, τὸ λέμμα. ὁ φλοιός. Παρθένιος. Οὐδὲ πόροι ῥίζης δρύψελλα ποντιάδος. παρὰ τὸ δρύψαι, ὅ ἐστι λεπίσαι. ὁ ἀποδρυπτόμενος φλοιός. καταχρηστικῶς δὲ καὶ φύλλον δρύψελλον. ἀπὸ τοῦ σελίνου ὁ Παρθένιος.

Δρύφακτοι, αἱ τῶν δικαστηρίων θύραι, ἤγουν τὰ κάγκελλα.

Δοίδυξ, ὁ καλούμενος ἀλοτρίβανος. παρὰ τὸ δαδύσσω τὸ ταράσσω. ὁ μέλλων, δαδύξω. ἀποβολῇ τοῦ ω, δάδυξ. καὶ τροπῇ τοῦ α εἰς ο, καὶ πλεονασμῷ τοῦ ι, δοίδυξ. τὰ εἰς υξ ἅπαντα, διὰ τοῦ υ ψιλοῦ γράφονται. πλὴν τοῦ προῖξ.

Δοῖεν, ἐκ τοῦ δίδωμι ἐδίδων. ὁ δεύτερος ἀόριστος, ἔδων. δούς, δόντος. τὸ εὐκτικὸν, δοίην. τὸ πληθυντικὸν, δοίημεν. καὶ συγκοπῇ, δοῖμεν. καὶ δοῖεν τὸ τρίτον.

Δοιάντειον πεδίον νέμονται, ἀπὸ τοῦ Δοίαντος ἥρωος.

Δοιώ, ὄνομα. ἡ εὐθεῖα τῶν ἑνικῶν, δοιός. οἱ γὰρ Δωριεῖς τὴν ἐν τοῖς ῥήμασιν ἀναλογίαν φυλάττουσι. καὶ ἐν τοῖς ὀνόμασι πλεονάζουσι τὸ ι. γίνεται δὲ ἐκ τοῦ δέω τὸ δεσμεύω, δός. καὶ πλεονασμῷ τοῦ ι, δοιός. ἡ γενικὴ, δοιοῦ. ἡ εὐθεῖα τῶν δυϊκῶν, δοιώ. ἢ ἐκ τοῦ δύο διὰ τοῦ υ ψιλοῦ, γίνεται κατὰ διάλεκτον. πλεονασμῷ τοῦ ο, καὶ τροπῇ τοῦ υ εἰς ι. ἐκ δὲ τοῦ δοιός, γίνεται δοιή, καὶ δοιαί. Ἰλιάδος ι. Ἐν δοιῇ δὲ σαωσέμεν, ἢ ἀπολέσθαι. τουτέστιν ἐν δισταγμῷ. ἐν διχοστασίᾳ. περισπᾶται. δοτικὴ γάρ. ἀκολουθεῖ εὐθείᾳ τῇ δοιός.

Δύω, παρὰ τὸ συνδέεσθαι ἑτέρῳ ἀριθμῷ. γράφεται καὶ ψιλῷ καὶ διφθόγγῳ. ὅτε μὲν βαρύνεται, γράφεται διὰ τοῦ υ ψιλοῦ. ὅτε δὲ ὀξύνεται, διὰ τῆς οι διφθόγγου. Αὐτὰρ ὁ δοῦρε δύω. ὧδε γὰρ διὰ τὸ μέτρον μέγα. κοινῶς μὲν γὰρ διὰ τοῦ ο μικροῦ. ἀττικῶς δὲ διὰ τοῦ ω μεγάλου. καὶ πολύ ἐστιν ἀναλογώτερον, τὸ διὰ τοῦ ω μεγάλου. ἐμάθομεν γὰρ ὅτι τρία ἐστὶ στοιχεῖα τελικὰ τῶν δυϊκῶν. α. ε. ω.

Δυάζειν, τὸ διστάζειν. παρὰ τὸ ἐν δύο στάσεσιν εἶναι. ἢ παρὰ τὸ δεδέσθαι τὴν ψυχὴν, καὶ μὴ δὲ πρὸς ἑτέραν τρέπεσθαι γνώμην.

Δοιάζω. παρὰ τὸ δοιός, δοιάζω, ὡς ἵππος ἱππάζω.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Υ

Δυοῖν. ὥσπερ ἀπὸ τοῦ ἄμφω γίνεται ἀμφοῖν, οὕτω καὶ ἀπὸ τοῦ δύο δυοῖν. λέγεται καὶ δυεῖν, τροπῇ τοῦ ο εἰς ε.

Δυάς, παρὰ τὸ δύω τὸ δεσμῶ. ἵν' ᾖ ὁ ἐκ συνδέσεως πρῶτος ἀριθμός. πρὸς ἀντιδιαστολὴν τῆς μονάδος. ἢ παρὰ τὸ συνδέεσθαι ἄλλῳ ἀριθμῷ τῷ ἑνί. τὸ γὰρ ἓν ἀπολελυμένον ἐστὶ, παρὰ τὴν ἕσιν καὶ τὴν ἄφεσιν. ἢ παρὰ τὸ διίσταμαι. μόνη γὰρ πρώτη ἡ δυὰς διΐσταται ἀπὸ τῆς μονάδος. ὅθεν οἱ Πυθαγόρειοι, τόλμαν αὐτὴν εἶπον. ἢ παρὰ τὸ δύο, δυάς.

Δυϊκὸς ἀριθμός, οὐ μόνον ὅτι περὶ δυοῖν λέγεται, ἀλλὰ καὶ διὰ τὸ ἑκάστην πτῶσιν δύο πτώσεις ἔχειν.

Δῦ δὲ χιτῶνα. τὸ δῦ, μακρόν. ἔστι γὰρ δεύτερος ἀόριστος τῶν εἰς μι. ἔδυν. ἔδυς. ἔδυ, δῦ.

Δύω, τὸ ἐνδύσασθαι ἱμάτιον. ἀπὸ τοῦ δέω τὸ δεσμῶ. ὡς χέω χύω. καὶ συνθέσει, ἐνδύω καὶ ἔκδυσις. δοκεῖ γὰρ δεδέσθαι τῇ ἐσθῆτι. ἀπὸ δὲ τοῦ δύω, γίνεται δῦμι τετάρτης συζυγίας τῶν εἰς μι. ἡ δὲ τετάρτη ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων. οἷον δύω δῦμι. ἡ μετοχὴ, δύς. καὶ τὸ ἀπαρέμφατον δῦναι, ὡς φὰς φάναι. καὶ δύμεναι ἀόριστος δεύτερος καὶ μέλλων. ἀπὸ τοῦ δῦμι.

Δύσεαι. Εἰ μὴ σύ γε δύσεαι ἀλκήν. Ἰλιάδος ι. εἰ μὴ ἀναλάβῃς τὴν δύναμίν σου καὶ κατέλθῃς ἐν τῷ πολέμῳ βοηθήσων.

Δύσετο τ' ἠέλιος. ἔχρην δείλετο. εἰς δείλην ἐγένετο. ἡμέρα γὰρ ἦν ἔτι. δύω, δύσω. καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα. δύσω, δύσομαι. ἐδυσάμην.

Δυσμή. ὡς παρὰ τὸ δέω δεσμός, οὕτω καὶ δύω δυσμή. ὅτε συνδεῖται τῷ φωτὶ τὸ σκότος καὶ συνάπτεται. παρὰ τὸ δύω, ἢ δῦμι. ὁ παρακείμενος, δέδυκα. ὁ παθητικός, δέδυσμαι. καὶ ὄνομα ῥηματικὸν, δυσμή. καὶ δυσμαὶ δυσμῶν, ὅπου ὑπέρχεται καὶ ὑποδύνει ὁ ἥλιος.

Δύσις, ὁ πρὸς ἀνατολήν, παρὰ τὸ δύω εἴρηται τὸν ἀριθμόν, καὶ τὸ φῶς. παρὰ τὸ σκότει συνδυάζεσθαι.

Δύναμις, ἡ ἰσχύς. ἢ παρὰ τὸ δαμνύω, ἢ παρὰ τὸ δύνω. ἡ δύνουσα καὶ πράττουσα καὶ διαιροῦσα τὸ ἀνθιστάμενον.

Δυνάστης, ἀπὸ τοῦ δυνάζω. ὁ μέλλων, δυνάσω. δεδύνακα. δεδύνασμαι. δεδύνασαι. δεδύνασται.

Δυνήσεται, ἀπὸ τοῦ δύνω δυνῶ δύνημι, δυνήσομαι δυνήσεται.

Δύνωνται, ἀπὸ τοῦ δύνημι. οὐ τὸ παθητικὸν, δύναμαι. τὸ ὑποτακτικὸν, ἐὰν δύνωμαι. καὶ ὤφειλεν εἶναι ἐὰν δυνῶμαι ὡς τιθῶμαι. ἀλλὰ κανών ἐστιν ὁ λέγων, ὅτι ἡνίκα εὑρεθῇ ὁ ἐνεστὼς τῶν εἰς μι ἐν χρήσει, τότε προπερισπᾶται τὰ ὑποτακτικά. οἷον τίθημι, ἐὰν τιθῶμαι. ἵστημι, ἐὰν ἱστῶμαι. ἡνίκα δὲ οὐχ εὑρίσκεται ἐν χρήσει, τότε προπαροξύνεται. οἷον δύνημι, ἐὰν δύνωμαι. τὸ γὰρ δύνημι, ἐν χρήσει οὐχ εὑρίσκεται. καὶ τὸ πληθυντικὸν, δύνωνται.

Δύνασαι. Ἰστέον ὅτι τὰ ἔχοντα τὴν ἐνεργητικὴν μετοχὴν εἰς ς ὀξύτονον, τροπῇ τοῦ κατὰ τὸ τρίτον τοῦ εἰς ς, ποιεῖ τὸ β. οἷον πεποίηται, πεποίησαι. ὁ γὰρ πεποιηκώς. οὕτως οὖν δύναται δύνασαι, ὁ γὰρ δυνάς. καὶ ἐπίστασαι, ὁ γὰρ ἐπιστάς. ἀπὸ τοῦ δύνημι καὶ ἐπίστημι, δύναμαι καὶ ἐπίσταμαι. τὸ δὲ δύνῃ καὶ ἐπίστῃ, κατὰ πάθος εἰσὶν ἀπὸ τοῦ δύνασαι καὶ ἐπίστασαι. ἰωνικῶς, δύνεαι καὶ ἐπίστεαι. καὶ κράσει τοῦ ε καὶ α εἰς η, δύνῃ καὶ ἐπίστῃ. Χοιροβοσκός.

Δυσί. Ἰστέον ὅτι τῶν ἀριθμῶν ὅσοι μὲν ἐν μιᾷ φωνῇ τὰ τρία γένη δηλοῦσιν, οὐ κλίνονται. τὰ γὰρ ἀθρα μόνα διαλαμβάνει. ἐπεὶ τὸ ἀριθμητικὸν πάντα χοῦ τὴν αὐτὴν φωνὴν ἐφύλαξεν. ἄτρα οὖν τὰ δύο ἐν μιᾷ φωνῇ τὰ τρία γένη δηλοῖ, οἱ δύο γὰρ καὶ αἱ δύο καὶ τὰ δύο, δηλονότι οὐκ ὤφειλε κλίνεσθαι τοῖς δυσίν. ἔστι δὲ εἰπεῖν, ὅτι πολλάκις αἰτιατικῇ κλίνουσι ταῦτα, ὡς παρὰ ἀλκαίῳ. εἰς τὴν δυοκαίδεκα, ἀντὶ τοῦ δυοκαίδεκα. καὶ πάλιν καλλίμαχος ἐν τοῖς ἐλεγείοις. Ἐκ δὲ τριηκόντων μοῖραν ἀφεῖλεν μίαν ἐκ τοῦ τριηκοντος, ἀντὶ τοῦ ἐκ τῶν τριάκοντα. καὶ αὐτὸ δὲ τὸ δύο εὑρίσκεται κλινόμενον. καὶ παρὰ τὸ δύο δυσὶν ἀντιφέρεσθαι, ὡς παρὰ θεοκρίτῳ. οὐ χρὴ μόνον κεῖται, ἀλλ' ὅτε μὲν δυσίν, ὅτε δὲ πλείοσι. τῇ οὖν χρήσει ἐπακολουθῶν, κλίνεται τὸ δυσί.

Δύη, ἡ κακοπάθεια. οἷον, Δύη ἔχει ἤλιθα πολλή. ἀπὸ τοῦ δῶ τὸ δεσμεύω. ὅθεν, Συνδεῖτε ταχέως τουτονὶ τὸν κυνοκλόπον. οὐ παρά γωγον, δέω. ἀφ' οὗ, Πῶς ἂν ἐγὼ σε δέοιμι. ὁ δυαστείας θ. ἀντὶ δεσμεύοιμι. κρατοίμι. καὶ δεμὸς καὶ δεσμός. ὡς θέω, θεσμός. ἀπὸ τοῦ δέω οὖν, γίνεται δύω. ὡς ῥέω ῥύω, ῥύσις. καὶ χέω χύω χύσις. δύω οὖν δύη, ἡ συνδεδεμένη τῷ πάσχοντι. ἢ ἥτινι συνδέδεταί τις δυστυχία κακοπαθῶν. ἢ λύη τις οὖσα, ἡ λύουσα τὰ μέλη. ὅθεν καὶ δύηλος ὁ δυστυχὴς καὶ κακῶς πάσχων, δύηλός τις ὤν.

ἄνευ πόνου καὶ δυσπαθείας. κακοπαθείας.

Δυστυχίας.

Δύμη, ἡ πόλις τῆς ἀχαΐας. λυκόφρων.

Δύμη τε βουρέοισιν ἡγεμὼν ὄχλου. λέγεται καὶ δυμαῖοι καὶ δυμαῖαι, ὅτι πρὸς δυσμὰς τῆς ἀχαΐας κεῖται. δυσμηνὴς οὖσα καὶ δύμη. ἢ ἀπὸ δύμης ἡρωΐδος.

Δύμας, ὄνομα κύριον. ἀπὸ τοῦ δύω τὸ δεσμῶ, δύμας. Υἱὸς δὲ δύμαντος.

Δύπτης. Δύπται λέγονται αἴθυιαι, καὶ ὁ δύπτης. καλλίμαχος. Δύπται τ' ἐξ ἁλὸς ἐρχόμενοι ἐν δίοι καὶ ὧν ἦκες. παρὰ τὸ δύπτω, δύπτης. ὡς ὄπτω ὄπτης, καὶ ἐπόπτης. Δύναται δὲ λέγεσθαι καὶ δύπτης ὁ κολυμβητής. παρὰ τὸ δύνειν ἑαυτὸν εἰς τὴν θάλασσαν.

Δύρεσθαι, ἀντὶ τοῦ ὀδύρεσθαι.

Δυῤῥάχιον, πόλις ἠπείρου ἡ ὕστερον κληθεῖσα ἐπίδαμνος. νῦν δὲ δυῤῥάχιον. ὅτι κατὰ τὸν τόπον προεχούσης ἄκρας γεωλόφου, τὸ κῦμα προσπίπτον καὶ σχιζόμενον, ῥαχίαν ποιεῖ μεγάλην. ὅθεν διὰ τὴν ῥαχίαν καὶ δύσορμον, Δυῤῥάχιον ὠνόμασαν τὸν τόπον.

Δυσαής, ὁ ἄνεμος. Ἀνέμοιο δυσαέος ὀρνυμένοιο. παρὰ τὸ ἄω τὸ πνέω καὶ δυσ. ὁ κακῶς πνέων. τὸ γὰρ δυσαήων, ἔκτασιν ἔχει τοῦ ε, εἰς τὸ η. τινὲς δὲ τοῦ ζεφύρου ἐπίθετον φασὶ τοῦ ἀπὸ δύσεως ἄοντος, ὅτι δυτικὸς ἐκ ζόφου ῥέει.

Δυσάμμορος, παρὰ τὸ μόρος δύσμορος. καὶ πάλιν παρὰ τὸ μόρος, ἄμμορος. τοῦ α ἀντὶ τοῦ κακοῦ κειμένου. καὶ κατὰ ἀλληλοπάλληλον σύνθεσιν, δυσάμμορος. ὡς ἥλικες, ὁμήλικες, καὶ συνομήλικες.

Δυσαριστοτοκία, ἰλιάδος σ. ἐπὶ κακῷ τὸν ἄριστον τετοκυῖα. ὡς ἄν τις εἴποι ἐπὶ δυστυχεστάτῃ εὐτεκνίᾳ.

Δυσαλθές, τὸ δυσίατον. οὐδετέρως. τὸ ἀρσενικόν, δυσαλθής. ἐκ τοῦ δυσ καὶ τοῦ ἄλθω τὸ θεραπεύω.

Δυσβήρης, ὁ δύσβατος. παρὰ τὸ δύσβατος, δυσβατήρης. καὶ ἐν συγκοπῇ.

Δυσβάρνακος, δυσκατανόητος. βάρνακα γὰρ ἄγρια λάχανα δύσπλυτα.

Δυσγάργαλις, δυσυπότακτος. γαργαλίζειν γὰρ, τὸ εἰς γέλωτα ἄγειν καὶ πείθειν.

Δυσερμία, ἡ δυστυχία. ἡ κακὴ ἐπιτυχία. εὐερμίαν γὰρ τὴν ἐπιτυχίαν καλοῦσιν, ἀπὸ τοῦ τὸν ἑρμῆν εἰς πολλὰ παρακαλεῖσθαι βιωφελῆ.

Δύσεριν, φιλόνεικον. ἢ παρὰ τὸ δυσ μόριον, καὶ τὴν ἔριν.

Δυσηχής. Καὶ πολέμοιο δυσηχέος. παρὰ τὸ λυπηρὸν ἦχον τὸν ἐν τῷ πολέμῳ γινόμενον.

Δυσηλεγής, καὶ ταναηλεγής, ἐπὶ τοῦ θανάτου λέγεται ὁ μακρονόσημος. ἀπὸ τοῦ λέγω τὸ κοιμῶμαι. οἷον, Λέξον νῦν μετὰ χεῖρα. ἢ παρὰ τὸ ἔλεγον τὸν θρῆνον. ἵν' ᾖ ὁ χαλεποὺς θρήνους περιποιῶν.

Δυσηνίους, δυσπειθεῖς. ἀνυποτάκτους. δυσαγώγους. δυσμεταχείρους. ἐκ μεταφορᾶς τῶν ἵππων. ἡνία γὰρ τὰ λῶρα.

Δύσκολος, ὁ δυσάρεστος. παρὰ τὸ κελλῶ. ὁ δυσχερῶς τινι ἑνούμενος. ἀπὸ τῆς συνδεούσης καὶ ἑνούσης κόλλης. οὐκ εὔθετος. ἄγριος.

Δυσκέλαδος, δύσηχος.

Δυσκλέα, ἄδοξον.

Δυσμενής. παρὰ τὸ μένω γίνεται δυσμενής, δυσμενοῦς. καὶ ἀπὸ τούτου δυσμεναίνω. τὸ ἀπεχθῶς διάκειμαι. εὐριπίδης. Σχέτλια τιμαίνομαι, καὶ δυσμεναίνω τοῖσιν βουλεύουσιν εὖ. τοῦτο τὸ ὄνομα ἐστὶ σύνθετον ἐκ τοῦ δυσ. καὶ ἄδηλον εἴτε παρὰ ῥῆμα γέγονεν, ἢ παρ' ὄνομα οὐδέτερον. ἀκόλουθον μέντοι ἀμφοτέροις τοῖς σχήμασιν ἔχειν τὴν τάσιν. εἴτε γὰρ ἀπὸ τοῦ μένω ὀξυτονουμένου. ὡς σπείρω πολυσπερής. ἄρδω, νεαρδής. εἴτε παρ' ὄνομα οὐδέτερον κατὰ λόγον ὠξύνθη. ὡς γὰρ παρὰ τὸ κρατῶ, γίνεται παγκρατής, ἄγος εὐαγής, οὕτω παρὰ τὸ μένω, δυσμενής. ἡ γενικὴ δυσμενέος.

Δύσπαρι, ἐπὶ κακῷ ὀνομασμένε, οἷον ζήσας ὡς πάρις. δυσώνυμε. καὶ δυσπάριτον χωρίον, τὸ ἄβατον. οὕτω ξενοφῶν ἐν τῇ ἀναβάσει.

Δυσπαλέας ῥίζας. ἀπολλώνιος τὰς κακῶς ἀναδιδομένας. ἀπὸ τοῦ πάλλω, ἢ δυσχερῶς γινομένας.

Δυσπέμφελος, δυσάρεστος. δυσπαθής. δυσκίνητος. χαλεπός. μεμψίμοιρος. Εἰδέσειν ἠλίκης δυσπεμφέλου. εἴρηται ἀπὸ μεταφορᾶς τῶν δυσπέπτων σιτίων.

Δυστόος, παρὰ τὸ σόος τὸ διὰ τοῦ ο μικροῦ. ἵν' ᾖ ὁ κακῶς σωθησόμενος. ἢ παρὰ τὸ σοῶ, ὃ σημαίνει τὸ διώκω. καὶ κατ' ἐπένθεσιν τοῦ βῆτα, γίνεται σοβῶ. ἵν' ᾖ ὁ κακῶς διωκόμενος. οὕτω δὲ καὶ τὸ δρυατόος καὶ λαοσσόος τινὲς ἐτυμολογοῦσι.

Δύστηνος, δυστυχὴς ταλαίπωρος. ἄθλιος. ἢ παρὰ τὸ στῆναι. οἱονεὶ, ὁ μὴ δυνάμενος στῆναι. ἢ ἀπὸ τοῦ στένω, ὁ πάνυ στένων, καὶ τοῦ δυσ ἐπιῤῥήματος ὁ ἀεὶ κακός.

Δυσχερές, τὸ δυσκόλως ὑπὸ τῶν χειρῶν κατεργαζόμενον, ὡς τὸ εὐχερές.

Δυσωρήσονται, Δυσφυλακτήσουσι κακὴν φυλακήν, καὶ νύκτα διάξουσι.

Δυσωπεῖσθαι, ὑφορᾶσθαι. φοβεῖσθαι μεθ' ὑπονοίας. σκυθρωπάζειν. οἱ γὰρ παλαιοί, ἐπὶ τοῦ κρίνειν καὶ ἐλέγχειν λαμβάνουσι. δυσωπεῖν γὰρ εἴρηται, παρ' ὅσον οἱ κατακεκριμένοι κακῶς ἔχουσι τοὺς ὦπας. οὕτως εὗρον εἰς τὸ ἐκκριτικὸν λεξικὸν τὴν λέξιν. καὶ εἰς τὸ ἀνεκφώνητον ἡρωδιανός. ἔνιοι δὲ εἶναι μὴ τῶν ἀττικῶν, ἀντὶ τοῦ αἰδεῖσθαι. ἡ δὲ συνήθεια, καὶ ἐπὶ τοῦ ἱκετεύειν καὶ παρακαλεῖν κέχρηται.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Ω

Δωδωναῖος, ὁ ζεύς. ἰλιάδος π. Ζεῦ ἄνα δωδωναῖε. ἐγχωρίῳ τῶν ὑπερβορέων τῇ δωδώνῃ τιμώμενε. ἐν θεσπρωτίᾳ. Δευκαλίων μετὰ τὸν ἐπ' αὐτοῦ γινόμενον κατακλυσμόν, παραγινόμενος εἰς τὴν ἤπειρον, ἐμαντεύετο ἐν τῇ δρυΐ. πελιάδος δὲ χρησμὸν αὐτῷ δούσης κατοικίζειν τὸν τόπον συναθροίσας τοὺς περιλειφθέντας ἀπὸ τοῦ κατακλυσμοῦ. καὶ ἀπὸ τοῦ διὸς καὶ δωδώνης μιᾶς τῶν ὠκεανίδων, δωδώνην τὴν χώραν προσηγόρευσεν. ἡ ἱστορία παρὰ θρασυβούλῳ καὶ ἀκεσοδώρῳ.

Δῶμα, τὸ οἴκημα. ἐκ τοῦ δομῶ δομήσω, δόμημα. καὶ κατὰ συγκοπὴν, δῶμα. τὸ δὲ δομῶ, παρὰ τὸ δέμω. τὰ γὰρ εἰς ω λήγοντα βαρύτονα ῥήματα τῷ ε παραληγόμενα, ἡνίκα περισπῶνται, τρέπει τὸ ε εἰς ο. δέμω, δομῶ. νέμω, νομῶ. ἢ ἀπὸ τοῦ δέμω δόμα, καὶ δῶμα κατ' ἔκτασιν. ἢ ἐκ τοῦ δομῶ δομήσω δεδόμηκα δεδόμημαι, δῶμα τὸ οἴκημα. γράφεται διὰ τοῦ ω μεγάλου. καὶ κατὰ ἀποκοπὴν γίνεται δῶ. δόμα δὲ τὸ διδόμενον, διὰ τοῦ ο μικροῦ.

Δῶρον, ἡ παλαιστή. εἴρηται ἀπὸ τοῦ τὰ πλεῖστα διὰ τῆς χειρὸς ἡμᾶς δωρεῖσθαι ἀφ' ἧς μετρεῖται ἡ παλαιστή.

Δῶρον, τὸ διδόμενον. παρὰ τὸ δώσω μέλλοντα, δῶον τὸ δον. καὶ πλεονασμῷ τοῦ ρ, δῶρον. ἢ δηλεῖ σημειῶδες εἶναι τὸ ὄνομα καὶ διὰ τοῦ ω μεγάλου γράφεσθαι, ὡς παρὰ καὶ τὸ ἁλωτός. οὐδὲν γὰρ ὄνομα ἀπὸ τῆς τρίτης συζυγίας τῶν εἰς μι διὰ τοῦ ω μεγάλου γράφεται πλὴν τῶν δύο τούτων. διὸ καὶ τὰ παρ' αὐτοῦ συγκείμενα διὰ τοῦ ω μεγάλου γράφεται. οἷον, ἀθηνόδωρος. μεγαλόδωρος. αἰχμάλωτος. ἀνάλωτος.

Δωροφάγους, ἐμφαντικῶς ἀσώτους. ἐκ τῶν δώρων τρεφομένους.

Δωρίς, ὄνομα θεᾶς διὰ τὴν γινομένην δωρεὰν τοῖς ἀνθρώποις.

Δωροδόκος, καὶ ὁ διδούς, καὶ ὁ λαμβάνων.

Δωρίσκη, ἡ μήτηρ τῶν οἰνοτρόπων. ὠνόμασται δὲ διὰ τὸ ὑπὸ πολλῆς τῶν αὐτὴν ληφθεῖσαν ἀπὸ θράκης, δοθῆναι ἀνιωτῷ ἱερεῖ τοῦ δηλίου ἀπόλλωνος ἀντὶ ἵππου δώρον.

Δωριάζειν. ἐκλήθη καθόλου δωριάζειν τὸ παραφαίνειν καὶ παραγυμνοῦν πολὺ τοῦ σώματος τὰς γυναῖκας, διὰ τὸ τοὺς δωριεῖς χρῆσθαι οὕτως. αἱ γὰρ κατὰ πελοπόννησον κόραι διημέρευον ἄζωστοι καὶ ἀχίτωνες. ἱμάτιον μόνον ἐπὶ θάτερα ἐπιπεπορπημέναι, καὶ παρεμφαίνουσαι πολὺ τοῦ σώματος. καθὰ παρὰ καὶ ἐν ἀρχαίοις ὕμνοις ἐστὶν εὑρεῖν ἐν ὑπομνήματι ἑκάβης. οὕτως ὦρος.

Δώς. ἡσίοδος. Δὼς ἀγαθή, ἅρπαξ δὲ κακή. σημαίνει δὲ τὴν δόσιν. καὶ γίνεται παρὰ τὸν δώσω μέλλοντα, ἀποβολῇ τοῦ ω. καὶ ἔστιν ἄκλιτος. ἐπειδὴ τὰ εἰς ως μονοσύλλαβα θηλυκὰ, καὶ περισπῶνται, καὶ κύρια εἰσίν. οἷον, ἡ τρῶς. ἡ τλῶς. ἡ κρῶς. ἡ κῶς. εἰσὶ δὲ ὀνόματα πόλεων. ἐπεὶ οὖν τὸ δὼς θηλυκὸν, οὐκ ἔστι κύριον, οὔτε περισπᾶται, τούτου χάριν ἐστὶν ἄκλιτον.

Δώτη. Δώτη μέν τις ἔδωκεν. ἀδώτης οὔτις ἔδωκε. τουτέστι, τῷ μεταδοτικῷ καὶ εὐσεβεῖ. ἐπλάσατο δὲ τὸ ὄνομα, καὶ οὐ κλίνεται ὡς παρὰ καὶ τὸ δώς. τουτέστι τῷ ἔχοντι προαίρεσιν διδόναι, καὶ εἰ μὴ δὲ μὴ ἔχει.

Δώσων, οὕτως ἐκαλεῖτο ὁ εἷς τῶν ἀντιγόνων. ὁ υἱὸς δημητρίου. ὃς ἔγημε χρυσηΐδα τὴν μητέρα φιλίππου τοῦ ὑπὸ ῥωμαίων γινομένου. εἴρηται δὲ διὰ τὸ φιλότιμον, καὶ διὰ τὸ πολλὰ διδόναι καὶ χαρίζεσθαι.

Δωτίνη, ἡ δωρεά. παρὰ τὸν δώσω μέλλοντα δωσίνη. καὶ τροπῇ τοῦ σ εἰς τ. ἀλέξανδρος δὲ, σύνθετον εἶναι τὴν λέξιν παρὰ τὸ τὴν δόσιν τίνειν. ἵν' ᾖ ἡ ἀποτινομένη δόσις. ἢ ἀπὸ τοῦ δέδοται δοτὸς καὶ δοτίνη. καὶ κατ' ἔκτασιν τοῦ ο εἰς ω, δωτίνη. ὡς παρὰ καὶ δοτῆρες οἱ καὶ ταμίαι. Παρὰ νηυσὶν ἔσαν σιτοιο δοτῆρες. καὶ κατ' ἔκτασιν, Θεοὶ δωτῆρες ἐάων.

Δῶσι, ἰλιάδος α. Αἴ κε ποθι Ζεὺς δῶσι πόλιν τροίην. ἀντὶ τοῦ ἐάν ποτε ὁ Ζεὺς παράσχῃ τρωϊκὴν πόλιν. λέγει δὲ τὴν ἴλιον. ἔστι δίδωμι, δώσω. ὁ δεύτερος ἀόριστος, ἔδων. καὶ τὸ ὑποτακτικὸν, ἐὰν δῶ. δῷς. δῷ. καὶ κατ' ἐπέκτασιν τῆς σι συλλαβῆς, δῶσι.

Δώωσιν. Εἰ δέ κε μὴ δώωσιν. ἐὰν δὲ μὴ παράσχωσιν. ἐὰν δῶ. καὶ τὸ πρῶτον τῶν πληθυντικῶν, ἐὰν δῶμεν. δῶτε. δῶσι. καὶ πλεονασμῷ τοῦ ω, δώωσι. καὶ δώησι. δῶσι, πληθυντικὸν, ἀπὸ τοῦ δώσουσι κατὰ συγκοπήν.

Δώη, ἀπὸ τοῦ δίδωμι, δώσω, ἔδων ὁ δεύτερος ἀόριστος. ἡ μετοχὴ, δοὺς δόντος. καὶ τὸ εὐκτικὸν, δοίην. καὶ κατ' ἔκτασιν τοῦ ο εἰς ω, δώην. δώης. δώη.

Δωδέκατος, ἐκ τοῦ δύο καὶ τοῦ δέκα, γίνεται δυοδέκατος. καὶ κράσει τοῦ υ καὶ ο εἰς ω μέγα, δωδέκατος.

ΙC

ΝΙΚΟΛΑΟΥ — ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ Ε ΣΤΟΙΧΕΙΟΥ

Ε Τὸ στοιχεῖον, παρὰ τὴν ἐπέκτασιν τὴν εἰς μέσον καὶ τὴν κυκλοτερῆ. τὸ μὲν γὰρ κυκλοτερὲς καὶ περίεξ τοῦ ὄντος αἰῶνος μιμεῖται τὰ περίεξ. τὸ δὲ εἰς μέσον μακρὰν ἔχον, τὴν ἐπέκτασιν τοῦ αἰῶνος.

Ε δασυνόμενον καὶ ἐγκλινόμενον, δηλοῖ ἀντωνυμίαν τρίτου προσώπου. πτώσεως αἰτιατικῆς. ὡς τὸ οἷ, ἕ. Ἐμὲ γὰρ περιέοντα, ἀντὶ τοῦ αὐτόν. καὶ πάλιν, ἐμέ. σέ. ἕ. ὀρθοτονούμενον δὲ πάλιν, δηλοῖ ἑαυτόν. ὡς τὸ, Καλέοντες μιν εἰς ἕ.

Εἰ. Ἰστέον ὅτι οὐκ ἀπὸ τοῦ εἰμί, εἰς, εἰ, γέγονεν, ἐπεὶ ὤφειλεν ὀξύνεσθαι. τὰ γὰρ ἀποβάλλοντα τὸ σ, τὸν αὐτὸν τόνον φυλάσσει. ἀλλ' ἀπὸ τοῦ ἔω βαρυτόνου τοῦ ὑπάρχω. ὁ παθητικὸς ἐνεστώς, ἔομαι. ζήτει εἰς τὸ εἰμί. ἕκαστος.

Εἶα, παρακελευσματικόν ἐστιν ἐπίρρημα. ὡς περ παρὰ τὸ ἔω γίνεται ἔα καὶ ἔα, οὕτω καὶ ἀπὸ τοῦ ἔω σημαίνοντος τὸ ἐκπέμπω, γίνεται ἔα. καὶ πλεονασμῷ τοῦ ι, εἶα. παραλήγεται δὲ τὴν χρῆσιν ὁ τεχνικός, οὕτως. Εἶα δὴ ξύλον ἀγειρέμοισεν αὐτῷ.

Εἶαρ, τὸ αἷμα. καὶ εἰαροπότης, ὁ αἱματοπότης, ὥς φησι Καλλίμαχος. Τὸ δ' ἐκ μέλαν εἶαρ ἔδαπτεν. γέγονε δὲ παρὰ τὸ εἴω τὸ πορεύομαι. τὸ γὰρ ἴεναι καὶ πορεύεσθαι ἡμᾶς αἴτιον. ὥσπερ γὰρ εἴλω εἶλαρ, καὶ ἔδω ἔδαρ καὶ εἶδαρ, οὕτω καὶ εἴω εἶαρ. ἢ παρὰ τὸ ἐσθίειν τὴν τεύχεσιν ἐκπεμποντῶν.

Εἶαρ, τὸ ἔαρ. παρὰ τὸ ἔω τὸ ἐκπέμπω. καὶ ἐκρέον. τὸ ἔαρ καὶ εἶαρ. τότε γὰρ ἐκπέμπονται οἱ καρποί.

Εἵαται. ῥῆμα παρατατικοῦ τῶν εἰς μι ἰωνικῶς. ἐκ τοῦ ἕω τὸ κάθημαι, παράγωγον ἧμαι. τὸ παθητικόν, ἕεμαι, ἧμαι. ἧμην. ἥμεθα. ἧνται. καὶ τὸ ἰωνικόν, ἕαται. ὁ κανών. ἡ μετοχὴ ἀπὸ παρακειμένου φύσει μακρᾷ παραλήγεται ταῦτα. οἷον δὴ νῦν ἕαται σιγῇ, ἀντὶ καθέζονται. καὶ εἵαται πλεονασμῷ τοῦ ι. ὡς τὸ κέαται κείαται. εἴωθεν ὁ ποιητὴς ἐπὶ τῶν διὰ ῥημάτων λέγειν τὸ κεῖνται, κέονται. καὶ ἰωνικῶς, κέαται. ὡς ἀπὸ τοῦ

Εἵατ' ἐνὶ μεγάροισι. ἔω, ἕημι. τὸ ὦ προφερόμενον. πρῶτον τῶν πληθυντικῶν, ἕεμεν. τὸ παθητικόν, ἕεμαι. καὶ κράσει, ἧμαι. ὁ παρατατικός, ἐέμην, καὶ ἥμην. τὸ β,

ἧσο. τὸ τρίτον, ἧτο. καὶ ἰωνικῶς, ἔαρ καὶ εἶαρ.

Εἴασκεν, ἀπὸ τοῦ ἐάω ἐῶ. ἐᾷς. ἐᾷ. ὁ παρατατικός, εἴων, εἴας. καὶ ἰωνικῶς, εἴασκεν. ἐκ τούτου ἔασκεν ἀποβληθέντος τοῦ ι. τὰ γὰρ τοιαῦτα ἀποβάλλουσι τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν. οἷον, ἔτυπτον ἔτυπτες, τύπτεσκεν. ἥγουν ἧκες, ἄγεσκεν. οὕτω καὶ τοῦτο.

Εἰαμενή, σημαίνει τὸν κάθυγρον καὶ σύμφυτον τόπον. παρὰ τὸ ῥέω, ῥεαμενή, καὶ ῥεαμενή. καὶ ἀποβολῇ τοῦ ρ. ἢ παρὰ τὸ ἕζω, ὃ σημαίνει τὴν ἀνάδοσιν, γέγονεν ἑσαμενή. καὶ πλεονασμῷ τοῦ ι καὶ ἀποβολῇ τοῦ σ, εἰαμενή.

Εἴβω, σημαίνει τὸ ἀποστάζω. ἀπὸ τοῦ λείβω ἀποβολῇ τοῦ λ. ἡ στοιβὴ. Καὶ τῶν βλεφάρων ἔρος εἴβεται.

Εἶδαρ, ἔδεσμα. τροφή. βρῶμα. παρὰ τὸ ἔδω τὸ ἐσθίω, ἔδαρ καὶ πλεονασμῷ τοῦ ι, εἶδαρ.

Εἰδαλίμας, εὐειδεῖς. εὐμόρφους. ὥς φασι τέσσαρας εἰδαλίμας, ἃς ἤθελεν αὐτὸς ἑλέσθαι. παρὰ τὸ εἶδος, εἴδιμος. καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, εἰδάλιμος. ὡς κύδιμος κυδάλιμος. τὸ θηλυκόν, εἰδαλίμη.

Εἰδεχθές, ἄμορφον. ἀπρεπές.

Εἴδυλος, λόγιος συνετός.

Εἰδυλίς, ἐπιστήμων. ἔνδυα. παρὰ τὸ εἴδω τὸ γινώσκω, εἰδυῖα. καὶ παρώνυμον, εἰδυλίς.

Εἶδος καὶ μορφή, αἰσθητῶς τὸ εἶδος πεποιημένον καὶ μεμορφωμένον ἀοράτου τῆς ἀρχῆς ὑπαρχούσης, τουτέστι τῆς ὕλης ἀπλάστου καὶ ἀμορφούσης. ἢ ὅτι εἶδος τοῦ φυσικοῦ σώματος ὁλον βλεπόμενον. εἶδος, τὸν τῆς ὄψεως χαρακτῆρα. Εἶδος μέγεθος φυήν τ' ἄγχιστα ἐῴκει. τὸ δὲ ἰδέα, ἀειδία τοῦ ι. λέγει δὲ Ὧρος, ὅτι τὸ εἰδικὸν ἡνίκα μὲν σημαίνει τὸ εἶδος, οἷον γένος εἶδος, εἰδικὸν διὰ τῆς ει διφθόγγου. ἡνίκα δὲ τὸ ἴδιον, οἷον κοινὸν ἰδικόν, διὰ τοῦ ι.

Εἶδος, σημαίνει τρία. τὴν μορφήν, ἢ τὸν τῆς ὄψεως χαρακτῆρα. ὡς τὸ, Εἶδός τε μέγεθός τε. καὶ τὸ σχῆμα. ὡς τὸ, Πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος. καὶ τὸ ἀπὸ γένους διαιρούμενον. ἵππος, ἐλαία. ἄλλως. σημαίνει τὴν μορφήν. ὡς τὸ, Πρῶτον μὲν εἶδος. καὶ τὸ σχῆμα. ὡς τὸ, Ὅς δή τοι εἶδος μὲν ἐνίκησας, ἀλλὰ ποδώκης. σημαίνει καὶ τὸ ὑπὸ τοῦ γένους κατηγορούμενον παρὰ τοῖς φιλοσόφοις.

Εἶδος, ὄψις. πρόσωπον. καὶ ἡ μορφή. παρὰ τὸ εἴδω τὸ ὁρῶ, εἶδος. ὡς θάλπω, θάλπος. τεύχω, τεῦχος.

Εἰδέα, παρὰ τὸ εἶδος ἐστίν.

Εἰδογράφος Ἀπόλλων. ἐπειδὴ εὐφυὴς ὢν ἐν τῇ βιβλιοθήκῃ τὰ εἴδη τοῖς εἰδέσιν ἐπένειμε. τὰς γὰρ ᾀδούσας τῶν ᾠδῶν δώριον μέλος ἔχειν αὐτὸς συνῆγε καὶ φρυγίας καὶ λυδίας μιξολυδιστί, καὶ ἰαστί.

Εἴδωλον, ἢ ἀπὸ τοῦ σώματος σκιοειδὴς ἀπόρροια. ἢ τὸ φάσμα. σκιῶδες ὁμοίωμα. ἢ φαντάσματος. σκιά τις ἀεροειδής. ὡς καὶ Βακχυλίδης. Μελαγκευθὲς εἴδωλον ἀνδρὸς Ἰθακησίου. καὶ ὁ ποιητὴς ἐπὶ τῆς Ἀντικλείας. Τρὶς δέ μοι ἐκ χειρῶν σκιῇ εἴκελον αὐτὸς δὲ ἡ ὑπόστασις. ἡ ἀλήθεια. δεῖ οὖν νοεῖν ὡς φαντάσματα περιέχουσι τοῖς ὁρῶσιν. οὐ μὴν καὶ ὑπόστασιν ἀληθῆ. γίνεται οὖν παρὰ τὸ εἴδω τὸ φαίνομαι, ἢ παρὰ τὸ εἴδω τὸ ὁμοιῶ. ὁμοίωμα γάρ ἐστι τινὸς σώματος τὸ εἴδωλον. εἴδω, εἴδωλον, ὡς ἔω, ἕωλος. φείδω, φειδωλός. αἰτῶ, αἰτωλός.

Εἴδω, σημαίνει ἑπτά. τὸ ὁμοιῶ. ὡς τὸ, Εἰδόμενος Γαλόω ἀντήνορος δάμαρτι. καὶ εἰδόμενος ἀκάμαντι, ἀντὶ τοῦ ὁμοιωθείς. εἴδω τὸ φαίνομαι. ὡς τὸ, Τόδε τοι κῆρ εἴδεται εἶναι. καὶ πάντα δὲ τὰ εἴδεται ἄστρα, ἀντὶ τοῦ φαίνεται. εἴδω τὸ βλέπω. τὸ θεωρῶ. ὡς εἶδον Ἡφαίστου κλυτοτεχνην. ὁ παρατατικός, εἶδον. καὶ τὸ πρὸς τὰ κτητικὸν ἴδε. ἰδὲ ὁ ἀμνὸς τοῦ θεοῦ. τοῦτο δὲ τὸ εἴδω ἐπὶ τοῦ ὁριστικοῦ ἐνεργητικοῦ μόνον διὰ διφθόγγου. ἐπὶ δὲ τῶν παθητικῶν καὶ τῶν λοιπῶν διὰ τοῦ ι. εἴδω τὸ γινώσκω. εἴσω, εἴσομαι, εἴσῃ, ἀντὶ τοῦ γνώσῃ. καὶ μαθήσῃ. Καὶ νῦν δὴ σάφα εἴσεαι. ἐκ τούτου γίνεται πειρασόμενον εἰδῶ εἰδήσω τὸ μανθάνω. ἐξ οὗ τὸ, Ἥρη μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους εἰδήσειν. ἀντὶ τοῦ μὴ ἐλπίζε τοὺς ἐμοὺς λόγους μαθήσεσθαι καὶ γνῶναι. εἴδω τὸ ὁρμῶ. ὡς τὸ, Εἴσατο γὰρ νηῶν ἐπ' ἀριστερά. εἴδω τὸ πηδῶ. ὡς τὸ, εἴσατο γὰρ λίμνην. εἰσὶ καὶ διὰ τοῦ η δύο. Ἵνα εἴδομεν ἄμφω. Ἰλιάδος α. ἀντὶ τοῦ ὅπως μάθωμεν ἀμφότεροι ἐγώ τε καὶ σύ. ἡ δὲ συστολὴ ἀνέδωκε τὸν τόνον. οὐ γὰρ προξύνεται κατὰ τὸν πάμφιλον.

Εἰδείησιν, ἀπὸ τοῦ εἴδω τὸ γινώσκω. ὁ μέλλων, εἴσω. ἐξ οὗ ὁ μέσος παρακείμενος οἶδα. ἡ μετοχή, ὁ εἰδώς τοῦ εἰδότος. τὸ θηλυκόν, εἰδυῖα εἰδυίας. καὶ εἰδυίῃσι παραπλήσιον, ἀντὶ ταῖς ἐπιστήμοσιν αὐτοῦ καὶ ἐμπείροις φρεσὶ ἰδυίῃσι.

Εἰδῇς, ἀπὸ τοῦ μέσου παρακειμένου. εἴδω τὸ γινώσκω. ὁ μέλλων εἴσω. ὁ μέσος παρακείμενος, οἶδα. ἡ μετοχή, ὁ εἰδώς τοῦ εἰδότος. τὸ εὐκτικόν, εἰδείην. οὐ γὰρ κλίνεται ἡ μετοχὴ διὰ τοῦ ντ, ἵνα ἦν τὸ εὐκτικὸν εἰδοίην καὶ προπερισπώμενον, ἀλλὰ διὰ τοῦ τ, εἰδείην. ὡς ποιήσαιμι ποιήσαιμι περιπατοίην. καὶ προπαροξύτονον εἰδεῖεν. καὶ τὰ ἔχοντα τὸ εὐκτικὸν εἰς ην, ποιοῦσι τὸ ὑποτακτικόν. οἷον τυφθείην, ἐὰν τυφθῶ. λεχθείην, ἐὰν λεχθῶ. τούτου χάριν ἐστὶ τὸ ὑποτακτικόν. ἐὰν εἰδῶ. εἰδῇς. εἰδῇ. Διογένης.

Εἶεν, ἀναφώνησις μὲν τῶν ἄλλων, οὐκ ἐπὶ ἀνταποδόσεως λόγου τίθεται. ἀλλ' ὅτε δὲ ἐπιφέρεται, ἢ ἕτερόν τι ἐν ἀρχῇ λόγου. ἀλλ' ἄγε.

Εἶεν. εἰμί. ὁ παρατατικός ἦν. ἡ μετοχή, εἰς ὄντος. τὸ εὐκτικόν εἴην. τὸ πληθυντικόν, εἴημεν. καὶ συγκοπῇ, εἶμεν. καὶ τὸ γ εἶεν. ὁ κανών. ὥς δὲ γίνεται κατὰ συγκοπὴν δοῖμεν ἀπὸ τοῦ δοίημεν. καὶ εἶμεν ἀπὸ τοῦ εἴημεν, οὕτω καὶ τοῦτο. εἰ δὲ εἶμεν, κατὰ συγκοπὴν γίνεται τὸ ῥῖγν. ὡς τὸ κοσμηθείημεν, καὶ κοσμηθεῖμεν. καὶ τὰ ὅμοια.

Εἶεν, ἄγε δή. συγκατάθεσις μὲν τῶν εἰρημένων, συναφὴ δὲ πρὸς τὰ μέλλοντα. γίνεται δὲ ἀπὸ τοῦ εἶα τοῦ παρακελευσματικοῦ ἐπιρρήματος εἶεν. ἀντὶ τοῦ ταῦτα μὲν δὴ οὕτως. ἔστι γὰρ ἐπίρρημα ἀφοριστικόν. ἐπὶ γὰρ τοῖς ἤδη εἰρημένοις ἐπιλεγόμενον ἀφορίζει αὐτά. τὸ αὐτὸ δὲ καλεῖται ἀπόθεσις λόγου.

Εἶθε, ἀπὸ τοῦ ε γέγονεν εἶθε.

Εἶθαρ, ἀπὸ τοῦ εὐθὺς εὔθαρ καὶ εἶθαρ.

Εἴκω σημαίνει πέντε. εἴκω τὸ ὁμοιῶ, δοτικῇ συντάσσεται. ἐξ οὗ καὶ εἰκὼν τὸ ὁμοίωμα. καὶ εἰκάζω. εἴκω τὸ πρέπω, ἐξ οὗ καὶ τὸ ἔοικεν. εἴκω τὸ ὑποχωρῶ. ἐξ οὗ καὶ οἶκος. εἴκω τὸ ὑποτάττομαι, καὶ ἐν συνθέσει ὑπείκω. ἐξ οὗ καὶ εἰκὼς, ὁ ὑπείκων καὶ ὑποταττόμενος. ἢ καὶ ἕτερον κατὰ περίφρασιν, ἤγουν, ἐκ τοῦ περιπομένου, τὸ θέλω. περιέπει γὰρ τοῖς ἐπαινοῦσι τὸ θέλειν. τὸ γὰρ εἴξας θυμῷ, ἀπὸ τοῦ εἴκω, εἴξω ὁ ἀόριστος εἶξα. ἡ μετοχὴ εἴξας, οὐδὲν ἄλλο σημαίνει, ἢ μὴ τὸ θελήσει ὑπεχώρησεν. ἐξ οὗ γίνεται κατὰ ἀποβολὴν τοῦ ι, ἑκὼν μετοχή. ἔστι δὲ καὶ ἕτερον εἴκω.

Εἴξασιν, ἀντὶ εἴκασι παρὰ Ἀττικοῖς. ζήτει εἰς τὸ κ. ὅπερ ἴσως τῇ βοιωτῶν διαλέκτῳ ἐσχημάτισται. οὗτοι γὰρ τὸ κ, εἰς τὸ ξ μεταβάλλουσιν. οὕτως ἔχει καὶ τὸ, Οἱ δ' ἴξον κοίλην Λακεδαίμονα. δευτέρου ἀορίστου καὶ τὸ ἦκ ἀπὸ τοῦ ἥκω τούτου. Ἀριστοφάνης.

Εἴξασι τοῦ ἐρίοισι πεπλασμένοις. ἔστιν εἴκω τὸ ὁμοιῶ. ὁ μέσος παρακείμενος, εἶκα. καὶ κατὰ τροπὴν βοιωτῶν τοῦ κ εἰς ξ, εἶξα. τὸ γ τῶν πληθυντικῶν εἴξασιν. ὅτι δὲ παρακείμενός ἐστι, δῆλον ἐκ τῆς ἐχούσης σιγῆς.

Εἰκάζω, ὥσπερ παρὰ τὸ μίμω μιμάζω, οὕτω παρὰ τὸ εἴκω εἰκάζω. εἰκάσομαι, εἴκασαι, εἴκασται, εἰκαστός. καὶ μετὰ τοῦ στερητικοῦ α ἀείκαστος. καὶ πλεονασμῷ τοῦ ν, ἀνείκαστος.

Εἴκελος, ἀντὶ ὅμοιος. ἀπὸ τοῦ εἴκω τὸ ὁμοιῶ εἴκελος. ὡς θέλω θέλος. τοῦτο ἐν μὲν τῇ ἁπλότητι γίνεται διφθόγγου πολλάκις καὶ ι. ἐν δὲ τῇ συνθέσει ἀεὶ διὰ τοῦ ι.

Εἰκοβολεῖν, τὸ εἰκάζειν οἱ Ἀθηναῖοι, παρὰ τὸ εἰκαίως καὶ ὡς ἔτυχε βάλλειν. εἰκῆ τὸ ὡς ἔτυχε, τὸ μάτην. ἐκ τοῦ εἴκω τὸ ὑποχωρῶ. παρὰ τὸ τὰ ὑποχωροῦντα ὡς ἔτυχε διοικεῖν τὰ ἑαυτοῦ πράγματα πολιτικῶς.

Εἰκάς, ἀπὸ τοῦ εἴκοσι γίνεται εἰκάς. τὸ δὲ εἴκοσιν, ἀπὸ τοῦ εἴκειν τοῖς δυσὶ δέκα. τουτέστι, δὶς τὰ δέκα.

Εἰκοστός, ὀξύνεται. τὰ εἰς τος λήγοντα ὑπὲρ δύο συλλαβὰς, ἔχοντα πρὸ τοῦ τ τὸ σ, τήν τε παραλήγουσαν εἰς ος περατουμένην, ἐπὶ ποσότητος τασσόμενα ὀξύνεται. πολλοστός. εἰκοστός.

Εἰκοσινήριτα, Εἰκοσινήριτ' ἄποινα. Ἰλιάδος χ. ἀντὶ τοῦ εἰκοσάριθμα. εἰκοσαπλάσια. εἰκοσάκις ἐξισοῦσθαι δυνάμενα τῇ τοῦ σώματος σωτηρίᾳ. τὸ γὰρ ἐρίζειν, ἐξισοῦσθαι ἐστι. καὶ μεγαίρει τὰ τέκνα θεῶν, θεοῖς ἐρίζοντα, εἰκοσινήριστα, τουτέστιν ἐρίστα, ὅ ἐστιν ἐξισούμενα. οὕτως ἔχει καὶ τὸ, Νέστορι οἷος ἔριζε. καὶ ἐρι-

ζέμεν οὐκ ἐθελήσει. ἔστι γὰρ ὡς εἰκοσάβοια προσείκοσι μερίζοντα, τουτέστιν, ἰσούμενα. τὸ δὲ ν, τοῦ εἴκοσιν ἐστίν. ὁ γὰρ εἴκοσιν ἀριθμὸς προλαμβάνει αὐτό.

Εἰκός, πρέπον, ἢ ἀκόλουθον. εὔλογον. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ τάχα, εἰς τὸ ῥητορικόν. ἔστι δὲ μετοχὴ οὐδετέρου. ἀπὸ τοῦ εἴκω τὸ πρέπω. εἴξω. εἶκα. ἡ μετοχή, ὁ εἰκώς τοῦ εἰκότος. καὶ τὸ οὐδέτερον, τὸ εἰκός. καὶ ἐχώρησεν εἰς ἐπίρρημα συντάξεως.

Εἰκάδιος. ἀπὸ τοῦ εἰκὰς εἰκάδος, εἰκάδιος. ἔστι δὲ ὄνομα κύριον. ἐν τῇ εἰκάδι τοῦ μηνὸς ἑορτὴ ἐπετελεῖτο τῷ Ἀπόλλωνι. καὶ ἐλέγετο ἡ ἱερὰ εἰκάς. ἐπεὶ δὴ οὖν ἐν ταύτῃ τῇ ἑορτῇ ἐγεννήθη, λέγεται εἰκάδιος.

Εἶλαρ. Εἶλαρ νηῶν τε καὶ αὐτῶν. σημαίνει τὸ φύλαγμα καὶ τὴν ἀσφάλειαν. καὶ γίνεται παρὰ τὸ εἴλω τὸ συγκλείω. τοῦτο παρὰ τὸ ἕλος ἕλω καὶ εἴλω. οἱονεὶ ὁ τόπος ὁ συγκλειόμενος ὑπὸ δένδρων. τὸ ει, δίφθογγον. διότι εὑρέθη τὸ ε ἐν τῇ εὐλῇ, ὅ ἐστι τὸν σκώληκα.

Εἰλαπίνη, ἑορτή. εὐωχία. ἢ συμπόσιον καὶ σύνδειπνον. ἀπὸ τοῦ εἰλεῖσθαι εἰς τὸ σύνδειπνον ὁμοῦ πλείονας. ἢ παρὰ τὸ εἴλας καὶ τὸ θοίνη, γέγονεν εἰλαθοίνη καὶ εἰλαπίνη, κατὰ ἐναλλαγὴν τῶν στοιχείων. οἱονεὶ ἡ κατὰ εἴλας καὶ συστροφὰς οὖσα εὐωχία. ἢ τὴν πολυτελῆ εὐωχίαν. παρὰ τὸ λαφύσσειν, ἢ λαπίζειν, ὅ ἐστι τὸ ἐκκενοῦν καὶ ἀναλίσκειν. ἢ παρὰ τὸ λάπτω λαπτίνη λαπίνη. καὶ πλεονάζει ἡ ει δίφθογγος. καὶ Ὅμηρος Ἰλιάδος κ. Αἰεὶ δ' ἐνδαιτῆσι, καὶ εἰλαπίνῃσι πρέσαι. ἀντὶ τοῦ ἐν ταῖς ἑορταῖς, ὅτε κατὰ τὰς εἴλας πίνωσιν. εἴρηται δὲ οὕτω παρὰ τὸ ἐλαστονάζεσθαι τοὺς εὐωχοῦντας, τουτέστι ταράσσεσθαι.

Εἰλαπινάζων, εὐωχούμενος. καὶ εἰλαπιναστής, ὁ συμπότης.

Εἰλαπίδην πολύφημον, τὴν ἐλαφρυγόν. της.

Εἰλέωσι, συνειλῶσι. συγκλείουσι. ῥῆμα ὑποτακτικόν, ἐκ τοῦ εἰλῶ. καὶ εἶλε, ἀντὶ τοῦ συνήθροιζε, συνέκλειε. καὶ εἰλομένων, συναθροιζομένων.

Εἰλενία, πόλις Ἀθήνησι. Φιλοκτήτης γὰρ παραγενόμενος εἰς Ἰταλίαν, ἱδρύσατο Εἰλενίας Ἀθηνᾶς ἱερόν. ἀπὸ τοῦ ἐν ἐκείνῳ συγκεκλεῖσθαι τῷ τόπῳ. παρὰ τὸ εἰλῶ οὖν, εἰλενία. ἐν ὑπομνήμασι Λυκόφρονος. Ὧρος.

Εἰλεόν, σημαίνει τὴν μαγειρικὴν τράπεζαν. παρὰ τὸ ἕλος, ἐλεός. καὶ πλεονασμῷ τοῦ ι εἰλεός, τὸ μαγειρικὸν τραπέζιον, ἢ σανίδιον. καὶ Ὅμηρος Ἰλιάδος ι. Καὶ εἰν ἐλεοῖσιν ἔχευαν. δασύνεται ἀπὸ τοῦ ἑλεῖν καὶ κόψαι, ἐφ' οὗ κόπτουσι τὰ κρέα. ἢ ὅτι ἀπὸ ἐλαΐνων ξύλων ἢ ἐξ ἐλείων ῥάβδων ἦσαν πεπλεγμέναι αἱ μαγειρικαὶ τράπεζαι.

Εἰλείθυιαι, θεαὶ τῶν τικτουσῶν ἔφοροι. Διὸς καὶ Ἥρας θυγατέρες. ἀπὸ τοῦ ἐλεύθω τὸ παραγίνομαι, ἐλεύθυια. καὶ πλεονασμῷ τοῦ ι, εἰλεύθυια. καὶ τροπῇ τοῦ υ εἰς ι, εἰλείθυια. καὶ ἀνειλείθυια, ἡ ἄτοκος.

Εἰλήλουθα, ἐκ τοῦ ἐλεύθω. ὁ μέσος παρακείμενος, ἤλευθα. καὶ τὸ ἀττικόν, ἐλήλυθα. πλεονασμῷ τοῦ ο βοιωτικῶς, ἐλήλουθα. καὶ παρενθέσει τοῦ ι, εἰλήλουθα. ἐξ οὗ τὸ πρῶτον τῶν πληθυντικῶν, εἰλήλουθαμεν. καὶ συγκοπῇ,

Εἴληφα, ἀπὸ τοῦ λήβω τὸ λαμβάνω. εἰλήλουθμεν. ὁ παρακείμενος, λέληφα. ἀποβολῇ καὶ πλεονασμῷ τοῦ ι, εἴληφα. ἡ μετοχή, εἰληφώς εἰληφότος. ὡσαύτως καὶ τὸ εἴληχα, ἀπὸ τοῦ λήχω τὸ λαγχάνω, λέληχα καὶ εἴληχα. πάντα γὰρ τῶν ἀπὸ τοῦ λ καὶ μ ἀρχομένων ῥημάτων, οὕτω ποιοῦσι τοὺς παρακειμένους Ἴωνες καὶ Ἀττικοί.

Εἵλη, σημαίνει τὴν θερμασίαν. ἐκ τοῦ ἕλη πλεονασμῷ τοῦ ι. ὡς παρὰ Ἀριστοφάνει. Καὶ τῶν πρὸς εἵλην ἰχθύων ὠπτημένων.

Εἰλικρινής, σημαίνει τὸν καθαρὸν καὶ ἀμιγῆ ἑτέρου. παρὰ τὸ ἕλη ἡ θερμασία καὶ τὸ κρίνω. ὁ ἐν τῇ ἕλῃ κεκριμένος. κατὰ πλεονασμὸν τοῦ ι. οὐ δεῖ δὲ ἡ παραλήγουσα συντεθεῖσθαι. εἰ γὰρ παρὰ τὸ ἕλη γέγονεν, ὤφειλεν ἢ τρέψαι τὸ η εἰς ο καὶ γενέσθαι εἰλοκρινής, ἢ φυλάττειν τὸ η καὶ γενέσθαι εἰληκρινής. τὰ γὰρ εἰς η λήγοντα θηλυκά, τετραχῶς συντίθεται. ἢ γὰρ φυλάττει τὸ αὐτὸ τέλος ὁπότε καὶ τὸ αὐτὸ γένος φυλάττει. οἷον μάχη, ἀνδρομάχη. ἢ φυλάττει τὸ αὐτὸ τέλος καὶ προσλαμβάνει τὸ ο. ὡς τὸ γυνή, μισογύνης. ἢ τρέπουσι τὸ τέλος εἰς ος, ὡς μάχη, πρόμαχος, καὶ δύσμαχος. ἢ τρέπουσι τὸ τέλος εἰς ον, ὡς πύλη, δίπυλον καὶ τρίπυλον. ἄλλως. τὰ γὰρ εἰς η λήγοντα θηλυκὰ ἐν τῇ συνθέσει, ἢ φυλάττει τὸ η, ὡς τὸ γῆ, γηπόνος, βοή, βοηθός, ἢ τρέπουσιν εἰς ο, ὡς νύμφη, νυμφοστόλος. τιμή, τιμόθεος. ἕλη οὖν, ἑλοκρινής. καὶ τροπῇ τοῦ ο εἰς ι, εἰλικρινής. ἔστι γὰρ ὁ ἔχων λαμπρὰν καὶ καθαρὰν τὴν ψυχήν.

Εἰλιτενὴς ἄγρωστις, Θεόκριτος. ἡ ἐν τοῖς ἕλεσι γινομένη. ἐριβοβόλος τὸ δὲ ἢ ἐπὶ πολὺ διικνουμένη. πλεονασμῷ

Ἑλίσσω. ἀπὸ τοῦ ἑλῶ ἑλίσσω. πλεονασμῷ διὰ τοῦ ι. τοῦ ι. ἐπειδὴ οὐδέποτε πρὸ τῶν δύο σσ ἐστὶν ἡ δίφθογγος, πλὴν τοῦ κρείσσων, καὶ τοῦ ἐξ αὐτοῦ ῥήματος κρεισσῶ.

Εἰλίπους, ἐπίθετον τῶν βοῶν, ὅτι ἑλίσσουσι τοὺς πόδας κατὰ τὴν πορείαν. εἰλίποδες, οἱ εἰλοῦντες ἐν τῷ βαδίζειν τοὺς πόδας. φησὶν ὁ Ὧρος ὅτι εἴτε ἀπὸ τοῦ εἴλω γέγονεν, ἢ ἀπὸ τοῦ εἰλίσσω εἰλίπους, διὰ τοῦ ι. τὰ γὰρ εἰς ω λήγοντα δισύλλαβα μίαν συλλαβὴν συγκόπτουσιν ἐν τῇ συνθέσει. οἷον, μιαίνω, μιαιφόνος. τανύω, τανύπεπλος. οὕτως οὖν καὶ εἰλίσσω, εἰλίπους. σημειοῦται παρὰ Κράτητι, τὸ ἐθελόσυχνος, ἀπὸ τοῦ ἐθέλω. σημαίνει δὲ τὸν θέλοντα συχνάζειν. τὸ δὲ ἀλεξίκακος καὶ ἀλεξιφάρμακος, ἀπὸ προστασσομένου γέγονεν. εἰ δὲ ἐστὶν ἀπὸ τοῦ εἴλω, εὐλόγως πάλιν διὰ τοῦ ι. τὰ γὰρ ἀπὸ προστασσομένου γινόμενα ὀνόματα, ἢ διὰ τοῦ ο, ὡς τὸ μισῶ, μισογύνης, φιλῶ φιλόθεος, ἢ διὰ τοῦ ι. οἰδῶ, Οἰδίπους. εἰλῶ, εἰλίπους. τὸ οὖν ἡγέστρατος καὶ ἡγέλοχος, διὰ τοῦ ε, ἐπειδὴ ὡς ἀπὸ βαρυτόνου εἰσίν. ὡς τὸ μένω μενέλαος. εἴγε τὰ εἰς ω δισύλλαβα τῷ η παραληγόμενα βαρύνεται. θήγω. τούτῳ τῷ κανόνι καὶ τὸ ἡγῶ ἐξ οὗ τὸ ἡγοῦμαι, ὤφειλε βαρύνεσθαι, ἀλλὰ παραλόγως περισπᾶται.

ἐν τῷ οὖν ἡγέλοχος, ὡς ἀπὸ βαρυτόνου γινόμενον. καὶ τὸ ἡγεμών, καὶ ἡγέμαχος. ζήτει εἰς τὸ δαίφρων.

Εἰλυός καὶ εἰλυθμός, σημαίνει τὴν κατάδυσιν. τὸν φωλεόν. Νίκανδρος. Ὅς τε κατ' εἰλυθμοὺς πετρώδεας αἰὲν ἰαύει, ῥηχὺν ὑφαρπάζων θαλάμην ὀλιγηρέα τεύχων. ἐν θ' εἰλυθμὸν ἔχεσκεν. ἐπεὶ τ' ἐνορέσσατο φορβῆς. ῥηχὺν θάλαμον λέγει τὴν ἐνδοτάτω κατάδυσιν. παρὰ τὸ εἰλύω. ἔνθα εἰλυμένος, τὸ κεκαλυμμένος. περιβεβλημένος.

Εἴλυμα. ἐκ τοῦ εἴλω εἰλύω εἰλύσω, γίνεται εἴλυμα. τὸ σκέπασμα. καὶ εἰλύεται, τὸ καλύπτεται.

Εἰλυσπᾶσθαι, τὸ ὁμοίως τῷ ὄφει καὶ τῷ σκώληκι κινεῖσθαι. καὶ εἰλυσπώμενα, τὰ παραπλησίως τοῖς ὄφεσι καὶ σκώληξι κινούμενα. ἀπὸ τοῦ εἰλεῖσθαι καὶ σπᾶσθαι. ι γραπτέον. ζήτει εἰς τὸ ι.

Εἰλυφάζει, παρὰ τὸ εἰλῶ εἰλύφω καὶ εἰλυφάζω. Ἡσίοδος. Ἄνεμος δὲ φλόγα εἰλυφάζων. ἀντὶ τοῦ εἰλῶν καὶ ἀναστρέφων. σημαίνει δὲ καὶ τὸ φῶς περιέχω. ὡς τό, Τῆλε δὲ τ' αἰθομένων δαΐδων σέλας εἰλύφαζεν. παρὰ τὸ ἕλω καὶ τὸ φῶς, εἰλύφω

Εἰλυφόων, εἰλῶν. ταράσσων. εἰλυφάζω.

Εἵλωτες, παρὰ Λακεδαιμονίοις οἱ νόθοι οἱ ἐξ αἰχμαλώτων δοῦλοι γινόμενοι. ἢ ἀπὸ τοῦ ἕλους. ἐπειδὴ ἠτυχήθησαν πρότερον ἐν τῷ ἕλει καὶ ἐδουλώθησαν. ἕλος δὲ πόλις ἐν Πελοποννήσῳ. ἔνθα οἱ οἰκέται. καὶ εἱλωτεία,

Εἱλωτεύειν, τὸ δουλεύειν. εἵλωτες δὲ ἡ δουλεία. εἰσὶν οἱ τὴν Μεσσηνιακὴν οἰκοῦντες Πελοπόννησον. οἱ μὴ γνήσιοι δοῦλοι Λακεδαιμονίων, ἀλλὰ παρὰ τὴν χειρω-

Εἵματα, ἱμάτια. ἐνδύματα. παρὰ τὸ θέντες. ἕω τὸ ἐνδύομαι, εἶκα, εἶμαι, καὶ εἷμα. τὸ ει, δίφθογγον. πρὸς ἀντιδιαστολὴν τοῦ ἥματα τοῦ σημαίνοντος τὰς ἡμέρας. ἢ κατά τινα διάλεκτον. οἱ γὰρ Αἰολεῖς ἔμμα λέγουσι. καὶ τὸ σπείρω, σπέρρω. καὶ λευχείμων. τὸ δὲ ἱματίζω, καὶ ἱματισμός, καὶ ἱματιοπώλης, καὶ ὅσα παρὰ τὸ ἱμάτιον, διὰ τοῦ ι γράφεται. ὅτι δὲ ἐκ τῆς συνθέσεως δῆλον. οἷον τὸ ἱμάτιον, θοἰμάτιον. εἰ δὲ ἐγράφετο διὰ διφθόγγου, θουμάτιον ἂν ἦν. τὸ γὰρ ο καὶ ε εἰς τὴν ου δίφθογγον κιρνᾶται. τὸ δὲ ἱματισμένον. εὗρον αὐτὸ διὰ διφθόγγου.

Εἱμαρμένη, καὶ εἱμαρτό. ὡς ἀπὸ τοῦ λήβω τοῦ σημαίνοντος τὸ λαμβάνω, γίνεται λέληφα καὶ εἴληφα, οὕτως ἀπὸ τοῦ μείρω τοῦ σημαίνοντος τὸ μερίζω, μερῶ. μέμαρκα. μέμαρμαι. ἀποβολῇ τοῦ μ καὶ πλεονασμῷ τοῦ ι, εἵμαρμαι. εἱμαρμένος εἱμαρμένη. ἐκ δὲ τοῦ εἵμαρμαι, εἱμάρμην εἵμαρσο εἵμαρτο, ὁ ὑπερσυντέλικος. ἐκ τίνος δὲ διαγράμματος καὶ ἀστροθεσίας τὴν ἐπωνυμίαν παρ' Ἕλλησιν ἔλαβε.

Εἱμένος, ἐνδεδυμένος. τὸ θέμα, ἕω τὸ ἐνδύομαι. ὁ μέλλων, ἔσω. ὁ παρακείμενος, εἶκα. ὁ παθητικός, εἶμαι. ἡ μετοχή, εἱμένος, καὶ ἐπιειμένος.

Εἶμεν. ἀπὸ τοῦ εἰμὶ γίνεται τὸ πρῶτον τῶν πληθυντικῶν, εἰμέν. φυλάττει τὴν ει δίφθογγον. οἷον Ἡμεῖς δ' εἰμὲν τοῖοι. ἀντὶ τοῦ ὑπάρχομεν. ἐσμέν.

Εἰμί. εἰμὶ τὸ ὑπάρχω, γράφεται διὰ διφθόγγου. ἢ ὅτι τὰ εἰς μι φύσει μακρᾷ παραλήγεται. ἢ ἵνα μὴ συνεμπέσῃ τῷ ἡμί τὸ λέγω. ὃ γίνεται ἀπὸ τοῦ φημὶ ἀποβολῇ τοῦ φ.

Εἶ. τὸ σὺ εἶ, γίνεται ἀπὸ τοῦ ἔομαι παθητικοῦ. τὸ δεύτερον, ἔη. καὶ τὰ παρ' ἡμῖν γραφόμενα δεύτερα πρόσωπα παθητικὰ διὰ τοῦ η, παρὰ τοῖς Ἀττικοῖς διὰ τῆς ει διφθόγγου γράφεται. καὶ γίνεται κράσει τοῦ ε καὶ τῆς ει διφθόγγου. Τὸ δ' ἐστί, γίνεται ἀπὸ τοῦ εἰμί. οὐ τὸ τρίτον ἀκολουθεῖ ἐστί. καὶ τροπῇ δωρικῇ τοῦ σ εἰς τ, καὶ ἀποβολῇ τοῦ ι, γίνεται ἐτί. εἶτα προσλαμβάνει τὸ σ, ἵνα τὴν ὀφειλομένην μακρὰν ἀπολάβῃ. τὰ γὰρ εἰς σι τρίτα πρόσωπα μακρᾷ παραλήγεται. τύπτουσιν. οὕτω καὶ ἐστίν. ἢ καὶ τοῦ εἰμί, τὸ δεύτερον, ἐς. καὶ τὸ τρίτον ἐστί. ἀποβολῇ δὲ τοῦ ς καὶ προσθέσει τοῦ τ, ἐστί. εἰμί. ὁ παρατατικός, ἦν. ἡ μετοχή, ἐὼν ἐόντος. καὶ τὸ εὐκτικόν, εἴην. καὶ τὸ ὑποτακτικόν, ἐὰν ὦ. ῇς. ῇ. ἢ ἀπὸ τοῦ εἰμί. τὸ δεύτερον, εἶς. καὶ ἀποβολῇ τοῦ ς καὶ μεταβολῇ τοῦ τόνου, εἶ. τὰ γὰρ ὑπαρκτικὰ ῥήματα, παθητικὰ οὐκ ἔχουσιν. οἷον, ὑπάρχομαι. εἰμί, οὐ λέγεται εἶμαι. οὕτω καὶ ἔω, οὐ λέγεται ἔομαι. τὸ δὲ κατ' ἀρχὰς τιθέμενον, βαρύνεται. ὡς τό, ἔστι πόλις. βαρύνεται δὲ καὶ μετὰ τοῦ ὡς. καὶ μετὰ τοῦ μὴ ἀπαγορευτικοῦ. καὶ μετὰ τοῦ ἀλλά. καὶ μετὰ τοῦ καί. καὶ μετὰ τοῦ τοῦτο.

Εἰμί, γίνεται ἀπὸ τοῦ ἔω. καὶ ἐπεὶ τὰ εἰς μι φύσει μακρᾷ παραλήγεται, πλεονάζει τὸ ι καὶ γίνεται εἰμί. καὶ ἔστι συζυγίας τετάρτης. οὐκ ἔτρεψε δὲ εἰς η, ἵνα φυλάξῃ λείψανον τοῦ ἀττικοῦ. τὰ δὲ ἀπὸ βαρυτόνων ἰσοσύλλαβα τοῖς πρωτοτύποις. πηγνύω, πήγνυμι. τὰ δὲ ἀπὸ περισπωμένων, περιττοσύλλαβα. διδῶ, δίδωμι.

Εἶμι, ἀπὸ τοῦ εἴω τὸ πορεύομαι. τοῦτο παρὰ τὸ ἔω. καὶ πλεονασμῷ τοῦ ι, εἴω. καὶ ἐξ αὐτοῦ εἴωμι. καὶ συγκοπῇ, εἶμι. σημαίνει δὲ τὸ πορεύομαι. καὶ τὰ μὲν ἑνικά, διὰ τῆς ει διφθόγγου γράφεται. τὰ δὲ πληθυντικά, διὰ τοῦ ι. Ἔστιν ἴμι διὰ τοῦ ι ἀπὸ τοῦ ἴημι κατὰ συγκοπήν. τοῦ εἶμι τὸ πληθυντικόν, ἴμεν. ὡς ἀπὸ τοῦ ἴω τοῦ διὰ τοῦ ι. ὁ παρατατικός, ἤϊν. τὸ πληθυντικόν, ἴμεν διὰ τοῦ ι. πάντα τοῦ παρατατικοῦ τῶν εἰς μι καὶ ἡ παραλήγουσα συστέλλεται. τὸ τρίτον, ἴσαν. ἀπὸ τοῦ ἴμεν. τὸ ἀπαρέμφατον, ἴμεναι. καὶ κατὰ συγκοπήν, ἴμ. Οἴκαδ' ἴμεν σὺν νηυσί. τουτέστιν εἰς τὰ οἰκεῖα παραγενέσθαι. Ἰλιάδος α. ἔτι τοῦ εἶμι τὸ τρίτον τῶν πληθυντικῶν, εἶσι. καὶ τὸ ἰωνικόν, ἴασι. Καί τ' ἀγεληδὸν ἴασι. Ἰλιάδος π. ἀντὶ ἀπίασι. πορεύονται. τὸ δὲ εἴω, γράφεται καὶ διὰ διφθόγγου καὶ διὰ τοῦ ι. τούτου ὁ δεύτερος ἀόριστος, ἴον. τὸ ι, ἴωτα. ἔτι καὶ ἀπὸ μὲν βαρυτόνων θεμάτων. τοῦ ὑποτακτικοῦ, ἴω. τὸ πληθυντικόν, ἐὰν ἴωμεν. καὶ ποιητικῶς, ἴομεν. τὸ ο, μικρόν. διὰ τί. καὶ λέγομεν, ὅτι σχῆμα ἐστὶ κορίνθιον.

Εἰσὶ τὸ ὑπάρχουσι, γίνεται ἐκ τοῦ εἰμί. τὸ τρίτον ἐστί, καὶ εἰσί.

Εἶθα, Ἰλιάδος χ. Εἰ μὲν γάρ κεν νῶι ἀπολύσομεν ἠὲ μένωμεν. ἤτε καὶ ὕστερον εἶθα θοὰς ἐπὶ νῆας Ἀχαιῶν. ἀντὶ ἐξῆς. παραγένηται. ἐλεύσῃ. ἐκ τοῦ εἶμι. τὸ δεύτερον, εἶς, καὶ εἶθα. καὶ τὸ ἦτε, ἔστι τὸ ᾖα, περισπᾶται.

Εἶναι τὸ ὑπάρχειν. ἀπὸ τοῦ ἐμί, ἐῖς, ἔντος. τὸ ἀπαρέμφατον ἔναι. καὶ πλεονασμῷ τοῦ ι, εἶναι. καὶ τὸ ὁριστικὸν ἐμί, κατὰ πλεονασμὸν ἔχει τὸ ι, ἀπὸ τοῦ ἐμί. τὸ πληθυντικὸν, ἐμέν, καὶ ἐμέν. ἔστι καὶ ἕτερον ἐκ τοῦ εἶμι τὸ πορεύομαι. τὸ πληθυντικὸν, ἴμεν. καὶ τὸ ἀπαρέμφατον ὤφειλεν εἶναι ἴναι, ἵνα φυλάξῃ τὴν παραλήγουσαν τοῦ πληθυντικοῦ. ἀλλὰ οὕνεκεν ἔδραμε τῷ ὁμοίως αὐτοῦ εἶναι. ὃ παρὰ ἐν συνθέσει τὸ παρεῖναι καὶ ἀπεῖναι. ἔστι καὶ ἕτερος δεύτερος ἀόριστος. ἵημι. ὁ δεύτερος ἀόριστος, ἧν. καὶ ὤφειλε τὸ ἀπαρέμφατον εἶναι ἕναι διὰ τὴν παραλήγουσαν τοῦ πρώτου τῶν πληθυντικῶν, ἢ ἧναι. διὰ τὴν ἔκθεσιν κανόνα τοῦ τρίτου προσώπου. τῶν οὖν δύο κανόνων μαχομένων, τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος τὸ ε, τοῦ δὲ ἑτέρου τὸ η, ἐγένετο εἶναι, φυλάττον τοῦ μὲν η τὸν μακρὸν χρόνον. τὴν παραλήγουσαν δὲ τοῦ ε μέν. τοῦτο δὲ δασύνεται. καὶ ἐν συνθέσει, ἀφεῖναι. καὶ καθεῖναι. καὶ ἐξεῖναι.

Εἰήμεν, ἀντὶ τοῦ ᾔδειμεν σὺν τῷ ι. καλλίας πεδήταις. καὶ ᾔδησαν ἀντὶ τοῦ ᾔδεσαν, σὺν τῷ ι. ἀγάθων ἀερόπῃ. καὶ ᾔδησα, ἀντὶ τοῦ ᾔδειν.

Εἴναχος, ἐκ τοῦ ἔνναχος. κατὰ μεταβολὴν τοῦ ν εἰς ι. καὶ ἡ μὲν τῶν ἀργείων διάλεκτος, μεταβάλλει τὸ ι εἰς ν. καὶ γὰρ τὸ παρεισδύουσα ἐνδύω λέγουσι. καὶ τὸ αἰεί, αἰέν. ἡ δὲ τῶν σικελῶν, τὸ ἀνάπαλιν. τὸ ν εἰς ι μεταβάλλει. τὸ γὰρ ἐνώνυχον, εἰνώνυχον λέγουσι. καὶ τὸ ἔνδον, ἔνδοι.

Εἰνάνυχες δέ μοι ἀμφ' αὐτῷ, ἀντὶ τοῦ ἐννέα νύκτας, ὡς μονώνυχες. ἀπὸ εὐθείας τῆς εἰνάνυξ. εἰ δέ τινα ἐπιφέρεται ταραῖος τὸ παρὰ νύκτας ἰαύον, ἴσως ὅτι σύνθετα οὕτω πολλὰ λέγεται τῷ ποιητῇ. ὡς τὸ, Ποδάνιπτρα ποδῶν.

Εἰνατία, ἐπίθετον τῆς εἰλειθυίας. καλλίμαχος. Εἰνατίην ὁμόδελφον ἐπ' ὠδίνεσσιν ἰδοῦσα. εἴρηται οἷον κρητική. εἴναχος γὰρ τόπος κρήτης. ἔνθα ἐτιμᾶτο ἡ εἰλείθυια.

Εἰνάτηρ, ἡ εἰνατέρων εὐπέπλων. παρὰ τὸ εὐνή, εὐνάτηρ, καὶ εἰνάτηρ. σημαίνει δὲ τὴν σύννυμφον.

Εἰνοσίφυλλον, τὸ κινοῦν τὰ φύλλα. παρὰ τὴν ἔνοσιν, τὴν κίνησιν. πλεονασμῷ τοῦ ι, καὶ τοῦ φύλλον.

Εἵνεκα, ἰστέον ὅτι ἔκτασις μέν ἐστιν ἡ ἐν φωνήεσι γινομένη. ἐπέκτασις δὲ, ἡ ἐν στοιχείῳ. τὴν δὲ ἐπέκτασιν εἴωθε λέγειν τὴν κατὰ τὸ τέλος. τοῖος δέ. τόσος δέ. ἔκτασις δὲ, ἐν ἐκείνῳ. εἵνεκα. πλεονασμῷ τοῦ ι.

Εἶπον, ῥῆμα προστακτικόν. τὸ θέμα, ἔπω τὸ λέγω. ὁ πρῶτος ἀόριστος, εἶπα. καὶ ἔστι σεσημειωμένον. τὸ γὰρ, εἶπε. καὶ τὸ προστακτικὸν, εἶπον. εἰπάτω. εἰπάτωσαν. μένανδρος. Εἶπον δὲ τί ποιεῖν μέλλετε. ἀντὶ τοῦ εἴπατε. ἔπω. ὁ μέλλων, ἔψω. ὁ ἀόριστος ὤφειλεν εἶναι εἶψα. ἀλλ' ἀσεσημείωται οὖν. ἡ μετοχὴ ὤφειλεν εἶναι ἔπας καὶ ἔπων. ἀλλ' ἀμείνω εἴπας καὶ εἰπὼν, ἐφύλαξε τὴν παραλήγουσαν αὐτῶν τῇ διφθόγγῳ. ἰστέον δὲ ὅτι λέγει ὁ γραμματικὸς ἰωάννης ὁ χάραξ, ὅτι τὸ παρὰ τῇ θείᾳ γραφῇ προστακτικὸν, ὀξύνεται. οἷον εἰπόν, ἀντὶ τοῦ εἰπέ. δεύτερος ἀόριστος ἐστὶ κατὰ τὴν συρακουσίων γλῶσσαν. καὶ γὰρ οἱ συρακούσιοι τὰ τρίτα πρόσωπα τοῦ δευτέρου ἀορίστου μεταποιοῦντες εἰς ον τὸν τόνον φυλάττοντες τῶν προστακτικῶν. οἷον τὸ λάβε, λαβόν. καὶ τὸ ἄνελε, ἀνελόν. εἰπὸν οὖν ἐστιν εἰπὲ ὀξύτονον, κατὰ τὴν τῶν συρακουσίων διάλεκτον εἰπόν. τὸ δὲ εἶπον βαρύνεται παρὰ μενάνδρῳ. ἔστι δὲ ἀόριστος πρῶτος, ἀπὸ

Εἴπησθα, σὺν τῷ ι κατ' ἐπέκτασιν τῆς ... τοῦ εἴπῃς. ἐὰν εἴπῃς. εἴπησθα. ἰστέον ὅτι τὸ εἴπεσκεν, τὴν τῆς μετοχῆς ἀρχὴν ἐφύλαξε τῆς εἰπὼν εἴποντος. οὐ μὴν τοῦ ἐνεστῶτος. ἔπω γάρ ἐστιν ὁ ἐνεστώς.

Εἴπαισαν. ἔπω τὸ λέγω. ὁ μέλλων, ἔψω. ὁ ἀόριστος, εἶπα. ἡ μετοχὴ, ὁ εἴπας. καὶ τὸ εὐκτικὸν, εἴπαιμι, εἴπαις, εἴπαι. καὶ ἀττικῇ ἐπεκτάσει, εἰπαίη. καὶ ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶν τρίτον πρόσωπον εἰς η λῆγον προσθέσει τοῦ ς, τὸ δεύτερον ποιεῖ. καὶ προσθήκῃ τοῦ ν, τὸ πρῶτον. πρῶτον γοῦν ἐξ αὐτοῦ εἰπαίην. τὸ πληθυντικὸν, εἰπαίημεν. τὸ τρίτον, εἰπαίησαν. καὶ συγκοπῇ, εἴπαισαν.

Εἰραφιώτης, ὁ διόνυσος. παρὰ τὸ ἐρράφθαι τῷ μηρῷ τοῦ διὸς, ἐρραφιώτης. προσελθόντος τοῦ ι, καὶ ἀποβληθέντος τοῦ ρ. ἢ ἀπὸ τοῦ ἐρίφεσθαι τὸ στεφανοῦσθαι, γέγονεν εἰραφιώτης. καὶ πλεονασμῷ τοῦ ι. ἢ παρὰ τὸ ἔριφος. φασὶ γὰρ αὐτὸν ὑπὸ ἐρίφων ἀναρραφῆναι. ἢ παρὰ τὸ ἐρίῳ αὐτὸν πλέκεσθαι. ὡς τὸ ἔρεψα.

Εἴρερος, παρὰ τὴν ἔραν τὴν γῆν. ἡ περὶ τὴν γῆν δουλεία. ἢ παρὰ τὸ ἔρειον ἔρος. καὶ διπλασιασμῷ, ἔρερος. καὶ πλεονασμῷ τοῦ ι. ἢ παρὰ τὸ τείρω τείρερος. καὶ ἀποβολῇ τοῦ τ. ἢ παρὰ τὸ εἴρω τὸ λέγω κατὰ ἀναδιπλασιασμὸν καὶ κατὰ ἀντίφρασιν, ὁ προαιρούμενος τοῦ λέγειν μετὰ παρρησίας. ἢ παρὰ τὸ ἔρρειν. ἢ τὸ ἔρρεσθαι καὶ φθείρεσθαι ποιοῦσα.

Εἰρεσία, ἡ κωπηλασία. παρὰ τὸ ἐρέτης, ἐρεσία. καὶ πλεονασμῷ τοῦ ἰῶτα.

Εἰρέσιον, πόλις βοιωτῶν. ὅτι κατακλυσμοῦ ποτὲ γενομένου, συνέβη περὶ βοιωτίαν πολλὰς λίμνας ἀναφανῆναι. οἱ οὖν ἐγχώριοι πλάταις καὶ κώπαις καὶ εἰρεσίᾳ κεχρημένοι, τὰς πρὸς ἀλλήλους ἐπιμιξίας ἐποιοῦντο. ἐκ τούτου οὖν τὰς πόλεις ὠνόμασαν. ἀπὸ μὲν τῶν πλατῶν, πλαταιάς. ἀπὸ δὲ τῶν κωπῶν, κώπας. ἀπὸ δὲ τῆς εἰρεσίας, εἰρέσιον.

Εἰρεσιώνη, εὐμεγέθης κλάδος ἐξ ἐρίων ἔχουσα στέμματα κλῶνας καὶ ἰσχάδας. καὶ τῶν καθαρῶν ἀκροδρύων ὁρμαθούς. ἢ θάλος ἐστὶν ἐλαίας πάντας τοὺς καρποὺς ἔχον ἀπηρτισμένους, καὶ στέμμα λευκὸν καὶ φοινικοῦν. προετίθετο δὲ ἱκεσία τῷ ἀπόλλωνι ἐκείνῃ τῇ ἡμέρᾳ, ᾗ οἱ περὶ θησέα σωθῆναι δοκοῦσι. κατὰ χύσματα δὲ καὶ κύλικα οἴνου κεκραμένην καταχέοντες αὐτῆς, ἐπιλέγουσιν. Εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους, καὶ μέλιτος κοτύλην καὶ ἔλαιον ἀποψήσασθαι. καὶ κύλικας εὔζωρον οἴνου. καὶ μεθύουσα καθεύδῃ. ὠνόμασαν δὲ οὕτως οἱ μὲν ἀπὸ τοῦ ἐρίοις κατεστέφεσθαι. ἢ παρὰ τὸ εἴρεσθαι, ὅ ἐστι συμπλέκεσθαι τοὺς καρπούς. οἱ δὲ, ὅτι εἴρουσι τὸν θεὸν ἐποίησαν μετὰ τὴν θυσίαν τὸν κλάδον. καλοῦσι δὲ αὐτὴν καὶ κορυβάλλαν. ἢ ἀπὸ τοῦ τοῖς κλάδοις ἐνέρχεσθαι τὰ ἐξ αὐτῆς κρεμάμενα. ἢ ἀπὸ τῶν στεμμάτων. στέμματα γὰρ τὰ ἔρια λέγουσιν οἱ ἀττικοί. λυκοῦργος δὲ φησὶν ἀφορίας γενομένης ἀθηναίοις, τοῦτο ἐπιτελεσθῆναι κατὰ χρησμὸν. οἱονεὶ ἱκετηρίας.

Εἰρήν, ὄνομα ἡλικίας. παρὰ τὸ εἴρειν καὶ λέγειν, ὁ ἤδη λέγων καὶ δημηγορῶν. καὶ γὰρ τὰς ἐκκλησίας εἴρας προσηγόρευον. εἰ μὲν παρὰ τὸ εἴρω τὸ λέγω, διὰ διφθόγγου. εἰ δὲ ἀπὸ τοῦ ἱερὰς εἶναι, διὰ τοῦ ἰῶτα.

Εἰρήνη, παρὰ τὸ εἴρω τὸ λέγω. ἢ παρὰ τὸ εἴργειν ἡμᾶς ἐπ' αὐτήν. ἢ διὰ τὸ ἠρεμεῖν τὸν νοῦν.

Εἰρκτή, παρὰ τὸ εἴργω τὸ κωλύω. τοῦτο ἀπὸ τοῦ ἔεργω, κατὰ κρᾶσιν τῶν δύο εε, εἰς τὴν ει δίφθογγον.

Εἰρμός, παρὰ τὸ εἴρω τὸ συμπλέκω.

Εἰροπόκος. τὰ ἔρια κατὰ πλεονασμὸν τοῦ ι γίνεται εἴρια. ἀπὸ γοῦν τὸ ἔριον, καὶ τὸ πέκω τὸ ξαίνω γίνεται ἐριοπόκος. καὶ πλεονασμῷ τοῦ ι καὶ συγκοπῇ, εἰροπόκος.

Εἰρονόμος, τὸ ἔρος πλεονασμῷ τοῦ ι, γίνεται εἶρος. ὡς τὸ, Ἰοδνεφὲς εἶρος ἔχουσα. σημαίνει δὲ τὸ ἔριον. γίνεται ἐκ τοῦ ἔρρω τὸ κάμνω, ἔρρος. καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἰῶτα, εἶρος. ὁ μετὰ ταλαιπωρίας ἐργαζόμενος. ἐκ τοῦ εἶρος καὶ τοῦ νομῶ τὸ ἐπιμελοῦμαι γίνεται, ἡ τοῖς ἐρίοις ἐπιμελουμένη.

Εἴρυσθαι, ἀντὶ τοῦ φυλάξαι. ἔστιν ἐρύω ἐρύσω εἴρυκα εἴρυμαι εἴρυται, καὶ τὸ ἀπαρέμφατον εἰρύσθαι, ὡς λελύσθαι. ἀπὸ δὲ τοῦ ἔρυμι, τὸ παθητικὸν ἔρυμαι. καὶ τὸ ἀπαρέμφατον ἔρυσθαι, προπαροξυτόνως. καὶ πλεονασμῷ τοῦ ι. ὡς ζεύγνυμι, ζεύγνυσθαι. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ εἰλκύσθαι. εἰ μὲν ἀπὸ τοῦ ἑλκύω, εἱλκύσθαι. εἰ δὲ ἀπὸ τοῦ ἕλκυμι, εἵλκυσθαι.

Εἰρύαται, ἰλιάδος α. εἰρύαται, ἐρύονται. φυλάττουσιν. εἰρύω, εἴρυμι. τὸ παθητικὸν, εἴρυμαι. τὸ γ, εἴρυνται. καὶ ἰωνικῶς, εἰρύαται.

Εἰρύσασθαι, τὸ φυλάξαι. μέσος ἀόριστος α παθητικός. ἀπὸ τοῦ θέματος τοῦ ἐρύω ἐρύσασθαι. καὶ ἰωνικῶς πλεονασμῷ.

Εἴρυτο, ἀρίσταρχος προπαροξυτόνως. παρὰ τὴν συνήθειαν τῶν τρυγικῶν, ὡς τὸ ἐζεύγνυτο. οὕτω μὲν ἀριστοφάνης. τὸ τυραννίων προπερισπᾷ. ἀπὸ τοῦ εἴρυμι, εἴρυτο. ἰλιάδος θ. Ἀνὴρ δ' οὔ τι διὸς νόον εἰρύσατο. κατὰ συγκοπὴν κρατήσειεν. ἀπὸ τοῦ ἐρύω.

Εἰρωνεύεσθαι, ψευδολογεῖν χλευάζειν. ὑποκρίνεσθαι, παρὰ τὸ εἴρων εἴρωνος, εἰρωνεύω. ὅθεν καὶ εἰρωνεία. τὸ δὲ εἴρων παρὰ τὸ εἴρω τὸ λέγω γίνεται εἴρων ὁ ἀπατεὼν. ὁ διὰ λόγων παραλογιζόμενος. ὁ ἄλλα μὲν φρονῶν, ἄλλα δὲ λέγων.

Εἴρω, τὸ λέγω. παρὰ τὸ ῥῶ, ὃ σημαίνει τὸ λέγω. οὐ παράγωγον ἡμῖν. ἀφ' οὗ τὸ, Ἡ καὶ κυανέῃσιν. ὡς ἀγείρω, ἀγείρω, ἔθω, ἐθείρω, οὕτω καὶ ἀπὸ τοῦ ῥῶ, εἴρω. ὅθεν καὶ εἰρήν, τὸ κατὰ γλῶσσαν λέγειν. συνείρειν δὲ λέγουσι τοὺς ἐν τῷ ἀναγινώσκειν συνάπτοντας καὶ λόγον ποιοῦντας. ὡς τὸ ῥητορικόν. ὁ δὲ σέλευκος, ἀπὸ τοῦ συνειρμένα καὶ συνηρμοσμένα λέγεσθαι τοῦ λόγου τὰ μέρη. τοῦτο δὲ τὸ εἴρω, ὅτε μὲν ψιλοῦται, σημαίνει τὸ λέγειν. ὅτε δὲ δασύνεται, σημαίνει τὸ συνάπτω.

Εἴρω, τὸ ἐρωτῶ. ὁ μέλλων, ἐρῶ. ὁ ἀόριστος πρῶτος εἶρα. ὁ δεύτερος εἶρον. οὐκ ἔστι δὲ ἐν χρήσει. ὁ μέσος δεύτερος ἀόριστος, εἰρόμην. εἴρου. εἴρετο. τὸ ἀπαρέμφατον, ἔρεσθαι. καὶ ὤφειλεν εἶναι ἐρέσθαι. ἀλλ' ἐξηκολούθησε, τὸ φέρεσθαι καὶ δέρεσθαι. τοῦ εἶρα τὸ ὑποτακτικὸν, ἐὰν ἔρω. οὐκ ἔστιν ἐν χρήσει. τὸ παθητικὸν, ἐὰν ἔρωμαι, ἐὰν ἔρῃ, ἐὰν ἔρηται ἐν χρήσει καὶ αὐθυποτάκτου. Εἴ τις σε ἔρηται. τοῦ εἴρω τὸ παθητικὸν εἴρομαι. καὶ ὅμηρος. Εἰρόμεναι παῖδάς τε κασιγνήτους τε. ἀφαιρουμένου τοῦ ι, ἔρομαι. ἔρῃ, ἔρεται. καὶ ἐπέρεται τὸ ἐρωτᾷ. ὁ παρατατικὸς, ἠρόμην ἤρου ἤρετο. καὶ ἐπήρετο. τούτου τοῦ εἴρω ὁ μέλλων ἐστὶν ἐρῶ. καὶ μετάγεται εἰς ἐνεστῶτα περισπώμενον. ἐρέω ἐρῶ. ἔστι δὲ ἐν χρήσει. ὁ μέλλων ἐρήσω, καὶ ἐρήσομαι.

Εἴρετο, σημαίνει τέσσαρα. τὸ ἐπηρώτα. ὡς τὸ, Εἴρετο δ' αὐτίκ' ἔπειτα βοὴν ἀγαθὸς μενέλαος. καὶ τὸ ἠρώτων, οἷον, Εἴρομαι παῖδας τοῦ κασιγνήτου. σημαίνει καὶ τὸ λέγειν, ὡς τὸ, Εἴρετο δεύτερον αὖτις. καὶ πληθυντικῶς εἴροντο ἀντὶ τοῦ ἔλεγον. Εἴροντο δὲ καὶ δὲ ἑκάστη.

Εἷς, διατί δασύνεται. τὸ ε τῶν ἀριθμῶν δασύνεται. διατί περισπᾶται. τὰ εἰς ις ὀξύτονα μὴ κοινολεκτούμενα, ἔχοντα οὐδετέρου παρασχηματισμὸν ἀποστρέφεται τὴν ὀξεῖαν τάσιν. ὀξύτονα δεῖ εἰπεῖν, διὰ τὰς μετοχὰς, οἱ τυφθεὶς. κοινολεκτούμενα δεῖ εἰπεῖν, διὰ τὸ εὐγενὴς καὶ εὐσεβὴς. οἱ γὰρ βοιωτοὶ διὰ τῆς ει διφθόγγου γράφουσιν. εἷς ἑνός. ὁ κανών. τὰ εἰς εις μονοσύλλαβα ὀξύτονα ἀρσενικὰ διὰ τοῦ νος κλίνεται. οἷον κτεὶς, κτενός. δεὶς, δενός. εἷς, ἑνός. ὅπερ ἰσοδυναμοῦται τῷ τίς. ὅπερ μετὰ τοῦ οὐ, οὐδείς, οὐδενός. καὶ μετὰ τοῦ μὴ, μηδείς. πρόσκειται μονοσύλλαβα, διὰ τὰ ὑπὲρ δύο συλλαβὰς. οἷον, χαρίεις, χαρίεντος. πρόσκειται ὀξύτονα, διὰ τὰς μονοσυλλάβους μετοχὰς. οἷον θεὶς θέντος. εἷς, ἕντος. ἐξ οὗ καὶ τὸ ἀφεὶς ἀφέντος, ὁ ἀπολύσας. πρόσκειται ἀρσενικὰ, διὰ τὸ κλεὶς κλειδός θηλυκόν. γίνεται δὲ εἷς παρὰ τὴν ἕσιν καὶ ἄφεσιν ὁ ἀπολελυμένος. καὶ μεμονωμένος. διαφέρει δὲ τοῦ οὐδεὶς κατὰ τρόπους δ. πρῶτον, ὅτι τὸ μὲν εἷς, δασύνεται καὶ περισπᾶται. τὸ δὲ οὐδεὶς, οὔτε δασύνεται οὔτε περισπᾶται. δεύτερον, ὅτι τὸ μὲν εἷς ἀριθμητικόν ἐστι. τὸ δὲ οὐδεὶς ἀόριστον. τρίτον, ὅτι τὸ μὲν εἷς, οὔτε δυϊκὰ ἔχει οὔτε πληθυντικά. τὸ δὲ οὐδεὶς καὶ δυϊκὰ ἔχει καὶ πληθυντικά. οἱ οὐδένες τῶν οὐδένων. τέταρτον, ὅτι τοῦ μὲν εἷς, τὸ θηλυκὸν, μία. τοῦ δὲ οὐδεὶς, ὁμοφώνως οὐδείς. γίνεται καὶ παρὰ τὸ ἔω τὸ ὑπάρχω, ὁ εἷς. τὸ θηλυκὸν ἀπέλειπε. δύο γὰρ κανόνες εἰσὶν οἱ μαχόμενοι. ὁ μὲν εἷς λέγει, ὅτι οἱ ἀριθμοὶ κοινοὶ θέλουσιν εἶναι. οἷον οἱ δύο καὶ αἱ δύο. οἱ τρεῖς καὶ αἱ τρεῖς.

κοῦτως. τὰ ἀριθμητικὰ ὀνόματα κοινά εἰσι τῶν γενῶν. καὶ ὁμοφωνοῦσι τῷ ἀρσενικῷ τὰ θηλυκά. οἷον οἱ πέντε καὶ αἱ πέντε. οἱ ἑπτὰ καὶ αἱ ἑπτά. οὕτως ὤφειλε καὶ τὸ θηλυκὸν ὁμοφωνεῖν τῷ ἀρσενικῷ. ὁ δὲ ἕτερος λέγει, ὅτι πᾶσα γενικὴ διὰ τοῦ ντ κλινομένη, τὸ τέλος τῆς γενικῆς τρέψασα εἰς ἄλφα, καὶ τὴν παραλήγουσαν φύσει μακρὰν ποιοῦσα, τὸ θηλυκὸν ποιεῖ. οἷον, χαρίεντος, χαρίεσσα. εἷς, ἕντος. ὤφειλεν εἶναι ἔασσα τὸ θηλυκόν. τῶν οὖν δύο κανόνων μαχομένων, τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος ὁμοφωνεῖν τῷ ἀρσενικῷ, τοῦ δὲ ἑτέρου παρασχηματισμὸν ἤγουν ἔασσα, ἀπελείφθη, καὶ ἐγένετο ὡς ἀπὸ τοῦ ἴος ἀρσενικοῦ σημαίνοντος τὸν μόνον. τὸ θηλυκὸν, ἴα. καὶ πλεονασμῷ τοῦ μ, μία μιᾶς. καὶ λέγει ὁ κανὼν τὸν τόνον. τὸ γὰρ μιᾶς, καὶ ἰᾶς, ἰωνικὴν ἔχει τάσιν. ἐπειδὴ κανών ἐστιν ὁ λέγων περὶ τῶν εἰς α βραχυκαταλήκτων, εἰώθασιν οἱ ἴωνες βαρύνειν τὰς λέξεις ὥσπερ καὶ ἡμεῖς. οἷον, ἄγυια. ὄργυια. πλάτεια. θέσπεια. ὅταν δὲ τύχῃ ἡ τελευταία συλλαβὴ μακρὰ ἰωνικῷ ἔθει, κατεβιβάζεται ὁ τόνος. οἷον, ἀγυιᾶ. ὀργυιᾶ. θεσπειᾶ. τοῦτο οὖν ἐστι τὸ εἰρημένον τῷ τεχνίτῃ. τὸ γὰρ μιᾶς καὶ ἰᾶς, ἐπειδὴ οὖν τὸ μία καὶ ἴα ἐν τῇ γενικῇ καὶ δοτικῇ μακροκατάληκτα, τούτου χάριν τῷ ἰωνικῷ ἔθει κατεβίβασε τὸν τόνον καὶ περισπᾶται. οἷον, ἰᾶς, ἰᾷ. μιᾶς, μιᾷ. ὅθεν καὶ ἡ αἰτιατικὴ ἐπειδὴ οὐκ ἐγένετο μακροκατάληκτος, οὐ κατεβίβασε τὸν τόνον, ἀλλὰ παροξύνεται ὁμοίως τῇ εὐθείᾳ. οἷον, ἴαν, καὶ μίαν.

Εἰσόκεν, ἐστὶν ἐπίρρημα χρόνου δηλωτικόν. ἐκ τῆς εἰς προθέσεως, καὶ τοῦ ὅ ἄρθρου ἀναφορικοῦ, καὶ τοῦ κεν συνδέσμου. καὶ ἀπορροῦσί τινες ὅτι ἐν συνθέσει ἐστὶν, ἢ ἐν παραθέσει. καὶ λέγουσιν, ὅτι κανών ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ε λήγοντα ἐπιρρήματα χρόνου δηλωτικὰ, θέλουσιν ἔχειν πρὸ τοῦ ε τὸ τ. ἄλλοτε. ἐνίοτε. ἑκάστοτε. καὶ ὅτι οὐδέποτε ὁ κεν σύνδεσμος κατ᾽ ἀρχὰς συντίθεται. οὐδέποτε γὰρ τοῦτο τὸ ἐπίρρημα χωρὶς τοῦ κεν συνδέσμου λαμβάνεται παρὰ τῷ ποιητῇ. εἰσόκεν ἡμεῖς οἴκην ἔλοιτο. εἰσόκ᾽ ἄλοχον ποιήσεται. ἔστι δὲ εἰπεῖν ὅτι αἱ προθέσεις παρατιθέμεναι τοῖς ὀνόμασιν ἔμφασιν ἔχουσαι τοπικοῦ, ποιοῦνται τὰς σχέσεις. οἷον, οἴκου, ἐξ οἴκου. οἶκον, εἰς οἶκον. τὸν αὐτὸν τρόπον καὶ τὰ ἄρθρα τὰ σημαίνοντα τὴν ἀναφοράν. ἡ δὲ ἀναφορὰ ἐν τῷ χρόνῳ οὖσα καὶ λαβοῦσα τὴν παράθεσιν τῆς προθέσεως, ποιεῖ σχέσιν χρονικήν. οὗ, ἐξ οὗ. ᾧ, ἐν ᾧ. ὃν οὖν τρόπον τὸ ἐξ οἴκου ὅτε ἀποστῇ τῆς προθέσεως οὐκέτι σχέσιν τοπικὴν ἐσήμηνεν, ὁμοίως καὶ τὸ εἰς οἶκον. τὸν αὐτὸν τρόπον καὶ τὸ εἰσόκεν ἐὰν ἀποστῇ τὸ ἕτερον τοῦ ἑτέρου, ἐκστήσεται καὶ τὸ σημαινόμενον.

Εἴσω, ὡς ἀπὸ τῆς ἐξ προθέσεως γίνεται ἔξω, καὶ ἀπὸ τῆς πρό, πρόσω, καὶ ἀπὸ τῆς εἰ ἀττικῶς ἔσω, οὕτω καὶ ἀπὸ τῆς εἰς προθέσεως γίνεται εἴσω. καὶ ἔστιν ἀντὶ τῆς εἰς. ὡς τό, Καὶ νηὸς ἐστήσαντο Ἀχαιῶν Ἴλιον εἴσω, ἤγουν εἰς τὴν Ἴλιον.

Εἴσθμη, ἡ εἴσοδος. ἀπὸ τοῦ ἴω τὸ πορεύομαι. ὁ μέλλων, ἴσω. ἴσομαι. οἷον, Ἴσομαι ἐξαλόθεν χαλεπὴν ὀρσοῦσα θύελλαν. ἀπὸ τοῦ ἴσω, ἴσμη. καὶ μετὰ τῆς εἰς προθέσεως εἴσθμη.

Εἰσερρήσειν, εἰσφθαρῆ. εἰσεπιδῆσαι. εἰσῆλθεν. εἰσρῶ τὸ εἰσέρχομαι. ὁ μέλλων, εἰσρήσω. ὁ ἀόριστος, εἰσέρρησα. τροπῇ τοῦ ε εἰς η εἰσήρρησα. καὶ τὰ λοιπὰ δῆλα. ἢ ἐκ τοῦ εἰσέρω.

Εἴσπραξις, ἡ ἀπαίτησις. καὶ εἰσπράττει, ἀπαιτεῖ.

Εἰσπνήλης, ὁ ἐρώμενος. Καλλίμαχος. Μέμβλετο δ᾽ εἰσπνήλαις, ὁπότε κοῦρος ἴοι. ὁ ὑπὸ τοῦ ἐρῶντος εἰσπνεόμενος. Λακεδαιμόνιοι γὰρ εἰσπνεῖν φασι τὸ ἐρᾶν. ἢ παρὰ τὸ ἕπεσθαι τοῖς ἐρωμένοις. ἐπήλης τις ὢν καὶ εἰσπνήλης.

Εἱστήκειν, μέσος ὑπερσυντέλικος. ἐκ τοῦ ἕστηκα ἑστήκειν. διὰ τὸ μὴ συνεμπεσεῖν κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον τῷ ἰδίῳ ἐνεστῶτι, ἐπλεόνασε τὸ ι καὶ γέγονεν εἱστήκειν.

Εἰσάμενος, ὁμοιωθείς. ἐκ τοῦ εἴδω τὸ ὁμοιῶ. σημαίνει δὲ καὶ τὸ ἱδρυσάμενος. Εἰσάμενοι παρὰ θῖνα θυηπολίης ἐμέλοντο.

Εἷσεν, ἤγουν ἐκάθισεν. καὶ μετὰ τῆς κατὰ καὶ δὲ, κατὰ δὲ εἷσεν.

Εἴσατο, ἔδοξεν. ἐφάνη. ἐκ τοῦ εἴδω τὸ φαίνομαι. ὁ μέλλων, εἴσω. ὁ ἀόριστος, εἶσα. ὁ μέσος, εἰσάμην. τὸ εὐκτικὸν, εἰσαίμην. Καδ δ᾽ εἷσεν ἐν θαλάσσῃ.

Εἶτα, ἐστὶν ἐπίρρημα τάξεως. καὶ ὥσπερ ἀπὸ τοῦ δὴ γίνεται δῆτα, οὕτω καὶ ἀπὸ τοῦ εἰ, εἶτα.

Εἰῶσιν. ἐστὶν ἐῶ τὸ συγχωρῶ β συζυγίας τῶν περισπωμένων. τὸ πληθυντικὸν, ἐάομεν ἐῶμεν. τὸ γ, ἐάουσιν ἐῶσι. καὶ πλεονασμῷ τοῦ ι, εἰῶσι. Καὶ οὐκ εἰῶσιν ἐκπέρσαι. πλεονάζει γὰρ τὸ ι. ὥσπερ καὶ ἐκ τοῦ ἔωλον γίνεται εἴωλον.

Εἴωθα. ἐστὶν ἔθω σημαῖνον τὸ ἐξ ἔθους τι διαπράττομαι. ὁ μέλλων, ἔσω. ὁ παρακείμενος, εἶκα. ὁ μέσος, εἶθα. καὶ πλεονασμῷ τοῦ ω, εἴωθα. εἴωθε. καὶ συναρχομένως, ἔωθα. Αἰεὶ γάρ μοι ἔωθεν ἐνικλᾶν. ἤγουν ἐξ ἔθους ἔχει μοι ἐμποδίζειν. οἱ γὰρ αἰολεῖς τὸ εἴωθα, ἔωθα λέγουσιν.

Εἷα. Ἧκεν ζωσαμένη νηὸς ἔα χαλκοῖο τυπῆσιν. ἐστὶν ἴω. κατὰ διάλυσιν ἕα.

Ἐάγη. ἐστὶν ἄγω τὸ κλάω. ὁ μέλλων, ἄξω. ὁ ἀόριστος, ἦξα. ὁ β, ἦγον. ὁ παθητικός, ἤγην, ἤγης, ἤγη. καὶ κατὰ διάλυσιν, ἐάγη.

Ἑαδώς. ἐστὶν ἥδω τὸ εὐφραίνομαι. ὁ β ἀόριστος, ἧδον. ἧδες. ἧδε. καὶ κατὰ διάλυσιν, ἕαδε. ἔστιν ἅδω τὸ ἀρέσκω. ὁ μέσος παρακείμενος, ἧδα. διαλύσει, ἕαδα. καὶ ἡ μετοχή, ἑαδώς ἑαδότος. καὶ ἑαδότα θυμόν, τὰ ἀρέσκοντα. καὶ ἀπὸ τοῦ ἥδω, ἥσω, ἧκα, ἧδα, καὶ διαλύσει ἕαδα.

Ἑάσας. Ἐπεί με πρῶτον ἑάσας. τουτέστιν ἐχαροποίησας. ἀπὸ τοῦ ἥδω, ἥσω, ἥσας καὶ ἐν διαιρέσει, ἑάσας.

Ἑάλη. Αἰνείας δ᾽ ἑάλη. ἤγουν συνεστράφη. παρὰ τὸ ἀλῶ τὸ ἐκκλίνω καὶ πλανῶ. οἱ γὰρ ἐκκλίνοντές τινας καὶ πλανῶντες, οὐκ ἐπαίρονται ἀλλὰ συστρέφονται. ὅθεν καὶ τὸ, εἴσω πους ἀλλεῖται, ἤγουν ἀλεῖται. ὅ ἐστι συστραφῇ. ἀλῶ. ὁ μέλλων, ἀλώσω. ὁ β ἀόριστος, ἥλον. ὁ παθητικός. ἥλην, ἐξ οὗ καὶ ἡ μετοχή, ἀλείς. τὸ β, ἥλης. τὸ γ, ἥλη. καὶ διαλύσει, ἑάλη. Ἰστέον δὲ ὅτι, ὥσπερ ὁ δεύτερος ἀόριστος, τῇ μὲν φωνῇ ἐνεργητικός ἐστι. τῇ δὲ συνθέσει παθητικός, οὕτω καὶ ὁ ἥλων β ἀόριστος ἀπὸ τοῦ ἀλώσω μέλλοντος γινόμενος, τῇ μὲν φωνῇ ἐνεργητικός ἐστιν. ἥλων γὰρ ὡς ἔδων καὶ ἐβίων. τῇ δὲ συνθέσει παθητικός. ἥλων γὰρ ὑπὸ σοῦ φαμέν, καὶ οὐχ ἥλωνά σε. ἤγουν ἐλήφθην ὑπὸ σοῦ, καὶ οὐκ ἐλήφθην σε. ἔστιν ἀλῶ τὸ πορθῶ. ἐξ οὗ παράγωγον, ἀλῶμι. ὁ μέλλων, ἀλώσω. ὁ δεύτερος ἀόριστος, ἥλων. τὸ τρίτον, ἥλω. καὶ διαλύσει τοῦ η εἰς ε καὶ α, ἑάλω, τὸ ἐλήφθη.

Ἐάν. ἐκ τοῦ εἰ συναπτικοῦ συνδέσμου καὶ τοῦ ἂν παραπληρωματικοῦ, γίνεται εἰάν. καὶ ἀποβολῇ τοῦ ι, ἐάν.

Ἐάφθη. ἢ παρὰ τὸ ἐῶ ἐάθη, καὶ πλεονασμῷ τοῦ φ, ἢ παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ, εἵφθη. ἵν᾽ ᾖ, ἐπηκολούθη. καὶ ἐν διαιρέσει τῆς ει διφθόγγου εἰς ε καὶ α, ἐάφθη. ἔστι δὲ τὸ πάθος μονῆρες, καὶ οὐδὲν αὐτῷ ὅμοιον. οὐ γὰρ εἰς ε καὶ ι διελύθη, οὐδὲ εἰς δύο εε, ἀλλ᾽ εἰς ε καὶ α.

Ἐά, σημαίνει δύο. τὰ ἀγαθά. ὥσπερ τὸ, Θεοὶ δωτῆρες ἐάων. καὶ τὰ ἑαυτοῦ. ὡς τὸ, Ἑὰ πρὸς δώματα καλά. εἴρηται ὅτι τὰ ἀγαθὰ ἰδιοποιούμεθα. τὰ δὲ κακὰ ἀπαλλοτριοῦμεν. ἐὸν γὰρ τὸ ἴδιον, παρὰ τὸ ἕω τὸ κορεννύω. οἷον, Ἐπεί χ᾽ ἑώμεν πολέμοιο. σημαίνει τὸ ἀγαθόν, ἀφ᾽ οὗ ἐΰς. τὸ θηλυκὸν, ἐή. ὡς ἀγαθὸς ἀγαθή. τὸ πληθυντικὸν, ἐαὶ ἐῶν. καὶ ἐν διαλύσει, ἐάων. ὡς πυλῶν πυλάων. τίθεται δὲ ἡ λέξις, ἐπὶ τῶν τριῶν γενῶν. ἔστι γὰρ ἀρσενικὸν, ἐΰς, ὁ ἀγαθός. τὸ θηλυκὸν, ἐή. καὶ τὸ οὐδέτερον, ἐόν. τὸ δὲ ἐὸν οὐκ ἐκλίθη. ἀλλ᾽ ἐὰ τὰ ἀγαθὰ, ἵνα μὴ συνεμπέσῃ τῇ ἐὸν μετοχῇ.

Ἔαρ, παρὰ τὸ αὔω, ὃ σημαίνει τὸ φαίνω, ἢ τὸ λάμπω. ἀπὸ τοῦ αἵματος. διὰ τὸ ἐν τῷ ἔαρι πλεονάζειν τὸ αἷμα. ἀπὸ δὲ τοῦ καιροῦ, παρὰ τὸ ἕω τὸ πέμπω. τότε γὰρ ἐκπέμπονται οἱ καρποί, ἀπὸ τοῦ τὰ συνεχόμενα τῷ χειμῶνι καὶ μεμυκότα τότε προϊέναι.

Ἔασι, ῥῆμα τῶν εἰς μι ἰωνικῶς. ταῦτα δὲ τὰ τρία ἰωνικά. ἔστι δὲ ἐκ τοῦ εἰμὶ εἶς, ἐστί. τὸ πληθυντικὸν, ἐσμὲν, ἐστέ, εἰσί. τὸ ἰωνικὸν ἔασιν, ὑπάρχουσι. τὸ δὲ εἰμὶ τὸ ὑπάρχω, τετάρτης ἐστὶ συζυγίας τῶν εἰς μι. καὶ γίνεται ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων. ἀπὸ τοῦ ἕω τὸ ὑπάρχω, παράγωγον ἐμί. καὶ ἐπειδὴ τὰ εἰς μι φύσει μακρᾷ παραλήγεται, πλεονάζει τὸ ι καὶ γίνεται εἰμί. τὰ δὲ ἀπὸ βαρυτόνου μεταγόμενα εἰς μι ἰσοσύλλαβα τοῖς πρωτοτύποις. οἷον πήγνυμι πηγνύω. τὰ δὲ ἀπὸ περισπωμένων πλεονάζει μίαν συλλαβήν, οἷον τιθῶ τίθημι.

Ἕαται, ῥῆμα τῶν εἰς μι, παθητικὸς ἐνεστώς. εἴωθεν ὁ ποιητὴς ἐπὶ τοῦ κεῖνται καὶ ἧνται ποιεῖν, ὡς ἀπὸ περισπωμένου τὸ ἰωνικόν. ἕεμαι γάρ ἐστι. καὶ κράσει, ἧμαι, ἧται, ἧνται. καὶ ἰωνικῶς, ἕαται. οὕτω κεῖνται κέαται καὶ κείαται. Δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει. καὶ ἐπὶ μὲν τοῦ ἧμαι τοῦ κάθημαι, τὰ δύο εε εἰς η κιρνᾶται. ἐπὶ δὲ τοῦ κεῖμαι, τὰ δύο εε εἰς τὴν ει δίφθογγον. κέεμαι κεῖμαι. διὰ τί, ἐπειδὴ ἡ ἀρχὴ αὐτῶν ἐστιν ἡ αἰτία. ὅτι τὸ μὲν, ἀπὸ φωνήεντος ἄρχεται. τὸ δὲ, ἀπὸ συμφώνου.

Ἐάσκεν. ἐάω ἐῶ, ἐάσω. πλεονασμῷ τοῦ κ, ἐάσκω. τὸ α, κατὰ συστολήν. τὰ γὰρ διὰ τοῦ σκω περισπώμενα ἰωνικά, βραχεῖαν ἔχει τὴν παραλήγουσαν.

Ἑανός, τὸ ἱμάτιον. Χερσὶ δ᾽ ἐν νεκταρέου ἑανοῦ. τὸ α, μακρὸν καὶ βραχὺ κατὰ ποιητικὴν ἄδειαν. γένους ἐστὶν ἀρσενικοῦ. ἀπὸ τοῦ ἕω τὸ ἐνδύομαι. ὁ μέλλων, ἕσω. ἐξ αὐτοῦ παράγωγον ἐννύω, πλεονασμῷ ἑτέρου ν. ἐξ αὐτοῦ ἑανόν, τὸ ἐνδυόμενον. ὁ δὲ Θρᾷξ ἐξηγεῖται ἑανὸν τὸ λεπτόν. παρὰ τὸ ἕω τὸ ἀφίκνω. ὡς καὶ τὸ, Ἑανοῦ κασσιτέροιο. τοῦ λεπτοῦ ἐληλασμένου. ἑανὸν, σημαίνει τρία. ἔνδυμα γυναικεῖον, καὶ πέπλον, παρὰ τὸ ἐννύσθαι. ὡς τὸ, Πέπλον μὲν κατέχευεν ἑανόν. καὶ τὸ εὐδιάχυτον. ὡς τὸ, Ἑανοῦ κασσιτέροιο. ἀπὸ τοῦ κατὰ τὴν χωνείαν ἀνίεσθαι. ὅταν δὲ λέγῃ ὅτι Ἑανῷ λιτὶ κάλυψαν, ἀντὶ τοῦ ἐπιβολαίῳ καὶ λεπτῷ ὑφάσματι.

Ἔβασον, ἀντὶ τοῦ ἔασον. συγχώρησον. οὕτως συρακούσιοι καὶ λάκωνες. γέγονε δὲ πλεονασμῷ τοῦ β. τὸ γὰρ ἔασον, ἔβασον φασί. καὶ τὸ ἔαται, ἔβαται. καὶ τὸ ἕα, ἔβα.

Ἐβλαστηκότες. Ἐκ τῶν ἀγρῶν ἥκουσιν ἐβλαστηκότες ἀττικῶς. βεβλαστηκότες, ἀποβολῇ τοῦ β. ὥσπερ βεβριγωμένης, ἐβριγωμένης. οἱ γὰρ ἀττικοὶ ἀποβάλλουσι σύμφωνον. οἱ δὲ αἰολεῖς, προσνέμουσι τὸ ἐπτερύγωμαι. οὕτως Ἡρωδιανός.

Ἕβδομος. ἀπὸ τοῦ ἑπτά, ἕπτομος καὶ ἕβδομος κατ᾽ ἐναλλαγὴν τῶν στοιχείων. ὡς καὶ παρὰ τὸ ὀκτώ, ὄκτος καὶ ὄγδοος. ἢ παρὰ τὸ ἑπτά, ἑπτόματος καὶ ἑβδόματος, τροπῇ τοῦ π εἰς β. καὶ κατὰ συγκοπὴν, ἕβδομος. ὡς παρὰ τὸ τρία, τρίατος καὶ τρίτος.

Ἑβδομευόμενα. τοῖς ἀποτεχθεῖσι παισὶ τὰς ἑβδομάδας καὶ τὰς δεκάδας ἦγον. καὶ τά γε ὀνόματα ἐτίθεσαν τότε αὐτοῖς. οἱ μὲν, τῇ ἑβδόμῃ. οἱ δὲ, τῇ δεκάτῃ. ἐκ τοῦ τρίτου.

Ἑβδομήκοντα. τὰ διὰ τοῦ κοντα ἀριθμητικά, θέλουσιν ἔχειν πρὸ τοῦ κ φωνῆεν τὸ η. ἀπὸ γοῦν τοῦ ἕξ, γέγονεν ἑξήκοντα. καὶ τοῦ ἑξάκις, ἑξήκοντα τροπῇ δωρικῇ τοῦ α εἰς η. τὸ δὲ ἑβδομήκοντα καὶ ὀγδοήκοντα, διὰ τοῦ ο. ἀλλ᾽ ἐπειδὴ τὰ διὰ τοῦ κοντα ἀριθμητικά, οὐ θέλουσι προπαραλήγεσθαι οὔτε τῷ ο, οὔτε τῷ ε, ἐξ ἀνάγκης ἔτρεψε τὸ ο εἰς η, καὶ γέγονεν ἑβδομήκοντα καὶ ὀγδοήκοντα. καὶ ὁ ἐνενήκοντα, γέγονεν ἀπὸ τοῦ ἐννεάκοντα. καὶ καθ᾽ ὑπέρθεσιν, ἐνενάκοντα. καὶ τροπῇ τοῦ α εἰς η, ἐνενήκοντα.

Ἐγδούπησαν, ἐδούπησε. καὶ πλεονασμῷ τοῦ γ.

Ἐγγυθήκη, σκεῦος τι. οἱ δὲ, ἄγγος χωρητικὸν σκευῶν. ἢ τὴν νῦν ἀγγοθήκην, παρὰ τὸ ἐγγὺς κεῖσθαι.

Ἐγγύς, ἐπίρρημα τοπικόν. ποίας σχέσεως τῶν τοπικῶν, τῆς ἐν τόπῳ. ἐκ τοῦ ἐγγίζω ἐγγίσω, ἐγγίς, καὶ ἐγγύς. τροπῇ τοῦ ι, παρ᾽ αἰολεῦσιν εἰς υ. ὡς ἀφροδίτη, ἀφροδύτη. ἢ παρὰ τὴν γῦν τὴν καὶ γῆν καλουμένην, καὶ τῆς ἐν προθέσεως, γίνεται ἐγγύς. ὡς ἄν τις εἴποι ἐν γῇ, ἧς οὐδὲν τῶν ἄλλων στοιχείων πλησιαίτερον ἀνθρώπῳ χερσαίῳ ὄντι. ἢ παρὰ τὸ γῆ καὶ τὴν ἐν πρόθεσιν, ὅ ἐστι τὸ πλησίον. ὁ πλησιέστερος.

Ἐγγυτέρω, ὡς τὰ ἐν ἀέρι καὶ θαλάσσῃ κάτω πάντα οὐκ ἐπὶ γῆς. μικτὰ ἡμῖν. ἀλλὰ κεχώρισται παρὰ τὰ ἐν γῇ τυγχάνοντα.

Ἐγγίζω, παρὰ τὸ ἐγγύς. τοῦτο παρὰ τὴν ἐν πρόθεσιν καὶ τὸ γῆ. κυρίως ὁ πλησιαίτερος ὑπάρχων.

Ἐγγενής, ὁ ἀστός. ἐξ ἀστῶν, οὕτω καλεῖται.

Ἔγγιον, ἐγγύτερον. παρὰ τὸ ἐγγὺς ἔγγιον. τῆς πρώτης οὐσίας ὅλην. οἱ δὲ ἐρρέθη ὅταν τὸ ἐν τῇ γῇ θέλωσι δηλῶσαι, ἔγγιον λέγουσιν. ἐκ τοῦ ῥητορικοῦ.

Ἐγγύη, ἡ περὶ ἀσφάλεια πίστις, ἢ ἡ δόσις χρημάτων, ἢ γάμου. ἔνθεν ἐγγυῶ, τὸ ἐκδίδωμι καὶ κατεγγυῶ. παρὰ τὸ γῆ, γίνεται γύη, καὶ ἐγγύη, ἡ ἀσφαλὴς καὶ ἐστηριγμένη δόσις. δοκεῖ γὰρ ἡ γῆ τῶν ἄλλων στοιχείων σταθηροτέρα εἶναι.

Ἐγγυῶμαι, οἷον ἐν χερσὶ φυλάττω. ὅθεν καὶ ἐγχειρίσαι, τὸ δοῦναι. κυρίως δέ, ὁ τὸ ὑποκείμενον ἀνέπαφον παρεχόμενος.

Ἐγγυαλίξαι, ἀντὶ ἐγχειρίσαι. παρασχεῖν. κυρίως τὸ ἐγγυῆσαι παρὰ τὸ γυῖον, ἢ τὸ εἰς χεῖρας παρασχεῖν. γυῖα γὰρ αἱ χεῖρες, παρὰ τὸ γυῶ τὸ χωρῶ καὶ δέχομαι, καὶ λαμβάνω. ἃς πρὸς τὸ λαβεῖν ἢ συνέχειν ἐδημιούργησεν ἡ φύσις. ἐκ τοῦ γυῶ, παράγωγον γυίω. ἀφ' οὗ καὶ γύωρος. καὶ ἑτέρα παραγωγὴ γυίζω. καὶ ἐν συνθέσει κατὰ πλεονασμὸν τῆς αλ συλλαβῆς, γυαλίζω. κυρίως γὰρ λέγεται γυαλίζειν, τὸ εἰς χεῖρας δοῦναί τινι καὶ παρασχεῖν.

Ἐγγυητής, ὁ ἀναδεχόμενος δίκην. λέγεται ἐγγυήσασθαι, καὶ τὸ μνηστεύσασθαι.

Ἐγεγάτην. Ἄμφω δ' ἐγεγάτην φάος ἀμβρότου ἠελίοιο. μέσος παρακείμενος. γ' πρόσωπον τῶν δυϊκῶν. ἀπὸ τοῦ γείνω ὁ μέσος παρακείμενος, γέγονα. ὡς κείρω, κέκορα. καὶ τὸ δυϊκόν, γεγόνατον. καὶ ἐν συγκοπῇ, γέγατον. καὶ μετὰ τῆς ἐν προθέσεως, ἐγέγατον.

Εὐλαί, Μή μοι τόφρα μενοιτίου ἄλκιμον υἱὸν μυῖαι καδδῦσαι κατὰ χαλκοτύπους ὠτειλάς, εὐλὰς ἐγγείνωνται. ἀντὶ τοῦ μὴ σκώληκας ἐγγεννήσωσι. παρὰ τὸ γείνω τὸ γεννῶ καὶ τῆς ἐν προθέσεως. ἐν ἐκτροπῇ γὰρ αἱ μυῖαι τίκτουσιν ἔξω, ἐξ οὗ οἱ σκώληκες τίκτονται. εὐλαὶ δὲ εἴρηνται, παρὰ τὴν εἴλησιν οἱ σκώληκες. ἐκ τοῦ εἰλῶ τὸ συστρέφω, εἰλή. καὶ πλεονασμῷ τοῦ υ, εὐλή.

Ἐγγλωττογάστορες. πεποίηται παρὰ τὸ διὰ γλώσσης καὶ διὰ λόγων τρέφεσθαι.

Ἐγέρθω. ἀπὸ τοῦ ἐγείρω ἐγερῶ, γίνεται ἔγερτος. καὶ κατὰ γο-

Ἐγενέσθην. γείνω, γενῶ. ὁ δεύτερος 〈πὴν, ἐγέρθω. ἀόριστος, ἔγενον. ὁ μέσος, ἐγενόμην. τὸ δυϊκόν, ἐγενέσθον. τὸ τρίτον, ἐγενέσθην.

Ἐγκάναξον, ἀντὶ τοῦ ἔγχεε. ἀριστοφάνης. Ἄκρατον ἐγκάναξον μοι πολύν. παρὰ τὸ κανῶ. οἱ δὲ στρατιῶται ἐπὶ τοῦ θορύβου τάττουσι τὴν λέξιν. παρὰ τὴν καναχήν, ἤτοι τὸν κτύπον. ἐγκανάξαι οὖν, τὸ ἐγχέαι μετὰ ψόφου. ὅ ἐστι πολύ, ὥστε ἠχεῖν ἢ θορυβεῖν.

Ἔγκατα, τὰ ἔντερα. ἀπὸ τοῦ ἐγκατέχειν τὴν τροφήν. λέγεται δὲ τὸ ἧπαρ καὶ ὁ σπλήν, καὶ τὰ περὶ τὸν πνεύμονα. ἔντερον δέ, οὐκ ἔγκατον. τὸ δὲ ἔντερον, οἷον ἕτερον καὶ οὐχ ὅμοιον. ἢ παρὰ τὸ ἐντὸς κεῖσθαι τῶν μελῶν.

Ἔντερα, οἱονεὶ ἐνδότερά τινα ὄντα. ἀπὸ τοῦ διαι-τωνεῖν τὰ ἀπὸ τῆς τροφῆς περὶ τὰ σώματα. ἢ παρὰ τὸ ἐμ-

Ἔγκασιν. ἡ δοτικὴ τῶν πληθυντικῶν, 〈δυνεῖσθαι. τοῖς ἐγκάτοισι. καὶ ἀποβολῇ τῆς τι συλλαβῆς, ἔγκασιν. οὐκ ἔστι δὲ συγκοπή. μάχεται γὰρ ἡ ἐπέκτασις συγκοπῇ. ἐναντίον γάρ. ἀμφοῖν οὖν μετὰ πλεονασμὸν λέγειν. ἔστι γὰρ ἐγκάτοισι. καὶ κατὰ πλεονασμόν, ἔγκασιν. ὡς προβάτοις, προβάσιν. ἄστροις, ἄστρασιν.

Ἔγκαφος, τὸ ἐλάχιστον. εὔπολις. Οὐ τἀρλέλης αὐτῶν ἐμβῆ, οὐδ' ἔγκαφος. παρὰ τὸ ἐγκύπτω, τὸ μὴ δὲ ἐγκύ-〈ψαι ἀρκοῦν.

Ἐγκάρσιον, πλάγιον. παρὰ τὸ κείρω τὸ κόπτω. ὁμήρου αἰολικῶς, κέρσω. ἐξ αὐτοῦ κέρσιος καὶ ἐγκάρσιος κατὰ τροπήν, ὁ πλάγιος.

Ἐγκάρδιον, τὸ μεγάλως δεινὸν καὶ ἁπτόμενον τῆς καρδίας. ἢ τὸ κρύφιον. ἢ τὸ ἐξ ἰσχυρᾶς διαθέσεως.

Ἐγκέφαλος, παρὰ τὸ ἐγκεῖσθαι τῇ κεφαλῇ. ἢ παρὰ τὸ ἐκκεῖσθαι τὰ φάη. ἢ ἔγκρανος, παρὰ τὸ ἐγκεῖσθαι ἰδιώτερον τῷ κρανίῳ. τί δέ ἐστιν ἐγκέφαλος. λευκὸς καὶ μαλακός, ὡς ὑπὸ ἀφροῦ τινὸς πεπηγώς, θερμὸς καὶ 〈ὑγρός.

Ἐγκέλαδος, ὁ τρίχος ἦχον ἐν τῇ κινήσει τῇ πολεμικῇ ἀποτελοῦσα, ἢ ἐγκελευομένη. ἢ ἀπὸ τοῦ ἐγκε-〈λάδου τοῦ γίγαντος.

Ἐγκνίδας, πλαγίας. σανίδας.

Ἐγκαλῶ, ἔγκλησιν εἰσάγω καὶ καταδίκην.

Ἐγκεκαυμένη, ἐζωγραφημένη. ἐπεὶ ἐγκαυταὶ λέγονται οἱ ζωγράφοι, οἱ διαγράφοντες τοὺς τοίχους. ἴσως παρὰ τὸ καίω τὸ κοιλαίνω. ἐκ τοῦ ῥητορικοῦ.

Ἐγκεκοισυρωμένος, ὑπερήφανος. κεκαλλωπισμένος. ἀριστοφάνης. Σεμνὴν τρυφῶσαν ἐγκεκοισυρωμένην. εἴρηται παρὰ τὴν κοισύραν, ἥτις ἦν μήτηρ μεγακλέους, καὶ ἀλκμαίωνος γυνή, ὑπερήφανος. καὶ καλλωπίσμασι πολλοῖς χαίρουσα. εἰς δὲ τὸ λεξικὸν κεῖται ἀντὶ τοῦ τρυφῶσαν.

Ἐγκεκορδυλημένος, ἀριστοφάνης κέχρηται ἀντὶ τοῦ ἐνειλημένος, ἢ συνεστραμμένος. παρὰ τὴν κορδύλην, ἥτις ἐστὶν οἴδημα τῆς κεφαλῆς ὑπὸ πληγῆς γενομένης. ἥτις παρὰ τὸ κάρα εἴρηται. καὶ γὰρ κορδύλην κύπριοι λέγουσι τὸ ἐνείλημα τῆς κεφαλῆς. ὃ ὑπὸ ἀθηναῖοι μὲν κρώβυλον καλοῦσι. πέρσαι δὲ κίδαριν. ἔστι καὶ ῥητορική.

Ἐγκιλικίζειν, τὸ πονηρεύεσθαι ἀπὸ τῆς τῶν κιλίκων πονηρίας. κίλικες γὰρ ἔθνος ἐπὶ πονηρίᾳ διαβαλλόμενον. φερεκράτης. Ἀεὶ ποθ' ἡμῖν ἐγκιλικίζουσιν οἱ θεοί. ἐκ ῥη-〈τορικῆς.

Ἐγκινούμενος, βαβυλωνίοις ἀριστοφάνης. Ἀνὴρ τίς ἡμῖν ἐστιν ἐγκινούμενος. ῥητορική. παρὰ τὸ κινῶ καὶ ἐμπο-〈δίζων.

Ἐγκόμβωμα, ὁ δεσμὸς τῶν χειρίδων, ὃ λέγεται ὑπ' ἀθηναίοις, ὁ χθοίβος. ὑπὸ δὲ ἄλλων, κοσύμβη. εἴρηται παρὰ τὸν κόμβον. κόμβος γὰρ ὁ ὑψηλὸς τόπος. ἀφ' οὗ τὸ κομπάζειν τινὲς θέλουσιν εἰρῆσθαι. ἀπολλόδωρος. Τὴν ἐπωμίδα πτύξας διπλῶς ἄνωθεν ἐνεκομβωσάμην. ἐπίχαρμος. Εἶπε μὲν ὅτι κεκόμβωται καλῶς ἀμύκῳ. εἴρηται ἄνω.

Ἐγκονεῖν λέγεται, τὸ μετὰ σπουδῆς ἐνεργεῖν καὶ κατεπείγεσθαι. ἀπὸ τοῦ κόνις κονῶ, καὶ ἐγκονῶ. οἱ γὰρ ἐπειγόμενοί τι πράττειν, κατὰ τὸν δρόμον ἐγείρουσι κόνιν.

Ἐγένετο. τὸ ἐγένετο, σημαίνει ὀκτὼ παρὰ τῇ θείᾳ γραφῇ. κατὰ δόκησιν. ὡς τό, ΙΗΣΟΥΣ ΧΡΙΣΤΟΣ ἐγένετο ὑπὲρ ἡμῶν κατάρα. κατὰ παραγωγήν. ὡς τό, Εἶπεν ὁ θεός γενηθήτω φῶς. κατὰ ὑποβολὴν τοῦ ὑποκειμένου. οἷον, Ἡ γυνὴ τοῦ λὼτ ἐγένετο στήλη ἁλός. κατὰ αὔξησιν. οἷον, Ὁ κόκκος τοῦ σινάπεως ἐγένετο εἰς δένδρον μέγα. κατὰ μείωσιν, ὡς τό, Γέγονα γέρων, καὶ οὐκ ἔστιν ἐν ἐμοὶ ἰσχύς. κατὰ ἐνέργειαν, ὡς τό, Ἐγένετο ὁ θεὸς ἐλπὶς σωτηρίας τοῦ κόσμου. κατὰ πάθος, ὡς τό, Γέγονα ὡσεὶ κωφὸς καὶ ἄλαλος. κατὰ πρόσληψιν. οἷον, Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι.

Ἐγκώμιον, παρὰ τὸ ἐν κώμαις ᾄδεσθαι. κώμας γὰρ ἔλεγον οἱ παλαιοὶ τοὺς στενωπούς, καὶ τὰ ἄμφοδα. ἤρχοντο γὰρ τῇ νυκτί, οἵτινες παρά τινος μεγιστᾶνος ἐβλάβησαν. καὶ εἰς τὰ ἄμφοδα ἱστάμενοι ἐκακολόγουν καὶ ὕβριζον τὸν ἀδικοῦντα. τὴν γὰρ νύκτα ἤρχοντό τινες καὶ ἔλεγον ὅστις ἐποίει κακὰ πράγματα καὶ ἐκακολόγουν αὐτούς.

Ἐγκρασίχολοι. ὀξύχολοι. κεκραμένοι. χολὴν ἐν τῇ κεφαλῇ ἔχοντες. οἱ δ' ἰχθύες ἐν τῇ κεφαλῇ ἔχουσι τὴν χολήν.

Ἐγκτῆνες, οἱ βοιώτιοι οὕτως ὠνομάζοντο. ὥσπερ καὶ ὕαντες. διὰ τὸ κτηνώδεις εἶναι καὶ χοιρώδεις.

Ἐγκυτί, ἐπίρρημα σημαῖνον τὸ ἐν χρῷ. ἀρχίλοχος. Χαίτην ἀπ' ὤμων ἐγκυτὶ κεκαρμένος. τουτέστι πρὸς αὐτῷ τῷ δέρματι. παρὰ τὸ κύτος, ὃ καὶ σκύτος καλεῖται.

Ἐγκυσίχωλος. παρὰ τὸν κύσον, ὁ ἀπὸ τοῦ κύσου χωλός, καὶ ἀπὸ τῆς κοτύλης. κύσον γὰρ εἰώθασιν οἱ κωμικοὶ καὶ τὸν πρωκτὸν καλεῖν. περὶ ὃν ἡ κοτύλη. ἔστι καὶ ῥητορική.

Ἐγκυκλίους, λειτουργίας τὰς καθ' ἕκαστον ἐνιαυτόν. κύκλος γὰρ ὁ ἐνιαυτός. ἀπὸ τοῦ ἐγκυκλεῖσθαι τῇ τῶν ἡ-〈μερῶν περιόδῳ.

Ἐγκύκλιον, ἁπανταχοῦ καθολικόν.

Ἐγλαπῆναι, ἐγγλυφῆναι. ἐπὶ τῶν νεοσσῶν κυρίως, πα-〈ρὰ τὸ λέπος.

Ἐγγλυμμένος. ἐκ τοῦ γεγλυμμένος. οἷον, Ὡς οἴχεται μὲν τυρὸς ἐξεγλυμμένος.

Ἐγνώσθην, καὶ ἐδυνάσθην. ἰστέον ὅτι οὐκ εἰσὶν ἀπὸ τῶν εἰς μι. ἦσαν γὰρ ἂν οὕτω. γνῶμι. ὁ μέλλων γνώσω. ὁ παρακείμενος ἔγνωκα. ὁ παθητικός, ἔγνωμαι διὰ τοῦ ο. ἐπειδὴ ἐν τοῖς εἰς μι τὴν παραλήγουσαν συστέλλει τὰ παθητικά. οἷον, δέδωκα δέδομαι, ἐδόθην. πέπωκα πέπομαι, ἐπόθην. καὶ ἀπὸ τοῦ δύνημι δυνήσω δεδύνηκα. καὶ ὁ παθητικὸς εἶχεν εἶναι δεδύνημαι. καὶ ἐδυνάθην. ὡς βίβημι βήσω βέβηκα, βέβαμαι ἐβάθην, καὶ παρεβάθην. ἀλλ' εἰσὶν ἀπὸ τῶν εἰς ω. ἔστι γνώω ῥῆμα. ὁ μέλλων γνώσω. ὁ παρακείμενος, ἔγνωκα. ὁ παθητικός, ἔγνωσμαι. ὁ ἀόριστος, ἐγνώσθην. καὶ ἀπὸ τοῦ δυνάζω. ὁ μέλλων, δυνάσω. ὁ παρακείμενος, δεδύνακα. ὁ παθητικός, δεδύνασμαι. ἐδυνάσθην. καὶ ἀττικῶς, ἠδυνάσθην. καὶ ἀπὸ τοῦ δυνῶ δυνᾷς δευτέρας συζυγίας τῶν περισπωμένων, ὁ μέλλων δυνήσω. δεδύνηκα. δεδύνημαι. ἐδυνήθην καὶ ἠδυνήθην.

Ἔγρετο δ' ἐξ ὕπνου. διηγέρθη. ἐγρηγόρησεν. ἐκ τοῦ ἐγείρω, ἔγρω. ἔγρομαι. ἐγρόμην. ἔγρου, ἔγρετο.

Ἐγρεκύδοιμος, ἡ ἐγείρουσα κυδοιμὸν τοῖς ἐναντίοις.

Ἐγρηγόρσιον, τὸ ποιοῦν ἐγρηγορέναι εἴτε βρῶμα, εἴτε ἄλλο τι τοιοῦτον. φερεκράτης ἐγρηγόρσιον, τουτέστι παννυστάλον. ῥητορική.

Ἐγρηγορῶ, ἀπὸ τοῦ ἐγείρω, ἤγερκα. ὁ μέσος, ἤγερα. καὶ ἀττικῶς, ἐγήγερα. καὶ τροπῇ τοῦ ε εἰς ο, καὶ πλεονασμῷ τοῦ ρ, ἐγρήγορα. ἀπὸ δὲ τοῦ ἐγρήγορα γίνεται ἐγρηγορέω ἐγρηγορῶ. ἐγρηγορήσω. ὁ παρακείμενος, ἐγρηγόρηκα. καὶ ὁ μέσος ἐγρήγορα. ἐν δὲ τῇ γὰρ μιᾷ συλλαβῇ ἀπὸ τοῦ περισπωμένου. καὶ προσθέσει τοῦ θ, ἐγρήγορθα.

Ἐγηγερμένος, ἐγείρω. ὁ μέλλων ἐγερῶ. ὁ παρακείμενος, ἤγερκα. ὁ παθητικός, ἤγερμαι, καὶ ἐγήγερμαι. ὅτε τὸ θέμα ἄρχεται ἀπὸ τοῦ α. ε. ο. ποιοῦσιν οἱ ἀττικοὶ ἴδιον παρακείμενον συμφώνου ἐπιφερομένου. μηδούσης τῆς προτέρας συλλαβῆς ἑλληνικῆς. ἀλλὰ τῆς δευτέρας ἀρκτικῆς. μήτε ἄρχηται ἀπὸ μακρᾶς, ὡς τὸ ᾄδω. ἡ μετοχὴ ἐγηγερμένος. διὰ τί προπαροξύνεται. αἱ εἰς μενος μετοχαί, προπαροξύνονται, πλὴν τοῦ παθητικοῦ παρακειμένου. καὶ οὗτος εἰ μὴ κατὰ πάθος ὦσιν ὡς τὸ ἁρμενος ἄρμενος. καὶ τῶν ὁμοίων. Ἰστέον ὅτι τὸ ἐγρήγορα, ἀπὸ τοῦ ἐγείρω. ὁ παρακείμενος, ἤγερκα. ὁ μέσος ἤγορα. καὶ ἀττικῶς, ἐγήγορα. καὶ πλεονασμῷ τοῦ ρ καὶ ἐπενθέσει ἐγρήγορθα. ἰλιάδος κ. Φθέγγεο δ' ᾗ κεν ἴῃσθα. καὶ ἐγρήγορθε ἄνωχθι. καὶ ἔνθα ἂν πορευθῇς ἐγρηγορέναι κέλευε. ὤφειλε προπαροξύνεσθαι, εἴτε συγκοπή ἐστι τοῦ ἐγρηγορέναι, εἴτε ἀπὸ τοῦ ἐγείρω. ὅτι τὰ εἰς σθαι ἀπαρέμφατα ἔχοντα πρὸ τοῦ θ ἢ τὰ ἀμετάβολον, προπαροξύνονται. κεκάρθαι. τετάλθαι. ἐσπάρθαι. ἀλλ' ἐπεὶ τὰ παραλήγοντα τῇ ορ συλλαβῇ αἰολικά εἰσιν, ὡς ἔφθορθαι. μέμορθαι. τέτορθαι, προπαροξύνονται. ὅθεν ἡ παραλήγουσα αἰολικωτέρα ἐστὶ καὶ ὁ τόνος ὁμοίως.

Ἐγχέλυς, παρὰ τὸ ἐγχεῖσθαι ἐν τῇ ὕλῃ, ὅ ἐστι ζωγρεῖσθαι. ἀριστοφάνης ἱππεῦσιν. Ὥσπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πεπόνθασιν, ὅταν μὲν ἡ λίμνη καταστῇ λαμβάνουσιν οὐδέν, ἐὰν δὲ ἄνω τε καὶ κάτω τὸν βόρβορον ἀνακυκῶσιν αἱροῦσιν.

Ἐγχέλη, χώρα ἰλλυρική. οἷον, Ἀνδράσιν ἐγχελέεσιν ἐφέστιοι. κλίνεται ἐγχέλιος. τὸ δὲ παρὰ ἀριστοφάνει. Τὰς δ' οὖς τῶν ἐγχελέων. ἀπὸ τοῦ ἔγχελις ἐγχέλεως ἐστίν, ὡς 〈ὄφις ὄφεως.

Ἔγχος, τὸ δόρυ. παρὰ τὸ ἔχω ἔχος καὶ ἔγχος. Ἰστέον ὅτι ἔγχος καὶ ξίφος καὶ δόρυ τὸ αὐτὸ οἶδεν ὅμηρος. ὁ δὲ σοφοκλῆς τὴν σφαῖραν ἔγχος κέκληκεν. οἷον Τὸ δ' ἔγχος ἐν ποσὶ κυλίνδεται. καὶ τὸ πῦρ, οἷον, Ἔγχος ἱέμενος τὸ τὴν ὁρμὴν ἔχον. εἰς τὸ ὑλακόμος.

Ἐγχεσίμωρος, τοῖς ἔγχεσι μαινόμενος.

Ἐγχέσπαλοι, πάλλοντες καὶ κινοῦντες τὰ δόρατα. πολεμ-

ποι. ἔστιον δὲ αὐτὰ πρὸ τῆς ἀφέσεως, μήποτε ὕδρα εἰς ἓν κλασθέντα. ἐκ τοῦ ἔγχος καὶ τοῦ πάλλω τὸ κινῶ διαθέσεως ἐνεργητικῆς. διατί, τὰ ἔγχος σύνθετα εἰς ἐνέργειαν καὶ εἰς πάθος ἀναλυόμενα, δύο τόνους ἐπιδέχονται.

Ἐγχείμαργος, ὁ μαινόμενος τῷ δόρατι. παρὰ τὴν ἔγχει δοτικὴν, καὶ μαργαίνω, τὸ μαίνομαι.

Ἐγχείησι, ταῖς ἐπιδράξεσιν. ἡ εὐθεῖα, ἐγχεία. καὶ ὤφειλε προπαροξύνεσθαι. τὰ γὰρ διὰ τοῦ εια ὑπὲρ πραγμάτων ταττόμενα, προπαροξύνεται. οἷον, ἀμάλθεια. ἔστι δὲ ἡ αἲξ, ἡ θρεψαμένη τὸν δία. καὶ ὑπώρεια, ὑπωρείη. τὸ δὲ ἐγχεία, ποιητικῶς ἐξετάθη. ἢ ἐκ τοῦ ἔγχος ἐγχέα, ὡς ἰτέα καὶ συκέα. καὶ πλεονασμῷ τοῦ ι, ἐγχεία. οἱ δὲ ἀττικοὶ ἐκτείνουσι τὸ α, ὡς ἐν τῷ ἱέρεια καὶ ἱερεία, ἐναλλάσσοντες μετὰ τοῦ τόνου ποιοῦσι. φυλάττουσι δὲ τὴν γραφήν.

Ἐγχειρίδιον, βιβλίον ἢ ἕτερόν τι, ἢ ξίφος, ἢ ὄργανον τμητικόν. παρὰ τὸ ἐν χειρὶ δοτικὴν ἐγχειρίδιον. ἢ παρὰ τὴν ἔγχει δοτικὴν καὶ τὸ ἴδιον, ἐγχίδιον. καὶ πλεονασμῷ τοῦ ρ ἐγχειρίδιον. τὸ ἴδιον τοῦ ἔγχους.

Ἐγχειρογάστορες, οἱ ἐκ τῶν χειρῶν ζῶντες.

Ἔγχουσα, εἶδος βοτάνης. ἡ καὶ διὰ τοῦ α λέγεται ἄγχουσα. ἀττικοὶ δὲ διὰ τοῦ ε. καὶ ἐγχουσίζεσθαι ἐπὶ τῶν γυναικῶν, τὸ τῇ ἐγχούσῃ χρίεσθαι τὸ πρόσωπον. Ἀγχούσῃ προσεοικὼς ἀκάνθῃ ἐν πετάλοισι. καὶ Ἀμειψίας. Ἀπονιπταβίζουσι δυοῖν ὀβολοῖν ἔγχουσαν καὶ ψιμμύθιον. εἴρηται παρὰ τὸ ἐγχεῖν τὸ ἐν τῇ ῥίζῃ ἐρυθρόν. οἷον, ἐγχέουσα τις οὖσα. ἔστι καὶ ῥητορική. Κοσμεῖσθαί τε τῇ ἐμῇ στολῇ, καὶ ψιμμυθιοῦσθαι, καὶ ἐγχουσίζεσθαι τὸ πρόσωπον.

Ἐγχυτρίζειν, τὸ ἀποκτείνειν. ἀπὸ τῶν ἐν ταῖς χύτραις ἐκτιθεμένων βρεφῶν. ἐκ τοῦ ῥητορικοῦ.

Ἐγχυτρίστριαι, αἳ τὰς χοὰς τοῖς τετελευτηκόσιν ἐπιφέρουσαι. ἔλεγον δὲ καὶ τὸ θλάψαι καταχυτρίσαι. ὡς Ἀριστοφάνης. ἐγχυτρίστριας δὲ λέγει καὶ ὅσαι τοὺς ἐναγεῖς καθαίρουσιν αἷμα ἐπιχέουσαι ἱερείου. καὶ τὰς θρηνητρίας. ἔτι γε μὴν καὶ τὰς μαίας τὰς ἐκτιθείσας ἐν χύτραις τὰ βρέφη.

Ἐγχρίπτουσα, προσρίβουσα. προσπελάζουσα. προσεγγίζουσα. οἱονεὶ τοῦ χρωτὸς προσαπτομένη. παρὰ τὸ χρώς, καὶ τὸ ἅπτω τὸ προσεγγίζω. ἢ παρὰ τὸ ἐν χρῷ, ὅ ἐστιν εἰς χρῶτα πάνυ ἐγγύς, ὥστε ἐφάπτεσθαι. ἐγχρῷ οὖν ἐγχραύω. παράγωγον ἐγχραύπτω, καὶ ἐγχρίπτω. ἐκβολῇ τοῦ α, καὶ τροπῇ τοῦ υ εἰς ι.

Ἐγχρῷ, ἐγγύς. καὶ πρὸς αὐτῷ τῷ χρωτί. ἀπὸ ποιότητος τῆς τι συλλαβῆς μετὰ τῆς ἐν προθέσεως, ἐν χρῷ. γράφεται δὲ μετὰ τοῦ ν, καὶ μετὰ τοῦ γ. ἐν χρῷ κουρά, ἡ ψιλὴ καὶ πρὸς τὸν χρῶτα. καὶ ἁπλῶς τὸ ἐν χρῷ τοῦτο δηλοῖ ἐγγύτατα. πάνυ ἐγγύς, ὥστε ἐφάπτεσθαι τοῦ χρωτός. ἀπὸ τοῦ ὁ χρὼς τοῦ χρωτὸς ἀττικῶς, τῷ χρῷ. τὸ δὲ ἐν χρῷ κουρίας, οὐκ ἔχει τὸ ι. ὑφ᾽ ἓν γὰρ εἴρηται. ἐν χρῷ κεκαρμένος. πρὸς αὐτῷ τῷ χρωτί, οἱονεὶ σύνεγγυς, καὶ πλησίον τοῦ δέρματος, τὰς τρίχας ἐξυρημένος.

Ἐγχώριος, ὁ ἐν τῇ χώρᾳ ὤν. τουτέστιν ὁ ἐπιδημῶν, εἴτε ξένος εἴη, εἴτε ἀστός.

Ἐγώ, διατί ὀξύνεται. αἱ πρωτότυποι ἀντωνυμίαι ἐν εὐθείᾳ οὖσαι ὀξύνονται. ἐγώ. ἡ γενική, ἐμοῦ. ὀκνῶν. οὐκ ἔχει. διατί, αἱ πρωτότυποι ἀντωνυμίαι κανόνας οὐκ ἔχουσιν. ἡ δοτική, ἐμοί. ἰστέον ὅτι ἡ ἐμοὶ καὶ σοὶ δοτικαί, ὀξύνονται. ἡ δὲ οἷ περισπᾶται. ἔδει γὰρ πάσας περισπᾶσθαι ὡς δοτικάς. λέγουσι δὲ ὅτι ἡ ἐμοὶ καὶ σοὶ καὶ σφὶν ἀντωνυμίαι ὀξύνονται. ἡ κλητική, οὐκ ἔχει. διατί. οὐδεὶς ἑαυτὸν καλεῖ. τὸ δεύτερον, σύ. τὸ τρίτον, οὐκ ἔχει. διατί, οὐδεὶς τὸν ἀπόντα καλεῖ. πόσοις προσώποις σύνεστιν ἡ ἀντωνυμία. τρισίν. ἐγὼ αὐτός. σὺ αὐτός. ἐκεῖνος αὐτός. πόσαι εὐθεῖαι τῶν ἀντωνυμιῶν. τρεῖς. ἐγώ. σύ. ὅς. ἡ γενική, ἐμοῦ. σοῦ. οὗ. ἀπὸ τοῦ ἐμοῦ, γίνεται ὁ ἐμός. ἡ ἐμή. τὸ ἐμόν. ἀπὸ δὲ τοῦ σοῦ, ὁ σός. ἡ σή. τὸ σόν. ἀπὸ δὲ τοῦ ὅς, ὁ ὅς, ἡ ἥ, τὸ ὅν. δυϊκά. νῶϊ, σφῶϊ, σφῶε. ἀπὸ τοῦ νῶϊ, γίνεται νωΐτερος. ἀπὸ τοῦ σφῶϊ, σφωΐτερος. ἀπὸ δὲ τοῦ σφῶε, παράγωγος ἀντωνυμία οὐ γίνεται διὰ τὸ μονόκλιτον αὐτῆς. πληθυντικαί, ἡμεῖς, ὑμεῖς, σφεῖς. ἀπὸ τοῦ ἡμεῖς, γίνεται ὁ ἡμέτερος. ἀπὸ τοῦ ὑμεῖς ὑμέτερος. ἀπὸ τοῦ σφεῖς, σφέτερος. πόσαι θεματικαὶ ἀντωνυμίαι, ἐννέα. οὗτος. αὕτη. τοῦτο. ὁ αὐτός, ἡ αὐτή, τὸ αὐτό. ὁ ἐκεῖνος, ἡ ἐκείνη, τὸ ἐκεῖνο. ὁ δεῖνα, καὶ ὁ δεῖνα κατὰ παραγωγήν. αὗται δὲ καλοῦνται θεματικαὶ καὶ δεικτικαὶ καὶ μονοπρόσωποι. θεματικαί, ὅτι ἑκάστη φωνὴ ἑαυτῆς ἐστι θέμα. καὶ οὐ καλεῖται ἑτέρα, ὑπὸ τῆς ἑτέρας. μονοπρόσωποι καλοῦνται, διὰ τὸ μὴ ἔχειν πρῶτον πρόσωπον.

Ἐγὼ ποίου προσώπου, πρώτου. ποίου γένους οὐκ ἔχει. διατί, γένη τῶν πρωτοτύπων διὰ μὲν τῆς φωνῆς οὐ διακρίνονται. διὰ δὲ τῆς ὑπ᾽ αὐτῶν δείξεως, οἷον ἐγώ.

Ἐγών, δωριέων διάλεκτός ἐστι. προσλαμβάνει τὸ ν. καὶ τὴν σὺ ἀντωνυμίαν λέγουσι μετὰ τοῦ ν, τύν. ὃ ὑπὸ προσθέσει τοῦ η, γίνεται τύνη. ἢ καὶ ὁ ποιητὴς ἐκκλίνων τὴν χασμῳδίαν τῶν φωνηέντων, εἶπε τὸ ἐγὼν μετὰ τοῦ ν. ὥς τό, Καὶ ἐγὼν ἐπίουρος ἐών. τὸ δὲ τύνη, ὃ ὑπὸ τὴν σύ ἐστιν ἀντωνυμία. ὥστε τό, Τύνη δ᾽ ἕστηκας. καὶ ἡσίοδος. Ἴθυνε θέμιστας τύνη. καὶ γὰρ φασὶν ἀντωνυμίαι κατ᾽ ἔκτασιν γινόμεναι. παρὰ γὰρ τὸ ἐγών, ἐγώνη. καὶ παρὰ τὴν ἐμήν, ἐμίνη. τίν, τίνη. οὕτω καὶ σύνη κατ᾽ ἐπέκτασιν τῆς νη συλλαβῆς. οὐ γὰρ μόνον τὸ ν ἐπλεόνασεν, ἀλλ᾽ ἡ νη συλλαβή. οὐ γὰρ λέγουσιν οἱ δωριεῖς τύν, ἵνα πλεονάσῃ μόνον τὸ ν, ἀλλὰ τύ λέγουσι, καὶ τύνα. ὅλη ἄρα ἡ νη προσῆλθε συλλαβή. ἐπεκτείνεται δὲ τὸ υ, ἵνα μὴ ἡ ἐπέκτασις μείζων τῆς ὅλης λέξεως γίνηται.

Ἔγωγε, ἀσύναρθρος ἀντωνυμία. διότι τὰ ἄρθρα ἀναφορὰν δηλοῦσιν. ἀναφορὰ δέ ἐστιν ἐγνωσμένου τινὸς καὶ ἀπόντος ἀναπόλησις. ἡ δὲ ἀντωνυμία, πρώτην δεῖξιν δηλοῖ. ἐναντία δὲ ἡ δεῖξις τῇ ἀναφορᾷ. ἰστέον δὲ ὅτι οἱ ἀθηναῖοι, τὸ ἐγώ, ἔγωγε λέγουσι. καὶ ἔστιν ἓν μέρος λόγου. εἰ γὰρ ἦσαν δύο μέρη λόγου, ἔγωγε ἔμελλεν εἶναι. πᾶσα γὰρ λέξις ὀξυνομένη ἐπιφερομένου ἐγκλιτικοῦ μορίου, φυλάσσει τὴν ὀξεῖαν τάσιν. οἷον σοφός, σοφός γε. καλός, καλός γε. ψευδής, ψευδής γε. οὕτως οὖν καὶ ἐγὼ ἔγωγε. ἀλλὰ μὴν ἔγωγε ἐστὶ προπαροξύτονον. καὶ δῆλον, ἓν μέρος λόγου ἐστὶ τῆς γε ἐπεκτάσεως οὔσης. Οὐδέ σ᾽ ἔγωγε λίσσομαι. προπαροξυτόνως. ἔστι γὰρ ἀττικόν, ὡς ἡ ἔμοιγε. οἷον, Πάρ᾽ ἔμοιγε καὶ ἄλλοι, οἵ κέ με τιμήσουσι.

Ἔγωμαι, ἐγὼ οἶμαι. κατὰ κρᾶσιν, ἔγῳμαι.

Ἔγωδα, ἐγὼ οἶδα. οὕτω μιλήσιος ὁ ὠρίων.

Ἔγωνγα. πᾶσα συλλαβὴ εἰς ν λήγουσα ἐν μιᾷ λέξει, ἢ συντεθεῖσα μεθ᾽ ἑτέρας συλλαβῆς ἀρχομένης ἀπὸ τοῦ γ. κ. ξ. χ, τρέπει τὸ ν εἰς γ. πρόσκειται ἐν μιᾷ λέξει, διὰ τὸ σύν γεωργίῳ. ἐν κεφαλαίῳ. διότι γὰρ μέρη λόγου εἰσί. δεῖ δὲ γινώσκειν, ὅτι τὸ ἔγωνγα καὶ ἴωνγα, δοκοῦσι τούτῳ τῷ κανόνι ἀντικεῖσθαι. ἔστι γὰρ ἐγώ. καὶ τοῦτο οἱ μὲν δωριεῖς ἐγὼν λέγειν. οἱ δὲ βοιωτοί, ἰών. εἶτα ταῦτα γίνεται κατ᾽ ἐπέκτασιν ἔγωνγα καὶ ἴωνγα. καὶ φέρει τὸ γα ἐν μιᾷ λέξει. καὶ οὐ τρέπει τὸ ν, εἰς γ. ἀλλ᾽ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν. ὅτι ὥσπερ τὸ ναὶ καὶ τὸ ει ἐπεκτείνεται, καὶ γίνεται ναίχι καὶ εἴθε, ἀλλ᾽ ἐφύλαξε τὴν αὐτὴν τάσιν ἣν εἶχον καὶ πρὸ τῆς ἐκτάσεως, τὸν αὐτὸν τρόπον καὶ τὸ ἐγὼν καὶ ἰὼν ἐπεκταθέντα καὶ γενόμενα ἔγωνγα, καὶ ἴωνγα, τὴν αὐτὴν σημασίαν ἐφύλαξε, λέγω δὴ τὴν πρὸ τῆς ἐκτάσεως. καὶ τὴν αὐτὴν τάσιν, λέγω δὴ τὴν ὀξεῖαν. τούτου χάριν καὶ τὴν αὐτὴν γραφὴν ἐφύλαξε, λέγω δὴ τὸ ν.

Ἐδάς, ὄνομα τοῦ ἑρμοῦ παρὰ γορτυνίοις. ἐάων εἶναι δοτῆρα. παρὰ τὸ ἐά, ἐάς, καὶ πλεονασμῷ τοῦ δ, ἐδάς.

Ἐδανόν, ἡδύ. εὐῶδες. παρὰ τὸ ἥδω τὸ εὐφραίνομαι, ἡδανόν. καὶ συστολῇ, ἐδανόν. Ἀμβροσίῳ ἐδανῷ.

Ἔδεσμα, ἐκ τοῦ ἔδω τὸ ἐσθίω. τὸ παθητικόν, ἔδομαι. τὸ τρίτον, ἔδεται. καὶ ἐξ αὐτοῦ περισπώμενον, ἐδῶ. ἐδέσω, ἤδεκα, ἤδεσμαι. καὶ ἐξ αὐτοῦ ἔδεσμα, τὸ εἰς βρῶσιν ἐπιτήδειον.

Ἐδέατρος, τὸ μὲν ὄνομα ἑλληνικόν. ἡ δὲ χρῆσις, περσική. ἦν δὲ προγεύστης τὸ πρότερον. καὶ προήσθιε τοῦ βασιλέως εἰς ἀσφάλειαν. ὕστερον δὲ ἐνομίσθη ἐδέατρον καλεῖν τὸν ἐπιστάτην τῆς ὅλης διακονίας καὶ παρασκευῆς. οὕτως ἐν τῷ πρώτῳ λεξικῷ. ἐν δὲ τῷ δευτέρῳ εὗρον οὕτως. ἐδέατρος ὁ ἐπὶ τῶν δείπνων, καὶ τῆς τοιαύτης παρασκευῆς. ῥητορική.

Ἐδέδμητο, ἀντὶ τοῦ κατεσκεύαστο. ἀπὸ τοῦ δέμω, ἐδεδέμητο καὶ ἐδέδμητο.

Ἔδεισεν, ἀντὶ τοῦ ἐφοβήθη. ἀπὸ τοῦ δέω, ἢ δείω τὸ φοβοῦμαι. ὅμηρος, δείσω. ἔδεισα. καὶ πλεονασμῷ τοῦ δ, ἔδδεισα. ἢ ὡς ἀπὸ περισπωμένου, δειδῶ, δειδήσω, ἐδείδησα. ὑπερβάσει τοῦ δ καὶ ἀποβολῇ τοῦ η.

Ἐδείδισαν. δείδια. καὶ ὁ μέσος παρακείμενος, δείδια. ὁ ὑπερσυντέλικος, ἐδειδίειν ἐδειδίεισαν. καὶ κατὰ συγκοπήν, ἐδείδισαν.

Ἔδευε, ἀντὶ τοῦ ἐνδεὴς ἦν, ἢ ἐγένετο ἐνδεής. Οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης. τοῦτο παρὰ τὸ δέω. ἐν ἑτέρῳ δὲ ἦν τὸ ἐνορέγνυτο. εὐωχεῖτο. ῥητορική.

Ἐδεύησεν. ἀπὸ τοῦ δεῶ δεήσω ἐδέησε. καὶ πλεονασμῷ, ἐδεύησεν.

Ἐδηλήσαντο, τὸ ἔβλαψαν. ἀπὸ τοῦ δηλῶ δηλήσω ἐδήλησα.

Ἔδησαν. ἐκ τοῦ δῶ τὸ δεσμῶ, γίνεται δίδημι. δήσω. ἔδησα. ὁ μέσος, ἐδησάμην. ἔδησαν.

Ἐδημώθη, ἐν τῷ δήμῳ διεδόθη. δῆλος πᾶσιν ἐγένετο. οὕτω δίων ἐν ῥωμαϊκῶν ιζ. Καί τις λόγος περὶ αὐτῶν δυτριός δὲ ἐδημώθη. καὶ ἐδημοσίωσαν, δημόσιον ἐποίησαν. ῥητορική.

Ἐδικαιώθησαν, δίκαιοι ἐκρίθησαν. ἐνομίσθησαν. ἔστι δὲ καὶ τὸ ἐναντίον. κατεδικάσθησαν δικαίως. δίων ἐν ῥωμαϊκῶν ιε. Καὶ οὐκ ἠγνόει μὴ δικαιωθέντες. ἀλλ᾽ ἐπεχείρησαν καὶ οἱ καμπανοὶ τοῦ φλάκκου καὶ οἱ συρακούσιοι τοῦ μαρκέλλου κατηγορῆσαι. καὶ ἐδικάσθησαν ἐν τῷ συνεδρίῳ. πολλαχοῦ δὲ κέχρηται τῇ λέξει ταύτῃ ἐπὶ τοῦ εἰρημένου σημαινομένου. ὥσπερ καὶ ἐν τῷ ις. Πάντες ἀποθανεῖν ἐστὲ ἄξιοι. οὐ μέντοι καὶ ἐγὼ πάντας ὑμᾶς θανατώσω. ἀλλ᾽ ὀλίγους μέν, οὓς συνείληφα ἤδη δικαιώσω. τοὺς δὲ ἄλλους ἀφίημι. καὶ ἀλλαχοῦ πολλαχοῦ. ῥητορική.

Ἐδίδων. ἰστέον ὅτι ὁ ἡρωδιανὸς τὸ ἐδίδων λέγει. ἡ δὲ παράδοσις, διὰ τῆς ου διφθόγγου, ἐδίδουν. ἀπὸ τοῦ διδῶ διδοῖς. ὡς χρυσῶ χρυσοῖς, ἐχρύσουν. χοιροβοσκός.

Ἐδηδώς. ἔδω. ὅμηρος, ἔσω. ὁ παρακείμενος ἦκα. ὁ μέσος, ἦδα. ὁ ἀττικός, ἐδήδα. ἡ μετοχή, ἐδηδώς.

Ἐδήδαται, ἡ μὲν διὰ τοῦ α ὡς ἀρίσταρχος καὶ ἄλλοι, ἔστι πληθυντικόν. οἷον, Ὀστᾶ τοι ἐκπέποται καὶ ἐδήδαται. ἡ δὲ διὰ τοῦ ε ἑνικόν. ἀπὸ γὰρ τοῦ ἔδω, ὁ παρακείμενος, ἦδεκα. διπλασιασμῷ, ἐδήδεκα. ὁ παθητικός, ἐδήδεσμαι. τὸ τρίτον, ἐδήδεσται. καὶ ἀποβολῇ ἐδήδεται. καὶ ἰωνικῶς, ἐδήδεται. ἡρωδιανός.

Ἐδητύς, ἤγουν τὴν βρῶσιν, ἢ τρυφήν. παρὰ τὸ ἐδῶ ἐδήσω, ἐδητύς. εἰ γὰρ ἦν ἐκ τοῦ ἔδω βαρυτόνου, ἐτύς ὤφειλεν εἶναι ἰσοσύλλαβον τῷ ἔδω. ὥσπερ γράφω γραπτύς. πράσσω, πρακτύς. καὶ παρὰ τὸ ἔδω, ἐστὸν ὤφειλεν εἶναι. οὐ χρὴ δὲ ἐδεστόν. οὕτω φίλων.

Ἔδμεναι, ἐσθίειν. ὡς ἄγειν ἀγέμεν, καὶ εἰπεῖν εἰπέμεν, οὕτως ἔδειν ἐδέμεν. καὶ συγκοπῇ καὶ πλεονασμῷ τῆς αι, ἔδμεναι.

Ἔδνα, τὰ πρὸ τοῦ γάμου ὑπὸ τοῦ νυμφίου διδόμενα δῶρα τῇ νύμφῃ. ἤγουν ἐξώπροικα. παρὰ τὸ ἥδω τὸ εὐφραίνω, ἥδανον. καὶ ἐν συγκοπῇ καὶ συστολῇ, ἔδνον. τὸ αἴτιον δὲ τοῦ ἀρέσκεσθαι καὶ παραμένειν τὴν νύμφην τῷ νυμφίῳ. οὕτως ὠρίων.

Ἐδνωτής, κηδεστής. πενθερός.

Ἔδραμον. ἰστέον ὅτι τὸ ἔδραμον ἀπὸ τοῦ δρέμω ἐστίν. ἐξ οὗ δρόμος ὄνομα ῥηματικόν. ὡς βρέμω βρόμος. ὁ δὲ ἡρωδιανός φησιν, ὅτι δύναται εἶναι ἀπὸ τοῦ δραμῶ περισπωμένου. ἐξ οὗ καὶ τὸ παρὰ μενάνδρῳ. οἷον, Δεδρά-

μηκάσι δρόμον· ὅθεν οἱ οὐδεὶς πώποτε. καὶ ῥῆμα πιπιὸν ὅπου,

Ἔδρανον. παρὰ τὸ ἕζω, ἕδανον καὶ ἕδρανον. δράμημα.

Ἑδρῖται, οἱ οἰκέται. ἀπὸ τοῦ καταφεύγειν εἰς τὴν ἑστίαν. ἀπὸ τῆς ἕδρας ἑδρῖται. τὸ δὲ ἕδρα, παρὰ τὸ ἕζω. εἰς τὸ ἐνέδρα. ἐκ τῆς ἕδρας γίνεται ῥῆμα ἑδριῶ. ἐξ οὗ τὸ ἑδριόωντο.

Ἕδος, ἡ καθέδρα. παρὰ τὸ ἕζω τὸ καθέζομαι. κατὰ τροπὴν δωρικὴν τοῦ ζ εἰς δ. οἷον, ζυγός, δυγός. καὶ ζωμός, δωμός. σημαίνει δὲ καὶ τὸ ἔδαφος καὶ τὸ ἄγαλμα. καὶ τὸν τόπον ἐν ᾧ ἵδρυται. καὶ ἕδη τὰ ἱερά. καὶ ἐξ ἑδέων, ἐκ τῶν καθεδρῶν. ἔστι δὲ γενικὴ τῶν πληθυντικῶν, ὥσπερ τειχέων.

Ἑδώλια, αἱ τῶν ναυτικῶν καθεδρῶν. κυρίως ἐφ' ὧν οἱ ἐρέται καθέζονται. γίνεται παρὰ τὸ ἕζω. καὶ δωρικῶς, ἑδώλιον. καὶ ἑδωλιάσαι, ἀντὶ τοῦ συγκαθίσαι. ἀπὸ τῶν ἐν ταῖς ναυσὶν ἑδωλίων. ἐξ αὐτοῦ ἑδοῦμαι καὶ καθεδοῦμαι ἀττικῶς. ἢ ἑδώλιον.

Ἐδωδή. παρὰ τὸ ἔδω τὸ ἐσθίω, ἐδή. καὶ κατὰ ἀναδιπλασιασμόν, ἐδωδή. ἑδώδη τάσσαι ἐστὶ τὸ οἱονεὶ συντεθῆναι ἐκ τινῶν ξύλων ἁπλῶς πρὸς τόπον τινὰ συντεθέντων. τὸ δ' ἰκριῶσαι, τὰς ἐκ μακρῶν ξύλων συντιθεμένας σανίδας ὑπὸ σανίσιν ἑτέραις. ἑκατέραις δὲ αὐτῶν ἐχρήσαντο οἱ ἥρωες.

Ἔελδωρ, τὸ ἐπιθύμημα. ἔστιν ἔλδω τὸ ἐπιθυμῶ. ὅπερ γέγονεν ἀπὸ τοῦ ἕλκω, κατὰ μετάθεσιν τοῦ κ εἰς δ. εἰς ὃ γάρ τις ἐπιθυμεῖ, ἐκεῖ ἕλκεται. ἐκ τοῦ ἔλδω ἔλδωρ. καὶ πλεονασμῷ τοῦ ε, ἔελδωρ. ἢ παρὰ τὸ ἑλῶ τὸ ἑλκύω. ἕλωρ, καὶ ἔελδωρ. πλεονασμῷ. τὸ δὲ ἐέλδω, παρὰ τὸ ἔδω. καὶ ἐελδόμενος. καὶ ἐέλδεσθαι τὸ σπεύδεσθαι, ἀντὶ τοῦ ἐπιθυμεῖν. παρὰ τὸ θέλω τοῦ θ τραπέντος εἰς δ κατὰ Μακεδόνας, καὶ ὑπερθέσεως γενομένης. οἷον, θέλω, δέλω. ἔλδω καὶ ἔλδομαι. καὶ ἐκ τοῦ ἐθέλω, ἐδέλω. καὶ ὑπερθέσει, ἐέλδω.

Ἐέρσαι, δρόσοι. ψεκάδες. παρὰ τὸ ἄρσαι, ὅ ἐστι ποτίσαι. ποτίζει γὰρ τὰ φυτὰ ἡ δρόσος.

Ἐελμένοι, συγκεκλεισμένοι. εἰργμένοι. ἀποβολῇ τοῦ γ.

Ἐέργω, τὸ κρατῶ καὶ κωλύω. καὶ τροπῇ.

Ἕεστο, ἐνεδέδυτο. ἕω τὸ ἐνδύω. ὁ μέλλων, ἕσω. ὁ παρακείμενος, ἧκα. ὁ παθητικός, ἧσμαι. ὁ ὑπερσυντέλικος, ἥσμην, καὶ ἕσμην. ἕσο. ἕστο. καὶ προσθέσει τοῦ ε.

Ἕεις, ὁ εἷς ἐπὶ τοῦ ἀριθμοῦ. ἀπὸ τοῦ εἷς ἕεις πλεονασμῷ τοῦ ε. οἷον, Κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπῳ. ἢ παρὰ τὸ ἴος ἰόεις, ὡς ἄνεμος ἀνεμόεις. εἶτα κατὰ συγκοπὴν τοῦ ο, ἴεις. καὶ τροπῇ τοῦ ι εἰς ε, ἕεις.

Ἐεικοσόροιο, εἰκοσακώπου νεώς. καὶ γὰρ τὸ εἴκοσι, ἐείκοσι.

Ἐεισάμενος, ὁμοιωθείς. εἴδω. εἴσω. εἶσα. λέγεται πλεονασμῷ τοῦ ε, ἔεισα. ἐεισάμενος. καὶ ἐΐξεις, ἀντὶ τοῦ ὅμοιος ἔσῃ. Ἀριστοφάνης.

Ἐέπτεν, ψιλοῦται. τὸ ε προφωνήεντος πλεονάζον, ψιλουμένου μὲν αὐτοῦ, συμψιλοῦται. δασυνομένου δέ, συνδασύνεται. οἷον οἶκα ἔοικα. ὥρων ἑώρων. ἥνδανεν ἑήνδανεν. ἕρσα ἐέρσα. ὅς, ἑός. εἷς, ἕεις. ἅ, ἕα. ἕ, ἕη. ἐλποίμην, ἐελποίμην.

Ἕηκεν, σημαίνει τὸ ἀφῆκεν. ἔπεμψεν. ἔστι ῥῆμα ἱῶ τὸ πέμπω. παρὰ τοῦτο ἵημι. ὁ μέλλων ἥσω. ὁ παρακείμενος, ἧκα. καὶ πλεονασμῷ τοῦ ε, ἕηκα. ἔστι καὶ ἀόριστος, ἧκα, συνῆκα. ὅθεν τὸ τρίτον πλεονασμῷ τοῦ ε, συνέηκεν, ἀντὶ τοῦ συνῆκε. συνέβαλεν. Ἰλιάδος α.

Ἔηγε. ἔω. καὶ ὁ μέλλων, ἔσω. ὁ β ἀόριστος, ἧν. ἧς. ἧε. καὶ τὸ ἐφελκυστικόν, ἧεν. καὶ κράσει ἦν. καὶ πλεονασμῷ τοῦ ε.

Ἑῆος. Περίσχεο παιδὸς ἑῆος, περίσχου δὲ ἐποιητικῶς ἑῆος. φρόντισον τοῦ σοῦ παιδός. Ἰλιάδος α. οἱ δέ, ἀγαθοῦ. προσηνοῦς. ἰδίου. παρὰ τὸ ἑόν, ὃ σημαίνει τὸ ἴδιον, γίνεται ἑὸς ὁ ἀγαθός. ἢ παρὰ τὸ ἐῶ τὸ κορεννύω. καὶ ὥσπερ παρὰ τὸ ἵππος γίνεται ἱππεύς, οὕτω καὶ παρὰ τὸ ἑὸς ἑεύς, καὶ ἐκτάσει, ἠεύς. καὶ κλίνεται ἠέος, ὡς ἡλιεὺς ἡλιέος. καὶ καθ' ὑπερβιβασμόν, ἑῆος. ἢ ὥσπερ παρὰ τὸ τρίβω γίνεται τριβεύς, καὶ πνίγω πνιγεύς, οὕτω καὶ παρὰ τὸ ἔω, ἐεύς. καὶ ἐξ αὐτοῦ, ἑῆος.

Ἐΐσκω. ἐκ τοῦ εἴδω τὸ ὁμοιῶ. ὁ μέλλων εἴσω. καὶ πλεονασμῷ τοῦ κ, εἴσκω. καὶ μετὰ τοῦ ε, ἐνεστῶτα. καὶ ἐπειδὴ οὐδέποτε ἡ ει δίφθογγος πρὸ τοῦ σκ εὑρίσκεται, διαλύεται καὶ γίνεται ἐΐσκω. μέλλοντα οὐκ ἔχει. Ἀργειάδῃ μιν ἔγωγε ἐΐσκω. ἀντὶ τοῦ ἀπεικάζω. ὁμοιῶ.

Ἐΐκτην, ἀντὶ τοῦ ὡμοιοῦντο. ἐκ τοῦ εἴκω τὸ ὁμοιῶ. ὁ παρακείμενος εἶκα. ὁ ὑπερσυντέλικος, εἴκειν. τὸ τρίτον τῶν δυϊκῶν, εἰκείτην. συγκοπῇ καὶ διαλύσει.

Ἐθέλω. Ἰστέον δὲ ὅτι δύο θέματα εἰσί, θέλω καὶ ἐθέλω. καὶ τὸ μὲν τεθέληκα, ἀπὸ τοῦ θέλω ἐστίν. ἐπειδὴ πᾶς παρακείμενος ἀπὸ συμφώνου ἀρχόμενος, πάντως καὶ τὸν ἐνεστῶτα ἔχει ἀπὸ συμφώνου ἀρχόμενον. οἷον τέτυφα, ὅτι τύπτω. τὸ δὲ θέλημα ἀπὸ τοῦ ἐθέλω ἐστί. καὶ δεῖ γινώσκειν ὅτι ἀεὶ τὸ τρισύλλαβον εὑρίσκεται παρὰ τῷ ποιητῇ ἐθέλω. Ἀμέλει. ἐν τῷ μὴ δὲ σὺ Πηλείδη ἤθελ' ἐριζέμεναι. δηλονότι κράσει ἐγένετο τοῦ η καὶ ε εἰς η. μηδεὶς δὲ οἰέσθω ὅτι τὸ ἐθέλω ἐκ τοῦ θέλω ἐστὶ κατὰ πλεονασμὸν τοῦ ε. τὸ γὰρ ε, ἐπὶ φωνήεντι πέφυκε πλεονάζεσθαι. ὡς τὸ εἴπας, ἔειπας. ἐπὶ συμφώνου δὲ οὐ πλεονάζεται. τὸ δὲ θέλω, δοκεῖ ἐκ τοῦ ἐθέλω εἶναι. τὸ γὰρ ε τὸ μετὰ συμφώνου ὑπάρχον, πέφυκε πολλάκις ἀποβάλλεσθαι. ὡς τὸ ἔφη, φῆ. ἔβη, βῆ. δοκεῖ δὲ τὸ θέλω ἀναλογώτερον εἶναι τοῦ ἐθέλω. τὸ γὰρ ἐθέλω παράγωγον κατά τι ἐστί. τὰ γὰρ διὰ τοῦ λω ὑπὲρ δύο συλλαβὰς τῷ ε παραληγόμενα, μὴ ἔχοντα ἕτερον λ προηγούμενον, περισπᾶται. οἷον, ὠφελῶ. ἀμελῶ. τὸ δὲ ἐθέλω, βαρύνεται. τούτου χάριν τὸ θέλω ἀναλογώτερόν ἐστι τοῦ ἐθέλω. ἔχομεν γὰρ τινὰ ῥήματα δισύλλαβα βαρυνόμενα. οἷον μέλω. ἔλω. κέλω. πρόσκειται μὴ ἔχοντα ἕτερον λ προηγούμενον, διὰ τὸ ἀνατέλλω.

Ἐθελοκακήσας, ἑκουσίως τὸ κακὸν ἐκλεξάμενος.

Ἐθελημοί. Οἱ δὲ ἐθελημοὶ ἥσυχοι ἔργ' ἐνέμοντο. Ἡσίοδος. ἐκ παραλλήλου τὸ αὐτό. θελημοί. ἥσυχοι.

Ἐθείρω, σημαίνει τὸ διὰ ἔθους ἐπιμελοῦμαι τῶν τριχῶν. ἀπὸ τοῦ ἔθω τὸ διὰ ἔθους τι διαπράττομαι. ἐξ οὗ καὶ τό, Ἔθων οἴνης ἀλωήν. Ἰλιάδος ι. ἀντὶ τοῦ διὰ ἔθους κατὰ τὸ ἔχειν καὶ βλάπτων καὶ οἰνῶς, τὴν καρποφόρον χώραν τοῦ Οἰνέως.

Ἐθείρῃσι, κόμαις. ταῖς διὰ ἔθους ἐπιμελείας ἀξιουμέναις θριξίν. ἀπὸ τοῦ ἔθω ἐθείρω, γίνεται ἔθειρα ἡ θρίξ. οἱονεὶ διὰ ἔθους ἐπιφοιτῶσα τινί. ἢ παρὰ τὸ διὰ ἔθους ἔχειν. γράφεται διὰ διφθόγγου. πάντα γὰρ τὰ διὰ τοῦ ειρα προπαροξυνόμενα, διὰ τῆς ει διφθόγγου γράφονται. δότειρα. σώτειρα. ὀλέτειρα. γενέτειρα. εὐπάτειρα. δηϊάνειρα. οὕτως οὖν καὶ τοῦτο. καὶ καθόλου τὰ εἰς ρα θηλυκά, οὐδέποτε ἔχει ἐν τῇ παραληγούσῃ τὸ ι μόνον, ἀλλ' ἢ μετὰ τοῦ ω. οἷον, πῶρα. ἢ μετὰ τοῦ α. οἷον, σφαῖρα. σεσημείωται τὸ εἶρα καὶ κάειρα ἀμφιβαλλόμενα. ζήτει δὲ περὶ τούτου εἰς τὸ προώρειρα καὶ κάειρα.

Ἔθος, εἴρηται παρὰ τὸ ἔτεον τὸ ἀληθές. ὅπερ καὶ ἐτεὸς λέγεται. καὶ παρὰ τὸ ἔθος τὸ ἀεὶ ὡσαύτως ἔχον. ἢ παρὰ τὸ ἔθω τὸ διὰ ἔθους ἔχω, γίνεται ἔθος. ὡς μένω, μένος. σθένω, σθένος. ἐκ τοῦ ἔθω, γίνεται ἐθίζω. ὡς ἔλπω, ἐλπίζω. τὸ δὲ ἔθω, γίνεται ὡς οἶμαι παρὰ τὸ ἔθος, ἔθω. Οὓς παῖδες ἐριδμαίνωσιν ἔθοντες. Ἰλιάδος π. οὓς σφῆκας δηλονότι οἱ παῖδες ἐρεθίζωσι συνεχῶς καὶ διὰ ἔθους παραγινόμενοι καὶ βλάπτοντες.

Ἔθνος, τὸ πλῆθος. καὶ αἱ κατὰ γένος ἰδιάζουσαι τῶν ἀνθρώπων διαφοραί. ἐπὶ μὲν τοῦ πλήθους, Ἠΰτε ἔθνεα εἶσι μελισσάων. ἀντὶ ἔθνη. πλήθη. ἄπεισι. πορεύονται. τοῦ δ' ἑτέρου, Καὶ ἔθνεα μυρία θνητῶν. παρὰ τὸ ἔθω, ἔθος καὶ ἔθνος τὸ διὰ ἔθους τι διαπράττειν. ἑκάστῳ γὰρ ἔθνει, ἴδιον ἔθος ἕπεται. ἢ παρὰ τὸ θείνω τὸ φονεύω. θένος. καὶ ἐν ὑπερβιβασμῷ, ἔθνος. τὸ ε, ψιλόν. ἐπειδὴ τὰ εἰς ος οὐδέτερα τῷ ε ψιλῷ παραλήγεται. οἷον, βρέφος. μέλος. βέλος. νέφος. γένος. δέος. ἔπος. λέχος. μέρος. πλὴν τοῦ λαῖφος καὶ αἶσχος.

Ἔθου. τίθημι. ὁ μέλλων θήσω. ὁ ἀόριστος, ἔθηκα. ὁ β, ἔθην. ὁ μέσος, ἐθέμην. τὸ β ἔθεσο. καὶ ἀποβολῇ τοῦ σ, ἔθεο. καὶ κράσει, ἔθου. καὶ τὸ προστακτικόν, θοῦ.

Ἔθρισε, παρὰ τὸ θερίζω. κατὰ συγκοπήν, θρίζω καὶ ἀποθρίζω.

Ἐθρίγκωσε, περιεσκέπασεν. περιετείχισε καὶ ἀπέθρισεν. θριγκὸς δὲ ἡ στεφάνη, μεθ' ἣν οὐδέν ἐστιν. ἀπὸ τοῦ θρὶξ δέ ἐστιν. ἡ ἐπίκειται ἡ στεφάνη, ὑπεράνω πάντων οὖσα.

Ἔθηκε σημαίνει β. τὸ προκατέθηκεν, ἢ ἐποίησεν. Ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν. ἀφ' οὗ καὶ θέσις ἡ ποίησις παρὰ Ἀλκαίῳ. καὶ θετοὶ υἱοί, οὓς τινες εἰσεποιήσαντο. σημαίνει καὶ τὸ ἀφ' ἡμῶν νοούμενον. κατὰ μέσον λόγον αὐτοχόων ὃν θῆκεν εἰς ἀγῶνα φέρων.

Ἑκάβη, ἡ ἕκαθεν βεβηκυῖα πρὸς τὸν ἄνδρα. ὁ γὰρ πατὴρ Δύμας φυγὼν εἰς Ἴλιον Πριάμῳ ταύτην ἐξέδοτο. ὅθεν καὶ Πρίαμος φυγεῖ σύμμαχος. ἤδη καὶ φυγὰς ἐπήλυθον.

Ἑκάτη, ἡ θεός. οἱονεὶ ἑκάστη τις οὖσα. ἢ εἰς ἕκαστα παραλαμβανομένη πανταχοῦ βοηθοῦσα. ἢ ὅτι ἑκάστου θεοῦ τιμῶν μετέχει. ἑκάτην τὴν Ἄρτεμιν. ἵν' ἡ ἕκαθεν τῶν ἀποθνησκόντων.

Ἑκάλη, ἡρωΐς. εἰς ἣν καὶ ποίημα ἔγραψε Καλλίμαχος. ἡ πρὸς ἑαυτὴν πάντας καλοῦσα. ταύτην Ἑκάλην ἔλεγον οἱ παλαιοὶ ὑποκοριζόμενοι. ἔθυον δὲ αὐτῇ, διὰ τὸ ξενίσαι Θησέα.

Ἑκάς, ὅθεν ἑκάεργος. τουτέστι πόρρωθεν. γίνεται παρὰ τὸ εἴκω τὸ ὑποχωρῶ. ἢ παρὰ τὸ ἥκω τὸ παραγίνομαι. πόρρωθεν γάρ τις παραγίνεται.

Ἕκαθεν, πόρρωθεν. παρὰ τὸ ἑκάς.

Ἑκάεργος, Ἀπόλλων. παρὰ τὸ ἕκαθεν εἴργειν, τουτέστι κωλύειν. ἢ παρὰ τὸ ἕκαθεν ἐργαζόμενον, τουτέστι μαχόμενον. ἔργον γὰρ τὴν μάχην οἶδεν Ὅμηρος καλεῖν. τουτέστιν ὁ πόρρωθεν εἴργων. ὅ ἐστιν ἐργαζόμενος καὶ μαχόμενος τοξότης. ἐπιθετικῶς δὲ λέγεται ὁ Ἀπόλλων.

Ἑκατηβελέταο ἄνακτος, πόρρωθεν βάλλοντος. εὐστόχου τοξότου. ἔστι δὲ γενικὴ αἰολική. παρὰ τὸ ἑκὰς καὶ τὸ βέλος, γίνεται ἑκαβελέτης. καὶ πλεονασμῷ τῆς τη συλλαβῆς, ἑκατηβελέτης. ὡς ἔτυμον, ἐτήτυμον. ὁ ἕκαθεν βάλλων. τοξότης γὰρ ἑκατηβόλος ὡς ἤδη εἴρηται. ἢ παρὰ τὸ ἵημι τὸ πέμπω. ὁ παθητικὸς παρακείμενος, εἷμαι. εἷσαι. εἷται. ἕτης. καὶ μετὰ τοῦ βέλους, βελέτης. καὶ μετὰ τοῦ ἑκή, ἑκηβελέτης. καὶ πλεονασμῷ τοῦ α τ, ἑκατηβελέτης. ὁ τὰ βέλη μακρόθεν βάλλων.

Ἑκάτοιο, τοῦ Ἀπόλλωνος τοῦ μακρόθεν βάλλοντος. τοῦ τοξικοῦ. ἐκ τοῦ ἑκὰς ἕκαστος ἕκατος.

Ἕκαστος, παρὰ τὸ ἑκάς, ὁ μὴ πέλας. οἱονεὶ κεχωρισμένος καὶ μὴ συλλαμβάνων πρὸς ἕτερον. ἐπιμερίζοντες δὲ τὸ πλῆθος φασὶν ἑκάτερος ἕκαστος. ποίου εἴδους τῶν ὑποπεπτωκότων ὀνομάτων, ἐπιμεριζομένου. ποσαχῶς τὰ ἐπιμεριζόμενα, τετραχῶς. εἷς ἐκ δύο ὡς ἕτερος. δύο καθ' ἕνα ὡς ἑκάτερος. εἷς ἐκ πολλῶν ὡς ἄλλος. καὶ πολλοὶ καθ' ἕνα ὡς ἕκαστος. τὰ δὲ ἐπιμεριζόμενα, κλητικὴν οὐκ ἔχει. ἡ γὰρ κλητική, πρὸς δεύτερόν ἐστι πρόσωπον ἀπότασις. τὰ δὲ ἐπιμεριζόμενα πρὸς ἀπόντα. Ἡμεῖς μὲν τὰ ἕκαστα διείπομεν, Ἰλιάδος λ. ἀντὶ περὶ πάντα εἴχομεν σπουδαίως.

Ἑκάστοτε, ἐπίρρημα. παρὰ τὴν ἑκάστου γενικήν. παράγωγον. ἑκάστοτε. ὡς ἄλλος, ἄλλοτε.

Ἑκατέρω, τὰ πορρωτέρω. ἀπὸ τοῦ ἑκάς, ὃ σημαίνει τὸ ἄποθεν. καὶ οὐ παρὰ τὸ ἑκάτερος. ἑκατέρω γὰρ ἰδίως. οὕτως Ἡρωδιανός. Ἰλιάδος κ. Τῶν γὰρ νῆες ἔασιν ἑκαστάτω, ἀντὶ πορρωτάτω. παρὰ τὸ ἑκάς.

Ἑκάτερος. ἀπὸ τοῦ ἑκάς, συγκριτικόν, ἑκάτερος.

Ἑκάτερθεν, ἀντὶ ἐξ ἑκατέρου μέρους. γίνεται ἐκ τοῦ ἑκατέρωθεν.

Ἑκαμήδη, ἡ Νέστορος παλλακή. ἀπὸ τοῦ ἕκαθεν βουλεύεσθαι. ἢ ἡ κατὰ τὸν Νέστορα μηδὲν ἄκαιρον μηδομένη.

Ἑκατόν, ὁ ἀριθμός. παρὰ τὸ ἔχω ἐχατὸν καὶ ἑκατόν. ὡς γὰρ οἱ ἐπὶ πέρας ὁδοῦ ἐρχόμενοι ἐπέχονται, οὕτω καὶ οἱ ἐπὶ πέρας ἀριθμοῦ ἐρχόμενοι ἐπέχουσι. ἢ παρὰ τὸ ἥκειν καὶ φέρειν δέκα τὸν ἀριθμόν. ἢ ἀπὸ τοῦ ἑκάς.

Ἑκατόμβη, ἐκ τοῦ ἑκατὸν καὶ τοῦ βοῦς βοός, γίνεται ἑκατόμβοος. τὸ θηλυκὸν ἑκατόμβοη. καὶ συγκοπῇ ἑκατόμβη. τὸ μὲν ἑκατόν, τὸ μέγα καὶ πολύ. τὸ δὲ βόειον, τὸ τίμιον. ὡς ἐπὶ τοῦ ἀλφεσίβοιαι. οὐ μόνον δὲ ἡ ἐκ τῶν βοῶν θυσία, ἀλλὰ καὶ ἡ ἐξ ἄλλων ἱερείων. οἷον Ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην. τινὲς δὲ τὴν τελείαν θυσίαν. ἤγουν τὴν ἀπὸ τῶν ἑκατὸν βοῶν. ἢ τὴν ἀπὸ ἑκατὸν βοσκημάτων, ὅ ἐστιν εἰς σιτίων τε ζώων. ἑκατόμβοιος δὲ ἕκαστος, τουτέστιν ἑκατὸν βοῶν τιμῆς ἄξιος. ἢ ἑκατὸν χρυσῶν νομισμάτων.

οἱ γὰρ παλαιοὶ πρὶν ἐπινοηθῆναι τὰ νομίσματα τὰς συναλλαγὰς διὰ τῶν τετραπόδων ἐποιοῦντο. ὅθεν ὕστερον ἐφευρεθέντων τῶν νομισμάτων, βοῦν δὲ τυποῦν ἐν αὐτῷ τὸ ἀρχαῖον ἔθος ἐπιδεικνύμενοι. Βοιωτοὶ δὲ λέγουσιν εἶναι σταθμόν τι, ἢ τὸ βοὸς τίμημα. ἢ τὸ δίδραχμον βοῦν ἔχον ἐπίσημον, ἢ τὴν πόδα. ὅθεν καὶ παροιμία. βοῦς ἐπὶ γλώττης, ὅ ἐστι νόμισμα. ἁρμόζει ἐπὶ τῶν ῥητόρων τῶν λαμβανόντων νομίσματα ὑπὲρ τοῦ μὴ συνηγορῆσαι κατά τινος, ἀλλὰ σιωπῆσαι. ὅθεν καὶ Ἀριστοφάνης κωμῳδῶν αὐτούς φησι· Τὸ στόμα ἐπιβύσας κέρμασι τῶν ῥητόρων.

Ἑκατομβαιών, μήν ἐστι παρ' Ἀθηναίοις. Κρονιὼν πρὸ τοῦ καλούμενος ἀπὸ τῆς γινομένης τῷ Κρόνῳ θυσίας. Ἑκατομβαιὼν δὲ ὠνόμασται, διὰ τὰς τοῦ Ἀπόλλωνος θυσίας. θύουσι γὰρ αὐτῷ Ἑκατομβαίῳ, τουτέστι πολυτίμῳ. μᾶλλον δὲ ἑκατὸν βόας εὐχόμενοι.

Ἔκδικον, τὸν ἐκδικητήν, καὶ τὸν ἔξω τοῦ δικαίου. ἐκ τοῦ ἔκδικος, τουτέστιν ἐκδικῶ ἐκδικήσω ἐκδικητής. τοῦτο παρὰ τὸ δίκη.

Ἔκδικος, δίκαιος, ἢ ἄδικος. οἱονεὶ ὁ ἔξω τοῦ δικαίου ὤν.

Ἐκδικάσασθαι, Ἰσοκράτης· ἂν ἄδικον ἐκπράξαι διὰ τὸ δικάζεσθαι.

Ἔκδηλος, διάδηλος. φανερός.

Ἑκατομβαιὼν ὠνόμασται, ἐπειδὴ ἱερός ἐστι τῷ ἡλίῳ. ὁ δὲ ἥλιος τούτῳ τῷ μηνὶ μέγαν ποιεῖ τὸν δρόμον. ἐκάλουν δὲ οἱ παλαιοὶ τὸ μέγα ἀπὸ τοῦ ἑκατόν. ἀφ' οὗ καὶ ἑκατόμβοια, ἐννεάβοια.

Ἑκατόμπεδον, νεώς ἐστι τῆς Ἀθηνᾶς ποδῶν ἑκατὸν ἐκ πάσης πλευρᾶς. διὰ τοῦτο γὰρ καὶ ὠνόμασται. καλοῦσι γὰρ αὐτόν γε Παρθενῶνα.

Ἐκεχειρία, ἄνεσις. ἀργία. ἀνάπαυσις. συνθήκη. ἔνδοσις καὶ πολέμου ἀνοχή. κυρίως ἡ ἐπὶ πολέμου. παρὰ τὸ ἔχω καὶ τὸ χεὶρ, τουτέστιν ἐχεχειρία. καὶ τροπῇ τοῦ χ εἰς κ. ἢ πρὸς ὀλίγον τοῦ πολέμου ἡσυχία. παρὰ τὸ ἔχειν τὰς χεῖρας.

Ἐκεῖνος, ἡ ἀντωνυμία. παρὰ τὸ ἐκὰς ἐπίρρημα. τὸ γὰρ πόρρω δεῖξιν σημαίνει. καὶ οἱ Δωριεῖς κῆνος αὐτὴν φασὶ καὶ τῆνος. ἀντιδιαστέλλοντες αὐτὴν ἀπὸ τῆς πλησίον δείξεως. εὑρίσκεται μέντοι φησὶν Ἀπολλώνιος τὸ τῆνος, καὶ ἀπὸ τῆς πόρρω δείξεως.

Ἐκεῖ, ἐκ τοῦ ἐκεῖνος κατὰ συγκοπήν. τὸ κεῖ, δίφθογγον κατὰ διάλεκτον. ἐπειδὴ οἱ Δωριεῖς ἐκῆνος λέγουσι διὰ τοῦ η. ὡς πλείω, πλήων. μείων, μήων. διὰ τί περισπᾶται. αἱ συγκοπαὶ ἡνίκα φυλάσσωσι τὸ αὐτὸ μέρος τοῦ λόγου, καὶ τὸν αὐτὸν τόνον φυλάσσουσιν. οἷον δῶμα, δῶ. ἐκεῖνος, ἐκεῖ.

Ἐκεῖθεν. οὐδὲν τῶν εἰς θεν τῇ ει διφθόγγῳ παραλήγεται, πλὴν τοῦ ἐκεῖθεν, ὅπερ ἀπὸ τοῦ ἐκεῖνοθεν κατὰ συγκοπήν. καὶ τὸ ἐκεῖ, ἀπὸ τοῦ ἐκεῖθι. τοῦτο δὲ ἀπὸ τοῦ ἐκεῖνοθι. καὶ τὸ ἐκεῖσε, ἀπὸ τοῦ ἐκεῖνοσε.

Ἕκητι. Χρυσὲ κακῶν ἀρχηγέ. βιοφθόρε πάντα χαλέπτων. Εἴθε σε μὴ θνητοῖσι φανέσθαι πῆμα ποθεινόν. Σεῦ δ' ἕκητι μάχαι τε λελάσθαι τε φόνοι τε. Ἐχθραὶ δὲ τέκνα γονεῦσιν. ἀδελφοί τε. σύναιμοί τε. ἀπὸ τοῦ ἑκών, τουτέστιν ἑκάζω, καὶ ἕκατι. ὡς δωρίζω, δωριστί. καὶ ἐκτάσει τοῦ α εἰς η, καὶ ἀποβολῇ τοῦ σ, ἅμα δὲ ἀναβιβάσει τοῦ τόνου, ἕκητι.

Ἕκηλος, ὁ ἥσυχος. παρὰ τὸ ἐκὰς ἕκαλος. καὶ ἕκηλος. ἢ παρὰ τὸ ἀκμὴν ἄκηλος, καὶ ἕκηλος. τὸ γὰρ ἀκμὴν ἀντὶ τοῦ ἡσύχως τάττουσιν. ἢ παρὰ τὸ ἑκὼν ἕκηλος. ὁ γὰρ ἑκουσίως τι ποιῶν, ἡσύχως ποιεῖ.

Ἑκηβόλος, καὶ ἑκηβελέτης, καὶ ἑκατος. οὕτως ὁ Ἀπόλλων, ὅτι ὁ αὐτός ἐστι τῷ ἡλίῳ. καὶ τὰς ἀκτῖνας ἕκαθεν βάλλει. ὅ ἐστι πόρρωθεν βάλλοντος τὰ βέλη. εὐστόχου τοξότου. ἐκ τοῦ ἑκὰς καὶ τοῦ βάλλω, γίνεται ἑκαβόλος καὶ ἑκηβόλος, ὁ μακρόβολος. ἢ ὅτι ἑκατὸν βέλη ἐπαφῆκε τῷ Δελφίνῃ.

Ἑκηβολίαι, εὐστοχίαι τοξεῖαι. παρὰ τὸ ἕκαθεν ἐπιτυγχάνειν. βάλλειν τὸ ἐπιτυγχάνειν. ὡς τὸ, Βάλλειν ἄγρια πάντα. καὶ, Σὺ δὲ φρεσὶ βάλλεο σῇσιν.

Ἔκηα. Κατὰ πίονα μηρί' ἔκηα. ἀντὶ τοῦ εὐστόχως. ἔκαυσα, ἔθυσα. τουτέστιν ἐκάρπωσα. ἐκ τοῦ καίω. καύσω, ὁ ἀόριστος, ἔκαυσα. ἀποβολῇ τοῦ σ, καὶ ἐκτάσει τοῦ α εἰς η, ἔκηα. ἢ παρὰ τὸ καίω, ὁ μέσος παρακείμενος, κέκηα. καὶ ἀποβολῇ τοῦ κ.

Ἐκηρώθην, ἐσκοτώθην. ἢ παρὰ τὸ δέος κήρινος ἐγενόμην.

Ἐκκεχλοωμένη, ἐλευσμένη, ἢ κεχερσωμένη. ὅτι ὁ χιλὸς ἐν χέρσῳ φύεται. τὸ δέ ἐστι χόρτος. οἷον ἐξημελημένη.

Ἐκκορηθῆναι, ἐκκαλλυνθῆναι. τὸ γὰρ κορεῖν, καλλύνειν ἐστὶ καὶ σαίρειν.

Ἐκκεκωφέαται. ἀπὸ τοῦ κωφῶ, κωφήσω. κεκώφηκα. κεκώφημαι. κεκώφηται. καὶ ἰωνικῶς, κεκωφέαται. καὶ ἐν συνθέσει, ἐκκεκωφέαται. Αἰδέομαι· φρένες ἐκκεκωφέαται. καὶ παραβέβλαμμέναι εἰσίν.

Ἐκκορυφώσω, δύναται μὲν ἀκούεσθαι ἀνακεφαλαιώσομαι. οἷον κορυφὴν ἐπιθήσω. δύναται δὲ καὶ οὕτως, ἑτέροισι λόγον ἀπάρξομαι. ἐπεὶ ἡ κορυφὴ ἀρχή τίς ἐστι τοῦ σώματος.

Ἐκκλίμακος. ἐν τοῖς γυμνικοῖς ἀγῶσιν, ὁ ποτὲ τεχνολογοῦσιν οἱ πύκται, κλίμακα δὲ ἐπιφέρει, ὥστε διαστάντας καὶ χώραν λαβόντας μὴ δύνασθαι ταύτῃ, ἕνεκεν τοῦ μὴ ἵστασθαι τὰς φερομένας πληγὰς περιέχοντας, ἀλλὰ μένοντας ἐπὶ τούτου τῇ ποιᾷ τῶν χειρῶν ἐκτάσει φυλάττεσθαι. ἐκ τοῦ ῥητορικοῦ.

Ἐκκλιμακίζει, παράγει. διαστρέφει. ἀπὸ τῆς κλίμακος ἥτις οὖσα ὄργανον βασανιστικόν, διαστρέφει τὰ σώματα τῶν βασανιζομένων.

Ἐκκλητεύειν, τὸ εἰς κρίσιν ἄγειν, ἵνα ἐπαναγκές τις μαρτυρεῖ. οὕτως Αἰσχίνης. καὶ δικαστήριον ἔκκλητον λέγουσιν.

Ἔκκλητος, πόλις, ἣν ἂν ἐκκαλῆταί τις εἰς τὸ κρίνεσθαι. δηλονότι τὴν πρώτην οὐ στέργων κρίσιν, ὡς πρὸς ἔχθραν κρίνασαν, ἢ πρὸς χάριν. ἐξῆν δὲ τοῖς μὲν ξένοις ἐκκαλεῖσθαι πόλιν ἄλλην. τοῖς δὲ πολίταις οὐκέτι.

Ἔκλαγξαν δ' ἄρ' ὀϊστοί. ποιὸν ἦχον ἀπετέλεσαν. ἤχησαν. ἔστι ῥῆμα πεποιημένον. κλάζω. ὁ μέλλων, κλάγξω. ὁ ἀόριστος, ἔκλαγξα. τὸ τρίτον τῶν πληθυντικῶν, ἔκλαγξαν.

Ἐκλώζετε. κλωσμὸν ἔλεγον τὸν γινόμενον ἐν τῷ στόματι ψόφον. ὃν πρὸς τὰς ἐκβολὰς ἔχουσι τῶν ἀκροαμάτων, ὧν οὐχ ἡδέως ἤκουον. ἐκ τοῦ ῥητορικοῦ.

Ἐκλογεῖς, οἱ ἐκλέγοντες τοὺς φόρους. ἀπὸ τοῦ ἐκλέγειν τὸ πράττεσθαι καὶ ἀπαιτεῖν.

Ἐκλέλαθε. ἐπιλήθω. ὁ μέσος παρακείμενος, λέληθα. μετὰ πεσόντος δὲ τοῦ η εἰς α βραχὺ, λέλαθα. ὡς τὸ μέμηκα, μέμακα. οἱ δὲ Σικελοὶ τὸ τέλος τοῦ α τῶν παρακειμένων εἰς ω μετατιθέμενοι, ἐνεστῶτα ποιοῦσι. πεποίηκα, πεποιήκω. λέλαθα, λελάθω.

Ἐκμυζήσας, ἐκπιέσας. ἐκθλίψας.

Ἐκμαγεῖον, ἐκτύπωμα καὶ ἐκσφράγισμα. ἐκ τοῦ μάσσω, τουτέστι μάγος, ὁ ἀπομασσόμενος πάντα. ἐκ δὲ τοῦ μάγος κτητικοῦ, μαγεῖον καὶ ἐκμαγεῖον. ὡς διδάσκαλος, διδασκαλεῖον. πάσσαλος, πασσαλεῖον. καὶ ἰατρὸς, ἰατρεῖον.

Ἐκνεφίας, ὁ σφοδρὸς ἄνεμος. ἤγουν ὁ ἐκ νεφῶν ἄνεμος. παρὰ τὸν γνόφον, οἱονεὶ ὁ νέφη σωρεύων, καὶ ἐξ αὐτῶν κινούμενος.

Ἐκνομίως, μεγάλως. ἐξάλλως. παρὰ τὰ νενομισμένα. ἢ καθ' ὑπερβολὴν κακίας ἢ ἀρετῆς. οἷον ἔξω νόμου, ὡς ἐκδίκως τὸ ἔξω τοῦ δικαίου. καὶ ἐνδίκως, τὸ ἐναντίον.

Ἐκνενευρισμένοι, ἐψιλωμένοι δυνάμεως.

Ἐκολῴα, ἐθορύβει. παρὰ τὸ κολῶ τὸ θορυβῶ. τοῦτο ἐκ τοῦ κολῳὸς ὃ σημαίνει τὸν θόρυβον. τοῦτο ἐκ τοῦ κλῶ, κλωνὸς καὶ κολῳός.

Ἐκολλόπωσε, κόλλῃ συνήρμοσεν. ἀπὸ τοῦ τοῦ νωταίου κόλλοπος καὶ δέρματος ἑψομένου, τουτέστιν ἡ κόλλα τῶν βοῶν. ὅθεν καὶ ᾧ ἐπιτείνουσι τὰς χορδὰς, κόλλοψ. ἴσως τὸ δερμάτινος.

Ἔκπαγλος, ὁ καταπληκτικός. παρὰ τὸ πέλαγος. φοβερὸν γὰρ τοῖς πλέουσιν. ἐκ πέλαγος καὶ κατὰ συγκοπήν, ἔκπαγλος. ἢ ἐκ τοῦ πλήσσω τοῦ σημαίνοντος τὸ θαυμάζω. ὁ δεύτερος ἀόριστος, ἔπλαγον. καὶ ὄνομα, ἔκπλαγος. καὶ ἐπίρρημα, Ἐκπάγλως κοτέοντο.

Ἔκπαγλα. κανών ἐστιν ὁ λέγων. ὅσα ἐν ὁμοφωνίᾳ καθέστηκε πληθυντικῶν οὐδετέρων ὀνόματα, μετάγεται εἰς ἐπιρρηματικὴν σύνταξιν.

Ἐκπαγλότατε. ἐκπληκτικώτατε. φοβερέ. ἢ ἐξοχώτατε. ἐκ τοῦ ἐκπλήσσομαι ἔκπλαγος, ὅθεν ἔκπλαγος. καὶ ὑπερθέσει, ἔκπαγλος.

Ἐκποδών, ἀφανής. ἐκ μέσου.

Ἐκποίητος τῷ πατρί. ὁ ἐκποίητον λέγεσθαι, ἀποκηρυχθῆναι τοῦ γένους. ἢ ὁ δοθεὶς ἑτέρῳ εἰς ποίησιν. οἱ δέ φασι διαφέρειν ἐκποίητον, ἀποκηρύκτου. ὅτι ὁ μὲν ἀποκήρυκτος, ἐπὶ κολάσει ἐκβάλλεται. ὁ δὲ ἐκποίητος, ὑπὸ τοῦ φύσει πατρὸς δίδοται εἰς ἕτερον οἶκον πρὸς θέσιν.

Ἔκπτωσις. ἰστέον ὅτι ὥσπερ λέγεται ἔκβιος ὁ ἐστερημένος τοῦ βίου, καὶ ἐξούσιος ὁ ἐστερημένος τῆς ἐξουσίας, τὸν αὐτὸν τρόπον καὶ ἔκπτωτος λέγεται ὁ ἐστερημένος τῆς πτώσεως.

Ἔκπυστα ἐποίησε τὰ πραττόμενα. ἐκ τοῦ πεύθω ὃ σημαίνει τὸ ἀκούω, τουτέστι πυστὰ, καὶ ἔκπυστα. σημαίνει δὲ τὰ ἐξάγγελτα καὶ ἔκδηλα.

Ἐκπερδικίσαι, διαδρᾶναι πανούργως. ἀπὸ μεταφορᾶς τῶν περδίκων. πανοῦργον γὰρ τὸ ζῷον καὶ διαδιδράσκον τοὺς θηρῶντας.

Ἐκποκιῶ, ἐκτίλλω. πόκαδες γὰρ αἱ τρίχες.

Ἐκτικαδῶν, τῶν περὶ ἐξιννοσούντων.

Ἐκτόπως, μεγάλως. κραταιῶς.

Ἐχτικώσαντο, πράως καὶ χειροήθως μετεχειρίσαντο.

Ἐκμαρτυρεῖν, τὸ λέγειν μὲν οὐχ ἅπερ αὐτὸς οἶδεν, ἀλλ' ἃ παρ' ἑτέρων ἤκουσε λεγόντων. ἐκμαρτυρία δὲ γενομένη, ἀναγινώσκεται ὅταν τις ἢ τελευτήσῃ, ἢ ὑπερόριος γένηται.

Ἐκρέμω. ἐκ τοῦ κρεμῶ, παράγωγον κρέμημι. ὡς ἱστῶ, ἵστημι. τὸ παθητικὸν, κρέμαμαι ὡς ἵσταμαι. ὁ παρατατικὸς, ἐκρεμάμην, ἐκρέμασο τὸ β΄. κρεμὰς γὰρ ἡ ἐνεστῶτος μετοχὴ, ὡς παρ' ἱστάς. καὶ ἀποβολῇ τοῦ σ ἰωνικῶς, ἐκρέμαο. καὶ κράσει τῶν φωνηέντων, ἐκρέμω. καὶ οὐκέτι ἐκ τοῦ κρεμῶ. ἴσως γὰρ ἂν περιεσπᾶτο, ὡς ἐβοῶ. ἐγελῶ. Χοιροβοσκός.

Ἐκ ῥώμης. ἡ ἐκ πρόθεσις, ὅταν αὐτῇ σύμφωνον ἐπιφέρηται, γίνεται ἐξ, εἰς κ. δεῖ δὲ προσθεῖναι χωρὶς εἰ μὴ εὑρεθῇ μετὰ ἐλλείποντος. οἷον ὡς παρ' Ἀρχιλόχῳ, διεξ σωλῆνος. καὶ πάλιν διεκ τοῦ μύρτου, ἀντὶ διὰ τὸ μύρτου. σημαίνει δὲ τὴν μυρσίνην. ἔτι δεῖ προσθεῖναι καὶ χωρὶς εἰ μὴ εὑρεθῇ ἐν τέλει στίχου, οἷον ὡς παρὰ Θεοκρίτῳ. Θάμυνες πολλοὶ κατὰ Καλλίμαχος ἐξ στίχον. Ἄνδρες ἔβαινον Ἰωνικὰς ἀπὸ νηός. καὶ χωρὶς τοῦ παρέξ. ταῦτα πάντα ἐσημειωσάμεθα, ἐπειδὴ αὐτοῦ τούτου τῶν χρήσεων ἐφύλαξε τὸ ξ τῆς προθέσεως συμφώνου ἐπιφερομένου.

Ἕκτωρ, παρὰ τὸ ἔχω τὸ κρατῶ. ὁ μέλλων, ἕξω. ἐξ αὐτοῦ ἕκτωρ. ὁ τοὺς Τρῶας ἐπικρατῶν. ἢ ὁ τῆς Τροίας κρατῶν. ἢ παρὰ τὸ ἐκθορεῖν.

Ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ. ἐὰν ἀναγνῶς ἔκταν, ἀττικῆς κλίσεώς ἐστιν. ἀπὸ τοῦ κτῆμι, ὁ β΄ ἀόριστος, ἔκτην. καὶ συστολῇ, ἔκταν. ἐὰν δὲ κατ' ἔκτα. ἐκ τοῦ κτάω κτῶ.

Ἐκτῆσθαι. κτῶ κτήσω κέκτηκα κέκτημαι κεκτῆσθαι. καὶ ἀποβολῇ τοῦ κ. ὅτι γὰρ ἀπὸ δύο συμφώνων ἄρχεται ὁ ἐνεστὼς, οὐκ ἀναδιπλασιάζεται ὁ παρακείμενος.

Ἐκτῖλαι. ἀπὸ τοῦ τείνω. ἀποβολῇ τοῦ ε καὶ τροπῇ τοῦ ν εἰς λ, τουτέστι τίλω ῥῆμα. σημαίνει τὸ ξαίνω. ὁ γὰρ ξαίνων, τείνει.

Ἐκτυφῆναι. τύφω. ὁ δεύτερος ἀόριστος, ἔτυφον. ὁ παθητικὸς, ἐτύφην τυφῆναι. σημαίνει δὲ παρὰ μικρὸν ἐκτυφλωθῆναι.

Ἐκτραχηλισθῆναι, ἐκπεσεῖν τῶν ἵππων. οἱ τὸν αὐχένα ἐπικάμψαντες ἀποσείονται τὸν ἐπιβάτην. ἐκτραχηλισθῆναι δὲ λέγουσιν, οὐχὶ ἐκσφονδυλισθῆναι. ἔστιν οὖν, ἀντὶ διαμαρτάνειν ἐκπεσόντα. ἀπὸ μεταφορᾶς τῶν τοῖς ἵπποις ἀναβαινόντων. μέμνηται Δημοσθένης ἐν πέμπτῳ Φιλιππικῶν.

Ἕκτοιο, ἐξ ἐκείνου τοῦ χρόνου. ὡς καλὸς, καλοῦ, καλοῖο, οὕτω καὶ ἔκτος, ἐκτοῦ, ἐκτοῖο. Ἄλλοτε δὴ ἐκτοῖο.

Ἐκτιλωμένος, συνήθης. ἐπεὶ ὁ κτίλος ὁ ἡγούμενος τῆς ποίμνης κριός, συνήθης τῷ ποιμένι.

Ἑκυρός, ὁ πενθερός. οὕτως ἀγορεύεται παρὰ τῆς νύμφης ὁ τοῦ νυμφίου πατήρ. ὡς Πρίαμος ὑπὸ Ἑλένης. Αἰδοῖός τέ μοί ἐσσι φίλε ἑκυρὲ δεινός τε. πενθεροὶ δ' εἰσὶ τῷ νυμφίῳ, οἱ τῆς νύμφης πατέρες. εἴρηται δὲ ἑκυρὸς, παρὰ τὸ εἰς ἑαυτὸν τὴν κόρην ἄγειν. ἢ παρὰ τὸ δέχω, δεχυρός. καὶ ἀποβολῇ τοῦ δ, καὶ τροπῇ τοῦ χ εἰς κ, ἑκυρός. ἢ παρὰ τὸ κύρω τὸ ἐπιτυγχάνω, κυρός. καὶ πλεονασμῷ τοῦ ε, ἑκυρός.

Ἐκυδάσατο, σημαίνει τὸ ἐλοιδόρησεν. ὡς τὸ, ἦ μάλα δή με κακῶς ἐκυδάσατο. ἔστι κῦδος ἀρσενικῶς, καὶ σημαίνει παρὰ συρακουσίοις τὴν λοιδορίαν. ἀπὸ τοῦ οὖν τοῦ κῦδος, κυδάζω, κυδάζομαι. καὶ κυδάζεται τοῖς πᾶσιν ἀργείοις, ἀντὶ τοῦ λοιδορεῖται.

Ἐκφυλλοφορῆσαι, καὶ ἐκφυλ- λοφορεῖσθαι. σοφοκλῆς αἴαντι. λοφορία. εἴποτέ τις τῶν πολιτῶν ἀδικεῖν ἐδόκει, καὶ ἀνάξιος εἶναι τοῦ συνεδρίου τῶν πεντακοσίων, ἐσκόπει περὶ αὐτοῦ ἡ βουλή, εἰ χρὴ αὐτὸν μηκέτι βουλεύειν, ἀλλ᾽ ἐλαθῆναι καὶ τοῦ συνεδρίου. ἀντὶ δὲ τῆς ψήφου, φύλλοις ἐχρῶντο, ἐν οἷς ἐπεσήμαινε τὴν αὐτοῦ γνώμην ἕκαστος, ὥσπερ ὀστράκῳ ἐπὶ τοῦ ὀστρακισμοῦ. καὶ ἐλέγετο ἐπὶ τούτου ἐκφυλλοφορῆσαι. μετὰ δὲ τὰ λῶμαι κακουργοῦντα ξενοτιμοντὸ ὑπὲρ τῆν ἐν τοῖς κυάμοις, οὕτως ἡ τῶν φύλλων ἐπενοήθη. ἔξεστι μὲν τοῖς ἐν τῷ δικαστηρίῳ κατὰ δὲ χεῖσθαι τοὺς ἐκφυλλοφορηθέντας. ὥσκαι δημοσθέ- νης φησὶν ἐν τῷ κατὰ νεαίρας.

Ἐκωδωνίζοντο, περὶ βόκτοι ἐξί-
νοντο. εἴρηται καὶ ἐπὶ τοῦ ἐπεράθησαν. ὡς ἐν τῷ διεκωδωνίσθησαν. εἴρηκεν οὕτω λυσίας.

Ἐκτεὺς, μέτρον ἐστί. τὸ ἕκτον μέρος τοῦ μεδίμνου ἔχοντος χοίνικας μη̄. ὥστε εἶναι τὸν ἐκτέα χοίνικας ὀκτώ. καὶ ἡμιέκτον, τὸ δωδέκατον τοῦ μεδίμνου.

Ἐλάσσων, ὁ βραχύτερος. ἀπὸ τοῦ ἔλα χὺς ἔλα χύτερος, ἐλαχίων. ὁ γὰρ τύπος τῶν συγκριτικῶν, ἐλάσσων. τὸ δὲ ἐλαχὺς, παρὰ τὸ ἐλῶ τὸ ἀφαιρῶ. ἵν᾽ ᾖ, ὁ ἀφαιρεθεὶς καὶ ἐκ τούτου μειωθείς. καὶ ἐλαχὴν δόμον καλεῖ τὸν μικρὸν καὶ περίχεον.

Ἐλαστρῶ, ἀπὸ τοῦ ἐλῶ, ἀφ᾽ οὗ τὸ ἐλαύνω. ὁ ἀττικὸς παρακείμενος, ἐλήλακα. ὁ παθητικὸς, ἐλήλασμαι. ῥηματικὸν ὄνομα, ἔλαστον. καὶ ἔλαστρον, πλεονασμῷ τοῦ ρ̄. ὥσπερ κεντῶ, κέντρον, καὶ κέντρον. καὶ ἐκ τοῦ ἔλαστρον γίνεται ἐλαστρῶ. ὥσπερ ἀπὸ τοῦ βοῶ βοάζω βοαστὴς, βοαστρῶ καὶ βωστρῶ. καὶ καλῶ καλίζω καλιστὴς καλιστρῶ, οὕτω ἐλῶ ἐλάζω ἐλαστὴς ἐλαστρῶ. πρώτης συζυγίας. ὅθεν καὶ ζεύγεα δινεύοντες ἐλάστρεον ἔνθα καὶ ἔνθα, ἀντὶ τοῦ ἤλαυ-
νον. ἰλιάδος σ̄.

Ἐλασσάμενος. ἐλῶ ἐλάσω ἤλασα ἠλασάμην. τὸ εὐκτικὸν, ἐλασαίμην ἐλάσαιο. καὶ ἰωνι- κῶς, ἐλασσάμενος.

Ἐλασίβροντα, ἐλαυνόμενα ὥσπερ βρονταί. καὶ οὐκ ἐλάσαιμι. ἐκ δὲ τοῦ ἐλῶ, γίνεται ἔλημι.

Ἐλάτη, παρὰ τὸ ἐλῶ τὸ ἐλαύνω, ἐλάτη. καὶ ἐλάτης, καὶ ἐλατήρ. ὡσαύτως καὶ τὸ φυτόν.

Ἐλάτεια, πόλις φωκίδος. καὶ ἐλατεύς.

Ἐλαύνω, εἴτε τὸ διώκειν, ἐξ οὗ ἀπελαύνω. ἢ ἐπὶ χρυσοῦ, ἢ ἐπὶ χαλκοῦ, τὸ σημαινόμενον πρόδηλον. παρὰ τὸ ἐλῶ. οἷον, πτύχας ἤλασε κυλλοποδίων. καὶ διαμπερὲς ἤλασεν ὄμβριμον ἔγχος. ἔλω, ἐλύω, ἐλύνω. καὶ πλεονασμῷ τοῦ ᾱ, ἐλαύνω. ἢ ὥσπερ βῶ, βαίνω, οὕτως ἐλῶ ἐλαίνω. καὶ τροπῇ τοῦ ι̅ εἰς ῡ, γίνεται ἐλαύνω.

Ἐλῶ, σημαίνει δύο. τὸ λαμβάνω. ὥστε τὸ, ἔγχος δ᾽ οὐ χ᾽ ἕλε τοῖον ἀμύμονος αἰακίδαο. σημαίνει καὶ τὸ φονεύω. ὥστε τὸ, φύλακον δ᾽ ἑλε λήιτος ἥρως.

Ἔλαφος, τὸ ζῶον. ἢ διὰ τὴν κουφότητα καὶ τὸ τάχος ἐλαφρή τις οὖσα. ἢ διὰ τὸ ἕλκειν τοὺς ὄφεις, καὶ ἀναιρεῖν διὰ τῶν μυκτήρων. ἢ ἀπὸ τοῦ ἐλαύνειν τοὺς ὄφεις. ἢ ἀπὸ τοῦ ἕλος, ἔλαφος. ἢ παρὰ τὸ ἕλκειν τοὺς ὄφεις ἐλοφός τις οὖσα. τούτους γὰρ ἐσθίουσα, καθαίρεται φυσικῶς. οὕτω γοῦν οἱ ὄφεις ὅτε ἀφανίζονται, αὐτὴ τὸ κέρας αὐτῆς προστρίβεται πέτραν. θερμαινόμενον δὲ, ποιεῖ ἀναθυμίασιν. ἧς μεταλαμβάνουσιν οἱ ὄφεις καὶ ἐξέρχονται τῶν φωλεῶν.

Ἐλάφειος ἀνὴρ, ἐπὶ τοῦ δειλοῦ. ἐκ μεταφορᾶς τῶν ζώων. δειλὸν γὰρ ἡ ἔλαφος.

Ἐλαφηβόλος, κυνηγός. εἴρηται καταχρηστικῶς.

Ἐλαφηβολιὼν, μὴν ἀθηναίων. ἀπὸ τῶν ἐλάφων ὠνόμασται, ἃς τῷ μηνὶ ἔθυον τῇ ἐλαφηβόλῳ ἀρτέμιδι.

Ἐλαφός, εὐκίνητος. ἐλεφός τις ὤν. ἢ ἀπὸ τῆς ἐλάφου, ἥ ἐστι κουφότατον καὶ εὐκίνητον.

Ἐλαφοστάτους, ἐν ἐπαίνῳ λέγουσι τὸ ὄνομα οἱ παλαιοὶ, ἀντὶ τοῦ πραοτάτους. κατὰ δὲ τὸ ἐναντίον, τοὺς βαρυτάτους καὶ φορ- τικωτάτους.

Ἐλαΐζειν, τὰς ἐλαίας ἐργάζεσθαι. γεωργοῖς ἀριστοφάνης.

Ἐλαιονομεῖν, καὶ ἐλαιονόμων. τὰ ἔργα τῶν τὰς ἐλαίας ἐργαζομένων. νομεῖν γὰρ τὸ ἐπιμελεῖσθαι.

Ἔλαιον, ὁ καρπός. παρὰ τὸ λεῖον λέαιον, τὸ λεαῖνον τὸ σῶμα. καὶ ἐν ὑπερθέσει, ἔλαιον. ἢ ἀπὸ τοῦ ἐλαία τοῦ φυτοῦ παρωνύμως, ἔλαιον. τὸ γὰρ ὀνομαζόμενον τὸ λαι, δίφθογγον. διότι ἀνεφάνη τὸ α̅ ἐν τῷ ἐλάδιον. ἐπὶ δὲ τοῦ ἐλέους διὰ τοῦ ε̅ ψιλοῦ. παρὰ γὰρ τὸ ἐλῶ τὸ λαμβάνω, τὸ γὰρ ἔλεος πάντες λαμβάνομεν. ἔστι δὲ καὶ ἀρσενικῶς ὁ ἔλεος.

Ἐλαία, παρὰ τὸ λεῖον, ἢ λείαν ἢ παρὰ τὸ λῶ τὸ θέλω. λέαια. καὶ ἐν ὑπερβιβασμῷ, ἐλαία, ἡ τὸ λεαῖον τίκτουσα. ἢ παρὰ τὸ ἕλος διὰ τὸ ἐν ἕλεσιν ἵστασθαι. ἐν ἕλεσι γὰρ ὑγροῖς τὸ φυτόν. ἢ παρὰ τὴν ἀλέαν τὴν θερμασίαν. ἐν θερμοῖς γὰρ τόποις χαίρει.

Ἐλαιοῦς, πόλις ἐν ἑλλησπόντῳ. ἐλεούσιος, ὥσπερ ἀπεζοῦς

Ἐλεὼν, ἡ πόλις. κλίνεται ἐλεῶνος. παρὰ τὸ ἕλος, ἡ ἑλώδης οὖσα. ἢ ἐλαιὼν τις οὖσα, ὅτι πολλαὶ ἐλαῖαι πεφύκασιν ἐν αὐτῇ. ἢ παρὰ τὴν ἑλη ἐστίν.

Ἐλεοῦσα, νῆσος πλησίον ῥόδου. ὅτι ἀθηναῖοι βαρεῖς φόρους πράττοντες ῥοδίους τῶν μὴ διδόντων τὰς θυγατέρας ἐλεήσαντες ...

Ἐλαιοπώλους, λυσίας τοὺς τὰ ἐλαιοπωλοῦντας. καὶ τέρας. ὥστε τὸ ἐλεόθρεπτον σέλινον, τὸ ἐν ἕλει τεθραμμένον.

Ἐλεάγρος λέγεται ὁ μάγειρος παρὰ τοῖς ἐλεοῖς, αἳ εἰσι μαγειρικαὶ τράπεζαι. ζήτει εἰς τὸ ἐλεός.

Ἔλεγος, θρῆνος, ὁ τοῖς τεθνεῶσιν ἐπιλεγόμενος. εἴρηται δὲ παρὰ τὸ ἐλελίζειν ἐν τοῖς τάφοις. ἢ ἀπὸ τοῦ εὖ λέγειν δι᾽ αὐτοῦ τοὺς θρήνους τοῖς κατοιχομένοις. καὶ ἐλεγεῖα, παρὰ τὸ ἐλεεῖν τοὺς τετελευτηκότας, ἢ ἐλεγεῖα παρὰ τὸ εὖ λέγειν τοὺς ἀποβιωσάντας.

Ἐλεγεῖα, τὸ μέτρον. καὶ ἀρσενικῶς, ἔλεγος. ἢ ὅτι ἐπιλέγεται τῷ ἑξαμέτρῳ, τὸ πεντάμετρον. ἢ παρὰ τὸν ἔλεον καὶ τὸν γόον. ἢ παρὰ τὸ λέγεσθαι ἐπὶ τῶν θανόντων. εἰς ἐπικήδειαν γὰρ ἐλέγοντο. ἢ παρὰ τὸ ἐελέγειν τοὺς τεθνεῶτας. ἢ παρὰ τὸ ἔλεον τὸν θρῆνον. δίδυμος δὲ ὅτι διὰ τοῦ ἡρωϊκοῦ ἐπιδοῦν ὥσπερ πεντάμετρον καὶ λέγεσθαι μὲν τοῦ ἡρωϊκοῦ, μιμούμενοι τοὺς ἀποθνήσκοντας ἀποπαύουσιν. ἐπὶ γὰρ μόνοις νεκροῖς πάλαι ἦδε τὸ πρὸς ἔπαινον καὶ παραμυθίαν τῶν συγγενῶν, καὶ φίλων τοῦ τεθνεῶτος.

Ἐλεγαίνειν, τὸ παραφρονεῖν. τινὲς τῶν παλαιῶν, καὶ τὸ ὁπωσδήποτε ἀκολασταίνειν. καὶ τὸ ἐλεγεῖον μέτρον ἀπὸ τούτου ἐκλήθη. τινὲς νομίζουσιν, ὅτι θεοκλῆς νάξιος, ἢ ἐρετριεὺς πρῶτος αὐτὸ ἀνεφθέγξατο μανείς. ζήτει εἰς τὸ ἀ-

Ἐλεγηὶς, ἡ θυγάτηρ νηλέως τοῦ ἡγησαμένου τῆς ἀποικίας σελεγείαν. νῦν εἰς ἰκαρίαν τῆς ἰώνων ἀποικίας. ἧς τὸ κύριον ὄνομα παρῳ φασὶν εἶναι. εἴρηται δὲ παρὰ τὸ ἐλεγεῖν, τὸ ἀκολασταίνειν. διὸ, οὐδεὶς αὐτὴν ἀθηναίων ἠβουλήθη γῆμαι.

Ἐλέγχω. ὁμήρῳ, ἐλέγξω. ἐκ τοῦ ἔλεγχος. ἔλεγχος δέ ἐστιν ὁ τὸ πρᾶγμα σαφηνίζων. παρὰ τὸ ἕλην ἔχειν. ἤγουν, λαμπηδόνα καὶ φῶς, ἔλεχος τὶς ὢν καὶ πλεονασμῷ τοῦ γ̄. ὁ φωτίζων τὰ πράγματα. ὁ γὰρ ἔλεγχος εἰς φῶς ἄγει τὰ πράγματα.

Ἐλεγχείη, τὸ ὄνειδος. τὸ χει, δίφθογγον. διό- τι ἀνεφάνη τὸ ε̄ ἐν τῷ ἔλεγχος ἐλεγχεία. σημαίνει δὲ τὸ ὄνειδος.

Ἐλεδώνη, εἶδος πολύποδος. ἀπὸ τοῦ ἐαυτὴν ἔδειν, ὃ ἐστιν ἐσθίειν. ἐεδώνη, καὶ πλεονασμῷ τοῦ λ̄. ἡ πόδας, Ὀτ-

Ἐλεαίρω, ὥς ἀπὸ τοῦ ἐλῶ ἐλ ἀνόστεος ὃν πόδα τένδει. παίρω. ἐκ τούτου ἐλεφήνωρ, οὕτω καὶ ἀπὸ τοῦ ἐλεῶ ἐλεαί ρω ἐλεαρῶ

Ἐλεινός, ἀπὸ τοῦ ἔλεος. εἰς τὸ ἀσελγαίνειν.

Ἐλεῶ. κατὰ μὲν τοὺς ἀττικοὺς, πρώτης συζυγίας τῶν περισπωμένων. ἐλεεῖς. Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος. κατὰ δὲ τὴν κοινὴν δευτέρας. καὶ γίνεται παρὰ τὸ ἔλεος. τοῦ

Ἐλεεῖς, δῆμος τῆς ἀττικῆς. τὸ παρὰ τὸ λῶ τὸ θέλω. ὠνόμασται δὲ ἀπὸ τοῦ ἐν αὐτῇ ἕλους. ἑλώδης γὰρ ὁ τόπος. οἱ γὰρ δῆμοι τῶν ἀθηναίων, ἢ ἀπὸ τῶν τόπων, ἢ ἀπὸ τῶν παρακειμένων αὐτοῖς, ἢ ἀπὸ τῶν ἐν αὐτοῖς φυτῶν, ἢ ἀπὸ τῶν ἐν αὐτοῖς χειροτεχνῶν, ἢ ἀπὸ τῶν οἰκησάντων ἀνδρῶν,

Ἑλένη, ἡ ἡρωΐς. παρὰ τὸ ἐλῶ τὸ ἑλκύω. ἢ γυναικῶν. ἢ πρὸς τὸ ἴδιον κάλλος ἕλκουσα τοὺς ἀνθρώπους. διὰ τὸ πολλοὺς ἑλεῖν τῷ κάλλει. ἢ παρὰ τὸ ἑλλάς. ἢ παρὰ τὸ ἐν ἕλει γεγενῆσθαι. ἢ ὑπὸ τοῦ τυνδάρεω ἐν ἑλώδει τόπῳ ῥιφθεῖσα. θείας δέ τινος προνοίας τυχοῦσα, καὶ ἀναληφθεῖσα ὑπὸ λήδας. ἐκ τοῦ ἕλους οὖν ἑλένη ὠνομάσθη.

Ἔλεγος, ἐκ τοῦ περὶ χρηστομαθείας πρόκλου. ὁ μὲν τοι ἐπικὸς κύκλος ἄρχεται μὲν ἐκ τῆς μυθολογουμένης οὐρανοῦ καὶ γῆς μίξεως. ἀφ᾽ ἧς ἑκατόγχειρες γίνονται καὶ ἑξῆς. διαπορεύεται δὲ τά, τε ἄλλως περὶ θεῶν τοῖς ἕλλησι μυθολογούμενα, καὶ εἴπου τι καὶ πρὸς ἱστορίαν ἐξαληθίζεται. περαιοῦται δὲ ἐκ διαφόρων ποιητῶν συμπληρούμενος, μέχρι ὀδυσσέως. ὧν καὶ ὄνομα καὶ πατρίδας φησὶν ὁ αὐτός. σπουδάζεσθαι δὲ τὰ ἐπικοῦ κύκλου ποιήματα, οὐχ οὕτω διὰ τὴν ἀρετὴν, ὡς διὰ τὴν ἀκολουθίαν τῶν ἐν αὐτῷ πραγμάτων. τὴν δὲ ἐλεγείαν συγκεῖσθαι μὲν δὲ ἡρῴου καὶ πενταμέτρου. ἁρμόζειν δὲ τοῖς κατοιχομένοις. καὶ εὐλογεῖσθαι μὲν ὑπ᾽ αὐτοῦ τούτοις. οἱ μέντοι μεταγενέστεροι, ἐπὶ διαφόροις ὑποθέσεσιν αὐτῷ ἀπεχρήσαντο. τὸ δὲ ἔπος ἐφεῦρε φημονόη καὶ ἀπόλλωνος προφῆτις ἐξαμέτροις χρησμοῖς. οἷς ἐπεὶ τὰ πράγματα εἴπερ, ἔπος τὸ ἐκμέτρων ἐκάλεσεν, ἢ διὰ τὴν κατασκευὴν, καὶ τὴν ἄγαν ὑπεροχὴν ἐν τοῖς ἑξαμέτροις θεωρουμένην, τὸ κοινὸν ὄνομα παντὸς λόγου τὸ ἑξάμετρον ἰδιώσαντο. καθὰ περὶ ὁμήρου τὸν ποιητὴν καὶ δημοσθένην τὸν ῥήτορα, ἐπεὶ καὶ τὰ τρίμετρα, ἔπη προσηγόρευσαν.

Ἑλένη, τὸ λε, ψιλόν. τὰ διὰ τοῦ ενη θηλυκὰ ὑπὲρ β̄ συλλαβὰς μονογενῆ, διὰ τοῦ ε̄ ψιλοῦ γράφονται. ἐπί τε βαρυτόνων καὶ ὀξυτόνων. ἐπὶ βαρυτόνων, ὠλένη, ὁ βραχίων. κλυμένη, κύριον. ὀξύτονα, δεξαμενὴ. εἰς ἀμενή. πρόσκειται μονογενῆ, διὰ τὸ σελαίνη.

Ἑλένιον, βοτάνη ἡ ἐν ἀλεξανδρείᾳ γινομένη. εἴρηται ὅτι ἐκ τῶν δακρύων τῆς ἑλένης ἀνεφύη, ὅτε ἐπὶ κανώβῳ τῷ κυβερνήτῃ μενέλαος ἐδάκρυσεν ὑπὸ αἱμορρο-

Ἐλεθὴρ, ὕδωρ τὸ ὑπὸ τοῦ ἡλίου τε- ἰδῶν ἀποθανόντι. θερμασμένον. παρὰ τὴν ἕλην τὴν θερμασίαν, καὶ τὸ θέρω τὸ θερ-

Ἐλεπίδας, Πεισίστατε προλιπὼν καὶ ἐλεπί- μαίνω. δας. οἱ μὲν τοὺς συμφύτους τόπους. οἱ δὲ τοὺς ἑλώδεις. ἄμεινον δὲ τοὺς λεπώδεις παρὰ τὸ λελεπίσθαι ὑπὸ τῶν ἀνέμων, ἢ ὑπὸ τῶν κυμάτων. ὅθεν καὶ λέπας, τὰ ἀκρότατα τῶν ὀρέων. εὐριπίδης. Καὶ κιθαιρῶνος λέπας.

Ἔλεψε, ἰλιάδος ᾱ. Περὶ γάρ ἑ χαλκὸς ἔλεψε. περὶ ἑλέπισεν αὐτό. ὅ ἐστιν ἔγλυψε καὶ ἐκάθηρεν. ἀπὸ τοῦ λέπω. ἐξ οὗ καὶ λέπυρον τὸ τῶν καρύων. ἔλυτρον καὶ λέπος. ὁμήρῳ, λέψω ἔλεψα. ἢ παρὰ τὸ λεπῶ πρώτης τῶν περισπωμένων, λεπήσω ἐλέπησα τὸ γίγνεται ἐλέπησε. καὶ κατὰ συγκοπὴν τοῦ η καὶ κράσει τοῦ π̄ς εἰς ψ̄, ἔλεψεν.

Ἐλέλικτο. Αὐτὰρ ἐπ᾽ αὐτῷ κυάνεος ἐλέλικτο δράκων. ἀντὶ τοῦ ἥλικτο. ἐνέσφικτο. ἑλίσσω ἑλίξω ἥλιχα ἥλιγμαι καὶ ἐλήλιγμαι. ὁ ὑπερσυντέλικος, ἡλίγμην καὶ ἐλελίγμην. ἐλήλιξο, ἐλήλικτο. καὶ τροπῇ τοῦ η εἰς ε̄.

Ἐλέλιξεν Μέγαν δ᾽ ἐλέλιξεν ὄλυμπον, ἀντὶ τοῦ ἐκίνησεν. ἔσεισε. καὶ γίνεται παρὰ τὸ ἐλελίζω. ὅπερ ἀπὸ τοῦ ἑλίσσω γίνεται κατὰ ἀναλογίαν. ὁ ἀόριστος ἐλέλιξα. ὁ μέσος ἐλελιξάμην. καὶ ἡ μετοχὴ ἐλελιξάμενος. σημαίνει καὶ τὸ ἐπιστραφείς. ὥστε τὸ, Τηνδ᾽

Ἐλελίχθησαν, ἐκλήθησαν. ἐλελιξάμενος πτέρυγος λάβεν. συνεστράφησαν. ἐτινάχθησαν. ἀπὸ τοῦ ἑλίσσω. ἰλιάδος ζ̄. Καὶ ὡς ἐλελίχθεν, ἀντὶ τοῦ ὡς ἐπεστράφησαν.

Ἐλέπολις, σημαίνει τὰ μάγγανα καὶ μηχανήματα τὰ πόλεις πορθοῦντα. παρὰ τὸ ἑλεῖν τὰς πόλεις. ἑλῶ γάρ ἐστι τὸ πορθῶ. τὰ δὲ παρὰ τὸ πόλις συντεθέντα ὀνόματα, ἃ μέν ἐστι θηλυκὰ, τῶν ἁπλῶν φυλάττουσι κλίσιν. ἃ δὲ ἀρσενικοῦ καὶ θηλυκοῦ μετέχει, διὰ τοῦ δος κλίνεται. φυγόπολις, φυγοπόλιδος.

Ἐλέφας, τὸ ζῶον. Ἀμετροβίων ἐλεφάντων. ἐλέβας τις ὤν. διὰ τὸ βάρος ἐν ὕδασί τισιν ἑλώδεσι τὰς ἐπιβάσεις ποιεῖται, τουτέστι τὰς μίξεις ποιεῖται. ἢ παρὰ τὸ ἐλεφαίρω τὸ βλάπτω. βλαπτικὸς γάρ. ἢ παρὰ τὸ ἑλίσσω γίνεται ἔλιφας καὶ ἔλεφας ὁ ἑλιγμένην ἔχων ῥῖνα. ἢ παρὰ τὸ ἐν ἕλει ἐπιβαίνειν τῇ θηλείᾳ. ἐλέβας τις ὤν. ἐπιβαίνει γὰρ τῇ θηλείᾳ, οὐκ ἐπὶ γῆς

διὰ τὸ ὄγκον, ἀλλ' ἐπεὶ ὕδατος ἑλώδους, ὅπου νέμονται. ἢ παρὰ τὸ ἦνοπως κοῦφος. ἢ παρὰ τὸ λευκὸς, λευκάς. καὶ ἀποβολῇ τοῦ κ καὶ τροπῇ, λέφας. καὶ πλεονασμῷ τοῦ ε, ἐλέφας. πάνυ γάρ ἐστι λευκὸν τὸ ὀστοῦν αὐτοῦ. καὶ ὅμηρος ἰλιάδος δ. Ὡς δ' ὅτε τίς τ' ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ. ἀντὶ ἐλεφάντινον ὀστοῦν τῷ φοινικῷ χρώματι, χρίσει. βάψει. ἰλιάδος ε. Ἐκ δ' ἄρα χειρῶν ἡνία λευκ' ἐλέφαντι χαμαὶ πέσον.

Ἐλεφαντίνη, ἡ αἰγυπτία. καὶ φησὶν ἀππίων ὅτι ὀνυχίνη χρὴ λέγεσθαι. ὅτι καθάπερ ὄνυξ ἀφαιρεθεὶς ἐπιβλαστάνει διὰ τὸ ἐπὶ τῶν ἄκρων αὔξεσθαι τὴν ἀφαίρεσιν, οὕτως ὁ νεῖλος ἀναλισκόμενος εἰς τὰς ἀρούρας τοῖς δαπανωμένοις ἐπαναχεῖται καθ' ἕκαστον ἔτος ἀναλισκόμενος καὶ πάλιν αὐτὰ πελαγίζων. τὸ ἐθνικὸν, ἐλεφαντῖνος.

Ἐλεφήνωρ, ὄνομα κύριον. ὁ ἀνδρεῖος ἐλεφάνωρ. τὸ γὰρ ἀνὴρ ἐν συνθέσει, τρέπει τὸ α εἰς η. τὸ δὲ η εἰς α. ἀγήνωρ.

Ἐλατὴρ, παρὰ τὸ ἐλῶ ἐλάσω ἐλατήρ. σημαίνει δὲ τὸν ἡνίοχον. καὶ παρὰ τὸ ἐλεύθω τὸ παραγίνομαι, ἐλευθὴρ ὄνομα πόλεως τῆς βοιωτίας. Ἐλευθῆρος μεδέουσα, ἡσίοδος.

Ἐλεφαίρεται. Ἐλεφαίρεται φῦλ' ἀνθρώπων. σημαίνει τὸ βλάπτω. καὶ ἐλεφέρονται καὶ ἐλεφηράμενος, τὸ μετὰ ἀπάτης βλάψας. ἐλεφαίρω δὲ κυρίως, τὸ ταῖς ἐλπίσιν ἀπατῶ καὶ βλάπτω. παρὰ τὸ ἔλπω, παράγωγον ἐλπαίρω. καὶ πλεονασμῷ τοῦ ε, ἐλπεαίρω. καὶ ὑπερθέσει τοῦ ε ἐλεπαίρω. καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, ἐλεφαίρω. ὁ ἀόριστος ἐλέφηρα. ὁ μέσος, ἐλεφηράμην. ἐλεφηράμενος ἡ μετοχή. δύναται δὲ καὶ παρὰ τὸν ἐλέφαντα τὸ ζῶον εἰρῆσθαι. βλαπτικώτατον γὰρ τὸ ζῶον.

Ἐλευσὶς, διὰ τὸ ἀπὸ δημήτερος ἐλευσιν. ἐκεῖ γὰρ εὗρε τὸν καρπὸν ἐλθοῦσα. παρὰ τὸ ἐλεύθω ἐλεύσω, ἐλευσίν. ἔστι δὲ πολὺ πλῆθος ἀθηναίων. καὶ ὁ θεολόγος. Οἶδεν ἐλευσὶς ταῦτα. ἢ ὅτι παρ' αὐτῇ κατέλυσεν ἡ δημήτηρ ἐν τῇ ζητήσει πορευομένη τῆς θυγατρὸς αὐτῆς. καὶ ἀπὸ ἐλευσῖνος τοῦ ἑρμοῦ. καὶ ἐλευσινία ἑορτή. καὶ τοῖς νικῶσι τὰ ἐλευσίνια, ἆθλον ἐδίδοτο.

Ἐλεύθερος, παρὰ τὸ ἐλεύθειν ὅπου ἐρᾷ.

Ἐλευθέριος καλεῖται ὁ ζεὺς, διὰ τὸ τοὺς ἐλευθέρους τὴν στοὰν οἰκοδομῆσαι τὴν πλησίον αὐτοῦ. οὕτω μὲν ὑπερείδης. ὁ δὲ δίδυμος, οὐ διὰ τοῦτό φησιν, ἀλλὰ διὰ τὸ τῆς μηδικῆς δουλείας καὶ ἐπικρατείας ἀπαλλαγῆναι τοὺς ἀθηναίους. εἰώθασι δὲ καὶ ὑπὲρ ἐλευθερίας ἱστάναι κρατῆρα τῷ διὶ τοὺς πολεμίους ἀπωσάμενοι. καὶ ὅμηρος ἰλιάδος ζ. Κρητῆρα στήσασθαι ἐλεύθερον.

Ἐλεύθω, σημαίνει τὸ παραγίνομαι. παρὰ τὸ κέλευθος ὃ σημαίνει τὴν διὰ θαλάσσης ὁδὸν, γίνεται κελεύθω. καὶ ἀποβολῇ τοῦ κ, ἐλεύθω. ὁ μέλλων, ἐλεύσω. ὁ ἀόριστος, ἤλευσα. ὁ β, ἤλυθον. καὶ ἐν συγκοπῇ, ἦλθον. καὶ τὸ προστακτικὸν, ἐλθέ. ἀντὶ τοῦ ἔλθε. εὑρέ. διὰ τὸ εἶναι μετωνυμία ὀξυτονούμενα. καὶ ἴσως ὡς μακρὰ παραληγόμενα. ὁ παρακείμενος, ἤλευκα. ὁ ἀττικὸς, ἐλήλυκα. τὸ δὲ γ συλλαβήν. ὁ ὑπερσυντέλικος, ἐληλύκειν. καὶ ὤφειλεν εἶναι ἠληλύκειν. ἀλλὰ τὰ ἀττικὰ τὰ ἀπὸ βραχέος ἀρχόμενα, ἐν τῷ ἀττικῷ ὑπερσυντελικῷ χρονικῶς μετεθύμοντο. οἷον, ὀρόρυχα, ὀρωρύχειν. πλὴν τοῦ ἐλήλυκα ἐληλύκειν, καὶ ἐλήλυθα ἐληλύθειν. ὁ μέσος ἀττικὸς, ἐλήλυθα. ἡ μετοχὴ, ἐληλυθώς. καὶ πλεονασμῷ τοῦ ο, ἐληλουθώς. Ἰστέον δὲ ὅτι ὁ ἀττικὸς παρακείμενος ἀπὸ μακρᾶς οὐκ ἄρχεται. ἡ γὰρ ἀρχὴ τοῦ ἀττικοῦ παρακειμένου, οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ ἀντεστραμμένος ἀναδιπλασιασμός.

Ἐλήλατο, διελήλυθε. ἐπεπήγνυτο. ἐλάω ἐλῶ, ἐλάσω, ἤλακα, καὶ ἐλήλακα. ἐληλάμην.

Ἐλείψασκον. λείπω, λείψω, ἔλειψα. ἔλειψαν πληθυντικόν. ἐλείψασκον ἰωνικῶς.

Ἐλειονόμος, ἐν τοῖς ἕλεσι νεμόμενος. Νύμφαι ἐλειονόμοι περιδείδισαν. ἀπολλώνιος.

Ἐλειήτης, ὁ λέων. Ἐσχατιὴν ὑπὸ πέζαν ἐλειήταο λέοντος. εἴρηται παρὰ τὴν ἕλην τὴν θερμότητα. ἢ λέγεται καὶ εἵλη πλεονασμῷ τοῦ ι. ἢ ὅτι παρὰ τὸ ἕλος, ὅτι πρὸ τοῦ καταπερισμοῦ ἐν ἕλεσιν ἐνέμοντο. ὦρος.

Ἐλελίξω. ἑλίσσω τὸ συστρέφω, ἀπὸ τοῦ εἴλω εἱλίσσω. καὶ ἀφαιρέσει καὶ συστολῇ τοῦ ι, ἑλίσσω. τούτου κατὰ ἀναδιπλασιασμὸν γίνεται ἐλελίσσω. ὁ μέλλων, ἐλελίξω.

Ἕλιξ. ἕλιξ λέγεται καὶ τὸ τῆς ἀμπέλου νευρῶδες ἔκφυμα. ὃ ἐπιλαμβάνεται τοῦ χάρακος. τὸ παρ' ἡμῖν βλαστάριον καλούμενον. παρὰ τὸν ἑλίξω μέλλοντα, ἕλιξ. ὡς χαράξω, χάραξ. δράξω, δράξ.

Ἑλίχρυσος, εἶδος ἄνθους. θεόκριτος. Κισσὸς ἑλιχρύσῳ κεκονιμένος. ἀπὸ ἑλιχρύσης τινὸς ἐφεσίας, ἥτις πρώτη ἀπὸ τῶν ἀνθῶν τοῦ χρυσανθέμου ἐστεφάνωσε τὴν ἄρτεμιν. ἢ παρὰ τὸ χρυσοειδὲς εἶναι. καὶ ἕλκειν τὸ ἄνθος. ἵν' ᾖ ὁ ἐν ἕλει χρυσὸς, ἑλόχρυσος, καὶ ἑλίχρυσος. ὡς ἑλοτίτης, καὶ ἑλιτίτης, ἄγρωστις.

Ἑλινὸς, ἡ ἄμπελος ὡς ἀπολλόδωρος. φιλίτας δὲ ἐν γλώσσαις τὸν κλάδον τῆς ἀμπέλου. νίκανδρος ἐν θηριακοῖς.

Ἐληλάμενος, μετοχή ἐστι παρακειμένου ὡς δηλοῖ ὁ ἀττικὸς ἀναδιπλασιασμός. ἀπὸ τοῦ ἐλῶ, ἤλακα, καὶ ἐλήλακα ὁ παθητικὸς, ἐλήλασμαι. ἡ μετοχὴ, ἐληλασμένος. ἀποβολῇ τοῦ σ, ἐληλαμένος. μετὰ δὲ τὴν ἀποβολὴν τοῦ σ, προπαροξύνεται. καὶ συνέπεσε τῷ χαρακτῆρι τῶν διὰ τοῦ αμενος, ἱστάμενος. καὶ τὰ ὅμοια. οὕτω καὶ τοῦ τάμενος. οὐ γὰρ ἀπὸ τοῦ τίθημι.

Ἐλινύειν, ἀργεῖν, σχολάζειν. ὁ δὲ ταραντῖνος, τὸ ἡσυχάζειν. ὁ δὲ ἱπποκράτης ἐμφαίνει λέγων. ἐλινύειν οὐ ξυμφέρει, ἀλλὰ γυμνασία. δῆλον ὡς ἀντιδιαστέλλων τὴν κίνησιν τῇ ἀργίᾳ. ἐλινύω, ἐνδίδωμι. ἀναπαύομαι. θεόκριτος. Ἐλίνυσε δὲ τὸ καῦμα. καὶ καλλίμαχος. Οὐδὲ βοῆς κήρυκος ἐλίνυσε. παρὰ τὸ εἴλω, ἵν' ᾖ τὸ ἐν τῷ αὐτῷ εἰλεῖσθαι. εἴλω, εἰλίνω. ἐλίνω καὶ ἐλινύω. ὡς δὲ τὸ ῥῆμα εὗρον. σημαίνει ἡ λέξις τὸ στρατεύειν διατρίβοντας, ἢ ἐγχρονίζοντας. ἐλίνυον, ἀντὶ διέτριβον. ἀνέστρεφον. περιεφέροντο. ἀπὸ τοῦ λίνου εἴρηνται. οἷον, ἀνέρος δ' ἀνελίνυον αὖθι μένοντες.

Ἕλκος, ἢ παρὰ τὸ ἕλκω ἕλκος ἢ διὰ τὸ ἑλκυομένη σὰρξ καὶ μὴ συμμύουσα. ὅθεν καὶ ἄμπελος προσαγορεύεται, παρὰ τὸ μὴ πελάζειν τὴν σῆκα. ἢ παρὰ τὴν ἀλκὴν, τὸ ἐξ ἀλκῆς γινόμενον.

Ἕλκεο. Μηδὲ ξίφος ἕλκεο χειρί. ἀπὸ τοῦ ἕλκω ἕλκομαι εἱλκόμην εἵλκου. καὶ τὸ προστακτικὸν, ἕλκου. καὶ κατὰ διάλυσιν, ἕλκεο.

Ἑλκύδριον, λέγει τὸν κάδον, ὅτι ἀνέλκει τὸ ὕδωρ.

Ἑλκεσίπεπλος, ἐφελκομένη τοὺς πέπλους ἐν τῷ φορεῖν. ἡ δὲ κατασκευὴ τῆς λέξεως, ὡς τὸ ἀλφεσίβοιαι.

Ἑλλὰς, ἀπὸ ἕλλης τῆς ζήθου θυγατρός.

Ἑλλὰς, ἕλλα ὁ ὑπὸ πλεονασμοῦ τοῦ ς γίνεται ἑλλὰς ῥωμαῖος.

Ἑλλανικός, ἀπὸ τοῦ ἑλληνικός. ἢ ἀπὸ τοῦ ἕλλην ἕλληνος καὶ τοῦ νίκη, γέγονεν ἑλληνόνικος. καὶ συγκοπῇ, ἑλλανικός.

Ἑλλανοδίκαι, ἄρχοντες ἠλεῖοι διέποντες κατὰ τὸν ἀγῶνα τὸν ὀλυμπιακόν. ἐκλήθη δὲ ὅτι παρὰ τοῖς ἕλλησιν ἐδίκαζον τοῖς τε ἀθληταῖς, καὶ τοῖς ἄλλοις ἀγωνισταῖς. ἐκαθέζοντο γὰρ ἐν τῷ ἀγῶνι πορφυρίδα περιβεβλημένοι. καὶ ἦσαν οὗτοι τὸ μὲν πάλαι ἐννέα. εἶτα δέκα. καὶ τὸ τελευταῖον, ή.

Ἑλλεδανὸς, ὁ τῶν δραγμάτων δεσμός. παρὰ τὸ συνειλεῖν τὰ δεσμευόμενα.

Ἑλλέβορος, θανάσιμον φάρμακον. παρὰ τὸ τὴν βορὰν ἑλεῖν.

Ἑλλεβοριᾶν, τὸ ἐλλεβόρου δεῖσθαι ὡς φαρμάκου. οὕτω καλλίας.

Ἑλλέρα, τὰ βλέφαρα. ὀλλύρα τινὰ ὄντα. ὀλλύντα καὶ ἔρρειν ποιοῦντα.

Ἕλλην, παρὰ τὸ ἑλλὰς, ὃ σημαίνει τὴν πόλιν. ἢ παρὰ τὸ ἄλλος ἄλλην καὶ ἕλλην. πλεῖον γὰρ τῶν ἄλλων ἐθνῶν ἀλλήλους φιλοῦσιν, ἢ διακέκρινται.

Ἑλληνισμός ἐστι, τὸ καθ' ἕλληνας διαλέγεσθαι. τουτέστι τὸ ἀσολοικίστως καὶ ἀβαρβαρίστως διαλέγεσθαι.

Ἑλληνόπολις, ἀπολλόδωρος. ἄτταλος ἐκ τῶν ἑλληνίδων πόλεων οἰκήτορας συναγαγὼν, ἔκτισε πόλιν, καὶ ὠνόμασεν αὐτὴν ἑλληνόπολιν.

Ἑλληνοταμίαι, οἱ τῶν ἑλληνικῶν χρημάτων ταμίαι. καὶ γὰρ ἦσαν κοινὰ χρήματα τῆς ἑλλάδος συγκείμενα ἐν τῷ δημοσίῳ. ῥητορική.

Ἑλλήσποντος, ἡ πρὸ τῆς ῥοίας θάλασσα οὕτω καλεῖται ἀπό τινος ἕλλης ἐκεῖ πνιγείσης ἀδελφῆς τοῦ φρίξου. Ἐπὶ πλατεῖ ἑλλησπόντῳ. κατὰ ἀντίφρασιν εἴρηται πλατὺς. στενὸς γὰρ ὁ ἑλλήσποντος. ἢ τὸ κατ' ἐκεῖνο μέρος πεπλατυσμένος.

Ἕλλοψ, ὁ ἰχθύς. καὶ ἐλλοπεύειν, τὸ ἁλιεύειν. εἴρηται δὲ πᾶς ἰχθὺς οὕτως ἀπό τινος ἰχθύος ἰδικῶς καλουμένου ἔλλοπος. ἢ ἀπὸ τοῦ ἐλλείπειν τὸ ὄπα. ἄφωνον γάρ. κρῆτες δὲ καὶ τοὺς ἀφώνους ἔλλοπας λέγουσιν.

Ἐλλόποδες καὶ ἐλλοί, οἱ στρουθοί, καὶ οἱ νεβροί. ἀπὸ τοῦ ἄλλεσθαι. καὶ ἐλλοφόνος ἡ ἄρτεμις, ἡ τοὺς ἐλλοὺς φονεύουσα ὅ ἐστι τὰς ἐλάφους. κυνηγετικὴ γάρ ἐστιν. ἐλλὸς δὲ ἡ ἔλαφος ὑποκοριστικῶς, ἀπὸ τοῦ ἔλαφος. ἢ ὁ ἐν ἕλει τὰς διατριβὰς ἔχων. ἀπὸ γὰρ τοῦ ἐλλὸς καὶ τοῦ ἔλαφος. ὀδυσσείας τ. Κύων ἔχε ποικίλον ἐλλόν, ἀντὶ τοῦ ἔλαφον.

Ἑλίκωπες. ἡ εὐθεῖα ἑλίκωψ. ἀντὶ μελανόφθαλμοι. εὐόφθαλμοι. ἑλίκη γὰρ, ἡ ἑλικὴ καλεῖται κατὰ γλῶσσαν τὸ μέλαν. ἢ οἱ ἑλικοειδῶς κινοῦντες τοὺς ὦπας, ὅ ἐστι τοὺς ὀφθαλμούς. εὐειδεῖς, ἢ ἑλικοβλέφαροι. ὦπας γὰρ τὰ βλέφαρα φασίν. ἀπὸ τῶν μέρος μέρους. ἢ οὐλόθριχες. ἢ οἱ ἑλικὴν ὦπα ἔχοντες, ἤγουν μεγάλην. ἢ οἱ ναυτικοὶ πρὸς τὴν ἑλίκην ὡπῶντες, ὅ ἐστι βλέποντες πρὸς τὴν μεγάλην ἄρκτον. δύο δέ εἰσιν ἄρκτοι. ἡ μικρὰ καλεῖται κυνόσουρα. καὶ ἡ μεγάλη ἑλίκη. διὰ τὸ ἑλικοειδῶς περὶ τὸν οὐρανὸν ἔχειν. ἢ διὰ τὸ ἕλκεσθαι ὑπὸ τοῦ οὐρανοῦ. κατ' ἐξοχήν, ὡς ὁ λέων θήρ. ὅθεν οἱ ἕλληνες ἐν ἀγνωσίᾳ τῆς μικρᾶς ὄντες πρὸς τὴν μείζω βλέπουσιν, ὥς φησιν ἄρατος. Ἑλίκῃ γέ μεν ἄνδρες ἀχαιοὶ εἰν ἁλὶ τεκμαίρονται, ἵνα χρὴ νῆας ἀγινεῖν. διὰ τοῦτο ἑλίκωπας αὐτοὺς ὅμηρος φησίν. οἱ δὲ εὐοφθάλμους λέγοντες, ἁμαρτάνουσι. προσθέτων γὰρ τὸ ἐπίθετον.

Ἑλικώπιδα. ἡ εὐθεῖα, ἡ ἑλικῶπις. ἑλίκη κατὰ διάλεκτον τὸ μέλαν. ἀντὶ μελανόφθαλμον. ἀφ' οὗ εὐπρεπῆ. ἢ τὰ ἐξόθεαρον καὶ εὐμορφοτάτην. πρὸς ἣν πᾶς ἑλίσσεται τοὺς ὦπας, διὰ τὸ κάλλιστον εἶδος. κλίνεται δὲ ὡς ἡ προφῆτις.

Ἑλικάων. τὸ ε πρὸ τῆς λι συλλαβῆς, δασύνεται. τὸ δὲ ἑλικώνιος, ψιλοῦται. τὰ εἰς ων βαρύτονα δίχρονα, ἐκτεταμένα παραληγόμενα, τρέπει τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς. ἑλικάων, ἑλικάονος. μαχάων, μαχάονος. ἱκετάων, ἱκετάονος.

Ἐφέλκε. Ἦ δ' ἑλκέμεν εἰς ἅλα δῖαν, ἀντὶ καθέλκειν. τὰ εἰς ειν ἀπαρέμφατα οἱ ἴωνες διὰ τοῦ εμεν προφέρουσιν. ἕλκω. καὶ ὁ μέλλων, ἕλξω. ὁ ἀόριστος, εἷλξα. ὁ β, εἷλκον. συνάρχεται τῷ α ἀορίστῳ. ἰωνικῶς, ἕλκε. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἄφελκε. καὶ ἀναβιβάζει τὸν τόνον. πᾶς γὰρ ἐπὶ ὧ ῥῆμα χρόνος, τὸν παραγινόμενον αὐτῷ χρόνον κατὰ τὸ ἀρχόμενος ἀποβαλὼν, ἐν τῇ

Ἑλλόβια. ἐνώτια. διὰ τὸ ἐν τοῖς λοβοῖς τῶν ὤτων εἶναι. συνθέσει προπαροξύνεται.

Ἑλλωτία, ἡ εὐρώπη τὸ παλαιὸν ἐκαλεῖτο. ἢ ὅτι οἱ φοίνικες τὴν παρθένον ἑλλωτίαν καλοῦσιν. ἢ παρὰ τὸ ἑλεῖν, ὅτι ὑπὸ ταύρου ἑάλω κατὰ τὸν μῦθον.

Ἑλλωτὶς, ἀθηνᾶ οὕτω καλουμένη, ἐτιμᾶτο ἐν κορίνθῳ. καὶ ἑορτὴ ἑλλωτία. εἴρηται δὲ ἑλλωτὶς ἡ θεὸς, ὅτι βελλεροφόντης τὸν πήγασον ἵππον ἑλὼν καθ' ὑποθήκην καὶ συμμαχίαν τῆς ἀθηνᾶς ἐχαλίνωσε. καὶ ἀπὸ τοῦ ἑλεῖν τὸν ἵππον, ἑλλωτίαν προσηγόρευσεν αὐτήν. καὶ ἱερὸν αὐτῇ ἱδρύσατο. καὶ τὰ ἑλλώτια ἑορτή. ἢ ἀπὸ τοῦ προσφραθῆναι ἕλους, ἐν οἷς ἵδρυται, πίνδαρος ἐπινικίῳ ξενοφῶντος.

Ἕλος, σημαίνει ὄνομα πόλεως λακωνικῆς. ἐξ ἧς εἵλωτες οἱ πολῖται. σημαίνει καὶ τὸν ὑγρὸν καὶ σύμφυτον τόπον. παρὰ τὸ ἕλω τὸ λαμβάνω. ἡ μετοχὴ, ἑλών. ἐξ αὐτοῦ ἕλος. ὡς λαχὼν λάχος. καὶ μαθὼν μάθος καὶ μῦθος. ἕλος καλεῖται, ὁ ὁμαλὸς καὶ κάθυγρος τόπος.

Ἕλωρ, τὸ ἕλκυσμα καὶ σπάραγμα. παρὰ τὸ ἕλω τὸ ἑλκύω. ἢ παρὰ τὸ ἕλω τὸ λαμβάνω, γίνεται ἕλωρ. σημαίνει δὲ τὸ θήραμα, ἢ τὸ τῶν κυνῶν ἕλκυσμα.

Ἕλωρος, πόλις σικελίας. ὁ πολίτης ἑλωρίτης.

Ελουρος, ἔνθα. ἀπὸ τῶν ἐκεῖσε ἑλῶν ἔλουροι κέκληνται. δέξιππος ἐν δωδεκάτῳ χρονικῶν. καὶ γράφεται διὰ τοῦ ε ψιλοῦ. τὸ δὲ ζῶον, δίφθογγον.

Ελοίμεθα, λάβοιμεν. ἰλιάδος β. ῥῆμα εὐκτικόν, μέσος ἀόριστος δεύτερος. ἐκ τοῦ ἕλω τοῦ δασυνομένου τοῦ σημαίνοντος τὸ λαμβάνω, ἑλῶ εἷλα. ἐν μέντοι τῇ συνηθείᾳ ἀπαιτεῖται ὁ μέλλων, ὁ δεύτερος ἀόριστος εἷλον. ὁ μέσος, εἱλόμην, εἵλου, εἵλετο.

Ελπεο. ἀπὸ τοῦ ἔλπω, ἔλπομαι ἠλπόμην ἤλπου. τὸ προστακτικόν, ἔλπου. καὶ κατὰ διάλυσιν ἔλπεο,

Ελπωρή. ἡ ἐλπίς. παρὰ τὸ ἔλπω ἀντὶ τοῦ ἐλπίζε. ἐλπωρή, ὡς θάλπω, θαλπωρή. ἀλέω, ἀλεωρή.

Ελσαι, τὸ συνελάσαι. ἀπὸ τοῦ ἐλάσαι κατὰ συγκοπήν.

Ελπίς, παρὰ τὸ ἔλπω ἢ παρὰ τὸ ἕλκω δασύνεται. ἡ ἕλκουσα ἡμᾶς. ἐκ τοῦ ἐλπίς, γίνεται ἐλπίζω. ὁ μέλλων, ἐλπίσω. ἐλπίδος ὀκνηρόν. τὰ εἰς ις ὀξυνόμενα θηλυκά, διὰ τοῦ δος κλίνεται. ἰστέον ὅτι τὰ εἰς ις θηλυκὰ δισύλλαβα, τὰ μὲν βαρύνεται, ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον. οἷον, πόλις, ἀκρόπολις. μῆτις, πολύμητις. τὰ δὲ ὀξύνεται, τὰ μὲν θηλυκὰ μόνον γινόμενα ὦσι, φυλάσσουσι τὸν τόνον. οἷον, νυχίς, παννυχίς. αἰγίς, καταιγίς. τὰ δὲ ἐναλλάσσει τὸ γένος, τὰ μὲν ἐκτείνουσι τὸ ι, προπερισπώμενα ἔχει τὸν τόνον. οἷον, ἀκτίς, χρυσάκτις ἥλιος. κνημίς, εὐκνήμιδας. ἐξ οὗ εὐκνήμιδες. τὰ δὲ συστέλλει τὸ ι, προπαροξύνεται. οἷον, παρίς, εὔπαρις.

Ελυμαῖοι, ἔθνος. ἀπὸ ἐλύμου υἱοῦ ... σις, ἐκ ψάσσις. ἀγχίσου, νόθου ὄντος καὶ ἐλθόντος εἰς σικελίαν. καὶ ἀπ' αὐτοῦ ἐλυμηὴ χώρα. καὶ ἐλυμαῖος. τὸ θηλυκόν,

Ελυμος, σπέρμα τι ὃ ἕψοντες οἱ λάκωνες ... ἐλυμαία. ἤσθιον. ἀριστοφάνης νήσοις, παρὰ τὸ ἕλος, ἔλυμος. χαίρει γὰρ ἐν ὑγροῖς τόποις καὶ ἐν ἕλεσι φύεσθαι.

Ελυμα, μέρος τι τοῦ ἀρότρου ἐν τῷ μέσῳ, ἔνθα συμβάλλεται ὁ γύης τῷ ἱστοβοεῖ. παρὰ τὸ ἐλύειν ὅ ἐστι καλύπτειν.

Ελυτρον, κάλυμμα. ἐκπέτασμα. ἐνείλημα. ὁμοίως καὶ ἡ θήκη τοῦ τόξου. καὶ πληθυντικῶς σοφοκλῆς ἔλυτρα. παρὰ τὸ ἕλω τὸ ἐλύω τὸ ἐλύσω τὸ σημαίνει ἐλύω, γέγονεν εἴλυμαι.

Ελύμην. ἰστέον ὅτι τὸ, Νῶϊ δ' ἐλύμην ... τρον καὶ ἔλυτρον. τρὶς ἰόντα πορῶν. οὐκ ἔστιν εὐκτικόν, ἀλλ' ὁριστικόν. μέσος ἀόριστος δεύτερος ἀντὶ ἐλυτρώθην. ἐκώλυε γὰρ τὸ εὐκτικὸν εἶναι, καὶ ἡ αἰτία πρόδηλος.

Ελύσθη. ῥυμὸς δ' ἐπὶ γαῖαν ἐλύσθη. ἰλιάδος ψ. ἐλύσθη. συνεστράφη. ἐξετάθη. καθερπύσθη. οἱ δέ, παρὰ τὸ ἑλκύσθη. συνεστράφη μετὰ τῶν ἡνίων. παρὰ τὸ ἐλεύθω, ἐλεύσθη καὶ ἐλύσθη. Ε γὼ δ' ὑπὸ γαστέρ' ἐλυσθείς. ἀντὶ τοῦ κατενεχθείς. ἀπὸ τοῦ ἕλω, ἐλύω. ὡς ἕλκω, ἑλκύω.

Εμβάδες, εἶδος ὑποδήματος. ἀπὸ τοῦ ἐμβαίνειν τοὺς πόδας.

Εμβιον, τὸ στερρόν τε καὶ πρέμνον. ἔμβιοί τε αἱ ... δας. ῥίζαι αἱ εἰς βάθος διϊκνούμεναι, καὶ ἐμβεβηκυῖαι,

Εμβιβάξαντες, παρὰ ἰππώνακτι. Αλλ' ... ἀπὸ τοῦ βῶ. αὐτίκ' ἀλλήλοισιν ἐμβιβάξαντες, ἀντὶ ἐμβοήσαντες. ἀπὸ τοῦ βάζω βάξω, βιβάξω. βιβάξας βιβάξαντος. καὶ ἐμβιβάξαντες.

Εμβαδόν, ἰλιάδος ο. πεζῇ βαίνοντες. ἀπὸ τοῦ βάδην.

Εμβριμώμενοι, μετ' αὐστηρότητος ... ὅπερ ἀπὸ τοῦ βαίνω. τος ἐπιτιμῶντες. ἀπὸ τοῦ ἐμβριμῶ. τοῦτο ἀπὸ τοῦ βρίμος βριμῶ. τοῦτο ἀπὸ τοῦ βρι ἐπιτατικοῦ.

Εμβραμένα, παρὰ σαπφοῖ ἡ εἱμαρμένη. ὑπερθέσει τοῦ ρ. καὶ διὰ τὴν ἀσυνταξίαν πλεονασμὸς τοῦ β. καὶ λάκωνες οὕτω λέγουσιν.

Εμβρυον, ἀπὸ τοῦ ἔσω βρύειν, ὅ ἐστιν αὔξεσθαι. καὶ ὑπέμβρυον, τὸ ὑπὸ τῇ θηλαζούσῃ νεογνόν.

Εμβρῦσαι, τὸ ἐνθεῖναι. γο πιτ δ ἐς β. ἀπὸ τοῦ ἐνδῆσαι.

Εμβριθές, στιβαρόν. βαρύ. φοβερόν, ἀπὸ τοῦ ἐπιβαρεῖν.

Εμβολος, παρὰ τὸ τὸν λαὸν ἐμβαίνειν.

Εμεια, τόπος ἐστὶ μυκηνῶν. παρὰ τὸ ἐμῶ ἔμεια. ὡς θάλλω θάλεια. λέγεται δὲ ἐπειδὴ ἐκεῖ ἔμεσεν ὁ κέρβερος ἀνελθὼν ἐκ τοῦ ᾅδου. ἢ ἐπειδὴ ἐκεῖ ἔμεσεν ὁ θυέστης φαγὼν τὰ τέκνα αὐτοῦ.

Εμέο, ἐκ τοῦ ἐμοῦ. τὸ δὲ ἐμοῦ ποίου εἴδους, πρωτοτύπου. κατὰ πόσους τρόπους διαφέρει τοῦ παραγώγου, κατὰ τρεῖς. ὅτι τὸ μὲν ἐμοῦ τὸ πρωτότυπον κατὰ διάλυσιν ἐμέο καὶ ἐμεῖο καὶ ἐμεῦ. τὸ δὲ παράγωγον οὐδαμῶς. καὶ ὅτι τὸ μὲν πρωτότυπον, ἐγκλίνεται τὸ κατ' ἀρχὰς φωνῆεν ἀποβάλλον. οἷον, ἤκουσέ μου. τὸ δὲ παράγωγον οὔτε ἐγκλίνεται, οὔτε τὸ κατ' ἀρχὰς φωνῆεν ἀποβάλλει.

Εμβιος, καλεῖται ἡ ἐν πεδίῳ τοῦ ξύλου. ἡ δὲ ἐν πεδίῳ ἡ ποιότης ἐστὶν ἡ ἐν αὐτῷ. καὶ τὸ μὲν εὖ ἔχει, τοῦ ἐκφῦσαι αἰτία γίνεται. εἰ δὲ κακῶς, τοῦ κατασαπῆναι.

Εμβατεῦσαι, καὶ ἐμβατεία. ἔστιν ἡ νῦν λεγομένη διὰ τοῦ δ ἐμβαδία. τὸ τὴν δανειστὴν ἐμβατεῦσαι, καὶ εἰσελθεῖν εἰς τὰ κτήματα τοῦ ὑποχρέου, ἐνεχυριάζοντα

Εἷο, ἀντὶ τοῦ ἑαυτοῦ. ἔστι γάρ, ἐμοῦ. σοῦ. οὗ. ... τὸ δ' αὐτόν. αὗται αἱ γενικαὶ γίνονται κατὰ διάλυσιν, ἐμέο. σέο. ἕο. καὶ ἐπειδὴ αἱ διαλελυμέναι γενικαὶ οὐδέποτε δίφωνον ἔχουσι μακρόν, ἢ βραχύ, ἀλλὰ τὸ μὲν ἓν μακρόν, τὸ δὲ ἕτερον βραχύ, τούτου χάριν ἐπλεόνασε τὸ ι ποιητικῶς καὶ λέγεται ἐμεῖο. σεῖο. εἷο.

Εμεῖο, ἐκ τοῦ ἐμός ἐμοῦ. ἔστι δὲ ἡ ἀντωνυμία παράγωγος. εἴδους τῶν παραγώγων κτητικοῦ. σημαίνει δὲ τὴν κτήτορα καὶ τὰ κτήματα. καὶ διαλύσει τῆς ου διφθόγγου εἰς εο, ἐμέο. καὶ πλεονασμῷ τοῦ ι, ἐμεῖο. ἐκ δὲ τοῦ ἐμέο συναιρέσει τοῦ εο εἰς τὴν ευ δίφθογγον ἐμεῦ δωρικῶς. καὶ ἀποβολῇ τοῦ ε, μεῦ. ὡς τό, Κέκλυτέ μευ.

Εμισα, πόλις φοινίκης. τὸ ἐθνικὸν ἐμισαῖος. καὶ ἔοικε, κλίνειν τὰ ἔμισα διονύσιος ὡς τὰ μέγαρα. οἱ δὲ νῦν χρῶνται θηλυκῶς. ἀλλὰ πῶς τὸ ἐμισαῖος ἀπὸ τοῦ οὐδετέρου γέγονεν, εἰ μή τις φαίη, ὥσπερ τὸ γάδειρα γαδειραῖος. ἡ δὲ ἔμεσα διὰ τοῦ ε. ὅθεν ἐμεσηνός. ὡς τὸ

Εμματέως, ἀπὸ τοῦ ἅμα τοῦ ... γέρασα γερασηνός. σημαίνοντος τὸ ὁμοῦ καὶ ἐξαίφνης καὶ τοῦ ἕως τοῦ σημαίνοντος τὸ νῦν, γέγονεν ἀματέως. καὶ κατὰ μετάθεσιν τῶν φωνηέντων, καὶ πλεονασμῷ τοῦ μ, ἐμματέως. οἱονεί, ὁ ἅμα τῷ λόγῳ καὶ τῷ ἔργῳ. ἐσπευσμένως. ταχέως. ἢ προθύμως. Ος δ' ἄρ' ἐμματέως ἀπο-

Εμμενές, αἰεί. συνεχῶς. ἀδιαλείπτως. ... ρουσεν. ἐπιμόνως. μένω καὶ ἐμμένω, ἐμμενές.

Εμμεναι, ἀπὸ ἐνεστῶτος. τὸ γὰρ εἶναι τὸ ὑπάρχειν ἐστί. εἰμί. καὶ ὁ παρατατικός, ἦν. ὁ πληθυντικόν, ἦμεν. Αλλ' ὁ περ ἦμεν γινώμεθα. ἡ μετοχή, εἷς. ἐόντος. τὸ ἀπαρέμφατον, εἶναι. καὶ δωρικῶς, ἔμμεναι. εἰς τὸ ἔμεναι.

Εμμήνιον, ὁ καὶ ἐπιμήνιον, τὸ κατὰ μῆνα πλεονάζον αἷμα ταῖς γυναιξί. τροφὴ δὲ τὸ αἷμα ἐστὶ τοῖς βρέφεσιν.

Εμμηροι, οἱ ὑπὲρ ἐνέχυρα διδόμενοι φιλίας. δημήτριος ἐν σικελοῖς. λακεδαιμόνιοι θηλυμένων τα, τετείχη κατέλαβον. καὶ οὓς ἔλαβον ἐμμήρους. εἴρηται παρὰ τοὺς ὁμήρους τοὺς ὑπὲρ ὁμολογίας τῆς εἰρήνης διδομένους παρ' ἀλλήλων παῖδας. ἵν' ἤ, ὅμηροι, καὶ ἔμμηροι.

Εμμορε, σημαίνει τὸ ἔτυχεν. ἔλαχε. παρὰ τὸ μορῶ τὸ ἐπιτυγχάνω, μορήσω. ὁ δεύτερος ἀόριστος, ἔμορον. καὶ πλεονασμῷ ἑτέρου μ. τὸ δεύτερον, ἔμμορες. ὅτι δὲ δεύτερος ἀόριστος ἐστί, δῆλον. καὶ τὸ γίγνεσθαι τῶν πληθυντικῶν, ἔμμορον ἐκεῖνοι. εἰ γὰρ ἦν παρακείμενος, ἔμμορασιν εἶχεν εἶναι. μείρω, μερῶ. μέσος παρακείμενος, μέμορα. καὶ καθ' ὑποβιβασμόν.

Εμπα, σημαίνει τὸ ὅμως. καὶ ἔμπης, τὸ αὐτό. ἔμπης, ποτὲ μὲν σημαίνει ὅμως. ὡς τό, Σὺ δὲ χαῖρε καὶ ἔμπης. ποτὲ δὲ ὁμοίως, ἢ ἐπίσης. ὡς τό, Εμπης ἐς γαῖαν τε καὶ οὐρανὸν ἵκετ' ἀϋτμή.

Εμπάζομαι. Καὶ ἐμῶν ἐμπάζεο μύθων. σημαίνει τὸ ἐπιστρέφομαι. φροντίζω. ἐντίθεμαι. λόγον ποιοῦμαι. παρὰ τὸ ἔμπης. ἢ παρὰ τὸ ἔμπαιος. τὸ δέ, ἀπὸ τοῦ ἐμπάσσειν. τὰς γὰρ βουλὰς δηλοῦμεν ὡς πάσσειν τῇ διανοίᾳ. ἐμπάσσω. καὶ αἰολικῶς, ἐμπάζω. τὰ γὰρ διὰ τοῦ σσ, εἰς ζ τρέπουσιν αἰολεῖς. τὸ γὰρ ἐπιπλήσσω, ἐπιπλάζω. σαπφώ. Τὸν δ' ἐπιπλάζοντα ἄνεμοι φέροιεν.

Εμπαιος, ὁ ἔμπειρος. Κακῶν ἔμπαιος ἀλήτης. οἱ μέν, παρὰ τὸ ἔμπειρος. ἀρσει τοῦ ρ, καὶ τροπῇ τοῦ ε εἰς α. ὡς τὸ δεινός, αἰνός. οἱ δέ, παρὰ τὸ αἴω, αἶος. καὶ ἐν συνθέσει, ἐπαΐος. εἶτα κατὰ πλεονασμὸν τοῦ μ, καὶ συναιρέσει, ἔμπαιος. ὁ αἰσθανόμενος. ἢ παρὰ τὸ ἐμπάζεσθαι, τὸ φροντίζειν. ἢ παρὰ τὸ ἔμπεδον, ὁ βέβαιος.

Εμπήκτης, ὁ θεσμοθέτης.

Εμπεδον, ἑδραῖον. ἰσχυρόν. ἐκ τοῦ πέδον ἡ γῆ. πρὸς ἀντιδιαστολὴν τῶν ἐν τῇ θαλάσσῃ. ὅθεν καὶ ἐμπέδως, ἐπίρρημα. ἢ ἀπὸ ἐμπεδίων θεμελίων κειμένων. ἐκ τοῦ πέδον, ἔστι ῥῆμα πεδῶ. καὶ ἐμπεδῶ γ' τῆς συζυγίας. Τὰ μὲν ὀμώμοσε μήτ' ἐν τοῖς ἔργοις αὐτοῖς ἐμπεδῶσαι. ἀντὶ βεβαιῶσαι. ἐνισχῦσαι. ἀσφαλίσασθαι. ἑδραιῶσαι. καὶ ἔμπεδον, τὸ βέβαιον. τὸ δὲ πέδον, παρὰ τὸ ἕω τὸ καθέζομαι, ἕδος καὶ πέδον. ἢ παρὰ τὸ ἕζω τὸ καθέζομαι, ἕζον καὶ πέδον.

Εμπελάτειρα, ἡ ἑταίρα. ἀπὸ τοῦ ἐμπελάζειν πᾶσι. καλλίμαχος Τοὺς αὐτῷ σκοτίους ἐμπελάτειρα τέκεν

Εμπελαδόν, σημαίνει τὸ πλησίον, ἢ τὸ γονική. ... γωνή. παρὰ τὸ πελάζω.

Εμπέραμος. παρὰ τὸ πεῖρα, ἐμπείραμος. καὶ ἐμπέραμος. σημαίνει δὲ τὸν ἔμπειρον.

Εμπερονήσασθαι, καὶ ἐμπορπώσασθαι. ἀπὸ τῆς περόνης, ἔστι πορπῶ. ἀντὶ πόρπῃ βελόνῃ συλλαβεῖν.

Εμπεφυῖα, ἰλιάδος α. ἀντὶ ἐμπλέξασα τὰς χεῖρας ἰσχυρῶς κρατοῦσα. Ως ἔχετ' ἐμπεφυῖα. καὶ ἐμπεφύασι. φύω τὸ προσπελάζω. ὁ μέλλων, φύσω. ὁ παρακείμενος, πέφυκα. ἡ μετοχή, πεφυκώς. ἀποβολῇ τοῦ συμφώνου, πεφυώς. καὶ τὸ θηλυκόν.

Εμπλην, πλησίον. ἐγγύς. παρὰ τὸ πέλω ῥῆμα τὸ πλησιάζω, συγκοπῇ πλῶ. καὶ συνθέσει, ἐμπλῶ. καὶ ἔμπλην. Βοιωτῶν δ' ἔμπλην ἐπ' ἀριστερὰ θωρήσσοντο.

Εμπορος, ὁ πραγματευτής. καὶ ὁ τόπος αὐτὸς ἐμπόριον λέγεται. ὁ κατάβολος. ὁ ναύλου πλέων ἐπ' ἀλλοτρίας νεώς, ἢ πραγματείας. ἤγουν, ὁ διὰ πενίας τοῦ βίου τὴν πορείαν ποιούμενος.

Εμπολεμῶσαι, τὸ ἐχθροὺς ποιῆσαι, ἢ εἰς πόλεμον τινὰς παροξῦναι. ἐκπολεμῆσαι δὲ ἐστὶ τὸ ἐκπορθῆσαι.

Εμποδών, θουκυδίδης, ἀντὶ προχείρως. φησὶ γάρ, Τὰς ἐμποδὼν αἰτίας μόνον ἐπισκοπεῖν. λυκοῦργος ἐν τῷ κατὰ λυκόφρονος, ἀντὶ φανερόν. πλάτων δὲ ἀντὶ ἐν μέσῳ. ἰσαῖος, ἀντὶ ὑπόγυον καὶ ἐν χερσίν. Αλλὰ τὸ πρωϊνὸν ὦ ἄνδρες ἀθηναῖοι, τοῦτό γε παντελῶς ἐμποδών ἐστιν. ἐχρήσατο δὲ τῇ λέξει ἱεροκλῆς τε καὶ ἄλλοι, ἀντὶ ἐμποδίου ἐν δευτέρῳ φιλοσοφουμένων περὶ τῶν φιλοσόφων. Τίς γὰρ αὐτῷ οὐχὶ καὶ ἔγημεν καὶ παῖδας ἀνείλατο, καὶ οὐσίας ἐπεμελήθη, μηδενὸς ἐμποδὼν ὄντος. ἀντιφῶν δέ, ἀντὶ ἐμπεσόντας. λέγει γάρ, Τοὺς ἐμποδὼν ἐκολάσατε. ἐμποδών, ἐμπόδισμα. κώλυμα.

Εμπουσα, φάντασμα δαιμονιῶδες, ὑπὸ τῆς ἑκάτης πεμπόμενον. ὃ δοκεῖ πολλὰς μορφὰς ἀλλάσσειν. ἔμπουσα δέ, παρὰ τὸ ἐμποδίζειν. ἢ ἀπὸ τοῦ τὸν ἕτερον πόδα χαλκοῦν ἔχειν. ἢ ὅτι ἀπὸ σκοτεινῶν τόπων ἐφαίνετο τοῖς μυουμένοις. ἐκαλεῖτο δὲ αὐτὴ καὶ ὀνόπολη. ἄλλοι δὲ λέγουσιν ὅτι φάντασμα ἦν τῆς ἑκάτης τοῖς δυστυ-

Εμποίνιμος, τουτέστιν ἔνοχος ... χοῦσι φαινόμενον. ποινῆς. οἱ ἐφ' οἷς ἥμαρτε δίκης τιμωρίαν. καὶ ποινὴ λέγεται, ἡ ὑπὲρ φόνου δραθεῖσα κόλασις. ὅτι ἔμπουσα ψιλοῦται. τὸ καὶ δοκεῖ παρὰ τὸ ἕνα συγκεῖσθαι.

Εμπύρευμα, κυρίως λείψανον πυρὸς ἐν ἀπομεμαγμένοις σποδιᾶ. καταχρηστικῶς καὶ ὑπὲρ λειψάνου. ὡς φέρε εἰπεῖν, γνώσεως. ἀρετῆς. ἢ κακίας μνήμη.

Εμπυρίζω. ἐκ τοῦ πῦρ πυρός, πυρίζω καὶ ἐμπυρίζω.

Εμφαντικῶς, ἐνσημαντικῶς.

Εμφορῶ, πρώτη συζυγία. παρὰ τὸ ἐμφέρω, γίνεται

ἔμφορος. ὁ ἐν αὐτῷ φέρων τι. ἐξ αὐτοῦ, ἐμφορῶ. ἡ μετοχὴ ἐμφορῶν ἐμφοροῦντος. καὶ τὸ οὐδέτερον, τὸ ἐμφοροῦν, ἤγουν τὸ πληροῦν.

Ἐμῶ, τὸ τὴν τροφὴν ἐκβάλλω. Ἀριστοφάνης. Δότε μοι λεκάνην ἵν' ἐξεμέσω. ἀπὸ τοῦ ἕω τὸ ἀφίημι. κατὰ πλεονασμὸν τοῦ μ, ἐμῶ. ὡς ὀρούω, ὁρμῶ. ἰῶ, ἱμῶ.

Ἐμωκυμόρῳ, ἐμῷ ὠκυμόρῳ. καὶ ἐκθλίψει τὸ ι τῆς ἐμῶ ἀντωνυμίας, διὰ τὸ μηδέποτε γίνεσθαι κρᾶσιν τοῦ ι μεσοῦντος. καὶ λοιπὸν κιρνᾶται τὰ δύο ω ὡς ἕν, καὶ γίνεται ἐμωκυμόρῳ, χωρὶς τοῦ ι.

Ἐναγίζειν, τὸ χοὰς ἐπιφέρειν, ἢ θύειν τοῖς κατοιχομένοις, ἢ φονεύειν. ἄγος γὰρ τὸ μίασμα. ἐνάζω δὲ, τὸ λιτανεύω πρὸς τοῖς ναοῖς. ἢ ἐναγίζειν, τὸ κατακαίειν. ἀπὸ τοῦ ἁγίζειν.

Ἐναβρύνω, ἐξ οὗ ἐναβρύνεσθαι. μέγα φρονεῖν. καυχᾶσθαι. τοῦτο παρὰ τὸ ἁβρὸς ὁ κοῦφος.

Ἔναγχος, ἀρτίως. πρὸ μικροῦ, ἢ πρὸ ὀλίγου. ἐν τῷ ἔγγιστα παρελθόντι χρόνῳ. παρὰ τῆς ἀγχοῦ εὐθείας, ἄγχος. καὶ συνθέσει, ἔναγχος. ἢ πρώην. προσφάτως. ἐγγύς.

Ἐναλλάξ. ὡς παρὰ τὸ μίγω μίξω μὶξ καὶ ἐπιμίξ, οὕτω καὶ παρὰ τὸ ἐναλλάξω μέλλοντα, ἀλλὰξ καὶ ἐναλλάξ.

Ἐναλίγκιος, ὅμοιος. παραπλήσιος. ὡς παρὰ τὸ πήσσω γίνεται πάγιος, ἁρπάζω ἁρμόδιος, οὕτω παρὰ τὸ εἴκω τὸ ὁμοιῶ, εἴκιος. καὶ ἐπειδὴ πολλάκις τὰ τοιαῦτα διὰ χρείαν μέτρου ἀποβάλλει τῆς ει διφθόγγου τὸ ε, οἷον, ἴκελος ἀστεροπῇ. καὶ, Τῷ δ' ἴκελος Τρώων καὶ ἔλυ πόλιν, τούτου χάριν καὶ τοῦτο ἀποβάλλει τὸ ε καὶ γίνεται ἴκιος, καὶ ἐνίκιος. καὶ προσθέσει τῆς αλ συλλαβῆς μετὰ τοῦ γ διὰ τὰ ἐπάλληλα βραχέα, γέγονεν ἐναλίγκιος.

Ἐναπείρισαι, ἐντετίναχεν. εἴρηται ἀπὸ τοῦ διατεινομένου ἐμπίπτειν.

Ἐναποψύχειν, παρὰ Ἡσιόδῳ τὸ ἀποπνεῖν καὶ ἀποφυσᾶν. παρὰ τὸ ψύχω. παρ' Ὁμήρῳ, τὸ λειποθυμεῖν. παρὰ τὸ ψυχή. ὡς τό, Εἷλεν ἀποψύχοντα πολύτλας δῖος Ὀδυσσεύς.

Ἐναίρω. παρὰ τὴν ἔριν τὸν πόλεμον γίνεται ἐναίρω τὸ φονεύω. ἢ παρὰ τὸ ἔνω τὸ φονεύω. ὅθεν καὶ Ἐνυώ, καὶ Ἐνυάλιος. τὸ δὲ αἱρῶ, παρὰ τὸ ἑλῶ τὸ φονεύω. ἐξ οὗ, εἷλε καὶ ἀνεῖλεν.

Ἐναρίζειν, κυρίως τὸ σκυλεύειν. ἔναρα γὰρ τὰ σκῦλα. καταχρηστικῶς δὲ, ἀναιρεῖν.

Ἔναρα, σκῦλα. λάφυρα. τὰ πολεμικὰ ὅπλα. ὡς εἰσὶ θώρακες καὶ περικεφαλαῖαι καὶ κνημῖδες. ἐκ τοῦ αἴρω τὸ λαμβάνω. τὰ βασταζόμενα. ὡς τό, Φέροι δ' ἔναρα βροτόεντα. τὰ ἀπὸ τοῦ πολέμου λαμβανόμενα. ἢ παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, ἃ ἐναρίζοι, τουτέστι φονεύει. ἐκ τοῦ ἥρμοσται τοῖς σώμασιν.

Ἐναρίζοιμι εὐκτικοῦ, τὸ ῥῆμα. ἐκ τοῦ ἐναίρω, ἐναρίζω. σημαίνει δὲ ῥῆμα τὸ φονεύω, καὶ τὸ ἀπολαμβάνω. κυρίως δὲ τὸ σκυλεύειν. ἀπὸ τοῦ ἐναρηκότα σώματα ἀφαιρεῖσθαι.

Ἐναρσφόρος, πολεμικός. ἀπὸ τοῦ φέρειν τὰ ἔναρα, ἢ τοὺς ἄνδρας φονεύειν. Ἐναργές, σαφές. καὶ πρὸ ὀφθαλμῶν.

Ἐνάργεια, ἡ τῶν λόγων λευκότης καὶ φανότης. ἀργὸν γὰρ τὸ καθαρόν. ἐνάρεια δὲ, ἡ ἐν τοῖς λόγοις ταχύτης.

Ἔναυλον, οὐ πρὸ πολλοῦ ἐνηχούμενον, ἢ μνημονευόμενον. ἢ ἔτι ἐνηχούμενον. αὐλὸς γὰρ, πᾶν τὸ στενὸν καὶ ἐπιμηκές. τοιοῦτος δὲ καὶ ὁ τῶν ὤτων τόπος.

Ἔναυλος, ἔνηχος. ἔμπνους. σημαίνει δὲ καὶ ῥοῦν καὶ χαράδραν καὶ χειμάρρουν. καὶ ἐναυλιζόμενον, τουτέστιν ἐνοικοῦντα. καὶ ἐναύλοις, τοῖς χειμερινοῖς τόποις. παρὰ τὸ ἐπιμήκεις εἶναι ὡς αὐλούς. αὐλὸς γὰρ ἡ ἐπιμήκης παράτασις. οἷον, Αὐτίκα δ' αὐλὸς παρὰ ῥῖνα παχὺς ἀνῆλθε. Τάχ' ἐκεν πλήσειαν ἐναύλους.

Ἐναυλήματα, ἄλφιτα οἴνῳ καὶ ἐλαίῳ δεδευμένα. ἔνιοι δὲ, καὶ αὐτὰ καθ' αὑτὰ ἄλφιτα ἐναυλήματα προσαγορεύουσιν.

Ἔναυσμα, ἐμπύρευμα. σποδιὰ πυρός. ὑπέκκαυμα. ἀπὸ τοῦ αὔω τὸ καίω. ὁ ἅγιος Βασίλειος. Εἰ οὖν βλέμμα τοσούτου πυρὸς ἔναυσμα γίνεται, ἀκούομεν τοῦ ὑποφωνοῦντος, Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν. καὶ τὰ βλέφαρά σου νευέτω δίκαια. τὰ ἐλλείποντα μιᾷ συλλαβῇ κατὰ τὸ θηλυκὸν, διὰ τῆς ει διφθόγγου γράφεται. ἐνδεὴς ἐνδεία, καὶ ἔνδεια. ἀδεὴς ἀδεία, καὶ ἄδεια. ἢ ὡς εὐκλεὴς εὐκλεία. καὶ κατὰ κρᾶσιν, εὔκλεια, οὕτω καὶ ἐνδεὴς ἐνδεία, καὶ ἔνδεια.

Ἐντελέχεια, σημαίνει τὸ ἀεὶ ὄν. παρὰ τὸ ἐντελῶς ἔχειν.

Ἐνδελεχεστάτης, συνεχεστάτης καὶ ἀδιαλείπτου.

Ἔνδεια. ἔστι δὲ ἐκ τοῦ δέω τὸ χρήζω. κατὰ πλεονασμὸν τοῦ ι, δεία. καὶ μετὰ τῆς ἐν προθέσεως, ἔνδεια. ἐξ αὐτοῦ ῥῆμα, ἐνδέω. ἡ μετοχὴ, ἐνδέων. καὶ τὸ οὐδέτερον, τὸ ἐνδέον. καὶ ἀπὸ μετοχῆς παρήχθη τὸ ὄνομα.

Ἐνδελεχέστατα, καὶ ἐνδελεχῶς, τὸ συνεχῶς. παρὰ τὸ ἐνδέχομαι, γίνεται ὁ ἐνδεχής. καὶ πλεονασμῷ τῆς λε συλλαβῆς, ἐνδελεχής. καὶ ἐνδελεχῶς, ἐπίρρημα.

Ἕνδεκα, κληρωταὶ ἄρχοντες ἦσαν οὗτοι προεστηκότες τοῦ δεσμωτηρίου. καὶ τοὺς ἀπαγομένους κακούργους ἐπὶ θάνατον, παραλαμβάνοντες ἐζημίουν. τοὺς δὲ ἀμφισβητοῦντας εἰσῆγον εἰς τὸ δικαστήριον. καὶ τὸ γνωσθὲν περὶ αὐτῶν ἔπραττον. εἰσῆγον δὲ καὶ τὰ ἀπογραφόμενα χωρία. οἰκίας. καὶ τὰ δημόσια εἶναι δόξαντα παρεδίδουν τοῖς πολίταις. εἰσῆγον δὲ ἐνίας ἐνδείξεις. ἐκ τορικῆ.

Ἕνδεκα, ἐκ τοῦ εἷς, ἑνός. τὸ οὐδέτερον, ἕν. καὶ μετὰ τοῦ δέκα, γίνεται ἕνδεκα.

Ἐνδέξια, σὺν τῷ ι τὸ πτωτικὸν καὶ περισπώμενον. ὅταν δὲ ᾖ προπαροξύτονον, ἄνευ τοῦ ι, τουτέστιν ἐπιδεξίως. ἢ ὡς αἴσια καὶ καλά. ἐνδέξια δὲ, ἐπίρρημα τοπικόν.

Ἔνδυνε. ἐκ τοῦ δύω, δύνω. ἔδυνον. ἔδυνες. τρίτον, ἔδυνε. καὶ οἱ Ἴωνες αὐξήσει οὐ χρῶνται. μετὰ τῆς ἐν, ἔνδυνε.

Ἔνδειξις, εἶδος δίκης δημοσίας. ὑφ' ἣν τοὺς ἐκ τῶν νόμων εἰργομένους τινῶν, ἢ τόπων, ἢ πράξεων, εἰ μὴ ἀπέχοιντο αὐτῶν, ὑπῆγον εἰς τὸ δικαστήριον, καὶ ἐνδείκνυον εἶναι Δημοσθένους κατὰ Ἀριστογείτονος.

Ἔνδημος, ὁ μὴ ἀποδημῶν. ἐπίδημος δὲ, ὁ ἐπιδημῶν ἔξω. καὶ παρὰ Ἀριστοφάνει ἐν Νήσοις. Ἀλλ' οὐ τυγχάνει ἐπίδημος ὤν. λέγεται δὲ περὶ τοῦ Ποσειδῶνος, ὅτι οὐκ ἐπιδημεῖ Ἰσθμοῖ, κυρίως εἰρημένον. οὐχ οὕτω γὰρ Ἴσθμιος ὁ θεός, ὡς διὰ παντὸς εἰκῇ διαβιβάζειν.

Ἔνδιος, ἡ μεσημβρία, ἤγουν ὁ μεσημβρινὸς καιρός. παρὰ τὸ ἐνδεῖν καὶ ἐλαττοῦσθαι τὴν ἡμέραν. ἢ παρὰ τὸ ἰδίω τὸ ἱδρῶ, γέγονεν ἔνδιος, καὶ ἔνδιος.

Ἐνδίκως, καὶ ἐνδίκη, τουτέστι δικαίως. καὶ κατὰ τροπήν.

Ἔνδινα, τὰ ἔντερα. οἱονεὶ ἔνια τινα ὄντα, τὰ ἔντοσθεν τῶν ἰνῶν, ἢ ἁπλῶς τῶν μελῶν. ἢ παρὰ τὸ ἐντὸς εἶναι τῶν ὅπλων. γράφεται δὲ διὰ τοῦ ι. ὡς ἀνθρώπινος.

Ἐνδίνοισιν, ἐν τοῖς ἐγκάτοις. ἔστι δίνη, ὃ σημαίνει τὴν συστροφήν. δῖνος γάρ. καὶ τὸ οὐδέτερον, τὸ δῖνος τοῦ δίνους. τοῖς δίνεσι. καὶ κατὰ μεταπλασμὸν, δίνοισιν. ἢ τὸ δῖνον τοῦ δίνου, δίνοις καὶ δίνοισι. καὶ γὰρ ταῦτα εἰσὶ κατὰ ἀεὶ συστρεφόμενα. Ψαύσῃ δ' ἐνδίνων διά τ' ἔντερα καὶ μέλαν αἷμα. Ἰλιάδος ψ. τουτέστι τῶν ἐντὸς ὅπλων. ἀπὸ τοῦ ἐντείνεσθαι αὐτὰ τῷ θώρακι, καὶ τοῖς λοιποῖς ὅπλοις. οἱ δὲ ἀποδιδόντες ἐντέρων, ἀγνοοῦσιν. οὐ γὰρ μέχρι θανάτου μόνον ἔχουσιν.

Ἐνδρομίδες, ὑποδήματα. ἀττικῶς εἴρηνται παρὰ τὸν δρόμον. τὰ εἰς τὸν δρόμον ἐπιτήδεια.

Ἐνδυκέως, παρὰ τὸ ἐνδίκως. οὕτω καὶ ἐνδυκέως τὸ φιλοτίμως καὶ ἀξίως. ἐπιμελῶς. μετ' ἐπιμελείας καὶ ἐπιστροφῆς.

Ἐνέδρα, παρὰ τὸ ἕζω τὸ καθέζομαι, ἕδρα καὶ ἐνέδρα. ἐν ᾗ καθῆνταί τινες μέχρις ἂν ἕλωσι τούτους, οἷς ἂν ἐπιβουλεύωσιν. ἕδρα, σημαίνει τὴν καθέδραν, καὶ τὸ μέρος τοῦ σώματος. ὡς παρὰ τὸ αἴθω αἴθρα καὶ χύω χύθρα, οὕτως ἕζω ἕδρα. ἐν ᾗ καθήμεθα, ἢ δι' ἧς καθήμεθα. παρ' αὐτὸ δὲ καὶ ἐνέδρα. ἐγκαθίζοντες γὰρ, λοχῶσιν.

Ἔνδοξος, παρὰ τὸ ἐν ἑαυτῷ τὴν δόξαν ἔχειν.

Ἐνεῖκαι, σημαίνει τὸ ἐνεγκεῖν. ἔστι γὰρ ἰωνικόν. παρὰ τὸ ἐνέκω ἐνέξω. πλεονασμῷ τοῦ ι, ἐνείκω, ἤνεικα. ἐξ οὗ, Ἀλλά μοι ὑπήνεικεν, τουτέστιν ἐξήνεγκαν. ἐξήγαγον. καὶ τὸ ἀπαρέμφατον, ἐνεῖκαι. ὁ ἀόριστος, ἤνεξα. ὁ δεύτερος, ἤνεκα. καὶ πλεονασμῷ τοῦ ν καὶ τροπῇ, ἤνεγκα. καὶ ὡς παρὰ ἀπὸ τοῦ ἀεὶ γίνεται αἰὲν τροπῇ τοῦ ι εἰς ν, οὕτω καὶ παρὰ τὸ ἐνείκω γίνεται ἐνέγκω διὰ τοῦ γ.

Ἔνεισι, καὶ ἔξεισι. ταῦτα εἰσὶ μὲν δασύνεται, δύο μέρη λόγου εἰσί. καὶ ἔχει τὸ ἐν καὶ τὸ ἐξ, ἀριθμητικόν. εἰ δὲ ψιλοῦται, ἓν μέρος λόγου εἰσί. καὶ ἔχει τὸ ἐν ἐξ, πρόθεσιν.

Ἔνειμεν, σημαίνει τὸ ὑπάρχομεν. τρίτην δὲ ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν. τὸ γὰρ ἁπλοῦν αὐτοῦ, εἶμεν. πᾶν δὲ ῥῆμα ὀξύτονον, ἐν τῇ συνθέσει βαρύνεται.

Ἔνεσαν, τουτέστιν ὑπῆρχον. εἰμὶ τὸ ὑπάρχω. ὁ παρατατικός, ἦν. τὸ πληθυντικὸν, ἔμεν. ἔτε. ἔσαν, καὶ ἔνεσαν.

Ἐνείρω, ἐμπερονήσω. συναρμόσω. συμπλέξω. συνάψω. εἴρω οὖν, παρὰ τὸ ἄρω τὸ ἁρμόζω. τροπῇ τοῦ α εἰς ε καὶ πλεονασμῷ τοῦ ι, εἴρω. ὁ μέλλων, ἐρῶ. ὁ ἀόριστος, εἶρα. καὶ σύνειρα, καὶ ἐπένειρα, τὸ συνέβαλον. συνέπλεξα ἐμαυτόν. ἰστέον ὅτι ἔνια τῶν ἀντιγράφων, τὸ ἐνεπείρουν ἐπένθεσιν τοῦ ε ἔχει, ὡς ἐνεποίουν. ἐν τοῖς πλείστοις δὲ οὐκ ἔχει τὴν τοῦ ε ἐπέκτασιν. ἐμπείρου γὰρ ὀπτουργός, καὶ συοποιός. καὶ ἐνείρων τῷ ῥαιστῆρι τὸ στελεόν.

Ἔνερσις, συμπλοκή. παρὰ τὸ εἴρω τὸ συμπλέκω. πλεονασμῷ τοῦ ς, εἴρσω, εἴρσις, καὶ ἔνερσις. καὶ ἐνέρσει.

Ἐνερσμός, τὸ δ' αὐτὸ καὶ ἔνερξις. κροῦμα κιθαριστικόν. εὐφόνιος δὲ τὸ ἐν μέσῳ τῇ κιθάρᾳ πασσαλίσκον, δι' οὗ ἡ χορδὴ διήρτηται. Φρύνιχος. Κοινὸν εἶδη τὸν ἐνερσμόν. κροῦμα. διάσχεσιν. ἐκτρικήν.

Ἔνεροι, οἱ νεκροί. ἀπὸ τοῦ ἐν τῇ ἔρᾳ κεῖσθαι, ὅ ἐστιν ἐν τῇ γῇ. ὅθεν καὶ ἐπιπλεῖν ἔραζε. τουτέστιν ἐν τῇ γῇ ὄντες.

Ἐνερόχεωτες, νεκρόχεωτες. νεκροῦ χοιὰν ἔχοντες. καὶ Ἄναξ ἐνέρων Ἀϊδωνεύς. τουτέστι, τῶν νεκρῶν.

Ἔνερθεν, ὑπένερθεν, δύο μέρη λόγου. ὑπὸ πρόθεσις. ἔνερθεν, ἐπίρρημα τοπικόν. γίνεται ἐκ τοῦ ἔνερος ἐνέρου, ὃ σημαίνει τὸν νεκρόν. ἐξ αὐτοῦ ἐνέροθεν. καὶ συγκοπῇ, ἔνερθεν. ἢ παρὰ τὸ ἔρα ἔραθεν, καὶ ἔνερθεν. σημαίνει δὲ τὸ ὑποκάτωθεν. καὶ κατὰ ἀφαίρεσιν τοῦ ε, νέρθεν.

Ἐνέρτερος, κατώτερος. ἀπὸ τοῦ ἔνερθεν, ἐνέρθερος, καὶ ἐνέρτερος.

Ἐνετοί, Ἐνετήϊος. παρὰ Παφλαγόσι. Τοῖς δ' Ἐνετήϊος ἐβασίλευεν πρῶτα Πέλοψ. περὶ Παφλαγονίαν δοκεῖ Πέλοψ κατῳκῆσθαι. ὅθεν καὶ Ἐνετήϊον αὐτὸν εἶπεν. Ἐνετοὶ γὰρ οἱ Παφλαγόνες οἱ λυδί.

Ἐνετῇσι. Χρυσείης δ' ἐνετῇσι κατὰ στῆθος περονᾶτο. ταῖς περόναις. διὰ τοὺς Ἀθηναίους ὅτι κατὰ τὸ στῆθος ἐπορποῦντο ὡς ἡμεῖς κατὰ τὴν κλεῖδα τοῦ ὤμου. δασύνεται δὲ τὸ ἐνετῇσιν. ἀπὸ τοῦ ἐνίεσθαι τοῖς ἱματίοις, ὅ ἐστιν ἐμπείρεσθαι, καὶ ἐμβάλλεσθαι πρὸς τὸν πέπλον. σημαίνει δὲ τὰς περόνας. καὶ γίνεται παρὰ τὸ ἵημι τὸ πέμπω. ὁ μέλλων, ἥσω. ὁ παρακείμενος, εἷκα. ὁ παθητικός, εἷμαι, εἷσαι, εἷται, ἑτός. καὶ ἀφετός. τὸ θηλυκὸν, ἑτή. καὶ ἐνετή.

Ἐνεκολλήβασε, κατέπεσεν. ἴσως ἀπὸ τοῦ κόλου καὶ τοῦ βῦσαι.

Ἐνεούρησεν, ἀπὸ τοῦ οὔρησεν. ἐούρησε. καὶ ἐν συνθέσει, ἐνεούρησεν.

Ἐγγύης καταβολήν. καταδικασθέντων τινῶν δημοσιεύεσθαι τὰς οὐσίας, εἰ λέγοιέν τινες ὡς εἶχον δάνεια ἐν αὐτῶν δημευομένων, ἀπογράφεσθαι τούτοις ἐκέλευον, πότε καὶ πόσον ἐδάνεισαν ἀργύριον, ὅπερ ἔλεγον ἐνεπίσκημμα, καὶ ἐνεπισκήψασθαι. εἰ μέντοι γε παρίστων ἐγγύας τὸ μὴ ἂν διαψεύσασθαι περὶ τοῦ δανείσματος οἱ δανείσαντες, τοῦτο ἐγγύης καταβολὴν ἔλεγον. ἐξῆν δὲ τῇ γυναικὶ προσοφειλομένην προῖκα ζητεῖν. καὶ τῷ δανειστῇ τὸ ὄφλημα. ἀποδεικνύντες ὃ ἔλεγον, ἀπελάμβανον τὰ ὀφειλόμενα. ἐκαλεῖτο οὖν τοῦτο, ἐνεπισκήψασθαι.

Ἐνεός, ὁ ἄφωνος. ἀπὸ τοῦ τὴν ἰωνὴν παρ' ἑαυτῷ ἔχειν. ἢ ὁ διὰ μωρίαν λήθαργος καὶ ἀμνήμων. ἀφ' οὗ καὶ ἐνεάζειν λέγουσι, τοὺς διὰ μωρίαν περιβλέποντας.

Ἐνέχυρον, τὸ εἰς ἀσφάλειαν ἀντάλλαγμα. ἀπὸ τοῦ ἔχω τὸ κρατῶ, ἔχυρον, καὶ ἐνέχυρον.

Ἐνεχελιδῶν, τόπος Ἀθήνησι σταδίων ὀκτώ. ἐν ᾧ αἱ ἱπποδρομίαι, ἀπό τινος Ἐχέλου.

Ἕνη καὶ νέα. ἡ τριακοστὴ ἡμέρα τοῦ μηνὸς παρὰ Ἀθηναίοις. ἢ ἡ τριακὰς τῆς σελήνης. ἐπειδὴ τῆς σελήνης, συμβαίνει τοὺς δύο μῆνας ἐν μιᾷ τῇ ἡμέρᾳ ὡς ἔγγιστα εἶναι. καὶ τὸ

διανοστὴν ἡμέραν ὕπαρ χειμαινήν. καὶ κελεύειν νῦν μὲν ἥκειν εἰς ἑσπέραν, αὖθις δὲ ἔνης κεφ ἔνης.

Ενήνοχα, ἀπὸ τοῦ ἐνέγκω. ὁ μέλλων, ἐνέγξω. ὁ παρακείμενος, ἤνεχα. ὁ μέσος, ἤνοχα. καὶ ὁ ἀττικός, ἐνήνοχα.

Ενηλύσια, εὐκίνητα. καὶ ἤλυσιν τὴν ἔλευσιν. αἰσχύλος ἐν ἀργείοις. Καπανέως μου καταλείπεται λοιποῖς ἀκεραυνὸς ἀρόρων ἐπηλυσίων ἀπέλιπεν. οἱ δὲ, τὰ κατασκηφθέντα. οὕτως εἰς τὸ ἐκ τρικόν. εἰς δὲ τοὺς ἐτυμολόγους εὗρον εἰς ἀκεραυνὸς εἰς βέβηκεν. ἃ καὶ ἀναθεῖσθαι καταιβάτῃ, καὶ λέγεται ἄλυτα καὶ ἄβατα.

Ενηής, ὁ πρᾶος καὶ προσηνὴς καὶ ἡδύς. παρὰ τὸ ἥδω ἥσω. ἢ παρὰ τὸ ἠύς, γίνεται ἐνηής. ὥσπερ παρὰ τὸ βριθύς, ἐμβριθής. κλίνεται ἐνηέος. τὸ δὲ ἠύς, σημαίνει δύο. τὸν γενναῖον καὶ ἰσχυρόν, καὶ τὸν ἀγαθόν. ἐπὶ μὲν τοῦ ἰσχυροῦ, παρὰ τὸ ἔω τὸ ὑπάρχω, εἰς καὶ ἠύς. ἐπὶ δὲ τοῦ ἀγαθοῦ, παρὰ τὸ ἥδω ἡδύς. καὶ ἐκβολῇ τοῦ δ ἠύς. δηλοῦ καὶ ἠεῖα. ὥστε ταχύς ταχεῖα. καὶ ἐνηεῖα ἐνηείης, ἰλιάδος ρ. Νῦν τις ἐνηείης δειλοῖο μνησάσθω, τουτέστι τῆς πραότητος.

Ενθους, κατὰ συναλοιφὴν ὁ ἐνθεαζόμενος. ἔνθεος καὶ ἔνθους.

Ενθυμαζόμενοι, ἐνθυμούμενοι.

Ενθρυπτα, τὰ ἐκ πεμμάτων, ἢ τὰ ἐνθρυβόμενα βρώματα. ἔνιοι δὲ, ταῖς τελεταῖς αὐτὰ προσοικειοῦσι. καὶ ἀπόλλων δὲ παρ' ἀθηναίοις ἔνθρυπτος.

Ενθα. ἐπὶ μὲν τοῦ τότε δή, χρονικὸν ἐπίρρημα. Ενθ' αὖ τυδείδης διομήδει. καὶ, Ενθ' ἄλλοι μὲν πάντες ἐπευφήμησαν ἀχαιοί, ἀντὶ τοῦ τότε. καὶ τοπικόν. ἐπὶ δὲ τοῦ τοπικοῦ Ενθα κατεπλέομεν, καί τις θεὸς ἡγεμόνευεν. ἐπὶ δὲ τοῦ ἐν τούτῳ, ἢ ἐν ἐκείνῳ τῷ τόπῳ, Ενθα μὲν αἴας κεῖται. ἔνθα δ' ἀχιλλεύς. ἔνθα δὲ πάτροκλος.

Ενθάδε. ἐκ τοῦ ἔνθα τοπικοῦ ἐπιρρήματος ἐπεκτάσει τῆς δε. καὶ ὤφειλεν εἶναι ἐνθαδέ. ἀλλὰ κανών ἐστιν ὀλίγων, ὅτι τὰ κατὰ φωνὴν παραχθέντα εἰς δὲ μηδὲν πλέον τοῦ πρωτοτύπου σημαίνοντα, πρὸ μιᾶς ἔχει τὸν τόνον. ἔνθα, ἐνθάδε. τοῖος, τοιόσδε. τῆμος, τημόσδε. τηνίκα, τηνικάδε. καὶ ἀπορροῦσί τινες λέγοντες πόθεν γίνεται τὸ ἔνθα. καὶ λέγομεν ἐκ τοῦ ἔνθεν. πόθεν δῆλον, ἐντεῦθεν. τὰ εἰς θα δισύλλαβα ἐπιρρήματα, οὐκ ἐκ μεταθέσεως ὄντα τοῦ θε, ὀξύνεσθαι θέλουσιν. οἷον δηθά. ἐνθά. τὸ οὖν ἔνθα οὐκ ἐκ μεταθέσεως ὑπάρχει τοῦ ἔνθεν, ὤφειλεν ὀξύνεσθαι. οὐκ ἄρα ἐστὶ τὸ ἔνθεν ἐκ τοῦ ἔνθα. Ιστέον ὥς φησιν ὁ τεχνικός, ἔθος ἔχουσιν αἱ λέξεις αἱ εἰς σύμφωνον λήγουσαι, δέχεσθαι ἐπέκτασιν τὴν διὰ τοῦ ι. οἷον, νῦν νυνί. οὗτος, οὑτοσί. ἐκεῖνος, ἐκεινοσί. αἱ δὲ εἰς φωνῆεν λήγουσαι, τρέπουσιν εἰς ι. ὅδε, ὁδί. δεῦρο δευρί. ἐνθάδε, ἐνθαδί. ἢ τὸ ι προσλαμβάνουσι κατὰ διάστασιν. οἷον αὕτη, αὑτηί. τούτου, τουτουί. τούτῳ, τουτῳί. τὸ δὲ οἷον εἰ καὶ ὥσπερ εἰ, ἔστι διὰ διφθόγγου. διάφορα γὰρ μέρη λόγου εἰσίν. ἔστι γὰρ οἷον, ὄνομα. καὶ εἰ σύνδεσμος συναπτικός. τὸ δὲ ὥσπερ εἰ, τρία μέρη λόγου εἰσίν. ὡς, ἐπίρρημα. περ, σύνδεσμος παραπληρωματικός. καὶ εἰ, συναπτικός. Ιστέον ὅτι ἐκ τῶν μονοσυλλάβων προθέσεων, δύο ἐπεκτείνονται. ἡ ἐν καὶ ἡ πρός. ἡ ἐν προσλαβοῦσα τὸ ι γίνεται ἐνί. ὡς τὸ, Οὐκ ἔνι ἐκεῖ δοῦλος οὐδὲ ἐλεύθερος. ἡ πρὸς προσλαμβάνει τὸ ι, καὶ γίνεται προσί. ἐκβολῇ τοῦ ρ, ποσί. καὶ τροπῇ τοῦ σ εἰς τ, ποτί. δηλοῦ καὶ τὸ, Διὸς ποτὶ χαλκοβατὲς δῶ. διαφέρει δὲ, ὅτι ἡ ἐν γίνεται ἐνί, καὶ μετάγεται εἰς ῥηματικὴν σημασίαν. ἡ δὲ πρός, γίνεται ποτί, καὶ ὡσαύτως μένει πρόθεσις.

Ενιοίκω. ὀρθοτονεῖται μετὰ τοῦ ὀνόματος, ἵνα μὴ ἀναστρεφομένη σημαίνῃ ῥῆμα. ἔστι δὲ κατὰ πλεονασμὸν τοῦ ι. τότε δὲ ἀναστρέφονται αἱ προθέσεις, ὅτε λείπει ῥῆμα. γίνεται δὲ ἀντὶ ῥήματος. ὡς τὸ, Ενι τριφένεσ οὐδ' ἠβαιαί. καὶ παρὰ τὸ θεοῖσι. καὶ ὅτε μεταξὺ δύο ὀνομάτων τεθῇ. Ξύλοχον κάτα βοσκομενάων. Ξάνθῳ ἔπι δινήεντι. καὶ ὅτε ὑποτέτακται τινὶ ἀμέσως. οἷον, ᾧ ἔπι, ἀντὶ ἐφ' ᾧ. καὶ ὅτε εὑρεθῇ ἐπὶ τέλους. οἷον, Αρτέμιδι ξύν. εἰ δὲ μὴ οὕτως ἔχει, ὀρθοτονεῖται, καὶ φυλάττει τὸν ἴδιον τόνον. ἰλιάδος ο. Ὡς δ' ὅταν ἀΐξῃ νόος ἀνέρος, ὅς τ' ἐπὶ πολλὴν γαῖαν ἐληλυθὼς φρεσὶ πευκαλίμῃσι νοήσῃ. ἔνθ' εἴην ἢ ἔνθα. καὶ οὐκέτι τρίτον πρόσωπον εὐκτικόν, ἀλλὰ πρῶτον. οὐ γὰρ δύναται τὰ τρίτα τῶν εὐκτικῶν προσλαμβάνειν τὸ ν, ἵνα μὴ συνεμπέσῃ τοῖς πρώτοις. φιλόξενος δὲ λέγει κατὰ διάλεκτον γεγονέναι. ἔστι ῥῆμα εἴω τὸ πορεύομαι. εἴεις, εἴει. τὸ ἀπαρέμφατον, εἴειν. τὸ δὲ λέγειν καὶ φέρειν οἱ αἰολεῖς, λέγην καὶ φέρην λέγουσι διὰ τοῦ η. οὕτως οὖν καὶ τὸ εἴειν. εἴην αἰολικὸν ἀπαρέμφατον. ἢ ἐκ τοῦ τρίτου προσώπου δεύτερος ἀόριστος. πλεονασμῷ τοῦ ε ποιητικῶς. καὶ γίνεται ἔην. καὶ πλεονασμῷ τοῦ ι, εἴην. τὸ τρίτον, εἴη.

Ενιαυτός, ἀπὸ τοῦ ἐν ἑαυτῷ ἰέναι. ἀπὸ γὰρ τοῦ κέντρου καὶ τοῦ ὁρίζοντος, οὕτως ὁ ἥλιος κατὰ τὸ μέτριον μῆνα δι' ὅλου κινούμενος τοῦ χρόνου, ἐν ἐκείνῳ πάλιν ἔρχεται. ὡς καὶ ὁ χρόνος ἀπὸ τοῦ περὶ. ἢ παρὰ τὸ ἐν ἑαυτῷ διειληφέναι πάντα, τούς τε καρπούς, καὶ τὰς ῥοπάς, ἢ τοὺς χρόνους καὶ τοὺς μῆνας. ἢ παρὰ τὸ ἰαύω τὸ ἐνδιατρίβω, σύνθετον ἐνιαύω. καὶ ὄνομα, ἐνιαυτός, ὁ ἐνδιάτριπτος χρόνος. καὶ ὅμηρος, Ενθα Κύκλωψ ἐνίαυεν.

Ενιαυθμός, παρὰ τὸ ἐνιαύω τὸ ἐνδιατρίβω ἐνιαυσμός, καὶ ἐνιαυθμός. ἐκ δὲ τοῦ ἰαύω, καὶ μολιαυθμός.

Ενιλλώπτειν, τὸ κατακεκλασμένῳ ὄμματι βλέπειν καὶ καταμωκᾶσθαι. ὅθεν καὶ ἐνιλλώψας τὸ καταμωκησάμενος. ἴλλους γὰρ φασὶ τοὺς ὀφθαλμούς. ἔνθα καὶ κατιλλώπτειν καὶ πίλος. καὶ σιλληνοὺς δὲ ἔνιοι τοὺς τοῖς ἴλλοις ἐπισκώπτειν. εἰ μὴ ἄρα τινὸς ἐστὶν ἀπὸ τοῦ πετλῖσθαι τὰ βλέφαρα. καὶ τὸ διανεύειν, διιλλίζειν. ὅμηρος.

Ενιπή, ἡ διὰ λόγων ἐπιπλῆξις. ἀπὸ τοῦ ἐνέπω ῥήματος, ἢ ἀπὸ τοῦ ἐνίπτω.

Ενιπεύς, ὄνομα ποταμοῦ. ἀπὸ τοῦ ἐνιπὴ ἀπειλή. καὶ γὰρ οὗτος ὁ τόπος ἄγριός ἐστι, καὶ ἀπειλοῦντι ἔοικεν.

Ενίπτω, ἐπιπλήσσω. λοιδορῶ. παρὰ τὸ ἐνέπω τὸ λέγω. κατ' ἐπένθεσιν τοῦ τ καὶ τροπῇ τοῦ ε εἰς ι. τὸ γὰρ ε ἡνίκα πλεονάσῃ σύμφωνον, τρέπεται εἰς ι. ἐνέπω ἐνίπτω. Μή με γύναι χαλεποῖσιν ὀνείδεσιν ἔνιπτε. Ειμένη τις τὸν δ' ἄρ' ἀχαιῶν ἄλλος ἐνίσπεν. ἀντὶ εἶπεν, ἢ ἔλεγεν. ἰλιάδος β. ἀπὸ τοῦ ἐνέπω πλεονασμῷ καὶ τροπῇ. δηλοῦ καὶ ῥῆμα περισπώμενον, ἐνισπῶ, ἐνισπήσω. ὁ δεύτερος ἀόριστος, ἤνισπον. καὶ κατὰ συστολήν, ἔνισπον.

Ενισπέμεν. Ενισπέμεν ἐν ἀγγέλοις ἔπεσιν. κακολογεῖν. ἐπιπλήσσειν. ἀπὸ τοῦ ἐνίσπω. ὁ μέλλων, ἐνίξω.

Ενιψε, ἰλιάδος η. κυρίως μὲν ἐπιπλῆξαι διὰ λόγων. νῦν δὲ ἀντὶ τοῦ ἐρεῖν. λέξει.

Ενισπεν, ῥῆμα, χρόνου ἀορίστου, ἢ ἐνεστῶτος καὶ παρατατικοῦ. ἁπλῆ δὲ ἡ λέξις αὐτοῦ. ἴσπω, ἐνίσπω. ὁ παρατατικός, ἤνισπον, ἤνισπες. ἤνισπεν. καὶ ἔνισπεν. ὡς ἤλαυνεν, ἔλαυνεν. Καὶ σὺ δέ μοι νημερτὲς ἔνισπες. οὕτω καὶ σχῶ, ἴσχον. καὶ σπῶ, ἴσπον. καὶ ὥσπερ ἔσχον ἔσχες, οὕτω καὶ ἴσπον ἴσπες καὶ ἔνισπες. τὸ μέντοι προστακτικὸν παροξύνεται. ἐνίσπες, ὡς ἐπίσχες. ἐπίθες. τὸ δ' ἄνευ τοῦ ς προστακτικὸν προπαροξύνεται. ἔνισπε. ἀκολουθεῖ τῷ ὁριστικῷ.

Εννέα, ἀπὸ τοῦ ἐνδεῖν εἰς τὸν δέκατον ἀριθμόν. ἢ παρὰ τὸ νέα καὶ τὸ ἐν. ἐκ τοῦ ἐννέα διὰ δύο ν, ἐπειδὴ τὸ ἑνὸς ν ψιλοῦται. τὸ ε πρὸ τοῦ ἑνὸς ν ψιλοῦσθαι θέλει. ὁμοίως δὲ τὸ η, χωρὶς τῶν συνδέσμων. καὶ εἰ μὴ ἐκ κλίσεως εἶεν. οἷον, ἑνώ. ἕνδιοι. ἧνις. ἥκεσας. τὸ ἡνία, ἐπεὶ παρὰ τὸν ἥσω μέλλοντα γέγονεν, ὁμοίως τῷ ποιήσαντι ἐδασύνθη. πρόσκειται χωρὶς τῶν συνδέσμων, διὰ τὸ ἕνεκα καὶ εἵνεκα.

Εννέωροι, ἐνναετεῖς. ὧρος γὰρ ὁ ἐνιαυτός. ὀδυσσείας ν. Εννέωροι γάρ τοι γε, καὶ ἐννεαπήχεες ἦσαν εὖρος. ἀτὰρ μῆκός γε γενέσθην ἐννεόργυιοι. ὀδυσσείας τ. Μίνως ἐννέωρος βασίλευε διὸς μεγάλου ὀαριστής. οἱ μὲν, ὅτι ἐνναετὴς βασιλεύειν ἤρξατο. ἢ ὅτι ἐννέα ἔτη ἐβασίλευσεν. ἢ ὅτι, οἱ ὑποτεταγμένοι οὐ ῥᾳδίως πείθονται ταῖς τῶν βασιλέων γνώμαις. ὅθεν φασὶν, ἀνιόντα αὐτὸν εἰς ἴδην δι' ἐνναετίας συντιθέναι νόμους καὶ φέροντα διαβεβαιοῦσθαι ὡς ὑπὸ διὸς εἶεν δεδομένοι. Τῇσι δ' ἐνὶ κνωσσὸς μεγάλη πόλις ἔνθα μίνως ὀαριστής. ἔστι δὲ τὸν ὁμιλητήν. ὄαροι γὰρ οἱ λόγοι, καὶ ἡ μετὰ λόγου συνουσία. καὶ ὀαριστὴς παράφρασις, ἀντὶ τοῦ ὁμιλία παρασκευαστική. Ο μῦθος τὸν τῆς εὐρώπης καὶ διὸς μίνωα δι' ἐνναετίας ἀφικνεῖσθαι πρὸς τὸν πατέρα παιδευθησόμενον. καὶ ὡς παρὰ σοφιστοῦ μανθάνειν τὰ δέοντα. ὅθεν τῇ τε γνώμῃ καὶ κρίσει τοσοῦτον διενεγκεῖν, ὡς βασιλέα αὐτὸν ποιῆσαι, καὶ ἐν ἅδῃ δικαστὴν γενέσθαι τῶν ἀδίκων ψυχῶν. ἡ ἱστορία παρὰ πλάτωνι.

Εννεάψυχος κίων, παροιμιώδης.

Εννεάκρουνος, κρήνη ἀθήνησι παρὰ τὸν ἰλισσόν. ἣ πρότερον καλλιρρόη ἐκαλεῖτο. ἀφ' ἧς τὰ λουτρὰ ταῖς γαμουμέναις μετίασι. πολύζηλος δημοτυνδάρεω δὲ ἴξει. ἐννεάκρουνον ἔνυδρον τόπον. ῥητορική.

Εννῆμαρ, ἐπὶ ἐννέα ἡμέρας. καὶ παρὰ τὸ ἦμαρ ὄνομα συνετέθη, οὐκέτι ὄνομα, ἀλλ' εἰς ἐπίρρημα καὶ ἄκλιτον μεταπεσὸν τὰ εἰν. καὶ σημαίνει χρόνον τινὰ ἢ καιρόν. τοιοῦτόν ἐστι καὶ τὸ ἑξῆμαρ. αὐτῆμαρ. πανῆμαρ. οὐδὲν δὲ τῶν εἰς αρ σύνθετον γίνεται. οἷον ἑξῆμαρ. τὸ δὲ ἦμαρ, ἀεὶ μετὰ ἀκλίτου τάττεται. ἐχρῆν δὲ αὐτὸ προπαροξύνεσθαι, ὡς παρ' οὐδενὸς συγκειμένου. ἀλλ' ἐπειδὴ ὁ τόνος παρηλλάγη, ἐπεὶ καὶ ξένη ἡ σύνθεσις, οὐδὲν γὰρ τῶν εἰς αρ συντεθέντων οὐδετέρων προπαροξύνεται, διὰ τοῦτο περισπᾶται. ἔστι δὲ τὸ ἐννῆμαρ, ἐπίρρημα, ὡς τὸ ἑξῆμαρ. αὐτῆμαρ. καὶ προπερισπᾶται.

Εννη, ἐστὶ νῶ ἐστὶ τὸ νήθω. ὁ παρατατικὸς καὶ ἐπὶ πρώτης συζυγίας, καὶ ἐπὶ δευτέρας. ἂν γὰρ ᾖ νώμενος καὶ κλώμενος, δηλονότι ἐστὶ δευτέρας. τοῦ νῶ ὁ παρατατικός, ἔνων ἔνης, ἔνη. καὶ πλεονασμῷ τοῦ ν, ἔννη. οὕτως καὶ

Εννεον, ἐστὶ ῥῆμα, ναῶ. ὁ παρατατικός, διανός. ἔνεον. καὶ πλεονασμῷ τοῦ ν, ἔννεον.

Ενναέται, οἱ περίοικοι. ἀπὸ τοῦ ναίω τὸ οἰκῶ, ναέτης ναέται.

Εννεσίῃσι, διανοήσεσιν. ἐννοίαις. βουλήσεσιν. ἐρῶ. ὡς φησι διονύσιος. καὶ ὅμηρος ἰλιάδος ε. γίνεται παρὰ τὸ ἐννοίαισι. καὶ πλεονασμῷ τοῦ σ καὶ τροπῇ τοῦ ο εἰς ε, ὥσπερ πηγόμαλα, πηγεσίμαλλα. γίνεται ἐννεσίῃσι, καὶ ἐκτάσει.

Ενπύῃ, τινὲς ἐν χόρτῳ. ἀρίσταρχος ἐν πυροῖς καὶ κριθῇ. πυὸν γὰρ τὸν πυρὸν δίχα τοῦ ρ. ἄλλοι δὲ ἐν καρπῷ.

Ενμεσάτῳ, ἐν μεσατάτῳ, τόπῳ. κατὰ συγκοπήν.

Ενπροδοκῆσιν, ἀπὸ τοῦ δοκεῖν. τοῖς πρὸς ἐνέδραν ἐπιτηδείοις τόποις.

Εντοῖς κατωτάτω. κάτω, κατώτατος. ἡ δοτική, κατωτάτῳ, καὶ ἐν τοῖς κατωτάτω. ἀπὸ ὀνόματος μετήχθη εἰς ἐπίρρημα.

Ενφρεατοῖ, δικαστήριον τῶν ἀκουσίων φόνων ἐν ἀθήναις. δημοσθένης ἐν τῷ κατὰ ἀριστοκράτους. ἀκριβῶς διέξεισι περὶ αὐτοῦ. ὠνομάσθαι δὲ τὸ δικαστήριον ἔοικεν ἀπό τινος φρεάτου ἥρωος. ὡς θεόφραστος ἐν ἕκτῳ καὶ δεκάτῳ νόμων μαρτυρεῖ.

Ενσκιρωθείσης, ἐμπαγείσης. σκίρωμα γὰρ λέγεται τὸ ἀνίατον πάθος.

Εντερα, διὰ τὸ ἐντὸς εἶναι, ἔντερα. ζήτει εἰς τὸ ἔγκατα.

Εντελέχεια, τὸ ἀεὶ ὄν. παρὰ τὸ ἐντελῶς ἔχειν.

Ενορχα, ἰλιάδος ψ. Πεντήκοντα δ' ἔνορχα παρ' αὐτόθι μῆλ' ἱερεύσειν, ὄρχεις ἔχοντα. τοιαῦτα γὰρ ἔθυον τοῖς ποταμοῖς.

Ενολμίς, ἦν τι γένος μάντεων οὕτω καλούμενον. διὰ τὸ ἐν ὅλμῳ ποιμνηθῆναι γίνεσθαι. ὅλμοι δὲ λέγονται, οἱ τρίποδες τοῦ ἀπόλλωνος. ὅθεν καὶ παροιμία Ενολμίω εὐνάσω. ἀντὶ τοῦ μαντικῶς. ὁ δὲ σοφοκλῆς ἐνόλβιος.

Ενονυχίζει, ἀποδέχεται.

Ενοδία, ἡ ἑκάτη, ἐπεὶ κινητός. ἡρακλείδης.

Ενοσίχθων καὶ ἐνοσίγαιος, ὁ ποσειδῶν. ἐκ τοῦ ἔνοσις, ὅ ἐστι τὴν κίνησιν. καὶ ἐν συνθέσει μετὰ τοῦ γαῖα, ὁ σείων καὶ

κινῶν τὴν γῆν.

Ἐνοχλῶ, ἐκ τοῦ ὄχλος. τοῦτο παρὰ τὸ ἀχλύς.

Ἐνοπαῖς, τοῖς ἐνοπίοις. ἀπὸ τοῦ ταῖς τῶν ὤπων ὀπαῖς κεῖσθαι, σοφοκλῆς.

Ἐνοπή, ἰλιάδος γ. Τρῶες μὲν κλαγγῇ, ἐνοπῇ τ' ἴσαν ὄρνιθες ὥς. ἐνοπῇ καὶ κλαγγῇ, ἐπιρρήματα εἰσὶ ποιότητος, ὡς τὸ σιγῇ. παρὰ τὸ ὄψ, ὃ σημαίνει τὴν φωνήν. ἡ γενική, ὀπός. καὶ μετὰ τῆς ἐν προθέσεως, γίνεται ἐνοπή. ὁ κανών. τὰ ἀπὸ διαφόρων πτώσεων.

Ἐνωπῇ, ἰλιάδος ε. Ὥς σε τί κακὸν ῥέζουσαν ἐνωπῇ, ἀντὶ ἐν ὄψει. φανερῶς. παρὰ τὸ ὢψ. καὶ δωρικῶς, ἐνωπά. τὸ δέ, Αὐτὰρ ἐπεὶ κατένωπα, μεταπλασμός ἐστιν, ὡς κρόκην κρόκα.

Ἐνωπαδίως ἐσιδέσκεν. τινὲς ἐναπαδίως γράφουσι, τὸ ἑαυτοὺς τοὺς ὦπας ὁρᾶν καὶ γινώσκειν.

Ἐνωπίδες, αἰθέρα παῖναι. παρὰ τὸ ἐπέσθαι. δίδυμος.

Ἐνώδια, σὺν τῷ ι τὰ ἐνώτια. ἴσως παρὰ τὸ ἐνοιδεῖν. τὰ περὶ τὸν τόπον εὐθύρητα ὄντα. οὕτως ὠρίων ὁ μιλή-[ ]σιος.

Ἐνωρᾶ, ἔχει τὸ ι. λέγεται δὲ ἐπὶ δοτικῆς μόνης, ἀντὶ τοῦ θᾶττον. ἀριστοφάνης ἐν τέχνῃ.

Ἐνώμοτος, ἔνοχος τοῖς ὅρκοις. βέβαιος. ῥητορική.

Ἐνωμοτίς, τάξις τις στρατιωτικὴ παρὰ λακεδαιμονίοις. εἴρηται ἀπὸ τοῦ ὀμνύναι αὐτοὺς μὴ λείπειν τὴν τάξιν.

Ἐνωμοτάρχης, τάξεως τινὸς στρατιωτικῆς ἄρχων παρὰ λακεδαιμονίοις. ῥητορική.

Ἐνώμα, ἐκίνει. ἐνούφιζεν. ἀπὸ τοῦ ὦμος ἡ μεταφορά. γίνεται ἐνωμῶ. καὶ, Ἄρης δ' ἐν χερσὶ πελώριον ἔγχος ἐνώμα.

Ἔντεα, τὰ ὅπλα. παρὰ τὸ ἐντὸς περιλαμβάνειν τὸ σῶμα, καὶ ἐν τῷ εἶναι τῶν φορούντων. οἱονεὶ σκεπαστήρια τινὰ ὄντα διὰ τὸ περιλαμβάνειν τὰ σώματα.

Ἐντόσθια, παρὰ τὸ ἐντὸς ἐπίρρημα ὅ ἐστι τὸ ἔσω. τὰ ἔσωθεν τοῦ σώματος κείμενα. οἱ δέ, λέγουσιν ἐνδόσθια.

Ἐντύνω, σημαίνει τὸ εὐτρεπίζω.

Ἔντομα, τὰ τοῖς καταχθονίοις θυόμενα. ἐντέμνεται γὰρ τούτων ὁ τράχηλος. τὰ δὲ τοῖς οὐρανίοις θεοῖς, ἀνακλᾶται. ἢ ἔντομα τὰ εὐνουχισθέντα τῶν προβάτων. τοιαῦτα δὲ ἔθυον τοῖς νεκροῖς ἄγονα, διὰ τὸ καὶ αὐτοὺς εἶναι ἀγόνους. Καὶ μὴν κυδαίνοντας ὑπὸ κνέφας ἔντομα μῆλα. καί, Ἤγνισαν ἔντομα μήλων.

Ἐντρέχεια, σημαίνει τὸ μετὰ δρόμου καὶ θερμῶς ἐπιπηδᾶν τῷ πράγματι.

Ἐντροπαλιζόμενος, κατ' ὀλίγον καὶ συνεχῶς ἐπιστρεφόμενος. ἐκ τοῦ τρέπω, τροπῶ, τροπίζω. καὶ προσθέσει τῆς αλ συλλαβῆς μετὰ τῆς ἐν προθέσεως, γίνεται ἐντροπαλίζω. εἴρηται καὶ χωρὶς τῆς ἐν. ἰλιάδος υ. Πρὶν δ' ὑπὸ μετροπαλίζεο φεύγων. ἀντὶ τοῦ δὲ ἐπεστρέφου. τοιαῦτα δὲ ἐστὶ ῥήματα ἀπὸ τῶν εἰς ης πλεονασμῷ τῆς αλ. οἷον πύκτης, πυκτίζω, πυκταλίζω. ἀνακρέων καὶ σαπφὼ φησί, ἀπὸ τοῦ πυκτεύω, πυκταλεύω.

Ἔντρ. ἐξ ἑρῶν ἔντρ. δασύνεται. σημαίνει δὲ τὸ ἐξέβαλον τὸν τῆς τροφῆς ἔρωτα, ὅ ἐστιν ἐνορέχθησαν. ἀπὸ τοῦ ἵημι τὸ πέμπω. ἥσω. ἧκα. ἕμαι. ὁ ἀόριστος, ἕθην. ὁ μέσος δεύτερος ἀόριστος, ἕμην. τὸ γίνεται τῶν πληθυντικῶν, ἕντο. ἢ ἀπὸ τοῦ δευτέρου ἀορίστου ἧν. ὁ μέσος, ἕμην. ἢ ἀπὸ τοῦ ἕω, εἷμι. ἡ μετοχή, εἵς, καὶ ἀφείς. ἕμαι ἕμην. ἕσο. ἕτο. ἕντο. καὶ τὸ πληθυντικόν, ἕμεθα. ἕσθε. ἕντο.

Ἐνύπνιον, κατὰ τοὺς ὕπνους ὀνοματικὸν ἐπίρρημα, ἀντὶ τοῦ ἐνυπνίως, ἢ ἐν ὕπνῳ. ἔστι δὲ καὶ ὄνομα. ἀπὸ δὲ ὀνόματος, μετήχθη εἰς ἐπίρρημα. Θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος.

Ἐνυώ, πολεμικὴ θεός. ἢ παρὰ τὸ ἐναύειν, ὅ ἐστιν ἐμφωνεῖν. ἢ παρὰ τὸ ἰῶ. ἀπὸ τοῦ ἐνιέναι τοῖς πολεμουμένοις τὴν μάχην. ὅθεν καὶ ὑσμίνη. ὅμηρος. Οὔτε πολίπορθος ἐνυώ.

Ἐνυάλιος, πολεμικός. παρὰ τὴν ἐνυώ [ ] δαίμονα, ἥτις ἐστὶ προστάτις τοῦ πολέμου. κτητικὸς τύπος γέγονεν, ἐνυώ ἐνύειος. καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, ἐνυάλιος, ὁ προσφιλὴς τοῖς τῆς θεᾶς ἐνυοῦς ἔργοις. Ἐπεὶ χουροῦντι καὶ ἐνυάλιον. ἀπὸ τοῦ φένω τὸ φονεύω, ἀποβολῇ τοῦ φ, ἔνω. κατὰ παραγωγήν, ἐνύω. καὶ ὄνομα ῥηματικόν, ἐνυώ. καὶ ἐνυάλιος.

Ἐνώπιον, ἐπίρρημα τοπικόν. παρὰ τὸ ὢψ ὠπός, ὤπιον, καὶ ἐνώπιον. πᾶν δὲ ἐπίρρημα εἰς ιον τύπου ὑποκοριστικοῦ ὑπάρχον, διὰ τοῦ ι γράφεται καὶ προπαροξύνεται. οἷον βράδιον, τάχιον. ῥᾴδιον. μετώπιον. ἐνώπιον. τὸ δὲ προσωπεῖον, διὰ τῆς ει διφθόγγου καὶ προπερισπᾶται. τὸ δὲ προσενώπιον, ἀντὶ τοῦ πρὸς τοὺς ἐξεναντίας τῶν εἰσόδων τοίχους, διὰ τὸ φωτίζεσθαι ὑπὸ [ ] τῶν θυρῶν.

Ἑξάκλινον, ἑξάπουν. ἀττικῶς μὲν ἑξάπουν, καὶ ἑξάκλινον λέγεται. ὥσπερ καὶ παρὰ τῷ σοφοκλεῖ ἑξάπηχυς. καὶ παρὰ πλάτωνι τῷ κωμικῷ ἑξάπουν. φυλάττεται γὰρ τὸ τέλος τῶν ἀριθμῶν ἐν τῇ συνθέσει τὸ πεντέμηνον λεγόμενον. καὶ ἐν πεντεσυρίγγῳ ξύλῳ. ἡμεῖς δὲ πεντάμηνον. ὀκτώπουν, καὶ ἡμεῖς ὀκτάπουν. εἰ οὖν ἄρα τὸ τέλος τῶν ἀριθμῶν φυλάσσεται, ὁ δὲ ἓξ ἀριθμὸς τὸ ξ ἔχει, φυλάσσει ἄρα τὸ τέλος, ἑξάκλινον λέγοντες. ἀλλ' ἔστιν εἰπεῖν πρὸς τοῦτο, ὅτι οὐδὲ μίαν λέξιν ἔχομεν εἰς διπλοῦν καταλήγουσαν, καὶ ἐν τῇ συνθέσει φυλασσομένην. εἰσὶ δὲ αἱ φυλασσόμεναι ἐν παραθέσει. οἷον Πὺξ μὲν ἐνίκησε λὰξ ποδὶ κινήσας. εἰ οὖν ἑξάπους ἐν συνθέσει, ὀφείλει τρέπεσθαι καὶ μὴ καταλήγειν εἰς διπλοῦν. ἀνάλογον ὅτι πεφύλακται τὸ τέλος τοῦ ἀριθμοῦ. ὡς καὶ παρὰ τῷ ποιητῇ. οἷον ἑξέτης. Ἑξέτα δ' ἀδμήτην. καὶ ἑξάετες ἤνασσεν. οὐκ ἔστιν οὖν πλεονασμὸς ὡς πλανῶνταί τινες. τὰ εἰς ις ἐπιρρήματα ἐν τῇ συνθέσει ἀποβάλλει τὸ κις. οἷον ἑπτάκις. ἑπτάμηνος. οὐ γὰρ ἀπὸ τοῦ ἑπτὰ ἀριθμοῦ. τέσσαρες, ὁ ἀριθμός, τετράκις τὸ ἐπίρρημα. παρὰ τοῦτο τετράμηνον. οὕτως οὖν ἑξάκις, ἑξάκλινον. ἑξάπουν ἡρωδιανὸς περὶ παθῶν.

Ἐξάγιστος, ἀκάθαρτος, ἢ πονηρός. αἰσχίνης δὲ ἐπὶ τινος λιμένος εἴρηκεν.

Ἐξάδιος, ὄνομα κύριον, ὁ ἐξοχὴν ἔχων ἐν τῷ διώκειν. τὸ ε, πρὸ τοῦ ξ δασύνεται. τὸ δὲ ἐξάδιον, ψιλοῦται. ἐπειδὴ διαφορεῖται τὸ ὄνομα. λεξάδιος, καὶ ἐξάδιος. ὡς ὀβριάρεως καὶ βριάρεως. ὀϊλεύς καὶ ἰλεύς.

Ἐξάντης, ἐξεστηκώς. μαινόμενος. ἢ ἀβλαβής, καὶ ὑγιής, ὁ ἔξω ἄτης. οἷον, Ὥς σευ λυέσθαι με τῆς δ' ἐξάντην νόσου. τὸ ν ἐγκεῖται διὰ εὐστομίαν.

Ἐξαλός. τινὲς κατὰ συναλοιφήν, ἔξω ἁλός. οἱ δὲ ἐκ τῆς ἁλός. ὡς τὸ, Ἕκτορα δ' ἐκβελέων, ἀντὶ ἔξω βελῶν.

Ἐξακέσαιο, ἰάσαιο. ἀκῶ τὸ θεραπεύω. ἀκέσω. ὁ ἀόριστος, ἤκεσα. ἠκεσάμην. καὶ τὸ εὐκτικόν, ἀκεσαίμην.

Ἔξαρνος, ὁ τῷ ἀρνεῖσθαι ἐπιμένων, καὶ ἀρνούμενος κα-[ ]θόλου.

Ἐξαράσασθαι, τὸ ἐκτελέσαι τὰς ἀράς. τουτέστι τὰς εὐχάς, ἃς ἐπὶ ταῖς ἱδρύσεσι τῶν ναῶν εἰώ-[ ]θασι ποιεῖσθαι.

Ἐξαπάφοιτο, ἐξαπατήσοι.

Ἐξαργυρῶσαι, οὐκ ἐξαργυρίσαι θουκυδίδης.

Ἐξαυστήρ, ὅ ἐστι σκεῦός τι. παρὰ τὸ αὔω, αὔσω, αὐστήρ, καὶ [ ] ἐξαυστήρ. αἰσχύλος.

Ἐξαμβλοῦν, τὸ διαφθείρειν. καὶ Ἐξήμβλωσεν, ἀντὶ οὐ διέσωσεν, οὐδὲ συνηύξησε. κυρίως μὲν ἐπὶ ἀμπέλου ἐπικεκαυμένης τοὺς λεγομένους ὀφθαλμοὺς φασὶ τὸ ἐναμβλῶσαι. μεταφορικῶς δέ, καὶ βρέφος διαφθαρῆναι ἐν κοιλίᾳ, ἐξαμβλῶσαι. καὶ ἀμβλωθρίδιον. τὸ ἐφθαρμένον.

Ἐξαμφοτερίσαι, τὸ τὰ σαφέστερα εἰς ἀμφίβολον περι-[ ]στῆσαι.

Ἐξαθόω. Ἐξαθόω δ' ἐπὶ πύργον ἔβησέ τε. ἐκ δὲ τοῦ ἄθω ὅ ἐστιν ὄρος ὑψηλὸν τῆς θράκης ἐπὶ τὴν θάλασσαν ἔβη. ἰλιάδος ξ. πλανώμενοι τινὲς ἀναγινώσκουσιν ἐξάθοω. οὐ γὰρ δύναται γίνεσθαι ἀπὸ τοῦ ω περισπωμένη ὀξεῖα. οὐ γὰρ ἔχει πρὸ τοῦ ω τὸ ε, ὡς τὸ πόλεων. ἀμφίβολον. εἰ γὰρ παρὰ τὸ ἄθως ἄθω, διὰ πλεονασμὸν τοῦ ο. εἰ δὲ εἴρηται ἀθόος ἀθόου ἀθόω. οὐκ ἔτι πλεονάζει. ἡρωδιανὸς περὶ [ ] παθῶν.

Ἐξάπινα, ἐπίρρημα. γίνεται δὲ παρὰ τὸ ἀφανής, ἄφινα καὶ ἄπινα.

Ἐξαίρετοι, ἐνδεεῖς. ἐπίλεκτοι. αἱ κατὰ τιμὴν διδόμεναι. ἀπὸ τῶν αἰχμαλώτων γυναῖκες. τὸ ἀρσενικόν, ἐξαίρετος. ἐκ τοῦ αἱρῶ τὸ διακρίνω καὶ προκρίνω, γίνεται αἱρετός, καὶ ἐξαίρετος. προπαροξύνεται. ἐπειδὴ τὰ διὰ τοῦ ετος ὑπὲρ δύο συλλαβάς, προπαροξύνεσθαι θέλουσιν. ἀριδείκετος. ἀμεμάκετος. χωρὶς εἰ μὴ ἀπλᾶ ὄντα, πρὸ τοῦ ε τὸ π ἔχει, διὰ τὸ ἰάπετος. ἢ ἀπὸ ῥήματος συντεθείη, διὰ τὸ ἐπαινετός. σεσημείωται τὸ ἀφιγετός.

Ἐξαίρους, ἀπὸ τοῦ ἐξαιρέτους κατὰ συγκοπήν. ἢ ἀπὸ τοῦ

Ἐξαίρεσις, τόπος τις ἀθήνησιν. ἔνθα ὑπε-[ ]ἐξαιτεῖ. ξαιρούμενοι τὰ φορτία ἀπετίθεντο.

Ἐξαίσιον, ὅτε μὲν δηλοῖ τὸ ἄδικον, καὶ γίνεται παρὰ τὴν αἶσαν, ἥτις δηλοῖ τὸ πρέπον. οἱονεὶ τὸ ἔξω τοῦ πρέποντος. ὅτε δὲ τὸ μέγα, ἀντὶ ὑπὲρ τὸ καθῆκον. ὥσπερ τὸ ἐκνομίως παρὰ ἀριστοφάνει. ἀντὶ τοῦ μεγάλως.

Ἐξαίσια, παντὸς ἐπέκεινα θαυμαστός. ὑπερβαλλόντως.

Ἐξεσίην, ἐξεσίην ἐλθόντι. ἰλιάδος ω. ἀντὶ κατὰ δημοσίαν ἔξοδον καὶ πρεσβείαν. ἐξεσία γάρ, ἡ δημοσία πομπὴ καὶ πρεσβεία. ἀπὸ τοῦ τὴν πρεσβεύοντα ποῦ ἐξιέναι. ἢ παρὰ τὸ ἵημι τὸ πέμπω.

Ἐξέμεν. Μὴ δ' ἐξέμεν ἂψ ἐς ἀχαιούς, ἀντὶ ἐκπέμψαι καὶ ἀπολῦσαι. ὅ ἐστι καὶ τὸ κρατῆσαι. καὶ φυλάξαι. ἐκ τοῦ ἵημι, τὸ ἀπαρέμφατον, ἕμεν καὶ εἶναι, ὡς θεῖναι, θέμεν.

Ἐξαιρῶ, εἰς τὸ ἱεροφοίτης.

Ἐξέρρω, ἐξεβλάβη. ἐξεκόπη ἡ κύησις. παρὰ τὸ ῥῶ ῥῆμα, ὅ ἐστι τὸ κόπτω. ὅθεν ῥῶσαι, τὸ σιδήρῳ τέμνειν, καὶ κόπτειν. δηλοῖ δὲ καὶ τὸ βλάπτω. ὡς τὸ, Οἶνός σε τρώσει μελιηδής. τὸ δὲ παράγωγον αὐτοῦ, ῥώω. ἐξ οὗ παράγωγον ῥῶμι. καὶ παρῳχημένος χρόνος, ἔρρων, καὶ ἐξέρρων. ὡς ἔδων ἐξέ-[ ]δων.

Ἐξείδιον, ὅ ἐστι τὸ ἕξιν. καὶ εἰ μὲν ἀπὸ τῆς ἕξεως γενικῆς ἐστί, γράφεται διφθόγγῳ. εἰ δὲ ἀπὸ τῆς ἕξιος, ἑξίδιον διὰ τοῦ ι.

Ἔξει, ἀντὶ ἔξιθι. ἐκ τοῦ εἶω τὸ πορεύομαι, παράγωγον, εἶμι. ὁ παρατατικός, εἶν. τὸ δεύτερον, εἶς. τὸ τρίτον, εἶ. καὶ ὥσπερ ἀπὸ τῶν εἰς ω γίνεται προστακτικὸν ἐκ τοῦ τρίτου προσώπου τοῦ παρατατικοῦ, οὕτω καὶ ἀπὸ τοῦ εἰς μι σχήματος, αἰολικόν, καὶ ἀττικόν. οἷον, ἵστη, ἀντὶ ἵσταθι. καὶ ἐμπίπλη, ἀντὶ ἐμπίπλαθι. οὕτω καὶ ἐκ τοῦ εἶ τρίτου προσώπου τοῦ παρατατικοῦ, γίνεται εἶ. ἐν συνθέσει δεύτερον προστακτικόν, Ἔξει τ' ἀσκὸν τὴν λαβών. ἢ ἐκ τοῦ ἔξειμι συνθέτου σχήματος τῷ εἰρημένῳ τρόπῳ.

Ἑξείης, ἐφεξῆς. ὀρδιναίως. ἔστι δὲ ἐπίρρημα τάξεως. ἀπὸ τοῦ ἑξῆς πλεονασμῷ τῆς ει διφθόγγου.

Ἐξειλῆσαι, τοῦτο λέγουσιν οἱ ἀλεξανδρεῖς ἐπὶ τοῦ ἐκφυγεῖν. ἐοίκασι δὲ μεταφορικῶς λέγειν. ἀπὸ τῶν ἐν τῷ παλαίειν ἀναλυόντων ἑαυτούς. λέγει γοῦν πλάτων ἐν ἑβδόμῳ νόμων περὶ πάλης οὕτω. Τὰ δὲ ἀπ' ὀρθῆς πάλης ἀπ' αὐχένων καὶ χειρῶν καὶ πλευρῶν ἐξειλήσεως. κατὰ φιλονεικίας τε καὶ καταστάσεως διαπονούμενα.

Ἐξηγηταί, οἱ τοὺς νόμους τοῖς ἀγνοοῦσι διδάσκοντες, καὶ ὑποδεικνύοντες, περὶ τοῦ ἀδικήματος οὗ ἕκαστος γράφεται. καὶ ἐξηγούμενοι τὰ πάτρια. ῥητορική. ἐξηγητὴς οὖν ὁ τοὺς νόμους ἐξηγούμενος. καὶ πᾶν ὁτιοῦν πρᾶγμα. ζήτει εἰς [ ] τὰς διαφοράς.

Ἐξονήθην, ἀντὶ τοῦ κατηντλήθην. ὅθεν καὶ ἠϊόνες οἱ αἰγιαλοί, διὰ τὸ καταιονᾶσθαι ὑπὸ τῶν κυμάτων. αἰονήματα γὰρ τὰ καταντλήματα.

Ἐξηυλημένα καὶ παρεξηυλημένα, [ ] φασὶν οἱ ἀττικοί. αἱ παλαιαὶ γλωσσίδες τῶν αὐλῶν οὕτω λέγονται. καὶ κατὰ μεταφορὰν πάντα τὰ παλαιὰ καὶ κατατετριμμένα.

Ἐξίτηλον, τὸ ἀφανές. παρὰ τὸ ἐξιέναι τοῦ δήλου, ὅ ἐστι τοῦ φανεροῦ. ἢ παρὰ τὸ ἔξω εἶναι. ἢ τὸ ἀμαυρὸν καὶ ἐγγὺς ὂν ἀφανισμοῦ. ἐξίτηλα παρὰ τῷ θεολόγῳ, ἤγουν ἀφανῆ. ἐντελῆ. χαῦνα. ἀπὸ μεταφορᾶς τῆς πορφύρας, ἥτις ὅταν μὴ ἔχῃ τὸ τῶν δευσοποιῶν βάμμα, τὸ χρῶμα ἐξίησι τὸ τοῦ ἐθήλου, ὅ ἐστι τὸ τοῦ ὁμοίου. ἐξίθηλος οὖν καὶ ἐξίτηλος οἶνος, ὁ ἀνόμοιος ἑαυτῷ. ὅθεν τὸ ἔτυμον τῆς λέξεως εὗρον τὸ δευσοποιόν. τίθεται κυρίως

ἡ λέξις ἐπὶ τῶν βαπτομένων ἐρίων. δευσοποιὸς γὰρ λέγεται βαφὴ ἡ ἔμμονον καὶ δυσέκπλυτον ἔχουσα τὸ ἄνθος. καὶ πλάτων δὲ δόξαν δευσοποιὸν εἴρηκε τὴν ἔμμονον. καὶ δευσοποιὸς πονηρία, ἀντὶ τοῦ ἔμμονος καὶ δυσέκπλυτος.

ἐξιτηρίοις, εὐχὰς ἐφοδίους τοῖς πρὸς ἔξοδον ἔχουσιν, ἢ πρὸς θάνατον. παρὰ τὸ ἴημι τὸ πορεύομαι. ἢ εἶμι. τὸ πληθυντικὸν, ἵμεν. ἴτε. ἰτός. ὄνομα ἰτήριος, καὶ ἐξιτήριος.

ἐξούλης, ὄνομα δίκης. οἱ δίκην κινήσαντες ὥστε ἀποβαλεῖν χώραν ἢ οἰκίαν, ἐπεὶ τὰ ἐμβατεύειν κωλυόμενοι, μὴ ἐμβατεύσαντες ἐξελαυνόμενοι, δίκην εἰσάγουσι πρὸς τοὺς ἐξελαύνοντας, ἢ οὐκ ἐῶντας ἐμβατεύειν. καὶ αὕτη ἡ δίκη λέγεται ἐξούλης, ἀπὸ τοῦ ἐξίλλειν, ὅ ἐστι κωλύειν. οἱ γὰρ παλαιοὶ τὸ κωλύειν καὶ ἀπελαύνειν ἐξίλλειν ἔλεγον.

ἐξουρίας πλεῖς. ἀντὶ τοῦ καλῶς. ἐντριβική. ἐστὶ δὲ ἐπίρρημα μεσότητος. παρὰ τὸν οὖρον, ὃ σημαίνει τὸν φορὸν ἄνεμον.

ἔξοι χνεῦσιν, ἀντὶ τοῦ ἔξεισιν. οἴχω, ἰχνῶ. οἰχνοῦσι, καὶ ἐξοιχνεῦσιν.

ἐξυπανέστη. τὸ αὐτὸ ἐστὶν ὑπανέστη καὶ ἐξυπανέστη. ἰλιάδος β. ἢ ὅτι αἱ προθέσεις ἐπισυντιθέμεναι, λέγει ὁ κανὼν διεγείρουσι τὴν ἔμφασιν περί τι πλέον. οἷόν ἐστι τὸ, Προπροκυλινδούμενος, καὶ παρακαταθήκην ἐξυπανέστη. διὰ τῆς ὑπὸ, τὴν κατὰ τὸ ὀλίγον σχέσιν. διὰ τῆς δὲ ἐξ, τὴν εὐθύ. διὰ τῆς ἀνὰ, τὴν εἰς ὕψος σχέσιν.

ἐξυπογύου, ἐξετοίμου. ἐκ τοῦ πρὸ ὀλίγου. ἐκ τοῦ σύνεγγυς. παρὰ τὰ γυῖα τὰ μέλη. σημαίνει δὲ καὶ παρ' αὐτά, καὶ ἀπερισκέπτως. ὑπόγυον γὰρ, σημαίνει πρόσφατον. ἐγγύτατον. τὸ ἐγγὺς γεγονὸς πρὸ ὀλίγου καὶ μετ' ὀλίγον.

ἐξοστρακισμὸς, ἐξορισμὸς. φυγή. τοῦτο μὰ δὲ γίνεται ἐν τῇ ἀγορᾷ εἴσοδον ἔχον, δι' ὧν εἰσιὼν πολίτης ἕκαστος ὄστρακον ἐτίθει ἐπιγεγραμμένον. ἐξακισχιλίων δὲ γινομένων, φυγὴ δεκαετὴς ἐψηφίζετο τοῦ κρινομένου. ὠνόμασται δὲ ἀπὸ τοῦ ὀστράκου εἰς ὃ ἐνέγραφεν ἕκαστος ἀθηναῖος. εἰ δέον μεθίστασθαι τῆς πόλεως. ἐνομίσθη δὲ τοῦτο, ἐπὶ τῷ τοὺς ὑπερέχοντας τοῖς φρονήμασι κωλύειν. ζήτει εἰς τὰς διαφορὰς.

ἐξορία, παρὰ τὴν ἐξ πρόθεσιν καὶ τὸ ὅρος, ὃ σημαίνει τὸν ὁρισμόν. καὶ ὅ ἐστιν ὅρος. λόγος σύντομος δηλωτικὸς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος. καὶ ὅρος τόνων ὁ ἔξωθεν τοῦ ὡρισμένου τόπου ὤν.

ἐξορίσαι, ἀπὸ τοῦ ὅρου τοῦ γάλακτος. Προβατίοις δὲ καὶ αἰγιδίοις ὁμιλῶν, οὐ τὰ ἀντὶ τῆν ψυχὴν βελτίων ἐγένετο, ἢ δεῖ πλέον τοῦ βδῆλαι καὶ ἐξορίσαι τυρὸν ἢ πλῦναι.

ἔξοχος, παρὰ τὸ ἐξέχω. τὸ οὐδέτερον ἐξοχώδιον. ἔξοχον. ἡ εὐθεῖα τῶν πληθυντικῶν ἔξοχα. ἢ ἀποβολῇ τῆς ἐξ, ὄχα. ὅθεν τὸ, Ὄχ' ἄριστος ἁπάντων.

ἐξουσία. ἔχω. ἔξω. ἡ μετοχὴ, ἔξων ἔξοντος. τὸ θηλυκὸν, ἔξουσα. ἢ πλεονασμῷ τοῦ ι, ἐξουσία.

ἐξομόσασθαι, οἱ μάρτυρες τὴν ἐπὶ τὴν ἐν δικαστηρίῳ ὑπισχνούμενοι, εἶτα μετὰ ταῦτα μὴ βουλοίμενοι κατὰ μαρτυρεῖν, ὤμνυον μηδὲν ἐπίστασθαι. καὶ τοῦτο ἐστὶν ἐξομόσασθαι.

ἐξωμοσία. τὸ μεθ' ὅρκου ἀπαρνήσασθαι πρᾶξίν τινα διὰ νόσον ἢ πρόφασιν ἑτέραν τινὰ, ἐξομόσασθαι ἐστίν. οὕτω δημοσθένης.

ἐξωμὶς, χιτὼν ἅμα τε καὶ ἱμάτιον. ἦν γὰρ ἑτερομάσχαλος. καὶ ἀναβολὴν εἶχεν ἣν ἀνεδίδουν τοῖς ὤμοις μόνην. διὸ παρ' καὶ οἱ κωμικοὶ ἐπ' αὐτῆς, ποτὲ μὲν ξυλυθεῖ, ποτὲ δὲ ἀναβάλλου φασίν. ἔστι δὲ τῶν δούλων ὁ τοιοῦτος χιτών. ὁ δ' ἀμφιμάσχαλος, τῶν ἐλευθέρων καὶ ἀστῶν, οὐκ ἐπισκεπάζων τοὺς βραχίονας. οἱ δὲ νεώτεροι καὶ θοιμάτιον ἐξωμίδα τὸ μικρὸν καὶ εὐτελές.

ἔξωρος, παλαιὸς. ἢ ἑξαέτης. ὧρος γὰρ ὁ ἐνιαυτός. λέγονται ὧροι καὶ αἱ γραφαί. λέγεται καὶ ὁ ἄκαιρος.

ἔξω. ἐξωστηλῶν, ἔξω τῆς οἰκουμένης. ἕως ὅπου γάρ φασιν ἐστὶ πορεύεσθαι, στήλας ἔστησεν ἡρακλῆς. πάντα γὰρ τὰ ἀπὸ προθέσεως ἀρχόμενα ἐπιρρήματα, χωρὶς τοῦ ι γράφονται. οἷον ἀνά, ἄνω. κατά, κάτω. εἰς, εἴσω. οὕτως οὖν καὶ ἐξ, ἔξω. καὶ πρὸς, πρόσω. ὁμοίως καὶ τὰ εἰς ω ἀπὸ ἐπιρρημάτων γινόμενα χωρὶς τοῦ ι γράφονται. οἷον ἐγγύς, ἐγγυτέρω, ἐγγυτάτω. ἔξω, ἐξωτέρω, καὶ ἐξωτάτω. πέραν, περαιτέρω, καὶ περαιτάτω. ὅσοι γὰρ τὸ ἐγγυτάτω. ζήτει εἰς τὸ περαιτέρω.

ἐξώκειλεν, ἀντὶ τοῦ ἔξω τοῦ κέλλειν ἐγένετο. κέλλειν δὲ ἐστὶ τὸ εἰς τοὐμπροσθεν ἰέναι. ἐξ οὗ καὶ κέλευθος ἡ ὁδός. παρὰ τὸ κέλλω. ὁ μέλλων, κελῶ. ὁ ἀόριστος, ἔκειλα. ὁ δεύτερος, ἔκελον. καὶ ἐξ αὐτοῦ ἐνεστὼς κατὰ ποιητὴν τοῦ ε εἰς ο, ὀκέλλω. ὁ μέλλων, ὀκελῶ. ὁ ἀόριστος, ὤκειλα. ἀντὶ τοῦ ἐξῆλθεν. ἔπεσεν. αὐτὶ ἔνιος ἐξέβαλεν. ἔρριψε. καὶ ἐξοκεῖλαι, ἐξορμῆσαι καὶ ἐκδραμεῖν. ἀπὸ τῆς τοῦ πνεύματος φορᾶς.

ἐξωφρυωμένοι, ἐξηρμένοι. ὑπερηφανευόμενοι. ἀπὸ τῶν ὀφρύων.

ἐξουδένωται. ἐκ τοῦ οὐδεὶς οὐδενός, γίνεται ῥῆμα περισπώμενον οὐδενῶ. οὐδενώσω. οὐδένωκα, οὐδένωμαι καὶ ἐξουδένωμαι.

ἐξουθενῶ. ἐκ τῆς οὐ ἀρνήσεως καὶ τοῦ τε συνδέσμου καὶ τοῦ εἷς ἑνός, γίνεται οὐδενῶ. καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, οὐθενῶ, καὶ ἐξουθενῶ.

ἐξωμὶς, χιτὼν ὁμοῦ καὶ ἱμάτιον. τὴν ἑκατέρου γὰρ χρείαν παρεῖχε. χιτῶνος μὲν ὅτι ἐζώννυτο. ἱματίου δὲ, ὅτι ἀνεβάλλετο. τάχα δὲ ὅτι ἀχειρίδωτος ὢν, καὶ πρὸς τοῖς ὤμοις ἀνοίγματα ἔχον, ἀφ' ὧν αἱ χεῖρες ἐξεχαλῶντο, ὁπότε καὶ ἐζώννυντο. κατὰ τοῦτο ἐξωμὶς ἐκαλεῖτο. ἀνεβάλλετο δὲ θατέρας χειρὸς ὑποστελλομένης, καὶ κάτωθεν πρὸς τοὺς πόδας ὡς τῷ ὤμῳ ἐπαναπιθείσης αὐτό. μηδὲν ζώνης δεόμενον.

ἐούσης. ἔω τοῦ ὑπάρχω. ὁ μέλλων, ἔσω. ὁ δεύτερος ἀόριστος, ἦον. ἡ μετοχὴ, ἐών. καὶ κατὰ συναίρεσιν, ὤν. καὶ τὸ θηλυκὸν, ἐοῦσα ἐούσης, καὶ οὖσα. καὶ πλεονασμῷ τοῦ ι, γίνεται οὐσία. ἢ παρὰ τὸ ἴσος.

ἐὼν μετοχή ἐστιν ἀορίστου δευτέρου. διό τι οὐδέποτε μετοχὴ ἐνεστῶτος ὀξύνεται, πλὴν τοῦ ἑκών. καὶ οὐδέποτε δευτέρου ἀορίστου μετοχὴ βαρύνεται, πλὴν τοῦ στέφνων. ὥστε τὸ ἐὼν δεύτερος ἀόριστος ἐστί. κλίνεται ἐόντος καὶ ὄντος. τὸ δὲ ἐὼν τοῦ ὤν, ἐν τε λέγεσθαι ἐστίν. ἔω ὦ καὶ ἐὼν, ἐνεστῶς καὶ παρατατικός.

ἐοικὼς, ἐοικότος. ἐκ τοῦ εἴκω τὸ ὁμοιῶ. ὁ μέσος παρακείμενος, εἶκα. καὶ ἐν διαλύσει, καὶ ἐπενθέσει τοῦ ο, ἔοικα. ἡ μετοχὴ ἐοικώς. ἢ ἀπὸ τοῦ εἴκω. ὁ μέσος παρακείμενος, οἶκα, τῷ λόγῳ τῆς παραληγούσης. καὶ πλεονασμῷ τοῦ ε, ἔοικα. ἢ ἐκ τοῦ εἶκα μέσου παρακειμένου ἔοικα καὶ ἔοικα. σημαίνει δὲ τρία. τὸ ὁμοιῶ. τὸ πρέπειν, καὶ τὸ φαίνεσθαι παρὰ τοῖς φιλοσόφοις. τὸ ὁμοιῶ. ὡς τὸ, Οὐδ' ἠΐε νυκτὶ ἐοικώς. τὸ πρέπει. ὡς τὸ, Ἔοικε τοι οὔτοι ἀεικές, ἰλιάδος ι. ἀντὶ τοῦ πρέπον σοί ἐστιν. καὶ οὐκ ἔστι σοι ἀπρεπές. τὸ φαίνεται, ὡς τὸ, Ὡς ἔοικεν ἡ τῶν φρενῶν ἐναλλαγή. καὶ ὁ πορφύριος. Ἔοικε δὲ μήτε τὸ γένος, μήτε τὸ εἶδος ἁπλῶς λέγεσθαι.

ἐοίγμεν, ἐκ τοῦ ἐοίκαμεν πρώτου τῶν πληθυντικῶν γίνεται. κατὰ συγκοπὴν καὶ τροπὴν, ἐοίγμεν. ὡς δεδοίκαμεν, δέδοιγμεν.

ἐοικυῖα. ἐκ τοῦ ἐοικότος, τὸ θηλυκὸν ἐοικυῖα. καὶ πλεονασμῷ τοῦ ι. ἰλιάδος ς. Ζωῇσι νέκυσσιν ἐοικυῖαι.

ἐώκειν. εἴκω. ὁ μέσος παρακείμενος, εἶκα. κατὰ διάλυσιν, ἔϊκα. καὶ πλεονασμῷ τοῦ ο, ἔοικα. ἢ ἐκ τοῦ εἴκω. ὁ μέσος παρακείμενος, οἶκα. τὸ γὰρ ε, ἡνίκα εὑρεθῇ ἐν δισυλλάβῳ μέλλοντι, ἢ μόνον, ἢ μετὰ τοῦ ι, εἰς ο τρέπεται ἐν τῷ μέσῳ παρακειμένῳ. οἷον, λέξω, λέλογα. πείσω, πέποιθα. οὕτως εἴκω, οἶκα. καὶ πλεονασμῷ τοῦ ε, ἔοικα. ὁ μέσος ὑπερσυντέλικος, ἐώκειν. καὶ ὤφειλεν εἶναι ἠοίκειν. ἀλλὰ κανών ἐστιν ὁ λέγων. ὅτι οὐδέποτε λέξις ἑλληνικὴ εὑρίσκεται ἀπὸ τοῦ η ἀρχομένη ἐπιφερομένου τοῦ ο. χωρὶς εἰ μὴ ἐν διφθόγγῳ εἴη, ἢ κατὰ διάλεκτον. πρόσκειται εἰ μὴ ἐν διφθόγγῳ, διὰ τὸ ἠοῦς ἠοῖ. καὶ, Πρωΐδ' ὑπηοῖ. κατὰ διάλεκτον, διὰ τὸ ἠῶ. οἱ γὰρ ἴωνες διαλύοντες λέγουσιν ἠόα. κατὰ τοῦτον τὸν κανόνα ἐγένετο ὑπερβιβασμὸς τοῦ χρόνου. καὶ τὸ μὲν ε, ἐφυλάχθη διὰ τὸ ο. τὸ δὲ ο, ἠμείφθη εἰς ω. καὶ ἔμεινε τὸ ι προσγεγραμμένον. ἡ γὰρ πρώτη συλλαβὴ συνέστειλε τὸ η εἰς ε. ἡ δὲ δευτέρα, ἐξέτεινε τὸ ο εἰς τὸ ω, καὶ ἐγένετο ἐώκειν. τούτου τὸ τρίτον τῶν πληθυντικῶν, ἐώκεισαν. καὶ ἀποβολῇ τοῦ ι, ἐώκεσαν.

ἔοργα. ἀπὸ τοῦ εἴργω εἴρξω. ὁ παρακείμενος, εἶρχα. ὁ μέσος, εἶργα. διαλύσει, ἔεργα. καὶ τροπῇ, ἔοργα. οὕτως ἐγένετο καὶ τὸ ἑώλπειν, καὶ ἑώργειν καὶ τὰ ὅμοια. ῥέζω. ὁ μέλλων. ῥέξω. ὁ παρακείμενος ἔρρεχα. ὁ μέσος ἔρροργα. ἀποβολῇ τοῦ ρ, καὶ ὑπερθέσει, ἔοργα. ὁ ὑπερσυντέλικος ἐώργειν. καὶ ὤφειλεν εἶναι ἠόργειν. ἀλλὰ κανών ἐστι. τούτου χάριν ἐστάθη γίνεται ἡ ἐπέκτασις. καὶ ἡ μετοχὴ ἐοργώς. Κάτθαν' ὁμῶς ὅ τ' ἀεργὸς ἀνὴρ, ὅ τε πολλὰ ἐοργώς. ἀντὶ τοῦ εἰργασμένος. ἰλιάδος ι.

ἑώρταζον. ἑορτάζω. καὶ ὁ παρατατικὸς ὤφειλεν εἶναι ἠόρταζον. καὶ ἐπειδὴ οὐδέποτε λέξις εὑρίσκεται ἀρχομένη ἀπὸ τοῦ η, ἐπιφερομένου τοῦ ο, τούτου χάριν ἐγένετο ὑπερβιβασμός. καὶ ἡ μὲν παραλήγουσα ἐξέτεινε τὸ ο, εἰς ω. ἡ δὲ ἄρχουσα, συνέστειλε τὸ η εἰς ε καὶ ἐγένετο ἑώρταζον.

ἑώρων, ἀπὸ τοῦ ὁρῶ. ὁ παρατατικὸς, ὥρων. καὶ πλεονασμῷ τοῦ ε, ἑώρων, τῆς δασείας φυλαττομένης. ὡσαύτως καὶ ἀπὸ τοῦ οἰνοχοῶ, ὁ παρατατικὸς, ᾠνοχόουν. καὶ πλεονασμῷ τοῦ ε, ἐῳνοχόουν. καὶ ἀπὸ τοῦ ὠνῶ ὠνοῦμαι, ὤνημαι, καὶ ἐώνημαι.

ἔωσεν, ἀπὸ τοῦ ὤθω τὸ ἀπωθῶ. ὁ μέλλων, ὤσω. ὁ ἀόριστος, ὦσα. καὶ πλεονασμῷ τοῦ ε, ἔωσα.

ἔωγεν, ἀπὸ τοῦ οἴγω. ὁ παρατατικὸς, ὦγον, ὦγε. καὶ πλεονασμῷ τοῦ ε. Χηλοῦ δ' ἀπὸ πῶμ' ἀνέωγε. ζητεῖται ποίου χρόνου ἐστὶ τὸ ἔοικε καὶ εἶκα, ἐπειδὴ γίνεται καὶ ἀπὸ τοῦ εἴδω εἴσω τὸ ὁμοιῶ. ὁ παρακείμενος, εἶκα. καὶ ἀπὸ τοῦ εἴκω εἴξω εἶχα. ὁ μέσος, εἶκα. λέγουσιν οὖν ὅτι μέσος ἐστὶν ἀπὸ τοῦ εἴκω. οὐ γὰρ δύναται εἶναι ἀπὸ τοῦ εἴδω. ὅτε γὰρ ὁ ἐνεστὼς ἐνεργητικῶς δηλοῖ, τότε καὶ οἱ λοιποὶ χρόνοι ἐνεργητικῶς σημαίνουσιν. οἱ δὲ μέσοι, πολλάκις ἐκφεύγουσι τὸ σημαινόμενον, ὡς παρὰ τὸ πέπηγα.

ἑορτάζω, ἐκ τοῦ ἑορτή. τοῦτο παρὰ τὸ ἔρω τὸ ἐπιθυμῶ ἔροτη καὶ ἑορτὴ καθ' ὑπερβιβασμόν. ἧς ἐρῶσι πάντες. ἐτυμολογεῖται δὲ, παρὰ τὸ εἰς τὰ ἔα ὁρούειν, ὅ ἐστιν εἰς τὰ ἀγαθὰ ὁρμᾶν, ὅθεν καὶ δασύνεται. οἱ μέντοι ἴωνες ψιλοῦσιν.

ἐόλητο, ἐκεκίνητο, καὶ ἐτετάρακτο. γράφεται καὶ διὰ τῆς αι διφθόγγου. Ἡ μὲν ἄρ' ὣς ἐόλητο, ὁ μὲν ἐλεδημασι νοῦ ροι. ἀπολλώνιος.

ἕωμεν. Ἐν τῷ κεῖσε δ' ἂν οὔ μιν ἔγωγε μετὰ μνηστῆρας ἐῶ. ἀνέρχεσθαι οὐκ ἐῶ. ὅταν δὲ εὐκτικὸν ἢ, ἔξει τὸ ι. ἐῷμι, ἐῷς, ἐῷ. βοῷμι, βοῷς, βοῷ. δωρικῶς γὰρ, τὸ α ε εἰς η κιρνᾶται. ἀφ' ἡμῶν εἰς α μακρόν. καὶ γὰρ βοῆς λέγουσι καὶ ὁρῆς, καὶ τιμῆς.

ἕως. ἡ ἕως, τῆς ἕω. παρὰ τὸ ἕω τὸ φωτίζω, εὔως. καὶ ἀποβολῇ τοῦ υ, ἕως. σημαίνει δὲ τὴν ἡμέραν. ἢ διὰ τὸ ἕως ταύτης ἡμᾶς κατακλίνεσθαι. ἢ διὰ τὸ ἵεσθαι ἡμᾶς ἐν αὐτῇ. ἀπὸ τῆς ἕω γίνεται ἑῷος κτητικὸν σὺν τῷ ι. Ἐπικλείοντες ἑῷον ἀπόλλωνα. ἀπολλώνιος. ἐκ τῆς ἕω ὥας φέρεσθαι, τουτέστιν ἐκ τῆς ἀνατολῆς.

ἑωσφόρος, ὁ ἀνατολικὸς ἀστήρ. πρωϊνός. ὅτι τὴν ἑῴαν ἐν αὐτῷ φέρων. ὁ αὐτὸς καὶ φωσφόρος καλεῖται.

ἕωλος, ὁ χθεσινός. καὶ ἑωλόνοψον, τὸ χθεσινόν. παρὰ τὸ ἕω τὴν ἡμέραν, γίνεται ἕωλος. φιλόξενος δὲ λέγει ὅτι γίνεται ἀπὸ τῶν εἰς ω ῥημάτων ὀνόματα εἰς λος. οἷον, φείδω, φειδωλός. αἰτῶ, αἰτωλός. ἁμαρτῶ, ἁμαρτωλός. οὕτω καὶ παρὰ τὸ ἕω τὸ κορέννυμι γίνεται ἕωλος. ὅταν γὰρ κορεσθῶμεν τινὸς, εἰώθαμεν τὰ λοιπὰ ταῦτα εἰς τὴν ἑξῆς

φυλάττοντες, ἑωλαλέγειν.

Ἑωλοκρασία, ἔθος ἦν τοῖς νέοις δειπνοῦσι καὶ νυκτερεύουσι, καταχεῖν τῶν ἑώλων δειπνούντων τοὺς ζωμοὺς, πρός τινα τὴν παιδιὰν τεταγμένοι. ἐγὼ δὲ μᾶλλον νομίζω πεποιῆσθαι τὸ ὄνομα ὑπὸ τοῦ ῥήτορος ἀπὸ τῶν ἑώλων, ἅ ἐστιν ἀρχαῖα. ὅτι πράγματα ἀρχαῖα συγκεράσας κατηγορεῖ ὁ αἰσχίνης. ἢ ἑωλοκρασία, ἡ χθεσινὴ μέθη. ἕωλον γὰρ τὸ χθεσινόν, παρὰ τὸ ἕω λαθῆναι. ἢ ἕωλον τὸ λιτόν. ἢ τὸ μὴ πρόσφατον, ἀλλὰ χθεσινόν. παρὰ τὸ ἕω ὃ σημαίνει τὸ πίπτω. ἢ μάταιον. ψυχρόν. ἀνωφελές. ἀνίσχυρον. κυρίως. ἡνίκα συνέπινον ἀλλήλοις παρὰ ἀθηναίοις οἱ νέοι, ὑπὲρ ἑκάστου κρατὴρ οἴνου ἐτίθετο. καὶ εἴ τις ἐκαθεύδησε μὴ πιὼν τὸν ἴδιον κρατῆρα, πρωὶ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς ἐξεχέετο, καὶ ἐκαλεῖτο ἑωλοκρασία. λαμβάνεται δὲ ἐπὶ κατηγορίᾳ ἀρχαίων πραγμάτων.

Ἕω, σημαίνει ἕξ. τέσσαρα βαρυνόμενα, καὶ δύο περισπώμενα. ἕω, τὸ ἐνδύομαι, ἀφ' οὗ καὶ ἱμάτιον. ἕω, τὸ πορεύομαι, ἀφ' οὗ καὶ ἕος καὶ ὁδός. ἕω τὸ ὑπάρχω, ἀφ' οὗ καὶ ἔσεται καὶ ἔσαι. ἕω τὸ τελῶ, ἀφ' οὗ καὶ ἕως καὶ ἑσπέρα, ἡ τῆς ἡμέρας τελείωσις. ἑῶ τὸ συγχωρῶ, ἀφ' οὗ καὶ ἐάσας. ἑῶ τὸ καθέζομαι, ἀφ' οὗ καὶ τὸ ἧμαι, ἕεμαι ἧμαι, κάθημαι.

Ἐπαγωγή, πειρασμός, ἢ ζημία, ἢ αἰχμαλωσία, ἢ τὸ ὁπωσοῦν ἐπαγόμενον κακόν.

Ἐπαγωνιεῖται, φιλονεικήσει. προσκαρτερήσει. ἐκ τοῦ ἐπαγωνίζω.

Ἐπάκριος Ζεύς. ἐπ' ἄκρας γὰρ τῶν ὀρῶν ἱδρύοντο βωμοὺς τῷ διί. οἷον τοῦ ὑμηττοῦ. τοῦ πάρνηθος. πολύζηλος μουσῶν γονεῦσι. ἱερὸν γὰρ ὄντε τύχηκας ἐπακρίου διός.

Ἐπακρία χώρα. ἀθηναίους πάλαι κωμηδὸν οἰκοῦντας, πρῶτος κέκροψ συναγαγὼν, κατῴκισεν εἰς πόλεις δώδεκα. καὶ τὴν τῶν πολιτῶν ἐπωνυμίαν ἀφ' ἑαυτοῦ κεκροπίαν προσηγόρευσε. δύο δὲ τετραπόλεις ἐκάλεσεν ἐκ τεσσάρων πόλεων, ἑκατέραν μοῖραν καταστήσας. τὰς δὲ λοιπὰς ἐπακρίδας ὠνόμασε. καὶ ἡ προσεχὴς χώρα ταύταις ταῖς γειτονομωνύμως αὐταῖς ἐπακρία ἐκαλεῖτο. ῥητορική.

Ἐπακτῆρες, οἱ κυνηγέται, ἀπὸ τοῦ ἐπάγειν τὰς κύνας. ἐντεῦθεν καὶ ἡ ναῦς ἡ ἁλιὰς, ἐπακτρία. καὶ ἐπακτρὶς ἐπακτρίδος.

Ἐπακτροκέλης. συνετέθη ἔκ τε κέλητος καὶ ἐπακτρίδος. πλοῖα δὲ ἦν βραχέα λῃστρικά. ἡ μὲν ἐπακτρὶς, ἐκ τοῦ κατάγειν τὰ συλώμενα. ὁ δὲ κέλης, εἰς τὸ διώκειν καὶ φεύγειν. κουφότατος γὰρ ἦν. πρῶτος δὲ δοκεῖ εὑρηκέναι τὴν ἐπακτρίδα μίνως.

Ἐπακτὸς ὅρκος, ὃν ἄν τις ἑκὼν αὐτὸς ἑαυτῷ ἐπάγηται. τουτέστιν ὃν αἱρεῖται. ἄλλοι δὲ τοὐναντίον, ὁ ἀλλαχόθεν ἐπιφερόμενος, ἀλλ' οὐκ αὐθαίρετος. εἰσὶ δὲ ὅρκου τρία εἴδη. ἀπώμοτος. κατώμοτος. ἐπακτός.

Ἐπακτῆρες, οἱ κυνηγοί. ἀπὸ τοῦ ἐπάγειν τοὺς κύνας.

Ἐπάκτιον, μέγαν. ὑψηλόν.

Ἐπάλμενος, ἐφορμήσας. ἀπὸ τοῦ ἄλλομαι τὸ πηδῶ, ἀλλόμενος. καὶ συγκοπῇ.

Ἔπαλξις, ὁ προμαχὼν τοῦ τείχους. ἐκ τοῦ ἀλκῶ τὸ βοηθῶ. ὁ μέλλων ἀλξῶ. ὅθεν ῥηματικὸν, ἄλξις. καὶ ἐπὶ ἐπάλξεων πόλεως πίπτει. ἢ ἐπαλέξησίς τις οὖσα. ὧν οἱ πολλοὺς ὑπὲρ τὰς ἐπάλξεις ἤγαγεν ἡ τῆς ἀπιστίας ὑπερβολή. μόνοις τοῖς ὀφθαλμοῖς τὸ σαφὲς ἐπιτρέψαντας. λιβάνιος. ἀπὸ τοῦ ἀλεξῶ περισπωμένου. ἔστι δὲ ἐξοχὴ τειχῶν. ἀψίς. ἔστι δὲ καὶ δικαστήριον τῶν φονικῶν.

Ἐπαλξίτης, ὁ λίθος ὁ ἐπάνω τῆς ἐπάλξεως τῷ κανόνι τοῦ ἀσκαλωνίτου. ἢ καὶ τὰ ἀπὸ τῶν εἰς ις διὰ τοῦ ιτης γινόμενα, διὰ τοῦ ι γράφεται. οἷον, ναυκράτης, ναυκρατίτης. ταμίαθις, ταμιαθίτης.

Ἐπανακρούσασθαι, ἀριστοφάνης. ἀπὸ τῶν κωπηλατούντων, ὅταν ἀναστρέψαντες πρύμναν ἀνακρούωνται. ἵνα εἰς τοὐπίσω ἀναχωρήσῃ τὸ πλοῖον.

Ἐπάρουρος, ὁ Λυσίας λ. οἱ μὲν ἐπάρουρος ἀπέδοσαν, ὅ ἐστι φύλαξ. οὖρος γὰρ ὁ φύλαξ. δεήσει οὖν ὀξυτόνως προσφέρεσθαι, ὡς θυρωρός. βέλτιον ἐπάρουρος, ἀντὶ τοῦ ἐπίγειος. τὴν γῆν γὰρ ἄρουραν λέγουσιν.

Ἐπαοιδή. ἰστέον ὅτι ἀρχαία ἐστὶν ἡ διὰ τῆς ἐπαοιδῆς θεραπεία. ὅμηρος. Παῦε δ' ἐπαοιδῇ αἷμα κελαινόν. καὶ πίνδαρος περὶ τοῦ ἀσκληπιοῦ. Τοὺς μὲν μαλακαῖς ἐπαοιδαῖς.

Ἐπαγγεῖλαι καὶ ἐπαγγελία, σημαίνει μὲν καὶ ἄλλα. ἰδίως δὲ λέγεται ἐπὶ τῶν πεπορνευμένων καὶ δημηγορούντων, οὐκ ἐξόν. καὶ ἐπήγγελε, προσεκελεύετο. προσέταττε. λέγεται δὲ παθητικῶς. καὶ ἐπαγγείλασθαι λέγεται, τὸ κελεύειν, ἢ καταγγέλλειν.

Ἐπάσαντο, ἐγεύσαντο. παρὰ τὸ πατῶ, ὃ δηλοῖ τὸ ἐσθίω. ἐξ οὗ πάτνη καὶ φάτνη, ἐν ᾗ ἐσθίουσι τὰ ἄλογα. ὁ μέλλων, πατήσω. καὶ συγκοπῇ, πάσω. καὶ τὰ λοιπὰ δῆλα. ἢ παρὰ τὸ μασῶ μαστίσω ἐμάστισα. συγκοπῇ, ἔμασα. ἐμάσαντο. καὶ ἐπάσαντο. παρὰ τὸ μάσασθαι, τροπῇ τοῦ μ εἰς π, καὶ τοῦ τόνου ἐναλλαγῇ. καὶ πάσασθαι, τὸ γεύσασθαι. Καὶ σπλάγχν' ἐπάσαντο.

Ἐπασσύτεροι. ἐπ' ἄσσον τὸ ἐγγύς. ἐξ αὐτοῦ ἀσσότερος. καὶ ἐπασσύτερον, τὸ συνεχὲς καὶ πυκνόν.

Ἐπαύλεις, μάνδραι βοῶν καὶ προβάτων αὐλαί.

Ἐπαυλία λέγεται, καθ' ὅσον ἐν τῇ τοῦ νυμφίου οἰκίᾳ καὶ τῇ νύμφῃ ἐν προπομπῆς σχήματι. παῖς γὰρ ἡγεῖται χλανίδα λευκὴν ἔχων, καὶ λαμπάδα καιομένην. ἔπειτα μετὰ τοῦτον κανηφόρος. εἶθ' αἱ λοιπαὶ ἀκολούθως ἐφεξῆς φέρουσαι χρυσοῦ λευκανίδας σμήγματα. φορεῖα. κτένας. κοίτας. ἀλαβάστρους. σανδάλια. θήκας. μυράλιτα. ἐνίοτε δὲ καὶ τὴν προῖκα ἅμα τῷ νυμφίῳ φέρουσιν. οἱ δέ φασιν ἐπαυλίαν τὴν δευτέραν μετὰ τοὺς γάμους ἡμέραν καλεῖσθαι. ἐν ᾗ πρῶτον ἐπαυλίζεται τῷ νυμφίῳ ἡ νύμφη.

Ἐπαυρῶ, τὸ ἀπολαύω. ἀπὸ τοῦ ἀρῶ τὸ ἁρμόζω. ἢ ἀπὸ τοῦ ἐρῶ τὸ ἐπιθυμῶ, γίνεται αὐρῶ. ὡς παίω, παύσω. ὁ δεύτερος ἀόριστος, ἐπηῦρον. ἐὰν ἐπαύρω, ἐπαύρωμαι. ἐπαύρηται. Οὐ μάν οἱ δ' εἰσαῦτε κακορραφίης ἀλεγεινῆς πρώτη ἐπαύρηαι. ἰλιάδος ο. ἀντὶ τοῦ ἐπιψαύσῃ. ἀπολαύσῃ.

Ἐπαυτοφώρῳ σὺν τῷ ι. ἐκ γὰρ τοῦ φὼρ φωρὸς ὁ κλέπτης, καὶ τῆς αὐτὸς ἀντωνυμίας, γίνεται αὐτόφωρος, καὶ ἐπαυτόφωρος. σημαίνει δὲ τὸν ἐν τῇ αὐτῇ τῇ κλοπῇ ληφθέντα. ἢ ἐπ' ὀφθαλμοῖς ἐπ' αὐτῷ τῷ κλέμματι ἁλούς.

Ἐπὰψ θέμεναι, πάλιν ἐπικλεῖσαι. καὶ ἐπιθεῖναι.

Ἐπαιγίζων, λάβρος ἐπαιγίζων. σφοδρὸς ἐπιπνέων. ἐκ τοῦ αἰγίς, αἰγίζω. αἰγὶς δέ ἐστι, συστροφὴ ἀνέμου.

Ἐπαίτης, ἀπὸ τοῦ αἰτῶ αἰτήσω αἰτητής καὶ ἐπαίτης.

Ἐπένεξις, ἀπὸ τοῦ ἐνέκω ἐνέξω, ἔνεξις καὶ ἐπένεξις.

Ἐπενεγκεῖν δόρυ. ἐπὶ τῇ ἐκφορᾷ, καὶ προσαγορεύειν ἐπὶ τῷ μνήματι. εἰς τοὺς βιαίως ἀποθανόντας ταῦτα ἐπράττετο. καὶ ἴστρος ἐν τῇ συναγωγῇ τῶν ἀτθίδων φησὶ, ὅτι τινὲς δόρυ ἐπὶ τοῦ τάφου φασὶ καταπεπηχέναι τὸν ἐρεχθέα τὸ πάθος σημαίνοντα, διὰ τὸ νόμον εἶναι τοῖς προσήκουσι, τοῦτον τὸν τρόπον μετέρχεσθαι τοὺς φονέας. ῥητορική.

Ἐπενήνεον, ἐπεσώρευον. ἐκ τοῦ εἷς ἑνός, ἑνῶ ῥῆμα. ἤγουν τὰ διῃρημένα εἰς ἓν ἄγω. ἤνεον ἐνήνεον. καὶ ἐπενήνεον.

Ἐπενήνοθε, κάλλιόν ἐστιν ἀντὶ τοῦ ὑπῆρχεν. εἰ γὰρ ἐπιλωμένην καὶ μαδῶσαν καὶ ὀλίγον εἶχον σημαίνει, πῶς ἂν ἁρμόζοιτο τὸ ἐπανθεῖν, ὃ σημαίνει μᾶλλον τὸ δασύ. ἔστι δὲ μέσος παρακείμενος. οἱ μὲν, παρὰ τὸ ἔθω τὸ ἐξ ἔθους ἐπιμελοῦμαι. ὅθεν καὶ ἔθειρα, ἡ θρίξ. μετὰ τῆς ἐν προθέσεως, γίνεται ἐνέθω. ὁ μέλλων, ἐνέσω. ὁ παρακείμενος, ἤνεκα. ὁ μέσος, ἤνεθα. καὶ ἀττικῶς, ἤνοθα. ὡς πέπεμφα, πέπομφα. ἤνοκα οὖν καὶ ἤνοθα. καὶ ἀττικῶς, ἐνήνοθα. ἔστι δὲ καὶ ἄλλως. ὄθω τὸ κινῶ. ὁ μέλλων, ὄσω. ὁ παρακείμενος, ὦκα. ὁ μέσος, ὦθα. καὶ μετὰ ταῦτα προσθέσει, ἐνόθω ἐνόσω. καὶ ἀττικὸς παρακείμενος, ἐνήνοκα, καὶ ἐνήνοθα. ἄλλως. ἐκ τοῦ ἕω τὸ ὑπάρχω, γίνεται ἔθω. καὶ κατὰ συναίρεσιν καὶ σύνθεσιν, ἐνήθω. ὁ μέσος παρακείμενος, ἔνηθα. καὶ ἀττικῶς, ἐνένηθα. εἶτα ὑπερθέσει καὶ τροπῇ, ἐνήνοθα. ζήτει εἰς τὸ ἀνήνοθεν.

Ἐπέται, οἱ θεράποντες. ἀπὸ τοῦ ἕπεσθαι τοῖς δεσπόταις.

Ἐπέτειον, ἐπὶ τοῦ νῦν ἔτους. ἐπέτειος γὰρ δεῖ λέγεσθαι τὸν ἐνεστῶτα καιρόν, οὐχὶ διὰ τοῦ φ, ἀλλὰ διὰ τοῦ π. ὡς φησὶ πίνδαρος καὶ δημοσθένης. ῥητορική.

Ἐπεσβόλος, ὁ λοίδορος ὁ τοῖς ἔπεσι βάλλων. ἐκ τοῦ ἔπος καὶ τοῦ βάλλω. τὰ δὲ παρὰ τὸ βάλλω μὴ μετὰ προθέσεως συντεθέντα, προπαροξύνει τὸν τόνον. ἐλαφηβόλος. ἑκηβόλος. μὴ μετὰ προθέσεως εἶπε, διὰ τὸ ἀμφίβολος. πρόβολος. ὁ προβεβλημένος πρόμαχος.

Ἐπεδίκασε. δημοσθένης ἐν τῷ κατὰ ὀλυμπιοδώρου. τὸ μὲν ἐπεδίκασεν, ἀντὶ τοῦ προέκρινε. τὸ δὲ ἐπεδικάσαντο, ἀντὶ τοῦ ἔπεισαν τοὺς δικαστὰς ἑαυτοῖς προσνεῖμαι τὸν κλῆρον.

Ἐπέζεσεν, ἀντὶ τοῦ ἤρθη καὶ ηὐξήθη. ἀπὸ μεταφορᾶς τοῦ ζέοντος ὕδατος. Καὶ ἐν τοῖς λέβησιν αἰρομένου ἐν τῷ ζέειν. εὐριπίδης. Δεινόν τι πῆμα πριαμίδαις ἐπέζεσε.

Ἐπεπλήκεον. ἐψόφουν. ἐκρότουν. ἴσως ἀπὸ τοῦ λήκω λήκεις.

Ἐπεμαίετο, ἐπεζήτει. ἐπεθύμει. παρὰ τὸ μαίω τὸ ζητῶ.

Ἐπέντυνεν, ἐτίμαζε. παρεσκεύαζε. παρὰ τὸ ἔντος, ὃ σημαίνει τὸ ὅπλον.

Ἐπέπλως, τινὲς λέγουσιν ἀπὸ τοῦ πλῶμι, ὅπερ ἐν κινήσει οὐ κέχρηται. οὐκ ἔστι δὲ ἀληθές, ἀλλ' ἔστιν ἀπὸ τοῦ πλώω πλώσω. ὁ δεύτερος ἀόριστος, ἔπλων, ἔπλως. εἶτα τοῦ πρώτου ἀορίστου τὸ δεύτερον πρόσωπον ἔπλωσας, καὶ ἐπέπλωσας. καὶ κατὰ ἀποκοπὴν, ἐπέπλως.

Ἐπέπιθον, ἐκ τοῦ πείθω. ὁ δεύτερος ἀόριστος, ἔπιθον. καὶ κατὰ ἀναδιπλασιασμὸν, ἐπέπιθον. τὸ πρῶτον τῶν πληθυντικῶν, ἐπεπίθομεν. καὶ κατὰ συγκοπήν. ἰλιάδος β. καὶ δεξιαὶ ᾗς ἐπέπιθμεν. ἀντὶ τοῦ αἷς ἐπεπιστεύκειμεν.

Ἐπερρώσαντο, ἀντὶ τοῦ ἐπεσείσθησαν. ἐκινήθησαν. ἔστι ῥώω σημαῖνον τὸ κινῶ, καὶ σείω. ὁ μέλλων, ῥώσω. ἔρρωσα. ἐρρωσάμην. ἐρρώσαντο. Ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος. ἰλιάδος α.

Ἐπεσκήψατο, ἀντὶ τοῦ ἐνεκάλεσε ψευδομαρτυριῶν. σπανιάκις δὲ, καὶ ἐπὶ τοῦ ἐγκαλέσαι φόνου, ὡς ἀντιφῶν. τὸ δὲ ἐπέσκηψεν, ἐνεργητικῶς ἀντὶ τοῦ ἐνετείλατο, ἢ προεφασίσατο. ἔστι καὶ ἐπισκηψάμενον, ἐπιβαρήσαντα. καὶ ἐπισκήψασθαι, τὸ ἐπιβαρῆσαι, καὶ ἐπισημειώσασθαι. τὸ δὲ ἐπισκήπτω, ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ λέγω, καὶ οἷον ἐξορκίζω, ἀνδοκίδης καὶ λυσίας ἔλαβον.

Ἐπέσσυντο, ἀντὶ τοῦ ἐπηκολούθουν. ἐφώρμων. ἐκ τοῦ σῶ, τὸ παράγωγον σεύω. ὁ παθητικὸς ἐνεστὼς, σεύομαι. ὅθεν τὸ, Ἐπέσσυντο δὲ λαοί. ἐκ τοῦ σῶ τὸ ὁρμῶ, παράγωγον σύω. ἐξ αὐτοῦ, σύμι. ὁ μέλλων, σύσω. ὁ παρακείμενος, σέσυκα. ὁ παθητικὸς, σέσυμαι. τὸ τρίτον, σέσυται. καὶ ἐν ὑπερθέσει τοῦ ε, ἔσσυται. Εἰ δέ τοι αὐτῷ θυμὸς ἐπέσσυται. ἰλιάδος ι. ἀντὶ τοῦ ἐφορμᾶται. ἐπιθυμεῖ.

Ἐπετοξάζοντο, ἀντὶ τοῦ ἐπ' αὐτῷ τὰ τόξα ἔτεινον. ἐκ τοῦ τοξάζω.

Ἐπέφνεν. ἐκ τοῦ φῶ, φένω. συγκοπῇ, φνῶ. καὶ διπλασιασμῷ, πεφνῶ. συζυγίας πρώτης τῶν περισπωμένων. φένω. καὶ ὁ β ἀόριστος, ἔφενον. διπλασιασμῷ, ἐπέφενον. συγκοπῇ, ἔπεφνον. ἐὰν πέφνω. τινὲς δὲ παρατατικοῦ αὐτὸ νομίζουσιν, ἀγνοοῦντες τὴν κλίσιν αὐτοῦ. τὸ γὰρ πέφνω ὑποτακτικοῦ ἐστιν, οὐχ ὁριστικοῦ. ἢ φῶ. παράγωγον, φημὶ ἐπὶ τοῦ ἀναιρῶ. οὗ ὁ παθητικὸς παρακείμενος, πέφαμαι, πέφαται. ὅθεν καὶ φατός. πεφνῶν, βαρυτόνου. ζήτει εἰς τὸ βαλών

Ἐπέφραδον, ἀντὶ τοῦ εἶπον. Ἰλιάδος κ.

Ἐπεί. ἐκ τῆς ἐπὶ προθέσεως, καὶ τοῦ εἰ συναπτικοῦ συνδέσμου. διὰ διφθόγγου. ἐπεὶ οἱ δωριεῖς αἰ λέγουσιν. ἔθος γὰρ ἔχουσιν οἱ δωριεῖς, τὸ ε εἰς α τρέπειν. τὸ γὰρ ἄρτεμις ἄρταμις λέγουσι. καὶ τὸ ῥέχω, ῥάχω. οὕτω καὶ τὸ εἰ, αἰ. Ἰστέον δὲ ὅτι τὸ ἐπεὶ ἡνίκα ἐστὶ χρονικὸν ἐπίρρημα, ὡς τὸ, Ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν, ἀντὶ τοῦ ἀφ' οὗ ἐστι. καὶ πάλιν. Αὐτὰρ ἐπεὶ κόσμηθεν. ἀντὶ τοῦ ὅταν, καὶ ἀντὶ τοῦ ἐπειδή. σημαίνει καὶ ὅτε. ὡς τὸ, Ζεὺς δ' ἐπεὶ οὖν ῥώσας τε καὶ ἔκτρεα. ἡνίκα δὲ αἰτιολογικῶς παραλαμβάνεται, σύνδεσμός ἐστιν. ἐπεὶ ἡμέρα ἐστί, φῶς ἐστί.

Ἐπῆ, περισπᾶται. τὸ ἡ ὅταν δὴ παραπληρω- ἐστὶ. -ματικοῦ ὁ ἡ σύνδεσμος μετὰ τοῦ ἐπεί, περισπᾶται ἐν μέσῃ φράσει. τὸ δὲ τινὴ εὐθύνεται.

Ἔπειτα, ἐπίρρημα χρόνου δηλωτικόν, ἀντὶ τοῦ μετὰ ταῦτα. ἐκ τῆς ἐπὶ προθέσεως καὶ τοῦ εἶτα, ἐπεῖτα. καὶ συγκοπῇ, ἔπειτα.

Ἔπεισι. παρὰ τὸ εἶμι τὸ πορεύομαι. τὸ τρίτον, εἶσι. καὶ μετὰ τῆς ἐπὶ προθέσεως, ἔπεισι. τὸ δὲ εἶμι, παρὰ τὸ ἔω τὸ πεπτωκὸς, γίνεται εἴω. ὡς βῶ, βέω καὶ βείω. κῶ, κέω καὶ κείω. ἐξ αὐτοῦ εἶμι.

Ἐπεισόδιον, τὸ ἐπιφερόμενον τῷ δράματι γέλωτος χάριν. ἔξω τῆς ὑποθέσεως ὄν. καταχρηστικῶς δέ, τὸ ἐξαγώνιον ἅπαν πρᾶγμα.

Ἐπειοί, οἱ ἠλεῖοι. ἀπὸ ἐπειοῦ τοῦ ἠλείου βασιλέως αὐτῶν.

Ἐπείγω, τὸ σπεύδω. ἐξ οὗ καὶ ἐπείκτης. καὶ ἔπειξις καὶ ἐπειγωλή, ἡ σπουδή, ἀπὸ τοῦ ἐπείγεσθαι. γράφεται διὰ διφθόγγου. ἀντὶ παράκειται τὸ αὐτὸ τὸ οἴγω. ὁ γὰρ κατεπείγων, ὡς ἀνύσαι βουλόμενος κατεπείγει.

Ἐπήν. ἐκ τοῦ ἐάν, ἄν. καὶ μετὰ τῆς ἐπὶ προθέσεως, ἐπάν.

Ἐπηετανός. παρὰ τὸ ἔτος, καὶ ἰωνικῶς, ἐπηετανός. ἐτανός. καὶ πλεονασμῷ τοῦ η, ἐπηετανός.

Ἐπητής. παρὰ τὸ ἔπω τὸ λέγω, γίνεται ἔπης. ἔδει γὰρ ἰσοσυλλαβεῖν τῷ ῥήματι. καὶ πλεονασμῷ τῆς τη συλλαβῆς, ἐπητής. δῆλον δὲ οὐ μόνον τὸν λέγειν δυνάμενον, ἀλλὰ καὶ τὸν τοῦ φρονεῖν ἐν δυνάμει ὄντα. Οὕνεκ' ἐπητής ἐσσι, ἀντὶ τοῦ, συνετός. λέγεται καὶ ἐπητὺς θηλυκῶς, ὡς ἐδητὺς ἐδητύος. οἷον. συγγνώμονες, ἐπιεικεῖς. μης ἐπητύος.

Ἐπήτριμοι, ἐπάλληλοι. πυκνοί.

Ἐπημοιβοί, Ἰλιάδος β. διαλλάσσοντες ἐξ ἀμοιβῆς ἀλλήλοις ἐπικείμενοι. εἷς, ἐφ' ἕνα.

Ἐπηλυγάζουσι, ἐπισκιάζουσιν. ἐπικρύπτονται. λύγην γὰρ καλοῦσιν οἱ ἀττικοὶ τὴν σκιάν, ἢ τὴν σκοτίαν. τινὲς δὲ ἀπὸ τῶν λύγων. διὰ γὰρ τούτων σχοίνοις πλέκουσι. ῥητορική. ὁ μὴ χλῆς ἐπηλυγαζούσης. καὶ ἐπηλυγασάμενος, ἀντὶ τοῦ προβαλλόμενος. ἐπίπροσθεν ποιησάμενος, ὥστε σκοτισθῆναι. λύγη γὰρ ἡ σκοτία καὶ ἡ σκιά. ἔστι τὸ ὄνομα παρὰ τῷ φιλοσόφῳ. καὶ ἐπηλύγεα, τὰ ἐπινέφελα.

Ἐπηγκενίς, τὸ ἐπὶ μῆκος παρατεταμένον μακρὸν ξύλον. ἤγουν, ἡ μακρὰ σανίς. παρὰ τὸ ἐνέγκω ἢ ἐνέγκω, ἐνεγκίς. καὶ ἐκτάσει, ἠνεγκίς. καὶ καθ' ὑπερβιβασμόν, καὶ μεταθέσει τοῦ ν εἰς γ, ἐπηγκενίς, ἐπηγκενίδος.

Ἐπήρεια, κυρίως ἡ ἐν τῷ πολέμῳ ἀπειλὴ καὶ καταδρομή. ἐκ τοῦ ἄρης ἄρεια, ἐπάρεια. καὶ μετὰ τῆς ἐπὶ.

Ἐπηράτου, ἐπεράστου. καλῆς. ἡδείας. ἐπήρεια. ἀποβολῇ τοῦ σ, καὶ τροπῇ τοῦ ε, εἰς η. Ἀλλ' οὐδ' αὐτὸς ἐπήρατος ἔργα μέμηλεν.

Ἐπήλυδες, οἱ ἐξ ἄλλης γῆς εἰς ἄλλην μετελθόντες καὶ οἰκήσαντες.

Ἐπήβολον, ἐπιτυχῆ καὶ ἐπιτεταγμένον πρὸς τύχην. τινὲς δὲ λοίδορον, τὸν πρὸς τὰ ἔπη ἐπιβάλλοντα ὡς βέλη.

Ἐπίβολος, ἐπιτευκτικός, ἐπιτυχής, ἐγκρατής ἀπὸ τῆς βολῆς καὶ τοῦ βάλλειν. ὅ σημαίνει τὸν τυγχάνοντα τοῦ σκοποῦ. μετῆκται γὰρ ἀπὸ τῶν πόρρωθεν ἐπιβολὴν ποιουμένων, ὥστε τυχεῖν. οὕτω τῇ λέξει καὶ οἱ μεθ' ὅμηρον κέχρηνται. πλάτων, νόμων πρώτῳ. Ἐπήβολοι γεγόνασι τῆς καλλίστης ᾠδῆς. ξενοφῶν τετάρτῳ παιδείας. Γίνονται κατὰ δύναμιν ἐπήβολοι. ὑπερίδης ἐν τῷ κατὰ δημάρχου. Μήτε πόλιν, μήτε πολιτείας ἐπήβολον γενέσθαι. ἀρχίππος. Πλουτῶν νῦν ἐγενόμην χρημάτων ἐπήβολος. ἔστι δὲ οὐ ποιητικὴ ἡ λέξις, ἀλλ' ἀττική.

Ἐπηβολία, καὶ συνηβολία, διὰ τοῦ η. Ἀπολλώνιος. Ἀριστῆες δὲ συνηβολίῃ κεχάροντο. ἀντὶ τοῦ συντυχίᾳ.

Ἐπί. πρόθεσίς ἐστι παραλαμ- ὑποπτήσει. -βανομένου, ἢ σημαινομένου ῥήματος. ἔστιν ἰδίωμα τοῦ ποιητοῦ. λέγει ὅτι ὥσπερ τὰ ῥήματα πολλάκις ἐλλειπτικά εἰσι τῶν προθέσεων, ὡς τὸ, Ἔρχομαι ἐπὶ τεῖχος. Ἰλιάδος η. καὶ, Ἔρχομαι ἀφ' Ἀχιλλῆϊ μύθον ἐνίσπω. Ἰλιάδος λ. ἀντὶ τοῦ ἀπέρχομαι. οὕτω καὶ αἱ προθέσεις ἐλλειπτικαί εἰσι τῶν ῥημάτων σημαίνουσαι ῥῆμα. οἷον, Ἐπεὶ οὔ τι ἐπιδέος. καὶ, Οὕνεκα καλὸν εἶδος ἔπι, ἀντὶ τοῦ ἔπεστιν.

Ἐπιβάτης, οὕτως ἐκάλουν τοὺς ἐν τοῖς ὑπηρεσι στρατευομένους, καὶ μὴ κωπηλατοῦντας μέν, ἐπιτηδείους δὲ πρὸς τὸ μάχεσθαι. καὶ ἐπεβάτευσε, τὸ ἐπῆλθε καὶ ἐπέβη. κυρίως δὲ ὁ ναυτικός. καὶ ἐπιβάται λέγονται οἱ μὴ ἐρέσσοντες, ἀλλὰ μαχόμενοι. καὶ ἐπιβατικὰ ἐν τοῖς πλοίοις, ἃ ἡμεῖς παρασυνθήκας λέγομεν.

Ἐπιβασκέμεν, κακοποιεῖν. κακῶν ἐπιβαίνειν. καὶ ἐν κακοῖς ποιεῖν. Ἰλιάδος β.

Ἐπιβάλλει, ἀντὶ τοῦ προσήκει. ἵν' ἡ ἡ ἐπὶ πρόθεσις ἀντὶ τοῦ δέον. τέτακται δὲ τὸ ἐπιβάλλειν, καὶ ἐπὶ τοῦ ζημιοῦσθαι. καὶ ἐπιβολή, ζημία ὠνόμασται.

Ἐπιβωσόμεθα, εἰς βοήθειαν ἐπικαλεσόμεθα. γράφεται καὶ ἐπιδωσόμεθα. ἤγουν ἢ δώροις τιμήσομεν.

Ἐπίβδαι, αἱ μετὰ τὴν ἑορτὴν ἡμέραι. διὰ τὸ πρὸς ἐπίδειξιν ταῖς προτέραις ἡμέραις γενέσθαι, ἄλλης ἐπιβαινούσης. δίδυμος πλεονασμῷ τοῦ β. ἔστι γὰρ ἐπίδαι. ἔνιοι, ἐπιμύας, ὅτι ἐπιμύησις ἐν αὐταῖς γίνεται. οἱ δὲ ἐπίβδαι, ἀπὸ τοῦ ἐπιβαίνοντας τῇ ἑορτῇ συμπορεύεσθαι.

Ἐπιβλής, ὁ τῇ θύρᾳ ἐπιβαλλόμενος μοχλός. Τὰ εἰς ης λήγοντα ἀρσενικὰ σύνθετα ὑπάρχοντα ἔχοντα ἐν τῷ τελευταίᾳ συλλαβὴν τοῦ ῥήματος, καὶ διὰ τοῦ τος κλινόμενα, ἅπαντα ὀξύνονται. οἷον, προβλής. ἡμιθνής. ἀδμής. ἀσπιδαποβλής, παρὰ ἀριστοφάνει. οἱ μέν, βαρύνουσιν ὅτι ἰδικός ἐστιν. οἱ δέ, ποιότητος δηλωτικοῦ. οὐ γὰρ βαρύνεται. οὐ γάρ ἐστι βλὴς μονοσύλλαβον καθ' ἑαυτό, περὶ ταύτης τῆς ἐννοίας ἵνα ἐν τῇ συνθέσει βαρύνηται, ὥσπερ τὸ κρής, ἐτεόκρης.

Ἐπιβοιον, καὶ ἐπιβοΐον, ὃ τάντις τῇ ἀθηνᾷ ἔθυε βοῦν καὶ τῇ πανδώρᾳ οἶν μετὰ βοός. καὶ ἐκαλεῖτο τὸ θῦμα ἐπίβοιον καὶ ἐπιβοΐον. τὸ ἐπὶ τῇ θυομένῃ βοῒ θυόμενον.

Ἐπιγνώμονες, ἀντὶ τοῦ ἐπισκόπους γραφέας τοὺς καθεστηκότας ἐπὶ τὸ γράφειν ἑκάστῳ, ὅσον εἰς φέρειν ὤφειλον εἰς δημόσιον. φασὶν ἐπιγραφεῖς εἶναι, τοὺς ὁρίζοντας καὶ ἐπιγράφοντας τὰ ἐπιτίμια τῶν ἐν ταῖς δίκαις ἁλισκομένων.

Ἐπιγραφεῖς, οἱ τὰ δημόσια διαγράφοντες, ἢ οἱ ὁρίζοντες καὶ ἐπιγράφοντες τὰς εἰσφορὰς ἑκάστῳ.

Ἐπιγράβδην, ἄχρι τοῦ ἐπιξέσαι μόνον τὸ δέρμα.

Ἐπιγράμματα, καλοῦνται οἱ πεζοὶ καὶ ἔμμετροι λόγοι.

Ἐπιγουνατίς, τὸ πρὸ τοῦ γόνατος ἀνωθεν στρογγυλῶδες τοῦ μηροῦ. ἔνιοι τὴν ἐπωμίδα. διὰ τὸ ἐπὶ γόνατος κεῖσθαι. ἢ χιτὼν ἀνάκολος γυναικεῖος. ὃν ἔνδοθεν ἐπενδύονται. παρὰ οὖν τὸ γόνυ, γίνεται ἐπιγουνίς καὶ ἐπιγουνατίς. ὁ πρὸς τὰ γόνατα μῦς. ὡς δὲ ἄλλοι φασίν, ἡ διὰ εὐεξίαν ἐπιγραφεῖσα σὰρξ τῷ γόνατι.

Ἐπιγύης, ὄνομα δίκης. ὁ δὲ ἐστὶ καὶ λίθος μεταξὺ δύο γειτόνων διατέμνουσα τὰ χωρία ἑκατέρου. οἱ οὖν κρίνοντες ξενίας ἐκαλοῦντο ἔκ τε πατρὸς καὶ μητρός, δύο γύας ἔχουσιν. οἱ δὲ ἐκ τοῦ ἑτέρου, ἕνα.

Ἐπίδαυρος, θηλυκόν. ὄνομα πόλεως. ὁ πολίτης, ἐπιδαύριος. λέγεται καὶ ἐπιδαυρίς καὶ ἐπιδαυρία. καὶ ἐπιδαυριώτης ὁ πολίτης. ὡς ἀπὸ τῆς σικελίας σικελιώτης.

Ἐπίδρομον, καὶ ἐπίδρομος. Ἐπίδρομον ἔπλετο τεῖχος. Ἰλιάδος ζ. τουτέστιν ἐπιτρεχόμενον. ὁμαλόν. ἐκ τοῦ ἐπιδρομῆς. καθὸ ἔστιν ἐπιδραμεῖν τὴν ὁδὸν κατερχομένην τὴν ἀπὸ τοῦ τείχους, καὶ ἀναβῆναι τὴν αὐτήν.

Ἐπιδαίσιον οἶκον, τὸν ἐπίκοινον καὶ ἀμέριστον. ὁ δὲ ξενοδοκος ... καταμειφθεὶς δύο τισίν.

Ἐπιδέξια, Ἰλιάδος β. Ἀστράπτων ἐπιδέξια. τουτέστιν ἐπιδεξίως. αἰσίως. ἔστι δὲ ἐπίρρημα μεσότητος. ἡ εὐθεῖα, ἐπιδέξιος. κλίνεται τοῦ ἐπιδεξίου. τὸ οὐδέτερον, τὸ ἐπιδέξιον καὶ τὰ ἐπιδέξια. καὶ ἐπιρρηματικῶς ἐπιδέξια, ὡς ἐνδέξια. καὶ φυλάσσει τὸν αὐτὸν τόνον. κανὼν γάρ ἐστιν ὀλίγων, ὅτι τὰ ἀπὸ ὀνόματος εἰς ἐπιρρηματικὴν σύνταξιν μετενηνεγμένα, ὁμοτονοῦσιν. οἷον ἐπιεικές, ὡς ἐπιεικές. συνεχές. διαμπερές. ἀρεκές. τὸ δὲ ἀληθές τουτέστιν ἀληθῶς παρὰ ἀττικοῖς, οὐ χομότονον. ὁμοίως καὶ τὸ ἐπαναγκες, καὶ τὸ χάριεν, τουτέστιν χαριέντως.

Ἐπιδελφινίῳ, δικαστήριον ἀθήνησιν, ἐπὶ τῶν ὁμολογούντων φόνους δεδρακέναι. οἱ δέ φασιν, ὅτι ἐκ κρητῶν χειμαζομένων εἰκασθεὶς δελφῖνι ὁ ἀπόλλων, ἔσωσεν αὐτοὺς εἰς τὴν ἀττικὴν κομίσας. ἀνθ' ὧν ἀπόλλωνι δελφινίῳ ἱδρύθη ἱερόν. ὕστερον δὲ δικαστήριον γενέσθαι τῶν φονικῶν. ἐν ᾧ καὶ θησέα κεκρίσθαι ὑπὲρ τῶν φόνων τῶν περὶ σκείρωνα καὶ σίννιν.

Ἐπιδήμιοι ἁρπακτῆρες. Ἰλιάδος ω. τὰ τῶν πολιτῶν ἁρπάζοντες καὶ οὐ τὰ τῶν πολεμίων.

Ἐπιδημίου πολέμου, ἐμφυλίου. κοινοῦ, καὶ δημοσίου. τοῦ μὴ πρὸς πολεμίους, ἀλλὰ πρὸς οἰκείους γινομένου.

Ἐπίδιφριος, ἀεργὸς καὶ γυναικώδης.

Ἐπιδηλίῳ μάχῃ. χωρίον ἐστὶ τῆς βοιωτίας τὸ δήλιον. ἐν ᾧ μαχόμενοι ἀθηναῖοι, ὑπὸ βοιωτῶν ἐνικήθησαν.

Ἐπιδιφριὰς ἐπιδιφριάδος, ἡ τοῦ ἅρματος περιφέρεια, ἥτις καὶ ἄντυξ καλεῖται ἐκ τοῦ δίφρου.

Ἐπιδιετὲς ἡβῆσαι, τουτέστιν ἐτῶν ἑκκαίδεκα γενέσθαι. τὸ γὰρ ἡβῆσαι, μέχρι δεκατεσσάρων ἐστίν. ἄλλοι ἔφηβοι παρὰ ἀθηναίοις ὀκτωκαίδεκα ἐτῶν γινόμενοι ἐλέγοντο. καὶ ἔμενον μὲν ἐν τοῖς ἐφήβοις ἔτη δύο. ἔπειτα εἰς τὸ ληξιαρχικὸν ἐγράφοντο γραμματεῖον.

Ἐπιδιαθέσθαι, τὸ συνθήκας τινὰς ποιεῖσθαι κατατιθεμένους ἐν τόντι ἀργύριον παρά τινι τῶν μεταξὺ γινομένων. ὃ περ ἐγγυᾶται, εἰ ἡ πρᾶξις γίνοιτο θατέρῳ παντῶς τὸ ὡμολογημένον ἀργύριον ἀποδοῦναι.

Ἐπίδικος. ἐπίκληρός ἐστιν, ἡ ἐπὶ κλήρῳ παντὶ καταλελειμμένη ὀρφανὴ μὴ ὄντος αὐτῇ ἀδελφοῦ. ἡ δὲ αὐτὴ καὶ ἐπικληρῖτις. ἐπίπροικος δέ, ἡ ἐπὶ μέρει τινὶ τοῦ κλήρου, ὥστε μόνην προῖκα ἔχειν, ἀδελφὸν ἔχουσα. ἐπίδικος δέ, ἡ ἀμφισβητουμένη ἐπίκληρος τίνι χρὴ αὐτὴν γαμηθῆναι. ἰσοκράτης δὲ τὴν ἐπίκληρον ἐν τῷ πρὸς λυσίαν ἐπικληρῖτιν ἐκάλεσεν.

Ἐπιεικής, παρὰ τὸ εἴκειν καὶ ὑποχωρεῖν. καὶ γὰρ οἱ πρᾶοι ὑποχωροῦσι. καὶ οὐκ ἀντιτείνουσιν. ἔνθεν ἐπιεικεῖα.

Ἐπιεικῶς. τὸ ἐπίρρημα τοῦτο, σημαίνει τὸ πάνυ. σημαίνει καὶ τὸ παραδόξως καὶ παρ' ἐλπίδα. καὶ τὸ μετὰ ἐπιεικείας καὶ χρηστότητος. σημαίνει καὶ τὸ μετρίως. ἢ τοσυμμέτρως. καὶ τὸ ἐπιεικές, πρέπον. Ἐπίηρα, τὴν μετ' ἐπιεικείας χάριν. ἐστὶν ἦρ, ἡ ἐπικουρία. ἡ γενική, ἦρος, ἦρα. καὶ ἐν συνθέσει, ἐπίηρα. ἢ ἐρῶ ἔρανον, ὡς ὄχανον. καὶ ἤρανα. εἶτα συγκοπῇ, ἢ ἀποκοπῇ, ἦρα. ἀρίσταρχος δέ, ὑφ' ἓν κατ' ὀρθὴν σημασίαν λέγει ἐπίηρα. ἱκανῶς.

Ἐπήρανα, προσηνῆ, κεχαρισμένα.

Ἐπίθημα, ἀνάθημα. παρὰ τὸ θῶ, θήσω. εἰ γὰρ ἦν ἀπὸ τοῦ τίθημι, ἐπίθεμα ὤφειλεν εἶναι. Ἰλιάδος ω. Ἠ καὶ φωριαμῶν ἐπιθήματα κάλ' ἀνέῳγεν.

Ἐπιθορνυμένη, ἐπιοῦσα, καὶ σπερμαίνουσα. θορὸν γὰρ τὸ σπέρμα ἔλεγον.

Ἐπὶ Θρασύλλῳ, δημοσθένης ἐν τῇ πρὸς πολυκλέα παραγραφῇ, τὸ ἐπὶ θρασύλλῳ φησί. ἀττικὸν ἔθος, ἀντὶ τοῦ ἐπὶ τοῦ θρασύλλου μνήματος.

Ἐπιθέτους ἑορτάς, ἰσοκράτης ἀρεοπαγιτικῷ, τὰς μὴ πατρίους ἑορτάς. ἄλλως δὲ ἐπιψηφισθείσας, ἐπιθέτους ἐκάλουν. ἔλεγον δὲ παρ᾽ αὐτοῖς καὶ ἄλλα ἐπίθετα τινά, ὅσα μὴ πάτριά ἐστι, ἡ ἐξ ἀρείου πάγου βουλὴ ἐδίκαζε. λυσίας δὲ ἐπιθέτους ἐπιστολὰς λέγει, τὰς δοθείσας τισὶν ὡς τεθνάναι μέλλουσι. καὶ ἐπιθεῖναι ἐπιστολάς, ἀντὶ τοῦ παραδοῦναι. καὶ ἐπέθηκεν, ἀντὶ τοῦ παρέδωκε. ῥητορική.

Ἐπίθετα, τὰ οὐκ ἐκ τῶν νόμων τῇ βουλῇ προστεταγμένα ἐξ ἀρχῆς, ἀλλὰ προστεθέντα.

Ἐπικάρ, ἰλιάδος π. ῥέουσαι ἐξ ὀρέων ἐπικάρ. ἤτοι ἄνωθεν ἐκ τοῦ πρόσαντος. ἢ ἐπικάρσιαι καὶ πλάγιοι, ἢ ἐπὶ κεφαλὴν καὶ εἰς τὸ κάταντες. ἀπὸ τοῦ κάρη, ἀποκοπὴ τοῦ η. καὶ οὐκ ἀπὸ τοῦ κάρα. τὸ δὲ κάρη, οὐκ ἄρρενόν ἐστιν ἀποκοπῇ. τὰ γὰρ εἰς η οὐδέτερα, δυϊκά εἰσιν ἢ πληθυντικά.

Ἐπικεκηρυχέναι. ὁπότε βούλοιτο πόλις ἢ ἄρχων ἀναιρεθῆναί τινα τῶν μὴ ὑφ᾽ ἑαυτοῖς, ἐκήρυττε δώσειν χρήματα τῷ ἀνελόντι. ἢ καὶ ζῶντα προσαγαγόντι, καθὰ καὶ ξέρξην ἐπεκήρυξαν οἱ ἕλληνες, τῷ καταγαγόντι ἢ ζῶντα, ἢ τεθνηκότα ἀθήναζε, ἑκατὸν δώσειν τάλαντα. ἢ ἐπικεκηρυχέναι, τὸ κηρύξαι τινὶ λαβεῖν χρήματα, ὥστε ἀποκτεῖναι τὸν δοκοῦντα ἀδικεῖν.

Ἐπίκηρα, ἐπιθανάτια. κὴρ γὰρ ὁ θάνατος.

Ἐπικηρυκεύεται, διὰ κήρυκος τινὸς συνθήκας τινὰς ἤτοι πρεσβείας ποιεῖται. καὶ ἐπικηρυκεία, ἡ ἐκ τῶν πολεμίων φιλία. ἢ τὸ περὶ φιλίας καὶ διαλλαγῶν, κήρυκας πέμπειν. τὸ διὰ κήρυκος εἰς φιλίαν ἐλθεῖν ἐχθροῖς.

Ἐπίκλοπος, ἀσύνετος, καὶ παραλογιστικός, ὄντας. ἢ ἀπατεών. οἷον, θηητὴρ ἐπίκλοπος. νῦν ὁ ἐπιθυμητής. ἐν ἄλλοις δὲ καὶ τὸν παραλογιστὴν σημαίνει. οἷον. ἄλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων.

Ἐπικλώσειαν, ἀπὸ τοῦ κλώθω, κλώσω. ἔκλωσα, κλώσειαν τὸ εὐκτικόν.

Ἐπικνημίδιοι. τῶν λοκρῶν οἱ μὲν ἐπικνημίδιοι, οἱ δὲ, ὑποκνημίδιοι ὀνομάζονται, ἀπὸ κνημῖδος τοῦ ὄρους.

Ἐπικόρσης τύπτοντες, ἐπὶ κεφαλῆς, ἢ γνάθου. ἢ κροτάφου. κόρσην γὰρ καὶ κόρσην τὴν ὅλην κεφαλὴν ἔλεγον σὺν τῷ αὐχένι. τινὲς δὲ καὶ ῥάπισμα λέγουσι, τὸ ἐπὶ τῆς γνάθου ἐκλαμβάνειν ἁπτόμενον καὶ τοῦ κροτάφου. βέλτιον δὲ, ἐπὶ τῆς γνάθου ἐκλαμβάνεσθαι. ὃ κατ᾽ ἔθος λέγεται ῥάπισμα. οὕτω γὰρ ἔχομεν, καὶ

Ἐπικόπτοι, οἱ κακῶς τὸ πρῶτον πλῆθος ... οἱ ἐκ τρέφεντες χαρακτῆρες. καὶ διὰ τοῦ ρ ἐπικοπτόμενοι.

Ἐπίκωπος, ὁ παρὰ τῇ κώπῃ καθήμενος. ἐπικωπαστής, καὶ ἐπικωπητὴρ λέγεται, ὁ τὸ πωτηρίμας παρὰ τῇ κώπῃ.

Ἐπίκλημα, ἐπωνυμίαν. ἀπὸ τοῦ κλῶ, ὃ γέγονεν ἀπὸ τοῦ καλῶ κατὰ συγκοπήν.

Ἐπίκληρος λέγεται, ἡ ἐπὶ πολλῷ κλήρῳ μονογενὴς ὑπὸ τοῦ πατρὸς καταληφθεῖσα.

Ἐπικουρεῖν, τὸ βοηθεῖν. ἡ ἐπὶ πρόθεσις ἐνταῦθα, σημαίνει τὸ δέον καὶ τὸ πρέπον. οἷον, πρέπει καὶ προσήκει τοῖς κούροις, τουτέστι τοῖς νέοις πολεμεῖν καὶ συμμαχεῖν. ἐπίκουροι δὲ λέγονται, οἱ ἀπὸ ξένης χώρας σύμμαχοι τῶν πολεμουμένων καὶ βοηθοί. σημαίνει, ἐπίκουρός ἐστι τῶν τρώων. οἱονεί, τῶν πολεμουμένων βοηθός. οἱ γὰρ τρῶες ἐπολεμοῦντο. σύμμαχος δὲ τῶν ἑλλήνων ὁ ἀχιλλεὺς τῶν πολεμούντων. σύμμαχοι γάρ, οἱ τοῖς πολεμοῦσι βοηθοῦντες. ἐπίμαχοι δὲ πάλιν εἰσίν, οἱ τοῖς πολεμουμένοις βοηθοῦντες.

Ἐπικράτης, ἀθηναῖος δημαγωγός, ὁ καὶ ἔφορος ἐπικαλούμενος. ἔστι δὲ ὁ αἰσχίνου κηδεστής. καὶ ἄλλος, οὗ μέμνηται λυκοῦργος.

Ἐπικρᾶναι, τῇ κεφαλῇ κατανεῦσαι.

Ἐπικύλλωμα, τὸ μετὰ τὴν τῶν ἄρτων διάρτησιν περιοπτευόμενον. κώληξ γὰρ ὁ ἄρτος. ὅθεν καὶ τὸ ἰατρικὸν κωλλύριον, ἀπὸ τοῦ κολοβοῦν. καλοῦσι δὲ κυλλίστην, τὸ

Ἐπικυλλεῖν, σημαίνει ἐπὶ τοῦ στόματος φιλεῖν. αἰγύπτιοι. κύλοι γὰρ τὰ βλέφαρα. ὅθεν καὶ κυλοιδιᾶν. κυλοιδιᾶν λέγεται, τὸ ἐπῆρθαι τοὺς ὀφθαλμούς. καὶ χρυσόπτερος. γράφεται κυλλήνιος ὁ ἑρμῆς, ἐπειδὴ ἡ ῥάβδος αὐτοῦ ἀνθρώπων ὄμματα θέλγει. ἀπὸ τοῦ ἐπιπολὺ καθεύδοντας οἱ δεῖν τοὺς ὀφθαλμούς. φαίακες δὲ θύουσιν αὐτῷ ἑσπέρας, οὐ διὰ τὸ καθεύδειν ὥς ὅμηρος, ὅτε μνήσαιατο κοίτης, οὐχ ὅτι ὀνειροπόλος πομπός ἐστιν, ἀλλ᾽ ὅτι ὕπνου ἡ δότος αἴτιος. ὅθεν καὶ ἐπισκύνιον τὸ περὶ τὸν κύκλον, ἢ τὸν περὶ τοὺς κύκλους τόπον καλοῦμεν.

Ἐπιλαεῖ. λᾶς λαός λαΐ. καὶ πλεονασμῷ τοῦ ε, λαεΐ.

Ἐπιλάρκισμα, λαρκουβύσμα. λάρκος δὲ, ἀγγεῖον ἀνθράκων πλεκτόν. ῥητορική.

Ἐπιλαχών, αἰσχίνης ἐν τῷ κατὰ κτησιφῶντος. οὔτε λαχών, οὔτε ἐπιλαχών. ἀλλ᾽ ἐκ παρασκευῆς πριάμενος. τοιοῦτον δέ ἐστι τὸ λεγόμενον. ἐκληροῦντο οἱ βουλεύειν ἢ ἄρχειν ἐφιέμενοι. ἔπειτα ἑκάστου τῶν λαχόντων ἕτερος ἐπελάγχανεν. ἵνα ἐὰν ὁ προλαχὼν ἀποδοκιμασθῇ, ἢ τελευτήσῃ, ἀντ᾽ ἐκείνου γένηται βουλευτής ἢ ἄρχων ὁ ἐπιλαχών.

Ἐπιλειψύδριά μάχη, χώρα ὑπὸ τὴν πάρνηθον. ἣν ἐτείχισαν οἱ φυγάδες τῶν τυράννων. οὗ οἱ ἀλκμαιωνίδαι προεστήκεσαν. ἐκπολιορκηθέντων δ᾽ αὐτῶν ὑπὸ τῶν περὶ πεισίστρατον, σκολιὸν εἰς αὐτοὺς ᾔδετο. αἰαῖ λειψύδριον προδωσέταιρον. οἵους ἄνδρας ἀπώλεσας μάχεσθαι ἀγαθούς τε καὶ εὐπατρίδας οἳ τότ᾽ ἔδειξαν οἵων πατέρων ἔσαν.

Ἐπιλησμονέστατον, ὡς σωφρονέστατον.

Ἐπιληναίῳ, περίβολός τις μέγας ἀθήνησιν. ἐν ᾧ ἱερὸν διονύσου ληναίου, καὶ τοὺς ἀγῶνας ἦγον τοὺς σκηνικούς.

Ἐπιλλίζουσι, τὸ διανεύουσιν. οἷον, οὐκ αἴεις ὅτι δὴ μοι ἐπιλλίζουσιν ἀχαιοί. ἀπὸ τοῦ τοῖς ὀφθαλμοῖς διανεύοντα εἶναι. ἐκ τοῦ καὶ ἰλλάδες, οἱ συνεστραμμένοι

Ἐπιλίγδην, ἰλιάδος ε. βλῆτο γὰρ ὦμον ἱμάντες. δουρὶ πρόσω τετραμμένος αἰεὶ ἄκρον ἐπιλίγδην. οὐκ εἰς βάθος, ἀλλ᾽ ὡς ἐπιψαῦσαι τρώσαντα ἐξ ἐπιπολαίου τὴν ἐπιφάνειαν. γράφεται διοῖος ἐν ὀνόμασιν. ἕως τέλους ἔξεστι τὸ ὀστοῦν. ἐκ τοῦ λείχω, γίνεται λίγδην.

Ἐπιμαστὸν ἀλήτην, τὸν ἐπιμαστεύοντα τὴν τροφὴν ἐπαίτην. ἢ τὸν ἐκ παιδός. οἷον, τὸν ἀπὸ μαστοῦ ἐπαίτην.

Ἐπίμαχον, πρὸς ὅ ἐστι μάχεσθαι. καὶ ἐπιμαχώτατον, τὸ ἀσθενέστατον.

Ἐπιμεληταί, ἐχειροτονοῦντο τῶν χορῶν, ὡς μὴ ἀτακτεῖν τοὺς χορευτὰς ἐν τοῖς θεάτροις. ἄλλοι δὲ λέγουσιν, ὅτι ἐμπορίου ἄρχοντες εἰσὶ κληρωταί, ἑκάστου ἔτους καθιστάμενοι. οἷς προστέτακται ἐπιμελεῖσθαι τοῦ κατάπλέοντος σίτου εἰς τὸ ἐμπόριον τὸ ἀττικόν. καὶ τοὺς ἐμπόρους ἀναγκάζειν εἰς ἄστυ κομίζειν. δέκα δὲ ἐπιμελητὰς ἐμπορίου ἐκλήρουν οἱ ἀθηναῖοι. τῶν τε ἐμπορίων ἐπιμελεῖσθαι καὶ τοῦ σίτου. καὶ τὰ δύο μέρη εἰς τὸ ἄστυ κομίζειν.

Ἐπιμελητὴς τῶν μυστηρίων, παρὰ ἀθηναίοις ὁ λεγόμενος βασιλεύς. πρῶτον μὲν μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν, οὓς ὁ δῆμος ἐχειροτόνει. τέσσαρες δὲ ἦσαν. δύο μὲν ἐξ ἀθηναίων ἁπάντων. εἷς δὲ ἐξ εὐμολπιδῶν. καὶ εἷς ἐκ κηρύκων.

Ἐπιμήνια, τὰ καθ᾽ ἕκαστον μῆνα θυόμενα, ἢ τὰ ὑπὲρ ὅλου τοῦ μηνὸς ἅπαξ ποτὲ γινόμενα θύματα ὑπὲρ

Ἐπιμίξ, παρὰ τὸ μίξω μιγνύντα, τῆς πόλεως. ὡς τὸ ἐναλλάξ. εἶτα δὲ ἐβαρύνετο, ὡς ὄνομα ἐκλίνετο.

Ἐπίνητρον, τὸ ἐπὶ τῶν γονάτων ἐφ᾽ οὗ τὴν κρόκην ἔνηθον.

Ἐπίξηνον, ξύλον ἐφ᾽ οὗ κρέα κόπτουσι. τινὲς ἐπίκοπον παρὰ ἀριστοφάνει καὶ δημοσθένει.

Ἐπὶ ξυροῦ, ἐπὶ κινδύνου. ἐν ἀκμῇ τῇ τοῦ πράγματος ἐπιτάσει. ἰλιάδος κ. ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς, ἀντὶ τοῦ τὰ πράγματα ἡμῶν διχῶς ἤρτηται. ὅ ἐστιν ἐν ἐσχάτῳ κινδύνῳ. ἔστι καὶ ἐπὶ ὀξύτητος κινδύνου μεταφορικῶς.

Ἐπίουρος, ὁ ἐφεστηκὼς φύλαξ. παρὰ τὸ ... ὀρῶ, γίνεται ἐπίορος. καὶ ἐπενθέσει τοῦ υ.

Ἐπίουρα, ὅρια ἑρμηνεύματα. παρὰ τὸ ὁρμῶ.

Ἐπιούσιος ἄρτος, ὁ ἐπὶ τῇ οὐσίᾳ ἡμῶν ἁρμόζων.

Ἐπιορκεῖν. ἡ ἐπὶ πρόθεσις ἐνταῦθα, ἀντὶ τῆς ὑπέρκειται. καὶ δηλοῖ τὸ ὑπὲρ ἄνω τῶν ὅρκων γίνεσθαι καὶ

Ἐπιόψομαι, ἰλιάδος ι. τοὺς ... ὑποβαίνειν αὐτοῖς. ἀντὶ τοῦ ἐπόψομαι. ἐπικρίνω. ἐπιλέξω.

Ἐπιψάφους ἀρρηφόρους, πλάτων ἐν νόμοις. ἔστι δ᾽ ἀττικόν, ἀντὶ τοῦ κατέλεξεν. ἐξελέξατο.

Ἐπωγαί, οἱ συγκλεισμοί. οἱ παραθαλάσσιοι τόποι. οἷς τὰ κύματα προσάγνυνται. ἀπὸ τοῦ ἐπαγῆσαι ὅ ἐστι

Ἐπὶ παλλαδίῳ, δικαστήριον ἀθήνησιν, ... συγκλεῖσαι. ἐν ᾧ περὶ ἀκουσίου φόνου ἐδίκαζον. κλείδημος φησὶν ὅτι ἀγαμέμνονος σὺν τῷ παλλαδίῳ προσενεχθέντος ἀθήναζε, δημοφῶντα ἁρπάσαι τὸ παλλάδιον. τοῦ δὲ ἀγαμέμνονος δυσχεραίνοντος κρίσιν ὑπέσχεν ἐπὶ πεντήκοντα ἀθηναίων καὶ ἀργείων. οὓς ἐφέτας κληθῆναι, διὰ τὸ παρ᾽ ἀμφοτέρων ἐφεθῆναι αὐτοῖς περὶ τῆς κρίσεως.

Ἐπίπαστα, τὰ ἐπιπαστόμενα τῷ ἔτνει ἄλφιτα. ἀριστοφάνης ἱππεῦσιν. ἐπίπαστα λείχων δημιόπρακτα ὁ βάσκανος. ῥητορική.

Ἐπὶ πρυτανείῳ, ὅταν τὸ μὴ ἀποκτεῖναν βέλος, ἢ λίθος, ἢ τοιοῦτον ἢ φανερόν. ὁ δὲ δράσας μὴ ἦ. ἀρχαῖον δὲ ἔθος, τὸ καὶ τὰ ἄψυχα κρίνειν εἶτα χρὴ ἐξορίζεσθαι.

Ἐπὶ πρύμνην ἀνεκρούοντο καὶ ὤκελλον τὰς νέας. κατὰ πρύμναν ὑπεχώρουν οὐ χρὴ ἐπιστραφέντες. καὶ ἐξέκλινον τὰς ἐπιούσας τῶν πολεμίων ναῦς. κυρίως, τὸ κατ᾽ ὀλίγον ὑποναχωρεῖν μὴ στρέψαντας τὸ πλοῖον. ὅπερ δὲ ὄντες κωπηλατῶν, ἐπὶ τὴν πρύμναν κωπηλατεῖ. τοῦτο δὲ ποιοῦσιν, ἵνα μὴ δόξωσι φεύγειν φανερῶς, κατ᾽ ὀλίγον ὑπαπιόντες. ἵνα μὴ νῶτα τοῖς πολεμίοις δόντες τιτρώσκωνται.

Ἐπίπλα, τὰ ἐξ ἐπιπολῆς σκεύη. οἷον, ἐπιπόλαιος κτῆσις. καὶ ὅσα δύναται πλωΐζεσθαι, ἀλλ᾽ οὐ χέρσος. ἢ τὰ σκεύη τὰ ἐν χερσί, καὶ χερσιώδη. οἷον τὰ ἐπιπόλαια καὶ ἐπιπολάζοντα ἐν τῇ οἰκίᾳ. διὰ τὸ ἑκάστοτε ἐν χερσὶν εἶναι. ἢ ἔπιπλα, τὰ ἱμάτια. ἀπὸ τοῦ πέπλον, ἔπιπλον. καὶ τὰ ἐλαφρότατα τῶν κτημάτων οὕτω φασί. παρὰ τὸ ἐπιπολάζειν.

Ἐπίπλους, ὁ λίπος. ἀπὸ τοῦ ἐπιπλεῖν καὶ ἐξ ἐπιπολῆς

Ἐπιπλώς. καὶ πόντον ἐπιπλώσας, ἀντὶ ἐπιπλεύσας εἶναι. πλεύσας. ἐκ τοῦ πλέω, γράφεται πλοῶ. καὶ ἐν αὐξήσει τοῦ ο, πλώω βαρύτονον. οὗ ὁ ἀόριστος, ἔπλωσα. μετὰ τῆς ἐπὶ προθέσεως, ἐπέπλωσα. καὶ ἡ μετοχή, ἐπιπλώσας. καὶ συγκοπῇ, ἐπιπλώς.

Ἐπιπόλαιος, διὰ τῆς αι διφθόγγου καὶ ο μικροῦ. ἔστι δὲ ἐπίρρημα τοπικόν, ἀντὶ ἄνωθεν καὶ οὐκ ἐν βαθυτάτῳ.

Ἐπίπολις, τόπος ἐν συρακούσαις. καὶ ὠνόμασται, ἀπὸ τοῦ ἐπιπολῆς τῶν ἄλλων εἶναι.

Ἐπιπόρπημα. ἐπιπόρπημα δέ, τὸ ἐπὶ τῇ πόρπῃ προκόμισμα λίθινον, ἢ χρυσοῦν, ἢ ἀργυροῦν. πόρπη δέ ἐστιν ἡ ἄνω τῆς χλαμύδος σύνθεσις. παρὰ τὸ πείρω τὸ κεντῶ καὶ διεκβάλλω, πόρη. καὶ πλεονασμῷ τοῦ π, πόρπη.

Ἐπιπλέσθαι μενεαίνων. ἰλιάδος δ. ἐπιπελασθῆναι. ἐφάψασθαι προθυμούμενος. δύο μέρη λόγου εἰσί. τὸ ἀπλοῦν, πλέσθαι καὶ ἐπιπλέσθαι. τοῦτο δὲ ἀπέμφατον, φυλάσσει τὸν αὐτὸν τόνον. πλῶ, πλημι. πλησω. ἔπλακα, ἐπλάθην. ἐπλάμην, ἔπλασο, ἔπλατο, πλάσθαι. καὶ πρὸ τοῦ α εἰς ε. οὐκ ἀπὸ τοῦ πλῶ πλᾶς γράφεται, ἀλλ᾽ ἀπὸ τοῦ πέτω βαρυτόνου. ὁ δεύτερος ἀόριστος, ἔπετον. ὁ μέσος, ἐπετόμην, ἔπετο, ἐπέτετο. πετέσθαι. καὶ συγκοπῇ,

Ἐπιρρέδην. παρὰ τὸ ῥέω τὸ λείπω, γέγονε ... πλέσθαι. ῥέδην, καὶ ἐπιρρέδην. ὡς παρὰ τὸ τμῶ, τμήδην.

Ἐπίῤῥησις, ὁ ψόγος καὶ ἡ κακηγορία. ἔνθα καὶ ἐπιῤῥήτορες.

Ἐπιῤῥήματα. ἐν τοῖς χορικοῖς, ὅτε συστροφὴν ἀστείαν μέλος, ἐπετέλει ὁ ποιηματίον ις στίχων. εἶτα τὴν ἀντίστροφον ἀποδόντες, ἐπετέλει ὁ ποιητὴς ἕτερα μέτρον ποιημάτων τῶν ἴσων στίχων. ἐκαλοῦντο δὲ ταῦτα ἐπιῤῥήματα.

Ἐπίῤῥοθος, ἐπίκουρος. βοηθός. οἱονεὶ ἐπιῤῥωνύων, καὶ ἐπικελεύων. ἀπὸ μεταφορᾶς τῶν ἐν τῇ θήρᾳ ἐπιῤῥωννυμένων κυνῶν ὑπὸ τῶν θηρώντων.

Ἐπίσιον. τὸ συρίζοντας ἐπορύνειν τοὺς κύνας ἐπὶ τὰ ἔργα ἐν τοῖς κυνηγεσίοις, ἐπίσιον καλεῖται.

Ἐπίσιον, τὸ ἐφήβαιον. ἀπὸ τοῦ τὰ ὀστᾶ τὰ ξηρά. ξηρὸν γάρ ἐστιν. ἢ παρὰ τὸ ἐφεστίναι, ἐπίσιον. σημαίνει δὲ τὸ αἰδοῖον τοῦ ἀνδρὸς καὶ τῆς γυναικός.

Ἐπισίτια, τὰ εἰς τροφὴν καὶ εἰς τὸ σιτεῖσθαι διδόμενα. ταῦτα δὲ ἐνίοτε καὶ σιτία ἐκάλουν.

Ἐπισκύνιον, Ἰλιάδος ρ. Πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται ὄσσε καλύπτων. τὸ περὶ τὰς ὀφρῦς δέρμα, κατὰ μετάθεσιν τοῦ λ εἰς ν. σκύλος γὰρ λέγεται τὸ δέρμα. ἔνθα καὶ σκυλοδέψης, τὸ ἐπάνω τῶν ὀφθαλμῶν μέρος ἤτοι δέρμα. τὸ συνοφρύωμα τοῦ μετώπου. ὅθεν καὶ σκύζεσθαι, τὸ ὀργίζεσθαι, διὰ τὸ ἐνδιάθετον γίνεσθαι τοῦτο τὸ μέρος τοῖς ὀργιζομένοις. καὶ ἐπισκύσαι, τὸ χαλεπῆναι, ἀπὸ τοῦ τὸ ἐπισκύνιον καθέλκειν τοὺς χαλεπαίνοντας. ὅθεν, τὸ ἐπισκύζονται, ἀντὶ τοῦ ὀργίζονται. χαλεπαίνουσιν.

Ἐπίσκοπος, κατάσκοπος. ἢ ὁ ἐπὶ τὸ σκοπεῖν ὤν. καὶ ἐπισκέπται, ἄρχοντες τῆς σκηνῆς. ἀντὶ τοῦ θεατρικῶς.

Ἐπίσπασον, τὸ περὶ τῆς ἀγχόνης καὶ τοῦ βρόχου ἐπισπᾶσθαι. καταχρηστικῶς δὲ καὶ τὸ ἑκούσιον, ὃ ἑαυτῷ τις ἐπισπᾶται.

Ἐπισπεῖν. ἐκ τοῦ σπῶ μονοσυλλάβου, σπεῖν. ὡς πλεῖν. καὶ φυλάττει τὸν τόνον ὡς ἀπαρέμφατον. τὸ δὲ ἐπίσπῃ, ἀντὶ τοῦ καταλάβῃ. διώξῃ. ἀπὸ τοῦ ἐπείγω. Ὄφρα πρὸς ἄλλων θάνατον καὶ πότμον ἐπίσπῃ. τουτέστιν ὅπως εὐθὺς πρὸ πάντων ἐκεῖνος περὶ θάνατον ἔλθῃ, καὶ ἀναπληρώσῃ τὴν εἱμαρμένην.

Ἐπίσσωτρα, οἱ ἐκτὸς τῶν τροχῶν σιδηροῖ κύκλοι οἱ περὶ τὴν γῆν κυλιόμενοι. τὰ κύκλῳ τῶν τοῦ ἅρματος τροχῶν σίδηρα. τὰ ἐπάνω τῶν τροχῶν σιδηρᾶ, ἢ χαλκᾶ. ἃ, κανθοὶ καλοῦνται. παρὰ τὸ σῶ τὸ ὁρμῶ. ὁμήρων, σώσω. ὅθεν ῥηματικόν, σῶτρον. καὶ μετὰ τῆς ἐπὶ προθέσεως πλεονασμῷ τοῦ σ, ἐπίσσωτρον ὁ ἔξω τῶν τροχῶν συνέχων σίδηρος.

Ἐπισταδόν. ἐκ τοῦ ἵστημι ἵσταμαι, σταδόν. Νώμησεν δ' ἄρα πᾶσιν ἐπισταδόν. ἐπισταμένως διηνεκῶς ἴσα διελών, ἢ ἐφιστάμενος ἑκάστῳ ἐν αὐτῷ.

Ἐπίσταθμοι, ἄρχοντές εἰσι. παρὰ τὸ ἐν σταθμοῖς εἶναι ὠνομασμένοι. σταθμοὶ δέ εἰσιν αἱ καταγωγαί. ἁρμοστὰς δὲ τοὺς τοιούτους Λακεδαιμόνιοι καλοῦσιν.

Ἐπιστάται, οἱ σατράπαι, οἱ κατέχοντες βουλὴν τὰς ὑποκειμένας πόλεις. διῴκησαν Ἀθήνησιν. ὧν ὁ μέν, ἐκ πρυτανείων ἐκληροῦτο. ὁ δέ, ἐκ προέδρων. φυλάσσει δὲ τοῦ ἱεροῦ τὰς κλεῖς, ἐν ᾧ τὰ δημόσια χρήματα. ἔτι μὴν καὶ τὴν δημοσφραγῖδα. λέγεται δὲ καὶ ὁ ἐφεστηκὼς εἰς πρᾶγμα ὁτιοῦν ῥηματικῶς. λέγεται δὲ καὶ ὁ ἐπιστάμενος τινί, καὶ ἐπαΐτης. παρὰ τὸ ἐφίστασθαι. οἷον, Σὺ ἐπιστάτης οὐδ' ἄλλα δίκης. πολλάκις δὲ καὶ περὶ τοῦ διδασκάλου λαμβάνεται ἡ λέξις. οἱ τῶν φ, οἱ μὲν ν, πρυτάνεις. οἱ δὲ δέκα, πρόεδροι. ὁ δὲ εἷς, ἐπιστάτης.

Ἐπίσταμαι. εἴδω τὸ γινώσκω. ὁμήρων, εἴσω. ῥῆμα περισπώμενον, ἰσάω ἰσῶ. καὶ εἰς μι, ἴσημι. τὸ παθητικόν, ἴσαμαι. πλεονασμῷ τοῦ τ, ἴσταμαι. καὶ ἐφύλαξε τὸ π ἰωνικῶς. οἱ γὰρ Ἴωνες ψιλωτικοί εἰσιν. εἰς τὸ αἶσος.

Ἐπίστη, ζήτει εἰς τὸ δίκη.

Ἐπιστοβέωσιν. Ἀπολλώνιος. Μήμιν κερτομέουσιν ἐπιστοβέωσι. ἐπιστομέωσι. ἔστι τροπὴ τοῦ μ εἰς β.

Ἐπιστροφάδην, Ἰλιάδος κ. Κτεῖνε δ' ἐπιστροφάδην. μετ' ἐπιστροφῆς ἐφ' ἑκάτερα μέρη στρεφόμενος. ῥητορικὴ ἢ ἐνεργῶς. σπουδαίως.

Ἐπισύστασις, σύστασις καὶ σύστημα. σημαίνει τὸ πλῆθος. ἡ δὲ ἐπὶ πρόθεσις, τὴν περὶ δευτέρου ἐπιδιόρθωσιν σημαίνει. ἐπισύστασις οὖν, ἡ περὶ δευτέρου ἐπανόρθωσις.

Ἐπίσφατον, ἐπίῤῥημα. παρὰ τὸ φημὶ φατός, ὡς βίβημι βατός. τὸ οὐδέτερον, φατὸν καὶ ἐπίφατον. καὶ πλεονασμῷ τοῦ σ.

Ἐπισχερώ, ἐφεξῆς. σύνεγγυς. καὶ σεσημείωται ὀξυτόνως ὥσπερ ἰώ. οὐδὲν γὰρ τῶν εἰς ω ληγόντων ἐπιῤῥημάτων ὀξύνεσθαι θέλει. πλὴν χωρὶς τοῦ ι. ἀπὸ τοῦ σχεδόθεν, σχεδῶ. ὡς πόθεν, πῶ. καὶ αὐτόθεν, αὐτῶ. καὶ κατὰ μετάθεσιν τοῦ δ εἰς ρ, ἐπισχερώ. ἢ παρὰ τὸ σχέσιν ἔχειν.

Ἐπισχόμενος, στοχαζόμενος. ὅθεν τό, Ἐπίσχες τὰ πάλαι θρυλλῶν. ἔνιοι ἐπισχόμενον συνακμαίνειν τὸν προσάγοντα τῷ Ἑρμῇ, τὸ ποτήριον. ἐνταῦθα ὁ Θρᾷξ Διονύσιος φησὶ τὴν παροιμίαν. Πολλὰ μεταξὺ κύλικος.

Ἐπιτάξ. παρὰ Καλλιμάχῳ, ἐπίῤῥημα. παρὰ τὸ ἐπιτάξω μέλλοντα. εἰς δὲ τὸ ῥητορικὸν λεξικόν, εὗρον τὴν λέξιν σημαίνουσαν συντόμως. κωμικῶς. Ὅστις τῆς ὁδοῦ ἡγήσεταί σοι τὴν ἐπιτάξ. οὐχ ὡς οἱ τραγικοὶ μακρῶς.

Ἐπιτάῤῥοθος, βοηθός. ἰσχυρὸς σύμμαχος. παρὰ τὸ ῥόθος, ῥόθῳ τὸ παρορμῶ, γίνεται ἐπίῤῥοθος. καὶ πλεονασμῷ τῆς τα συλλαβῆς, ἐπιτάῤῥοθος. ὁ ἐν τῷ βοηθεῖν πρόθυμος καὶ παρορμῶν.

Ἐπίτασις, καὶ ἄνεσις. τουτέστι τὸ μᾶλλον καὶ ἧττον. ταῦτα δὲ εἴρηται ἀπὸ μεταφορᾶς τῶν χορδῶν. ἐκεῖ μὲν γάρ, ἡ μὲν ἀποτεινομένη, σφοδρὸν ἀποτελεῖ ψόφον. ἡ δὲ παρειμένη, ἐλάττονα. οὕτως οὖν οἱ φιλόσοφοι, ἐπίτασιν μὲν λέγουσι τὴν σφοδρὰν ἀντίληψιν τοῦ πράγματος. ἄνεσιν δέ, τὴν ἐλάττονα.

Ἐπιτεῖλαι. Ἰλιάδος λ. Σὺ δὲ θᾶσσον Ἀθηναίῃ ἐπιτεῖλαι, προπαροξύνεται. ἔστι γὰρ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ τοῦ ἐπίτειλον, ὅ ἐστι πρόσταξον. ἐπιτεῖλαι προπαροξύτονον γίνεται ἀπὸ προσώπου εὐκτικόν.

Ἐπιτέλλεο, ἔστι τέλλω τὸ προστάσσω. τέλλομαι, ἐτελλόμην, ἐτέλλου. τὸ προστακτικόν, τέλλου. καὶ διαλύσει ἰωνικῇ, τέλλεο.

Ἐπιτελὲς καὶ ἐπιτέλεωμα, τὸ περὶ πᾶσι γινόμενον. ἀπὸ τοῦ τελείας γενέσθαι τὰς πρότερον θυσίας. ἐπιτεθυμένον.

Ἐπιτετυφλωμένον, πεπηρωμένον.

Ἐπιτετράφαται. Ἰλιάδος β. Ὧι λαοί τ' ἐπιτετράφαται. ἐπιτεταγμένοι καὶ ὑποτεταγμένοι εἰσίν. ἰστέον ὅτι τὰ δισύλλαβα τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν βαρυτόνων, τὰ τρέποντα τὸ ε εἰς ο, κατὰ τὸν ἐνεργητικὸν παρακείμενον, ἐν τοῖς παθητικοῖς παρακειμένοις ἀναδέχεται τὴν παραλήγουσαν τοῦ ἐνεστῶτος. οἷον λέγω, λέλοχα, λέλεγμαι. στέφω ἔστοφα, ἔστεμμαι. κέκλοφα, κέκλεμμαι. εὑρέθη καὶ κέκλαμμαι. δεῖ προσθεῖναι χωρὶς τῶν ἐχόντων τὸ ρ μετ' ἐπιπλοκῆς συμφώνου. ἐκεῖνα γὰρ τρέπουσι τὴν παραλήγουσαν. ἤγουν τὸ ε εἰς α, κατὰ τὸν παθητικὸν παρακείμενον. οἷον στρέφω ἔστροφα καὶ ἔστραμμαι. τρέφω τέτροφα τέθραμμαι. οὕτω καὶ τρέπω τέτροφα τέτραμμαι. τέτραπται. τετράμμεθα τέτραφθαι. καὶ τὸ ἰωνικὸν τετράφαται, τροπῇ τοῦ ψιλοῦ εἰς δασύ, καὶ προσθέσει τοῦ α. δεῖ προσθεῖναι καὶ χωρὶς τοῦ βρέχω. βρέξω βέβροχα, καὶ βέβρεγμαι. τοῦτο γὰρ οὐκέτι τρέπει ε εἰς α.

Ἐπιτηθή, ἡ τῆς τιθῆς μήτηρ. ὥστε εἶναι τὴν μὲν τηθὴν μητρὸς ἢ πατρὸς μητέρα. τὴν δὲ ἐπιτηθήν, τῆς τοῦ πατρὸς μητέρα, καὶ τῆς μητρὸς μητέρα. ἤγουν ὡς ἐπιπάππος. Θεόπομπος Παμφίλῃ. Αὕτη δ' ἐκείνη πρότερον ἦν ἐπίσταρ παρὰ τῆς ἐπιτηθῆς. ἐκ ῥητορικῆς.

Ἐπιτήδειος, φίλος καὶ συνήθης. λέγουσι δὲ καὶ ὡς ἡμεῖς τὸ ἁρμόττον ἐπιτήδειον. ἀπὸ τοῦ ἔθος, ἔθης, καὶ ἔτης. ὅθεν καὶ ἐπιτήδειος φίλος, ὁ συνήθης. ἢ ἀπὸ τοῦ ἥδω, ἥδης καὶ ἐπιτήδης. ὅθεν τὸ ἐπιτήδειος. ἐκ δὲ τοῦ ἐπιτήδης, γίνεται ἡ εὐθεῖα τῶν πληθυντικῶν ἐπιτήδεες ἐπιτηδεῖς. καὶ ἡ αἰτιατικὴ ὁμοίως. καὶ ἀποβολῇ τοῦ ι, ἐπιτηδές. Ἐς δ' ἐρέτας ἐπιτηδεῖς, ἀντὶ τοῦ ἐπιτηδείους. πρέποντας καὶ ἐπισταμένους. οἱ μέν, ἐκ τοῦ ἐπιτηδέας. οἱ δέ, ἐκ τοῦ ἐπιτηδεῖς. ἐπισημειοῦμαι δεῖ γινώσκειν, ὅτε μὲν λέγεται ἐπιτηδὲς καὶ ἀληθὲς ὀξυτόνως, ὀνόματά εἰσιν. ὅτε δὲ βαρυτόνως ἐπίτηδες, καὶ ἄληθες, ἐπιῤῥήματά εἰσιν, ἀντὶ τοῦ ἐπιτηδείως καὶ ἀληθῶς.

Ἐπιτηδής. ἀπὸ τοῦ ἀδεὴς ὁ ἄφοβος καὶ τῆς ἐπὶ προθέσεως, γίνεται ἐπιαδής. καὶ ἐκβολῇ τοῦ ε, καὶ πλεονασμῷ τοῦ τ, καὶ τροπῇ τοῦ α, ἐπιτηδής. ὁ ἀφόβως τι ποιῶν. ἐκ τούτου καὶ ῥῆμα ἐπιτηδεύω.

Ἐπίτιμος καὶ ἐπίτιμον, πλούσιον, ἢ τὸν μὴ ἄτιμον κατὰ νόμους, ἀλλ' ἔχοντα ἐξουσίαν καὶ δημηγορῆσαι καὶ δικάσασθαι. Λουκιανός. Ἡ δὲ βουλὴ ἐπικλασθεῖσα πρὸς αὐτὸν ἀφίησι τῷ μειρακίῳ τὴν καταδίκην. καὶ ἤδη ἐπίτιμός ἐστι. ῥητορική.

Ἐπιτιμία, ἡ εὐπορία, ἢ ἡ μὴ ἀτιμία. κεφάλαιον. Ὁσάκις αὐτὸν κινδυνεύοντα περὶ τῆς ἀτιμίας, ἢ τῆς πατρίδος, ἢ τοῦ βίου παντός, διεσώσατε.

Ἐπιτιμηταί, οἱ πρῶτον τι τιμώμενοι ἐκαλοῦντο τιμηταί. ἐπιτιμηταὶ δέ, οἱ χρόνῳ ὕστερον τὰ αὐτὰ τιμώμενοι.

Ἐπίτνον, ἡ ἄνοδος ἐν ἀσπίδι. Οἵ δ' ἄρ' ἐν Ἑλλανοῖσι δέον. ἀντὶ τοῦ τὰ κῶλα τῶν ἀσταχύων. καὶ ἔπιτνον ἀλωήν. ἀντὶ τοῦ περὶ τὴν ἀλωὴν ἐπάρουν. ἐῤῥίπτον. ἐξέτεινον. ἢ ἔπιπτον περὶ τῷ ξηρανθῆναι. ἔψυγον. ἀπὸ τοῦ πίπτω, πίτνω. ἢ πέτω πίτνω.

Ἐπιταυτό, ἐπίῤῥημα συλλήψεως, ἢ ἀθροίσεως. οἱονεί, μοναδικόν. ἐκ τῆς ἐπὶ προθέσεως, καὶ τῆς αὐτὸς ἀντωνυμίας.

Ἐπιτραπεζώματα, τὰ ἐπιτιθέμενα τῇ τραπέζῃ βρώματα.

Ἐπιτρίτας, Ἰσαῖος ἐν τῷ δευτέρῳ Καλλιφῶντος. Ἐξανοσίοις ἐπιτρίταις, ἀντὶ τῶν ὀκτὼ ὀβολοῖς. κατὰ τὸ τρίτον εἶναι μερίδα τοὺς ὀκτὼ ὀβολοὺς τοῦ τετάρτου δραχμοῦ.

Ἐπίτριπτον, τὸν πονηρόν. τὸν ἄξιον τοῦ ἐπιτριβῆναι. τουτέστι πληγωθῆναι.

Ἐπιτροχάδην ἀγόρευεν, ἀντὶ τοῦ ἐπιτετμημένως ὡς παρατρέχων, ἢ κεφαλαιωδῶς, ἢ ταχέως. ἀπὸ τοῦ τρέχω ῥήματος. ὅπερ ὁ ποιητὴς τρώχω εἴρηκεν. ὡς τό, Εἰ μὲν τρώχον. ἐκ τοῦ τροχάδην. ἢ ἐκ τοῦ τροχὸς ἐπιτροχάδην. Ἰλιάδος γ. τὸ σύντομον καὶ ταχύ. τὰ γὰρ ἀπὸ ὀνομάτων τῶν εἰς ος γινόμενα ἐπιῤῥήματα διὰ τοῦ α ἐκφέρονται. οἷον, μόνος, μονάδην. σπόρος, σποράδην. τροχὸς τροχάδην. τὸ δὲ παμπήδην, ἐκ τοῦ πάμπαν.

Ἐπιτροπή. οἱ μὲν παρὰ τὸ ἐπιτροπεύειν. οἱ δὲ παρὰ τὸ ἐπιτρέπειν. Ἀνέντες ἐπιτροπὴν φησὶ Θουκυδίδης. τουτέστι τὸ ἐπιτρέπειν. ἐπιτροπεύουσι. ἐπιτροπὴ καὶ ἡ τῶν ὀρφανῶν ἐπιμέλεια παρὰ τοῖς ῥήτορσι. καὶ τὸ συγχωρῆσαι τοὺς ἀμφισβητοῦντας διακρῖναι.

Ἐπιφυλλίδες, τὰ πρὸς τοὺς βότρυας. οἱ καλούμενοι ἐπίτραγοι.

Ἐπὶ Χαριξένης, αὐλητρὶς ἡ Χαριξένη ἀρχαία, καὶ ποιήτρια κρουμάτων. οἱ δὲ μελοποιόν. Θεόπομπος Σειρῆσιν. Αὐλεῖ γὰρ σαπρὰ αὐτή γε κρούματα τὰ ἐπὶ Χαριξένης. Κράτης Ὀδυσσεῦσιν. Οὐκ ἴδια. ἃ δ' οὐκ ἔτυχον τὰ ἐπὶ Χαριξένης. Ἀριστοφάνης. Οὔτι κατὰ μισθὸν ἀρχαῖον καὶ ἄλλα τινά.

Ἐπιχθόνιοι, οἱ ἐπίγειοι. χθών, χθονὸς χθόνιος. διότι κατὰ φύσιν περὶ τῆς χθονός εἰσι. πρὸς ἀντιδιαστολὴν τῶν οὐρανίων θεῶν.

Ἐπίχυτος, ὁ ἔγχυτος πλακοῦς. νίνοφαν χειρογάστορσι. Κόλικας ὀβελίαν μελιττοῦντα ἐπιχύτας.

Ἔπλεο, σημαίνει τὸ ἐγένου. ἐκ τοῦ πέλω ὑπερβιβασμῷ, πλέω. πλέομαι, ἐπλεόμην. τὸ δεύτερον κατὰ διάλυσιν, ἔπλεο, καὶ ἔπλευ.

Ἔπληντ' ἀλλήλοις. ἐκ τοῦ πλῶ τὸ πλησιάζω. ὁ παρακεί-

μενος, πέπληκα. λέγεται καὶ πέπλακα. ὁ παθητι-
κός, πέπλημαι, πέπληται. καὶ παρὰ Σιμωνίδῃ, πέ-
πλακται. ὁ μέσος δεύτερος ἀόριστος παθητικός, ἐ-
πλήμην. τὸ γίγνεται τῶν πληθυντικῶν, ἔπληντο.

Ἐπλινθεύθησαν, σημαίνει τέσσαρα. ἢ ὅτι εἰς πλίνθους με-
τεπλάσθησαν. ἢ ὅτι πλίνθοις ἀπετειχίσθησαν. ἢ ὅτι
ὑβρίσθησαν. ἔστι γὰρ καὶ ὄργανον βασανιστικόν. ἢ ὅτι
ᾐχμαλωτίσθησαν. ἐπειδὴ αἰχμάλωτοι πιπρασκό-
μενοι, εἰς πλίνθους ἔβαλον τό.

Ἐποιχομένην. ἱστὸν ἐποιχομένην. τὸν ἱστὸν ἐπιπο-
ρευομένην, ἤγουν ἱστουργοῦσαν καὶ ὑφαίνουσαν. ἐκ
τοῦ οἴχω, οἴχομαι, οἰχόμενος. αἱ πάλαι γυναῖκες
ἑστῶσαι ὕφαινον, καὶ ἐπιπορευόμεναι τὸν ἱστόν.
πρώτην δὲ γυναῖκα Αἰγυπτίαν τοὔνομα … καθε-
ζομένην ὑφᾶναι φασίν. ἀφ' ἧς καὶ Αἰγύπτιοι τῆς Ἀ-
θηνᾶς ἄγαλμα ἱδρύσαντο. ὡς φησὶν Εὔφορος ἐν τῇ Εὐ-

Ἔπος, ὁ λόγος. παρὰ τὸ ἕπω τὸ λέγω. ὡς ‹ρώπῃ.
τεύχω, τεῦχος. ἔπος λέγεται κυρίως ὁ ἔμμετρος λό-
γος. καταχρηστικῶς δέ, πᾶς λόγος. ζήτει περὶ τοῦ ἐπι-
κοῦ κύκλου εἰς τὸ ἔλεγος.

Ἐπορθρεῦσαι, τοῦ ὄρθρου ἐπεγερθῆναι, καὶ ἀφεσπε-

Ἐποστρακίζειν, παιδιά τις, ἣν παίζουσιν οἱ ‹ρεῦσαι.
παῖδες, ὄστρακα ἀφιέντες εἰς τὴν θάλασσαν.

Ἑπτά, ἀπὸ τοῦ ἕπεσθαι τῷ δεκάτῳ ἀριθμῷ. οὕτως Σέλευ-
κος. καὶ ἑπτάς, ἀπὸ τοῦ σέβω. σεπτάς τις οὖσα, ὡς θεία
καὶ ἀμήτωρ καὶ παρθένος.

Ἑπτάπεκτος, ἡ τὴν βαθεῖαν ἔχουσα κόμην. ἡ δυναμένη

Ἕπω, σημαίνει τέσσαρα. ἕπω ‹ἑπτάκις τμηθῆναι.
τὸ λέγω. ὡς τό, Ἄνδρα μοι ἔννεπε Μοῦσα. ἕπω τὸ ἀκολου-
θῶ. ὡς τό, Ἡ οὐχ ἑσπέσθην Λακεδαιμονίοις. ἕπω τὸ εὐ-
τρεπίζω. ὡς τό, Τὸν δ' εὗρ' ἐν θαλάμῳ περικαλλέα τεύ-
χε' ἕποντα. ἕπω τὸ διοικῶ. ὡς τό, Ἀλλὰ τὸ μὲν πλεῖ-
ον πολυάϊκος πολέμοιο, χεῖρες ἐμαὶ διέπουσι. καὶ,
Ὣς ὅ γε κοιρανέων δίεπε στρατόν. διαφέρει δὲ τὸ λέ-
γω τοῦ ἀκολουθῶ κατὰ τρόπους δύο. ὅτι τὸ μὲν ἕπω τὸ
λέγω, ψιλοῦται. τὸ δὲ ἕπω τὸ ἀκολουθῶ, δασύνεται. καὶ
ὅτι τοῦ μὲν ἕπω τοῦ λέγω τὰ ἐνεργητικὰ εὕρηνται. ἕ-
πω. καὶ ὁ παρατατικός, εἶπον. ὁ ἀόριστος, εἶπα. ὁ δεύ-
τερος, εἶπον. ἡ μετοχή, ὁ εἰπών. τὰ δὲ παθητικά, οὐ-
χί. τοῦ δὲ ἕπω τοῦ ἀκολουθῶ, τὰ μὲν παθητικά, οἷον
ἕπομαι. ὁ παρατατικός, εἱπόμην. καὶ ποιητικῶς, ἑ-
πόμην. τὸ δυϊκόν, ἑπόμεθον. τὸ γίγνεται, ἑπέσθην. καὶ
πλεονασμῷ τοῦ σ, ἑσπέσθην. τὰ δὲ ἐνεργητικὰ οὐ-
χί. ἀμφιέπω δὲ καὶ περιέπω.

Ἐπωνία, τέλος ἐπὶ τῇ ὠνῇ διδόμενον. εἰ δ' ἂν ἰ-

Ἐπωπίδα, ἡ μὲν δασύνεται, σημαί‹σως ἡ πέμπτη.
νει τὴν ἀκόλουθον. ἡ δὲ ψιλοῦται, τὴν ἐπίσκοπον.
διὰ τοὺς ὦπας. Λυκόφρων. ἐκ τοῦ ἕπω, ἑπωπίδες αἱ-

Ἐπώχατο, συνῆπτο. ἢ ἐπιπροσθέ‹θεραπαινίδες.
σεις ἀντὶ τῆς ἀπό, ἀπῳγμένη ἀπῳγμένη. τὸ γίγνεται προ-

σέπωγον καὶ διαλιπὼν ἀπῶχατο. ἀπὸ τοῦ οἴγω, ἀντὶ τοῦ

Ἐπωμαδόν, ἀντὶ τοῦ ἐπὶ τῶν ‹κεκλεισμένοι ἦσαν.
ὤμων. Ζῆθος μὲν ἐπωμαδὸν ἤερταζεν οὔρεος ἠλιβά-
του κάρη μὸγέοντι ἐοικώς. Ἀμφίων δ' ἐπὶ οἱ χρυσέῃ
φόρμιγγι λιγαίνων ἤϊσε. δὶς τόσση δὲ μετ' ἴχνια ἤϊσσε
τὸ πέτρη δ' ἄλλα ... ἠκολούθει τῷ Ἀμφίονος κιθά-
ρᾳ κρουούσῃ. εἴπερ, καὶ ἀπήει τῆς βασταζομένης ὑ-
πὸ Ζήθου. Ζῆθος γὰρ καὶ Ἀμφίων ἐτείχισαν τὰς Θή-

Ἐπωβελία. πολλῶν εἰς χρήματα ‹βας, οἱ Ἀργεῖοι.
συκοφαντούντων τοὺς ἐπιεικεῖς καὶ ἀπράγμονας τῶν
πολιτῶν, καὶ μάλιστα τοὺς παρὰ πᾶσι διαβαλλομέ-
νων τῶν περὶ τὸ ἐμπόριον συμβαλόντων ἐν ναυτι-
κοῖς τόκοις, Ἀθηναῖοι ζημίαν ἔταξαν κατὰ τῶν ἐγκα-
λούντων ὀβολὸν ἐκτίνειν, εἰ μὴ καθ' ὧν ἐνεκάλουν τού-
τους ἕλοιεν. ταύτην τὴν ζημίαν ἐπωβελίαν ἐκάλουν.
ἄλλως. ἐπωβελία ἐστὶν ἐπιτίμιον τοῖς διώκουσι χρη-
ματικὴν δίκην, ἐπειδὰν μὴ ἕλωσιν. ἦν δὲ τοῦτο ἕκτον
μέρος τοῦ τιμήματος. οὓς ἐπεδικάζοντο καὶ ἐπεγρά-
φοντο. ἐκάλουν δὲ οὕτως, ὅτι ἑκάστῃ τῇ δραχμῇ ὀβολὸς ἦν
τῆς δραχμῆς ἑξαπλασίου λογιζομένης. ἐλάμβανε
δὲ τὴν ἐπωβελίαν ὀφείλων παρὰ τοῦ διώκοντος, εἰ τὴν
δίκην ἀπέφευγε. λέγεται δὲ καὶ ὁ τόκος παρὰ τῷ Πλά-
τωνι ἐν νόμων ἑνδεκάτῳ.

Ἐπώνυμοι. οἱ κατὰ τὴν ἀρετὴν διαπρέποντες ἀστοὶ καὶ
ξένοι χαλκαῖς εἰκόσιν ἐτιμῶντο. ἀφ' ὧν ἐνίων καὶ ταῖς
φυλαῖς ἐτέθη ὄνομα. φασὶν ἐκεῖθεν δεῖξαι πρῶτον
τὰς φυλὰς ἐξηγήσασθαι. ἀπορούντων γὰρ αὐτῶν ὄνο-
μα ταῖς φυλαῖς θέσθαι, ἀπὸ τῶν ἐνδοξοτάτων τοῦτο
ποιῆσαι. παρὰ γοῦν τὰς εἰκόνας τῶν ἐπωνύμων τούτων
εἰσηγοῦνται τοὺς νόμους, πρὶν ἢ γενέσθαι κυρίους. ἵν'
ἐντυγχάνοντες οἱ βουλόμενοι κατηγοροῖεν. ἢ ἄλλως.
ἐπώνυμοι διττοί εἰσιν οὗτοι, οἱ μὲν λεγόμενοι τῶν ἡλι-
κιῶν καὶ εἰσὶ δύο καὶ τεσσαράκοντα, οἳ καλοῦνται καὶ λη-
ξεων ἐπώνυμοι. οἱ δέ, δέκα, ἐφ' ὧν αἱ φυλαὶ προσηγο-
ρεύθησαν. ὧν οἱ, Ἐρεχθεύς. Αἰγεύς. Πανδίων. Λεώς. Ἀλ-
κάμας. Οἰνεύς. Κέκροψ. Ἱπποθόων. Αἴας. Ἀντίοχος. ταῦτα
δὲ τὰ δέκα ὀνόματα ἀπὸ ρ΄ ὁ Πύθιος εἵλετο. Κλεισθένης
οὕτω διαταξάμενος, τὸ πᾶν πλῆθος εἰς δέκα φυλάς.

Ἐπωτίδες, τὰ ἑκατέρωθεν πρώρης ἐξέχοντα ξύλα.

Ἔρα, ἡ γῆ. ὅτι ἐνερείζωται. καὶ οὕτω καλεῖται. ἐρίσαι,
τὸ περὶ ἴσης τῆς φιλονεικῆσαι. παρὰ τὴν ἔραν. Ὅμηρος.
Ὡς τ' ὀλίγῳ ἐνὶ χώρῳ ἐρίζητον περὶ ἴσης. ἔνθεν καὶ τὸ ἔ-

Ἐραῖν, ἐπιθυμεῖν. παρὰ τὴν ‹ραζε, ἀντὶ τοῦ τὴν γῆν.
ἐπὶ τῆς γῆς ἐρρέθη. ἀφ' οὗ ἔρα ἡ γῆ. καὶ ἐρωῆσαι, τὸ ἀπ-

Ἔρανος, τὸ ἐκ συνεισφορᾶς δεῖ-‹αὐτῆς ὑποχωρῆσαι.
πνον. ἢ ἐντολή, ἡ συλλογή. ἢ εἰσφορά. ἢ σπουδαιότερον
ἀπὸ τοῦ συνεραῖν καὶ ἐπιθυμεῖν καὶ συνεισφέρειν τοῖς φί-
λοις καὶ εὐωχεῖσθαι. ἀπὸ τοῦ ἐρῶ τὸ ἐπιθυμῶ. ὁ μὲν ...

Ἐρανίσας, Δημοσθένης ἀντὶ ‹ἐράσω, ἐξ αὐτοῦ ἔρανος.
ἔρανον αἰτήσας, ἢ λαβὼν καὶ συλλέξας παρά τινων.

Ἐρανιστής, κυρίως ὁ τοῦ ἐράνου μετέχων. καὶ τὴν φορὰν ἣν
ἑκάστου μηνὸς ἔδει καταβάλλειν εἰς φέρειν.

Ἐρατίζων, ἐπιθυμῶν, ἐφιέμενος. ἐρῶ, ἐράσω. ἤρακα.
ἤραμαι. ἤραται. ἐρατός, ἐρατίζω.

Ἐράσθην, οὐκ ἀπὸ τοῦ ἐρῶ. ἦν γὰρ ἠράθην, ὡς μακρᾶς
οὔσης τῆς παραληγούσης. ἀλλ' ἀπὸ τοῦ ἐρῶ τοῦ ἐράζω,
τετάρτης συζυγίας τῶν βαρυτόνων.

Ἐρασῖνος, ὄνομα κύριον παρὰ τὸ ἐν ἐράσω μένοντα.

Ἐργαστῖναι, οἱ γηπόνοι. ἔστι καὶ ἐργῶ τὸ καθαίρω. ἐξ οὗ ἔργω.

Ἐρατεινός, ἐκ τοῦ ἐρῶ τὸ φιλῶ γίνεται ‹ἔρασος καὶ ἑορτή.
ἐρατὸς ὁ ἐπιθυμητός. καὶ ἐκ τοῦ ἐρατός, ἐρατεινός.

Ἐρανῆς, ἐπεράσου. καλῆς. ἀπὸ τοῦ ἐρατεινῆς κατὰ

Ἐργάνη, ἡ Ἀθηνᾶ. παρὰ τὸ τῶν ἔργων ‹συγκοπήν.
ἐπιστατεῖν, ταύτης εὑραμένης τὰς τέχνας.

Ἐργαθεν, ἐκώλυσεν. ἐχώρισεν.

Ἐργίσκη, τῆς Θρᾴκης ἐστὶν, ἀπὸ Ἐργίσκου τοῦ Ποσειδῶ-
νος καὶ Ἄβας νύμφης.

Ἐργᾶ. Οἱ ἐργᾶ τὴν γῆν. ἐστὶν ἐργάζω ἐργάσω. ἐπειδὴ
πᾶς μέλλων βραχείᾳ παραληγόμενος περισπᾶσθαι θέ-
λει, οἷον περῶ κερῶ, γέγονεν ἀποβολῇ τοῦ σ ἐργῶ περι-
σπώμενον. καὶ μετάγεται εἰς ἐνεστῶτα. ἐργῶ, ἐργᾷς,
ἐργᾷ. ὁ παθητικός, ἐργῶμαι, ἐργᾷ

Ἔργον, στρατεία. τὴν παρασκευὴν τοῦ πολέμου. Ἔνθα-
κεν οὐκέτι ἔργον ἀνὴρ ὀνόσαιτο. καὶ τὰ γεώργια. Πολ-
λὰ δ' ὑπ' αὐτοῦ ἔργα κατήριπε καλὲς αἰζηῶν. σημαί-
νει καὶ κύριον ἔργον. Ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σ' αὐτῆς ἔρ-

Ἐργολάβος, ὁ φλαύροις πράγμασι ‹γα κόμιζε.
χρώμενος παρὰ τοῖς ἑτέροις. καὶ οὐχ ὁ ὑπ' ἄλλων ἐρ-
γων μισθὸν λαμβάνων, καὶ ἔχων τοὺς συνεργαζομέ-
νους. ὃ καὶ ἡ συνήθεια.

Ἔρδω, τὸ πράττω. παρὰ τὸ ῥέζω τὸ πράττω. ὑπερθέ-
σει ἔρζω. καὶ τροπῇ δωρικῇ. ἐπειδὴ ἐν ἁπλῇ λέξει σύμ-
φωνον πρὸ τοῦ ζ οὐ χωρεῖται, γέγονεν ἔρδω. πρόσκειται
ἐν ἁπλῇ λέξει, διὰ τὸ ἐνζάξαι σύνθετον καὶ μελάνζο-
φος. ἐκφέρεται δὲ ἐπὶ τοῦ μέλλοντος διὰ τοῦ ξ, τῷ λόγῳ
τοῦ ἔρζω. ἵνα φυλάξῃ τὸ κεχρεωστημένον τοῦ ζ. οἷον
Ἔρξον ὅπως ἐθέλεις, ἀντὶ πρᾶξον. σημαίνει δὲ καὶ τὸ τελῶ καὶ
θύω. ὡς, Ἔρδομεν ἀθανάτοισι τεληέσσας ἑκατόμβας,
ἀντὶ ἐπετελοῦμεν, ἐθύομεν.

Ἔρεβος, τὸ ὑπὸ τὴν γῆν σκότος. παρὰ τὸ ἐρέφω τροπῇ τοῦ
φ εἰς β, τὸ κατεστεγασμένον ὑπὸ τῆς γῆς. ἢ παρὰ τὴν
ἔραν τὴν γῆν, τὸ ὑπὸ τὴν ἔραν βαῖνον.

Ἐρεγμός, ὁ διακεκομμένος κύαμος. παρὰ τὸ ἐρείκω. εἰς

Ἐρεθίζω, τὸ παροξύνω. ἀπὸ τοῦ ἐρέ-‹τὸ ἐρεχμός.
θω καὶ τῆς ἔρας. ἢ παρὰ τὸ εἴρω, ἢ ἐρῶ τὸ λέγω, γίνεται ἐρέ-
θω καὶ ἐρεθίζω. ἢ ἐκ τοῦ ἔρις ἐρίζω καὶ ἐρεθίζω. ἢ παρὰ τὸ
ἐρέθω τὸ ἐρεθίζω, ὡς λέπω λεπίζω. ἐρεθισμὸν δὲ λέ-
γει, τὸ τῶν ἐχθρῶν ἔπαινον, ἐκ τοῦ ἐρέθω. ὅθεν τό, Μή
μ' ἔρεθε σχετλίη. καὶ τό, ἐρέθησιν, ἀντὶ παροξύνει. γίνεται ἐρέ-
θω ἐρεθεύω. καὶ πλεονασμῷ τοῦ ι, ἐρειθεύω. οὕτω Φι-

λόξενος. ὁ δὲ Ἡρωδιανός, ἔριθος ἐριθεύω φησίν.

Ἐρεμβοί, οἱ Ἄραβες. εἰσὶ γὰρ ἀπὸ Ἄραβος βασιλέως Βα-
βυλῶνος. Ἐρεμβοὺς οἱ μὲν τοὺς Ἄραβας φασίν, ὡς Ἑλ-
λάνικος. ἔνιοι δὲ τοὺς Τρωγλοδύτας ἤκουσαν, ἀπὸ τοῦ
εἰς ἔραν βαίνειν. Κράτης δὲ Ἐρεμνοὺς γράφει. καὶ ἀπο-
δίδωσι τοὺς Ἰνδούς, ἐπεὶ μέλανές εἰσι. λέγονται δὲ

Ἐρεμνή, ἡ σκοτεινή. παρὰ τὸ ἔρεβος, ‹ἐρεμβαῖοι.
ἐρεβεννή. καὶ κατὰ συγκοπήν, ἐρεμνή. καὶ ἐρεμνός.

Ἐρεπτόμενοι, κυρίως ἐπὶ τῶν ἀλόγων. σημαίνει δὲ τὸ
ἐσθίειν. οἷον, Κρῖ λευκὸν ἐρεπτόμενοι. παρὰ τὸ ἔρας, ὅ ἐστι

Ἐρέτης, ὁ κωπηλάτης. ‹τῆς γῆς τὴν τροφὴν ἔχειν.
παρὰ τὸ ἐλῶ τὸ ἐλαύνω, ἐλέτης καὶ ἐρέτης. ἐξ οὗ καὶ
πεντηκόντορος ναῦς, ἡ ἔχουσα πεντήκοντα ἐρέτας.

Ἐρέσσειν, τὸ κωπηλατεῖν. παρὰ τὸ ἐρῶ. ἢ ἐλῶ. παράγω-
γον ἐλέσσω, καὶ ἐρέσσω. ὅθεν καὶ ἐρέτης.

Ἐρετμός, ἐπὶ τῆς κώπης. παρὰ τὸ ἐρέσσω ῥῆμα, ὄνομα
ἐρεσμός. καὶ τροπῇ τοῦ σ εἰς τ, ἐρετμός.

Ἐρεσχελία, ἡ φλυαρία. παρὰ τὸ ἔριν ἐν τοῖς χείλεσιν

Ἐρεσχελεῖν, σημαίνει τὸ ἀπατᾶν. ἀπὸ τοῦ ‹ἔχειν.
ἐραῖν καὶ τῆς λέσχης. πολὺ παρὰ Πλάτωνι τῷ φιλο-
σόφῳ, καὶ παρ' Ἴωσιν.

Ἐρέτρια, πόλις Εὐβοίας. ὁ πολίτης Ἐρετριεύς. καὶ Ἐρι-
τριαῖος. τὸ θηλυκόν, Ἐρετριαία καὶ Ἐρετριάς.

Ἐρεύγω, παρὰ τὸ ἔρα, ὅ ἐστι τὴν γῆν. ἢ παρὰ τὸ ἐρέπτω τὸ
βλάπτω. ἢ παρὰ τὸ ἐρέσσω. σημαίνει τὸ ἐλαύνω.

Ἔρευνα, παρὰ τὸ ἐρῶ τὸ ἐρευνῶ. Ὅμηρος. τὰς ἐρέων. ἢ
παρὰ τὸ ἐρῶ τὸ ἐρωτῶ καὶ τὴν εὐνήν, ὃ σημαίνει τὴν δια-
τριβήν. ὁ γὰρ ἐρευνῶν, ἐπὶ πολὺ ἐρωτῶν ἐνδιατρίβει.

Ἐρεύω. ἀπὸ τοῦ ἐρῶ τὸ λέγω, γίνεται ἐρεύω.

Ἐρεύθων, ἐρυθρὸν ποιῶν.

Ἐρευνῶ, ἐκ τοῦ ἐρέω τὸ ζητῶ πλεονασμῷ τοῦ υ καὶ ν.
ἐξ οὗ καὶ ἔρευνα ἡ ζήτησις.

Ἐρεχμός, καὶ ἐρεγμός. παρὰ τὸ ἐρεύγω ἐρευγμός. ὃς λέ-
γεται καὶ ἐρεγχμός. δοκεῖ δὲ ταῦτα παρὰ τοῖς Αἰολεῦσιν ἐκ-
φέρεσθαι διὰ τοῦ χ. διωχμόν γὰρ λέγουσι καὶ ληχμόν. ὡς
Ληχμὸν δ' ἐμπάζεσθαι ἀλείνων. ‹Ἀντίμαχος.

Ἐρεχθών, οὕτω διὰ τοῦ ε Ἀρίσταρχος. ἔστι δὲ φησὶ σπαραγμοῦ τι-
νος καὶ ποιᾶς φωνῆς ἔμφασιν δηλοῦν. καὶ ἴσως παρὰ τὸ
ἐρείκω. τίθεται δὲ καὶ ἐπὶ φωνῆς ἁπλῶς. ὡς τό, Πολλοὶ
μὲν βόες ὀρέχθεον ἀμφὶ σιδήρῳ. ὁ δ' Ἀππίων ἐριχθών
λέγει διὰ κόπτων.

Ἐρεχθεύς, ὁ Ἐπιχθόνιος καλούμενος, ἀπὸ τοῦ ἐσπάσθαι
εἰς τὴν ἔραν. ἢ ἀπὸ τῆς ὀρέξεως τοῦ Ἡφαίστου, ἢ παρὰ τὸ
ἐρείκω, Ἐρεχθεὺς κύριον. παρὰ τὸ διασχίσαι αὐτὸν
τὴν γῆν καὶ γεννηθῆναι ἀπὸ τοῦ σπέρματος Ἡφαίστου, ἡνίκα
ἔκρυψεν αὐτὸν ἡ Ἀθηνᾶ ἐν τῇ γῇ. ὁ αὐτὸς δὲ λέγεται καὶ
Ἐριχθόνιος. ὅτι ὁ Ζεὺς βουλόμενος ἀποκυῆσαι ἐκ τοῦ
ἐγκεφάλου αὐτοῦ τὴν Ἀθηνᾶν, ἐδεῖτο συνεργοῦ τοῦ πλή-
ξοντος τὴν κεφαλήν, ἵνα ἀποκυηθῇ. καὶ δὴ λόγοις προσ-
φέρει τῷ Ἡφαίστῳ περὶ τούτου. ὁ δὲ Ἥφαιστος οὐκ ἄλλως

εἰλεῖτο σχίσαι τὴν κεφαλὴν τοῦ διός, ἐμὴ τὴν γινομένην διὰ παρασκευῆς. καὶ ἤνεσχετο ὀξέως. καὶ λαβὼν τὸν βουπλῆγα, τέμνει τὴν κεφαλὴν αὐτοῦ. καὶ ἐξέρχεται ἡ ἀθηνᾶ. καὶ ἐπεδίωκεν αὐτὴν ὁ ἥφαιστος, ἵνα συγγένηται. καὶ ἐπιδιώκων, ἀπεσπέρμηνεν εἰς τὸν μηρὸν τῆς ἀθηνᾶς. ἡ δὲ ἀθηνᾶ λαβοῦσα ἔριον, ἐξέμαξε τὸ σπέρμα, καὶ ἔρριψεν ἐν τῇ γῇ. καὶ ἐγεννήθη ἐκ τῆς γῆς καὶ τοῦ ἐρίου, ἄνθρωπος δράκοντόπους, ὃς ἐκαλεῖτο ἐριχθόνιος, ἀπὸ τοῦ ἐρίου καὶ τῆς χθονὸς λαβὼν τὸ ὄνομα τοῦτο.

Ἐρεχθεῖον, κτητικὸν τοῦ ἐρεχθέως.

Ἐριχθόνιος, ὁ ἑρμῆς. μετασυντέθειται ἡ λέξις. ὥσπερ λέγεται φθινόπωρον καὶ μετόπωρον. καὶ πάλιν φθινομετόπωρον. καὶ συνωμήλικες, οὕτως ἐριούνιος ἑρμῆς. καὶ χθόνιος. καὶ ἐριχθόνιος ἑρμῆς.

Ἐρεχθόμενος, σαλευόμενος. καὶ ἐρεχθομένη, ἡ σαλευομένη καὶ ἐλαυνομένη καὶ ὀχλουμένη ὁμοίως.

Ἔρεψα, ἰλιάδος α, ἀντὶ τοῦ ὠρόφωσα. ἐστεφάνωσα. ἐνόσμησα. τὸ θέμα ἐρέφω. οἱ μὲν, ὅτι προστότυπον. καὶ ἀπὸ τῆς ἔρας. παρὰ τὸ ἐρέφω. ὅθεν καὶ ὀροφιώτης ὁ διόνυσος λέγεται. ἐστέφετο γὰρ κισσῷ. ἢ παρὰ τὸ τὴν ἐρέφαν γόφον αὐτοῦ γενέσθαι. ἢ ὅτι ἐν ῥαφίᾳ παρὰ τῆς ἀστυρίας ἐράφη. ἢ ὁ στεφάνοις ἡδόμενος. ἐκ τοῦ ἐρέφω. ἢ ἀπὸ ἐρίφης γόφου αὐτοῦ. ὅθεν, Κάθισδε οἱ πρώτη μαζὸν ἐπέσχε ἐρίφη χωρὶς ἀπ' ἀνθρώπων, καὶ ἐπωνόμασεν ἐραφιώτην.

Ἐρέω, σημαίνει δύο. βαρυτόνως μὲν, τὸ ἀπαγγέλλω. Ἀλλ' ἐκ τοι ἐρέω. περισπωμένως δὲ, ἐρεῶ τὸ ἐρευνῶ καὶ ἀναζητῶ. Ἴσεον ὅτι πανταχοῦ ὁ ποιητὴς τὸ ἐρέω προφέρει. καὶ σημαίνει τὸ λέγω. ὥς τὸ, Ἄλλο δέ τοι ἐρέω. καὶ τὸ ἐρωτῶ. ὥς τὸ, Πὰν τ' ἀργείων ἐρέων γενεήν τε τόκον τε. καὶ τὸ ζητῶ. ὥς τὸ, Ἵππους τὰς ἐρέων ὀδυσσῆϊ ἰσωνήτει. τὸ ῥῆμα, εἴρω. ὁμήρου, ἐρῶ. καὶ ἀπὸ τοῦ

Ἐρείκω, τὸ σχίζω δίφθογγον ἐρῶ, ἐρεῶ, ὥσπερ τελῶ τελέω. γον. ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ ἐρέχθω τὸ σχίζω. ἐξ αὐτοῦ δὲ ἐρείκη εἶδος δένδρου εὐχερῶς σχιζομένου. καὶ ἐρείξεις

Ἐρείδω, τὸ ἐπανορθώω. Τὸ, ὅγε ἡ ἐσχισμένη γῆ. ἐρεισάμενος. ἐκ τοῦ ερι ἐπιτατικοῦ μορίου, καὶ τοῦ εἴδω τὸ γινώσκω, γίνεται ἐρεΐδω. καὶ συγκοπῇ ἐρείδω. ἐξ οὗ γὰρ γινώσκει τις ἐπερείδεται. τὸ ρει, δίφθογγον. διατί. ἢ ὅτι ἀνεφάνη τὸ ε ἐν τῷ ἐρηρέδαται, ἢ τὰ διὰ τοῦ δω ῥήματα εἴτε δισύλλαβα εἴτε τρισύλλαβα, διὰ τῆς ει διφθόγγου γράφεται. εἴδω. φείδω. ἐρείδω. ὑπερείδω. ἐξ οὗ καὶ τὸ ὑπερείδοντας τοὺς νεανίας. πλὴν τοῦ μήδω τὸ βουλεύομαι, καὶ κήδω τὸ φροντίζω. καὶ ᾠδῶ περισπωμένως.

Ἐρείπω, καὶ ἐρείπια, σημαίνει τοὺς πεπτωκότας τόπους. καὶ λέγει ὁ δίδυμος, ὅτι διὰ τοῦ ι ὤφειλε γράφεσθαι. ἐπειδὴ παρὰ τὸ ἐριπνηδὸν, ὅπερ σημαίνει τὸν μεγάλως περιπεπτωκότα. τὸ δὲ ἐρίπνη, διὰ τοῦ ι. παρὰ τὸ ερι ἐπίτασιν. ὁ δὲ φιλόξενος λέγει ὅτι διὰ διφθόγγου γράφεται τῆς παραδόσεως οὕτως ἐχούσης. ἀπὸ γὰρ τοῦ ἔρα ἡ γῆ, γέγονεν ἐρέπω. καὶ πλεονασμῷ τοῦ ι, καὶ ἀποβολῇ τοῦ τ ἐρείπω.

σημαίνει δὲ καὶ ἐνέργειαν καὶ πάθος. τὸ καταβάλλω καὶ τὸ πίπτω. ἐρείπω καὶ ἐρείπτω, τὸ εἰς γῆν βάλλω. ὁ μὲν ἡρωδιανὸς διὰ τῆς ει διφθόγγου. οἱ δὲ ποιηταὶ διὰ τοῦ ι. οἷον, Ἤριπε δ' ἐξ ὀχέων. καὶ, Ἤριπε δ' ἀμφότερα ἐπεὶ ἐρηδὴς κεράεσιν, ἀντὶ τοῦ περιερραγεὶς.

Ἐρηρώτηκα. ἐρωτήσω, ἠρώτηκα, ὁ κοινὸς παρακείμενος.

Ἐρηρέδαται. ἰλιάδος ψ. ἐρηρότηκα, ὁ ἀττικός. Λᾶες δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται. ἐρηρεισμέναι εἰσὶν ἐν τῇ γῇ προσπελάζονται. ἀπὸ τοῦ ἐρείδω ἐρείσω ἤρεικα, ἤρεισμαι ἤρεισαι. καὶ ἀττικῶς, ἐρήρεισται τῆς γ συλλαβῆς συσταλείσης. ζήτει. ὁ ἀττικὸς παρακείμενος ἐστὶν εὐήρεικα. καὶ οὐ συστέλλει. ἵνα μὴ συνεμπέσει τῷ

Ἐρήρεισο, ἥρμοσο καὶ ἐπέπηκτο. φυ- ἀπὸ τοῦ ἐρίζω. λάττει δὲ τὴν ει δίφθογγον. πρὸς ἀντιδιαστολὴν τοῦ ἐρηρῖσαι, ὅπερ σημαίνει τὸ φιλονεικῶ. ἔστι δὲ ὅτε καὶ οἱ δωριεῖς φυλάττουσι τὴν φύσει μακράν. οἷον ὁρῶ, ὁρήσω, ὥρηκα. καὶ ὀρώρηκα ὁ ἀττικός. καὶ φυλάττεται παρὰ δωριεῦσιν ἡ μακρά. ὁμοίως δὲ καὶ ἀκήκοα ἐν αὐτοῖς. ἡνίκα δὲ ἔχει τὴν ει δίφθογγον τὸ θέμα, ἢ τὴν ευ ἐν τοῖς ἀττικοῖς παρακειμένοις, ἀποβάλλεται τὸ ε. αἱ δὲ ἔχουσαι τὴν ου, τὸ ὑποτακτικὸν ἀποβάλλουσιν. οἷον ἀκούω, ἀκήκοα. καὶ ἡ οι δίφθογγος τὸ ὑποτακτικὸν ι ἀποβάλλει. οἷον ἑτοιμάζω, ἑτοιμάσω, ἡτοίμακα καὶ ἐτητόμακα.

Ἐρητύσει τε θυμόν, ἐπίσχῃ καὶ παύσῃ τὴν ὀργήν. ἐκ τοῦ ἔρκτη γέγονεν ἐρκτύω. καὶ ἐξ αὐτοῦ ἐρητύω. ὁμήρου, ἐρητύσω. ὁ παρακείμενος, ἠρήτυκα. ὁ παθητικός, ἠρήτυμαι. ὁ ἀόριστος, ἐρητύθην. ἐρύτηθεν οἱ βοιωτοὶ ἀντὶ τοῦ ἔχοντες τὸν μετοχὴν εἰς σο ὀξύτονον. Ἐρήτυθεν δὲ καθέδρας, ἀντὶ τοῦ κατεῖχον ἕκαστος τὰς ἑαυτῶν καθέδρας.

Ἐρήρεδα, ἀπὸ τοῦ ἐρείδω, ὁ ἀττικὸς παρακείμενος ἐρήρεδα.

Ἔρημος, ἀπὸ τοῦ ἤρεμος ἀπὸ δὲ τοῦ ἐρίζω, ἐρήριδα. κατὰ ἐναλλαγὴν τῶν στοιχείων. ἢ παρὰ τὸ ἔρον μόνην ἔχειν. τοῦτο παρὰ τοῖς ἀττικοῖς προπαροξύνεται. παρὰ δὲ τῷ ποιητῇ προπερισπᾶται. ἰλιάδος κ. Χῶρος ἰδὲ χῶρον ἐρῆμον, ὅθεν ἔστασαν ὠκέες ἵπποι, ἀντὶ τοῦ ἠρεμοῦντα μόνον. μονήρη. ἔρημον ἐμβλέπων. ἀκίνητον. καὶ νωθρόν. οἷον ὅταν εἰς ἐρημίαν, ἢ πέλαγος μέγα καὶ ἀχανὲς βλέπωμεν. ἀριστοφάνης πολυείδω.

Ἐριβώλακι, μεγαλοβώλω. εὐγείω. παρὰ τὸν βῶλον, βῶλαξ. καὶ μετὰ τοῦ ερι, ἐριβῶλαξ.

Ἐριβρεμέτης, μεγαβροντῶν. παρὰ τὸ ερι ἐπιτατικὸν καὶ τὸ βρέμω.

Ἐρίγδουπος, μεγάλους ψόφους ποιῶν διὰ τῶν βροντῶν. ἐκ τοῦ δουπῶ, ἐρίδουπος, καὶ

Ἐριδαίνω, ἐκ τοῦ ἔρις, ἐρίδω καὶ ἐριδαίνω. ἐρίγδουπος.

Ἐριδμαίνοντες, ἐρεθίζοντες. ἰλιάδος π. παρὰ τὸ ἐρῶ τὸ λέγω. διὰ λόγου γὰρ γίνεται ἡ φιλονεικία. ἐρίζειν κυρίως, τὸ περὶ ψυχῆς διαφθείρεσθαι. ἀπὸ τῆς ἔρας. ἐρεῖσαι, τὸ περὶ ἴσης γῆς φιλονεικεῖν. ἐκ τοῦ ἔρις ἐρίζω καὶ

Ἐρίηρες, εὐάρμοστος. παρὰ τὸ ερι ἐπιτατικὸν ἐρίδω. μόριον, καὶ τὸ ἄρω τὸ ἁρμόζω. παρὰ τὸ ἀγαναρήρεμαι

ὁ φίλος. ἢ παρὰ τὸ ἦρα ὅπερ σημαίνει τὴν χάριν. ἰλιάδος γ. Ἑτάρους ἐρίηρας ἀγείρας. ἄγαν εὐαρμόστους, καὶ ἐπεράστους. τουτέστι φίλους συναθροίσας σαυτῷ ὁμοίους. ἅρπαγας, καὶ πλεονέκτας, καὶ μοιχούς.

Ἔριθος, σημαίνει τὸν ἐργάτην καὶ τὴν γυναῖκα τὴν ἐργαζομένην τὰ ἐρία. καὶ ἐπὶ μὲν τοῦ ἐργάτου, παρὰ τὴν ἔραν τὴν γῆν κατὰ μετάθεσιν τοῦ α εἰς ι. ἢ παρὰ τὸ ἔρις καὶ τὸ θής, ὃ σημαίνει τὸν μισθωτόν. ἐπὶ δὲ τῆς γυναικός, ἀπὸ τοῦ ἔριον γέγονεν ἔριθος. κυρίως δὲ ὁ τὴν γῆν ἐργαζόμενος ἔργα τῆς ἐπὶ μισθῷ.

Ἐριθεύς, εἶδος ὀρνέου. παρὰ τὸ ἔριθος ἐριθεύς.

Ἐριθηλής, καὶ ἡ ἐριθηλής. ἰλιάδος ε. Ἀλωάων ἐριθηλέων. τῶν ἀμπελοφύτων χωρίων, ἢ δενδροφύτων. τῶν μεγάλως θαλλουσῶν καὶ αὐξομένων. ἔνιοι δὲ

Ἐρικυδέα, μέγα ἔνδοξον. παρὰ κήπων. ἀρουρῶν. τὸ κῦδος, ἐρικυδὴς ἐρικυδέος.

Ἐρινεός, ἀγρία συκῆ. ἐκ τοῦ ἐρίζω, ἐρινός, καὶ ἐρινεός. ἐριστικὸν γάρ ἐστι τὸ δένδρον. ἀνέρχεται γὰρ καὶ εἰς τοίχους καὶ εἰς

Ἐρινύειν, κατὰ ἀρκάδας τὸ ὀργίζεσθαι. ἕκαστον τόπον.

Ἐρινεὸν σῦκον, ἀπὸ ἐρινεοῦ τῆς θετταλίας ὅπου πρῶ-

Ἐρινύες, θεαὶ τιμωροὶ τῶν πατρικῶν τὸν ὤφθη. ἀσεβημάτων, ἤγουν τῶν εἰς τοὺς γονεῖς ἁμαρτημάτων. παρὰ τὸ ἐν ἔρα ναίειν, ὅ ἐστιν οἰκεῖν ἐν τῇ γῇ. ἢ ἡ ἐκ τῆς γῆς ἀνερχομένη, ἐρανύς, καὶ ἐρινύς. καταχθονία γὰρ ἡ δαίμων. ἢ παρὰ τὸ τὰς ἀρὰς ἀνύειν. οἱονεὶ ἀρανύς τις οὖσα, καὶ ἐρινύς. ἢ τὰς ἀρὰς, ἢ τὰ αἴσια ἀνύουσα καὶ ἐκτελοῦσα. ἢ παρὰ τὸ ερι, καὶ τὸ ἀνύειν. ἡ μεγάλως ἀνύουσα. ἢ παρὰ τὸ ἐλινύειν τὸ ἡσυχάζειν, γέγονεν ἐλινύς, καὶ ἐρινύς. ἡ ἡσυχάζουσα κατ' ἀντίφρασιν, τουναντίον, καὶ εἴρωσο οὕτως. τὸ ἐστι ἡ μὴ ἡσυχάζουσα. παρὰ τὸ ἔρρω τὸ μοχθῶ καὶ φθείρω. περὶ ὅ ἐταλαιπώρουν ἐργαζόμεναι αὐτό. ἢ ὅτι τῷ ἔαρι κείρεται τὰ

Ἔρι, ἐπίρρημα. παρὰ τὸ πέρι, ὅπερ σημαίνει τὸ πρόβατα. περισσῶς. οἷον, Πέρι μὲν σε τίω. ἢ παρὰ τὴν ἔραν τὴν γῆν. αὕτη γάρ ἐστι μεγίστη πάντων τῶν ζώντων.

Ἐριούνιος, χθόνιος. ἀγαθός. πολυωφελής. κλέπτης. μέγας. ἔστι δὲ ἐπίθετον ἑρμοῦ. εἴρηται δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπλούστερον. παρὰ τὸ ερι ἐπίτασιν καὶ τὴν ὄνησιν, ἐριόνιος. ὁ μέγα ὠφελῶν. ὠφελιμώτατος γὰρ ὁ ἑρμῆς. καὶ πλεονασμῷ τοῦ υ. ἢ ἀπὸ τῆς ἐρευνήσεως. καὶ γὰρ ὁ τὴν φορωνίδα γράφων φησί. Ἑρμείαν δὲ πατὴρ ἐριούνιον ὠνόμασ' αὐτόν. πάντας γὰρ μάκαράς τε θεοὺς, θνητούς τ' ἀνθρώπους, κέρδεσι κλεπτοσύναις τ' ἐξαίνυτο τέχνῃ.

Ἐρίηρες ἑταῖροι, εὐάρμοστοι. παρὰ τὸ ερι καὶ τὸ ἑαυτοῖς. ἀρῶ τὸ ἁρμόζω.

Ἐρίπναι, οἱ συνεχεῖς ἠχώδεις τόποι. καὶ παρατεταμένοι. ἢ ἀπερρωγυῖαι πέτραι. δι' ὧν μεγάλαι πνοαὶ εἰσδύνουσιν. ἐρίπνοαι ἐρίπναι, διὰ τοῦ ι. ἀπὸ τοῦ β ἀορίστου ἐρείπω, ἤριπον. καὶ ἐριπώσας, τὸ καταβαλών.

Ἐρίπνη, ἡ ἄκρα τόποις, ἢ ἀπόκλαιον. ἔστι δὲ καὶ ὄρος ἀρκα-

δίας. καὶ τὸ ἀποσπίσμα. παρὰ τὸ ἐριπεῖν τὸ πεσεῖν, ἐρίπνη τις οὖσα, τὸ ἀπόκλιμα καὶ πτῶμα τοῦ ὄρους. καὶ γὰρ ὄχμοι καλοῦνται τὰ ἐξῆς μετὰ τῶν ὀρῶν, ἢ τῶν τόπων, ἀφ' οὗ ἐκλύνονται. ἢ πάνυ πνεομένη, ἐριπνοή. ἢ ἀπὸ τοῦ ἐρέφω ἐρέψω τὸ καλύπτω, ἢ ἐρέπτω. σκέπουσι γὰρ καὶ καλύπτουσι καὶ σκιάζουσι τὰ ἀκρωτήρια.

Ἔρις, σημαίνει δύο. παρὰ τὸ εἴρω τὸ λέγω ἡ διὰ λόγου φιλονεικία. παρὰ τὸ ἄρης, ἔρις. ὡς βάλλω βέλος. καὶ σάλος στάλας, τὸ ἀκίνητον πῦρ. ἢ ἐκ τοῦ ἐρίζω τὸ φιλονεικῶ, ἐρίσω ἔρις. τὸ σωματοειδῆ καὶ πολεμικὴν θεόν. ὥς τὸ, Ζεὺς δ' ἔριδα προΐαλλε θοὰς ἐπὶ νῆας ἀχαιῶν. καὶ, Ἔρις ἄμοτον μεμαυῖα. σημαίνει καὶ τὴν φιλονεικίαν. ὥς τὸ, Ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο. καὶ, Αἰεὶ γάρ τοι ἔρις τε φίλη.

Ἐρίσχηλος, ὁ λοίδορος. ἀπὸ τοῦ ἐρίζειν διὰ τῶν χειλέων. ἢ ἐρὶ χελόστις ὤν, παρὰ τὴν ἔριν καὶ τὴν λέσχην. ὁ ἐξ ἔριδος λεσχαίνων. παρὰ θέμιος ἐν ἡρακλεῖ. Ἐρισχήλοις κυρηνίταις. καὶ ἐρισχηλεῖν, τὸ εἰς ἔριν προκαλεῖσθαι.

Ἐρίτιμος, ὁ μεγαλότιμος. ὁ ἔνδοξος. ἰλιάδος β. Αἰγίδ' ἔχουσ' ἐρίτιμον. μέγα ἔντιμον. καὶ ἐν ἀσφαλείᾳ τῇ ἐριτίμῳ. ὑψώσεως κινοῦν. παρὰ τὸ ερι τὸ ἐπιτατικὸν, καὶ τὸ τιμή. τὸ δὲ ερι, παρὰ τὸ περί, ἀποβολῇ τοῦ π. σημαίνει τὸ περισσῶς. Ἴσεον δὲ ὅτι τὸ ερι συντιθέμενον, ἢ μακροσύλλαβον ἐπιφέρεται. οἷον ἐρίτιμος, ἢ διπλοῦν, οἷον ἐρίζηλος. διὰ τοῦτο καὶ τὸ ἐριούνιος ἐπλεόνασε τὸ υ. τὸ αὐτὸ δὲ καὶ περὶ τοῦ αρι μορίου.

Ἔριφος, ὁ μικρὸς αἴξ, ἢ ἡ μικρὰ αἴξ. παρὰ τὸ ἔαρ καὶ τὸ φῶ τὸ φαίνω. ὁ ἐν τῷ ἔαρι φαινόμενος, ἔαριφος καὶ ἔριφος κατὰ συγκοπήν. ἤγουν ὁ πρώϊμος. ὁ γοῦν ἐν τῷ χειμῶνι τεχθεὶς, χίμαρος.

Ἐριώλη, ἡ πνοή. παρὰ τὸ ερι καὶ τὸ ἄω τὸ πνέω. ἡ μεγάλως πνέουσα.

Ἕρκος, τεῖχος. ἀσφάλεια. παρὰ τὸ ἐρύκω τὸ κατέχω, καὶ κωλύω, καὶ ἀσφαλίζομαι, γίνεται ἔρυκος. καὶ κατὰ συγκοπὴν, ἕρκος. σημαίνει δὲ τὴν ἀσφάλειαν. ὥς τὸ, Ἕρκος ἀχαιοῖσι πέλεται. καὶ, Ἕρκος ἔμεν πολέμοιο. καὶ, Ἕρκος ἔμεν βελέων. καὶ τὸ ἐπὶ τοῦ τείχους. ὥς τὸ, Αἱμασιάς λέξοντες ἀλωῆς ἔμμεναι ἕρκος. καὶ τὸ φράγμα τῶν ὀδόντων. ὥς τὸ, Ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων. σημαίνει καὶ τὰ δίκτυα. ὥς τὸ, Ὅτε δὴ παλίνου ἕρκει ἐν πλέξωσιν. ἐρύκει ἄγοντα ἀπὸ τοῦ ἐρύκειν. ἢ ἀπὸ τοῦ εἴργω.

Ἕρκιος ζεύς, ὁ βωμοὶ ἐν καὶ ἔεργω λέγεται. τοῖς ἕρκοις ἐν τῇ αὐλῇ ἵδρυνται. τὸν γὰρ περίβολον, ἕρκος ἔλεγον. καὶ ἑρκίου διός. ἕρκος ἀθηναῖοι τὸν οἶκον ἐκάλουν. τὸν οὖν φύλακα τοῦ οἴκου ἱδρυσάμενοι, ἕρκιον διακαλοῦσιν.

Ἕρκιον, περίφραγμα. τειχίον. παροξύνεται. τὰ ἀπὸ μακρᾶς ἀρχόμενα ὑποκοριστικὰ, παροξύνεται. τυρός, τυρίον. τεῖχος, τειχίον. ὦτα, ὠτίον. τὰ δὲ ἀπὸ βραχείας οὐκέτι. ῥάκος, ῥάκιον. φάκος, φάκιον. σεσημείωται τὸ ἴχνιον μὴ ποιοῦν μακρὰν τὴν ἀρχὴν, ὡς ὑγρὸν σύμφωνον ἔχον.

Ἑρκύνιος δρυμός, ὁ τῆς Ἰταλίας ἐν δεξιᾷ ὥς φησιν Ἀπολλώνιος ἐν δ΄ Ἀργοναυτικῶν. ἐνθένδε τοιοῦτον καθ' ἑρκυνίου ἰσχυσε. ἢ παρθένιος. Ἀλλ' ὅτ' ἄφ' ἑσπερίης ἑρκυνίδος ὥρτο γαίης. διὰ τὸ εὑρεῖν ἐν αὐτῷ χοῖρον ὑπὸ κυνὸς ἐσθιόμενον. ὅθεν τὸν μὲν δρυμόν, ἕρκος φασί. τὴν δὲ κίνα, κύνον. καὶ ἐν συνθέσει, ἑρκύνιος καὶ ἑρκύνιος.

Ἕρκτωρ, ὁ πρακτικός. ἀντίμαχος. Τῶν μεγάλων ἕρκτορες ἠδὲ κακῶν. παρὰ τὸ ἔρξω ἕρκτωρ, ὡς ἄξω ἄκτωρ.

Ἕρμα, ἡ μὲν δασύνεται, σημαίνει [illegible] καὶ ἔχω ἕκτωρ. ἐρείσματα. στηρίγματα. βαστάγματα. οἷον ὑπὸ δ' ἥρεον ἕρματα μακρῶν. ἰλιάδος β΄. ἡ δὲ ψιλοῦται, σημαίνει τὰ ἐνώτια. οἷον. Ἐν δ' ἄρα ἕρματα ἧκεν εὐτρήτοισι λοβοῖσι μακρὰ τανύσας. ἀμφότερα ἀπὸ τοῦ εἴρω τοῦ σημαίνοντος τὸ ἁρμόζω, εἷρμα καὶ ἕρμα. ὡς κείρω κέρμα. ἢ παρὰ τὸ ἐνήρεθα. ἢ ἀπὸ τοῦ ἔρυμα κατὰ συγκοπήν. ἢ ἀπὸ τοῦ ἔρεισμα συγκοπῇ.

Ἑρμαφρόδιτος, ὁ τὰ ἀμφότερα ἔχοντα μόρια, ἀρρένων καὶ θηλειῶν, ἢ τὸν αἰσχρὰ καὶ ποιοῦντα καὶ πάσχοντα.

Ἕρματα, τὰ πετρώδη τῆς θαλάσσης [illegible] πόντα. μέρη καὶ ὕφαλα. παρὰ τὸ εἶναι ἐρύματα καὶ κωλύματα τοῦ πρόσω πλεῖν.

Ἕρμαιον, τὸν σωρὸν τῶν λίθων. καὶ συνόλως τοὺς ἐνοδίους λίθους. λέγει δὲ περὶ αὐτῶν ξάνθος. ὅτι ἀποκτείναντος ἑρμοῦ τὸν ἄργον, καὶ δίκας διδόντος παρὰ ποιμένου, καὶ ὑπέχοντος ἐν τοῖς θεοῖς διὰ τὸ πραχθέν, ψηφίσασθαι, τοὺς λοιποὺς ἀφοσιουμένους τὸ ἄγος, καὶ ἀπολύοντας τοῦ φόνου, προσβάλλειν αὐτῷ τὴν ψῆφον. ὅθεν διάκτορος ἀργειφόντης. ἰλιάδος π΄. Ὅθι ἑρμαῖος λόφος ἐστίν. Ἑρμῆς κατὰ διὸς κέλευσιν ἀνελὼν ἄργον τὸν ἰοῦς φύλακα, ἤχθη ὑπὸ δίκην ἥρας αἰτίᾳ τῶν ἄλλων θεῶν εἰς κρίσιν ἄγοντος, κρίνοντας δὲ τοὺς θεοὺς εὐλαβεῖσθαι μὲν διὰ τοῦ πεποιηκότος τὸν ἑρμῆν. ἅμα δὲ ἀφοσιουμένους ἣν εἶχον ὀργὴν προσβάλλειν αὐτῷ τὰς ψήφους. καὶ οὕτως ἐπισωρευθῆναι πλῆθος πολύ. διὰ τοῦτο λέγεται σωροὺς ποιεῖν λίθων. καὶ τούτους καλεῖν ἑρμαίους λόφους.

Ἕρμαιον, τὸ ἀπροσδόκητον κέρδος. ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν. ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν. ἢ ἀπὸ τοῦ ἐνθάδε λεγομένου κοινὸς ἑρμῆς, ὑπὸ τῶν εὑρισκόντων τι. οἷον κοινὸν τὸ εὕρημα. παρὰ τὸ οὖν ἑρμῆς ἕρμαιος. καὶ ἕρμαιον τὸ οὐδέτερον.

Ἑρμῆς. παρὰ τὸ ἐρῶ τὸ λέγω, ἐρέας καὶ ἑρμέας καὶ ἑρμείας. καὶ δεῖ γινώσκειν ὅτι ἔστι καὶ ἑρμείας ὄνομα κύριον, ὁ εὐνοῦχος ὁ ἀταρνίτης. οἰκείως δὲ διέκειτο πρὸς ἀριστοτέλην. καὶ τὴν θετὴν αὐτοῦ θυγατέρα ἔδωκε τῷ φιλοσόφῳ. καὶ δεῖ γινώσκειν ὥς λέγει ὁ χοιροβοσκὸς εἰς τὴν ὀρθογραφίαν αὐτοῦ, διὰ τοῦ ι γράφεται. ὡς παρ' ἀριστοτέλει. Εὐνοῦχος ὢν καὶ δοῦλος ὁ ἑρμίας.

Ἑρμῆς, ἀπὸ τοῦ εἴρω τὸ λέγω ἢ τὸ ἁρμόζω. ὅθεν ἕρματα, διὰ τὸ ἔρυμα ἡμῶν εἶναι, καὶ ὀχύρωμα τοῦ βίου. μέγιστον γὰρ τῷ βίῳ λόγος εὑρέθη. ἢ παρὰ τὸ ἐρῶ τὸ λέγω ἑρμῆς, ὁ τοῦ λόγου ἔφορος. ἢ ὅτι μέγιστον ἐστὶν ἔρυμα τῶν περὶ τὸν βίον. ὅθεν καὶ τὰ ἀπὸ τύχης ἀγαθὰ καὶ κέρδη, ἕρμαια.

Ἑρμῆς στροφαῖος, ὁ παρὰ ταῖς θύραις ἱδρυμένος ἀπὸ τοῦ στροφαίου τῆς θύρας.

Ἑρμίς, δικαστάλη κτόν ἐστι. καὶ σημαίνει τοῦ κραβάτου τὸν πόδα. ὅμηρος, Ἑρμῖν ἀσκήσας. παρὰ τὸ εἴρω τὸ ἁρμόζω, ὁ ἐνειρόμενος καὶ ἁρμόζων τῇ κλίνῃ. ἢ παρὰ τὸ ἕρμα εἶναι τοῦ παντός, ὅ ἐστιν ἔρεισμα. ἢ παρὰ τὸ ἐνείρεσθαι. ἢ παρὰ τὸν ἑρμῆν.

Ἑρμίς, ὁ κλινόπους. ἐπειδὴ ἐν αὐτοῖς ἐγλυφον ἀγάλματα ἑρμοῦ, ὡς ἐφόρου ὕπνου καὶ ὀνείρων. καὶ φιλο-

Ἑρμιόνη, ἡ θυγάτηρ μενελάου ξένης, χάρισιν. καὶ ἐλένης. ἔστι καὶ ὄνομα πόλεως. Ἑρμιόνην ἀσίνηντε. παρὰ τὸ εἴρω τὸ ἁρμόζω, ἀφ' οὗ ἑρμῆς, ἑρμίων. καὶ παράγωγον, ἑρμιόνη.

Ἑρμηνεύς, παρὰ τὸν ἑρμῆν.

Ἑρμώνεια, προσωπεῖα οὕτω καλούμενα ποιά, ἀπὸ ἑρμῶνος τοῦ πρῶτον ποιήσαντος. ὡς ἡ θηρίκλειος κύλιξ καὶ ἰφικράτης, τὸ ὑπόδημα.

Ἔρνος, φυτὸν κλάδου. τὸ ἐκ τῆς ἔρας γινόμενον.

Ἐρξίας, ὄνομα κύριον, παρὰ τὸ ῥέζω ῥέξω, ῥεξίας. ὑπερβιβασμῷ, ἐρξίας ὁ πρακτικός. ὁμοίως τῷ ἐρέκτης.

Ἑρπετόν, ζῶον χερσαῖον. παρὰ τὸ ἐρείπειν ἔρκτης. τὸ καταπίπτειν. τὸ μὴ ὀρθὸν περιπατεῖν. καὶ ψιλοῦσι τινὲς τὸ ὄνομα. κυρίως γὰρ λέγεται ὑπὸ τῶν στειρογάστρων ζώων. παρὰ τὸ ἕρπω ἑρπετόν. ὡς κόπτω, κοπετός. ἢ παρὰ τὸ ἐν τῇ ἔρᾳ πέτειν. κυρίως δὲ τὰ ἄποδα ἑρπετὰ, ἀπὸ τοῦ πίπτειν ἐν τῇ ἔρᾳ. καταχρηστικῶς δὲ καὶ τὰ τετράποδα. ἑρπῶ, ἑρπήσω, ἑρπητόν, καὶ ἑρπετόν.

Ἑρπήν, ὄνομα πάθους παρὰ τὸ ἕρπω ἑρπήν. ἔστι δὲ πάθος χαλεπόν. ἀπὸ τοῦ ἕρπειν καθόλου τοῦ σώματος. ἐπιπλατύνεται γὰρ τῷ σώματι οὐκ εἰς ὄγκον, ἀλλ' εἰς πλάτος καὶ μῆκος. λέγεται δὲ καὶ ἑρπήνη, ὡς εὗρον εἰς τὸ λεξικόν.

Ἑρπηστικός, ἐκ τοῦ ἕρπω γίνεται περισπώμενον ἑρπῶ, ἑρπήσω. ἐξ αὐτοῦ, ἑρπητικός. καὶ πλεονασμῷ τοῦ ς. ὡς χρώσω χρωτής, καὶ χρωστής.

Ἑρπύλλος, παρὰ τὸ ἕρπειν ἐν τῷ αὔξεσθαι.

Ἐρράδαται, ἀπὸ τοῦ ῥάζω ῥάσω. ὁ παθητικὸς παρακείμενος ἔρρασμαι ἔρρασαι. καὶ ἰωνικῶς ἐρράδαται.

Ἐρρέθην, ἀπὸ τοῦ ῥῶ, ῥήσω, ἔρρηκα ἔρρημαι, ἐρρέθην, ἢ ἐρρήθην. καὶ κατὰ συγκοπὴν ἐρρέθην. τὸ δὲ ῥῶ, σημαίνει τὸ λέγω.

Ἐρρέοντι, παρὰ ἀλκαίῳ, ἀπὸ τοῦ ἔρρω, ἢ ἐρρῶ περισπωμένου. ἡ μετοχή ἐρρεῖς, ἐρρέντες. καὶ ὡς παρὰ τὸ ἐθέλοντες, ἐθέλοντι, οὕτω καὶ παρὰ τὸ ἐρρέοντες ἐρρέοντι.

Ἐρηνοβοσκός. ὁ προβατοβοσκός. ἐν τυροῖ β΄ σοφοκλῆς.

Ἐρρίγησιν, ἀπὸ τοῦ ῥιγῶ, ῥιγήσω, ἔρρίγηκα. ὁ μέσος, ἔρρίγα. καὶ κατὰ μεταπλασμόν, ἐρρίγω. καὶ τὸ ὑποτακτικόν, ἐρρίγω. τὸ δεύτερον, ἐρρίγῃς. τὸ τρίτον, ἐρρίγῃσιν. ἀντὶ τοῦ εὐλαβηθῇ. φοβηθῇ.

Ἐρρωπίζομεν, ἔμικτα καὶ συμπεφορημένα ἐποιοῦμεν. ῥῶπος γὰρ ὁ ποικίλος καὶ λεπτὸς φόρτος.

Ἔρρω, σημαίνει τὸ φθείρω. δηλοῦ, Ἔρρε κακὴ γλήνη. καὶ, Ἔρρε κυνὸς σου θᾶσσον, ἀντὶ τοῦ φθείρου. καὶ, Ἐνθάδ' ἐρρῶν, ἀντὶ τοῦ ἐπὶ φθορᾷ παραγενόμενος. μετοχή. παρὰ τὸ ῥῶ τὸ φθείρω. μετὰ τοῦ ερι ἐν συγκοπῇ, ἔρρω. ὡς τὸ ἐριθυρίς, ἡ μεγάλη θυρίς. καὶ ἐρθυρίς. τινὲς δὲ παρὰ τὸ φθέρσω αἰολικῶς, κατ' ἀποβολὴν τῶν δύο συμφώνων, καὶ τροπὴ τοῦ σ εἰς ρ.

Ἕρσαι, αἱ ἐν ἔαρι γεννηθεῖσαι. ἢ αἱ ἁπαλαί, καὶ τελείως νέαι μεταφορικῶς, ὡς ἀρισταῖνος ἐν σημείοις. ἕρση γάρ ἐστιν ἡ δρόσος. καὶ αἰσχύλος ἐν ἀγαμέμνονι, τοὺς σκύμνους τῶν λεόντων, δρόσους κέκληκε μεταφράζων τοῦτο. ἔστι δὲ καὶ ῥῆμα σημαῖνον τὸ πνίγω. ὡς τὸ, Οὐ γὰρ τὴν αὐλὸς ἀποέρσει. ἔστι δὲ παρὰ τὸ εἴρω. ὁ μέλλων αἰολικῶς, ἔρσω. ἀπὸ τοῦ εἴργειν καὶ ἐπέχειν τὴν ἀναπνοήν. ὅθεν καὶ εἱρκτή, παρὰ τὸ ἕρκος. καὶ ἐρχθέντα, ἃ ἐν ὕδατι ἀποπνιγέντα. ψιλοῦται. παρὰ τὸ εἴργω. ὁ παρακείμενος, εἷρχα, εἷργμαι, εἱρχθην. ἡ μετοχή, ἐρχθείς, ἐρχθέντες. ἀττικῶς δὲ δασύνεται.

Ἔρχαται, ἀπὸ τοῦ εἴργω. ὁ παθητικὸς παρακείμενος, εἷργμαι. τὸ τρίτον, εἷρκται. καὶ ἰωνικῶς εἵρχαται, καὶ ἔρχαται. ὡσαύτως καὶ ὁ ὑπερσυντέλικος εἵρκτο. καὶ ἰωνικῶς, ἔρχατο.

Ἕρση, ἡ δρόσος. νοτία ὁμίχλη. καὶ πλεονασμῷ τοῦ ε, ἐέρση. παρὰ τὸ ἄρδω ἄρσω, ἄρσι, καὶ ἕρση. ποτίζεται γὰρ ὑπ' αὐτῆς πάντα τὰ φυτά, καὶ καταρδεύεται. ἢ παρὰ τὸ ἐράζε στεύεσθαι. ἢ παρὰ τὸ ἐρανδεύειν.

Ἑρσώδης, ὁ δροσώδης ἐκ τῆς ἕρσης. ἢ ὁ ἐν ὕδατι ἀποπνιγείς.

Ἐρύω, ὥσπερ γέγονεν τὸ ἀρτύω ἐκ τοῦ ἀρτῶ κατὰ πλεονασμὸν τοῦ υ, καὶ ἀπὸ τοῦ μυῶ, μύω καὶ μηνύω πλεονασμῷ τοῦ ν, οὕτω καὶ παρὰ τὸ ῥῶ, ὃ σημαίνει τὸ ἰσχύω, ἐπενθέσει τοῦ υ, ῥύω. καὶ πλεονασμῷ τοῦ ε, ἐρύω. οἷον, δυνάμει ἑλκύω. ἢ παρὰ τὸ ἐρῶ τὸ λέγω, ἐρύω. ὁ μέλλων, ἐρύσω, ἐρυσάμην ὁ μέσος πρῶτος ἀόριστος. ἡ μετοχή ἐρυσάμενος. καὶ ποιητικῶς διὰ δύο σσ. ὁ παθητικὸς παρακείμενος, ἔρυμαι. ἔρυσαι. ἔρυται. καὶ ἰωνικῶς ἐρύαται. ἢ ἐρύω. καὶ ὁ παρατατικός, εἴρυον. ὁ παρακείμενος, εἴρυκα. ὁ παθητικός, εἴρυμαι. καὶ ἰωνικὸν πληθυντικόν, εἰρύαται. ἢ παρὰ τὸ εἴρυμαι. τὸ παθητικὸν εἴρυμαι εἴρυται. καὶ ἀττικῶς εἰρύαται.

Ἔρυτο, ἐφύλαξεν. ἐβοήθησεν. ἀπὸ τοῦ ἐρύμην εἴρυτο.

Ἔρυκε, κατεῖχεν. ἐκώλυεν.

Ἔρυξαν, κατέσχον. ἐκώλυσαν. ἐρύκω, ἐρύξω. ἔρξα. παρὰ τὸ ἕρκος ἐρκύω. καὶ καθ' ὑπερθέσιν, ἐρύκω. ἀπὸ τοῦ ἐρακῶ, γίνεται ἐράκω καὶ ἐρύκω κατὰ τροπὴν τοῦ α εἰς υ. ἢ παρὰ τὸ εἴργω τὸ κωλύω ἐρύκω. κυρίως γὰρ ἐρύκειν τὸ ἐν τῇ γῇ κατέχειν. καὶ ἀπερύκειν, κατέχειν. κωλύειν. κρατεῖν.

Ἔρυμα χροός, φύλαγμα καὶ ἀσφάλισμα τοῦ σώματος. παρὰ τὸ ἐρύω, ἢ παρὰ τὸ ῥύω τὸ φυλάσσω. ὡς λύω λῦμα. καὶ θύω θῦμα καὶ εἰλύω εἴλυμα. Εἵματα μοι εἴλυμα ἐστί.

Ἐρυμνώσας, ἰσχυροποιήσας. πυκνώσας. Ἐρυμνώσας, ἀσφαλισάμενος. παρὰ τὸ ἔρυμα, ὃ σημαίνει τὴν ἀσφάλειαν ἐρυμνῶ πλεονασμῷ τοῦ ν.

Ἐρύμας, ἐρύμαντος, ὄνομα ἥρωος. παρὰ τὸ ἐρύω, ἔρυμα καὶ ἐρύμας. τὸ δὲ ἐρύω, καὶ ῥύω φησὶν ὁ ποιητής. Εἴρυτο δὲ ἄστυ καὶ αὐτούς.

Ἐρυμνή, ἰσχυρά. ὑψηλή. παρὰ τὸ ἐρυμνόν, ἐρύματος τάξιν ἐπέχουσα.

Ἐρυσίπολις, ἡ ἐρύουσα καὶ ἀνθέλκουσα ἐν ταῖς μάχαις τὰς πόλεις. ὡς ἐρυσάρματας ἵππους τοὺς ἕλκοντας τὰ ἅρματα. ἢ παρὰ τὸ ῥύεσθαι τὰς πόλεις. ἄμεινον δὲ οὕτως. ὅθεν καὶ πολιοῦχος. καὶ ῥύεσθαι, τὸ φυλάσσειν. ἰλιάδος ζ. Πότνι' ἀθηναίη ἐρυσίπτολι. φυλάσσουσα τὴν πόλιν.

Ἐρυσιπέλας, πάθος πλανώμενον καὶ σηπόν. παρὰ τὸ ἐρύεσθαι εἰς τὸ πέλας, ὅ ἐστιν ἕλκεσθαι. καὶ ἐπιέρχεσθαι τοῖς πλησίον ἐπινεμόμενον.

Ἐρυσίδη, πόλις σικελίας. ἀπὸ τοῦ ἔρυκος υἱοῦ ἀφροδίτης.

Ἐρυσίβη, τὸ ἐκ τοῦ ἀέρος καὶ τῆς πάχνης ἐπιγινόμενον φθαρτικὸν τῶν καρπῶν. ἢ τὴν τοῖς στάχυσιν ἐπανθοῦσαν ὠχρίαν καὶ συγκλονοῦσαν τοὺς καρπούς. ἣν τινὲς ἐκβαλίδα καλοῦσιν. ἀερυγίνη τις οὖσα, ἡ ἐκ τοῦ ἀέρος γινομένη. ἢ παρὰ τὸ ἐρύειν καὶ γίνεσθαι ἢ ἐπισκοπωμένη νόσος τῶν καρπῶν. παρὰ τὸ ἐρύω τὸ κωλύω, καὶ τὸ βῶ τὸ τρέφω. ἡ κωλύουσα τρέφεσθαι τοὺς καρπούς. σημαίνει δὲ τὴν πάχνην τὴν γινομένην ἐν δυσαερίᾳ καὶ φθείρουσα τοὺς καρπούς.

Ἔρυξ, πόλις σικελίας ἀρσενικῶς. τὸ ἐθνικόν, ἐρυκῖνος. τὸ θηλυκόν, ἐρυκίνη. ἔστι δὲ καὶ ἐρύκη πόλις, καὶ ἐρυκαῖος.

Ἐρυσίβη. τὸ σι, ι. διατί. τὰ ἀπὸ μελλόντων συντιθέμενα, τῷ ι παραλήγεται. στήσω, στησίχορος. ἐρύσω ἐρυσίβη, ὅ ἐστιν ὥς τινες ζῷον μικρόν.

Ἐρυθρόν, παρὰ τὸ ἐρύω ἐρύσω, ἐρυτὸν καὶ ἐρυθρόν. λέγεται δὲ τὸ ἐρύον καὶ κωλύον. ἢ παρὰ τὸ ἐρεύθω τὸ βλάπτω, ἐρευθὸν καὶ ἐρυθρόν.

Ἐρυθρὰ θάλασσα, ἀπὸ ἐρυθροῦ βασιλέως πεσόντος ἐκεῖ καὶ πνιγέντος. ἢ ἀπὸ τῶν παρακειμένων ὀρέων ἐρυθρῶν, ἅτινα ἐρυθρὰ δεινῶς καὶ πορφυρᾶ. καὶ ἐπὰν βάλλῃ ὁ ἥλιος αὐτοῖς ταύτην, κατὰ πέμπει εἰς τὴν θάλασσαν σκιὰν ἐρυθράν. καὶ ὄμβρω δὲ κατακλυσθέντων τῶν ὀρέων, οὕτω ἐστὶν ἡ θάλασσα τὴν χρόαν.

Ἐρυθραῖον πέλαγος, ἀπὸ ἐρυθραίου τινὸς βασιλέως. ἀποθανόντος γὰρ αὐτοῦ, ἔρριψαν αὐτὸν ἐν τῇ θαλάσσῃ, ἐπιγράψαντες τῷ τάφῳ, Ἐνθάδε τάφος ἁλὸς παμμεδέοντος ἐρυθροῦ.

Ἐρύθεια, νῆσος ἐν τῷ ὠκεανῷ. ὁ οἰκήτωρ τῆς, ἐρυθεὺς, ὡς μαντινεύς. ἢ ἐρυθείτης, ὡς ζελείτης.

Ἐρυθαίνω, φοινίσσω. μολύνω.

Ἐρύγμηλος. τὰ διὰ τοῦ ηλος ὑπὲρ δύο συλλαβὰς προσηγορικὰ ἢ κύρια, προπαροξύνονται. οἷον κάμηλος. φάσηλος. τὰ μέντοι ἐπίθετα ὀξύνονται, ὅτι ἔχει παρασχηματισμὸν θηλυκοῦ. οἷον, σιγηλός. ὑψηλός. μὴ οὕτω δὲ ἔχοντα, βαρύνεται. βέβηλος. κίβδηλος. κάπηλος. ἐρύγμηλος. γέγονε παρὰ τὸ ἐρύγω. ἐρυγηλός τις ὤν. καὶ πλεονασμῷ τοῦ μ. ὅθεν, Ἤρυγεν ἑλκόμενος. ἢ παρὰ τὴν ἐρυγήν. ἐρυγμήλη δὲ, ἐπίθετον γεραφανίου, ἴσως ἀπὸ τῆς ἐρυγῆς. Ταύρων ἐρυγμήλων.

Ἐροίη, ὡς περιπατοίη.

Ἐροτὶς, ἡ ἑορτή. ὥσπερ γὰρ παρὰ τὸ κάλπη γίνεται κάλπις. καὶ φήμη φῆμις, οὕτω καὶ παρὰ τὸ ἑορτὴ παρώνυμον ἑορτίς. καὶ καθ᾽ ὑπόθεσιν, ἐροτίς. ὡς αὐλὴ, αὐλίς. ἢ θυσία ἀπὸ, παρὰ τὸ ἐρᾶν αὐτῆς.

Ἔρος. ἐξ ἔρον ἕντο. ἔρον τὸν ἔρωτα οἱ αἰολεῖς λέγουσιν. ὁ ἔρος τοῦ ἔρου τῷ ἔρῳ. τὸν ἔρον αἰολικῶς. λέγουσι δὲ τὸ μὲν ἔρος, ἐπὶ παντός. τὸ δὲ ἔρως ἐπὶ τῆς ἀφροδίτης, ὅ ἐστιν ἀπίθανον. πίνδαρος γοῦν, Καὶ γὰρ ἑταίροις ἑταίρων ἔκνιζεν ἔρως φρένας.

Ἔρως. πλάτων ἐτυμολογεῖ, παρὰ τὸ ἑλῶ ἕλως. καὶ τροπῇ, ἔρως. ἴσως δὲ ὅτι ἔρρει πᾶς ὑπ᾽ αὐτοῦ. ἢ παρὰ τὸ ἑλεῖν τὸν ἑλόντα. ἢ παρὰ τὸ εἴργειν τὸ δεσμεῖν, ὅτι ἐνδέων ἡμᾶς πόθος. ἢ παρὰ τὸ ἔρδειν τὰς ψυχὰς τῶν ἐρώντων τοῖς ἐρωμένοις, ὅ ἐστιν ἕπεσθαι. Τυφλὸς γὰρ ὁ ἐρῶν περὶ τὸ ἐρώμενον. ἢ παρὰ τὸ ἐρρῶσθαι. ὁ ἰσχυρὸς, ὁ πάντων περιγινόμενος. ἢ ἀπὸ τοῦ ἄρης ἄρεως καὶ ἔρως. ἄρεως γὰρ μυθολογεῖται υἱός. ἢ παρὰ τὸ εἴρω τὸ λέγω. λάλοι γὰρ οἱ ἐρῶντες. ἢ παρὰ τὸ ὁρῶ τὸ βλέπω. ὅτι διὰ τῆς αἰσθητικῆς ὁράσεως ἐγγινόμενος τοῖς ἀνθρώποις πόθος. ἔρος δὲ, παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ.

Ἐρῶ. ἔστι μὲν χωριστὶ, ἀποκοπή ἐστιν ἀπὸ τῆς ἔρωτος γενικῆς καὶ ἔρωτι δοτικῆς. ἔστι δὲ μετὰ τοῦ ι, ὁ ἔρος τοῦ ἔρου, τῷ

Ἔρως, ὁ στέφανος παρὰ νικαεῦσιν, ἐκ τῶν ἀνθέων ἐρώντων τοῖς νεκροῖς πωλούμενος. παρὰ τὴν ἔραν τὴν γῆν, ὁ ἐρανισμὸς ἐκ γῆς. ἀπὸ δὲ τοῦ ἐρῶ, ἔρανος, καὶ ἐραννός. ὡς πείθω πιθανός. ἄγω ἀγανός, ὁ διὰ τοῦ ἤθους ἐπαγόμενος.

Ἐρωτῶ. παρὰ τὴν ἔρωτος γενικὴν, γίνεται ἐρωτῶ. οἱ γὰρ ἐρωτῶντες ὃ εὔχονται μαθεῖν, τοῖς ἐρῶσιν ἐοίκασι. τὸ παθητικὸν, ἐρωτῶμαι. ἠρωταόμην ἠρωτώμην. τὸ εὐκτικὸν, ἐρωταοίμην ἐρωτῴμην. ἐρωταοίατο ἐρωτῷτο.

Ἐρωδιὸς, ἐτυμολογεῖται διαφόρως. οἱ μὲν, παρὰ τὸ ἔαρ ὃ σημαίνει τὸ αἷμα ὡς παρὰ κυρηναίῳ. Αἷμα γὰρ λύχνου τὸ ἔλαιον. ἢ ἔλεξαν ἔαρ. γίνεται ἔωρ, ὡς τέκω τέκμωρ. ἀπὸ γοῦν τοῦ ἔωρ καὶ τοῦ ἰδίειν τὸ ἱδροῦν, γίνεται ἐν ὑποθέσει. ἐν γὰρ ταῖς μίξεσιν ὥς φασιν ὁ ἐρωδιὸς αἷμα ἱδροῖ. ἀντιλέγει δὲ κλαύδιος ὁ φιλόσοφος, ὅτι τὸ τέκμωρ οὐκ ἐγένετο ἀπὸ τοῦ τέκμαρ, ἀλλὰ προϋπάρχει. ἀπὸ γὰρ τοῦ τέκω, γίνεται τέκωρ καὶ τέκμωρ. πλεονασμῷ τοῦ μ. καὶ κακῶς λέγει τὸ ἔαρ ἔωρ γίνεσθαι. οὐδαμοῦ γὰρ εὕρηται ἔωρ. εἰ δὲ καὶ οὕτως ἐγένετο, ἐωρίδιος εἶχε γενέσθαι. ἀλλ᾽ ἔστιν εἰπεῖν ὅτι ἀπὸ τοῦ ἐρωίδιος γέγονε κατὰ συναίρεσιν ἐρωδιός. ἔτι δὲ λέγεται, ὅτι ἀπὸ τοῦ ἕλους καὶ τὸ ἴδιον, γίνεται ἕλος ἑλοίδιος. καὶ ἐκτάσει τοῦ ο εἰς ω, ἑλωδιός. καὶ τροπῇ τοῦ λ εἰς ρ. πολλάκις γὰρ τρέπεται τὸ λ εἰς ρ. οἷον, θλῶ θλάσω καὶ θραύσω. ἄλλοι δὲ λέγουσιν ἀπὸ τοῦ ἔρωτος καὶ τοῦ ἴδιον, γίνεται ἐρωτίδιος. καὶ ἀφαιρέσει τοῦ τ καὶ συναιρέσει, ἐρωδιός. καὶ γὰρ ὥς φασιν ἀφροδίσιόν ἐστι τὸ ὄρνεον. ἀλλ᾽ οὐκ ἔστιν ἀφροδίσιον. ἀντιλέγει ὁ κλαύδιος. ἀλλὰ τοῦ μαντείου τῆς ἀθηνᾶς, ὥς φησιν ὁ ποιητής. Τοῖσι δὲ δεξιὸν ἧκεν ἐρωδιὸν ἐγγὺς ὁδοῖο παλλὰς ἀθήνη. ἔστι δὲ εἰπεῖν πρὸς αὐτὸν, ὥς φησιν ἀριστοτέλης, ὅτι πολλά εἰσιν ἐρωδιοῦ εἴδη. δύναται οὖν τὰ μὲν αὐτῶν, τῇ ἀθηνᾷ ἀνακεῖσθαι. τὰ δὲ, τῇ ἀφροδίτῃ. ὁ δὲ ἡρωδιανὸς λέγει, ὅτι ὥσπερ ἀπὸ τοῦ ἁρμόζω γίνεται ἁρμόδιος, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ ῥοίζου, γίνεται ῥοίδιος παρὰ τὸ ῥοῖζον. καὶ πλεονασμῷ τοῦ ε, καὶ ἐκτάσει τοῦ ο εἰς ω, ἐρωδιός. καὶ μετὰ τοῦ ι προσγεγραμμένου. καὶ λέγουσί τινες ὅτι ὤφειλε βαρύνεσθαι. τὰ γὰρ διὰ τοῦ διος πάντα βαρύνονται. πατρίδιος. μαλίδιος. ἀλλ᾽ ἔστιν εἰπεῖν, ὅτι ἠκολούθησε τοῖς τῶν ὀρνέων. τὰ γὰρ εἰς ος καθαρὰ τῷ ι παραληγόμενα ὑπὲρ δύο συλλαβὰς, τῶν ὀρνέων, ὀξύνονται. αἰγυπιός. χαραδριός. βομβυλιός. οὕτω καὶ ἐρωδιός. λέγεται καὶ ῥωδιὸς παρὰ ἱππώνακτι. Κνεφαῖος ἐλθὼν ῥωδιῷ κατηυλίσθην. καὶ ὡς μὲν πρὸς τὴν συνήθειαν, ἔστιν ἀφαίρεσις. ὡς δὲ πρὸς τὸν σχηματισμὸν, ἐντελές. ἢ παρὰ τὸ ἕλος ἑλωδιὸς καὶ ἐρωδιός. φιληδεῖ γὰρ τοῖς ἑλώδεσι τόποις.

Ἐρωὴ, σημαίνει δύο. τὴν κατάπαυσιν τοῦ πολέμου. ὡς τὸ, Πολέμου δ᾽ οὐ γίνετ᾽ ἐρωή. καὶ τὴν ὁρμήν. ὡς τὸ, Ὄφρα δὲ Τυδείδης μετὰ δούρατος ᾤχετ᾽ ἐρωήν. καὶ τὴν ὑποχώρησιν. ὡς τὸ, Ὑπερώησαν δέ οἱ ἵπποι ὠκέες.

Ἐρωὴ, κυρίως ἡ ὁρμή. καὶ κατὰ μετά- ὑπεχώρησαν. ληψιν ἡ ἰσχύς. ὡς τὸ, Οὐδ᾽ οὐχὶ πέμψειν ἐρωήν. παρὰ τὸ ἐρῶ τὸ ὁρμῶ, γίνεται ἐρώω. ὡς τὸ ζῶ, ζώω. καὶ ὡς ζῶ, ζωή, οὕτω ἐρῶ ἐρωή. καὶ πλεονασμῷ τοῦ ε, ἐρωή. ἐξ οὗ ἐρωῶ ἐρωήσω ῥῆμα. σημαίνει τὸ ἀμελῶ. ἢ ἀπὸ τῆς ἐράσεως. χύσις γάρ τις καὶ ἀπόκλυσίς ἐστιν ὡς καλλίμαχος. Ἐρώησας θηρὸς ὀλοὸν κέρας, τὸ εἰς τὴν ἔραν καταγαγών. ἢ ἐρωῶ ἐστὶ ῥῆμα, ἐξ οὗ ἐρωή. ἔνθα τὸ, Πολέμου ἀπερωήσειας.

Ἐρωήσει τῷ δουρί. περιρρυήσεται τῷ δόρατι. Μὴ δέ τε-

σάλευε, λέγεται καὶ ἐπὶ νεῶν, ἐρῶε. μὴ δὲ συγχώρει. καὶ ἐπὶ ἀνθρώπων. ἐπὶ μὲν πλοίων, ὡς δίων ἐν ῥωμαϊκῇ ἱστορίᾳ. Ὀλίγα μὲν γὰρ καὶ τὰ κουφότατα τῶν πλοίων πρὸς τὴν γῆν ὥρμει. τὰ δὲ δὴ πλείω καὶ μείζω μετέωρα διὰ τὰ τενάγη ἀπεσάλευεν. ἐπὶ δὲ ἀνθρώπων, ὡς τὸ, Ἐφ᾽ ἑνὶ δὲ τῶν παίδων ἀπεσάλευεν.

Ἕς. ἵημι ἥσω. ὁ β ἀόριστος, ἧν. ἡ μετοχὴ, εἷς, ἕντος. καὶ τὸ προστακτικὸν, ἕς. καὶ γίνεται ἕθι. ἀλλὰ σεσημείωται τὸ θές, δός, ἕς. καὶ ἐν συνθέσει, πρόες καὶ ἄφες.

Ἔσαν. Τώ, οἳ ἔσαν κήρυκε. οἵτινες αὐτῷ ὑπῆρχον. εἰμὶ τὸ ὑπάρχω. ὁ παρατατικὸς, εἶν. τὸ πληθυντικὸν, ἔμεν, ἔτε, ἔσαν. ῥῆμα τῶν εἰς μι. ὁ παρατατικὸς ἦν. τὸ πληθυντικὸν ἦμεν. ἦτε. ἦσαν. καὶ συστολῇ ἔσαν. εἰμὶ τὸ ὑπάρχω. τὸ πληθυντικὸν, ἐμέν. καὶ πλεονασμῷ τοῦ σ ἐσμέν. τὸ δεύτερον, ἐτέ, ἐστέ.

Ἔσεται. ἔω τὸ ὑπάρχω. ὁ μέλλων, ἔσω. ὁ μέσος μέλλων, ἔσομαι. ἔσῃ. ἔσεται. καὶ ἀποβολῇ τοῦ τ, ἔσεαι γίνεται δευτέρου προσώπου. ἢ ἐκ τοῦ ἔσῃ δευτέρου προσώπου διαλύσει ἰωνικῇ τοῦ η εἰς ε καὶ α, γίνεται ἔσεαι. διχῶς δὲ προφέρεται. ἔσεται δι᾽ ἑνὸς σ κοινῶς. ἔσσεται διὰ δύο σσ ποιητικῶς. οἱ γὰρ σικελοὶ τὰ ἀπὸ μέλλοντος ῥήματα, προηγουμένου βραχέος φωνήεντος, διπλασιάζουσι τὸ σ. τελέσσω λέγοντες. ὁμοίως καὶ τὸ ἔσω, ἔσσω. ἐκ τοῦ ἔσσεται, γίνεται συγκοπῇ ἔσται. λέγεται καὶ ἐσσεῖται δωρικῶς. ἰλιάδος β. Οὔ οἱ ἔπειτα ἄρκιον ἐσσεῖται φυγέειν κύνας. ἀντὶ τοῦ οὐκ ἂν αὐτῷ ἱκανόν. καὶ ὤφειλεν εἶναι ἔσεται, καὶ γενήσεται. ἐπὶ τοῦ μέσου μέλλοντος οἱ δωριεῖς παραθέντες τὸ ι, προπερισπῶσιν. οἷον ἐκ τοῦ ἔσεται, καὶ πλεύσεται, ἐσσεῖται, πλευσεῖται, ῥευσεῖται.

Ἐσσομένοισι, τοῖς μεταγενεστέροις. ἔω, ἔσω. ὁ μέσος μέλλων, ἔσομαι. ἡ μετοχὴ, ἐσόμενος. καὶ διπλασιάζουσι τὸ σ.

Ἔσκεν, ὑπῆρχε. γέγονε δὲ ἰωνικῶς. ὡς οἱ ποιηταί. γὰρ παρὰ τὸ ἔφερον, φέρεσκον, καὶ παρὰ τὸ ἔλεγον, λέγεσκον, οὕτω καὶ παρὰ τὸ ἔον, ὤφειλεν εἶναι τὸ ἰωνικὸν, ἔεσκον. ἀλλὰ διὰ τὴν ἐπαλληλίαν τὸ ε ἐξεβλήθη, καὶ γέγονεν ἔσκον. ἔσκες. ἔσκε τὸ τρίτον. ἢ ἀπὸ τοῦ ἔω, ὦ. ἔῃς, εἶς. καὶ οἱ δωριεῖς τὰ δύο πρόσωπα τοῦ παρατατικοῦ κατὰ ἀφαίρεσιν τοῦ ι προφέρουσι, προσθέσει τοῦ σκε. οἷον ἐφίλει, ἐφίλεσκε. οὕτως οὖν καὶ εἶ, ἔσκε. ζήτει εἰς τὸ εἰμί.

Ἔστω, ἐκ τοῦ ἔω, εἰμί. τὸ πληθυντικὸν, ἔμεν. ὁ παρατατικὸς, ἦν. ἡ μετοχὴ, εἷς, ἕντος. καὶ τὸ προστακτικὸν, ἔθι. τὸ γ, ἔτω. καὶ πλεονασμῷ τοῦ σ, ἔστω. Εἷς δέ τις ἀνὴρ βουληφόρος ἔστω. γενέσθω. ἢ τὸ προστακτικὸν ἔθι γίνεται ἴσθι, πλεονασμῷ τοῦ σ καὶ τροπῇ. τὸ γὰρ ε ἡνίκα πλεονάσῃ σύμφωνον, τρέπεται εἰς ι. οἷον ἔπω, ἴσπω. καὶ ἐκ τοῦ ἴσθι, τὸ τρίτον, ἔστω. τὸ γὰρ κεχρεωστημένον ε, ἀνέλαβε τὸ τρίτον. τὰ δυϊκὰ ἔστον, ἔστων. Ἄμφω δὲ νεωτέρω ἐστὸν ἐμεῖο. ἀντὶ τοῦ ἔστε. ὑπάρχετε. Τὼ δ᾽ αὐτὼ μάρτυροι ἔστων. ἀποκοπῇ τοῦ ἔστωσαν. ὑπαρχέτωσαν. ἔστε, ἐκ τοῦ ἔθι προστακτικοῦ. τὸ γ, ἔτω, καὶ ἔστω. καὶ τὸ πληθυντικὸν, ἔστε, ἔστωσαν. οἷον, Ἀνέρες ἔστε φίλοι. βαρύνεται. τὰ εἰς τε λήγοντα προστακτικὰ ὁμοιοκατάληκτα ὄντα τοῖς ὁριστικοῖς, ὁμότονα καθεστήκασιν. οἷον ἤγετε, ἄγετε. ἐλέγετε, λέγετε. ἐπίτασιν οὖν ἔχει τὸ ἐστέ. τὸ μὲν ὁριστικὸν ὀξύνεται. τὸ δὲ προστακτικὸν βαρύνεται. ὁμοίως καὶ τὸ φάτε.

Ἔστε, σημαίνει τὸ ἕως ἄν. σοφοκλῆς. Ἔστ᾽ ἐγὼ μολὼν τάφου μελήσω. γέγονε δὲ παρὰ τὴν ἐς πρόθεσιν καὶ τὸν τε, ὃν παρὰ πληρωματικὸν παρειλημμένον. διὸ καὶ ψιλοῦται ἀττικῶς. δωριεῖς δὲ δασύνουσιν ἀπὸ τοῦ ἕως τε, κατὰ συγκοπὴν ἡγούμενοι εἶναι.

Ἐστί τι κτείνεσθαι ἐάσατε λαὸν ἀχαιοῖς. ἰλιάδος ε. ἀντὶ μέχρι τινός. οὐ χρῶς οἴεται ὁ ἀσκαλωνίτης, ἐν ἔπεσιν, ἀλλὰ διαμερίζει τοῦ χρόνου ἐστίν. ἡ ἐς πρόθεσις, ὅπερ ἐστὶν ἕως κεῖται. τι, ἀντὶ τινός. καὶ ἔστι. οὐκ ἄνθες δὲ πρόθεσιν ἰσοδυναμεῖν ἐπιρρήμασιν.

Ἔσταν, ἐκ τοῦ ἔστησαν δευτέρου ἀορίστου. κατὰ συγκοπὴν ἔσταν. ἀπὸ δὲ τοῦ ἵστημι, ὁ δεύτερος ἀόριστος, ἔστην. τὸ τρίτον τῶν πληθυντικῶν, ἔστησαν. καὶ συγκοπῇ, Ἔσταν δ᾽ ἐν λιμένι. τοῦτο μὲν δασύνεται, ἐπειδὴ ἀπὸ τοῦ ἔστησαν ἐστὶ κατὰ συγκοπήν. ὁ δὲ παρακείμενος καὶ ὑπερσυντέλικος, ἀπὸ τοῦ τοῦ ῥήματος δασύνεται. τὸ δέ, Τοὺς ἔστασαν υἷες ἀχαιῶν, ψιλοῦται. ἐπειδὴ ἀπὸ τοῦ ἔστησαν ἐστὶ πρω-

Ἑστάοτες. ἀπὸ τοῦ ἵστημι, στήσω, ἕστηκα, ἑστη- κὼς ἡ μετοχή. καὶ ἑστηκώς. καὶ συστολῇ, ἑσταώς, ἑσταότος. ἔστι καὶ ἕστακα. ἔστιν εἰς τὸ γεγῶσα. ἢ εἰς τὸ ἕστακα. ἑστάκω ῥῆμα, ἢ ἑστήκω. τοῦ ἵστημι, ὁ παρακείμενος, ἕστηκα ἐστί. διατί ἵνα μὴ συνεμπέσῃ τῷ ἀπὸ τοῦ ἑστήκω ἑστήξω μέσου παρακειμένου. ἑστηκὼς, καὶ τεθνηκὼς, καὶ βεβηκώς. καὶ κατὰ κρᾶσιν, ἑστὼς, τεθνεὼς, βεώς.

Ἐσταλκώς. τοῦ ἐσταλκώς, οὐκ οἶδε τὴν χρῆσιν ἐπὶ πάθους.

Ἑστία, ἡ θεός. παρὰ τὸ ἕσασθαι ὅ ἐστιν ἱδρύσασθαι. πρώτη γὰρ αὕτη οἶκον συνέστησεν. ἢ ὅτι πανταχοῦ ἵδρυται καὶ τιμᾶται. καὶ ὅτι τὰ ἀγάλματα αὐτῆς ἱδρυόμενα καθήμενα. παρὰ τὸ ἧσθαι, ἢ παρὰ τὸ ἑστάναι, ὅ ἐστιν ἐν ἑνὶ τόπῳ ἱδρύσθαι. καὶ τοὺς οἴκους γὰρ πάλαι ἑστίας ἐκάλουν. ὅμηρος. Ἱστίη τ᾽ ὀδυσῆος ἀμύμονος. εὐριπίδης. Οὔπω τὴν ἄλλην μάθ᾽ εἰδὼν ἑστίαν. καὶ ἡ εὐωχία δὲ, ἑστία λέγεται. διὰ τὸ συνέχειν καὶ ἱδρύειν τὰ σώματα. ἀπὸ μὲν τοῦ ἵζω, ἱστία. ἀπὸ δὲ τοῦ ἕζω, ἑστία. ἐκ τοῦ τυ καὶ ἑστιῶ τὸ ἀριστοποιῶ. καὶ οἱ μὲν ἀττικοὶ, διὰ τοῦ ε, ἑστιῶ καὶ ἑστία. οἱ δὲ ἴωνες καὶ οἱ δωριεῖς, διὰ τοῦ ι ἱστιῶ, καὶ ἱστία. ἀμφότερα δὲ εἰσὶ παρὰ τῷ ποιητῇ. Ἱστίη τ᾽ ὀδυσῆος. καὶ διὰ τοῦ ε. ἐν τῷ ἀνέστιος, ὁ μὴ ἔχων οἰκίαν. καὶ παρὰ ἡσιόδῳ ἄδιμος. καὶ ἡ σωματοειδὴς θεός. Ἱστίην δήμητράν, καὶ ἥραν χρυσοπέδιλον.

Ἐσθὴς τὸ ἱμάτιον. παρὰ τὸ ἕω τὸ ἐνδύομαι. ὁ μέλλων, ἕσω. ὁ παρακείμενος, εἷκα. ὁ παθητικὸς, εἷσμαι. τὸ τρίτον, εἷσται, ὄνομα ἐστός. καὶ ὡς παρὰ τὸ ἀργὸς γίνεται ἀργής ἀργῆτος, καὶ παρὰ τὸ γυμνὸς, Γυμνής Γυμνῆτος, καὶ παρὰ τὸ ποτὸς πότης, πότητος, οὕτω καὶ παρὰ τὸ ἐστός, ἐστής, καὶ ἐσθής. καὶ κλίνεται ἐσθῆτος. τὸ δὲ ἔσθησις ἐσθήσεως ὃ σημαίνει τὴν ἐσθῆτα, γίνεται οὕτως. ἕω. ἔσω. πλεονασμῷ τοῦ θ, γίνεται ῥῆμα περισπώμενον ἐσθῶ. πρὸς ἀντιδιαστολὴν τοῦ ἔσθω τοῦ σημαίνοντος τὸ ἐσθίω. ὁ μέλλων, ἐσθήσω. καὶ ἐξ αὐτοῦ γίνεται ἔσθησις. ἐξ οὗ, Ἦσαν ἄγγελοι ἐν ἐσθήσεσιν ἀστραπτούσαις.

Ἔσθος, τὸ ἔνδυμα. τὸ ἱμάτιον. παρὰ τὸ ἕω τὸ ἐνδύομαι, γίνεται ἐστός. ὡς ἔδω, ἐδεστός. καὶ τροπῇ τοῦ τ εἰς θ, ἔσθος. ἢ παρώνυμον τοῦ ἐσθής.

Ἔσθω, ἀφ᾽ οὗ ἄγωγον, τὸ ἐσθίω. παρὰ τὸ ἔδω γίνεται ἐσός. καὶ ἐκ τοῦ ἐσός, ἔσθω, ὡς ἐγείρω, ἔγερτος, καὶ ἐγέρθω. ἢ

Ἐσθλὸν, τὸ ἀγαθόν. ἐθέλον μετοχὴ, ἐθέλων. καὶ ἐπίθετον. παρὰ τὸ ἐθέλω, ἐθλόν. καὶ πλεονασμῷ τοῦ σ, ἐσθλόν.

Ἑσμός, κυρίως τὸ πλῆθος τῶν μελισσῶν, παρὰ τὸ ἅμα πετομένας ἵεσθαι. ὥσπερ ἀπὸ τοῦ τίθημι θετὸς, καὶ βίβημι βασμὸς καὶ βαθμός, καὶ ἵστημι, στήσω, στασμός, καὶ σταθμός, οὕτω καὶ ἵημι, ἥσω, ἑσμός. ἢ παρὰ τὸ ἕπεσθαι τῷ βασιλεῖ τὰς μελίσσας. ὥσπερ παρὰ τὸ κόμπω, κόμπος. λείπω, λιμός, οὕτως ἕπω, ἑσμός. καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ πλήθους καὶ ὄχλου λαμβάνεται. λέγεται δὲ ἑσμὸς καὶ ὑπὸ Ταναγραίων, ἡ γεννῶσα. ῥητορική. λέγεται καὶ ἡ καθέδρα. καὶ τὰ ἕδνα δὲ τὰ εἰς τὴν ἕδραν τῆς νύμφης διδόμενα.

Ἕστωρ, πασσαλίσκος ἐμβαλλόμενος διὰ τοῦ ῥυμοῦ ἐπὶ τοῦ ζυγοῦ, ὥς φησιν Ὅμηρος. Ἐπὶ δὲ κρίκον ἕστορι βάλλον. ἀντὶ τοῦ δὲ ὀγκάδω τὸν ἕστορα ἔβαλλον. παρὰ τὸ ἕσω, ἕστωρ. ὁ ἐνιέμενος. ὡς ἔχω, ἕκτωρ. θέω, θέστωρ. μήσω, μήστωρ.

Ἕστορι, τῷ ἐνιεμένῳ πασσάλῳ κατὰ τοῦ ῥυμοῦ τοῦ ζυγοῦ. Ἰλιάδος ω. τινὲς δὲ γράφουσιν ἕκτορι, οἱονεὶ ἐχέτορι.

Ἐσσήν, ὁ βασιλεύς, ὡς παρὰ Καλλιμάχῳ. Οὔ σε θεῶν ἐσσῆνα πάλιν θέσαν. παρὰ τὸ ἧσθαι, ἡστήν, ὁ ἤπιαν τοὺς ὑφ' ἑαυτόν. καὶ κατὰ συστολὴν τοῦ η, ἑστήν.

Ἕσσατο. ἔστιν ἕω τὸ ἐνδύομαι. ὁ μέλλων, ἕσω. καὶ πλεονασμῷ τοῦ σ, ἕσσω. ὡς τό, Ἕσσατο δ' ἔκτοσθεν ῥινόν, ἀντὶ ἐνεδύσατο. Ἰλιάδος κ. καὶ Ἕσσατο δέρμα λέοντος. πλεονασμῷ τοῦ ε. ἀντὶ τοῦ περιέθετο. ἠμφιέσατο.

Ἔσσευα, Ἰλιάδος ε. Ἀτρεκὲς αἷμ' ἔσσευα. ἀντὶ τοῦ ἀληθὲς καὶ φανερὸν αἷμα ῥυῆναι ἐποίησα. ἔστι σῶ, τὸ ὁρμῶ. παράγωγον, σύμι. ὁ μέλλων, σύσω. σέσυκα. σέσυμαι. καὶ ἐν ὑπερθέσει, ἔσσυμαι. ἐξ οὗ καὶ τὸ ἐσσυμένως. ἐκ τοῦ σῶ, σεύω. ὁ ἀόριστος, ἔσευσα, καὶ ἀποβολῇ τοῦ σ, ἔσευα.

Ἔσπετε, λέγετέ μοι Μοῦσαι. εἴπατε. ἐξηγεῖσθε. τὸ ψιλούμενον σημαίνει τὸ λέγω. ἐξ οὗ καὶ ἔπος ὁ λόγος. καὶ τὸ τριούμενον δὲ μέρος. καὶ παρὰ μέρος. τὸ ἕπω τὸ β' τῶν πληθυντικῶν ἕπετε. καὶ πλεονασμῷ τοῦ σ, ἔσπετε. εὑρίσκομεν δὲ αὐτοῦ καὶ ἑνικὸν τρίτον, μετὰ τοῦ σ, ἔσπε. οἷον, Πολλὰ δ' ἔσπε. ἔσπετε, ποίου εἴδους τοῦ πλεονασμοῦ. παρεμπτώσεως. καὶ τί ἐστι παρέμπτωσις. πλεονασμὸς συμφώνου κατὰ τὸ μέσον οὐ ποιοῦντος συλλαβήν. οἷον, πόλις, πτόλις. ἕπετο, ἔσπετο.

Ἐσσήν, ὁ βασιλεὺς κατὰ Ἐφεσίους. ἀπὸ μεταφορᾶς τοῦ μελισσῶν βασιλέως, ὃς εἴρηται ἐσσήν. ἀπὸ τοῦ ἕσω ἐνιζέσθαι. ἵν' ἢ ἑζήν, καὶ ἐσσήν, ὁ προκαθήμενος. ἢ ἐσσήν, ὁ σεύων καὶ ἐπισκοπῶν τὰ τῆς πόλεως. ἢ ὁ οἰκιστής. παρὰ τὸ ἕσσαι καὶ ἱδρῦσαι. ὅθεν Ὅμηρος, Εἷσεν δὲ Σχερίῃ. ἢ ὁ ἡσσῶν καὶ ἥσσονας ποιῶν τοὺς ὑπ' αὐτοῦ ἀρχομένους.

Ἕσπερος. Ἕσπερος ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ. καὶ ἑσπέρα. ἀπὸ τοῦ ἕσω ποιεῖν παρ' αὐτὰ τὰ ζῷα ἀναπαυσόμενα. ἢ ὁ παρ' ὡς τῆς ἠῶ φέρων. Σαπφώ. Ἕσπερε πάντα φέρων ὅσα φαινόλις ἐσκέδασ' αὔως. τὸ δὲ ἐναντίον, ἕως καλεῖται, παρὰ τὸ ἐᾶν πάντα καὶ ἀπολύειν. Ἡσίοδος. Ἠώς, ἥτε φανεῖσα πολέας ἐπέβησε κελεύθου.

Ἑσπερία θάλασσα, καὶ ἀτλαντικὸν πέλαγος. ἐβασίλευε γὰρ αὐτῆς Ἄτλας καὶ Ἕσπερος. ἀπὸ μὲν Ἄτλαντος τὸ πέλαγος. ἀπὸ δὲ Ἑσπέρου ἡ θάλασσα.

Ἐσχάρα, Ἰλιάδος κ. Πυρὸς ἐσχάραι. ἀντὶ τοῦ πυραί. πυρκαϊαί. δηλοῖ δὲ ἡ λέξις, καὶ τὴν ἑστίαν καὶ τὸν ῥύπον. καὶ τὸ καυθὲν ἕλκος. καὶ τὸν βωμόν, ὡς παρ' Εὐριπίδῃ ἐν Ἡρακλεῖ. καὶ τὴν κυρίως λεγομένην ἐσχάραν. φασὶ καλεῖσθαι ἑστίαν τὴν μὴ ἔχουσαν ὕψος, ἀλλ' ἐπὶ γῆς ἱδρυμένην, ἢ κοίλην. παρὰ τὸ καὶ τοὺς ἰατροὺς τὰ ἐν τῷ σώματι κοῖλα ἕλκη, ἐσχάρας καλεῖν. ῥητορική.

Ἔσχατος, ὁ τελευταῖος. παρὰ τὸ ἔχω ἔχατος. καὶ πλεονασμῷ τοῦ σ, ἔσχατος. ἐπειδὴ τὰ τέλη γινόμενοι, ἐνεχόμεθα ἢ βαδίζειν, ἢ ἀριθμεῖν, ἢ ὅ,τι ποιεῖν. ἢ παρὰ τὴν σχέσιν καὶ κώλυσιν. ὁ τελευταῖος. καὶ ὕστατος δέ, ὅτι ὑπ' αὐτόν ἐστιν ἡ στάσις. καὶ οὐκέτι προβῆναι δύναται, ἀλλ' ὕστερος εἱστήκει, τοῦ πρώτου μὴ ἐῶντος. καὶ πύματος, ἀπὸ τοῦ πεπαῦσθαι. καὶ τέρμιος, τὸ ἔσχατον. ἀπὸ τοῦ τέρματος, ὅ ἐστι τέλους.

Ἐσχατιά, ὁ ἀγρός, ἢ τὸ ἔσχατον τοῦ ἀγροῦ. τὰ γὰρ πρὸς τοῖς τέρμασι τῶν χωρίων ἐσχατιὰς ἔλεγον. οἷς γειτνιᾷ, εἴτε ὄρος, εἴτε θάλασσα. σημαίνει δὲ καὶ ἐξοχήν τινα εἶναι τὸ ἐξοχώτατον. Ἀττικοὶ δὲ τὰ τελευταῖα τῶν ἀγρῶν καλοῦσιν, ὥς φησιν Ὅμηρος. Ἀγροῦ ἐπ' ἐσχατιῆς, ὅθι δώματα ναῖε Θυέστης.

Ἐσχατιῶτις, λίμνη κειμένη μετὰ τὸν Ἰσθμόν. ὅτι πολλοὶ τῶν ἀπὸ Θράκης σὺν Εὐμόλπῳ στρατευσάμενοι ἐπ' Ἀθήνας, ἐπ' αὐτῇ λουσάμενοι ἀπέθανον, ὥσπερ ἐσχάτῳ λουτρῷ χρησάμενοι. ἢ ἀπὸ τῆς Ποσειδῶνος θυγατρὸς Ἐσχατιώτιδος, ἥτις ἐκεῖ κατῴκισε, Ποσειδῶνος αὐτῇ χρησαμένου ἀπόσπασμα θαλάσσης εἰς λουτρόν. ὕστερον δὲ Γοργῶπις ἐκλήθη. ἀπὸ Γοργῆς τῆς Μεγαρέως θυγατρὸς γυναικὸς Κορίνθου. ἥτις ἀκούσασα τὸν τῶν παίδων φόνον περιαλγὴς γενομένη, ἐξέρριψεν ἑαυτὴν εἰς τὴν λίμνην.

Ἐσχατόωντα, ἐσχατεύοντα καὶ πεπλανημένον, καὶ περὶ τὰ ἔσχατα μέρη διατρίβοντα.

Ἐσπαθᾶτο, Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου, ἀντὶ τοῦ ἀπώλλυτο. παρὰ τὴν σπάθην. ἢ τὸ ἐρρίπτετο, ἢ διεκόπτετο. ἢ ἀντὶ τοῦ συνετίθετο, ἀπὸ τῆς τῶν ὑφαινόντων σπάθης, ἥτις συντίθησι τὸ ὑφαινόμενον. καὶ ἐσπάθα, σπάθῃ ὕφαινεν. ἢ διέφθειρε τὰ οἰκεῖα.

Ἐσπαθημένος, πεπυκνωμένος. ἀπὸ τῶν κατακρουσῶν σπαθῶν τὴν κρόκην.

Ἐσκοροδισμένος, παρωξυμμένος. ἀπὸ τῶν σκορόδων. ἡ μεταφορὰ δὲ ἀπὸ τῶν ἀλεκτρυόνων τῶν διὰ τὴν νόσον χριομένων σκόροδα.

Ἐσκληκότα, προσλιπόντα. προσεσκληκότα. μετῆκται δὲ ἀπὸ τῶν προσξηραινομένων.

Ἐσμυρνισμένον, σμύρνῃ ἐπεστυμμένον. μύρον γὰρ τὸ παρὰ τὸ μύρα συνέψεσθαι. ῥητορική.

Ἐσφηκωμένον, ἐσφιγμένον. ἀπὸ τῶν σφηκῶν, οἳ κατὰ τὸ μέσον εἰσὶν ἐσφιγμένοι. ἔνθα καὶ ὁ σφήν. Σοφοκλῆς τοὺς ἐσφιγμένους μύρμηκας τῇ σφηκώσει. Τετράπτεροι γὰρ μετὰ τὸν ἐν δεσμώμασι σφηκοί μελανόρινες. καὶ Ὅμηρος. Ἰλιάδος ρ. Πλοχμοί θ' οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο, ἀντὶ ἐσφιγμένοι ἦσαν. ἐδέδεντο. ὅθεν καὶ σφήκωμα εἴρηται. ἢ ὅτι πεπλεγμένοι ἦσαν. καὶ Νίκανδρος. Δειρὴν δ' ἐσφήκωται ἅλις.

Ἐσσωήκεν. Ἀλκαῖος, ἐσσωήκε. καὶ Ἀνακρέων, ἐξωνήκε πλεονασμῷ. οὐκ ἔστι δὲ πλεονασμός, ἀλλ' Ἀττικὴ κλίσις. ὡς παρὰ τὸ οἰνῶ, πεπώνηκα. καὶ ἐνοχλῶ, ἠνώχληκα, καὶ παρηνώχληκα.

Ἐσκαλευκότες, σεσαλευκότες. ἐρευνήσαντες. ἀπὸ τοῦ σκαλεύω. Ἐφ' ἡμᾶς αὐτοὺς ἐσκαλευκότες φαινόμεθα.

Ἐσκευωρῆσθαι, κατεστοχάσθαι, ἐπιβεβουλεῦσθαι. ἀπὸ τοῦ σκευωρῶ. τοῦτο ἀπὸ τοῦ κεύθω τὸ κρύπτω. πλεονασμῷ τοῦ σ, καὶ ἐκβολῇ τοῦ θ.

Ἐστόβεον, ἐλοιδόρουν. ὕβριζον. ἀπὸ τοῦ ἐστόμεον. τὸ διὰ στόματος λέγειν. στομῶ γὰρ τὸ στοβῶ κατὰ ἐναλλαγήν.

Ἐστιχόωντο, ἐκ τοῦ στιχῶ τὸ ἐν τάξει πορεύομαι. ὁ παρατατικός, ἐστίχοον ἐστίχων. τὸ γ', ἐστίχωντο. καὶ πλεονασμῷ τοῦ ο ἐστιχόωντο.

Ἐσφοινικίδας κατεξάναι. αἱμορροῆν ποιῆσαι. οἱ δέ, ὅτι εἰς φοινικίδα κατέξαινον τὰ ἔρια. οἱ δέ, ὅτι Λάκωνες ἐν φοινικίσι περιεπάτουν.

Ἐσωληνευομένην, συμπεριφερομένην.

Ἐσχεῖρα, παραχῆμα.

Ἑταῖρος, βοηθός. συνναύτης. φίλος. εὔσημος ἡ λέξις κατὰ τὸ δηλούμενον. παρὰ τὸ ἦθος, ἠθαῖος κατὰ Δωριεῖς. ὡς εἶθαι, αἶθε. ἢ παρὰ τὸ ἦθος, ἠθαῖος, καὶ ἐθαῖος. καὶ κατ' ἐναλλαγήν, ἑταῖρος πλεονασμῷ τοῦ ρ. καὶ τὸ ε δασύνεται. ἢ ὡς δρόμος δρομαῖος, οὕτως ἔθος, ἐθαῖος ὁ συνήθης. εἶτα μεταθέσει τοῦ θ εἰς τ, ἑταῖος. καὶ πλεονασμῷ τοῦ ρ. ὡς τάξ, τράξ. ἄτεμις. ἄρτεμις. ἴδις, ἴδρις. ἀκοῶμαι, ἀκροῶμαι. ἢ ἐκ τοῦ ἔθω, ἐθαῖρος. καὶ μεταθέσει τοῦ θ, ὡς θρίξ. τριχός. γίνεται ἑταῖρος, ὁ ἐξ ἔθους τινὶ ἐπιφοιτῶν. καὶ ἀποβολῇ τοῦ ι ἕταρος. τὸ αι δίφθογγον. τὰ εἰς ος καθαρά, ἀπὸ πρωτοτύπου τῶν εἰς ος παρηγμένα διὰ τῆς αι διφθόγγου γράφονται. οἷον, λῆνος, ληναῖος. δρόμος δρομαῖος. οὕτω καὶ ἔθος, ἐθαῖος. ἐξ οὗ ἑταῖρος, ὁ συνήθης φίλος. σημαίνει δύο. τὸν φίλον. ὡς τό, Οὕς τε μάλιστα ἔτας, καὶ ἑταίρους. Ἰλιάδος κ. καὶ τὸν σύμπλουν καὶ συνεργὸν εἰς τὸν πλοῦν. ὡς τό, Οὐ γάρ μοι πάρα νῆες καὶ ἑταῖροι.

Ἐταιρήσας, πορνήσας. καὶ ἡταιρηκώς, ὁ πεπορνευμένος, ἢ πεπορνευκώς. ἢ ἡτακτικῶς.

Ἑτέρωθεν, ἐν ἑτέρῳ τόπῳ καὶ ἑκατέρωθι μέρει. Δεῖ δὲ γινώσκειν, ὅτι τὸ ἔκτοθε, καὶ πρόσθε καὶ τὰ ὅμοια χωρὶς τοῦ ν γράφεται, εἰ μὴ φωνῆεν ἐπιφέροιτο.

Ἑτερόγναθος ἵππος, ὁ σκληρόστομος. οἷον, ὁ ταῖς γνάθοις ὡς μὴ ἰδίαις χρώμενος. ἢ ὁ ἄπληστος, καὶ ἀμφοτέραις ταῖς γνάθοις ἐσθίων.

Ἐτεός, ὁ ἀληθής. ἐκ τοῦ ἐτὸς κατὰ πλεονασμὸν τοῦ ε, ἐκ τοῦ εἰμὶ τὸ ὑπάρχω. ὁ παθητικὸς ἐνεστὼς ἔμαι. τὸ τρίτον, ἔται. καὶ ἐξ αὐτοῦ, ἐτός. τὸ δὲ ἀληθὲς ὑπάρχον, ἀλλὰ καὶ πεπηγὸς καὶ ὄν. ὡς παρὰ τὸ ψεῦδος οὐχ ὑπάρχον. ἐδόκει μὲν καὶ ἐτεὰ εἶναι. ἀντὶ ἀκριβῆ, ἀληθῆ.

Ἐτεοβουτάδαι, γένος τι ἐπίσημον, καὶ περιφανὲς τοῖς Ἀθηναίοις. οἱ ἀληθῶς ἀπὸ τῆς τοῦ Βούτου γεγονότες. ἐκ δὲ τούτου καθίστανται ἱέρειαι τῆς Πολιάδος.

Ἐτεόκρητες, οἱ ὡς ἀληθῶς Κρῆτες οἱ αὐτόχθονες.

Ἐτάζω, ὡς παρὰ τὸ μάταιον γίνεται ματαιάζω, οὕτω καὶ παρὰ τὸ ἐτεὸν τὸ ἀληθὲς γίνεται ἐτεάζω, τὸ τὴν ἀλήθειαν ἐρευνῶ καὶ ἐμφαίνω. καὶ ἀποβολῇ τοῦ ε, ἐτάζω. καὶ ἐξετάζω. ἐξεταστής, σημαίνει μὲν καὶ ἄλλα. ἰδίως δὲ τοὺς πεμπομένους ἄρχοντας τοῦ ἐξετάσαι πόσοι εἰσίν, ἵνα μισθὸς αὐτοῖς σταλῇ. ἐγίνετο δὲ τοῦτο, ὅτι οἱ στρατηγοὶ ἐψεύδοντο, ἐν ξέναις μισθούμενοι χώραις.

Ἐπεποιήκειν, ἐπεποιήκεα. Δεῖ γινώσκειν, ὅτι οἱ Ἴωνες τὴν ει δίφθογγον τοῦ ὑπερσυντελίκου ἐν μὲν τῷ α' προσώπῳ διὰ τοῦ ε καὶ α προφέρουσιν. οἷον ἐτετύφειν ἐτετύφεα. τὸ ν ἀπεβλήθη. ἐπειδὴ τὸ α ἀποβλητέον ἀπὸ τοῦ ν. οἷον, ξέρξην, ξέρξεα. τὸ δὲ μοῦσα, μοῦσαν. καὶ ἔτυψα, ἔτυψαν. ἀπὸ κλίσεως ἔχει τὸ ν. ἐν τῷ τρίτῳ δὲ προσώπῳ εἰς δύο εε διαλύεται. οἷον, ἐτετύφει, ἐτετύφεε. ἐπειδὴ τὸ α χαρακτηριστικόν ἐστι τοῦ πρώτου προσώπου, τὸ δὲ ε τρίτου. διὰ τοῦτο διαλύεται ἐν τῷ πρώτῳ καὶ τρίτῳ. ἐν τῷ δευτέρῳ δὲ προσώπῳ τὴν διάλυσιν εἰς δύο εε καὶ παρὰ τοῦ β' προσώπου εἰς ας λήγοντος. ἐπειδὴ γνησία ἐστὶν ἡ διάλυσις τῆς ει διφθόγγου εἰς δύο εε, οὐ μέντοι εἰς ε καὶ α. τὰ γὰρ δύο εε συναιρούμενα τὴν ει δίφθογγον ἀποτελοῦσιν, οἷον πλέες, πλεῖς. ὀφείλουσιν οὖν εἰς ἐκεῖνα ἀναλυθῆναι, ἐξ ὧν καὶ συνέστηκεν. Ἰστέον δὲ ὅτι τὸ διαλυθὲν ἐκ τοῦ ἰωνικοῦ συναιροῦσιν οἱ Ἀθηναῖοι, καὶ ποιοῦσιν εἰς η, πεποιήκη λέγοντες. ὅθεν παρὰ Ἀριστοφάνει. Ἐκεχήνη προσδοκῶν τὸν Αἰσχύλον. ἢ γὰρ οὐ παρ' Ἴωσι συντέλικος ἐκεχήνειν. καὶ διαλύσει ἐκεχήνεα, καὶ κράσει ἐκεχήνη. ἐφυλάχθη δὲ ἡ συναίρεσις καὶ ἐν τῷ τρίτῳ προσώπῳ τῶν δύο εε εἰς η. τὰ γὰρ δεύτερα καὶ τρίτα πρόσωπα τῶν ἑνικῶν, τὰ ἴσα φωνήεντα θέλει ἔχειν τῶν ἰδίων πρώτων, ἡνίκα ἰσοσυλλαβῇ. οἷον, ἔτυπον, ἔτυπες, ἔτυπε. τέτυφα, τέτυφας, τέτυφε. εἰ οὖν τὸ α δι' ἑνὸς φωνήεντος. οἷον ἐκεχήνη ἐγώ, δῆλον ὅτι καὶ αὐτὰ τὰ δεύτερα καὶ τρίτα πρόσωπα δι' ἑνὸς φωνήεντος ἀναγνωσθήσεται. ἐτετύφεσαν, κατὰ Ἴωνας καὶ Ἀττικούς, οὐ γὰρ κατὰ κανόνα. ἐτετύφεισαν γάρ.

Ἐτής, ὁ ἑταῖρος, ἔθης τις ὤν, παρὰ τὸ ἔθος, ὁ συνήθης. λέγεται δὲ καὶ ὁ συνηλικιώτης, παρὰ τὸ ἔτος, ὁ τῶν αὐτῶν ἐνιαυτῶν ὤν. οἷον ὁμοέτης. Ἠμὲν πολλοὶ ἔται καὶ ἀνεψιοί. ἢ παρὰ τὸ ἐτεόν, τουτέστιν ὁ ἀληθὴς φίλος.

Ἐτήσιος, οἱονεὶ ἐθήσιος. καὶ ἐθήσιος, ὁ συνήθης. καὶ ἐτήσιοι, οἱ ἐν ἔθει ὄντες. οἱ πρόσκαιροι. λέγονται ἐτήσιοι καὶ οἱ ἀπὸ βορέου ψυχροῦ πνέοντες ἄνεμοι. παρὰ τὸ ἔτος. ῥητορική.

Ἐτησίας, τοὺς κατ' ἔτος ἐν τῷ καιρῷ τῆς ὀπώρας πνέοντας ἀνέμους. ἡ εὐθεῖα ὁ ἐτησίας, τοῦ ἐτησίου. ἡ εὐθεῖα τῶν πληθυντικῶν, οἱ αἱ ἐτησίαι τῶν ἐτησίων. σεσημείωται τὸ χλούνων. χηνῶν. ἐτησίων. γίνεται ἐκ τοῦ ἔθος, ἐθησίας, καὶ ἐτησίας. οἱ ἔθος ἔχοντες κατ' ἐνιαυτὸν ἐν τῷ καιρῷ τῆς ὀπώρας πνεῖν ἄνεμοι.

Ἐτήτυμος, ὁ ἀληθής. καὶ ἐτήτυμον, τὸ ἀληθές. ἐκ τοῦ ἔτυμος ὁ ἀληθής, πλεονασμῷ τῆς τη συλλαβῆς.

Ἐτνήρυσις, λέγεται καὶ ζωμήρυσις. ἀριστοφάνης ἀχαρνεῦσιν. Ὦ μῆτερ ἀνάδος δεῦρο τὴν ἐτνήρυσιν. ῥητορική.

Ἔτνος, οὐδετέρως, ὃ νῦν φάβα καὶ ἰδιῶται καὶ ἄγροικοι ὀνομάζουσιν. ἔστι δὲ ὄσπριον. καὶ δασύνεται. παρὰ τὸ ἕω τὸ ἀπολύω. ἀφ' οὗ ἕως ἡ ἡμέρα. ἐν ᾗ πάντα ἀφίενται. καὶ ἔαρ. ἀπὸ οὖν τοῦ ἕω, ἔτος. καὶ πλεονασμῷ τοῦ ν ἔτνος. τὸ διαλελυμένον ὑπὸ τῆς ἑψήσεως καὶ τῆς τρήνης. τρήνη δέ ἐστιν ὁ χυτρόπους. ὅτι δὲ τῶν κατεψηγμένων ἐστί, μαρτυρεῖ ἀριστοφάνης λέγων. Ὀψὲ κατερικτῶν χύτρας ἔτνους διό, ἢ τρεῖς.

Ἔτι, ἐπίρρημα ἐπιτάσεως δηλωτικὸν, ἢ παρατάσεως. ἀπὸ δὲ εἴπομεν βραδύνοντός τινος ἔτι δραμεῖν, τουτέστιν ἐπίτασις. ἀπὸ δὲ νυκτὸς οὔσης ἔτι νύξ, παράτασις. τὸ τι, ι. διὰ τί. τὰ δὲ εἰς ι λήγοντα ἐπιρρήματα βαρύτονα συνεσταλμένα, δισύλλαβα ὑπάρχοντα, διὰ τοῦ ι γράφεται. οἷον, αὖθι. κεῖθι. νόσφι. ἄχρι. ἄρτι. ἦχι. ἶφι. μέχρι.

Ἔτος, βαρυνόμενον σημαίνει τὸν χρόνον. παρὰ τὸ ἕω τὸ ὑπάρχω καὶ τελῶ, γίνεται ἔτος. ἢ παρὰ τὸ εἶναι καὶ ἰέναι. ἐτὸς δὲ ὀξυτόνως σημαίνει τὸ ἀληθῆ. ὥς φησιν ἀριστοφάνης. Οὐκ ἐτὸς ἐγὼ ὡς ἔμ' ἦλθεν οὐδεπώποτε. παρὰ τὸ εἶναι τὸ ὑπαρκτικὸν ἐτὸς οὐ παρὰ χρόνον. ὡς θεῖναι θετός. δοῦναι δοτός. καὶ παρὰ τὸ ἐτός, ἐτεός. ὡς θετός, θετεός. καὶ δοτός, δοτεός.

Ἐτώσιος, ὁ μάταιος καὶ ἀνωφελής. ἀπὸ τοῦ ἀήτης ὁ ἄνεμος. τὸ πληθυντικὸν, ἀῆται ἀητῶν. ἐξ αὐτοῦ ἀητώσιος καὶ ἐτώσιος, ὁ μηδὲν λυσιτελὲς ποιῶν, ἀλλ' ἀνέμου δίκην ὤν. ἢ ἐκ τοῦ ἀητῶν γέγονε κατὰ ἀποβολὴν τοῦ α, καὶ συστολὴν τοῦ η ἐτῶν. ἐξ οὗ κατὰ παραγωγὴν ἐτώσιος. γίνεται δὲ καὶ ἀπὸ γενικῆς πληθυντικῆς παραγωγὸν διὰ τοῦ ιος. ὥσπερ, ἀνέμων ἀνεμώνιος καὶ ἀνεμώλιος. ἡ ἑλίκη, αἱ ἑλίκαι ἑλικῶν, ἑλικώνιος. Ἑλικώνιον ἀμφὶ ἄνακτα. φιλεῖ δὲ καὶ ἀντίφρασιν, ὥσπερ παρὰ τὸ πλησίον τὸ ἐγγὺς γίνεται κατ' ἀντίφρασιν τὸ πλὴν ἐπίρρημα σημαῖνον τὸ χωρίς, οὕτω καὶ ἐκ τοῦ ἐτὸς ὅ ἐστι τὸ ἀληθῆ, γίνεται κατὰ ἀντίφρασιν ἐτώσιος ὁ μάταιος.

Ἐτώσιον, ἐπίρρημα μεσότητος. τὸ πῶ, μάτην. ἐκ τοῦ ἕω τὸ ὑπάρχω ἐτός, ὁ ἀληθής. μετὰ τοῦ στερητικοῦ α, ἀετός. τὸ πληθυντικὸν, ἀετοὶ ἀετῶν, ἀετώσιος. καὶ ἀφαιρέσει, ἐτώσιος. κανὼν γάρ ἐστιν ὁ λέγων, αἱ διὰ τοῦ ιος γινόμεναι παραγωγαὶ ἀπὸ γενικῆς τῶν πληθυντικῶν, διχῶς σχηματίζονται καὶ διὰ τοῦ σ, καὶ διὰ τοῦ ν. ἡ μὲν τῶν ῥηγίνων διάλεκτος διὰ τοῦ σ, ὡς ἐτώσιος. ἡ δὲ τῶν αἰολέων διὰ τοῦ ν, ὡς ἑλικώνιος.

Ἑτοιμάσατε, παρασκευάσατε. καὶ ἑτοιμασία. ἐκ τοῦ ἑτοιμῶ. τοῦτο ἐκ τοῦ ἕτοιμος. παρὰ τὸ οἶμος, ὅ ἐστι τὴν ὁδὸν καὶ τὴν ἐπὶ πρόθεσιν γίνεται ἕποιμος, καὶ ἕτοιμος, ὁ ἐπὶ τὴν ὁδὸν ὢν παρεσκευασμένος, ἰωνικῇ τροπῇ τοῦ π εἰς τ. ἢ παρὰ τὸ οἶμα, ὅ ἐστι τὸ ὅρμημα, καὶ τὸ ἔθος, ἰωνικῇ τροπῇ τοῦ θ εἰς τ, γίνεται ἕτοιμος, ὁ πρόχειρος εἰς τὸ ὁρμῆσαι καὶ

Ἔτυμος, ὁ ἀληθής. καὶ τὸ οὐδέτερον ἐν ἐπιρρηματικῇ συντάξει εἶπεν ὅμηρος. οὐ, Ἀλλ' ἔτυμόν τοι ἦλθ' ὀδυσσεύς. παρὰ τὸ ἐτὸς ὁ ἀληθής, ὃ λέγεται καὶ ἐτὴ θηλυκῶς, γίνεται ὡς ἕλος ἔλυμα τὸ σπέρμα τὸ ἐν ἕλεσι χαῖρον καὶ ὕδασιν. τοῦτο κατὰ πλεονασμὸν γίνεται ἐτήτυμος. ἐκ τοῦ ἔτυμος ὁ ὑπάρχων καὶ ἀληθής, καὶ τοῦ λόγος, γίνεται ἐτυμολογία. οἱονεὶ ἀληθινολογία τις οὖσα.

Ἐτύχθη, κατεσκευάσθη. ἐγένετο. ἐποιήθη. ἀπὸ τοῦ τεύχω κατ' ἔκθλιψιν τοῦ ε. ὡς καὶ τὸ, Γυναικὸς δ' ἄντ' ἐτέτυξο. τουτέστιν, ἀντὶ γυναικὸς ἐγένου. ἐπεὶ σῆς γυναικός τε τίμησε. ἰλιάδος θῆτα. γίνεται καὶ ἀντιτέτυξο.

Εὖ, σημαίνει τὸ ἰσχυρῶς καὶ καλῶς. παρὰ τὸ ἐΰς, ἐΰ. καὶ ἐν συναιρέσει, εὖ. ὡς ἀπὸ τοῦ ταχὺς ταχὺ ἐπίρρημα. καὶ ὄνομα ταχὺ παιδίον. καὶ ἀπὸ τοῦ εὐρεῖς ἐπίρρημα εὐρύ. καὶ ὄνομα εὐρύ. ὤφειλε δὲ βαρύνεσθαι, ὅτι ἡ βαρεῖα εἰς ὀξεῖαν, οὐκ εἰς περισπωμένην μεθίσταται. περισπᾶται δὲ ὅτι πᾶσα δοτικὴ εἰς υ λήγουσα.

Εὐαγγέλιον, τὸ ἀγαθῆς ἀγγελίας δωρούμενον. Εὐαγγέλιον

Εὔαδε, ἰλιάδος ξ. Ἐπεὶ νύ τοι εὔαδεν δέ μοι ἔστω. εὐνῇ, ἤρεσε. παρὰ τὸ ἥδω, ὁ β ἀόριστος, ἅδον. ἅδες. καὶ μετὰ τοῦ εὖ, εὔαδε. ἢ ἔστιν ἧδον, ἧδες, ἧδε. κατὰ διάλυσιν, ἔαδε. καὶ πλεονασμῷ τοῦ υ, εὔαδεν.

Εὐαής. Χώρῳ ἐν εὐαέϊ καὶ εὐτροχάλῳ ἐν ἀλωῇ. εὐανέμῳ εὐπνέοντι. εὐτροχάλῳ δὲ, καλῶς κεκραμένῳ διὰ τὴν κόνιν, ἢ ὁμαλῷ, ὅπου τις εὐκόλως τροχάζει, ὅ ἐστι τρέχει.

Εὐάζω, τὸ βακχευτικὸν ἐπίρρημα καὶ ἐπίφθεγμα, ὥς φησιν εὐριπίδης. Εὐάζω ξένα μέλεσι βαρβάροις. παρὰ τὸ εὔιος τὸ ἐντελὲς εὐιάζω, ὡς ἄν τις εἴποι διονυσιάζω, ὡς ἥλιος ἡλιάζω. βάκχιος, βακχιάζω. ἄντιος, ἀντιάζω, καὶ συγκοπῇ.

Εὐάντηρος, ἡ ῥέα. ἀνταίαν γὰρ αὐτὴν ἐκάλουν, διὰ τὸ λυσαντήριον εἶναι καὶ τοῖς ἀπαντῶσιν ἐν τοῖς ὄρεσι δυσχεραίνειν. τὸ νικαδίου ὑπόμνημα. θεοφορουμένης κατ' εὐφημισμόν. λυσάντης γάρ ἐστι καὶ ὀργίλη τοῖς ἀντιάζουσιν ἐν τοῖς ὄρεσι τὸ ἄρτιον. σημαίνει δὲ καὶ τὸ ἐνικέτευτον. ἀντεάσθαι γὰρ τὸ ἱκετεῦσαι.

Εὔαρχος, οὕτως ἐκαλεῖτο ὁ κύκνος διὰ τὸ ἐπιτυχῶς κομίσαι τὸ δόρυ τοῦ ἀχιλλέως. καὶ γὰρ οἱ μεταβόλοι εὐφημιζόμενοι τοὺς πρώτους ὠνητὰς, εὐάρχους καλοῦσι. φασὶ δὲ καὶ ποταμόν τινα παρὰ τὴν συνωνύμην εὐάρχου ὑπὸ τῶν ἀργοναυτῶν προσηγορεῦσθαι, ἀφ' οὗ πρῶτον ἔπιον, ὥς φησιν εὐφορίων. Ἠ οἱ εὐάρχοιο φέρεν κλέος ἀμφὶ ῥέεθρον.

Εὐαρεστῶ, ἐκ τοῦ εὖ καὶ τοῦ ἀρετῶ πλεονασμῷ τοῦ σ. τοῦτο παρὰ τὸ ἀρετή. τοῦτο παρὰ τὸ ἐρῶ, ἐρετή. καὶ ὑπερβιβασμῷ, ἀρετή.

Εὐβοϊκὸν νόμισμα. ἐπειδὴ φείδων ὁ ἀργείων βασιλεὺς, ἐν εὐβοίᾳ χωρίῳ τοῦ ἄργους πρῶτος ἔκοψε χρυσοῦν νόμισμα. ὠνόμασται δὲ τὸ χωρίον ἀπὸ εὐβοίας τροφοῦ τῆς ἥρας.

Εὐβοΐδες, τὰ καστάνια.

Εὔβοια, ἡ νῆσος ἡ καὶ μάκρις καὶ δολίχη. ὅτι τὴν ἰὼ διὰ τὴν βοῦν μεταβληθεῖσαν ἐκεῖσε πολλὰς βοτάνας ἡ γῆ ἀνεβλάστησεν. ἢ ὅτι εὔβοτός τε καὶ εὐθαλὴς ἡ νῆσος ἐστίν. ἢ ὅτι ἐν αὐτῇ βοῦς γενομένη καλλίστη διέτριψεν ἡ ἰώ. τὸ ἐθνικὸν εὐβοεὺς καθ' ὑφαίρεσιν τοῦ ι. τὰ γὰρ εἰς α λήγοντα, φυλάττει τὴν παραλήγουσαν τοῦ πρωτοτύπου καὶ ἐν τοῖς εἰς εὺς. οἷον ἐλλοπία, ἐλλοπιεύς. ὀρθωσία, ὀρθωσιεύς. οὕτω καὶ εὐβοία εὐβοιεὺς ὤφειλεν εἶναι. οἱ δὲ λέγοντες τὸ εὐβοεὺς καὶ φωκαεὺς σὺν τῷ ι, ἁμαρτάνουσιν. ἔοικε δὲ τὰ πολλὰ τοῖς τρισυλλάβοις τὸ ι ἀποβάλλειν. ὡς νύσα, νυσαεύς. νίκαια, νικαεύς.

Εὐβοΐς. τὰ εἰς εὺς ἐθνικὰ, εἰ μὲν ἔχουσι προηγούμενον σύμφωνον, εἰς ις ποιοῦσι τὸ θηλυκόν. οἷον, ἀλεξανδρεὺς, ἀλεξανδρὶς γυνή. ἀντιοχεὺς, ἀντιοχὶς γυνή. εἰ δὲ φωνῆεν, εἰς ας. ἠλιεὺς, ἠλιάς. οὕτως ὦρος. ὁ δὲ γραμματικὸς σωκράτης ἀντιλέγει, ὅτι ἰδοὺ τὸ εὐβοεὺς προηγούμενον ἔχει φωνῆεν καὶ ἔστιν εὐβοὶς γυνή. ἀλλ' ἔστιν εἰπεῖν, ὅτι τὸ ἠλιεὺς καὶ πηλιεὺς, ἐπειδὴ τὸ ι ἔχει ἐν τῇ παραληγούσῃ, ἵνα μὴ εὑρεθῇ ἀλληλοπάλληλον, ἐγένετο εἰς ας. τὸ δὲ εὐβοεὺς, ἐπειδὴ οὐκ ἔχει τὸ ι, ἐγένετο εἰς ις.

Εὐβούριον, τὸ εὔεικον ὥς φησιν εὐφορίων. Ἄστυ κατ' εὐβούριον. εἴρηται ὅτι κατὰ τὴν βαυρίαν, ἢ κατὰ μεσαπίους, ὅ ἐστι τὴν οἰκίαν ὥς φησι κλέων ὁ ἐλεγειοποιός. Τοῦτο μὲν οὖν ῥέξαντες ἀολλέες ἠγερέθοντο βαυριόθεν, βριαροὶ γοργοφόνοι. νέποδες. κατ' ἔκθλιψιν οὖν τοῦ α, τὸ βαύριον, βύριον. καὶ ἐν συνθέσει, εὐβύριον.

Εὔδιος εὐδία, καὶ ἡ τοῦ ἀέρος ἠρεμία καὶ κυρίως ἀβροχία. παρὰ τὸ δεύω τὸ βρέχω δευία. καὶ κατὰ μετάθεσιν, εὐδία. δοκεῖ γὰρ οἱ κοιμᾶσθαι ὁ ἀήρ ὥς φησιν ὅμηρος. Ὄφρ' εὕδησι μένος βορέαο καὶ ἄλλων ζαχρειῶν ἀνέμων. ἢ ὅτι ὁ ζεύς, ὅ ἐστι καὶ τὸν οὐρανόν. καὶ εὔδιος, ὁ αἴθριος. ἢ εὐοδία τις οὖσα χρήσιμος τοῖς ὁδοιποροῦσιν. ἢ σύνθετόν ἐστι τὸ εὖ χὸς παρὰ τὸ δία, ἵν' ᾖ ὁ εὐάερος. δία γὰρ καὶ τὸν ἀέρα φησὶ πλάτων ὁ κωμικός. Ἀὴρ ὃν ἄν τις ὀνομάσειε καὶ δία.

Εὐδείελον, ἡ περιφανής. εὖ πρὸς τὴν δείλην κειμένη. ἡ δέ ἐστι τὸ εὔκρατον, δασύνεται ἀνάγκη. ἕλη γάρ ἐστιν ἡ τοῦ ἡλίου αὐγή. ὅθεν καὶ ἀλεθερεῖν, τὸ ἡλίῳ χρῆσθαι.

Εὔδμητον, Εὔδμητον περὶ βωμόν. τὸν καλῶς ᾠκοδομημένον. ἐκ τοῦ δέμω τὸ οἰκοδομῶ κατὰ συγκοπὴν, δμῶ, δμήσω, δέδμηκα, δμητὸς, δμητόν. καὶ συνθέσει, ὡς εὔδμητος.

Εὕδω, τὸ καθεύδω. ὅθεν, Εὗδον παννύχιοι, ἀντὶ τοῦ ἐκάθευδον. ἐκοιμῶντο. ἀπὸ τοῦ ἕω, ὃ σημαίνει τὴν ἡμέραν. κυρίως γὰρ εὕδειν ἐστὶ, τὸ μέχρι τῆς ἡμέρας κοιμᾶσθαι. μέχρι τῆς ἕω. τινὲς δὲ παρὰ τὸ ἕδος φασὶν, ὃ σημαίνει τὴν καθέδραν, ἐπεὶ ἑδραῖα τὰ τῶν κοιμωμένων σώματα γίνεται, ἕδω. καὶ ἵνα μὴ συνεμπέσῃ τῷ ἐδίω, πλεονασμῷ τοῦ υ γίνεται εὕδω.

Εὔδωνος, ποταμὸς τῆς ποτὲ μὲν δίας τε καὶ ἐρυμνῆς καὶ λαρίσης. νῦν δὲ ταλλέων καλούμενος τῆς οὐσίας. ὅτι λάβρανδος καὶ παλαμάορος, καὶ πάλαξος, ἢ πανάλαξος, οἱ κούρητες κατὰ χρησμὸν αὐτοῦ τὴν καρίαν ὁρμῶντες, νυκτὸς ἐπικαταλαβούσης ἐπὶ ταῖς ὄχθαις αὐτοῦ κατεκοιμήθησαν. παρὰ τὸ εὐδῆσαι οὖν, εὔδωνον τὸν ποταμὸν ὠνόμασαν.

Εὐδοκῶ, παρὰ τὸ εὖ μόριον, καὶ τὸ δοκῶ. τὸ δὲ δοκῶ, παρὰ τὸ δέχω. ἀπὸ γὰρ δέξεται ὁμοῦ, ταῦτα καὶ δοκεῖ. παρὰ τὸ εὐδοκῶ δὲ εὐδοκία, ἡ ἀρίστη καὶ καλλίστη τοῦ θεοῦ ἑκούσιος θέλησις. ὅθεν καὶ εὐδοκία κυρίου, παρὰ τὸ εὖ καὶ καλῶς δοκεῖν αὐτοῖς. οἷον, προηγουμένως γὰρ θέλει ὁ θεὸς πάντας σωθῆναι. τοῦτο εὐδοκία. εὐδοκούμενος, ὁ συγκατατιθέμενος καὶ μὴ ἀντιλέγων. εὐδοκία σημαίνει τρία. τὴν πόλιν. καὶ ὄνομα κύριον. καὶ τὴν θέλησιν. ὥσπερ, Ηὐδόκησας κύριε τὴν γῆν σου, ἀντὶ τοῦ ἠθέλησας.

Εὐεργής, εὐεργέος, εὐεργοῦς. Εὐεργέος ἐκ πεσε δίφρου. καλῶς καὶ ἐπιμελῶς κατεσκευασμένου.

Εὐερκέος, ἀσφαλῆ περίβολον ἐχούσης. εὐερκὴς, καὶ εὐερκίας, εὐπρεποῦς ἀσφαλείας, καὶ περιφράξεως.

Εὔειρος, ὁ ἔχων καλὸν ἔριον καὶ εὐέρεια.

Εὐεργεσία, ἐκ τοῦ εὐεργέτης εὐεργετία, ὡς ἱκετία. καὶ ἰωνικῇ τροπῇ τοῦ τ εἰς σ.

Εὐεστώ, ἡ εὐετηρία καὶ εὐθυμία. παρὰ τὸ ἔτος εὐετὼ καὶ εὐεστὼ πλεονασμῷ τοῦ σ. ἢ παρὰ τὸ εὖ εἶναι. καὶ τὸ ἡ εὐηπελία, τὸ συνώνυμον εἴρηται. ἐν δὲ τῷ ῥητορικῷ εὗρον σημαίνουσαν τὴν λέξιν, εὐθένειαν, παρὰ τὸ εὖ ἑστάναι. εὐετηρία δὲ, εὐθηνία. εὐνομία. εἰρήνη. τὸ καλῶς διοικεῖσθαι.

Εὐέκτης, ὁ πλούσιος. ἔστι ῥηματικὸν κατὰ σύνθεσιν. ἀπὸ τοῦ ἔχω, ἕκτης. ὡς ψάλλω, ψάλτης. ῥώγω, ῥώκτης. καὶ ἐν συνθέσει εὐέκτης.

Εὔειλος, ὁ εὐάερος τόπος. παρὰ τὸ εἵλη, ὃ σημαίνει τὴν θερμασίαν.

Εὔηκτον, εὐπειθές, ἢ καλῶς εἰπόν. ῥητορική.

Εὐηγενέων. Τρώων εὐηγενέων. ἢ τῶν εὐγενέων πλεονασμῷ τοῦ η. ἢ τῶν εὖ ἀρχομένων. παρὰ τὸ ἡγῶ, ὅ ἐστι τὸ ἡγεμονεύω καὶ εὐηγεσίης. ἐστὶ δὲ τὴν εὐδαιμονίαν. ἡγοῦνται γὰρ τὸ εὐδαίμονα. λέγουσιν ἴωνες. δύναται δὲ καὶ ἀπὸ εὐαρχίας λαμβάνεσθαι, παρὰ τὸ ἡγεῖσθαι.

Εὐηπελεία, ἡ εὐετηρία καὶ εὐθηνία, καὶ τὸ εὖ εἶναι, ὥς φησι καλλίμαχος. Ἐν τ' εὐηπελεία, φέρει δ' ἀγαθὴ ... πάντα. εἴρηται δὲ παρὰ τὸ πέλω πέλης. καὶ ἐν συνθέσει, εὐπέλεια. καὶ ἰωνικῶς, εὐηπέλεια. ἐναντίον τῷ κακηπελεία.

Εὐήθης, λέγεται καὶ ὁ χρηστοήθης καὶ ὁ ἄνους καὶ βλάξ. καὶ εὔηθες, τὸ ἁπλοῦν καὶ ἀπόνηρον. τάττεται καὶ ἐπὶ καλοῦ, καὶ ἐπὶ κακοῦ. εὐήθεια. μωρία. ἄνοια. θουκυδίδης ἐν ... τὸ εὔηθες ἐπὶ τοῦ βελτίονος λαμβάνει. καὶ ὁ φιλόσοφος

Εὐήρεια, ἡ εὐπείθεια καὶ εὐχέρεια. ἀπὸ τῆς εἰρεσίας καὶ τοῦ

εὖ. ὥσπερ οὖν εὐήνιος ὁ εὐχερὴς ἢ εὐπειθής, ἀπὸ τῶν ἵππων τῶν εὐχερῶς χαλιναγωγουμένων, οὕτως εὐήρεια ἡ εὐπείθεια παρὰ τὴν ἐρεσίαν.

Εὐῆρες, εὐάγωγον. ἐπιεικές. πρᾶον. ἀπὸ τῆς εἰρεσίας.

Εὐήνιον, εὐπαθές, καλῶς ἡνιοχούμενον. καὶ εὐήνιος, ὁ πρᾶος ἢ μέτριος, ἢ μὴ ταραχώδης. ἀπὸ μεταφορᾶς τῶν ἵππων. ἢ εὐηνιώτατα, τὰ εὖ ἔχοντα. ἀπὸ τῶν ἵππων. αἱ θέουσαι ἡνία ἄγουσιν.

Εὐηναίμους, εὐδίνους. καλούς. ἀχειμάστους. ῥητορική.

Εὐήκεα φάσγανα, τὰ εὖ καὶ καλῶς ἠκονημένα. ἡ εὐθεῖα, τὸ εὐήκες. παρὰ τὸ ἠκὼ, ἥκης καὶ εὐήκης.

Εὐήνορα χαλκόν, τὸν εὖ τοὺς ἄνδρας κοσμοῦντα ἐν τῷ καθοπλίζειν. ἢ εὐήνορον, δι' οὗ ἔστι καλῶς ἐνοπλίσασθαι, ἢ καλὸν ἐν τῷ ὁρᾶσθαι. ἀπὸ δὲ τοῦ ἀνδρείου, ὁ εὖ τῇ ἠνορέῃ χρώμενος, τουτέστι τῇ ἀνδρείᾳ.

Εὐΐλατος, παρὰ τὸ εὖ μόριον καὶ τὸ ἵλατος. τοῦτο παρὰ τὸ ἵλημι τὸ συγχωρῶ. ὁ μέλλων, ἱλάσω, ἵλακα. ἵλαμαι. ἵλαται. ἵλατος, καὶ εὐΐλατος.

Εὔιος, καὶ εὔσιος, ὁ διόνυσος. καὶ τὸ εἰς αὐτὸν ἐπίφθεγμα, εὐσοὶ καὶ εὐοῖ κατὰ λάκωνας. δωρικῇ γὰρ διαλέκτῳ μετασχεσέρα, κατὰ ἔνδειαν τοῦ σ φασὶ γεγενῆσθαι εὔιος. ἢ εὐοῖ, καὶ εὐάν. ἔθος δὲ ἔχουσι δωριέων τινές. ὥσπερ οἱ ἀργεῖοι καὶ λάκωνες καὶ πάμφυλοι ἢ ἐρετριεῖς ἢ ἐρωποὶ ἔνδειαν τοῦ σ ποιοῦντες, δασεῖαν χαρακτηρίζουσι τοῖς ἐπιφερομένοις φωνήεσιν, ὥσπερ ἀντὶ τοῦ ποιῆσαι ποιῆαι. ἢ βοῦσα, βοῦα. ἢ μοισῖκα, μωϊκά. κέχρηται τούτῳ τῷ εἴδει τῆς δασείας καὶ δέρκυλλος.

Εὐθηνία, παρὰ τὸ εὐθηνός. τοῦτο παρὰ τὸ εὖ μόριον, καὶ τὸ θύω τὸ ὁρμῶ. ἢ παρὰ τὸ θάλλω, θαλῶ, θαλία. καὶ κατὰ 〈 τροπὴν, θηνία ἢ εὐθηνία.

Εὐθήμονι. Εὐθήμονι μέλπειν. ἀοιδῇ. εὐποιήτῳ. ἐκ τοῦ θεῖναι τὸ ποιῆσαι. καὶ πίνδαρος δι' ὅλου θέσιν τὸ ποίημα λέγει.

Εὐθημοσύνη, τάξις. παρὰ τὸ θῆμος, θημοσύνη. ὥσπερ ἱπποσύνη καὶ εὐθημοσύνη.

Εὔθικτον, εὐαφές, εὐψηλάφητον. παρὰ τὸ θίγω.

Εὐθεῖς, ἡ εὐθεῖα εὐθής. παρὰ τὸ εὖ μόριον καὶ τὸ τίθημι θήσω θής, ἢ εὐθής, ὁ καλῶς διακείμενος πρὸς πάντας. ἢ ἐκ τοῦ θέω τὸ τρέχω εὐθής, ὁ καλῶς τρέχων. τὸ θηλυκὸν, ἡ εὐθής. τὸ οὐδέτερον, τὸ εὐθές.

Εὐθύτης, παρὰ τὸ τίθημι. θήσω, θείς. ἢ εὐθύς. εὐθύς, καὶ εὐθύ. καὶ ὅτε ὀξύνεται καὶ ὡς ἐπίρρημα εὑρίσκεται. παρὰ τὸ εὖ ἢ τὸ θύω τὸ ὁρμῶ. ὁ μέλλων, θύσω, θύς, καὶ εὐθύς. ἢ ἐκ τοῦ εὐθής, εὐθύς. τὸ δὲ εὐθύ, σημαίνει τὸ καλῶς ὁρμῶ. τουτέστιν, ὀρθῶς. ἢ τὸ παραχρῆμα ἢ τὸ ταχύ. ἐκ τοῦ εὐθὺς γίνεται εὐθύνω.

Εὐθύωρον. Εὐθύωρον τὴν ἀναχώρησιν ἐποιήσαντο. εὐθυτάτην. σύντομον. παρὰ τὸ εὐθὺ ἢ τὸ ὥρα. οἷον αὐτῇ τῇ ὥρᾳ.

Εὐθυδικία, ὅταν εἰσάγηται τις κριθησόμενος, περὶ ὧν μηδὲ παραγνώσις ἐγένετο δικαστηρίου, τοῦτο εὐθυδικία καλεῖται. περὶ ὧν γὰρ κεκρίσθαι τίς φησι, περὶ τούτου παραγράφεσθαι ἐφεῖται. ῥητορική.

Εὐθύορον, τόπος ἐπ' εὐθείας ἔχων τὸν ὅρον.

Εὔθυνοι, δικασταί. εὐθυνταί. οὓς ἡμεῖς λογιστὰς λέγομεν. παρὰ τὸ εὐθύναι. νόμων δωδεκάτῳ. Διὸ δεῖ πάντας τοὺς εὐθύνους θαυμαστῶς πᾶσαν ἀρετὴν μετιέναι.

Εὔθυναι, ὄνομα ἀρχῆς παρὰ ἀθηναίοις. δέκα δὲ τὸν ἀριθμὸν ἦσαν, παρ' οἷς ἐδίδωσαν οἱ πρεσβεύσαντες, ἢ οἱ ἄρξαντες, ἢ οἱ διοικήσαντές τι τῶν δημοσίων τὰς εὐθύνας. ἢ πάλιν κυρίως εὐθύνη λέγεται, ἣν εἰσάγουσιν οἱ λογισταὶ πρὸς τοὺς δόξαντας μὴ ὀρθῶς ἄρξαι τῆς πόλεως, ἢ πρεσβεῦσαι κακῶς. ἢ τὰ δικαστήρια μὲν οἱ δικασταὶ κληροῦσι. κατηγορεῖ δὲ ὁ βουλόμενος. καὶ τοῖς δικασταῖς δὲ ἐφεῖται τιμᾶσθαι τοῖς ἁλοῦσιν.

Εὐκαμία, ἡσυχία, ἡ τ. εὐφημία δωρικῶς. εἴρηται παρὰ τὸν κημὸν τὸν ἐν τῷ στόματι τῶν ἵππων ἐμβαλλόμενον εὐκαμία.

Εὔκηλος, ὁ ἥσυχος. παρὰ τὸ εἴκω τὸ ὑποχωρῶ ἔκηλος. καὶ πλεονασμῷ τοῦ υ. ἢ εἴκηλος. ἢ γράφεται διὰ τοῦ ι, εὔκηλος. ὁ γὰρ

Εὔκηλον, εὔσχιστον. εὔκαυστον. 〈 ὑποχωρῶν ἡσυχάζει.

Ἐξανθρακώσας πυθμένα εὐκήλου δρυός. οὕτως εἴρη-

Εὐκηλήτειρα, εἰς τὸ ἀλεξιάρη. 〈 ται εἰς τὸ ἐν τρίνου.

Εὔκλεια, ὥσπερ εὐγενὴς εὐγένεια, οὕτως εὐκλεὴς, εὔκλεια ἢ ἐνδεῖα. ἢ κράσει εὔκλεια ἢ ἔνδεια. φασὶ γὰρ ἐπιφερομένου φωνήεντος ἢ οὐ συμφώνου, ὅπου γὰρ φωνῆεν ἐστὶ καὶ κρᾶσις. ὅπου δὲ σύμφωνον, συγκοπή. ἡρωδια-

Εὐκλείας ὁδὸς δὲ πάλιν. ἰλιάδος κ. 〈 νὸς περὶ παθῶν. ἀντὶ εἰς τοὺς ὀπίσω εὐκλείας ἀφικέσθαι, ἀντὶ εὐκλεεῖς ἢ ἐνδόξους ἡμᾶς ὑποστρέψαι. ὁ εὐκλεής. ἡ αἰτιατικὴ τῶν πληθυντικῶν, τοὺς εὐκλεέας. καὶ κατὰ συναίρεσιν εὐκλεῖας. ἢ ἀπὸ τοῦ εὐκλέας ἐπενθέσει τοῦ ι.

Εὐκόμιστος, ἐπιμελείας εὖ τετυχηκώς. κομιδὴ γὰρ ἡ 〈 ἐπιμέλεια.

Εὐκολίνη, ἡ ἑκάτη λέγεται παρὰ καλλιμάχῳ κατὰ ἀντίφρασιν, ἡ μὴ οὖσα εὔκολος.

Εὐκρὰς, ἀντὶ εὔκρατος. ῥητορική.

Εὐκρινής, συνήθως μὲν ὁ ἐξ ἀρρωστίας ἀναλαμβάνων ἢ ὑγιάνας. διὰ τὸ εὐκεκρίσθαι. ἀττικοὶ δὲ ἀντὶ τοῦ νεκροῦ τιθένται. ἴσως κατὰ ἀντίφρασιν. σημαίνει δὲ τὸν εὐχερῆ.

Εὐκτά, εὐχῆς ἄξια. ἐκ τοῦ εὔχω, ηὔχα, ηὖγμαι ηὖκται.

Εὐκτήριον, παρὰ τὸ εὐχῆς εἶναι οἰκητήριον. 〈 εὐκτά.

Εὔκτιτον, ἐκ τοῦ κτίζω κατὰ ἔνδειαν τοῦ σ. εὔκτιστον γάρ. ἢ ἐκ τοῦ κτίω. ἐξ οὗ ἢ πρωτόκτιστος. ἢ εὐκτίμενον πτολίεθρον.

Εὐλαβής, ὁ εὖ τῶν πραγμάτων ἐπιλαμβανόμενος. καὶ ὁ εὖ προσλαμβάνων τὸ μέλλον. οἷον, εὐλαβὴς μάχαιρα, καὶ εὐλαβὴς λίθος. ὅθεν δυσχερὴς, ὁ δύσληπτος ἀπὸ τῶν χειρῶν. τινὲς δὲ τὸν δειλὸν ἢ δείλαιον. γέγονε παρὰ τὸ λήβω, ἔλαβον εὐλαβής. ὥσπερ παρὰ τὸ πήσσω ἔπαγον παγής,

Εὐλαί, αἱ σκώληκες. παρὰ τὸ εἰλῶ εἰ- 〈 ἢ πρωτοπαγής. λαὶ, αἱ εἰλούμεναι. καὶ εὐλαί. ὡς χαίνω, χαῦνος. ἢ παρὰ τὸν αὐλὸν, ὅ ἐστι τὰ ἐπιμήκη, αὐλαὶ ἢ εὐλαί. τὰ εἰς λη θηλυκὰ διφθόγγῳ παραληγόμενα, εἰ μὴ ἔχει ἔννοιαν συνθέτου ὥσπερ τὸ δείλη, ὀξύνεται. τὸ μέντοι οὐλὴ βαρύνεται, πρὸς ἀντιδιαστολὴν τοῦ οὐλὴ μονογενοῦς.

Εὐλογία, παρὰ τὸ εὐλογῶ. τοῦτο παρὰ τὸ εὖ καὶ τὸ λόγος. τὸ δὲ εὖ παρὰ τὸ ἐΰς, ὅ ἐστι τὸ ἀγαθόν. οὐδέτερον, τὸ εὖ. καὶ κράσει εὖ. τὰ ἀπὸ τῶν εἰς ω περισπωμένων διὰ τοῦ ια γινόμενα θηλυκὰ, διὰ τοῦ ι γράφεται. οἷον εὐδοκῶ, εὐδοκία. εὐλογῶ, εὐλογία. μαρτυρῶ, μαρτυρία.

Εὔληρα, οὐδετέρως τὰ ἡνία τοὺς ἱμάντας. ἔστι δὲ τῶν ἅπαξ εἰρημένων. παρὰ τὸ εἰλῶ, εἴληρα καὶ εὔληρα κατὰ τροπήν. τὰ εἰλοῦντα καὶ συνέχοντα τὰ ὑποζύγια. παρὰ δὲ ἐπιχάρμῳ, αὔληρα εἴρηται. παρὰ τὸν αὐλόν. ἵν' ἢ τὰ ἐπιμήκη.

Εὐληνής, παρὰ τὸ λῆνος οὐδετέρως. τὰ δὲ ἀπὸ τῶν ος οὐδετέρων εἰς ης γινόμενα σύνθετα ὁπόταν τῷ η παραληγόμενα, εἰ μὴ ἔχει τὸ ν, βαρύνεται. ὅθεν τὸ εὐληνὴς ὀξύνεται.

Εὐμαρής, εὔκολος. εὐχερής. εὔληπτος, ἢ δῆλος. παρὰ τὸ μαίρω τὸ λάμπω, γίνεται μαρῶ μαρής, καὶ εὐμαρής, ὁ μὴ ὑπὸ σκότει κείμενος. ὁ λαμπρὸς κατὰ μετάληψιν.

Εὐμαρὶς εὐμαρίδος, εἶδος ὑποδήματος. διὰ τὸ εὐμαρῶς. ὅ ἐστιν εὐχερῶς βαδίζειν τοὺς ὑποδεδεμένους. εὐριπίδης. Βαρβάροις ἐν εὐμαρίσιν.

Εὔμαιος, κυρίως ἀπὸ τῆς εἰς τὸν δεσπότην εὐμενείας. καὶ φιλοίτιος, ἀπὸ τῆς πρὸς αὐτὸν φιλίας. ὁ ὀδυσσέως

Εὐμενής, ὁ εὖ τὰ κατὰ ψυχὴν διακείμενος. 〈 δοῦλος. ὁ πάρεστι μένος. ἀντίκειται αὐτῷ, τὸ δυσμενής.

Εὐμελίω. εὖ περὶ τὴν ἐπιμέλειαν ἠσκημένος. πολεμικός. ἢ καλῶς τῇ μελίᾳ χρώμενος. μελία δέ ἐστιν εἶδος δένδρου, ἐξ οὗ τὰ δόρατα ποιοῦσι τὰ πολεμικά. ὁ εὐμελίας τοῦ εὐμελίου. εἰς τὸ ῥᾷστος.

Εὐμολπίδαι, γένος ἀθήνησιν. ἀπὸ εὐμόλπου τοῦ θρακὸς, ὃς καὶ τὴν μύησιν εὗρεν. ἢ ἀπὸ τοῦ μουσαίου. ὃς ἦν ἀπὸ β.

Εὐνείκη, ῥοδόπηχυς. ὄνομα νηρηΐδος. 〈 πέμπτος. οὐ παρὰ τὸ νίκη, ἀλλὰ παρὰ τὸ ἐνείκω τὸ κομίζω. ὥς τό, Μελιηδέα οἶνον ἐνείκω. εὐνεικοῦν, ἡ τὰ καλὰ κομίζουσα, ἢ ἡ ἄβαρις, ἣν οἷόν τε καλῶς ἐνεγκεῖν.

Εὐνεῖδαι, γένος ἀθήνησι μουσικόν, ἀπὸ εὐνέως τοῦ ἰάσονος ἢ ὑψιπύλης. γράφεται διὰ τῆς ει διφθόγγου, ὡς ἀπὸ τῶν εἰς ευς.

Εὖνις, σημαίνει τὸν ἄνδρα καὶ τὴν γυναῖκα. ὁ εὖνις, καὶ ἡ εὖνις. σημαίνει δὲ καὶ τὸν μεμονωμένον καὶ ἐστερημένον. ὥσπερ τό, Ὅς μ' υἱῶν πολλῶν τε καὶ ἐσθλῶν εὖνιν ἔθηκε. παρὰ τὸ εἷς ἑνός, γίνεται ἕνις ἢ εὖνις. ὅτε δὲ σημαίνει τὸν ἄνδρα καὶ τὴν γυναῖκα, γίνεται παρὰ τὸ εὐνή, εὖνις.

Εὐναῖος ἐγκεκρυμμένος. σοφοκλῆς, δόλωνι. Εὐναῖος ἂν δραπέτην στέγην ἔχων.

Εὐνάς. Ἐκ δ' εὐνὰς ἔβαλον. ἰλιάδος α. τὰς ἀγκύρας νῦν λέγει τὰς σιδηρᾶς. παρὰ τὸ εὐνάζειν τὴν ναῦν χαλωμένας εἰς τὸ ὕδωρ, καὶ ποιεῖν ἵστασθαι τὴν ναῦν ἐν ἡσυχίᾳ, ὅπερ ἡμῖν ἐν τῇ εὐνῇ, ὅ ἐστι τῇ κοίτῃ συμβαίνει. καὶ Εὐναίας τ' ἔβαλον τὸ ὁμοίως.

Εὐνή, ἡ κοίτη. παρὰ τὸ εὕδω, εὐδίνη. ἢ συγκοπῇ εὐνή, ἐφ' ᾗ καθεύδομεν. ἢ παρὰ τὸ νῶ τὸ σωρεύω, καὶ τὸ εὖ, γίνεται εὐνή. οἱονεὶ τὰ καλῶς νενησμένα καὶ σεσωρευμένα στρώματα. παρὰ τὸ εὖ σεσωρεῦσθαι ταῦτα ἐν τῇ κοίτῃ. ἡ δὲ λέξις παρὰ τῷ ποιητῇ, τρία σημαίνει. τὴν κοίτην. ὥσπερ ὅταν λέγῃ, Εὐνῇ ἐνὶ μαλακῇ. καὶ, Φιλότητι εὐνῇ. τὴν ἄγκυραν, ὥσπερ τό, Ἐκ δ' εὐνὰς ἔβαλον. καὶ Ὕψι δ' ἐπ' εὐνάων ὁρμήσομεν, ἰλιάδος ξ. καὶ τὴν διατριβήν. ὥσπερ τὸ Ὅθι φασὶ τυφωέος ἔμμεναι εὐνάς.

Εὔνοστος, θεὸς ἐπιμύλιος, ἡ δοκοῦσα ἐφορᾶν τὸ μέτρον 〈 τῶν ἀλεύρων.

Εὐνοέστατον, δέον εὐνοώτατον. ῥητέον, ὅτι ἔθος ἐστὶ τῇ ἰάδι διαλέκτῳ οὕτω τὰ τοιαῦτα ποιεῖν, ὥσπερ ἀφθονώτερον ἢ ἀφθονέστατον. τὰ γὰρ διὰ τοῦ ο συγκριτικὰ, διὰ τοῦ ες προφέρουσιν. οἷον δικαιέστερος, ἀντὶ τοῦ δικαιότερος. ἢ τὰ τοιαῦτα. πᾶν ὄνομα εἰς ους λῆγον παρακείμενον συγκριτικῷ τε καὶ ὑπερθετικῷ, προσθέσει τοῦ τος ἀποτελεῖ. οἷον ἁπλούστατος, εὐχρούστατος. ζητεῖται δὲ, τί δήποτε εὔνους ἐστὶ τὸ ἁπλοῦν, καὶ τὸ συγκριτικὸν εὐνοώτερος, τὸ δὲ σύγκριμα σχηματίζεται εὐνούστερος, ἢ οὐχὶ εὐνούτερος. ῥητέον, ὅτι ὅσα μὲν τῶν πρωτοτύπων βραχυκαταληκτεῖ, ταῦτα οὐκ ἔχει σύμφωνον ἐν τῷ συγκριτικῷ ἢ ὑπερθετικῷ. οἷον ταχύς, ταχύτερος καὶ ταχύτατος. ὅσα δὲ μακροκαταληκτεῖ, ταῦτα μετὰ συμφώνου ἐν τοῖς συγκριτικοῖς ἐκφέρονται καὶ ὑπερθετικοῖς. οἷον εὐγενής, εὐγενέστερος, εὐγενέστατος. καὶ ἐπὶ τῶν ὁμοίων ὡσαύτως. τὸ δὲ εὐνούστατος, ὅτε μέν ἐστιν ἀπὸ τοῦ εὔνοος, δεῖ εἶναι εὐνοώτερος. ὅτε δὲ ἀπὸ τοῦ εὔνους, εὐνούστερος. Ἰστέον ὅτι τὰ μετὰ συμφώνου γινόμενα, ἐν τοῖς συγκριτικοῖς βραχύνεται κατὰ τὰ φωνήεντα. οἷον σωφρονέστερον. ὑγιέστερον. τὸ οὖν εὐνούστερον, ἢ περισσὸν οἰκεῖον ἔχειν τὸ σ, ἢ ὀφείλει βραχύνεσθαι κατὰ τὴν τρίτην ἀπὸ τέλους. ὥστε τὸ μὲν εὐνούστερος, ἡμάρτηται. ὑγιῶς δὲ ἔχει τὸ εὐνοώτερος. φιλόξενος.

Εὐνοῦχος, σπάδων. τομίας. ἀπὸ τοῦ τὴν εὐνὴν ἔχειν ἢ ἐπιμελεῖσθαι καὶ φυλάσσειν. τινὲς δέ φασι, παρὰ τὸ εὖ τοῦ νοῦ ἔχειν, καὶ ἀπηλλάχθαι τῶν ἀφροδισίων. οἱ γὰρ ἀρχαῖοι τὰ ἀφροδίσια, ἀνόητα ἐκάλουν. ὡς παρὰ ἀριστοφάνει. Ὑπνοῦντ' ἀπέχεσθαι, καὶ τῶν ἀνοήτων 〈 πάντων.

Εὐξαντίδος γένους, εὐξάντιος. τὸ πατρωνυμικὸν εὐξαντιάδης. τὸ θηλυκὸν εὐξαντιάς εὐξαντιάδος. ἆρον τὸ ἄλφα, ἢ γίνεται εὐξαντὶς εὐξαντίδος. ἡρωδιανὸς περὶ παθῶν.

Εὔξεινος πόντος. οὗτος τὸ πρότερον ἄξεινος ἐκαλεῖτο διὰ τὸ ὑπὸ λῃστῶν οἰκεῖσθαι. ἢ μηδένα ἐᾶν παραβάλλειν τῶν ξένων. εὔξεινος δὲ ἐκλήθη νῦν κατὰ ἀντίφρασιν. ὅτι ἡρακλῆς ἐμβαλὼν ἐκεῖθεν τοὺς λῃστὰς, φιλοξένους κατῴκισεν.

Εὔξοον. Εὔξου δουρὸς ἀκωκή. ἀπὸ τοῦ εὔξοος εὔξους, ὡς εὔνοος εὔνους. καὶ εὔξου καὶ εὔνου. ἐκ τοῦ ξέω, καὶ μετὰ τοῦ εὖ, εὔξοος. εὔξοον τὸ καλῶς ἐξεσμένον, καὶ κατεσκευασμένον. διατί ἀναβιβάζει τὸν τόνον. τὰ εἰς ος ὀνόματα ἔχοντα τὸ εὖ μόριον κατ' ἀρχὴν, ἅπαντα προπαροξύνονται, χωρὶς τῶν παρὰ τὸ ἔργον συγκειμένων. ὥσπερ τὸ εὐεργὸς γυνή.

Εὐπαλές, ῥᾴδιον. εὐχερές. ἀπὸ μεταφορᾶς τῶν παλαιόντων, καὶ εὐχερῶς ὑποκειμένων τοῖς ἀνταγωνισταῖς. τὸ γοῦν δυσχερές, δυσπαλὲς ἔλεγον. ἢ εὐπαλές, τὸ εὐμεταχείριστον, ἀπὸ τῆς παλάμης. ἢ ἀπὸ τῆς τῶν ἀθλητῶν παλαίσεως. καὶ γὰρ δὲ εὐλαβές φαμεν, ἀπὸ τῶν

Εὐπαλέας, εὐχερεῖς. ἀπὸ ῥᾳδίως βαλλόντων. μεταφορᾶς τῶν εὐπαλαιστῶν ἀνδρῶν. τούτοις γὰρ δὲ εὐχερεῖς δοκοῦσιν οἱ ἀγῶνες.

Εὐπατέρεια, εὐγενής. καλὸν πατέρα ἔχουσα.

Εὐπηγής, εὐειδής. πηγὸς γὰρ τὸ ὕδωρ.

Εὐπυρίδαι, δῆμος Ἀθηναίων. ὅτι ἐν Ἀθήναις πρῶτον τὸ πῦρ εὑρηκέναι φασί, κατὰ τὸν δῆμον τοῦτον τῆς ἐκλάμψεως αὐτοῦ γενομένης.

Εὔπρυμνοι, καλὰς πρύμνας ἔχουσαι. πρύμνα γὰρ τὰ ὄπισθεν μέρη τῶν νεῶν.

Εὐπλίσσοντο, καλῶς ἐβάδιζον καὶ διέβαινον. πλίσσεσθαι γὰρ τὸ βάδην διαβαίνειν. καὶ πλίγμα, τὸ διάστημα τῶν ποδῶν. Σοφοκλῆς Τριπτολέμῳ. Δράκοντε δ' αἴρουν ἀμφιπλὶξ εἰληφότες περιβάδην.

Εὐρὰξ, ἐκ πλαγίου. καὶ τὸ δ' εὐρὰξ σὺν δουρὶ λαβών, ἀντὶ τοῦ ἐκ πλαγίου. παρὰ τὸ εὖρος, ὡς μόνος μοῦνος καὶ μουνάξ. ἢ παρὰ τὸ πλευρὸν πλευράξ. καὶ ἀφαιρέσει, εὐράξ. ἀφ' οὗ εὖρος, οἱονεὶ πλευρὸς ὤν. ἐκ δὲ τούτου καὶ πλάτος εἴρηται τὸ πλάγιον, ὡς πρὸς τὸ ὀρθὸν μῆκος.

Εὐράχοντες, ἠχοῦντες. ῥαχίας γὰρ ἐκάλουν τοὺς τραχεῖς καὶ περιηχοῦντας τόπους.

Εὔριζος. παρὰ τὸ εὖ καὶ τὸ ῥίζα, γίνεται ὁ εὔριζος, ἡ εὔριζος.

Εὔριπος, παρὰ τὸ ῥιπίζω. οἱονεὶ ὁ εὐχε- τὸ εὔριζον. ῥᾳδίως ῥιπιζόμενος. ἢ παρὰ τὸ εὐρὺ κατ' ἀντίφρασιν. ὁ μὴ ὢν πλατύς. πέλαγος γάρ ἐστι στενὸν ὁ εὔριπος μεταξὺ τῆς Εὐβοίας. ὅπερ ἑπτάκις καθ' ἡμέραν ἐναλλάττει τὴν ἰδίαν κίνησιν. καὶ πάντως ἐναντίως τῇ κινήσει τοῦ ἀνέμου κινεῖται. ἔνθα δὲ ἐτελεύτησεν ὁ Ἀριστοτέλης ὀλιγοψυχήσας, μὴ εὑρηκὼς τὴν αἰτίαν τῆς τοιαύτης κινήσεως.

Εὐριπίδης, ἀπὸ τοῦ Εὐρίπου. καὶ γὰρ ἐν Εὐρίπῳ -σεως. φασὶ γεννηθῆναι αὐτόν. Εὐριπίδης Εὐριπίδου.

Εὔρις κυνῶν. τὰ εἰς ιν δικατάληκτα ἁπλᾶ, ὀξύνονται. ῥίν, καὶ ῥίς. τὰ δὲ σύνθετα, παροξύνονται. οἷον εὔριν. καμπύλοριν. εὐρίνων κυνῶν καὶ σκυλάκων. ἀπὸ τῆς ῥινός ἤτοι τῶν τὴν ὄσφρησιν ἐχόντων ὀξυτάτην. κυρίως διὰ τὸ ταῖς ῥισὶν ἰχνοποιεῖν τὰ θηρία. διὸ καὶ παρατηροῦσιν οἱ κυνηγοὶ πρὸ ἡμέρας ἐξάγειν τοὺς κύνας, ἵνα πρὶν ἥλιον ἀνατεῖλαι εὐχερῶς ἰχνηλατῶσι ταῖς ῥισί. καὶ Ξενοφῶν ἐν τῷ κυνηγετικῷ, κελεύει κύνας ἐκλέγεσθαι εὔρινας, ἵνα ὀσφραίνωνται τοὺς λαγωούς. καὶ Νίκανδρος.

Εὔπλοος εὔπλου. καὶ εὐ Ἄρτεμις εὐρίνων ἐσμὸν ἄγει. πλοῦς εὔπλου. τὰ σύνθετα γὰρ τῶν ἁπλῶν φυλάσσει τὴν κλίσιν. διαφορεῖται φυλαττομένου τοῦ αὐτοῦ γένους, διὰ τὸ πόλις πόλεως θηλυκόν. εὔπολις δὲ εὐπόλιδος, ἀρσενικόν. φυλαττομένης δὲ τῆς αὐτῆς καταλήξεως, διὰ τὸ τύχη τύχης, εὐτυχής, εὐτυχοῦς δέ.

Εὐπατρίδαι, ἐκαλοῦντο οἱ αὐτὸ τὸ ἄστυ οἰκοῦντες καὶ μετέχοντες βασιλικοῦ γένους, καὶ τὴν τῶν ἱερῶν ἐπιμέλειαν ποιούμενοι. γεωργοὶ δὲ οἱ τῆς ἄλλης χώρας οἰκήτορες. ἐπιγεώμοροι δέ, τὸ τεχνικὸν ἔθνος.

Εὔρρηνος καὶ εὔβοτος, ὁ καλλιπρόβατος. ἐκ τοῦ ῥὴν ῥηνός. εὔρρηνος πλεονασμῷ τοῦ ρ. πολύρρηνος δὲ ὁ πολύδερμος. καὶ Πολύρρηνον νῶμα σάκεσιν ἔγχος. τὸ ἐκ πολλῶν βυρσῶν κατεσκευασμένον.

Εὐρείτης ἄνεμος, παρὰ τὸ εὐρὺ καὶ σφοδρὸν τῆς πνοῆς. ἢ ὁ ἀπὸ τῆς ἕω ῥέων. ἀναλογικῶς γὰρ ὁ παρὰ τὸ ῥέω ῥεΐτης, καὶ ῥείτης κατὰ συναίρεσιν. ἐξ οὗ εὐρείτης καὶ βαθυρείτης.

Εὐρεῖος ποταμοῦ, τοῦ καλῶς ῥέοντος. παρὰ τὸ ῥέω γίνεται ῥεεις, καὶ εὐρεεις εὐρεεος. καὶ κράσει τῶν δύο εε εἰς τὸ ει.

Εὖρος, ἀπηλιώτης ἄνεμος. καὶ τὸ δίφθογγον, εὐρεῖος. πλάτος, καὶ ὄρους τοῦ πυρός. ὁ ἄνεμος, ὥσπερ δ' εὖρός τε νότος τε. παρὰ τὸ εὖρος τὸ πλάτος, ἢ ὁ πλατὺς καὶ ἐπίπλατος ἀνέμων. ἢ εὖρος ἴσως ὤν. ἐπεὶ ἱδρωτοποιὸς διὰ θερμότητα. ἢ ὁ ἀπὸ τῆς ἕω ῥέων ἀναλογικῶς. ὁ γὰρ ἐναντίος αὐτοῦ, δυτικός. ζέφυρος δὲ ὁ ἐκ τοῦ ζόφου ῥέων. ἢ παρὰ τὴν αὔραν τὴν πνοήν. εὖρος οὐδετέρως τὸ σημαντικὸν τοῦ πλάτους. διὸ οὐκ ἔστιν εὐρέτην καὶ φέρεσθαι. ἢ παρὰ τὸ ἕω τὸ πορευόμενον εἰς πλάτος.

Εὐρύς, ὁ πλατύς, παρώνυμον. παρὰ τὸ εὖρος εὐρύς. ὡς θράσος, θρασύς. κότος, κοτύς. ἵππος, ἱππύς. καὶ εὐρὺ τὸ πλατύ. παρὰ τὸ εὕδω, οὐκ ἔστι κοιμηθῆναι. πλάτος γὰρ χρήζει, διὰ τὸ περιστρέφεσθαι ὁ κοιμώμενος. ἢ παρὰ τὸ εὐμόριον, καὶ τὸ ῥούω τὸ ὁρμῶ.

Εὐρυάγυια, πλατυάμφοδον. μεγάλην. ἀγυιαὶ γὰρ τὰ

Εὐρυοδεία παροξυτόνως, ἡ μεγάλη. ἀπὸ ἄμφοδα. χθονὸς εὐρυοδείης. μέγα τὸ ἕδος ἐχούσης, ὅ ἐστιν ἕδρασμα. ἔστι δὲ ἐπίθετον τῆς γῆς.

Εὐρυκόωσα, ἡ μέγα χάσμα ἔχουσα. παρὰ τὸ εὐρὺ καὶ τὸ κόον. ἡ μεγάλη καὶ πλατεῖα. κόον γὰρ λέγουσι τὸ μέγα οἱ Λάκωνες. Εὐφορίων, Ὄσσοις εὐρυκόωσα Τυφάων-

Εὐρυνόμη, ἡ θεὰ ἡ τῶν χαρίτων νι κύσατο κητώ. μήτηρ. παρὰ τὸ εὐρέως καὶ μεγάλως νέμειν αὐτὴν καὶ διδόναι. διὰ τοῦτο γὰρ καὶ θυγατέρα Ὠκεανοῦ, καὶ μητέρα χαρίτων φασίν.

Εὐρύπυλος, ὄνομα κύριον. ἀπὸ τοῦ εὐρὺς καὶ τοῦ πύλη. τὰ δὲ εἰς υς ὀξύτονα συντιθέμενα, ἀποβάλλει τὸ ς. οἷον, ὠκὺς ὠκύμορος. ταχύς, ταχυθάνατος. σεσημείωται τὸ πολύμνια ἀπὸ τοῦ πολυύμνια ἀποβάλλον τὸ υ. καὶ τὰ εἰς η λήγοντα θηλυκὰ ἐν τῇ συνθέσει ἢ φυλάττει τὸ τέλος, ὡς Ἀνδρομάχη, ἢ τρέπει εἰς ος, ὡς φωνή, εὔφωνος. ἢ εἰς ον, ὡς τρίπυλον. ἢ προσλαμβάνει τὸ ς, ὡς μισογύνης.

Εὐρύαλος. ἰστέον ὅτι αἱ συνθέσεις πολλάκις, φυλάττουσι τὸ πνεῦμα τῶν ἁπλῶν. οἷον, ἵστημι, ἐφίστημι. ῥωμαῖος, φιλορωμαῖος. πρόσκειται πολλάκις, διὰ τὸ εὐρύαλος. τοῦτο γὰρ ὅτε μέν ἐστιν ἐπίθετον, καὶ σημαίνει τὸν πλατυθάλασσον τόπον, δασύνεται κατὰ τὴν δευτέραν ἀπὸ τέλους συλλαβὴν τῶν ἁπλῶν. ὅτε δέ ἐστι κύριον, ψιλοῦται. ζήτει εἰς τὸ ὠκύς.

Εὐρυμέτωπος, ὁ μεγαλομέτωπος.

Εὐρυτίων, ὄνομα κύριον. παρὰ τὸ εὐρὺς εὔρυτος εὐρυτίων. ἵν' ᾖ ὁ μέγας. ὡς αἰπύς, αἰπύτης.

Εὐρύοψ, ὁ μεγαλόφωνος. Εὐρύοπα Κρονίδην. ψιλοῦται. ἤτοι μεγαλόφθαλμον, παρὰ τοὺς ὦπας. ἢ μεγαλόφωνον, παρὰ τὴν ὄπα, ὅ ἐστι φωνήν. εἰ μὲν μεγαλόφθαλμον, τὸν μεγάλως τὰ πάντα ἐφορῶντα διὰ τὸ προνοητικόν. εἰ δὲ μεγαλόφωνον, τὸ βροντοποιὸν εἶναι τὸν θεὸν τοῦτον, ὡς ἐριβρεμέτην.

Εὐρύοπα Ζεύς, ὡς ἑρμείας ἀκάκητα. ζήτει εἰς τὸ ἀκών.

Εὐρυσθενές, ὦ μεγάλην δύναμιν ἔχων. μεγαλοσθενές.

Εὐρυφυές, ὄνομα παρὰ τὸ εὐρὺ καὶ τὸ φύω. ἐξ οὗ φυά.

Εὐρυμίδης, ὁ ποιητὴς Τήλεμος. παρὰ τὸ τὸ φυτόν. εὖρος εὔρυμος. ὡς σκόλος, σκόλυμος. καὶ παρωνυμικόν, εὐρυμίδης.

Εὐρυάδης, εἷς τῶν μνηστήρων. παρὰ τὸ εὐρὺς παρωνυμικῷ τύπῳ, εὐρυάδης.

Εὐρυμνάσαι, εὐρευνῆσαι.

Εὐρυπώδης. ἔστιν εὐρύπων εὐρύποντος εὐρυποντίδης. καὶ κατὰ συγκοπήν, εὐρυποίδης. καὶ κατὰ συναίρεσιν τοῦ ο καὶ ι. καὶ ἐκτάσει πάλιν τοῦ ο εἰς ω, εὐρυπώδης. ἢ καὶ τὰ εἰς δης παρωνυμικὰ πρὸ τοῦ δ ἢ τὸ ι ἔχει, ἢ τὸ α. οἷον πηλείδης. ἀλκιβιάδης. οὕτως οὖν καὶ εὐρυπώδης τῷ ι παραλήγεται. λέγει δὲ ὁ Ὧρος ὅτι εἰσί τινα διὸ ἀντιπεπονθότως ἔχοντα. ἔστι γὰρ λεὼς καὶ εὐρύπων. καὶ τὸ μὲν λεὼς εἰς ς λῆγον, ἐποίησε τὸ λεωνὶς φυλή. ὡς τὰ γινόμενα ἀπὸ τῶν εἰς ων ληγόντων. οἷον, θέων, θεωνίς. τὸ δὲ εὐρύπων, ὤφειλεν εἶναι εὐρυποντίδης, ὥσπερ λέων λεοντίδης. καὶ ἐγένετο εὐρυπώδης, ὥσπερ τὰ ἀπὸ τῶν εἰς ως ληγόντων γινόμενα. μίνως μίνω, μινώδης. ἥρως, ἥρω, ἡρώδης.

Εὕρω, δασύνεται καὶ βαρύνεται. ὥσπερ εὕδω καὶ βασιλεύω. τὰ γὰρ τῇ ευ διφθόγγῳ παραληγόμενα, πάντα βαρύνονται. ἐν δὲ τῷ δευτέρῳ ἀορίστῳ, οὐ τῷ λόγῳ τῆς παραλήξεως ἔμεινεν ἡ μακρά, ἀλλὰ τῷ λόγῳ τῆς ἀρχῆς ἐφυλάχθη ἡ ευ δίφθογγος. δασύνεται δὲ καὶ περισπᾶται. ἐξ οὗ εὑρῶ εὑρήσω εὑρήκαμεν.

Εὗρεν, ῥῆμα ἀόριστος δεύτερος. ὁ γὰρ ἐνεστὼς οὐκ ἔστι ῥητός, ἀλλ' ἐξ ὑπομνήσεως τοῦ μέλλοντος καὶ τοῦ παρακειμένου λέγεται καὶ ὁ ἐνεστώς. ὡς οὐδὲ τοῦ ἔω τοῦ ὑπάρχω δηλονότι ὁ ἐνεστὼς ῥητός, ἀλλ' ἐξ ὑπομνήσεως ὡς εἴπομεν τοῦ ἦν δευτέρου ἀορίστου ἐνεργητικοῦ. καὶ τοῦ ἔω ὑποτακτικοῦ. Ὄφρα μὴ οἶος Ἀργείων ἀγέραστος ἔω. οὕτως δηλονότι καὶ τὸ ὑπόλοιπον.

Εὕρεμεν. εὕρομεν. τὸ ἀπαρέμφατον, εὑρεῖν. καὶ οἱ Ἴωνες καὶ οἱ ποιηταὶ διαιροῦσιν εἰς εμεν.

Εὐρώπη, ἀπὸ μητρὸς Μίνωος καὶ Ῥαδαμάνθυος, καὶ Σαρπηδόνος. Λυκόφρων.

Εὐρώπεια. τὰ διὰ τοῦ εια θηλυκὰ ἀπὸ τοῦ αὐτοῦ σημαινόμενα ὄντα, διὰ τῆς ει διφθόγγου γράφεται. πλειστοδίκη, πλειστοδίκεια. καὶ εὐρωπαῖος. καὶ οὐδετέρως, τὰ εὐρωπαῖα. καὶ θηλυκόν, εὐρωπίς. ἀπὸ τοῦ εὔρωπος ἡ εὐρώπη. ἔστι καὶ Εὔρωπος πόλις Μακεδονίας. τὸ ἐθνικόν, εὐρωπαῖος. ὡς ἤπειρος ἠπειραῖος. νησαῖος. ἔστι καὶ ἄλλη Καρίας. τὸ ἐθνικὸν ταύτης, εὐρώπιος, ὡς ὀρώπιος.

Εὐρώς, ἡ τοῖς σκεύεσιν ἐπιχεομένη ἐκ τῆς ὑγρότητος. ἢ νοτίας λευκῆς τις ἐπίχυσις. τουτέστιν, ὑγρότης σεσηπυῖα. Θεόκριτος. Χὰ σῦριγξ εὐρῶτι παλύνεται. κλίνεται εὐρώς, εὐρῶτος. καὶ ῥῆμα εὐρωτιῶ. ἐκ τοῦ αὔρα ἡ νοτίς, γίνεται αὐρώς. καὶ τροπῇ τοῦ α εἰς ε, εὐρώς. ὡς βάθος, βένθος. καὶ πάθος, πένθος. ἢ παρὰ τὸ εὖρος τὸ πλάτος, ὁ ἐπιπλατυνόμενος τοῖς σκεύεσιν.

Εὐρώεντα, πλατέα. ἀναπεπταμένα, ἢ σκοτεινά. παρὰ τὸ εὐρῶτα γίνεται εὐρωτόεντα. καὶ συγκοπῇ, εὐρώεντα. ἢ παρὰ τὸ εὖρος εὐρόεντα. καὶ ἐκτάσει, εὐρώεντα.

Εὖς, ὁ ἀγαθός. ὡς ἥδω ἡδύς, καὶ βρίθω βριθύς, οὕτω καὶ παρὰ τὸ ἔω τὸ ὑπάρχω, εὖς. τὸ γὰρ ἀγαθὸν καὶ βέβαιον, ἑδραῖον ὑπάρχει. ἢ παρὰ τὸ ἐῶ τὸ εὐφραίνομαι καὶ ἥδομαι. οὗ, ἐπεί με πρῶτον ἔασας, ἀντὶ τοῦ ἥδυνας. ὁ δὲ Ἡρωδιανός λέγει, ὅτι παρὰ τὸ ἐῶ, γίνεται ἐὸς ὁ ἀγαθός. τὸ θηλυκόν, ἐή. καὶ ἐκ τοῦ ἐός, εὖς.

Εὐσέλμους, καλὰ σανιδώματα ἐχούσας. σέλματα γὰρ αἱ τῶν ἐρεσσόντων καθέδραι. γίνεται παρὰ τὸ ἕω τὸ κάθημαι, ἧμαι, ἕεμαι. ἕμα. πλεονασμῷ τοῦ λ ἕλμα. καὶ προσθέσει τοῦ ς, σέλμα. ἐξ οὗ καὶ σελλίον, καὶ σέλλα. καὶ παρὰ τὸ εὖ.

Εὐσέλμοιο νηός, τῆς εὐκαθέδρου. ὥσπερ ἐκ τοῦ ἕρεισμα γίνεται κατὰ συγκοπὴν ἕρμα, οὕτως ἔστι καὶ σελλίς, καὶ σημαίνει τὴν καθέδραν. ἡ γενικὴ σελλίδος. ἐξ αὐτοῦ ῥῆμα σελίζω. καὶ παράγωγον ὄνομα, σέλισμα. καὶ συγκοπῇ, σέλμα. καὶ μετὰ τοῦ εὖ, εὔσελμος. τροπῇ τοῦ α εἰς ος, ὡς σχῆμα, εὔσχημος. καὶ διαλύσει, εὔσελμος.

Εὐσχήμων, ὁ κόσμιος καὶ πειθόμενος τοῖς νόμοις. παρὰ τοῦτο ἔκτεον οὐχ ὁ πλούσιος καὶ πολλὰ κεκτημένος.

Εὔσκαρθμοι, εὐσκάριστοι, ὅ ἐστιν εὐκίνητοι. ταχεῖς. παρὰ τὸ σκαίρω σκαρμός, καὶ σκαρθμὸς πλεονασμῷ τοῦ θ. λέγεται δὲ κατὰ διάλεκτον ὁ πούς. σκαλμοὶ δὲ τὰ ξύλα, ὧν ἐκδέονται αἱ κῶπαι πρὸς τὴν εἰρεσίαν.

Εὐσύμβουλος, ἀντὶ τοῦ ῥᾳδίως καὶ εὖ συμβάλλων. Ἀντιφῶν ἐν τῷ πολιτικῷ.

Εὖστρα, βόθρος, ἐν ᾧ τοὺς σῦς εὕουσι. καὶ ὁ στάχυς, ὅταν μήπω πέπειρος ἀποφλογισθῇ.

Εὖστραι, βόθυνοι. ἐν οἷς οἱ χοῖροι ἤγουν οἱ σῦς εὕονται. καὶ

Εὖσαι τὸ χοιρίδιον. οἱ οὕτω λέγοντες, καὶ ἱερεῖα. ἀμφιτανοισι. δεῖ γὰρ θῦσαι λέγειν. καὶ παρ' Ὁμήρῳ δὲ κακῶς γράφεται. Σιάλους τε εὕοντας ἐν αὐλῇ.

Εὔστιπτον, εὐπεπλυμένον, καὶ πεπατημένον. ἐκ τοῦ στείβω τὸ πατῶ. οἷον, Εὐθὺ δ' αὖ Τυνδαρίδης εὔστιπτον θῆκε φάρος. Ἰλιά-

Εὖτ' ἂν πολλοί, ἀντὶ τοῦ ὁπόταν. διὸ μέρη λόγου. ἀδεσα. εὖτε καὶ ἐπίρρημα παραβολῆς δηλωτικόν. καθὸ μὲν ἀπολλώνιος λέγει, ὅτι ἐκ τοῦ ὅτε γίνεται πλεονασμῷ τοῦ υ, οὔτε. καὶ μεταθέσει τοῦ ο εἰς ε, εὖτε. ὁ δὲ ἡρωδιανός, ὅτι ἐκ τοῦ ὅτε πλεονασμῷ τοῦ ε καὶ κράσει δωρικῇ τοῦ εο εἰς τὸ ευ, γίνεται εὖτε. Εὖτ' ὄρεος κορυφῇσιν. ἀντὶ καθάπερ. οὐ ῥόπον. δεῖ γινώσκειν ὅτι τὸ εὖτε οὐκ ἔστι παραβολῆς, ἀλλ' ὁμοιωματικόν ἰσοδυναμοῦν τῷ ἠΰτε. ἀρίσταρχος μέντοι διὰ τοῦ ε εὖτε. ὡς καὶ ἑτέρωθί που λέγει. Τῶν δ' εὖτε πτερὰ γίνεται. ἀντὶ τοῦ ὡς πτερὰ ἐγένετο τὰ ὅπλα τῷ ἀχιλλεῖ. ἰλιάδος τ. εἰσὶ δὲ οἳ, καὶ ἑτέρως ἀκούουσι τὸ εὖτε, ἀντὶ τοῦ ὅτε. καθὰ καὶ ἐν ἄλλοις. οἷον, Εὖτε γὰρ ἠέλιος φαέθων. καὶ Εὖτ' ἀστὴρ ὑπερέσχεν. λαμβάνεται δὲ ὑπὸ μίαν παραγραφὴν τὸ ὅλον. Εὖτ' ὄρεος κορυφῇσιν.

Εὐτείχεον, τὸ καλῶς τετειχισμένην ὑπὸ ἀπόλλωνος καὶ ποσειδῶνος. τὰ εἰς ος ἀπὸ οὐδετέρων συντιθέμενα, ἀπὸ εὐθείας συντίθεται. οἷον, ξίφος, ἄξιφος. ῥῖγος, δύσριγος. πλὴν τοῦ εὐτείχεος, ἀπὸ γενικῆς συντιθεμένου. ὤφειλε γὰρ ἡ σύνθεσις ἀπὸ εὐθείας εἶναι. ἐγένετο δὲ ἀπὸ γενικῆς, διὰ τὸν κανόνα. γίνεται ἐκ τοῦ, τὸ τεῖχος τοῦ τείχεος. καὶ μετὰ τοῦ εὖ μορίου, εὐτείχεος.

Εὔτυκτον. Κυνέην εὔτυκτον. καλῶς κατεσκευασμένην. ἐκ τοῦ τεύχω τέτευχα. τέτευγμαι τέτευκται. καὶ ἀποβολῇ τοῦ ε, τέτυκται. ὄνομα ῥηματικόν, τυκτός. καὶ εὔτυκτος. ὁ κανών. τὰ εἰς ος σύνθετα κοινά εἰσι τῷ γένει. καὶ ὁμοφωνεῖ τὰ θηλυκὰ τοῖς ἀρσενικοῖς.

Εὐτυκάζειν, ἑτοιμάζειν.

Εὔτρησιος, παρὰ τὸ τετρῆσθαι. τὸ ναυτόλυκον, ὁ εὔπο-

Εὐτραφής, παρὰ τὸ εὖ καὶ τὸ τρέφω, τραφής [...] λις σκώπτει. καὶ εὐτραφὴς εὐτραφέος. Εὔτρησις, πόλις ἀρκαδική.

Εὐτελής, ἐκ τοῦ τέλος, ὃ σημαίνει τὴν δαπάνην. εὐτελεῖς λέγει τοὺς μὴ ἐπὶ πολὺ χωροῦντας ταῖς δαπάναις.

Εὐτράπελος, ὁ κοῦφος καὶ μωρὸς καὶ ἀπαίδευτος. ὥσπερ γὰρ παρὰ τὸ εἴκω τὸ ὁμοιῶ γίνεται εἴκελος, οὕτω καὶ ἀπὸ τοῦ τρέπω, οὗ ὁ δεύτερος ἀόριστος ἔτραπον, γίνεται τράπελος καὶ εὐτράπελος. καὶ ἀπὸ τοῦ στρέφω εὐέστρεπτος. εὐστράπελος, καὶ εὐτράπελος. καὶ εὐτραπελῶ ῥῆμα. ἐξ οὗ, εὐτραπελία ἡ μωρολογία. κουφότης. ἀπαιδευσία. παρὰ τὸ εὖ τρέπεσθαι τὸν λόγον εἴρηται.

Εὐφαμία, σιωπή, εὐλογία. Εὐφάλαρα, λαμπρά.

Εὐφραδέως, πεφρασμένως, καὶ συνετῶς. παρὰ τὴν φράδην. ἢ εὐπρεπῶς καὶ κοσμίως. ἀπὸ τοῦ φράζειν συνετῶς. ὁ δεύτερος ἀόριστος ἔφραδον. φραδὴς καὶ εὐφραδής.

Εὖτε, δύο σημαίνει. ἐπίρρημα παραβολῆς. ὡς τό, Εὖτ' ὄρεος κορυφῇσι. καὶ χρόνου δηλωτικόν.

Εὐφυΐα, ὤφειλε διὰ διφθόγγου, ὡς γίνεται ἀπὸ τῶν εἰς ης. ὡς εὐσεβής, εὐσέβεια. ἀλλὰ τὰ παρὰ τὸ φύω καὶ δυσ σύνθετα, διὰ τοῦ ι γράφεται. οἷον εὐφυΐα, δυσφυΐα. ἀφυΐα.

Εὐφαίνω. παρὰ τὸ φῶ τὸ προΐω, γίνεται [...] ία, καὶ εὐφυΐα. φαίνω. καὶ μετὰ τοῦ εὖ, εὐφαίνω τὸ καλῶς προΐω. ὁ μέλλων εὐφανῶ. ὁ παρακείμενος εὔφαγκα. εἰ δὲ εἴη ὁ μέλλων δι' ἀμεταβόλου, ὁ παρακείμενος δι' αὐτοῦ καὶ τοῦ κ. καὶ ὤφειλεν εἶναι ηὔφαγκα. ἀλλὰ τὰ ἀπὸ τοῦ εὖ μορίου καὶ τοῦ δυς ἀρχόμενα ῥήματα, ἄτρεπτον τηροῦσι τὴν ἀρχήν. ἔσωθεν δὲ αὐξάνεται. οἷον, εὐορκῶ, εὐώρκουν. ὁ παθητικός, εὔφασμαι. ὁ ἀόριστος, εὐφάνθην. ἡ μετοχή, ὁ εὐφανθείς.

Εὐφρόνη, ἡ νύξ. παρὰ τὸ εὐφρονεῖν [...] θεὶς, τοῦ εὐφρανθέντος. νῦν ἡμᾶς ἐν αὐτῇ. καὶ ὁ χρησμός. καὶ ἡ βουλή. καὶ γὰρ ὁ λογισμὸς ὅτε ἀσχολεῖ, κριτὴς γίνεται τῶν πραγμάτων. ἢ παρὰ τὸ εὐφραίνειν τὸ σῶμα διὰ τῆς ἀναπαύσεως. ἢ παρώνυμόν ἐστιν, ἀπὸ τῆς εὔφρων εὔφρονος εὐφρόνη, ὡς ἀμύμονος ἀμυμόνη.

Εὐφροσύνη, ἐκ τοῦ εὔφρων. τοῦτο ἐκ τοῦ [...] νος ἀμυμόνη. φῶ τὸ προΐω. οἱονεὶ, ἡ καλῶς προερχομένη κατὰ συγκοπὴν καὶ τροπήν. ἐκ τοῦ φῶ δὲ, γίνεται ὀνοματικὸν ῥηματικὸν φῶν, καὶ εὔφων. καὶ κλίνεται εὔφονος. ὁ κανών. τὰ εἰς ων ῥηματικὰ τρέπει τὸ ω εἰς ο. εὐφρονῶν, ὁ εὐφραινόμενος.

Εὐχερής, κυρίως ὁ εὐκατάπαλαιστος. ὁ εὐκαταγώνιστος, καὶ εὐκαταγνωστος. ἀπὸ μεταφορᾶς τῶν παλαιστῶν, ἢ πολεμιστῶν. παρὰ γὰρ τὴν χεῖρα ἡ συνθήκη. καταχρηστικῶς δὲ ὁ ἐπιεικής, καὶ μὴ ἀντιπαλαίων. καὶ δυσχερής.

Εὐχήνωρ δ' ἐγένετο, πολυΐδου μάντιος [...] ὁ δ' ὦ παῖς. υἱός. παρὰ τὸ εὐχὴ εὐχήνωρ. ὡς μάντιος υἱός, ἀπὸ τῆς παρατάξεως τοῦ πατρὸς κληθείς.

Εὐχή, παρὰ τὸ εὖ μόριον καὶ τὸ σχῶ τὸ προΐω, εὐχῶ εὐχή. ἢ ἡ τοῦ εὖ ἔχειν αἴτησις. ἢ παρὰ τὸ ἔχεσθαι τὸ ἀκολουθεῖν, εὐχῶ. ἀφ' οὗ τὸ εὔχομαι. τοῦτο γὰρ ἐστιν ἐν χρήσει. καὶ ἔστι τῇ μὲν φωνῇ παθητικόν. τῷ δὲ σημαινομένῳ ἐνεργητικόν. τὰ δὲ ἐνεργητικὰ ἀπέλειψαν. παρὰ τὸ εὖ καὶ τὸ ἔχω, ἵν' ᾖ, εὐέχω. τὰ γὰρ καλὰ ἔχειν αἰτοῦμεν. ἢ παρὰ τὸ ἔχω πλεονασμῷ τοῦ υ. ἃ αἰτοῦμεν ἔχειν. σημαίνει δὲ γ. τὸ κυρίως λέγειν, καὶ ἁπλῶς. ὅμηρος. Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι υἱός. καὶ, Εὔχετο δ' ἐξ ἰθάκης ἔμμεναι. καὶ τὸ εὔχομαι. ὡς τό, Εὔχετο δ' ἀπόλλωνι λυκηγενεῖ. καὶ τὸ καυχῶμαι. ὡς τό, Ὣς ἔφατ' εὐχόμενος. Τυδείδου

Εὐχομένην, καὶ εὐφραινομένην. Ἰστέον ὅτι παρ' ἡμῖν [...] βέλος. φυλάττεται. παρὰ δὲ ἀθηναίοις τρέπεται. ὡς παρ' ἡνεῖ δέδορκε, ἐχθοσαι τε, παρ' ἡμῖν μὲν οὐ τρέπεται κατὰ τὴν παρατατικόν. οἷον εἴργω, εἶργον. οὕτω καὶ ηὖ ὡς ἔχουσα τὸ ε, οὐ τρέπεται. παρὰ δὲ ἀττικοῖς πολλάκις τρέπεται τὸ ε τῆς ει διφθόγγου. οἷον, εἰκάζω, ἤκαζον. τοῦτο χρῆν καὶ τὸ ε τῆς ευ διφθόγγου, εἰς η.

Εὖχος, τὸ καύχημα [...] τρέπεται. οἷον, εὔχομαι, ηὐχόμην. μα. παρὰ τὸ αὐχῶ, αὖχος καὶ εὖχος, τροπῇ τοῦ α εἰς ε.

Εὐχωλή, εὐχή. δέησις. ἐκ τοῦ εὐχῶ κατ' ἐπέκτασιν τῆς λη συλλαβῆς. ὡς παύσω παυσωλή. σημαίνει δὲ καὶ καύχησιν. ὡς τό, Κάδ δέ κεν εὐχωλὴν πριάμῳ. ἰλιάδος β.

Εὔχομαι, καὶ ἐπεύχομαι. ἀντὶ τῆς πρὸς. ὡς καὶ τὸ ἐπιορκῶ, ἀντὶ τοῦ ὑπὲρ ἄνω τῶν ὅρκων γίνομαι. καὶ ἐπιβλέπειν, ὑπὲρ ἄνω τὴν διάνοιαν ἔχειν. ἐπευχόμενος οὖν, προσευχόμενος. καὶ ἐπιγούνασιν, ἀντὶ τοῦ πρὸς τοῖς γόνασι, ἢ πρὸς τὰ γόνατα. τὰ ἐνεργητικὰ δὲ οὐκ ἔστι. τότε γὰρ ἀπολιμπάνουσι τά τε ἐνεργητικὰ καὶ τὰ παθητικὰ ἐν ὧν ἂν ῥῆμα τι ἐναντίως ἔχῃ τὸ σημαινόμενον, τῷ τῆς φωνῆς χαρακτῆρι. οἷον, ῥιγῶ. κάμνω. πυρέσσω. φρίσσω. πάσχω. ὁμοίως, ἄλλομαι. εὔχομαι. ὀρχοῦμαι. ἱππάζομαι. φείδομαι. τύπον μὲν ἔχουσι παθητικοῦ. σημαίνουσι δὲ ἐνέργειαν. τελείως γὰρ ἀπολιμπάνονται αἱ φωναὶ τῶν ῥημάτων. ἢ διὰ σημασίαν, ὡς τὰ ῥήματα τὰ φωνὴν ἔχοντα ἐνεργητικήν, σημαινόμενον δὲ παθητικόν. οἷον, ῥιγῶ. καὶ ἑξῆς, ῥέχω. ὀφθαλμιῶ, καὶ ἐπὶ τῶν ὁμοίων. ἀπολιμπάνει γὰρ τὰ παθητικά, ὅτι τὴν σημασίαν τοῦ παθητικοῦ ἀνεδέξαντο τὰ ἐνεργητικά. ὁμοίως καὶ τὰ φωνὴν ὄντα παθητικά, σημασίαν δὲ ἐνεργητικά, ὡς τὸ ἄλλομαι. καὶ ἑξῆς, πορεύομαι. μάχομαι. ἀπέλειψε τὰ ἐνεργητικά, τὴν γὰρ σημασίαν αὐτοῦ προυφήρπασε τὰ παθητικά. ἢ διὰ σύνταξιν, ὡς τὸ τρίτον πρόσωπον τοῦ παθητικοῦ παρακειμένου καὶ τοῦ πρώτου τῶν δυϊκῶν ἐνεργητικῶν, δι' ἀσυνταξίαν τῶν συμφώνων ἀπέλειψεν. ἀσύντακτον δέ ἐστι τὸ μὴ ἔχειν χαρακτῆρα ἑλληνικόν. ἢ κατὰ φορτικόν, ὡς τὸ ῥέζω ὁμήρου, καὶ τὸ ἐκτιτρώσκω ἀρρενικόν. οὐ γὰρ ἀνὴρ ἐκτιτρώσκει. ἢ κατὰ τύχην, ὡς τὸ γυνὴ ἡ κλητική. καὶ τὸ ὕδωρ ἡ γενική. καὶ τοῦ ὕδατος ἡ εὐθεῖα, καὶ ἐπὶ τῶν ὁμοίων. Εἰδέναι δὲ δεῖ, ὅτι εἰσί τινα ῥήματα, ἅτινα οὔτε ἐνέργειαν, οὔτε πάθος σημαίνουσι, καὶ οὐδέτερα λέγονται. ὡς ἐπὶ τοῦ, ζῶ. πλουτῶ. ὑπάρχω. Ἰστέον ὅτι τὸ εὖ μόριον ἀεὶ καὶ διὰ παντὸς ἀντὶ τοῦ καλῶς παραλαμβάνεται, πλὴν τοῦ, εὐώνυμος χείρ. εἰς τὸ ἀριστερά.

Εὐωχθέων δ' ἴξῃαι πολιὸν ἔαρ. ἡσίοδος. ἀντὶ τοῦ χαίρων. πλήθων τῆς ὀχῆς. ὀχὴ δὲ ἡ τροφή. εἴρηται δὲ κατὰ πλεονασμὸν τοῦ θ. ἢ ὄχθος λέγεται ὁ κόπος. εὐωχθέων οὖν, ὁ καλῶς ἔχων τοῦ κόπου. τουτέστιν, ὁ εὐκεκοπιακώς. ἢ ἄχθος, ἡ λύπη. εὐαχθῶν δὲ, τοὐναντίον. χαίρων πλήθοντος τοῦ καρποῦ. εὐωχθέστερον παραγενικὴν ἐπὶ τὴν καθαρὸν καιρὸν τοῦ ἀέρος.

Εὔω, σημαίνει τὸ φλογίζω. ὡς τό, Εὐόμενοι τανύοντο διὰ φλογὸς ἡφαίστοιο.

Εὐώδης. ἐκ τοῦ ἄω τὸ πνέω, γίνεται ἀής. ἐξ αὐτοῦ, εὐαὴς καὶ δυσαής. ἡ γενικὴ τῶν πληθυντικῶν, εὐαέων καὶ δυσαέων. ἐξ οὗ εὐαώδης καὶ δυσαώδης. καὶ κατὰ συγκοπήν, εὐώδης, καὶ δυσώδης. τὰ διὰ τοῦ ωδης μετουσιαστικά, διὰ τοῦ ω μεγάλου γίνεται, χωρὶς τῶν παρὰ τὸ ποιῶ. οἷον, ζι-

Εὐωχία, παρὰ τὸ εὖ ἔχειν, [...] ποδης. τετραπόδης. ὅτε ἐπὶ τὰς τῶν θεῶν παραγίνονται τιμάς. βέλτιον δὲ ἀπὸ τοῦ τὴν τροφὴν ἡμῖν εὖ ἔχειν. καὶ γὰρ ἡ ἀποχή, ὅτι πολλὴ ὀχὴ πρόκειται. ἐκ τοῦ ὀχῶ οὖν, γίνεται εὐωχία κατὰ τὴν ἐπαύξησιν τοῦ ο εἰς ω. ἢ καλῶς τρέφουσα τὸ σῶμα.

Εὔωροι, ἀπαράφυλακτοι. ἀμελεῖς, ἢ ὀλίγωροι. καταφρονητικοί. παρὰ τὸ εὐωρεῖν, ὅ ἐστι φυλάσσειν κατὰ ἀντίφρασιν, οἱ ἀπαράφυλακτοι. εὐφορίων. Οὐδὲ τοι εὐωροι θυέων. ἢ παρὰ τὸ εὖ καὶ τὴν ὥραν τὴν φροντίδα. κατὰ ἀντίφρασιν εὔωρος, ὁ μὴ φροντίζων. ἐξ οὗ καὶ εὐωρία, ἡ ὀλιγωρία καὶ ῥαθυμία.

Ἔφαν. οἱ βοιωτοὶ ἐπὶ τῶν ἐχόντων τὴν μετοχὴν εἰς ς ὀξύτονον, ἔβησαν ἔβαν. οὕτως ἐκ τοῦ φημὶ τὸ λέγω. ὁ παρατατικὸς ἔφην. τὸ πληθυντικὸν ἔφαμεν. τὸ τρίτον ἔφασαν. καὶ βοιωτοί, ἔφαν. φημί. ὁ μέλλων, φήσω. ὁ μέσος δεύτερος ἀόριστος, ἐφάμην. ἔφασο. ἔφατο.

Ἐφεζόμενος, ἐκ τοῦ ἕζω. τοῦτο ἐκ τοῦ ἕω τὸ καθέζομαι.

Ἔφεσις, ἡ ἐκ δικαστηρίου εἰς οὐδήποτε ἐφ' ἕτερον δικαστήριον μεταγωγή. ἡ εἰς ἄλλο δικαστήριον ἐφιεμένη δίκη ὑπὲρ τοῦ κριθῆναι πάλιν. ἐγένετο δὲ ἀθήνησιν ἐπὶ τῶν ἐν τοῖς δήμοις ἀποψηφισθέντων. ἐφεῖσθαι γὰρ αὖθις ἐξῆν αὐτοῖς εἰς δικαστήριον περὶ τῆς πολιτείας. καὶ εἰ μὲν ἑάλωσαν, ἐπωλοῦντο ὡς ξένοι. εἰ δὲ μή, ἐπανίεσαν εἰς τοὺς ἐξ ὧν ἐξώσθησαν δήμους. τὸ δὲ αὐτό, καὶ ἔκκλητος καλεῖται. καὶ τὸ ἐφεῖναι ῥῆμα ἐξ αὐτοῦ.

Ἐφέται, ἄνδρες ὑπὲρ ν ἔτη γεγονότες. καὶ ἄριστα βεβιωκέναι ὑπόληψιν ἔχοντες, οἳ καὶ τὰς φονικὰς, καὶ ἐφ' αἵματος δίκας ἔκρινον. ἐκαλεῖτο δ' αὐτῶν τὰ δικαστήρια ἐφετῶν. ἐφέται δὲ ἐκλήθησαν, ἤτοι ὅτι ἐπὶ αἵματος δικάζειν ἔλαχον, ἢ ὅτι ἔφεσις παρ' αὐτῶν, οὐ δύναται εἰς ἄλλο δικαστήριον γενέσθαι. τουτέστιν, ἔκκλητος.

Ἔφεσος, ἡ πόλις. ἀπὸ ἐφέσου ἐκεῖσε καταπλέοντος καὶ φιλοξενοῦντος τοὺς παριόντας, καὶ ταῦτα λέγοντος πρὸς ἔφεσον στέλλεσθαι. ἢ ἀπὸ ἐφέσου λυδῆς ἀμαζόνος, ἣ πρώτη ἄρτεμιν ἐτίμησε καὶ ὠνόμασεν ἐφεσίαν. ἀπὸ δὲ τῆς ἀρτέμιδος τοὺς οἰκοῦντας καὶ τὴν πόλιν κληθῆναι. ἢ ὅτι θησεὺς συστρατεύσας ἡρακλεῖ ἐπὶ τὴν ἱππολύτης ζωστῆρα, ἐδίωξε τὰς ἀμαζόνας ἄχρι λυδίας. κἀκεῖ καταφευγούσας ἐπί τινα βωμὸν ἀρτέμιδος δεῖσθαι σωτηρίας τυχεῖν. τὴν δὲ ἐφεῖναι αὐτοῖς τὴν σωτηρίαν. ὅθεν ἔφεσον κληθῆναι τὸ χωρίον. καὶ τὴν ἄρτεμιν ἐφεσίαν. τὸ ἐθνικόν, ἐφεσεύς. ἢ ἀπὸ τοῦ τὰ τόξα μὴ ἔχειν ἐκεῖ ὑπὲρ τοῦ μὴ βάλλειν τινά. ἱκεσία γὰρ ἡ θεός. στεφάνοις δὲ διαθάλλων τὰς ἱκεσίας ποιοῦσιν. ὅθεν οὐ δὲ πρόβατα αὐτῇ θύουσι, διὰ τὸ τοὺς ἱκέτας μαλλοὺς προσφέρειν.

Ἐφέσια γράμματα, ἐπῳδαί τινες δυσπαρακολούθητοι. ἃς καὶ κροῖσον ἐπὶ τῆς πυρᾶς εἰπεῖν. καὶ ἐν ὀλυμπίᾳ μιλησίου καὶ ἐφεσίου παλαιόντων, τὸν μιλήσιον μὴ δύνασθαι παλαίειν, διὰ τὸ τὸν ἕτερον περὶ τὸν ἀστράγαλον ἔχειν τὰ ἐφέσια γράμματα. φανεροῦ δὲ τούτου γενομένου, καὶ λυθέντων αὐτῷ, τριάκοντα, τὸ ἑξῆς πεσεῖν τὸν ἐφέσιον. ἢ ἀπὸ ἐφεσίων τινῶν οὐσῶν ἐπαοιδῶν δυσπαρακολουθήτων, ὡς προείρηται. ὅθεν καὶ ἐφέσια λέγονται.

Ἐφέσια ἀλεξιφάρμακα καὶ γράμματα. ὅπου ἄπια καὶ φωναί, ἀντιπάθειαν φυσικὴν ἔχουσαι.

Ἐφέσιοι, ἔποικοι. οἵ ἐστιν αὐτόχθονες πολῖται. παρὰ τὴν ἑστίαν ὃ σημαίνει τὴν οἰκίαν, γίνεται ἐφέστιος.

Ἐφετμή, ἡ ἐντολή. παρὰ τὸ ἵημι ἥσω ἑσμή. καὶ τροπῇ τοῦ σ εἰς τ ἐτμή. καὶ ἐφετμὴ ἐν συνθέσει. ἢ παρὰ τὸ ἐφεῖναι ἐφεθμή. καὶ τροπῇ, ὡς βῆναι βαθμός. καὶ στῆναι σταθμός. ἐφετμαί, προστάγματα. ἐντολαί. νουθεσίαι.

Ἐφετίνδα, εἶδος παιδιᾶς φενακικῶς. ὡς γὰρ Ἀριστοφάνης φησὶ τὸ ὀστρακίνδα παρὰ τὸ ὄστρακον ἀναπλάσας, αἰνιττόμενος τὸν ἐξοστρακισμόν. οὕτω Κρατῖνος ἀνέπλασε τὸ ἐφετίνδα, παρὰ τὰς ἐν τοῖς δικαστηρίοις γινομένας ἐφέσεις. παρὰ οὖν τὴν ἔφεσιν, ἐφετίνδα παιδιὰν κατὰ τροπὴν τοῦ σ εἰς τ. καὶ τὸ ἐφέτης λέγεται ὁ πέμπων τὴν ἔφεσιν.

Ἐφεκτοὺς τόπους, οἱ ἔγγραφοι τόποι, οἱ ἐπεχόμενοι καὶ ὡρισμένοι. μὴ μέντοι προϊέντες, μήτε συλλεγόμενοι. ῥητορική. ἡ ὁ αὐτὸ τὸ ἔκτην τοῦ κεφαλαίου.

Ἐφεστρίς, τὸ ἐπὶ τοῖς ἱματίοις ἐπίβλημα. ἣν μανδύαν καὶ χλαμύδα καὶ πόρπην καλοῦσιν.

Ἐφείω. Ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω, Ἰλιάδος α. ἀντὶ τοῦ ἐπιβάλλω. ἐπενέγκω. ἐκ τοῦ εἴω τὸ πορεύομαι. καὶ ἐν συνθέσει ἐφείω.

Ἐφειμένον, ἐντεταλμένον. προστεταγμένον. ἀπὸ τοῦ ἐφίημι. ὁ μέλλων, ἐφήσω. ὁ παρακείμενος, ἐφεῖκα. ὁ παθητικός, ἐφεῖμαι. πλεονασμῷ τοῦ ι. ἡ μετοχή, ἐφειμένος. καὶ τὸ οὐδέτερον.

Ἐφεῖντο, ἀπὸ τοῦ ἔδω τὸ ἐσθίω ἔσω. εἶκα. εἶμαι. εἵμην. εἶντο, καὶ ἐφεῖντο. οὕτως εὗρον, ἀλλὰ κακῶς. ἔστιν ἕω ῥῆμα, καὶ σημαίνει τὸ κορεννύω. ὡς τό, Ἐπεὶ χ' ἕωμεν πολέμοιο, ἀντὶ τοῦ κορεσθῶμεν. παράγωγον ἕημι. τὸ παθητικόν, ἕεμαι. καὶ κράσει, εἷμαι. ὁ παρατατικός, εἵμην. τὸ τρίτον τῶν πληθυντικῶν, εἷντο. καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐφεῖντο. οἷον Ἐπεὶ οὐκ εἶχον οὐδὲν ὅτου ἐφεῖντο, ἀντὶ ἀπολαύσουσιν.

Ἐφῆπται. παρὰ τὸ ἅπτω τὸ ἀρτῶ καὶ ἐπίκειμαι, ἧμμαι. ἧψαι ἧπται. καὶ ἐφῆπται.

Ἐφημοσύνη, ἡ ἐντολή. παρὰ τὸ εἰς τὸ αὐτὸ συμβάλλειν τὴν ἀμφοτέρων γνώμην. ἀπὸ τοῦ ἵημι. ἥσω. ὅθεν ῥηματικόν, ἥμων ἥμονος. καὶ ἐφήμονος. καὶ ἐφημοσύνη.

Ἐφημερία, ἡ πατριά. λέγεται δὲ καὶ ἡ τῆς ἡμέρας λειτουργία, διὰ τὸ εὐμετάβλητον πρὸς τὴν τῆς ἑκάστης ἡμέρας κατάστασιν. Ὅμηρος. Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων, οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε.

Ἐφηλίς, σημαίνει καὶ τὴν ἐκ τοῦ ἡλίου περὶ τὸ πρόσωπον ἔγκαυσιν καὶ μελανίαν, καὶ πάθος περὶ τὸ πρόσωπον γινόμενον τραχύτητα περιέχον καὶ πορομένην [?]. εἴρηται ἀπὸ τῆς τοῦ ἡλίου ἐκκαύσεως. καὶ γράφεται ἔφηλος.

Ἐφήγησις, ἐστὶ δίκη εἰσαγομένη, ἀπὸ τοῦ τοὺς ὑποδεξαμένους τὸν εἰργόμενον ὑπὸ τῶν νόμων ἐπιβαίνειν τῆς χώρας. οἷον, φυγάδα, ἢ ἀνδροφόνον. ἢ ὅταν τῶν δημοσίων κατέχειν δοκῇ τις κρύφα.

Ἐφιείς. Βέλος ἐχεπευκὲς ἐφιεὶς βάλλεν, ἀντὶ τοῦ ἐπιπέμπων. ἐκ τοῦ ἵημι. ὁ παρατατικός, ἵην. ἡ μετοχή ἱείς, ἱέντος. καὶ ἐν συνθέσει, ἐφιείς, καὶ διείς.

Ἐφιέμην, ἀπὸ τοῦ ἵημι. τὸ παθητικόν, ἵεμαι. ἱέμην, καὶ ἐφιέμην.

Ἐφιάλτης, ὄνομα κύριον. παρὰ τὸ ἰάλλω τὸ ἐκτείνω γέγονεν ἰάλτης, καὶ ἐπιάλτης. καὶ ἐφιάλτης.

Ἔφθη, ἔφθασεν, ἢ ἔβλαψεν. ἀπὸ τοῦ φθῶ, φθῆμι, ἔφθην.

Ἐφθίατο, ἐκ τοῦ φθίνω κατὰ ἀποβολὴν τοῦ ν γίνεται φθίω. ὁ παθητικὸς παρακείμενος, ἔφθιμαι. ὁ ὑπερσυντέλικος, ἐφθίμην, ἔφθισο, ἔφθιτο, καὶ πλεονασμῷ τοῦ α. ἢ τὸ πληθυντικὸν ἐφθίμεθα. ἐφθίατο. Δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων ἐφθίατο, ἀντὶ τοῦ διεφθάρησαν.

Ἐφθός, ὁ ὠπτημένος ἢ ἑψημένος. οἷον πυροὺς ἐφθούς. ὃ καὶ ἐν συνθέσει λέγεται ἄνεφθος καὶ πάνεφθος. ἐκ τοῦ ἕψω ἑψήσω, γίνεται ἑψητός. ὡς ἀγαπῶ ἀγαπήσω, ἀγαπητός. καὶ τροπῇ τοῦ ψ εἰς φ, καὶ τοῦ τ εἰς θ κατὰ συγκοπήν, ἐφθός.

Ἔφλαδον, ἤτοι τὸ ἐσχίσθην, ἢ ἐθλάσθην, ἢ διερρήγνυον, ὥς φησιν Αἰσχύλος. Λινοφθόροι ὑφασμάτων λακίδες ἔφλαδον ὑπ' ἄλγεσιν. παρὰ τὸ θλῶ. κατὰ τροπήν, φλῶ. παράγωγον, φλάζω. ὁ δεύτερος ἀόριστος, ἔφλαδον. ὡς χάζω, ἔχαδον.

Ἐφεσπερεύω, ἑσπέρας ἐγρηγορῶ. Ἐφόλκιον, πηδάλιον.

Ἐφόλκια, τὰ ἐκ περιττοῦ ἐπιφερόμενα τοῖς ἀποδημοῦσιν.

Ἔφοροι, ἄρχοντες ἦσαν ἐν Λακεδαίμονι ἐννέα. ἀπὸ τοῦ πάντας ἐφορᾶν. ἦν δὲ μεγίστη ἡ ἀρχή.

Ἔχελος, ἥρως παρὰ Ἀθηναίοις τιμώμενος. καὶ δῆμος τῆς Ἀττικῆς Ἐχελίδαι, ἀπὸ τοῦ κειμένου ἕλους τῷ τόπῳ, ἐν ᾧ ἵδρυται τὸ τοῦ Ἐχέλου ἄγαλμα. παρὰ τὸ ἕλος ἔχειν, ἔχελος. καὶ Ἐχελιδῶν, δῆμος ἀπὸ Ἐχέλιος.

Ἐχέδωρος, ποταμὸς Μακεδονίας ὁ πρότερον ἢ δωνός [?] καλούμενος. ὁ ἔχων φησὶ δῶρα. χρυσοῦ γὰρ καταφέρων ψήγματα, οἱ ἐγχώριοι ἀρύονται. δέρματα αἰγῶν κείραντες, καὶ καθιέντες εἰς τὸ ὕδωρ. ἢ ἀπὸ δώρου τινὸς Ἀρκάδος ἀρίστου τὰ πολεμικά. ὃς συμμαχῶν Ἀλεξάνδρῳ τῷ Φιλαδέλφῳ, ἐμπεσὼν τῷ ποταμῷ, αἴτιος γέγονε τῆς ὀνομασίας.

Ἐχέτλη, τὸ κράτημα τοῦ ἀρότρου, οὗ ἔχεται τῇ χειρὶ ὁ ἀροτριῶν. ὡς παρὰ τὸ ἔξυσαι, ξύστρα, πέφυται, φύτλα, καὶ ἰωνικῶς, φύτλη, γενέθλα, γενέτλη, οὕτως ἐχέτρα ἐχέτλη. ἢ παρὰ τὸ ἔχω καὶ τὸ τελῶ. οὗ ἐχόμενος ὁ ἀροτριῶν τελεῖ τὰ τοῦ ἔργου. γίνεται ἐχετέλη καὶ ἐχέτλη.

Ἐχέτης, ὁ πλούσιος. ὡς Πίνδαρος. ἀπὸ τοῦ ἔχω ἐχέτης. ἀφενωσθενέτης [?] καὶ ἐριθενέτης.

Ἐχής, ὁ πλούσιος. παρὰ τὸ ἔχειν. τοὺς γὰρ ἐνδεεῖς τοὺς ἀνίους [?] ἀχῆνας προσαγορεύουσι. κατὰ στέρησιν τοῦ ἔχειν.

Ἔχις τὸ θηρίον. Πᾶς δὲ τριόξυνος ἀρσενικός ἐστιν ἔχις. κυριώτερον ἐπὶ τῆς θηλείας. παρὰ τὸ ἔχειν ἐν ἑαυτῇ τὴν γονήν, ἄχρι θανάτου. ὀχευομένων γὰρ τῶν ἀμφοτέρων, αὕτη δεξαμένη τῷ στόματι τὴν τοῦ ἄρσενος κεφαλήν, οὕτως ἔγκυος γίνεται κατὰ τὴν μῖξιν ἀπεσθίουσα. διαβρωθεῖσα δὲ ὑπὸ τῶν ἐντὸς τὴν γαστέρα ἀπόλλυται. ἢ παρὰ τὸ ἄχος ἔχις, ἡ πάνυ λυποῦσα. καὶ Νίκανδρος. Κωκυτὸν δ' ἐχιναῖον ἐπικλείουσιν ὁδῖται. ἢ παρὰ τὸ ἔχειν καὶ κρατεῖν τοὺς ὁδίτας.

Ἐχίων, ἀπὸ τοῦ ἔχις ἔχιος, γίνεται ἐχίων ὄνομα κύριον. Ἔχις, ὅτι μόνον τῶν ὄφεων μὴ ᾠοφορήσαν παρ' ἑαυτῷ κατέχει. καὶ ζῳοφορήσαν τίκτει οὐκ ᾠόν, ἀλλὰ τέλεια τὰ ἑρπετά. ἀπὸ τοῦ κατέχειν οὖν.

Ἐχίδνα, παρὰ τὸ ἔχις, ὅ ἐστι τὸν ὄφιν καὶ τὸν υἱόν, γίνεται ἔχια. καὶ πλεονασμῷ τῶν συμφώνων, γίνεται ἔχιδνα, ἡ ἐν αὑτῇ τὸν ἰὸν ἔχουσα.

Ἐχιλιώθη, χίλια ἐζημιώθη.

Ἐχῖνος, χερσαῖον ζῷον. παρὰ τὸ συνέχειν ἑαυτὸν στρογγυλούμενον. ἐν γὰρ τῷ ἀλέξασθαι τὸν ἀπερχόμενον συνειλούμενος, τὸν τῶν ἀκανθῶν περίβολον περιβάλλεται ὡς ἔρυμα. ἐχῖνος δὲ καὶ ἡ γαστήρ. ὥς φησι Καλλίμαχος. Οὔτε μάλιστα βοῶν ποθέουσιν ἐχῖνον. καὶ αὕτη δὲ παρὰ τὸ ἐπέχειν ἐν ἑαυτῇ τὴν τροφήν. καὶ ὁ λέβης. οἷον, Ἐχῖνον βουδόκον, ἀντὶ λέβητα. ἔστι δὲ καὶ πόλις Θεσσαλίας καλουμένη ἀπὸ Ἐχίνου ἑνὸς τῶν Σπαρτῶν ἐν ταύτῃ οἰκήσαντος. Λυκόφρων. μέμνηται δὲ αὐτοῦ καὶ Δημοσθένης ἐν πέμπτῳ Φιλιππικῶν. σημαίνει καὶ μέρος γαστέρος. εὗρον δὲ σημαίνειν τὴν λέξιν εἰς τὸ ῥητορικόν, καὶ ἄλλο. ἤγουν καδίσκους. ἀγγεῖά τινα. τὰ μέν, ἐκ χαλκοῦ. τὰ δέ, ἐκ κεράμου. εἰς ἃ αἵ τε μαρτυρίαι καὶ αἱ προκλήσεις ἔγγραφοι ἐνεβάλλοντο ὑπὸ τῶν δικαζομένων. καὶ κατεσημαίνοντο, ἵνα μηδεὶς κακουργήσῃ τὰ ἐμβαλλόμενα. εἴρηται δὲ ἐχῖνος καὶ ὁ θαλάσσιος. καὶ ἄλλως. ἀπὸ τοῦ ἔχειν ἑαυτὰ ἀφανῶν τῶν σαρκῶν οὐσῶν. ἢ κατὰ ἀντίφρασιν, ἀπὸ τοῦ μὴ δύνασθαι ἔχεσθαι διὰ τὰς ἀκάνθας, ὅ ἐστιν ὁ ἀκράτητος.

Ἐχινάς, ἀπὸ τοῦ ἐχῖνος, ἐχινάδες εἰσὶ νῆσοι. ἢ παρὰ τὸ ἔχειν πλῆθος ἐχίνων, ἢ ἀπὸ Ἐχίνου τοῦ μάντεως τοῦ μετὰ Ἀμφιτρύωνος στρατεύσαντος. ἢ παρὰ τὸ ἐνέχεσθαι πλησίον ἀλλήλων. ἢ ἐπειδὴ ἰλὺς ἐκ τοῦ Ἀχελώου ποταμοῦ κατερχομένη, ἐκεῖσε ἐνέχεται καὶ ἀπογαιοῦται.

Ἐχινόπους, ἀκάνθης εἶδος. παρὰ τὸ ἐπέχειν τοὺς πόδας τῶν βαδιζόντων ἐπ' αὐτῆς. ἢ ὅτι ἐχίνων θαλασσίων ποσὶν ἔοικεν.

Ἐχυρός, ἰσχυρός. ἀσφαλής. παρὰ τὸ ἔχω ἐχυρός, ὡς λέπω, λεπυρός. καὶ ὀχυρός, ὁ ἀντέχων. ὅθεν καὶ ἐνέχυρον. ἐκ τοῦ ἐναντίου, ἄχυρον ἀεχυρόν τι ὄν.

Ἐχυρόφρονες, οἱ ἀσφαλεῖς ἐν φρονήσει.

Ἔχμα, κώλυμα. ἔρεισμα. παρὰ τὸ ἔχω ἔχμα. Ἐξήρεεν αὐτοῖς ἔχμασι γαίης. τοῖς ἀναχώμασι, καὶ ταῖς ῥίζαις, καὶ τοῖς συνέχουσι λίθοις ταῦτα.

Ἐχθές, καὶ χθές. οἱ Ἀττικοί, χθές. οἱ δὲ κοινοί, ἐχθές. πρῶτον δὲ τὸ ἐχθὲς τοῦ χθές. καὶ δῆλον, πρῶτον μὲν ἀπὸ τῆς ἐτυμολογίας, ὅτι ἐχθὲς εἴρηται παρὰ τὸ ἐκτὸς γεγενῆσθαι τῆς σήμερον. παρὰ τὸ ἐκτὸς τοῦ χρόνου γεγονὼς κατάστημα, ἐκτές. καὶ τροπῇ τῶν ψιλῶν εἰς δασέα, ἐχθές. τὸ γὰρ ἀπόβλητον, ἐκτὸς ἡμῶν. δεύτερον δὲ ὅτι πᾶν μονοσύλλαβον ἐπίρρημα, ἢ φύσει, ἢ θέσει γίνεται καθ' ἰδίαν μακρόν. οἷον, ναί. νή. πλήν. νύξ. μὰ ψ. οὐ μάχεται τὸ δίς καὶ τρίς. ἀπὸ γὰρ τοῦ δυάκις καὶ τριάκις συγκοπῇ. οὐ μάχεται τὸ ψὸ ἐν Ποιμέσι Σοφοκλέους. ἐπίφθεγμα γάρ. χωρὶς τοῦ πρίν. πῶς οὖν τὸ χθὲς βραχύνεται. ἐὰν οὖν τις εἴπῃ μέν χθές, ἠλόγηται. ἐὰν δὲ ἐχθές, μιμεῖται τὸ αἰές. αἴτιον δέ, ὅτι τὸ ε φωνῆεν πέφυκε πλεονάζειν. εἶπον, ἔειπον. ἀφαιρεῖται δέ, ὅτε μετὰ συμφώνου ὑπάρχει. ἔθη, ἐθῆ [?]. οὕτως οὖν καὶ ἐχθές, χθές. ἀφαιρέσει δὲ ἀλλ' οὐ πλεονασμῷ. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ἔθελε, καὶ θέλω. πρῶτον τὸ ἐθέλω καὶ δεύτερον τὸ θέλω.

Ἔχθος, ἢ ἔχθρα, ἢ τὸ μῖσος. ἀπὸ τοῦ ἔχω. ἀφ' οὗ ῥηματικὸν ὄνομα, ἐκτός. καὶ συνθέσει, καθεκτός, καὶ ἀκάθεκτος. καὶ ὡς ἀπὸ τοῦ ἀκτὸς ἄχθω, καὶ ἄχθος. οὕτως ἀπὸ τοῦ ἐκτὸς ἔχθω ἔχθομαι γίνεται. ἔχθος, τὸ ἀπόβλητον καὶ ἐκτὸς ἡμῶν.

Ἐχθοδοπόν, τὰ πλεῖστα ἀντὶ ἀπεχθοῦς. καὶ ἐχθοδοπῆσαι ἀντὶ ἀπεχθέσθαι. Ἰλιάδος α. Ὅτε μ' ἐχθοδοπῆσαι ἐφήσεις Ἥρῃ, ἀντὶ ἐχθρὸν καταστῆσαι. ἐποτρύνεις. ἐφορμήσεις, ὅ ἐστιν ἀναγκάσεις. ἐχθροποιῆσαι, καὶ πλεονασμῷ τοῦ δο καὶ ἀποβολῇ τοῦ ρ ἐχθοδοπῆσαι. ἢ τὸ διαλόγῳ μαχέσασθαι. παρὰ τὸ ἐχθῶς τοὺς ὦπας προσενέγκασθαι.

Ἔχθιστος. Ἔχθιστος δέ μοί ἐσσι διοτρεφέων βασιλήων, ἀντὶ ἐχθρότατος. παρὰ τὸ ἐχθρός, ἐχθρότατος, ἐχθρίων. καὶ ἀποβολῇ τοῦ ρ ἐχθίων ἔχθιστος. ἢ παρὰ τὸ ἐχθρὸς γίνεται τὸ συγκριτικόν, ἐχθρότερος. τὸ ὑπερθετικόν, ἐχθρότατος. καὶ ὁ δεύτερος τύπος, ἔχθιστος.

Ἐχθρός, ἐκ τοῦ θορῶ τὸ πηδῶ. καὶ ἐκ τοῦ θορῶ θορήσω, γίνεται ἔκθορος. καὶ συγκοπῇ, ἐχθρός, ὁ ἔξω ἡμῶν προσδιερχόμενος. παρὰ τὸ ἔξω ἡμῶν εἶναι καὶ πηδᾶν.

Ἐψεύσθησαν, ἀπὸ τοῦ ψεύδω ψεύσω. ὥσπερ ᾄδω ᾄσω. ὁ παθητικὸς ἐνεστώς, ψεύδομαι. ὁ παρακείμενος, ἔψευσμαι. ὁ ἀόριστος, ἐψεύσθην. ἐψεύσθημεν. τὸ γ', ἐψεύσθησαν. ὡς ἠνέσθησαν.

Ἐχυρόν, δυσανατρέπτον. ἀσφαλές.

Ἑψία, τὰ ἀπὸ λόγων ἔχοντα παίγνια. οἷον ἔπεα ἔπη. καὶ φιλέψιος. δασύνεται μέν, φιλοπαίγμων. ψιλοῦται δέ, ψίω, σημαίνει τὸ λέγω. ἀπὸ τοῦ ἔπω ἕψω, ἐψίω. φιλολόγος. Ἀμφιπανημέριοι ἐψιόωντο. Ἀπολλώνιος.

Ἑψιάασθαι, τὸ παίζειν, ἢ ὁμιλεῖν. παρὰ τὸ ἔπω τὸ λέγω, ἕψω ἐψίω, καὶ ἐψιῶ. ἐψιάομαι ἐψιῶμαι. ἐψιάν, ἐψιῶ.

Ἐχθήρω. καὶ ἐχθήρειε γέροντα, ἀντὶ τοῦ μισήσῃς.

Ἐχόμενα, ἐπίρρημα μεσότητος, ἀντὶ παραπλησίως καὶ ἐγγύς. ὡς τό, Ἐχόμενα τρίβουσι κάνδαλα. ἀπὸ τοῦ ἔω τὸ πλησιάζω.

Ἔχω, σημαίνει ὀκτώ. τὸ πλησιάζω. τὸ βαστάζω. Τόξ' ὤμοισιν ἔχων. τὸ κρατῶ. Ἀλλ' οὐκ Ἀγαμέμνονα ὕπνος ἔχε γλυκύς. τὸ οἰκῶ, Θεοὶ Ὀλύμπια δώματ' ἔχοντες. τὸ ἐλαύνω. Τὼ δὲ διὰ σκαιῶν πεδίον δ' ἔχον ὠκέας ἵππους. τὸ φυλάσσω, Ὅς μοι κῆπον ἔχει πολυδένδρεον. τὸ κτῶμαι. Ἔχε δ' ἄχε' ἄκριτα θυμῷ. τὸ συνοικῶ γυναικί. Τὴν δ' ἔχε Κρείων Ἑλικάων. τὸ κρύπτω, Ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον ὄφρα τελέσσῃ. ἄλλως τὸ κρατῶ. ὡς τό, Αἰνεία σὺ μὲν αὐτὸς ἔχε τ' ἐάρ μετ' [?]. τὸ φυλάττω. ὡς τό, Ὡς οἱ μὲν πύργους φυλακὰς ἔχον. τὸ ἐπιμελοῦμαι. ὡς τό, Ὅς μοι κῆπον ἔχει πολυδένδρεον.

Ἑψιμυθιῶσθαι, προστετρῖφθαι χρῖμά τι λευκὸν τὸ χρῶμα ποιοῦν τι. ὥσπερ τὸ φῦκος ξανθόν. ἔχρωντο δὲ τῷ φύκει εἰς τὰ μῆλα, ἵνα ξανθίζῃ. τῷ δὲ ψιμυθίῳ, εἰς ὅλον τὸ πρόσωπον, ἵνα λευκὸν ᾖ.

ΤΕΛΟΣ, ΤΟΥ Ε.

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ ΖΗΤΑ ΣΤΟΙΧΕΙΟΥ.

Ζῆτα τὸ στοιχεῖον, ἀπὸ τοῦ ζήτου τοῦ βορέου. οὗ μέμνηται Ἀπολλώνιος.

Ζαβάλλω, τὸ ἐξαπατῶ.

Ζαλαίνω, τὸ μωραίνω.

Ζαβουλών. παρὰ τὸ ζα ἐπιτατικὸν μόριον καὶ τὸ βουλή, γίνεται ζαβουλών. ὁ πάνυ βουλευτικώτατος.

Ζαγρεύς, ὁ Διόνυσος, παρὰ τοῖς ποιηταῖς. δοκεῖ γὰρ ὁ Ζεὺς μιγῆναι τῇ Περσεφόνῃ. ἐξ ἧς χθόνιος ὁ Διόνυσος. Καλλίμαχος. Υἷα Διώνυσον Ζαγρέα γειναμένη. παρὰ τὸ ζα, ἵν' ᾖ ὁ πάνυ ἀγρεύων. τινὲς αὐτὸν φασὶν εἶναι τῷ Πλούτωνι.

Ζάγκλον, τὸ δρέπανον. ὥς φησι Καλλίμαχος. Κέκρυπται γὰρ ἡ ζάγκλον ὑπὸ χθονί. παρὰ τὸ ζα ἐπιτατικὸν καὶ τὸ ἄγκυλον, ζάγκυλον. καὶ κατὰ συγκοπήν, ζάγκλον. τὸ … λίαν ἀγκύλον.

Ζαής, ὁ σφοδρὸς ἄνεμος. Ὅμηρος. Ὦρσε δ' ἐπὶ ζαῆν ἄνεμον. τὸν σφοδρῶς πνέοντα. ἀπὸ τοῦ ζα καὶ τοῦ ἄω τὸ πνέω, γίνεται ζαέης. καὶ ἐν συναλοιφῇ, ζαής. ἢ ὥς παρὰ τὸ πέτω γίνεται πέτης, οὕτω καὶ παρὰ τὸ ἄω, ἄης, καὶ ζάης μετὰ τοῦ ζα. τὸ γὰρ τέλειον, ζαῆνα ὡς πετῆνα, ἅμα κατὰ τὴν ἔκθλιψιν γέγονε.

Ζάθεος, ἅγιος. εὐδαίμων. μεγαλόθυμος. εὐώδης. ὁ πάνυ θεῖος καὶ θειότατος. παρὰ τὸ θεὸς καὶ τὸ α ἐπιτατικόν, ἄθεος. καὶ πλεονασμῷ τοῦ ζ, ζάθεος. ἢ αἰολικῶς γέγονεν. οἱ γὰρ αἰολεῖς τὸ διά, ζα φασί. καὶ τὸ διάπλουτον, ζάπλουτον. ἢ παρὰ τὸ ζα ἐπιτατικὸν καὶ τὴν θέαν, ἵν' ᾖ ὁ ἀξιοθέατος. ὡς καὶ ἡ γάθεος, ὁ ἄγαν τῆς θέας μετέχων. ὁ θαυμαστός. τὸ δὲ ζα, τὸ μέγα καὶ ἰσχυρὸν καί …

Ζαθέην. ἐκ τοῦ ζα καὶ τοῦ θεός, γίνεται ζαθέα. … πολὺ ἡ συστολὴ καὶ ἰωνικῇ τροπῇ τοῦ α εἰς η, ζαθέη. Κίλλαν τε ζαθέην, τὴν ἄγαν θείαν καὶ θαυμαστήν.

Ζαθερές, τὸ μεσημβρινὸν καῦμα.

Ζάκορος, ὁ ἄγαν ὀργίλος. ὁ μεγαλόκορος. κόρος γὰρ ἡ ὀργή. ἡ διὰ πρόθεσις ἐστὶν ὅτε ἐπίτασιν σημαίνει. καὶ λεγομένη ὑπὸ αἰολέων, γίνεται ζα. ὡς τὸ, διαφλεγής, ζαφλεγής. καὶ ἁπλῶς τὸ διὰ εἴτε πρόθεσιν σημαίνει εἴτε μόνας συλλαβάς, τρέπεται εἰς ζα. καὶ γὰρ τὴν καρδίαν, καρζὰν φασί. καὶ τὸ διαμενής, ζαμενής.

Ζάκορος, νεωκόρος. ἤγουν ἡ διακονοῦσα περὶ τὸ ἱερόν. Μένανδρος. Ζάκορος ἡ κοσμοῦσα τὸν ναόν, τέκνον. καὶ ὑπηρέτης. Λευκαδία. Ἔπειθες τὸ πῦρ ἡ ζάκορος οὑτωσὶ καλῶς. ἢ ὁ ἱερεὺς ὁ τὸν ναὸν κοσμῶν καὶ σαρῶν. κορεῖν γὰρ τὸ σαροῦν παρὰ ἀττικοῖς. τὸ δὲ ζα οὐκ ἔστιν ἐνταῦθα ἐπιτατικόν, ἀλλ' ἀντὶ τῆς διὰ προθέσεως. ἵν' ᾖ διάκορος. καὶ ἀττικῶς, καὶ αἰολικῶς.

Ζάλη, τὴν σύνομβρον πνοήν, ἢ τὴν μεγάλην ἄελλαν καὶ τὴν ταραχὴν τῆς θαλάσσης, ἢ τοῦ ἀέρος. ἀπὸ τοῦ σφόδρα ἁλίζεσθαι. παρὰ τὸ ζα καὶ τὴν ἄελλαν. Πλάτων. Εἴτε ζάλη πνεύματος ὑπὸ ἀέρος φαινομένη καταληφθείη. συστροφὴν γὰρ καὶ συρμὸν βούλεται δηλοῦν. τινές, ἄνεμος λάβρος. πνεῦμα θορυβῶδες. Κλήμης δέ φασι ζάλην εἶναι, μεγάλης συστροφὴν ἀνέμου. τινὲς ζάλην τὴν χάλαζαν. ἢ παρὰ τὸ ζεῖν τὴν ἅλα, ἤγουν κορυφοῦσθαι ὑπὸ τῶν ἀνέμων. ἡ ζέουσα. κυρίως γὰρ ἐπὶ τῆς θαλάσσης. παρὰ τὸ ζεῖν τὴν ἅλα.

Ζαμενής, εὔψυχος. μέγα μένος ἔχων, τουτέστι ψυχικὴν προθυμίαν. ἢ ὁ ἄγαν ὀργίλος. παρὰ τὸ μένος ὃ σημαίνει τὴν ὀργὴν καὶ τὸν θυμόν.

Ζάμολξις, Πυθαγόρᾳ δουλεύσας ὡς Ἡρόδοτος τετάρτῃ Σκυθικῆς. ὃς ἐπανελθών, ἐδίδασκε περὶ τοῦ ἀθάνατον εἶναι τὴν ψυχήν. Μνασέας δὲ παρὰ Γέταις, τὸν Κρόνον τιμᾶσθαι καὶ καλεῖσθαι Ζάμολξιν. Ἑλλάνικος δὲ ἐν τοῖς βαρβαρικοῖς νόμοις φησίν, ὅτι Ἑλληνικός τε γενόμενος, τελετὰς κατέδειξε Γέταις τοῖς ἐν Θρᾴκῃ. καὶ ἔλεγεν οὔτ' ἂν αὐτὸς ἀποθάνοι οὔθ' οἱ μετ' αὐτοῦ, ἀλλ' ἕξουσι πάντα τὰ ἀγαθά. ἅμα δὲ ταῦτα λέγων, ᾠκοδόμει οἴκημα κατάγαιον. ἔπειτα ἀφανισθεὶς αἰφνίδιον ἐκ Θρᾳκῶν, ἐν τούτῳ διῃτᾶτο. οἱ δὲ Γέται ἐπόθουν αὐτόν. τετάρτῳ δὲ ἔτει πάλιν φαίνεται. καὶ οἱ Θρᾷκες αὐτῷ πάντα ἐπίστευσαν. λέγουσι δέ τινες ὡς ὁ Ζάμολξις ἐδούλευσε Πυθαγόρᾳ καὶ ἐλευθερωθείς, ταῦτα ἐσοφίζετο. ἀλλὰ πολὺ πρότερόν μοι δοκεῖ ὁ Ζάμολξις Πυθαγόρα γενέσθαι. ἀθανατίζουσι δὲ καὶ Τέριζοι καὶ Κρόβυζοι. καὶ τοὺς ἀποθανόντας ὡς Ζάμολξιν φασὶν οἴχεσθαι, ἥξειν δὲ αὖθις. καὶ ταῦτα ἀεὶ νομίζουσιν ἀληθεύειν. θύουσι δὲ καὶ εὐωχοῦνται ὡς αὖθις ἥξοντος.

Ζάραξ. Λυκόφρων. Ὀφέλτα … τος τοῦ ἀποθανόντος. καὶ μυχοὺς Ἐχοιράδων ζάραξ. ζάραξ καὶ Ὀφέλτα, ὄρη Εὐβοίας περὶ ἃ γέγονε τὰ ναυάγια τῶν Ἑλλήνων. ζάραξ δὲ ὠνόμασται ἀπὸ Ζάρακος τοῦ Πεδαίου υἱοῦ Καρύστου.

Ζατῶ, τὸ φράζω. καὶ ζατῶσαι, τὸ φάσαι.

Ζαγρεύω, κυρίως τὸ ἐν μύλωνι βασανίζω. ἀπὸ τοῦ ζήγρειου ὃ σημαίνει κατὰ Ἴωνας τὸ βασανιστήριον.

Ζατρεφέων, ἐκ τοῦ ζα καὶ τοῦ τρέφω. ἄγαν εὐτραφῶν.

Ζαφλεγές, πολύφλογον. παρὰ τὸ ἄγαν φλέγειν.

Ζάφελος. ἐπιζάφελος χόλος. ὁ ἄγαν ηὐξημένος. καὶ ἐπιζαφελῶς χαλεπαίνει, ἀντὶ τοῦ ἐπιμόνως. ηὐξημένως. Ἰλιάδος ι. παρὰ τὸ ζα καὶ τὸ ὀφέλλω τὸ αὔξω, γέγονε ζαόφελος. καὶ συγκοπῇ, ζάφελος ὁ ἐπηυξημένος καὶ σφοδρὸς καὶ θυμώδης καὶ ἰσχυρός. ἢ παρὰ τὸ ὠφελῶ. καὶ σημαίνει τὸ μεγάλως ὠφελημένος, ἢ ἐπιμόνως ηὐξημένος. καὶ τὸ μὲν ζάφελος, βαρύνεται. ἐπειδὴ τὰ εἰς ος λήγοντα συγκείμενα παρὰ τὸ ζα, προπαροξύνεται. ζάκορος. ζάθεος. τὸ δὲ ζαφελῶς, περισπᾶται. τὰ γὰρ διὰ τοῦ λως ἐπιρρήματα παραληγόμενα τῷ ε, ὡς ἐπὶ τὸ πλεῖστον φιλεῖ περισπᾶσθαι. εὐτελῶς. ἐπιμελῶς. πρόσκειται ὡς ἐπὶ τὸ πλεῖστον, διὰ τὸ εὐτραπέλως. ἰκέλως.

Ζαχρειής. ζαχρειές ἐστι κυρίως τὸ βιαίως ταῖς χερσὶ πραττόμενον. παρὰ γὰρ τὰς χεῖρας πεποίηται ἡ λέξις. ζαχερής. καὶ ὑπερθέσει, ζαχρεής καὶ ζαχρειής. ἢ ὥς λέγει Ὦρος, ἔστι ῥῆμα χρῶ τὸ πλησιάζω. παρὰ τὸν χρῶ, παράγωγον χραύω, ὡς ψαύω. ὄνομα ῥηματικόν, χρής. καὶ πλεονασμῷ τοῦ ε μετὰ τοῦ ζα, γέγονε ζαχρεής. καὶ πλεονασμῷ τοῦ ι. σημαίνει τὸ ἄγαν χρειῶδη. ἢ τὸ σφοδρόν. καὶ ζαχρειῶν ἀνέμων, ἰσχυρῶν. εὐχερεστέρων. ἐξαπιναίων. ἢ μεγάλως πνεόντων.

Ζέμον, τὸ θερμόν. παρὰ τὸ ζέω.

Ζεύω, τὸ γεύω. καὶ ζεύσασθαι, γεύσασθαι.

Ζέλεια, ὠνόμασται ἀπὸ Ζέλυός τινος. ἢ διὰ τὸ τὸν ἥλιον ἐν αὐτῇ λίαν εὐσεβεῖσθαι.

Ζέλλω, τὸ βάλλω. ἐξ οὗ ζέλλειν, τὸ βάλλειν.

Ζέφυρος, ὁ ἀπὸ δυσμῶν πνέων ἄνεμος. ὃ καὶ λὶψ καλούμενος. παρὰ τὸ ζωὴ καὶ τὸ φέρω. ὁ τὸ ζῆν πᾶσι φέρων καὶ παρέχων. ζήφυρος, ζέφυρος. καὶ ὅτι μετέχει τοῦ ζῆν. τῷ γὰρ θέρει πνέοντος αὐτοῦ οἱ καρποὶ αὔξονται. ζωοφόρος τις ὤν, ὁ τὰ πρὸς ζωὴν φέρων. ἐπειδὴ τὰ φυτὰ κυΐσκειν ποιεῖ. Ὅμηρος. Αὔρη ζεφυρίη πνείουσα τὰ μὲν φύει, ἄλλα δὲ πέσσει. ἢ παρὰ τὸ ζόφος, ζόφυρος καὶ ζέφυρος, ὁ ἐκ ζόφου ῥέων. ὁ αὐτὸς καὶ λὶψ καλεῖται.

Ζεύς, ὁ θεός. Κορνοῦτος ἐν τῷ περὶ ἑλληνικῆς θεολογίας, ὅτι ψυχή ἐστι τοῦ παντὸς κόσμου, παρὰ τὸ ζωὴ καὶ αἰτία εἶναι τοῖς ζῶσι τοῦ ζῆν. καὶ διὰ τοῦτο βασιλεὺς λέγεται τῶν ὅλων, ὡς καὶ ἐν ἡμῖν ἡ ψυχή. ἢ ὅτι ἔζησε μόνος τῶν τοῦ Κρόνου παίδων, καὶ οὐ κατεπόθη. ἢ ἀπὸ τοῦ ζῶ καὶ τὸ ἄω. ἐπεὶ γὰρ ζωοποιόν ἐστι πνεῦμα. ἢ παρὰ τὸ ζα καὶ τὸ αὔω τὸ βοῶ. ὁ μεγάλως αὔων. ἢ παρὰ τὸ δέος. φοβερὸς γάρ. ἢ παρὰ τὸ δεύω τὸ βρέχω, δεύσω, δεὺς καὶ Ζεύς. ὑέτιος γὰρ ὁ θεός. ἢ παρὰ τὴν ζέσιν. θερμότατος γὰρ ὁ ἀήρ. ἢ παρὰ τὸ ζέω, ζεύς, ὡς ῥέω ῥεύς, καὶ ἀρεύς. σημαίνει δὲ τέσσαρα. τὸν θεὸν ἢ τὸν οὐρανόν. ὡς τὸ, Ζεὺς δ' ἐπεὶ οὖν Τρῶας. τὸν Ποσειδῶνα. ὡς τὸ, Ζεὺς δὲ κατὰ πόντον ἐτάραξεν. τὸν καταχθόνιον θεόν. ὡς τὸ, Ζεύς τε καταχθόνιος ὁ Πλούτων. Ἰλιάδος ι. καὶ τὸν ἥλιον. Ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς. Διός, ὁ κανών. δύο κανόνες εἰσὶν οἱ μαχόμενοι. ὁ μὲν εἷς λέγει, ὅτι πᾶν ὄνομα μονοσύλλαβον ὀξύτονον μακροκατάληκτον εἰς ς λῆγον, διὰ καθαροῦ τοῦ ος κλίνεται, καὶ τὸν χρόνον τῆς εὐθείας φυλάττει καὶ ἐν τῇ γενικῇ. οἷον, δμώς, δμωός. θώς, θωός. καὶ ὤφειλεν εἶναι Ζεύς, Ζευός. ὁ δὲ ἕτερος λέγει ὅτι τὰ εἰς ευς διὰ τοῦ εος κλίνονται. καὶ ὤφειλεν εἶναι Ζεύς, Ζέος. τῶν οὖν δύο κανόνων μαχομένων, εἰσῆλθεν ἡ τῶν Βοιωτῶν διάλεκτος καὶ ἐγένετο Ζεὺς Διός.

Ζεύς με μέγα. αἱ ὀξυνόμεναι λέξεις αἱ διὰ τὴν συνέπειαν τρέπουσι τὴν ὀξεῖαν εἰς βαρεῖαν, ἐπιφερομένου τοῦ ἐγκλιτικοῦ μορίου, τὴν ἰδίαν τάσιν φυλάττουσι. τὸ ἐμὲ δέ, πρωτότυπός ἐστιν ἀντωνυμία. αἱ δὲ πρωτότυποι ἀντωνυμίαι, ἐγκλίνονται. καὶ αἱ ἐγκλινόμεναι, ἀποβάλλουσι.

Ζεῦξαι, τὸ βόας ἢ ἡμιόνους ἑνῶσαι ὑπὸ … σι τὸ φωνῆεν. τὰ ὑπὸ τὸ ζυγόν. καὶ ζεῦξαι τὸ πρᾶγμα, παρὰ τὸ Ζεύς. αὐτὸς γὰρ πρῶτος ἔζευξεν ἡμιόνους ἐπὶ σπορὰν καρπῶν.

Ζευξιδία, ἡ Ἥρα οὕτω τιμᾶται ἐν Ἄργει. φασὶ γὰρ ὅτι Ἄπις μεταναστὰς ἀπὸ τοῦ Ἄργους εἰς Αἴγυπτον, ἔπεμψε βόας τῷ ἐν Ἄργει βασιλεύοντι, καὶ τὴν τοῦ σπόρου ἐργασίαν ἐδίδαξεν. ὁ δέ, ζεύξας ἐπὶ τῷ σπόρῳ τὰς βοῦς, Ἥρας ἱερὸν ἀνέθηκεν. ὅτε δὲ τοὺς στάχυς συνέβαινε βλαστάνειν καὶ ἀνθεῖν, Ἀνθείαν Ἥρας ἐκάλεσε.

Ζεῦγος ἡμιονικὸν ἢ βοϊκόν. ζεύξαντες τὴν λεγομένην κλινίδα, ἥ ἐστιν ὁμοία δίφρῳ, τὴν τῆς νύμφης μέθοδον ποιοῦνται. παραλαβόντες δὲ αὐτὴν ἐκ τῆς πατρῴας ἑστίας, ἐπὶ τὴν ἅμαξαν ἄγουσιν εἰς τὰ τοῦ γαμοῦντος ἑσπέρας ἱκανῆς. κάθηνται δὲ τρεῖς ἐπὶ τῆς ἁμάξης, μέση μὲν ἡ νύμφη. ἑξ ἑκατέρου δὲ ὁ νυμφίος καὶ ὁ πάροχος. οὗτος δὲ ἐστὶ φίλος ἢ συγγενής, ὁ μάλιστα τιμώμενος καὶ ἀγαπώμενος. ἐπειδὴ ἡ ἅμαξα ὄχημα λέγεται, ὁ ἐκ τρίτου παροχούμενος, πάροχος ἐκλήθη. ἀπὸ ταύτης τῆς συνηθείας, κἂν πεζοί τινες μετίωσι κόρην, ὁ τρίτος συμπαρών, πάροχος λέγεται.

Ζεῦγος. οὐ μόνον τὸ ἐκ δυοῖν τινῶν ζευγνύμενον, ἀλλὰ καὶ τὸ ἐκ πλειόνων. καὶ γὰρ Ἰσοκράτης τέθριππον ζεῦγος εἶπε. καὶ Αἰσχύλος. ὥστε κἂν ἐκ τεσσάρων κἂν ἐκ πέντε ᾖ, ζεῦγος αὐτὸ καλεῖται. γίνεται δὲ παρὰ τὸ ζεύγω. ὡς τεύχω τεῦχος.

Ζεῦγμα, οὐ τὸ σχοινίον, ἀλλ' ἡ ἐζευγμένη σχεδία ἐν ποταμῷ ἢ ἐν θαλάσσῃ. καὶ Θουκυδίδης ἑβδόμῃ, Τὸ ζεῦγμα τοῦ λιμένος.

Ζεύγλη, τὸ ἄκρον τοῦ ζυγοῦ καθ' ὃ ἐντίθενται τοῖς τραχήλοις τὰ ζῷα. ἢ τὸ τοῦ τραχήλου μέρος καθ' ὃ ὁ ζυγός. ἀπὸ τοῦ ζεύγω, ζεύγλη. ὡς ἀπὸ τοῦ αἴγω, αἴγλη.

Ζευγίσιον, ὃ ἐτέλει ὁ ζευγίτης. τρεῖς δὲ … τὸ πεντάλη… τάξεις Ἀθήνησιν ἦσαν. πεντακοσιομέδιμνοι, οἱ πλουσιώτατοι. ἱππεῖς οἱ ἱππάδα τελοῦντες, καὶ τὸ θητικόν.

Ζείδωρος ἄρουρα. παρὰ τὸ ζῆν, ζήδωρος. ἡ τὰ πρὸς τὸ ζῆν δωρουμένη. τοῦ η εἰς τὴν ει δίφθογγον τραπέντος βοιωτικῶς. ὥσπερ οὔτησω, οὔτειλη. βιόδωρος. ἢ παρὰ τὸ τὰς ζειὰς ζειόδωρος. ἢ παρὰ τὸ ζέω ζέεις καὶ ζέει, ἀποβολῇ τοῦ ι, ζεέδωρος. ὡς μενεξ, μενέλαος. καὶ συναιρέσει ἢ κράσει, γίνεται ζείδωρος. καὶ γὰρ τὸ ζῶ ζέω λέγεται. ἢ τὸ ζῆν δωρουμένη.

Ζειαί, αἱ ὄλυραι. κατὰ δὲ ἑτέρους, αὐτὴ ἡ κριθή, πλεονασμῷ τοῦ ζ. εἰαί τινες οὖσαι. εἰαὶ γὰρ αἱ τροφαί. οἷον, λύκων τῇ ἰᾷ πέλονται, ὅτι ζώων εἰαί εἰσιν. ἢ παρὰ τὸ ζέω, ζεαὶ καὶ ζειαί, αἱ τοῦ ζῆν αἴτιαι. ἢ ἀπὸ τοῦ Ζεὺς ὁ Διὸς εὕρημα ὄντα κατὰ τὸν μῦθον. Τὰ εἰς ἄλφα τῇ ει διφθόγγῳ παραληγόμενα ἢ τῷ ι, ἐπὶ μὲν οὐσίας ὀξύνεται. ζειά. φειά. χειά. ἐπὶ δὲ πράγματος, βαρύνεται. οἷον, μνεία. χρεία.

Ζειραί. χιτῶνες ἀνακεκολπωμένοι. ἢ ἀνάκωλοι. ξενοφῶν. Καὶ ζειρὰς μέχρι τῶν ποδῶν ἐπὶ τῶν ἵππων ἔχουσιν. ἀντὶ τοῦ χλαμύδα. οὕτως εἰς τὸ ἐκτρινόν. ἄλλοι δὲ ζώνην καὶ χλαμύδα σημαίνειν τὴν λέξιν φασί. παρὰ τὸ εἴρειν, πλεονασμῷ τοῦ ζ. ἡ ἐνειρομένη. τινὲς δὲ παρὰ τὸ δεῖν ὃ ἐστι δεσμεύειν. δειρὰ καὶ ζειρὰ κατὰ μετάθεσιν τοῦ δέλτα εἰς ζ. τινὲς δὲ παρὰ τὴν δέσιν, δειρά. ἱμάτιον, ἢ ἐφαπτὶς ἢ διάδημα. ἢ περιφερὲς ἔλυμα.

Ζέω καὶ ζεῖν. εἴρηται κατὰ μίμησιν τοῦ κατὰ τὴν θερμασίαν τῶν ὑδάτων ἤχου. ἢ ἀπὸ τοῦ ζα καὶ τοῦ ἄω τὸ πνέω, ζάω καὶ ζέω.

Ζῶ καὶ ζῆν, τὸ τῆς ζωῆς σημαντικὸν ῥῆμα. ἀπὸ τοῦ ζέω κατὰ μεταφοράν. ἀναπνέομεν γὰρ ἕως πάρεστιν ἐν ἡμῖν τὸ θερμὸν, καὶ ἡ ζέσις τοῦ αἵματος. ἢ ἀπὸ τοῦ ἄω τὸ πνέω. πλεονασμῷ τοῦ ζῆτα ἢ τοῦ ζα, γίνεται ζάω. εἶτα κατὰ κρᾶσιν, ζῶ. παθητικὰ οὐκ ἔχει. τὰ γὰρ οὐδέτερα ῥήματα, μήτε ἐνέργειαν μήτε πάθος δηλοῦντα, παθητικὰ οὐκ ἔχει. οἷον, ζῶ. πλουτῶ. ὑγιαίνω. ὑπάρχω. τοῦ ζῆμι, κίνησις οὐχ εὕρηται. ἀπὸ τοῦ ζάω, ζάεις ζάει, κατὰ κρᾶσιν δωρικὴν τοῦ α ε εἰς η, γίνεται ζῆς, καὶ ζῇ. οὐ γὰρ ἀπὸ τοῦ ζάεις, ζᾷς, συνηρημένον γέγονε τὸ ζῆς καὶ ζῇ.

Ζῆθι, ἐστὶν εἰς τὸ βοῆς. ὁ παρατατικός, ἔζαον ἔζων. ἔζαες ἔζης, ἔζαε ἔζη. καὶ τὸ προστακτικὸν ζῆ, ὥσπερ εὐριπίδης ἐν ἰφιγενείᾳ. Ἀλλ᾽ ἔρπε καὶ ζῆ καὶ δόμους ἱκνοῦ. καὶ ἐν φοίνιξιν. Δι᾽ ἐλπίδος ζῆ καὶ δι᾽ ἐλπίδος τρέφου. τὸ γὰρ ζῆθι, κατ᾽ ἐπέκτασιν ἔχει τὴν θι συλλαβήν. καὶ μετὰ τῆς συν προθέσεως, σύζηθι. τινὲς λέγουσι τὸ ζῆς ζῇ, μὴ ἔχειν τὸ ι προσγεγραμμένον, κατασκευάζοντες ἀπὸ τοῦ εἰς μι τοῦ ζῆμι. οἵτινες οὐκ ἀκριβῶς λέγουσιν. εἰ γὰρ ἀπὸ τοῦ εἰς μι, ὤφειλεν εἶναι ἡ μετοχὴ ζάς, ὡς ἵστας. καὶ τὸ θηλυκὸν, ζᾶσα ὡς ἱστᾶσα. νῦν δὲ ζῶν ἐστιν ἡ μετοχή. καὶ τὸ θηλυκὸν, ζῶσα. καὶ εἰ ἀπὸ τοῦ εἰς μι, ὤφειλεν εἶναι τὸ πρῶτον τῶν πληθυντικῶν ζάμεν, ὡς ἵσταμεν. νυνὶ δὲ ζῶμεν ἐστὶν ὡς περ βοῶμεν. ἄρα οὐκ ἔστιν ἀπὸ τῶν εἰς μι.

Ζητῶ, συζυγίας πρώτης. ἐκ τοῦ ζα ἐπιτατικοῦ καὶ τοῦ αἰτῶ, γίνεται ζαετῶ. καὶ συγκοπῇ, ζαετῶ. καὶ τροπῇ τοῦ ἄλφα εἰς η, ζητῶ.

Ζητηταί. ἀρχή τις ἦν ἀθήνησι κατὰ καιροὺς καθισταμένη, πρὸς ἣν ἐμήνυον τοὺς ὀφείλοντες χρήματα τῇ πόλει, καὶ μὴ ἀποδεδωκότες.

Ζήτης, ὁ υἱὸς βορέα. οἷον, Ζήτης ἠδὲ κάλαϊς τε βορῆος υἱέες ἱκέσθην. ἀπολλώνιος ὁ ῥόδιος ἐν τοῖς ἀργοναυτικοῖς. ζαήτης παρὰ τὸ ζα καὶ τὸ ἄητης, ὁ μεγάλως πνέων. υἱὸς γάρ ἐστι τοῦ βορέα.

Ζῆθος. ἀπολλώνιος. Ἐν δ᾽ ἔσαν ἀντιόπης ἀσωπίδος υἱέες δοιώ, ἀμφίων, καὶ ζῆθος. ἀπύργωτος δ᾽ ἔτι θήβη κεῖτο πέλας, τῆς οἵ γε νέον βάλλοντες δόμους. εἴρηται παρὰ τὸν ζήσω μέλλοντα, ζῆθος. ὡς ἐρίσω, ἔριθος. ἢ ὅτι ἡ μήτηρ αὐτοῦ ἐζήτει εὐμαρῶς τεκεῖν αὐτόν, ὥς φησιν εὐριπίδης. Τὸν μὲν κίκλησκε ζῆθον. ἐζήτησεν γὰρ τόκοισιν εὐμάρειαν ἡ τεκοῦσά νιν.

Ζῆλος ὁ φθόνος. παρὰ τὸ ζέω καὶ τὸ λίαν, γίνεται ζέλος καὶ ζῆλος. θερμὸς γάρ ἐστι λίαν. ἢ παρὰ τὸ ζέειν. ὁ φλεγμαίνειν καὶ ἐκκαίεσθαι τὴν ψυχὴν ποιῶν. φλέγει γὰρ ἐν τῷ βάθει. ἢ ὁ ἐκ τῆς ζέσεως τοῦ θυμοῦ γινόμενος. ἢ ἀπὸ τοῦ ζάλη, ζάλος καὶ ζῆλος. ὁ γὰρ ζῆλος, ζάλην βάλλει εἰς τὸν ἄνθρωπον. ἢ ὁ ζητῶν πρός τινα ἄλλον ζῆν. οἷον, Ζηλοῖ δέ τε γείτονα γείτων. τὰ δὲ παρ᾽ αὐτοῦ συγκείμενα, εἴτε κατ᾽ ἀρχὰς εἴτε κατὰ τὸ τέλος, τὴν αὐτὴν φυλάττει γραφήν. οἷον, πολύζηλος, δύσζηλος, ὁ φθονερός, παρὰ τὸ ζεῖν ὅλος.

Ζημία, ἡ τῶν ὄντων πρὸς τὸ ζῆν μείωσις. ἢ τοῦ κέρδους καὶ τῆς ὠφελείας ἀπ. ἡ τὰ πρὸς τὸ ζῆν μειοῦσα. ἢ τὴν ζωὴν μειοῦσα, τουτέστι τὴν περιουσίαν. παρὰ τὴν ζέσιν τὴν γινομένην ὑπὸ τοῦ θυμοῦ ἐν τῷ ἐκτείνειν τὰ ἐπαγόμενα. ἢ δημία τις οὖσα. ἡ πολιτική.

Ζηρυνθία, ἀφροδίτη ἐν θράκῃ. ζήρυνθον γὰρ ἄντρον ἐν θράκῃ. οὐ γὰρ μόνον ἄρεως ἱερά ἐστιν ἐν θράκῃ, ἀλλὰ καὶ ἀφροδίτης. λυκόφρων.

Ζήτρειον, σημαίνει τὸ τῶν δούλων δεσμωτήριον, ἤγουν τὸν μύλωνα παρὰ χίοις καὶ ἀχαιοῖς. ἐκεῖ γὰρ ἐδεσμεύοντο οἱ δοῦλοι. εὔπολις. ὥσπερ γὰρ εἰς ζήτρειον ἐμπεσών. καὶ θεόπομπος. ὥσπερ μοι δοκεῖ εἶναι τὸ πρόθυρον τοῦ τὸ βασανιστήριον, τὴν δ᾽ οἰκίαν ζήτρειον ἱκανὸν μέγα. σύνθετον δέ ἐστιν ἐκ τοῦ ζα καὶ τοῦ τρέω τὸ φοβοῦμαι, ζάτρειον καὶ ζήτρειον. ἢ παρὰ τὸ δεῖν τὸ δεσμεύειν καὶ τὸ τρέω, γίνεται δήτρειον, καὶ ζήτρειον κατὰ τροπὴν τῆς ει διφθόγγου εἰς τὸ η. ἐν ᾧ δεῖσθαι τρέουσιν. εὕρηται δὲ καὶ διὰ τοῦ ι συνεσταλμένον. καὶ παρὰ ἡροδότῳ. Ἀπεῶντο εἰς τὸ ζήτριον. ἐστὶ δὲ χορίαμβον τὸ μέτρον.

τοῦ τὸ δὲ ὁ μὲν ὦρος προπαροξύνει, ὡς τὸ γήτειον. ὁ δὲ ὠριγένης, προπερισπᾷ. χοιροβοσκός.

Ζιζάνιον, τὸ ἄνευ σπορᾶς συμπαραφυόμενον τῷ σίτῳ. καὶ γίνεται παρὰ τὸ σῖτος καὶ τὸ σίνω τὸ βλάπτω. σιτσάνιον καὶ ζιζάνιον, τὸ βλάπτον τὸν σῖτον. ἢ παρὰ τὸ σῖτος καὶ τὸ ἰζάνω τὸ κάθημαι, σιτοίζανον. τὸ τῷ σίτῳ παρεδρεῦον, καὶ συναυξάνον.

Ζίω, τὸ ζητῶ. ἐξ οὗ καὶ ζίεται, τὸ ζητεῖται.

Ζιγνῶ, τὸ σκυθρωπάζω. καὶ ζιγνῶσαι, τὸ σκυθρωπᾶσαι.

Ζυγὸς, παρὰ τὸ δύο ἄγειν, δυαγός. καὶ ἐν συγκοπῇ, δυγὸς καὶ ζυγός. οἱ γὰρ δωριεῖς τὸ δ εἰς ζ τρέπουσιν. ἢ παρὰ τὸ ἄγεσθαι καὶ ἐφέλκεσθαι ὑπ᾽ αὐτοῦ, δυγὸς καὶ ζυγός. ἰστέον δὲ ὅτι τὸ ζ διαλύουσιν οἱ δωριεῖς εἰς σ καὶ δ. οἷον, ζυγός, σδυγός. ζευκτῆρες, σδευκτῆρες. θερίζω, θερίσδω. συρίζω, συρίσδω. θεόκριτος. Ἀπὸ τῆς παγαῖσι μελίσδεται. ἤγουν μελίζεται καὶ ἠχεῖ, καὶ ἀποτελεῖ μελῳδίαν. σημαίνει τρία. τὸ ἅρμα τῶν ἵππων. ὡς τὸ, Ἱππίου δὲ ζυγοῦ θεὰ ἥψατο. καὶ τὴν τῆς κιθάρας πῆχυν. ὡς τὸ, Ἐπὶ δ᾽ ἀργύρεον ζυγὸν ἦεν. σημαίνει δὲ καὶ τὰς τῶν ἐρεσσόντων καθέδρας. εἴρηται καὶ ἐπὶ τῶν ἁμαξῶν, καὶ ἐπὶ ἁρμάτων καὶ πλοίων. καὶ τὸ λεγόμενον ὑπὸ τῶν ποιητῶν τάλαντον, ἤγουν ἡ τρυτάνη. δυαγὸν, τὸ δύο ἄγον, καὶ ζυγόν. λέγεται ζυγὸς, καὶ ὁ τῆς κιθάρας πῆχυς. καὶ ᾧ ἐγκεῖνται οἱ κόλλαβοι. οὕτω δὲ λέγονται οἱ πάσσαλοι ὧν ἐξάπτονται αἱ χορδαί, παρὰ τὸ κεκολλῆσθαι. ἰλιάδος ἰῶτα.

Ζυγομαχεῖν, στασιάζειν, ὡς οἱ βόες οἱ συνεζευγμένοι. μετῆκται δὲ ἡ λέξις ἀπὸ τῆς τῶν βοῶν πρὸς ἀλλήλους μάχης μὴ συμφώνως ἐργαζομένων. ἐκεῖνοι γὰρ πολλάκις ὅταν ἕλκωσι κάμνοντες, ἐπερείδουσι τὸ βάρος πρὸς ἀλλήλοις κεχρημένοι ὑπὸ ... ἢ ἀπὸ μεταφορᾶς τῶν εἰς τὸν σταθμὸν φιλονεικούντων. ἢ τῶν πωλούντων σταθμῷ, καὶ διαφερομένων πρὸς τοὺς ὠνουμένους. ἢ ἀπὸ τῶν ὑποζυγίων. ἢ βοῶν. ἢ ἵππων, ἤ τινων τοιούτων. ὡς ἡσίοδος. Οὐκ ἂν ἔτ᾽ ἐρίσαντες ἐν αὔλακι καμμὲν ἄροτρον ἄξειαν, τὸ δ᾽ ἔργον ἐτώσιον αὖθι λίποιεν. ὁ δὲ ἡρόδοτος, ἀπὸ τῶν ἐν τοῖς πλοίοις ζυγῶν δύναται φύσει εἶναι. ἐπεὶ περὶ τῶν καθεδρῶν διαφέρονται οἱ ἐρέσσοντες.

Ζύγαστρον, τὸ κιβώτιον. ὥς φησι σοφοκλῆς. Κοίλῳ ζυγάστρῳ. κυρίως ἡ ξυλίνη σορός. παρὰ τὸ ἐνεζεῦχθαι καὶ ἐνδεδέσθαι ἀλλήλαις τὰς σανίδας. παρὰ δὲ δελφοῖς, καὶ ζύγαστρον καλεῖται τὸ γραμματοφυλάκιον. ἐκ ῥητορικὴ ἡ λέξις.

Ζύμη, τὸ σταῖς τὸ συμπεφθὲν εἰς ὄπτησιν. παρὰ τὸ ζέω, ζύμη. ὡς λύω, λύμη. δύω, δύμη. τὸ ζέον σταῖς. ἢ παρὰ τὸ ζωῆς οἶμον εἶναι. ζέω, ζύω. ὡς ξέω, ξύω. χέω, χύω. ζύμη καὶ ζύμωμα. ἐκ τοῦ ζέσαντος, ζευστός, ἢ σταῖς τι γεγονός. ἐκ τοῦ ζύμη ζυμήτης. ἄρτος ποιός. οἷον ἄρτοι ζυμῆται, οἱ μεγάλοι.

Ζόφος, σκότος. ἀχλύς. παρὰ τὸ νέφος. μετὰ τοῦ ζα, ζάνοφος. καὶ συγκοπῇ, ζόφος. ἢ παρὰ τὸ φάος κατὰ προσέλευσιν τοῦ ο, ὄφαος. καὶ πλεονασμῷ τοῦ ζ, ζόφος. κατὰ ἀποβολὴν τοῦ α. ἢ ἀπὸ τοῦ γνόφος, δνόφος καὶ ζόφος, δηλονότι ἀποβολῇ τοῦ ν. σημαίνει δὲ δύο. τὸν ἐν ἅδου τόπον, οἷον ὁμίχλώδη. καὶ τὴν εἰς δύσιν. ὡς τὸ, Εἴτ᾽ ἐπ᾽ ἀριστερὰ τοίγε ποτὶ ζόφον ἠερόεντα.

Ζωάγρια, τὰ ὑπὲρ τοῦ ζῆν διδόμενα ἄποινα.

Ζωγρεῖ. Ζώγρει ἀτρέος υἱέ. ἀντὶ τοῦ ζῶντα λάμβανε παρὰ τὸ ζῶ καὶ τὸ ἀγρεύειν. ζωγρῶ, τὸ τὰ ζῶντα ἀγρεύω.

Ζωγράφος. θεόκριτος. Ποῖοι ζωγράφοι τἀκριβέα γράμματ᾽ ἔγραψαν. οὐχ ὅτι γράμματι χρῆται, ἀλλ᾽ ὅτι τῇ γραφίδι προσκαταξύει. γράψαι γὰρ τὸ ξύσαι. οὐκ ἔχει δὲ τὸ ι προσγεγραμμένον. ἔστι γὰρ ζῶον ζώου ζωογράφος. καὶ ἐπειδὴ οὐδέποτε μεταξὺ τοῦ ω ὄντος ἢ τοῦ υ ἢ συμφώνου, κρᾶσις γίνεται, ἀλλὰ πρότερον ἀποβάλλει αὐτὸ καὶ οὕτω γίνεται ἡ κρᾶσις. βελτίονα, βελτίω. τὸ ἐμόν, τὠμόν. τοῦ ἀνθρώπου, τἀνθρώπου. καὶ τὸ ἄνθρωπος, τἄνθρωπος, τούτου χάριν καὶ τὸ ζωογράφος, πρότερον ἀποβάλλει τὸ ι καὶ οὕτω ποιεῖ τὴν κρᾶσιν τοῦ ω καὶ ο εἰς ω, χωρὶς τοῦ ι.

Ζωπυρεῖν, κυρίως τοὺς ἄνθρακας φυσᾶν. ὥσπερ εἰς κατάρατε ζωπύρει τοὺς ἄνθρακας. καὶ ζωπυρῆσαι. ἀπὸ μεταφορᾶς τοῦ πυρὸς λέγεται καὶ ἐπὶ τοὺς ἐξ ἀρρωστίας ἀναρρωννυμένους. καὶ ἔζην. Κἀγὼ γὰρ ἀνέζην καὶ σὺ τὸν λοιπὸν χρόνον. ὤφειλεν εἶναι ἔζων. κοινῶς μὲν, ἔζας ἔζα. οἱ δωριεῖς δὲ τὸ α ε εἰς η συναιροῦσιν. ἔζαες ἔζης λέγοντες, καὶ ἔζαε ἔζη. πλάνης οὖν γινομένης, ἐγένετο πρότερον πρόσωπον ἔζην, προσθέσει τοῦ ν ἀπὸ τοῦ τρίτου προσώπου.

Ζώδιον, σὺν τῷ ἰῶτα. ἐπειδὴ εὕρηται κατὰ διάστασιν. ἄρατος. Ζωΐδιον δ᾽ ἐκύκλουν ἐπίκλησιν καλέουσιν. ἢ ἐπειδὴ ἐστι ζῷον ζώου. ὅπερ ἔχει προσγεγραμμένον τὸ ἰῶτα. καὶ ἐπειδὴ ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τῶν πρωτοτύπων ἀπὸ φωνήεντος ἄρχεται, γίνεται ζωΐδιον ὡς εἴρηται τοῦ ι ἀπὸ τοῦ πρωτοτύπου ὄντος. τὸ γενικὸν ὄνομα, παρὰ τὸ ζῶ. τὸ τοῦ ζῆν δεκτικόν. ἢ ἀπὸ τῆς ζωῆς, τὸ ζωὴν ἔχον, ἢ ζέσιν ἔχον καὶ θερμότητα. πρὸς ἀντιδιαστολὴν τῶν μὴ ζώων. ὅθεν καὶ ζεστὸν ἄνθρωπον φαμὲν, τὸν εὐκίνητον καὶ θερμόν. γράφεται δὲ μετὰ τοῦ ἰῶτα, ἐπειδὴ εὕρηται κατὰ διάστασιν καὶ παρὰ σιμωνίδῃ. οἷον, Τὸ δ᾽ ἡμῖν ἔρπετον παρέπλετο ζωΐον κάκιστον. καὶ διὰ τὸν χαρακτῆρα τῶν διὰ τοῦ ωον. τὰ γὰρ διὰ τοῦ ωον οὐδέτερα μονογενῆ, θέλει ἔχειν τὸ ἰῶτα. οἷον, πτῷον, ὀπτῷον. ὤιον. προστῷον. περιστῷον. ὑπερῷον. οὕτω καὶ ζῷον.

Ζῷον σὺν τῷ ι. Ζῶς. ἀξιοῖ ὁ ἀσκαλωνίτης περισπᾶσθαι. οὐχ ὑγιῶς. μόνον γὰρ ἔστι τὸ σῶς περισπώμενον ἀρσενικὸν ἕως λῆγον, εἴτε ἀπὸ τοῦ σῶος, εἴτε ἀπὸ τοῦ σάος, ὅ ἐστιν ἄμεινον. εἰ δὲ ἐκ τοῦ ζωός ἀξιοῖ αὐτὸ περισπᾶσθαι, ἴστω ὅτι τὰ ἐξ ὀξείας καὶ βαρείας πάλιν βαρύνονται. εἰ μὴ ἄρα ἐγκλίνει αὐτό, ἰσοσύλλαβον εὑρεθήσεται. γίνεται δὲ ἐκ τοῦ ζώω, ζωός ζώς. ἢ ἀπὸ τοῦ ζῶ, ζῶς.

Ζώη. ἐκ τοῦ ἄω καὶ τοῦ ζα, γίνεται ζάω, ζῶ. οἱ γὰρ ζῶντες, πάνυ ἐμπνέουσιν. ὁ ζάων, ὁ ζῶν. τοῦ ζάοντος, τοῦ ζῶντος. τὸ εὐκτικόν, ζάοιμι ζῷμι. τὸ δεύτερον, ζάοις, ζῷς. ζάοι, ζῷ. καὶ ἐν τῷ τρίτῳ προσώπῳ οἱ ἀττικοὶ προστιθέασι τὸ η καὶ γίνεται ζώη. ἀπὸ δὲ τρίτου, ποιοῦσι τὸ δεύτερον προσθέσει τοῦ σ, ζώης. καὶ ὁ ποιητὴς τοῦ σ ἄνευ, τὸ πρῶτον. ζώην, ὡς ἀγαπῴην.

Ζωή. ἀπὸ τοῦ ζῶ, γίνεται ζωὴ κατὰ πρόσληψιν συλλαβῆς. ἢ ὥσπερ παρὰ τὸ ῥέω, γίνεται ῥοή, καὶ χέω, χοή, οὕτω καὶ ἀπὸ τοῦ ζέω, ζωή. καὶ ὁ ποιητὴς τοῦ ο ἄνευ ω, ζωή. τὰ γοῦν παρ' αὐτοῦ συγκείμενα, τὴν αὐτὴν φυλάττει γραφήν. ζωηφόρος. ζωοτόκος. ἀείζωος.

Ζωμός. κυρίως τὸ ἀπὸ τοῖς κρέασι τῶν ζώων ἄρτυμα, ζωμὸς καλεῖται. ζῶμα, τὸν χιτῶνα. ἀπὸ τοῦ ζώννυσθαι. ἢ τὸν θώρακα.

Ζώννυσθαι, τὸ καθοπλίζεσθαι. συνεκδοχικῶς ἀπὸ μέρους. τὸ περιεζωσμένον. ἐκ τοῦ ζώω βαρυτόνου. εἰ γὰρ ἦν ἀπὸ τοῦ ζῶ ζώσω, οὐκ ὤφειλε προσλαμβάνειν τὸ σ. τοῦ δὲ ζῶ τοῦ ἐπὶ τῆς ζωῆς, ὁ μέλλων, ζήσω. ἔχει δὲ τὸ ζωννύω πρὸς τὸ ζῶ συγγένειάν τινα. ἐπειδὴ τὸ ζῆν ἀπὸ τοῦ θερμοῦ λαμβάνεται παρὰ τὸ ζέω, διὰ τὴν ἐν αὐτῷ θερμασίαν. ὥσπερ καὶ κατὰ περίφρασιν ἀλίβας ὅμηρος. ἀπὸ δὲ μεταφορᾶς τοῦ ζῆν, καὶ τὸ ζωννύω. ἐπειδὴ κατ' ἐκεῖνον τὸν τόπον ζωννύμεθα, ἐν ᾧ ἐστι τὸ τοῦ σώματος θερμόν. ἡ καρδία.

Ζώνη, τὸ τοῦ σώματος μέρος. παρὰ τὸ ζῶ. ἐν ᾧ μάλιστα τὸ τοῦ ζώου ἐστὶ ζωτικόν. καὶ τὸ περὶ αὐτοῦ ὕφασμα, ζώνη ὁμωνύμως λέγεται. ὡς καὶ θώραξ τὸ μέρος τοῦ σώματος. καὶ τὸ περιτιθέμενον ὅπλον. ἢ παρὰ τὸ δεῖν, δώνη καὶ ζώνη, ἡ περιδεομένη καὶ δεσμοῦσα ἡμᾶς. διὸ καὶ τὰ παρ' αὐτοῦ συγκείμενα, διὰ τοῦ ω μεγάλου. οἷον, ἄζωνος. βαθύζωνος. εὔζωνος. σημαίνει δὲ τρία. τὸ μέρος τοῦ σώματος, ὡς τό, Ἄρεϊ δὲ ζώνην στέρνον δὲ ποσειδάωνι. Ἰλιάδος β. παρὰ τὸ ζῶ τὸ ζωογονῶ. τὸ παρὰ τὴν καρδίαν μέρος κείμενον, ἐν ᾧ μάλιστα ἐστὶ τὸ τοῦ ζῆν δεκτικόν. σημαίνει καὶ τὸ ἐν συνηθείᾳ λεγόμενον. ὡς τό, Ζώσατο δὲ ζώνην ἑκατὸν θυσάνοις ἀραρυῖαν. σημαίνει καὶ τὸν συνουσιασμόν. ὡς τό, Λῦσε δὲ παρθενίην ζώνην.

Ζωστήρ, θώραξ. ζώνη καὶ τόπος τῆς ἀττικῆς. Εὐφορίων. Οὗτος μὲν ζωστὴρ φοίβου πέδον. καὶ ζωστήριος ἀπόλλων, παρὰ ἀθηναίοις τιμώμενος. Καὶ ἡ δ' ἐπαπηδήσασα ζωστηρίῳ ἀπόλλωνι. φασὶ γὰρ τὴν λητὼ ὠδίνουσαν, ἐκεῖσε τὴν ζώνην λῦσαι. ζωστήρ, ὁ ἐπάνω τοῦ θώρακος, ᾧ ζώννυνται. Λῦσαι δ' οἱ ζωστῆρα πανάιολον. ζῶμα δὲ καὶ αὐτὸς ὁ θώραξ κατὰ ἀρίσταρχον. ἀντιγράφων οὖν φησι. Διὰ μὲν ἂρ ζωστῆρος ἐλήλατο δαιδαλέοιο. λέγεται ζῶμα, καὶ τὸ περίζωμα. Ζῶμα δ' οἱ πρῶτον παρακάββαλεν. αὐτὰρ ἔπειτα θῆκεν ἱμάντας ἐϋτμήτους.

Ζωρότερον. Ζωρότερον δὲ κέραιρε. Ἰλιάδος ι. ζωτικώτερον. ἀκρατώτερον. ἐνεργές, οἱ δέ, θερμότερον. παρὰ τὸ ζωρός, ὁ ἄκρατος. καὶ οὐδέτερον, ζωρόν. καὶ ζωρότερον ποτόν. ἀπὸ τοῦ ζῆν ἢ ζεῖν, γίνεται ζώοτερον. καὶ πλεονασμῷ τοῦ ρ. ἐν ᾧ ὁ οἶνος οὐκ ἠφάνισται, ἀλλ' ἔτι ζῇ. ἢ ζεῖ καὶ θερμός ἐστιν. ἀπὸ δὲ τούτου, τὸ ἀκρατώτερον καὶ ἰσχυρὸν ἐμφαίνει. ἢ ἀπὸ τοῦ ζα καὶ τοῦ ὥρου, ὃ σημαίνει τὸν ἐνιαυτόν, γίνεται ζάωρος. καὶ ζωρός, ὁ πολυετὴς καὶ παλαιὸς οἶνος καὶ εὔποτος ὑπὲρ τὸν νέον.

Ζώτειον, προπαροξυτόνως ὁμύλων. παρὰ τὰς ζειάς, αἳ καὶ ζεαὶ καλοῦνται. ὅπου αἱ ζειαὶ ἐκόπτοντο. οἱονεὶ ζεόντειον. οἱ δέ, τόπου ὄνομα. ὅπου ἐκόλαζον τοὺς οἰκέτας. ἀριστοφάνης βαβυλωνίοις, ζώστειον. ὡς ὧρος ὁ μιλήσιος εἴρηκεν.

ΤΕΛΟΣ ΤΟΥ ΖΗΤΑ ΣΤΟΙΧΕΙΟΥ.

ΙϹ

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ ΗΤΑ ΣΤΟΙΧΕΙΟΥ.

Ητα τὸ στοιχεῖον. ἐκ τοῦ ἦτα καὶ τοῦ ἔχειν τὸν χαρακτῆρα τοῦ στοιχείου. ἡνίκα γὰρ πλάγιον τεθῇ, εὑρήσεις ταῦ. εἰ δὲ ἀπὸ πρώτης γραμμῆς τοῦ ἦτα βαρδανδώσει διὰ τῆς ἐν μέσῳ γραμμῆς, τὸ ἦτα εὑρήσεις ἄλφα.

Η. τοῦτο τὸ ἦ ψιλούμενον καὶ περισπώμενον, δηλοῖ σύνδεσμον παραπληρωματικὸν ἤτοι, ἴσον τῷ δή. οἷον, Ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστι. καὶ παραλλήλως. Ἦ δὴ λοίγια ἔργα. δηλοῖ δὲ καὶ ἀπορηματικὸν σύνδεσμον. οἷον, Ἦ οὐχ Ἑλένης ἕνεκα ἠϋκόμοιο. Ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων ἀτρεΐδαι; δηλοῖ δὲ καὶ τὸ ἔφη. Ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι. καὶ σεσημείωται ἀριστάρχῳ, ὅτι ὁ μὲν ὅμηρος ἀεὶ ἐπὶ προφερομένοις λόγοις ἐπιφέρει τὸ ἦ, τὸ δηλοῦν τὸ ἔφη. ὁ δὲ πλάτων μετ' αὐτό, ἐπιφέρει τὸν λόγον. καὶ πάλιν. ἦ ψιλούμενον καὶ περισπώμενον, σημαίνει τέσσαρα. τὸν δὴ παραπληρωματικὸν σύνδεσμον. ὡς τό, Ἐπεὶ ἦ πολὺ φέρτερον. καὶ ἐπίρρημα βεβαιώσεως, ἀντὶ τοῦ ὄντως. ὡς τό, Ἦ μάλα δὴ τέθνηκε μενοιτίου ἄλκιμος υἱός. καὶ ἀντὶ τοῦ εἶπεν. ἔστι δὲ ῥῆμα ἴσον τῷ ἔφη. ὡς τό, Ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι. καὶ ἀντὶ τοῦ ἀπορηματικοῦ τοῦ ἆρα. ὡς τό, Ἦ μοῦνοι φίλοι. δηλοῖ δὲ καὶ τὸ ἀληθές. ὡς ἐπὶ τό, Ἦ δὴ λοίγια ἔργ' ὅ τέ μ' ἐχθοδ. τὸ γὰρ ὄντως, ἀντὶ τοῦ ἀληθῶς λαμβάνεται. Ἦ μάλα δὴ τεθνήκασιν, ἀντὶ τοῦ ἀκριβῶς. δῆλον. Ἰλιάδος ς. οὕτω γὰρ καὶ ἐν ὀδυσσείᾳ ἔχει. Ἦ μάλα δή τις ἔφημεν.

Η ψιλούμενον δὲ καὶ βαρυνόμενον, δηλοῖ σύνδεσμον διαζευκτικόν. Ἠ εὖ, ἠὲ κακῶς νοστήσομεν. ἔστι δ' ὅτε καὶ ἀντὶ συναπτικοῦ τίθεται. ὡς τό, Ἠ καὶ ἔλθῃ ὕστερος ἦεν. ποτὲ δὲ παρέλκει. ὡς τό, Ἀλλὰ τί ἢ ἐμὲ ταῦτα παρεξερέεσθαι ἕκαστα. καὶ πάλιν. ἢ ψιλούμενον καὶ βαρυνόμενον, σημαίνει τέσσαρα. ἢ διαζευκτικός ἐστιν. ἢ ὑπερδιαζευκτικός. ἢ διασαφητικός. διαζευκτικός, ὁ τὰ ἐναντία τῇ συντάξει διϊστῶν. οἷον, Ἢ νέος ἢ παλαιός. καί, Ἢ ἡμέρα ἐστίν, ἢ νύξ. ὑποδιαζευκτικὸς δέ ἐστιν, ὁ διάφορα πράγματα τιθείς, καὶ μὴ δ' ἕτερον ἐν τῇ αὐτῇ [illegible]. οἷον, Δός μοι χρυσὸν ἢ ἄργυρον ἢ λίθους τιμίους. διασαφητικὸς δέ ἐστιν, ὅταν τῶν δύο προτεθέντων, τὸ ἓν αἱρῆται. οἷον, Κρεῖσσον ἐστὶ πένεσθαι, ἢ πλουτοῦντα πλεῖν. καί, Θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον. Ῥανίς φρενῶν μοι μᾶλλον, ἢ βυθὸς τύχης. οὗτος ὁ σύνδεσμος, μετὰ τὸ ἀλλὰ σύνδεσμου. ἀλλὰ ἢ. ἐν συνηθείᾳ, ἀλλ' ἤ. δηλοῖ δὲ καὶ τὸν καί. ὡς τό, Βούλομ' ἐγὼ λαὸν σῶον ἔμμεναι ἢ ἀπολέσθαι.

Η τιός δὲ ἐών. ὁ ἢ σύνδεσμος, διαζευκτικὸς μέν ἐστι. παρείληφθη δὲ παρὰ τῷ ποιητῇ, ἀντὶ τοῦ συναπτικοῦ εἰ. οἷόν ἐστι καὶ ἄλλο. Ἐπεὶ οὐ πολύμυθος, οὐδ' ἀφαμαρτοεπής. ἢ καὶ γενεῇ ὕστερος. ἢ ἀντὶ τοῦ ἐὰν καὶ τῷ γενεῇ. οὕτω καὶ τὸ ἢ τιός δὲ ἐών. ἀντὶ τοῦ, ἐὰν τοιοῦτος ὑπάρχῃ, Οὐκ ἂν δὴ μείνειας ἀρηΐφιλον. Ἰλιάδος γ. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ πότερον. ὡς τό, Ἢ ὅγε φάσγανον ὀξύ.

Ἦ γηθήσαι πρίαμος. σύνδεσμος διαβεβαιωτικός. καὶ δεῖ περισπᾶσθαι. ἀντὶ τοῦ ὄντως ἂν χαρείη. ὅτι τὸν ἢ σύνδεσμον ἓξ διαφόρως σημαίνειν φησὶν ἡρωδιανός. περισπώμενον, γ'. καὶ βαρυνόμενον, γ'. περισπώμενος μὲν γάρ ἐστι παραπληρωματικός. βεβαιωτικός. διαπορητικός. βαρυνόμενος δέ ἐστι διαζευκτικός. παραδιαζευκτικός. διασαφητικός. ὁ μὲν οὖν διαζευκτικός, οὕτως. Ἢ ἡμέρα ἐστίν, ἢ νύξ. ὁ δὲ παραδιαζευκτικός, κεῖται ἀντὶ τοῦ καί, ὡς παρὰ πλάτωνι μίνως. ἢ περὶ νόμων, ἀντὶ τοῦ καὶ περὶ νόμων. τὸ δέ, Βούλομαι πλουτεῖν ἢ πένεσθαι, τοῦ διασαφητικοῦ ἐστιν. ἔθος δὲ τοῖς διασαφητικοῖς συνδέσμοις, δύο πραγμάτων, τοῦ μὲν ἑνὸς ποιεῖσθαι αἵρεσιν τοῦ δὲ ἑτέρου ἀποβολήν. καὶ ἀποβολὴ μέν, ὡς τό, Βούλομ' ἐγὼ λαὸν σῶον ἔμμεναι ἢ ἀπολέσθαι. αἵρεσις δέ, ὡς τό, Ῥανίς φρενῶν μᾶλλον, ἢ βυθὸς τύχης. τὸ ἥ, δασυνόμενον καὶ ὀξυτονούμενον, δηλοῖ ἄρθρον προτακτικόν. ὡς τό, Ἡ δ' ἐπέκ θέρει προρέει. δηλοῖ δὲ καὶ ἄρθρον ὑποτακτικόν. οἷον, Ἣ μυρί' ἀχαιοῖς ἄλγε' ἔθηκε. δηλοῖ καὶ ἀναφορικὴν ἀντωνυμίαν.

οἷ, ὥσπερ ἀμφιπόλοισι μετέπρεπε παρθένος ἀδμής. δηλοῖ δὲ καὶ σὺν ἄρθρον ἀντωνυμίαν τρίτου προσώπου συζυγοῦσαν τῇ ἐμή, σή. ὑποδείγματα δὲ αὐτῆς παρ' ὁμήρῳ οὐχ εὑρίσκεται. ἐκ δὲ τοῦ ἀναλόγου νοεῖται. αἱ γὰρ πλάγιοι παρ' αὐτῆς παρ' ὁμήρῳ σώζονται. ἧς. ᾗ. ἥν.

Η, σύνδεσμος ἀπολογικός. ἀντὶ τοῦ καθὸ παραλαμβανόμενος. ᾗ χρῆν, ᾗ. πολεμητέα ἦν αὐτοῖς, ἀντὶ τοῦ ὅπου τοπικὸν ἐπίρρημα. τὸ γὰρ ᾗχι τοπικὸν ἐπίρρημα, κατ' ἐπέκτασιν δὲ τῆς χι συλλαβῆς, ἐκ τοῦ ᾗ δασυνομένου καὶ περισπωμένου. ἔχει δὲ καὶ ι προσγεγραμμένον. τὰ γὰρ εἰς η λήγοντα ἐπιρρήματα, ἔχει τὸ ι προσγεγραμμένον. οἷον, ἄλλῃ. πάντῃ. κομιδῇ. σεσημείωται παρὰ τὸ τε. νή. μή. δή. ἤδη. δηλαδή. διὰ τί βαρύνεται. ζήτει εἰς τὸ ὅτι τέλεσον.

Η δὲ οἱ. αὕτη δὲ αὐτῷ. περισπᾶται. ἓν μέρος λόγου ἐστίν. ἐπειδὴ δείκνυται ἐκ τοῦ ἀρσενικοῦ. ἀλλ' ὁ δ' ἀνήρ. καὶ εἰς τὸ λεξικόν. ἰλιάδος γ. γράφεται τὴν δ' ἀμφὶ γυναικί. ἡ διὰ τοῦ δὲ παραγωγή, ἣ ἔχει πρὸ τέλους μακρόν, προπερισπᾶται. σεσημείωται τὸ, τῶδε δὲ νῶι.

Η. ἦ καὶ ἐπ' ἀργυρέῃ κώπῃ. ἀντὶ τοῦ ἔφη. εἶπεν. Ἦ καὶ ἀπ' ἀκμοθέτου. ἔστι δὲ ῥῆμα χρόνου ἀορίστου δευτέρου. Ἦ καὶ ἀπὸ στομάχων ἀρνῶν. ἐστὶ φῶ τὸ λέγω. οὗ παράγωγον, φημί. καὶ ἀττικῇ ἀποβολῇ, ἠμί, ταὐτὸ σημαῖνον. καὶ ἔστι τὸ μὲν φημί, δευτέρας συζυγίας. τὸ δὲ ἠμί, πρώτης. ἠμί οὖν, ὁ μέλλων, ἥσω. ὁ δεύτερος ἀόριστος. ἦν. ἦς. ἦ.

Η δ' ὅς. οἱ μὲν περὶ ἐρατοσθένην, ἀντὶ τοῦ ἔφη δὲ οὗτος. διὸ καὶ δασύνουσι τὴν ἐσχάτην. ἐν τάττουσι γὰρ ἄρθρον τὸ ὅς. καὶ ἦ δέ, ἀντὶ τοῦ ἔφη δέ. καὶ ἦν δ' ἐγώ, ἀντὶ τοῦ ἔφην ἐγώ. παρ' ὃ δὴ ἕρμιππος καὶ ἀρίσταρχος ἀντὶ τοῦ ἔφη δ' ὅς. χάρης δὲ καὶ κριτόλαος, ἀντὶ τοῦ ἔφασαν. καὶ τὸ ἂν ὠφίλε. σημαίνειν φασί. διελέγχεται δ' ὑπὸ πλειόνων. Χαῖρε ἔφη παιδίον. ἣ δ' ὁ πατήρ. πῶς δὲ ἡ μήτηρ καὶ οἱ οἰκεῖοι. καὶ μάλ' ἦ δ' ὅς, ὡς πάντες. εὐνομίαθης δὲ πῶς. ὡς ἂν διὰ θαλάττης ἐφήν.

Η μήν, ὄντως δή. ἔστι σύνδεσμος βεβαιωτικός. τὸ μήν, σύνδεσμος παραπληρωματικός. διαφέρει δὲ ὁ ἐναντιωματικὸς τοῦ παραπληρωματικοῦ. ὅτι ὁ μὲν παραπληρωματικός, ἐπιφέρεται σύμφωνον καὶ φωνῆεν. ὁ δὲ ἐναντιωματικός, οὐδέποτε φωνῆεν. ἡ μήν, μάλιστα μὲν παρεμφατικοῖς συντάσσεται. τάχα δὲ καὶ ὁριστικοῖς. ἦ μὴν τόδε ἐγένετο. ἢ τόδε ἔσται. ἡρόδοτος ἐν α. Ἦ μὴν σ' ἐγὼ αὖ μετ' ὀρέστῳ.

Η, ἐπίρρημα ὁρκικόν. ὅπερ καὶ διὰ διφθόγγου γράφεται. εἶ μὴν εὐλογῶν εὐλογήσω σε. ἢ ὄντως καὶ ἀληθῶς. καὶ ἔστιν ἐπίρρημα βεβαιώσεως.

Η τοι, ἀντὶ τοῦ μὲν ποιητικῶς. διαφέρει δὲ τοῦ μέν. ὅτι τὸ μὲν ἤτοι κατ' ἀρχὴν τίθεται. ὁ δὲ μέν, οὐχὶ ἀλλὰ παρέπεται. καὶ ὁ μὲν μέν, συνήθης ἐστίν. ὁ δὲ ἤτοι, ποιητικῶς. συνετέθη δὲ ἐκ τοῦ ἢ συναπτικοῦ καὶ τοῦ τοι παραπληρωματικοῦ, ἤτοι. τοῦτο καὶ προτάσσεται καὶ ὑποτάσσεται. ὅτε μὲν οὕτως. ἤτοι τόδε, ἢ τόδε. ὅτε δὲ οὕτως. ἢ τόδε, ἢ τόδε. Ἰστέον ὅτι τὸ ᾗχι τὸ γινόμενον ἐπεκτάσει τῆς χι συλλαβῆς, ὡς τὸ ναί, ναίχι, οἱ δωριεῖς, ἀχι λέγουσι διὰ τοῦ α. Ἀχι λίχα μέγα σᾶμα. τουτέστιν ὅπου τὸ λίχα τὸ μέγα μνημεῖον. καὶ, Ἀχι ὁ κλεινὸς ἀμφιτρυωνιάδης. πολλῶν δὲ λεγόντων σὺν τῷ ι γράφεσθαι. καὶ πολλῶν ἀντιλεγόντων χωρὶς τοῦ ι, τῆς μέντοι παραδόσεως ἐχούσης τὸ ι, δίκαιον ἡγημαι πάντας παρακρουσάμενος, τῇ παραδόσει μόνῃ ἕπεσθαι, καὶ μὴ διὰ κενῆς γράφειν ἃ χρεία οὐκ ἔστι. καὶ μάλιστα πολλαῖς καὶ ἀνηκέστοις συμφοραῖς καὶ τῇ τῶν ἀναγκαίων περιερχόμενος σπάνει. ἀλλὰ τῷ τῶν λόγων ἀνθελκόμενος ἔρωτι, οὐδ' ὅλως τοῖς ὀφθαλμοῖς ὕπνον δέδωκα, ὥστε καὶ αὐτὸς ὠφεληθῆναι τὰ μέγιστα. καὶ τοῖς μετ' ἐμὲ καταλιπεῖν μνήμης ἄξιον.

Η βαιόν, ὀλίγον καὶ ὀλιγοχρόνιον. παρὰ τὴν ἥβην. ἐπεὶ αὕτη ὀλίγη καὶ ταχέως αὔξεται καὶ ἐλαττοῦται. ἀφ' οὗ παρώνυμον ἠβαιός. τὸ η, ἦτα. ἐκ τοῦ ἥβη ἡ ἀκμή, ἡβαιός, καὶ ἠβαιός, ὁ ἐπ' ὀλίγον χρόνον ἀκμάζων καὶ μαραινόμενος πάλιν. καὶ εἰ ἐκ τοῦ ἥβη γίνεται, ὤφειλε δασύνεσθαι. οὐκ ἔστι δὲ οὕτως. ἀλλ' ἀπὸ τοῦ βῆναι γίνεται βαιός. καὶ πλεονασμῷ τοῦ ι, βαιός. ὁ ἐπ' ὀλίγον χρόνον βεβηκώς. καὶ πλεονασμῷ τοῦ η, ἠβαιός. ὡς τὸ μύς, ἠμύς. βαιόν, ἠβαιόν. καὶ ἄλλως. ἐκ τοῦ γράφεσθαι διὰ τῆς διφθόγγου, δείκνυται πλεονασμὸν εἶναι τὸ η. λέγει ὁ κανών. Τὰ διὰ τοῦ αιος δισύλλαβα ὀξύτονα, [illegible] διὰ τῆς αι διφθόγγου γράφεται. οἷον, σκαιός. λαιός. φαιός. πλὴν τοῦ θεός. οὕτω καὶ βαιός. δῆλον ὅτι πλεονασμός ἐστι τοῦ η. ἠβαιός, ὀξύνεται. ὡς τὸ γηραιός. δημαιός. ἵνα μὴ βαρυνόμενον σχῇ κτητικὸν τύπον. ὡς παρὰ ῥώμη, ῥωμαῖος. οἱ δέ, παρὰ τὸ βῶ τὸ βαίνω, τὸ οὕτως ὀλίγον, ὥστε μόνον βῆναι δυνάμενον. καὶ τὸ ἐλάχιστον ἅμα τῷ ἄρξασθαι πέπαυται. ἢ παρὰ τὸ βῶ βαιόν. καὶ κατὰ σύνθεσιν τῆς στερήσεως ἀβαιόν, τὸ μὴ ἔχον βάσιν. καὶ ἠβαιόν. ὡς ἄπειρος, ἤπειρος. πρὸς οὖν διαφορὰν σημαινομένου τὸ πάθος.

Ηβη, σημαίνει δύο. τὴν θεόν. ὡς τὸ, Μετὰ δέ σφισι πότνια ἥβη. καὶ τὴν ἀκμὴν καὶ νεότητα. ὡς τὸ, Λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην. Καὶ ἀλλ' ἔχει ἥβης ἄνθος ὅτε κάρτος ἐστὶ μέγιστον. ἤδη τις οὖσα. ἤδει γὰρ ἡμᾶς ὡς ἄνθος οὖσα τῆς ἡλικίας. κατὰ τροπὴν τοῦ δέλτα εἰς βῆτα βοιωτικῶς. ἢ παρὰ τὸ ἅπτω, ἀφή, καὶ ἥβη. τροπῇ τοῦ α καὶ τοῦ φ. πυρώδεις γὰρ οἱ ἡβῶντες. ἢ ἀφή τις οὖσα. τότε γὰρ ἁπτόμεθα καὶ ἔργων γυναικός. ἢ παρὰ τὸ ἠβαιόν. ἡ ἐπ' ὀλίγον χρόνον οὖσα. ἢ ἀπὸ τοῦ βεβηκέναι, ἄβη καὶ ἥβη. ἀπὸ τοῦ βῶ τὸ πορεύομαι, βῆ καὶ ἥβη.

Ηβηδόν, ἀθρόον ὅλα. καθ' ἡλικίαν. ἢ κατὰ νεότητα ἡβῶντας, ὡς τὰς στρατείας.

Ηγαγον, δεύτερος ἀόριστος. ἀπὸ τοῦ ἄγω. ὁ δεύτερος ἀόριστος, ἄγον. καὶ κατὰ ἀναδιπλασιασμόν, ἄγαγον, καὶ ἤγαγον.

Ηγάθεον, τὸ θεῖον καὶ θαυμαστόν. παρὰ ἤγαγον. τὸ ἄγαμαι, ἀγάθεον. ἢ παρὰ τὸ ἄγαν καὶ τὴν θέαν. οἱονεὶ τὸ ἀξιοθέατον.

Ηγαθέην, θείαν. θαυμαστήν. παρὰ τὸ ἄγαμαι, ἀγάθεος. καὶ ἠγαθέη. ἢ παρὰ τὸ ἄγαν καὶ τὸ θεῖον, ὃ δηλοῖ τὸ θαυμαστόν.

Η γαλένην κάλυπτεν ἀειρομένην. τὴν κατεαγεῖσαν ἢ κολοβωθεῖσαν, ἢ κοιλωθεῖσαν. παρὰ τὸ ἄγος ὃ σημαίνει τὸ ῥῆγμα. ἐκ τοῦ ἄγω τὸ κλάω, ἄγος ἀγαλέος. ὡς τάρβος, ταρβαλέος.

Ηγαλλεν, ἐθεράπευε. δίων ἐν ἑκκαιδεκάτῳ λόγῳ ῥωμαϊκῶν. Διά τε οὖν ταῦτα καὶ ὅτι τὸ θεῖον ἀκριβῶς ἤγαλλεν. κέχρηται δὲ τῇ λέξει ἄλλοι τε καὶ εὐνόμιος ὁ δυσσεβής. καὶ αὐτὸς οὕτω πολλάκις.

Ηγάμην, ἀπεδεξάμην.

Ηγασσαν, ἐθαύμασαν. ἐξεπλάγη. παρὰ τὸ ἄγαν, ἀγάζω. ὡς λίαν, λιάζω. ἢ παρὰ τὸ ἀγῶ, ἀγαίω. ἀγαίομαι, ἠγαιόμην. ἠγάσμην. ἠγασάμην. καὶ πλεονάζει τὸ σ διὰ τὸ μέτρον.

Ηγεμών, παρὰ τὸ ἡγῶ ἡγήσω, ἡγημών, καὶ ἡγεμών ἡγεμόνος. συστέλλεται ὡς ῥηματικόν. ἡγεμὼν συμμορίας. ὁ προέχων πλούτῳ, καὶ διὰ τοῦτο τῶν ἄλλων ἡγεμονεύειν.

Ηγεμόνεσσι. ζήτει εἰς τὸ ἀγρείδησι. ἀπὸ [illegible]. τῆς δοτικῆς τῶν πληθυντικῶν ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ. ἐπὶ δὲ οὐδετέρου, ἀπὸ τῆς γενικῆς τῶν ἑνικῶν ἡ δοτικὴ τῶν πληθυντικῶν κατὰ τροπὴν τοῦ ο εἰς ε. στόματος, στομάτεσσι. δέπαος, δεπάεσσιν.

Ηγερθεν, συνηγέρθησαν. συνηθροίσθησαν. ἀγείρω. ὁ παρακείμενος, ἤγερμαι. ὁ ἀόριστος, ἠγέρθην. τὸ τρίτον τῶν πληθυντικῶν, ἠγέρθησαν. αἰολικῶς καὶ δωρικῶς, ἤγερθεν. Τὰ ἔχοντα τὴν μετοχὴν εἰς ς ὀξύτονον, ποιοῦσιν

Ηγερέεσθαι, ἀθροίζεσθαι. ἀγερέω ἀγερῶ. ἰωνικόν.

Ηγεμονία δικαστηρίου, ὄνομά ἐστι δίκης.

Ηγερέθοντο, συνηθροίζοντο. ἀπὸ τοῦ ἐγέρθω, ἐγερσῶ. ὁ παθητικὸς ἐνεστώς, ἐγέρθομαι. ὁ παρατατικός, ἠγερθόμην. ἠγερθόμεθα. τὸ γ τῶν πληθυντικῶν, ἠγέρθοντο. καὶ προσθήκῃ τοῦ ε, ἠγερέθοντο. ἢ ἀπὸ τοῦ ἀγείρω ἀγερῶ, ἀγερέθω.

Ηγορόωντο. ἐδημηγόρουν, ἢ ἠθροίζοντο. ἀπὸ τοῦ ἀγορεύειν ἀγοράω ἀγορῶ. ἠγορῶντο. καὶ πλεονασμῷ τοῦ ο, ἠγορόωντο.

Ηγύα, ὡμολόγει δώσειν. ἠγύατο ὁ λαμβάνων. τοῦ.

Ηγηλάζω, ἄγω. ὁ δηλῶ. ἐπιμελοῦμαι. ὡς φησὶν ὅμηρος Καὶ σὺ κακὸν μόρον ἠγηλάζεις. παρὰ τὸ ἄγω, ἀγάζω. πλεονασμῷ, ἀγαλάζω. καὶ τροπῇ, ἠγηλάζω.

Ηγήμων. δημοσθένης ἐν τῷ ὑπὲρ κτησιφῶντος. εἷς ἦν τῶν μακεδονιζόντων, καὶ τῶν ἐπὶ δωροδοκίᾳ διαβεβλημένων.

Η γήσιππος, οὗτός ἐστιν ὁ κρωβύλος ἐπικαλούμενος. οὗ δοκεῖ εἶναι ὁ ἐν ἑβδόμοις φιλιππικῶν δημοσθένους ἐπιγραφόμενος.

Η γητηρία, παλάθη σύκων ἣν ἐπὶ τῇ πομπῇ τῶν πλυντηρίων φέρουσιν, ὅτι ἡμέρου πρώτης ταύτης τροφῆς ἐδέξαντο. ἢ διὰ τὸ πρῶτον τοῖς ἀνθρώποις εὑρῆσθαι σύκον. ἱερὰ συκῆ τὸ δένδρον κέκληται. καὶ ὁ τόπος ἱερὸς παρὰ ἀθηναίοις, ἐν οἷς πρῶτον εὑρέθη τὸ δένδρον. καὶ ἀπ' αὐτῆς καρπὸς ἡγητηρία. οὕτω φώτιος ὁ πατριάρχης.

Ηδη, ἐπίρρημα χρόνου δηλωτικόν. συντάσσεται [illegible] δὲ μετὰ τριῶν χρόνων. καὶ ἰσοδυναμεῖ τῷ νῦν. ἤδη, σημαίνει ἀντὶ τοῦ τότε. ἐπειδὴ τὰ ἐπιρρήματα μὴ διορίζοντα χρόνον, κοινὴν δὲ παράτασιν δηλοῦντα, ἐπὶ παντὸς χρόνου παραλαμβάνεται. οἷον, νῦν φρονῶ. νῦν ἐφρόνησα. νῦν φρονήσω. ἤδη γράφω. ἤδη ἔγραψα. ἤδη γράψω. τὸ ἤδη, ἀόριστόν ἐστι καὶ τρεῖς χρόνους δηλοῖ. ἐπὶ μὲν τοῦ παρῳχημένου, Ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν ὡμίλησα. ἐπὶ δὲ ἐνεστῶτος, Ἤδη γάρ μοι τόδε τέταρτον ἔτος ἐστίν. ἐπὶ δὲ μέλλοντος, Ἤδη λοίγια ἔργα τάδ' ἔσσεται.

Ηδη. ἐκ τοῦ ἤδειν ὑπερσυντελίκου, διαλύουσιν οἱ ἴωνες τὴν ει δίφθογγον. ἐν μὲν τῷ πρώτῳ προσώπῳ, εἰς ε καὶ α. καὶ ἀποβολῇ τοῦ ν, γίνεται ἤδεα. ὡς τὸ ἦν, ἔα. ἐν δὲ τῷ τρίτῳ, εἰς δύο εε. καὶ γίνεται ἤδεε. εἶτα οἱ ἀθηναῖοι ἐν τῷ πρώτῳ προσώπῳ, τὸ ε καὶ α εἰς η συναιροῦσιν. οἷον, ἤδη ἐγώ, ἀντὶ τοῦ ἠπιστάμην. καὶ ἐν τῷ τρίτῳ, τὰ δύο εε, εἰς η. οἷον, ἤδη ἐκεῖνος, ἀντὶ τοῦ ἐγίνωσκε. καὶ ὁμοφωνεῖ τῷ πρώτῳ. καὶ λέγουσί τινες ὅτι ἰδοὺ εἴρηται ὁμόφωνον. τοῦ τεχνικοῦ λέγοντος ὅτι οὐκ ἐνδέχεται κατὰ τὴν αὐτὴν διάλεκτον καὶ κατὰ τὸν αὐτὸν ἀριθμὸν ἢ χρόνον ὁμοφωνεῖν. ἔστιν οὖν εἰπεῖν ὅτι οὐκ ἔστι κατὰ τὴν αὐτὴν διάλεκτον τὸ πρῶτον καὶ τὸ τρίτον. ἡ γὰρ κρᾶσις τοῦ πρώτου προσώπου, τῆς παλαιᾶς ἀτθίδος ἐστὶν ἰδίωμα. τοῦ δὲ τρίτου, τῆς νέας. ὥστε παρὰ τῷ ποιητῇ. Ὃς ἤδη τά τ' ἐόντα. καὶ οὐ δὲ τὸ, ἤδη. ἀρισταρχεῖόν ἐστιν ἁμάρτημα. καὶ οὐκ ὤφειλε γὰρ ἐᾶσαι αὐτὸ παρὰ τῷ ποιητῇ, ὃν τῆς παλαιᾶς ἀτθίδος. ἡ γὰρ παλαιὰ ἀτθὶς ὡς εἴρηται, τῷ πρώτῳ κέχρηται. ζήτει.

Ηδειν. εἴδω τὸ γινώσκω καὶ ἐπίσταμαι. ὁ μέλλων, εἴσω. ὁ παρακείμενος, εἶκα. ὁ μέσος, εἶδα. ὁ ὑπερσυντέλικος, εἴδειν. καὶ οἱ ἀττικοὶ τὸ ε τῶν παρῳχημένων, εἰς η τρέπουσι. τὸ ἐβουλόμην, ἠβουλόμην λέγουσιν. οὕτω καὶ τὴν ει δίφθογγον, ἐποίησαν εἰς η καὶ ι προσγεγραμμένον. ἤδειν. οἱ γὰρ παρῳχημένοι, ἢ ἰσοφωνήεντα θέλουσιν ἔχειν πρὸς τὴν ἀρχὴν τοῦ ἐνεστῶτος, ἢ πλείονα. οὐδέποτε δὲ ἐλάττονα. ἴσα μέν, αὐλῶ, ηὔλουν. οἰκῶ, ᾤκουν. πλείονα δέ, ἔχω, εἶχον. ἐῶ, εἴων. εἰ οὖν τὸ εἴδω, εἴκω, εἰκάζω, διφωνήεντα ἔχοντα κατὰ τὴν ἀρχήν, δῆλον ὅτι τὸ ᾖκον, ᾔκαζον, ᾔδειν, διφωνήεντα ἔχει, ἵνα μὴ εὑρεθῇ ἐλάττονα. ὁ δὲ ἀπολλώνιος λέγει χωρὶς τοῦ ι. οἱ γὰρ δωριεῖς, πολλάκι

τὴν ει δίφθογγον, εἰς η μετεποίησεν. οἷον, ἦχον. ἦλθον. ἀλλ' οἱ Δωριεῖς, τότε μετεποίησαν, ἡνίκα τὸ ι ἐν τῇ μετοχῇ ἀποβάλληται. ἔχουσι γὰρ καὶ ἕλκων ἡ μετοχή. ὅτε δὲ μὴ οὕτως ἔχει, οὐ μετατρέπεται. τὸ γοῦν εἰκόνιζον καὶ εἶργον, οὐ γράφεται διὰ τοῦ η. εἰκονίζων γοῦν καὶ εἴργων ἡ μετοχή. τὸ οὖν εἴδως καὶ εἴκων καὶ εἰκάζων ἡ μετοχή, οὐ μετεποίησαν οἱ Δωριεῖς εἰς τὸ η. διὰ τοῦτο διὰ τῆς ει γράφεται. καὶ διὰ τὸ μὴ ἐν τῇ λήγουσῃ εἶναι τὸ α, ἀλλὰ τὸ ἐν τῇ παραλήγουσῃ ἀρχόν. ἐπειδὴ ἴδιόν ἐστι τῶν παρωχημένων τὸ κατὰ τὴν ἀρχὴν μέγεθος. οἷον, ἄγω, ἦγον. ἄλλως. εἰ τὸ ἐπὶ τέλους ἐστὶ α, ἔμελλε τὸ ι ἀνεκφώνητον εἶναι, ὅπερ ἐστὶν ἄτοπον. τὰ γὰρ εἰς ν λήγοντα ῥήματα, οὐ θέλει ἔχειν πρὸ τοῦ ν τὸ ι ἀνεκφώνητον. οἷον, βοῶν. ἐτύφθην. ζήτει εἰς τὸ ἐτετύφειν.

Ἠείδει. Οὐδέ τις ἄλλος ᾔδει δμώων. ἔστι καὶ παρὰ Ἀπολλωνίῳ. ὡς οἶμαι πλεονασμός ἐστι τῆς ει διφθόγγου ἐκ τοῦ ᾔδει. ὡς καὶ ἐπὶ τοῦ ἑξῆς, ἑξείης.

Ἠειν, ᾔεις, ᾔει. ζήτει εἰς τὸ ἀπῄειν. ἐκ τοῦ εἶα μέσου παρακειμένου, Ἀττικὴ ἔκτασις, ᾔα. ᾔειν, ᾔεις, ᾔει. καὶ πληθυντικῶς, ᾖμεν. Ἀριστοφάνης Πλούτῳ. Ἔπειτα πρὸς τὸ τέμενος ᾖμεν τοῦ θεοῦ. καὶ ἐν Πρυτάνεσιν, Ἦσαν εὐθὺ τοῦ Διονυσίου. ἀντὶ τοῦ ἐπορεύοντο.

Ἤειρεν, ἔδησεν. ἐδέσμευσεν. ἀπὸ τοῦ εἴρω, εἶρε. σημαίνει τὸ δεσμεύω. πλεονασμῷ τοῦ η, ἠείρω. ὡς μύω, ἠμύω. Σὺν δ' ἤειρεν ἱμᾶσιν.

Ἠείδεισθα. ἀπὸ τοῦ εἰδεῖν γίνεται κατ' ἔκτασιν, ᾔδειν, ᾔδεις. τὸ πληθυντικὸν, ᾔδειμεν, ᾔδειτε, ᾔδεισαν. καὶ κατὰ τὴν ἔλλειψιν, ᾔδεμεν, ᾔδεσαν. ἐκ τοῦ ᾔδειν, ᾔδεις. καὶ κατ' ἔκτασιν τῆς θα συλλαβῆς, γίνεται ᾔδεισθα. τὸ κοινότερον διὰ τοῦ ε. τὸ δὲ Ἀττικώτερον, διὰ τοῦ η. ᾔδησθα Εὔπολις.

Ἠδέσθην, συντόνως. παρὰ τὸ αἰδῶ τὸ [illegible]. Εὐριπίδης Ἀλύπῃ. Οὐ μὴ σύ γ' ἡμᾶς τοὺς τεκόντας ᾐδέσω.

Ἡδονή. Ἡδονὴ δέ τις γυναιξὶν ἀλλήλαις μηδὲν ὑγιὲς λέγειν. παρὰ τὸ ἁδῶ, ἁδονή. καὶ πλεονασμῷ τοῦ η, ἡδονή. ἡδύνουσα καὶ συγχέουσα τὴν ψυχήν. ἢ παρὰ τὸ ἥδω τὸ εὐφραίνομαι, ἡδονή. ὡς φλέγω, φλεγμονή. πλήθω, πλησμονή.

Ἧδος. Οὐδέ τι δαιτὸς ἐσθλῆς ἔσσεται ἧδος, ἐπεὶ τὰ χερείονα νικᾷ. ἡδονή. ὄφελος. ἔστιν ἅδος, καὶ σημαίνει τὸν κόρον καὶ τὴν πλησμονήν. Ἰλιάδος λ. Ἅδος τέ μιν ἵκετο θυμόν. ἐκτάσει τοῦ α εἰς η, ἧδος. ἢ παρὰ τὸ ἕω τὸ κορέννυμι. παράγωγον, ἕδω τὸ ἐσθίω καὶ ἅδω. ἐξ αὐτοῦ ἧδος. καὶ κατὰ συστολὴν, ἅδος. ἢ ὅτι κατὰ μετασχηματισμὸν γέγονε τὸ ἧδος ὡς Ἡρωδιανὸς ἐν τῇ Ἰλιακῇ προσῳδίᾳ. τὸ ἡδονὴ γὰρ δασυνόμενον, μετασχηματίζεται εἰς τὸ ἧδος ψιλούμενον. ὥσπερ τὸ ἡμέρα δασυνόμενον, μετασχηματίζεται εἰς τὸ ἦμαρ ψιλούμενον. καὶ τὸ ἅμα δασυνόμενον, εἰς τὸ ἀμυδὶς ψιλούμενον. Ἡρωδιανὸς ἐν Ἰλιακῇ προσῳδίᾳ. ἐν δὲ τῷ Συμποσίῳ, φησὶν ὅτι τὸ ἧδος βούλονταί τινες δασύνειν. ἐκρίναμεν δὲ μᾶλλον ψιλοῦσθαι. ἐπεὶ τὰ εἰς ος λήγοντα οὐδέτερα δισύλλαβα ἀρχόμενα ἀπὸ φύσει μακρᾶς, ψιλοῦσθαι θέλει. οἷον, αἶσχος. εἶδος.

Ἥδω. παρὰ τὸ ἅδω τὸ ἀρέσκω, Ἅδον φίλον ὥς κεν ἅδησι. τὰ γὰρ ἀρέσκοντα, ἡδέα.

Ἡδύς, παρὰ Πλάτωνι ὁ εὐήθης καὶ ἄφρων.

Ἡδύοσμος, ὁ ἀρωματιστὴς κάλαμος.

Ἡδύ, ἐπίρρημα. ἀπὸ ὀνόματος, μετῆκται εἰς ἐπιρρηματικὴν σύνταξιν. ὡς παρὰ τὸ, Ἀχέρον δ' ἐγέλασσεν.

Ἥδυμος, ἀπὸ τοῦ ἥδυμος. ἢ ἀπὸ τοῦ ἡδύς, ἥδυμος. Ἐπίχαρμος. Καὶ λόγων ἀκούσας ἡδύμων. τὸ συγκριτικὸν, ἡδυμώτερος. καὶ Ἰωνικῶς, ἡδυσμέστερος. ὡς ἀνιαρότερος, ἀνιηρέστερος. τὸ δὲ ὑπερθετικὸν, ἡδυμέστατον. Ἀλκμὰν ἔφη.

Ἠετίων, ὁ ἥρως, ὁ πατὴρ Ἀνδρομάχης. παρὰ τὸ ἀετὸς, ἀετίων ὑποκοριστικόν. ὡς ἥφαιστος, ἡφαιστίων. καὶ Ἰωνικῶς, Ἠετίων. ἔθος γὰρ αὐτοῖς μετατιθέναι τὸ α εἰς η. ὡς τὸ βορέας, βορέης.

Ἠερέθονται, αἰωροῦνται. ἀθροίζονται. πλανῶνται. διασείονται. οἷον, ἐπηρμέναι. κοῦφοι. καὶ ἀστήρικτοί εἰσιν. ἐπὶ μὲν τοῦ παροξύνονται, καὶ προπετεῖς γίνονται, παρὰ τὸ ἐρέθω τὸ παροξύνω καὶ ἐρεθίζω, γίνεται ἐρέθονται. καὶ πλεονασμῷ τοῦ η. ἐπὶ δὲ τοῦ ἀπαιωροῦνται καὶ κρέμανται, οἷον, Αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται, παρὰ τὸ ἀείρω τὸ κουφίζω καὶ ἐπαίρω. ὁ μέλλων, ἀερῶ. ἐξ αὐτοῦ ἀερέθω. ὡς ἀγείρω ἀγερῶ, ἀγερέθω. καὶ τρέπεται τὸ α εἰς η, καὶ μετάγεται εἰς ἐνεστῶτα. ἠερέθω, ἠερέθομαι. ὁ παρατατικὸς, ἠερεθόμην. τὸ τρίτον τῶν πληθυντικῶν, ἠερέθοντο. ὡς ἠγερέθοντο. ἢ ἀπὸ τοῦ αἴρω ἀρῶ, ἀρέθω. πλεονασμῷ τοῦ ε, ἀερέθω.

Ἠερίη, ἡ Αἴγυπτος τὸ πρὶν ἐκαλεῖτο. ὅτι τοῖς ἐπ' αὐτὴν πλέουσι κοίλη οὖσα οὐ φαίνεται πρὶν ἂν σχεδὸν ὁρμισθῶσι. καὶ τότε ὡς ὑπὸ ὁμίχλης καὶ ἀέρος κεκαλυμμένη φαίνεται. Ἀπολλώνιος. Ἦμος ὅτ' ἠερίη πολυλήιος ἔκλητο μήτηρ Αἴγυπτος προτερηγενέων αἰζηῶν.

Ἠερίη. Ἰλιάδος α. Ἠερίη δ' ἀνέβη μέγαν οὐρανόν. ἑωθινή, ὀρθρινή. καὶ, Ἠέριαι δ' ἄρα ταί γε. Ἰλιάδος γ. τὸ πληθυντικὸν, ἀπὸ τοῦ ἠέριος ἀρσενικοῦ. ἀπὸ τοῦ ἀὴρ ἀέρος, ἀέριος. Τὰ ἀπὸ τῶν εἰς ηρ ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ ιος γινόμενα, διὰ τοῦ ι γράφεται. ἀστὴρ ἀστέρος, ἀστέριος. αἰθὴρ αἰθέρος, αἰθέριος. ὀλετὴρ ὀλετῆρος, ὀλετήριος. συντακτὴρ συντακτῆρος, συντακτήριος. οὕτω καὶ ἀέριος. καὶ τροπῇ, ἠέριος. πρόσκειται ὑπὲρ μίαν συλλαβὴν, διὰ τὸ θὴρ θηρός, θήρειος. λοιπὸν τὸ θηλυκὸν ἠερία προπαροξύνεται. καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν, ἠέριαι.

Ἠερίβοια. ἀπὸ τῆς ἠέρι δοτικῆς, γέγονεν Ἠερίβοια, ὄνομα κύριον. ὥς φησιν Ὅμηρος, Ἰλιάδος ε. ἡ ἀερία καὶ μεγάλα βοῶσα. ὡς τοῦ Ἑρμοῦ μητρυιά. ἢ παρὰ τὸ ἐρι ἐπιτατικὸν, καὶ τὸ βοή. τὸ δὲ, Ἠέρι δ' ἔγχος ἐκέκλιτο, ἀντὶ τοῦ ἐν ὁμίχλῃ καὶ ἀορασίᾳ ἐκεκάλυπτο τὸ δόρυ καὶ οἱ ἵπποι. γίνεται παρὰ τὸ ἄω τὸ πνέω, ἀὴρ ἀέρος. καὶ κατ' ἔκτασιν Ἰωνικὴν, ἠέρος. Δι' ἠέρος αἰθέρ' ἵκανεν. ἡ δοτικὴ, ἠέρι. ἡ αἰτιατικὴ, ἠέρα. Περὶ δ' ἠέρα πολλὴν ἔχευεν. θηλυκὸν δέ ἐστι παρὰ τῷ ποιητῇ ὁ ἀήρ. Ἀὴρ δὲ βαθεῖα ἦν. καὶ ἀρσενικὸν, σημαίνει τὸν περικεχυμένον ἡμῖν οὗτον ἔκτοσθεν ἀέρα. θηλυκῶς δὲ, τὴν ἀορασίαν. τὸ δὲ ἠέριαι ὃ σημαίνει τὸ ὄρθριαι, ἢ παρὰ τὴν ἠέρι δοτικὴν, ἀντὶ τοῦ σκοτίαι. ἢ παρὰ τὸ ἦρι, ὃ δηλοῖ πρωΐ. Ἦρι μάλα γίνονται ἤριαι. καὶ πλεονασμῷ τοῦ ε, ἠέριαι. ὡς πλέθρον, πέλεθρον. τάττεται δὲ καὶ ἐπὶ τῆς σκοτίας. Ἐς Τάρταρον ἠερόεντα. ἐκ τοῦ ἀερόεις. σημαίνει δὲ τὸν ὁμιχλώδη καὶ σκοτεινόν.

Ἠεροειδὲς ἄντρον, ἐπίγραφον. ἀεροειδὲς. σκοτεινόν. τινὲς δέ φασιν οὐκ εἰς σκοτεινὸν τὸ σπήλαιον. ἀλλ' ἠεροειδὲς εἴρηται. ὡς τὸ, Μέγα ἀερομέτρητον. ὁμοίως τὸ, Ὅσσον δ' ἠεροειδὲς ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν. ἀναπεπταμένου γὰρ τοῦ μεταξὺ ἀέρος καὶ μηδενὸς ἐμποδίζοντος. καὶ γὰρ ἄτοπον θεοῖς σκοτεινὸν ἀνεῖσθαι. Ἡρακλέων ἐν νόθοις.

Ἠεροφοῖτις ἐρινύς, ἡ ἐκ τοῦ σκότους φοιτῶσα. ἢ διὰ τοῦ σκότους ἐρχομένη ἀόρατος. παρὰ τὸ πῇ τὸν ἀέρα φοιτᾶν. ἡ ἀοράτως φοιτῶσα. ἢ παρὰ τὸ ἔαρ ὃ σημαίνει τὸ αἷμα. καὶ ὁ αἱματοπότης. ἠεροπότης. ἢ ἠεροφοῖτις, ἡ πῇ τὴν γῆν φοιτῶσα. ὅθεν καὶ ἐξεράσαι, τὸ τὴν τροφὴν εἰς τὴν γῆν ἀπορρῖψαι. ῥίπτω. καὶ τὸ η, ὡς ἄρθρον ἐκδεκτέον.

Ἠθεῖος. Ἰλιάδος κ. Τίφθ' οὕτως ἠθεῖε κορύσσεαι. καὶ Ἰλιάδος ζ. Ἠθεῖ' ἦ μάλα δή σε καὶ ἐσσύμενον κατερύκω. ἔστι δὲ προσφώνησις τιμητικὴ νεωτέρου ἀδελφοῦ πρὸς πρεσβύτερον καὶ παλαιότερον κατὰ τιμήν. ἢ φιλοφρονητικὴ προσαγόρευσις ἢ ὁ τόνος πρὸς τιμιώτερον. ὥς φησιν Ὅμηρος, Ἰλιάδος ψ. Τίπτε μοι ἠθείη κεφαλὴ δεῦρ' εἰλήλουθας.

Ἠθεῖος, ἀδελφός. συγγενής. φίλος. ἢ παρ' ὃς ἀδελφός. γίνεται δὲ παρὰ τὸ θεὸς, θεῖος. καὶ συναιρέσει τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον, θεῖος. καὶ πλεονασμῷ τοῦ η, ἠθεῖος. πλεονάζει γὰρ τὸ η ἐν πολλαῖς λέξεσιν. ὡς τὸ, μύει. ἠμύει. βαιός, ἠβαιός. εὐγενής, εὐηγενής. ἢ παρὰ τὸ ἔθος, ἐθεῖος. καὶ κατ' ἔκτασιν, ἠθεῖος. καὶ γὰρ τὰ ἀπὸ τῶν εἰς ος οὐδετέρων διὰ τοῦ ιος γινόμενα, εἰ μὲν τῷ α παραλήγεται, τὰ διὰ τούτων παραγόμενα, διὰ τοῦ ι γράφονται. ὡς τὸ ἄγος, ἅγιος. εἰ δὲ μὴ παραλήγεται τῷ α, διὰ τῆς ει διφθόγγου γράφεται. ὡς τὸ, τέλος, τέλειος. ὄρος, ὄρειος. ἔθος οὖν, ἔθειος. καὶ κατὰ μεταβιβασμὸν τοῦ τόνου, ἠθεῖος. ἀναλογώτερον δέ ἐστιν ἐκ τοῦ θεὸς αὐτὸ κανονίζειν, ἤπερ ἐκ τοῦ ἔθους. ἐκ γὰρ τοῦ θεὸς, καὶ ἡ αὐτὴ τάσις σώζεται, καὶ ὀλίγα πάθη δίδοται. ἐκ δὲ τοῦ ἔθους, καὶ ἀλλότριος ὁ τόνος καὶ πολλὰ τὰ πάθη δίδοται.

Ἦθος, ὁ τρόπος. παρὰ τὸ ἔθος, ἦθος, κατ' ἔκτασιν τοῦ ε. καὶ τὸ ἠθεῖος τινὲς ἐπὶ τοῦ συνήθους λαμβάνουσιν, ἵν' ᾖ ἐθεῖος. ἢ παρὰ τὸ ἵημι τὸ πέμπω. Ἥσω γὰρ καὶ ἐγώ. Ἰλιάδος ρ. ἀντὶ τοῦ ἀκοντίσω. πέμψω. ἵημι οὖν, ἥσω. ἦθος. ἀφ' οὗ καὶ αἱ κατὰ μέρος ἐκπέμπονται πράξεις.

Ἠθμός, καὶ ἠθάνιον, ἐργαλεῖον διατετρημένον πολλαῖς τρύπαις. δι' οὗ τὸ ὑγρὸν εἴωθε διακρίνειν τῶν παχυτέρων ὥς φησι Μενεκράτης ἐν Ἔργων α. Ἠθμῷ δὲ προπάροιθεν ἀφαρπάζει νέον αἰεὶ ἀφρόν. παρὰ τὸ ἠθῶ. καὶ παρὰ Νικάνδρῳ. Οὖρον ἀπηθῆσαι. καὶ Ἀριστοφάνης, Ἀπὸ βιβλίων ἀπηθῶν. ἀπὸ γοῦν τοῦ ἠθῶ, ἤσω, ἠμός, καὶ ἠθμός. δι' οὗ διηθεῖται καὶ διαβιβάζεται.

Ἠΐθεος, ὁ ἀπειρόγαμος νέος. ἀπὸ ἐτῶν δεκατεσσάρων, ἕως δεκαοκτώ. Ἰλιάδος δ. Ἠΐθεον θαλερὸν Σιμοείσιον. τὸν ἄπαιδα καὶ ἄγαμον. σπανίως δὲ ἐπὶ παρθένου, ὡς παρ' Εὐπόλιδι. Εἰ μὴ κορηδεύσει τις ταῖς ἠιθέοις. παρὰ τὸ αἴτης αἴτεος καὶ αἴθεος, ὁ καιρὸν ἄγων αἰτοῦ, τουτέστιν ἐρωμένου. ἢ παρὰ τὸ αἴθω τὸ καίω. καὶ ἐν διαιρέσει, αἴθεος καὶ ἠίθεος. διάπυρος γὰρ ἡ νεότης. ὁ καιρὸν ἄγων τοῦ θερμαίνεσθαι. ἢ αἴθεος τις ὤν, διὰ τὸ νέον τοῦ σώματος. ἢ μᾶλλον διὰ τὸ ἀμίαντον εἶναι καὶ ἄπειρον μολυσμοῦ γυναικός, ἢ γάμου. γέγονε δὲ ὡς τὸ πῦρ ἀΐδηλον.

Ἠϊών, ὁ αἰγιαλός. παρὰ τὸ αἴειν τὸ ἀκούειν. ἐκ τοῦ αἰών, γίνεται ἠιών. ἡ ἐξακουομένη τοῖς κύμασιν. οἷον Ἠϊόνες βοόωσιν ἐρευγομένης ἁλὸς ἔξω. ἢ παρὰ τὸ καταιονᾶσθαι παρὰ τῶν κυμάτων. τουτέστι καταντλεῖσθαι καὶ καταβρέχεσθαι. αἰονήματα δὲ τὰ καταντλήματα φασὶν οἱ Ἀττικοί. ἢ παρὰ τὸ ἴω, ἐφ' ᾧ ἐστιν ἰέναι ἐξ ἁλός, ἢ εἰσιέναι. Λυκόφρων. Ἵππων φριμαγμὸν ἠιόνες δεδεγμένοι. ἢ παρὰ τὸ εἰσώρημα, εἰς ὃν προέχει ἡ θάλασσα. ἢ ἠιόνας, τοὺς μὴ πετρώδεις, ἀλλὰ τοὺς διοδευομένους, δι' ὧν ἔστιν εὐχερῶς ἰέναι. ἠιών, τὸ βάσιμον μέρος τῆς θαλάσσης. λέγονται καὶ τὰ ὑποκάτω τῶν ὀφθαλμῶν, διὰ τὸ δι' αὐτῶν φέρεσθαι τὰ δάκρυα, ὡς καὶ τὰ τῶν αἰγιαλῶν κύματα.

Ἠϊόεις, ὁ καλὰς ἠιόνας ἔχων. οἷον, Ἐπ' ἠιόεντι Σκαμάνδρῳ. τουτέστιν ἐπὶ τῷ αἰγιαλοὺς καὶ ὄχθας ἔχοντι ποταμῷ. παρὰ τῆς ἠιόνος γενικῆς, γίνεται ἠιονόεις. καὶ κατὰ συγκοπὴν, ἠιόεις. γίνεται γὰρ καὶ ἀπὸ τῆς εἰς ος γενικῆς. ὡς ὕδατος ὑδατόεις, ὑδατόεσσα. ἢ παρὰ τὰ ἄνθη εἴρηται. παρὰ γὰρ τοῖς ποταμοῖς ἄνθη εἰσί. καὶ γὰρ ἰοβόστρυχος εἴρηται, ὥσπερ θύον θυόεις. θυόεν νέφος. οὕτω καὶ παρὰ τὸ ἴον, γίνεται ἰόεις. καὶ πλεονασμῷ τοῦ η. ὡς εἴδει ἠείδει, γίνεται ἠιόεις. ὁ ἴα ἔχων Σκάμανδρος. ἁρμόζει γὰρ ἐπὶ ποταμοῦ. πρὸς διάφορα οὖν σημαινόμενα, ἢ συγκοπή ἐστιν, ἢ πλεονασμός.

Ἠϊονεύς, ὁ ἥρως ὁ πατὴρ ἐπίσου τοῦ θρανός, ὥς φησιν ὅμηρος. ἀπὸ τῆς ἠϊόνος, παρώνυμον ἠϊονεύς.

Ἤϊα, βρώματα. οὐ τὰ ἐν οἴκῳ ἐσθιόμενα, ἀλλὰ τὰ ἐν ὁδῷ καὶ πλῷ. ὅμηρος. Ἐν δὲ ἤϊα κωρύκῳ. καὶ Δεῦτε φίλοι ἤϊα φερώμεθα. ἐφόδια. σιτία ἀγαθά. χορτάσματα. ἔστιν εἴω τὸ πορεύομαι διὰ διφθόγγου. ὥς φησι σώφρων ἐν θυννοθήρᾳ. Ἐγκίκρα ὥς εἴω. ὁ παρακείμενος, εἶκα. ὁ μέσος, εἶα. καὶ κατὰ διάλυσιν, ἤϊα. ἡ ἤϊα οὖν κυρίως, τὰ πρὸς ὁδὸν ἐπιτήδεια βρώματα, καὶ πρὸς τὸ ἰέναι χρήσιμα, ἢ τοῖς ἰοῦσιν ἐπιτήδεια. λέγονται καὶ τὰ ἄχυρα. Ὡς δ' ἄνεμος ζαὴς ἠΐων θημῶνα τινάξῃ. παρὰ τὸ εἴω. τουτέστι τὰ εὐκίνητα καὶ εὐχερῶς μεταρριπιζόμενα ὑπὸ τῶν ἀνέμων. κινηθέντος γὰρ ἀνέμου, δεῦρο κἀκεῖσε φέρεται. καὶ ἐπὶ τῶν ἀλόγων ζώων. Πορδαλίων λυκοντήϊα πέλονται.

Ἠείφοιβε. ζήτει εἰς τὸ ἰηίε. ἐκ τοῦ εἴω, ὁ μέσος παρακείμενος, εἶα. καὶ διαλύσει, ἔϊα. καὶ τροπῇ τοῦ ε εἰς η, ἤϊα, ἀντὶ τοῦ ἐπορευόμην. Ἤϊα πολλὰ θεοῖς γουνούμενος. καὶ τὸ τρίτον, ἤϊε, ἀντὶ τοῦ ἐπορεύετο. Ὁ δ' ἤϊε νυκτὶ ἐοικώς. εἶτα κατὰ συναλοιφήν, γίνεται ἦα καὶ ἦε. ἔστι δὲ χωρὶς τοῦ ι τρίτον, γίνεται ἐκ τοῦ ἔω. ὁ μέσος, ἔα. καὶ ἀττικῶς, ἦα. καὶ σημαίνει τὸ ὑπῆρχον.

Ἤϊσαν. τοῦτο ἐὰν μὲν σὺν ι ἔχῃς, σημαίνει τὸ ἐπορεύοντο. ἐὰν δὲ μὴ εὕρῃς τὸ ι, σημαίνει τὸ ὑπῆρχον. ἔστι γὰρ εἶμι τὸ πορεύομαι. τὸ πληθυντικόν, ἴμεν, ἴτε, ἴσαν. Οἱ δ' ἄρ ἴσαν πεζοί. πλεονασμῷ τοῦ η, ἤϊσαν. Τοῖς δ' ἅμα μηριόνης καὶ νέστορος ἀγλαὸς υἱὸς ἤϊσαν. ἢ ὥς οἶμαι, ἀπὸ τοῦ εἴω τὸ πορεύομαι. ὁ ἀόριστος, εἴσαν. εἴσαν, καὶ ἤϊσαν.

Ἤϊσαν ἐγώ, παρὰ τὸ ἴσαμι ὁ παρατατικός, ἴσαν. τὸ πληθυντικόν, ἴσαμεν, ἴσατε, ἴσαν. καὶ πλεονασμῷ τοῦ η, ἤϊσαν. διὰ τοῦτο προσετέθη τὸ ἐγώ, ἵνα γένηται πρῶτον, ἀντὶ τοῦ ἠπιστάμην ἐγώ.

Ἠΐσκομεν. ἔστιν ἴσκω τὸ λέγω, ἢ τὸ εἰκάζω. ἴσκομεν τὸ πληθυντικόν. καὶ πλεονασμῷ τοῦ η, γίνεται ἠΐσκομεν. οἱ δέ, εἴσκω ῥῆμα. τὸ πληθυντικόν, εἴσκομεν. καὶ ἐκτάσει, ἠΐσκομεν.

Ἤϊκτο. Δέμας δ' ἤϊκτο γυναικί. ἀντὶ τοῦ ὁμοιοῦτο. ἐκ τοῦ εἴκω. ὁ παρακείμενος, εἶχα, εἶγμαι, εἴγμην, εἶξο, εἶκτο. < εἶκτο καὶ ἤϊκτο.

Ἠΐχθη, ἐξέδραμεν. ἠνέχθη. ἐξώρμησεν. ἀπὸ τοῦ ἀΐσσω, ἀΐξω, ἤϊχα, ἤϊγμαι, ἠΐχθην.

Ἦκα, Ἦκα πρὸς ἀλλήλους ἔλεγον. ἀντὶ τοῦ ἠρέμα καὶ ἡσύχως. ἔστι δὲ ἐπίρρημα μεσότητος. εἴρηται παρὰ τὸ ἀκή, ὃ σημαίνει τὴν ἡσυχίαν. οὕτως αἰτιατικὴν ἔχει ἐν ἐπιρρήματος τάξει. Ἀκὴν δ' ἐγένοντο σιωπῇ. παρὰ τὸ ἀκή οὖν, ἦκα κατὰ ἀντιστροφήν. ὥσπερ σιγή, σῖγα ἐπίρρημα. σαφής, σάφα. λιγύς, λίγα, οὕτως ἀκή ἀκά. καὶ κατὰ τροπήν, ἦκα. ὥσπερ ἄγυρις, πανήγυρις. ἄνεμος, εὐήνεμος, καὶ ἠνεμόεις. ἢ ὥσπερ παρὰ τὸ πρόσθεν, πρόσθα. καὶ ἔνερθεν ἔνερθα. καὶ ἔνθεν, ἔνθα, οὕτως ἀπὸ τοῦ ἀκήν ἀκά, ἢ κατὰ μετάληψιν τοῦ αὐτοῦ φωνήεντος. ἀναγκαίως οὖν ἀποβληθέντος ἐγένετο τὸ η.

Ἤκαλον, τὸ ἥσυχον ἢ ἡσύχως. παρὰ τὸ ἦκα ἐπίρρημα. ἢ παρὰ τὸ ἄκαλον. τουτέστι παρὰ τὸ εὔκηλον.

Ἠκή, ἡ ὀξύτης τοῦ σιδήρου. ἀρχίλοχος. Ἵστη ἀκὴν κύματός τε κἀνέμου. παρὰ τὸ ἥκω τὸ πορεύομαι. ἡ ἀκή οὖν, ἡ ὀξύτης, ἡ διατέμνουσα. καὶ διὰ τῶν τμητῶν ἢ τμημάτων ἰοῦσα. ἀπὸ δὲ τούτου, καὶ ἡ τοῦ βέλους ἀκὴ παρωνύμως. καὶ ἀκήν ἐπίρρημα. τὸ δὲ ἥκω τὸ ἔρχομαι, ἐπὶ μὲν τῶν ἐνεργητικῶν, παρὰ τοῖς ἰάμβοις καὶ τοῖς πεζολόγοις, διὰ τοῦ η γράφεται. παρὰ δὲ τοῖς ποιηταῖς, πάντοτε διὰ τοῦ ι. ἐπὶ δὲ τῶν παθητικῶν, ἀεὶ διὰ τοῦ ι. ὅθεν καὶ ἀφῖγμαι, ἀφιγμένος.

Ἧκιστος. Ἧκιστος δ' ἦν αὐτὸς ἐλαυνέμεν ἅρματ' ἀγῶνι. ἀντὶ τοῦ ἐλάσσων. ἀσθενής. ἄτεχνος. πάντων ἡττώμενος. ἰλιάδος ψ. ἀπὸ τοῦ ἦκα ἐπιρρήματος, γίνεται ἥκιστος. ἢ ἀπὸ τοῦ ἦκα καὶ τοῦ ἥσσων. ὅθεν καὶ ἥκιστα τὸ οὐδαμῶς. ὥσπερ τὸ, Ἦ μάλα ψύξασα.

Ἥκιστα. ἀττικῶς ἐκ τοῦ ἧσσον τὸ ἧττον δασυνομένου, γίνεται ἥσσιστα, καὶ ἥκιστα. ὁ δὲ ἡρωδιανός φησιν, ὅτι ἡ πρὸ παραλήγουσα δασύνεται. δείκνυται ἐκ τῆς συναλοιφῆς δασυνόμενον. οὐχ ἥκιστα γοῦν. καὶ σημαίνει τὸ μάλιστα. παρὰ γοῦν τὸ ἦκα. γίνεται ἥκιστος, καὶ ἥκιστα. ὥς μάλα, μάλιστα. τὸ δὲ λέγειν παρὰ τὸ ἧσσον, οὐχ ὑγιές. οὐ γὰρ λέγεται ἥσσιστα. εἰ δέ τις λέγει παρὰ τὸ θᾶσσον οὐ λέγεται θάσσιστα, καὶ παρὰ τὸ κρεῖσσον κρείσσιστα, ἀλλὰ τάχιστα, καὶ κράτιστα, εἴσεται ὅτι παρὰ τὸ τάχιστος, καὶ παρὰ τὸ κράτιστος, ἐγένετο τάχιστα καὶ κράτιστα οὐδετέρως κατὰ ἐπιρρηματικὴν σύνταξιν.

Ἠλακάτη, τὸ γυναικεῖον ἐργαλεῖον. ὄργανον περὶ ὃ εἰλοῦσιν αἱ γυναῖκες τὸ νῆμα. ἐκ τοῦ ἠλάσκω, ἠλακτή. ὥς διδάσκω, διδακτή. καὶ πλεονασμῷ τοῦ α, ἠλακάτη. εἰς ἰδιότητα   εἰς ἣν γὰρ τὸ εἴλημα εἰλεῖται. σημαίνει καὶ τὸ βέλος. ὅθεν καὶ χρυσηλάκατος, ἡ χρυσοῦν βέλος ἔχουσα. καλλίμαχος. καὶ τὸ ὑπερίσιον, ὅταν λέγηται, Κατὰ δ' αὐτῶν λῖνα χέον ὑπηλάκατα τανύσαντες.

Ἠλάσκω, σημαίνει τὸ ἀπὸ τοῦ αὐτοῦ τόπου ἐλθεῖν. καὶ ἠλασκάζω, ἐκ τοῦ ἠλάσκω. ὥσπερ ῥίπτω, ῥιπτάζω. σημαίνει δὲ ἀμφότερα, τὸ περὶ αὐτὰ πλανᾶσθαι καὶ διατρίβειν. Αἵτε κατὰ σταθμὸν ποιμνήιον ἠλάσκουσιν, ἀντὶ τοῦ ἠλάσκουσαι. ὅ ἐστι περὶ τὸν αὐτὸν τόπον εἰλοῦνται. καὶ Ἐμὸν μένος ἠλασκάζει. περὶ τὸν αὐτὸν εἰλούμενος τόπον ἐκκλίνει. κρύπτεται. πλανᾶται. παρὰ τὸ εἰλῶ εἰλήσω, γίνεται εἰλήσκω, καὶ ἐλάσκω, καὶ ἠλάσκω κατὰ τροπήν. ἢ ἐκ τοῦ ἀλῶ τὸ πλανῶ, γίνεται ἀλάσκω. ὥσπερ γηρῶ, γηράσκω. εἶτα ἠλάσκω. ἠλασκάζω.

Ἠλαξός, ἀπὸ τοῦ ἠλαξόος, ἠλαξός. ὥσπερ βοηθόος, < βοηθός.

Ἠλαίνω, τὸ μωραίνω. καὶ ἠλαίνουσα περὶ παρθένου. καὶ ἠλαίνειν, τὸ μωραίνειν καὶ μαίνεσθαι.

Ἠλαιθερές. ἢ λαιθερές, τὸ ὑπὸ τοῦ ἡλίου θερμαινόμενον.

Ἤλεκτρον. ὅμηρος. Μετὰ δ' ἠλέκτροισιν ἐερμένον. εἴρηται ὅτι διακεχυμένον καὶ ὑγρὸν ὂν περὶ τὰς τοῦ ἡλίου δυσμὰς πήγνυται. ἢ ἠλεκτρόντιον. ὅτε γὰρ ἐπὶ λέκτρον ἡ ἠὼς ὁρμᾷ, πήγνυται. ἢ παρὰ τὸ ἑλίσσω, ἔλεκτρον καὶ ἤλεκτρον. κόσμῳ γὰρ αὐτῷ εἰς περιδέραια καὶ ὅρμους ἐχρῶντο περιελίσσοντες. ἢ παρὰ τὸ ἕλκειν τὰ ἐκτός, ἔλεκτρον καὶ ἤλεκτρον. τριβόμενον γάρ, ἁρπάζει τὰ πελάζοντα φρύγανα. ἢ παρὰ τὸ ἥλιος ἠλέκτωρ ὄνομα τοῦ ἡλίου. φασὶ γὰρ αὐτὸ δάκρυον εἶναι τῶν ἡλιάδων. ὁ γὰρ ἐπὶ τῷ φαέθοντος οἴκτῳ στάζουσιν. ἃς καὶ κλαιούσας αὐτὸν φασὶ μεταβληθῆναι εἰς αἰγείρους διὸς κατελεήσαντος. καὶ τὸ καταφερόμενον παρ' αὐτῶν δάκρυον ἐν τῷ ποταμῷ πήγνυται καὶ ποιεῖ τὸ ἤλεκτρον. ἢ ὅτι ἡλιοειδές ἐστιν. ἄλλο τύπου χρυσίου μεμιγμένου ὑέλῳ. καὶ λιθίᾳ τοῦ γ ῥῆμα.

Ἠλέκτραι, πύλαι θηβῶν. ἢ ἀπὸ τοῦ ἠλεκτρύωνος τοῦ πατρὸς ἀλκμήνης, ἢ ἀπὸ ἠλέκτρας. ταύτης δὲ μήτηρ κατ' ἐνίους ἁρμονία. ἢ τὰ ἐν τοῖς κλινόποσι τῶν σφιγγῶν ὄμματα. ἢ τῶν ἐν ταῖς κλίναις ποικιλλομένων.

Ἠλέκτωρ, ὁ ἥλιος. ἢ ὅτι οὐ κοιμᾶται ἀεὶ εἰλούμενος. ἀλέκτωρ, ὁ ἄνευ λέκτρων ὤν. ἢ ὅτι ἀλήκτως ἐστὶ καὶ ἀκάμας. ἢ ὅτι ἐκ τῶν λέκτρων καὶ τῆς κοίτης ἡμᾶς ἐγείρει διὰ τὸ ἐπιλάμπειν. ὁ ἀλέκτροις ἡμᾶς ποιῶν. παρὰ δὲ τὸ λέγω τὸ κοιμῶμαι, λέκτωρ καὶ ἀλέκτωρ, καὶ ἠλέκτωρ. ἔνιοι δὲ ἀπὸ τῆς λαμπρότητος τοῦ ἠλέκτρου, ὅ ἐστι λαμπρός. ὥστε, Ἠλέκτωρ ἐβεβήκει. ἰλιάδος ζ. ἔστι δὲ ἐπίθετον τοῦ ἡλίου. τὸ δὲ ὄρνεον ἀλέκτωρ, ἐτυμολογεῖται παρὰ τὸ λέκτρον καὶ τὸ ἐπιτατικὸν α. πολυ- < ὁ χηρύγαρ.

Ἠλέματος, ὁ μάταιος. παρὰ τὸ ἠλεός, ἠλέατος. καὶ πλεονασμῷ τοῦ μ. ὥς μέσος, μέσατος. καὶ τρίτος, τρίτατος. καὶ ἐπίρρημα ἠλεμάτως. ἢ παρὰ τὸ ἀλῶ ὃ σημαίνει τὴν πλάνην. ὅθεν τό, φένας ἠλέ. καὶ τὸ μάτην, μάτως. ἠλεμάτως οὖν, τὸ ματαίως. οὕτως < εὗρον ἐγώ.

Ἠλεός, μάταιος. μαινόμενος. μωρός. καλλίμαχος. Ὁ δ' ἠλεὸς οὐ τότε ἐπὶ τὴν βλέψας. καὶ οὐδετέρως, Ἠλεὰ μὲν ῥέξας, ἐχθρὰ δὲ πεισόμενε. παρὰ τὴν ἄλην τὴν πλάνην, γίνεται ἄλεος ὁ πεπλανημένος καὶ ἠλεός. ἢ παρὰ τὴν ἀλέαν τὴν θερμότητα. ἵν' ᾖ ὁ θερμὸς καὶ προπετής. ἢ παρὰ τὸ ἀλεᾶσθαι εἴρηται. ὃν δεῖ ἐγκλίνειν διὰ τὴν ἀφροσύνην καὶ ἐκφεύγειν. τοῦ ἠλεός ἡ κλητική, ὦ ἠλεέ. καὶ κατὰ συγκοπήν, ἠλέ. ἰλιάδος ο. Μαινόμενε φένας ἠλέ, ἀντὶ μάταιε. λέγεται καὶ ὁ οἶνος ἠλεός. ὁ μανιοποιός. Ὅ τ' ἐφέηκε πολύφρονα περ χαλεπῆναι.

Ἤλθοσαν. ἐκ τοῦ ἐλεύθω. ὁ δεύτερος ἀόριστος συγκοπῇ, ἦλθον. τὸ τρίτον τῶν πληθυντικῶν, ἦλθον. καὶ πῶς γίνεται ἤλθοσαν. οἱ γὰρ βοιωτοὶ ἐπὶ τῶν μὴ ἐχόντων τὴν μετοχὴν εἰς ς ὀξύτονον, ποιοῦσιν ἰσοσύλλαβον.

Ἠλέκτρα, ἡ παρ' ὁμήρῳ λαοδίκη. διὰ τὸ πολυχρόνιον τῆς παρθενίας. οἷον ἀλεκτρός τις. ὥς εὐριπίδης. Ὦ παρθένε μακρὸν δὴ μῆκος ἠλέκτρα χρόνου.

Ἦλις, ἡ πόλις. ἤτοι ὥς λέανδρος, διὰ τὸ τοὺς ἐκ τοῦ κατακλυσμοῦ περισωθέντας ἐν αὐτῇ ἀλισθῆναι, ὅ ἐστιν ἀθροισθῆναι. ἢ διὰ τὸ κατὰ κώμας οἰκοῦντας, ὕστερον εἰς μίαν πόλιν ἀλισθῆναι. ἢ ἀπὸ τοῦ υἱοῦ ποσειδῶνος ἤλεως βασιλεύσαντος τῆς χώρας, τὴν πόλιν λαβεῖν τὸ ὄνομα. τὴν δὲ ἠλέα, καὶ μετὰ τοῦ β βηλέα προσαγορεύεσθαι, κατὰ τὸ ἔθος τῆς δωρίδος διαλέκτου τὸ β προσγράφεσθαι ταῖς ἀπὸ φωνήεντος ἀρχομέναις λέξεσι. Πρὸ τοῦ διακτήσασθαι τὴν ὀλυμπίαν παρὰ τῆς γῆς, αὐτὴν περιειλήφεσαν ἥλιός τε καὶ κρόνος. Γνώρισμα δὲ τοῦ κτήματος, κοινός ἐστι βωμὸς ἀμφοῖν αὐτοῖν ἐν ὀλυμπίᾳ. σύμβολον δὲ καὶ τόδε. τοῦ μὲν ὁ κρόνιος λόφος καλούμενος. τὸ δὲ ἦλις μέχρι τοῦ νῦν καλουμένη ἐπώνυμον τοῦ θεοῦ. διὰ τοῦτο καὶ αὐγείας τῆς χώρας ἐβασίλευσε μοίρας οὔσης ἡλίου παῖς αὐτῷ ὤν. ὅμηρος ἐν ἰλιάδος λ. Ἐν ἤλιδι δίῃ. τουτέστι θαυμαστῇ. ἱερᾷ. ἐν αὐτῇ γὰρ ἐτιμᾶτο ὁ ὀλύμπιος ζεύς. οὗ καὶ πανήγυρις περὶ πενταετῆ χρόνον ἤγετο τὰ ὀλύμπια. ἔνθα ἠγωνίζοντο οἱ ἀπὸ τῆς ἑλλάδος πάντες. ἔστι δὲ πόλις πελοποννήσου. ὤκισε δὲ αὐτὴν ἠλεῖος παῖς ποσειδῶνος καὶ εὐρυπύλης τῆς ἐνδυμίωνος. ἠλείου δὲ ἄλεξις καὶ ἐπειὸς βασιλεύς. ἀφ' οὗ ἐπειοὶ οἱ ἠλεῖοι ὥς φησιν ἀριστοτέλης ἐν τῷ πέπλῳ.

Ἠλεῖος, ὁ πολίτης τῆς ἤλιδος. διφθογγογραφεῖται. ὥσπερ ἀπὸ τοῦ εὔπολις εὐπόλιδος γίνεται εὐπολίδειος, καὶ ἀπὸ τοῦ ἄδωνις ἀδώνιδος ἀδωνίδειος, οὕτω καὶ ἀπὸ τοῦ ἦλις ἤλιδος, ἠλίδειος. καὶ ἀποβολῇ τοῦ δ, ἠλίειος. καὶ κράσει τοῦ ι καὶ τῆς ει διφθόγγου, ἠλεῖος. ζήτει εἰς τὸν Δαρδεος κανόνα.

Ἠλιάς. τὰ εἰς ας λήγοντα, οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι ὡς ἐπὶ τὸ πλεῖστον. χωρὶς εἰ μὴ ἀπὸ πρωτοτύπου σχῶσι τὴν ει δίφθογγον. ἐρετιάς, ἐριθιάς. στεφριάς. ἡλιάς. ἡπιάς. κιτιάς. καμειριάς. μυριάς, ὄνομα κύριον. πρόσκειται ὡς ἐπὶ τὸ πλεῖστον, διὰ τὸ εἰλλάς, οὐ κατὰ πάθος τοῦ νέστορος. πρόσκειται μὴ ἀπὸ πρωτοτύπου, διὰ τὸ ῥοίτειον, ῥοιτειάς. καὶ σίγειον, σιγειάς.

Ἥλιος. παρὰ τὸ δῆλος, δήλιος ὁ φανερός. καὶ ἥλιος ἀποβολῇ τοῦ δ. ὥς διώκω, διωκή. ἰωκή. διωξίππη, ἰωξίππη. ἢ παρὰ τὸ σέλας τὴν λαμπηδόνα, σέλιος. ἀποβολῇ τοῦ σ, ἕλιος. καὶ τροπῇ τοῦ ε εἰς η. ἢ παρὰ τὸ ἅλς ἁλός, ἅλιος καὶ ἥλιος. ἀνιμᾶσθαι γὰρ φασὶν οἱ φυσικοὶ τὸν ἥλιον τὸ ὕδωρ τῆς θαλάσσης. ἐκ γὰρ τῆς θαλάσσης ἀνιμᾶται τὴν ὑγρότητα. ὅθεν καὶ ποσειδῶν, παρὰ τὸ τὴν πόσιν ἀναπέμπειν τῷ δαεῖ, ἤγουν τῷ ἡλίῳ. ἢ παρὰ τὸ ἅλις ἅλιος καὶ ἥλιος. ἐπεὶ πρὸς πάντας ἱκανῶς καὶ ἁρμοδίως ἔχει. ἢ παρὰ τὸ ἄλες τὸ συνηθροισμένον πῦρ. λέγεται γὰρ παρὰ τὸ

ἀολίζω τὸ συναθροίζω. ὡς Ἐμπεδοκλῆς. Ἄλλ' ὁ μὲν ἁλισθεὶς, μέσσον οὐρανὸν ἀμφιπολεύει. ἢ παρὰ τὸ ἕλη ὃ σημαίνει τὴν λαμπηδόνα, ἕλιος καὶ ἥλιος. ἠέλιος δὲ κατὰ πλεονασμὸν τοῦ ε ποιητικῶς. ὥσπερ ἐπὶ τοῦ στῆτον, μετὰ τῆς παρὰ παράστησιν. καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ ε, παρέστηκεν.

Ἡλιάδες. Φασὶ τὸν Φαέθοντα πείσαντα τὸν ἑαυτοῦ πατέρα μίαν ἡμέραν παραχωρῆσαι αὐτῷ τὴν τοῦ τεθρίππου κυρείαν. ἀμελήσαντα δὲ αὐτὸν, καὶ τῶν ἡνίων ἐκ χειρὸς πεσόντων, ἐκπεσεῖν ἐκ τοῦ δίφρου. καὶ πεσόντα ἐπὶ τὴν γῆν τελευτῆσαι. τὰς δὲ ἀδελφὰς αὐτοῦ ἡλιάδας ὀνομαζομένας διὰ τὸ πένθος ὑπερβάλλον. καὶ διὰ τὴν λύπην μετασχηματισθῆναι πάσας αἰγείροις. κλαιούσας δὲ καθ' ἕκαστον ἐνιαυτὸν τεταγμέναις ἡμέραις ἀφιέναι πολλὰ δάκρυα, ἐξ ὧν φασι γίνεσθαι τὸ καλούμενον ἤλεκτρον. Ἠριδανοῖο οὗ ποτ' ἐπὶ προχοῇσιν ἐρήμην ἀνὰ νύκτα Ἡλιάδες κώκυσαν ὀδυρόμεναι Φαέθοντα. καὶ ἔτι δὲ Κελτῶν παῖδες ὑφήμενοι αἰγείροισι, δάκρυ ἀμέλγονται χρυσαυγέος ἠλέκτροιο. Διονύσιος ἐν τῇ περιηγήσει. ἡ δὲ ἱστορία παρὰ Διοδώρῳ.

Ἥλιος, ἡ ἕως, διὰ τὸ ἵεσθαι τὸ ἕως, ἤγουν φέρειν τὸ φῶς. ἕως γὰρ ἡ ἀνατολή.

Ἡλιάδες, αἱ κατάχρυσοι κλῖναι. ἥλιος γὰρ καὶ ὁ θεὸς, καὶ τὸ ἄστρον, καὶ ἡ αὐγὴ, καὶ ὁ τόπος ἐξ οὗ ὁ ἥλιος ἀνατέλλει.

Ἡλιαία, ἐκ τοῦ ὕπαιθρον προκαθημένων τῶν δικαστῶν. ἢ παρὰ τὸ ὑπαίθριον καὶ προυποτίθεσθαι ἥλιον εἶναι. παρὰ τὸ ἡλιοῦσθαι τοὺς ἐκεῖ ἀθροιζομένους. ἡλιαία, ἡ ἐκ πολλῶν συναγωγή. ἡ μεταφορὰ ἀπὸ τῆς θαλάσσης. ὅτι ἐκ πολλῶν συνάγεται. παρὰ τὴν ἅλος γενικὴν, ἅλις ἐπίρρημα. ἐξ οὗ γίνεται κτητικὸν ὄνομα ἁλιά. καὶ ἀπὸ τούτου ἕτερον κτητικὸν, ἁλιαία. ἀφ' οὗ καὶ ἡλιασταὶ λέγονται οἱ ἐκκλησιάζοντες. καὶ ἡλιαστικὸς ὅρκος, ὁ ἐκ συναγωγῆς γινόμενος. ἢ παρὰ τὸ ἁλίζεσθαι τὸ συναθροίζεσθαι, ἁλιαία. καὶ ἡλιαία δὲ ἐστὶ τὸ μέγα δικαστήριον Ἀθηναίων, ἐν ᾧ τὰ δημόσια τῶν πραγμάτων ἐκρίνετο, ἡ βουλὴ συνεστῶσα ἐξ ἀνδρῶν χιλίων. ἡλιάζεσθαι καὶ ἡλιαστὴς ἀπὸ τοῦ ἐν ἡλιαίᾳ δικάζειν.

Ἠλίβατος, δύσβατος καὶ ὑψηλὸς τόπος. μέγας, καὶ ἄβατος. Καὶ πέτραι τ' ἠλίβατοι, μεγάλαι καὶ ὑψηλαί. ἀπὸ τοῦ ἀλιτῶ, ἀλιτόβατος. καὶ συγκοπῇ, ἀλίβατος. καὶ ἐκτάσει, ἠλίβατος πέτρα ἐφ' ἣν ἄν τις βαίνων ἁμαρτάνει καὶ ἀποτυγχάνει. οἱ δὲ δασύνουσι λέγοντες παρὰ τὸν ἥλιον, ἡλιόβατος. ἠλίβατος ὅπου πρῶτον ὁ ἥλιος βαίνει. οὐκ ἐπειδὴ δὲ αὐτοῦ ἡ παράδοσις. ἢ ἀλίβατος, ἧ οὐδεὶς προσβαίνει. ἐκ τοῦ θέλω, συγκοπῇ λῶ. καὶ ἀλῶ ἀλίβατος. ἢ παρὰ τὸ θαλάσσῃ ἁλὶ βαίνουσα, καὶ βεβηκυῖα. Στησίχορος δὲ, τάρταρον ἠλίβατον τὸ βαθὺ λέγει. ἔνιοι ἠλίφατον ἀποδιδόασιν ἡλίῳ φαινόμενον. καὶ Εὐριπίδης ἐν Ἱππολύτῳ. Ἠλιβάτοις κευθμῶσιν, βαθυτάτοις. ἀπὸ τοῦ ἀλιτεῖν τῆς βάσεως.

Ἠλίθιος, ὁ ἀνόητος καὶ μωρός. παρὰ τὸ ἅλιον τὸ μάταιον. ἐκ τοῦ ἅλιος οὖν, ἀλίιος. καὶ πλεονασμῷ τοῦ θ, ἀλίθιος καὶ ἠλίθιος. ἢ παρὰ τὸ ἤλιθα ἐπίρρημα. ὁ πάντα χύδην ποιῶν, καὶ ἀδιακρίτως. ἢ παρὰ τὸ λίθος, πλεονασμῷ τοῦ α. ἢ παρὰ τὴν ἅλα.

Ἤλιθα πολλὴ, ἀντὶ τοῦ μάλα, ἢ πάνυ πολλή. ἔστι δὲ ἐπίρρημα ἀθροίσεως, καὶ σημαίνει τὸ σφόδρα. ἢ ἀθρόως. γίνεται παρὰ τὸ ἅλις ἄλιθα, καὶ ἤλιθα. τάττεται καὶ ἀντὶ τοῦ ματαίως. οἷον, Ἐπέχραον ἤλιθα χερσί. τὸ ματαίως.

Ἡλικία. παρὰ τὸ ἔλω, ἧλιξ ἥλικος ἡλικία. ἢ ἀπὸ τοῦ πάλλω τὸ κινῶ, πάλιξ. καὶ στερήσει τοῦ α θέσει, καὶ ἀποβολῇ τοῦ π, ἧλιξ. ἡλικιῶτις ἡλικιώτιδος. ὁ κανών. καὶ ὅσα ἀπὸ τῶν εἰς ης ἀρσενικῶν μεταπίπτει.

Ἠλιτόμηνος, καὶ ἀλιτήμερος. σημαίνει δὲ τὸν ἑπταμηνιαῖον γεννηθέντα παῖδα, ὥς φησι Καλλίμαχος. Τόν, οὐκ ἔπλησε φέρουσα μήτηρ οἷς ὤδινε μῆνας. τὸ διημαρτηκότα τοῦ καθήκοντος μηνὸς εἰς τὸ τεχθῆναι. ἀλιτεῖν γὰρ τὸ ἀποτυχεῖν καὶ ἁμαρτάνειν. καὶ Ὅμηρος Ἰλιάδος τ. Ἐκ δ' ἄγαγε πρὸ φόως δὲ καὶ ἠλιτόμηνον ἐόντα. διημαρτηκότα τοῦ τελείου ἀριθμοῦ τῶν ἐννέα μηνῶν, ἑπτάμηνος οὖν ἐρυθάς. παρὰ τὸ ἀλίτης, ἀλιτόμηνος. ὡς ποιητής, ποιητοδιδάσκαλος.

Ἧλος. παρὰ τὸ ἵημι τὸ πέμπω. ὁ μέλλων, ἥσω. ἐξ αὐτοῦ ἧλος, ὁ πεμπόμενος.

Ἠλώνη, πόλις. Ὅμηρος. ὅτι ἐκλήθη ὑπὸ Ἡρακλέους ἑάλωσαν οἱ Κένταυροι. καὶ ὑπὸ τοῦ ἥρωος, ἐκτίσθη ἡ πόλις. καὶ οὕτως ὠνόμασται παρὰ τὸ ἐν αὐτῇ ἁλῶναι αὐτούς, ἁλώνη καὶ ἠλώνη.

Ἠλύγη, σκιὰν δηλοῖ, ἢ σκοτίαν.

Ἠλυγέτην. τοῦτο ποιητικόν. ὡς τὸ ἤγανον, τήγανον.

Ἠλσαρβοῦς Ἴβυκος, παρὰ τὸ ἡλάσαρ.

Ἠλύσιον πεδίον, τὸ τῶν εὐσεβῶν χωρίον. παρὰ τὸ λυθείσας σωμάτων ἐκεῖ μένειν τὰς ψυχάς. τοῦ α πλεονάζοντος. ὡς τὸ ἀλαλητός ἀσαφής. ἢ ἐν ᾧ λύονται οἱ τελευτῶντες. ἢ ὅπου διαλύονται αἱ ψυχαί, ἀλλὰ διαμένουσιν ἀπαθεῖς. ἢ ἐν ᾧ λύουσιν, ἐπὶ δέχονται, ἢ ὅπου οὐ διαλύονται αἱ ψυχαὶ τῶν σωμάτων. ἢ ἀλύσιον, ὅθεν οὐκ ἀναλύεταί τις. ἢ παρὰ τὴν ἔλευσιν. ἔνθα οἱ εὐσεβεῖς παραγίνονται. ἠλύσιον οὖν, ἡ μακάρων νῆσος. λέγεται δὲ ἠλύσιον, καὶ ἱερὸν πεδίον περὶ ἔφοδον. οἱ δὲ, περὶ Αἴγυπτον, ἢ Λέσβον. καλεῖται δὲ καὶ ἐνηλύσια. Πολέμων δὲ Ἀθηναίοις φησὶ τὸ κατασκαφὲν χωρίον καλεῖν.

Ἧμα, τὸ ἀκόντισμα. ἀπὸ τοῦ ἵημι τὸ πέμπω. ὁ μέλλων, ἥσω, παθητικὸς ἕμαι. καὶ ἐκτάσει ἧμα. ὡς θέμα, θῆμα, ἐπίθημα. Ἠμάσιν ἔπλευ ἄριστος. καὶ ἥμων ὁ ἀκοντιστής. Ὅμηρος Ἰλιάδος ψ. Καὶ ῥ' ἥμονες ἄνδρες ἀνέσταν.

Ἦμαρ, ἡ ἡμέρα. οὐχ εὗρον τὴν ἐτυμολογίαν. ὡς οἶμαι δὲ ἀπὸ τοῦ ἡμέρα, γίνεται ἦμαρ. κλίνεται ἤματος. ὡς ἧπαρ, ἥπατος.

Ἠμαθίων, υἱὸς Ἠοῦς καθ' Ἡσίοδον. παρὰ τὴν ἠματιδοτικήν. τροπῇ τοῦ τ εἰς θ. ἠματίων, καὶ ἠμαθίων.

Ἠμαθόεις, ψαμμώδης. τραχεῖα. παρὰ τὴν ἄμμον, ἀμαθόεις καὶ ἠμαθόεις. εὐήνεμος. ἢ ἀπὸ Ἀμάθου ποταμοῦ παραρρέοντος τῆς Πύλου ἠμαθόεντος.

Ἠμάλαψε, σημαίνει τὸ ἔβλαψε. Λυκόφρων. παρὰ τὸ ἅμα βλάπτειν.

Ἤμβροτες, ἥμαρτες. ἀπέτυχες. τὸ αὐτὸ δὲ σημαίνει, καὶ τὸ οὐδ' ἔτυχες.

Ἠμεδαπῶν, τῶν ἐκ τοῦ αὐτοῦ ἐδάφους συγγενῶν, ἢ τῆς αὐτῆς χώρας. ἰδίων. ἐγχωρίων. αὐτοχθόνων. δάπεδον γὰρ τὸ ἔδαφος. καὶ τὸ ποδαπὸς, ποίας χώρας ἢ πατρίδος, ἀντίκειται τῷ ἀλλοδαπῷ.

Ἥμενος, καθεζόμενος. ἀπὸ τοῦ ἕω τὸ κάθημαι, γίνεται ἧμαι. τὸ παθητικὸν, ἕεμαι, ἧμαι. ἡ μετοχή, ἥμενος.

Ἡμερίς, Ἡμερὶς ἡβώωσα. ἄμπελος. κληματίς. εἴρηται διὰ τὸ ἡμερῶσαι τὸ τῶν ἀνθρώπων γένος, εὑρεθέντος τοῦ καρποῦ τούτου. ἢ ὅτι οἱ Ἴωνες, ὅταν τι τῶν θηρίων ἢ ὀρνέων ἐκ τῆς θηριότητος μεταστήσωσι, τιθασὸν εἶναι φασί. διὸ καὶ τὰς ὑπό τινων καλουμένας ἀναδενδράδας, ἐπειδὰν ἔκ τινων τόπων ἐρήμων μετενέγκαντες, πρὸς τὴν αὐλὴν φυτεύσωσι, τιθάσους ὀνομάζουσιν, ὡς τῆς ἀγριότητος πεπαυμένας. ἄλλοι δὲ, τὸ ἐξεστηκὸς τοῦ ἀγρίου φασὶ γεγονέναι ἥμερον. τινὲς δὲ λέγουσιν εἶδος δρυὸς αὐτὴν εἶναι. εἶναι γὰρ τὴν μὲν, ἀγρίδα. τὴν δὲ, ἡμερωτέραν. ἣν καὶ ἡμερίδα προσαγορεύουσιν. ἐναντιοῦνται δὲ αὐτοῖς τὸ Ὁμήρου. Τεθήλει δὲ σταφυλῇσιν. ἢ ὅτι ἄγει τις αὐτὴν ὑπὸ ἑλκύσει ἡμεροῦσαν, καὶ οὐκ ἀντισπῶσαν. μήπω δὲ τῆς τομῆς εὑρεθείσης αὐταῖς εἰρπύζον αἱ ἄμπελοι ἀγρίους καρποὺς φέρουσαι. ὡς δὲ εὑρέθη, καθήρατο, καὶ ἥμερον καὶ τὴν ὄψιν καὶ τὸν καρπὸν ἔσχον.

Ἡμέριοι, οἱ ἄνθρωποι. ἀπὸ τοῦ πρὸς ἡμέραν ζῆν.

Ἡμέρα, Ἡσίοδος σωματοποιῶν λέγει. Νυκτὸς δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο. παρὰ τὸ μείρω τὸ μερίζω, γίνεται μέρα. ἡ πάντα ἔχουσα μεμερισμένη. καὶ πλεονασμῷ τοῦ η, ἡμέρα. ἢ ζημέρα, ἡ τὸ ζῆν μέρος ἔχουσα. ἀποβολῇ τοῦ ζ. ἢ ἀπὸ τοῦ ἥμερος, πρὸς ἀντιδιαστολὴν τῆς νυκτὸς φοβερᾶς οὔσης. ἢ παρὰ τὸ ἡμέρους ποιεῖν. ἢ ἀπὸ τοῦ ἕω, τὸ ἀπολύω. ἢ καὶ ἠὼς εἴρηται. ἢ παρὰ τὸ ἵημι τὸ πέμπω. ἡ ἐκπέμπουσα ἡμᾶς πρὸς πάντα. Πλάτων δὲ ὅτι ἱμείρουσιν αὐτῆς οἱ ἄνθρωποι, διετέλουν ἀσχάλλοντες ἐπὶ τῇ σκοτίᾳ τῆς νυκτός. δασύνεται. τὸ δὲ ἦμαρ, ψιλοῦται. τὸ γὰρ ἀπὸ δασέος μετασχηματιζόμενον, ψιλοῦται.

Ἡμερόκοιτος, ὁ κλέπτης. Μή ποτέ σ' ἡμερόκοιτος ἀνὴρ ἀπὸ χρήμαθ' ἕληται. ὁ τὴν ἡμέραν καθεύδων, τὴν δὲ νύκτα ἀγρυπνῶν. τουτέστιν ὁ κλέπτης.

Ἡμερολεγδόν, τὸ καθ' ἑκάστην ἡμέραν ἐξαριθμεῖν.

Ἡμεροδρόμος, ὁ ἥλιος. λέγονται καὶ οἱ ταῖς βασιλικαῖς διατάξεσι τάχιστα διακονούμενοι.

Ἡμεροκαλλές, ἄνθος σπειρόμενον, ὁ Δίδυμος φησίν. οὐκ ἔστι δὲ ἄνθος, ἀλλὰ φοινικοῦν ἔριον διαπεποικιλμένον ᾧ χρῶνται πρὸς τὰς ἱερουργίας Ἀθηναῖοι, ὡς Θεόδωρος ὁ Παμάγης προσαγορεύει ἐν τῷ πρώτῳ περὶ Κηρύκων γένους. λέγεται δὲ ὅτι καλεῖται οὕτω διὰ τὸ πεπλύσθαι καὶ βεβάφθαι ἐν μιᾷ ἡμέρᾳ. κάλλη δὲ προσαγορεύεται τὰ ἄνθη.

Ἡμετέρειος, κτητικόν ἐστι. σημαίνει δὲ τὸν τοῦ ἡμετέρου. ἐχρήσατο δὲ τῇ λέξει Ἀνακρέων. Οὔτε γὰρ ἡμετέρειον οὔτε καλόν. ὑπάγεται δὲ κανόνι τοιούτῳ. τὰ γὰρ διὰ τοῦ ερειος ἀπὸ τῶν εἰς ρος ἐχόντων τὸ τ, τῆς προηγουμένης συλλαβῆς ἐχούσης τὸ ε, διὰ τῆς ει διφθόγγου γράφεται. οἷον, ἀβέλτερος, ἀβελτέρειος. ἑταῖρος, ἑταιρεῖος. οὕτω καὶ ἡμέτερος ἡμετέρειος. τῆς προηγουμένης συλλαβῆς ἐχούσης τὸ ε. τὸ νέρτερος νερτέριος, οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔχει φύσει ἐν τῇ προηγουμένῃ τοῦ τ συλλαβῇ τὸ ε. ἐνερότερος γὰρ ἦν. παρὰ τὸ ἔραν τὴν γῆν. συγκοπῇ τοῦ ο καὶ ἀφαιρέσει τοῦ ε, γίνεται νέρτερος. καὶ λοιπὸν ὡς μὴ ἐχούσης φύσει ἐν τῇ προηγουμένῃ τοῦ τ συλλαβῇ, τὸ ε οὐκ ἠκολούθησε τούτοις.

Ἥμην, ὅτε δασύνεται, σημαίνει τὸ ἐκαθεζόμην. ἀπὸ τοῦ ἕω, ἧμαι, ἕεμαι ἧμαι. ὁ παρατατικὸς, ἥμην. ὅθεν καὶ ἐκαθήμην. ὅτε δὲ σημαίνει τὸ ὑπῆρχον, ψιλοῦται. ἀπὸ τοῦ ἔω τὸ ὑπάρχω. τὸ παθητικὸν, ἔομαι μόνῃ τῇ φωνῇ, τῇ δὲ σημασίᾳ, ἀπέλειψεν. ὁ παρατατικὸς, ἠόμην. καὶ συγκοπῇ, ἥμην. ἢ ἀπὸ τοῦ εἰμί. ὁ παρατατικὸς ἦν. ὁ παθητικὸς ἐνεστὼς, ἔμαι. ὁ παρατατικὸς, ἥμην. ἀπαγορεύεται δέ. πλὴν εὕρηται παρ' Εὐριπίδῃ ἐν Ἑλένης ἀπαιτήσει. οἷον, Ἐγὼ δὲ προδότης οὐκ ἥμην τέκνον. ἀντὶ τοῦ οὐκ ἦν. ζήτει.

Ἥμισυς, παρὰ τὸ ἅμα καὶ τὸ ἴσος, γίνεται ἁμαΐσος. συγκοπῇ, ἄμισος. καὶ κατὰ τροπὴν, ἥμισυς. ὁ ἅμα ἴσος τινί. ἢ τοῦ ὅλου διαιρεθέντος, ἢ τὸ ἅμα ἄλλῳ ἴσον. ὡς ἵππος, ἵππις παρώνυμον, οὕτως ἴσος ἴσις, καὶ ἥμισυς. Ὅμηρος Ἰλιάδος ι. Ἶσον ἐμοὶ βασίλευε, καὶ ἥμισυ μείρεο τιμῆς. ἡμίσεα, ἥμισα. καὶ ἅμα τῇ συγκοπῇ. καὶ ὁ πλεονασμὸς γίνεται. ἥμισσα.

Ἡμικύκλιον. τὰ εἰς υς λήγοντα, ὁπόταν μὴ ἀπὸ γενικῆς, ἀπὸ δὲ εὐθείας συντίθεται, ἀποβάλλει τὸ ς. βραδύς, βραδυκίνος. ὀξυκίνος. λίβυς, λιβυφοῖνιξ. θῆλυς, θηλύμορφος, οὕτως ὤφειλεν ἡμισυκύκλιον. ἀλλὰ δηλονότι κατὰ συγκοπὴν ταῦτα ἐγένετο. ἡμίθεος. ἡμίφωνος. ἡμιμέδιμνον. ἡμίκρεον, τὸ ἥμισυ τῆς κεφαλῆς. καὶ τὸ ἡμιτύμβιον, τὸ δίκροσσον. ἀλλὰ καὶ ὁ Ἄβρων λέγει ὅτι τὰ εἰς υς συντεθέντα, φυλάττει τὸ υ. τὸ δὲ ἥμισυς, ἐκβάλλει τὴν συλλαβήν. Ἡρωδιανὸς περὶ παθῶν.

Ἡμιόλιος. ἡμιόλιος ἐστὶν ἀριθμὸς, ὁ ἔχων ὅλον ἄλλον ἀριθμὸν, καὶ τὸ ἥμισυ αὐτοῦ. καὶ ἡμιολία, τὸ ἥμισυ τοῦ κεφαλαίου. ἡμιολία δὲ πάλαι ἐλέγετο λῃστρικὸν πλοῖον. οὗ τὸ ἡμιόλιον μέρος ψιλὸν ἐρετῶν ἐστι πρὸς τὸ ἀπ' αὐτοῦ μάχεσθαι. Ἀλλὰ καὶ ἁρπάζεις καὶ ἀσελγαίνεις ὥσπερ ἐκ καρικῆς ἡμιολίας ἀποπεπηδηκώς. καὶ ταῦτα υἱὸς ἀνδρὸς ἀεὶ τοὺς νόμους καὶ τὴν δημοκρατίαν βοῶντος.

Ἡμιμέδιμνον. ἡμιμέδιμνον ἐστὶ μέτρον χωροῦν τὸ ἥμισυ μεδίμνου. τουτέστι χοίνικας εἰκοσιτέσσαρας. ἡμίεκτον δὲ, τὸ ἕκτον μέρος τοῦ μεδίμνου. ἐν τῇ ῥητορικῇ. ζήτει εἰς τὸ ἑκτεῖς.

Ἡμιδιπλοΐδιον, γυναικεῖον βραχὺ περίβλημα, ὅπερ ἐνδον φοροῦσιν ὑπὸ τοῖς μηροῖς. ἐν τῇ ῥητορικῇ.

Ἡμίφωνα, ὠνόμασται τινὰ τῶν συμφώνων, οὔτε κατὰ τὴν εἰς δύο ἴσα τομὴν καθ' ὃν τρόπον τὸ ἡμικύκλιον, οὔτε κράσει τινῶν ὡς ἡμίονος. οὔτε κατὰ τὴν τοῦ ποσοῦ μεταβολὴν, ὡς ἡμίχρον καὶ ἡμίεφθον κρέας. ἀλλ' ὥσπερ ἡμιθνὴς καλεῖται ὁ ἐγγὺς τοῦ τεθνάναι, οὕτως ἡμίφωνα τὰ ἐγγὺς ὄντα τῶν φωνηέντων κατὰ τὴν φθέγξιν.

Ἡμύω. ἐκ τοῦ ὑμύω, πλεονασμῷ τοῦ η. ὁ δὲ ἡσίοδος, Ἀμύοντα χαμάζε εἰ πεδία τοῦ α. καὶ ἔστιν εἰπεῖν ὅτι ὥσπερ τὸ σταφὶς, ἔστιν ὀσταφὶς καὶ ἀσταφὶς κατὰ πλεονασμὸν, καὶ τοῦ α καὶ τοῦ ο κατὰ τροπὴν, οὕτω καὶ ἐπὶ τοῦ μύω πλεονάζει καὶ τὸ α καὶ τὸ η. Ἐπὶ τῆς ἡμύει ἀστάχυς. ἐπικατακλίνει δὲ τοὺς στάχυας.

Ἠνεσχέθην. ἀπὸ τοῦ σχῶ σχήμι, σχήσω, ἔσχηκα, ἔσχημαι, ἐσχήθην. καὶ συστολῇ, ἐσχέθην. μετὰ τῆς ἀνὰ προθέσεως, ἀνεσχέθην. ἐκτάσει κατὰ ἀθηναίους, ἠνεσχέθην.

Ἦν. ἀπὸ τοῦ ἔω, ἔεις, ἔει. ὁ παρατατικὸς, ἔον, ἔες, ἔεν. καὶ τροπῇ τοῦ η καὶ ε, ἦν κράσει τῶν εἰς ἕν αὐτὸ τὸ η, ἔστιν ἦν. ἐπειδὴ τὸ μεῖζον, τὸ ἔλαττον ἀναλίσκει. ὥσπερ τῇ ἐμῇ, τῇ μῇ. τὸ πληθυντικὸν, ἦμεν, ἦτε, ἦσαν. τὸ μέντοι ἦν ἐγὼ, παρὰ ἀριστοφάνει ἐν πλούτῳ, γίνεται οὕτως. ἔστιν εἰμί. ὁ παρατατικὸς, ἔιν. τροπῇ τῆς μι εἰς ν. ὥσπερ ἀπὸ τοῦ δίδωμι, ἐδίδων. καὶ ἐκτείνεται τὸ ε εἰς η ἀττικῶς. ὡς τὸ ἔμελλον, ἤμελλον. καὶ ἔστιν ἦν χωρὶς τοῦ ι. τὰ γὰρ εἰς ν λήγοντα, οὐ θέλει ἔχειν πρὸ τοῦ ν τὸ ι ἀνεκφώνητον. τὸ δὲ ἦν ἐκεῖνος, τρίτου προσώπου. ἀπὸ τοῦ ἔω τοῦ ὑπάρχω, ὁ μέλλων, ἔσω. ὁ μέσος παρακείμενος, ἦα. ὁ δεύτερος ἀόριστος, ἦον, ἦες, ἦε. τὸ δὲ ε, ἐφελκυστικόν ἐστι τοῦ ν ἐλλεῖπον. οὕτως ἦε, ἦεν. καὶ κράσει τοῦ ηε εἰς η, γίνεται ἦν. τὸ δὲ ἦεν, οὐδέποτε εὑρίσκεται χωρὶς τοῦ ν. ὅτι δὲ δεύτερος ἀόριστός ἐστι, δῆλον ὅτι ἐῶν οὖσα ἡ μετοχὴ ὡς λιβών. Δεῖ δὲ γινώσκειν ὅτι οὐχ ὁμοφωνοῦσιν ἀλλήλοις. τὸ μὲν γὰρ ἦν ἐγὼ, ἀττικόν ἐστι, καὶ ἀπὸ τοῦ εἰμί. τὸ δὲ ἦν ἐκεῖνος, κοινὸν, καὶ ἀπὸ τῶν εἰς ω. λέγεται δὲ τετραχῶς. λέγεται γὰρ ἦν καὶ ἔην καὶ ἦεν καὶ ἤην παρὰ τῷ ποιητῇ ἐν ὀδυσσείας τ. Καί κεν πάλαι ἐνθάδ' ὀδυσσεὺς ἤην. οὕτω ζηνόδοτος. καὶ ἐν ἰλιάδος λ. Ἵνα σφ' ἀγαθείης ἤην. Ἢν δὲ μηκυνθῇ λόγος. σύνδεσμον, ἀπὸ τοῦ ἐὰν κράσει τοῦ εα εἰς η, γίνεται ἤν. τὸ ἦν ἐγὼ πρώτου προσώπου, τὸ δεύτερον, ἦς. καὶ ἐπεκτάσει, ἔστιν ἦσθα. καὶ ἔστιν ὁριστικὸν, καὶ ι οὐ προσγράφουσιν. οἷον, Χθὲς ἦσθα θεατὴς σημαίνει τὸ ὑπάρχω. εἰ δὲ ἔστιν ὑποτακτικὸν, μετὰ τοῦ ι γράφεται. ὅτε δὲ πάλιν λαμβάνεται ἀντὶ τοῦ ᾔδεισθα, κατὰ συγκοπὴν ἐστὶν ᾖσθα μετὰ τοῦ ι. καὶ τὸ ἦς ὅτε μὲν ἐστὶν ὁριστικὸν, οὐ προσγράφεται τὸ ι. ὅτε δὲ ὑποτακτικὸν, ἔχει καὶ τὸ ι. ἐὰν ὦ, ἐὰν ᾖς, ἐὰν ᾖ. καὶ κατὰ ἐπένθεσιν τῆς σι συλλαβῆς, γίνεται ᾖσι.

Ἠνεμόεσσα. ἐκ τοῦ ἀνεμόεις ἀνεμόεσσα. σημαίνει δὲ τὴν ὑψηλὴν καὶ ὑπὸ ἀνέμων καταπνεομένην.

Ἤνεικα. ἀπὸ τοῦ ἐνέκω, ἐνέξω, ἤνεκα. καὶ πλεονασμῷ τοῦ ι, ἤνεικα. καὶ ἤνεγκα κατὰ τροπὴν βοιωτικὴν τοῦ κ εἰς ξ. ἐπλεόνασε δὲ τὸ ι, διότι πᾶς ἀόριστος μὴ ἔχων σ ἢ ξ ἢ ψ, μακρὰ θέλει παραλήγεσθαι. οἷον, ἔκειρα, ἔνειμα, ἔτειλα.

Ἤνεγκα, ζήτει εἰς τὸ ἐνέγκαι.

Ἠνίπαπε. Καί μιν ὑπόδρα ἰδὼν, χαλεπῷ ἠνίπαπε μύθῳ. ἀντὶ τοῦ ὕβρισεν. ἐλοιδόρησεν. ἐκακολόγησεν. ἀπὸ τοῦ ἔπω τὸ λέγω, ἔστιν ἐνέπω, καὶ ἐνείπω. καὶ κατὰ μέσον διπλασιασμὸν, ἐνιπάπω, καὶ ἠνείπαπεν. Ἰστέον ὅτι παρακείμενος ἐστίν. ὁ γὰρ ἐνεστὼς, ἐνίπτω ἐστί. κυρίως τὸ διὰ λόγων ἐπιπλήσσω. ὁ μέλλων, ἐνίψω. ὁ παρακείμενος, ἤνιφα. ὁ μέσος, ἤνιπα. καὶ ἐπεκτάσει τῆς πα συλλαβῆς, ἔστιν ἠνίπαπε.

Ἦνις. Ἤνις ἠκέστας. ἐνιαυσιαίας βοῦς. νέας. καὶ, Βοῦν ἦνιν εὐρυμέτωπον. ἐνιαυσιαίαν. νέαν. ἔνος γὰρ ὁ ἐνιαυτός. ἀφ' οὗ παρώνυμον, ἔνις. καὶ κατὰ ἔκτασιν, ἦνις. κλίνεται ἤνιος. ὡς ὄφιος. ἡ εὐθεῖα τῶν πληθυντικῶν, ἤνιες. καὶ ἐν συναλοιφῇ, ἦνις. καὶ ἡ αἰτιατικὴ, ἤνιας καὶ ἦνις, τὰς ἐνοσούσας ἐνιαυτοῦ. ἔνιοι δὲ ἐπὶ ἡλικίαν βοὸς τάττουσιν, ὡς τὸ μόσχος καὶ ἡ πόρτις καὶ ἡ δάμαλις. καὶ γὰρ ὁ ποιητὴς ἐπὶ βοῶν μόνον τάττει τὴν λέξιν. ἢ κατὰ τὴν ἔλλειψιν τοῦ α στερητικοῦ, ἵν' ᾖ ἄνηνις ὁ μηδέπω ζευχθεὶς, καὶ ἡνία δεξάμενος. ἠκέστας δὲ, ἀντὶ ἀδαμάστους. ἀκεντήτους. ἀκεντρίστους. ἀνοχεύτους. παρὰ τὸ κεντῶ βαρύτονον. ὁ μέλλων, κένσω. ὁ παθητικὸς παρακείμενος, κέκεσται. κεστὸς καὶ ἀκεστός. καὶ θηλυκὸν, ἀκέστη. ἀκέντητος βοῦς. καὶ τροπῇ, ἠκέστη. ἡ αἰτιατικὴ τῶν πληθυντικῶν, ἠκέστας. ἢ ἀπὸ τοῦ κένσω κεστὸς, ἀποβολῇ τοῦ ν.

Ἡνία, λῶρα. χαλινοί. παρὰ τὴν ἕνωσιν. ἑνοῦται γὰρ δι' αὐτῶν τὰ ὑποζύγια. ἢ ἐκ τοῦ ἐνίεσθαι ἢ ἀνίεσθαι. ἢ ἀπὸ τοῦ ἀνύω, δι' ἧς ἀνύομεν τοὺς ἵππους πρὸς τὴν εὐθεῖαν ὁδόν. ἢ παρὰ τὸ εἴσειμος, ἐνία καὶ ἡνία. ἢ παρὰ τὸ ἥνυσω μέλλοντα.

Ἡνίοχος, κυρίως ὁ τὰς ἡνίας ἔχων. εἴρηται δὲ καὶ ἐπὶ τοῦ παραβάτου. τὰ δὲ παρὰ τὸ ἔχω γινόμενα, εἰ μὲν τὴν ου δίφθογγον παραλήγεται, πρὸ μιᾶς ἔχει τὸν τόνον. οἷον κληδοῦχος, καὶ τὰ ὅμοια. εἰ δὲ παραλήγεται τῷ ο, προπαροξύνεται. οἷον αἰγίοχος. λιμενίοχος. ἐκ τοῦ ἀνύω, ἀνυοχήνιον. διὰ γὰρ τῶν λώρων τῶν ἵππων, ἀνύομεν τὰς ὁδούς.

Ἡμῖν, ἀντωνυμία. ἔστι δὲ διαλέκτου ἰδίου δωρικῆς. συστέλλει γὰρ αὐτὴν καὶ ὀξύνει. αἱ ἀντωνυμίαι γὰρ δὴ νίκα μὲν ὁρισμὸν δηλοῦσι, μένουσιν ἐν τῷ αὐτῷ τόνῳ. Ἥμιν δὲ τόδ' ἔφηνε. καὶ, Ὕμιν δὲ νεμεσσῶμαι. ὅτε δὲ ἀπόλυτον ἔχει τὸ σημαινόμενον, ἐγκλίνεται. Ὄφρ' ἥμιν ἑκάεργον. Ἐν δ' ὕμιν δαΐ τάραξῃ. Εἰ δ' ὕμιν δοκέει τόδε λωίτερον.

Ἦνοψ, ὁ λαμπρός. καὶ ἤνοπι χαλκῷ. παρὰ τὸ ὄπτω, ὄψω, ὄψ. καὶ συνθέσει, ἔνοψ καὶ ἦνοψ, ἐν ᾧ ἐστιν ἐνοπτρίσασθαι καὶ ἰδεῖν. παρὰ τὸ αὐτῷ ὁρᾶν τοὺς ὦπας. λαμπρὸς γάρ. ἢ παρὰ τὸ ἔπω τὸ λέγω, ἔψω, ἔψ, καὶ ὄψ. ὡς κλέπτω, κλέψ, κλόψ, καὶ κλώψ. καὶ βλέψω, βλέψ, βλόψ, καὶ βλώψ. καὶ ἰδίως τὰ παρὰ τὸ ὄψομαι ῥηματικὰ ὀνόματα, τὸ ο εἰς ω τρέπει. οἷον, τύφλωψ, κύκλωψ. δύναται οὖν καὶ τὸ ἦνοψ χαλκὸς εἶναι, παρὰ τὸ ὄψ ὅ ἐστι τὴν φωνήν. φωνητικὸς γὰρ παρὰ τὰ ἄλλα τῶν μετάλλων ὁ χαλκός.

Ἠνορέη, ἡ ἀνδρεία. οὐκ ἔστιν ἀπὸ τοῦ ἀνὴρ ἀνέρος, ἀλλ' ἀπὸ τοῦ εὐήνωρ. ἀφ' οὗ παράγωγον ἐν τυπωτικῷ τοῦ ἠνορεία καὶ εὐηνορεία. καὶ ἀποβολῇ τοῦ ι, ἠνορέα, καὶ εὐηνορέα. τὸ δὲ εὐήνωρ, ἀπὸ τοῦ ἀνήρ. ὁ γὰρ σύνθετον θέλει τρέπει τὸ α εἰς η, καὶ τὸ η εἰς ω. τὸ γὰρ εὐφάνωρ, καὶ νικάνωρ, δωριάζουσιν. ἔδει γὰρ εἶναι εὐφήνωρ καὶ νικήνωρ.

Ἤνυστρον, τὸ μέρος τῆς κοιλίας, ὅθεν διανύεται ἡ τροφή, ἤγουν διέρχεται. ἢ ἔνθα διανύεται καὶ πέττεται. ὅτι εἰς γ' τέτμηται ἡ γαστήρ. ἤνυστρον. ἐχῖνον. καὶ κεκρύφαλον.

Ἤνερθε. καὶ διπλόος ἤνερθε θώρηξ, ἀντὶ ῥητορική. τα. ὑπένερθε. Ἰστέον ὅτι οἱ παλαιοὶ θώρακας ἐφόρουν. ἕνα μὲν ἀπὸ τοῦ ὤμου μέχρι τοῦ ὀμφαλοῦ, ὃς καὶ κυρίως θώραξ. ἄλλον δὲ ἀπὸ τοῦ ὀμφαλοῦ, ἄχρι τῶν γονάτων, ὃς ζῶμα ἐκαλεῖτο. οὕτως ὠνομάσθη διὰ τὸ ῥᾳδίως κύπτειν εἰς γῆν. τὸ δὲ ἤνερθε χεῖρον. ἐγὼ δέ φημι οὕτω γεγονέναι. ἐκ τοῦ ἔω τὸ ἐνδύομαι ἢ ὑπάρχω, παράγωγον ἕημι. ὁ μέλλων, ἥσω. ὁ δεύτερος ἀόριστος, ἦν. ὁ μέσος, ἕμην. τὸ δεύτερον, ἕσο, ἕτο. τὸ γίνεται μετὰ τῆς ἐν προθέσεως, ἔνερθε. εἶτα πλεονασμῷ τοῦ η καὶ ἐκτάσει, ἤνερθε.

Ἧπαρ, παρὰ τὸ ἐπαίρεσθαι καὶ κεκυρτῶσθαι. ἢ παρὰ τὸ ἐπιδεύειν τῷ σώματι καὶ χορηγεῖν τὸ αἷμα. ἢ παρὰ τὸ ἐπαίρεσθαι ἔπαρ, καὶ ἧπαρ. ἢ παρὰ τὸ ἥδω τὸ εὐφραίνομαι, ἥδαρ καὶ ἧπαρ. δι' αὐτοῦ γὰρ εὐφραινόμεθα. καὶ ἐν τούτῳ τῷ μέρει τὰ τῆς ἡδονῆς καὶ τὰ τῆς ἐπιθυμίας ἔγκειται.

Ἠπανία, ἀπορία. σπάνις. ἀμηχανία. ὡς κόνις κονία, οὕτω σπάνις σπανία. καὶ ἀποβολῇ καὶ πλεονασμῷ. ἢ παρὰ τὸ πένω τὸ ἐνεργῶ, πενία. καὶ κατὰ στέρησιν, ἀπενία. ἐπεὶ οἱ μὴ ἐργαζόμενοι ἀποροῦσιν. ἵν' ᾖ ἀεργασία κυρίως. κατὰ ἀντίθεσιν τοῦ αε εἰς τὸ ηα. κἀπὸ τοῦ αἴνω βαρυτόνου τὸ λαμβάνω, ὃ καὶ ἀπαίνω καὶ ἀπαινύω καὶ ἀπαίνυμι παράγωγον. ἀπαίνω οὖν ἀπανῶ ἀπανίζω, ὡς κυρῶ κυρίζω. καὶ τροπῇ ἠπανίζω. ἐξ οὗ ἠπανία. ὁ γὰρ μὴ λαμβάνων σπανίζει.

Ἠπεδανὸς, ἀσθενής, ἠλίθιος. ἀναίσθητος. ἀσύνετος. ἔστι παρὰ τὸ πέδον ὅ ἐστι τὴν γῆν πεδανός. καὶ κατὰ στέρησιν, ἀπεδανός. ὁ μὴ βέβαιος, ἀλλ' ἀσθενής. ὁ ἐκ τῆς γῆς μὴ ἀναστῆναι. ἢ ἐν τῇ γῇ στῆναι δυνάμενος διὰ ἀσθένειαν. τὸ γοῦν ἐναντίον, ἔμπεδον. βέβαιον. καὶ ἰσχυρόν. τὰ γὰρ ἐπὶ τοῦ πέδου βεβηκότα, καὶ ἑδραῖα.

Ἠπεροπευτής, ὁ ἀπατεὼν καὶ ὑπερήφανος. παρὰ τὸ ἥμερον καὶ τὸ ὄπα, ἡμεροπευτής. ὁ ἡμέρῳ ὀπὶ χρώμενος. ὁ διὰ τοῦ ἡμέρου ὀπὸς ὅ ἐστι φωνῆς ἀπατῶν. ἢ ἠπεροπευτής τις ὤν. καὶ πλεονασμῷ τοῦ α καὶ ἀποβολῇ τοῦ ι, ἀπεροπευτής. ὁ διὰ τῆς φωνῆς ἀπατῶν καὶ παρέρων τὰ γύναια, ὅ ἐστι προσκαλούμενος. τὸ γὰρ προσκαλεῖσθαι τὰ γύναια παρᾶν ἔλεγον. ἀριστοφάνης. παρᾶ μέν ἴσως σου κατὰ τῶν τιτθίων ἐφάπτεται. ἢ παρὰ τὸ ἔπω τὸ λέγω γίνεται ὀπὸς. ὡς φέρω φορὸς, καὶ ἔχω ὀχὸς. καὶ μετὰ τοῦ α τοῦ σημαίνοντος τὸ καλὸν. ὁ καλῷ λόγῳ χρώμενος καὶ ἀπατῶν τινά. ἢ μετὰ τοῦ α τοῦ σημαίνοντος τὸ κακὸν καὶ τοῦ περ παραπληρωματικοῦ συνδέσμου, ἀπεροπεύς. ὁ τῷ λόγῳ κακῶς χρώμενος καὶ ἀπατῶν. οἷον, Ἅ τε μὲν καὶ ἐπίκλοπον ἀπεροπέα. καὶ παρὰ ἀνακρέοντι. βούλεται ἀπεροπός ἡμῖν εἶναι. καὶ θηλυκὸν, ἀπεροπή. κάστος, οὐδὲ προσλαλῆσαι ἡμῖν θέλων. ἢ ὁ ἀπρόσβλεπτος καὶ οὐδ' εἰς ὄψιν ἐλθεῖν θέλων. ἀπὸ τοῦ ὀπὸς οὖν, καὶ ἠπεροπός. Ἦμος δ' ἠεροπῆας ἀπεπλοίησεν ὀνείρους ἠέλιος ἀνασχών. ἐκ τοῦ ῥήματος τοῦ ἠπεροπῶ ἠπεροπεύω. καὶ ἠπεροπευτής.

Ἤπειρος, ὅ ἐστι τὴν γῆν. ἄπορός τις οὖσα, ἡ μὴ ἔχουσα πόρους ὡς πρὸς σύγκρισιν τῶν νήσων. αὗται γὰρ εὐδιείλοι εἰσὶ καθ' ὃ μεμερισμέναι εἰσὶ τῇ θαλάσσῃ. λέγεται ποτὲ μὲν εἰς ἀπέραντον διήκουσα γῆ. οἷον, Ἐριβώλακος ἠπείροιο. καταχρηστικῶς δὲ πᾶσα ἡ γῆ. Ἐκ δὲ πόντου βάς ἰοειδέος ἤπειρόνδε. δὲ τὸ μὲν ἀπειρηθεν νέες ἦγαγον. ἀντὶ ἠπειρόθεν. καὶ ἔδωδε ἡ ἐν ἠπείρῳ ἀγέλαι. καὶ ἐν τῷ καταλόγῳ περὶ αὐτῆς, Οἵ δ' ἤπειρον εἶχον.

Ἠπίαλος καὶ ἠπιάλης καὶ ἠπιόλης. σημαίνει τὸν ῥιγοπύρετον, καὶ δαίμονα τοῖς κοιμωμένοις ἐρχόμενον. ὡς ὅμηρος. καὶ οἱ πλείους, ἠπιόλης λέγουσι διὰ τοῦ η. πλὴν διαφόρως ἐχρήσαντο τῇ λέξει. εἴρηται κατὰ ἀντίφρασιν, ἤπιος. ἐπαχθὴς γάρ ἐστιν. ἢ παρὰ τὸ πέμπεσθαι ἀπὸ τοῦ σώματος. ἀπίαλος, ἀπὸ τοῦ ἀπιέναι. ἢ ὁ ὀφείλων ἀπιέναι. ὁ δὲ ἀλκαῖος ἠπίαλον αὐτὸν ἔφη. ἀπολλώνιος δέ φησι τὴν ἐπιάλτην, ἠπιάλην καλεῖσθαι. καὶ τροπῇ τοῦ α εἰς ο, ἠπιόλην.

Ἤπιος. οὕτω πρότερον ἐκαλεῖτο ὁ ἀσκληπιός. ἢ ἀπὸ τῶν τρόπων, ἢ ἀπὸ τῆς τέχνης καὶ τῆς τῶν χειρῶν ἠπιότητος. ᾧ καὶ γυναῖκα παραδιδόασιν ἠπιόνην. δοκεῖ ἐξ ἧς αὐτῷ γενέσθαι ἰάσονα. πανάκειαν. δεξιῶν, ἐν ὑπομνήματι λυκόφρονος. ἢ ἤπιος ὅ ἐστι κυρίως τὸν λογισμόν. παρὰ τὸ ἔπω τὸ λέγω, ἔπιος καὶ ἤπιος. ὁ ἐν λόγῳ πάντα ποιῶν καὶ μὴ πάθει. ἐκ μεταλήψεως δὲ καὶ ὁ διὰ λόγου προσηνὴς καὶ πρᾶος, καὶ ἠπιώτατος. ὁ ἐν λόγοις πραότατος καὶ ἥσυχος.

Ἠπιόδωρος, ἡ τοῦ ἕκτορος μήτηρ ἑκάβη. ἡ τὰ προσηνῆ καὶ ἡδέα δωρουμένη κατὰ τὴν παιδοτροφίαν.

Ἦπου. τοῦτο ἄρχει μὲν λόγου ὡς παρὰ ἡροδότῳ. Ἦ που ἀνώξει εἶναι λακώνων ἐθαύμασα. καὶ ὅμηρος. Ἦ που καγχαλόωσιν. ἀντὶ οὕτως δή. ὅτε δὲ ὑποτέτακται, ἀνταποδίδοται τινὶ προκειμένῳ. ἀνταποδίδοται δὲ διχῶς. ὅτε μὲν οὕτως. Εἰ δὲ μὴ πιστεύω τῷ δεσπότῃ, ἦ που

πιστεύσαι μᾶλλον τῷ θεράποντι. ὁ τε δὲ κατὰ τοῦ ὑμναγίου. οὐ εἰ ὁ θεράπων ἐστί μοι πιστός, ἢ πῶς ὁ δεσπότης αὐτοῦ ἂν εἴη ἄπιστος. βαρύνεται δὲ ἂν πολλῷ πλέον. καὶ γὰρ ἂν ἴσως σχεδὸν

Ἠπύη, ἡ φωνὴ καὶ κηρύσσει. παρὰ τὸ ἔπω τὸ λέγω. παράγωγον, ἠπύω, ὡς πλήθω πληθύω. καὶ τὸ ποιητικὸν τὸ ε εἰς η, ἠπύω. ἐξ οὗ ἠπύτης ὁ μεγαλόφωνος καὶ κηρυκτικός.

Ἠπύρη, ὄρος Θράκης. ὅτι πρωτεῦσα διὰ τὸν φόνον τῶν παίδων ἀναβὰς αὐτὸ πῦρ, ἤπυε τοῖς θεοῖς αὐτὸν τὸν Αἰγύπτιον ἀποκαυγάσησαι. ἀπὸ τοῦ ἠπύσαι, ἠπύρη.

Ἥρα, ἡ θεός. ὅτι ἡ αὐτὴ τῷ ἀέρι ἐστίν. ὥσπερ γὰρ πατὴρ πάτρα, καὶ μήτηρ μήτρα, οὕτως ἀήρ, καὶ καθ᾽ ὑπέρθεσιν ἥρα. ἢ ὅτι ἠέρα αὐτὴν ἔτεκεν. ὥσπερ γὰρ ἡ θέτις ὁ Κρόνος, ἐκέλευσε δεῖξαι τὸ παιδίον. ἢ ὅτι παρὰ τὴν Κρόνου ἠέρα ἐπεδιωκομένη, ἀπὸ τύχης παρῶν τὰ ἔτικτε τὴν Ἥραν. τὸ δὲ διὰ ἐπὶ ἐν γαστρὶ εἶχεν. ὁ δὲ Κρόνος ὡς ἦν ἐκεῖ παραπορεύεται, καὶ ἐκέλευσε δεῖξαι τὸν παῖδα. ὡς δὲ εἶδεν, ἐκέλευσεν ἆραι καὶ ἐκτρέφειν. οἱ δὲ Κρῆτες, τὸ ἆραι ἦραι φασί. καὶ Ἥραν ὠνόμασαν αὐτήν. ἢ παρὰ τὸ ἔραν. σημαίνει δὲ τὸ σεμνοειδῆ θεόν. ὡς τό, Ἥρη μὴ δὲ πάντας ἐμοὺς ἐπιέλπεο μύθους εἰδήσειν. σημαίνει καὶ τὴν χάριν καὶ τὴν ἐπικουρίαν.

Ἠράσθην, ἀπὸ τοῦ ἐράζω γίνεται. ὡς πειράζω, ἐπειράσθην. καὶ πελάζω, ἐπελάσθην. οὐ γὰρ ἀπὸ τοῦ ἐρῶ ἐράσω γίνεται. ὤφειλε γὰρ εἶναι ἐράθην. ὡς φυρῶ, φυράσω, ἐφυράθην. μακροῦ ὄντος τοῦ α. διὸ τὸ βοῶ ἧ τεχνολογία.

Ἡρακλῆς, ὁ ἥρως. οὐ παρὰ τὸ ἐκ τῆς Ἥρας τὸ κλέος ἐσχηκέναι ὡς οἱ πολλοὶ λέγουσιν, ἀλλὰ μᾶλλον παρὰ τὸ ἀπὸ τῆς Ἥρας ἀκλεᾶ εἶναι. ὅσον γὰρ κατὰ τὴν Ἥραν ἄδοξος ἦν. μικροῦ γὰρ αὐτοῦ ὄντος, ἐπ᾽ αὐτὸν ἔπεμψεν Ἥρα δράκοντας ὀφείλοντας ἀνελεῖν αὐτόν, οὕσπερ αὐτὸς ἐφόνευσεν. ἢ παρὰ τὴν ἔραν καὶ τὸ κλέος. ὁ ἐν τῇ γῇ ἔνδοξος. ἢ ὅτι ἄλλος ἐκλήθη τῆς καλουμένης ἐν τῷ κατὰ γίγαντας πολέμῳ, ἀνώνυμον ἕνα τῶν γιγάντων Πορφυρίωνα ἐπεὶ χολούμενον Ἥρᾳ φονεύσας, Ἡρακλῆς ὠνομάσθη. ἄλλοι δὲ παρὰ τὴν Ἥραν τὴν σημαίνουσαν τὴν μετὰ τῆς ἐπικουρίας χάριν καὶ τὸ κλέος, γέγονεν Ἡρακλῆς. πρὸ τούτου γὰρ Ἀλκείδης ἐκαλεῖτο. ἀλλ᾽ ἐκ τοῦ πᾶσι βοηθεῖν, ἐκλήθη Ἡρακλῆς, ὡς καὶ ὁ χρησμὸς δηλοῖ λέγων, Ἡρακλέην δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει. ἥρα γὰρ ἀνθρώποισι φέρων κλέος ἄφθιτον ἕξεις. καὶ ἀπὸ τοῦ ἥρα ὃ σημαίνει τὸν δαίμονα καὶ τὸ κλέος, γίνεται Ἡροκλῆς, ὡς Ἡρόδοτος. ὁ Θεόφιλος. καὶ ἀπὸ τοῦ Ἡροκλῆς, γίνεται Ἡρακλῆς κατὰ τροπὴν τοῦ ο εἰς τὸ α συνεσταλμένον. ὡς αὐτοῦ ποδονίπτρα, ποδάνιπτρα. ἢ ὅτι ἥρα τὰ κλέους, καὶ τῆς ἥρας ἐστίν. ἀλλ᾽ ἐστιν εἰπεῖν ὅτι ἀπὸ τῆς ἥρας καὶ τὰ κλέος διατί μὴ ὀξύνεται. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ης ὀνόματα ὑπὲρ μίαν συλλαβὴν ἀδιαίρετα, ἐν τῇ συνθέσει φυλάττει τὸν τόνον τοῦ ἁπλοῦ. οἷον, λῃστής, ἀρχιλῃστής. δυνάστης, μισοδυνάστης. εὑρετής, ἐφευρετής. χωρὶς τοῦ κριτής, καὶ ἀληθής. ταῦτα γὰρ ἐν τῇ συνθέσει, ἀναβιβάζουσι τὸν τόνον. οἷον, ὀνειροκρίτης. φιλαλήθης. ὑπὲρ μίαν συλλαβὴν εἶπε, διὰ τὸ κρής, ἐτεόκρης. καὶ γύης, ἑτερόγυης. τὰ γὰρ μονοσύλλαβα ὀνόματα, ἐν τῇ συνθέσει ἀναβιβάζουσι τὸν τόνον. οἷον, χθών, αὐτόχθων. θρᾷξ, Σαμόθραξ. παῖς, εὔπαις. χωρὶς τοῦ πτώξ, πολύπτωξ. οὐκ ἀντίκειται ἡμῖν τὸ Ποσειδῶνος ὑπόδμως. περιέλκουσαν γὰρ ἔχει τὴν ὑπὸ πρόθεσιν. ἔστι γοῦν εἰπεῖν ὅτι τῷ λόγῳ τῶν κυρίων ἐβαρύνετο. τὰ γὰρ εἰς ης κύρια, ἀποστρέφεται τὴν ὀξεῖαν τάσιν. καὶ ἢ βαρύνονται, ἢ περισπῶνται, χωρὶς τῶν παρασεσημειωμένων. εἰσὶ δὲ ταῦτα. εὑρετής. εὐμενής. εὐσεβής. εὐτυχής. εὐπρεπής. νημερτής. διοτρεφής. ψευδής. καὶ ἀπὸ τὸ συνήθεις, καλοετής. δεῖ γινώσκειν ὅτι τὸ κριτής μετὰ προθέσεως, ὀξύνεται. οἷον, προκριτής. παρακριτής. ὑποκριτής. μετὰ ὀνόματος δὲ ἀναβιβάζει τὸν τόνον. οἷον, δικαιοκρίτης. ἀναβιβάζει δὲ ἐπειδὴ παράλογός ἐστιν ἐν ἁπλότητι ἡ ὀξεῖα τάσις. ὤφειλε γὰρ βαρύνεσθαι, ἐπειδὴ τὰ εἰς της δισύλλαβα φύσει ἀρσενικὰ βαρύνονται. οἷον, δότης. πλύτης. κράτης. ψάλτης. φύσει δισύλλαβα εἶπε, διὰ τὸ λῃστής. τοῦτο γὰρ ἀπὸ τρισυλλάβου τῆς λῃϊστής. ἀρσενικά, διὰ τὰ θηλυκά. ἐπεὶ οὖν τὸ κριτής παραλόγως ὀξύνεται, τούτου χάριν ἐν τῇ συνθέσει τὸν ὀφειλόμενον τόνον ἀναδέχεται. τὸ δὲ ἀληθής, ἀνεβίβασε τὸν τόνον ἐν τῇ συνθέσει. ἐπειδὴ τὰ διὰ τοῦ ηθης σύνθετα ὁμοίως βαρύνεται. οἷον, ἦθος, εὐήθης. συνήθης. κακοήθης. τούτοις συνεξηκολούθησε καὶ τὸ φιλάληθες. παναληθές. τὰ εἰς της ἔχοντα τὴν παραλήγουσαν εἰς ἀμετάβολον λήγουσαν, ἀπρόσληπτα ὄντα τοῦ ς κατὰ τὴν γενικήν, βαρύνεται, εἰ μὴ εἴη μετοχικά. ὑφάντης. ἀγύρτης. εὐφάντης. τὸ δὲ ἐθελοντής, ἐθελοντής, μετοχικά. παρὰ δὲ Ἀττικοῖς, ὀξύνεται τὸ καθαρτής. ἀμυντὴς ἀντὶ τοῦ βοηθοῦ. φαιδρυντής. ποικιλτής. καλλυντής. ῥαντής. ὅτι οὐκ ἔχει τὴν πρώτην συλλαβὴν εἰς φωνῆεν λήγουσαν. τὰ γὰρ εἰς της λήγοντα ἀρσενικὰ καθαρὸν ἔχοντα τὸ τ, βραχείᾳ παραληγόμενα ὑπὲρ δύο συλλαβὰς βαρύνεται καὶ ἁπλᾶ ὄντα. οἷον, ἰξιβάτης. ἀρέτης. ἐργάτης. σεσημείωται τὸ εὑρετής. τὸ μὲν φιλυριστής, λεπιστής, χλευαστής, ὀξύνεται, ὅτι οὐ καθαρὸν ἔχει τὸ τ. τὸ ἀθλητής, μαχητής, μαθητής, ὅτι οὐ βραχεῖαν ἔχει τὴν παραλήγουσαν.

Ἡράκλεις, ἐπίφθεγμα θαυμαστικόν. ἀντὶ τοῦ ὦ τοῦ θαύματος. Λουκιανός. ἡράκλεις. χρυσοῦς αὐτῷ Ὅμηρος. ἔστι δὲ κλητικὴ συναλοιφῇ ἀπὸ τοῦ Ἡράκλεες τοῦ ἐντελοῦς. ὃ κατὰ συγκοπήν, γίνεται Ἡράκλες χαλκεοζονε. βίης Ἡρακληείης, ὡς Ἰφικληείης. ἀπὸ τοῦ Ἡρακλῆς, γίνεται Ἡρακλέος κτητικόν. τὸ θηλυκόν, Ἡρακλείη. Ἡρακλεία χείρ. καὶ κατ᾽ ἐπένθεσιν τοῦ η πρὸ τῆς ει διφθόγγου, γίνεται Ἡρακληείη. τὸ γὰρ η, οὐδέποτε μετὰ τὴν ει δίφθογγον πλεονάζει, ἀλλὰ πρὸ αὐτῆς. μᾶλλον δὲ μετὰ τὸ ι πλεονάζει.

Ἤραθεν. παρὰ τὸ ἔραν, γίνεται αἶρα ζει πολλάκις τὸ ι θεν. καὶ κατ᾽ ἔκτασιν, ἤραθεν.

Ἤρανος, βασιλεύς, ἢ βοηθός. παρὰ τὴν ἔραν τὴν μετὰ τῆς ἐπικουρίας χάριν. γίνεται δὲ ἀπὸ τοῦ ἔρως, ἔρανα καὶ ἤρανα. Ὅμηρος. Ὀμθύμοι ποδάνιπτρα ποδῶν ἐπιήρανα θυμῷ, ἀντὶ τοῦ ἐράσμια καὶ καταθύμια. τοῦτο δὲ τὸ ἐπιήρανα κατὰ συγκοπὴν ποιεῖ τὸ ἐπίηρα. ἀπὸ γοῦν τοῦ ἐρῶ, ἔρανον. ὡς κόπτω, κόπανον. πέπτω, πόπανον. ἔχω, ὄχανον. καὶ ἤρανος, ὁ ἐράσμιος.

Ἠρᾶς, ὄνομα κύριον γραμματικοῦ. οὐ φέρεται ἀμείβοντας καὶ εἴρηται παρωνύμως. ἀπὸ τῆς Ἥρας, Ἡρέας. καὶ ἐν συναιρέσει, Ἡρᾶς. ὡς Βορέας, Βορρέας. πλεονασμῷ τοῦ ρ καὶ συναιρέσει, Βορρᾶς.

Ἡραῖον τεῖχος, χωρίον ἐν Θράκῃ. ὑπὸ Σαμίων δὲ ᾠκίσθη.

Ἠρδάλωσε. Φιλήμων Αἰγύπτιος θοἰμάτιον ἠρδάλωκέ μου, ἀντὶ τοῦ ἐβόλωσεν. ἐμόλυνεν.

Ἠρεμία, ἡσυχία. ἀπὸ τοῦ ἤρεμος, ἠρεμία. ὡς ἥσυχος, ἡσυχία. ἔστιν ἔρημος ἐρημία. καὶ καθ᾽ ὑπέρθεσιν, γίνεται ἠρεμία. ἢ ἀρεμία, καὶ κατὰ συγκοπὴν καὶ τροπήν, ἠρεμία.

Ἤρεμα, ἡσύχως. ἀπὸ τοῦ ἀτρέμας. κατὰ ἀποβολὴν τοῦ τ καὶ τροπὴν τοῦ α εἰς η, ἤρεμα.

Ἡρεσίδες, αἱ ἱέρειαι τῆς ἐν Ἄργει Ἥρας. ἀπὸ τῆς Ἥρας. ἢ παρὰ τὸ ἀρύσω μέλλοντα. ἀρυσίδες, αἱ ἀρυόμεναι τὰ λουτρά.

Ἤρινον, σημαίνει τὸ ἔσχιζον. Ἡσίοδος. Ἤρινον χθόνα δῖαν.

Ἤρεον. ὑπήρεον, ὑφήρουν. ἐλάμβανον. ἀπὸ τοῦ περισπωμένου. καὶ δασύνεται.

Ἠρήκαμεν, ἤρημεν, διὰ τοῦ η γράφεται. Ἡρωδιανὸς περὶ παθῶν.

Ἠρήρει. ἀπὸ τοῦ ἐρείδω.

Ἠριγένεια, ἡ πρωὶ ἢ τὸ ὄρθρον γινομένη ἡμέρα. ἢ ἡ ὑπὸ τοῦ ὄρθρου γινομένη. ἀπὸ τοῦ ἦρι καὶ τοῦ γένω.

Ἦρι μάλα, ὄρθρου πάνυ. τὸ πρωί. ἕωθεν. ἀπὸ τοῦ αἱρεῖσθαι ἡμᾶς τῆς κοίτης κατὰ τὸν καιρὸν τοῦτον. τὸ δὲ ἦρι, ὀνοματικὸν ἐπίρρημα. ἀπὸ τοῦ ἀήρ ἀέρος ἀέρι. καὶ κατὰ κρᾶσιν, ἦρι. τὸ δὲ ἀέρι, καὶ διὰ τοῦτο ἠέρι φησὶν ὁ ποιητής. Ἠέρι γὰρ κατείχετο.

Ἦρος. ἐκ τοῦ ἔαρ ἔαρος, γίνεται κατὰ κρᾶσιν ἦρος. τὸ δὲ ἔαρ, ἐν συναιρέσει γίνεται ἦρ.

Ἠρία, καὶ ἤρια. ὁ διάφορος τόνος, διάφορον ποιεῖ καὶ τὴν σημασίαν. προπαροξυτόνως, σημαίνει τὰ ἔρια. καὶ κατ᾽ ἔκτασιν, ἤρια. παροξυτόνως δέ, τοὺς τάφους. παρὰ τὴν ἔραν. τὸ γὰρ παλαιὸν ἐν τοῖς κοιλώμασι τῆς γῆς ἔθαπτον, μήτε σιδήρῳ μήτε χαλκῷ κεχρημένοι. ἢ παρὰ τὸν ἀέρα, ἤγουν τὸ ἐπικείμενον σκότος τοῖς τεθνεῶσι. Θεόκριτος. Καὶ ἠρία κεκμηώτων. καὶ Καλλίμαχος. Τίνος ἠρίον ἵσταται τοῦτο.

Ἠρία, αἱ πύλαι. Ἀθηναῖοι διὰ τὸ τοὺς νεκροὺς ἐκφέρεσθαι ἐκεῖ αὐτῶν τὰ ἠρία, ὅ ἐστι τοὺς τάφους.

Ἤριννα, ἡ ποιήτρια. εἴρηται παρὰ τὸ ἔρωτα. ἡ ἐρασμία. ἢ παρὰ τὸ ἔαρ.

Ἦρ, σὺν τῷ ι. ἀπὸ τοῦ αἴρω. τὸ δὲ παρ᾽ ἠέρθη δὲ κάρη, οὐκ ἔχει τὸ ι. ἀπὸ γὰρ τοῦ ἀέρθω ἐστίν.

Ἥρυλλος, ὁ Ἡρακλῆς ὑποκοριστικῶς. ὡς τὸ Ἀριστοκλῆς, Ἀρίστυλλος.

Ἠρόπτω, σημαίνει τὸ κνόπτω.

Ἠρόμην. εἰ μὲν ἔχει τὸ ι, σημαίνει τὸ ἐκουφιζόμην. καὶ ἔστιν ἀπὸ τοῦ αἴρομαι, ᾑρόμην. ὡς αἰσχύνομαι, ᾐσχυνόμην. εἰ δὲ σημαίνει τὸ ἠρώτων, οὐκ ἔχει τὸ ι. καὶ ἔστιν ἀπὸ τοῦ ἔρω τὸ ἐρωτῶ. ἔρομαι, ἠρόμην.

Ἥρωες, οἱ πάλαι καὶ πρωτοφυεῖς ἄνθρωποι. οἱ ἡμίθεοι ἄνδρες. ἥρωας δέ φασι κληθῆναι ἀπὸ τῆς ἔρας τῆς γῆς. ὅτι ἐκ γῆς ἐπλάσθη τὸ γένος τῶν ἡρώων. ἢ ἀπὸ τῆς ἐρωτήσεως. διαλεκτικοὶ γάρ. ἢ ἀπὸ τῆς ἀρετῆς, ἢ ἀπὸ τοῦ ἀέρος, ὥς φησιν Ἡσίοδος. Ἠέρα ἑσσάμενοι πάντη φοιτῶντες ἐπ᾽ αἶαν. ἢ ἀπὸ τῶν ἐρώτων. ὅτι ἐξ ἐρώτων γὰρ θείων ἐγένοντο. ἀπὸ τῆς ἐράσεως, τουτέστι μίξεως τῶν θεῶν. οἱ γὰρ θεοί, θνηταῖς γυναιξὶ συνερχόμενοι, ἐποίουν τὸ τῶν ἡρώων γένος. ἥρως. ἢ παρὰ τὸ ἄρω τὸ ἁρμόζω, ἢ παρὰ τὸ ἀέρω τὸ κουφίζω.

Ἠρύγγιον, λεπτὸν τὸ κάρφος ἀκανθῶδες, ὃ καὶ αὐτοῖς τοῖς σωροῖς εἰώθασιν ἐπιτιθέναι.

Ἡραία, ἄκρα οὕτω λεγομένη κατ᾽ ἀντικρὺ Χαλκηδόνος. αὐτὴν δὲ ἐν τῇ συνηθείᾳ Ἠερίαν φασί, κακῶς. ἄλλοι δὲ Ἠρίον, μυθοποιοῦντες ὡς ἐκεῖσε ὀρύξαντες τάφους, χύτρας εὗρον καὶ ὀστᾶ. πιστέον δὲ μᾶλλον τῷ Βιθυνῷ Δημοσθένει ἐν τῷ τετάρτῳ βιβλίῳ. Ἔστι δὲ προπάροιθε κλυτῆς Χαλκηδόνος ἄκρη Ἡραία. φαίης κεν ἰδὼν βαθυδίνεα πάντη ἔμμεναι. ἡ ἀμενὴ δὲ καὶ οὐ βαθείας ἐστὶ θαλάσσης. ἔνθα θοὰς νῆας ἦγον οἰόμενοι σκέπας εἶναι αὐτόφι οὖς ὅρμοιο. κακῶν δ᾽ ἐνέκυρσαν ἐρίμως.

Ἡρωδικῷ, δοτική ἐστιν, ἀντὶ ἡρωϊ. κλίσις καὶ οὐκ ἀπὸ τοῦ ἡρώδης, ἔχει τὸ ι προσγεγραμμένον. ἔστι γὰρ ἥρως, ἥρωος, ἥρωϊ. καὶ γίνεται ἡρωΐδης. καὶ κατὰ συναίρεσιν τοῦ ω καὶ ι εἰς τὴν ῳ δίφθογγον, ἡρῴδης. καὶ ἄλλως. τὰ εἰς δης πατρωνυμικά, ἢ τύπου πατρωνυμικοῦ, θέλει ἔχειν πρὸ τοῦ δ ἢ τὸ ι ἢ τὸ α. οἷον πηλείδης, πηλάδης. μινώδης.

Ἡρωδιανός. ἀπὸ τοῦ ἡρώδης, γίνεται ἡρώδιος, καὶ ἡρωδιανός. ὡς ἀπὸ τοῦ εὐτυχής, εὐτύχιος, εὐτυχιανός. τὸ α μακρόν. διότι τὰ διὰ τοῦ ανος ὑπὲρ τρεῖς συλλαβάς, ἐκτεταμένον ἔχει τὸ α. Μαρκιανός. Σεβαστιανός. Ἰουλιανός. τὸ ἑανός, οὐκ ἔστιν ὑπὲρ τρεῖς συλλαβάς, χωρὶς εἰ μὴ κατὰ ποιητικὴν ἄδειαν συστέλλεται. ἐπειδὴ παρά τισι νεωτερικοῖς τὸ Ἰουλιανὸς συστέλλει τὸ α. χωρὶς τοῦ ὠκεανός, ὅτι συνεσταλμένον ἔχει τὸ α.

Ἡρῷον, τὸ καλούμενον ἔπος, ὅτι δι᾽ αὐτοῦ τὰς ἡρωϊκὰς πράξεις ὕμνησεν Ὅμηρος. ἢ παρὰ τὴν ἔραν τὴν γῆν, ἢ ὅτι ἀρχαιότερά ἐστι τῶν στοιχείων. ἀπὸ γοῦν τῆς ἀρχαιότητος, ἐρῷον καὶ ἡρῷον. Ἐν δ᾽ αὐτόχρημα ὁ ἐκ Τροιζῆνος Ἱππόλυτος συνελκύσας τὰς ὀφρῦς καὶ τὸ χεῖλος δακών, καὶ κάτω κύψας ὡς ἡρῷον ἡμᾶς ἄφθογγος παρέχεις.

Ἡσίοδος, ὄνομα κύριον. ὁ τὴν αἴσιον ὁδὸν πορευόμενος. ἔργα γὰρ καὶ ἡμέρας ἔγραψε πρὸς τὴν τοῦ βίου ἐργασίαν, καὶ νομοθεσίαν. ἢ ὅτι ποσῶς ἐβάδισε. συνέτυχε γὰρ ταῖς Μούσαις, καὶ οὐχ ὡς Θάμυρις διετέθη. ὅθεν καὶ ποιητὴς ἄριστος. παρὰ τὸ ἥσω μέλλοντα, καὶ τὸ ὁδός. τὰ γὰρ παρὰ μέλλοντας συντιθέμενα, τρέπει τὸ ω εἰς ι. μνήσω, μνησίθεος. στήσω, στησίχορος, οὕτως ἥσω, Ἡσίοδος.

Ἥσσων, ὁ ἐλάσσων. ἀπὸ τοῦ ἥμισυς, γίνεται τὸ συγκριτικὸν ἡμισύτερος. ὁ δεύτερος τύπος, ἡμισσων. καὶ δωρικῶς, ἥσσων. καὶ Ἀττικῶς, ἥττων. καὶ ἀπὸ τοῦ ἦκα, καὶ ἀπὸ τοῦ ἥκιστα, καὶ ἀπὸ τοῦ ἧδος. οἱ γὰρ ἐν ἡδοναῖς καταγινόμενοι, πολὺ ἑαυτῶν ἡσσονές εἰσιν.

Ἧσθαι, τὸ καθέζεσθαι. ἐκ τοῦ ἕω, ἕημι. ὡς κέω, κέημαι. τὸ παθητικόν, ἕεμαι, ἧμαι. εἶτα, ἧται. καὶ τὸ ἀπαρέμφατον, ἧσθαι. ὁ παρατατικός, ἥμην, ἧσο, ἧστο. Ἀλλ᾽ ἀκέων δὴν ἧστο. ἢ οὐ χάζων αὐτὸ πολὺν χρόνον ἐκαθέζετο. Ἰλιάδος α, καὶ Ἰλιάδος γ. Ἧσο παρ᾽ αὐτὸν ἰοῦσα. ἔστι δὲ προστακτικόν

χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ. ἐκ τοῦ ἵκμι. ἢ παρὰ, ἀντὶ τῆς πρός. καὶ σημαίνει τὸ πλησίον καὶ ἐγγύς.

Ἠθείην, εὐφανθείην. ἀπὸ τοῦ ἥδω.

Ἡστὸν, τὸ ἡδύ. ἀπὸ τοῦ ἥδω, ἥσω, ἥσομαι, ἧσαι, γίνεται ἡστόν. Ὅμηρος. Ἧσα τὸ δ' ἀμυδὶς ἡδύ τι ποτὸν πίνων.

Ἥσυχος. παρὰ τὸ ἥδω, ἥσω, ἥσυχος. ἡδονὴ γὰρ ἡ ἡσυχία.

Ἤσκειν. Ἤσκειν ἔρια καλά. ἀντὶ τοῦ εἰργάζετο. ἀσκεῖται. τὸ ῥῆμα, ἀσκῶ. σημαίνει τὸ μετὰ πολλοῦ πόνου καὶ κόπου ἐργάζομαι. γίνεται ἐκ τοῦ ἀσκός. ὁ παρατατικὸς, ἤσκεον, ἤσκουν. ἤσκεε. καὶ τὸ ν ἐφελκυστικόν ἐστιν ἐν τῷ τρίτῳ προσώπῳ. καὶ γίνεται ἤσκεεν. καὶ κατὰ συναίρεσιν, ἤσκειν.

Ἤσμεν. Ἰστέον ὅτι ἀπὸ τοῦ ἤδειν ἤδεις ἤδει. τὸ δυϊκὸν, ἤδειτον ἠδείτην. καὶ κατὰ συγκοπὴν τῆς ει διφθόγγου, καὶ τροπῇ τοῦ δ εἰς σ, γίνεται ἤστην. οἷον, Τὼ δ' ἄρ' οὐδὲν ἤστην ἄλλο, πλὴν δακεῖν. ἀντὶ τοῦ ᾔδεσαν. καὶ τὸ πληθυντικὸν, ἤσμεν. Εὐριπίδης Ἑκάβῃ. Εἰ δὲ μὴ φυγὰν πύργους πεσόντας ἤσμεν. ἀντὶ τοῦ ᾔδειμεν. καὶ Σοφοκλῆς ἐν Κόλχοις. Ὑμεῖς μὲν οὐκ ἦστε τὸν Προμηθέα. ἀντὶ τοῦ ᾔδειτε. Εὐριπίδης Ὀρέστῃ. Οὐδ' ἀφιγμένον τὸν πάντα ἦσαν. ἀντὶ τοῦ ᾔδεσαν.

Ἥττω, παρὰ τὸ ἧσσον. τοῦτο παρὰ τὸ ἥσσων. τοῦτο παρὰ τὸ ἡδὺς ἡδύτερος ἡδίων ἥσσων. ὑπὸ γὰρ τῶν ἡδέων ἡττώμεθα. ὁ γὰρ πορευόμενος, διὰ τὴν ἡδύτητα τῶν παθῶν νικᾶται ὑπὸ τοῦ διαβόλου. ἥττων. ἔστι τῶ, τὸ λαμβάνω. τὸ δεύτερον, τᾶς, τᾶ. ὁ μέλλων τήσω. καὶ μετὰ τοῦ στερητικοῦ α, ἄτω. ὁ οὐδεὶς θέλει λαβεῖν. καὶ

Ἥτω. εἰμὶ τὸ ὑπάρχω. κατὰ τροπὴν τοῦ α εἰς η, γίνεται ἥτων. ὁ δεύτερος ἀόριστος ἦν. ἡμεῖς χθὴ, εἰς ἦμεν. καὶ τὸ προστακτικὸν ἔς, ὡς σεσημείωται. τὸ τρίτον, ἔτω. καὶ ἐπαυξήσει, ἤτω. ἢ ἐκ τοῦ ἔω τὸ ὑπάρχω. ὁ δεύτερος ἀόριστος, ἦον, ἦες, ἦε. τὸ προστακτικὸν, ἔε. τὸ τρίτον, ἐέτω. καὶ κρά-σει τῶν δύο εε εἰς η μακρόν, ἤτω.

Ἦτορ. Χάλκεον ἦτορ. ἡ ψυχή. ὥσπερ παρὰ τὸ φέρω γίνεται φόρ, καὶ κατ' ἔκτασιν φώρ, ὁ λῃστὴς καὶ κλέπτης ὁ τὰ ἀλλότρια φέρων, οὕτω καὶ παρὰ τὸ τείρω τὸ καταπονῶ, ὁ μέλλων τερῶ, γίνεται ἐκ ῥηματικοῦ ὄνομα τέρ, καὶ τὸ μονοσύλλαβον. καὶ μετὰ τοῦ στερητικοῦ α, ἄτρ. καὶ τροπῇ, ἦτρ. ἡ ἀθάνατος καὶ ἀκαταπόνητος. ὡς τὸ κυρίως ἐπὶ ἀφόβου ψυχῆς μὴ ὑποδεχομένης τρῶσιν δέχεσθαι. ἢ ἐκ τοῦ τείρω, γίνεται ἀτειρῶ, καὶ ἄτορ, καὶ ἦτορ, τὸ ἀτειρὲς πνεῦμα, ὅ ἐστιν ἀπαθές. ἢ μᾶλλον πολυτειρές. ἐν σώματι γὰρ οὖσα, πολυπαθής ἐστιν. ἢ παρὰ τὸ ἄω τὸ πνέω. καὶ γὰρ πνεῦμα ἡ ψυχή. οἷον, Δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸς ἄητο. καὶ ἀπὸ τοῦ ἀήτης ὅ ἐστι τὸν ἄνεμον, γίνεται ἄητρ. καὶ κατὰ ἀφαίρεσιν τοῦ α, ἦτορ. πνεῦμα γὰρ λέγεται ἡ ψυχὴ, ὡς ἐν τοῖς θείοις εὐαγγελίοις. Πνεῦμα ὁ θεός. καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. τουτέστιν ἀσώματόν ἐστι τὸ θεῖον. καὶ τοιαύτην θέλει καὶ τὴν θυσίαν αὐτοῦ, διὰ τὸ ἐν ἡμῖν ἀσώματον προσφέρεσθαι. τουτέστι διὰ τῆς ψυχῆς καὶ τῆς τοῦ νοῦ καθαρότητος.

Ἦτρον, τὸ ὑπὸ τὸν ὀμφαλὸν μέρος. ὅθεν ἡνίκ' ἀνδρὸς τῆς ἐντεριώνης τίθησι. παρὰ τὸν ἄτριον, ὅ ἐστιν ὕφασμα. ἄτρον καὶ ἦτρον. ἢ παρὰ τὸ ἵεμαι τὸ οὖρον διὰ τούτου. Ἤτριον, ἔνδυμα ὑμενῶδες. Ἀριστοφάνης ἠτρίαιον λέγει ἐν Θεσμοφοριαζούσαις. καὶ ἠτριαία, θηλυκὸν, ἐν Ταγηνισταῖς. παρὰ τὸ ἦτρον. οὕτω δὲ καλεῖται τὸ μεταξὺ τοῦ ὀμφαλοῦ καὶ τῆς ἥβης καὶ τῶν θύννων τὸ μετὰ τὸν ὀμφαλὸν τέμαχος. παρὰ τὸ ἄειον. διὰ τὸ συνυφάνθαι καὶ συμπεπλέχθαι τὰ στήμονα τῷ λίπει.

Ἠτήμουν, ἀντὶ κεχρημένον. καὶ γὰρ αἰτεῖσθαι ἔλεγον τὸ κιχρᾶσθαι. αἰτῶ ἤτουν, ὡς αἰνῶ, ᾔνουν. οἱ γὰρ παρῳχημένοι, τὰ ἰσοφωνοῦντα θέλουσιν ἔχειν κατὰ τὴν ἀρχὴν τοῦ ἐνεστῶτος ἢ μείζονα. οὐδέποτε δὲ ἐλάττονα.

Ἠΐς, ὁ πρᾶος ἢ ὁ μέγας. καὶ ὁ μὲν ἰσχυρὸς καὶ γενναῖος, παρὰ τὸ ἔω τὸ ὑπάρχω. ἢ ἀπὸ τοῦ αὔω τὸ φωνῶ. ἵν' ᾖ ὁ διαβόητος. ὁ δὲ ἀγαθὸς, παρὰ τὸ ἠῶ, ἵν' ᾖ ὁ ἥμερος. ἢ ἐκ τοῦ ἡδὺς, ἀποβολῇ τοῦ δ. τὸ θηλυκὸν, ἠεία. καὶ ἐν ἠεῖ τῆς γενικῆς. τὸ δ' οὐδέτερον, ἠύ. καὶ ἐπίρρημα ἠύτε, ἀντὶ καθά. Ἠΰτε ἔθνεα εἶσιν. ἀντὶ καθάπερ, ὃν τρόπον. ἐκ τοῦ ὡς, τοῦ πῶς. κανὼν ἐστὶν ὁ λέγων, ὅτι τοῖς εἰς ως λήγουσιν ἐπιρρήμασι, συνυπάρχει τινὰ εἰς η λήγοντα καὶ ὁμοτονοῦσιν αὐτοῖς. οἷον, ἄλλως, ἄλλῃ. διχῶς, διχῇ. οὐδαμῶς, οὐδαμῇ. ὀξύνεται γὰρ τὸ ὡς ἀντίκειται τὸ ἦ, ὡς ἐν τῷ ἧ τε ξείνων θέμις ἐστὶν, ἢ θέμις ἀντὶ ὡς νόμος ἐστί. καὶ τοῖς εἰς η λήγουσιν ἐπιρρήμασιν, ἀντιπαράκειται τινὰ συντρεχούμενα τοῖς. οἷον πάντως, πάντῃ. ὡς. ἡ. τοῦτο προθέσει τοῦ τε καὶ πλεονασμῷ τοῦ υ, γίνεται ἠύτε. ψιλοῦται. τὸ γὰρ υ πλεοναζόμενον, ψιλοῦται. δεῖ δὲ γινώσκειν ἠύτε ἐν διαστάσει. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι οὐκ ἔστιν ἐπινοῆσαι τὸ η καὶ τὸ υ ἐν μιᾷ συλλαβῇ, χωρὶς εἰ μὴ ἐν κλίσει ῥήματος. ὡς αὐδῶ, ηὔδων. αὐχῶ, ηὔχουν. ἀναγκαίως οὖν ἡ διάστασις τοῦ ἠύτε. ὁμοίως τῷ ἀγχηῢς καὶ νηῢς καὶ τὰ λοιπά.

Ἥφαιστος. ὄνομα τοῦ θεοῦ, Ἥφαιστος. πλεονασμός ἐστιν. ποιητικὸς δὲ ἐδύνησι παρὰ πίδεσιν. ὄνομα δὲ τοῦ πυρός, σπλάγχνα δ' ἄρ' ἀμπείραντες ὑπείρεχον Ἡφαίστοιο. γίνεται παρὰ τὸ ἅπτω ἅψω. ἄψαυστός τις ὤν. τὸ γὰρ πῦρ οὐκ ἔστιν ἅψασθαι. καὶ οἱ μὲν φασὶν αὐτὸ συνθετικὸν εἶναι. ὅτι ἡ ἀφὴ ἄιστα ποιεῖ τὰ πάντα. ἐπεὶ τὸ πῦρ πάντα τὰ πελάσαντα καίει. οἱ δὲ ἁπλοῦν παρὰ τὴν ἀφὴν οὗ οὐκ ἔστιν ἅψασθαι. οἱ δὲ Αἰολεῖς ἄφαιστον αὐτὸ λέγουσιν. ἢ παρὰ τὸ ἧφα παρακείμενον.

Ἦχος, παρὰ τὸ χέω. μετὰ τοῦ ἐπιτατικοῦ α, ἄχος καὶ ἦχος. ἢ εἰς ἀέρα χεομένη φωνή. ἢ παρὰ τὸ αὔω. τὰ γὰρ ξηρὰ ἠχεῖ. Ἠὼν, πόλις Μενδαίων ἀποικία. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους.

Ἠωρῆσθαι, ἠρτῆσθαι. κρέμασθαι. ἀπὸ τοῦ αἰωρῶ, ὁ παρακείμενος, ἠώρηκα. ὁ παθητικὸς, ἠώρημαι. καὶ τὸ ἀπαρέμφατον, ἠωρῆσθαι. τοῦτο παρὰ τὸ ἀερῶ ἀείρω. καὶ τροπῇ τοῦ η εἰς ω, καὶ πλεονασμῷ τοῦ ι, αἰωρῶ, καὶ ἀπαιωρῶ.

Ἠὼς, παρὰ τὸ αὔω τὸ λάμπω, αὔως. καὶ ἐκβολῇ τοῦ υ, ἄως. καὶ τροπῇ τοῦ α εἰς η, ἠώς. σημαίνει δὲ τέσσαρα. ποτὲ μὲν τὴν σωματοειδῆ θεόν. Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο. τὸ κατάστημα τῆς ἡμέρας. ὡς τὸ, Ἠὼς μὲν κροκόπεπλος. ὅτε δὲ τὸ ἀπὸ ἀνατολῆς ἕως μεσημβρίας τοῦ ἡλίου διάστημα. ὡς τὸ, Ὄφρα μὲν ἠὼς ἦν. καὶ, Ἄξετε ἱερὸν ἦμαρ. ὁτὲ δὲ τὸ νυκτὸς καὶ ἡμέρας διάστημα. ὡς τὸ, Ἠὼς δέ μοι ἐστὶν δυωδεκάτη ὅτ' ἐς Ἴλιον εἰλήλουθα. διαφέρει δὲ τὸ ἠὼς καὶ ἕως κατὰ τρόπους τέσσαρας. κατὰ τόνον, κατὰ κλίσιν, κατὰ χρόνον, καὶ κατὰ πνεῦμα. Ἀττικοὶ μὲν, ἕως λέγουσιν ἀπὸ τοῦ ἕω τὸ πέμπω. ὅτι ἀφίενται τότε τὰ ζῶα. ἢ ἡμᾶς ἐξιοῦσα καὶ ἐξιέναι ποιοῦσα. Αἰολικῶς δὲ αὔως, ἀπὸ τοῦ αὔω τὸ φωνῶ. αὔει γὰρ τὰ ζῶα, ὅ ἐστι καλεῖ. καὶ ἀΰουσι πάντα δι' αὐτῆς. καὶ γὰρ κατὰ τοῦτον καὶ τὸν Ἴβυκον εἰρηκέναι κλυτὸν ὄρθρον, τὸν τὴν κύειν αἴτιον. ἠὼς δὲ παρὰ Ἰώνων ἡλιώτης, ἢ τὰ τοῦ ἡλίου ἐκπληροῦσα. ἢ ἡ ἐκ τοῦ ἡλίου γινομένη.

ΤΕΛΟΣ ΤΟΥ ΗΤΑ ΣΤΟΙΧΕΙΟΥ

ΑΡΧΕΙ ΤΟΥ ΘΗΤΑ ΣΤΟΙΧΕΙΟΥ

Θῆτα τὸ στοιχεῖον, παρὰ τὸ τὴν θέσιν τοῦ παντὸς μιμεῖσθαι ἤτοι τοῦ οὐρανοῦ τὸ κυκλοτερὲς ἔχον καὶ τὸν διὰ μέσου ἄξονα τὴν κατὰ τὸ μέσον μακρὰν ἔχει.

Θαάσσονε ἐγκαθήμενος. Ἰλιάδος ι. Λιπὼν ἕδος ἔνθα θαάσσεν. ἀντὶ τοῦ ἐκαθέζετο. ἐκ τοῦ θῶ γίνεται θοάζω. καὶ τροπῇ τοῦ ζ εἰς δύο σσ, θοάσσω. καὶ τροπῇ τοῦ ο εἰς α, θαάσσω. τὸ δὲ θῶ ἐκ τοῦ θοῶ θοάζω. ὡς βοῶ βοάζω.

Θᾶκος, ὁ καὶ θῶκος καλούμενος. ἡ καθέδρα. παρὰ τὸ θῶ τὸ τίθω. θῶκος καὶ θᾶκος ὁ θρόνος.

Θάλαμος. εἰ μὲν σημαίνει τὸν νέον οἶκον ἐν ᾧ εἰσέρχεται ἥ τε νύμφη καὶ ὁ νυμφίος, γίνεται παρὰ τὸ θάλλω. δεῖ γὰρ ἐν αὐτῷ θάλλοντας εἰσιέναι σώματι, τουτέστιν ἀκμάζοντα καὶ μὴ ἀπεσβηκότα. εἰ δὲ σημαίνει τὴν οἰκίαν, γίνεται παρὰ τὸ θάλπω τὸ θερμαίνω, θαλπαμός τις ὤν. Ἰστέον ὅτι, θάλαμος μέν ἐστιν ὁ ἔσω τῆς αὐλῆς μικρός. τὸ δὲ πρὸ αὐτοῦ, πρόδομος. αἴθουσα δὲ, ἡ πρὸς ἥλιον τετραμμένη, ἀπὸ τοῦ αἴθεσθαι. θάλαμος οὖν, ὁ κοιτών. ὁ οἶκος. καὶ θαλαμηπόλος, ἡ περὶ τὸν θάλαμον ἀναστρεφομένη.

Θαλάμιοι κῶπαι, αἱ ἠρέμα ἐλαύνουσαι. ὁ κατώτατος ἐρέτης, θαλάμιος λέγεται. ὁ δὲ μέσος, μεσόζυγιος. ὁ δὲ ἀνώτατος, θρανίτης.

Θάλασσα. παρὰ τὸ σάλον, σάλασσα καὶ θάλασσα, μεταθέσει τοῦ σ εἰς θ. ὡς ὀρχησμός, ὀρχηθμός. ἢ παρὰ τὸ ἆσσον εἶναι θανάτου, γίνεται θάνασσα, καὶ θάλασσα. ἢ παρὰ τὸ ἁλὸς γενικὴν, ἄλασσα. καὶ πλεονασμῷ τοῦ θ, θάλασσα. ἢ παρὰ τὸ τείνω, ἐκτέταται μὲν ἢ ἐν ἔχειν τὸ ὁδόν.

Θαλερὸς, ὁ ἐν ἀκμῇ ὢν τοῦ θάλλειν. ὁ ἀκμάζων νέος. καὶ θαλερὸν δάκρυ, τὸ ἁπαλόν. καὶ θαλεροὶ, δίυγροι. ἀκμαῖοι. νέοι. παρὰ τὸ θάλλω τὸ αὔξω. τοῦτο, παρὰ τὸ θῶ τὸ τρέφω. ἀπὸ μεταφορᾶς τῆς τῶν ἀνθρώπων φύσεως. ὁ γὰρ θηλῆς μαστοῦ μετέχων, ἄνεισιν εἰς αὔξησιν. σημαίνει τὸ ὀκρυόν. ὡς τὸ, Θαλερὸν κατὰ δάκρυ χέουσα. τὸ ἀκμαῖον. ὡς τὸ, Θαλεροὶ αἰζηοί. τοὺς καλοὺς καὶ ὡραίους. ὡς τὸ, Θαλερῷ πεπλήγετο μηρῷ. τοὺς ἀγαθητικούς. ὡς τὸ, Τάων ἐν κονίῃσι βάλες θαλεροὺς παρακοίτας. τὸ πολύ. ὡς τὸ, Θαλερὴ δέ οἱ ἔσχετο φωνή.

Θάλλω. παρὰ τὸ θῶ τὸ τρέφω, παράγωγον θάλλω. καὶ γὰρ τὸ τρεφόμενον αὔξει. ἡ μεταφορὰ, ἀπὸ τῆς τῶν ἀνθρώπων φύσεως. θηλῆς γὰρ μεταλαμβάνουσι καὶ εἰς αὔξησιν ἀνίασι. καταχρηστικῶς δὲ ἀντὶ παντὸς τοῦ τρέφεσθαι καὶ αὔξεσθαι, θάλλειν εἴρηκε. καὶ θαλλὸν λέγει τὸν στέφανον τὸν τῆς ἐλαίας. οὐ μόνον δὲ τὸν τῆς ἐλαίας, ἀλλὰ καὶ πᾶν ὃ θάλλει. Ἀρχίλοχος. Ἔχουσα θαλλὸν μυρσίνης ἐτέρπετο.

Θαλλοφόρος, ὁ πομπεύων Ἀθήνησι τοῖς Παναθηναίοις, καὶ ἐλαίας κλάδον φέρων. λέγουσι δὲ καὶ γέροντας θαλλοφόρους πρὸς οὐδὲν ἄλλο χρησίμους, ἢ πρὸς τὸ θαλλὸν φέρειν.

Θαλίᾳ. Τρέφεται θαλίῃ ἐνὶ πολλῇ, Ἰλιάδος ι. ἀντὶ ἐν πολλῇ εὐωχίᾳ. ἐν πολλοῖς ἀγαθοῖς. παρὰ τὸ θάλλειν τοὺς εὐωχουμένους. καὶ Ἰλιάδος θ. Τίθεν τὸ δὲ δαῖτα θάλειαν. τὴν θάλλουσαν τοῖς ἀγαθοῖς. παρὰ τὸ θάλλω οὖν, θάλεια αὐτὴ τοῦ θάλλειν διὰ τὸ προσκειμένου. καὶ τὸ δαίς, θάλεια. καὶ δαιτὶ σύνορός ἐστι θαλείῃ. τῇ εὐθηνίαν ἐχούσῃ. ὄνομα δὲ τῆς εὐωχίας αὐτῆς διὰ τοῦ ι.

Θαλῆς. ἡνίκα μὲν περισπᾶται, εἰς ου ἔχει τὴν γενικήν. Θαλῆς, Θαλοῦ, Θαλῇ. Τί δῆτ' ἐκεῖνον τὸν Θαλῆν θαυμάζομεν. Ἀριστοφάνης. ἡνίκα δὲ βαρύνεται, διὰ τοῦ τος κλίνεται τῷ λόγῳ τῶν ἰαμβικῶν. ὡς παρὰ Καλλιμάχῳ. Πολὺ τὸ δῶρον, ἐς Θάλητα ὤλισθεν. ἔστι δὲ χορίαμβος. τροχαῖον γὰρ ἔχει ἐν τῷ ἕκτῳ ποδί.

Θαλύσια. τὰς ὑπὲρ εὐθαλίας καὶ εὐφορίας τῶν καρπῶν διδομένας θυσίας μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν τοῖς τε ἄλλοις θεοῖς καὶ τῇ Δήμητρι.

Θαλπωρή, χαρά. ἡδονή. παραμυθία. ἐκ τοῦ θάλπω.

Θάλπη, παρὰ τὸ θάλπειν, ἢ παρὰ τὸ θάλος.

Θαμὰ, ἐπίρρημα. τὸ πυκνῶς καὶ συνεχῶς, ἐκ τοῦ ἅμα πλεονασμῷ τοῦ θ. τὸ γὰρ πυκνῶς γινόμενον, ὑφ' ἕνα καιρὸν γίνεται. ἐκ δὲ τοῦ θαμὰ, γίνεται θαμίζει, πυκνῶς ἔρχεται, καὶ ἐνδελεχῶς πυκνάζει. ἢ ἀντὶ τοῦ ὁμιλεῖ. ζήτει εἰς τὸ ἅμα.

Θαμνὰς, ἡ ῥίζα. ὅτι καὶ αὐτὴ ἔγκειται τῇ γῇ ἀπὸ τῆς θέσεως καὶ θάμνος, ὁ σύνδενδρος τόπος. Θάμβος, σημαίνει τὴν ἔκπληξιν. εἴδους τῶν ὑποπεπτωκότων τῷ ὁρωμένῳ δεινοῦ. τὸ γενικὸν φόβος. γίνεται παρὰ τὸ θάπος. πλεονασμῷ τοῦ β καὶ τροπῇ τοῦ π εἰς μ διὰ τὸ ἀσύντακτον. τὸ δὲ θάπος, παρὰ τὸ θήπω.

Θάνατος, παρὰ τὸ τείνω τὸ τανύω τάνατος καὶ θάνατος. ὁ τείνων τὰ σώματα τῇ ψύξει. ἢ ὅτι τανααός ἐστιν ὁ πάντας ἐξ αὐτοῦ διατείνων. ἢ παρὰ τὸ θεῖν ἄνω τὰς ψυχάς. ἢ θνητός τις ὤν. διὰ τὸ αὐτῷ τὰ νῶτα τίθεσθαι τὸν τεθνεῶτα. ἐτυμολογεῖται δὲ παρὰ τὸ ἄνευ ἄτης τὸν τεθνεῶτα εἶναι. θάνατος γὰρ ἀνδρὶ ἀνάπαυσις. παρὰ τὴν

ἄτην τὴν βλάβην, ἄνατος καὶ θάνατος. ὁ ἄνευ βλάβης γινόμενος ἀποθανών. [Διῃρηκότα γυναικῶν τὴν ὁδὸν ἦν ἀνίαι θυμοφθόροι οὐ περόωσι. καλλίμαχος. φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων. ἔστι ῥῆμα θῶ τὸ ἀποτίθεμαι. πλεονασμῷ τοῦ ν, θνῶ καὶ θνῶν ἡ μετοχὴ ἀνακολούθως. πλεονασμῷ τοῦ α, θανῶ. ὁ μέλλων, θανήσω. ῥηματικὸν ὄνομα θανητός. μετὰ συστολῆς τοῦ η εἰς α, ἀνεβιβάσθη ὁ τόνος, καὶ ἐγένετο θάνατος. ὁ τὴν αἰωνίαν δηλῶν ἀπόθεσιν.

Θανατῶ. ὅτε μέν ἐστιν ἁπλοῦν, ἐστὶ τρίτης συζυγίας τῶν περισπωμένων. οἷον, θανατῶ, θανατοῖς. καὶ σημαίνει τὸ φονεύω. ὅτε δὲ σύνθετον, δευτέρας. οἷον, δυσθανατῶ, δυσθανατᾷς. ὥσπερ καὶ τὸ δοκῶ ἁπλοῦν μὲν, πρώτης. οἷον, δοκῶ, δοκεῖς. σύνθετον δὲ, δευτέρας. οἷον, προσδοκῶ, προσδοκᾷς. ὅτε δὲ τὸ θανατῶ δευτέρας συζυγίας, σημαίνει τὸ ἐπιθυμῶ ἀποθανεῖν. ἰώσηπος. Ἀνδρὶ θανατῶντι μὴ συμπλέκεσθαι. ἤγουν ἀνδρὶ ἐπιθυμοῦντι καὶ προαιρουμένῳ ἀποθανεῖν, μὴ προσβάλλεσθαι εἰς μάχην. καὶ λιβάνιος. τοῦ δὴ καὶ αὐτοὶ τούτῳ θανατᾷν.

Θάπτω. ὥσπερ παρὰ τὸ βῶ, γίνεται βάπτω, οὕτω καὶ παρὰ τὸ θῶ τὸ τίθημι, γίνεται θάπτω. αἴτιον γὰρ ἔχουσι τῆς ἀποθέσεως οἱ θαπτόμενοι.

Θάρσος. παρὰ τὸ θέρω τὸ θερμαίνω. ὁ μέλλων αἰολικῶς, θέρσω. ῥηματικὸν ὄνομα, θέρσος. καὶ τροπῇ τοῦ ε εἰς α, θάρσος. ἀφ' οὗ καὶ θρασεῖς κατὰ ὑπέρθεσιν τοῦ ρ. οἱ γὰρ θερμοὶ, καὶ θρασεῖς. καὶ θαρσαλέος, ὁ ἀνδρεῖος.

Θάσος, πόλις. ἀπὸ τοῦ δάσος. ὅτι κάρπιμός ἐστιν ἡ γῆ. καὶ τὸν κινόνιον οἶνον ὃν καὶ ὅμηρος συνίστησιν ἥδιστον εἶναι, τοῦτον οἱ ἕλληνες θάσιον ὠνόμασαν, διὰ τὸ ἐπικεῖσθαι τὴν νῆσον θάσῳ.

Θάσια, τὰ ἀμύγδαλα. ἀπὸ τοῦ θᾶσσον τὸν καρπὸν προΐεναι. πρώϊμα γὰρ ὑπὲρ τὰ λοιπὰ δένδρα.

Θάσσονας ἱρήκων, ἤγουν ταχυτέρους τῶν ἱεράκων. ἰλιάδος ν. καὶ θᾶσσον τὸ ταχέως, ἀπὸ τοῦ ταχὺς παρήχθη. ὁ πρῶτος τύπος, ταχύτερος. ὁ δεύτερος, ταχίων. ὁ τρίτος, τάσσων. καὶ τροπῇ, θάσσων, καὶ θάττων. ἀντιστοιχεῖ γὰρ τὰ δασέα τοῖς ψιλοῖς. θ. τ.

Θαργήλια, ἑορτὴ ἀθήνησιν. ὀνομάζεται ἀπὸ τῶν θαργηλίων. θαργήλια δ' εἰσὶ πάντες οἱ ἀπὸ γῆς καρποί. ἄγεται δὲ μηνὶ θαργηλιῶνι, ἀρτέμιδος καὶ ἀπόλλωνος. θαργηλιὼν δὲ, ὁ ἑνδέκατος μὴν ὀνομάζεται. ἐπεὶ τότε ὁ ἥλιος πυρώδης ἐστί. καὶ ἐν τούτῳ τῷ μηνὶ, τὰ τῆς γῆς ἄνθη ἀνεξηραίνετο. ἀπὸ τοῦ θέρεσθαι οὖν τὴν γῆν. τὸ δὲ θερμὸν, θάργηλον ὠνόμασται. ἔστι δὲ καὶ θαργήλεια, ἀγησαγόρου θυγάτηρ βασιλεύσασα θεσσαλῶν τριάκοντα ἔτη.

Θάτερον, παρὰ τὸ ἅτερον. δώριον. τὸ γὰρ ἕτερος, ἅτερος λέγουσιν οἱ δωριεῖς. ὡς τρέχω τράχω. οὕτως οὖν καὶ τὰ ἅτερα, θάτερα. κατὰ συναίρεσιν τῶν δύο α εἰς α, καὶ τὸ ἅτερον θάτερον. ὡς τὸ, ἀγαθὸν, τἀγαθόν. ἔμεινε δὲ τὸ τ ἄτρεπτον. ἐπειδὴ ψιλοῦται τὸ ἀγαθόν. τὸ ἅτερον δὲ δασύνεται. εἰ γὰρ ἦν παρὰ τὸ ἕτερον, θοὔτερον ἂν ἦν. ὡς τὸ ἔλαιον, τοὔλαιον. διὸ καὶ οἱ λέγοντες θάτερον ἐπὶ ἀρσενικοῦ ὀνόματος, ἀλλ' ἅτερος.

Θαρσεῖς. ἀπὸ τοῦ ταρσεῖς ἐτυμολογεῖται. καθὼς παρὰ θεοδωρήτῳ ἀνέγνων.

Θαυμαστώσας, ἐκ τοῦ θαυμαστῶ. τοῦτο παρὰ τὸ θαυμαστός. τοῦτο παρὰ τὸ θαυμάζω. τοῦτο παρὰ τὸ θαῦμα. τοῦτο παρὰ τὸ θεῶ, θεάσω, τεθέακα, τεθέαμαι, θέαμα. καὶ θαῦμα κατὰ κρᾶσιν. ἢ παρὰ τὸ θαυμάζω θαυμάσω, γίνεται θαύμασμα. καὶ κατ' ἔνδειαν τοῦ σ καὶ ἀποκοπῇ, θαῦμα.

Θαυμάσαι. παρὰ τὸ διὰ θεάματος ἐκπεπληττόμενον ἐκφωνεῖν καὶ αὖσαι. οἷον, θέαμα αὖσαι, ὑπερθέσει τοῦ υ καὶ κατὰ συναλοιφὴν, θαυμάσαι. εἰ μὲν σημαίνει τὸ ἐπαινῶ, γενικῇ συντάσσεται. εἰ δὲ τὸ καταγινώσκω, αἰτιατικῇ. ἢ θαῦμα, παρὰ τὸ θέαμα.

Θαυμᾶς. τὸ θωμᾶς ὑποκοριστικώτερον ἂν εἴη ἐκ τοῦ θαυμάσιος. τὸ γὰρ θαῦμα, θῶμα λέγεται.

Θαυμάλωπες, οἱ ἡμίφλεκτοι ἄνθρακες. θάψαι γὰρ τὸ καῦσαι.

Θαυμακτόν. παρὰ τὸ θαυμάζω. οὗ τὸν μέλλοντα οἱ δωριεῖς θαυμάξω λέγουσι. σώφρων. Φέρε τὸ θαυμακτὸν κατεπιθυσῶμες. καὶ τὸ ζύγαστρον, παρὰ τὸ ζυγάζω ἐνήνεκται παρὰ τῷ ποιητῇ. ὡς καὶ παρὰ ἀντιμάχῳ. τὸ δὲ πάζω, δέπαστρον. οἷον, Πλῆσεν δ' ἄρ' ἐπιστρέψας δέπαστρον. οὐχ ὑγιῶς ἔχει ὡς τῷ σημαινομένῳ. ἔθηκαμεν γὰρ αὐτὴν τοῦ ποτηρίου τὴν λέξιν, τὸ δεπαζόμενον. αὐτὸ δὲ ἤγουν δεπάζοντες ὡς εἰς πινόμενον εἴρηκε. ἤγουν πίνοντες.

Θαιροὶ, οἱ στροφεῖς. ἀπὸ τοῦ δι' αὐτῶν θεῖν τὰς θύρας. ἰλιάδος μ. Ῥῆξε δ' ἀπ' ἀμφοτέρους θαιρούς. τοὺς στρόφιγγας.

Θέα, ἡ θεωρία. παρὰ τὸ θέω, θεῶμαι. σημαίνει δὲ τὸ θεωρῶ. βαρύνεται δὲ πρὸς ἀντιδιαστολὴν τοῦ θεὰ αὐτῆς τῆς θεοῦ. ὅπερ ἐκ τοῦ θεός γίνεται. ὥσπερ καὶ θόλος τὸ οἰκοδόμημα. θολὸς δὲ τὸ μέλαν τῆς σηπίας.

Θέαινα. παρὰ τὸ θέων θέαινα. ὡς παρὰ τὸ λάκων λάκαινα. τὸ δὲ θέων, παρὰ τὸ θεός.

Θεαιδέστατος, θεοῦ ἰδέαν ἔχων. εἶπε δὲ ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας οὕτως. Ἄνθρωπος ὅς φησι πάντων θηρίων θεαιδέστατος γέγονε.

Θεαγονοράσια, ὀχλονοεράσια. θέαν παρ' αἴγειρον, τὴν πόρρωθεν λέγει. αἴγειρος γὰρ ἦν τῶν ἰκρίων πλησίον.

Θέειον. ἐκ τοῦ θεῶ, θέειον.

Θεηλατος. παρὰ τὸ θεὸς καὶ τὸ ἐλάω ἐλῶ, ὁ ὑπὸ θεοῦ πεμφθείς. διχῶς γὰρ γίνεται ἡ προσθήκη τῶν φωνηέντων. ἢ γὰρ τὸ μακρὸν εἰς μακρὸν, ὡς ἀμπτηλός, ἀμπτωλός. ἢ τὸ μακρὸν εἰς βραχὺ, ὡς νεὼς ναός. ἢ τὸ βραχὺ εἰς βραχὺ, ὡς ἐν τῷ αἴαντι, αἴαντα. ἢ τὸ βραχὺ εἰς μακρὸν, ὡς θεοτόνος. θεκτόνος.

Θεηπολεῖν, θεῶν ἐπιμονὰς ἐχόντων περὶ πολεῖν.

Θεαρχικώτατος. ἔστι θεὸς καὶ ἄρχων. ἐκ τούτων γίνεται θεαρχικὸς κτητικόν. τὸ ὑπερθετικόν, θεαρχικώτατος.

Θέλημα. ἀπὸ τοῦ θέλω, θελήσω, τεθέληκα, τεθέλημαι, θέλημα. τὸ δὲ θέλω, ὁ μέλλων περισσοσυλλαβεῖ. τὰ γὰρ δι' ἑνὸς λ ἐκφερόμενα βαρύτονα, ἄχρι τοῦ παρατατικοῦ κλίνεται ὡς βαρύτονα. ἀπὸ δὲ τοῦ μέλλοντος, ὡς περισπώμενα. διότι τὸ ἐν λ χαρακτηριστικόν ἐστι περισπωμένου μέλλοντος. καὶ τὰ χαρακτηριστικὰ τοῦ περισπωμένου μέλλοντος, οὐ δύναται εἶναι χαρακτηριστικὰ βαρυτόνου ἐνεστῶτος. καὶ διὰ τὰ φθάσαντα γενέσθαι βαρύτονα, δι' ἑνὸς λ ἀνεμετρήσαντο τὴν κλίσιν. οἱ γὰρ βαρύτονοι ἐνεστῶτες, διὰ δύο λλ ἐκφέρονται. οἷον, ψάλλω. τίλλω. ποικίλλω. τὰ γὰρ ἔχοντα δύο λλ ἢ δύο σσ, χαίρουσι τῇ βαρυτόνῳ τάσει. χωρὶς εἰ μὴ ἔχει ὄνομα προϋποκείμενον, ὡς τὸ λυσσῶ. τὰ δὲ ἔχοντα ἓν λ ἢ σ, χαίρουσι περισπᾶσθαι. οὐδέποτε δὲ βαρύτονος ἐνεστὼς ὀφείλει δι' ἑνὸς ἐκφέρεσθαι. διότι ἀεὶ ἡ πέμπτη συζυγία τῶν βαρυτόνων, μακρᾷ θέλει παραλήγεσθαι ἢ φύσει, ἢ θέσει. θέλω οὖν, θελήσω. καὶ μέλω, μελήσω. τὰ διὰ τοῦ ελω ῥήματα, διὰ τοῦ ε ψιλοῦ γράφεται. πέλω. κέλω. φέλω. θέλω. τὸ δ' ἐθέλω, ζῶ, πλουτῶ, ὑπάρχω, οὐδετέρας ἐστὶ διαθέσεως. διότι οὔτε ἐνέργειαν οὔτε πάθος δηλοῖ.

Θελήσω μέλλων, ὡς ἀπὸ περισπωμένου τοῦ θελῶ. ἐκ τοῦ θελήσω, γίνεται θελησμός. καὶ ἀποβολῇ τοῦ σ, θελημός. ὡς μελήσω μελησμὸς καὶ μελημός.

Θέλγουσι, εὐφραίνουσι, ἢ ἀπατῶσι. παρ' ὁμήρῳ δὲ σημαίνει τὸ σκοτίζω. ὡς τὸ, ἀχαιῶν θέλγε νόον. καὶ, ἀχαιῶν ὄμματα θέλγε.

Θέλγε, ἀγαπᾷ. θάλπει. κατάπαυε. ἀμαυροῖ. θελγ[illegible]. σκοτοῖ. θέλγειν κυρίως ἐστὶν, εἰς ὃ θέλεις ἄγειν τινά. ὅθεν καὶ θελκτήρια πολλαχῶς, τὰ ᾄσματα τὰ ἀπὸ τῶν ᾠδῶν. ἅτινα ἀκούοντας θέλγει καὶ ἄγει εἰς τέρψιν. διὸ καὶ ἡ πηνελόπη τὰς ᾠδὰς, θελκτήρια εἶπε. Φήμιε πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια οἶδας. καὶ ἡ κίρκη ὀδυσσεῖ φαρμαχθέντι λέγει. Θαῦμά μ' ἔχει ὡς οὔτι πιὼν τάδε φάρμακ' ἐθέλχθης. ἐνομίσθη δὲ ὁ τὰ θεῖα γράψας, καὶ τοὺς τελχῖνας ἐτυμολογήσας εἶπεν, ὅτι θελγῖνες ἦσαν.

Θέμα. ἀπὸ τοῦ τίθημι, θήσω, τέθεικα, τέθειμαι. κατὰ ἔλλειψιν, τέμαι. ἐκβολῇ τοῦ ι, τέμα. καὶ τροπῇ, θέμα.

Θέμις, δηλοῖ καὶ τὸ πρέπον καὶ τὴν σωματικὴν θεάν. γίνεται παρὰ τὸ θεσμὸν, θέσμις. καὶ ἀποβολῇ τοῦ σ. τὸ δὲ θεσμὸς ὄνομα, ἀπὸ τῆς θέσεως. ἕκαστος γὰρ νομοθέτης ὡς ἐβούλετο ἐτίθετο τοὺς νόμους. ἐκ τοῦ θεσμὸς οὖν ὃ σημαίνει τὸν νόμον, γίνεται θέμις. ἐκ τοῦ τίθημι, θεμὸς καὶ θεσμὸς καὶ θέσμις καὶ θέμις. κλίνεται θέμιδος. καὶ δωρικῶς, θέμιτος. καὶ πλεονασμῷ τοῦ σ, θέμιστος. ὅμηρος. Οἵ τε θέμιστας πρὸς διὸς εἰρύαται. τὰς δίκας. ἤγουν τοὺς νόμους ῥύονται καὶ φυλάττουσι.

Θεμιστεύων, ἤγουν χρησμῳδῶν. λυσίας. ἀπὸ γὰρ τοῦ θέμιν ποτὲ ἐσχηκέναι τὸ μαντεῖον πρὸ τοῦ ἀπόλλωνος, ἢ ἄρξαντος δικάσαντος. Οὓς ἐθεμίστευον περικαλλέος ἐξιθιναοῦ.

Θεμισκύρειον ὑπ' ἄκρην μύρεται εὐρείης διειμένος ἠπείροιο. ὅτι θερμώδων ποταμός ἐστι περιρρέων τὴν ἀμαζόνων χώραν. ἔστι δὲ καὶ ἕτερος βοιωτίας. τρεῖς δὲ πόλεις εἰσὶν ἔνθα κατῴκουν αἱ ἀμαζόνες. ἀπολλώνιος. ἔνθα θεμισκύρειαι ἀμαζόνες ὡπλίζοντο.

Θέμω. Θέμωσε δὲ χέρσον ἱκέσθαι. ἤγγισε. καὶ τὸ θαμίζειν, ἐγγίζειν. ἔνιοι δὲ ἐποίησε. παρὰ τὸ θεῖναι.

Θέμεθλα, τὰ ἔσω τεραμένη.

Θεμείλια, παρὰ τὸ δέμω ἢ δομῶ τὸ οἰκοδομῶ, γίνεται δεμέλιον καὶ θεμέλιον. καὶ πλεονασμῷ τοῦ ι, θεμείλιον.

Θέναρ, τὸ κοῖλον τῆς χειρός. παρὰ τὸ θένος. ἢ παρὰ τὸ θέσεως εἶναι χωρίον, εἰς ὃ ἐντίθεται τὰ διδόμενα. ἢ παρὰ τὸ θείνω. παρὰ τὸ θένειν καὶ τύπτειν ἐν αὐτῷ τῷ μέρει. καὶ δι' αὐτοῦ γὰρ πληγὴ γίνεται.

Θεός, παρὰ τὸ θέω τὸ τρέχω. εἰς ὃν πάντες τρέχομεν. παρὰ τὸ θέω καὶ θεύω, θεός. ὡς φωλεύω φωλεός. οἱ γὰρ ἀρχαῖοι ὡς ἐπὶ τὸ πλεῖστον αὐτοὶ ἡλίου καὶ σελήνης καὶ ἀστέρων, ἀστατοῦσι γὰρ, ἐτίθεσαν τὸ ὄνομα. παρὰ τὸ ἀεὶ θεῖν καὶ κινεῖσθαι. καὶ αὐτοὶ τοῦ χωρὶς τούτων λεγομένου θεοῦ λέγοιτ' ἄν. παρὰ τὸ πάντα χωρεῖν καὶ περιθεῖν. ἢ παρὰ τὸ θῶ τὸ κατασκευάζω καὶ ποιῶ. ὁ πάντων ποιητής. καὶ τῆς τῶν πάντων κατασκευῆς αἴτιος, γίνεται θὸς καὶ θεός.

Θεοστιβής, ὁ ὑπὸ τοῦ θεοῦ πατούμενος. ἐκ τοῦ θεὸς καὶ τοῦ στείβω τὸ περιπατῶ, γίνεται στιβὴς καὶ θεοστιβής.

Θεοδμήτων αὐτοὶ πύργων, τῶν ὑπὸ θεοῦ ᾠκοδομημένων. παρὰ γὰρ ποσειδῶνος καὶ ἀπόλλωνος ᾠκοδομήθη. ἀπολλώνιος.

Θεοκλυτήσαντες, θεοῦ ἀκούσαντες. καὶ θεοκλυτοῦσιν, ὡς θεοὺς ἐπικαλοῦνται. παρὰ τὸ θεὸς καὶ τὸ κλύω τὸ καλῶ.

Θεοπρόπιον, τὸ ἐκ θεοῦ μάντευμα. ἢ τὸ θεοῖς πρέπον. οὗτοι γὰρ ὡς πάντα ἐπιστάμενοι, λέγουσι τὰ τοῖς ἄλλοις ἠγνοημένα. οἱονεὶ θεοπρεπιόν τι ὄν. ἢ θεοπροέπιον, τὸ ἐκ θεοῦ προλεγόμενον. καὶ θεοπροπία θηλυκόν. παρὰ τὸ ἔπω τὸ λέγω, γίνεται ἔπιον. ὡς λέγω, λόγιον. καὶ μετὰ τῆς προ, γίνεται προέπιον. συγκοπῇ, πρόπιον. καὶ μετὰ τοῦ θεός, θεοπρόπιον.

Θεοπρόπος, ἐκ τοῦ θεὸς καὶ τοῦ πρέπω τὸ λέγω. ὁ τὰ ἐκ θεοῦ προλέγων. ἐκ τοῦ θεοπρόπος, γίνεται θεοπροπῶ. πρώτης συζυγίας τῶν περισπωμένων. καὶ θεοπροπέων μετοχή, ὡς περὶ τὸ κοιρανέων.

Θεούπολις, ἡ μεγάλη ἀντιόχεια ἐκαλεῖτο. ἀπὸ θεοδοσίου τοῦ μεγάλου ἰουστίνου.

Θεουδής, ὁ θεοσεβής. οὐκ ἔστιν ὥς τινες φασὶ θεοαδής παρὰ τὸ ἁδεῖν ὅ ἐστιν ἀρέσκειν τῷ θεῷ. τὸ γὰρ ο καὶ α, εἰς ω ποιοῦσι κρᾶσιν. ὁ ἀόριστος, ὥριστος. ἀλλὰ παρὰ τὸ ἔδος θεοεδής, ὁ τὰ ἔδη τῶν θεῶν σέβων. τουτέστι τὰς συνεδρίας. καὶ κράσει, θεουδής. ὡς τὸ ἐμὸν, τοὐμόν. θεὸς δὲ παρὰ τὸ τεθεικέναι τὰ πάντα. ἢ παρὰ τὸ τὰ πάντα θεάσασθαι. ἢ παρὰ τὸ θῶ, τὸ κατασκευάζω καὶ ποιῶ. ὁ πάντων ποιητής. καὶ τῆς τῶν πάντων κτίσεως αἴτιος. γίνεται θός. καὶ ἐπεὶ οὐδέποτε μονοσύλλαβον ὄνομα βραχυκατάληκτον, πλὴν τοῦ τίς. πλεονασμῷ τοῦ ε, γίνεται θεός. ἢ παρὰ τὸ θεῶ τὸ ὁρῶ, ὁ πάντων ἔφορος. ἢ παρὰ τὸ θέω τὸ τρέχω. ὁ πάντα χωρῶν ἐπιών. τὰ διὰ τοῦ αιος ὀξύτονα δισύλλαβα, διὰ τῆς αι διφθόγγου γράφεται, πλὴν τοῦ θεός. ἢ καὶ τὰ ἀπὸ τῆς θε συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ε ψιλοῦ γράφεται, πλὴν τοῦ θαιρὸς ὃ σημαίνει τὸν στρόφιγγα. ὡς τό, Ὁ θεὸς ἀπὸ θεμαῦ ἥξει. θέλει δὲ βαρύνεσθαι τὰ εἰς ος καθαρὸν λήγοντα, παραληγόμενα τῷ ε ἢ τῷ ο, ἀρχόμενα ἀπὸ συμφώνου μὴ τοῦ θ, βαρύνεται. πλόος, νόος. γόος. τὸ θρόος οὐκ ἀπὸ τοῦ κοινοῦ θ. θοὸς δὲ καὶ θεός, ὀξύνεται.

Θέμενος τὰ ὅπλα, ἤγουν περιθέμενος. θέμενος, καὶ ὁ ἐνεχυρωθείς. καὶ ὁ λαβών τι σκεῦος εἰς ὑποθήκην.

Θεοίνιον, ἱερὸν Διονύσου.

Θεράπων, δοῦλος, ὑπηρέτης. παρὰ τὸ θεραπεύειν τὸν κρείττονα. παρὰ τὸ θείνω τὸ τύπτω, γίνεται θενάπων, καὶ θεράπων.

Θεράποντας, οὐχ ὡς ὑπὸ οἱ νεώτεροι δούλους, ἀλλὰ πάντας τοὺς θεραπευτικῶς ἔχοντας. ὡς, Δαναοὶ θεράποντες ἄρηος. καὶ τὸ ἐν δευτέρᾳ τάξει φίλον. ὡς Πάτροκλος Ἀχιλλέως θεράπων.

Θεραπναῖον. Κάστορα(?) δὲ θεραπναῖον διός υἱά. ἀπὸ λαώνιος(?). τὸν πολυδεύκην. ὅτι λακεδαιμόνιος. θεράπνη δὲ πόλις μακεδονίας.

Θέρος. παρὰ τὸ θέρω, θερμαίνω. ὅς οὐ καὶ θέρεται, τὸ θερμαίνεται. τὸ ἐν καιρῷ τοιούτῳ ὄν. ἢ παρὰ τὸ θέρειν καὶ θερμαίνειν. τὸ δὲ θέρω, παρὰ τὸ θέω τὸ τρέχω. πλεονασμῷ τοῦ ρ. τὸ γὰρ ταχὺ, καὶ θερμὸν εἶναι λέγεται. θέρος καὶ οἱ συγκομιζόμενοι καρποὶ τῶν σπερμάτων.

Θέρεα ὥρα, σημαίνει τὸν καιρὸν τῶν παρὰ τοῖς ῥήτορσι. θέρους. παρὰ τὸ θέρω θέρεια. ὡς παρὰ τὸ θάλλω θάλεια. ἢ ἐκ τοῦ θέρεος κτητικοῦ. τὸ θηλυκὸν, θέρεια.

Θερειτάτη ἵσταται ἀκτίς. νίκανδρος. παρὰ τὸ θέρεος. οὐδέποτε γὰρ ἀπὸ τῶν εἰς ος οὐδετέρων σχηματίζεται συγκριτικόν. παρὰ τὸ θέρος οὖν, γίνεται κτητικὸν θέρειος. ὡς τέλος, τέλειος. ὑπερθετικὸν, θερειότατος, θερειοτάτη. καὶ συγκοπῇ, θερειτάτη. Ἦμος ὅτ' ἠελίοιο θερείταται εἰσὶ κέλευθοι. ἄρατος.

Θερείβοτον, σημαίνει τὸν τόπον τὸν ἔχοντα ἐν τῷ θέρει βοσκάς. θέρος θέρους. ἡ δοτική, θέρει. καὶ μετὰ τοῦ βοτῶ, ὃ σημαίνει τὸ βόσκειν.

Θεριγάνον(?), ἡ ἅμαξα. παρὰ τὸ τὰ θέρη ἄγειν.

Θερμός. παρὰ τὸ θέρω τὸ θερμαίνω, γίνεται θερμός. ὡς εἴρω, εἱρμός. ἢ ἀπὸ τοῦ θέρμω βαρυτόνου. ὅθεν τὸ, Θέρμετο δ' ὕδωρ.

Θερμοπύλαι, ἔνιοι μὲν τὴν πόλιν ταύτην, πύλον καλοῦσι. φιλέας δὲ, θερμοπύλας λέγει κεκλῆσθαι, ἐπειδὴ ἡ ἀθηνᾶ, θερμὰ λουτρὰ ἡρακλεῖ ἐποίησε.

Θερσίτης. παρὰ τὸ θέρω τὸ θερμαίνω. ὁ μέλλων αἰολικῶς, θέρσω, γίνεται θερσίτης. ὁ θερμαντικὸς ἐν τῷ λέγειν. θερμὸς γὰρ καὶ προπετής. ἢ παρὰ τὸ θάρσος, ὃ οἱ αἰολεῖς θέρσος λέγουσιν. οἱονεὶ ὁ εὔτολμος κατὰ ἀντίφρασιν. τουτέστιν ὁ ἀσθενής. ἢ ὁ θάρσος ἔχων ἐν τῷ ὑβρίζειν. τὸ σι, ι. διὰ τί. ὡς παρώνυμον καὶ μακρόν. ἅπαντα τὰ διὰ τοῦ ιτης, μακρά ἐστι.

Θερμόν, παρὰ τὸ τομόν. [illegible] τοῦ θέσθαι καὶ τὸ θέσαι, γίνεται θεμόν. ἐπλεόνασε δὲ τὸ ρ εἰς παράτασιν τοῦ εὐκινήτου. διὰ τοῦτο καὶ τὸ πῦρ τὸ ρ ἔχει, καὶ ὁ ἀνὴρ, καὶ τὸ ὕδωρ, διὰ τὸ εὐκίνητον.

Θεσσαλονίκη, πόλις μακεδονίας. ἡ [illegible] ἁλία ἐκαλεῖτο. κασάνδρου κτίσμα. ἢ ὅτι φίλιππος ἐκεῖ θετταλοὺς νικήσας, οὕτως ἐκάλεσεν. ἢ ὅτι φίλιππος θεασάμενος κόρην εὐπρεπῆ ἔγημε. καὶ τεκοῦσα, τῇ ἕκτῃ ἡμέρᾳ τῆς λοχείας τέθνηκεν. ἀναλαβὼν οὖν ὁ φίλιππος τὸ παιδίον, ἔδωκε νίκῃ τρέφειν. καὶ ἐκάλεσε θεσσαλονίκην. ἡ γὰρ μήτηρ τοῦ παιδίου, νικασίπολις ἐκέκλητο. στράβων δὲ, θεσσαλονίκειαν αὐτήν φησι. τὸ ἐθνικὸν, θεσσαλονικεύς.

Θέσπις. ἐστὶ θεός, καὶ ὂψ ἡ φωνή, καὶ γίνεται θεόσπις. καὶ κατὰ συγκοπὴν, θέσπις θέσπιδος. ἡ αἰτιατικὴ, θέσπιδα, καὶ θέσπιν. σημαίνει δὲ τὴν θείαν φωνήν. καὶ θέσπιν ἀοιδὸν, ἐκ θεοῦ τὴν ὄπα ἔχοντα. εἰς τὸ ἄσπις.

Θεσπέσιος, παρὰ τὸ θεὸς καὶ τὸ πέτω, ὃ σημαίνει τὸ πίπτω. οὗ ὁ μέλλων, πέσω, γίνεται πέσιος, καὶ θεοπέσιος. καὶ συγκοπῇ, θεσπέσιος, ὁ ἐκ τοῦ θεοῦ πεσών. ἢ θεῖος καὶ θαυμαστός. παρὰ τὸ ἕπεσθαι θεῷ. καὶ θεσπεσία, θεία. θαυμαστή. οἱονεὶ, θεοσπεσία. παρὰ τὸ σπέσθαι καὶ ἐπακολουθεῖν θεοῖς. ἢ παρὰ τὸ πεσεῖν, θεοπεσία(?). ἢ παρὰ τὸ θέσπις.

Θεσπίζω, σημαίνει τὸ ὁρίζω καὶ νομοθετῶ. ἀφ' οὗ καὶ θέσπισμα τὸ θεῖον δόγμα. σημαίνει δὲ καὶ τὸ μαντεύομαι.

Θεσπιδαὲς πῦρ, τὸ θεῖον.

Θέσφατον. ἀθέσφατον, ἀποβολῇ τοῦ α. ἢ ἀπὸ τοῦ θεόφατον, ὃ σημαίνει τὸ ἐκ θεοῦ λεγόμενον. κατὰ συγκοπὴν καὶ πλεονασμὸν τοῦ σ.

Θέσκελα ἔργα, θεῖα. θαυμαστά. θεοείκελος, καὶ συγκοπῇ, θεόκελος. καὶ θεόκελον, καὶ θέσκελον. ὡς θεόφατον, θέσφατον.

Θεσμός. ἐστὶ τὸ ὅλον σύνταγμα τῆς πολιτείας. εἰς τὸ θέμις.

Θεσμοθέται. ἀρχή ἐστιν ἀθήνησιν ἀνδρῶν ἕξ. καλοῦνται δὲ οὕτως. ὅτι τῶν νόμων ἐπιμέλειαν ἐποιοῦντο. θεσμοὺς γὰρ ἐκάλουν τοὺς νόμους. καὶ διαφέρουσι [illegible]. θεσμοὺς γὰρ εἶναι τοὺς δράκοντος. νόμους δὲ τοὺς σόλωνος.

Θέσθαι, τὸ θησαυρίσασθαι, ἐν ὀδυσσείας ν. καὶ τὸν θησαυρὸν ἀνακρέων θεσμὸν καλεῖ. εἰς δὲ τὸ ῥητορικὸν λεξικόν, ἀντὶ ὑποθήκην λαβεῖν, ὑπὸ [illegible]. ἀντὶ προέσθαι καὶ κυρῶσαι μόνον. δημοσθένης ἐν τῷ περὶ ἀτελειῶν. ἐν μέντοι τῷ κατὰ στεφάνου φησίν. Ἑαυτῷ νόμους ἰδίους θέμενον, ἀντὶ θέντα.

Θετὸς υἱός, προσποιητός. τοὺς γὰρ εἰσποιητοὺς καὶ θετοὺς ἔλεγον. καὶ θέτην, τὸν εἰσποιησάμενον παῖδας θετούς. ἢ θέτης, ὁ εἰς ὑποθήκην λαβὼν ὁτιοῦν.

Θέτι καλλιπλόκαμω. ὥσπερ ἀπὸ τοῦ μῆτις μήτιδος μήτιδι, κατὰ ἀποβολὴν τοῦ δ μήτι, καὶ κράσει μήτι μακρόν. οἷον, Μήτι τοι δρυτόμος μέγ' ἀμείνων, οὕτω καὶ ἀπὸ τοῦ θέτις θέτιδος θέτιδι, θέτι καὶ θέτι κατὰ κρᾶσιν τῶν δύο ι εἰς ἓν μακρόν. καὶ νέανις, κράσει νῆνις νήνιος νήνιϊ. καὶ κράσει, νήνι.

Θευδᾶς, ὑποκοριστικὸν τοῦ θεόδωρος.

Θεῦν, ἄρτεμιν, σημαίνει τὴν θεόν. καὶ κράσει δωρικῇ τοῦ εο, εἰς τὴν ευ δίφθογγον, ὡς ἐκ τοῦ ἐρέβεος. Ἐξ ἐρέβευς ἄξοντα.

Θεύσεσθαι, δραμεῖν. ἀπὸ τοῦ θέω. θεύω. θεύσω. θεύσομαι. τὸ δὲ θέω, κατὰ μὲν τὸ πρῶτον πρόσωπον, οὐ συναιρεῖται. κατὰ δὲ τὸ δεύτερον καὶ τρίτον.

Θετταλικός, ἐκ τοῦ θετταλός. τοῦτο δέ ἐστι πόλις θετταλίας.

Θετταλικὰ πτερά. τοῦτο εἴρηται διὰ τὸ πτέρυγας ἔχειν τὰς θετταλικὰς χλαμύδας. πτέρυγες δὲ καλοῦνται, αἱ ἑκατέρωθεν γωνίαι, διὰ τὸ ἐοικέναι πτέρυξι.

Θεωρός, παρὰ τὸ θεός, καὶ τὸ ὁρῶ. ἢ παρὰ τὸ τὰ θύη ὁρᾶν. θεωροὶ γὰρ οἱ θεαταί. ἀλλὰ καὶ οἱ εἰς θεὸν πεμπόμενοι. οἱ φύλακες τῶν θυσιῶν καὶ χρησμῶν, ἢ τὸ θεῖον φροντίζοντες. ὤραν γὰρ ἔλεγον τὴν φροντίδα.

Θεωρικὸν ἀργύριον, τὸ εἰς θεῶν τιμὴν καὶ ἑορτὴν διδόμενον θεωρίας ἕνεκα. καὶ τοὺς πένητας μετέχειν τῶν θεωρικῶν. καταχρηστικῶς δὲ καὶ πάντα τὰ διανεμόμενα, θεωρικὰ ἔλεγον. Ἦν τοίνυν κοινὰ χρήματα ἀθήνησιν, ἃ ἐκάλουν θεωρικά, εἰς διανομὴν διδόμενα τοῖς ἀθηναίοις. ἐπειδή φασι τὸ παλαιὸν ὄχλου γινομένου ἐν τῷ θεάτρῳ, καὶ τῶν ξένων προκαταλαμβανόντων τὰς θέας, καὶ ἐκκλειομένων τῶν ἀστῶν, ἔδοξε διδόσθαι θεωρικὸν, ἵνα τοῦτο λαμβάνοντες παρὰ τῆς πόλεως οἱ πολῖται, διδῶσιν αὐτοῖς τὸν τόπον τῆς θέας. ἦν δὲ τοῦτο ὀβολοὶ δύο. φησὶ γοῦν δημοσθένης ἐν τῷ περὶ στεφάνου. Ἀλλ' ἐν τοῖν δυοῖν ὀβολοῖν ἐθεωρεῖτε ἂν εἰ μὴ τοῦτο ἐγράφη. ἐν ταῖς λεγομέναις διονυσίαις θεωρίαις. ἀγώνων τελουμένων φιλοτίμων, συνέβαινε τινὰς τῶν πολιτῶν, εἰς ὕβρεις καὶ τραύματα διαφέρεσθαι. ἔδοξεν οὖν τῷ δήμῳ, μηκέτι προῖκα θεωρεῖν τὰς θέας, ἀλλὰ διδόναι τοῖς πολίταις τὸ θεωρικὸν, δύο ὀβολούς. ὁ τοίνυν ἐπιμελούμενος τὸν χρόνον τοῦτον, ἐλέγετο ἄρχων τῶν θεωρικῶν. ἦν δὲ καὶ τὰ θεωρικὰ χρήματα [illegible] μετὸ ἡ πόλις ταῖς κοιναῖς ἑορταῖς ὄντα κοινά. ἃ καὶ ἠξίου δημοσθένης ἐν τοῖς φιλιππικοῖς στρατιωτικὰ γίνεσθαι. καὶ ἅμα εἰς τὰς τῆς πόλεως χρείας φυλάττειν. καὶ ἐκαλοῦντο στρατηγικά. ὕστερον δὲ ἐν ταῖς ἑορταῖς καὶ θυσίαις.

Θεῖος. ἀπὸ τοῦ θεός, θέειος. καὶ κατὰ κρᾶσιν, θεῖος.

Θεία, σημαίνει τὴν μητέρα τῆς σελήνης καὶ τοῦ ἡλίου. παρὰ τὴν θέαν, γέγονε θεία. καὶ κατὰ συναίρεσιν, θεία. καὶ γὰρ αὕτη ἐστὶν αἰτία τῆς θέας, καὶ τοῦ θεωρεῖν ἡμᾶς.

Θεῖον, τὸ ἐπιθυμιώμενον εἰς κάθαρσιν καὶ ἀβλαβὲς ποιοῦν. ἔνθα καὶ τὸ, Πάσσε δ' ἁλὸς θείοιο. θείους κέκληκε τοὺς ἅλας, διὰ τὸ ἄσηπτα τηρεῖν τὰ παθέντα. καὶ θεείου καιομένου, φησὶν ἀπὸ τοῦ κεραυνοῦ. ὁ δ' εὐδαίμων, παρὰ τὸ θεός, θέειον. καὶ ἀποβολῇ τοῦ ε, θεῖον.

Θειλόπεδον, ὁ τόπος ἐν ᾧ ξηραίνονται αἱ σταφυλαί, ἢ ἕτερα τινά. τὴν μέντοι τῶν σύκων ψύξιν [illegible] ἐκάλουν. παρὰ τὴν εἵλην ὃ σημαίνει τὴν θερμασίαν, γίνεται εἵλη πλεονασμῷ τοῦ ι. καὶ τὸ πέδον ὃ σημαίνει τὴν γῆν τὸ χαμαί, γίνεται θειλόπεδον. παρὰ τὴν τοῦ ἡλίου αὐγήν. καὶ πλεονασμῷ τοῦ θ.

Θείομεν, ἐνθῶμεν. ἐμβάλωμεν. Ἰστέον ὅτι ὁ μὲν ἡρωδιανὸς ἀρνησάμενος τὸ θείω ἐνεστῶτα εἶναι, ἀφ' οὗ τὸ θείομεν. ἐστὶ δὲ ὑποτακτικὸν δευτέρου ἀορίστου ἔχον διαίρεσιν καὶ πλεονασμόν. Ὄφρ' ἂν ἐγὼ βείω. καὶ τὸ, Ἐὰν στῶ μή πως με περιστείωσ' ἕνα πολλοί. ὡς παρὰ τὸ δαμῶ δαμείω, οὕτω θῶ, θέω. καὶ παρὰ σαπφοῖ. Ὅτινας γὰρ εὖ θέω κεῖνοί με μάλιστα σίνονται. τοῦτο ἐν πλεονασμῷ. Θείω ἀναρπάξας. εἶτα ἀκολουθεῖ θείωμεν. καὶ κατὰ συστολὴν, θείομεν. ὡς τὸ καταβείομεν συστολῇ. Δεῦρ' ἐς τοὺς φύλακας καταβείομεν. Μὴ εἴομεν δαναοῖσι μαχησόμενοι. Ἀλλ' ἄγε δὴ φιλότητι τραπείομεν. οὕτω ζητεῖ. ἐν ἄλλοις δὲ, ἀπὸ τοῦ θῶ θείω, ὡς ὀψῶ ὀψείω, καὶ τελῶ τελείω.

Θειαζόντων. μαινομένων, καὶ θεολήπτων γινομένων. καὶ θειάσαντες καὶ ἐπιθειάσας, τὸ ἐπιθαυμάσας.

Θειάσας, τὸ θεῖον εἰσδεδεγμένος. θεοφορούμενος. παρὰ τὸ θεός, γίνεται θεῶ. ὁ πρῶτος ἀόριστος, ἐθέασα. θεάσας ἡ μετοχή. καὶ πλεονασμῷ τοῦ ι, θειάσας. ἢ παρὰ τὸ θειάζω. ὁ δὲ μιλήσιος παρὰ τῷ συγγραφεῖ, θεοὺς ἐπικαλεσάμενος καὶ κατευξάμενος. ἐστὶ γὰρ ἀπὸ τοῦ ἐπιθειάζειν.

Θίασος. ὀφείλει διὰ διφθόγγου γράφεσθαι. ἐτυμολογεῖται δὲ παρὰ τὸ τὰ θειάσαι. ἡ δὲ παράδοσις διὰ τοῦ ι. λέγεται δὲ ὁ χορός. παρὰ τὸ τὰ θειάζειν. ἢ ἀπὸ τοῦ θεῖν, ὅ ἐστι θεύειν. ὅθεν θιασώτας λέγουσι τοὺς περὶ τὸν διόνυσον. καὶ θιασῶται, χορευταί, οἱ τὰ θειάζοντες. θιασώτης, καὶ μέγα ἀπὸ παραδόσεως.

Θίς. θηλυκῶς λέγεται ὁ αἰγιαλός. Ἐκβάντες δ' ἐπὶ θῖνα. παρὰ τὸ θέω τὸ τρέχω. ἐν γὰρ τῷ αἰγιαλῷ, θέουσι καὶ τρέχουσι τὰ κύματα. ἢ παρὰ τὸ θείνω τὸ τύπτω. ἐν γὰρ τῷ αἰγιαλῷ, θείνουσι καὶ τύπτουσι τὰ κύματα. εἰς ὃν ἐγκρούουσι τὰ κύματα. ἀρσενικῶς δὲ, σημαίνει τὸν σωρόν. καὶ γίνεται παρὰ τὸ θῶ. ὡς τὸ, Πολὺς δ' ἀμφ' ὀστεόφιν θίς. ὅ ἐστι σωρός. τὸ δὲ θείνω, σημαίνει δύο. τὸ τύπτω, καὶ τὸ φονεύω.

Θῆβαι, τὸ νῦν ἀδραμύττιον καλούμενον.

Θιγγάνει καὶ ἐπιθιγγάνει, τὸ ἐφάπτεται καὶ προσεγγίζει. ἐκ τοῦ θίγω, γίνεται θιγγάνω. θήγει δὲ, ὀξύνει. ἀκονᾷ. γίνεται ἀπὸ τοῦ θήγω, θηγάνω. ὡς παρὰ τὸ ἥδω, ἁνδάνω. πήθω, πυνθάνω. μήθω, μανθάνω. καὶ δήκω, δάκνω. τὸ δὲ θήγω τὸ ἀκονῶ, παρὰ τὸ θοῶ, θοήγω, καὶ θήγω. τουτέστι τὸ θοὸν καὶ ὀξὺ ποιῶ. ἐγὼ δ' ἐθόωσα παραστάς.

Θηεῦντο. θηεῦντο μέγα ἔργον. ἐθεῶντο. ἐθαύμαζον, ἢ ἐθεώρουν. ἐθέοντο. ὑποθέσει, θεέοντο. καὶ κατὰ συναίρεσιν τοῦ εο εἰς τὴν ευ δίφθογγον, θεεῦντο. καὶ ἐκτάσει τοῦ ε εἰς η, θηεῦντο. θεάω θεῶ, θεάσω. καὶ τὸ παθητικὸν, θεάομαι θεῶμαι. ὁ παρατατικὸς, ἐθεαόμην ἐθεώμην. τὸ γ' τῶν πληθυντικῶν, ἐθεάοντο, ἐθεῶντο. καὶ οἱ δωριεῖς, τὸ ω γε ποιοῦσιν εἰς τὴν ου δίφθογγον. καὶ συστολῇ τῆς ἀρχούσης, καὶ τροπῇ, θηεῦντο.

Θηλαμών, ἡ τροφός. παρὰ τὸ θήσω μέλλοντα δηλοῖ τὸ θηλάσω. τὸ γὰρ θήσω, δύο σημαίνει. τὸ ποιῶ, καὶ τὸ θηλάζω. ἔστι θῶ ῥῆμα δηλοῦν τὸ τρέφω. οὗ ὁ μέλλων, θήσω. ὅμηρος. Γυναῖκά τε θήσατο μαζόν. ἀντὶ ἐθήλασεν. ἐκ τοῦ θήσω οὖν, γίνεται ῥηματικὸν ὄνομα θηλή. καὶ τροπῇ, θηλῶ. ὡς κάρη, κάρως. εἴρηται γὰρ καὶ θηλυκῶς κάρη ὡς παρὰ καλλιμάχῳ. Ἦν τε κάρην ὤμοσα σόν τε βίον.

Θίς. τὸ θίς ἐπὶ τοῦ αἰγιαλοῦ ἀρσενικὸν καὶ θηλυκόν ἐστι. καὶ ἐπὶ τοῦ σωροῦ, ὁμοίως ἀρσενικὸν καὶ θηλυκόν ἐστι. Θινὶ φοινικόεντι. καὶ ἐπὶ τοῦ σωροῦ θηλυκῶς παρὰ αἰσχύλῳ. Θινὸς ἐμβολὰς ἁλός.

Θήβησι. τὸ θήβησιν, ὅτε μὲν ἔχει τὴν πρόθεσιν, τότε δοτική ἐστιν. οἷον ἐν θήβαισιν. ὅτε δὲ χωρὶς αὐτῆς ἐστι θήβησι, τότε ἐπιρρηματικῶς κεῖται.

Θῆβαι. συριστὶ λέγεται ἡ βοῦς. ὅθεν ἐκλήθησαν αἱ θῆβαι ὑπὸ τοῦ κάδμου κτισθεῖσαι. ὅτι ζητῶν τὴν ἀδελφὴν, χρησμὸν ἔλαβε κατοικῆσαι, ὅπου ἡ βοῦς ἑαυτὴν καταθήσει. ἢ ἀπὸ θήβης θυγατρὸς μετώπης, γυναικὸς

ἀσώπου. ἀφ' ὧν καὶ ὠνομάσθησαν ἐκεῖ πολῖται ἢ πόλις, ὡς εὕρομεν εἰς τὸ σχόλιον τοῦ πινδάρου ἐπινικίων ὕμνων ᾠδὰ

Θ ἤλεα. ἐκ τοῦ θῆλυ, τουτέστι θήλυς. ‹ γνήσια συρακουσίω. καὶ ἐκ τοῦ θήλυς θήλεα. ἢ παρὰ τὸ θάλλειν καὶ γλυκαίνειν. ὅθεν καὶ ἡ ὑπόμβροσ νὺξ παρὰ σοφοκλεῖ, θήλεια καλεῖται. θηλὴ δέ ἐστιν ὁ μαστός. Θηλύτεραι δὲ γυναῖκες, ἰλιάδος θ. αἱ πρὸς τὰ ἀφροδίσια καταφορώτεραι. ὡς πρὸς σύγκρισιν τῶν ἀλόγων ζώων. τὰ μὲν γὰρ ἄλλα, ὡρισμένον ἔχει καιρὸν ἐν ᾧ μίγνυνται. αὗται δὲ διηνεκῶς πλησιάζουσι.

Θ ηλυτεράων. ὅτι τὰ λοιπὰ ζῶα ὅρον ἔχει τῆς μίξεως τὴν σύλληψιν. αὗται δὲ ἀεί. διὸ ἐκ τοῦ ἐναντίου οἱ ἄνδρες ἀλφησταὶ λέγονται οἱ καρποφόροι. κατὰ μεταφορὰν ἀπὸ τῶν ἰχθύων. ἀλφὴ γὰρ εἶδος ἰχθύος. ἤγουν καρποφερῶν ἢ θαλλουσῶν ἢ εὐκάρπων. καρπὸς γὰρ αὐτὸς ἄνθρωπος, οὗ βέλτιον οὐδέν. οὗ βελτίων οὐδείς. ὡς ἐπὶ τοῦ, Νήσων θηλυτεράων.

Θ ημών. παρὰ τὸ θησαυρισμένον τὰ, δηλοῖ τὸ τίθημι. σημαίνει τὸν σωρὸν τῶν δραγμάτων. καὶ θημωνία, σωρὸς καρπῶν.

Θ ημακεύς, δῆμος ἐστι φυλῆς τῆς ἐρεχθηίδος. θημακός.

Θ ηραμένης, ὄνομα κύριον. οὗτος ἀνῃρέθη κατηγορήσαντος αὐτοῦ κριτίου ἐπὶ τῶν τριάκοντα.

Θ ηρθηρός, παρὰ τὸ ῥαδίως θεῖν, ἤγουν εὐκόλως τρέχειν. ἢ παρὰ τὸ φθείρω, φθερῶ, φθὴρ καὶ θήρ.

Θ ηρίον, παρὰ τὸ θήρ. τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ, ἃ μὲν ὦσι δακτυλικὰ, τρόμιας ἔχει τὸν τόνον. οἷον, φορτίον. κλάδιον. φυκίον. εἰ δὲ τρίβραχα, προπαροξύνεται. φλέβιον. ὄπιον. φάκος, φάκιον. λάγος, λάγιον. νάκος, νάκιον. οὕτως ἴχνος, ἴχνιον, ὡς βραχέα. ἔστω ἐρκίον.

Θ ηροδίωξ καὶ αἰγοδίωξ. ἰστέον ὅτι παροξύνεται.

Θ ηρώτης, κυρίως λέγεται ὁ σῦς καὶ λέοντας θηρεύων. παρὰ τὴν θήραν. τούτους γὰρ θήρας ἐξαιρέτως ἐκάλουν οἱ ἀρχαῖοι. καταχρηστικῶς δὲ, καὶ ἐπὶ πάντων.

Θ ηρίκλειον κύλικα, ποτήριον ὑέλινον. τὸ τοῦ θηρικλέους ποτήριον. θηρικλέους τέκνον κύλιξ, ἣν λέγουσι πρῶτος κεραμεὺς θηρικλῆς ποιῆσαι, ὥς φησιν εὔβουλος ὁ τῆς μέσης κωμῳδίας ποιητής.

Θ ησαίατο. ἀπὸ τοῦ θεῶ, θεήσω, ἐθεασάμην. τὸ εὐκτικὸν, θεασαίμην, θεάσαιντο. καὶ κράσει τοῦ ε καὶ α εἰς η.

Θ ήσαντο, ἐθαύμασαν. ἀπὸ τοῦ ἐθεάσαντο, τουτέστιν ἐθεήσαντο. καὶ ὑπερθέσει, θεέησαντο. καὶ κράσει τῶν δύο εε εἰς η, ‹ θήσαντο.

Θ ησεύς. ὠνόμασται διὰ τὴν τῶν γνωρισμάτων θέσιν. τοῦ τε ξίφους καὶ τῶν πεδίλων, ὡς ἡ ἱστορία δηλοῖ. οἱ δὲ, ὕστερον ἀθήνησι παῖδα θεμένου τοῦ αἰγέως αὐτοῦ.

Θ ήσειον, τέμενός ἐστι τῷ θησεῖ. ὃ τοῖς οἰκέταις ἄσυλον ἦν. ἐλέγοντο δὲ δίκαι ἐνταῦθα, ἢ ναὸς τοῦ θησέως, ἐφ' ὃν οἱ ἀποδιδράσκοντες δοῦλοι, προσέφευγον. φιλόχορος δὲ, οὐ μόνον τοὺς οἰκέτας τὸ παλαιόν φησι καταφεύγειν εἰς τὸ θησεῖον, ἀλλὰ καὶ τοὺς ὁπόσοι ἱκετεύοντας. δηλοῖ δὲ καὶ φυτόν τι ποιόν. καὶ τὸ δεσμωτήριον παρὰ ἀθηναίοις. τὰ δὲ ἀπὸ τῶν εἰς εὺς διὰ τοῦ ειον γινόμενα μονογενῆ, προπερισπᾶται. βαλανεῖον, βαφεῖον. πλὴν τοῦ θησεὺς, θήσειον, καὶ τὸ φύτειον πόλις. ἀπὸ φυτέως τοῦ κτίσαντος αὐτήν. πρὸς καὶ τὰ μονογενῆ, διὰ τὸ βασιλεὺς, βασίλειον. ἔστι δὲ τριγενές, οἷον βασίλειος οἶνος. βασίλεια χείρ. βασίλειον οἴκημα.

Θ ησειότριψ, ὁ ἐν τῷ θησείῳ διατρίψας. ἀριστοφάνης πολυίδῳ. καὶ θησομυζεῖν δὲ, τὸ ἐν αὐτῷ λέγειν.

Θ ῆττα. ἐπίκληρον οὐκ ἔχουσα φερνὴν πενιχρὰ καταλειφθεῖσα ὑπὸ τοῦ πατρὸς. καὶ ὑπὸ τῶν ἀγχιστέων προικιζομένη κατὰ νόμον. ἐκ τοῦ θὴς θητὸς, τὸ θηλυκὸν, θῆσσα. ἡ μισθωτὸς, καὶ πενιχρά.

Θ ητεία, δουλεία. καὶ θητεύς. εἰς τέσσαρα διαιρουμένης παρὰ ἀθηναίοις τῆς πολιτείας, οἱ ἀπορώτατοι θῆτες ἐλέγοντο. τὰ τέσσαρα δὲ τέλη, πεντακοσιομέδιμνον. ἱππεῖα. ζυγίτην. θῆτα.

Θ ητικόν. καὶ θητικὸν τέλος. θεραπευτικόν. ὑποχείριον. ἐργαστικὸν τῶν δεόντων. μισθαρνικόν. σημαίνει δὲ τὸ ἔσχατον τίμημα παρὰ ἀθηναίοις εἰς τέσσαρα τέλη διῃρημένου τοῦ πολιτεύματος. γέγονε δὲ ἀπὸ τοῦ θὴς θητὸς θητικὸν, κτητικῷ τύπῳ. τὸ δὲ θὴς, παρὰ τὸ τῶ ὅ ἐστι τὸ λαμβάνω. ὁ ἐστι μετὰ τῆς στερήσεως, τουτέστι τὸ οὐ λαμβάνω. θῆτες οὖν, οἱ μισθῷ διὰ πενίαν ἐργαζόμενοι. παρὰ τὸ τητᾶσθαι, ὅ ἐστι στέρεσθαι. ὡς εἶναι τῆτες καὶ θῆτες οἱ πένητες, οἱ ἐπὶ συντάξεσί τισι καὶ ἐπὶ μισθῷ δουλεύοντες. οὗτοι δὲ οὐδὲ μιᾶς μετεῖχον ἀρχῆς, οὐδ' ἐστρατεύοντο.

Θ ίς, ὁ αἰγιαλός. παρὰ τὸ θέω. ὁ παραθέων τῇ θαλάσσῃ, καὶ περιήκων. ὁ εἰς ὕψος ἀναθέων. οὕτως ὧρος. ὅμηρος. Πολλὸς δ' ἀμφ' ὀστεόφιν θίς. παρὰ τὸ εἰς ὕψος ἀναθεῖν. θὶς, ἐπὶ τοῦ σωροῦ. παρὰ τὸ θῶ, ἀφ' οὗ θεῖναι καὶ ἐπιθεῖναι.

Θ ῆτες, παρὰ τὸ τητᾶν, ὅ ἐστι σπανίζειν τροφῆς. καὶ διὰ τοῦτο δουλεύειν ἐλευθέρους ὄντας. ἢ οἱ ποιητοὶ δοῦλοι. ἢ παρὰ τὸ τῶ τὸ ζητῶ. ὁ ἐπὶ μισθῷ δουλεύων.

Θ ανῆ. θνῶ, θνήσκω. ὁ δεύτερος ἀόριστος, ἔθανον. ὁ μέλλων δεύτερος, θανῶ, θανοῦμαι, θανῇ.

Θ νητὸς, παρὰ τὸ θάνατον. πρὸς ἀντιδιαστολὴν τῶν θεῶν, γέγονε θανῶ, θανήσω, θανητὸς, καὶ θνητός.

Θ νησιμαῖος. ἐκ τοῦ θνήσιμος, θνησιμαῖος.

Θ νήσκω. ὡς παρὰ τὸ γνῶ, γνώσω, γνώσκω. καὶ βρῶ, βρώσω, βρώσκω καὶ βιβρώσκω. ὁ δίδυμος χωρὶς τοῦ ι. ὥσπερ ἀπὸ τοῦ ἀρέσω μένοντος, τουτέστιν ἀρέσκω καὶ μεθύσκω πλεονασμῷ τοῦ κ, καὶ μετάγονται εἰς ἐνεστῶτα, οὕτω καὶ ἀπὸ τοῦ μνῶ μνήσω, καὶ θνῶ θνήσω, τουτέστι θνήσκω, καὶ μνήσκω, καὶ οὐκ ἔχει τὸ ι. οἱ δὲ, λέγουσι σὺν τῷ ι, ὅτι οἱ αἰολεῖς θναίσκω καὶ μναίσκω λέγουσι διὰ τῆς αι διφθόγγου. ἀλλ' ἰδοὺ τὸ ἥσσωδος καὶ ἡμίονος αἴσσωδος καὶ αἰμίονος λέγουσιν, ἀλλ' ὅμως οὐκ ἔχει τὸ ι. ἡ μέντοι παράδοσις, ἔχει τὸ ι. ἴσως ἐκ τοῦ λέγειν τοὺς αἰολεῖς θναίσκω καὶ μναίσκω. ἄλλοι δὲ λέγουσιν ὅτι διὰ τοῦ ίσκω γίνεται ἡ παραγωγή. ἐνίσκω, καὶ μνήσκω. οὐ καλῶς δὲ λέγουσι. καὶ γὰρ τὰ τῆς πρώτης συζυγίας τῶν περισπωμένων, διὰ τοῦ ίσκω ποιοῦσι τὴν παραγωγήν. οἷον, εὑρῶ εὑρεῖς, εὑρίσκω. στερῶ στερεῖς, στερίσκω. τὰ δὲ τῆς δευτέρας, διὰ τοῦ άσκω. ἡβῶ ἡβᾷς, ἡβάσκω. τὰ δὲ τῆς τρίτης, διὰ τοῦ ώσκω. βιῶ βιοῖς, βιώσκω. εἰ οὖν ὡς ἀπὸ τοῦ θνῶ θνήσω θνήσκω γέγονε, καὶ μνῶ μνήσω μνήσκω, ταῦτα δὲ δευτέρας συζυγίας ἐστὶν, ὤφειλε διὰ τοῦ άσκω εἶναι ἡ παραγωγὴ, καὶ οὐ διὰ τοῦ ίσκω. ὡς τε δευτέρας συζυγίας ἐστί. καὶ δῆλον ἐκ τοῦ μνῶμαι, ὥσπερ βοῶμαι. καὶ τὸ τέθνημι, τέθναθι γινόμενον διὰ τοῦ α. ὥσπερ ἵστημι, ἵσταθι. ἔχει δὲ τὸ η τὰ δύο ταῦτα.

Θ οός. ἀπὸ τοῦ θέω τὸ τρέχω, τουτέστι θοός, ὁ ταχύς. καὶ τὸ θηλυκὸν, θοή. διὰ τί, ὥσπερ ἀπὸ τοῦ πλόος, τουτέστι πλοῦς, μὴ καὶ ἀπὸ τοῦ γόος γοῦς, καὶ θοὸς θοῦς. καὶ περὶ μὲν τοῦ γόος, ἔστιν εἰπεῖν, ὅτι τὰ εἰς ος δισύλλαβα οὐκ ἔχει ῥῆμα παρακείμενον τῆς δευτέρας συζυγίας τῶν περισπωμένων. οἷον, γοῶ, γοᾷς. οὗ χάριν ἐπήλλακται. περὶ δὲ τοῦ θοός, ὅτι ἐπειδὴ τὰ διὰ τοῦ ος δισύλλαβα, πάντα βαρύνεται. τὸ δὲ θοὸς, ὀξύνεται. οὗ χάριν διήλλαξε κατὰ τὸ μὴ κιρνᾶσθαι. ἐν δὲ τῇ συνθέσει τὸ θοὸς, βαρύνεται. πάνθοος, πάνθους.

Θ οή, σημαίνει πέντε. τὸ μέγα. οἷον, Θοαῖς ἀφροσύναις. ἀντὶ τοῦ μεγάλαις. καὶ, Θοὴ δ' ὑπεδέξατο γαῖα, ἀντὶ μεγάλη. εἶτα εὑρίσκεται θοὸν τὸ ταχὺ, ἢ ὀξὺ, ἢ ἰσχυρόν. Καὶ ἀνὴρ τις ἐσσεύει θοῶς. ἰσχυρῶς. Νήσοισι θοαῖς, ταχείαις. Νήσοισιν θοῇσιν, ὀξείαις. ὀξεῖαι γὰρ οὕτω καλοῦνται νῆσοι περὶ τὴν κεφαληνίαν. Αἰνείας δ' οὐ μένε θοὸς περ ἐὼν πολεμιστής. τὸ δὲ λέγομεν ἀγαθὸν, πλεονάσμα. ἡγοῦμαι γὰρ τὴν ἀνδρεῖον καὶ ἰσχυρόν. καὶ, Θοῶς δ' ἐπὶ δεσμὸν ἴηλα, ἀντὶ ἀσφαλῶς. ἐκ δὲ τούτου, τὸ ἑδραῖον. καὶ ἐκ τοῦ ἑδραίου, τὸ ἰσχυρόν. καὶ θοὴν δαῖτα, τὴν ἑδραίαν καὶ ἀκίνητον, διὰ τὸ καθεζομένους ταύτης τυγχάνειν. καὶ θοὴν νύκτα, τὴν ἑδραίαν. οὐχ ὥς τινες τὴν μέλαιναν, ἀλλὰ τὴν ἀκίνητον. ἢ τὴν ταχέως ἐπιλαμ-

Θ οκερός, ὁ τεταραγμένος. ‹ βάνουσαν τὴν γῆν.

Θ όραι, δῆμος ἀντιοχίδος.

Θ όρικος, δῆμος ἀκαμαντίδος.

Θ όρυβος. παρὰ τὸ θέω τὸ τρέχω καὶ τὸ βοή. ἢ παρὰ τὸ θέω τὸ τρέχω, γίνεται θέρυβος καὶ θόρυβος.

Θ ολερῶς προβαίνεις. μὴ καθισταμένην καὶ ἀσφαλῆ πορείαν ἔχων, ἀλλ' ἀναστάτως καὶ τεταραγμένως ποιῶν.

Θ ολερός. παρὰ τὸ θολὸν, θολερός. θολὸς δέ ἐστι τὸ μέλαν τῆς σηπίας. ὅθεν καὶ ῥῆμα θολῶ.

Θ όλος, περιφερὲς οἰκοδόμημα. ἀπὸ τοῦ περιθεῖν.

Θ όλος, τόπος τις ἐν τοῖς ἀρχείοις κληθεὶς διὰ τὸν τρόπον τῆς κατασκευῆς. ἦν γὰρ λιθοειδὴς καὶ ὀροφὴν εἶχε περιφερῆ, οἰκοδομητὴν, οὐχὶ ξυλίνην, ὡς τὰ ἄλλα οἰκοδομήματα. λέγεται θηλυκῶς ἡ θόλος.

Θ ορός, ὁ σπόρος τοῦ σώματος. ἀπὸ τοῦ θορῶ τὸ ὁρμῶ. ὁ μετὰ ὁρμῆς πεμπόμενος. τοῦτο παρὰ τὸ θέειν ῥᾷον.

Θ οῦρος, ὁ ὁρμητικός. ὁ πολεμιστής. καὶ θοῦρον, τὸν πηδητικὸν καὶ ταχύν. οἱονεὶ ὀθοῶς ὀρούων, ἢ ὀνούφως ὀρούων. παρὰ τὸ θέρω τὸ θερμαίνω, θόρος καὶ θοῦρος. ἀπὸ μεταφορᾶς τῆς τοῦ πυρὸς ὁρμῆς. καὶ θορεῖν, τὸ πηδᾶν παρὰ τὸ αὐτό. ἢ ἀπὸ τοῦ θέω ῥήματος, ὅθεν καὶ τὸ θεῖον τὴν ἀρχὴν εἴληφεν. ὥστε τὴν γενικὴν τοῦ πυρὸς οὖσαν, ἀπὸ τοῦ θέω ῥήματος ὠνομάσαι τοὺς ἀρχαίους. ταύτῃ γοῦν τοὺς μὲν ταχεῖς, θερμοὺς λέγουσι. τοὺς δὲ ψυχροὺς, βραδεῖς. ἀπὸ δὲ τοῦ θοῦρος, γίνεται θορῶ τὸ ὁρμῶ, καὶ πηδῶ.

Θ οῦρις, ἡ ἀσπίς. παρὰ τὸ θύειν, θύρις. καὶ πλεονασμῷ τοῦ ο, θοῦρις. ἀπὸ τῶν περιεχομένων τὸ περιέχον εἴρηται. ἢ θοῦρις ἡ θοροποιός. καὶ, Θοῦριν ἐπιειμέ-

Θ οίνη, εὐωχία. τροφή. κατάβρωμα. ‹ νοι ἀλκήν. παρὰ τὸ θῶ. ὁ μέλλων, θώσω, τρίτης συζυγίας τῶν περισπωμένων, γίνεται ῥηματικὸν ὄνομα θώνη, καὶ θοίνη.

Θ ίασμος, εὐωχία. ἔσθ' ὅτε δὲ καὶ τὸ βακχεῖον φησί. κυρίως δὲ τὸ πλῆθος. εὐριπίδης, Θίασμος ἐσμὸς γυ-

Θ ιασώτης, ὁ συνωνυμὸς τῶν θυσιῶν. ἐκα- ‹ ναικῶν. λοῦντο δὲ καὶ οὗτοι ὀργεῶνες. ἐκλήθησαν δὲ ἀπὸ τοῦ θιάσου ὅ ἐστι σύνοδος καὶ συναγωγή. ἀπὸ τοῦ θεῖν.

Θ λῖψις. ἐκ τοῦ θλίβω θλίψω, θλῖψις. τοῦτο παρὰ τὸ θλῶ θλίβω, ἢ παρὰ τὸ θρῶ θρύβω, καὶ θλίβω κατὰ τροπήν. Τὰ εἰς βω λήγοντα ῥήματα ἐν ἰ φωνήεντι παραλήγεται. πλὴν τοῦ ἀμείβω. στείβω. εἴβω, τὸ στάζω. ὡς τὸ, Τέρσεν κατὰ δάκρυον εἶβεν.

Θ ρασύς, παρὰ τὸ θέρω τὸ θερμαίνω. ὁ μέλλων αἰολικῶς, θέρσω, γίνεται θερσός. καὶ τροπῇ τοῦ ε εἰς α καὶ ὑπερθέσει, θρασύς. οἱ γὰρ θρασεῖς, θερμοί.

Θ ρανητίδες, κῶπαι θηρευτῶν.

Θ ρανίου δίφρου. θράνος ὑποπόδιον καὶ θρανίδιον λέγεται. θραύεται γὰρ καὶ κλᾶται.

Θ ραῦσις. ἐκ τοῦ θραύω θραύσω, θραῦσις. ἐστὶ δὲ φθορά. θάνατος. ἀρρωστία. συντριβή. πληγή. θραύματα, νευροσπάσματα.

Θ ρασυκάρδιος, θρασύς. τολμηρός.

Θ ράττειν, ταράσσειν. ἐνοχλεῖν. νύσσειν. κινεῖν. δυσωπεῖσθαι. ὑφορᾶσθαι. τράττειν, καὶ θράττειν.

Θ ρᾷξ. θρᾷξ. ἐξ οὗ τὸ, Θρήικες ἀκρόκομοι. καὶ κατὰ συναίρεσιν, θρᾷξ. καὶ πάντα τὰ ἀπ' αὐτοῦ συγκείμενα θηλυκὰ, διὰ τοῦ ι τουτέστι θρῇσσα γυνὴ, καὶ θρᾷσσα. ἀθηναῖοι δὲ, θρᾷττα λέγουσι. καὶ τὸ θρᾴκη δὲ ἔχει τὸ ι. θρακίας. καὶ πλεονασμῷ τοῦ σ, θρασκίας, ὁ ἄνεμος.

Θ ρέπτα, λέγεται τὰ τεθραμμένα. θρέπτρα δὲ τὰ θρεπτήρια. ὥσπερ λύτρα τὰ λυτήρια. οὕτως εὗρον ἐγώ.

Θ ρέξασκον, ἀντὶ ἔτρεχον. τρέχω. ὁ μέλλων, θρέξω. ἔθρεξαν. καὶ ἰωνικῶς, θρέξασκον.

Θρέψας, τὸ πήξας. ὡς τό, Ἥμισυ μὲν θρέψας λευκοῖο γάλακτος. καὶ Σοφοκλῆς. ἔνθα τὸ πῆγμα τοῦ γάλακτος καὶ τεθραμμένον. ἔνθα καὶ τρέφεται, τὸ πεπηγμένον. σημαίνει καὶ τὸ σύνηθες. Τὴν μὲν ἄρα θρέψασα τεκοῦσα. διὰ τὸ τρέφω, θρέψω. καὶ τρέχω, θρέξω. τὸ ἔχω, ἕξω, οὐ συνάρχεται τῷ ἐνεστῶτι. ἐπειδὴ τὸ μὲν ἔχω ψιλοῦται. τὸ δὲ ἕξω, δασύνεται. τὰ δὲ λοιπὰ ὅτι ἰωνικά, ἐτράπει τὸ ψιλὸν τ, εἰς θ δασύ. οἱ γὰρ Ἴωνες, ἔθος ἔχουσι τὸ παρ' ἡμῖν ψιλούμενον, εἰς δασὺ τρέπειν. τὴν γὰρ κύθραν παρὰ τὸ χέειν ἡμᾶς ἐξ αὐτῆς, χύτραν λέγουσιν. ἔστι δὲ ἄλλως εἰπεῖν, ὅτι θρέφω καὶ θρέχω ὤφειλεν εἶναι, ἵνα σὺν ἄρξηται τῷ μέλλοντι. ἀλλ' ἐπειδὴ ἕτερός τις κανὼν ἐναντιοῦται, ὃν δεῖ τὸν φιλόπονον, ἐν τῷ τοῦ Γεωργίου τοῦ Χοιροβοσκοῦ ῥηματικῷ ζητεῖν.

Θρῆνος, παρὰ τὸ θραύειν τὸν νοῦν, θράνος καὶ θρῆνος. ἢ παρὰ τὸ θέρειν, ὅ ἐστι καίειν τὸν νοῦν. ἢ παρὰ τὸ θρεκβῆς καὶ ἀνατεταμένη βοὴ εἶναι. διαφέρει δὲ ἐπικηδείου. ὅτι τὸ μὲν ἐπικήδειον, παρ' αὐτὸ τὸ κῆδος. ἔτι τοῦ σώματος προκειμένου. λέγεται δὲ ὁ θρῆνος οὐ περιγραφόμενος χρόνῳ.

Θρῆνυς, ὑποπόδιον. λέγεται καὶ ἀρσενικῶς. εἴρηται παρὰ τὸ θράνος ὅ ἐστι μικρὸν ὑποπόδιον. λέγεται θρῆνυς, καὶ ἡ μέση τῆς νηὸς διήκουσα σανίς. ἀφ' ἧς καὶ θρανῖται λέγονται, παρὰ τὸ ἐν αὐταῖς ἱζάνειν. Ἰλιάδος ο. Θρῆνυν ὑφ' ἑπταπόδην.

Θρῆνυς, ὑποπόδιον. βέλτιον δὲ θρῆνυν καλεῖσθαι ὑπὸ Ὁμήρου τὰς καθέδρας τῶν ἐρετῶν. ἀναχωρεῖν γὰρ ἀπὸ τῶν τῆς νεὼς καταστρωμάτων, ὑπὲρ τοῦ τὴν ἀφικνεῖται. τινὲς δὲ τόπον τῆς νεὼς βάσιν ἔχοντα, ἐφ' οὗ τὸν κυβερνήτην τοὺς πόδας τιθέναι. ὃ καὶ ἑδώλιον φασίν. ἄλλοι δὲ τὴν ὑποδεχομένην τὸν ἱστὸν τράπεζαν εἶπον. οἱ δέ, διαβάθραν ἀπὸ νεὼς ἐπὶ γῆν. ἑπτάποδην δέ, ἑπτὰ ποδῶν τὸ μέγεθος ἔχουσαν.

Θρῆσκος, ἑτερόδοξος. ἐκ τοῦ Θρᾷξ Θρανός. καὶ θρησκεία. παρὰ τὴν τῶν Θρακῶν ἐπιμέλειαν. τὴν πρὸς τὸ θεῖον καὶ τὴν Ὀρφέως ἱερουργίαν. οὗτοι γὰρ πρῶτοι ἐξεῦρον τὴν περὶ τὸ θεῖον ἔννοιαν. ἢ παρὰ τὸ τοῖς θεοῖς ἀρέσκεσθαι, ἢ ἀρέσκειν, ὅ ἐστιν ἐξευμενίζεσθαι. καὶ ὁ θεολόγος, Οὐ Θρᾳκῶν ὄργια. παρ' ὧν καὶ τὸ θρησκεύειν ὡς

Θρίαμβος, ἐπίδειξις νίκης. πομπή. καὶ τὸ
ους. σεμνύνεσθαι. ἔν τισι πόλεσιν ὅταν ἤνθουν αἱ συκαῖ, παῖδες περιελόντες συκᾶσιν αὐτοῖς τοῖς θρίοις, ἔπαιζον προσφέροντες ἰαμβεῖα τετράμετρα, ἢ ἡμιαμβεῖα. θρία δ' εἰσὶ τὰ τῆς συκῆς φύλλα. ἐπεὶ εἰς τρία διέσχισται. ἐτυμολογεῖται δὲ παρὰ τὸ ἐν αἰθρίᾳ βάζεσθαι, ὅ ἐστι λέγεσθαι. γίνεται ἐκ τοῦ τρία, θρία. καὶ γὰρ τριμερές ἐστι τὸ φύλλον τῆς συκῆς. ἐκ τούτου γίνεται θρίαμβος, καὶ θριαμβεύω. λέγεται γὰρ ὅτι ὁ Διόνυσος ἐποίησε στέφανον ἀπὸ συκῆς, καὶ οὕτως ἐθριάμβευσεν, ἤγουν ἐπὶ μέσης διέβη. καὶ ἔτι φασὶν ἐν τῷ δήμῳ τούτῳ γίνεσθαι. λέγεται καὶ θρίαμβος ὁ Διόνυσος, ὅτι ἐπὶ θηρῶν ἐπὶ λεόντων βέβηκεν. οἷον, θηρίαμβος. τῷ γὰρ ἅρματι αὐτοῦ, λέοντας ὑποζευγνύειν φασίν. ἢ ὅτι καὶ συκῆς εὑρετής ἐστιν. ἢ ἀπὸ τοῦ θορεῖν. πηδητικὸς γάρ. λέγεται καὶ θυστήριος ἀπὸ τοῦ θύειν ὅ ἐστιν ὁρμᾶν. ἀφ' οὗ καὶ τὸ αἰωρούμενον, θύσανον.

Θριαμβεύσας, δημοσιεύσας.

Θρίαι, αἱ μαντικαὶ ψῆφοι, οἱονεὶ τρίαι τινὲς οὖσαι. καὶ γὰρ αἱ τρεῖς νύμφαι αἱ θυγατέρες τοῦ Διός, εὑρηκυῖαι τρεῖς ψήφους μαντικάς, παρέσχον τῇ Ἀθηνᾷ. ἢ τις ἐγκαλουμένη ὡς ἀλλότριον πρᾶγμα μετιοῦσα. τοῦτο γὰρ τοῦ Ἀπόλλωνός ἐστιν, ἔρριψεν αὐτὰς εἰς τὸ λεγόμενον θριάσιον πεδίον. παρὰ τὸ τρία, γέγονε θρία καὶ θριάσιον. ἐκεῖ γὰρ ἔρριψεν ἡ Ἀθηνᾶ τὰς μαντικὰς ψήφους, αἵτινες θρίαι λέγονται. ὅθεν καὶ τὸ μαντεύεσθαι, θριᾶσθαι λέγεται. καὶ αὗται τρεῖς εἰσὶ τὸν ἀριθμόν. ἢ παρὰ τὸ τριοῦσαι. ἢ ἀπὸ Θρασίου τινός, οὕτω καλουμένου.

Θρία, κυρίως τὰ τῆς συκῆς φύλλα. καὶ θριάζειν, τὸ φυλλολογεῖν. δηλοῖ δὲ καὶ τὸ ἐνθουσιάζειν. καὶ θριάσιον ἐκλήθη πεδίον, ἀπὸ τῶν βληθεισῶν εἰς αὐτὸ θριῶν ὑπὸ Ἀθηνᾶς. θρίαι δ' εἰσὶν αἱ μαντικαὶ ψῆφοι. νύμφαι δέ τινες εἰσὶ θρίαι ὀνομαζόμεναι. αἱ πρῶται μάντεις. αἳ ἐξεῦρον τὴν τρίτην μαντείαν. ἦσαν δὲ Ἀπόλ-

Θριγκῷ, τῷ βοχώματι. παρὰ τὸ
λωνος τιθῆναι. θρέξαι. ὁ περιτρέχων κυκλόθεν οἷον στέφανος. θριγκὸς οὖν τὸ ἀνώτατον τῆς τοῦ τοίχου οἰκοδομήσεως. καὶ ὁ ὑπὸ τὸν κλινόποδα τοῦ τοίχου τόπος. καὶ ἡ στεφάνη, καὶ τὸ περὶ χαράκωμα. καὶ θριγκὸς τειχίου, στεφάνη. περίφραγμα. ὥς οἶμαι παρὰ τὸ θρέξω.

Θρίδαξ, θρίδακος, θριδακίνη, εἶδος μάζης καὶ λαχάνου. τινὲς ἀπὸ τῶν εἰδῶν φύλλων. τρίφυλλος γὰρ κατ' ἀρχάς, ὡς καὶ θρίναξ. τινὲς δὲ ὅτι τρίζει δακνομένη. ἢ ὅτι τῷ θέρει γίνεται, θεριδακίνη τις. τὸ μαρούλιον.

Θρίναξ, σημαίνει τριοδόντες ἐργαλεῖον ἐργατικόν. παρὰ τὸ τρία, τρίναξ καὶ θρίναξ.

Θρινακία, σημαίνει τὴν Σικελίαν. παρὰ τὸ ἐκ τριῶν συγκεῖσθαι ἄκρων. οἱονεὶ τρινακία τις οὖσα. καὶ γὰρ τρία ἀκρωτήρια ἔχει ἡ Σικελία. Λύβαιον. Πάχυνον. Πέ-

Θρίξ. ἀπὸ τοῦ θερίζω, θερίξω. δωρικῶς,
λωρον.
θρίξω. καὶ ἀποβολῇ τοῦ ω, θρίξ. κλίνεται τριχός, καὶ οὐχὶ θριχός. ἐπειδὴ τὸ ρ μετὰ δασείας, δασύ ἐστι. καὶ ψιλὸν μετὰ ψιλῆς. οἷον, ἀφρός. ἀγρός. οὐδέποτε δὲ εὑρίσκεται λέγεσθαι δισύλλαβον ἐν χρήσει ἀρχομένης ἀπὸ δάσεως. καὶ τῆς ἑξῆς συλλαβῆς ἀρχομένης ἀπὸ δάσεως. τὸ γάρ, Ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι, ὀφθίθω ἐνεστῶτος οὐχ εὕρηται ἐν χρήσει. τούτου χάριν ἡ θρὶξ εὐθεῖα, ἔτρεψεν ἐν τῇ γενικῇ τὸ θ εἰς τ. ἐν δὲ τῇ δοτικῇ τῶν πληθυντικῶν, ἐπαναλαμβάνει αὐτὸ διὰ τοῦ ξ. θριξί.

Θριπήδεστα, ἀντὶ τοῦ βεβρωμένου καὶ διεφθαρμένου. ἀπὸ τοῦ θρὶψ θριπός, καὶ τοῦ ἔδω τὸ ἐσθίω. θρὶψ δέ ἐστι ζῷον κατεσθίον ξύλα καὶ κέρατα. καὶ θριπήδεστα, τὰ ὑπὸ τῶν θριπῶν διαβεβρωμένα ξύλα, οἷς ἀντὶ σφραγίδος ἐχρῶντο.

Θρόνος. Θρόνιον ἐστὶ καὶ πόλις Λοκρίδος. ἐκ τοῦ θρόνος, θρόνιον. τοῦτο ἐκ τοῦ θορῶ τὸ πηδῶ, θόρονος, καὶ ἐν συγκοπῇ, θρόνος. ἡ ἐπηρμένη καθέδρα.

Θρύον, εἶδος πόας. ὁ λεγόμενος θρύσιος.

Θρυαλλίς, ἄνθος λυχνίδος. ἀκτίς. ἤγουν τὸ περικαιόμενον τοῦ ἐλλυχνίου. ἔστι δὲ καὶ βοτάνη πρὸς λύχνον ἁρμόζουσα. παρὰ τὸ θέρω καὶ τὸ ἄλλω τὸ πηδῶ, γέγονε θεραλλίς. καὶ τροπῇ τοῦ ε εἰς υ καὶ ὑπερθέσει, θρυαλλίς.

Θρύλλος, ἡ βοὴ καὶ ὁ θόρυβος. παρὰ τὸ θροῦς ὃ σημαίνει τὴν βοήν, θρόος θροῦλλος καὶ θρύλλος.

Θρυλοῦντες. ἀπὸ τοῦ θροῦς καὶ τὸ ἐλῶ τὸ ἐλαύνω. οἱονεὶ θροῦν ἐλοῦντες. τουτέστι θόρυβον ἐγείροντες. καὶ ἐπιθρυλοῦντες, ἐνοχλοῦντες. θορυβοῦντες. ἐκ τοῦ θρυλῶ. τοῦτο παρὰ τὸ θροῦς θρόος. θροῶ περισπώμενον. πλεονασμῷ τοῦ λ καὶ τροπῇ τοῦ ο εἰς υ, θρυλῶ.

Θρυλίζω, τὸ ψιθυρίζω. παρὰ τὸ θραύω, θραυλίζω. κατὰ παραγωγὴν καὶ ἀποβολὴν τοῦ α, θρυλίζω.

Θρυλίχθη δὲ μέτωπον. Ἰλιάδος ψ. ἐθραύσθη. συνετρίβη. ἐκλάσθη. ἀπὸ τοῦ θραυλίχθη. κατὰ ἀποβολὴν τοῦ α. παθητικὸς ἀόριστος ἐστί.

Θρώσκω, σημαίνει τὸ πηδῶ. ἀπὸ τοῦ θορῶ θορήσω, θορίσκω καὶ θρώσκω κατὰ τροπήν. ἔχει δὲ τὸ ι. ὥσπερ γὰρ ἀπὸ τοῦ εὑρῶ καὶ στερῶ γίνεται εὑρίσκω καὶ στερίσκω διὰ τοῦ ι, οὕτως ἀπὸ τοῦ θορῶ θορίσκω διὰ τοῦ ι. καὶ καθ' ὑπέρθεσιν, θρωίσκω. καὶ κατὰ συναίρεσιν, θρώσκω. τινὲς δὲ κατὰ κῦμα ἔλεγον αὐτό.

Θρωσμός, σημαίνει τὸν ὑψηλὸν τόπον. ὅθεν ἐστὶ θεωρεῖν καὶ πηδᾶν. ἀφ' οὗ καὶ θρόνος, ὁ ἐφ' ὑψηλοῦ ποιῶν ἡμᾶς. ἀπὸ τοῦ θορῶ θορίζω, θορισμός. καὶ κατ' ἐπαύξησιν καὶ ὑπέρθεσιν, θρωισμός. καὶ συναιρέσει, θρωσμός. ἔστι δὲ καὶ τόπος ὑψηλὸς ἐν τῷ πεδίῳ πρὸ τῆς Ἰλίου, ὃς ὀνομαστικῶς καλεῖται θρωσμός. ὡς καὶ ἕτερος Καλλικολώνη. ὡς παρὰ τῷ πεδίῳ ἔχεσθαι τοὺς Τρῶας, εἴ ποτε τῆς πόλεως ἔξω τάσσοιντο.

Θύα, ἐφ' ἧς τὰ θύα ὅ ἐστι τὰ θυμιάματα. καταχρηστικῶς δὲ καὶ ἄλλοι πᾶσαι θύαι.

Θύον, τὸ ἐπιθυόμενον εἰς κάθαρσιν καὶ ἀβλαβεῖς ποιοῦν. ἔνθα τό, Πάσσε δ' ἁλὸς θείοιο. καὶ θεείου καιομένου, φησὶν ἀπὸ τοῦ κεραυνοῦ. διὰ τὸ τοῦτο ἀπόζειν τοῦ οὐρανοῦ. πῦρ γὰρ τοῦ κεραυνοῦ. θεῖα δὲ τὰ οὐράνια. ὁ δὲ Εὐδαίμων ἐν τῇ ὀρθογραφίᾳ λέγει κτητικὸν εἶναι. τοῦ θεὸς θέεος ἐκβαλὼν τὸ δεύτερον ε, ἐποίησε τὸ θεῖος. καὶ ὁ παράδελφος, θεῖος. οὕτως Στεπτικός ὤν. ὅτι καὶ οἱ γονεῖς θεοὶ ἡμῖν εἰσί.

Θυόεις. ὡς παρὰ τὸ νείφω γίνεται νιφόεις, καὶ πνίγω πνιγόεις, οὕτω καὶ παρὰ τὸ θύω, θυόεις, καὶ θυόεν νέφος.

Θυάδες, αἱ βάκχαι. παρὰ τὸ θύω τὸ ὁρμῶ. καὶ πλεονασμῷ τοῦ ι, θυϊάδες. Θυιάσιν ὠμοβόροις ἴκελοι.

Θυγατέρι δή, ἐγγόνη. τῆς θυγατρός. θυγάτηρ.

Θυγάτηρ. παρὰ τὸ θύειν καὶ ὁρμᾶν κατὰ γαστρός. ἐκ τοῦ θύω, καὶ τοῦ γαστήρ. λέγεται γὰρ τὰ θήλεια τάχιον κινεῖσθαι ἐν τῇ μήτρᾳ. τὴν θυγατέρα. καὶ συγκοπῇ, θύγατρα. αἱ γὰρ συγκοπαί, ἀναβιβάζουσι τὸν τόνον. ἁρμόσαντες, ἄρσαντες. ὁμόπατροι, ὄπατροι.

Θύελλα. ὡς ἀπὸ τοῦ ἄω τὸ πνέω, ἄελλα, οὕτως ἀπὸ τοῦ θύω τὸ ὁρμῶ, θύελλα. ἔστι δὲ συστροφὴ ἀνέμου. σὺν θυέεσι, σὺν τοῖς θυμιάμασι. τουτέστι μετὰ θυσιῶν. ἐκ τοῦ θύω τὸ θυμιῶ, παράγωγον θυόεις θυόεντος. ἡ δοτικὴ τῶν πληθυντικῶν, θυόεσι. καὶ τροπῇ, θυέεσι.

Θυηλαί, παρὰ τὸ θύω, θυηλή. κυρίως μὲν τὰς θυλάκας εἰς οὓς τὰ θυμιάματα ἐμβάλλεται. καταχρηστικῶς δὲ πᾶσα θυσία. θυηλαὶ οὖν, αἱ ἀπαρχαὶ τῶν θυσιῶν, ἤγουν αἱ θυσίαι. Φιλόχορος. Γῆς παῖδας εἶναι θυηλὰς ἃς πρώτας θύσαι θεοῖς.

Θυλάκιον. θυλάκιον δ' ἐστὶ δερμάτινον σακκίον, ἢ
Θυηνός. θρίαμνος γάρ φασι κατὰ
βαλάντιον.
διαίρεσιν, ὁ ἐπιθανάτιος αἶνος.

Θυοσκόος, ὁ μάντις. ὁ ἀπὸ τῶν θυομένων νοῶν ὅ ἐστι νοῶν. θυοσκόοι εἰσὶν οἱ ἀπὸ τῶν θυομένων διὰ πυρὸς μαντευόμενοι. ἱερεῖς δέ, οἱ ἀπὸ τῶν ἱερῶν σπλάγχνων

Θυώδης, ὁ ἀπὸ τῶν θυομένων
μαντευόμενοι.
κοῶν καὶ νοῶν τὸ μέλλον. ἀπὸ τοῦ θύω τὸ θυμιῶ. λέγεται καὶ τὸ διὰ πυρὸς βάλλειν θύον. ἐξ οὗ καὶ τεθυμένον, τὸ διὰ πυρὸς βεβλημένον.

Θυωρίτης. Θυωρίτην τριπλαῖς. τὴν τράπεζαν. ἀργυρογνώμονα. κριτήν. θυωρὸς δὲ κυρίως, ἡ τράπεζα. παρὰ τὸ τὰ θύη δέχεσθαι τῶν θεῶν. ἢ παρὰ τὸ τὰ θύα ὡρεῖν, ὅ ἐστι φυλάσσειν. παρὰ Λυκόφρονι. νῦν δὲ μεταφορικῶς εἶπεν ἐπὶ τῆς ἄλλης, ὅτι ἔκρινον τὰς θεάς.

Θύω, τὸ σφάζω καὶ ἱερουργῶ. ὁμήρων, θύσω. ἐξ οὗ καὶ θυσία. θύω, τὸ ὁρμῶ ἐξ οὗ καὶ θύραζε ἢ εἰς ὁρμῶμεν. καὶ τέθυμαι, θυμός. τὸ θυ, μακρόν. τὸ θύω καὶ λύω καὶ ἐρύω, κατὰ μὲν τὸν ἐνεστῶτα ἔχουσι καὶ μακρόν, καὶ βραχὺ τὸ δίχρονον. κατὰ δὲ τὸν μέλλοντα, ἀεὶ μακρόν. ἐν δὲ τῷ παρακειμένῳ, συστέλλει αὐτό. τέθυκα, καὶ λέλυκα. ὁμοίως καὶ ἐν τῷ παθητικῷ παρακειμένῳ. τὸ δὲ θῦμα, καὶ λῦμα, ἐκτείνουσιν Ἀττικοί.

Θυμός, σημαίνει πέντε. ἀπὸ τοῦ θύειν καὶ ὁρμᾶν τὸ αἷμα ἐπ' αὐτοῦ θυαιμός τις ὤν. κυρίως δὲ θυμός, μέρος τῆς ψυχῆς. τρία δὲ αὐτῆς μέρη. λογικόν, Ἕτερος δέ με θυμὸς ἀνῆκεν. θυμικόν, Θυμὸς δὲ μέγας διοτρεφέων βασιλήων. ἐπιθυμητικόν, Εἴξας ᾧ θυμῷ. ποτὲ μὲν οὖν ὁ θυμὸς παρὰ τῷ ποιητῇ, σύμπασαν τὴν ψυχὴν σημαίνει. ὡς ἐν τῷ, Ἔνθ' ὅγε τοὺς ἐνάριζε. φίλον δ' ἐξαίνυτο θυμόν. ἐνίοτε δὲ τὰ μέρη

αὐτῆς. τὸν μὲν ἐπὶ λογισμόν, ἕτερος δέ με θυμὸς ἀνῆκεν. τὸ δὲ θυμικόν, ὡς τό, σὺ δὲ μεγαλήτορα θυμὸν ἴσχειν ἐνὶ στήθεσιν. καὶ θυμὸς δὲ μέγας ἐστίν. ἐνταῦθα τὴν ὀργὴν καὶ τὴν ἐπιθυμίαν. ὡς τό, εἴξας ᾧ θυμῷ, μίγη φιλότητι καὶ εὐνῇ. σημαίνει καὶ τὴν ὁμόνοιαν. ὡς τό, ἕνα θυμὸν ἔχοντες καὶ ἐπίφρονα βουλήν. εἴδεις τῶν ὑποπεπτωκότων τῷ ὀνόματι, τὰ μὲν σημαίνει τὴν ψυχήν, ψυχικοῦ. τὰ δὲ σημαίνει τὴν ὀργήν, θυμικοῦ. διαφέρει γὰρ ὀργή. μῆνις. κότος. χόλος. θυμός. ζήτει εἰς τὰς διαφοράς.

Θυμοβαρέω, ὡς ἀπὸ τοῦ θυμοβαρεύω.

Θυμαρής. ἔχει δ᾽ ἄλοχον θυμαρέα. ἰλιάδος ι. τὴν ψυχῇ ἀρέσκουσαν. θυμήρη. παρὰ τὸ θυμὸς καὶ τὸ ἀρῶ, γίνεται θυμαρής. καὶ σκῆπτρον θυμαρές, ὀξυτόνως. οὐ γάρ ἐστι παρώνυμον παρὰ τὸ ἤρης. τὰ γὰρ διὰ τοῦ ηρης καὶ ωδης, βαρύνεται. εἰφήρης. ὀνώδης.

Θυμέλη, ἡ τοῦ θεάτρου μέχρι νῦν, ἀπὸ τῆς τραπέζης ὠνόμασται. παρὰ τὸ ἐπ᾽ αὐτῆς τὰ θύη μερίζεσθαι. τουτέστι τὰ θυόμενα ἱερεῖα. τράπεζα δὲ ἦν, ἐφ᾽ ἧς ἑστῶτες ἐν τοῖς ἀγροῖς ᾖδον. μήπω τάξιν λαβούσης τρα-

Θυμίαμα. παρὰ τὸ θύω, θυμιῶ. ἢ παρὰ ‹ γῳδίας. τὸ θύον ὅπερ ἐστὶν εἶδος πόας μυρεψικῆς. θυμίαμα δέ, θυμοῦ ἴαμα. ἢ ἀπὸ τοῦ τυφώεως καπνοῦ. ἀφ᾽ οὗ καὶ θῦμα παρὰ τὸ θύω. ἢ ὅτι διὰ τῶν θυμάτων καιομένων, ἐθυμίαζον οἱ παλαιοί.

Θυμμένον, δηλοῖ τὸ ὑπὸ πυρὸς βεβλημένον ἢ κεκακωμένον. καὶ παρὰ γεωργοῖς, αἱ ὑποκεκαυμέναι ὑπὸ πάχνης ἄμπελοι, ἐντεθυμμέναι καλοῦνται. καὶ τῷ κακῶσαι τῷ καπνῷ τοῦ πυρὸς τὰς μελίσσας, θύσαι λέγουσι μελιττουργοί.

Θύμβρα, τόπος τῆς ἰλίου. κληθεὶς κατά τινας, ἀπὸ ἑνὸς τῶν δαρδάνων μετοικήσαντος. καθ᾽ ἑτέρους δέ, ἀπὸ θύμβρης. ἰλιάδος κ. πρὸς θύμβρης δ᾽ ἔλαχον μύονες ἀγέρωχοι. ἀντὶ τοῦ πρὸς τὸ θυμβραῖον πεδίον κλήρῳ ἔλαχον λυδοί, αὐθάδεις, καὶ θρασεῖς. ὅτε δέ, δηλοῖ καὶ τοὺς ἄγαν ἀνδρείους. ἔνθα καὶ θυμβραίου ἀπόλλωνος ἱερὸν ἐπιφανές.

Θύκος, κυρίως εἰς ὃν ἐμβάλλομεν τὰ θυμιάματα.

Θύσκη, σκάφη. ἡ τὰ θυμιάματα δεχομένη. ἀπὸ τοῦ θύω.

Θύρα. παρὰ τὸ θύω τὸ ὁρμῶ. ἢ παρὰ τὸ θέω καὶ τὸ αἴρω, θέαρα καὶ θύρα. καὶ θυρωρός, ὁ τῶν πυλῶν φύλαξ.

Θύραζε. κυρίως μέν, εἰς τὸ ἔξω τῆς θύρας. ὅτε δὲ καὶ τὸ

Θυρεός, τὸ ὅπλον. γίνεται παρὰ ‹ ἁπλῶς ἔξω. τὴν θύραν θυρός. καὶ πλεονασμῷ τοῦ ε, θυρεός. ὁ θύρας τάξιν ἔχων.

Θυρεπανοίκτης. σύνθεσιν ἐπὶ συνθέσει ἀνεδέξατο. ἦν γὰρ ἀνοίκτης. προσῆλθεν ἡ ἐπὶ καὶ ἐγένετο ἐπανοίκτης. καὶ οὕτω τὸ θύρα προσετέθη καὶ ἐγένετο θυρεπανοίκτης. ὁμοίως καὶ τὸ δυσκαινοπίτηχυς. πρῶτον τὸ καινοπίτηχυς, καὶ οὕτω συνετέθη. καὶ τό, σφραγιδονυχαργοκομήτης. σύνθεσιν ἐπὶ συνθέσει ἀνεδέξατο. ὥσπερ γὰρ ὁ τόνος οὐ τίθεται περαιτέρω τῶν τριῶν συλλαβῶν, οὔτε ποὺς μετρικὸς ὑπερβαίνει τὰς τρεῖς συλλαβάς, οὕτως οὔτε λέξις σύνθετος θέλει εἶναι περαιτέρω τῶν τριῶν λέξεων.

Θυρηβόλιον, ἡ ἔπαυλις. θυρβόλιόν τι πόν.

Θύνον κρίνοντες, ἰλιάδος β. ὁρμῶν διαχωρίζοντες τὸν λαόν. ὁ παρατατικός ἐστιν, ἔθυνον. ἀπὸ τοῦ θύω πλεονασμῷ τοῦ ν, γίνεται θύνω τὸ ὁρμῶ. καὶ ὄνομα ῥηματικόν, θῦνος. καὶ πλεονασμῷ ἑτέρου ν, θύννος. ὅπερ ἐν τῇ κοινῇ συνηθείᾳ καλεῖται θύννα. κλίνεται δὲ ἡ θύννος, ὡς ἡ παρθένος. καὶ αἱ θύννοι, ὡς αἱ μυροφόροι.

Θυννίδες, οἱ νῦν θύννοι, ἢ ἄλλοι τινὲς ἰχθύες.

Θυσανόεσσα, κροσσοὺς ἔχουσα. ἀπὸ τοῦ θύω τὸ ὁρμῶ καὶ κινῶ, γίνεται θύσανος θυσανόεις. καὶ τὸ θηλυκόν, θυσανόεσσα.

Θύσθλα, θυρσοὶ ἢ κλάδοι, οὓς βάκχαι κατέχουσιν. ἢ τὰ φύλλα τῆς ἀμπέλου. ἢ τὰ εἰς τὴν θυσίαν φερόμενα. παρὰ τὸ θύω τὸ ὁρμῶ. ὁμήρου, θύσω. γίνεται θύσθλον. ἰλιάδος ζ. θύσθλα χαμαὶ κατέχευαν. οἱ μέν, τοὺς κλάδους. οἱ δέ, τοὺς θύρσους. τουτέστι τὰς βακχικὰς δράκας. ἅ ἐστι διονυσιακὰ μυστήρια. ἔνιοι δὲ πάντα κοινῶς τὰ πρὸς τὴν τελετήν.

Θυσιαστήριον, τὸ τὴν θυσίαν τηροῦν.

Θυραυλεῖν, τὸ παρὰ ταῖς θύραις τινὸς αὐλίζεσθαι καὶ προσεδρεύειν. καὶ περιμένειν.

Θύρσος, ὁ κλάδος ὁ παρὰ διονύσῳ. παρὰ τὸ συνεχῶς ταῖς μανίαις κινούμενος. οἱονεὶ θύειν, ὅ ἐστιν ὁρμᾶν ὀρθῶς οὐκέτι κεκλιμένος.

Θύρσος, ὄνομα κύριον. θυρσὸς τὸ στέμμα τῶν γάμων.

Θωή, ἡ ζημία ἣν κατατίθεται ὁ ζημιούμενος. γίνεται ἐκ τοῦ θῶ τὸ καταβάλλω καὶ ζημιῶ.

Θῶες. ἀπὸ τοῦ θέω τὸ τρέχω, γίνεται θώς. ἢ ἀπὸ τοῦ θοός. ταχεῖς γάρ εἰσι, καίπερ βραχυσκελεῖς ὄντες. ἔστι δὲ ὁ θώς, ζῷον ἄλκιμον καὶ εὐκίνητον.

Θωπεία, ἡ κολακεία. ἐκ τοῦ θωπεύω. καὶ θῶπες, οἱ μετὰ ψεύδους καὶ θαυμασμοῦ προσιόντες. ἤγουν κολακεία. παρὰ τὸ θῶψ ὅπερ ἐστὶ θηρίον ἀπατηλόν. τοῦτο παρὰ τὸ θῶ ὃ σημαίνει τὸ εὐωχοῦμαι.

Θῶμαι, καὶ ἐπιθῶμαι. πάνυ περὶ τὴν συλλαβὴν εἰς μαι λήγουσιν ἐπὶ τοῦ δευτέρου μέσου ἀορίστου, ἐν τῇ συνθέσει ἀναβιβάζουσι τὸν τόνον. δῶμαι, ἀπόδωμαι. σχῶμαι, ἀπόσχωμαι.

Θωμοί, οἱ τῶν σπερμάτων σωροί. ἐκ τοῦ τίθημι, θήσω.

Θῶμιγξ, λεπτὸν σχοινίον.

Θωμός, ὁ σωρός.

Θωμίζειν, τὸ τῷ κέντρῳ ἐρεθίζειν, καὶ μαστίζειν.

Θῶν, ὄνομα κύριον. καὶ κλίνεται θῶνος, ὡς πρὸς τὸν χαρακτῆρα τῶν εἰς ων περισπωμένων. ὡς ξενοφῶν, ξενοφῶντος.

Θώνιος παράκοιτις. λέγει ὁ τεχνικὸς ὅτι ἀπὸ τῆς θῶνις θώνιδος, γίνεται θώνιος. ὡς πάρις πάριδος, πάριος. καὶ συγκοπῇ, θῶνος. ἢ ἀπὸ τοῦ θόων θόωνος. κατὰ κρᾶσιν τοῦ ο καὶ ω εἰς ω μέγα, θῶνος. κρεῖττον λέγειν ἀπὸ τῆς θώνιος γενικῆς κατὰ συγκοπήν. ζήτει περὶ τούτου διεξοδικώτερον. χοιροβοσκὸς περὶ τόνου τῆς εὐθείας τῶν δυϊκῶν.

Θῶκος. ἡ καθέδρα. παρὰ τὸ θῶ τὸ ἑδραιῶ. ὃ γίνεται κατὰ ἀντίφρασιν, ἀπὸ τοῦ θέω, ἢ ἀπὸ τοῦ θοῶ. ἐξ οὗ παράγωγον, θοάζω. ἔνθα σοφοκλῆς οἰδίποδι. τίνας ποθ᾽ ἕδρας τάσδε μοι θοάζετε, ἀντὶ τοῦ προσκαθέζεσθε. θῶ οὖν. ὁ μέλλων, θώσω. γίνεται θῶκος. ἡ τοὺς θέντας ἡμᾶς ἐπέχουσα καθέδρα.

Θώραξ, παρὰ τὸ θῶ τὸ ἀπολαύω. οὗ ὁ μέλλων θώσω. θῶρος καὶ θώραξ. οἱονεὶ τὸ ἀπολαυστικὸν μέρος τοῦ σώματος, τὸ ἀπὸ τοῦ τραχήλου μέχρι τῶν αἰδοίων καθῆκον κύτος. ὃ καὶ ὅλμος καλεῖται. λέγεται δὲ θώραξ τὸ ὅπλον. ὁ σιδηροῦς χιτών. ὅπερ λέγεται λουρίκιον. ἀφ᾽ οὗ θωρηχθῆναι, τὸ καθοπλισθῆναι. λέγεται καὶ τὸ παχὺ ἱμάτιον. καὶ ὁ πύργος. καὶ τὸ σῶμα. καὶ τὸ στῆθος. τὸ μέρος τοῦ σώματος. γίνεται παρὰ τὸ οὐρῶ τὸ φυλάσσω, οὖρος καὶ ὦρος. ὅθεν καὶ θυρωρὸς καὶ πυλωρός. ἐκ τοῦ ὦρος, παρώνυμον, ὦραξ. καὶ πλεονασμῷ τοῦ θ, θώραξ, ὁ φύλαξ τοῦ θερμοῦ, καὶ τοῦ θυμικοῦ. ἢ παρὰ τὸ θορεῖν τὸ πηδᾶν. θώραξ. τροπῇ τοῦ ο εἰς ω. ὁ φύλαξ τῆς θορούσης ὅ ἐστι τῆς πηδώσης καρδίας. ἀπὸ γὰρ ταύτης καὶ τὰ λοιπὰ μέρη κινοῦνται. ἢ τοῦ θείου καὶ ἡγεμονικοῦ τῆς ψυχῆς ἢ τοῦ θυμικοῦ. οἷον, θοάραξ. ἢ παρὰ τὸ πᾶν πρᾶγμα κινεῖσθαι. διὰ τὸ περιέχεσθαι τὸ ἡγεμονικὸν ἐν αὐτῷ. οἷον, θέωραξ. ἢ παρὰ τὸ θῶ τὸ εὐωχοῦμαι. ἤτοι ἐν εὐωχίᾳ εἰμί. ἀφ᾽ οὗ δωριεῖς θωρεῖσθαι λέγουσι τὸ εὐωχεῖσθαι. τούτου ὁ μέλλων, θώσω. ῥηματικὸν ὄνομα, θῶρος. ἀφ᾽ οὗ θώραξ. ὡς λίθος, λίθαξ. θῶρος οὖν ἡ τροφὴ καὶ ἡ μέθη. καὶ θώραξ, ὁ δεκτικὸς τῆς τροφῆς τόπος. ἀφ᾽ οὗ καὶ τὸ ἐμπίπλασθαι οἴνου, θωράσσεσθαι λέγεται ὡς παρὰ ἀριστοφάνει. πρὸς τοὺς συμπότας θωράξομαι. εὐωχηθήσομαι, ἢ μεθυσθήσομαι. καὶ πίνδαρος διθυράμβων πρώτῳ. ἀλόχῳ ποτὲ θωρηχθεὶς ἐπ᾽ ἀλλοτρίᾳ. παρὰ δὲ τὸ θῶ εἴρηται. καὶ σύνθεσις ἡ τροφή. καὶ σύνθου τὸ ῥόφησον, παρὰ ἀριστοφάνει. καὶ θωρίσσω καὶ θώρηξις. λέγεται καὶ ἐπὶ τῆς καθοπλίσεως, καὶ ἐπὶ τῆς τοῦ οἴνου ἀκρατοποσίας. ἐπὶ δὲ τοῦ ὅπλου, θώραξ. ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον. ἔξωθεν παρίστησι μετωνυμικῷ τρόπῳ, ὡς ὅμηρος. τοί ὃν οἱ πῦρ δαῖεν ἀπὸ κρατός τε καὶ ὤμων. ἀπὸ τῶν περιεχομένων, τὰ περιέχοντα. ἀπό τε τῆς ἀσπίδος καὶ τῆς περικεφαλαίας. ὁ δὲ τρόπος μετωνυμία. τὸ θωρήσσω, ἀπὸ τοῦ θοῦρος. ὁ εἰς τὸν πόλεμον ὁρμητικός. ἀπὸ τοῦ θέειν ἐρα. τὰ εἰς αξ ὀνόματα φύσει μακρὰ παραληγόμενα, τὰ μὲν ὡς ἀρσενικοῦ γένους, ἐκτείνουσι τὸ α. οἷον, θώραξ, οἴαξ. τὰ δὲ θηλυκοῦ, συστέλλουσιν αὐτό. οἷον, αὖλαξ. πίδαξ.

Θωρῆσθαι. θωρῆσθαι λέγουσιν οἱ δωριεῖς τὸ εὐωχεῖσθαι. ἀπὸ τοῦ θῶ τὸ εὐωχοῦμαι.

Θωΰσσειν, τὸ θηριωδεῖ φωνῇ χρῆσθαι. ἢ ἀπὸ τοῦ θῶες, ἢ θρυώδη. δοῦρις ὁ σάμιος ἐν τῷ περὶ νόμων φησίν, ὅτι διόνυσος ἐπιστρατεύσας ἰνδοῖς, καὶ μὴ δυνάμενος αὐτοὺς χειρώσασθαι, κρατῆρα οἴνου πληρώσας, πρὸ τῆς χώρας αὐτῶν ἔθηκεν. οἱ δὲ ἐμφορηθέντες τοῦ πόματος ἀσυνήθεις ὄντες, οὕτως ἐχειρώθησαν μεθυσθέντες. ὅθεν οἱ ποιηταὶ τὸ μεθύειν, θωρήσσεσθαι λέγουσιν.

Θῶ, σημαίνει τὸ κατασκευάζω καὶ ποιῶ. ἐξ οὗ, θές. θῶ τὸ τρέφω. ἐξ οὗ καὶ θοίνη ἡ εὐωχία. θῶ τὸ θηλάζω, ἐξ οὗ καὶ θηλή ὁ μαστός. καὶ θῆλυς, ἡ ἔχουσα μαστοὺς καὶ θηλάζουσα. θῶ τὸ ἑδραιῶ, ἐξ οὗ καὶ θῶκος ὁ θρόνος. θῶ τὸ τίθημι, ἐξ οὗ καὶ θίς, ὁ σωρὸς τῶν χρημάτων. θῶ τὸ ἀπολαύω, ἐξ οὗ καὶ θώραξ. ἔστι δὲ καὶ ἄλλα δύο διὰ τοῦ ο καὶ ω. θῶ τὸ καταβάλλω καὶ ζημιῶ, ἐξ οὗ καὶ θωή. τὸ δὲ διὰ τοῦ ο μικροῦ, σημαίνει τὴν ταχύτητα. γίνεται δὲ παρὰ τὸ θέω τὸ τρέχω. σημαίνει δὲ καὶ τὸ τρέχω, καὶ τὸ βλέπω. οἷον, ἔργα θεῶν. ἰστέον ὅτι τὰ εἰς ος, ὀκταχῶς συντίθενται. ἢ γὰρ φυλάττει τὸ ς, ὡς τὸ λαὸς σόος, λαοσσόος. καὶ θεὸς δοτός, θεόσδοτος. ἢ ἀποβάλλει τὸ ς, ὡς τὸ νίκος λαός, νικόλαος. ἢ ἀποβάλλει τὸ ς καὶ προσλαμβάνει τὸ ι, ὡς τὸ πύλος πυλογενής, καὶ πυλοιγενής. καὶ ὁδός, ὁδοπόρος καὶ ὁδοιπόρος. ἢ ἀποβάλλει τὸ ς καὶ τρέπει τὸ ο εἰς η, ὡς τὸ ἔλαφος, ἐλαφοβόλος καὶ ἐλαφηβόλος. καὶ θεὸς τόκος, θεοτόκος, καὶ θεητόκος. ἢ ἀποβάλλει τὸ ς καὶ τρέπει τὸ ο εἰς ε. ὡς τό, μένος μενόλαος καὶ μενέλαος. καὶ μενοπτόλεμος, μενεπτόλεμος. ἢ ἀποβάλλει τὸ ς καὶ τρέπει τὸ ο εἰς ι. ὡς τό, ὄρος, ὀροβάσιος καὶ ὀριβάσιος. ἢ ἀποβάλλει τὸ ς καὶ τρέπει τὸ ο εἰς ε καὶ προσλαμβάνει τὸ ἰῶτα. ὡς τό, ὄρος ὀροφοίτης καὶ ὀρεφοίτης, καὶ ὀρειφοίτης. καὶ ἄργος ἀργεφόντης, καὶ ἀργειφόντης. ἢ ἀποβάλλει τὸ ς καὶ τρέπει τὸ ο εἰς α καὶ προσλαμβάνει τὸ ἰῶτα. ὡς τό, κλυτὸς κλυτομνήστρα καὶ κλυταιμνήστρα.

Θυσία. τὰ διὰ τοῦ ια θηλυκὰ παρὰ μέλλοντα παρηγμένα, βαρύνεται. ὁσία. ἐξουσία. προδοσία. τὸ μέντοι πρασιά, αἱμασιά ὡς περιεκτικὴν ἔχοντα ἔννοιαν, ὀξύνεται. τὰ διὰ τοῦ ια θηλυκὰ μονογενῆ πρὸ μιᾶς ἔχοντα τὸν τόνον ὑπὲρ δισύλλαβα μὴ ὄντα ἀπὸ τῶν εἰς ευς ἢ ευω ἢ ως, μήτε ἀπὸ τῶν εἰς ος παρῳχημένων, μήτε σύνθετα ἀφ᾽ ἁπλοῦ ἔχοντα τὴν ει δίφθογγον, μήτε λεγόμενα εἰς ον οὐδέτερα, μήτε προπαροξύτονα κατὰ κρᾶσιν γινόμενα, μήτε κατὰ διάστασιν εὑρισκόμενα μήτε ἀττικά, ἐκτείνοντα τὸ ἄλφα καὶ παροξυνόμενα, διὰ τοῦ ι γράφεται. ἀνία. ξενία. πενία. γωνία. ἠρεμία. ὀφθαλμία. αἰθρία. καρδία. πρόσκειται μονογενῆ, διὰ τὸ πο-

λυδὶ ὑκῆια χεὶρ καὶ ἀγαμεμνόνεια. ὁ ἀγαμεμνόνιος γὰρ καὶ τὸ ἀγαμεμνόνειον. παρὰ μίαν τὸν τόνον ἔχοντα, διὰ τὸ εὐσέβεια. ὑπὲρ δύο συλλαβάς, διὰ τὸ μνεῖα, χρεία, θεία. μὴ ἀπὸ τῶν εἰς ευω καὶ ευς, διὰ τὸ δουλεύω, δουλεία. ταχύς, ταχεία. μὴ σύνθετα ἀφ' ἁπλοῦ, ἐπειδὴ ἀπὸ τοῦ δεῖα τοῦ σημαίνοντος τὴν ἔνδειαν, γέγονεν ἐστὶ τὸ δεία. μὴ λεγόμενα εἰς ον, διὰ τὸ ἐλεγεῖον, ἐλεγεία. μὴ προπαροξυνόμενα κατὰ κρᾶσιν γινόμενα, διὰ τὸ ὑγιής, ὑγίεια. καὶ ὑγία. μὴ κατὰ διάστασιν, διὰ τὸ ἀνδρεία. τὸ ἐπὶ τῆς ἀρετῆς. τοῦτο δὲ ἀπολλώνιος διὰ τοῦ ι γράφει. ὁ δὲ ὧρος, διὰ τῆς ει διφθόγγου. εὕρηται γὰρ κατὰ διάστασιν ἀνδρεΐα. οὕτω καὶ ἡ παράδοσις. πρόσκειται ἐπὶ τῆς ἀρετῆς, ἐπειδὴ ἐπὶ γυναικὸς παρὰ φιλοξένῳ οὐ λέγεται ἀνδρεία γυνή, ἀλλὰ μᾶλλον ἀνδρικὴ γυνή. πρόσκειται μὴ ἀπὸ τῶν εἰς ος περισπωμένων, διὰ τὸ ἀργεῖος ἀργεία, ἀνδρεῖος, ἀνδρεία. μὴ ἀττικά, ἐπειδὴ τὸ ἱέρεια καὶ εὔκλεια, ἀττικῶς καταβιβάζουσι τὸν τόνον, καὶ τὸ α ἐκτείνουσι. τοιοῦτον καὶ τὸ θύεια, ὃ σημαίνει τὴν ἴγδην. ἀττικοὶ ἐκτείνουσι τὸ α καὶ καταβιβάζουσι τὸν τόνον, καὶ τὴν αὐτὴν γραφὴν φυλάττουσι. τὸ δὲ νωθεία, ἡ ἀργεία, ἀπὸ τοῦ νωθρὸς γέγονε νωθρεύω, νωθρεία. κατὰ ἀποβολὴν τοῦ ρ. τὰ εἰς ος ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ευω, εἰ μὲν ὦσιν ἁπλᾶ, τῷ ῥήματι ἀκολουθεῖ τὰ θηλυκά. οἷον, πόρος πορεύω πορεία διφθόγγου. εἰ δὲ ὦσι σύνθετα, διὰ τοῦ ι γράφεται τὰ θηλυκά. οἷον, φιλάνθρωπος, φιλανθρωπεύω, φιλανθρωπία. ὑπερηφανία, καὶ παρθενία. Τὰ παρὰ τὸ ἦθος διφορεῖται. ἀήθεια, καὶ ἀηθία. πολιτικώτερον δὲ διὰ τοῦ ι. καὶ τὰ παρὰ τὸ κέρδος, φιλοκέρδεια, καὶ φιλοκερδία. αἰσχροκέρδεια, καὶ αἰσχροκερδία. καὶ τὰ παρὰ τὸ παθεῖν καὶ μαθεῖν, εὐπάθεια, καὶ εὐπαθία. εὐμάθεια καὶ εὐμαθία. προμήθεια καὶ προμηθία. εὐέπεια καὶ εὐεπία. ὠφέλεια καὶ ὠφελία. εὐμάρεια καὶ εὐμαρία. οἰκωφελία, καὶ κοινωφελία μόνως καὶ ἀμαθία. καὶ τὸ ι πολιτικόν. τὰ παρὰ τὸ φυή, διὰ τοῦ ι. εὐφυΐα. εὕρηται καὶ εὐφυεία παρὰ ἀλέξιδι. τὰ παρὰ τὴν τύχην, διὰ τοῦ ι. εὐτυχία. εὕρηται καὶ εὐτυχεία παρὰ σοφοκλεῖ. τὰ παρὰ τὸ ἔτος διὰ τοῦ ι γράφεται. τὰ δὲ παρὰ τὸ ἄγω, διὰ διφθόγγου.

ΤΕΛΟΣ ΤΟΥ ΘΗΤΑ ΣΤΟΙΧΕΙΟΥ.

ΑΡΧΗ ΤΟΥ ΙΩΤΑ ΣΤΟΙΧΕΙΟΥ.

Ἰῶτα τὸ στοιχεῖον. παρὰ τὸ ἰὸν τῶν ἰοβόλων ζώων. ὥσπερ γὰρ ὁ ἰὸς εἰς ὀρθὸν βαδίζει καὶ πέπρωται, οὕτω καὶ ἡ τούτου γραφὴ ὀρθὴ οὖσα, ἰῶτα καλεῖν ἠνίξατο. ἢ ἀπὸ τῶν ἰῶν τῶν βελῶν. Ἰστέον ὅτι τὸ ἰῶτα καὶ ἰάσων τινὲς ἐν συλλήψει λέγουσιν εἶναι. ἔστι δὲ ἀνατρέψαι αὐτούς. ἐπειδὴ τὰ ὑποτασσόμενα φωνήεντα ἐν συλλήψει ἐὰν ἀντιπροηγήσωνται, ἐν διαστάσει ἀντιπροηγοῦνται. οἷον, πρῶτος. ἔρπω. κλέος. ἕλκω. εἰ τοίνυν τὸ ἰῶτα ὑποτέτακται τοῦ α καὶ τοῦ ω κατὰ σύλληψιν, οἷον τῷ κοχλία, τῷ καλῷ, δηλονότι ἀντιπροηγησάμενον αὐτῶν ἐν τῷ ἰῶτα, καὶ ἰάσων κατὰ διάστασιν ἀντιπροηγήσατο. ζήτει περὶ στιζόμενον τὸ ι καὶ υ εἰς τὸ φαῦλος. τὸ δὲ ἰῶτα παράγωγον ἐστὶν, ι. μονόγραμμα γὰρ ἐστίν. ἀλλὰ κατὰ παραγωγὴν γίνεται ἰῶτα.

Ἰακώβ, ἄκλιτόν ἐστι. καὶ διαφέρει μονοπτώτου. τὸ μὲν γὰρ ἄκλιτον, ἐπ' εὐθείας, καὶ γενικῆς, καὶ δοτικῆς, καὶ αἰτιατικῆς, καὶ κλητικῆς, μετὰ διαφόρων ἄρθρων λέγεται. οἷον, ὁ ἀβραάμ. τοῦ ἀβραάμ. τῷ ἀβραάμ. τὸν ἀβραάμ, ὦ ἀβραάμ. τὸ δὲ μονόπτωτον, ἐπ' εὐθείας μόνης. οἷον, τὸ ὄφελος. τὸ οὖς.

Ἴακχος, αὐτὸς ὁ διόνυσος. ἢ ἑορτή. παρὰ τὴν ἰαχὴν τὴν ἐν ταῖς χορείαις γινομένην, τουτέστι τὴν βοήν. γίνεται ἴαχος. καὶ πλεονασμῷ τοῦ κ, ἴακχος. ἢ ἀπὸ τῆς ἐν τοῖς πότοις ἰαχῆς.

Ἰάλεμος, σημαίνει τὸν θρῆνον. ἔστι γὰρ εἶδος θρήνου. ὅτε μὲν ἐπὶ τοῦ ἀπόλλωνος λέγεται, δασύνεται ἱήσεως, ὅ ἐστιν ἀφέσεως τῶν βελῶν. ἐπὶ δὲ τοῦ θρήνου, ψιλοῦται. γέγονασι δὲ ἀμφότερα οὕτως. ἔστιν ἵημι, τὸ πέμπω. ἐκ τούτου γίνεται ἰηός. εἶτα ἰήεμος διὰ τὸ ε κατὰ τὴν παραλήγουσαν. τροπῇ τοῦ η εἰς α καὶ πλεονασμῷ τοῦ λ, ἰάλεμος. ἐπὶ τοῦ θρήνου. ἢ ἐκ τοῦ ἰηός. κατὰ τροπὴν τοῦ η εἰς ε, γίνεται ἴεμος. καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, ἰάλεμος. καὶ ἰαλεμῆσαι, τὸ θρηνῆσαι ὡς παρὰ καλλιμάχῳ. Εἰδυῖα φάλιον ταῦρον ἰηλεμῆσαι. οὕτω φιλόξενος περὶ μονοσυλλάβων ὥς φησιν ὠρίων. ἐν ἄλλοις δὲ εὗρον ἐγὼ τὸ ἰάλεμος ἐπὶ τοῦ θρήνου ἐτυμολογούμενον παρὰ τὸ ἐπὶ τοῖς ὀλωλόσιν ἰὼ ἐνυφέ-

Ἴαλλοι, τὰ σκώμματα. οἷον ἴλλοι τινές, ὄντες ρειν. ὡς παρὰ ἀνακρέοντι. ἴλλειν, ἀντὶ τοῦ σκώπτειν.

Ἰάλλω. παρὰ τὸ ἰῶ. παράγωγον, ἰάλλω τὸ πέμπω. οἷον, ἱέναι ποιῶ. καὶ χεῖρας ἴαλλον, ἀντὶ τοῦ ἐξέτεινον. εἰς τὸ προΐαλλεν.

Ἰάλεμος, υἱὸς καλλιόπης. ὁ κακοδαίμων καὶ οὐδενὸς ἄξιος. ὅθεν καὶ ἰαλέμου ᾠδή, ψυχρὰ καὶ οὐδενὸς ἀξία. καὶ παροιμία. ψυχρότερος ἰαλέμου. καὶ οἰκτρότερος ἰαλέμου. καὶ τὸ θρηνεῖν, ἰαλεμίζειν λέγεται. ἰηός ἐπὶ γὰρ τοῦ θρήνου ψιλοῦται. καὶ σοφοκλῆς, ἰηὼν καμάτων. τῶν θρηνητικῶν. παρὰ δὴ τὸ ἰηός, γίνεται ὄνομα εἰς μος τῷ ε παραλήγον, ἰήεμος. ὡς τῆλε, τήλεμος. τροπῇ γὰρ τοῦ η εἰς α καὶ πλεονασμῷ τοῦ λ, γίνεται ἰάλεμος. ὁ θρῆνος.

Ἰάμβη. τινὲς ὅτι ἰάμβη, ἠχοῦς καὶ πανὸς θυγάτηρ. τὴν δήμητραν δὲ λυπουμένην, παίζουσα καὶ ἀσχημολογοῦσα, καὶ σχήματα ἄσχημα ποιοῦσα, ἐποίησε γελάσαι. καὶ ἴαμβοι εἴρηνται, ἀπὸ τοῦ ἰαμβίζειν, τὸ ὑβρίζειν. ἀπὸ γὰρ τοῦ ἰοβάζειν. ἢ ὡς βέλη βάλλειν τὰ λεγόμενα. ἢ ἀπὸ τῆς εὑρούσης γυναικὸς βάκχης τινὸς ἰάμβης καλουμένης. ἢ ἀπὸ τοῦ ἰανβάζειν. ἡ γὰρ κοινὴ τῶν ἀνθρώπων φωνή, ἴα καλεῖται.

Ἰαμενός, ὄνομα κύριον. ἀρίσταρχος ψιλοῖ. ὁ δὲ ἀσκαλωνίτης φησίν. ἐὰν μὲν ἀπὸ τῆς ἰάσεως, ψιλοῦται. ἐὰν δὲ ἀπὸ τῆς ὁρμῆς, δασύνεται. ἄμεινον ἀρίσταρχος.

Ἰαίνετο. Αἶψα δ' ἰαίνετο κῆρ, ἀντὶ τοῦ διεχεῖτο. καὶ ἐπὶ τῆς ψυχικῆς διαχύσεως. καὶ ἰάνθη, τὸ διεχύθη. εὐφράνθη. ἐχάρη. ἀπὸ τοῦ ἰαίνω, ἰανῶ, ἴαμαι, ἰάνθην. Καὶ ἰδοῦσα θυμὸν ἰάνθη. τάχα δὲ καὶ τὰ ἄνθη ἐπεὶ τὴν ψυχὴν ἰαίνει καὶ διαχεῖ τέρποντα τὴν ὄψιν. σημαίνει καὶ τὸ ἐθερμαίνετο. ὡς τό, ἰαίνετο δ' ὕδωρ.

Ἰαμβοφάγος, λοίδορος. ἐπειδὴ ἴαμβος, ἔμμετρός ἐστι

λοιδορία. ὁ φαγὼν οὖν ἐν τῷ στόματι, ὁ ἔχων τοὺς ἰάμβους. τουτέστιν ὁ ἔχων διὰ στόματος τὴν φιλολοιδορίαν. μέμνηται Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου, τάχα καὶ παραπαίζων εἰς τὸν Αἰσχίνην. ὅτι τὰ ἰαμβεῖα τῆς τραγῳδίας ἔλεγεν ὑποκριτὴς ὤν. καὶ ἰαμβίζειν, τὸ λοιδορεῖν καὶ κακολογεῖν. ἀπὸ Ἰάμβης τῆς λοιδόρου.

Ἰαπετός. παρὰ τὸ ἵπτω τὸ βλάπτω, ἰπετός. καὶ πλεονασμῷ τοῦ α, ἰαπετός. τὸ δὲ ἵπτω, παρὰ τὸ ἰός ὃ σημαίνει τὸ βέλος. ἢ παρὰ τὸ ἵημι τὸ πέμπω, γίνεται ἰάπτω. ἢ τὸ ἰάπτω κατὰ πλεονασμὸν τοῦ α. ἀπὸ τοῦ ἵπτω. πᾶν ῥῆμα εἰς πτω λῆγον, βαρύνεται. εἰ μὴ προκατάρχοι ὄνομα ἢ διαστολὴ γένοιτο σημαινομένου. σκάπτω. θάπτω. τὸ γὰρ ῥιπτῶ, ἀττικὸν ἢ ποιητικόν. νίπτω. τύπτω. τὸ δὲ τυπτήσω, ὡς ἀπὸ περισπωμένου. πρόσκειται εἰ μὴ προκατάρχοι ὄνομα, διὰ τὸ ἀβλεπτος, ἀβλεπτῶ. ἄπεπτος, ἀπεπτῶ. ἀλείπτης, φιλαλειπτῶ. ἢ διαστολὴ γένοιτο σημαινομένου, διὰ τὸ ὀπτῶ, πρὸς ἀντιδιαστολὴν τοῦ ὄπτω.

Ἴαψεν, ἔβλαψεν. ἀόριστος πρῶτος. τὸ θέμα ἰάπτω. ὁ μέλλων, ἰάψω. καὶ τὰ λοιπὰ δῆλα. παρὰ τὸ ἰόν, ἰάπτω. ἀπὸ μεταφορᾶς. ὅς ἐστι βλαπτικὸς χαλκοῦ καὶ σιδήρου. ἐσθίει γὰρ αὐτά. τὸ δὲ ῥῆμα τοῦτο ποιητικόν. ὁ ἐνεστὼς μόνος εὑρίσκεται. ὁ γοῦν ἀόριστος, ἀπὸ τοῦ ἵπτω γέγονε κατὰ πλεονασμὸν τοῦ α, ὡς ἐν ἑτέρῳ λέγει ὁ ποιητής. Μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν. ἐκ τοῦ ἵπτω ἴψω. ὁ μέσος ἀόριστος παθητικός, ἰψάμην, ἴψαο. ἰωνικῶς μόνως λεχθέν.

Ἴασος, παρὰ τὸ ἰάω, ἰῶ. ὁ μέλλων, ἰάσω. ὁ μέσος μέλλων, ἰάσομαι. ὅθεν καὶ τὸ ἴασαι προστακτικόν. τούτου δὲ ἐνεργητικὸν οὐχ εὑρίσκεται ἐν χρήσει. παρὰ τὸν ἰάσω οὖν μέλλοντα, γίνεται ἴασος, καὶ ἰάσων. τινὲς δὲ λέγουσι παρὰ τὴν ἴασιν. οἷς ἐναντιοῦται ἡ κλίσις. εἰ γὰρ παρὰ τὴν ἴασιν, ὤφειλε φυλάττειν τὸ ω κατὰ τὴν γενικὴν ὡς παρώνυμον, θεός, θέων, θέωνος. τρυφή, τρύφων, τρύφωνος. εἰ οὖν οὐ φυλάττει τὸ ω, οὐκ ἔστι παρώνυμον. ἀλλὰ λέγομεν ὅτι ἐπειδὴ ἔχει τὸ α ἐκτεταμένον, τούτου χάριν συστέλλεται. ὡς Μαχάων Μαχάονος. κρεῖττον δὲ ἐστιν εἰπεῖν ὅτι παρὰ τὸν ἰάσω μέλλοντα, γίνεται ἰάσων ἰάσονος. ὡς φιλήσω, φιλήμων φιλήμονος. πολλὰ γὰρ εἰσὶν ἀπὸ μελλόντων γινόμενα ὀνόματα συστέλλοντα τὸ ω κατὰ τὴν γενικήν. οἷον, μνήσω μνήμων, μνήμονος.

Ἰατρική. ἰατική τις οὖσα. παρὰ τὸ ἰᾶσθαι πλεονασμῷ τοῦ ρ.

Ἰαχῶ, τὸ βοῶ. ἐκ τοῦ ἰαχή. τοῦτο ἀπὸ τοῦ ἰά ὃ σημαίνει τὴν φωνήν. ἀπὸ τοῦ ἅμα πᾶσαν τὴν ἰαχὴν ἱέναι.

Ἰαύω, τὸ κοιμῶμαι. παρὰ τὸ αὔω πλεονασμῷ τοῦ ι. ἢ παρὰ τὸ ἰόν, ὃ δηλοῖ τὸ μόνον, γίνεται ἰύω τὸ μονάζω. καὶ πλεονασμῷ τοῦ α, ἰαύω. καὶ γὰρ ἔμφασιν ἡσυχάζει τὸν καθεύδοντα ὁ βίος ὥρος. ὁ δὲ Ἡρωδιανὸς λέγει παρὰ τὸ αὔω. τούτου ὁ ἀόριστος, αὖσα. καὶ διαλύσει καὶ τροπῇ τοῦ υ εἰς ε, γίνεται ἄεσα. οἷον, Πολλὰς γὰρ δὴ νύκτας ἀκηλίῳ ἐνὶ κοίτῃ ἄεσα. καὶ τὸ πληθυντικόν, ἀέσαμεν. ὥσπερ καὶ τὸ αὔξεται, ἀέξεται. Αὔπνους νύκτας ἴαυον. διὰ νυκτὸς ἄγρυπνος διετέλουν. Ἰλιάδος ι. καί, Τῇ παριαύων περ πένθω, ἀντὶ τοῦ συναναπαυόμενος. συγκαθεύδων.

Ἶβις, ὄρνεον ὀφιοφάγον. καὶ ἶβιξ εἶδος ὀρνέου ἡρακλητικοῦ. ἐξ οὗ Ἴβυκος ὄνομα κύριον. καὶ ἰβυκηνίσαι. ὅπερ κατὰ μεταφορὰν λέγεται βουκηνίσαι.

Ἴβηρ, πόθεν. ἐθνικόν ἐστι καὶ παραγωγὴν οὐκ ἔχει. τινὲς δὲ λέγουσιν αὐτὸ παράγεσθαι παρὰ τὸ ἵμερος ὃ σημαίνει τὴν ἐπιθυμίαν.

Ἴγδη, ἡ θυεία. ἔνθα μίσγομεν τὰ ἀρτύματα. παρὰ τὸ μίσγειν τὰ θύη. ἀπέβαλε τὸ μ, ὡς τὸ μία, ἴα. ἔστι δὲ καὶ εἶδος ὀρχήσεως ἰγδίσματα, ἐν ᾗ ἐλύγιζον τὴν ὀσφὺν ἐμφερῶς τῷ δοίδυκι.

Ἰγνύη, ἀπὸ τοῦ κάμπτειν καὶ κινεῖσθαι τῶν γονάτων. ἰγνύαι, τὰ ὄπισθεν τῶν γονάτων καθ' ὃ αἰτία ἡμῖν ἐστι τοῦ κινεῖσθαι καὶ βαδίζειν. ἢ διὰ τὸ ἥκειν ἐν ταῖς κάμψεσι καὶ συγκινεῖσθαι. ἢ ἡ τὸ γόνυ συνέχουσα γαστροκνήμη, λέγεται καὶ ἰγνύς. ὅθεν καὶ ταῖς ἰγνύσι, καὶ ταῖς ἰγνύαις.

Ἰγνής. παρὰ τὸ γνής γνητός, μετὰ τῆς ι ἀντωνυμίας, γίνεται ἰγνής.

Ἰδέ. τὸ ἠμέν, ἠδέ, ἰδέ, εἰσὶν ἀντὶ τοῦ καί, οὐκ εἰσὶ πλεοναζόμενα, ἀπὸ τοῦ μὲν καὶ δέ, ἀλλὰ θεματικά εἰσι. πρὸς δὲ τὸ μέτρον, γίνεται ἠδὲ καὶ ἰδέ. εὗρον ἐγὼ δέ. οὗτοι σύνδεσμοι εἰσίν. ὥσπερ δὲ πλεονάζει τὸ η ἐν πολλαῖς λέξεσιν, οὕτω καὶ ἐπὶ τοῦ μὲν καὶ δὲ παραπληρωματικοῦ, ἠμέν, ἠδέ.

Ἴδας, ὄνομα κύριον. παρὰ τὸ ἴδη. οἱονεὶ ὁ μέγας ὥσπερ ἡ ἴδη. τὰ εἰς δας δισύλλαβα εἰ μὲν περιττοσυλλάβως κλίνονται, διφθόγγῳ παραλήγεται. οἷον, φείδας, φείδαντος. οἴδας, οἴδαντος. εἰ δὲ ἰσοσυλλάβως, ἐν ἑνὶ φωνήεντι. οἷον, λήδας, λήδου. μίδας, μίδου. τὸ γὰρ διὰ τοῦ ντ κλινόμενον, μείδας μείδαντος, διὰ διφθόγγου. οὕτως οὖν καὶ ἴδας ἴδου. ὅθεν καὶ Ἀντίμαχος ἥμαρτεν εἰπὼν διὰ τοῦ ι, ἴδαντος κούρη.

Ἰδάλιμον. Ἡσίοδος. Καύματος ἰδαλίμου. τοῦ ἱδρῶτα ποιοῦντος. ἢ τοῦ διαυγοῦς καὶ καθαροῦ. ἐν γὰρ τῷ χειμῶνι, καὶ ἡ δύναμις τοῦ ἡλίου ἀσθενεστέρα ἐστί. καὶ ῥῆμα ἰδίω τὸ ἱδρῶ, ἐξ οὗ γίνεται ἴδιμος. καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, ἰδάλιμος.

Ἰδαῖος, ὄνομα κύριον κήρυκος. ἀπὸ τοῦ ἴδη, γίνεται ἰδαῖος. οἱονεὶ ὁ εἰδὼς καὶ προγινώσκων τὰ κεκρυμμένα.

Ἰδαῖοι. Δάκτυλοι ἰδαῖοι κρηταιέες, οὓς ποτε νύμφη ἀγχιάλη Δικταῖον ἀνὰ σπέος ἀμφοτέρῃσι δραξαμένη Γαίης οἰαξίδος ἐβλάστησεν. εἰσὶ δὲ τὸν ἀριθμὸν δέκα. διὸ καὶ δάκτυλοι προσηγορεύθησαν ἀπὸ τῶν ἡμετέρων δακτύλων. ἢ ἐπειδὴ ἐν τοῖς δακτύλοις ἐρρίφησαν. ἰδαῖοι δέ, ἐπειδὴ ἐν ἴδῃ ὄρει τῆς κρήτης ἐγεννήθησαν. καὶ ὅτι ἡ κόνις ἣν ἔρριψαν, ἐξ ἴδης τοῦ ὄρους ἦν. Στησίμβροτος δὲ ἐν τῷ περὶ τελετῶν, διὸς καὶ ἴδης νύμφης αὐτοὺς λέγει. φησὶν ὅτι Ζεὺς ἐκέλευσε τὰς ἰδίας τροφοὺς λαβεῖν κόνιν καὶ ῥῖψαι εἰς τοὐπίσω. καὶ ἐκ τῆς κόνεως γενέσθαι τοὺς ἰδαίους δακτύλους. Ἀπολλώνιος Ἀργοναυτικῶν.

Ἶδος, Ἡσίοδος. Ἴδει ἐν αἰνοτάτῳ ὅτε τε χρόα … κοῖς. σείριος ἄζει. τὸ ἶδος τοῦ ἴδους. καὶ γὰρ παρὰ τὸ ἰδίω τὸ ἱδρῶ. τοῦτο ἀπὸ τοῦ ὕδωρ, γίνεται ὑδρῶ καὶ ἱδρῶ. καὶ πλεονασμῷ, ἱδριῶ. εἶτα ἀποβολῇ τοῦ ρ, ἰδίω. ἐξ οὗ καὶ ἴδιον, ὡς ἐνόησα. ἶδος δὲ σημαίνει τὸ θέρος.

Ἰδουμαῖος, ἐκλήθη ὁ ἀπόγονος τοῦ Ἡσαῦ. ἴδουμα γὰρ λέγεται εἶδος φακῆς ξανθῆς. ἧς λέγουσιν ἐπιθυμήσας φαγεῖν, ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ. ἐκ τούτου ἐπωνομάσθησαν ἰδουμαῖοι, οἱ τούτου ἀπόγονοι.

Ἰδέειν, ἀόριστος δεύτερος καὶ μέλλων. ὁ κανών. οἱ ἴωνες ἐπὶ τῶν εἰς ειν ἀπαρεμφάτων, πλεονάζοντες τὸ ε, διὰ τοῦ εειν προφέρουσι. θανεῖν, θανέειν.

Ἴδη, ὄρος ἐστὶν ὑψηλόν. γίνεται ἀπὸ τοῦ ἰδεῖν. ὅθεν ἐστὶν ἅπαντα θεωρεῖν τὰ μήκοθεν. γράφεται διὰ τοῦ ι. τὰ γὰρ εἰς δη βαρύτονα, οὐ θέλει διφθόγγῳ παραλήγεσθαι. κνίδη. ἔστι δὲ βοτάνη στυπτική. σίδη. ὄνομα πόλεως. ἔδη. σημαίνει δὲ τὸν δεσμόν. κράδη, σημαίνει τὴν συκῆν. πρόσκειται βαρύτονα, διὰ τὸ σπουδή, καὶ αὐδή. πᾶν δὲ σύμφυτον ὄρος, ἴδη καλεῖται.

Ἴδηθεν, ἐπίρρημά ἐστι τοπικόν. ἐπὶ δὲ τοῦ ἴδηθεν μεδέων, οὐδὲν πλέον σημαίνει ἢ ὁ τῆς ἴδης βασιλεύς. ἔνια γὰρ ὁ ποιητὴς τῶν ἐκ τόπου ἐπιρρημάτων, ἀντὶ γενικῆς συντάσσει πτώσεως.

Ἴδηαι. ὑποτακτικὸν παθητικόν, μέσου ἀορίστου δευτέρου. ὁ κανών. οἱ ἴωνες ἀποβάλλοντες τὸ τ τοῦ τρίτου προσώπου, δεύτερον ποιοῦσιν. ὡς τὸ κέλεαι μέ. οὕτως ἴδηται, ἴδηαι.

Ἰδιώτης, ὁ πολίτης λέγεται. καὶ ὁ ἄπειρος. καὶ ὁ ἴδιος.

Ἰδιαίτερον, ἰδικώτερον.

Ἴδμεν. Ἴδμεν γὰρ οὐδὲν τρανές. ἀντὶ ἐπιστάμεθα. ῥῆμα ἐνεστῶτος τῶν εἰς μι συζυγίας πρώτης ἐκ τοῦ ἴσημι. ἡ μετοχή, ἰσάς. καὶ ὤφειλεν ὀξύνεσθαι, ὡς ἱστάς. ἀλλ' ἀσυνεξηκολούθησε ταῖς δισυλλάβοις μετοχαῖς. τὸ σχήσας. πρίσας. κλίσας. αἱ γὰρ εἰς ας μετοχαὶ δισύλλαβοι τῷ ι παραληγόμεναι, βαρύνονται. ἴσημι οὖν καὶ τὸ πληθυντικόν, ἴσαμεν. καὶ συγκοπῇ, ἴσμεν. καὶ τροπῇ τοῦ σ εἰς δ, ἴδμεν. γίνεται καὶ ἄλλως. ἐκ τοῦ ἰδῶ τὸ γινώσκω. ὁ μέλλων, εἴσω, ἴς. καὶ νῆις ὁ ἀμαθὴς καὶ ἄπειρος. ὁ δεύτερος ἀόριστος, ἴδον, ἴδομεν. καὶ συγκοπῇ, ἴδμεν. ἢ ἐκ τοῦ εἰδῶ. ὁ μέσος παρακείμενος, οἶδα. τὸ πληθυντικόν, οἴδαμεν. συγκοπῇ, οἴδμεν. καὶ ἀποβολῇ τοῦ ο, ἴδμεν.

Ἰδνωθείς. ἰδνωθείς, ἐπιστραφείς. καμφθείς. οἷον, τὸ γυῖον δονηθείς. ἀπὸ τοῦ ἰδνῶ τὸ ἀποστρέφομαι. παρὰ τὸ ἵζω, οὗ παράγωγον, ἰζάνω. τοῦ ζ τραπέντος εἰς δ. καὶ δωρικῷ πλεονασμῷ τοῦ ν, γίνεται ἰδνῶ. ὡς ἀλαπάζω, ἀλαπαδνῶ.

Ἴδρις, ὁ ἔμπειρος. ἀπὸ τοῦ εἰδῶ ῥήματος, ῥηματικὸν ὄνομα εἴδις. ἀποβολῇ τοῦ ε, ἴδις. καὶ πλεονασμῷ τοῦ ρ, ἴδρις. καὶ ἄιδρις, ὁ ἄπειρος.

Ἰδρίας, σοφούς. ἐπιστήμονας. ἐμπείρους.

Ἱδρύω, ἐκ τοῦ ἵζω τὸ καθίζω, γίνεται ἰδῶ. τροπῇ τοῦ ζ εἰς δ αἰολικῶς. ὡς δυγός, ζυγός. καὶ κατὰ παραγωγήν, ἰδύω. καὶ πλεονασμῷ, ἱδρύω. τὸ ι πρὸ τοῦ δ ψιλοῦται, χωρὶς εἰ μὴ ὑπὸ τὸ ε μακρόν, ὡς τὸ ἱδρώς, ἱδρύω. καὶ ἵδρυε, ἀντὶ τοῦ καθέζεσθαι κέλευε. τὸ δὲ ἴδρις, οὐκ ἔχει τὸ ρ μετὰ φύσει μακροῦ. ὡς τό, Γέρων μὲν εἰμί, καὶ κακῶν πολλῶν ἴδρις.

Ἵδρυσις, ἑδραία ἀσφάλεια.

Ἱδρώς. ἀπὸ τοῦ ἰδίω τὸ κοπιῶ, γίνεται ἴδιως. καὶ συγκοπῇ, ἰδώς. καὶ πλεονασμῷ τοῦ ρ, ἱδρώς. ἢ παρὰ τὸ ὕδωρ, ὕδαρος. καὶ συγκοπῇ καὶ τροπῇ τοῦ υ εἰς ι, ἱδρώς. ἡ αἰτιατική, ἱδρῶτα. καὶ συγκοπῇ, ἱδρῶ. Ἱδρῶ ἀποψύχοντο. ἄνευ τοῦ ι. εἰ δὲ δοτική, μετὰ τοῦ ι. ἡ ι συλλαβὴ εἴτε κατ' ἀρχὴν λέξεως εἴτε κατὰ τὸ μέσον ἔχουσα μεθ' ἑαυτῆς δύο σύμφωνα ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει, ὧν τὸ μὲν δεύτερον ἀμετάβολον, τὸ δὲ ἡγούμενον καθ' ἓν ἄφωνόν ἐστι, διὰ τοῦ ι γράφεται. οἷον, ἱδρώς. ἰγνάτιος. κατ' ἀρχὰς δὲ τίγρις. τίτλος. κατὰ τὸ μέσον. τὰ εἰς ως ἔχοντα τὴν γενικήν, ἢ εἰς τος ἢ διὰ καθαροῦ τοῦ ος, ἢ κατὰ ἀποβολὴν τοῦ σ, διὰ τοῦ ω μεγάλου γράφεται. εἰς τος, ὡς ἱδρώς, ἱδρῶτος. διὰ καθαροῦ τοῦ ος, ὡς ἥρως, ἥρωος. κατὰ ἀποβολὴν τοῦ σ, ὡς Μενέλεως, Μενέλεω.

Ἰέναι, πορεύεσθαι. ἐκ τοῦ ἵημι τὸ πορεύομαι. τὸ πληθυντικόν, ἵεμεν. καὶ τὸ ἀπαρέμφατον, ἰέναι. ὡς τίθεμεν, τιθέναι. ἢ ἐκ τοῦ ἵημι. ὁ παρατατικός, ἵην. ἡ μετοχή, ἱείς, ἱέντος. καὶ τὸ ἀπαρέμφατον, ἱέναι. ἵημι σημαίνει τρία. ἵημι τὸ πέμπω ὅπερ καὶ δασύνεται. τὸ πορεύομαι, καὶ ψιλοῦται. ὅπερ ἀπὸ τοῦ ἕω τὸ πορεύομαι, ἢ ἀπὸ τοῦ ἰῶ περισπωμένου γίνεται. καὶ ἵημι, τὸ ἐφίεμαι. ὅθεν καὶ ἵμερος ἡ ἐπιθυμία. τὸ δὲ ἶμι, ἀπὸ τοῦ ἵημι γίνεται κατὰ συγκοπὴν τοῦ η. ἔστιν οὖν εἶμι τὸ πορεύομαι, διὰ τῆς ει διφθόγγου καὶ διὰ τοῦ ι. καὶ τὰ μὲν ἑνικά, διὰ διφθόγγου. οἷον, εἶμι, εἶς, εἶσι. τὰ δὲ δυϊκὰ καὶ τὰ πληθυντικά, ἀπὸ τοῦ ἶμι τοῦ διὰ τοῦ ι. οἷον, ἴτον, ἴτον, ἴμεν. ἴτε. ἴσι. καὶ πλεονασμῷ τοῦ α, ἴασι. ζήτει εἰς τὸ εἶμι. Καὶ τὰ γε λίνδην ἴασιν. οὕτω Ζηνόδοτος. καὶ πάντες οὓς ἀνέγνων. τὸ δὲ ξυνιᾶσιν, ἀπὸ τοῦ ἵημι. τὸ τρίτον τῶν πληθυντικῶν, ἱεῖσι. ἰωνικῶς, ἱέασι. καὶ κράσει, ἱᾶσι. εἶμι τὸ πορεύομαι. τὸ πληθυντικόν, ἴμεν. τὸ ἀπαρέμφατον, ἰέναι διὰ τοῦ ι. ἵνα φυλάξῃ τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντι-

κῶν. καὶ ἀττικῶς, ἴμμεναι. καὶ ἰωνικῶς, ἵμεν. ὡς τὸ εἶναι, ἔμμεναι, ἔμεν. Ἧπερ προὔθεν ἵεν καλλίρροον ὕδωρ. ἀντὶ τοῦ ἀφίεσαν. Ἰλιάδος μ. ψιλοῦται τὸ ἵεν. καὶ ἑνικῶς, ἀπὸ τοῦ ὕδατος. εἰ δὲ δασύνεται, ἀντὶ τοῦ ἵεσαν. τινὲς δὲ οὕτω φέρουσι τὴν γραφὴν τοῦ ἵεν, ὡς τίθεν. καὶ γίνεται ἀμφίβολον. πότερον. αὐτοὶ οἱ ποταμοὶ ἵεν, ἵνα ἐκ τοῦ ἵεσαν συγκοπὴ ὑπάρχῃ, ὡς ἀπὸ τοῦ ἐτίθεσαν, τὸ ἐτίθεν. καὶ δέον δασύνεσθαι. εἰ δὲ ἑνικὸν εἴη τὸ ἵεν ἀντὶ τοῦ ἐπορεύετο, ψιλοῦται. ὁμοίως τῷ, ἄσσον

εντο, προεθυμοῦντο. ἀπὸ τοῦ ἵημι τὸ ἐπιθυμῶ. ἵεν. τὸ παθητικὸν, ἵεμαι. ὅθεν ἡ μετοχὴ, ἱέμενος, ἀντὶ τοῦ ἐπιθυμῶν. Καί οἱ καδδὲ ἱεμένων. ἀπὸ μὲν τοῦ πέμπω, δασύνεται. ἀπὸ δὲ τοῦ πορεύομαι, ψιλοῦται. ἵεμαι οὖν. ὁ παρατατικὸς, ἱέμην. τὸ τρίτον τῶν πληθυντικῶν, ἵεντο. Ἐνίετε θεσπιδαὲς πῦρ, ἀντὶ τοῦ ἐμβάλλετε. προπέμπετε. ἐκ τοῦ ἵημι τὸ πέμπω, ὅθεν καὶ ἀφίημι. ὁ παρατατικὸς, ἵην. ἡ μετοχὴ, ἱεὶς, ἱέντος. τὸ προστακτικὸν, ἵθι, ἱέτω. ἵετε, καὶ ἐνίετε.

ε. ἐκ τοῦ ἴω τοῦ διὰ τοῦ ἰῶτα. πόθεν δῆλον. δείκνυται δὲ ἐν τῷ εἶμι. ἴω οὖν. καὶ ὁ παρατατικὸς, ἴον, ἴες, ἴε.

ει, καὶ μετὰ τῆς πρὸ, προΐει, τὸ προέπεμψεν. ἔστι τὸ ῥῆμα ἰέω ἰῶ, πρώτης τῶν περισπωμένων. ὁ παρατατικὸς, ἵεον, ἵουν. ἵεες, ἵεις. καὶ ἵεε, ἵει, καὶ προΐει. Κατὰ λαιμὸν ἱείη. ὡς ἀπὸ τοῦ τίθημι, τιθείη, οὕτως ἀπὸ τοῦ ἵημι, ἱείη, τὸ ἀπιέναι.

ετο, ἀντὶ ἐφίετο. καὶ γίνεται παρὰ τὸ ἵημι τὸ ἐπιθυμῶ. Ἵετο γὰρ βαλέειν, ἀντὶ τοῦ προεθυμεῖτο. ἵημι. ἵεμαι. ἱέμην, ἵετο. ἀπὸ δὲ τοῦ ἰῶ, ἰῶ ἵημι. γράφεται διὰ τοῦ ι, ὡς ἀναδιπλασιασμός.

οῦσα. Ἀλλ' εἰς οἶκον ἰοῦσα. ἀντὶ τοῦ πορευθεῖσα. ἰὼν ἀπὸ μετοχῆς δευτέρου ἀορίστου. κλίνεται ἰόντος. τὸ θηλυκὸν, ἰοῦσα. οὐδέτερον, τὸ ἰόν.

ησιν. Ἰλιάδος ι. Κεῖνον μὲν ἐάσομεν ἤ κεν ἴησιν. ἤ κεν μεθίησιν. ἀπέλθῃ, ἢ παραγένηται.

έραξ, παρὰ τὸ ἵεσθαι, ἤγουν φέρεσθαι ἐν τῷ ἀέρι ῥαδίως. γίνεται δὲ κατὰ κρᾶσιν ἵραξ. ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα. Ἡσίοδος. καὶ γὰρ τὸ ι εἰ μὲν ἐπιφέρει τὸ ε μόνον, εἰς τὸ ι γίνεται ἡ κρᾶσις. οἷον, ἱερέως, ἱρέως, κράσει τοῦ ι καὶ ε εἰς ι. ἱέραξ, ἵραξ. ἱερὸν, ἱρόν. ἱερὰ, ἱρά. εἰ δὲ ἐπιφέρει τὸ ει ἐν διφθόγγῳ, ἡ ει δίφθογγος ἐπικρατεῖ. οἷον, ὑγίεια, ὑγεία.

ερεύς. παρὰ τὸ ἵημι τὸ πέμπω. ὁ τὰς θυσίας ἀναπέμπων τῷ θεῷ. ἢ παρὰ τὸ ἱερεύω τὸ θύω. ἢ παρὰ τὸ ἱερός.

ερὸς, ὁ εἰς τιμὴν θεοῦ ἀποτετμημένος τόπος. παρὰ τὸ ἵω, ἀφ' οὗ τὸ ἀφίω σύνθετον, γίνεται ῥηματικὸν ὄνομα ἱερὸς, ὡς τήκω τακερός.

ερὸν, σημαίνει τρία. τόπον ἀποκείμενον τῷ θεῷ. ὡς τὸ, Ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι. καὶ τὸ ὀστοῦν. ὡς τὸ, ἱερὸν ὀστοῦν. καὶ τὸ μέγα. ὡς τὸ, ἱερὸν ἰχθύν. ἱερὸς λέγεται καὶ ὁ μάντις. παρὰ τὸ ἱερολογεῖν καὶ προσημαίνειν.

ερεύς. ἀπὸ μὲν τοῦ ψιλῶς προεστῶτος τῆς θεραπείας τοῦ θεοῦ, Χρύσης ἱερεὺς Ἀπόλλωνος. ἀπὸ δὲ τοῦ εἴδους τοῦ μάντεως τοῦ διὰ τῶν θυσιῶν μαντευομένου, Ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα.

ερὸν ἰχθύν. τινὲς παρὰ τὸ διαίνω τὸ βρέχω, διερός. καὶ ἱερὸν, τὸ ἀεὶ ἐν ὕδατι βρεχόμενον, κατὰ ἀποβολὴν τοῦ δ. οἱ δὲ, παρὰ τὸ διῶ τὸ διώκω, διερὸς, καὶ ἱερός. ὁ ταχὺς καὶ διωκτικός. ἢ τὸν μέγαν. τὸ δὲ μέγα, ἱερὸν ἔλεγον οἱ παλαιοί.

ερὸν ὀστοῦν, τὸ ἄκρον τῆς ὀσφύος. οὕτω γὰρ κέκληται, ὅτι μέγα ἐστίν. ἢ ὅτι κύριόν ἐστι πάθος περὶ ὅσον ἀναιρεῖ. ἢ ὅτι ἱερολογεῖται, ἢ ἱερουργεῖται τοῖς θεοῖς. Μένανδρος. Οἱ δὲ τὴν ὀσφῦν ἄκραν θύσαντες. ἢ ὅτι φησὶν ἡ ὀσφῦς πρώτη φύεται τῶν ζώων, ἤγουν τῶν ἱερείων.

ερὸν ἦμαρ, σημαίνει τὸν πρὸ τῆς μεσημβρίας καιρόν. τουτέστιν ἀπὸ πρωῒ ἕως δείλης. κατὰ τοῦτον γὰρ τὸν καιρὸν, ἔθυον τοῖς ὀλυμπίοις θεοῖς. ἀφ' οὗ ἔσχε τοὔνομα παρὰ τὸ ἱερεύειν. ἀπὸ δὲ μεσημβρίας, ἔθυον τοῖς καταχθονίοις.

ερᾶσθαι, ἱερουργεῖν. καὶ Θουκυδίδης. Κατὰ δή τινα παλαιὰν αἰτίαν οὐ καθαροὺς ὄντας ἱερᾶσθαι. σημαίνει τὸ ἱεροὺς νομισθῆναι, καὶ οἷον καθιερῶσθαι.

ερεῖον, τὸ πρόβατον. εἴρηται διὰ τὸ ἵεσθαι, ἤγουν φέρειν τὸ ἔριον. λοιπὸν ἱερεὺς, ὁ τὸ ἱερεῖον θύων.

ερώσυνα, τὰ εἰωθότα δίδοσθαι ἐξαίρετα τοῖς ἱερεῦσιν.

εράτω, κατὰ νόμον ὀργιαζέτω καὶ θυέτω. ὀργιῶνες γὰρ οἱ θύται. ἱεράω ἱερῶ. καὶ τὸ προστακτικὸν, ἱεραέτω.

ερὸν τέλος, τὸ μέγα τάγμα λέγουσιν οἱ γλωσσογράφοι. ὡς ἱερὸν ἰχθὺν τὸν μέγαν. ἱερὸν μὲν οὖν τέλος, τὸ θεῖον τάγμα. ἱερὸν δὲ ἰχθὺν, τὸν ἄνετον. ὡς ἱερὸν βοῦν, ἀπὸ τοῦ ἵεσθαι.

ερώνυμος, στρατηγὸς Ἀθηναίων.

ερομνήμονες, οἱ συνθύοντες εἰς τὸ συνέδριον τῶν Ἀμφικτυόνων ἐξ ἑκάστης πόλεως. ὠνομάσθησαν δὲ παρὰ τὸ μνημονεύειν τῶν ἱερῶν. Ἀθηναῖοι ἑορτὴν Διὸς ἄγουσι καὶ Ἥρας, οὕτω καλοῦντες. ἱερὰ δὲ εἰσὶ τὰ ἀμφικτυονικὰ δόγματα. καὶ ἱερὸν τὸ συνέδριον τὸ τῶν ἀμφικτυόνων.

εροποιοὶ, κληρωτοί. ἄρχοντές εἰσι δέκα τὸν ἀριθμὸν, οἱ τά τε μαντεύματα ἱεροθετοῦσι κἄν τι καλλιερῆσαι δέῃ, καλλιεροῦσι μετὰ τῶν μάντεων, καὶ θυσίας τὰς νομιζομένας ἐπιτελοῦσι. καὶ τὰς πεντετηρίδας ἁπάσας διοικοῦσι, πλὴν παναθηναίων. ταῦτα δὲ Ἀριστοτέλης ἱστορεῖ ἐν τῇ Ἀθηναίων πολιτείᾳ. Δημοσθένης ἐν Φιλιππικῶν τετάρτῳ. Οἱ λογοποιοὶ τὰς πομπὰς πομπεύουσιν ὑμῖν μετὰ τῶν ἱεροποιῶν. μὴ ἀγνοῶμεν δὲ, ὅτι καὶ ἄλλοι εἰσὶν ἱεροποιοὶ τῶν σεμνῶν θεῶν. τὸν ἀριθμὸν δέκα. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. Οὗτος δὲ ταῖς σεμναῖς θεαῖς ἱεροποιὸν αἱρεθέντα ὑπὸ Ἀθηναίων ἁπάντων, καὶ περὶ τὸν αὐτὸν καιρὸν καταρξάμενον. Δείναρχος δὲ ἐν τῷ κατὰ Λυκούργου εὐθυνῶν φησί. Καὶ τὰς σεμνὰς θεὰς αἷς ἐκεῖνος ἱεροποιὸς καταστὰς δέκατος αὐτός.

ερομηνία, ἱερὰ ἑορτὴ κατὰ μῆνα. ἢ ἐν τῷ μηνὶ ἱερὰ ἡμέρα.

ερὰ συκῆ, οὕτω καλουμένη.

ερὰ ὁδὸς, ὁδός τις ἐστὶν ἡ εἰς Ἐλευσῖνα ἄγουσα. ἣν ἀπίασιν οἱ μύσται ἅλαδε.

εραὶ τριήρεις. αἵτινές εἰσι, Πάραλος. Σαλαμινία. Ἀντιγονίς. Δημητριάς. αὗται ἔπεμπον τοὺς στρατηγοὺς καὶ τοιαύτας τινὰς χρείας.

ερὸν πόλεμον. οὕτως ἔλεγον ὃν ἐπολέμησαν οἱ Λακεδαιμόνιοι πρὸς Φωκέας ὑπὲρ τοῦ ἐν Δελφοῖς ἱεροῦ. ἐβοήθησαν δὲ Φωκεῦσιν Ἀθηναῖοι καὶ παρέδοσαν πάλιν τὸ ἱερόν.

ερουσαλήμ. Σαλὴμ ἐλέγετο πρότερον ἡ πόλις. ἐλθὼν δὲ ὁ Χριστὸς εἰς αὐτὴν, ἐκλήθη Ἱερουσαλήμ.

ζευ καὶ ἵζεο, ἀντὶ τοῦ καθέζου. χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ. ἔστι δὲ τὸ κοινὸν, ἵζου. καὶ ἰωνικῇ διαλύσει, ἵζεο. καὶ δωρικῇ κράσει τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον, ἵζευ. ὡς Ἰδομενέος Ἰδομενεῦς. ἔστιν οὖν τὸ ῥῆμα, ἵζω. καὶ ἀπὸ μὲν τοῦ ἐνεστῶτος, ἔστι φύσει μακρὸν τὸ ι. ἀπὸ δὲ τοῦ παρατατικοῦ, θέσει. δασύνεται ἐκ τῆς συναλοιφῆς καθίζω.

ζω, τὸ κάθημαι. Ὅμηρος. Νέστορα δ' αὐτόθι ἔφιζεν.

ησοῦς, τὸ τοῦ Χριστοῦ ὄνομα. παρὰ τὸ ἰέναι εἰς τὸ σώζειν.

ηλα, τὸ ἐδέσμευσα, ἀπὸ τοῦ εἴλω. ἐν ὑπερθέσει, γίνεται ἰέλω. καὶ ἴηλα, τὸ ἐπικάμψαι, ἢ κατακλεῖσαι.

ητὴρ, ἐκ τοῦ ἰῶ ἵημι, ἰητήρ. ὁ ἰώμενος.

ὴ ἰὲ. οἷον, Θρασύνεσκον ἐπέεσσιν ἰὴ ἰὲ κεκληγυῖαι. ἔνθεν δὴ τόδε καλὸν ἐφύμνιον ἔπλετο Φοίβῳ, ἰὴ ἰέ. ὅτε φησὶν ἐτόξευσε τὸν δράκοντα ἀνεφώνουν. ἵη ἵη βέλος. ἀφ' οὗ τὸ ἐφύμνιον τοῦτο ἐγένετο ἰηπαιὸν. ἢ τὸ διὰ χοροῦ ᾀδόμενον. ἰήϊος δὲ καὶ ὁ Ἀπόλλων λέγεται. ὡς μὲν Δοῦρις, ὅτι ἐν ἀγκάλαις βαστάσασα τὸν ἥλιον ἡ Λητὼ, ἐνεκελεύσατο εἰποῦσα, ἰὴ ἰὲ παιῆον. ἔστιν οὖν τὸ ἰήϊος, ἐπίθετον Ἀπόλλωνος. ὁ τοξότης. ἀπὸ τοῦ ἵημι. παρὰ τὴν ἕσιν τῶν βελῶν, ἤτοι τὴν ἄφεσιν. τινὲς δὲ ψιλοῦσιν. ἐπεὶ ἰάσεως αἴτιος ὁ θεός. τὸ δὲ ἰὴ ἰὲ Φοῖβε, κατὰ ἀποβολὴν τοῦ ι γέγονεν. ὁ αὐτὸς γάρ ἐστι τῷ ἡλίῳ, ὅτι πανταχοῦ ἵησι τὴν ἀκτῖνα. ὡς ῥα σὺ ἰὴ ἰὲ Φοῖβε. Ἀρίσταρχος δασύνει, ἐπεὶ παρὰ τὸ ἵημι ἐγένετο. ἀπὸ γὰρ τῆς ἕσεως τῶν βελῶν, ἐκλήθη ἤϊος. οἱ δὲ ψιλοῦσιν, ἀπὸ τῆς ἰάσεως. ἄμεινον δὲ ψιλοῦσθαι. τὸ γὰρ η, πρὸ φωνήεντος ψιλοῦται. ἤϊος δὲ λέγεται ὁ τοξικὸς παρὰ τὴν ἄφεσιν τῶν βελῶν.

θαγενὴς, ὁ γνήσιος καὶ αὐτόχθων. οἱ ἰθὺ καὶ ἀδιάστροφον ἔχων τὸ γένος. καὶ οἱ ἰθαγενεῖς, οἱ γνήσιοι παῖδες, καὶ μὴ ἐκ παλλακίδος. καὶ οἱ γνήσιοι πολῖται. οἷον, αὐθιγενεῖς τινὲς ὄντες, οἱ αὐτόθι γεγενημένοι.

θαγενέεσσι, γνησίοις τέκνοις καὶ καθαροῖς.

θακος, ὄνομα κύριον. ἀπὸ τῆς Ἰθάκης. λέγεται καὶ Ἰθακὸς τὸ ἐθνικὸν, καὶ Ἰθακήσιος. καὶ Ἰθάκη πόλις. ἀπὸ Ἰθάκου τοῦ Ποσειδῶνος καὶ Ἀμφιμέλης.

θώμη, πόλις. ὡς τὸ, Ἰθώμην κλιμακόεσσαν. θώμη ἡ πόλις. πλεονασμῷ τοῦ ι, Ἰθώμη.

θὺ καὶ ἰθὺς, σημαίνει τὸ ἐπ' εὐθείας. παρὰ τὸ ἰέναι γίνεται ἰθύς. ἀπὸ τοῦ ἰθὺς, ἰθεῖα. καὶ ἰθείας δίκας. ἐπ' εὐθείας. ὀρθῶς.

θυσαν, ἐπ' εὐθείας ὥρμησαν. ἀπὸ τοῦ ἰθὺς ἰθύω, καὶ ἰθύνω. σημαίνει τὸ ὁδηγῶ. Αὐτὴ δ' αὖτ' ἴθυνεν.

κάνω, σημαίνει ἐνταῦθα τὸ ἱκετεύω. Ἡμεῖς δ' αὖθ' ἱκάνομεν τὰ σὰ γούνατα. σημαίνει καὶ τὸ παραγίνομαι, καὶ τὸ καταλαμβάνω. Ἦ μέγα πένθος Ἀχαιίδα γαῖαν ἱκάνει.

κέτης, παρὰ τὸ ἵκεσθαι, ἱκέτης. ὅθεν καὶ ἱκανός. ὁ γὰρ ἰσχυρὸς, εἰς πάντα δύναται παραγίνεσθαι.

κμὰς, ἡ ὑγρὰ σταγών. λιπαρότης. παρὰ τὸ ἰκῶ ἰκμάς.

κνοῦμαι, ἀπὸ τοῦ ἵκω τὸ ἱκετεύω καὶ παραγίνομαι, παράγωγον ἱκάνω. καὶ συγκοπῇ, ἱκνῶ. ἱκνοῦμαι, καὶ ἀφικνοῦμαι. τὸ δὲ ἱκάνω, ἀπὸ τοῦ ἵκον δευτέρου ἀορίστου. ὡς ἀπὸ τοῦ ἔφυγον, φυγάνω. καὶ πλεονασμῷ τοῦ γ, φυγγάνω.

κμενον. ἵκω, ἱκόμενον. καὶ συγκοπῇ, ἵκμενον. σημαίνει δὲ τὸν πορευτικὸν ἢ ὑγρόν. παρὰ τὴν ἰκμάδα.

κρία. πάντα τὰ ἁπλῶς μετέωρα, ἴκρια λέγεται. διὰ τὸ εἰς ὕψος ἥκειν. οἱονεὶ ἴκρια τινὰ ὄντα. ἢ τὰ σανιδώματα, διὰ τὸ δι' αὐτῶν ἱκνεῖσθαι.

κτῖνα, σημαίνει τὴν λεγομένην λούπην, παρὰ τὸ ἱκνοῦμαι. Πλάτων δὲ προπαροξυτόνως λέγει. ὡς παρὰ Ἀριστοφάνει. Ἰκτῖνα πανόφθαλμον ἁρπαγὰ βλέφων. οὐ γὰρ ἐστὶν ἀπὸ τῆς ἴκτιν εὐθείας, ἀλλ' ἐκ τῆς ἰκτῖνος. ἧς ἡ γενικὴ, ἰκτίνου. καὶ αἰτιατικὴ, ἰκτῖνον. καὶ κατὰ μεταπλασμὸν, ἴκτινα. ὡς ἀλίτροχον, ἀλίτροχα. τὰ γὰρ διὰ τοῦ ινος προπαροξύτονα μὴ ὄντα ἀπὸ ἁπλοῦ ἔχοντα τὴν ει δίφθογγον, διὰ τοῦ ι γράφεται. οἷον, φήγινος. λίθινος. ξύλινος. οὕτως οὖν καὶ ἴκτινος. πρόσκειται μὴ ὄντα ἀπὸ ἁπλοῦ ἔχοντα τὴν ει δίφθογγον, διὰ τὸ ξένος ξεῖνος, εὔξεινος.

κόνιον, πόλις Λυκαονίας. ὁ πολίτης, Ἰκονιεύς. Ἰκόνιον ἡ πόλις. Γυναῖκα φασὶ κατοικεῖν τὸν τόπον παράνομον, ἣ τοὺς ἐπιξενουμένους ἐκέλευε συγγενέσθαι αὐτῇ. καὶ μετὰ τὴν συνουσίαν ἀνῄρει. γνωμὴ ἡ ἀσέλγεια αὐτῆς ἐπιγνωσθῇ. Περσέα δὲ τὸν Δανάης ἀπὸ τοῦ τόπου ἀφικόμενον, καὶ μέλλοντα αὐτὰ πάσχειν, δείξαντα τὸ τῆς Γοργοῦς πρόσωπον, ἀπολιθῶσαι αὐτήν. τὴν δὲ εἰκόνα ἐπὶ πολὺν χρόνον διαμεῖναι λιθίνην. ἀφ' ἧς αἰτίας καὶ τοὺς κατοικοῦντας τὴν πόλιν οὕτως ὠνόμασαν. γράφεται δὲ διὰ τοῦ ι. ἐπειδὴ εὑρέθη ἡ ἀρχὴ συστελλομένη παρὰ Μενάνδρῳ. Γενομένου τοῦ ἐπὶ Δευκαλίωνος κατακλυσμοῦ, πάντες διεφθάρησαν.

ἀναξηρανθείσης δὲ τῆς γῆς, ὁ Ζεὺς ἐκέλευσε τῷ Προμηθεῖ καὶ τῇ Ἀθηνᾷ, εἴδωλα διαπλάσαι ἐκ τοῦ πηλοῦ· καὶ τοῖς ἀνέμοις ἐμφυσῆσαι ἐκέλευσε, καὶ ζῶντα ἀποτελέσαι. διὰ τὸ οὖν τὰς εἰκόνας ἐκεῖσε γραφῆναι, ἐκλήθη Ἰκόνιον.

Ινα, σημαίνει τέσσαρα. τὸν αἰτιολογικὸν σύνδεσμον. ὡς τὸ, ἵνα γνῶσι καὶ οἵδε. ἀντὶ τοῦ ὅπως μάθωσι καὶ οὗτοι. καὶ τὴν δύναμιν. ὡς τὸ, ἶνα κρατερὴν ὤλεσεν θυμοφθόρου. τὸ δὲ ἐστὶν ὄνομα πτώσεως αἰτιατικῆς. καὶ τὸ νεῦρον. ὡς τὸ, ἶνα τάμεν διὰ πᾶσαν. ἔστι καὶ ἀντὶ τοῦ ὅπου. ὡς τὸ, ἵνα γάρ σφιν ἐπέφραδεν ἢ γενέσθαι. ἢ ἀντὶ τοῦ ἐκεῖ. ἐκεῖ γὰρ αὐτοὺς εἶπον συναθροισθῆναι. Ἰλιάδος κ. ἔστι καὶ ἀντὶ τοῦ ἐάν. ὡς ἐν Ἰλιάδος κάππα. ἵνα μὴ ῥέξωμεν ὧδε. ἀντὶ τοῦ ἐὰν μὴ πράξωμεν οὕτως.

Ινατί, ἀντὶ τοῦ διατί. ἰστέον ὅτι τὸ ἵνα σύνδεσμος ὑποτακτικός. ὅταν δὲ κεῖται ἀντὶ τοῦ ὅπου, οὐχ ὑποτάσσει. τὸ μέντοι ἵνα, καὶ τὸ τί συντεθειμένα, γίνεται ἐπίρρημα ἐρωτήσεως, καὶ οὐχ ὑποτάσσει. ἐπὰν γὰρ εἰς τὸ ἵνα τὸ τί προστεθῇ, μετάγεται εἰς παρῳχημένον καὶ λύεται ἡ ὑπόταξις.

Ινις, σημαίνει τὸν νέον υἱόν. τὸ βρέφος, ἢ τὸν ἀπόγονον. ἢ ἀπὸ τοῦ ἲς ἰνός, γίνεται παρώνυμον ἶνις. δύναμις γάρ εἰσι τῶν πατέρων οἱ υἱοί, καὶ τῶν υἱῶν οἱ πατέρες. ἢ ἀπὸ τοῦ ἰαίνειν γίνεται. καὶ γὰρ τὰ τέκνα τοὺς πατέρας εὐφραίνουσιν.

Ινώ, παρὰ τὸ ἲς ἰνός. ἢ παρὰ τὸ δύειν, δυνώ. ἀποβολῇ τοῦ δέλτα καὶ τροπῇ. καὶ γὰρ εἰς τὴν θάλασσαν ἔδυνεν ἡ Ἰνώ.

Ινωπός, ὄνομα ποταμοῦ. ἀπὸ τοῦ ἲς ἰνός, καὶ τοῦ ὂψ ὀπός, ὃ σημαίνει τὴν φωνήν, γίνεται ἰνωπός. κατὰ ἔκτασιν τοῦ ο εἰς ω.

Ινδάλλω. ὡς παρὰ τὸ ἄγω, γίνεται ἀγάλλω. καὶ ἰῶ τὸ πέμπω, ἰάλλω, οὕτω παρὰ τὸ εἴδω τὸ ὁμοιῶ, γίνεται ἰνδάλλω. καὶ πλεονασμῷ τοῦ ν. γράφεται δὲ διὰ τοῦ ι, ἐπειδὴ κανών ἐστιν ὁ λέγων. ἐν τοῖς παραγώγοις εἰώθασι πολλάκις τὴν φύσει μακρὰν εἰς θέσει μεταβάλλειν. ὡς παρ' ἐστὶ τὸ πένης πενιχρός. λήβω, λαμβάνω. ἥδω, ἁνδάνω. δήκω, δάκνω, οὕτω καὶ παρὰ τὸ εἴδω, παράγωγον ἰνδάλλω. ἐξ οὗ καὶ ἴνδαλμα.

Ιξαλος. ἰξάλου αἰγός, ἤτοι τελείου, ἢ πηδητικοῦ καὶ ὁρμητικοῦ. παρὰ τὸ ἰκνεῖσθαι. ἢ ὥς ὁ Πορφύριος λέγει τὸν τομίαν. συμβαίνει γὰρ πολλάκις τῶν ἀγρίων αἰγῶν τοὺς τελείους διωκομένους ἐν ταῖς παραγίνεσιν ἀποβάλλειν τὰ γεννητικὰ μόρια. παρὰ τὸν ἰξῶν μένοντα, γέγονεν ἴξαλος. ὡς ἀπὸ τοῦ ἄγω ἄξω, ἄξιος, οὕτως ἵκω ἵξω ἵξιος, καὶ ἴξαλος. Δεῖ δὲ γινώσκειν ὅτι πολλάκις τὰ παράγωγα, ἀλλάσσουσι τὸ πνεῦμα. καὶ ἀπὸ μὲν δασέως, γίνεται ψιλόν. ὡς τὸ ἅμα, ἀμυδίς. ἥλιος, ἀπηλιώτης. οὕτως ἀπὸ τοῦ ἵξω, ἴξαλος.

Ιξίων. ἀπὸ τοῦ ἵκω ἵξω, ἴξιος καὶ Ἰξίων. ὡς ὄφις ὄφιος, ὀφίων. ἰξεύω. τὸ ἰῶτα θέσει μακρόν. ἰξευτὸν δὲ, φύσει μακρόν. χρονικῶς μεγεθύνεται. καὶ τὸ ἰξιόεν, τῶν θανασίμων ἐστὶ φαρμάκων. ὠνόμασται δὲ οὕτως, ἐπειδὴ τὰς ἐν τῷ τροφὰς κατέχει ὥς ἰξός. ὀσμὴν δ' ἔχει παραπλήσιον ὠκίμῳ.

Ιξός. ἰξὸς δέ ἐστιν ἡ παγὶς τῶν στρουθίων ἄξός τις ὤν. παρὰ τὸ ἄγειν τὰ ὄρνεα. ἢ παρὰ τὸ ἵκω ἵξω ἰξός. ὁ φθάνων μέχρις ἂν ἡ ἱπτάμενα τὰ ὄρνεα. μέχρις ὧν ἂν φθάνωσι τὰ πτηνὰ τόπων. ἀντὶ τοῦ ἔνθα ἱκνοῦνται καὶ παραγίνονται.

Ιξύς, ἡ ὀσφῦς, ἤγουν τὸ ἰσχίον. οἱονεὶ ἀξύστις οὖσα, ἣν οὐχ οἷόν τε κνῆσαι καὶ ξύσαι διὰ τὸ μὴ φθάνειν τὴν χεῖρα κνήσασθαι. ἀλλαχοῦ δὲ ἀκίνητον λέγει ταύτην, μεσάνωτον τὸν τόπον λέγων.

Ιξον. Οἱ δ' ἶξον κοίλην Λακεδαίμονα. Ἀπολλώνιος. ἀπὸ τοῦ ἵκω τοῦ διὰ τοῦ ι γραφομένου λέγει. ὁ δεύτερος ἀόριστος, ἶκον. καὶ τροπῇ βοιωτικῇ τοῦ κ εἰς ξ, ἶξον. οὕτως Ἀπολλώνιος. ὁ δὲ Ἡρωδιανὸς τοῦτο καὶ τὰ ὅμοια ἐκ μέλλοντος λέγει μετατεθεῖσθαι εἰς ἐνεστῶτα. ἵξω, καὶ ὁ παρατατικός, ἶξον, ἶξες, ἶξε. τὸ πληθυντικόν, ἴξομεν, ἴξετε, ἶξον. ὅτι δὲ οὐκ ἔστι δεύτερος ἀόριστος, ἀλλὰ παρατατικός, τὰ τοιαῦτα ἐλέγχει καὶ τὰ προστακτικά. εὑρήσεις γάρ, βῆσε, καὶ ἶξε. καὶ οἶσε. ὡς τύπτε καὶ γράφε. εἰ δὲ ἦν ἀόριστος, ἦν ἂν βῆσον, καὶ ἶξον. ἔστι δὲ οἶσε μέλλων. οὐδὲ ἀλλοκίνημα οὐχ εὕρηται, πλὴν τοῦ αὐτοῦ μέλλοντος. τὸν δὲ Ἀπολλωνίου λόγον, δέον εἶναι μᾶλλον ἀληθέστερον. οὐ γὰρ παράτασιν σημαίνει, τὸ οἱ δ' ἶξον, ἀλλὰ συντέλειαν ὅτι παραγωγαὶ γεγόνασιν. οὐ γὰρ ταῖς φωναῖς τὰ μέρη τοῦ λόγου ἀκολουθεῖ, ἀλλὰ τοῖς σημαινομένοις ζητήμασιν.

Ιουλος, τὸ πολύπουν ζῷον. ἀπὸ τοῦ ἰέναι καὶ τῆς λειότητος τῆς πορείας. ἢ ἀπὸ τοῦ ἰέναι οὖλον καὶ πυκνόν. ἢ ἀπὸ τοῦ οὔλως καὶ πυκνῶς εἰλεῖσθαι, ἴουλος ἐκλήθη. ὅθεν ἀπὸ μεταφορᾶς καὶ αἱ πολύκωποι νῆες, ἰουλόπεζοι ἀπ' αὐτοῦ κέκληνται. ἴουλος λέγεται καὶ ἡ πρώτη ἐξάνθησις τῶν τριχῶν κατὰ τὰς παρειάς. αἳ κατὰ παρειὰν ἐπ' εὐθείας ἐν πυκνότητι πρῶτον ἀναβλαστάνουσαι τρίχες. ἀπὸ τοῦ ἰούλου τοῦ ζῴου, τοῦ πολλοῖς καὶ πυκνοῖς ἔχοντος πόδας. Οἱ ἔτι χνοάοντας ἰούλους. ἀντὶ τοῦ νεωστὶ ὡς χνοῦν τοῖς ἰούλοις ἀναφέρων. ἔστι δὲ καὶ ᾠδῆς ὄνομα, ὥς φησιν Ἐρατοσθένης ἐν τῷ Ἑρμῇ. Ἡ χερνῆτις θεὸς ἐφ' ὑψηλοῦ ἐλεῶνος Δανδαίτις στείχουσα καλὰς ᾔειδ' ἰούλους. ἢ ἴουλος, ἡ πρώτη τῶν γενείων ἔκφυσις, θερμοτάτη οὖσα καὶ πυκνοτάτη. ἀπὸ τοῦ ἰέναι λείως καὶ οὔλως. γένειον δέ, ἡ ἐκ τῆς γένυος ἤτοι σιαγόνος ἐπιφερομένη τρίχωσις.

Ιος, σημαίνει τὸν μόνον. τὰ διὰ τοῦ ιος δισύλλαβα, διαφόρως τονούμενα, διὰ τοῦ ι βαρυτόνου. δῖος, διός. χίος, χιός. θριός. μνιός ὁ ἁπαλὸς παρὰ Εὐφορίωνι. καὶ ἰῷ ἤματι. Ἰλιάδος ζ. ἐν μιᾷ ἡμέρᾳ. ἡ εὐθεῖα, τὸ ἰὸν οὐδετέρως, τοῦ ἰοῦ. σημαίνει τὸ μόνον. ἡ δοτικὴ ἰῷ περισπώμενον. καὶ σεσημείωται μὴ φυλάξαν τὸν τόνον τῆς γενικῆς.

Ιός, σημαίνει τὸ βέλος. διὰ τὸ βλαπτικὸν εἶναι. ὥσπερ γὰρ ὁ ἰὸς φάρμακόν ἐστι τοῦ σιδήρου, οὕτω καὶ οὗτος τοῦ σώματος. ἢ παρὰ τὸν ἰόν, τὸ δηλοῦν τὸ φάρμακον τοῦ ὄφεως. καὶ γὰρ ἔχριον τὰ βέλη ἀπὸ τοῦ ἰοῦ τοῦ ὄφεως. ἵνα τιτρωσκόμενός τις, εὐθέως ἀναιρεθῇ. ἢ παρὰ τὸ ἰέναι ποιεῖν τοὺς τιτρωσκομένους εἰς ᾅδου. ἀπὸ τοῦ ἵημι γίνεται τὸ ἰέναι. καὶ γὰρ λίαν πορεύεται τὸ βέλος. καὶ ὁ ἰός, πορευτικός ἐστιν.

Ιόμωροι, οἱ περὶ τοὺς ἰοὺς καὶ τὰ τόξα πεπονημένοι καὶ μεμορημένοι ὅ ἐστι κάμνοντες τοξόται. παρὰ τὸν μόρον κατὰ ἔκτασιν τοῦ ο εἰς ω. ὃ σημαίνει τὴν εἱμαρμένην καὶ τὴν κακοπάθειαν. οἱ, ῥίγληνα μορόεντα. κάμε ⟨λοῦντες.

Ιοχέαιρα, ἡ Ἄρτεμις. ἡ περὶ ἰοὺς καὶ τόξα χαίρουσα. ἢ παρὰ τὸ χέειν τοὺς ἰούς, ὅ ἐστι τὰ βέλη. τοξότης γὰρ ἡ θεός.

Ιότης ἰότητος, λέγεται ἡ βουλὴ καὶ ἡ φρόντις. ἀπὸ τοῦ ἰοῦ τοῦ βέλους, ἰός, ἰότης. ἀπὸ τοῦ ἵεσθαι καὶ εἰς πάντα ἰέναι.

Ιον, ὄνομα βοτάνης. τὸ ἄνθος. παρὰ τὸ ἀνιέναι ταχύ. καὶ ἡ ὁδός. Περὶ κρήνην ἰοειδέα, ἀντὶ τοῦ τὴν ἀνθώδη. Ὅμηρος δέ, ἰοειδέα πόντον, τὸν μελανώδη ἔλαβεν.

Ιόπη, πόλις Παλαιστίνης. εἴρηται δέ, οἱονεὶ αἰθιόπη τις οὖσα. κατεῖχον γὰρ αὐτὴν αἰθίοπες.

Ιόνιος κόλπος, ἀπὸ τῆς Ἰοῦς ὡς Αἰσχύλος.

Ιονθος, ἡ πρώτη ἔκφυσις τῶν τριχῶν. ἀπὸ τοῦ εἰς τὰ ἄνω ἰέναι τὴν τρίχα, ὡς ἄνθος βλαστάνουσαν.

Ιορδάνης, παρὰ τὸ ἰὸρ καὶ τὸ δάνος. ὄνομα ποταμῶν. δύο γάρ εἰσι ποταμοὶ ἐν ταὐτῷ μεμιγμένοι. κλίνεται ἰορδάνου. τὰ εἰς ης κύρια, μὴ παρ' οὐδετέρου συντιθέμενα, εἰς ου ἔχει τὴν γενικήν. οἷον, ἑρμιόνης ἑρμιόνου.

Ιπνός, κάμινος, ἢ φοῦρνος, ἢ φανός. καὶ τὸ μαγειρεῖον. καὶ μέρος τι τῆς νεώς.

Ιπος, σημαίνει τὴν παγίδα τῶν μυῶν, καὶ τὸ πραιτώριον. παρὰ τὸ ἵπτω τὸ βλάπτω, γίνεται ἶπος. καὶ γὰρ τὸ εἶδος φθαρτικόν ἐστι τῶν μυῶν. καὶ παρὰ τὸ ἶπος, γίνεται ἰπῶ ῥῆμα σημαῖνον τὸ θλίβω. καὶ Ἀριστοφάνης. Ἰπούμενος ταῖς συμφοραῖς. ὡς κόπτω, κόπος, οὕτως, ἵπτω, ἶπος.

Ιππος, παρὰ τὸ ἵεσθαι τοῖς ποσί. ἢ διὰ δύο π, πρὸς ἀντιδιαστολὴν τοῦ ἶπος τοῦ σημαίνοντος τὴν παγίδα. ἰστέον δὲ ὅτι οἱ Ἴωνες πάσας τὰς ἀγέλας, ἐκθηλύνουσι τῇ προφορᾷ. τὰς ἵππους. καὶ τὰς ὄνους. καὶ τὰς βοῦς λέγοντες.

Ιππῆς. δεῖ γινώσκειν ὅτι τῶν εἰς ευς ὀνομάτων, ἡ εὐθεῖα τῶν πληθυντικῶν τὰ δύο εε εἰς τὴν ει δίφθογγον κιρνᾷ ἐπὶ κυρίου. ἐπὶ δὲ τοῦ μὴ κυρίου, παρ' ἡμῖν μέν, διὰ τῆς ει διφθόγγου. παρὰ δὲ τοῖς Ἀθηναίοις, εἰς η. βασιλέες βασιλῆς. Χοιροβοσκός.

Ιππιος, ὁ Ποσειδῶν. ὅτι δοκεῖ παρ' αὐτὸν ἵππον γεγεννηκέναι Σίσυφον ἐν Θεσσαλίᾳ τῇ τριαίνῃ πέτραν παίσας. ὅθεν ἱερὸν Ποσειδῶνος Πετραίου καθίδρυται ἐν Θεσσαλίᾳ. ζήτει ἱπποκόωντος, ἱππασία.

Ιππιόθων. Κερκυόνος. πῶς ὅτι λάθρα αὐτὸν ἐκ Ποσειδῶνος κυήσασα ἐξέθηκεν. ἵππος δὲ αὐτὸν ἐξέθρεψεν.

Ιππιοχάρμην, τὸν χαίροντα τῇ ἱππικῇ. ἢ ἱππόμαχον. χάρμην γὰρ τὴν μάχην φασίν.

Ιππουριν. ἵππουρις ἱππούριδος, εἶδος ἐστὶ περικεφαλαίας. ἐκ τοῦ ἵππος καὶ τοῦ οὐρά. ἢ ἡ ἐξ ἱππείας οὐρᾶς. ἢ ἡ ἐξ ἱππείων τριχῶν λόφον ἔχουσα. λόφος δέ ἐστι τὸ περιττεῦον τῆς περικεφαλαίας ἀνάστημα χάριν κόσμου καὶ καταπλήξεως.

Ιππότα, ὄνομα ἐστὶν ἀπὸ τοῦ ἱππότης. κατὰ μεταπλασμόν, ἱππότα, ἀντὶ τοῦ ἱππικός. ἐπὶ δὲ τοῦ ἱππότα Νέστωρ, ἀντὶ τοῦ φυγάδα ἐστίν.

Ιππουρις, διὰ τί προπαροξύνεται. τὰ εἰς ρις λήγοντα ὑπὲρ δύο συλλαβάς, διφθόγγῳ τῇ διὰ τοῦ υ παραληγόμενα, ἅπαντα ὀξύνεται. οἷον, μελουρίς. σημαίνει δὲ τὴν σιτοφάγον ἀκρίδα. κυνοσουρίς. σεσημείωται, τρία. λάμπουρις, ἡ ἀλώπηξ. τόμουρις, ὄνομα πόλεως. καὶ ἵππουρις.

Ιπποσύνη, ἱππικὴ ἐμπειρία. δασύνεται. τὸ ι πρὸ δύο συμφώνων τῶν αὐτῶν, ψιλοῦται. ἴλλας, ἰλλοί. ἴκκος, σημαίνει τὸν ἵππον. σεσημείωται τὸ ἵππος.

Ιππόβοτον, τὸ ἵππους τρέφον. ἀπὸ τοῦ βῶ βόσκω, γίνεται βοτός. καὶ μετὰ τοῦ ἵππος, Ἄργος ἐς ἱππόβοτον. ἀπὸ δὲ τοῦ Ἀγήνορος ἵππου, ὠνόμασται τὸ Ἄργος ἱππότροφον. διὰ τί ἀνεβίβασε τὸν τόνον. τὰ εἰς ος ὀξύτονα δισύλλαβα, ἐν τῇ συνθέσει προπαροξύνεται. βατός, ἄμβατος ἐστὶ πόλις. φατός, ἀρίφατος. χωρὶς εἰ μὴ παρασύνθετα ὦσι, διὰ τὸ μετρῶ μετρήσω μετρητός. καὶ, Διαμετρητῷ ἐνὶ χώρῳ.

Ιπποκορυσταί, ἐφ' ἵππων ὁπλιζόμενοι. ἢ ἵππους κορύσσοντες, τουτέστι πολεμικοί. ἢ ἐφ' ἵππων μαχόμενοι. γίνεται δὲ ἐκ τοῦ ἵππος καὶ τὸ κορυστής. τοῦτο ἐκ τοῦ κορύσσω. τοῦτο ἐκ τοῦ κορύνη. ἔστι δὲ ἐπικαμπὲς ῥόπαλον. ἱπποκορυστής. διὰ τί οὐκ ἀνεβίβασε τὸν τόνον. ἐπειδὴ τὰ εἰς ης ὑπὲρ μίαν συλλαβήν, ἐν τῇ συνθέσει τοῦ ἁπλοῦ φυλάσσει τὸν τόνον. ἐρανιστής, ἀρχερανιστής. ζήτει εἰς τὸ ἡρακλῆς.

Ιππία. ἐκλήθη οὕτως ἡ Ἀθηνᾶ. ἐπεὶ ἐκ τῆς κεφαλῆς τοῦ Διὸς μεθ' ἵππων ἀνήλατο ὥς ὁ ἐπ' αὐτῆς ὕμνος δηλοῖ. ἢ ὅτι Ποσειδῶνος οὖσα θυγάτηρ καὶ Κορυφῆς τῆς Ὠκεανοῦ ἔχουσα ἅρμα, οὕτως ἐγεννήθη. ἢ ὅτι Πάρασος θηβηθεν

φεύγων τῶν πολεμίων ἔστησαν τοὺς ἵππους, Ποσειδῶνα καὶ Ἀθηνᾶν ἱππίους προσηγόρευσαν.

πποκένταυρος, ἀναλογικῶς νοεῖται. φασὶ γὰρ αὐτὸν ἰατρικὴν ἐπιδείξασθαι. ἀνάγεται δὲ καὶ οὕτως. ἐπειδὴ τὸ σῶμα αὐτοῦ τὸ μὲν ἥμισυ ἱππεῖον. τὸ δὲ ἥμισυ ἀνθρώπου, πεφανέρωται ὅτι διὰ τοῦ ἀλόγου μέρους ἐδήλωσε τὸ πρακτικόν. διὰ δὲ τοῦ ἀνθρωπείου τὸ λο-

πομανής. σοφοκλῆς αἴαντι. Σὲ τὸν ἱππο- γνιόν. μανῆ. ἤτοι πολεμικὸν καὶ ἵπποις ἐπιμαινόμενον. εἴωθε γὰρ ἡ προσθήκη τῶν τοιούτων ζώων, τὸ μέγεθος τοῦ ὑποκειμένου δηλοῦν, ὡς θυμὸν ἱππογνώμονα, τὸν μεγάλης γνώμης. καὶ βούπαις. ἱππομανής. ἔστι καὶ ἐπὶ τοῦ λειμῶνος, ἤτοι ὅπου ἵπποι μαίνονται. ἢ τὸν μέγαν καὶ ἄνετον, ἢ τὸν εὐανθῆ, ἐν ᾧ εὐανθὴς βοτάνη, ὥστε σημαίνεσθαι τοὺς ἵππους διὰ τὸν καιρὸν ἐπαυξήσεως τῆς χλόης τοῦ λειμῶνος, τὴν μεγάλως μεμηνυῖαν. καὶ τὸν ἀνθοῦντα τῇ χλόῃ. ἐπεὶ καὶ φυλλομανής.

ποδάμοιο. αἱ διὰ τοῦ οιο θετταλικαὶ γενικαί, εἰ μὲν ἀπὸ περισπωμένου γενικῆς ὦσι, προπερισπῶνται. καλοῦ καλοῖο. εἰ δὲ ἀπὸ βαρυτόνου, προπαροξύνονται. ἀχεάντου ἀχεάντοιο.

ππόκομοι κόρυθες. τὰ ἀπὸ τῶν εἰς η θηλυκῶν συντεθέντα μεταβάλλοντα τὸ τέλος εἰς ος, προπαροξύνεται. ὡς ἄφωνος, ἄναυδος, οὕτω καὶ κόμη, ἱππόκομος πήληξ. ὅτε δὲ παροξύνεται τὸ ἱπποκόμος, τότε τὸ κομῶ ἐγκεῖται, καὶ δηλοῖ τὸν ἐπιμελούμενον τῶν ἵππων. ἐκ τοῦ ἵππος καὶ τοῦ κομῶ τὸ θεραπεύω.

ρός, σημαίνει τὸν ἱερόν. ἀπὸ τοῦ ἵω τὸ πέμπω, γίνεται παράγωγον ἱερός. ὡς τήκω, τακερός. καὶ κράσει τοῦ ι καὶ ε εἰς ι μακρόν, γίνεται ἱρός. ἡνίκα γὰρ ἐπιφέρεται τῷ ι τὸ ε, τὸ ι ἐπικρατεῖ. ἱέραξ, ἴρηξ. ἡνίκα δὲ τὸ ε καὶ ι ἐν διφθόγγῳ ἐστί, τότε ἡ ει δίφθογγος ἐπικρατεῖ. ταμιεῖον, ταμεῖον. ἀπολλωνίεια, ἀπολλωνεία.

ραί, αἱ ἐκκλησίαι. ὡς τό, Ἱράων προπάροιθεν. ἢ παρὰ τὸ εἴρω τὸ λέγω. ἢ ἀπὸ τοῦ ἱεραὶ εἶναι. ζήτει εἰς τὸ καθέδρα.

ρος, ὄνομα κύριον ἐν ὀδυσσείᾳ. ὁ πτωχὸς καὶ ἐπαίτης. ὃς κατὰ τὴν ἐτυμολογίαν, διὰ τῆς ει διφθόγγου γράφεται. παρὰ γὰρ τὸ εἴρω τὸ λέγω. καὶ ὁ ποιητὴς δηλοῖ λέγων. Ἶρον δὲ νέοι κίκλησκον ἅπαντες οὕνεκ' ἀπαγγέλλεσκε κιὼν ὅτε πού τις ἀνώγοι. ἀλλ' ἔστιν εἰπεῖν ὅτι ἀπὸ τοῦ ἱερός, γίνεται κράσει ἱρός. ὁ ἶρος κύριον. πολλὰ γὰρ εὑρίσκονται ὀξύτονα ἅτινα γινόμενα κύρια, βαρύνεται. οἷον, ξανθός, Ξάνθος. πυρρός, Πύρρος. γλαυκός, Γλαῦκος. λευκός, Λεῦκος. οὕτως οὖν καὶ ἱρός, Ἶρος. καὶ ἄλλως. τὰ διὰ τοῦ ιρος δισύλλαβα κύρια, καὶ βαρύνονται, καὶ διὰ τοῦ ι γράφονται. οἷον, κίρος ὄνομα κύριον. πίρος, ὄνομα ποταμοῦ. καὶ τίρος, ὄνομα ποταμοῦ. μίρος, ποταμὸς φρυγίας. σκίρος, ὁ γύψος. σθῆρος δέ, ὄνομα κύριον. πρόσκειται κύρια, διὰ τὸ λῆρος, ἡ φλυαρία. καὶ νηρός ὀξύτονον. οὐκέτι δὲ κύριον. σημαίνει τὸν ὁρμητικόν. Ἰστέον δὲ ὅτι οὐ μόνον ὁ παρὰ τῷ ποιητῇ ἶρος ἐλέγετο, ἀλλὰ καὶ ἄλλος πρὸ αὐτοῦ ἦν ἶρος λεγόμενος. ἔστι δὲ καὶ ἶρος πόλις θεσσαλίας. ἀπὸ ἴρου τοῦ κτίσαντος αὐτήν.

Ιρις σημαίνει καὶ ποπάνου τι εἶδος. καὶ τοῦ ὀφθαλμοῦ τὸν περὶ τὴν κόρην κύκλον, καὶ τῶν λίθων τοὺς κρυσταλλώδεις. καὶ ἀρωματικὴ πόα.

ρις, σημαίνει τὴν ἄγγελον τῶν θεῶν. καὶ γίνεται παρὰ τὸ εἴρειν καὶ λέγειν τὰ μέλλοντα. σημαίνει καὶ τὴν νεφελώδη ζώνην. τὸ τόξον τὸ ἐν τῷ οὐρανῷ φαινόμενον. καὶ αὐτὸ ἀπὸ τοῦ εἴρω. παρὰ τὸ σημαίνειν καὶ προλέγειν τὸ μέλλον ἔσεσθαι, χειμῶνα ἢ εὐδίαν. ἢ παρὰ τὸ τηρεῖν καὶ κινεῖν τὸν ὄμβρον. σημαίνει καὶ ποταμόν ὡς παρὰ ἀπολλωνίῳ. Ποταμὸν ἀγχίροον Ἶριν. σημαίνει καὶ τὴν φιλοσοφίαν, καὶ ἔριν, καὶ φήμην. τὰ εἰς ρις θηλυκὰ ῥηματικὰ δισύλλαβα ἐνὶ φωνήεντι θέλει παραλήγεσθαι. οἷον, χαίρω, χάρις. εἴρω, ἔρις καὶ ἶρις. δαίω δῆρις. τὸ δὲ κουρίς ὃ σημαίνει τὸ ἐργαλεῖον τοῦ κουρέως, ὀξύνεται. τὸ δὲ χαῖρις χαίριδος ὄνομα κύριον, ἀρσενικόν ἐστι. τὸ θοῦρις ἀπὸ τοῦ θοῦρος γίνεται.

σαν, σημαίνει τὸ ἐπορεύοντο. τοῦ εἶμι τὰ πληθυντικά, διὰ τοῦ ἰῶτα γράφεται. ὡς ἀπὸ τοῦ ἴω βαρυτόνου. οὗ ὁ παρατατικός, ἴεν. οἷον, Ἄστυ ἴεν πολυκάρπου ἀλωῆς. ἐξ οὗ καὶ ὁ δεύτερος ἀόριστος, ἤιον. ἔστι δὲ καὶ τοῦτο σχῆμα κατὰ ἀπολλώνιον. ἐσύνιω. εἶτα διαιρέσει, εἴω, καὶ κατὰ ἀφαίρεσιν τοῦ ε, γίνεται ἴω. καὶ ἴθι περισπωμένως. ζήτει. ἐκ τοῦ εἶμι οὖν, ὁ παρατατικός, ἦιν. τὸ πληθυντικόν, ἦμεν. ἀλλ' ἐπὶ τοῦ παρατατικοῦ τῶν εἰς μι καὶ ἡ παραλήγουσα συστέλλεται. τὸ τρίτον, ἴσαν. ἢ ἀπὸ τοῦ ἵημι. οὗ ὁ μέλλων, ἥσω. ὁ ἀόριστος, ἧσα. τὸ πληθυντικόν, ἴσαμεν. τὸ τρίτον, ἴσαν.

σασι, σημαίνει τὸ γινώσκουσιν. ἀπὸ τοῦ εἴδω τὸ ἐπίσταμαι, ὁ μέλλων, εἴσω. γίνεται ῥῆμα περισπώμενον διὰ τοῦ ι, ἰσῶ. οὗ παράγωγον, ἴσημι. σημαίνει τὸ αὐτό. τὸ πληθυντικόν, ἴσαμεν. καὶ συγκοπῇ, ἴσμεν. τὸ δεύτερον, ἴσατε. καὶ συγκοπῇ, ἴστε. τὸ τρίτον, ἴσασιν ὁμοφώνως τῇ δοτικῇ τῶν πληθυντικῶν τῆς μετοχῆς τοῦ ἴσαντος ἴσασι. καὶ οὐ προπερισπᾶται ὥσπερ τὸ ἱστᾶσι καὶ κιχρᾶσι. διατί δὲ ἡ ἴσας μετοχὴ βαρύνεται πάντων τῶν εἰς ας ὀξυτόνου μελλόντων, οἷον, ἱστάς, κιχράς, ἔστιν οὖν εἰπεῖν ὅτι ὁ χαρακτὴρ ἐστὶν αἴτιος τῆς βαρυτόνου τάσεως. πᾶσα γὰρ μετοχὴ διὰ τοῦ ισας βαρύνεται. οἷον, γεμίσας. λεπίσας.

σθι τὸ σημαῖνον τὸ ὕπαρχε, ἀπὸ τοῦ εἰμί. τὸ πρῶτον τῶν πληθυντικῶν, ἐμέν. τὸ προστακτικόν, ἔθι. καὶ πλεονασμῷ τοῦ σ, ἴσθι. τὸ γὰρ ε πλεονάζοντος συμφώνου, τρέπεται εἰς ι. τοῦτο δὲ τὸ ἴσθι, κατὰ τὸ τρίτον πρόσωπον τὸ ὀφειλόμενον ε ἀναδέχεται, καὶ τουτέστιν ἔστω.

θι, σημαίνει τὸ πορεύου, καὶ ἐλθέ, καὶ παρα[illegible]. ἐκ τοῦ εἶμι τὸ πορεύομαι. τὸ πληθυντικόν, ἴμεν. τὸ προστακτικόν, ἴθι. τὸ τρίτον, ἴτω.

σθι, σημαίνει τὸ γίνωσκε. ἐκ τοῦ ἰσῶ. τὰ εἰς ω λήγοντα ῥήματα κατὰ ἔνδειαν χρόνου ἐκ βαρυτόνων εἰς περισπώμενα μεταγόμενα, διχρόνῳ βραχεῖ παραλήγεται. οἷον, πείθω, πιθῶ. στείχω, στιχῶ. φείδω, φιδῶ. τεύχω, τυχῶ. οὕτως οὖν καὶ εἴδω, εἰσῶ, ἰσῶ. καὶ ἴσημι παράγωγον. ὁ παρὰ δωρικοῖς γίνεται ἴσαμεν, ὡς παρὰ θεοκρίτῳ. Καλὰς μάλα τοῦτό γ' ἴσαμεν. καὶ τὸ προστακτικόν, ἴσαθι. καὶ κατὰ συγκοπήν, ἴσθι. τὸ τρίτον, ἰσάτω. καὶ ἴστω κατὰ συγκοπήν. ἀντὶ τοῦ γινωσκέτω. Ἴστω νῦν τόδε γαῖα. ἄλλως. ἴσημι τὸ γινώσκω. ὁ μέλλων, ἥσω. ὁ ἀόριστος, ἧσα. ἡ μετοχή, ἴσας ἴσαντος. καὶ τὸ προστακτικόν, ἴσαθι καὶ ἴσθι. τὸ δυϊκόν, ἴσον. καὶ πλεονασμῷ τοῦ ε, γίνεται ἰστέον.

σκεν. Ἴσκεν ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα. τινὲς βούλονται τὸ ἔλεγε σημαίνειν. ἄλλοι δέ, ἤισκεν, εἴκαζεν καὶ ὡμοίου. τὸ γὰρ ὅλον πολλὰ ψευδῆ λέγων εἴκαζεν, ὥστε ὅμοια εἶναι ἀληθέσιν. ἀπὸ τοῦ εἴδω τὸ ὁμοιῶ. ὁ μέλλων εἴσω. πλεονασμῷ τοῦ κ, εἴσκω. καὶ ἐπειδὴ οὐδέποτε τὰ διὰ τοῦ ισκω θέλει ἔχειν πρὸ τέλους τὴν ει δίφθογγον, τουτέστι κατὰ διαίρεσιν ἐΐσκω. καὶ ἀποβολῇ τοῦ ε, ἴσκω. ἰλιάδος λ. Αἴκε σε τῷ ἴσκοντες ἀπόσχωνται πολέμου, ἀντὶ τοῦ ὁμοιοῦντες.

σις, δαίμονός ἐστιν ὄνομα τιμωμένης παρὰ αἰγυπτίοις. ἴσον τουτέστιν ἶσις. ἡ αὐτὴ γάρ ἐστι τῇ γῇ. καὶ γὰρ ἡ γῆ ἴση ἐστί, καὶ σφαιροειδής. ἄλλοι δὲ λέγουσιν αὐτὴν εἶναι ἡ ἰώ. τούτου χάριν διὰ τοῦ ι γράφεται. ἐπειδὴ παρὰ τὸ ἵεσθαι ἐστί. καὶ γὰρ πολλὰ ἐπλανήθη ἡ ἰὼ μεταβληθεῖσα εἰς βοῦν ταῦτα. ὑπάγεται δὲ τὸ ἶσις τῷ κανόνι τοῦ βιθυνία. καὶ γὰρ ἔχει τὸ ι ἐν τῇ δευτέρᾳ συλλαβῇ ὡς ἶρις.

σίδωρος, ὄνομα κύριον. παρὰ τὸ ἶσις καὶ τὸ δῶρον.

σανδρος. ἐκ τοῦ ἀνδρὸς καὶ τοῦ ἴσος, τουτέστιν ἴσανδρος.

σοφαρίζειν, ἐξισοῦσθαι. ἴσος φαίνεσθαι.

σμαρος, πόλις θράκης. ἀπὸ ἰσμάρου τοῦ ἄρεως καὶ θρᾴσσης παιδός. ὦρος.

σμα, τὸ ἵδρυμα. παρὰ τὸ ἵζω.

σραήλ, παρὰ τὸ ἴς, ὃ σημαίνει τὴν δύναμιν, καὶ τὸ ὁρῶ τὸ βλέπω, καὶ τὸ ἤλ, ὃ σημαίνει τὸν θεόν. ὁ δυνάμενος βλέπειν θεόν. ἢ νοῦς ὁρῶν θεόν. ἢ παρὰ τὸ ὁρῶ. ὁ μετὰ δυνάμεως βλέπων τὸν θεόν.

σος, ὁ ὅμοιος ἢ ἐξίσου. παρὰ τὸ εἴδω τὸ ὁμοιῶ. ὁ μέλλων, εἴσω. ῥηματικὸν ὄνομα, ἶσος. κατὰ ἀποβολὴν τοῦ ε, εὕρηται τὸ ι μακρὸν καὶ βραχύ. παρὰ μὲν τῷ ποιητῇ, ἀεὶ μακρόν. παρὰ δὲ τοῖς πεζολόγοις, βραχύ. καὶ παρὰ τοῖς ἐποποιοῖς, εὕρηται καὶ συνεσταλμένον. ὡς παρὰ καλλιμάχῳ. παρὰ δὲ τοῖς τραγικοῖς καὶ κωμικοῖς, συστέλλεται ἀεὶ τὸ ι, ὡς παρὰ εὐριπίδῃ. Ἴσοις ἴσοισι πολεμίοισιν ἀντιθείς. καὶ πάλιν. Κοινῆς τραπέζης ἀξιώμ' ἔχων ἴσον. κατὰ δὲ ἰαμβικούς, ἐπαμφοτερίζει. ἴσως δὲ ὁ ποιητὴς δωρικῶς ἐκτείνει τὸ δίχρονον. ὡς τό, Ὕδωρ καὶ ἰλὺς κεῖσθαι ὑπ' ἰλύος. καὶ ἄρες ἄρες.

σθμός, οὐ μόνον ὁ λαιμός, ἀλλὰ καὶ στενὴ γαῖα μεταξὺ δύο θαλασσῶν. πορθμὸς δέ, στενὴ θάλασσα μεταξὺ δύο γαιῶν. ἰσθμὸς δὲ εἴρηται, παρὰ τὸ ἵημι, ἢ παρὰ τὸ ἴω ἰσῶ, ἰσμός. καὶ πλεονασμῷ τοῦ θ, ἰσθμός. ἢ παρὰ τὸ εἶμι τὸ πορεύομαι. τὸ πληθυντικόν, ἴμεν. ἐξ αὐτοῦ ἱμός. καὶ πλεονασμῷ τοῦ ς καὶ ἐπενθέσει τοῦ θ, ἰσθμός. εἰς ὃν τις πορεύεται. ἢ ἰσθμὸς ἐστὶν ὁ βάσιμος τόπος, ἑκατέρωθεν θάλασσαν ἔχων. ἰσθμὸς δέ τις τυγχάνων, παρὰ τὰ ἴθματα τὰ βήματα.

σθμιον, ὁ περιτραχήλιος κόσμος. ὁ περιτιθέμενος τῷ ἰσθμῷ. παρὰ τὸ ἰσθμός, ἴσθμιον, καὶ περίσθμιον, παρίσθμια. ἰσθμὸς δὲ καὶ ὁ τράχηλος. παρὰ τὸ εἰσιέναι δι' αὐτοῦ τὰ ποτὰ καὶ τὰ βρώματα. ζήτει εἰς τὸ παρίσθμια.

στημι, ἐκ τοῦ στῶ. καὶ κατὰ ἀναδιπλασιασμόν, ἱστῶ. καὶ ἐξ αὐτοῦ ῥῆμα παράγωγον, ἵστημι. τὸ ι, ἰῶτα. πᾶς ἀναδιπλασιασμὸς διὰ βραχέος ἐκφέρεται. ἐνταῦθα δὲ οὐκέτι κυρίως. ἀναδιπλασιασμὸς γὰρ κυρίως ἐστὶν ὅταν τὸ ἑξῆς τῆς λέξεως δὶς τὸ αὐτὸ σύμφωνον παραλαμβάνει. καταχρηστικῶς δέ, καὶ ὁ ἐξ ἑνὸς φωνήεντος. οἷον, ὦ, ἰῶ. στῶ, ἱστῶ. ποσαχῶς γίνεται ὁ ἀναδιπλασιασμός, τετραχῶς. ἐὰν ἄρχηται ἀπὸ τοῦ σ τὸ ῥῆμα ἢ ἀπὸ φωνήεντος, διὰ τοῦ ι μόνου γίνεται ὁ ἀναδιπλασιασμός. στῶ, ἱστῶ. ὦ, ἰῶ. εἰ δὲ ἀπὸ ἀφώνου, διὰ τοῦ αὐτοῦ ἀφώνου καὶ τοῦ ι μόνου γίνεται. οἷον, θῶ, τιθῶ, καὶ τιθῶ, τίθημι. εἰ δὲ δύο σύμφωνα ἔχει ὁ ἐνεστώς, διὰ τοῦ προτέρου. οἷον, πλῶ, πιπλῶ, πίπλημι, πλήσω. χρῶ, κιχρῶ, κίχρημι, χρήσω. τῶν εἰς μι ἡ πρώτη καὶ δευτέρα συζυγία, τῷ η παραλήγεται. ἡ δὲ τρίτη, τῷ ω. καὶ ἡ τετάρτη, διχρόνῳ ἐκτεταμένῳ. τὸ παθητικόν, ἵσταμαι, ἱστάμην, ἵστασο. καὶ κατ' ἔνδειαν τοῦ σ, γίνεται ἵσταο. ὡς ἔπος φάο. ἀπὸ τοῦ ἐφάμην, ἔφασο. καὶ μάρναο, ἀντὶ τοῦ ἐμάρνασο. καὶ ἔσσυο, ἀντὶ τοῦ ἔσσυσο.

στημὶν ὄμμα. ποικίλον ἐστίν. οἱ μὲν λέγουσιν ὅτι ὅταν ἀποκοπὴ γίνοιτο τῶν εἰς θι προστακτικῶν, ἐπαύξησις ἀκολουθεῖ. οἷον, ἵσταθι. καὶ κατὰ ἀποκοπήν, ἵστα. καὶ ἐκτάσει, ἵστη. Μέγεθος δ' ὅς ἵστη. τὸ δὲ μείζονα δηκρήτης καθίστα, ἀντὶ τοῦ εὐτρέπιζεν. ἐὰν μὲν βραχύ, ἀποκοπή ἐστιν. ἐὰν δὲ κατὰ ἔκτασιν, ἀπὸ τοῦ ἱστῶ ἵστα, ὡς βόα. οὕτω φίλων καὶ τρύφων. λέγομεν δὲ καὶ ἡμεῖς ὅτι οὐ μόνον ἐπὶ τῶν εἰς ω ῥημάτων, ἀλλὰ καὶ ἐπὶ τῶν εἰς μι τὰ τρίτα πρόσωπα τῶν παρατατικῶν, δεύτερα γίνεται τῶν προστακτικῶν. οἷον, νόει. φίλει. βόα. οὕτω καὶ οἱ ἀττικοί, ἐὰν μὴ χρήσωνται τῇ θι καταλήξει, χρῶνται τοῖς τρίτοις προσώποις τῶν παρατατικῶν ἐν τοῖς προστακτικοῖς. οἷον, ἐτίθην, ἐτίθης, ἐτίθη, τίθη.

ἐπίμπλην, ἐπίμπλης, ἐπίμπλη, πίμπλη. οὕτως ἵστη δὲ μέγα κῦμα. ὅτι τὰ τοιαῦτα καὶ δωρικά εἰσιν. οἱ γὰρ δωριεῖς, λέγουσι πίμπληνι καὶ γὰρ τὸ ὅρα, ὅρη λέγουσιν. οὕτω πίμπλα πίμπλη. ἡρωδιανός.

Ἵστωρ. ἀπὸ τοῦ εἴδω, εἴσω τὸ γινώσκω, ῥηματικὸν ὄνομα ἵστωρ. καὶ ἐπιίστορι, ἀντὶ τοῦ μάρτυρι, ἢ κριτῇ. καὶ ἱστορία. καὶ συνίστωρ, συμπράκτωρ. σύμβουλος, συγγνώστης. συνίστωρ, σύνομιλος. γνωστός. μάρτυς. συνειδὼς περὶ πραγμάτων.

Ἱστός, παρὰ τὸ ἵστημι. ἀπὸ τοῦ ἀεὶ ἑστάναι. ὅθεν καὶ στῦλος. ἐπὶ μὲν τοῦ ὑφαντικοῦ, ἱστὸν ἐποιχομένην. ἐπὶ δὲ τοῦ καταρτίου, ἱστὸν δ᾽ ἱστοδόκῃ πέλασαν. ἱστός, τὸ μέγιστον ξύλον. ἢ κατάρτιος λεγόμενος ὑπὸ τῶν ναυτικῶν. ἱστία δὲ τῆς νηὸς ἡ ὀθόνη, ὅ ἐστι τὸ ἄρμενον. ἀπὸ τοῦ ἵζω, τὸ καθέζομαι. ὁ μέλλων ἵσω. ὄνομα ῥηματικόν, ἱστὸς καὶ ἱστίον. παρὰ τὸ ἵζειν ἐφ᾽ ἑνὸς τόπου καὶ ἱδρύεσθαι.

Ἱστοπέδη, ὁ ἐν μέσῳ τῆς νεὼς κοῖλος ... εσθαι. τόπος, ὅντινες ληνίδα καλοῦσιν. εἰς ὃν ὁ ἱστὸς ἐντίθεται.

Ἱστοδόκη, ἡ ὑποδεχομένη τὸν ἱστόν, ἱστοθήκη. λέγεται δὲ τὸ κατὰ τὴν πρύμναν ἀνέχον ξύλον. καθ᾽ οὗ κλίνεται ὁ ἱστός. τὰ δὲ παρὰ τοῦ δέχω πάντα, διὰ τοῦ κ. ξενοδόκος καὶ τὰ ὅμοια.

Ἴσχω, τὸ κρατῶ. ἀπὸ τοῦ ἔχω τὸ κρατῶ. πλεονασμῷ τοῦ σ, ἔσχω. καὶ τὸ ε ἡνίκα πλεονάσῃ σύμφωνον, τρέπεται εἰς ι, καὶ γίνεται ἴσχω. τὸ παθητικόν, ἴσχομαι ἰσχόμην ἴσχου. τὸ προστακτικόν, ἴσχου. καὶ κατὰ διάλυσιν ἴσχεο. καὶ, ἴσχεο. ἀντὶ τοῦ παῦσαι καὶ κάτεχε τὴν ὀργήν. ἢ ἀπὸ τοῦ σχῶ τὸ κρατῶ γίνεται. κατὰ πλεονασμὸν τοῦ ι, ἰσχῶ. οὕτως σχηματίζεται τὸ αὐτὸ ἐξ οὗ παράγωγον, ἰσχανῶ. ὅθεν τό, τοὺς δ᾽ οὔτ᾽ ἄρ τε γέφυραι ἐεργμέναι ἰσχανόωσιν. ἀντὶ τοῦ κατέχουσι καὶ κωλύουσιν.

Ἰσχανόων. ἰσχανόων φιλότητος ἐϋστεφάνοιο κυθερείης. σημαίνει τὸ ἐπιθυμῶν. ὥσπερ ἀπὸ τοῦ φῶ γίνεται φαίνω, οὕτω καὶ ἀπὸ τοῦ ἴσχω, γίνεται ἰσχαίνω. ὁ μέλλων, ἰσχανῶ. καὶ ἐκ τούτου γίνεται ἰσχανόων. γράφεται καὶ ἰχανόων. παρὰ τὸ λίαν ἔχεσθαι, ἰχαλῶ. καὶ τροπῇ, ἰχανῶ. ἢ ὥσπερ παρὰ τὸ παμφαίνω, ὁ μέλλων, παμφανῶ, οὕτω καὶ παρὰ τὸ ἰχῶ ἰχαίνω, ἰσχανῶ. καὶ ὥσπερ τὸ γιγνώσκω, ἅμα τῇ ἀποβολῇ τοῦ γ ἐξετάθη τὸ δίχρονον, ἐπεὶ μετὰ πλεονασμὸν ἡ θέσει μακρά, εἰς φύσει μακράν, οὕτω καὶ ἀπὸ τοῦ ἰσχανῶ μέλλοντος, γίνεται ἰχανῶ ἀποβληθέντος τοῦ σ καὶ ἐκταθέντος τοῦ ι. καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα, καὶ γίνεται ἰχανῶ ἐνεστώς. ὡς ἀπὸ τοῦ εἴρω ἐρῶ, γίνεται ἐνεστὼς ἐρῶ.

Ἰσχία, ὅτι ἴσχει τοῖς καθημένοις. σημαίνει δὲ ἰσχίον, τὸ ὑπὸ τὸ ὀσφὺν ὀστέον. εἰς ὃ ἐγκεῖται τὸ ἱερὸν ὀστοῦν, ὅπερ καὶ γλουτὸς καλεῖται, καὶ κοτύλη. παρὰ τὴν κοιλότητα. ἢ τὸ κοῖλον τοῦ γλουτοῦ, ἐν ᾧ ἡ κοτύλη στρέφεται.

Ἰσχνός, ὁ λεπτός. παρὰ τὸ ἴσχω, ἰσχὸς καὶ ἰσχνός. ἢ παρὰ τὸ ἴσχω, ἰσχνῶ καὶ ἰσχνός. καὶ ἰσχνομυθοῦντες, τὸ ἀκριβολογοῦντες.

Ἰσχυρός. ἀπὸ τοῦ ἴσχω, κατὰ παραγωγήν, γίνεται ἰσχύω. ὁ μέλλων, ἰσχύσω. καὶ ἀποβολῇ τοῦ ω, ἰσχύς. καὶ ἰσχυρός, ὁ ἰσχὺν καὶ ἀντέχειν δυνάμενος. τὰ διὰ τοῦ υρος ἀρσενικά, ὑπὲρ δύο συλλαβάς, διὰ τοῦ υ ψιλοῦ γράφεται. τὸ υ μακρόν. τὰ εἰς ρος λήγοντα ὀξύτονα, ἔχοντα τὴν τρίτην ἀπὸ τέλους μακρὰν φύσει, ἢ θέσει, μακρὰν ἔχει τὴν πρὸ τέλους καὶ ὀξύνεται. οἷον, τλήμηρος, ὀκνηρός.

Ἰσχάς, ἀπὸ τῆς ἰσχύος. ἐπειδὴ πρὶν τὴν κρεωδοσίαν δοθῆναι τοῖς ἀθηναίοις, ἐχρῶντο τῇ ἰσχάδι. ἢ ἰσχάς ἐστιν, οἱονεὶ τὸ κατισχνωμένον σῦκον. παρὰ τὸ ἴσχω, ἰσχνῶ, ἰσχνάδες. τὰ λεπτυνθέντα σῦκα ἐν τῷ ξηραίνεσθαι. ἢ ὅτι ἕως τούτου προβαίνει ὁ καρπός. πρῶτον γάρ ἐστιν ὄλυνθος. εἶτα φήληξ. εἶτα σῦκον. καὶ λοιπὸν ἐσχάτως ἰσχάς, ἡ ἰσχὺν ποιοῦσα τὴν αὔξησιν. φθινόπωρον γάρ ἐστιν.

Ἰσχνόν, θαλπνόν, ἢ σαπρόν. καὶ ὅτε μὲν σημαίνει θαλπνόν, παρὰ τὸ ἰαίνω τὸ εὐφραίνομαι. ὅτε δὲ τὸ σαπρόν, παρὰ τὸ ἵημι τὸ πέμπω. οἱονεὶ τὸ ἀποπεμπόμενον.

Ἰταμόν, τὸ ἀναιδές. παρὰ τὸ ἵεσθαι, ὅ ἐστιν ὁρμᾶν. τοιοῦτοι δὲ οἱ ἀναιδεῖς.

Ἰτέα, παρὰ τὸ ἵεναι. ταχέως γὰρ αὔξεται. ἢ παρὰ τὸ ἰτόν, τὸ πορευτόν. ὁρμητικὸν γὰρ τὸ φυτόν.

Ἰτέον, ἐπίρρημα ποιότητος, ἀντὶ τοῦ πορευτέον. ἀπὸ τοῦ εἶμι ὁ δεύτερος ἀόριστος, ἴον. ἡ μετοχή, εἷς, ἰόντος. καὶ τὸ προστακτικόν, ἔθι. καὶ τροπῇ τοῦ ε εἰς ι, ἴθι. καὶ ἐξ αὐτοῦ ἰθέον, καὶ ἰτέον τροπῇ τοῦ θ εἰς τ.

Ἴτην. τὼ δ᾽ αὖτις ἴτην παρὰ νῆας. οὗτοι δὲ πάλιν παραγενόμενοι. ἔστιν ἵημι τὸ πέμπω. καὶ συγκοπῇ τοῦ η, γίνεται ἴμι. ὁ παρατατικός, ἰν, ἰς, ἰσι. τὸ δυϊκόν, ἰτον, ἴτην.

Ἴτης, ὁ ἐπὶ πάντα ὁρμῶν. ἀπὸ τοῦ ἵεναι. ἀπὸ τούτου, καὶ ἐπιτήρια. οὕτως ὦρος.

Ἴτριον, τὸ κατάπυρῶδες τρῶμα ἢ πλάσμα. ἀπὸ τοῦ ἵεναι. ἐπὶ λεπτὸν γὰρ ἕλκεται.

Ἴτυς, ἡ περιφέρεια τοῦ ἅρματος ἢ τοῦ τροχοῦ. ἀπὸ τοῦ ἵεναι.

Ἴτυλος, ὄνομα κύριον. ὁ ἐκ τοιούτων γάμων γηρεῖ γενόμενος. οἷον σύμβολον συμφορᾶς. τύλους γὰρ καὶ τύπους τὰ σημεῖα λέγουσι τῆς ταλαιπωρίας.

Ἰτωνίς. καὶ ἰτωνία ἡ ἀθηνᾶ εἴρηται παρὰ τοῖς θεσσαλοῖς. ἀπό τινος πόλεως ἴτωνος. φησὶ δὲ ὁ γενεαλόγος, σιμωνίδης, ἴτωνου θυγατέρας γενέσθαι δύο, ἀθηνᾶν καὶ ἰοδάμαν. ἃς ἐζηλωκυίας τὴν ὁπλομαχικήν, εἰς ἔριν τὴν εἰς ἀλλήλους χωρῆσαι καὶ ἀναιρεθῆναι τὴν ἰοδάμαν ὑπὸ τῆς ἀθηνᾶς. οἷον, Πηλιάδες σκοπιῇσιν ἐθάμβεον εἰσορόωσαι ἔργον ἀθήνης ἰτωνίδος. ἀπολλώνιος.

Ἴυγξ, ὁ ἔρως, καὶ ὀρνεόν τι τὸ λεγόμενον σεισοπυγίς. ᾧ χρῶνται αἱ φαρμακίδες εἰς φίλτρα. ἴυγγας ἔχουσιν ἐν τοῖς λόγοις οἱ σοφισταί. ἰυγή, βοή. φωνή. καὶ ἰύζει, βοᾷ. κραυγὴν ποιεῖ. λέγεται δὲ καὶ ἴυγξ, σῦριγξ μονοκάλαμος. σημαίνει δὲ καὶ ᾠδήν. καὶ ἰυγμός, φωνή. συριγμός. ὅμηρος. Οἱ δ᾽ ἰύζοντες ἕποντο. τουτέστι συρίζοντες. ἔστι δὲ πεποιημένη ἡ λέξις. καὶ ἰύζουσιν, ἀγροικὴ φωνὴ προφέρονται. φωνοῦσι. πεποίηται δὲ τοὔνομα, παρὰ τὸ ἰοὺ ἐπίρρημα.

Ἶφι, τὸ ἰσχυρῶς. ὡς ἀπὸ τοῦ νόσος νόσου γίνεται νόσοφι, καὶ κατὰ συγκοπὴν νόσφι, οὕτω καὶ ἀπὸ τοῦ ἲς ἰνός, ὃ σημαίνει τὴν δύναμιν, γίνεται ἴνοφι. καὶ κατὰ συγκοπήν, ἶφι. τὸ δὲ ι ἔστι μακρὸν ὡς δικατάληκτον, ἲς, καὶ ἶν.

Ἰφιαμήλα, εὐτραφῆ, ἢ ἰσχυροποιὰ τῶν ἐσθιόντων. ἢ κατ᾽ εὐφημισμόν, τὰ ἀσθενῆ, καὶ οὐκ ἰσχυρά.

Ἶφις, ὄνομα κύριον. παρὰ τὸ ἶφι. τὰ δὲ παρ᾽ αὐτοῦ πάντα, διὰ τοῦ ι γράφεται. οἷον, ἰφιμέδουσα, ἰφιγένης. ἰφικλῆς. εὐφορίων αὐτὴν ἐτυμολογεῖ ἑλένης καὶ θησέως. ὑποβλητὴν δὲ δοθῆναι κλυταιμνήστρα. Οὕνεκα δῆμον ἰφιβιασαμένη ἑλένη ὑπεγείνατο θησεῖ. θυγατέρα ἑλένης καὶ θησέως.

Ἴφικλος, ὁ ἥρως. ἰφικλός τις ὤν. ταχύτατος γὰρ ἱστορεῖται. καὶ οἱ παῖδες αὐτοῦ, πρωτεσίλαος καὶ ποδάρκης.

Ἴφθιμος, ὁ ἰσχυρὸς καὶ γενναῖος. ὡς παρὰ τὸ ἄνθος γίνεται ἄνθιμος, καὶ κῦδος κύδιμος, οὕτω καὶ παρὰ τὸ ἶφι, ἴφιμος. καὶ πλεονασμῷ τοῦ θῆτα. ἢ ὥσπερ παρὰ τὸ πρωΐ, πρώϊμος, καὶ ὀψέ, ὄψιμος. ἅμα δὲ τῷ πλεονασμῷ τοῦ θῆτα, καὶ ὁ χρόνος ὑπερεβιβάσθη. καὶ ἡ μὲν ἄρχουσα, θέσει μακρά ἐστιν. ἡ δὲ παραλήγουσα, φύσει. οἱ δὲ, λέγουσιν ὅτι σύνθετός ἐστι, παρὰ τὸ ἶφι καὶ τὸ θυμός, ἰφίθυμος. καὶ συγκοπῇ, ἴφθιμος. οἷς τισιν ἀντίκειται τὸ θηλυκόν, ἰφθίμη. εἰ γὰρ ἦν σύνθετον, ἤμελλεν εἶναι κοινὸν τῷ γένει. τὰ γὰρ σύνθετα, κοινά εἰσι τῷ γένει. οἷον, ὁ φιλόσοφος, καὶ ἡ φιλόσοφος. ὁ πάνσοφος, καὶ ἡ πάνσοφος. ὁ ἄοικος, καὶ ἡ ἄοικος. χωρὶς εἰ μηδὲν πλέον σημαίνει τοῦ ἁπλοῦ. διὰ τὸ ἐναντίος ἐναντία, ἐναντίβιος, ἐναντιβία. ἐναλίγκιος, ἐναλιγκία. ταῦτα γὰρ κοινά εἰσι τῷ γένει, ἀλλ᾽ οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐδὲν πλέον σημαίνει τοῦ ἁπλοῦ. τὸ γὰρ ἀντίος, καὶ ἐναντίος. καὶ τὸ ἀλίγκιος, καὶ ἐναλίγκιος, τὰ αὐτὰ σημαίνει, ἅπερ καὶ τὰ ἁπλᾶ. σημαίνει δὲ τρία. τὸν ἰσχυρόν, ὡς τό, Ἰφθίμους ψυχάς. τὸν πολύν, ὡς τό, Οἱ ἐμέγαν περ ἐόντα, καὶ ἴφθιμον καὶ ἀγαυόν. τὴν σωφρονικήν. ὡς τό, Ἰφθίμη ἄλοχος διομήδεος ἱπποδάμοιο.

Ἴχθυς, παρὰ τὸ ἰθύω τὸ ὁρμῶ, ἰθύς, καὶ ἰχθύς.

Ἴχνος. παρὰ τὸ ἰσχεῖν ὅ ἐστι συνέχειν ὅλον τὸν πόδα. ἢ ἀπὸ τοῦ ἀνέχεσθαι τῆς γῆς.

Ἴχνιον, ἴχνος. πάτημα. ἀπὸ τοῦ ἀΐξω. ἢ παρὰ τὸ ἵζω, ἵγμαι, ἴχνιον. ὡς παίζω, παίγνιον. προπαροξύνεται, ὡς τὸ ἀράχνιον. οὐ γάρ ἐστιν ὑποκοριστικόν, ἀλλ᾽ ἀπὸ ῥήματος ἐσχημάτισται. εἰς τὸ θηρίον.

Ἰχώρ, τὸ σεσηπὸς αἷμα. ἀπὸ τοῦ ἴχω τὸ λεπτύνω, ἰσχώρ καὶ ἰχώρ. τὸ λεπτύνον τὸ σῶμα ἐν τῷ καταστάζειν. ὅθεν καὶ τὸ ἰῶτα φύσει μακρόν. ὡς ἐν τῷ γίγνεται, γίνεται. ζήτει εἰς τὸ ἰσχανόων. κλίνεται ἰχῶρος. ἡ αἰτιατική, ἰχῶρα. καὶ κατὰ συγκοπήν, ἰχῶ. Ἀπὸ ἰχῶ χειρὸς ὀμόρξεν, ἰλιάδος ε. τὰ γὰρ εἰς ωρ ὀξύτονα ἀρσενικά, διὰ τοῦ ω κλίνεται. ἰχώρ, ἰχῶρος. ἀχώρ, ἀχῶρος.

Ἴψ, ὁ σκώληξ. τὰ εἰς ιψ πᾶσαν διφθογγον ἀποστρέφεται. γίνεται παρὰ τὸ ἴπτω τὸ βλάπτω, ἴπω, ἴψ. κλίνεται ἰπός. ὡς θρίψ, θριπός. καὶ ἴξ, ἰκός. καὶ σής, σητός. ἶπες δὲ εἰσιν οἱ σκώληκες οἱ ἐσθίοντες τὰ κέρατα. οἷον, Μὴ κέρα ἶπες ἔδοιεν. θρῖπες δὲ εἰσιν, οἱ ἐσθίοντες τὰ ξύλα σκώληκες. σῆτες δὲ οἱ ἐσθίοντες τὰ ἱμάτια. ἶκες δὲ, οἱ ἐσθίοντες τὰς ἀμπέλους, ἢ τοὺς ὀφθαλμοὺς τῶν ἀμπέλων. κίες δὲ, τῶν πυρῶν καὶ κριθῶν.

Ἰώ τὸ ἐπίρρημα, ἐκ τοῦ ἰωὴ κατὰ συγκοπήν. τρύφων δὲ λέγει, ὅτι τὸ ω τὸ κλητικόν, προσέλαβε τὸ ι καὶ ἐγένετο ἰώ. εἶτα τὸ ω περισπᾶται. τὸ δὲ ἰώ, ὀξύνεται. οἷον. ἰὼ ὦ ἄπολλον. ἰὼ ὦ ἀπολλώνιε. ἰὼ λακεδαίμον. ἀλλὰ σχετλιαστικὸν καὶ βακχευτικὸν οὐχ ὑποπίπτει ἀναλογίᾳ.

Ἰωή, σημαίνει τὴν πνοήν. παρὰ τὸ ἵημι, ... περισπᾶται. γίνεται ἰή. καὶ πλεονασμῷ τοῦ ω, ἰωή. καὶ ἡ φωνή, παρὰ τὸ ἰὼ γίνεται. ἡ δὲ ἰκνουμένη εἰς ἀκοήν.

Ἰών, μετοχὴ δευτέρου ἀορίστου. τὸ θέμα, ἴω. ὁ δεύτερος ἀόριστος, ἴον. ἰὼν ἡ μετοχή.

Ἰωγή, ἡ σκέπη. ἀπὸ τοῦ ἵεναι. τὸ γὰρ σκέπον ἐπὶ πᾶν ὃ σκεπάζεται. καὶ ὑπωγαὶ δέ, αἱ ὑπαγωγαὶ καὶ σκέπαι.

Ἰωκή, ἡ δίωξις. παρὰ τὸ διώκω, διωκή. καὶ ἀποβολῇ τοῦ δ, ἰωκή. σημαίνει καὶ τὴν ἀπειλήν.

Ἰῶ κατεδακρυόεσσαν. τινὲς γὰρ ἰώ, εἶτα κατὰ δακρυόεσσαν. γίνεται δὲ ἐκ θεσμοῦ. ὅτι γὰρ ὅμηρος, ἰῶκα τὴν ἰωκὴν λέγει, ἤγουν τὴν δίωξιν. ὡς ἡσίοδος τὴν κρόκην, κρόκα. ὥστε μεταπλασμός ἐστιν.

Ἰῶξις. ὡς ἐκ τοῦ λέγω λέξω γίνεται λέξις, καὶ ἕξω ἕξις, οὕτω καὶ ἀπὸ τοῦ διώκω, διώξω, δίωξις. καὶ ἀποβολῇ τοῦ δ.

Ἰωχμός, δίωξις. τάραχος. παρὰ τὸ διώξω, διωγμός. καὶ τροπῇ τοῦ γ εἰς χ καὶ ἀποβολῇ τοῦ δ, ἰωχμός.

Ἰω... δ, τὸ πορεύομαι. ὅθεν καὶ ἱερονόμος ... λεγόμενος τόπος εἰς τιμὴν τοῦ θεοῦ.

ΤΕΛΟΣ ΤΟΥ ΙΩΤΑ
ΣΤΟΙΧΕΙΟΥ.

ΙΣ

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ ΚΑΠΠΑ ΣΤΟΙΧΕΙΟΥ.

Κάππα τὸ στοιχεῖον, ὅτι καππώδης ἐστὶν εὕρεμα. ἢ κάππα τι ὄν, τὸ ἔχον ὅπα, ὅ ἐστι φωνήν. τὰ γὰρ ψιλά, ὑπὸ κάτω τῆς γλώττης ἔχει τὴν προφορὰν τῆς φωνῆς. καὶ κῆπος, χῆπός τις ὤν, ὁ ἔχων τὴν πόσιν διὰ τοῦ ὕδατος τοῖς φυτοῖς.

Κατεχειροτόνησαν αὐτοῦ, ἀντὶ τοῦ κατεψηφίσαντο αὐτοῦ. διαφέρει δὲ ἀπὸ χειροτονία ἡ διαχειροτονία. κατὰ χειροτονία γὰρ ἐγίνετο οὕτως. ἔλεγεν ὁ κῆρυξ. ὅτῳ μὲν δοκεῖ ἀδικεῖν, ἀνατεινάτω τὴν χεῖρα. εἶτα οἱ θέλοντες ἐξέτειναν τὰς χεῖρας. καὶ ἐκαλεῖτο τοῦτο κατὰ χειροτονία. λοιπὸν πάσας ἠρίθμουν τὰς χεῖρας. καὶ ἑώρα ὁ κῆρυξ πότεροι πλείους εἰσὶ τῶν φασκόντων αὐτὸν ἀδικεῖν, ἢ μή. καὶ ὅσοι ἂν ἦσαν πλείους, ἡ γνώμη ἐκείνη ἐπεκράτει.

Καφηρεὺς, ἔχει μὲν καὶ εὔβοια πρὸς τῇ ἑξῆς θαλάσσῃ καφηρέα. καφηρεὺς δὲ λέγεται τόπος θαλάσσης πρὸς τοῖς αἰγιαλοῖς τραχὺς καὶ τεναγώδης. σκοπέλοις διειλημμένος, καὶ ἕρμασι καὶ χοιράσι. καὶ τὰ πρὸς ἀπόβασιν ἀπορώτατος, ἀπεκρημνισμένοις πέτροις χειζόμενος. καὶ πρὸς τοῖς ἄλλοις κακοῖς, ἔτι καὶ δίνην ἔχει, ἐς τοῖς ἀνέμοις κατὰ πνεόμενος, ὥσπερ ὁ παρ' Ὁμήρῳ προβλὴς σκόπελος. Τόν, οὔποτε κύματα λείπει παντοίων ἀνέμων. καφηρεὺς ὢν καὶ αὐτός. καὶ ἴσως εἴρηται ἀπὸ τοῦ καταπνεῖσθαι ἀνεκδότως. κάπος γὰρ τὸ πνεῦμα. ἀφ' οὗ καὶ Ὅμηρος Αἴαντα εἰς Ἀγαμέμνονα δ' ἴον ἄγον κεκαφηότα νίκῃ. οἱονεὶ πνευστιῶντα. ἤγουν τῷ τοῦ πολεμικοῦ ἀγῶνος καμάτῳ, ἢ τῇ ἀγερωχίᾳ τῆς νίκης. τῆς χαρᾶς αὐτὸ τῆς ἀναπνευστικοῖς ἔοικε κατευρυνάσης. καὶ πέρα τοῦ συνήθους ἐπισπᾶσθαι τὸ πνεῦμα καταπειγούσης. περὶ ὃ δὴ καὶ τινες ἔλαβον τελείως ἐκπεπνευκότες, μὴ δυνηθέντες τοσοῦτον τὴν ἐκ τοῦ πάθους ἐπισπάσασθαι πνεῦμα. ὅσον ἐξήρκεσε τὴν ἀπὸ τῆς χαρᾶς εὐρυχωρίαν πληρῶσαι. ἢ ὅτι σῶμα περιέχει τῇ εὐρύτητι τοῦ συμπτώματος πᾶν τὸ ψυχικὸν πνεῦμα, ὥς ἀπό τινος παρὰ γοῦν ἐκραγέντος στόματος ἀμέτρως ἐκχεόμενον.

Κάββαλις, ὁ καταβάλλων. ὁ ἀπὸ κάτω τῆς ἅλις ἐσθίων. ἢ καββάλης, ὁ κατὰ βάλλων. οἷον ὁ ἀπὸ ἄλλης κάτωθεν ἐσθίων.

Κάβασος, ὁ ἄπληστος διὰ τὸ ἀδηφαγεῖν προπροξύνεται. παρὰ τὸ κάβον, ὅ ἐστι μέτρον σιτικόν. Κρατῖνος Μαλθακοῖς. ἔστι δὲ κύριον πεποιημένον παρὰ τὸ αἶσαν. ὅρος ὁμιλήσιος.

Καβησὸς, πόλις Θρᾴκης. ἀπὸ Καβήσου.

Κάβαξ, πανοῦργος.

Κάβειροι, οἱ ὀνόματι θεῶν τεσσάρων. Ἀξίερος, Ἀξιόκερσα, Ἀξιόκερσος. Ἀξίερος μὲν οὖν ἐστιν ἡ Δημήτηρ. Ἀξιόκερσα, ἡ Περσεφόνη. Ἀξιόκερσος δὲ, ὁ ᾍδης. Κάβειροι δὲ δοκοῦσι προσηγορεῦσθαι, ἀπὸ Καβείρων ὀρέων Φρυγίας. ἐπεὶ ἐντεῦθεν μετηνέχθησαν. οἱ δὲ δύο εἶναι τοὺς Καβείρους. πρεσβύτερον μὲν Δία, νεώτερον δὲ, Διόνυσον.

Κάγκανα, τὰ ξηρὰ ξύλα καὶ εἰς καῦσιν ἐπιτήδεια. οἱονεὶ κατακανά τινα ὄντα. παρὰ τὸ καίνειν τὸ κόπτειν. συγκοπῇ καὶ πλεονασμῷ τοῦ γ. ἢ ὥσπερ παρὰ τὸ τέκω, τέκανον καὶ τέκνον, οὕτω καὶ παρὰ τὸ καίω, γίνεται ῥηματικὸν ὄνομα κάνον. καὶ κατὰ ἀναδιπλασιασμὸν καὶ πλεονασμῷ τοῦ γ, κάγκανον.

Καγχαλόωσι, χαίρουσιν. ἐκ τοῦ χαίρω, χαρῶ. κατὰ μετάθεσιν τοῦ ρ εἰς λ, χαλῶ. ἢ παρὰ τὸ χῶ, χλῶ. καὶ χαλῶ. καὶ κατὰ ἀναδιπλασιασμὸν, χαχαλῶ. καὶ πλεονασμῷ τοῦ γ, καὶ τροπῇ τοῦ χ εἰς κ καγχαλῶ. ἔστι δὲ δευτέρας συζυγίας τῶν περισπωμένων. παρὰ τὸ ἐν χαλάσματι εἶναι τὴν ψυχὴν χαίρουσαν. εἴτε τὸ ἐναντίον ἐν τῇ λύπῃ συνέσταλται. ἔνθα παρὰ τὸ ἄχεσθαι, παρὰ τὸ μὴ διαχεῖσθαι. ἔστι δ' ὅτε καὶ τὸ ἐν τῇ λύπῃ συστέλλεσθαι σημαίνει. τὸ πληθυντικόν, καγχαλάομεν καγχαλῶμεν. τὸ τρίτον, καγχαλάουσι, καγχαλῶσι. καὶ πλεονασμῷ τοῦ ο ποιητικῶς καγχαλόωσι. τουτέστιν ἐν χαλάσματι ποιοῦσι τὴν ψυχήν. Ἰλιάδος γ.

Κάδδος, σκεῦός τι. παρὰ τὸ χαδῶ, χαδήσω. ὃ δηλοῖ τὸ χωρῶ. ῥηματικὸν ὄνομα χάδδος, καὶ κάδδος τὸ χωρητικὸν ἀγγεῖον. καὶ καδίσκοι ὑδρίαι χαλκαῖ, εἰς ἃς καθίεσαν τὰς ψήφους τῶν δικῶν.

Κάδης ὄνομα τόπου παρὰ τῷ προφήτῃ Δαβίδ. Καὶ συσσείσει κύριος τὴν ἔρημον Κάδης. σημαίνει καὶ τὸν ἁγιασμὸν καὶ τὴν ἁγίαν, παρὰ τῷ μεγάλῳ Βασιλείῳ.

Κάειρα, σημαίνει τὴν ἀπὸ Καρίας γυναῖκα. τὸ εἶρα, ὃ σημαίνει τὴν ἐκκλησίαν καὶ τὴν μαντείαν καὶ τὸ κάειρα, ἀμφιβάλλονται. ὥσπερ δὲ ἀπὸ τοῦ μάκαρ μάκαρος γίνεται μάκαιρα, οὕτω καὶ ἀπὸ τοῦ κὰρ καρὸς γίνεται καῖρα. καὶ κατὰ διάλυσιν κάειρα. καὶ τῷ λόγῳ τῶν εἰς ρα θηλυκῶν κάειρα διὰ τῆς ει διφθόγγου. ζήτει εἰς τὸ πρώειρα.

Κάθαρμα, παρὰ τὸ καθαίρω. ὁ μέλλων, καθαρῶ. κεκάθαρκα. κεκάθαρμαι. οἱονεὶ τὸ ἀποκαθάρισμα. Δεῖ γινώσκειν ὅτι αὐτοῦ ὁ ἀόριστος τῶν ἀπὸ μελλόντων περισπωμένων διὰ τῆς αι διφθόγγου, οἱ Ἴωνες τρέπουσι τὴν η εἰς α. καθαρῶ, ἐκάθηρα. μιανῶ, ἐμίηνα. σημανῶ, ἐσήμηνα, καὶ ἐσημηνάμην. χρῶνται δὲ αὐτῷ καὶ οἱ Ἀθηναῖοι.

Καθίζω, ἐκ τῆς κατὰ προθέσεως καὶ τοῦ ἵζω. Ἄλλους μὲν γὰρ ὡς κάθισον, ἀντὶ τοῦ καθίδρυσον. καθεσθῆναι ποίησον. ὁ μέλλων, καθίσω. ἡ δὲ τετάρτη διφορεῖται. ὁ ἀττικὸς μέλλων, καθιῶ. αὐτὸ γὰρ τῶν διὰ τοῦ ιζω ῥημάτων τῶν ὑπὲρ δύο συλλαβὰς πρόσκειται, ἐπειδὴ καὶ αὐτὸ τῶν δισυλλάβων οὐ ποιοῦσι.

Καθημῶν. Δεῖ γινώσκειν ὅτι δασέος φωνήεντος ἐπιφερομένου, τρέπεται τὸ ψιλὸν σύμφωνον εἰς δασύ. οἷον, κατὰ ἡμῶν, καθ' ἡμῶν. ἐπὶ ἡμᾶς, ἐφ' ἡμᾶς. ψιλοῦ δὲ φωνήεντος ἐπιφερομένου, οὐ τρέπεται τὸ δασὺ σύμφωνον. Οὐδ' ἔλαθ' Ἄρεος υἱόν. τοῦτο δὲ γίνεται, ἐπειδὴ τὰ δασέα ἐπικρατέστερά εἰσι καὶ ἰσχυρότερα τῶν ψιλῶν.

Κάθημαι, ἕω. ἧμι. ἕεμαι. καὶ κράσει, ἧμαι. καὶ μετὰ τῆς κατά, κάθημαι. Διατί καταβιβάζει τὸν τόνον; ἐπειδὴ παθητικὸν εἰς μαι λῆγον ἀπὸ τῶν εἰς μι κλινόμενον, ἐν τῇ συνθέσει, τρέπεται ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν. κεῖμαι, κάθου, ἀπὸ τοῦ ἕω τὸ καθέζομαι. ὁ μέλλων, ἀπόκειμαι. ἕσω. ὁ δεύτερος ἀόριστος, ἕον. ὁ μέσος, ἑόμην. ἕου. καὶ κράσει, οὗ. τὸ προστακτικὸν μετὰ τῆς προθέσεως, κάθου. ὁ δὲ Ῥωμανός, ἀπὸ τοῦ κάθησο. ἀποβολῇ τοῦ σ καὶ τροπῇ.

Καθηκόντως, δεόντως. πρεπόντως.

Καθωσιωμένος, ἀνακείμενος. ἐγγεγραμμένος.

Καθεῦδε. Ἔνθα καθεῦδ' ἀναβάς. ἀντὶ ἐκοιμᾶτο. τὰ ἀπὸ φύσει μακρᾶς ἀρχόμενα ῥήματα, κατὰ τοὺς παρῳχημένους χρόνους ἐν τοῖς ὁριστικοῖς ἀπαθῆ ὄντα, φυλάττει τὸν τόνον ἐν τῇ συνθέσει. οἷον, εἶχον, κατεῖχον. εὗδε, καθεῦδε. καὶ τὸ καθῆσθαι. πᾶν ἀπὸ ὁμοτόνου καὶ ὁμοχρόνου.

Κάθησο, ἀπὸ τοῦ ἕζω. εἴσομαι. καὶ ἧσμαι θέλει. δωρικῶς. ἥσμην. ἧσο, ἧσο. καὶ ἐν συνθέσει, κάθησο. οἱ δὲ τοιοῦτοι παρακείμενοι καὶ ὑπερσυντέλικοι ἐὰν ἔχωσι δύο σύμφωνα, ἐν τῇ συνθέσει φυλάττουσι τὸν τόνον. οἷον, ἧγμαι κατῆγμαι. ἧργμαι κατῆργμαι. εἰ δὲ ἀπὸ τοῦ ἕημι ἵω, ἰωνικὸν καὶ ἀνεδίδου τὸν τόνον. ἕω, ὁ μέλλων ἕσω. ὁ παρακείμενος ἧκα. ὁ παθητικὸς ἧσμαι. ὁ ὑπερσυντέλικος ἥσμην. τὸ τρίτον ἧσο καὶ κάθησο. ἢ ἀπὸ τοῦ ἕημι, ὁ μέλλων ἥσω. οὐκ ἀνεδόθη δὲ ὁ τόνος ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶς παρῳχημένος ὁριστικὸς ἀπὸ φωνήεντος ἀρχόμενος, καὶ ἀπὸ φύσει μακρᾶς, τὸν αὐτὸν τόνον φυλάττει καὶ ἐν τῇ συνθέσει. χωρὶς τοῦ οἶδα σύνοιδα αἰολικῶς. καὶ τοῦ οἶσθα κάτοισθα αἰολικῶς. καὶ τοῦ εἶξα ὑπόειξα. καὶ τοῦ εἶκον ὑπόεικον. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα. εἶχον, κατεῖχον. ὦσμαι πρόσκειται παρῳχημένου ὁριστικός, διὰ τὸ εἶπε, ἔξειπε. εὗρε, ἐφεῦρε, ἀπῶσμαι. ὦγμαι ἄνῳγμαι. ὦγε ἄνῳγε. καὶ κάθευδε. ταῦτα γὰρ οὐκ εἰσὶν ὁριστικά, ἀλλὰ προστακτικά. πρόσκειται ἀπὸ φωνήεντος ἀρχόμενα, διὰ τὸ κεῖτο, κατέκειτο. χεῦε, κατέχευε. πρόσκειται ἀπὸ φύσει μακρᾶς, διὰ τὸ ἵζε, ἔφιζε. τοῦτο δὲ τὸ ἵζε, κοινῶς μὲν μακρὸν ἔχει τὸ ι θέσει τε καὶ φύσει. διὸ καὶ τὸ ἔφιζε προπερισπῶμεν. Ἀττικοὶ δὲ, ἢ ποιηταί, συστέλλουσιν αὐτό. τουτέστι θέσει μακρὸν αὐτὸ ἔχουσιν. διὸ καὶ τὸ ἔφιζε προπαροξύτονον.

Κάθη. Ἰστέον ὅτι, τὸ κάθη, καὶ δύνη, καὶ μέμνη, καὶ τὰ ὅμοια, παράλογά εἰσι. τὸ μὲν γὰρ κάθη καὶ δύνη, ἐνεστῶτες εἰσὶ παθητικοί. τῶν εἰς μι. ὁ δὲ ἀπὸ τοῦ εἰς μι παθητικὸς ἐνεστώς, τροπῇ τοῦ κατὰ τὸ τρίτον πρόσωπον τοῦ εἰς σ, ποιεῖ τὸ δεύτερον. ὡς ἵσταται, ἵστασαι. οὕτως οὖν καὶ ἀπὸ τοῦ κάθημαι κάθηται, κάθησαι. καὶ δύναμαι δύναται, δύνασαι. τὸ δὲ μέμνη, παθητικός ἐστι παρακείμενος. πᾶς δὲ παθητικὸς παρακείμενος τὸ τρίτον τρέπων εἰς σ, τὸ δεύτερον ποιεῖ. οἷον, νενόηται νενόησαι. οὕτως οὖν καὶ μέμνηται μέμνησαι. παραλόγως ἄρα καὶ τὰ τρία. ἔστι δὲ εἰπεῖν περὶ αὐτῶν οὕτως. ἔστι μέμνημαι. τὸ δεύτερον μέμνησαι. καὶ ἀποβολῇ τοῦ σ ἰωνικῶς, μέμνηαι. καὶ κατὰ συστολὴν μέμνεαι. καὶ κατὰ κρᾶσιν τῶν φωνηέντων τὸ μέμνη. ἢ μέμνῃ τὸ ι ἀνεκφώνητον. ὁμοίως καὶ τὸ κάθημαι, καὶ δύναμαι κάθησαι καὶ δύνασαι. ἀποβολῇ κάθηαι καὶ δύναι. καὶ συστολῇ κάθεαι καὶ δύνεαι. καὶ κράσει τοῦ ε καὶ α εἰς η, κάθη καὶ δύνη. οὕτως ὁ Χοιροβοσκός.

Κακία, παρὰ τὸ κάτω κεχωρηκέναι.

Κακός, ὁ δειλός. παρὰ τὸ χάζω χάζομαι χακὸς καὶ κακός, ὁ ὑποχωρῶν καὶ φεύγων. ἀντὶ δὲ τοῦ ἄλλου καταχρηστικῶς. ἐκείνου γὰρ πάντες ὑποχωροῦμεν. σημαίνει τὸν δειλόν. ὡς τό, Τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ. καὶ τὸν εὐτελῆ. ὡς τό, Ὅς δή τοι εἶδος μὲν ἔην κακός, ἀλλὰ ποδώκης. σημαίνει καὶ τὸν πονηρόν. ὡς τό, Λαμπρότερος μὲν ὅγ' ἐστί, κακὸν δέ τε σῆμα τέτυκται.

Κακόσχολος, ὁ χρόνον διατιθέμενος ἐπὶ τὸ χεῖρον. ἢ σκώπτων, ἢ σινόμενος.

Κακόχαρτος ἔρις. ἡ στάσις. ἀμφίβολος. ἤγουν ἡ ἐπὶ κακῷ χαίρουσα, ἢ ἐφ' ᾗ οἱ κακοὶ χαίρουσι.

Κακοδαίμων, ὁ θεοῦ ἐπαχθής, καὶ τὴν ψυχὴν ἔχων ἐμπαθῆ.

Κάκη, τὴν κάκην ἀντὶ τῆς κακίας τάττουσι. παρὰ τοῦ μετὰ κακίας τὸ ζῆν ποιουμένου διὰ τὸ ἐπείγειν ταῦτα.

Κάκιθος, σημαίνει τὸν κολαζόμενον, ἢ κακιζόμενον. παρὰ τὸ κακίζω κακίσω κάκιστος καὶ κάκιθος, ὁ κάκιστος.

Κακκάβη, σκεῦος πρὸς ἕψησιν ἐπιτήδειον. παρὰ τὸ κάπτω, ὃ σημαίνει τὸ κοιλαίνω, ὄνομα κάβη. καὶ πλεονασμῷ τοῦ κ, καὶ διπλασιασμῷ, κακκάβη. ἀναλογώτερον δὲ θέλει λέγεσθαι ἡ κάκκαβος. τὸ γὰρ ἀρσενικὸν ὁ κάκκαβος, παντελῶς ἀδόκιμον.

Κακκείοντες. Οἱ μὲν κακκείοντες ἔβαν. κατὰ κοιμηθησόμενοι ἐπορεύθησαν. ἐκ τοῦ κῶ τὸ κοιμῶμαι, κέω. καὶ

πλεονασμῷ τοῦ ι, κείω. ἡ μετοχή, κείων κείοντος, κείοντες. καὶ κακκείοντες κατὰ ἀναδιπλασιασμόν. ἔστι δὲ ἐνεστὼς καὶ παρατατικός. σημαίνει δὲ ἔμφασιν μέλλοντος. τὸ δὲ κῶ, σημαίνει δύο. τὸ κοιμῶμαι, ἐξ οὗ καὶ κοίτη. τὸ καίω, ἐξ οὗ καὶ τὸ, Καιόμενοι πυρὰ πολλά. ἐκ τοῦ κείω τὸ κοιμῶμαι, κείοντος. ἡ εὐθεῖα τῶν πληθυντικῶν, κείοντες. μετὰ τῆς κατὰ, κατακείοντες. καὶ συγκοπῇ, κακκείοντες. τὰ δὲ τοιαῦτα τῶν ῥημάτων ὥσπερ τὸ τοῦ πράγματος ἐπιθυμητικῶς ἔχοντος δηλοῦνται. τὸ γὰρ βρωσείω, τὸ βρωτικῶς, καὶ τὸ κακκείοντες, τὸ κοιμητικῶς, καὶ τὸ ὀψείοντες, τὸ ὀπτικῶς ἔχειν. Τῷ ῥ' οἵ γ' ὀψείοντες, ἰλιάδος ξ. ἀντὶ τοῦ ὀπτικῶς ἔχοντες. ἰδεῖν θέλοντες. βλέποντες. καὶ τὸ πολεμησείοντες, τὸ πολεμικῶς ἔχοντες.

Κάλαθος, κυρίως εἰς ὃν τὰ κάλλη ἀποτίθεται. κάλλη δὲ εἰσὶ τὰ βεβαμμένα ἔρια. καταχρηστικῶς δὲ, καὶ ἐπὶ τοῦ δεκτικοῦ τῶν τυρῶν καὶ σταφυλῶν. ἢ παρὰ τὸ γάλα, γάλαθος, εἰς ὃν τὸ γάλα ἐπιτίθενται τυρεύοντες.

Κάλαμος, παρὰ τὸ καλῶς ἀμᾶσθαι. καλαμίδας, τὰς νῦν λεγομένας ὠλένας. ἐπεὶ ἀπὸ καλάμων ἦσαν. ἢ τοὺς θηλυκοὺς καλάμους τοὺς προσινδέσμους.

Καλαμογλυφεῖν. οὔτε ἐν τῷ γλύφω ἐνεστῶτι, οὔτε ἐν τῷ γλύφειν ἅπασα ἡ σύνθεσις ἐγένετο, ἀλλ' ἐν τῷ ὀνόματι. οἷον, καλαμόγλυφος. καλαμογλυφῶ.

Καλαῦροψ καλαύροπος, ἡ βουκολικὴ ῥάβδος. ἔστι δὲ ξύλον κατὰ τὸ ἕτερον μέρος ῥοπὴν ἔχον, ὅ ἐστι καμπήν. παρὰ τὸ ῥέπειν τὸ κᾶλον εἰς ἓν μέρος, ὅ ἐστι τὰ ξύλα. καὶ ἡ καλουμένη κορδύλα, καὶ κορύνη, καὶ ῥόπαλον.

Καλήζω, κατὰ διάλεκτον. οἱ αἰολεῖς τὰ τῆς πρώτης συζυγίας, διὰ τοῦ η προφέρουσιν. ἀδικήω. ζῆψα τὰ διψῆν. ποθέω, ποθήω. οἷον, Καὶ ποθήω καὶ μάχομαι. οὕτως οὖν καὶ καλῶ. παρὰ μὲν ἴωσι, καλέω. παρὰ δὲ αἰολεῦσι, καλήω. παρὰ δὲ κυπρίοις, καλήζω. τοῦτο δὲ ἡγοῦνται κατὰ συγκοπὴν γεγονέναι κλήζω. οὐκ ἔστι δέ. εὑρίσκομεν γὰρ αὐτὸ σὺν τῷ ι. ἀλλ' ἀπὸ τοῦ κλέος κλείζω καὶ κληΐζω καὶ κλήζω. ὡς χρέος, χρείζω, χρηΐζω καὶ χρήζω.

Καλήμεναι, καλεῖν. ἀπὸ τοῦ καλήω ἀπαρέμφατον.

Καλιά, κυρίως ἡ ἐκ κάλων κατασκευαζομένη οἰκία, μήπω εὑρεθέντων λίθων εἰς ἐργασίαν. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν λίθων τῶν οἰκιῶν. ἡσίοδος. Οὐ γὰρ ἐπωσιοεργὸς ἀνὴρ πίμπλησι καλιήν.

Καλός, ἐκ τοῦ κάλλος. ἢ παρὰ τὸ κάζω. ὁ μέλλων, κάσω. ῥηματικὸν ὄνομα καλός. ἢ παρὰ τὸ καλῶ, ἐκ τοῦ καλεῖν πρὸς ἑαυτὸν ἕκαστον ὡς ἀγαθόν, ἐφ' ὃ ἄγαν θέομεν. ἢ παρὰ τὸ κηλεῖν. πάντες γὰρ κηλούμεθα τῷ καλῷ, καὶ θελγόμεθα. ἢ παρὰ τὸ θέλω.

Καλοκαγαθία. ἀπὸ συντιθεμένου ὀνόματος γίνεται. οἷον θεοῖς ἐχθρός, θεοεχθρία, οὕτω καλὸς καὶ ἀγαθός, καλοκαγαθία.

Καλόπους, κυρίως ὁ ξύλινος πούς. κάλον γὰρ τὸ ξύλον.

Κάλοι, χάλοι τινὲς ὄντες, οἷς χαλᾶται τὰ ἱστία.

Καλινδοῦμαι, τὸ κυλίομαι. οἱ γὰρ αἰολεῖς, τὸ υ εἰς α τρέπουσι, τὰς σάρκας σύρκας λέγοντες. ἐπεὶ οὖν τρέπεται τὸ α εἰς υ, δηλονότι τρέπεται καὶ τὸ υ εἰς α. καὶ οὕτως ἐκ τοῦ κυλίω, γίνεται καλίω. καὶ πλεονασμῷ τῶν συμφώνων, καλινδῶ.

Κάλωα, ἡ διδασκαλία.

Καλώδιον, τὸ σχοινίον. σὺν τῷ ι γράφεται. καὶ ὤφειλεν εἶναι καλίδιον. ἐπειδὴ ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ συμφώνου ἄρχεται, οἷον κάλος κάλου. τότε γὰρ διὰ τοῦ ιδιον γίνεται ἡ παραγωγή. οἷον, γνώμη γνωμίδιον. ἀλλὰ συνεξηκολούθησε τῷ λαγώδιον. στώδιον. σημαίνει τὴν στοάν.

Καλύβη, ἐκ τοῦ καλύπτω κατὰ μετάθεσιν τοῦ π εἰς φ. οἱονεὶ καλύφη τις οὖσα.

Καλυψώ, ἡ μηχανὴ ἀπάτη. καλύπτουσα δὲ τὸ διανοούμενον. ὅμηρος, Δολόεσσα καλυψώ.

Κάλυμνος, ὁ ἐν αἰγύπτῳ σῖτος. ἀντὶ τοῦ καλίμνιος. ὁ γὰρ φιλάδελφος ἐκ καλυδνῶν μετήνεγκε τὸ σπέρμα. Νήσους τινὲς καλυδνάς. ἃς ὁ ἀπολλόδωρος φησὶ λέγεσθαι καλύδνας, ὡς καλύβας.

Κάλχας, παρὰ τὸ καλχαίνειν, ὅ ἐστι κατὰ βάθος μεριμνᾶν. καὶ κάλχη, ἡ πορφύρα. ὅθεν παρ' αὐτὴν πορφύρειν, τὸ μεριμνᾶν. ἢ παρὰ τὸ κάλχη, ὃ σημαίνει τὴν βοτάνην. δι' ἧς ἡ πορφύρα βάπτεται. κάλχας δὲ, ὁ τὰ βάθη τῶν μαντειῶν ἐρευνῶν. ἢ ὁ τοῖς βασιλεῦσι τὰ ἐκ θεοῦ μαντεύματα φανερῶν.

Καλχηδών, τινὲς τὸν ποταμὸν πόλιν κτίζουσι. καὶ ὁμωνύμως αὐτῷ τὴν πόλιν ὠνόμασαν.

Κάλυξ, ἄνθος ῥόδου μεμυκός. παρὰ τὸ καλύψω. ἢ ἡ τοῦ ῥόδου κεφαλή. καὶ ἡ νύμφη, καὶ τὸ ἐνώτιον.

Καλά. τὸ καλά, παρὰ ἀλκμᾶνι ἐστίν. οἷον, Καλὰ μελισδόμεναι.

Καλλάτις, πόλις ἐστὶ κτισθεῖσα ὑπὸ ἡρακλέους. ὠνόμασται δὲ ἀπὸ τῆς παρακειμένης λίμνης. ὧρος.

Κάλλη, τὰ ἄνθη. ἢ τὰ πορφυρᾶ ἱμάτια, ἢ τὰ βαπτὰ ἔρια, ἐξ οὗ καὶ κέραμος καλλάϊνος.

Κάλλαια, καλοῦνται τὰ κάτωθεν τῶν ἀλεκτρυόνων ὥσπερ γένεια, διὰ τὸ εἶναι ἀνθηρὰ καὶ πορφυρώδη. τὰ πορφυρᾶ γὰρ, κάλλη ἐκάλουν. εὔπολις. Βάπτειν τὰ κάλλη παρ' ἴσεμνα τῇ θεῷ. καὶ αἰσχύλος. Ἐν ποικίλοις γὰρ θνητὸν ὄντα κάλλεσιν. ἔνθα καὶ τὸ καλλάϊνον. ἔστι δὲ χρῶμα ἀνθηρόν. ἢ τὸ βένετον χρῶμα οὕτω λεγόμενον.

Κάλλυντρον, κόσμιον. παρὰ τὸ κορῶ, ὅ ἐστι σαίρειν καὶ καλύνειν.

Καλλωπίζω, ἐκ τοῦ κάλλος, καὶ τοῦ ὤψ ὠπός τὸ πρόσωπον.

Κάλλος, παρὰ τὸ κάζω τὸ κοσμῶ. ἢ παρὰ τὸ ἅλλω τὸ πηδῶ.

Καλλιπάρηον. τὰ δὲ παρὰ τὸ κάλλος ἐν συνθέσει γινόμενα, διὰ τοῦ ι γράφεται. Καλλιπάρηος. καλὰς παρειὰς ἔχουσαν. ἀπὸ μέρους καλήν. παρειὰ δὲ, παρὰ τὸ ἐπαίρω τὸ συνεσταλμένον μέρος τοῦ σώματος. τὸ ρη, η. διὰ τί. δωρικῶς. οἱ γὰρ δωριεῖς τὴν ει δίφθογγον εἰς η τρέπουσιν. ἢ οἱ αἰολεῖς.

Καλλισφύρου, εὐπρεποῦς. καλῆς. ἀπὸ μέρους τῶν σφυρῶν.

Κάλλος, ἐπὶ τοῦ ἡμῖν νοουμένου. τίθεται καὶ ἐπὶ τοῦ μύρου τῆς ἀφροδίτης, ὀδυσσείας θ. καὶ ἀχαιΐδα καλλιγύναικα. ἀπὸ τῆς καλλιγύναιξ εὐθείας, τὴν καλὰς γυναῖκας ἔχουσαν.

Καλλυντήρια, καὶ πλυντήρια, ἑορταὶ β΄ ἀθήνησι.

Καλλιέρημα, ἐκ τοῦ κάλλος καὶ τοῦ ἔρημον, ὃ σημαίνει τὸ πρόβατον. ὅ τε γὰρ ὁ ποιητὴς προπερισπωμένως προφέρει. Τάδ' ἔρημα φοβεῖται. σημαίνει δὲ τὸ ἱερεῖον. καὶ τὴν θυσίαν. ἢ ἐκ τοῦ καλλιερῶ καλλιερώσω καλλιέρωμα. καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρόν. καλλιέρημα δέ ἐστιν ἕκαστον τῷ θεῷ φίλον θῦμα. καὶ χριστιανοὶ μὲν τότε καλλιεροῦσιν, ὅταν ἑαυτοὺς τῷ θεῷ προσάγωσι πνεῦμα καὶ καρδίαν συντετριμμένην. ἕλληνες δὲ τότε καλλιερεῖν νομίζουσιν, ὅταν δαίμονί τινι θύσαντες ἐντύχωσι τινὸς σημείου ἐν τῷ ἥπατι τοῦ ἱερείου, καὶ τοῦτο καλοῦσι καλλιέρημα. ὅταν τῷ δαίμονι φίλον τὸ θῦμα διὰ τῶν φαινομένων ἀπατηλῶν ὀφθείη σημείων.

Κάλλιμος, παρὰ τὸ κάλλος. ἡ δὲ διὰ τοῦ ιμος παραγωγὴ διὰ τῶν οὐδετέρων γίνεται. οἷον σπόρος σπόριμος. ἀγωγή, ἀγώγιμος. κῦδος, κύδιμος. γίνεται καὶ ἀπὸ ῥήματος. προσδοκῶ προσδόκιμος. θηράω, θηρῶ θηράσω. θηράσιμος.

Καλλίων καὶ κάλλιστος, οὐκ ἀπὸ τοῦ καλός, ἀλλ' ἀπὸ τοῦ κάλλος. καὶ τοῦτο δηλοῖ καὶ ἡ γραφὴ καὶ ἡ σημασία. ἡ γραφὴ, ὅτι καλὸς δι' ἑνὸς λ. τὸ δὲ κάλλιστος διὰ δύο. ἡ σημασία, ὅτι ὁ ποιητὴς τὸ καλὸν ἐπὶ τοῦ ἀνδρείου εἴωθε τάττειν. ὡς ἐκ τοῦ ἐναντίου τὸν κακὸν ἐπὶ τοῦ ἀσθενοῦς. τὸν δὲ νιρέα εἰδὼς ἀσθενῆ ὅμως φησὶ περὶ αὐτοῦ, Νιρεὺς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ ἴλιον ἦλθεν.

Κάμαξ, ἀρσενικῶς μὲν σημαίνει τὸ ὄρυγμα, ἢ τοῖς ἐν τάφῳ πεπηγμένοις πασσάλοις πρὸς τὴν τῶν πολεμίων ἐρωήν. θηλυκῶς δὲ τὰς ῥάβδους, ἢ δόνακας παραπεπηγότας ταῖς ἀμπέλοις. ἡσίοδος. Σειόμενος φύλλοισι καὶ ἀργυρέῃσι κάμαξι. καὶ ὅμηρος ἰλιάδος σ. Ἑστήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέῃσι. τουτέστι πᾶσα δὲ ἐκεχαράκωτο ἡ ἄμπελος κάμαξι. τουτέστι στύλοις. οἵτινές εἰσι ξύλα ὀρθὰ πεπηγότα ταῖς ἀμπέλοις. παρὰ τὸ κάμνειν ἐν τῷ βαστάζειν τὴν ἄμπελον, οἱονεὶ κάμναξ τις οὖσα, κατὰ ἀποβολὴν τοῦ ν.

Καυσία, εἴρηται μὲν καμελαύκιον, παρὰ τὸ ἐλαύνειν τὸ καῦμα. καὶ γὰρ ἡ καυσία ἔοικε διὰ τὸ πρὸς τὸ καῦμα εἶναι ἐπιτήδειον. ἔστι γάρ τι κάλυμμα κεφαλῆς τοιοῦτον. ἀντίπατρος θεσσαλονικεὺς ἐν ἐπιγράμματι. Καυσίη ἥ τοι πάροιθεν μακεδόσιν εὔκολον ὅπλον καὶ σκέπας ἐν νιφετῷ. καὶ κόρυς ἐν πολέμῳ. ὧρος.

Κάμηλος, τὸ ζῶον. ὅτι χαμαὶ καθημένη αἴρει τὸ φορτίον. χάμηλος, καὶ κάμηλος. ἐτυμολογεῖται δὲ παρὰ τὸ κάμπτειν τοὺς μηροὺς ἐν τῷ καθέζεσθαι κάμηρός τις οὖσα καὶ κάμηλος.

Κάμινος, παρὰ τὸ ὑπομένειν καιομένην. τὸ ι, μακρόν. τὰ διὰ τοῦ ινος πρὸ μιᾶς τὸν τόνον ἔχοντα, ἐκτείνουσι τὸ ι. πλὴν τοῦ ἐχῖνος, καρκίνος. πρὸ δύο δὲ τὸν τόνον ἔχοντα, συστέλλει, πλὴν τοῦ κάμινος.

Κάμειρος, ὄνομα πόλεως. ὡς παρὰ τῷ ποιητῇ. Λίνδον, ἰηλυσόν τε καὶ ἠνεμόεσσαν κάμιρον. τὰ διὰ τοῦ ιρος ἐπὶ πόλεως μὴ λεγόμενα καὶ οὐδέτερα, διὰ τοῦ ι γράφεται. πίστιρος. στάλιρος. κύστιρος. δύστιρος. σπῖρος. τὸ ἥπειρος οὐκ ἀντίκειται ἡμῖν. οὐκ ἐπὶ πόλεως γὰρ, ἀλλ' ἐπὶ χωρίου. οὔτε τὸ στάγειρος. ἔχει γὰρ οὐδέτερον τὰ στάγειρα. τὰ δὲ ἄλλα πάντα, διὰ τῆς ει διφθόγγου γράφεται. χωρὶς εἰ μὴ ὦσιν ἀπὸ δισυλλάβου. μάγειρος. κάμειρος. εἰ μὴ ὦσιν ἀπὸ δισυλλάβου πρόσκειται, διὰ τὸ αἶρος.

Κάμνειν, ἐπὶ τοῦ ποιεῖν καὶ ἐργάζεσθαι, καὶ ἐπὶ τοῦ νοσεῖν. καὶ ἐπὶ τῶν ἀποθανόντων. προσλαμβάνων δὲ τὴν ἀπὸ πρόθεσιν σημαίνει τὸ ἀπειπεῖν, καὶ ἀπαγορεῦσαι καὶ ἀπογνῶναι. οἷον, Ἀπέκαμνον νουθετῶν. ἀποκάμνω παραινῶν. κάμνω σημαίνει τέσσαρα. τὸ κοπιῶ. Αὐτὰρ ἐπεὶ κάμε χεῖρας ἀναίρων. τὸ κατασκευάζω. ὡς τὸ, Κάμε τεύχων. καὶ τὸ ἀσθενῶ. ὡς τὸ, Καμνόντων αἰχμαλώτων. σημαίνει καὶ τοὺς τεθνεῶτας. ὡς εἴδωλα καμνόντων. καὶ καμόντας ἀνθρώπους, ἀντὶ τελευτήσαντας. ἀποθανόντας. κάμω, ὁ μέλλων καμῶ. ὁ μέσος παρακείμενος, κέκαμα. ὁ δεύτερος ἀόριστος, ἔκαμον. ἡ μετοχή, καμὼν καμόντος.

Κάμπτω, ἐκ τοῦ γόνυ γονάπτω, κατὰ παραγωγὴν καὶ συγκοπὴν, γνάπτω. καὶ τροπῇ τοῦ γ εἰς κ καὶ ἐν ὑπερθέσει, κάμπτω.

Καμπή, ἡ καμπτομένη καὶ κεκαμμένη. καὶ καμπὰς φαμὲν τόπον, ὡς κλάσιν πεπονθότων χωρίων. λέγεται δὲ ζωδάριόν τι κάμπη ἡ κάμπτουσα. τὰ μὲν τελευταῖα μέρη ἀποτείνει. τὰ δὲ πρὸς τὸν τράχηλον κάμπτει. εἶθ' οὕτως ἐπισύρει τὰ ὄπισθεν.

Καμπύλος, ἐκ τοῦ κάμπτω.

Καμπανοί, ὅτι κάμπον ἔκτισαν πρὸς τὴν κύμην τόπον οὕτω λεγόμενον. ὅθεν καὶ καμπανὴ ἐκλήθη. οὕτως ὧρος.

Κάμμορος, οἱονεὶ κακόμορος. καὶ συγκοπῇ, κάμμορος.

Καμμύω, ἐκ τοῦ καταμύω, κατὰ ἀποκοπήν.

Καμμονίην, κακῶς τῇ λέξει κέχρηται. καμμονία γάρ ἐστι κυρίως, ἡ ἐκ μονομεροῦς νίκη. ἡ γινομένη νίκη. τουτέστιν ἡ μετὰ καταμονῆς νίκη ἐπὶ πάλης καὶ πυγμῆς, καὶ τῶν ὁμοιοτρόπων ἀγωνισμάτων. ἐπὶ δὲ ἵππων οὐδ' ἂν χρήζοι τὸ λεξείδιον.

Κανάχιζεν, ἤχει. καναχή, ἡ βοή. ἀπὸ τοῦ κενὸν ἀχεῖν. καὶ, Καναχηδὸν κυλινδόμενοι φορέοντο. ἀπὸ τοῦ καναχῶ καναχήσω.

Κάναστρα, ἀκρωτήριον τῆς παλλήνης.

Κανδύλη, βρῶμά ἐστι διὰ γάλακτος καὶ μέλιτος κατασκευαζόμενον. ὡς τὸ, Ἄμοι τὰ κηνέροιον βρῶμα.

Κανθός, ἐπὶ τοῦ ὀφθαλμοῦ, οἱονεὶ κυηθός τις ὤν. ἀπὸ

τοῦ κινεῖσθαι συνεχῶς, δακνομένου ὑπὸ τοῦ ἀπὸ τῆς ῥέοντος ὑγροῦ δακρύου.

Κάνθαρος, παρὰ τὸ ἐμβόσκειν πόρος, καὶ τὸ ὀρούω τὸ ὁρμῶ.

Κάνναθρον. Δίδυμος τὴν πείρινθον πλεκομένην λέγει, εἴρινθον καὶ κατὰ ἀντίθεσιν πείρινθον. τοῦτο δὲ ὑπὸ Ξενοφῶντος καλεῖσθαι κάνναθρον. ἐπεὶ ἐκ κάννης ἢ ψιάθου. οὕτως Ἐπαφρόδιτος. Ὧρος.

Κανοῦν, εἰς ὃ ἐφέρονται ἱερουργικαὶ μάχαιραι. σημαίνει κυρίως τὴν μάχαιραν οἱονεὶ τὸ καίνειν ἔχον κείμενον, ὅ ἐστι κόπτειν. ἀπὸ τῶν γινομένων ἐν ταῖς θυσίαις σφαγῶν. σημαίνει δὲ καὶ κανίσκιον, παρὰ τὸ χαίνειν χανοῦν καὶ κανοῦν. ἀπὸ τοῦ κεχηνέναι. Δεῖ δὲ γινώσκειν, ὅτι τὰ κανᾶ καὶ ὀστᾶ καὶ χρυσᾶ καὶ χαλκᾶ, οὐκ ἔστιν ὥσπερ ἀπὸ τοῦ ὀστέα καὶ χρύσεα καὶ χάλκεα, ὤφειλε γὰρ ἂν εἰς η εἶναι ἡ κρᾶσις. ἀλλὰ λέγεται ὅτι αἱ ἑνικαὶ αὐτῶν διχῶς λέγονται καὶ ἐντελῶς καὶ κατὰ κρᾶσιν. οἷον χάλκεον χαλκοῦν. ὀστέον, ὀστοῦν. αἱ δὲ ἐντελεῖς εὐθεῖαι τῶν πληθυντικῶν, ἀπὸ τῆς ἐντελοῦς εὐθείας τῶν ἑνικῶν γίνονται. αἱ δὲ συνηρημέναι ἀπὸ τῶν συνηρημένων, ἀπὸ τοῦ κανοῦν, ὀστοῦν, κανᾶ καὶ ὀστᾶ.

Κάνωπος. δεῖ λέγειν οὐ Κάνωβος. ἐπειδὴ οὐδὲν εἰς ος λῆγον ὑπὲρ δύο συλλαβὰς παραληγόμενον τῷ ω, ἔχει τὸ βῆτα ἀρκτικὸν τῆς τελευταίας συλλαβῆς, ἀλλ' ἢ ἕτερον, ἢ τὸ π. πρόσωπος. ἄνθρωπος. οὕτω καὶ Κάνωπος.

Κανών, παρὰ τὸ καίνω τὸ κόπτω. ὁ τὰ τῶν λέξεων κόπτων ζητήματα. ἔστι δὲ εἶδος τεκτονικοῦ. εἴρηται δὲ κανὼν ἀπὸ τοῦ τεκτονικοῦ κανόνος. ὥσπερ γὰρ ὁ τέκτων κέχρηται κανόνι διὰ τὸ ἐπανορθῶσαι τὸ ἀποτελούμενον, τὸν αὐτὸν τρόπον καὶ ἡμεῖς κεχρήμεθα τῷ κανόνι διὰ τὸ ἐπανορθῶσαι τὰς λέξεις. ἔστι δὲ κανών, λόγος ἔντεχνος δηλωτικός, ἀπευθύνων ὁμοιότητα πρὸς τὸ καθόλου. κανόνας λέγουσι τῆς ἀσπίδος, τὰς ῥάβδους αἷς ἐκράτουν τὰς ἀσπίδας. οὔπω γὰρ ἐχρῶντο τοῖς πόρπαξιν. ὡς ὄχανα ἐκάλουν. ὕστερον γὰρ ἐπενοήθη ὑπὸ Καρῶν, ὡς Ἀνακρέων φησί.

Κάπη, ἡ φάτνη. παρὰ τὸ κάπτειν, ὅ ἐστιν ἐσθίειν ἱσταμένους τοὺς ἵππους ἐν αὐταῖς. Ἰλιάδος θ. Δῆσε δ' ἐπ' ἀμβροσίᾳ κάπῃσι. γίνεται κάπτει καὶ κάπη. ἢ παρὰ τὸ κάπος, κάπη. κάπος δέ ἐστι τὸ πνεῦμα. καὶ Ὅμηρος. Ἀπὸ δὲ ψυχὴν ἐκάπυσσεν. ἀντὶ τοῦ ἐξέπνευσε. τουτέστιν ἢ ὑπὸ τῶν ἀσθμάτων καταπνεομένη τῶν ἵππων. ἢ παρὰ τὸ ἐσκάφθαι καὶ κεκοιλᾶνθαι.

Καπνίζω, ἐκ τοῦ καπνός. τοῦτο παρὰ τὸ καίω καὶ τὸ πνοή. κυρίως γὰρ καπνὸς λέγεται ἡ ἐκ τῆς καύσεως πνοή, ὅθεν καὶ καπνίζω. ἢ παρὰ τὸ κάπω τὸ πνέω, οὗ παράγωγον καπύω καπύσω. καπνὸς οὖν ὁ ἀποπνέων τὸ πῦρ. ὡς ἐρέφω, ἐρεμνός. στίλβω στιλπνός. ἔνθεν πολλάκις φησὶ πυρὸς αὐτμὴν τὸν καπνόν. ἢ παρὰ τὸ κάπος τὸ πνεῦμα, κάπος καὶ καπνός. Κάπνισσάν τε κατὰ κλισίας, καὶ δεῖπνον ἕλοντο. Ἰλιάδος β. ἀντὶ τοῦ πῦρ ἀνῆψαν, καὶ ὀπτοποίησαν.

Κάπετος, ἡ τάφος. ἐκ τοῦ σκάπτω σκάπετος καὶ κάπετος, παρὰ τὸ ἐσκάφθαι.

Καπύη, πόλις Ἰταλίας. ἣν Ῥῶμος καὶ Ῥωμύλος υἱοὶ Αἰνείου ἔκτισαν, ὥς φησι Κεφάλων ὁ Γεργίθιος. οὕτως Ὧρος. ἄλλοι δὲ ἀπὸ Κάπυος τοῦ Τρωϊκοῦ.

Κάπηλος, ὁ μεταβόλος καὶ οἰνοπώλης. παρὰ τὸ χέειν τὸν πηλὸν ἤγουν τὸν οἶνον. τινὲς οἴονται ἐν ἀνθ' ἑνὸς εἶναι. οἷον ἐκ τοῦ παρὰ Σοφοκλεῖ. Πολὺς δὲ πηλὸς ἐκ πίθων τυρβάζεται. ὁ μὲν οὖν Σοφοκλῆς εὐεπίφορος εἰς τὸν πηλόν. ὁ μέντοι οἶνος οὐκ ἔστι πηλός. πόθεν δὲ ἐν τῷ καπήλῳ ὁ οἶνος ἔγκειται. καὶ γὰρ ἕτερον ἐστὶν οἰνοπώλης, καὶ ἕτερον κάπηλος. καθόλου γὰρ τοὺς πωλοῦντάς τι καπήλους ἔλεγον. ὁ δὲ Αἰσχύλος τὰ δόλια πάντα καλεῖ κάπηλα. Κάπηλα προφέρων τεχνήματα.

Κάππαρις, ὅτι ἡ πολλὴ καὶ καλὴ ἐν κάμποις φύεται. οὐχ οὕτω δὲ ἐν κρημνοῖς. εἴη ἂν οὖν κάμπαρις παρὰ τοὺς κάμπους. καὶ μεταβολῇ τοῦ μ, εἰς π κάππαρις. Ὧρος.

Καππάδοξ, σεσημείωται ἐκ τῶν εἰς ωξ ἀρσενικῶν διὰ τοῦ ο μικροῦ γραφόμενον, καὶ κλίνεται Καππάδοκος. καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν. καὶ κλίνεται Καππαδόκου. τὸ δὲ Καππαδόκης κατὰ μεταπλασμόν. ὅθεν καὶ ὁ Θεολόγος, Οἱ σεμνοὶ Καππαδόκαι λέγει.

Κάρα, ἡ κεφαλή. ἀπὸ τοῦ κέρας ὃ σημαίνει τὴν θρίχα γίνεται κέρα καὶ κάρα διὰ τὸ τετριχῶσθαι. κλίνεται τῆς κάρας. οἱ δὲ ἐτυμολογοῦσι, παρὰ τὸ ἄκρα. καὶ καθ' ὑπερβιβασμὸν κάρα. ἢ ἀποτερμάτωσις τοῦ ἀνθρώπου. καὶ κατὰ κάρα σύνθετον.

Κάραβος, τὸ θαλάσσιον ζῶον παρὰ τὸ τῇ κάρᾳ βαίνειν τῆς κεφαλῆς προεχούσης. ἐξ αὐτοῦ καὶ τὸ εἶδος τοῦ πλοίου λεγόμενον. ἤτοι καὶ τῶν νεῶν, ὡσαύτως. κάρα γὰρ ἡ πρῶρις.

Καραδοκῶ, καραδοκεῖν τὸ τοῦ πράγματος κεφάλαιον ἐπιτηρεῖν ὅποι χωρήσει. παρὰ τὸ κάρα, καὶ τὸ δοκῶ τὸ ἐπιτηρῶ. ἢ τὸ τῇ κεφαλῇ προβλέπειν καὶ ἐλπίζειν ἐκδεχόμενον μήποτε τὸ κέαρ ἔγκειται. τὸ μὲν γὰρ καρηβαρεῖν, ἢ τὸ καταβαρεῖσθαι τὴν κεφαλήν, ἢ παρὰ τὸ βάλλειν αὐτὴν ἀπὸ μέθης. Τιμαχίδας δέ φησιν, ὅτι σύνθετόν ἐστι παρὰ τὸ κάτω κάρα φέρειν τὸ καραδοκεῖν.

Κάραμβις, ἀκρωτήριον Παφλαγονίας. παρὰ τὸ κάρα καὶ τὸ βαίνειν. τὸ γὰρ ἄκρον αὐτῆς ἔξω εἰς τὸ πέλαγος βέβηκεν, ὡς ὁ περιηγητής φησι.

Καπετώλιον, κεφαλὴ τῆς πόλεως. ἢ ὅτι ἐκεῖσε μέλλοντες κτίσαι εὗρον κεφαλὴν νεόσφακτον. κάπουτ γὰρ παρὰ Ῥωμαίοις ἡ κεφαλή.

Καρβᾶνες, οἱ βάρβαροι οἱ ἔχοντες καρὸς βοὴν. Λυκόφρων. Κάρβανον ὄχον.

Κάρδοπος, λίθος, ἢ μάκτρα ἀλεύρου. Νίκανδρος. Καρδόπῳ ἐνρίψας.

Καρδία, διὰ τὸ ἀπαύστως σαλεύεσθαι. εἰς τὸ καρκίνος.

Καρδαμύττειν, τὸ συνεχῶς τὰ βλέφαρα κινεῖν, καὶ εἰς ἐπιμύσιν ἄγειν. οἱ Ἀττικοί φασιν. εἴρηται ἀπὸ τοῦ καρδάμου.

Κάρη, ἡ εὐθεῖα τὸ κάρηνον. σημαίνει δὲ τὸ ἀκρώτερον. σημαίνει δὲ καὶ τὴν κεφαλήν. ἡ αἰτιατικὴ τῶν πληθυντικῶν, τὰ κάρηνα. καὶ συγκοπῇ κάρη. ὅτι δὲ πέπονθε τὸ κάρη, καὶ οὐχ ὑγιές, δῆλον. τὰ γὰρ εἰς η λήγοντα οὐδέτερα οὐδέποτε ἑνικῆς πτώσεώς ἐστιν, ἀλλ' ἢ δυϊκά, ἢ πληθυντικά. ὡς τὰ βέλη. τοῦτο δὲ τὸ κάρη, οὔτε εὐθεῖά ἐστιν ἑνικὴ οὔτε πληθυντική. κατὰ συγκοπὴν ἄρα ἐστὶν αἰτιατικὴ πληθυντικῶν οὐδετέρων ἐκ τοῦ κάρηνα. κάρη, ὄνομα οὐδέτερον. ἡ αἰτιατικὴ τῶν πληθυντικῶν τὰ κάρηνα. ἡ εὐθεῖα τῶν ἑνικῶν τὸ κάρα. τὸ ρα, μακρόν. ὡς τὸ ἡμέρα. ἢ ὅτι τὰ εἰς α λήγοντα οὐδέτερα συστέλλει τὸ α πλὴν τοῦ κάρα. Ἰστέον δὲ ὅτι ὥς λέγει ὁ Τεχνικός, τὸ κάρα, λίπα, ἄλφα, ἀποκοπή ἐστιν. ἀεὶ δὲ ὁ ποιητὴς τῷ κάρη χρῆται. ἐκ τοῦ κέρας γίνεται, ὃ σημαίνει τὴν θρίχα. τροπῇ Ἰωνικῇ τοῦ α εἰς η. ἢ παρὰ τὸ κείρω ἔκαρον. ἢ ἐκ τοῦ κρᾶς κρατός. ἀπὸ τοῦ κάρα γίνεται οὐδέτερον τὸ κάρηνον. Ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα. ἄκρα. πόλεις. ἐξοχάς. ἤγουν βασίλεια. σημαίνει καὶ τὴν κεφαλήν. ὡς τό, Τῇ ἐχμάλις ἀνδρῶν ἐπὶ κάρηνα.

Κάρηαρ. τῶν εἰς αρ οὐδετέρων τὰ μὲν ὑπὲρ δύο συλλαβάς, διὰ τοῦ τος κλίνονται. ὄνειαρ, ὀνείατος. ἄλειφαρ, ἀλείφατος. οὕτω κάρηαρ, καρήατος. οὐ χρὴ γὰρ ἀπὸ τῆς κάρηας εὐθείας πεπλάσθαι. οὐδὲν γὰρ εἰς ας λῆγον ὑπὲρ β συλλαβάς ἐστιν οὐδέτερον. τὸ γὰρ καλλίκρεας καὶ βούκερας, σύνθετα. ὥσπερ δὲ λέαρ οὖν, οὕτω κάρηαρ καρήατος καὶ κατὰ συγκοπὴν κάρητος. ἡ δοτική, κάρητι. τῶν δὲ δισυλλάβων τὰ φύσει μακρὰ παραληγόμενα, διὰ τοῦ τος. ἦμαρ, ἤματος. εἶδαρ, εἴδατος. οὖθαρ, οὔθατος, ὁ μαστός. τὰ δὲ βραχεία παραληγόμενα, ἢ θέσει μακρά, διὰ τοῦ ρος. θέναρ, θέναρος. ὕπαρ, ὕπαρος τὸ ἀληθὲς ἐνύπνιον, τὴν λεγομένην ὀπτασίαν. ἄλκαρ, ἄλκαρος, σημαίνει τὴν βοήθειαν. σεσημείωται φρέατος, στέατος. ἀλλ' ἔστιν εἰπεῖν, ὅτι φρέαρ, καὶ στέαρ Ἰώνων. καὶ ὡς ἔχοντα φύσει μακρὰν τὴν παραλήγουσαν ἐκλίθη διὰ τοῦ τος, φρείατος, στείατος. ἀποβολῇ τοῦ ι, στέατος. λέγει δὲ ὁ Ἡρωδιανὸς ἐν μονοβίβλῳ, ὅτι τὰ εἰς αρ οὐδέτερα παραληγόμενα τῷ ω, ἄκλιτά ἐστι. μῶμαρ, σημαίνει δὲ τὸν βωμόν. βῶμα, σημαίνει τὸν μέγαν. νῶκαρ, σημαίνει τὴν στέρησιν τῆς ψυχῆς. οὕτως ὁ Χοιροβοσκός.

Καρίς, ὡς παρὰ Κρατίνῳ. Ἔχων πρόσωπον καρίδος μαθηλίνης, ἀντὶ τοῦ δερματίνης. παρὰ τὸ σκαίρω σκαρίς καὶ καρίς. ἢ παρὰ τὸ κάρα καρίς. καὶ γὰρ ὅλη ἡ καρὶς σχεδὸν κεφαλή ἐστι. τινὲς δὲ λέγουσιν, ὅτι ἀπὸ τοῦ κάρα καὶ τοῦ ἴς, ἰνός. ἡ ἔχουσα ἐν τῇ κεφαλῇ ἶνας. οἷς ἀντίκειται καὶ ὁ τόνος. ὅτι εἰ ἦν ἀπὸ τῆς ἰνός, βαρύνεσθαι ὤφειλε. πᾶν γὰρ μονοσύλλαβον ἐν τῇ συνθέσει βαρύνεται. καὶ ἡ κλίσις. ἐπειδὴ τὸ μὲν καρὶς διὰ τοῦ δος κλίνεται. εἰ δὲ ἦν ἀπὸ τοῦ ἴς, εἶχεν ἂν κλίνεσθαι διὰ τοῦ νος. τὰ γὰρ εἰς ις σύνθετα τὴν τῶν ἁπλῶν φυλάττει κλίσιν. οἷον, ἀκτίν, ἀκτῖνος. εὐακτὶν εὐάκτινος. Γλωχίν, γλωχῖνος, τριγλωχίν, τριγλώχινος.

Καρκίνος, ζῶον θαλάσσιον, ὁ λεγόμενος πάγουρος. παρὰ τὸ τῇ κάρᾳ κινεῖσθαι καρακινός τις ὤν. ὁ κινῶν τὴν κάραν ἐπὶ συχνόν, ἤγουν τὴν κεφαλήν.

Κάρκαιρε, εἰς τὸ καρδία.

Καρδία, παρὰ τὸ κράτος, ἡ ἡγεμονικωτάτη. ἢ ἡ κρανομένη οἱονεὶ κραδία ἡ εὐθυνεστάτη. ἢ παρὰ τὸ κραδαίνω τὸ σείω. ἀεικίνητος γὰρ ἡ καρδία. καὶ γίνεται κραδία. ἀλλὰ τὸ γὰρ πάθος τῆς λέξεως μετάθεσίς ἐστι.

Κάρος, ἡ σκότωσις. παρὰ τὸ κάρα βλάπτειν. τὸ δὲ ἐν Ἰλιάδος ι. Τίω δέ μιν ἐν καρὸς αἴσῃ, ἀντὶ τοῦ ἐν μοίρᾳ θανάτου. ὡς θάνατον πέφρακεν. ἵν' ᾖ ἀπὸ τοῦ κὴρ κηρὸς κατὰ συστολὴν τοῦ η καρός. ἢ ὡς ἔνιοι, ἐν τάξει μισθοφόρου. πρῶτοι γὰρ Κᾶρες ἐπολέμησαν ἐπὶ μισθῷ. καὶ ἔδοξαν εἶναι ἀτιμότατοι.

Καρδαμύττειν, ἀπὸ τοῦ καρδάμου, ὃ ἄν τις προσενέγκηται, συνεχῶς τὰ βλέφαρα μύει. ἢ παρὰ τὸ τὰς κόρας μύειν.

Καρδιωσάμενοι, τὴν τοῦ θύματος καρδίαν τῇ πιμελῇ καλύψαντες καὶ ἐπιθέντες τῷ πυρί.

Καρπός, παρὰ τὸ κάρφος ὃ σημαίνει τὸ ξηρόν, γίνεται καρφός, καὶ καρπός. παρὰ τὸ κεκάρφθαι ὅ ἐστιν ἐξηράνθαι. ἢ παρὰ τὴν ἅρπην, τουτέστι τὸ δρέπανον συναγόμενος. ἢ ἀπὸ τοῦ κείρω τὸ κόπτω. ὁ παρακείμενος κέκαρκα. ὁ παθητικὸς κέκαρμαι. ἐξ αὐτοῦ καρπός, ὁ κοπτόμενος καὶ προσφερόμενος εἰς βρῶσιν. πρὸς ἀντιδιαστολὴν δὲ ἐβαρύνθη τὸ Κάρπος κύριον ὄνομα. σημαίνει δὲ δύο. κυρίως γὰρ καρπὸς λέγεται, ὁ πρὸς ἄμητον ἡτοιμασμένος ἀσταχύς. οὗτος γὰρ ἡνίκα λευκανθῇ καὶ ξηρανθῇ, ἕτοιμός ἐστι πρὸς θερισμόν. σημαίνει καὶ τὸ κοῖλον τῆς χειρός, ὡς τό, Κῦσε χεῖρ' ἐπὶ καρπῷ. ἔνθεν καὶ ὁ τῆς χειρὸς ξηρὸς τόπος καὶ ἄσαρκος καρπὸς λέγεται.

Καρπαλίμως, ἀντὶ τοῦ ταχέως. παρὰ τὸ ἁρπάζω ἁρπάσω, ἅρπιμος. καὶ πλεονασμῷ τοῦ κ, καὶ συνήθει πλεονασμῷ τῆς αλ, καρπάλιμος. ἢ ἐκ τοῦ κραιπνὸς κραίπνιμος. ἐκβολῇ τοῦ ι καὶ μεταθέσει τοῦ ρ, κάρπνιμος. πλεονασμῷ τοῦ α, καὶ τροπῇ τοῦ ἀμφιβόλου εἰς ἀμφίβολον. ἢ παρὰ τὸ κάπω τὸ πνέω, ἔνθεν καπύω. ἀφ' οὗ τὸ ἐκάπυσσεν, ἀντὶ τοῦ ἐξέπνευσεν. ἐκ τούτου κάπος τὸ πνεῦμα. πλεονασμῷ τοῦ ρ τοῦτο καρπός. καὶ κάρπιμος, ὡς γόνος, γόνιμος. καὶ πόμπος πόμπιμος. εἶτα πλεονασμῷ τῆς αλ συλλαβῆς, γίνεται καρπάλιμος.

Κάρρων. οἷον Ναὶ κάρρων βῶς. Δωρικὸς τύπος ἐστὶ συγκριτικοῦ. ὥσπερ ἀπὸ τοῦ παχὺς παχύτερος παχίων πάχιστος, ὁ Δωρικὸς τύπος, πάσσων, ὁ παχύτερος, οὕτω κρατὺς κρατύτερος κρατίων, κράτιστος ὁ Δωρικὸς τύπος, κράσσων. ὑπερθέσει κάρσων. καὶ κάρρων. ὡς ἡ μυρσίνη, μυρρίνη.

Ρ γ

Κάρτα, παρὰ τὸ κρατὺ κρατέα. ὡς ταχὺ ταχέα. καὶ κατὰ συγκοπὴν καὶ μετάθεσιν κάρτα.

Καρυκευμάτων, ἀρτυμάτων. καὶ καρυκεύουσα ἡδύνουσα. γλυκαίνουσα. καρύκη γὰρ βρῶμα λύδιον ἐκ πολλῶν ἡδυσμάτων συνεστηκὸς καὶ αἵματος. ἔστι δὲ εἶδος ὑποτρίμματος ἐκ πλειόνων ἀρτυμάτων συντιθέμενον. καρυκεύειν δὲ τὸ πραττεῖν. καρύκη, ἕψημά τι, ἐκ πολυτελοῦς σκευασίας συγκείμενον. ἐγὼ δὲ, δι' αἵματος καὶ ἀρτυμάτων ποντρίων. ὁ δὲ δίδυμος, λύδιον βρῶμα φησὶν ἐκ πολυτελοῦς. ἐγὼ δὲ οἶμαι καρύκην αὐτὸ λέγειν, ἐπειδὴ μέλαν ἐστί. φησὶ γὰρ ἐν τῷ κωμικῷ λέγων οὕτω. Καρύκιον καρυοβαφές. καὶ κάρυος ῥόος, ὁ μέλανος ῥόος. οὐκοῦν ἐκ τούτου οἶμαι λέγειν καρύκην.

Καρχαρέος κύων. καρχαρέοι κύνες, οἱ τραχεῖς ἀπὸ τοῦ κάρφος. καὶ καρχαρόδους ὁ κεχαραγμένους ἔχων τοὺς ὀδόντας. τουτέστι στρογγύλους καὶ ὀξεῖς καὶ ἐναλλάσσοντας ἑαυτῶν. ὡς λύκος, πάρδαλις. λέων. ἀπὸ τοῦ χαράσσω μετὰ τοῦ ὀδοὺς γίνεται χαρόδους. καὶ κατὰ ἀναδιπλασιασμὸν, καρχαρόδους. ἢ καρχαρόδους, ὁ τοὺς τραχεῖς. τὸ γὰρ τραχὺ καὶ σκληρὸν, δύναται χαράσσειν. ἢ τοὺς ἀποξυμμένους. ἀμφόδοντα δὲ λέγεται ζῷα, ὅσα οὐκ ἐνηλλαγμένους ἔχουσι τοὺς ὀδόντας στρογγύλους καὶ ὀξεῖς, ἀλλὰ παχεῖς καὶ πλατεῖς. ὥς ἐστιν ἄνθρωπος. ἵππος. ὄνος. καὶ τὰ ὅμοια. χαυλιόδοντα δὲ, ὅσα ἔξωθεν ἔχουσι τοὺς ὀδόντας ὑπερφερεῖς. ὥς ἐστι σῦς, ἐλέφας. ἀσπάλαξ.

Κασίγνητος, παρὰ τὸ κάσις, ὅ ἐστι τὸν ἀδελφὸν, καὶ τὸ γνήσιος, ὅ ἐστι τὸν γνήσιον. τοῦτο ἐκ τοῦ γεννῶ. καὶ αὐτοκασίγνητος, σχήματος ὄντος συνθέτου. τὸ γὰρ κατ' ἀρχὰς συντιθέμενον, μένει ὡσαύτως σύνθετον. τὸ δὲ κατὰ τὸ τέλος συντιθέμενον, λέγεται παρασύνθετον. ὡς τὸ φίλιππος φιλιππίζω.

Κάστωρ, σημαίνει δύο. ὄνομα κύριον. ὥσπερ τὸ, Κάστορά θ' ἱππόδαμον. καὶ γίνεται παρὰ τὸ κάζω τὸ κοσμῶ. ἤ ἐστι καὶ τὸ ζῷον. ἢ γίνεται παρὰ τὸ γαστὴρ, γάστωρ καὶ κάστωρ. ὑπογάστριον γὰρ τὸ ζῷον καὶ σχεδὸν ὅλον κοιλία.

Κασανέα, πόλις μαγνησίας. ὅθεν καὶ τὰ κασάνεια κάρυα τὰ ἀπὸ κασάνης τινός.

Κασίτερος, παρὰ τὸ θᾶσσον τείρεσθαι.

Κάσσα καὶ κασσαβὰς, ἡ πόρνη ἢ καταφερής. παρὰ τὸ καλεῖν καὶ σοβεῖν. ἢ παρὰ τὸ καίω καύσω, καῦσα καὶ κάσσα.

Κασωρὶς, ἡ καταφερής. ἡ πόρνη. καὶ κασσορεύουσα, τὸ πορνεύουσα. κασσαβὰς λέγεται ἡ πόρνη παρὰ τὸ καλεῖν καὶ σοβεῖν. ἐξ αὐτοῦ γίνεται κατὰ παρασχηματισμὸν, κασωρίς. αἱ χρήσεις παρὰ λυκόφρονι.

Καυσία, εἶδος πίλου ἐπὶ τῆς κεφαλῆς ὥσπερ καὶ τιάρα. ζήτει εἰς τὸ καμελαύκιον.

Κασσία εἶδος μύρου. γίνεται δὲ παρὰ τὸ κάζω τὸ κοσμῶ ὁ μέλλων κάσω. ἐξ αὐτοῦ κασσία. ἡ κοσμοῦσα διὰ τῆς εὐοσμίας.

Καΰστριος, ποταμὸς λυδίας. ἀπὸ καΰστρου. κάϋστρος δὲ ἐστὶν υἱὸς πενθεσιλείας τῆς ἀμαζόνος. ὃς ἐν ἀσκάλωνι ἔγημε τὴν δερκετώ. καὶ ἐξ αὐτῆς ἔσχε τὴν σεμίραμιν. ἥτις καὶ τὰ βαβυλώνια τείχη κατεσκεύασε.

Καυστειρός. ἀπὸ τοῦ κάω καύσω. κέκαυκα κέκαυμαι κέκαυσαι, καυστηρός. καὶ κατὰ τροπὴν βοιωτῶν τοῦ η εἰς τὴν ει δίφθογγον, καυστειρός.

Καπύεσθαι, ὑποδύεσθαι. ἐκ τῶν καπυμάτων.

Κάβηξ, ὁ λάρος. διὰ τὸ ἀδηφάγον. καύηξ γὰρ ἡ τροφή. ἢ ἀπὸ τοῦ λέγειν καῦ καῦ. εὐφορίων, Τῆς οὐδ' αἴθυιαι οὐδὲ κρυεροὶ καύηκες.

Καῦμα, τὸ κεκαυμένον ἄημα.

Καῦρος, ὁ κοῦφος ταῖς φρεσί. πλεονασμῷ τοῦ κ. αὖρος τις ὤν. τὸν γὰρ κατὰ νοῦν ἐλαφρὸν, καῦρον ἐπονομάζουσι. βέλτιον γαῦρον λέγειν διὰ τοῦ γ ἵν' ᾖ ὁ σοφοδρῶς ἐπηρμένος καὶ ὑπερήφανος. παρὰ τὸ ἀπὸ γῆς αἴρεσθαι.

Καυλὸς, τὸ ἄκρον τοῦ δόρατος, ὃ εἰς τὸ ὀξὺ ἐντίθεται. γίνεται κατὰ πλεονασμὸν τοῦ κ. αὐλῷ γὰρ ἔοικε. πᾶν δ' ἐπιμήκες, αὐλὸς λέγεται.

Καυλωνία, ἐκ τοῦ αὐλωνία. κατὰ πλεονασμὸν τοῦ κ. σημαίνει δὲ τὸ αὐχεῖν ἐπὶ χρηστοῖς πράγμασι. λυκόφρων δὲ ἐπὶ φαύλων κέχρηται ὡς τοὺς ἀκούοντας αἰσχύνεσθαι.

Καυχῶ. καυχήσω. συζυγίας δευτέρας τῶν περισπωμένων. γίνεται παρὰ τὸ καῦχος τοῦτο παρὰ τὸ αὖχος τοῦτο παρὰ τὸ ἔχω τὸ καυχῶμαι. ἢ παρὰ τὸ αὐχεῖν ἐστιν. σημαίνει δὲ

Καχλάζω. οὗ, κοῖλαι δὲ σπάλυγγες ὑπὸ σπηλίδας βραχείας, λευκῆ καχλάζοντες ἀνέπτυον. ἄχνη ὁ λεπτὸς ἀφρὸς τοῦ κύματος. καχλάζοντες, οἱονεὶ ταρασσόμενοι πρὸς ταῖς σπιλάσι ταῖς βραχείαις καὶ ταῖς κοίλαις ἐκβράσεσιν. πεποιημένον δὲ τὸ καχλάζω. ὁ γὰρ ἦχος τοῦ κύματος ἐν τοῖς κοιλώμασι τῶν πετρῶν γινόμενος δοκεῖ μιμεῖσθαι. τὸ κάχλα κάχλα. ἢ ἐκ τοῦ χλῶ γίνεται κατὰ ἀναδιπλασιασμὸν καχλάζω. σημαίνει δὲ τὸ σφοδρῶς καταγελᾶν. εἰς τὸ χλος.

Κάψα. κάπτω ῥῆμα δηλοῖ τὸ χωρῶ παρὰ τὸ κάψω, κάψα. ὡς δέξω δέξα. ἡ χωρητικὴ οὖσα τῶν ἀντιθεμένων αὐτῇ. δύναται καὶ παρὰ τὸ κάμπτω κάμψω, κάμψα εἶναι καὶ κάψα. ἐπειδὴ ἐκ κεκαμμένων ξύλων αὐτὴν συνεστηκέναι.

Καταιγίτης. ἢ ἐπώνυμόν τινος, ἢ ἱερὸν σατύρου. δίων. σὺν ἀθήνησι. ὅτε κάτω τοῦ πέπλου τῆς ἀθηνᾶς ἐρυπαίνετο.

Καταῖτυξ. εἶδος περικεφαλαίας μὴ ἐχούσης λόφον καταφεροῦς. παρὰ τὰ κάτω τετύχθαι ὡς πρὸς τὴν αὐλῶπιδα τὴν ἀνάτασιν ἔχουσαν.

Καταῤῥοῦς τὸ ἀπὸ τῆς κεφαλῆς κατὰ φερόμενον ῥεῦμα διὰ τῶν μυκτήρων. ὃ καλοῦσιν οἱ ἰατροὶ κατασταγμόν. ἢ τὴν διάῤῥοιαν. ἢ τὸ δυσεντέριον.

Κατάρας. ἀντὶ τοῦ κατακράτος. ἀπὸ τοῦ ἀκὴ ἡ ὀξύτης. ἄκα καὶ ἄκρα πλεονασμῷ τοῦ ρ.

Καταννάσα. ἡ καταφερὴς καὶ πόρνη εἴρηται. ἢ παρὰ τὸ κατὰ χέεσθαι ἐπὶ παντὶ, ἢ ἢ τὴν κατακαυθῆναι ἀξίαν διὰ τὴν ἀσέλγειαν αὐτῆς.

Καταβόστρυχος. κομῶν τοῖς βοστρύχοις. τὸ γὰρ κατὰ, πλήθους ἐμφαντικόν ἐστιν.

Καταίρειν. ἀντὶ ἀναχωρεῖν. ἀπὸ πλεῖν. ἀπὸ τοῦ συμβαίνοντος. συμβαίνει γὰρ ἀπὸ πλεούσης τῆς νηὸς ἐπαίρειν τὰ ἱστία.

Καταΐσσειν ἀπὸ τοῦ καταΐσσω ἢ εἰς τὸ ἐμπροσθεν ὁρμῶσα καὶ ἀΐσσουσα. Προκαταΐσσειν κοίλης ἁλός.

Καταγνύναι, καταγνύειν. κατακλᾶν. συντρίβειν ἀπὸ τοῦ ἄγνυμι.

Κατείνυον. Θριξὶ δὲ πάντα νέκυν καταείνυον ἰλιάδος ψ. ἀντὶ κατεκάλυπτον, ἀπὸ τοῦ ἕω. ἐνύω καὶ εἰνύω.

Κατειμένον ὕλην. μεταφορικῶς, ἠμφιεσμένον ἐν αὐτῷ.

Καταείσατο γαίης. ἀντὶ τοῦ καθώρμησε. κατῆλθε. πᾶν ὁριστικὸν ὑποτακτικὸν μονοσύλλαβον εἰς ω λῆγον, ἔχον τὴν μετοχὴν εἰς ς ὀξύτονον, τὸν αὐτὸν τόνον φυλάσσει ἐν τῇ συνθέσει. οἷον βὰς βῶ ἐὰν ἀναβῶ. δοὺς δῶ ἐὰν παραδῶ. εἰ δὲ μὴ ἔχει τὴν μετοχὴν εἰς ς ὀξύτονον, ἀναπέμπει τὸν τόνον. σχῶ, κατασχῶ. σπῶ, ἐπισπῶ. ὁμοίως καὶ τὰ πληθυντικά. κατάσχωμεν πρόσχωμεν.

Καταλογεύς. ὁ συγγραφεὺς ὁ συγγράφων κατ' ὄνομα.

Κάχρυς. αἱ πεφρυγμέναι κριθαὶ κυρίως. καταχρηστικῶς δὲ καὶ πάντα τὰ πεφρυγμένα. καὶ βοτάνη ποιά. καὶ τῆς πεύκης ἡ βλάστησις. λέγονται καὶ πυροί τινες.

Καταλλήλως. Καταλλήλως τῆς ἑαυτοῦ φύσεως ὁ χριστὸς ἦλθε καὶ ἐνήργει. ἤγουν ὡς ἑκάστη πέφυκεν. ἀκολούθως. ἁρμοζόντως.

Κατακλεῖς. ἐκ τοῦ κλείς. ἀπὸ τοῦ ἐγκεκλεῖσθαι μέχρι αὐτῆς τὰ ἐντός. καὶ αἱ μὲν τοῦ σώματος, κατακλεῖδες εἴρηνται. διὰ τὸ ἐπικαμπεῖς εἶναι καὶ ἐοικέναι τοῖς τῶν θυρῶν κλεισίν. ἐπὶ δὲ τῶν ἐρεσσόντων, ὅτι ἐπ' αὐτοῖς ἐζό μενοι τὸ σῶμα ἕλκουσι.

Κατάκλωθες. Κατάκλωθες τε βαρεῖαι. αἱ ἐπικλώσεις τῶν μοιρῶν παρὰ τὸ κλώθω. τοῦτο δὲ παρὰ τὸ κάτω καθέλκειν τοὺς τῶν νημάτων ὁλκούς. κλώθειν γὰρ τὸ νήθειν. ὅθεν καὶ κλώστης παρὰ τὸν κλώσω μέλλοντα. καὶ κλωστήρ.

Κατακρῆθεν. κατὰ κράτος. παρὰ τὸ κάρη ὃ ξενικὸν γίνεται καρῆθεν καὶ κατὰ συγκοπὴν κρῆθεν. καὶ κατὰ σόλοικον ἀπὸ κρῆθεν εἰπών.

Καταπροίξεσθαι. ἀπὸ τῆς προικός. ἣν διαιροῦντες οἱ ἴωνες προῖκα λέγουσιν. ὡς περ οὖν ἡ προὶξ δωρεὰν δίδοται, οὕτω φασὶν, οὐ δωρεὰν μὲ κατὰ γνώσεταί τις. ἀλλ' ἀποδώσει μισθὸν ὧν ἔπραξε. καὶ ἐπαίτης. καὶ ὁ προῖκα αἰτῶν, προίκτης λέγεται.

Καταπροέσθαι. ἀντὶ κατὰ προδοῦναι ἀπὸ τοῦ ἵημι ὁ παθητικὸς παρακείμενος ἕμαι ὁ ἀόριστος ἕθην. ὁ μέσος δεύτερος ἀόριστος, ἑμην. τὸ ἀπαρέμφατον, ἕσθαι καὶ προέσθαι.

Κατασπιλάζοντες. Καὶ φιλεπίδημον φόνον κατασπιλάζοντες.

Κατακρύπτοντες. ἀπὸ μεταφορᾶς τῶν ὑφάλων πετρῶν αἵτινες ὑπὸ ὕδατος καλυπτόμεναι, τοῖς ἀπροόπτως προσπελάζουσι κίνδυνον ἐπιφέρουσι.

Καταλεύσιμον, τὸ ἄξιον τοῦ καταλευσθῆναι.

Καταχήνη, ἡ χάσμησις. παρὰ τὸ χαίνω χήνη καὶ κατὰ χήνη.

Καταψήχειν, τὸ ἠρέμα κολακεύειν καὶ κρατεῖν. εἴρηται ἀπὸ τοῦ κατὰ ψῶ, κατὰ ψήσω. καὶ ἀνεδόθη εἰς ἐνεστῶτα, καταψήχω.

Κατέκταθεν. ἀπὸ τοῦ κτείνω κτενῶ. ὁ πρῶτος ἀόριστος παθητικὸς, ἐκτάνθην. ὡς φαίνω ἐφάνθην. τὸ πληθυντικὸν, ἐκτάνθημεν ἐκτάνθητε. ἐκτάνθησαν. ἔκταθεν. ὡς ἐφάνθημεν, ἐφάνθητε, ἐφάνθησαν, ἔφανθεν. ἢ ἔστιν ἕτερον ῥῆμα κτῶ. παράγωγον, κτῆμι. ὁ δεύτερος ἀόριστος, ἔκτην. ὁ πληθυντικὸς ἔκταν. οἷον, Τὸν σὸν κατέκταν παῖδα. καὶ, Ὅτε δῖον ἐρευθαλίωνα κατέκταν. τὸ β ἔκτας, ἔκτα. ἡ μετοχὴ κτάς. Ἄνδρα κατακτάς. ὁ μέσος ἀόριστος, ἐκτάμην. τὸ δεύτερον, ἔκτατο. ὁ πρῶτος ἀόριστος, ἐκτάθην. ὡς ἐφάθην. ἐκτάθημεν ὡς ἐφάθημεν. τὸ τρίτον ἐκτάθησαν, ὡς ἐφάθησαν. καὶ Ἔκταθεν ἑταῖροι. καὶ κατέκταθεν.

Κατενῶπα. ὡς κατὰ δῶμα. ἀπ' εὐθείας τῆς ὤψ. ἡ αἰτιατικὴ, ὦπα. ὁ δὲ ἀλεξίων καὶ οἱ πλείους κατενῶπα. οἷς καὶ δεῖ πείθεσθαι. ἵν' ᾖ ἀπὸ τοῦ ἐνώπια συγκοπῇ ἐνῶπα. ὡς μηρία, μῆρα. σιτία, σῖτα. ἀρέσκει δὲ βοηθεῖ καὶ τῷ ἀριστάρχῳ οὕτως. ἔστιν ἐνωπὴ ἡ πρόσοψις. παρ' ἣν ἡ αἰτιατικὴ, ἐνωπήν. ὁμοῦν ἄρο πουτι ἰωνικὴν, ἰωκαεῖ πε μεταπλάσας, οὕτω καὶ τὴν ἐνωπὴν ἐνῶπα.

Κατεπόθη. ἔστι ῥῆμα πῶ. παράγωγον, πῶμι. ὁ μέλλων, πώσω. πέπωκα, πέπομαι. μικρὸν εἰς τὰ παθητικά. ὁ ἀόριστος ἐπόθην, ἀντὶ ἐβυθίσθην.

Κατεμαυτόν. Ἰστέον ὅτι ἡ εὐθεῖα ἐμαυτὸς καὶ ἑαυτὸς οὐ δύναται εἶναι. ὅτι πᾶσα σύνθετος ἀντωνυμία θέλει εἶναι καὶ ὁμοιόπτωτος καὶ ὁμοιοπρόσωπος. καὶ ἰσάριθμος. οἷον τὸ ἐμαυτοῦ, καὶ ἰσάριθμόν ἐστι καὶ ὁμοιόπτωτον καὶ ὁμοιοπρόσωπον ἀπὸ τοῦ ἐμοῦ αὐτοῦ. ἀμφότερα γὰρ τό τε ἐμοῦ καὶ αὐτοῦ ἑνικά εἰσι καὶ γʹ προσώπου καὶ πτώσεως γενικῆς. ἐὰν οὖν γένηται ἡ εὐθεῖα τοῦ ἐμαυτὸς, ἔμελλεν ἂν εἶναι ὁμοιόπτωτος. ὅπερ ἐστὶν ἀδύνατον ἐπὶ συνθέτου ἀντωνυμίας. τὸ γὰρ αὐτὸς ἐστὶν εὐθεῖα. τὸ δὲ ἐμὲ, αἰτιατικὴ καὶ οὐκ ἔστιν εὐθεῖα. ἀπὸ γὰρ τοῦ ἐμὸς οὐκ ἠδύνατο γενέσθαι. ἐπειδὴ οὐδέποτε κτητικὴ ἀντωνυμία, ποιεῖ σύνθετον ἀντωνυμίαν. ἀπὸ γὰρ τῶν πρωτοτύπων ἀντωνυμιῶν, γίνονται αἱ σύνθετοι ἀντωνυμίαι. οἷον ἐμοῦ αὐτοῦ, ἐμαυτοῦ ἐμοὶ αὐτῷ, ἐμαυτῷ. ἐμὲ αὐτὸν, ἐμαυτόν. ἑαυτὸς οὐ δύναται εἶναι. ἐπειδὴ αἱ σύνθετοι ἀντωνυμίαι πρότερον ἐν τῇ ἁπλότητι τὰς δύο συνθέσεις ἐπιδέχονται, τήν τε αὐτοπαθῆ καὶ τὴν ἀλλοπαθῆ. καὶ οὕτω συντίθενται. οἷον, ἐμοῦ ἤκουσας. καὶ ἐμοῦ ἤκουσα. διὰ τοῦτο γὰρ ἐπενοήθησαν αἱ σύνθετοι ἀντωνυμίαι, ἵνα διάκρισιν ποιήσωσι τῆς ἀλλοπαθοῦς, καὶ σχῶσι τὸ αὐτοπαθὲς μόνον. αἱ δὲ ἁπλαῖ, τὸ ἀλλοπαθές. τὸ οὖν ἐγὼ αὐτὸς ἐπειδὴ ἐν τῇ ἁπλότητι οὐκ ἐπιδέχεται τὰς δύο συντάξεις τήν τε ἀλλοπαθῆ καὶ τὴν αὐτοπαθῆ. τούτως οὐ δύναται ποιῆσαι σύνθετον ἀντωνυμίαν. ὅτι γὰρ τὸ ἐγὼ αὐτὸς, τὴν ἀλλοπαθῆ μόνον ἔχει καὶ οὐχὶ τὴν αὐτοπαθῆ, δῆλον

ἐντεῦθεν. λεγόντων ἡμῶν ἐγὼ αὐτὸς ἤκουσα. λέγεται γὰρ τις, Θρασυμάχου. ἀλλὰ Ἀλκιβιάδου. ὥστε οὖν αὐτοπαθής ἐστιν. αὐτοπαθὴς δὲ οὐ δύναται εἶναι ἢ ἐγὼ αὐτός. ἐπειδὴ οὐδέποτε εὐθεῖα εἰς εὐθεῖαν δρᾶ. ἤγουν ἐνεργεῖ. οὐδεὶς γὰρ λέγει Σωκράτης Πλάτων ἤκουσεν. ἀλλὰ Σωκράτης Πλάτωνος ἤκουσεν. ἐπειδὴ οὖν ἐγὼ αὐτὸς εὐθεῖαί εἰσι δύο, ἢ ἐγὼ καὶ αὐτός, τούτου χάριν οὐ δύναται εἶναι αὐτοπαθής. τοιαῦτα ἔχομεν εἰπεῖν καὶ περὶ τοῦ μὴ δύνασθαι συστῆναι τὸ ἐγὼ αὐτός. τὰ δὲ δυϊκὰ καὶ τὰ πληθυντικὰ ζήτει.

Κατηφέα. ἀπὸ τοῦ κάτω τὰ φάη βάλλειν τοὺς ὀνειδιζομένους ἢ λυπουμένους. ἢ κατηφής, ὁ ὑπὸ αἰσχύνης κάτω νεύων τοὺς ὀφθαλμούς. ἤγουν ὁ αἰσχυνόμενος. παρὰ τὸ φῶ τὸ φαίνω, γίνεται παράγωγον φάω καὶ φάος. καὶ ἐν συνθέσει μετὰ τῆς κατὰ προθέσεως, γίνεται καταφανής. ὁ ἔχων κάτω τὰ φάη ἤγουν τοὺς ὀφθαλμούς.

Κατηφόνες. Ἰλιάδος ω. Σπεύσατέ μοι κακὰ τέκνα κατηφόνες. ἄξιοι καταφονευθῆναι. ἐπονείδιστοι, ἢ αἰσχύνης μεστοί. ἀπὸ τοῦ κατηφής. θηλυκὴν γὰρ προσηγορίαν ὀνειδίσαι τοὺς υἱοὺς ἠθέλησε.

Κατηλυσίη. Κατηλυσίη ζεφύροιο. σημαίνει τὴν κάθοδον καὶ τὴν ἐπέλευσιν. ἐλευσίη τις οὖσα καὶ ἠλυσίη. καὶ μετὰ τῆς κατὰ προθέσεως.

Κατηόνων, κατηντλουν. ἔχει τὸ ἰῶτα. ἀπὸ γὰρ τοῦ καταιονῶ καταιονᾷς.

Κατημαυξευμένα, κοινὰ κατὰ πεπατημένα. τετριμμένα. γεγυμνασμένα.

Κατήρεε, κατελάμβανε. παρὰ τὸ αἱρῶ περισπώμενον, ὃ σημαίνει τὸ καταλαμβάνω. Μηδέ σε λήθη αἱρείτω.

Κατηγορεῖν, λέγεται κοινῶς τὸ κατά τινος ἀγορεύειν. οἱ δὲ γένος λέγεται κατηγορεῖσθαι τῶν εἰδῶν. λέγομεν δὲ τοὺς περὶ τινων ὡς ἀδικούντων λεγόντας. ζήτει. κατηγορίαν ποιούμενοι τῆς πόλεως, καὶ κατὰ τῆς πόλεως.

Κατισχνωθέντα, λεπτυνθέντα. ἐκ τοῦ ἰσχνόω ἰσχνῶ ἰσχνώσω, γ τῆς συζυγίας τῶν περισπωμένων.

Καρυλάς, καλεῖται ἡ σκοτεινὴ νύξ. διὰ τὸ ὅλον ἦν αὐτὴν εἶναι. οὗ Νὺξ ἐφοβεῖτο τὴν παρ καρυλάδα κικλήσκουσιν.

Κατόπιν. Κατόπιν ἑορτῆς ἥκομεν. οὗ, μετὰ τοῦτο.

Κατωμαδόν, κατὰ τοὺς ὤμους τῶν ἵππων.

Κατέλευσαν, ἀντὶ τοῦ ἔχωσαν λίθοις. τὸ θέμα καταλεύω. ὁ μέλλων, καταλεύσω. σημαίνει δὲ τὸ κατά τινος λίθοις βάλλω. παρὰ τὸ λᾶας.

Καταμόνας. ἐπίρρημα τοπικόν. οἱ δὲ λέγουσι μοναδικόν. γίνεται δὲ ἐκ τῆς κατὰ προθέσεως, καὶ τοῦ μόνος. τοῦτο παρὰ τὸ μὴ εἶναι μετὰ ἑτέρου. ἢ παρὰ τὸ μένω τὸ ἐπιμένω.

Καί, σύνδεσμος συμπλεκτικός ἰσοδυναμῶν τῷ τε. διαφέρει δὲ αὐτοῦ κατὰ τάξιν. ὁ μὲν γὰρ τε τὰ ὄπισθεν συμπλέκει. ὁ δὲ καί, τὰ ἐπιφερόμενα. ὥς τὸ, Ἀρκεσίλαός τε καὶ Λέων. Ἀγαμέμνων καὶ Μενέλαος.

Καίω. ἐκ τοῦ κῶ, γίνεται καίω. ὁ μέλλων, καύσω. ἀφ' ὧν γὰρ οἱ Ἀττικοὶ τὸ ι ἀποβάλλουσι κατὰ τὸν ἐνεστῶτα, πλεονάζουσι τὸ υ κατὰ τὸν μέλλοντα. κλαίω κλαύσω.

Καινός, ὁ νέος. οἶμαι ὅτι ἐκ τοῦ κραίνω τὸ τελειῶ, κραινός τις ὤν. κατ' ἔλλειψιν τοῦ ρ. οἱονεί, ὁ ἤδη ἐπιτελεσθείς.

Καινεύς, ὄνομα κύριον. ὁ ἥρως. διὰ τὸ καινὸν τοῦ γένους. διὰ τὸ γυναῖκα καὶ ἄνδρα γενέσθαι. ἦν δὲ Ἐλάτου μὲν παῖς, Λαπιθῶν δὲ βασιλεύς.

Καικίας. Κάϊκός ἐστιν ὄνομα ποταμοῦ. ὅθεν καὶ Καικίας, ὁ ἐκεῖθεν πνέων ἄνεμος. τὰ διὰ τοῦ ικος ἀποστρέφεται τὴν ει δίφθογγον. γήϊνος, Κάϊκος.

Καιρός, ὄνομα ἁπλοῦν. γίνεται παρὰ τὸ κάρη ὅ ἐστι τὴν ὥραν. ὅθεν καὶ ἀκαριαῖος καρός καὶ καιρός.

Καίριος, διὰ τοῦ ι. ὡς δεσμὸς δέσμιος. βωμός βώμιος.

Καίριον, εὔκαιρον. εὔστοχον. μέτριον. καὶ, Καίριον οὐδὲν λέγεις. ἀντὶ οὐδὲν ἐπιτήδειον τῷ καιρῷ. ἤ ἐστι καὶ τὸ ἐπικίνδυνον. Οὐκ ἐν καιρίῳ ὀξὺ πάγη βέλος. Ἰλιάδος λ. ἀντὶ οὐκ ἐν ἐπικινδύνῳ τόπῳ. οὐδ' ἐν τῷ πρὸς ἀναίρεσιν ἐπιτηδείῳ τόπῳ τοῦ σώματος. οἶμαι ἀπὸ τοῦ κήρ, ὅ ἐστι τὴν θανατηφόρον μοῖραν γίνεται καρὸν καὶ καίριον, ἤγουν τὸ θανάσιμον καὶ ἐπικίνδυνον.

Καιροσέων. οἱ μὲν τῶν κροσσωτῶν. οἱ δὲ ἀπὸ τῶν καιρωμάτων. οὕτω δὲ καλεῖται καῖρος καὶ καίρωμα, ἡ παραπλοκὴ τοῦ στήμονος, ἡ διαπλεκομένη ὑπὲρ τοῦ μὴ συγχεῖσθαι αὐτόν. καὶ τὰς ἐρίθους, καιρωστίδας εἶπε Καλλίμαχος. καὶ τὸ δηλίων ὕφασμα ὑδάτινον. πᾶσα λέξις ἀπὸ τῆς και συλλαβῆς ἀρχομένη, διὰ τοῦ ε ψιλοῦ γράφεται. πλὴν τοῦ καιρὸς καὶ καινός. καῖσαρ καισαρεύς.

Καίσφεας. Ἰστέον ὅτι τὸ καίσφιν οὐκ ἔστιν ἀπὸ τοῦ σφίσιν, βαρυτόνου, ἀλλ' ἀπὸ τοῦ σφὶν ἐγένετο. ἢ σφιν. καὶ μετὰ τὴν ἔγκλισιν, παρηκολούθησε πάθος καὶ ἐγένετο καίσφισιν. καὶ τὸ καίσφεας, οὐκ ἔστιν ἀπὸ τοῦ σφέας βαρυτόνου, ἀλλ' ἀπὸ τοῦ σφᾶς γίνεται καίσφας. καὶ μετὰ τὴν ἔγκλισιν, παρηκολούθησε πάθος καὶ γίνεται καίσφεας. καὶ τὸ ἐπειδοῦ ἔθεν ἐστὶ χερείων, οὐκ ἔστιν ἀπὸ τοῦ ἔθεν, ἀλλ' ἀπὸ τοῦ οὗ, τρίτου προσώπου σημαίνοντος τοῦ αὐτοῦ, γίνεται οὗ ἔθεν τοῦτ' ἔστιν οὐδαμῶς. ἢ μετὰ τὴν ἔγκλισιν, παρηκολούθησε πάθος καὶ ἐγένετο οὐ ἔθεν. οὕτω Ζηνόδοτος.

Καῖσαρ, ῥωμαϊστὶ ἀνατμηθεὶς ἑρμηνεύεται. ἀποθανούσης γὰρ τῆς μητρὸς Ἰουλίου Καίσαρος ἀνατεμόντες αὐτῆς τὴν γαστέρα, ἐξέβαλον αὐτὸν ἀγέννητον.

Κέασε, συνέθριψε. διέσχισεν. Ἰστέον ὅτι τὸ κέας καὶ κλεύας, οὐ κλίνεται διὰ τοῦ ντ ὡς αἴας αἴαντος, ἐπειδὴ οὐκ ἔχει τὸ α φύσει μακρόν. κέης γὰρ ἰωνικῶς καὶ κλεύης. καὶ Δωρικῶς, κλεύας καὶ κέας. καὶ φυλάττει τὴν ἰσοσύλλαβον κλίσιν. δηλοῦσι δὲ καὶ τὰ πατρωνυμικὰ κεάδης καὶ κλευάδης ὄντα.

Κεγχρίνης εἶδος ὄφεως Νίκανδρος. Δειδέ κεγχρίνῳ δολιχόν γέρας. οὕτως ὠνόμασται διὰ τὸ φαίνεσθαι αὐτὸν τὸν χαιρόν τῆς κέγχρου. ἢ διὰ τὸ ποικίλον εἶναι καὶ κατεστίχθαι.

ὥσπερ γὰρ κέγχρους τινὰς ἐπὶ τὰ νῶτα ἔχει.

Κέβλη, ἐκ τοῦ κεφαλὴ γίνεται κατὰ συγκοπήν.

Κέδρος, θηλυκῶς λέγεται τὸ δένδρον. οὐδετέρως δὲ ὁ καρπός. Ἀλλὰ θύε τὰς κέδρους. ἢ κέδρος, παρὰ τὸ κέεσθαι ῥᾳδίως. ἢ παρὰ τὸ κεντῶ, κεντρώδης γὰρ ἐστιν. ἢ παρὰ τὸ ἕδος ὅ ἐστι τὸ ἔδαφος. πλεονασμῷ τοῦ ρ, ἔδρος καὶ κέδρος. ἐτυμολογεῖται δὲ παρὰ τὸ ἑδραίως ἵστασθαι. ἢ παρὰ τὸ ἐν τῷ καίεσθαι ἱδροῦν. ἢ ἐκ τοῦ κέω κέδρος. τὸ γὰρ πρωτότυπον τούτου, ἐστὶ διὰ τοῦ ε, κέω. καὶ τροπῇ τοῦ ε εἰς α, κάω. καὶ πλεονασμῷ τοῦ ι, καίω.

Κεδνός, σύνετος. σώφρων, τίμιος. κηδεμονικώτατος. ἔστι ῥῆμα κνοῶ σημαῖνον τὸ νοῶ. ὁ μέλλων, κνοήσω. ἐκ ῥηματικὸν ὄνομα, κεδνός. ὡς τέρπω, τερπνός. καὶ κατὰ συγκοπήν, κεδνός. ἢ κηδανός τις ὤν, οὗ ἄν τις κήδοιτο.

Κεδάζω, τὸ σκορπίζω. ἀπὸ τοῦ χέω, χεδάζω καὶ κεδάζω. ἢ ἀπὸ τοῦ σκεδῶ. λέγεται καὶ μετὰ τοῦ σίγμα, καὶ χωρὶς τοῦ σίγμα. γράφεται διὰ τοῦ ε ψιλοῦ. ἔδω τὸ ἐσθίω. μέδω. ταῦτα γὰρ διφοροῦνται. εἰσὶ γὰρ βαρύτονα καὶ περισπώμενα, ὡς παρὰ τῷ ποιητῇ. Δωδώνης μεδέων. καὶ ἐδῶ, ὅθεν ἐδεστόν καὶ ἀνέδεστον τὸ μὴ ἐσθιόμενον. περισπώμενα, πεδῶ. μεδῶ. σκεδῶ. σεσημείωται τὸ ῥαιδύμαι.

Κεκάμω. Ἐπὴν κεκάμω. ἐπειδὰν κοπιάσω. Ἰλιάδος α. κάμω. καὶ ὁ δεύτερος ἀόριστος, ἔκαμον. ἐὰν κάμω. καὶ ἀναδιπλασιασμῷ κεκάμω ὡς λάχωσι λελάχωσιν. ἐὰν γράφηται ἐπεί κε, κάμω, ὁ κε ἐστὶ σύνδεσμος παραπληρωματικός. ὁμοίως τῷ, Ἦδ' εἴπερ τετύχηισιν. ἐὰν δὲ ἐπὴν κεκάμω πολεμίζων, ἐνδιπλασιάζεται τὸ ῥῆμα κεκάμω. ἀναδιπλασιασμός ἡ κε συλλαβή, καὶ ἔστιν ἐνεστώς.

Κεκαδών. Θυμοῦ καὶ ψυχῆς κεκαδών. ἀντὶ στερήσας. χωρίσας. παρὰ τὸ χάζω. ἔχαδον. ἡ μετοχή, χαδών καὶ κεκαδών.

Κεκάδοντο. ταρασσόμενοι ἐσκορπίζοντο καὶ ἔφευγον. ἀπὸ τοῦ χάζω χάσω κεχάδω. ὁ δεύτερος ἀόριστος, ἔχαδον. ὡς φράζω, ἔφραδον. καὶ τροπῇ τοῦ χ εἰς ψιλόν, ἔκαδον. ὁ παθητικὸς μέσος, ἐκαδόμην, ἐκαδόμεθα, ἐκάδοντο. καὶ προστελεύσει τοῦ κ, κεκάδοντο. ἀπὸ τοῦ χάζω τὸ ὑποχωρῶ. ὁ β ἀόριστος, ἔχαδον. ἐχαδόμην, ἐχάδοντο. καὶ κατὰ τροπήν, ἐκάδοντο. καὶ ποιητικῷ ἀναδιπλασιασμῷ, ὑπὸ δὲ Τρῶες κεκάδοντο ἄνδρος ἀκοντίσαντος.

Κεκαδησόμεθα, ἀπὸ τοῦ χάζω γίνεται χαδῶ, χαδήσω. τὸ τρίτον, χαδήσει. τροπῇ, καδήσει. καὶ ἀναδιπλασιασμῷ, κεκαδήσει. Οὐκέτι νῶϊ ὀλλυμένων Δαναῶν κεκαδησόμεθα. ὕστατιόν περ ἀντὶ τοῦ λυπησόμεθα. φροντιοῦμεν. Ἰλιάδος θῆτα. τουτέστιν οὐκέτι σώοις ὦμεν τοὺς ψυχάς, καὶ κηδεμονίαν αὐτῶν καὶ φροντίδα ποιησόμεθα κἂν ἐν ὑστέροις. οἶμαι ἀπὸ τοῦ ἄχος, ἀχῶ, ἀχάζω καὶ ἀχαδῶ. καὶ ἀποβολῇ, χαδῶ χαδήσω χαδήσομαι, καδήσομαι. καὶ κατὰ ἀναδιπλασιασμόν.

Κεκασμένε, κεκοσμημένε. ἀπὸ τοῦ κάζω τὸ κοσμῶ, κάσω, κέκακα, κέκασμαι, κεκασμένε.

Κεκαφηότα. Κακῶς κεκαφηότα θυμόν, ἀντὶ ἐκπεπνευκότα. Ἰλιάδος ε. κάφος γὰρ τὸ πνεῦμα. παρὰ τὸ κάπτω, καφῶ, καφήσω, κεκάφηκα. καὶ ἀποβολῇ τοῦ κ. ἡ μετοχή, κεκαφηώς.

Κεκινέαται, ἀπὸ τοῦ κινῶ κινήσω, κεκίνηκα, κεκίνημαι, κεκίνηνται. καὶ ἰωνικῶς, κεκινέαται.

Καιροσέων δ' ὀθονίων ἀπολείβεται ὑγρὸν ἔλαιον. ἐκ τοῦ καιρὸς καιρόεις καιρόεντος. τὸ θηλυκόν, καιρόεσσα, καιροέσσης. τὸ πληθυντικόν, καιρόεσσαι, καιροεσσῶν. καὶ καθ' ὑπερβιβασμόν, καιροσέων.

Κέκληκα. ὡς ἀπὸ τοῦ καμῶ, καμήσω, κεκάμηκα, καὶ ἐν συγκοπῇ, κέκμηκα, οὕτω καὶ ἀπὸ τοῦ καλῶ κεκάληκα, κατὰ συγκοπήν, κέκληκα. Ὅσσοι κεκλήατο βουλήν. ἀντὶ κεκλημένοι ἦσαν εἰς τὴν συμβουλήν. κλῶ κλήσω κέκλημαι κέκλημαι.

Κεκλήσῃ, Φίλη κεκλήσῃ ἄκοιτις. οἱ μὲν λέγουσι σύνδεσμον εἶναι παραπληρωματικὸν τὸν κε, οἱ δὲ ῥῆμα. καὶ ἔστι ῥῆμα, μέλλοντος μέσου ἐστί. κεκλήσομαι, κεκλήσῃ.

Κεκληγώς, κεκραγώς. βοῶν. μετοχὴ ἐστὶ συζυγίας τετάρτης. ἐκ τοῦ κράζω. ὁ παρακείμενος κέκραγα. καὶ οἱ Ἴωνες τρέπουσι τὸ ε εἰς α καὶ τὸ ρ εἰς λ, καὶ γίνεται κέκληγα. καὶ ἡ μετοχή, κεκληγώς.

Κεκλήγοντες, ὡς ἀρήγοντες. μετοχή ἐστιν εὐθείας τῶν πληθυντικῶν. ὥσπερ ἀπὸ τοῦ πέπληγα μέσου παρακειμένου γίνεται πεπλήγω ἐνεστώς, οὕτω καὶ ἀπὸ τοῦ κέκληγα γίνεται κεκλήγω ἐνεστώς. καὶ ἡ μετοχή, κεκλήγων κεκλήγοντος.

Κεκλίαται. Ἰστέον ὅτι οἱ καθαριεύοντες παρακείμενοι, τὸ α μόνον προσλαμβάνουσι κατὰ τὸ τρίτον πρόσωπον τῶν ἐνικῶν. καὶ εἰ μὲν μακρὰ παραλήγουσι, συστέλλουσιν αὐτήν, καὶ οὕτω ποιοῦσι τὸ ἰωνικόν. ὡς πεποίηται πεποίεαται, οὕτως ἀπὸ τοῦ κλείω γίνεται κέκλειται. καὶ συστολῇ τῆς ει διφθόγγου, Αἰθαλίκεκλίαται. Ἠέρι δ' ἔγχος ἐκέκλιτο καὶ ταχέες ἵπποι. ἀντὶ ἐκεκάλυπτο. περιεκέκλειστο. καὶ περιεκέκρυπτο. οἶμαι ἀπὸ τοῦ κλίνω. ἄλλοι δὲ ἀπὸ τοῦ κλείω κλείσω. ὁ παρακείμενος, κέκλεικα, κέκλειμαι. χωρὶς τοῦ σ παρ' ἐκθλίψει. ἐλλείψει τοῦ ε, κέκλιμαι. οὕτω καὶ τό, Στήλῃ κεκλιμένος, ἀντὶ ἐπὶ στήλης περιεχόμενος. καὶ, Τὴν ἐπὶ τοῦ τάφου στήλην προβεβλημένος, ἀντὶ ἀσπίδος. τοιοῦτον καὶ τό, Λίμνῃ κεκλιμένος Κηφισίδι, ἀντὶ τοῦ παρακείμενος. γειτνιῶν. περιεχόμενος. ἔνθεν καὶ τό, Ἐκέκλιτο λίμνη. ἔλλειψις ἄρα τοῦ ε. ὥσπερ ἀπὸ τοῦ κλείω κλείς κλείς, καὶ δίκλις. καὶ δικλίδες ψιλαί.

Κεκλιμένοι, ἀντὶ τοῦ κεκαλυμμένοι. κεκρυμμένοι. ἀπὸ τοῦ κλείω τὸ σφαλίζω, κατὰ συστολὴν τοῦ ε.

Κεκλασμένων φύλλων. εἰ μὲν οὕτως, ἀντὶ τοῦ κεκλασμένων. εἰσὶ δέ τινες εἰρηκότες κεκλιμένων, ὥστε πρὸς ἀντίθεσιν εἶναι πρὸς τὴν ἔνδειαν τοῦ σ. ἀλλ' εἴπομεν ὅτι τὰ τοιαῦτα ποιητικά εἰσι.

Κέκλετο, παρεκελεύσατο. ἀπὸ τοῦ κέλετο πλεονασμῷ τοῦ κ. καὶ ἐκέκλετο, ἀντὶ ἐκέλευεν. ἀπὸ τοῦ κέλω ἐκέλετο,

ἐκέκλετο. ἢ ἀπὸ τοῦ κλῶ, κλήσω. τὸ δὲ παρὰ τὸ κέλω λαμβάνεται, πλεονασμός ἐστι τοῦ κ. κέλω, κελόμενοι. Καὶ ἀλλήλοισί τε κεκλόμενοι πλεονασμῷ τοῦ κ. ἀντὶ τοῦ παρακελευόμενοι. τὸ δὲ παρὰ τὸ καλῶ κλῶ. οὐκ ἔστι πλεονασμός. ἀλλὰ ἀναδιπλασιασμός. ἔστι γὰρ κλῶ καὶ κατὰ ἀναδιπλασιασμὸν κέκλω. οὐ γὰρ μόνον διὰ τοῦ ι γίνονται οἱ ἀναδιπλασιασμοί, ἀλλὰ καὶ διὰ τοῦ ε. μένω, μνῶ. μέμνω. φένω φνῶ. πέφνω. οὕτως ἡρωδιανός. καὶ ἐπεκέκλετο. ἀντὶ τοῦ ἐπεκαλεῖτο. ἀπὸ τοῦ κέκλω.

Κεκορυθμένα χαλκῷ, ἀντὶ τοῦ ἐστομωμένα τῷ σιδήρῳ. ἠμφιεσμένα ἢ ὑπεστομωμένα. ἢ κεκονημένα τῷ σιδήρῳ. ἀπὸ τοῦ κορυφὴν θήγειν. ἤγουν ἀνάγειν εἰς ὀξύτητα. ἀπὸ τοῦ κορύσσω τὸ καθοπλίζω. ἢ ἐκ τοῦ κόρυς κόρυθος, κορύθω. ὁ μέλλων κορύσω. ὁ παρακείμενος, κεκόρυκα. ὁ παθητικός, κεκόρυσμαι. ἡ μετοχή, κεκορυσμένος. καὶ οἱ ἀττικοὶ γὰρ ἐπ᾽ ἐνίων τὸ σ εἰς θ. τὸ κλαυσμός, κλαυθμός. καὶ τὸ ἀρισμός, ἀριθμός.

Κεκορυθμένος. Κεκορυθμένος αἴθοπι χαλκῷ. ἀντὶ τοῦ καθωπλισμένος τῷ λαμπρῷ σιδήρῳ. ἀπὸ μέρους τὸ πᾶν. ἀπὸ τοῦ κόρυθος κορυθῶ. κορυθημένος, καὶ κεκορυθμένος.

Κέκονα. παρὰ σοφοκλεῖ ἀπὸ τοῦ κτείνω. ὁ μέσος παρακείμενος, ἔκτονα πλεονασμῷ τοῦ κ καὶ ἐκβολῇ τοῦ τ.

Κεκοτηότα. ἀπὸ τοῦ κοτῶ κοτήσω. κεκότηκα. κεκοτηκώς. καὶ ἀποβολῇ τοῦ κ. οἱ ἴωνες γὰρ εἰώθασιν ὑποστέλλειν τὸ κ. πεπληκώς. Πεπληκὼς γὰρ ἐχθρόν. κεκορηκώς. Ἄμφω κεκορηότε ποίης. οὕτως ἔχει καὶ τὸ κεκοτηότι θυμῷ. πάλιν δὲ τὸ η εἰς βραχὺ α μεταβάλλουσιν ὡς τὸ λεληκυῖα. λελακυῖα. μεμηκυῖα, μεμακυῖα. οὕτω καὶ βεβηκὼς βεβαὼς κλίνεται βεβαότος. ἑσταότος. γεγαότος. τεθναότος. καὶ κατὰ συναλοιφήν, βεβῶτος. ἑστῶτος. γεγῶτος. τεθνεῶτος. τὸ δὲ ἑστὼς καὶ τὰ ὅμοια, ὀξύνονται. ἐπειδὴ οὐκ ἔστιν ἡ συναίρεσις

Κεκρύφαλον. μέρος κοιλίας. παρὰ < ὀξείας καὶ βαρείας. τὸ κρύπτεσθαι ὡς φύλλον δὲ ἐστιν.

Κέκρικα. τὰ γὰρ εἰς νω ῥήματα, ἐν ἑνὶ φωνήεντι παραληγόμενα, ἀποβάλλει τὸ ν κατὰ τὸν παρακείμενον. οἱ ποιηταὶ δὲ προσλαμβάνουσιν. ὥς τὸ, Οὐδ᾽ ἐκλίνθη. Ἰστέον ὅτι λέγει ὁ κανών. ὅτε δὲ δι᾽ ἀμεταβόλου ὁ μέλλων, ὁ παρακείμενος δι᾽ αὐτοῦ καὶ τοῦ κ. οἷον κείρω, κερῶ. κέκαρκα. πλὴν τῶν ἡμαρτημένων. τοῦ νενέμηκα. καὶ τῶν ὁμοίων. εἰσὶ δὲ ταῦτα. τέμω, τεμῶ. νέμω, νεμῶ. δέμω, δεμῶ. βρέμω, βρεμῶ. τούτου συνεξηκολούθησε καὶ τὸ μένω, μενῶ. δεῖ δὲ γινώσκειν. ὅτι σεσημείωται καὶ ταῦτα. κρίνω κρινῶ, κέκρικα. πλύνω πλυνῶ πέπλυκα. κλίνω κλινῶ, κέκλικα. καὶ τείνω, τενῶ τέτακα. ταῦτα γὰρ ἀπέβαλε τελείως κατὰ τὸν παρακείμενον τὸ ἀμετάβολον. καὶ κερδαίνω δὲ εὕρηται χωρὶς τοῦ ἀμεταβόλου κεκέρδακα. ζήτει εἰς τὰ ἑρμηνεύματα τοῦ χοιροβοσκοῦ.

Κέκτημαι. λέγει ὁ ἡρωδιανὸς ὅτι κατὰ πλεονασμὸν τοῦ κ αἰολικῶς. τὸ γὰρ κοινὸν ἔκτημαί ἐστιν. ὥς τὸ, Ἴλιον ἐκτῆσθαι. τὰ γὰρ ἀπὸ τοῦ κτ οὐκ ἀναδιπλασιάζονται. ὃν τρόπον οὐδὲ τὰ ἀπὸ τοῦ πτ. ὁμοίως καὶ τὸ πέπταμαι ἀπὸ τοῦ ἔπταμαι πλεονασμῷ τοῦ π. πρὸ τοῦ π.

Κελαδεινός. παρὰ τὸ κέλαδος ὅ ἐστι τὸν θόρυβον, καὶ τὴν ταραχήν. ὡς τὸ, Ἡ δ᾽ ἀμφ᾽ αὐτῷ θῆκεν πολὺν κέλαδον. καὶ αὐτήν. καὶ κελαδεινὴ κέκληται ἡ ἄρτεμις, παρὰ τὸ γινόμενον ἐν τοῖς κυνηγίοις κέλαδον. τουτέστιν, ἡ κυνηγετική. Ῥόος κελάδων βαρυτόνως, κλίνεται κελάδοντος.

Κελαρύζω. κυρίως ἐπὶ τῶν ὑδάτων τὸ μετὰ ποιοῦ ἤχου καὶ ψόφου ῥέειν. ὡς ὅμηρος ἰλιάδος φ. Τὸ δέ τ᾽ ὦκα κατειβόμενον κελαρύζει. ἀντὶ ποιὸν ἦχον ἀποτελεῖ τὸ ὕδωρ. ἔστι δὲ καὶ τὸ ἁπλῶς ἠχεῖν. ἔστι παρὰ τὸ κρῶ ὅ ἐστι τὸ φωνῶ παράγωγον κρύζω καὶ μετὰ τοῦ λα ἐπιτατικοῦ μορίου καὶ πλεονα-

Κελαινόν, τὸ μέλαν. κελαινὸν < σημαίνει τοῦ ε κελαρίζω. γὰρ λέγεται κατὰ διάλεκτον τὸ μέλαν. τὰ δὲ εἰς νος καθαρὰ τῇ αι διφθόγγῳ. ἤτοι παραλήγεται, εἰ μὴ γε ἰθαγενὲς ᾖ. ἢ θηλυκὸν ἔχει βαρύτονον, ὡς αἶνος.

Κελαινεφής. αὐτὸ μὲν τὸ διός. παρὰ τὸ κελαινὸν καὶ τὸ νέφος ἐστὶ κελαινεφής, ὁ τὰ νέφη μελαίνων. καὶ συγκοπῇ τῆς νο συλλαβῆς κελαινεφής. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι καθόλου τὰ ὑπὸ δισύλλαβα βαρύτονα σύνθετα ἐκκόπτει μίαν συλλαβὴν ὅπως ἀνάλογῇ τοῖς δισυλλάβοις, χωρὶς τοῦ ἀλέξω ῥήματος. οὐ γὰρ φύσει βαρύτονον. ὁ μέλλων γὰρ αὐτοῦ, ἀλεξήσω. οἷον γανύω. γανύεις. γανύει. γανυμήδης. ὑφαίνω. ὑφαίνει. ὑφαιμένης. καὶ οὐ λέγεται ὑφαινομένης, οὕτως ἐκ τοῦ μελαίνω καὶ τοῦ νέφος ἐστὶ κατὰ συγκοπήν. ὡς τανύω τανύπεπλος. αὐτὸ δὲ τὸ αἵματος ἐκ τοῦ φῶ τὸ φαίνω καὶ τοῦ κελαινὸν ἐστὶ κελαινοφής. ὡς αὐτὸ τὸ θηροφόνα. θρεφόνα καὶ δηλονότι οὐ συγκοπή. οὕτως ἡρωδιανός.

Κέλεαι. κέλω ὅ ἐστι τὸ προστάσσω. ἐκ τοῦ κελεύω. κατὰ συγκοπὴν τῆς ευ διφθόγγου. τὸ παθητικόν, κέλομαι. τὸ γ κέλεται Ἄλλους μὲν κέλεται ἥρωας. ἀντὶ κελεύει καὶ ἀποβολῇ τοῦ τ ἰωνικῶς, κέλεαι. Κέλεαι δέ με ἀντὶ κελεύεις δέ με.

Κελεός, ὄρνεον ταχύτατον. ἀφ᾽ οὗ κέλλειν τὸ ταχέως βαδίζειν καὶ τὸν ἰσόποδα κελεὸν λέγουσιν. ἀστειζόμενοι.

Κελέοντες. κυρίως οἱ ἰσόποδες. καταχρηστικῶς δὲ καὶ τὰ κατὰ πεπηγότα ξύλα. ἃ καὶ σταυροὺς καλοῦσι.

Κελεύη. εἶδος ποτηρίου ξυλίνου. παρὰ τὸ καλόν, ὅ ἐστι τὸ ξύλον καὶ τὸ εἴβω τὸ ῥέω.

Κελευτιόω, τὸ κελεύω. ὡς κυνηγέτης. κυνηγετῶ. οὕτω κελευτὴς κελευτῶ. παράγωγον, κελευτιόω. ὡς φυσῶ, φυσιόω. ἔνιοι δὲ διὰ τοῦ σῖγμα κελευστιόω.

Κέλευμα. ἐκ τοῦ κελεύω. σώφρων. οἱ γεμήνυ κόχλοι ὥσπερ ὀξέος κελεύματος.

Κέλευθος. ἡ ὁδὸς ἀπὸ τοῦ ἔλευθος ἐλεύθω. πλεονασμῷ τοῦ κ. τὸ δέ, ὑγρὰ κέλευθα ὃ σημαίνει τὴν διὰ θαλάσσης ὁδόν, κατὰ μεταπλασμὸν γένους ἐστὶν ἀντὶ τοῦ θηλυκοῦ, οὐδέτερον εἰπεῖν. γίνεται γὰρ μεταβολὴ γένους εἰς ἕτερον γένος. ὡς ἀπὸ τοῦ ὁ τράχηλος τὸ τράχηλον. ἔνθεν πληθυντικῶς παρὰ καλλιμάχῳ Τὰ τράχηλα γυμνάζει. καὶ λύχνους, λύχνα. δίφρους, δίφρα. καὶ ἀπὸ τοῦ ἐρετμός, τὸ ἐρετμόν. ἔνθεν Ἐρετμὰ προήκεα. καὶ δακτύλους, δάκτυλα. ὁ τάρταρος ἀρσενικῶς.

καὶ κατὰ μεταβολὴν ἡ τάρταρος παρὰ πινδάρῳ. καὶ οὐδέτερον, τὸ τάρταρον. ἡσίοδος Τάρταρά τ᾽ ἠερόεντα. τοιοῦτον καὶ τό, Ὑγρὰ κέλευθα.

Κελητίζειν. Ὥς δ᾽ ὅτε τις ἀνὴρ κελητίζειν εὖ εἰδώς. ἀντὶ τοῦ ἱππεύειν. ἵππον κέλητα ἐλαύνειν. ἐκ τοῦ κέλης κέλητος ἐστὶ κελητῶ καὶ κατὰ παραγωγὴν κελητίζω. κέλης δὲ ἐστὶν ἵππος ὁ μονάμπυξ καὶ δρομικός, ὁ νῦν σελλάριος λεγόμενος. ἐπεὶ τὸ παλαιὸν ὡς ἐπὶ τῶν τοῖς ἅρμασιν ἐχρῶντο. κέλης δὲ λέγεται παρὰ τὸ διεσκελισμένον ἵνα καθῆσθαι εἰς αὐτόν. οὕτως ἐπαφρόδιτος, ὡς λέγει ὦρος. ὁ δὲ ὠρίων λέγει ὅτι κέλης λέγεται, παρὰ τὸ κέλλειν ὅ ἐστι τὸ βαδίζειν καὶ τρέχειν, ὅθεν καὶ κέλευθος παρὰ τοῦτο. καὶ τὸ ἐξώκειλεν, ἀντὶ ἐνέβαλεν. ἐξέρριψεν. καὶ ἐπακτροκέλης. ἔστι δὲ εἶδος πλοίου λῃστρικοῦ. ὅ ἐστι γαλία.

Κελτοί. Κελτώ, βρετάνου θυγάτηρ ἐρασθεῖσα ἡρακλέους ἀπεκάλει αὐτὸν αὐτῇ μιγῆναι. καὶ τοῦτο πράξας ἡρακλῆς, ἀπέλιπε τὸ τόξον αὐτῇ εἰπών. ἐὰν ἄρρεν γεννηθῇ, βασιλέα αὐτὸν γενέσθαι τὸν δυνάμενον τεῖναι τὸ τόξον. καὶ ἐγεννήθη παῖς κέλτος, ἀφ᾽ οὗ κελτοὶ ἔθνη.

Κελτικὴ ἀπὸ τοῦ κελτοῦ υἱοῦ ἡρακλέους καὶ στερόπης τῆς

Κελύφη, τὰ καλύμματα. ἀπὸ τοῦ < ἄτλαντος θυγατρός. καλύπτειν. καὶ κάλυξ, ἡ καλύπτουσα τὰ ῥόδα.

Κέλυφος, τὸ λέπυρον τοῦ ᾠοῦ.

Κέλωρ, σημαίνει τὴν φωνήν, παρὰ τὸ κέλω τὸ προστάσσω. ἢ παρὰ τὸ καλῶ, κάλωρ καὶ κέλωρ.

Κέλερ. ὄνομα κύριον. ἀπὸ δὲ τούτου, τοὺς ταχεῖς ῥωμαῖοι καὶ ὀξεῖς, κέλερας λέγουσι.

Κεμάς. Ὥς δ᾽ ὅτε καρχαρόδοντε δύω κύνε εἰδότε θήρης ἢ κεμάδ᾽ ἠὲ λαγωὸν ἐπείγετον ἐμμενὲς αἰεί. ἰλιάδος κ. τουτέστι, νεογνὸν ἔλαφον ἢ δορκάδα. Τρέσσε δ᾽ ἤϋτε τις κεμὰς ἤϋτε κυνῶν ἐφόβησεν ὁμοκλή. κεμάς ἐστιν ἡ ἐκ νεβροῦ μεταβληθεῖσα ἔλαφος. κοιμάς τις οὖσα. ἢ ἡ νέος ἡ ἔλαφος. διαφορὰν δέ φασιν εἶναι κεμάδος καὶ νεβροῦ. κεμάδα γὰρ εἶναι τὴν ἐπικοιμωμένην τῷ σπηλαίῳ. νεβρὸν δὲ τὴν μείζονα, καὶ ἐπὶ βορὰν νεμομένην. καὶ ἀχηνέα, παρὰ τὸ χαίνειν καὶ λυπεῖσθαι περὶ τὰ ἴδια τέκνα, καὶ μήπω δυναμένην ἐξιέναι τοῦ σπηλαίου διὰ σμικρότητα.

Κενός. οἱ μὲν παρὰ τὸ σκηνῶ, σκηνός. σκενὸς καὶ κενός. ἐν ᾧ ἔστι τις σκηνῶσαι καὶ βάλλειν. ἢ παρὰ τὸ καίω καινὸς καὶ κενός. ὁ κεκαυμένος καὶ σποδὸς ὤν. ἢ ὅτι τὰ κεκαυμένα κοῦφα εἰσὶν ἐλαφρά ἐστιν. ἢ παρὰ τὸ κινῶ κινὸς καὶ κενός. τὰ γὰρ κοῦφα καὶ κενά, εὐκίνητα, καὶ εὐβάστακτα. ἢ παρὰ τὸ γῶ τὸ χωρῶ. χνός, καὶ κενός. ὁ χωρῆσαι δυνάμενος διὰ τὸ μηδὲν ἔχειν. ἢ παρὰ τὸ χέω χενὸς καὶ κενός. ἢ παρὰ τὸ ξέω, ξενός. ὁ κατεξεσμένος καὶ κενός. καὶ πλεονασμῷ τοῦ ε, κενεός. σημαίνει τρία. διὰ τοῦ ε ψιλοῦ σημαίνει τὸ μάταιον καὶ κοῦφον. καὶ διὰ τῆς αι διφθόγγου σημαίνει τὸ νεωστὶ κατεσκευασμένον. ἐξ οὗ καὶ ἐγκαίνιον. σημαίνει καὶ τὸ παράδοξον καὶ θαυμαστόν.

Κενεός. ποιοῦ εἴδους, πλεονασμοῦ ἐπέκτασις. καὶ τι- ἐστιν ἐπέκτασις. συλλαβῆς πλεονασμὸς κατὰ τὸ μέσον τὸ οἰκεῖον τόνον φυλάττων. οἷον ἀδελφὸς ἀδελφεός.

Κενεών, ὁ κατὰ τὸν λαγόνα τόπος, ἡ λαπάρα. παρὰ τὸ κενὸς εἶναι ὀστέων. καὶ γὰρ λαπάρα λέγεται διὰ τὸ λελάφθαι ὅ ἐστι κεκενῶσθαι τὸν τόπον, πρὸς σύγκρισιν τῶν πλευρῶν. λαπάξαι γὰρ τὸ κενῶσαι.

Κενεμβατῶ, τὸ κενῶς ἐπιβαίνω.

Κενθίππη, τόπος ἄργους. διὰ τὸ πρῶτον ἐκεῖ κεντῆσαι τὸν πήγασον ἵππον βελλεροφόντης.

Κένσαι. προστακτικὸν μέσου ἀορίστου. ἀπὸ τοῦ κέντω κένσαι. δύναται καὶ ἀπὸ τοῦ κεντῶ κεντήσω. καὶ συγκοπῇ, κένσω. ἐκέντησα. κεντῆσαι. καὶ κένσαι συγκοπῇ.

Κέντρον, παρὰ τὸ κέντω πλεονασμῷ τοῦ ρ κέντρον, καὶ κεντρίον.

Κεντρηνεκέας. Κεντρηνεκέας ἔχον ἵππους. τοῖς κέντροις ὅ ἐστι ταῖς μάστιξιν ἐλαύνοντας. παρὰ τὸ συνεχῶς καὶ διηνεκῶς

Κέντρωνες, κυρίως λέγονται, τὰ ἐχθρὰ κεντρίζεσθαι. φορῶν χοιάδων συνερραμμένα εἰς ἕν. οἷς ὅμοιον ταῖς πως ὁμηρόκεντρα.

Κεντρότυπον. τὴν μάστιγα, ἀπὸ τοῦ τύπτειν.

Κένται. ἔστι διάλεκτον. ὡς γὰρ τὸ παρ᾽ ἡμῖν φίλτατον φίντατον, καὶ δέλτα, δέντα. οὕτω κέλται κένται.

Κένταυρος, ἀφ᾽ οὗ τὸ τῶν κενταύρων γένος. ὃς οὕτως ὠνόμασται ἀπὸ τοῦ τὸν πατέρα αὐτοῦ ἰξίονα κεντεῖν τὰς αὔρας. φασὶ γὰρ αὐτὸν τῆς ἥρας ἐρασθέντα συγγενέσθαι αὐτῇ ὁμοιωθείσῃ νεφέλῃ. ἐξ ἧς ἐτέχθη ὁ κένταυρος. μέχρι μὲν ὀμφαλοῦ τὸ τοῦ πατρὸς ὁμοίως ἔχων. τὰ δὲ κάτω, ἀγρίου. διὰ τὸ τὰς νεφέλας τοῖς ἀγρίοις ὁμοίας εἶναι. ζήτει τὴν ἱστορίαν πλατύτερον ἐν ὀδυσσείας, λ.

Κέπφος. ἀπὸ τοῦ ὀρνέου ὅ ἐστι κοῦφον καὶ ἐπιπλέον τοῖς ὕδασιν. ὁ τὰ ἀκρωτήρια τῶν ὀρέων τουτέστι τὰς κορυφὰς βαίνων. οἱονεὶ ὀρειβάτης. κέρατα γὰρ καλοῦσι πάντα τὰ ἄκρα ὡς φησὶ πίνδαρος Ὑψικέρατα πέτραν, ἀντὶ τοῦ ὑψηλὰ ἀκρωτήρια.

Κεραΐζειν τὸ πορθεῖν, καὶ κενοῦν, καὶ διαφθείρειν. ἡ μεταφορὰ ἀπὸ τῶν κέρασι χρωμένων ζώων. ἢ παρὰ τὴν κῆρα. τὸν θάνατον.

Κεραΐστης, τόπος μιλήτου. ἀπὸ τοῦ τὸν ἀπόλλωνα. κέρατα τῶν ἀρρένων τράγων ἀμελγομένων ὑπ᾽ αὐτοῦ πῆξαι ἐκεῖ, ὡς καλλίμαχος.

Κεραμεύς, παρὰ τὸ κέραμος. τοῦτο παρὰ τὸ ἔραν ἔραμος, καὶ κέραμος, ἀπολλόδωρος τὴν κεκαυμένην γῆν ἔραν φησίν. οἱ δέ, παρὰ τὸ κεκάμφθαι τῇ ἔρᾳ.

Κεραμεικός, ἀπὸ τοῦ κεραμεύς, κεραμέως, κεραμεϊκός. καὶ συναιρέσει, κεραμεικός. Γίνονται δὲ τρεῖς λαμπαδοδρομίαι ἐν κεραμεικῷ. ἀθηνᾶς. ἡφαίστου. προμηθέως. ἄλλως. κεραμεικὸς τόπος ἀθήνησιν, ὅπου συνετέλουν οἱ ἀθηναῖοι κατ᾽ ἐνιαυτὸν λαμπαδοῦχον ἀγῶνα. πρὸς δὲ τὸν τόπον τοῦτον, πύργον τινὰ ὑπάρχειν φασίν. ἐφ᾽ ὃν συμβουλεύει ἀναβάντα θεωρεῖν τὴν λαμπάδα. ἀριστοφάνης.

Κεραννὺς, μετοχὴ ἀορίστου κεράσας. ἔστι κέρας. διάφορον κερῶ, ἀορίστου κεραννύω. ὡς πετῶ, πεταννύω. ἢ κερῶ κερύω, καὶ κεραννύω. καὶ παράγωγον, κεράννυμι. ἡ μετοχὴ, κεραννὺς. πάντα δὲ τὰ διὰ τοῦ νυμι διὰ δύο νν γράφεται. ζωννύω. μεννύω.

Κεράσαι δὲ ἐστὶ, τὸ ἐπιχεῖν οἶνον ἀπὸ κιρνύω, καὶ τὰ ὅμοια. παλαιοῦ ἔθους. πάλαι γὰρ ἐχρῶντο κέρασιν ἀντὶ προχόου. οὕτω Πείσανδρος. καὶ Ὅμηρος Ἰλιάδος θ. Οἶνόν τ' ἐϋ κεράσασα πιεῖν. ἀντὶ τοῦ ἐγχέασα εἰς κέρας. πρὸ γὰρ τοῦ εὑρεθῆναι τὴν τῶν ποτηρίων χρῆσιν, ἐν τοῖς κέρασιν ἔπινον.

Κέραιρε, κίρνα. ἀπὸ τοῦ κεράω κερῶ, κεραίρω. ὡς μενῶ, μεναίνω, μεναινῶ. ἢ κέραιρε, ἐκ τοῦ κερῶ, κεραίω.

Κέρας, παρὰ τὸ κάρα. ἐπεὶ τῆς κεφαλῆς ἐστιν. ἔνθεν καὶ τὸ κεραΐζειν ἀπὸ τῶν ζώων. ἐπεὶ τοῖς κέρασι μάχονται. καὶ ὁ κεραυνὸς, φθαρτικὸς ὤν. ὁ διὰ τὸ αὐτὸν βλάπτων, ὅ ἐστι καίων. καὶ τὸ κεραΐζω. καὶ τὸ κέρμα κατὰ κενόμματος εἰς πολλά.

Κέρας, ἡ θρὶξ. διὰ τὸ τοῖς κέρασιν ὁμοίως ἐκφύεσθαι. οἱ δέ φασιν, ὅτι ἡ ἐκ τοῦ βάθους ἰκμὰς ὑπὸ τῆς θερμασίας ἀναφερομένη, κἄπειτα τῇ τοῦ δέρματος τάσει σφιγχθεῖσα, κερατοῦται. ἢ συνεχῶς κειρομένη. λέγεται κέρας καὶ ὁ ποταμός ὡς παρὰ Ἀπολλωνίῳ. Ἔστι δέ τις ποταμὸς ὕπατον κέρας ὠκεανοῖο. κέρας δὲ λέγουσι πάντας τοὺς ποταμοὺς τοὺς ἀπὸ ὠκεανοῦ καταφερομένους. κέρας λέγεται καὶ ἡ κεφαλή. σημαίνει καὶ τὴν δόξαν. ὡς τὸ, Καὶ ὑψώσει κέρας χριστοῦ αὐτοῦ. καὶ γίνεται παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ, ἔρας, καὶ κέρας. τὴν γὰρ δόξαν πάντες ἐπιθυμοῦσι. σημαίνει καὶ τὸ κέρατον. ὡς τὸ, Τοῦ κέρα ἐκ κεφαλῆς ἑκκαιδεκάδωρα πεφύκει. σημαίνει καὶ τὴν τρίχα. καὶ γίνεται παρὰ τὸ κείρω τὸ κόπτω. ὡς τὸ, Τοξότα λωβητὴρ κέρα ἀγλαὲ, ἀντὶ τοῦ καλλωπιζόμενε τῇ τοξικῇ, ἢ τῇ τριχώσει. κέρας γὰρ οἱ παλαιοὶ τὴν τρίχα ἐκάλουν. κλίνεται κέρατος κέραος καὶ κέρως. καὶ μετάγεται εἰς εὐθεῖαν. ὅθεν γίνεται μονόκερως μονοκέρωτος. ἡ γενικὴ τῶν πληθυντικῶν, τῶν μονοκεράτων.

Κεραός. Ἔλαφον κεραὸν. εὐκέρων. μεγάλα κέρατα ἔχοντα. ἄρσενα. αἱ γὰρ θήλειαι τῶν ἐλάφων, οὐ κέρατα φύουσιν. ἐκ τοῦ κέρας κέρατος, γίνεται κέραος. καὶ ὀξύνεται ὀφεῖλον βαρύνεσθαι. ἀλλὰ συνεξηκολούθησε τῷ δαναὸς ἀλαός.

Κεραξόος. Κεραξόος ἤραρε τέκτων. κερατουργός. κερατογλύφος. ἀπὸ τῆς κέραος ἰωνικῆς γενικῆς.

Κερόεις. ἀπὸ τῆς κέραος γενικῆς, γίνεται καὶ τοῦ ξέω. κεραόεις. καὶ συγκοπῇ κερόεις. τὸ θηλυκὸν, κεραόεσσα. καὶ συγκοπῇ, κερόεσσα. καὶ κράσει κεροῦσα.

Κερασβόος. οἱ μὲν, κυρίως. οἱ δὲ, τὴν τρίχα. ἄμεινον δὲ νοεῖν κεράτιον προσκεῖσθαι τῷ ἀγκίστρῳ, ἵνα μὴ οἱ ἰχθύες ἀποβιβρώσκωσι τὴν ὁρμιάν. Ἰλιάδος ω.

Κερασβόλον, ἔστι μὲν τῶν ἅπαξ εἰρημένων παρὰ Πλάτωνι. φαίνεται δὲ τῶν σπερμάτων τὰ τοιαῦτα, τῶν οὔτε ἐκφερόντων καρπὸν, οὔτε πυρὶ, οὔθ' ὕδατι τηκομένων. ταῦτα γὰρ εἶναί φασι τὰ ὑπὸ τῶν σπορέων κατὰ τῶν κεράτων βληθέντα τῶν βοῶν. ἀφ' ὧν καὶ τοὔνομα ἔσχε. παραδέδοται γάρ τις περὶ αὐτῶν γεωργικοῖς. ὡς ἀτεράμμων ὄντων τῶν οὕτως εἰς τὴν γῆν καταπεσόντων τῶν σπερμάτων. τοῖς οὖν ὑπὸ ἀπαιδευσίας ἀπαθέσι τε καὶ ἀπειθέσι τοῖς νόμοις, κερασβόλους προσηγόρευσαν.

Κέρδος, παρὰ τὸ χεὶρ χειρὸς, χέρδος, καὶ κέρδος. τὸ διὰ τῶν χειρῶν διδόμενον ἐπ' ὠφελείᾳ. ἐτυμολογεῖται δὲ παρὰ τὸ κέαρ καὶ τὸ ἅδω τὸ ἀρέσκω, τὸ τὴν ψυχὴν εὐφραῖνον. ἢ παρὰ τὸ φρέαρ καὶ τὸ ἡδύ.

Κερδαίνων, ἀπὸ τοῦ κέρδους, ἢ ἀπὸ τοῦ τὸ κέαρ ἰαίνειν.

Κερδὼ, ἡ ἀλώπηξ. ὡς παρὰ τὸ εἴδω θεὰ εἰδὼ, οὕτω καὶ παρὰ τὸ κερδαλέα ἡ ἀπατητικὴ, γίνεται κερδὼ ὑποκοριστικῶς.

Κερδαλέος, ὁ συνετὸς, καὶ παραλογιστικός. τὰς γὰρ ἐντρεχείας, κέρδη ἐκάλουν. παρὰ τὸ ἡδύνειν τὸ κέαρ, ὅ ἐστι τὴν ψυχὴν διὰ λόγων κλέπτειν.

Κερδαλεόφρον, πανοῦργε τὸ φρόνημα. ἢ περὶ τὰ κέρδη τὸν νοῦν ἔχων. τουτέστι, κερδαίνειν φρονῶν. παρὰ τὴν φρένα καὶ τὸ κέρδος. τουτέστιν, ὁ κερδαίνειν φρονῶν. ἢ διὰ λόγων τὴν ψυχὴν ἀπατῶν.

Κέρδιον, βέλτιον. κρεῖσσον. ἀπὸ τοῦ κέρδους. ἔστι δὲ οὐδέτερον. τὸ ἀρσενικὸν, κερδίων. ῥίζαν τύπον οὐκ ἔχει. τὸ δὲ οὐδέτερον, ὁμοφωνεῖ τῇ κλητικῇ τοῦ ἀρσενικοῦ ὦ κέρδιον. διὰ τί προπαροξύνεται. διότι τὰ συγκριτικὰ ἅπαντα προπαροξύνεται. ἐνδοξότερος. ἐπεὶ οὖν τὸ καλλίων καὶ τὰ ὅμοια, διὰ τὴν τοῦ τέλους μακρὰν οὐκ ἠδύναντο προπαροξυνθῆναι, τὸν κεχρεωστημένον τόνον ἐν τῇ εὐθείᾳ, ἀνεδέξατο ἐν τῇ κλητικῇ. εἰς τὸ Γλύκιον. Ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ' ἀνδρῶν. ἀντὶ τοῦ συνετώτατος. κέρδιστον γὰρ τὸ συνετώτατον φασίν. οὐ γὰρ αὐτὸν πρόγονον αὐτοῦ πανουργότατον εἶπεν. οἱ δὲ νεώτεροι τὴν λέξιν, ἀντὶ τοῦ φιλοκερδοῦς λαμβάνουσιν.

Κερκίς. κέρκω γὰρ προκατάρχει ῥῆμα. οὖν, Ἰλιάδος ζ. Γλυκεῖα μᾶτερ οὔτι δύναμαι κέρκειν τὸν ἱστόν. παρὰ τὸ κέρκω τὸ πλήττω, κερκὶς τις οὖσα. παρὰ τὸ κέρκειν ὅ ἐστιν ἠχεῖν. καὶ καθ' ὑπερβιβασμόν, κερκίς. καὶ τὸ λέοντος ἡ οὐρὰ κέρκος. ἐκ τοῦ κέρκω, κέρκος. πληκτικὴ γάρ ἐστι. καὶ εἶδος φυτοῦ. Τῷ μοι ἀναδραμέτην ἅτε κερκίδες. καὶ ἴσως ἐκ τοῦ φυτοῦ ἐποίουν τὰς κερκίδας ταῖς γυναιξί.

Κέρκωπες, οὕτω πρότερον ἐκαλοῦντο οἱ κύκλωπες. ὅθεν καὶ τοὺς πονηροὺς καὶ κακοὺς ἄνδρας, κέρκωπας φαμέν. ἐκλήθησαν δὲ, ἢ διὰ τὸ κερδαλέον αὐτῶν καὶ πανοῦργον. ἢ ἀπὸ μητρὸς Κερκώπης. ἢ κέρκωπες λέγονται οἱ ἀπατεῶνες, ἀπὸ τῆς τῶν κυνῶν μεταφορᾶς. οἱ τοῖς ὄψεσι καὶ ταῖς κέρκοις σαίνοντες δάκνουσιν.

Κέρκουρος, εἶδος πλοίου βραχέος.

Κέρκος, θηλυκῶς σκεῦός τι. ὡς παρὰ καὶ ῥίποις, ἢ θύρα χαλκῆ. οὕτως ὁ Ἀλκμὰν ἐχρήσατο.

Κέρκουρος, τὸ μακρὰν ἔχον πρύμναν σκάφος.

Κέρσαι, κόψαι. ἐκ τοῦ κείρω, κερῶ. αἰολικῶς, κέρσω.

Κέρκυρ. πρὸς τοῦ τὸ Κέρκυρ οὐκ εἴρηται. οὐ πρόσκειται ἡμῖν εἰς τὰ δύναται γενέσθαι. ἀλλὰ τί εἰρήκασιν; ὡς Ἀλκμὰν φησὶ, Καὶ Κέρκυρος ἡγεῖται. ἀπὸ εὐθείας τῆς Κέρκυρ. ἀλλ' οὐκ εἴρηται. οὐκ ἄρα ἔχει τῆς ἀποκοπῆς. ἀλλὰ κλιτικῶς ἐστι μετὰ τοῦ, οὐ μετὰ πλεονασμοῦ, εἴπερ εὐθεῖα Κέρκυρ ὁ μὴ εἴρηται. ὡς παρὰ τὸ ψίθυρ, μάρτυρ. ἀλλὰ μὴν οὐδὲ Ἴλλυρ. ἀλλὰ τὸ Ἴλλυρας μεταπέπλασται κατὰ τὴν αἰτιατικὴν πτῶσιν. ὥστε ταῦτα μεταπλασμός. τοῖς Ἰλλυρίοις καὶ Κερκυραίοις. οὐ γὰρ εἴρηται οὔτε ἡ εὐθεῖα. οὔτε ἡ γενικὴ, οὔτε ἡ δοτικὴ, ἀλλὰ κατὰ τὴν αἰτιατικὴν πτῶσιν μεταπέπλασται. εἴρηται δὲ ψίθυρ καὶ μάρτυρ, ἀφ' ὧν ἡ κλίσις. οὕτως Ἡρωδιανός.

Κέρτομος, ὁ χλευαστής. ὁ τὸ κέαρ τέμνων τῶν ἀκουόντων, διὰ τὸ παραγγιστικὸν τῶν λόγων. καὶ κερτόμιον τὸ παραγγιστικόν. ὁ τὴν ψυχὴν χλευάζων γὰρ τοῖς τοιούτοις. καὶ κερτομίοις ἔπεσιν, ἐρεθιστικοῖς. παροξυντικοῖς. χλευαστικοῖς.

Κερτομέων, ἐρεθίζων. χλευάζων. σχῆμα παρασύνθετον. ἐπεκερτόμει. ἐπεχλεύαζεν. ἔσκοπτεν. ἠρέθιζεν.

Κερκώπων, δολίων. πανούργων. ἢ γλοιὸς πιθήκων. καθάπερ τῇ κέρκῳ ἡ ἀλώπηξ τοὺς θηρευτικοὺς κύνας ἀπατᾷ τῇ δὲ κακίστῃ περιφερομένῃ, ἐφαμίλλως καὶ οὗτοι τοὺς ἁπλουστέρους φενακίζουσι τῇ κέρκῳ τῶν λόγων.

Κεστρίνους, τὰ τμήματα καὶ τεμάχη τῶν ἰχθύων.

Κεστὸς, ἔνδυμα Ἀφροδίτης. καταχρηστικῶς δὲ καὶ πᾶν γυναικῶν φαντασιῶδες ἔνδυμα. Ἰλιάδος ξ. Ἡ καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα. ζωστήρ ἐστιν οὕτω καλούμενος ἀπὸ τοῦ πολυκέντητος εἶναι ταῖς ῥαφαῖς. παρὰ τὸ κάζω τὸ κοσμῶ, γίνεται ῥηματικὸν ὄνομα, καστὸς καὶ κεστός. ὁ κεκοσμημένος καὶ διαπεποικιλμένος καὶ διακεντημένος. ἢ παρὰ τὸ κεντῶ βαρύτονον. ἔνθα καὶ, Κέντορες ἵππων. ὁ μέλλων αἰολικῶς, κένσω. ὅθεν τὸ, Κένσαι ὁμοκλήσας. ὁ παρακείμενος, κέκενκα. ὁ παθητικὸς, κέκεσμαι, κέκεσται, κεστός.

Κεύθω, τὸ κρύπτω. ἐκ τοῦ κεύσω, γίνεται κευμὸς καὶ κευθμός, ὡς μηνισμὸς μηνιθμός. ἐκ τούτου γίνεται κευθμών. ἀπὸ τοῦ κεύθω, γίνεται κευθάνω, ἐκεύθανον, ἀντὶ τοῦ ἔκρυπτον.

Κεφαλή. ἤτοι παρὰ τὸ κάρφεσθαι. τὸ ξηραίνεσθαι ὁ κατάξηρος τόπος καὶ ὀστώδης. ξηρὰ γὰρ καὶ ὀστώδης. ἢ κατὰ Ἀπολλόδωρον, καλύφη τις οὖσα παρὰ τὸ καλύπτειν καὶ σκέπειν τὸν ἐγκέφαλον. τινὲς δὲ παρὰ τὸ ἐγκεῖσθαι τὰ φάη. κεφάη τις οὖσα. κατὰ πλεονασμὸν τοῦ λ. οἱ δὲ, παρὰ τὸ κάπω τὸ πνέω, καπαλὴ καὶ κεφαλή. οἱονεὶ ἡ διαπνέουσα. παρὰ τὸ πνεῖν. ὅθεν καὶ κῆπος ὁ διαπνεόμενος τόπος. διὸ καὶ ἐν ταῖς οἰκίαις τὸν ἀποτετμημένον τόπον πρὸς ἄνεμον, ἀνάπνευσιν καὶ κῆπον λέγουσιν. ἢ παρὰ τὸ κέλυφος ὃ σημαίνει τὸ κάλυμμα.

Κεφαλέων. ὁ κνιών. οἱ αἰολεῖς διὰ τοῦ αων. οἱ δωριεῖς διὰ τοῦ εων. ὁ δὲ Ζηνόδοτος γράφει τὸ λαι δίφθογγον, ὡς κτητικὸν αὐτὸ λαμβάνων. κακῶς δέ. κτητικὸν δέ ἐστιν ὁ λέγων, ὅτι τὸ κτητικὸν ἀπὸ τῶν σωματικῶν μερῶν παραλαμβανόμενον, κατὰ τεθνηκότος θέλει παραλαμβάνεσθαι. οἷον, βοεία κεφαλὴ, ἡ τοῦ τεθνηκότος βοὸς κεφαλή. ἀνθρώπειος πούς, ὁ τοῦ τετελευτηκότος. οὐ γὰρ ἐπὶ ζῶντος εἴποι τις ἄν. διὸ καὶ μέμφονται τὸν Ζηνόδοτον. ἐπειδὴ τὸ ἀρνειῶν ἐκ κεφαλαίων κτητικὸν ἀνεγίνωσκεν. κτητικὴ γὰρ φωνὴ ἐχρήσατο καὶ Σίζων τῶν ἀρνειῶν. οὐκ ἔπαθε πλεονασμὸν, ἀλλὰ συναίρεσιν.

Κεφαλληνία. ἀπὸ Κεφάλου τινός. ὃς ἀκουσίως ἀνελὼν Πρόκριν τὴν Ἐρεχθέως μητέρα, ἔξεισι τῆς Ἀττικῆς, καὶ σὺν Ἀμφιτρύωνι στρατεύεται κατὰ Τηλεβόων. ἔπειτα δὲ ἐκλυθείσης ἔσχεν Σάμαιον καὶ Κράνεων καὶ Παλαίων. ἀφ' ὧν οἱ ἐν τῇ Κεφαλληνίᾳ. Πρόνοοι. Σαμαῖοι. Κράνιοι. Παλεῖς. προσηγορεύθησαν. οὕτως Ἐπαφρόδιτος ἐν ὑπομνήματι τῆς Ὀδυσσείας.

Κεχανδότα, ἀντὶ τοῦ χωροῦντα. ἐκ τοῦ χάζω, χάσω, κέχαδα, κεχαδὼς κεχαδότος. καὶ πλεονασμῷ τοῦ ν.

Κεχαροίατο. χαίρω. ὁ β ἀόριστος, ἐχάρον. ὁ μέσος, ἐχαρόμην. καὶ τὸ εὐκτικὸν, χαροίμην. κατὰ ἀναδιπλασιασμὸν, κεχαροίμην. τὸ τρίτον τῶν πληθυντικῶν, κεχάροιντο. καὶ τὸ ἰωνικὸν, κεχαροίατο. ἀντὶ τοῦ χαρείησαν. ὡς μνήσαιντο, μνησαίατο. λέγοιντο, λεγοίατο. πύθοιντο, πυθοίατο. εἰς τὸ δευοίατο.

Κεχαρηότα. οὔτε ἀπὸ τοῦ χαίρω γίνεται, ἐπειδὴ ὁ παρακείμενος κέχαρκα ἐστὶν, οὔτε ἀπὸ τοῦ χαρῶ, ἀλλ' ἀπὸ τοῦ χαίρω, γίνεται χαρῶ. ὡς φαίνω, φανῶ. οὗ ὁ παρακείμενος κεχάρηκα. ἡ μετοχὴ, κεχαρηκώς. καὶ κατὰ ἀφαίρεσιν τοῦ κ, κεχαρηότα.

Κεχολώσεται. Ὁ δέ κεν κεχολώσεται. ἀντὶ τοῦ ὀργισθήσεται. ἐκ τοῦ χολῶ χολώσω, κεχόλωκα, κεχόλωμαι κεχόλωσαι. καὶ ὁ μετ' ὀλίγον μέλλων, κεχολώσομαι. διαφέρει δὲ τοῦ μέλλοντος. ὅτι ὁ μὲν μέλλων, ἀόριστός ἐστιν. ὁ δὲ μετ' ὀλίγον μέλλων, ὡρισμένος.

Κεῖος. σημαίνει τὸν πολίτην τῆς Κέω. Κέως δὲ νῆσός ἐστιν. ὠνόμασται ἀπὸ τοῦ Κέω τοῦ Ἀπόλλωνος καὶ Ῥοδοέσσης νύμφης. ἐκ τοῦ Κέω γίνεται Κεῖος. καὶ κατὰ συναίρεσιν, Κῷος. Κῶς, νῆσός ἐστιν. ὠνομάσθη ἀπὸ Κῶ, ἥ τις θυγάτηρ Μέροπος καὶ Ἐχεμείας ἦν. ἡ Κῶς τῆς Κῶ. τὸ δὲ παρ' Ὁμήρῳ Ἰλιάδος ξ. Καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας. ἀπὸ ἄλλης εὐθείας ἐστὶ τῆς Κόως.

Κείρειν, τὸ κόπτειν. ἀπὸ τοῦ αἴρειν καὶ ἀποκόπτειν τὸ κέρας. ἤγουν τὴν τρίχα.

Κείω, σημαίνει τὸ καίω. ἀνεφάνη γὰρ τὸ ε. ὡς ἐν τῷ, Κέδρου τ' εὐκεάτοιο. κείων, τὸ κοιμησόμενος. ἀπὸ τοῦ κέω. Ὄρσω κέων. πλεονασμῷ, κείων. κίω δὲ τὸ πορεύομαι διὰ τοῦ ἰῶτα ἀπὸ τοῦ ἴω.

Κειμήλια, τὰ ἀπόθετα χρήματα. ὡς παρὰ τὸ θήσω μέλλοντα γίνεται θεμέλιον, οὕτω καὶ παρὰ τὸ κείσω κείσομαι μέλλοντα γίνεται κειμήλιον. ἢ παρὰ τὸ ἐγκεῖσθαι τὰ μείλιχα, δι' ὧν τινα ἐκμειλισσόμεθα. ἤγουν τὰ χρήματα.

Κειρία. σημαίνει τὰ σχοινία τὰ ἐντάφια δεσμά. ἢ κειρία σημαίνει τὸ σχοινίον τὸ δεσμεῦον τὴν κλίνην. λέγεται δὲ καὶ θηλυκῶς παρὰ τὸ κείρω τὸ κόπτω. τουτέστι παρὰ τὸ εἰς λεπτὰ κόπτεσθαι αὐτά. ἢ παρὰ τὸ κέρας ὃ σημαίνει τὴν τρίχα κερία. καὶ πλεονασμῷ τοῦ ι, κειρία. καὶ γὰρ ἐκ τῶν τριχῶν ἦσαν τὸ παλαιόν. ἢ παρὰ τὸ εἴρω τὸ συμπλέκω, εἰρία. καὶ πλεονασμῷ τοῦ κ.

Κεῖθι, ἀντὶ τοῦ ἐκεῖσε αὐτοῦ τόπου. γίνεται ἐκ τοῦ ἐκεῖνος. τὸ κεῖ δίφθογγον. διὰ τί. τὰ εἰς θι λήγοντα ἐπιρρήματα, τὰ παρα-

λήγουσαν δὲ λείπει φυλάττει τῶν εἰς θεν ἐπιρρημάτων.

Κεῖθεν, ἀπὸ τοῦ ἐκεῖθεν γέγονεν. ἢ ἀπὸ τοῦ κεῖνος, κείνοθεν, ὡς λέσβος, λεσβόθεν. καὶ κατὰ συγκοπὴν, κεῖθεν.

Κεῖνος δ᾽ ὡς ἀγόρευεν. ὁ μὲν ἡρωδιανὸς ἀναγινώσκει εἰς τὸ κεῖ, περισπωμένην, καὶ εἰς τὸ νος ὀξεῖαν. καὶ εἰς τὸ ὡς βαρεῖαν. ὁ δὲ ἀρίσταρχος, Κεῖνος δ᾽ ὡς ἀγόρευεν. ζητοῦσι δέ τινες ποῖον ἐστὶν ἀναλογώτερον, τὸ κεῖνος, ἢ τὸ ἐκεῖνος. ἔστι δὲ εἰπεῖν ὅτι κατά τι μέν ἐστιν ἀναλογώτερον τὸ κεῖνος. κατά τι δὲ τὸ ἐκεῖνος. καθὸ μέν ἐστι λέγειν ὅτι οὐδέποτε πρωτότυπος ἀντωνυμία ἀπαθὴς οὖσα, ὑπερβαίνει τὴν δισυλλαβίαν. οἷον, ἐγὼ, αὐτός, οὗτος. τὸ κεῖνος ἐστὶν ἀναλογώτερον. πρόσκειται πρωτότυπος, διὰ τὸ νωΐτερος, σφωΐτερος. παράγωγοι γάρ εἰσιν αἱ ἀντωνυμίαι. ἀπαθεῖς εἶπε, διὰ τὸ οὑτοσὶ, ἐκεινοσί. καθὸ δὲ αἱ μονοπρόσωποι ἀντωνυμίαι, ἀπὸ φωνήεντος θέλουσιν ἄρχεσθαι. οἷον, οὗτος. αὐτός. ὅδε. ἀναλογώτερόν ἐστι τὸ ἐκεῖνος, ἵνα ἀπὸ φωνήεντος ἄρξηται.

Κεῖνος. οὐκ ἔστιν ἐνταῦθα σχῆμα, θεματικὴ γάρ ἐστι. τὸ ε γὰρ φωνῆεν πέφυκε πλεονάζειν. οἷον, ὤρων, ἑώρων. ἀφαιρεῖται δὲ ὅτε μετὰ συμφώνου ἐστίν. οἷον ἔφη, φῆ. οὕτως ἐκεῖνος, κεῖνος. ἀφαίρεσις ἄρα. καὶ πάλιν οὐδέποτε μονοπρόσωπος ἀντωνυμία ἀπὸ συμφώνου ἄρχεται, ἀλλ᾽ ἀπὸ φωνήεντος, αὐτός ὅδε. μήποτε ἄρα ἐκεῖνος, καὶ κατὰ ἀφαίρεσιν κεῖνος. πρόσθεσις δὲ λέγεται τοῦ ε, ἐπειδὴ καὶ πρωτότυποι ἀντωνυμίαι ἀπαθεῖς οὖσαι, οὐ θέλουσιν ὑπερβαίνειν τὴν δισυλλαβίαν. ἀπαθεῖς εἶπε, διὰ τὰς ἐπεκτεταμένας. αὐτοσί. οὑτοσί. ὅθεν τὸ ἐκεῖνος, ὑπὲρ τὴν δισυλλαβίαν. μήποτε τὸ κεῖνος ἐστὶ κυριώτερον. ὅθεν πρὸς μὲν τὴν ποσότητα τῶν συλλαβῶν, κεῖνος. πρὸς δὲ τὸ ἀπὸ φωνήεντος ἀρχόμενον, ἐκεῖνος. ὅθεν διὰ διφθόγγου γράφεται, ἐπειδὴ οἱ δωριεῖς κῆνος λέγουσι διὰ τοῦ η,

Κεῖμαι. ἰστέον ὅτι τὸ κεῖμαι καὶ ἧμαι ὡς μεῖον, μῆον.

Κ ἐλέγχθη, μήτε ἀπὸ τῶν εἰς ω εἶναι, μήτε ἀπὸ τῶν εἰς μι, ὅτι τὰ ἀπὸ τῶν εἰς ω, ἢ τὸ ο παραλήγεται ὡς τὸ τύπτομαι, ἢ τῷ ω, ὡς τὸ βοῶμαι. ἢ τῷ ου, ὡς τὸ χρυσοῦμαι. καὶ τὰ ἀπὸ τῶν εἰς μι, ἢ τὸ ε παραλήγεται ἐν τοῖς παθητικοῖς ὡς τὸ τίθεμαι, ἢ τῷ ἄλφα συνεσταλμένῳ ὡς τὸ ἵσταμαι, ἢ τῷ ο, ὡς τὸ δίδομαι. ἢ δίχρονῳ συνεσταλμένῳ, ὡς τὸ ζεύγνυμαι. ἀλλ᾽ ἔστιν εἰπεῖν ὅτι ἐλέγχονται ταῦτα εἶναι ἀπὸ τῶν εἰς μι. ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ ἧσαι καὶ κεῖσαι. πᾶς γὰρ ἐνεστὼς εἰς μι λήγων, ἔχει τὸ δεύτερον εἰς σαι λῆγον, ἀπὸ τῶν εἰς μι ὤν. οἷον, τίθεμαι, τίθεσαι. οὕτως ἧμαι, ἧσαι. κεῖμαι, κεῖσαι. ἔστι δὲ ὁ σχηματισμὸς αὐτοῦ οὕτως. ἔστιν ἕω τὸ κάθημαι, καὶ κέω βαρύτονα. καὶ κατὰ παραγωγὴν, ἑῶ καὶ κεῶ περισπώμενα, ὡς κίω, κιῶ. ἕλκω, ἑλκῶ. ῥίπτω, ῥιπτῶ. εἶτα κατὰ παραγωγὴν τῶν εἰς μι, γίνεται ἕημι καὶ κέημι. ὁ παθητικὸς ἐνεστὼς, ἕεμαι καὶ κέεμαι. καὶ κράσει τῶν δύο εε, ποτὲ μὲν εἰς η, ποτὲ δὲ εἰς ει δίφθογγον, ἧμαι καὶ κεῖμαι. ζήτει εἰς τὸ ἕαται.

Κήδω, τὸ φροντίζω. παρὰ τὸ κήδω τὸ ἀνιῶμαι, γίνεται ἐκ τοῦ παρεπομένου. τοῖς γὰρ φροντίζουσι, παρέπεται τὸ ἀνιᾶσθαι. ἢ ἐκ τοῦ ἔδω τὸ ἐσθίω. γέγονε τροπῇ τοῦ ε εἰς η καὶ πλεονασμῷ τοῦ κ. κατεσθίουσι γὰρ τρόπον τινὰ ἑαυτοὺς οἱ μεριμνῶντες. ὅθεν καὶ μελεδώνη, ἡ φροντίς. παρὰ τὸ τὰ μέλη ἔδειν. τὸ δὲ κήδω τὸ λυποῦμαι, οὐ χεῖρον ἐτυμολογούμενον. ὡς οἶμαι δὲ ὅτι ἀπὸ τοῦ καίεσθαι εἴρηται. καίω τὸ κήδω. τοῖς γὰρ λυπουμένοις παρέπεται ἡ ἔγκαυσις. Καὶ ἀνάσχεο κηδομένη περ, ἀντὶ τοῦ λυπουμένη. Κήδετο γὰρ δαναῶν, ἀντὶ τοῦ ἐφρόντιζεν. ἀρίσταρχος δὲ, ἀντὶ τοῦ ἠνιᾶτο. καὶ ἔστι μετὰ τῆς περὶ. ἵν᾽ ἢ ἠνιᾶτο γὰρ περὶ δαναῶν. καὶ ἔτε κήδων ἤδε σὰ τέκνα. Καλόν τοι σὺν ἐμοὶ τὸν κήδειν ὅς κ᾽ ἐμὲ κήδει. ἀντὶ τοῦ λυπεῖν καὶ βλάπτειν.

Κατακεῖσθαι. διὰ τί πάντων τῶν ἀπαρεμφάτων τὸν τόνον φυλασσόντων, καταφιλεῖται, καταφιλεῖσθαι, τὸ κατάκειται οὐκ ἔτι ἐν τῷ κατακεῖσθαι. λέγεται ὅτι καθόλου πάντων τῶν τοῦ ὁριστικοῦ παθητικῶν ἀπαρεμφάτων ἐνεστῶτος καὶ παρατατικοῦ, ἀναβιβάζουσι τὸν τόνον, εἰ μήπου μακρᾷ φύσει παραλήγεται. ποιεῖσθαι. οὕτω καὶ περικεῖσθαι.

Κήδεα, λύπας. πένθη. ἐκ τοῦ κήδω. παρὰ τὸ ἀνιᾶσθαι καὶ οἱονεὶ καίεσθαι.

Κήδαρ, ἐστὶ τὸ σκοτεινόν. παρὰ τὸ κήδω τὸ κοιμῶμαι.

Κήδω, σημαίνει τὸ θάπτω. καὶ γίνεται παρὰ τὸ χῶ, τὸ χωννύω. οὗ ὁ μέλλων, χήσω. καὶ μετάγεται ὁ μέλλων, εἰς ἐνεστῶτα. καὶ γίνεται κήδω κατὰ τροπὴν τοῦ χ εἰς κ καὶ τοῦ σίγμα εἰς δ. ἐκ τούτου γίνεται παράγωγον κηδεύω. ἢ ἐκ τοῦ κήδω τὸ φροντίζω. καὶ ὡς φωλεύω, φωλεός. οὕτω κηδεύω, κηδεός. ἔστι γὰρ ἐκεῖνος ὁ φροντίδος καὶ κηδεμονίας ἄξιος καὶ κηδεύσεως. τουτέστι ταφῆς.

Κηδεστὰς λέγουσιν ὅ, τε πατὴρ τῆς γεγαμημένης, καὶ αὐτὸς ὁ γαμῶν. κῆδος γάρ ἐστιν ἡ κατ᾽ ἐπιγαμίαν συγγένεια. ἐπεὶ ἐκ προνοίας καὶ κηδεμονίας συνίσταται. γέγονε δὲ παρὰ τὸ κήδω τὸ φροντίζω. ἐκ δὲ τοῦ κῆδος, κηδεστής. ὁ κατ᾽ ἐπιγαμβρίαν συγγενής. τουτέστιν ὅ, τε πατὴρ τῆς γεγαμημένης, καὶ αὐτὸς ὁ γαμῶν. ἐκ προνοίας γὰρ καὶ φροντίδος, οἱ ἀμφότεροι συνίστανται. τὸ δὲ κηδέστης τὸ κύριον ὄνομα, βαρύνεται. ὡς θύος, θυέστης. ὄρος, ὀρέστης. τὸ δὲ κηδεστής, ὀξύνεται ὡς προσηγορικόν.

Κηδιστοί, οἰκειότατοι. φροντιστικώτατοι. Καὶ ὅς μοι κήδιστος ἑτάρων ἦν κεδνότατός τε. ἀντὶ τοῦ ὁ φροντιζόμενος. ὡς παρὰ τὸ κάλλος, γίνεται καλλίων, καὶ τοῦ ὑπερθετικοῦ κάλλιστος, οὕτω παρὰ τὸ κῆδος κηδίων κήδιστος.

Κηκὰς ἡ λοιδορία. ἐκ τοῦ κακός. ἢ κηκάς ἐστιν ἡ κακόλογος λοιδορία. ἐξ οὗ καὶ κηκασμὸς ἡ λοιδορία. λυκόφρων. Βρίξουσι κηκασμοῖσιν ὠκριωμένοι. ἤγουν ταῖς λοιδορίαις καὶ χλευασίαις τετραχυμένοι. καὶ καλλίμαχος. Κηκάδι σὺν γλώσσῃ. καὶ τὸ παρ᾽ ὁμήρῳ, Οὕτως ἐκ δὲ χολῆς, ἀλλὰ κακῶς ἀφίει. ἀντὶ λοιδόρως καὶ μεθ᾽ ὕβρεως. οἱ δὲ, κηκὰς τὸ μελανίαν λέγουσιν. ὅθεν ῥωμαῖοι τὸν τυφλὸν, κέκον λέγουσιν. ἔστι καὶ κηκὰς ἀλώπηξ. κακωτικὸς, κακοῦργος, καὶ πονηρά. ὡς νίκανδρος. Ἔνθα ποτ᾽ ἠρίον ὅτε βότρυα δαίνυται κηκὰς ἀλώπηξ.

Κήκιε. τὸ ἔρρει καὶ κατέβαινεν, ἐκ τοῦ κίω τὸ περισπώμενον. ὡς τὸ, Μέλαν δ᾽ ἀνεκήκιεν αἷμα. ἐκ τοῦ ἀνέκαθεν.

Κῆλα, τὰ βέλη. ὅτε δὲ σημεῖα. παρὰ τὸ καίω. ἢ παρὰ τὸ ἵημι τὸ πέμπω. οὗ ὁ μέλλων, ἥσω. ἀντὶ τοῦ ἀφήσω, πέμψω, γίνεται ἧλον καὶ κῆλον. κυρίως δὲ τὸν κεραυνὸν καὶ τὸν πρηστῆρα σημαίνει ἡ λέξις. καὶ βέλη θεῖα, τουτέστιν ἀστραπὰς καὶ βροντάς. παρὰ τὸν κήσω μέλλοντα δηλοῦντα τὸ καύσω. ὅθεν καὶ Πυρὶ κηλέῳ, τουτέστι καυστικῷ, πλεονασμῷ τοῦ ε. εἰς τὸ κηλίς. παρὰ τὸν κήσω μέλλοντα, ὡς τὸ, Αὖα πάλαι περίκηλα τά οἱ πλώοιεν ἐλαφρῶς. τουτέστι τὰ πάνυ κεκαυμένα ὑπὸ ἡλίου, καὶ ξηρά.

Κηληθμός, ἡ μετὰ ἡδονῆς ἡσυχία. ὡς τὸ, Κηληθμῷ δ᾽ ἔσχοντο κατὰ μέγαρα σκιόεντα. ὀδυσσεία. κυρίως ἡ διὰ τῆς ἀκοῆς ἡδονὴ καὶ τέρψις καὶ θέλξις. οἷον, κηληδηθμός. καὶ συγκοπῇ. ἢ χαληθυμός τις ὤν. καὶ συγκοπῇ καὶ τροπῇ, κηληθμός. γέγονεν ἐκ τοῦ χῶ, χήσω, χαλῶ, καὶ κηλῶ. οἱονεὶ τέρπω καὶ χαλῶ. καὶ κηλούμενος ὁ τερπόμενος. οἱ γὰρ πραϊνόμενοι, διακεχυμένοι καὶ ἐφηπλωμένοι γίνονται. καὶ κατεκήλησεν, ἀντὶ τοῦ κατεπράϋνε καὶ κατέθελξεν, ἢ κατεπράϋνεν. οἱ δὲ, οὐκ ἀπόθεν τοῦ κηλᾶσθαι ἐτυμολογοῦσι.

Κήλη, τὸ πάθος. παρὰ τὸ κᾶλον ὅ ἐστι ξύλινον καὶ σκληρόν. ἀφ᾽ οὗ παρώνυμον κάλη. ἐπεὶ τὰ μέρη ἐκεῖνα εἰς ὄγκον ἐπιδιδόμενα, μείζονα τοῦ συνήθους γίνεται. ἀφ᾽ οὗ καὶ σκληρά.

Κῆλον. κῆλον λέγεται τὸ ξύλινον βέλος. παρὰ τὸ κᾶλον, ὃ δηλοῖ τὸ ξύλον. ἀφ᾽ οὗ καὶ καλοπόδιον, ὁ ξύλινος πούς. σὺν τῷ μετὰ τοῦ νεύειν, γίνεται καλώνειον καὶ κηλώνειον. τὸ ἀνανεῦον καὶ κατανεῦον ξύλον. ὁ ξύλινος ἀντλητήρ. τὸ παρ᾽ ἡμῖν λεγόμενον γεράνιον. κηλώνιον δὲ ἐπὶ τοῦ ἵππου. κήλων γὰρ λέγεται ὁ θερμὸς εἰς συνουσίαν. παρὰ τὸν κήσω μέλλοντα, δηλοῖ τὸ καύσω.

Κικίς. βάμματι, ἢ καρπὸς δρυὸς ἐπιτήδειος εἰς βαφὴν κλινῶν.

Κηλίς, ῥύπος. μίασμα. μόλυσμα. εἴρηται ἐπὶ τῆς ἐσθῆτος τῆς ἐχούσης σημεῖον καὶ μολύνον αὐτήν. κῆλα δὲ τὰ σημεῖα. οἷον, δῆλα. τροπῇ τοῦ δ εἰς κ. καὶ ἐφ᾽ ὕβρεως λέγεται, Οὔτε κηλῖδας ἔχει. οἷον, μολύσματα. οὐ καθαρός ἐστι.

Κημός, παρὰ τὸ κάμπτω κάμμος καὶ κημός. τῆς θέσει μακρᾶς τραπείσης εἰς φύσει μακρόν. ἔστι δὲ καὶ πλέγμα τι ἐκ σχοινίων.

Κῆπος, ὁ ἀποτετμημένος τόπος πρὸς ἀνάπνευσιν, καὶ καταπνεόμενος. παρὰ τὸ κάπω τὸ πνέω, κάπος καὶ κῆπος. ἢ παρὰ τὸ σκάπτω, κάπος καὶ κῆπος. καὶ ἀφαιρέσει καὶ ἐκτάσει. ἐκ δὲ τοῦ κῆπος καὶ τοῦ ὁρῶ τὸ φυλάττω, γίνεται κηπουρός, ὡς οἰνουρός.

Κῆρ, περισπωμένως ἐστὶ τὴν ψυχήν. γένους οὐδετέρου. γέγονε παρὰ τὸ κέαρ, ὃ δηλοῖ αὐτὴν τὴν ψυχήν. τὸ δὲ παρὰ τὸ κεκρᾶσθαι ἐκ ψυχροῦ καὶ θερμοῦ οὐσίας ἐχούσης. κῆρ δὲ, ἀπὸ τοῦ δοκεῖν κηροῦ ἀπομάττεσθαι τὰ μαθήματα. ἢ παρὰ τὸ καιρίαν δέχεσθαι τὴν πληγήν. ἢ παρὰ τὸ καίω. καὶ τί μετέχει, τὸ γὰρ ἔμψυχον καὶ θερμόν φασιν εἶναι τὴν ψυχήν. παρὰ τὴν καῦσιν ἢ παρὰ τὸ κῶ τὸ καίω, κέαρ. καὶ κατὰ συναίρεσιν, κῆρ. κέκραται δὲ ἐκ τῶν στοιχείων. ἢ παρὰ τὸ ἔαρ, ὅ ἐστι πνεῦμα. ἐκ τοῦ κῆρ κηρός κηρόθεν. καὶ κηρόθι ἐπίρρημα, τὸ ἐκ ψυχῆς.

Κήρ. ὀξυτόνως, γένους θηλυκοῦ. καὶ ἐστὶ τὴν θανατηφόρον μοῖραν. καὶ γέγονε παρὰ τὸ καίω, κέκηκα. καυστικὴ γάρ ἐστι καὶ ἀφανιστική. ἢ τοῖς κακὴν αἰεὶ ἐπιφέρουσα. καὶ ἐν ᾅδου ποταμοί, πυριφλεγέθων, καὶ ἀχέρων. ἐκ τοῦ κέκηκα. τοὺς γὰρ ἀποθνήσκοντας, ἔκαιον οἱ παλαιοί. κηροῦν, ὁ θάνατος. καὶ κηραμύντης, ὁ ἡρακλῆς. ὁ τὰς κῆρας διώκων. ἀλεξίκακος γάρ. παλαίμων δὲ αὐτός, διὰ τὸ παλαῖσαι αὐτὸν τῷ διί. πευκεὺς δὲ, ἐν ἀβδήρῳ τιμᾶται.

Κηρεσιφορήτους, τοὺς ὑπὸ εἱμαρμένης ἠγμένους. μοιροφορήτους. ἢ οὓς αἱ μοῖραι ἀποισουσι.

Κηρουλκός, ἡ ἕλκουσα εἰς κῆρα, ὅ ἐστιν εἰς θάνατον. ἀφ᾽ οὗ θανατηφόρος.

Κῆρυξ. ἀπὸ τοῦ κηρύσσω κηρύξω, γίνεται ἀποβολῇ τοῦ ω. τοῦτο παρὰ τὸ γῆρυς ὃ σημαίνει τὴν φωνήν, γηρύσσω καὶ κηρύσσω. παρὰ τὸ γέρας, γῆρυς, ἐπὶ τῶν ἐντίμων λέγεται. κυρίως πρὸ δὲ ἡ τῶν ψαλμῳδία. ἢ ὥσπερ παρὰ τὸ πτερὸν γέγονε πτερῶ πτερύσσω, οὕτω καὶ παρὰ τὸ ἐρῶ τὸ λέγω, γέγονεν ἐρύσσω καὶ ἠρύσσω. καὶ πλεονασμῷ τοῦ κ. κλίνεται κήρυκος, ὡς πέρδικος. τὸ υ, μακρόν. ἡ γὰρ ὀφειλομένη ἐν τῇ εὐθείᾳ μακρὰ, μετῆλθεν ἐν τῇ γενικῇ. ὤφειλε δὲ καὶ ἡ εὐθεῖα ἔχειν μακρὸν τὸ υ. ἄλλως. οὐδέποτε πρὸ τῶν διπλῶν εὑρήσεις δίχρονον ἐκτεταμένον. ἐπὶ μόνου χοῦ συνεστάλη. ἐν τῷ κήρυκι ἢ [illegible]. εἰσί τινα ἀπὸ τῶν εἰς διπλοῦν ληγόντων διὰ τῆς ε καὶ ι διφθόγγου γραφόμενα. ὡς κυκλώπειον τὸ τοῦ κύκλωπος. φοινίκειον, τὸ τοῦ φοίνικος. οὕτω καὶ κηρύκειον. ἰστέον ὅτι ἔστι καὶ κηρύκιον διὰ τοῦ ι. ὅπερ ἐπὶ μόνης τῆς ῥάβδου λέγεται τοῦ ἑρμοῦ.

Κηρύκειον, ἔστι προσηγορικὸν καὶ σημαίνει πᾶσαν ῥάβδον κήρυκος. ἔστι καὶ κτητικὸν σημαῖνον τὸ τοῦ κήρυκος, ὡς παρὰ σοφοκλεῖ, Γράμμα κηρύκειον. ἔστι καὶ ὄνομα λόφου τῆς ἐφέσου, ἐν ᾧ ἀνῆλθεν ὁ ἡρακλῆς κατὰ βούλησιν τῶν θεῶν καὶ ἐκήρυξε τὴν γέννησιν τῆς ἀρτέμιδος. διὰ διφθόγγου. ἔστι καὶ κηρύκειον σημαῖνον τὸ κηρύσσειν. ἔστι καὶ πληθυντικῶς, τὰ κηρύκεια, καὶ ἐστὶ τὸν μισθὸν τὸν διδόμενον ἐπὶ τῇ κηρύξει. ὅπερ λέγεται ἐν τῇ συνηθείᾳ, μήνυτρα. τὸ κηρύκιον, ῥάβδος ἦν μετρίου μήκους, ἄνω πρὸς τῇ ἀρχῇ ὄφεις ἐσχηματισμένους ἀντεμβαλλομένους ἀλλήλοις εἰς τύπον τοῦ θ στοιχείου. ταύτην οἱ κήρυκες φέροντες, ὥδευον τῆς ἀσφαλοῦς χάριν.

Κηρυβίων. καθαρματῶδες ἐστὶ τὸ ὄνομα. κηρύβια γὰρ κυρίως τὰ ἀποβράσματα τῶν κυάμων. Κρατῖνος. Δασεῖαν ἔχων τὴν πρωκτὸν ἅτε κηρύβι' ἐσθίων. ἡ μὴ ἄρα περιεκτικὴ ἔννοια ἐστὶν ἕνεκα ἐμφάσεως. καὶ ὑγιῶς ὀξύνεται. ὡς ἄπειρος, ἀπείρων, καὶ ἄναιμος, ἀναίμων, οὕτω κατάπυγος, κατὰ πύγων κατὰ πύγονος. καὶ συστέλλεται ἐν τῇ

Κηφηΐδα γαῖαν. Νίκανδρος, ἀπὸ Κηφέως. [illegible]νικὴν τὴν Αἰθιοπίαν.

Κηφισσὸς, ποταμός ἐστι παρακείμενος τῇ λίμνῃ. ἐξ οὗ λίμνη ἐκλήθη Κηφισίς.

Κηφῆνες. ἐκ τοῦ καφὸς, κωφὴν καὶ κηφήν.

Κηρός. παρὰ τὸ καίω, καύσω, ἔκαυσα. ἀποβολῇ τοῦ σ, ἔκηα. ἐξ αὐτοῦ καρὸς καὶ κηρὸς, ὁ καιόμενος. ἐτυμολογεῖται δὲ παρὰ τὸ κηαίεσθαι ῥᾳδίως. ἢ ὅτι κηόμενός ἐστι.

Κῆχος, ὅπερ ἐστὶ ῥῆμα. ἀντὶ τοῦ ποῦ. τὸ κῆ, ἡ δωρικῶς. καὶ τροπῇ τοῦ π εἰς κ. πῆχος γάρ ἐστιν. ἀπὸ τοῦ πῆ ὃ σημαίνει τὸ ποῦ. ὡς τὸ, Πῆ ἔβη Ἀνδρομάχη. ἐκ τοῦ πῆ τοῦ ἄχι, γίνεται πῆχος καὶ κῆχος. ζήτει εἰς τὸ πάπανον.

Κηώεις. ἐκ τοῦ κέω τὸ κοιμῶμαι, κεώεις. καὶ τροπῇ, κηώεις. ἐπὶ τοῦ θαλάμου. ὁ πρὸς τὸ κοιμᾶσθαι ἡτοιμασμένος καὶ εἰργασμένος οἶκος. καὶ ὁ ποιητής. Ὄρσο κέων ὦ ξεῖνε. ἀντὶ τοῦ κοιμηθῆτι διεγερθείς. σημαίνει καὶ τὸν τεθυμιαμένον. ἀπὸ τοῦ τὰ θυμιάματα εἰς αὐτὸν καίεσθαι.

Κηώδης, ὅτε θυμιαμένος παρὰ τὸ καίω.

Κητώεις, παρὰ τὸ κῆτος. τοῦτο παρὰ τὸ κῶ τὸ κεῖμαι. ἢ παρὰ τὸ χῶ χήσω τὸ χωρῶ, χῆτος καὶ κῆτος.

Κιανίς. Ἀφίκοντο Κιανίδος ἤθεα γαίης. Κίος πόλις Μυσίας. ἀπὸ Κίου τοῦ ἡγησαμένου τῶν Μιλησίων τῆς ἀποικίας. τὸ ἐθνικὸν, Κιανός. Τοὔνεκεν εἰσέτι νῦν περ Ὕλαν ἐρέουσι Κιανοί. κατῴκισαν δὲ αὐτὴν Μυσοί. εἶτα Κᾶρες. καὶ τρίτον, Μιλήσιοι. ἔστι δὲ καὶ ποταμὸς ὁμωνύμως τῆς Μυσίας παραρρέων τῇ γῇ. ἡ δὲ Κίος, ἐστὶ πόλις, ἡ νῦν Προυσιὰς ἡ Προῦσα.

Κίβδηλον. ἀπὸ ἱστορίας. οἱ γὰρ Ἀθηναῖοι τῷ πρὸς τοὺς Χίους μίσει φερόμενοι, ἐν τοῖς ἀδοκίμοις ἑαυτῶν ὀνόμασι τὸν τοῦ χ τύπον ἐγχαράττοντες, ἀπέρριπτον βδελυσσόμενοι. κυρίως δὲ λέγεται κίβδηλον, τὸ ὑπόχαλκον χρυσίον.

Κιβωτὸς, παρὰ τὸ κεῖσθαι ἐκεῖ τὴν βόσιν, ἤγουν τὴν τροφήν. ὤφειλε διὰ διφθόγγου, ἀλλ' ἡ παράδοσις τὸ ι ἔχει. καὶ λέγει Ὧρος ὅτι ἴσως παρὰ τὸ κίβος ἐστὶ τὸ σημαῖνον τὴν τροφήν.

Κιβδηλὶς, ἡ ἐν τοῖς μετάλλοις σκωρία.

Κίβισις, σημαίνει κιβώτιον ἢ πήραν. Καλλίμαχος. Εἰ γὰρ ἐπιθήσει πάντα ἐμῇ κίβισις. εἴρηται δὲ παρὰ τὸ ἐκεῖ κεῖσθαι τὴν βόσιν. ἢ παρὰ τὸ κίειν τὸ πορεύεσθαι καὶ ὁρμᾶν, ἡ εἰς τὸ κίειν καὶ ἰέναι νόσιν ἔχουσα τοῦτ' ἔστι τροφήν. καὶ Ἡσίοδος ἐν Ἀσπίδι. Ἀμφὶ δέ μιν κίβισις θέε θαῦμα ἰδέσθαι. ἐβάσταζεν ἐν δικτυωτῷ τινι ἀγγείῳ τὴν κεφαλὴν τῆς Γοργόνος ὁ Περσεύς.

Κιγκλὶς, ἡ καγκελοθυρίς. θύρα δικτυωτή. μάλιστα δὲ ἐπὶ τῶν δικαστηρίων τοιαῦται ἦσαν. ἵνα ταχέως ἀνοίγωνται καὶ κλείωνται. συνεχῶς γὰρ εἰσῄεσαν καὶ ἐξῄεσαν. γέγονεν οὖν παρὰ τὸ κλείω. ἢ κυκλίστις. παρὰ τοὺς κύκλους τοὺς ἀποτελουμένους κλειομένης αὐτῆς. καὶ κιγκλίσαι, τὸ ἀσφαλίσαι. παρὰ τὴν ἀττικὴν κιγκλίδα. καὶ κιγκλίζειν, τὸ σείειν. καὶ κίγκλος, ὀρνιθάριον. ἢ κιγκλὶς, ὄρνις λεγομένη πυκνὰ τὴν οὐρὰν κινοῦσα. ἣν ἐν τῇ συνηθείᾳ ἔνιοι σεισοπυγίδα καλοῦσιν. εἴρηται διὰ τὸ συνεχῶς τὰ οὐραῖα πτερὰ ἐν τῷ αὐτῷ κινεῖν. ἢ παρὰ τὸ σείειν τὴν πυγήν, ὅ ἐστι τὴν οὐράν. σεισοφίκης παρ' ἡμῖν ὀνομάζεται.

Κίδαρις. Τὴν κίδαριν ἀνεδήσατο. ἐκ τριχῶν ὕφασμα. καμελαύκιον, ἢ περίθεμα κεφαλῆς. πῖλος βασιλικός.

Κιδαλία. οἷον, Κιδαλίης κρηπῖδος. ἐπλανήθην ἐκ Πινδάρου. Χεῖρα κιδαλίας. εἰς τὴν χεῖρα αἰτιατικήν, μὴ ποιήσῃς ἔκθλιψιν. κιδαλία γάρ ἐστιν.

Κίθαρις, ἀπὸ τοῦ κεύθειν τὸν ἔρωτα. ἡ κιθαρῳδία.

Κίθαρις, κιθάρα. παρὰ τὸ κινεῖσθαι ῥᾳδίως. ἢ παρὰ τὸ κινεῖν εἰς ἔρωτα τοὺς ἀκούοντας. ἢ παρὰ τὸ κινεῖν τοὺς θερούς.

Κίθαρος. καθ' ὁμοιότητα τῶν ὀστῶν πρὸς τὰς χορδάς. ὁ δὲ Δίδυμος, ἀπὸ τοῦ Κιθαιρῶνος φησίν. ὅτι Ἀμφίων ἐκεῖσε ἐμουσικεύετο. ὅτι τὸ κιθαιρὼν ὀξύνεται τὴν ποιητικὴν ἔχον ἔννοιαν. ὁμοίως τῷ μαραθών. καὶ τὸ ὀργανθών. τὸ μὲν ἱπποθόων περισπώμενον διαιρεῖται. ἱπποθόων γάρ. τὸ κολοφὼν καὶ κατηφὼν, ὀξύνεται ὡς θηλυκά.

Κίκις, γίνεται παρὰ τὸ κίκυς τὸ ἀδελφὸν τὸ ἀλκαίου. ὃ σημαίνει τὴν ἰσχύν. τροπῇ τοῦ υ εἰς ἰῶτα. παρὰ τὸ κίω τὸ πορεύομαι, γίνεται κίκις. ὁ γὰρ ἰσχυρῶς, ἐκ τῆς κινήσεως φαίνεται.

Κίκονες, ἔθνος ἀπὸ Κίκονος τοῦ Ἀπόλλωνος καὶ Ῥοδόπης.

Κικλήσκω. ἀπὸ τοῦ κλῶ τὸ καλῶ, γίνεται κλήσκω. καὶ κατὰ ἀναδιπλασιασμὸν, κικλήσκω. ὡς τρώσω, τιτρώσκω.

Κιλίκιοι τράγοι, λέγονται οἱ δασεῖς. τοιοῦτοι γὰρ ἐν Κιλικίᾳ γίνονται τράγοι. ὅθεν καὶ τὰ ἐκ τριχῶν συντιθέμενα, κιλίκια λέγονται.

Κιμμερίους. φησὶν Ἡρακλείδης ὁ Ποντικὸς, ὑποκάτω τοῦ πόντου εἶναι. γράφεται καὶ Κερβερίων. καὶ ἔοικε καὶ Σοφοκλῆς περιπεπτωκέναι τῇ τοιαύτῃ γραφῇ. ὁμοίως καὶ Ἀριστοφάνης ἐν Βατράχοις. οἷον, Ἢ Κερβερίους λέγω. Πρωτέας δὲ ὁ Ζευγματίτης, χειμερίους γράφει. ἀεὶ γὰρ οὗτοι ἐν χειμῶνι εἰσίν. ἔνιοι δὲ Κεμμερίους. κέμμερον γὰρ λέγουσι τὴν ὁμίχλην. καὶ Σκυθικὸν ἔθνος Κιμμέριοι.

Κινῶ. ἐστὶν ἴν καὶ ἴς, δικατάληκτον ὄνομα, καὶ σημαίνει τὴν δύναμιν. ἐξ οὗ γίνεται ῥῆμα ἰνῶ. καὶ πλεονασμῷ τοῦ κ, κινῶ. σεσημείωται τὸ κίω κινῶ, καὶ κύω κυνῶ. καὶ ἔστι μακρὸν τὸ ι. ἀπὸ δὲ τοῦ κινῶ κινήσω, γίνεται κίνησις καὶ κινησίας. ὡς παρὰ τὸ σώσω, σωσίας.

Κινώπετα, τὰ ἑρπετὰ θηρία οἱονεὶ κινούμενα ἐν τῷ πέδῳ, ὅ ἐστι τῇ γῇ. κινώπεδα τινὰ ὄντα.

Κινάμωμον. Ἡρόδοτος ἐν τρίτῃ λέγει οὕτως. Ὄρνιθας λέγουσι ταῦτα τὰ κάρφεα φέρειν, ἃ ἡμεῖς παρὰ Φοινίκων μαθόντες καλοῦμεν κινάμωμον.

Κίναδος, ἐπὶ τοῦ θηρίου, παρὰ τὸ ἀδδὴν κινεῖσθαι. πολυκίνητα γὰρ τὰ θηρία. καὶ ἡ λοιδορία οἰκείως ἂν ἔχοι ἐπὶ τῶν πολυκινήτων. εἴρηται δὲ παρὰ Μιλησίῳ. Οἱ δὲ καταποθῆναι ὑπὸ τοῦ κινάδεος. καὶ τῷ κινάδει Σοφοκλῆς. Καὶ ὑπερέψατο πανδημεὶ καὶ συνέμιξε τῷ κινάδει. εἰ δὲ οὕτως ἐρᾷ καὶ τὴν ψυχὴν αὐτοῦ, ὡς ἂν καὶ αὐτὴ ἄνθρωπος ἔχουσα ἐξ ἀνθρώπων πέπονθεν. εἴρηται παρὰ τὸ κίναδος τοῦ θ ὅπερ τοὺς Σικελιώτας ἐπὶ τῇ τῶν κακούργων φθέγγεσθαι καταδίκῃ.

Κίναιδος, ὁ κενὸς αἰδοῦς, ὡς Διονύσιος. ἢ ἀσελγὴς παρὰ τὸ κινεῖν.

Κινύμενος, κινούμενος. ἐπὶ πρᾶξιν ὁρμωμένου. ἀπὸ τοῦ κινῶ κινύω κίνυμι.

Κινυρὴ, ὀδυρτική. θρηνητική. κυρίως δὲ κινύρεσθαι, ἐπὶ βοὸς εἴρηται. παρὰ τὸ κινεῖν τὴν οὐρὰν ἐν τῷ μυκᾶσθαι. καὶ Ἀππίων δὲ εὑρὼν τὴν ἐτυμολογίαν ταύτην παρὰ Ἀπολλοδώρῳ, φησὶν ὅτι ταῦρος λέγεται παρὰ τὸ τείνειν τὴν οὐράν. καὶ μετέθηκε τὴν εὕρεσιν τῆς ἐτυμολογίας.

Κινυρόμεναι, μέλπουσαι. ᾄδουσαι. ἀπὸ τῆς κινύρας. καὶ κινύρετο, ἐθρήνει.

Κινάκη, ὁ ἀκινάκης παρὰ Σοφοκλεῖ. τὸ μὲν γὰρ Ἀνακρεόντειον χωρὶς τοῦ ἰῶτα γράφεται. καὶ γέγονεν ἔκθλιψις τοῦ ἰῶτα. καὶ κράσει τοῦ ωα, τῷ κινάκῃ. ὥσπερ ὦ ἄπολλον, ὤπολλον. ἐὰν δὲ ἔχῃ τὸ ι, δῆλον ὅτι ἀφαιρέσει τοῦ α. οἷον, ἀστεροπή, στεροπή. ἀστραπή, στραπή. οἷον, Σὺν τῇδε τῇ στραπῇ. ἐν δὲ τοῖς ἀντιγράφοις, ἔχει τὸ ι καὶ δῆλον ὅτι στραπῇ.

Κίνδαψος, εἶδος ὀργάνου. λέγει δὲ καὶ ὁ Διονύσιος, ὅτι ἔθνος ἐστὶν Ἰνδικόν. οἱ Κινδαψοί. ἔοικεν οὖν ἀπὸ τοῦ ἔθνους ὠνομάσθαι.

Κίνδυνος, κινόδυνός τις ὤν. παρὰ τὸ κινεῖν εἰς ὀδύνην, ἢ εἰς δέος. Ἰστέον δὲ ὅτι τὰ εἰς υν λήγοντα, προθέσει τοῦ ος κλίνεται. οἷον, Φόρκυν, Φόρκυνος. ἡ γὰρ Φόρκυν αἰτιατική, οἷον, Φόρκυν θ' ἱππόθοόν τε, ἀπὸ τοῦ Φόρκυς, Φόρκυος ἐστί. τὴν Φόρκυν. ὡς βότρυος, τὸν βότρυν. κίνδυν, κίνδυνος. καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν, καὶ γίνεται ὁ κίνδυνος, τοῦ κινδύνου. ὥσπερ ὁ ψὰρ τοῦ ψαρός, καὶ ὁ ψάρος τοῦ ψάρου. ἡ κυνὸς γενική, οὐκέτι ἀπὸ τῆς κύων εὐθείας, ἀλλ' ἀπὸ τῆς κύων κύονος. καὶ κατὰ συγκοπὴν, κυνός.

Κιονὶς, ἥ τις λέγεται καὶ Γαργαρεὼν παρὰ Ἱπποκράτῃ. παρὰ τὸ γινόμενον περὶ αὐτὸν ἦχον ἐν τῷ ἀναγαργαρίζειν. οἱ δὲ, σταφυλήν. ἀπὸ τοῦ συνεχῶς καταστάζεσθαι. κιονὶς δὲ εἴρηται, ἢ παρὰ τὴν χύσιν τῶν ὑγρῶν, ἢ παρὰ τὸ κίονος ἔχειν τύπον καθ' ἑαυτὴν οὖσαν ἐπιμήκη.

Κιόκρανα, ἐκ τοῦ κιοκάρανα κατὰ συγκοπήν. ὡς ἀπὸ τοῦ κάρανος, κράνος.

Κίων, ὁ λίθος. ἀπὸ τοῦ κίειν καὶ ἀνιέναι εἰς ὕψος. ἢ παρὰ τὸ ἴω μετοχὴν πλεονασμῷ τοῦ κ. καὶ οἱ μὲν Ἀττικοὶ, ἀρσενικῶς λέγουσιν. οἱ δὲ Ἴωνες, θηλυκῶς. οἷον Χρυσᾶς ὑφιστάντες κίονας τῷ θαλάμῳ. Πίνδαρος.

Κινάβρας, ἐστὶ κυρίως ἡ τῶν τράγων δυσωδία. λέγεται καὶ ἁπλῶς ἡ δυσωδία, ἢ καὶ ἡ πήρα.

Κιών. ἐκ τοῦ κίω τὸ πορεύομαι ἔκιον, δεύτερος ἀόριστος. κιὼν, ἡ μετοχή. ἀντὶ τοῦ πορευθείς. ἔστι καὶ κείω τὸ κοιμῶμαι, καὶ κηῶ τὸ καίω διὰ τοῦ η.

Κίρκη, ἡ κιρνῶσα τὰ φάρμακα. ἢ παρὰ τὴν κερκίδα. τὰς δὲ παιπαλώδεις γυναῖκας ἀπ' ἐκείνης κίρκας καλοῦμεν, ἐπεὶ φαρμακὶς ἦν ἐκείνη.

Κίρκαιον, τόπος καὶ πεδίον Σκυθίας, ἔνθα ἡ Κίρκη διέτριβε. Κίρκαιον δὲ εἶπε, τὸ ῥιζοφόρον. Κίρκαιον τότε δὴ κικλήσκεται. τὴν δὲ Κίρκην φασὶ θυγατέρα Αἰήτου εἶναι καὶ Ἑκάτης προσέτι ἀδελφὴν Μηδείας. Ἀπολλώνιος.

Κίρρις, ὁ ἰχθύς. ἐπειδὴ κιρρός ἐστι τὴν χροιάν. κιρρὸς δὲ διὰ τοῦ ε ψιλοῦ. κίρρις, εἶδος ἱέρακος. ὁμοίως δὲ λέγεται παρὰ Κυπρίοις κίρρις ὁ Ἄδωνις. παρὰ Λάκωσι δὲ, ὁ λύχνος.

Κρίσα, πόλις τῆς Φωκίδος. ἀπὸ τούτου λέγουσι Κρισαῖον κόλπον. καὶ Ὅμηρος. Κρῖσάν τε ζαθέην. ὑπερθέσει, γίνεται Κίρσα. ὡς Χερσόνησος, Χερρόνησος. Λεωκρίνης δὲ ἡγεῖται δύο εἶναι πόλεις. ἄλλην τὴν Κρῖσαν, καὶ ἄλλην τὴν Κίρραν. ἀντιλέγεται δὲ ὑπὸ πολλῶν. οὔτε γὰρ τῶν γεωγράφων εἶπέ τις πόλεις δύο διαφόρους, ἀλλ' οὐδὲ τῶν περιηγητῶν. μόνος δὲ αὐτὸς καὶ τοῦτο δι' ἄγνοιαν καὶ ἰδιωτισμὸν τοῦ πάθους. ὅθεν ἱστορίαν δίδωσι διεψευσμένην. ἡ αὐτὴ οὖν Κρῖσα καὶ Κίρρα. περὶ παθῶν.

Κίσηρις, τὸ κισήριον, παρὰ τὸ κινεῖσθαι ἐν τῷ σαίρειν. ἢ ὅτι κίσηλις ἦν. καὶ κατὰ μεταβολὴν τοῦ λ εἰς ρ, κίσηρις. παρὰ τὸ κὶς καὶ τὸ λὶς, ὁ ὑπὸ κιὸς λίς. λίθος γάρ ἐστι διαβεβρωμένος. κὶς γὰρ θηρίον ἐστὶν ἐσθίων πυροὺς καὶ κριθάς.

Κισσύβιον, τὸ ἀγροικικὸν ποτήριον. ἴσως ἀπὸ τοῦ κισσοῦ. ἐξ οὗ κατεσκεύαζον τὰ ποτήρια. κοινοτέρως δὲ, καὶ ἐπὶ πάντων τῶν ξυλίνων ποτηρίων ἡ λέξις τίθεται. παρὰ τὸ κεχύσθαι εἰς αὐτὸ τὸν οἶνον. οἷον, χύω χύσω, χυσίβιον, καὶ κισσύβιον.

Κισσῶ, συζυγίας δευτέρας τῶν περισπωμένων. σημαίνει τὸ μετὰ ἡδονῆς συλλαμβάνειν τὴν γυναῖκα. γίνεται παρὰ τὸ κίσσα. ἐπειδὴ τὸ ὄρνεον λιχνότατόν ἐστι, καὶ πρὸς τὰς συνουσίας καὶ τὰς ἡδονὰς καταφερές. ἐτυμολογεῖται παρὰ τὸ κίειν καὶ μετὰ σφοδρότητος σεύεσθαι πρὸς τὸ συνουσιάζειν. καὶ κίττα λέγεται, ὅταν ἐν γαστρὶ ἔχουσα γυνὴ, περὶ τὸν δεύτερον καὶ τρίτον μῆνα ὀρέγηται ἀτόπων τινῶν. οἷον, ὀστράκου. λίθου, ἢ ἄνθρακος. ἢ κόμφακος. γίνεται δὲ ἀπὸ τῶν μοχθηρῶν τῆς μήτρας ἀτμῶν φερομένων ἐπὶ τὸν στόμαχον.

Κίριον. Φάνης ὁ Ἐρέσιος, ἔννοιαν ἡμῖν δίδωσι μήποτε ἀπὸ τῆς κέδρου τὸ κίριον ὠνόμασται. καὶ γὰρ τὴν κέδρον φασὶν ἀκάνθας ἔχειν περὶ τὰ φύλλα, ὡς τὸ κίριον. Ἀθηναῖοι δὲ ἀπὸ τοῦ τόπου αὐτὸ ἐτυμολογοῦσιν. Ὧρος.

Κιχάνω, ἀπὸ τοῦ κίω τὸ πορεύομαι καὶ τοῦ πλεονασμοῦ τοῦ χ, γίνεται κίχω βαρύτονον. καὶ περισπώμενον κιχῶ. καὶ παράγωγον εἰς μι, κίχημι. ὅθεν τό, Οὔτινα μὲν βασιλῆος κιχείη. εὐκτικὸν δευτέρου ἀορίστου, ἀντὶ τοῦ καταλάβοι. τινὲς κιχοίη. γίνεται καὶ κιχῶ κιχείω. ὡς βρώσω βρωσείω. ἐκ τοῦ κιχῶ, παράγωγον, κιχάνω. τὰ διὰ τοῦ χω ῥήματα, μὴ ἔχοντα ὀνόματα ἀντιπαρακείμενα, ταῦτα μὲν βαρύνεται, διὰ τοῦ η γράφεται. μὴ ἔχοντα ὀνόματα εἶπε, διὰ τὸ λειχῶ τὸ κατεσθίω. ὥς τό, Καὶ τὴν χοῦν ἔλειξαν. ἐξ οὗ καὶ λοιχὸς ὁ λαίμαργος. καὶ γραπτέον λοιχός. ταῦτα δὲ περισπᾶται, διὰ τοῦ ι γράφεται, στιχῶ. ἐξ οὗ τό, Ἐστιχόωντο. καί, Αἰὲν ὁμοστιχάει. διχῶ, ἐξ οὗ, Διχόωσι σελήνην. σεσημείωται δύο. βληχῶ, ὅ ἐστι ποιὰ φωνὴ τῶν προβάτων. καὶ τὸ ἠχῶ, ἐξ οὗ ἤχησαν. ἐν δὲ τοῖς βαρυτόνοις, τὸ γλίχω.

Κιχήλας, πλεονασμῷ τοῦ η. κίχλας γάρ. οἷον, Κρέα τ' ὀρνίθεια κιχηλῶν.

Κιχεύ. ἐκ τοῦ χεῶ τὸ τρέχω, γίνεται κατὰ ἀναδιπλασιασμὸν χιχεύ. καὶ διὰ τὴν ἐπαλληλίαν, κιχεύ. ἐξ οὗ, Χρηστὸς ἀνήρ, ὁ οἰκτείρων καὶ κιχεύν.

Κιχλισμός, πορνικὸς γέλως. πολὺς καὶ ἄκοσμος. διὰ δὲ τοῦ κ, κικλισμός, ἦχος τινὰ ἀπὸ τελῶν.

Κλαγγή. Κλαγγῇ ταί γε πέτονται ὄρνιθες ὥς. ἐπίρρημα ποιότητος. γίνεται δὲ τὸ κλαγγή, ἐκ τοῦ κλάζω. πεποίηται δὲ ἡ φωνὴ ἀπὸ τῆς προσκρούσεως τῶν βελῶν. κλαγγὴ δέ, ἡ βοὴ τῶν γεράνων. ἰλιάδος γ. Ἠΰτε περ κλαγγὴ γεράνων πέλει. ἀπὸ γὰρ τῆς τοῦ ἤχου ἰδιότητος, οἱ σοφώτατοι τῶν ποιητῶν τὰ τοιουτότροπα τῶν ὀνομάτων σχηματίζουσι.

Κλαγγηδόν. Κλαγγηδὸν προκαθιζόντων. ἰλιάδος β. ἀντὶ τοῦ μετὰ βοῆς. ἔστι δὲ ἐπίρρημα ποιότητος. καὶ γίνεται ἐκ τοῦ κλαγγή. τοῦτο ἐκ τοῦ κλάζω, κλάγξω, ἔκλαγξαν. ἤχησαν. ἐκτύπησαν. μιμεῖται δὲ τὴν τοῦ χαλινοῦ βοήν. ἢ ἀπὸ τοῦ κράζω κατὰ τροπὴν καὶ πλεονασμῷ τοῦ γ, ὡς τὸ ἐρίδουπος, ἐρίγδουπος. καὶ ὤφειλεν ὁ ἐνεστὼς ἔχειν τὸ ν. ἀλλὰ κανών ἐστιν ὁ λέγων, ὅτι οὐδέποτε τὸ ν πρὸ τοῦ ζ ἐν μιᾷ λέξει εὕρηται. τὸ ἐνζάξαι, δύο λέξεις εἰσίν. ὅμοιόν ἐστι καὶ τὸ πλάγχθη ὃ σημαίνει τὸ ἐπλανήθη καὶ ἀπεκρούσθη. Πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκός. ἀπὸ τοῦ σιδήρου ὁ σίδηρος. ἀπὸ τοῦ πλάζω, πλάζομαι, πλάχθη. καὶ πλεονασμῷ τοῦ γ, πλάγχθη. ἀπὸ τοῦ πλάζω γίνεται καὶ οὐκ ἔχει τὸ ν. ἔστι γὰρ πλεονασμὸς πλανάζω. καὶ συγκοπῇ, πλάνζω. καὶ ἔχει τὸ ν. ἀλλὰ διὰ τὸν εἰρημένον κανόνα, ἀποβάλλει τὸ ν. πλάζω οὖν, ὁ μέλλων, πλάγξω. καὶ ἔχει οὗτος. ὁ δὲ ἐνεστώς, οὐκ ἔχει. λοιπὸν ἐκ τοῦ κλάζω, ὅπερ γίνεται ἐκ τοῦ κρῶ κράζω καὶ κλάζω. ὁ μέλλων, κλάγξω, γίνεται ῥηματικὸν ὄνομα κλαγγή.

Κλάδος, παρὰ τὸ καλὸν εἶδος ἔχειν.

Κλῶ, σημαίνει πέντε. τὸ καλῶ, ἐξ οὗ καὶ κλῆρος. τὸ ἐπαινῶ, ἐξ οὗ καὶ κλεῖ τὸ ἐπαινεῖ. τὸ κλάνω, ἐξ οὗ καὶ κλαίω. κλῶ, τὸ φωνῶ, ἐξ οὗ καὶ κατὰ παραγωγήν, κλύω. κλῶ τὸ ἐμποδίζω, ἐξ οὗ καὶ κλαῖν τὸ ἐμποδίζειν.

Κλαίω, διχῶς παράγωγόν ἐστιν. ἐκ τοῦ κλῶ τὸ κλάνω. διακλᾶται γὰρ ἡ φωνὴ τῶν ἀνθρώπων ἐν τῷ κλαίειν. ἢ καὶ ἡ ψυχή ἐστιν ἡ τὸ κλᾶσθαι πάσχουσα. ἢ ἀπὸ τοῦ κλῶ κλαίω τοῦ σημαίνοντος τὸ καλῶ. εἰώθασι γὰρ οἱ ἄνθρωποι καλεῖν τοὺς ἀποθανόντας ἐν τῷ κλαίειν καὶ θρηνεῖν. ἢ ἐκ τοῦ καλῶ κλάω καθ' ὑπέρθεσιν. εἰώθασι γὰρ οἱ κλαίοντες, ἀνακαλεῖσθαι τοὺς τεθνεῶτας. τὸ παθητικόν, κλαίομαι. αἴτιον τῆς τῶν παθητικῶν ῥημάτων κλίσεως ἡ τῶν ἐνεργητικῶν ἐστι πλαγίων μετάβασις. εἰκότως. καὶ τὰ παθητικὰ ἄρα τῶν προκειμένων ἐνεργητικῶν τοῦ κλαίω καὶ θρηνῶ καὶ τῶν ὁμοίων, ὑφίσταται. ζήτει κάτω διατί τρέπεται τὸ ι εἰς υ.

Κλαυθμός. παρὰ τὸ κλαίω, κλαύσω, κλαυσμός, καὶ κλαυθμός. ἢ παρὰ τὸ κλῶ τὸ κλάνω. κλῶνται γὰρ αἱ φωναὶ τῶν θρηνούντων.

Κλέος, ἡ δόξα. παρὰ τὸ κλείω τὸ δοξάζω. ὅμηρος. Ἐγὼ δέ σε κλείω κατὰ ἀπείρονα γαῖαν. ἀντὶ τοῦ ἀμοιβαδίς τι, περιφημίσαι σε ἔχω εἰς πᾶσαν τὴν γῆν. ἢ παρὰ τὸ κλύειν τὸ ἀκούειν. ἡ γὰρ ἀκουομένη φήμη. ἢ παρὰ τὸ καλῶ. τὴν γὰρ δόξαν πάντες καλοῦμεν πρὸς ἑαυτούς.

Κλέα, δόξας. παρὰ τὸ κλύεσθαι, ὅ ἐστιν ἀκούεσθαι. Ἄειδε δ' ἄρα κλέα ἀνδρῶν. ἰστέον ὅτι τὸ κλέα καὶ χέα, ἀπὸ τοῦ κλέεα καὶ χέεα γέγονε κατὰ συγκοπήν. ζήτει εἰς τὸν περὶ τῶν κανόνα τοῦ χοιροβοσκοῦ.

Κλεός. πίνδαρος. οὐκ οἶδα ὅπου φησὶ κλεός. κέλεος, καὶ συγκοπῇ, κλεός. ὀξύνεσθαι δεῖ.

Κλεωναί, τόπος ἐστὶ περὶ τὴν νεμέαν, ὅστις οὕτως ἐκλήθη, διὰ τὸν ἐκεῖ φονευθέντα ὑπὸ ἡρακλέους λέοντα. λεωναί, κατὰ πλεονασμὸν τοῦ κ καὶ αὔξησιν, κλεωναί.

Κλεοφόντης. τὰ εἰς ης παρὰ οὐδέτερα συντιθέμενα, εἰς ους ἔχει τὴν γενικήν. παρὰ οὐδέτερα συντιθέμενα εἴρηται, ἵνα κατὰ τὸ τέλος ἔχει τὸ οὐδέτερον, καὶ μὴ κατὰ τὴν ἀρχήν. τὸ γὰρ κλεοφόντης κλεοφόντου, παρὰ οὐδέτερον συντίθεται. ἀλλ' ὅμως οὐκ ἔχει τὴν κλιτικὴν εἰς ους. ὅτι οὐ κατὰ τὸ τέλος, ἀλλὰ κατὰ τὴν ἀρχὴν ἔχει τὸ οὐδέτερον. παρὰ τὸ κλέος γὰρ καὶ τὸ φόντης, ὃ σημαίνει τὸν φονεύσαντα. διατί τρέπεται τὸ ι εἰς υ ἐν τῷ κλαύσω μέλλοντι. ἐν δὲ τῷ παίω καὶ τοῖς ὁμοίοις οὐ τρέπεται. λέγομεν ὅτι ἐπειδὴ τὸ κλαίω ἀποβάλλει τὸ ι καὶ γίνεται κλάω, ὡς καίω κάω, καὶ αὐτὸ τὸ ἀποβαλλόμενον ι καὶ υ ἐν τῷ μέλλοντι. τὸ δὲ παίω καὶ δαίω, οὐ γέγονε πάω, ἢ δάω. καὶ εὐλόγως οὐκ ἐγένετο ὁ μέλλων παύσω καὶ δαύσω, ἀλλὰ παίσω καὶ δαίσω.

Κλέπτης, ἀπὸ τοῦ καλύπτω. καλύπτης τίς ὤν. λάθρα γὰρ ὑφαιρεῖται. κλέπτω σημαίνει δύο. ἐπὶ τοῦ κυρίως νοουμένου. τίθεται καὶ ἐπὶ τοῦ ἐξαπατᾶν, καὶ παραλογίζεσθαι. Κλέπτε νόῳ.

Κλεψύδρα, ὄργανον ἀστρονομικόν, ἐν ᾧ μετροῦνται αἱ ὧραι.

Κλεύθομαι. ἐὰν μὲν ὑπὸ τὸ ἄδην κρύπτωμαι, ἔστι κεύθομαι. καὶ πλεονασμῷ τοῦ λ. ἐὰν δὲ παράγωγον, κελεύθομαι κλεύθομαι.

Κλεῖτος, ἐκ τοῦ κλέος γίνεται κλέω. καὶ πλεονασμῷ τοῦ ι, κλείω. σημαίνει τὸ δοξάζω. ἐκ τούτου γίνεται κλεῖτος καὶ κλειτοφῶν. καὶ κλειταγόρας.

Κλεισθένης, παρὰ τὸ κλέος καὶ τὸ σθένος κλεοσθένης. καὶ κράσει τοῦ ε καὶ ο εἰς τὴν ει δίφθογγον, κλεισθένης. ὥσπερ δέον δεῖν, καὶ πλέον πλεῖν.

Κλειτή, μία τῶν ἀμαζόνων. ἥτις ἐλθοῦσα εἰς ἰταλίαν ᾤκησε καὶ πόλιν ἔκτισεν, ἣν ἀπ' αὐτῆς κλειτὴν ὠνόμασαν. καὶ ἐβασίλευσε τοῦ τόπου. καὶ αἱ ἀπ' αὐτῆς διαδεχόμεναι τὴν βασιλείαν, κλειταὶ ὠνομάσθησαν. εὗρον δὲ ἐν ἀπολλωνίῳ καὶ σχόλιον, ὅτι κυζίκου γαμετὴ ἦν μέροπος θυγάτηρ περκώσιος. τὸ γένος μάντεως. διχῶς δὲ ὁ τόνος. οἱ δὲ πλείους ὀξύνουσι. καὶ ἡ τὴν ἔνδοξον.

Κλεῖν, ἀπὸ τοῦ κλεὶς κλειδὸς κλειδὶ κλεῖδα. καὶ συγκοπῇ τῆς δα, κλεῖ. ἀλλ' ἐπειδὴ πᾶσα αἰτιατικὴ μονοσύλλαβος ἀρσενική, ἢ θηλυκή, αὐτὴ καθ' ἑαυτὴν οὖσα, εἰς ν θέλει λήγειν, τούτου χάριν προσέλαβε τὸ ν, καὶ γέγονε κλεῖν.

Κλεῖθρα, ἀπὸ τοῦ κλεὶς γέγονεν, ἢ ἀπὸ τοῦ κλείσω. τὸ κλείω δὲ οἱ ἴωνες διὰ τοῦ η καὶ ι γράφουσιν. ἐξ οὗ καὶ τὸ κλῇθρα διὰ τοῦ η καὶ ι γράφεται.

Κληΐς, παρὰ τὸ κλείω κλείσω. ἀποβολῇ τοῦ ω κλείς. καὶ διαλύσει κλεΐς. καὶ ἐπαυξήσει τοῦ ε εἰς η, κληΐς. τὸ ι μακρόν. ἐπειδὴ τὰ εἰς ις ὀξύτονα θηλυκὰ ὅτε ἐκτείνουσι τὸ ι σύμφωνον ἔχουσι πρὸ αὐτοῦ, οἷον σφραγίς. βαλβίς. ὅτε δὲ καθαρόν, συστέλλει αὐτό. οἷον βρισηΐς. χρυσηΐς. νηΐς. σεσημείωται τὸ κληΐς καθαρόν, καὶ ἐκτεῖνον τὸ ι. τὸ δὲ κλεὶς ἐπεὶ εἶχε καὶ βαρεῖαν καὶ διὰ δίφθογγον. ἀλλ' ἀπὸ τοῦ δίς, καὶ τὸ κληΐς γίνεται δικληΐς. καὶ κατὰ συγκοπὴν τοῦ η, καὶ συναλοιφὴν τοῦ ι, δικλίς. ὅμοιον δέ ἐστι καὶ τὸ ἐγκλίς. οὕτω δὲ λέγεται ἡ κατακλειωτὴ θύρα. ἤτοι δὲ τὴν κατακλεῖδα, παρὰ τὸ κατακλείεσθαι ὑπ' αὐτῆς τόν τε αὐχένα καὶ ὦμον. ὅθεν καὶ δημοσθένης φησί, Τὴν κλεῖν κατεαγότα.

Κληΐδες, αἱ τῶν ἐρεσσόντων καθέδραι, παρὰ τὴν κλάσιν τῶν γονάτων, ἣν ποιοῦνται οἱ καθεζόμενοι. ἔνθεν καὶ ὀκλαδίαι, οἱ πτηνοὶ δίφροι. καὶ τὸ μετοκλάζειν, παρὰ τὸ ἐγκλᾶν καὶ κάμπτειν τὸ γόνυ. τὸ κληΐς μετὰ τοῦ πολύ, γίνεται πολυκληΐς. καὶ ἀναβιβάζει τὸν τόνον. τὰ γὰρ εἰς ις θηλυκὰ καὶ ταῦτα μὲν βαρύνεται, ἐν τῇ συνθέσει προπαροξύνεται. οἷον πόλις, ἀκρόπολις. μῆτις, πολύμητις, καὶ ἀγκυλόμητις. ταῦτα δὲ ὀξύνεται, ταῦτα μὲν τοῦ αὐτοῦ γένους ὦσι, τὸν αὐτὸν φυλάττει τόνον. οἷον αἰγὶς καταιγίς. νυχίς, παννυχίς. οἰκίς, περιοικίς. ταῦτα δὲ ἀρσενικοῦ γένους ὦσιν, ταῦτα μὲν ἐκτείνουσι τὸ δίχρονον ἐν τῇ συνθέσει προπαροξύνονται. οἷον ἀκτὶς χρυσάκτις ἥλιος. κνημίς, εὐκνήμις. κληΐς πολυκλήϊς. εἰ δὲ βραχὺ αὐτὸ ἔχει, προπαροξύνεται ἐν τῇ συνθέσει. οἷον πάρις εὔπαρις, καὶ λειπόπαρις. ἀσπίς, ῥίψασπις. σημαίνει τὸν δειλὸν στρατιώτην, παρὰ τὸ ῥίπτειν τὴν ἀσπίδα καὶ φεύγειν. ἰλιάδος βῆτα. Καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϊσι κελεύω. πολυκαθέδροις, ἐξ οὗ καὶ πολυκώποις. τινὲς πολυκληῖσι προπαροξύνουσιν. ὡς καὶ τὸ ἁπλοῦν, Ἐπὶ κληῖσι κάθιζον. οὐκ ἔχει δὲ οὕτως ἡ ἀνάγνωσις. ἔστιν οὖν ὁ λόγος ὑπὲρ τοῦ βαρυτόνου λέγων οὕτως. τὰ εἰς ις λήγοντα θηλυκὰ ὀξύτονα. ταῦτα μὲν ἐν τῇ συνθέσει φυλάσσῃ μόνον τὸ θηλυκὸν γένος, καὶ τὸν αὐτὸν τόνον φυλάσσει. ταῦτα δὲ μεταληπτικὸν γένους, καὶ ἀρσενικόν, μεθίσταται καὶ εἰς βαρύτονον τάσιν. κανόνος παραδείγματα. τοῦ μὲν προτέρου περισκελίς. τοῦ δὲ δευτέρου δύσελπις. ταύτῃ οὖν τὸ μὲν καταιγὶς ὀξύνεται. τὸ δὲ μελάναιγις βαρύνεται. οὕτως οὖν καὶ τὸ εὐκληΐς, καὶ πολυκληΐς βαρύνεται. τίθεται γὰρ καὶ ἐπὶ ἀρσενικοῦ. ὡς καὶ ἐκ τοῦ ἐναντίου τὸ λεύκασπις. καὶ γὰρ ἐπὶ ἀμαζόνος τάσσεται ἄν. τὸ εὐκληΐς, καὶ τὸ εὐκνήμις, ἐπὶ τῆς ἀθηνᾶς. Ἐπὶ νηὸν εὐκνήμιδος ἰτώνης.

Κλῆρος, ἐκ τοῦ καλῶ γίνεται κλῶ. κλήσω. ῥηματικὸν ὄνομα κλῆρος, ὁ καλῶν ἐφ' ἑαυτὸν τὸν λαχόντα. ὁ δὲ ἡρωδιανὸς παρὰ τὸ κᾶλον, ὃ σημαίνει τὸ ξύλον. ἐπειδὴ ἐν τοῖς ξύλοις ἐχαράσσοντο οἱ κλῆροι, ἢ ἐπεὶ ἐν ξύλοις ἐνεγράφοντο τὰ ὀνόματα αὐτῶν. καὶ ὁ ποιητής, Ὃς μὲν ἐπιγράψας κυνέῃ βάλεν, ἰλιάδος η, ἀντὶ τοῦ ἐπιξέσας, γράμματι ἐπισημειωσάμενος. σημαίνει δὲ ψήφους τινάς, ὅπερ καὶ λαχμὸς λέγεται. ἐν αἷς ἐσημειοῦντο, καὶ ἔγραφον τὰ ὀνόματα αὐτῶν. ὥς τό, Ὦ φίλοι ἦτοι κλῆρος ἐμός. καί, Ἔβαλον κλήρους καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ ἰωνᾶν. σημαίνει καὶ τὴν ὕπαρξιν καὶ κληρονομίαν. ὥς τό, Παῖδες ὑπέρθυμοι διὰ κλήρους ἐδάσαντο. καί, Κλῆρος ἀκήρατος, ὅ ἐστι τὰ κτήματα. λέγεται κλῆρος καὶ τὸ σύστημα τῶν διακόνων καὶ πρεσβυτέρων. λέγεται παρὰ ἀθηναίοις κλῆρος καὶ μέρος γῆς. ὅθεν καὶ κληροῦχοι, οἱ τοὺς κλήρους τὰ μέρη τῆς γῆς κατέχοντες.

Κληρονομία, ἐκ τοῦ κληρονομῶ. τοῦτο ἐκ τοῦ κληρονόμος. τοῦτο ἐκ τοῦ κλῆρος καὶ τοῦ νόμος. τὸ α, μακρόν. διατί. τὰ διὰ τοῦ ια προπαροξύτονα θηλυκὰ τῷ ι μόνῳ παραληγόμενα, ἐκτείνει τὸ α. οἷον ἀργία. καρδία. πρόσκειται παροξύτονα, τὰ γὰρ προπαροξύτονα, συνεσταλμένον ἔχει τὸ α. οἷον ψάλτρια. καὶ τὰ ὅμοια. πρόσκειται τῷ ι μόνῳ παραληγόμενα, τὰ γὰρ διφθόγγῳ παραληγόμενα συστέλλει τὸ α. οἷον ταχεῖα, εὐσέβεια. χωρὶς τῶν ἀπὸ τῶν διὰ τοῦ ευω. ταῦτα γὰρ ἐκτείνει τὸ α. οἷον, χορεύω χορεία. ἱερεύω ἱερεία.

Κλητῆρες, ζήτει εἰς τὸ τέλος.

Κληΐζω, σημαίνει τὸ φημίζω. εἴρηται ἐκ τοῦ καληΐζω.

τὸ δὲ κληδὴν οὐκ ἔχει τὸ ι. ἐπειδὴ οὐκ ἔστιν ἀπὸ τοῦ κληΐζω, ἀλλ' ἀπὸ τοῦ κλῶ κλήσω.

Κληδὴν καλοῦντας, κηρύσσοντας. ἀπὸ τοῦ καλῶ κλῶ κλήσω κληδήν. ἐξ οὗ καὶ κληδὼν καὶ κλῆσις.

Κληδὼν, ἡ θεία φήμη. παρὰ τὸ κλέος, ὃ σημαίνει τὴν φήμην. ὡς τὸ, Ἡμεῖς δὲ κλέος οἶον ἀκούομεν.

Κλῆρος, διὰ τοῦ η. σημαίνει τὴν ἔλευσιν καὶ τὴν συνάθροισιν. καὶ ἔστιν οὐδέτερον καὶ βαρύνεται. εἰ δὲ ὀξύνεται, ἀρσενικόν ἐστι, καὶ σημαίνει τὸν κεκλημένον. καὶ διὰ τοῦ ι σημαίνει δύο, μέρος τι τῆς οἰκίας τὸ καλούμενον πρόσκλιτον ἢ κατάκλιτον. ὡς τὸ, Ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου. σημαίνει καὶ τὸ εὐώνυμον τόπον τὸ εὐώνυμον μέρος. ὡς τὸ, Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς καὶ μυριὰς ἐκ δεξιῶν σου.

Κλειτὺς, ὁ μὲν ἀπίων τὸ κατωφερὲς τῶν ὑδάτων. ἄμεινον δὲ τὰ ἀπόκλιμα τὰ καὶ ἐξέχοντα τῶν ὀρέων, παρὰ τὸ κεκλίσθαι. ἢ παρὰ τὸ κλέος, ὃ σημαίνει τὸ αὐτό. γίνεται κλετύς. καὶ πλεονασμῷ τοῦ ι, κλειτύς.

Κλιτόριον, ὄνομα πόλεως. ἀπὸ τοῦ κλύω κλιτόριον τροπῇ τοῦ υ, εἰς ι. ἔστι δὲ καὶ πηγὴ ἐν ταύτῃ τῇ πόλει. ἧς ὁ γευόμενος ἀποστρέφεται τὸν οἶνον. σημαίνει δὲ καὶ τὸ αἰδοῖον τῆς γυναικός. ὅθεν καὶ κλιτοριάζειν λέγεται τὸ αἰσχρῶς ἅπτεσθαι.

Κλίμαξ, ἡ σκάλα. ἀπὸ τοῦ κλίνω κλίναξ καὶ κλίμαξ. εἰ δὲ σημαίνει τὴν ἄμπελον γράφεται διὰ τοῦ η. καὶ γίνεται παρὰ τὸ κλάω κλάμαξ καὶ κλῆμαξ. κλίμα μὲν ἐστι μέρος τι τοῦ κόσμου. κλῆμα δὲ εἶδος ἀμπέλου.

Κλινοπετής, κλινήρης. κλινήρης δὲ παραλελυμένος.

Κλίνη, ἀπὸ τοῦ κλίνω. εἰς αὐτὴν γὰρ ἐγκλίνοντες ἀναπαυόμεθα. τοῦτο δὲ παρὰ τὸ κλῶ. κλάσιν γὰρ λαμβάνουσι τὰ κλινόμενα, στερισκόμενα τῆς ὀρθότητος.

Κλισμοῖς, θρόνοις ἔχουσιν ἀνακλίσεις. παρὰ τὸ κλίνω, τὸ ἀνακλίνω.

Κλισία, ἀπὸ τοῦ κλίνω, ὃ σημαίνει τὸ περιέχω γίνεται. ὅθεν καὶ κλίσις ἡ περιέχουσα. καὶ κλισία. σημαίνει δὲ τὴν σκηνήν. ὡς τὸ, Τὸν δ' εὗρον παρά τε κλισίῃ καὶ νηὶ μελαίνῃ ἥμενον. σημαίνει καὶ τὸν θρόνον. ὡς τὸ, Τῇ δ' ἄρ' ἀδρήστοιο κλισίην εὔτυκτον ἔθηκε. σημαίνει καὶ τὴν ἔπαυλιν. ἀπὸ τοῦ ἐν αὐτῇ κλίνεσθαι τὰ θρέμματα.

Κλίσιον, σημαίνει τὸν τόπον, ἔνθα ἵστανται τὰ ζεύγη. ὁ μὲν τεχνικὸς διὰ τῆς ει διφθόγγου γράφει. ὁ δὲ ἡρωδιανὸς διὰ τοῦ ι λέγει. ὅτι παρὰ τὸ κλίνω ἐστί. καὶ σημαίνει τὸ περιέχω. καὶ ἐκεῖθεν κλίσις. καὶ κλίσιον τὸ ὑποκοριστικόν. τοῦτο παρὰ μὲν ὁμήρῳ συστέλλει τὸ ι καὶ προπαροξύνεται. οἷον, Περὶ δὲ κλίσιον θέεν πάντῃ. παρὰ δὲ τοῖς ἀττικοῖς ἐκτείνεται τὸ ι, καὶ παροξύνεται, ὡς τὸ θηρίον. τὰ γὰρ διὰ τοῦ ι παρώνυμα εἰ βραχέα προπαροξύνεται. στόμα. στόμιον. θρόνος, θρόνιον. πτὺξ πτυχός, πτύχιον. οὕτω καὶ κλίσις κλίσιον. τὰ δὲ δακτυλικὰ πρὸ μιᾶς ἔχει τὸν τόνον.

Κλιντῆρες, εἶδος φορείου, ἢ κλινίδιον ἔχον ἀνακλίσεις, οἷον, τὸ νῦν κλινοκαθέδριον.

Κλιμακίδες, αἱ τῶν πλοίων ἀποβάθραι.

Κλιμακίσας, ζήτει εἰς τὸ ἐκκλίμεναι.

Κλύω, σημαίνει δύο. τὸ δοξάζω, καὶ γίνεται ἀπὸ τοῦ κλέος ἡ δόξα κλέω καὶ κλύω. ὡς ἀπὸ τοῦ ῥέω ῥύω, καὶ χέω χύω, καὶ ξέω ξύω. σημαίνει καὶ τὸ ἀκούω. καὶ γίνεται παρὰ τὸ καλῶ κλῶ, κλύω. κατὰ παραγωγήν, κλῦμι, ἔκλυν, ἔκλυς, κλῦθι. καὶ κατὰ ἀναδιπλασιασμόν, κέκλυθι.

Κλῦτε φίλοι. τὸ κλυ, βραχύ. τὰ γὰρ προστακτικὰ τοῦ ἐνεστῶτος βραχεῖα θέλει παραλήγεσθαι.

Κέκλυτέ μευ, ἀντὶ τοῦ ἀκούσατε. ῥῆμα ἀορίστου δευτέρου. ὅθεν οὐκ ἔχει μακρὸν τὸ υ. ὁ γὰρ ἐνεστὼς, βραχύ. ἔστι τῶν εἰς μι προστακτικοῦ χρόνου ἐνεστῶτος. ἀπὸ τοῦ κλύω κλῦμι κλῦθι. τὸ δεύτερον τῶν πληθυντικῶν, κλῦτε. καὶ κατὰ ἀναδιπλασιασμόν, κέκλυτε. ἀλλ' ἴσως τις ἐρεῖ, ὅτι ταῦτα συστέλλει. τὸ δὲ κλῦθι, μακρὸν ἔχει τὸ υ. ἰστέον ὅτι πολλὰ παρατίθησιν ἡμῖν ὁ ἀπολλώνιος μακροκατάληκτα, ὡς τὸ, δῶθι. Δῶθι δέ μοι κλέος ἐσθλόν. ἀπὸ τοῦ δίδωθι. οὐδὲν οὖν ἄτοπον, εἰ καὶ τὸ κέκλυθι μακρὸν ἔχει τὸ υ. ἰστέον ὅτι τὸ κέκλυθι, καὶ τὸ κέκραχθι, ὡς οἱ πλεῖστοι καὶ ἡ χρῆσις μαρτυρεῖ, παρακειμένου εἰσί. τὰ γὰρ παρακειμένου τὰ προστακτικὰ, ποτὲ μὲν εἰς ε λήγει, οἷον τέτυφε. ποτὲ δὲ εἰς θι, οἷον τέτυφθι. οὕτως οὖν καὶ κέκλυθι. οὕτως εὗρον ἐν τῷ ζηνοδότου.

Κλυτὸς, παρὰ τὸ κλύω τὸ δοξάζω γίνεται κλυτὸς ὁ ἔνδοξος. καὶ κλυτὰ, τὰ λαμπρὰ καὶ ἔνδοξα. καὶ, Ἀΐδι κλυτοπώλῳ. ἐπιθετικῶς, ἀντὶ τοῦ τοῖς ἱππικοῖς τοῖς ἰσχυροῖς καὶ ὀνομαστοῖς ἵπποις ἔχοντι διὰ τὴν ἁρπαγὴν τῆς περσεφόνης. ἢ ὅτι οὐδεὶς τὸν θάνατον διαφυγεῖν δύναται. ἢ οὗ κλυτὴ γίνεται ἡ ἐπιπώλησις. οἷον ἀκουστή. διὰ τὰς ὑπὸ τοῖς ἀποθανοῦσιν οἰμωγάς.

Κλύμενος, ὄνομα κύριον ἥρωος. παρὰ τὸ κλύω τὸ δοξάζω. ἔστι καὶ ἐπίθετον ἅδου. τουτέστιν ὁ πάντας καλῶν πρὸς ἑαυτόν. ἢ ὁ ὑπὲρ πάντων ἀκουόμενος.

Κλοιὸς, σημαίνει τὰ σίδηρα, ἃ φοροῦσιν οἱ καταδίκοι. παρὰ τὸ κλείω κλοιός. καὶ κατὰ ἔκτασιν, κλωός. κλείει γὰρ περιτιθέμενος.

Κλονίος, ὄνομα κύριον. διατί παροξύνεται, τὰ εἰς ος λήγοντα διβραχέα τῶν κυρίων προπαροξύνεται. οἷον σχέδιος. χρόμιος. κλύτιος. ὄδιος. δόλιος. ἴυγιος. ἀντιπίπτουσι δὲ κατὰ παράδοσιν, τὸ ἥλιος. ἄγιος. ξένιος. κρόνιος. τὰ εἰς ος ἀρσενικὰ μὴ ὄντα κύρια τῷ ι παραληγόμενα, προπαροξύνεται. οἷον δήλιος ὁ φανερός. δόλιος. λύδιος. πύλιος. φλόγιος.

Κλυταιμνήστρα. παρὰ τὸ κλυτὸν ὃ σημαίνει τὸ ἔνδοξον, καὶ τὸ μνῶ τὸ φροντίζω, γίνεται κλυτομνήστρα. τουτέστιν ἡ ἔνδοξα φροντίζουσα. τροπῇ τοῦ ο εἰς α, καὶ προσθέσει τοῦ ι, γίνεται κλυταιμνήστρα.

Κλονέοντα, ταράσσοντα. ἀπὸ τοῦ κλίνω.

Κλοπιτεύειν, κολοπιτεύειν. ὑπερθέσει τοῦ λ.

Κλὼψ, ὁ κλέπτης. ὁ λῃστής. παρὰ τὸν κλέψω μέλλοντα. γίνεται ἀποβολῇ τοῦ ω κλέψ. καὶ κλόψ. καὶ κατ' ἔκτασιν κλώψ. ὡς βλέπω βλέψω βλέψ καὶ βλώψ, ὁ στραβός.

Κμέλεθρα. Δεῖ γινώσκειν, ὅτι τὸ κ πρὸ τοῦ μ, οὐδέποτε εὑρίσκεται ἐν ἀρχῇ λέξεως. τοῦ γὰρ πολυκμήτου οὐχ εὕρηται ἐν χρήσει τὸ ἁπλοῦν αὐτοῦ, ἤγουν τὸ κμητός. καὶ τὸ κέκμηκα ὃ δηλοῖ τὸ κεκοπίακα, οὐκ ἔστιν ἀπὸ τοῦ κμῶ, ἀλλ' ἀπὸ τοῦ κεκάμηκα. λέγει δὲ ὁ ἡρωδιανὸς τὸν πάμφιλον ἀναγαγεῖν ἐν ταῖς γλώσσαις τὸ, κμέλεθρα. σημαίνει δὲ τὰς δοκούς.

Κνάμψω, ἀπὸ τοῦ κνῶ γίνεται κνάπτω. ὡς χῶ χάπτω. καὶ ῥηματικὸν ὄνομα κνάφος. σημαίνει δὲ τὸ ἀκανθῶδες φυτόν, ᾧ τὰ ἄθικτα τῶν ἱματίων ἐπισύροντες κατεργάζονται. ἀλκαῖος. Μὴ μέγαν περὶ κνάφον περιστείχει ἐν ἀκύκλον.

Κναφεὺς, παρὰ τὸ κνάπτω. ὅπερ ἐστὶν ἀπὸ τοῦ κνῶ τὸ ξύω. ξύουσι γὰρ τὴν τῶν ἀκνάπτων ἱματίων κροκίδα. οὕτω φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων. ἐὰν δὲ διὰ τοῦ γ γναφεύς, παρὰ τὸ κνάπτω. ὑπερθέσει τοῦ ν, καὶ τροπῇ τοῦ κ εἰς γ.

Κλισία, ἡ σκηνὴ καὶ ὁ θρόνος. παρὰ τὸ ἀνακλίνεσθαι ἡμᾶς ἐν αὐταῖς κεκοπωμένους. κέκλισαι, κλίσις, καὶ κλισία. ὡς κόνις κονία. θέσις θεσία, καὶ συνθεσία.

Κλώδωνας, οἱ μακεδόνες τὰς μαινάδας καὶ βάκχας καλοῦσιν. ἴσως ἀπὸ τοῦ κατόχους γινομένας κλώζειν, ὅ ἐστι τὸ διὰ τῶν στομάτων ποιὸν ἦχον ἀποτελεῖν, καὶ θορυβεῖν.

Κνέφας, τὸ σκότος. παρὰ τὸ κενὸν φάους εἶναι. κενέφας καὶ συγκοπῇ. ἢ ἀπὸ τοῦ νη στερητικοῦ μορίου καὶ τοῦ φάους, γίνεται νήφας. καὶ κατὰ συστολὴν καὶ πλεονασμῷ τοῦ κ, κνέφας. εἴρηται δὲ καὶ κνέφος, ὡς οὖδας οὖδος.

Κνήμη, παρὰ τὸ κινῶ κινήσω, κινήμη. καὶ συγκοπῇ, κνήμη. οἱονεὶ τὰ τῆς κινήσεως αἴτια. τὰ ὄπισθεν τοῦ σκέλους. λέγεται δὲ καὶ ἡ ἰγνύη. μυὼν δὲ παρὰ τὸ σαρκῶδες καὶ νευρῶδες. κνημίδες δέ εἰσι τὰ ἐν ταῖς κνήμαις φορούμενα φυλακτήρια τῶν στρατιωτῶν. ἢ παρὰ τὸ ἰκνεῖσθαι, ἱκνήμη καὶ κνήμη. ἰστέον δὲ ὅτι τὸ ἔμπροσθεν λέγεται ἀντικνήμιον. τὸ δὲ ὄπισθεν γαστροκνήμιον. διὰ τὸ σεσαρκῶσθαι καὶ γέμειν σαρκὸς ὥστε ὑπερέχειν. κυρίως δὲ κνήμη λέγεται καὶ τὰ διαιροῦντα ξύλα τὴν χοινικίδα τοῦ τροχοῦ. κνῆμαι δέ εἰσιν αἱ ἐν τοῖς τοῦ τροχοῦ ῥάβδοι ἐμπεπηγμέναι πρὸς τῇ χοινικίδι. καὶ τὰς ἐξοχὰς καὶ προβάσεις καὶ καθύγρους τόπους τῶν ὀρῶν, κνημοὺς λέγουσιν. ὡς τὸ, Ἴδης ἐν κνημοῖσι.

Κνῆ, ἐπὶ δ' αἴγειον κνῆ τυρόν. ἰλιάδος λ. ἀντὶ τοῦ ἐπέκοπτε δὲ καὶ τυρόν.

Κνῆστι χαλκείῃ. μαγειρίῳ τυροκόμῳ. ἐκ τοῦ κνῶ κνύω τὸ ξέω, γίνεται κνῆμι. ὁ παρατατικὸς ἔκνην, ἔκνης, ἔκνη. κνῆ. ἐξ οὗ καὶ κνῆσις ἡ μάχαιρα καὶ κνηστήριον.

Κνημὸς, ὁ τραχὺς καὶ σκληρὸς τόπος.

Κνίσα, ἡ ἀναθυμίασις τοῦ καπνοῦ. ἀπὸ τοῦ κνῶ, ὃ σημαίνει τὸ ξύω, γίνεται κνίζω. ὁ μέλλων, κνίσω. ἐξ οὗ κνίσα. κνισμὸς γὰρ τῆς ψυχῆς κόσμη κατὰ τῆς ὀσφρήσεως. ἢ ἀπὸ τοῦ κνίζω, ὃ σημαίνει τὸ λεπτύνω. λεπτότατος γάρ ἐστιν ὁ ἐπίπλους, τουτέστι τὸ λεγόμενον κνισαίριον. καὶ τὸ, Συκάμινα κνίζων, τουτέστι τῷ ὄνυχι διακαθαίρων. καὶ ἐν τῷ νόμῳ. Ἀποκνιεῖ ὁ ἱερεὺς τὸ ὁλοκάρπωμα. δοκεῖ δὲ ἡ λέξις τέσσαρα σημαίνειν, ὡς καὶ τῷ πορφυρίῳ δοκεῖ. αὐτό τε τὸ λίπος. καὶ τὸν ἐπίπλουν. καὶ τὸ κρέας. καὶ τὴν ἀναθυμίασιν. τὸ κνι, βραχύ. τὰ γὰρ διὰ τοῦ ιζω ῥήματα τὸ ι βραχὺ ἔχει. καὶ τὸ σα, βραχύ. ἐπειδὴ τὰ εἰς α λήγοντα θηλυκὰ ἀπὸ μελλόντων ἢ ἐνεστώτων γινόμενα, βραχὺ ἔχει τὸ α. ἐκτέταται δὲ ἀμφότερα ποιητικῶς.

Κνώδαλα, κυρίως μὲν τὰ τῆς θαλάσσης ζῷα, διὰ τὸ ἐν ἁλὶ κινεῖσθαι κινώδαλά τινα ὄντα. καταχρηστικῶς δὲ καὶ ἐπὶ πάντων τῶν θηρίων. κυνώδαλά τινα ὄντα, διὰ τὸ ὑπὸ τῶν κυνῶν ἁλίσκεσθαι.

Κνώσσειν, τὸ κοιμᾶσθαι. παρὰ τὸ κενὰ καὶ ἀργὰ εἶναι τὰ ὄσσα, τουτέστι τοὺς ὀφθαλμούς. κενώσσειν, καὶ κατὰ συγκοπήν, κνώσσειν.

Κνύσσω, παρὰ τὸ ὄσσω τὸ βλέπω. ἢ παρὰ τὸ κεινοῦσθαι τοῦ βλέπειν.

Κνυζηθμὸς, κλαυθμὸς, ἄσημος φωνὴ ἐπὶ τῶν κυνῶν. ἀπὸ τοῦ κνυζῶ κνυζήσω. τὸ δὲ κνυζῶ ἐστι πρώτης καὶ δευτέρας συζυγίας. ἔστι καὶ τρίτης. ὡς τὸ, Κνυζώσω δέ τοι ὄσσε. τὸ δὲ κνυζοῦν, ἐπὶ τοῦ κακῶσαι καὶ διαφθεῖραι. ἐπιφέρει γάρ, Πάρος περικαλλέ' ἐόντα πινά. ἀπὸ τῶν κυνῶν, κυνῶ καὶ κνυζῶ, ὅπερ ἐστὶν ἀπρεπές. οἱ δὲ παρὰ τὴν κόνυζαν, ὅ ἐστιν εἶδος φυτοῦ κονυζῶ, ὅπερ ἐστὶν ἀπίθανον. εἴρηται δὲ κνυζοῦν, τὸ ξύειν παρὰ δωριεῦσι καὶ τὸ ἀχρειοῦν φιλόξενος. ἀπὸ τοῦ κνῶ γίνεται παράγωγον κναίω τὸ διαφθείρω. ὡς ἀπὸ τοῦ στῶ στίζω, καὶ πρῶ, πρίζω, οὕτως ἀπὸ τοῦ κνῶ κνίζω παράγωγον καὶ κνύζω. ἐξ οὗ καὶ κνύζα. ἡ κνίζα ἡ τῆς ὀσφρήσεως προῖξις. καὶ ὡς ῥίζα ῥιζῶ, οὕτω καὶ κνύζα κνυζῶ. τὸ δὲ κνύζω, σημαίνει τὸ ξύω. ὡς παρὰ σώφρονι ἐν μίμοις. Κνυζῶμαι οὐδὲν ἰσχύων. τὸ δὲ κνύζα ὡς λέγει ἡρωδιανός, εἰ μὲν ἐπὶ τοῦ φυτοῦ συγκοπή ἐστιν. οἷον, Χαμαιζήλοιο κονύζης. εἰ δὲ ἐπὶ τοῦ παρεφθαρμένου καὶ ἐρρυσωμένου, οὐ συγκοπή ἐστιν, ἀλλ' ἀπὸ τοῦ κνύω. ἀφ' οὗ κνύος ἡ φθορά. οἷον, Κατὰ κνύος ἔχευεν, ψίλωρ δὲ κάρηνα. γίνεται κνύζα, ὡς παρὰ ἀνακρέ-

ον τι ἐν ἰάμβῳ. Κυΐσκεις ἤδη καὶ πέπειρα γινομένη σὴν διὰ μητροσύνην.

Κοιλία, ἀπὸ τοῦ κοίλην εἶναι. ἢ ἀπὸ τοῦ λεαίνειν τὴν τροφὴν καὶ χυλοῦν, χολία καὶ κοιλία. ἢ παρὰ τὸ κοῖλον, ὅ ἐστι τὸ περιφερές. τοῦτο δὲ παρὰ τὸ κεῖσθαι ὅλον. ἢ παρὰ τὸ κῶν τὸ κοῖλον τὸ βαθύ. ἢ κοιλία, παρὰ τὸ κλύειν τὰ λοιπά.

Κοιμῶμαι, ὁ μὲν θεόγνωστος, ἀπὸ τοῦ κω τὸ σημαῖνον τὸ ὑπνῶ, γίνεται κείω. ὡς θῶ, θείω. σῶ, σείω. ὁ παθητικὸς ἐνεστώς, κείομαι. καὶ συγκοπῇ κεῖμαι. ἀφ' οὗ ῥηματικὸν ὄνομα κοίμη. ἐξ οὗ ῥῆμα, κοιμῶ. κοιμᾶς. τὰ γὰρ ἀπὸ τῶν εἰς η θηλυκὰ δευτέρας συζυγίας εἰσὶν ὡς τὸ τόλμη τολμῶ. ὁ δὲ ὧρος παρὰ τὸ κείω κοιμός, ὡς λείπω λοιμός. καὶ ῥῆμα κοιμῶ. εἰς δὲ τοὺς ἐπιμερισμούς, ἐκ τοῦ κω τὸ κοιμῶμαι, ἐξ οὗ γίνεται κέω κέημι, κέεμαι κεῖμαι. καὶ ἐξ αὐτοῦ κοιμῶ κοιμήσω.

Κοινός, σημαίνει τρία. τὸ μεμολυσμένον, ὡς τό, Ο τὸ αἷμα τοῦ Χριστοῦ κοινὸν ἡγησάμενος. καὶ γίνεται ἀπὸ τοῦ φοινός. τροπῇ τοῦ δασέος εἰς ψιλὸν κοινός. κυρίως γὰρ ὁ ἐξ αἵματος μεμολυσμένος. σημαίνει καὶ τὸν μὴ δὲν πλέον τῶν ἄλλων διαφέροντα. διὰ τὸ εἰς κοινὸν ἰέναι τὰ μέρη. σημαίνει καὶ τὸν ἀναμεμιγμένον τοῖς πᾶσιν. ἐξ οὗ καὶ ῥῆμα κοινῶ, κοινώσω. ὅθεν καὶ κοινωνός ὁ κεκοινωμένος καὶ ἀναμεμιγμένος πολλοῖς. οἶμαι ὅτι παρὰ τὸ κείω τὸ κεῖμαι κειός καὶ κοινός, ὁ πᾶσι προκείμενος. ἢ ὁ εὔκολος γινόμενος πᾶσι, γνός καὶ κοινός. ἢ κοῖμος ὁ συγκοιμώμενος τινί. ἢ παρὰ τὸ γῶ τὸ δέχομαι, γοινός καὶ κοινός ὁ δεκτικὸς καὶ εὐπρόσδεκτος. λέγεται δὲ κοινὸς βασιλεὺς μακεδόνων. μετ' ὀνείας ἱστορεῖ, ὅτι κυνηγὸς τὸ γένος κόλχος εἰς μακεδονίαν ἐλθών, διέτριβε παρὰ καράνῳ. υἱοῦ δὲ γινομένου τῷ καράνῳ, καὶ βουληθέντι τὸν παῖδα ἀπὸ τοῦ ἰδίου πατρὸς ὀνομάζειν κιράρονα, ἀνθίστατο ἡ μήτηρ. καὶ αὕτη ἀπὸ τοῦ ἰδίου πατρὸς ὀνομασθῆναι τὸν παῖδα βουλομένη, κυνηγὸς ἐπερωτηθεὶς εἶπε μὴ δ' ἑτέρου ὀνομάζεσθαι αὐτόν. διόπερ κοινὸς ἐκλήθη. ὅμοιοι δὲ ἀμφοτέρων τάνουσι καὶ νοῦν αὐτὸν καλοῦντες.

Κοῖος, ὁ πατὴρ λητοῦς. παρὰ τὸ κοεῖν, ὅ ἐστι νοεῖν καὶ συνιέναι. ὅ ἐστι συνετός. Κοῖόν τε κρεῖόν θ' ὑπερίονά τ' ἰαπετόν τε. οἱ αἰολεῖς τὸ κ ἀντὶ τοῦ π κέχρηνται. οὗτοι δὲ τιτᾶνες καὶ τιτανίδες καλοῦνται, ὡς ἀκουσίλαος. ἀλληγορία δέ, κοῖον τὴν ποιότητα. κρεῖον δὲ τὴν κρίσιν. ὑπερίονα, κουφότητα. τὸν δὲ ἰαπετόν, βαρύτητα. ἡσίοδος ἐν θεογονίᾳ.

Κοίρανος, ὁ ἀρχηγός. ὁ ἡγεμών. ὥσπερ παρὰ τὸ ἀθρεῖν τὸ βλέπειν λέγεται ὁ θεωρὸς ὅρος κατὰ τροπὴν τοῦ α εἰς ο, ἀφ' οὗ ἐστιν ἀθρεῖν τὰ μακρὰν ἀφεστηκότα, οὕτω καὶ παρὰ τὸ καιρὸς γίνεται κοίρανος, καίρανος τις ὤν, ὁ τοῦ καιροῦ κύριος καὶ ἄρχων. ἐκ τούτου ῥῆμα, κοιρανέω κοιρανῶ. καὶ ἡ μετοχή, ὥσπερ ὅτε κοιρανέων ἐπεπώλει στίχας ἀνδρῶν, ἀντὶ τοῦ διατάσσων ἐπερχόμενος, καὶ τὸ τοῦ κοιράνου ἔργον ἐπιτελῶν. ἐνεστώς ἐστιν, ἢ συνῃρημένον. τὰς γὰρ εἰς ων μετοχὰς ἀπὸ τῆς πρώτης συζυγίας τῶν περισπωμένων γινομένας, οἱ ἴωνες διὰ τοῦ εων προφέρουσιν. οἷον, φρονῶν, φρονέων, νοῶν, νοέων, οὕτω κοιρανῶν, κοιρανέων.

Κοῖμος, ὁ πάντα ἐν αὐτῷ διατεταγμένα ἔχων καὶ κεκοσμημένα.

Κοίτη, ἐκ τοῦ κεῖμαι κεῖται, κοίτη. ἐν ᾗ ἔστι κεῖσθαι κοιμωμένοις. ὁ δὲ θεόγνωστος, ἐκ τοῦ κω τοῦ ὑπνῶ γίνεται κείω κείομαι κεῖμαι.

Κοῖτις, ἀττικῶς ἡ μικρὰ κίστη. τὴν γὰρ κίστην κοίτην λέγουσιν. ἔστι δὲ ἐν αἷς κοιταζόμεναι αἱ γυναῖκες ἀποτίθενται τὰ χρήματα.

Κοῖφι, κατὰ συνήθειαν κοῖφι καλοῦμεν. κυρίως δὲ κῆφι ἐκτέον ὡς ἑλληνίζων, εἴπως ἱεροῦ ἀτμοῦ ἀριθμός. οὕτως ἑρμ

Κοάλεμον αἱματοπότην. ἀριστοφάνης ἱππεῦσι. σημαίνει τὸν μωρὸν παρὰ τὸ κοεῖν ῥῆμα δηλοῦν τὸ νοῶ. ὡς τό, Ηδ' ἐνόησεν, οὕνεκα γένος ἔσκεν. καλλίμαχος. γίνεται ῥηματικὸν ὄνομα κόεμος, ὡς ἔχω ἔχεμος. καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς κοάλεμος. οἱ δέ, παρὰ τὸ κοεῖν καὶ τὸ ἐλείματον τὸ μάταιον. ὁ μάταια νοῶν.

Κόβαλος, ὁ λῃστής. ἀπὸ τῆς κόπιδος κοπίβαλός τις ὤν. ὅθεν καὶ κολεύειν καταχρηστικῶς εἴρηται, τὸ μεταφέρειν τὰ ἀλλότρια μισθοῦ κατ' ὀλίγον. ἄλλοι δέ, ὧν ἐστι καὶ ὧρος, ὅτι κόβαλα λέγονται τὰ κατεστωμυλμένα. καὶ κοβάλοις τοῖς λάλοις, ἀπὸ τοῦ κόψαι. πεποιημένης τῆς λέξεως. ὅθεν καὶ κόπιν λέγουσι τὸν λάλον καὶ κομψόν. ἀπ' αὐτοῦ καὶ δημοκόπος. καὶ ὀρτυγοκοπεῖν. καὶ κοβαλία ἡ προσποίησις καὶ μετὰ ἀπάτης κατὰ μίμησιν παιδιά. καὶ κόβαλος ὁ ταύτῃ χρώμενος. καὶ ἡ παρὰ πονηροῦ ἀνθρώπου κολακεία.

Κοδρίτης, ἀπὸ τοῦ κόδρος κοδρίτης γίνεται. σημαίνει τὸ τοῦ κόδρου. ὥσπερ παρὰ τὸ κρόνος κρονίτης.

Κόθορνος, γυναικεῖον ὑπόδημα τετράγωνον ὑπὸ τοὺς κοθόρνους τὸ σχῆμα. ἁρμόζον ἀμφοτέροις τοῖς ποσί.

Κόθουρος, σημαίνει τὸν κόλουρον. Κηφῆνεσι κοθούροις εἴκελος ὀργήν. γένος μελισσῶν ὁ κηφὴν ἀργότατον καὶ ἄκεντρον. κεύθερός τις ὤν, ὁ τὸ κέντρον κεκρυμμένον ἔχων. ἢ παρὰ τὸ κεύθειν τὴν οὐράν. ἢ ὁ κολοβὴν οὐρὰν ἔχων κόλουρος. ἢ κοθούροις, κόρω πλήθουσιν. ἢ κοτούροις, τοῖς κότον ἔχουσιν ἐν τῇ οὐρᾷ. ἢ ἀργοῖς παρὰ τὴν καθέδραν. κάθηνται γὰρ παρατηροῦντες τὴν ὥραν, ἐν ᾗ ἐκβαίνουσιν αἱ μέλισσαι, ἵνα εἰσελθόντες ἐσθίωσι τὸ μέλι.

Κόκκυξ, ὄρνεον ἐαρινὸν παραπλήσιον ἱέρακι. ἢ δειλότατον ὡς φησιν ἀνακρέων.

Κοκύας, ὁ πρόγονος. ἔστι δὲ ἰωνικὴ ἡ λέξις. σημαίνει δὲ τοὺς ἤδη κεκοιμημένους.

Κόκυ, αἰγύπτιοι τὸ ταχύ.

Κοκκώτιον, ὁ δῆμος ἑλληνιστὶ κυρίως ἁπάσης τῆς οἰκουμένης γῆς.

Κόλαξ, ὁ ταπεινῶς θεραπεύων τινά. παρὰ τὸ κόλον. σημαίνει δὲ τὸ ταπεινὸν καὶ μὴ ὁλόκληρον. κόλος δὲ ἐπί τινος ἐντέρου παρὰ τὴν κοιλότητα. ἢ παρὰ τὸ κολλᾶσθαι κόλλαξ τις ὤν. σημαίνει δὲ τὸν παράσιτον, καὶ παραμένοντα τινί.

Κολαφίζω, καὶ κόλαφος, παρὰ τὸ κόλον ἅπτεσθαι ἀπὸ τοῦ τυπτομένου μέρους, ἤγουν ἀσθενὲς καὶ ταπεινὸν πρὸς τὰ λοιπὰ μέρη. ὁ δὲ ἀππίων ἀπὸ τοῦ κολάψαι. τὸ δὲ ὄνομα ἑλληνικὸν παρὰ ἐπιχαρμῳ. ὥσπερ τάχιστα κόλαφος περὶ πάντα δεινός. ἢ ἀπὸ τοῦ τοὺς κονδύλους ἅπτεσθαι ἐν ἐκείνῳ τῷ μέρει. κόλαφος ἡ διδομένη διὰ τῶν μέσων δακτύλων πληγή. ἄλλοι δὲ παρὰ τὸ κολούειν τὸ φῶς.

Κολεός, ἡ ξιφοθήκη. παρὰ τὸ κενοιλάσθαι. ἢ παρὰ τὸ τὰ κοῖλα τὰ τόξα.

Κολακρῖται, οἱ τῶν ἀργυρίων ταμίαι. οἱ τὸ δικῶν ἀρχεῖν ἔταττον.

Κολοσσός, σημαίνει καὶ τὸ εἴδωλον. κυρίως δὲ κολοσσοὶ λέγονται οἱ ὑπερμεγέθεις ἀνδριάντες. παρὰ τὸ κολούειν, ὅ ἐστιν ἐλαττοῦν τὰ ὄσσα, τουτέστι τοὺς ὀφθαλμοὺς διὰ τὸ μέγεθος. ὡς μὴ ἐφικνουμένων τῶν ὀφθαλμῶν ὁρᾶν.

Κολοσυρτός, ἡ τῶν φρυγάνων κόνις. ὁ συρφετός. κόλα γὰρ τὰ φρύγανα. ἀπὸ τοῦ τὰ κόλα σύρειν. νεοπτόλεμος, Μεγάλως αἰρομένης τῆς κόνεως, καὶ εἰς ἀέρα ἰκνευμένης. τὸ γὰρ κοῖλον κυρτώσεως καὶ ὑπεροχῆς μετέχει. διαφέρει κόνεως. βέλτιον ὁ ὑπὸ τῶν κόλων συρόμενος κονιορτός. σημαίνει καὶ τὴν ταραχήν, καὶ τὸν θόρυβον. ἰλιάδος μ. Ανδρῶν, ἡ δὲ κυνῶν δέχεται κολοσυρτόν. παρὰ τὸ τὰ κόλα ἐπισύρειν. ἢ τὸν κολώνιον καὶ συριγμόν.

Κόλλοψ, ὁ ἐκ τῶν αὐχενίων δερμάτων καὶ τοῦ τραχήλου γινόμενος πασσαλίσκος περὶ ὃν δεσμοῦσι τὰ νευράν. κόλλοπας δὲ τὰ μέρη ἐκεῖνα καλοῦσιν ἐπειδὴ ἐξ αὐτῶν ἑψομένων ἐγένετο ἡ κόλλα.

Κολώνη καὶ κολωνός. ἄμφω ἀκρωτήρια σημαίνουσι.

Κολοφών, τὸ μέγα περασκαὶ ὑψηλὸν ἀκρωτήριον. λαμβάνεται καὶ ἐπὶ μεγάλων κακῶν.

Κολώνεια, κτητικὸς τύπος εἰς ἰδιότητα ἀναπέμπεται. φασὶ γὰρ τότε τὸν διόνυσον τὸν ἐπὶ ταρσηνοὺς ἀπιόντα πόλεμον τοὺς γεγηρακότας τῶν σειληνῶν μετὰ τῆς ἀχρήστου ἡλικίας ἐν ἰταλίᾳ καταλιπεῖν. τοὺς δὲ γεωπόνους ἐπὶ ἀμπέλων ἐπιμέλειαν, καὶ εὔοινον γενέσθαι τὴν ἰταλίαν. τοὺς δὲ γεωργοὺς οἱ ἰταλοὶ κολώνας ἐκάλουν, ὡς καὶ ἱδρύσασθαι τοιαῦτα ἀγάλματα οἰνοφοροῦντα ἐν ἀσκοῖς. ἐσπούδαζον δέ, καὶ ἃς ᾤκουν πόλεις οἱ ἰταλοὶ τιμὴν ταύταις παρέχειν. ἀνιστάντες δαιμόνια τινα ὥσπερ εσβύτην ὅμοιον σειληνῷ, ἵνα καὶ τῇ κοινωνίᾳ τῶν ἱερῶν συγκραθῶσιν. αἱ δὲ πέδαι περιτιθέμεναι δηλοῦσι τὸ ὑπήκοον τῷ συνδεδέσθαι αὐτοῖς τὰς πόλεις τὰς ἐχούσας τὰ τοιαῦτα ἀγάλματα. ταῦτα εἴρηται χάρακι ἱστοριογράφῳ.

Κολοιός, ὁ θόρυβος. ἡ μεταφορὰ ἀπὸ τοῦ κολοιοῦ, ὅ ἐστι θορυβῶδες καὶ κραυγαστικὸν ὄρνεον. ἀπὸ τοῦ κλω τὸ φονῶ καὶ κλάζω, γίνεται κλός, καὶ πλεονασμῷ κολοιός. κρακτικὸν γὰρ τὸ ζῷον. ἀπὸ γὰρ τοῦ κλω γίνεται κλύω. καὶ καθ' ὑπέρθεσιν κύκλος. τὸ κυκλοτερὲς ἔχον τὸν

Κολόφρυξ, ὁ ὀλόφρυξ. τὸ κ περισσόν. τράχηλον.

Κολυμβᾶν, ἐτυμότερον οἱ δωριεῖς λέγουσι κολυμφᾶν, ἀπὸ τοῦ κολοὺς φαίνεσθαι τοὺς ἐν ὕδασιν, ὅ ἐστι κολοβοὺς καὶ μὴ ὁλοτελεῖς.

Κόλπος, παρὰ τὸ κοῖλον ὃ σημαίνει τὸ βαθύ, κοῖλπος. καὶ ἀφαιρέσει τοῦ ι κόλπος. ἢ παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ. ἕπεται γὰρ τῷ κοίλῳ καὶ περιφερεῖ βάθει.

Κολλῶ, ἐκ τοῦ κόλλα κολλῶ. τοῦτο ἀπὸ τοῦ ἔλω τὸ κρατῶ ἔλλα καὶ κόλλα. ἢ τὰ διῃρημένα συγκρατοῦσα. Ναύμαχα κολλήεντα. ἰλιάδος ο. ναύμαχα, μακρὰ δόρατα πρὸς ναυμαχίαν ἐπιτήδεια. κολλήσει ἐκ πολλῶν συγκεκολλημένα, ἵνα γένηται μακρά. οἷον σύνθετα καὶ οὐ μονόξυλα. κόλλα δὲ παρὰ τὸ κεκομμένην οὖσαν εἰς ὁλότητα μετελθεῖν.

Κολλητὰς σανίδας, ἰλιάδος ι. περιφραστικῶς τὰς θύρας, ἀπὸ τοῦ καλῶς συνηρμόσθαι.

Κόλλοπες, τὰ τῶν ὑῶν καὶ βοῶν σκληρὰ δέρματα περὶ τῶν τραχήλων. ἐξ ὧν καὶ τοὺς νῦν λεγομένους κολλάβους ἐποίουν. κόλλαβοι δὲ οἱ μικροί. παρὰ τὸ ἐκ τῶν μεγάλων κολοβοῦσθαι. ἐλέγετο δὲ καὶ τὸ νωτιαῖον δέρμα, διὰ τὸ τὴν κόλλαν ἐξ αὐτοῦ γίνεσθαι. ὅθεν ἀριστοφάνης τὴν σκληρότητα αἰσχύλου ἐνδεικνύμενος ἔφη. Οἶμαι γὰρ αὐτὸν κολλοπεοικέναι.

Κολλούρια, τὰ κολοβὰς ἔχοντα τὰς οὐράς. τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄρτων δύναται λέγεσθαι, καὶ ἐπὶ τῶν ἰατρικῶν φαρμάκων.

Κόμανα, παρὰ τὸ κόμη γίνεται θηλυκὸν κομάνη. τὸ οὐδέτερον κόμανον. καὶ τὰ κόμανα. λέγεται γὰρ τὸν ἀγαμέμνονος υἱὸν ὀρέστην φεύγοντα μετὰ τῆς ἀδελφῆς, ἐκεῖσε τὴν κόμην ἀποκείρασθαι. πόλις κόμανα θυΐλλος. μεθερμηνεύεται σύσκια κατὰ τὴν τῶν ἰώνων φωνήν. ἔνθα ἡ κόμμα γίνεται καὶ ἡ κόμη, ὅτι σκιάζει τὴν κεφαλήν.

Κομμοῦν, τὸ τὸ σῶμα ὡραΐζειν. ἐπεὶ καὶ κομμωτικὴν λέγουσι τὴν κοσμοῦσαν. εἴρηται ἀπὸ τοῦ κομπου. καὶ κομμός. ὥσπερ παρὰ τὸ γράφω μέλλοντα τὸ γραμμός

καὶ ὑπογραμμός, οὕτω καὶ παρὰ τὸ κόπτω, κομμός.

Κομῶ, ἡ μὲν πρώτη συζυγία σημαίνει τὸ ἐπιμελείας ἀξιῶ. ὅθεν καὶ τὸ κομεῖ τὴν δ' υἱόν, ἀντὶ τοῦ ἐκόμουν. ἐπιμελείας ἠξίουν. ἰλιάδος θ. δέξου καὶ κατὰ παραγωγὴν γίνεται κομίζω, τὸ ἐπιμελοῦμαι καὶ περιποιῶ. δέξου καὶ τὸ, Φίλε κασίγνητε κόμισαί τέ με, ἀντὶ τοῦ ἐπιμελείας με καταξίωσον καὶ περίσωσον, ἰλιάδος ε. ἡ δευτέρα συζυγία σημαίνει τὸ ἀγάλλομαι καὶ εὐφραίνομαι, καὶ τὸ τὰς τρίχας φέρω, ἢ τρέφω. καὶ γίνεται ἐκ τοῦ κόμη, κομῶ. ποίας συζυγίας. εἰ μὲν σημαίνει τὸ ἐπιμελοῦμαι, πρώτης. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι οὐ μόνον ἐν τῇ συνθέσει τῶν ῥημάτων εἰώθασι μεταβολαὶ γίνεσθαι συζυγιῶν, ἀλλὰ καὶ ἐν τῇ ἁπλότητι. οἷον συλῶ συλᾷς δευτέρας τῶν περισπωμένων. ἱεροσυλῶ δὲ, πρώτης. καὶ ὀρκῶ τρίτης. εὐορκῶ δὲ, πρώτης. τὸ καυχῶ δευτέρας. τὸ δὲ αὐχῶ πρώτης. ὁμοίως καὶ ἐπὶ τῶν εἰς μι. φημὶ τὸ λέγω, δευτέρας ἐστὶ συζυγίας. ἡμὶ δὲ κατὰ ἀφαίρεσιν τοῦ φ πρώτης.

Καρηκομόωντας, τοὺς τὰς κεφαλὰς κομῶντας ἀνδρείας χάριν καὶ θεραπευτάς. ἀπὸ τοῦ κομῶντας, ἐν διαιρέσει κομόωντας.

Κόμη, ἐκ τοῦ κείρω τὸ κόπτω, κόρη. καὶ τροπῇ τοῦ ρ εἰς μ, κόμη ἡ θρίξ. ἢ παρὰ τὸ κόσμον εἶναι τοῦ σώματος. ὥσπερ γὰρ κόσμον ὁ δημιουργὸς ἐνέθηκε τῷ ἀνθρώπῳ τὰς τρίχας. οἱ δὲ, παρὰ τὸ κομᾶν τὸ ἐπιμελείας ἀξιοῦσθαι. καὶ κυρίως ἐπὶ τῆς κεφαλῆς εἴρηται τοῦτο.

Κομίζω, ἐκ τοῦ κόσμος κοσμίζω. καὶ ἀποβολῇ τοῦ σ κομίζω. ἐκ δὲ τοῦ κομίζω γίνεται κομιδὴ ἡ θεραπεία καὶ ἐπιμέλεια καὶ συναγωγὴ, ἢ λῆψις. εἴρηται δὲ ἀπὸ τῆς τῶν καρπῶν συγκομιδῆς. ἥτις γίνεται τελειωθέντων τῶν καρπῶν. ἀπὸ γοῦν τοῦ κομιδὴ ὀνόματος, γίνεται ἐπίρρημα κομιδῇ νέος, ἀντὶ τοῦ πάνυ νέος καὶ λίαν. πάμπαν. τελείως. τὸ ὄνομα ὀξύτονόν ἐστι. τὸ δὲ ἐπίρρημα περισπώμενον. καὶ σημαίνει τὸ παντελῶς. λέγεται δὲ καὶ ἡ ἀπόληψις τινὸς κομιδὴ, ἀπὸ τοῦ κομίσασθαι καὶ ἀπολαβεῖν. καὶ κομίστρια ἡ τροφός.

Κομενταρήσιοι, τοὺς ἐπὶ τῶν ὑπομνηματογράφων πράττοντας ὀνόμασι καλεῖ καὶ ὑπηρετοῦντας ταῖς ἐγκληματικαῖς δίκαις. ὑπασπιζόντων αὐτῶν ἀπληκταρίων, καὶ κουβικουλαρίων μετὰ πλήθους ῥαβδούχων. σιδηρέων δεσμῶν καὶ ποιναίων ὀργάνων, σαλευόντων τῷ φόβῳ τὸ δικαστήριον. εἰσὶ δὲ καὶ οἱ νῦν λεγόμενοι χαρτουλάριοι.

Κόμης. Ἰστέον ὅτι τὸ κόμης τὸ ἐπὶ τῆς ἑλληνικῆς ἀξίας κατὰ τὴν ἑλληνικὴν ἀναλογίαν οὐ δύναται διὰ τοῦ ι γράφεσθαι, ἀλλὰ διὰ τοῦ η. τὸ δὲ κύριον ὄνομα διχῶς εὑρέθη παρὰ τοῖς ἀρχαίοις κλινόμενον. εὑρίσκεται γὰρ ἡ γενική, κόμου καὶ κόμεω ἰωνικῶς, ὥσπερ ἀτρείδης ἀτρείδεω. καὶ κομάδης τὸ παρωνυμικὸν, ὥσπερ βορεάδης. εὑρίσκεται δὲ κλίνεσθαι καὶ τῷ λόγῳ τῶν ἰαμβικῶν κόμητος. ὅταν δὲ ἰσοσύλλαβον εὑρεθῇ, ἀπολογίαν ἔχει τοιαύτην. τὰ ἀπὸ τῶν εἰς η θηλυκῶν, εἰς ης γινόμενα, μὴ ἔχοντα οὐδέτερα εἰς ες, εἰς τοῦ διφθόγγου τὴν γενικὴν ἔχει. λέσχη, ὁ λέσχης, τοῦ λέσχου. ἀράχνη, ὁ ἀράχνης τοῦ ἀράχνου. γυνή, μισογύνης μισογύνου. κόμη, ὁ κόμης τοῦ κόμου. γύη, ὁ γύης τοῦ γύου.

Κόμπος, ὁ ψόφος. παρὰ τὸ κενὴν ὄπα ἔχειν, τουτέστι φωνήν. τὸ μὲν οὖν προσηγορικὸν οὕτως ὡς τέμπος. Κόμπος εἰ. εὐριπίδης φοινίσσαις. κομπὸς δὲ λόγος.

Κομψός, εἴρηται μὲν ἡ λέξις καὶ ἐπὶ < τὸ ἐπίθετον. τοῦ πανούργου, καὶ ἐπὶ τοῦ μετρίου καὶ ἐπιεικοῦς. ἀμφότερα οὖν παρὰ τὸ κάμπτω καμπτὸς καὶ κομψός. ἀλλ' ἐπὶ μὲν τοῦ πανούργου τὸ καμπύλον καὶ διεστραμμένον τῇ διανοίᾳ. ἐπὶ δὲ τοῦ ἐπιεικοῦς, παρὰ τὸ εὐκαμπῆ αὐτὸν εἶναι, οἷον εὐπειθῆ καὶ προσηνῆ. οὕτως εἰρηναῖος ὁ ἀττικιστὴς ἐν τῷ κ στοιχείῳ.

Κομμώτρια, ἐμπλέκτρια. ἡ κοσμοῦσα καὶ φιλοῦσα τὰς γυναῖκας κούριστα.

Κολωνός, ὄρος. βουνός. λόφος. ἀνάστημα. πᾶν οὖν ἀνάστημα γῆς, κολωνὸς λέγεται. ἢ ἔστι δὲ καὶ σκόπελον. ἀθήνησι δὲ δύο κολωνοί. ἵππιος καὶ ἀγοραῖος. ἐφ' οὗ τοὺς μισθαρνοῦντας ἀνέφερον. καὶ μισθαρνοῦσαι κολωνικαί. καὶ ἄλλο χωρίον ἐκαλεῖτο κολωνὸς ἱππότης.

Κόναβος, ὁ ἦχος. παρὰ τὸ βοὴν κινεῖν. ἢ παρὰ τὸ δονῶ δόναβος καὶ κόναβος. ἢ ἐκ τοῦ κόνις καὶ τοῦ βοή. κυρίως γὰρ κόναβος λέγεται ἡ ἐν τῇ γῇ βοή. ὥσπερ καὶ ἔρα ἡ γῆ ἔραβος καὶ ἄραβος ἡ ἐν τῇ γῇ βοή. λοιπὸν λέγουσί τινες ὅτι ἐκ τοῦ κόνις γίνεται κόνιβος. καὶ τροπῇ τοῦ ι. οὐκ ἔστι δέ. οὐδέποτε γὰρ τὸ ι εἰς α τρέπεται. ἀλλ' ἔστι μᾶλλον ἐκ τοῦ κονία τὸ αὐτὸ σημαίνοντος τῷ κόνις καὶ τοῦ βοή, κονίαβος. καὶ συγκοπῇ κόναβος. καὶ ῥῆμα κοναβῶ ἐξ αὐτοῦ.

Κόνδαξ. παρὰ τὸ κῶ τὸ κεῖμαι γίνεται κόαξ. καὶ πλεονασμῷ τῶν συμφώνων, κόδαξ.

Κόνδυλος, παρὰ τὴν κάμψιν τῶν δακτύλων. ὡσανεὶ κάνδυλοι ὄντες. περὶ αὐτοὺς γὰρ ἡ κάμψις τῶν δακτύλων ἐγγίνεται. καὶ ἡ πληγὴ δὲ ὁμωνύμως τῷ σχήματι τῶν κονδύλων λέγεται κόνδυλος. καὶ κόλαφος, ἡ διδομένη διὰ μέσων δακτύλων πληγή. ἐτυμολογεῖται δὲ ὁ κόνδυλος καὶ οὕτω. κένδυλός τις ὤν, ὁ εἰς τὰ κενὰ δυόμενος τῶν ῥαπιζομένων. κενὰ δὲ σαρκῶν τὰ μέρη.

Κόνις, ἡ πεδιάς, ὡς τὸ, Οὐδ' εἴ μοι < οὕτως ὥρος. Τόσα δοίη, ὅσα ψάμαθός τε κόνις τε. καὶ ἡ ἐκ τέφρας σποδός. ὡς τὸ, Ἀμφότερα δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν χεύατο κακκεφαλῆς. ἐνταῦθα τὴν σποδὸν παρὰ τὸ ἐκκεκαῦσθαι. λέγει δὲ καὶ τὴν αὐτὴν κονίην. Ὑπὸ δὲ στέρνοισι κονίη ἵστατ' ἀειρομένη.

Κονία, κόνις. μάχη. παρὰ τὸ κονῶ. κόνις κόνιος, καὶ κονία. ὡς κύπρος κύπριος, κυπρία. ἢ ἀπὸ τῆς κινήσεως κίνις τις οὖσα καὶ κόνις. ἢ ἐκ τοῦ καίνω τὸ κόπτω, καὶ διαφθείρω. ἡ εἰς μικρὰ κεκομμένη γῆ καὶ τετμημένη. δηλοῖ γὰρ τὴν εἰς λεπτομερῆ οὐσίαν χωρήσασαν γῆν. ἢ ἐκ τοῦ καίνω γίνεται κατὰ συγκοπὴν κνῶ τὸ ξύω. ὅθεν καὶ κνῆμι παράγωγον. δέξου τὸ, κνῆ τυρόν. ἐκ τοῦ κνῶ οὖν τὸ διακόπτω γίνεται κνίς. καὶ πλεονασμῷ τοῦ ο κόνις. ἀπὸ μεταφορᾶς τῶν ξυσμάτων. ἐκ δὲ τοῦ κόνις. γίνεται ῥῆμα κονίω. ὅθεν Εὐρὺ κονίσουσι πεδίον. ἐκ τοῦ παρακολουθοῦντος νοεῖται τὸ φεύξονται. οἱ γὰρ φεύγοντες, κατὰ τὸν δρόμον ἐγείρουσι κόνιν.

Κονίζω, τὸ ἀγωνίζομαι καὶ παρασκευάζομαι πρὸς τὸν πόλεμον. ἀπὸ τοῦ κόνις. οἱ γὰρ ἀρχαῖοι ὅταν ἔμελλον ἀγωνίζεσθαι, εἰς τὰς χεῖρας αὐτῶν πτύοντες, κόνιν προσελάμβανον διὰ τὸ ἰσχυρῶς κρατεῖν.

Κονίσαλος, ὁ κονιορτός. οἱονεὶ ἡ σεσαλευμένη κόνις. καὶ ὡς ἴξω ἴξαλος, οὕτω καὶ παρὰ τὸν κονίσω μέλλοντα γίνεται κονίσαλος. σημαίνει καὶ τὸ αἰδοῖον.

Κονιορτός, παρὰ τὸ ὄρω ῥῆμα σημαῖνον τὸ διεγείρω. ὁ μέλλων αἰολικῶς, ὀρσῶ. ῥηματικὸν ὄνομα, ὀρτός. ὡς σπείρω, σπαρτός. καὶ κείρω καρτός. καὶ ἐν συνθέσει μετὰ τοῦ κόνις, κονιορτός. ὁ τὴν κόνιν ὀρούων καὶ ὁρμῶν.

Κονιόπους, πολισχιδὲς ὑπόδημα τὸ μὴ σκεπάζον ὅλον τὸ σῶμα, ἀλλὰ καὶ καταπασσόμενον ὑπὸ τῆς κόνεως. ἡ δὲ κόνις ἀπὸ τῆς χύσεως.

Κοντός, παρὰ τὸ κέντω ῥῆμα βαρύτονον κοντός. ὡς τρέφω τροφός. καὶ πέμπω πομπός. ἔστι δὲ καὶ περισπώμενον κεντῶ. ὁ μέλλων κεντήσω.

Κόντιλος, εὔπαλις. Εἰ μὴ παίζῃ αὐτοῦ δ' ὄπισθεν κατέλαβε τὸ κόνδυλον. ἔστι κοντός, κόντιλος.

Κοπός, ἡ πόλις. ἔστιν εἰς τὸ κωφός. ἀπὸ τοῦ καίνω τὸ κόπτω, γίνεται καινόπτω. καὶ συγκοπῇ κόπτω.

Κοπάσιν, ξίφος παρὰ ἀρχιλόχῳ. ἀπὸ τοῦ κοπάζειν.

Κόπρος, οἱονεὶ κόπος τις οὖσα. βαρεῖ γὰρ τὸ < ζήτει. περιστὸν καὶ κοπροποιόν. ἢ χόσπορός τις οὖσα. ἀπὸ τοῦ χεῖσθαι διὰ τοῦ πόρου. κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ

Κοπιῶ, παρὰ τὸ κόπτω. καὶ τί μετέχει. ὁ γὰρ < χ εἰς κ. κόπος κόπτει τὴν δύναμιν.

Κόπρια, παρὰ τὸν κόπον ἡμῖν ἐκδέρειν. πᾶς γὰρ μόχθος ἀνθρώπου εἰς τὸ στόμα αὐτοῦ.

Κόπρα, τὰ κόπρια αἰολικῇ διαλέκτῳ. ὡς ὁ πρίαμος, πέραμος. ἀλλότιος, ἀλλότερος. ζήτει εἰς τὸ πέραμος.

Κόπις. εὐριπίδης. Ὁ ποικιλόφρων κόπις ἡδυλόγος δημοχαριστής. σύντομος. ὀξὺς τῷ λόγῳ. ἤγουν λάλος. ἔνθα καὶ ὁ δημοκόπος καὶ κόβαλος. καὶ τὰς τῶν λόγων τέχνας κοπίδας ἔλεγον. Μὴ τὸν πυθαγόραν εὕρομεν ὄντα ἀληθινῶν κοπίδων.

Κόραξ, παρὰ τὸν κόρον ὃ σημαίνει τὸ μέλαν. ἢ παρὰ τὸ κάραν μεγάλην ἔχειν.

Κόρη, ἡ παρθένος καὶ ὑγροφυὴς καὶ τρυφερά. ἀπὸ τοῦ κορεῖν τὸ καλλωπίζειν. ὃ καὶ ἐπὶ τοῦ ὀφθαλμοῦ εἴρηται. ἢ ἡ καθαρὰν καὶ ἄφθορον ἔχουσα τὴν ἡλικίαν. κορεῖν γὰρ τὸ καθαίρειν. ἔνθα καὶ νεοκόρος. ἢ παρὰ τὸ κόρον ἐμποιεῖν τῇ ἰδέᾳ. ἢ παρὰ τὸ κείρω, ἡ κειρομένη ἔτι νεάζουσα. κόρη δὲ ἐπὶ τοῦ ὀφθαλμοῦ, οἱονεὶ χώρη τις οὖσα, ἀπὸ τοῦ δι' αὐτῆς χεῖσθαι τὸ ὁρατικὸν πνεῦμα. καὶ κατὰ κόρρης λέγεται, τὸ τὴν σιαγόνα πλῆξαι. ὁ δὲ ἐρατοσθένης ἀπὸ σαντὸ τῆς κεφαλῆς πληγήν. κόρσην γὰρ τὴν κεφαλὴν λέγεσθαί φησι. μεταβεβλῆσθαι δὲ τὸ σ εἰς τὸ ρ ἀττικῶς. ὡς ἐπὶ τῆς μυρρίνης καὶ τοῦ ταρροῦ. ἔστι γὰρ μυρσίνη καὶ

Κορήσατε, σαρώσατε. ποιήσατε. κόρημα γὰρ < ταρσός. τὸ σαρόν. καὶ κορῶ, τὸ σαρῶ. καὶ περικόρημα, τὸ περισάρωμα.

Κόρινθος, ἀπὸ κορίνθου τοῦ μαραθῶνος. ἢ ἀπὸ κορίνθου τοῦ πέλοπος.

Κόρριον, παρὰ τὸ κόρον ἐστίν. οἷον, Νῦν μανῶ κόρριον.

Κορεσθῆναι. ὅτι κουροτρόφον τὴν γῆν καλοῦσι καὶ τὸν ἐκ ταύτης καρπὸν κόρην. ὅθεν καὶ τὸ πληρωθῆναι τῆς τροφῆς, κορεσθῆναι λέγουσιν. ἀπὸ τῆς κόρης. ἣν παρὰ πλούτωνι καὶ κατὰ γῆν οὖσαν, κἀκείνου νομιζομένην γυναῖκα, ὅμως κόρην λέγουσι, διὰ τὴν τοῦ καρποῦ κατ' ἐνιαυτὸν γινομένην γέννησιν. φώτιος.

Κορθύεται. ἰλιάδος ι. Ἄμυδις δέ τε κῦμα κελαινὸν κορθύεται. κορυφοῦται. αὔξεται. ἀπὸ τοῦ κορύσσω. ἢ ἀπὸ τῆς κόρυς κόρυθος, κορυθύω, καὶ κορθύω. ἔνιοι ἐπὶ τοῦ σωρεύεσθαι ἤκουσαν. κόρθυς γὰρ ὁ σωρός.

Κόρη, κώλυσις τοῦ ῥεῖν, ἤτοι πρὸ τοῦ τόπου. ἤτοι πρὸ τῶν αἱμάτων. καὶ ἡ κόρη τοῦ ὀφθαλμοῦ. ὡς ἐκ τοῦ κοίλου ῥέειν τὸ δάκρυον. λέγεται ἐκ τοῦ τοῦ καὶ κολλούριον,

Κόρος, ὁ βασιλεὺς τῶν περσῶν. < τὸ κωλύον τὸ ῥέειν. ὁ παλαιὸς ἥλιος. ἡλίου γὰρ ἔχει τὸ ὄνομα. κῦρον γὰρ καλεῖν εἰώθασιν οἱ πέρσαι τὸν ἥλιον. ὥρος.

Κοροπλάστης, ὁ τὰ ζῷα διαπλάττων. οὐ γὰρ μόνον κούρους ἢ ὁμοίας κόρας πλάσσει, ἀλλὰ πᾶν ζῷον. καὶ κοροπλάθους, τοὺς ἐκ κηροῦ ἢ πηλοῦ ἢ τοιαύτης τινὸς ὕλης πλάττοντας κόρας ἢ κούρους. κόρη γὰρ τὸ σμικρὸν ἀγαλμάτιον, τὸ γύψινον ἢ πήλινον.

Κορώνη, τὸ ζῷον. παρὰ τὸ κρώζω κρώνη. καὶ πλεονασμῷ τοῦ ο, κορώνη. ἢ παρὰ τὸ κόρον ἢ γαῦρον ὅπερ σημαίνει τὸ κακόν. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ ὀρνέου καὶ ἐπὶ τοῦ ἐπικαμποῦς τόξου. καὶ ἐπὶ τοῦ κρίκου τῆς θύρας. τὸ ζῷον, ὡς τὸ, Οἱ δὲ κορώνῃσιν εἴκελοι, κύμασιν ἐφορέοντο. εἶναι δέ φησιν ὁ ἀπίων τὴν αὐτὴν τῷ λάρῳ καὶ τῇ αἰθυίᾳ. ἐπὶ δὲ τοῦ κρίκου τῆς θύρας, Ἀργύρεον δ' ἐφύπερθε. χρυσῆ δὲ τέτατο κορώνη. ἐπὶ δὲ τῆς τοῦ τόξου ἐγκοπῆς, Πᾶν δ' εὖ λειήνας χρυσῆν ἐπέθηκε κορώνην. νῦν τὸ ἐπικαμπὲς ἄκρον λέγει τοῦ τόξου, ὅθεν ἀπήρτισται ἡ νευρά.

Κορωνός, ὁ γαῦρος καὶ ὑψαύχην. παρὰ τὸ κάρη. κατὰ μετάθεσιν τοῦ α εἰς ο. Ἀρχίλοχος. Βοῦς ἐστιν ἡμῖν ἐργάτης ἐν οἰκίῃ κορωνὸς ἔργων ἴδρις.

Κορωνίσι. Σὺν νηυσὶ κορωνίσι. ἐπικαμπέσιν ἐχούσαις τὰς ἄκρας, ὅ ἐστι τὰς πρύμνας. τουτέστι καμπυλοπρύμνοις. παρὰ τὸ ἄνω ἐξηρμένας εἶναι διὰ τὸ εἰς ὕψος ἀνέχειν. ἐκ τοῦ κάρα δηλονότι, ἧς ὕψου ἀνέχεται. ἔστι δὲ ὑποκοριστικόν. ἐκ τοῦ κορώνη, κορωνίς. τίθεται ἐπὶ τῆς πρύμνης τῆς νεώς, διὰ τὸ ἐν ἄκρῳ τοῦ πλοίου γίνεσθαι. σημαίνει καὶ τὸ ἀκρότατον τῶν αἱρέσεων, οἷον ἡ κορωνὶς τῆς σοφίας.

Κορωνίς, ἀκρώρεια. ἢ τὸ τελευταῖον τῆς οἰκοδομῆς. σημαίνει καὶ ὄνομα κύριον. καὶ τὸ προσηγορικὸν τὸ ἐπιτιθέμενον ἐν τῷ τέλει τῶν βιβλίων. καὶ εἶδος στεφάνης πεπλεγμένης ἐξ ἴου.

Κόπρος, σημαίνει τρία. τὴν τῶν κήπων, ὡς καὶ ἡμεῖς. Δμῶες ἀναγκαῖοι τέμενος μέγα κοπρίσαντες. λέγουσι δὲ οὕτω καὶ τὴν κώμην. οἷον, Κυλινδόμενος κατὰ κόπρον. καί, Ἀμφὶ δὲ πολλὴ κόπρος ἔην κεφαλῇ. καὶ τὴν στάσιν τῶν βοῶν. οἷον, Μυκηθμῷ δ' ἀπὸ κόπρου ἐπεσσεύοντο νομόνδε.

Κόρση, ἡ κεφαλή. ὡς μὲν Ἀπολλόδωρος, ἐκ τοῦ κορυφοῦσθαι. οἱ δέ φασι κέρση, ἀπὸ τοῦ κείρεσθαι. ὅθεν καὶ κορσωτήρ, ὁ τὰς τρίχας τίλλων καὶ κουρεύων. κλίνεται κορσωτῆρος. καὶ κόρσαι, αἱ τρίχες. Αἰσχύλος. Λευκὰς δὲ κόρσας τήνδ' ἐπ' ὤμων τέλλειν νόσῳ. ἢ παρὰ τὸ κείρεσθαι. καὶ γὰρ τὸ κέρσαι, κόρσαι λέγεται.

Κορώνη, καὶ ἐπὶ τοῦ τόξου, καὶ ἐπὶ τῆς θύρας, καὶ ἐπὶ τῆς πρύμνης τοῦ πλοίου ἡ καὶ κορωνίς. διὰ τὸ ἐπικαμπές. εἴρηται δὲ ταῦτα ἀπὸ τῆς κορώνης τοῦ ζώου. εὐλύγιστον γὰρ ἔχει καὶ οἷον ἐπικαμπῆ τὸν τράχηλον. καὶ ἐπὶ μέρους δὲ σώματος, ὡς ἐπὶ τοῦ ἀγκῶνος, οἷόν τε παράγεσθαι. οὕτω Φιλόξενος ἐν τῇ περὶ ῥωμαίων διαλέκτῳ.

Κορυβαντιᾷ, μαίνεται. ὀρχεῖται.

Κορύβαντες, δαίμονές τινες οἳ ἐτάχθησαν φυλάττειν τὸν Δία, κρύβαντές τινες κατὰ πλεονασμὸν τοῦ ο. ἀπὸ τοῦ κρύβειν τὸν Δία ὅτε κατέπινεν ὁ Κρόνος τὰ ἀπὸ τῆς Ῥέας τέκνα. ἢ οἱ τὴν κόρην καταβάντες ἀναγαγεῖν καὶ μὴ ὑποστρέψαντες.

Κορυφή, τὸ μέσον τῆς κεφαλῆς, ὅτι τῆς κάρας ἐστὶν ὀροφή. ἤγουν σκεπασμὸς τῆς κεφαλῆς. ἢ ἀπὸ τοῦ κρύπτω κρύψω, κέκρυφα, κρυφὴ καὶ κορυφή. παρὰ τὸ κρύπτεσθαι ὑπὸ τῶν τριχῶν. Φιλόξενος δὲ ἐν τῷ περὶ Ἰάδος διαλέκτου, λέγει ὅτι παρὰ τὸ κάρη, γίνεται καρύπτω καὶ κορύπτω. ἐκ τούτου κορυφή. ἰστέον δὲ ὅτι τὸ αὐτό ἐστι κορύσσω καὶ κορύπτω. ὅθεν καὶ Ὅμηρος, Πόντῳ μὲν τὰ πρῶτα κορύσσεται, ἐπήγαγε τὸ κορυφοῦται, ὡς εἰς τὸ αὐτὸ καταστρεφομένου τοῦ ῥήματος. κορύσσω δὲ σημαίνει καὶ τὸ καθοπλίζω, καὶ τὸ παρασκευάζω. ὀξύνεται. ὁ κανών. τὰ εἰς φη λήγοντα ὀνόματα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς υ συνεσταλμένον, ὀξύνεται. γλυφή. ῥυφή. κορυφή.

Κόρσιφος. οἰφεῖν τὸ συνουσιάζειν. ὅθεν καὶ Θεόκριτος φησίν. Εὔγ' ὤνθρωπε φιλοῖφα τό τοι γένος ἢ Σατυρίσκοις ἐγγύθεν ἢ Πάνεσσι κακοκνάμοισιν ἐρίσδει. ἢ τὸ ὡς κόρην ὑφόμενον, τουτέστιν ὀχευόμενον. ἢ παρὰ τὸ τὴν τρίχα ὑφειμένην καὶ ἡπλωμένην ἔχειν. οἷον κέρουφός τις ὤν. κέρας γὰρ ἡ θρίξ. οἱ δέ, κέρας λέγουσι τὸ αἰδοῖον. καὶ κέρουφον τὸν τὸ αἰδοῖον ἔχοντα ὑφειμένον καὶ μαλακόν.

Κορύνη, ῥόπαλον. παρὰ τὸ κόρη, ὅ ἐστι παρὰ τὸ κάρηνον γέγονε. κατὰ ἀποκοπήν, καρύνη. καὶ τροπῇ, κορύνη. ἡ κατὰ τὸ κάρα νεύουσα ῥάβδος. τὸ παχεῖαν κεφαλὴν ἔχον ξύλον. ἢ κατὰ τὸ κάλον νεύουσα.

Κόρυς, ἡ περικεφαλαία. παρὰ τὸ κάρη κάρυς καὶ κόρυς. ἢ παρὰ τὸ κόρση γίνεται, ὃ σημαίνει τὴν κεφαλήν.

Κορυθάϊκι πολέμῳ. ἀπὸ τῆς κόρυθος καὶ τοῦ ἀΐσσω τὸ ὁρμῶ, ἀΐξω ἀΐξ, γίνεται κορυθάϊξ.

Κορυθαίολος, ὁ τὴν κόρυθα εὐκίνητον ἔχων, ἢ ποικίλην. ἐξ οὗ πολεμικός. ἀπὸ τῆς κόρυθος καὶ τοῦ αἰόλω ῥήματος.

Κορυθάλη, ἡ πρὸ τῶν θυρῶν δάφνη τιθεμένη. ὅτι οἱ κλάδοι οὓς κόρους καλοῦσι, θάλλουσιν. ὡς καὶ Χρύσιππος. Ἀλλὰ δᾷδας ἡμμένας μοι δότω τις ἔνδοθεν. καὶ κόρους πλέκετε τοὺς ἀκραιφνεῖς μυρρίνης. οἱ γὰρ ποιηταὶ ἀνάπαλιν τοὺς κλάδους, κλῶνας καὶ ὅρπηκας λέγουσι. τινὲς δὲ ὅτι ἡβησάντων τῶν νέων καὶ θυγατέρων, δάφνας προετίθουν ἐφηβίοις, καὶ γάμοις. εἰς τὸ δίκρον. ἰστέον ὅτι τὸ κορυθαίολος Ἕκτωρ, οὐκ ἔχει ἐγκείμενον τὸ αἰόλος, ἀλλὰ τὸ αἰόλλω ῥῆμα δηλοῦν τὸ κινῶ. ὅπερ ἐκ τοῦ ἀέλλα γίνεται ἀόλλω. καὶ πλεονασμῷ τοῦ ι. ὡς τό, Ὡς δ' ὅτε γαστέρ' ἀνὴρ αἰόλλει, ὅ ἐστι συνεχῶς στρέφει καὶ κινεῖ. ἢ ἀπὸ τοῦ ἀελλῶς γίνεται, ἢ ἀπὸ τοῦ ἄειν τὸ πνεῖν, καὶ τοῦ ἐλεῖν τὸ αἰόλλω. τὸ δὲ Ἔμπλειην κνίσης τε καὶ αἵματος, ἀντὶ τοῦ λίπους. Ὀδυσσεία. εἰ γὰρ ἦν ἀπὸ τοῦ αἰόλος ὀνόματος, ὤφειλε προπαροξύνεσθαι. κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι τὰ εἰς ος ὑπερδισύλλαβα, πρὸ μιᾶς ἔχοντα τὸν τόνον, ἐν τῇ συνθέσει προπαροξύνεται. οἷον, πλησίος, παραπλήσιος. αἰόλος, παναίολος. χωρὶς εἰ μὴ σύνθετα εἴη ἕνεκεν ἐνεργείας παροξυνόμενα.

Κόρυς κόρυθος, ὁ κανών. πᾶσα γενικὴ διὰ τοῦ θος κλινομένη, μακρὰν ἔχει τὴν παραλήγουσαν. ὄρνις, ὄρνιθος. ἕρμις, ἕρμιθος. κῶμυς, κώμυθος, σημαίνει δὲ τὴν δέσμην τοῦ χόρτου. πλὴν τοῦ κόρυς κόρυθος. τοῦτο γὰρ τὸν χρόνον τῆς εὐθείας ἐφύλαξεν ἐν τῇ γενικῇ.

Κόσμος, παρὰ τὸ κεῖσθαι ἅμα. ἢ παρὰ τὸ κοσμῶ, ὁ τὰ πάντα ἐν ἑαυτῷ ἔχων κεκοσμημένα καὶ διατεταγμένα. ἢ ἀπὸ τοῦ κάζω κέκασμαι. ῥηματικὸν ὄνομα κασμός. καὶ κατὰ μετάθεσιν τοῦ α εἰς ο, καὶ ἐναλλαγῇ τοῦ τόνου, κόσμος. σημαίνει τὸ ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ, σύστημά τε καὶ σύγκριμα. σημαίνει καὶ τὸ καλλώπισμα. Κόσμος θ' ἵππῳ, ἐλατῆρι δὲ κῦδος. σημαίνει καὶ τὸν πρὸς πλάνην καὶ ἡδονὰς ἄγοντα, ὡς παρὰ τῇ θείᾳ γραφῇ. Ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου. καί, Ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην. ἐνταῦθα κόσμον τὸ πλῆθος φησὶ τὸ διεφθαρμένον, καὶ τοῖς γηΐνοις προσεκτικῶς πράγμασι. τὸν χυδαῖον καὶ ταραχώδη καὶ ἄνετον λαόν. καί, Τὸ πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν. κόσμον δὲ ἐνταῦθα τοὺς πονηροὺς φησί.

Κοσμῆσαι, σημαίνει τὸ διατάξαι. ὡς τό, Τοὺς δ' αὖ βασιλῆες ἐκόσμεον οὐτάμενοί περ. καὶ τό, Αὐτὰρ ἐπεὶ κόσμηθεν. ἀντὶ τοῦ διετάχθησαν. ἐκοσμήθησαν. ἡ μεταφορὰ ἀπὸ τοῦ κόσμου. ὅθεν ἡ τῶν ὅλων τάξις, κόσμος ὑπὸ πύθωνος εἴρηται. ἡ δὲ διάλεξις δωρική. ἀπὸ τοῦ κοσμῶ, κοσμήσω, κεκόσμηκα, κεκόσμημαι. ὁ ἀόριστος, ἐκοσμήθην. τὸ τρίτον τῶν πληθυντικῶν, ἐκοσμήθησαν. εἶτα ἀφαιρέσει τοῦ ε καὶ συγκοπῇ, γίνεται κόσμηθεν. ὁμοίως καὶ τὸ ῥάφεν. δευτέρου ἀορίστου τρίτον τῶν πληθυντικῶν δωρικῶς ἢ ἰωνικῶς καὶ τὰ ὅμοια. καὶ τὸ φάανθεν, ἀπὸ τοῦ φαίνω. ὁ παθητικὸς πρῶτος ἀόριστος ἐφάνθην. τὸ τρίτον τῶν πληθυντικῶν, ἐφάνθησαν. καὶ ποιητικῶς ἢ αἰολικῶς ἢ δωρικῶς, φάανθεν πλεονασμῷ τοῦ α. ἔθος γὰρ ἔχουσιν οἱ αἰολεῖς καὶ δωριεῖς τὰ ἔχοντα ῥήματα τὴν μετοχὴν εἰς ς ὀξύτονον, σχηματίζειν τὰ τρίτα τῶν πληθυντικῶν, ὡς τὸ κόσμηθεν. καὶ τό, Ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι. ἀπὸ τοῦ φθίμι, φθίσω, ἔφθικα, ἔφθιμαι, ἐφθίθην, ἐφθίθημεν, ἐφθίθησαν. καὶ βοιωτικῶς, ἔφθιθεν.

Κότινος, ὁ ὀλυμπιακὸς στέφανος. ὅτι πάλαι ἐφυλλοβόλουν τοὺς νικῶντας ἀπὸ τῶν παρακειμένων φύλλων ἐπιρρίπτοντες ἃ δὴ στρῶμα αὐτοῖς πρὸς τὴν εὐνὴν ἔπιπτον. ὅθεν καὶ κότινον φασὶ τὸν στέφανον τὸν ὀλυμπιακόν. ἢ ἀπὸ τῆς κοίτης ἀρξάμενον στέφανον εἶναι τοῖς νικῶσι. σημαίνει δὲ καὶ ἀγριελαίαν.

Κότος, ἡ ὀργή. παρὰ τὸ κεῖμαι κεῖται, γίνεται ῥηματικὸν ὄνομα κότος. ἡ ἐναποκειμένη γὰρ ὀργή, κότος λέγεται. ἢ παρὰ τὸ κῶ τὸ κοιμῶμαι, γίνεται κέος κόος καὶ κότος. ἡ κοιμωμένη καὶ ἡσυχάζουσα ὀργή, καὶ μῆνις ἐν τῇ ψυχῇ. ποίου εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι, εἰδικοῦ. τὸ γενικόν, θυμός. ἐκ τοῦ κότος γίνεται ῥῆμα κοτῶ. ὅθεν τό, Ἀλλήλοις κοτέοντε. δυϊκόν, ἀντὶ τοῦ ὀργιζόμενοι.

Κοτύλη, ἐγγλουτὸς ὅπου ἐγκλίνεται ἡ κεφαλὴ τοῦ μηροῦ. παρὰ τὴν κοιλότητα τὴν ἐν αὐτῇ τῇ κοτύλῃ γενομένην. λέγεται κοτύλη καὶ τὸ κοῖλον τῆς χειρός. ὅθεν καὶ κοτυλήρυτον αἷμα, τὸ πολὺ καὶ τοσοῦτον τῷ πλήθει, ὥστε καὶ τῷ κοίλῳ τῆς χειρὸς δύνασθαι ἀρύεσθαι. παρὰ τὸ ἀρύω ἀρύσω, ἀρυτόν. καὶ ἐν συνθέσει, κοτυλήρυτον. λέγεται κοτύλη καὶ εἶδος ποτηρίου, καὶ εἶδος μέτρου. κυρίως δὲ τὸ ὁποσοῦν μέτρον κοτύλην ἔλεγον οἱ ἀρχαῖοι διὰ τὴν κοιλότητα. καὶ πᾶν τὸ κοῖλον κοτύλην ἔλεγον.

Κοτταβίζω. Συνεπίνομέν τε καὶ συνεκοτταβίζομεν. καί, Τῶν κοτταβίων τὰ πολλὰ ἡμέτερα ἦν. κοτταβίζειν, τὸ τῷ κοττάβῳ χρῆσθαι φασὶν ἀττικοί. οὐχὶ τὸ ἐμεῖν ὥσπερ οἱ νῦν λέγουσιν. ὁ δὲ κότταβος ἦν τοιοῦτον. τι λεκάνιον ἐν τῷ μέσῳ κείμενον τοῦ συμποσίου, ἔχον ἐπιπλέον ἕτερον σμικρόν. ὃ ἔδει καταδῦσαι τὸν πέμψαντα τὸ περίττον τοῦ πόματος. ἦν δὲ τοῦτο σημεῖον τοῦ ἐρᾶσθαι ὑπὸ γυναικὸς ἢ παίδων. καὶ ἆθλα οἱ νικῶντες ἐλάμβανον πλακουντίσκοις, πυραμοῦντας, ἢ σησαμοῦντας, ἅπερ κοττάβια ἔλεγον. ὁ ἦχος δὲ ἐκαλεῖτο λάταξ. καὶ ἀποκοτταβίζειν, τὸ ἀπὸ τοῦ ποτηρίου τὸ ὑπολειπόμενον πόμα ἐξαίρειν.

Κουλεός, ἡ ξιφοθήκη. ἐκ τοῦ κοῖλον κοιλεός. καὶ τροπῇ τοῦ ι εἰς υ, κουλεός. τὸ κοῖλον καὶ βαθύτατον.

Κούρειον. τὰ διὰ τοῦ ειον τρισύλλαβα ἰδιάζοντα, τουτέστιν ἐν ἰδίῳ τύπῳ μόνον λεγόμενα, διὰ τῆς ει διφθόγγου γράφεται καὶ προπαροξύνεται. οἷον, λάγειον τὸ ἱππόδρομον Ἀλεξανδρίας. ἀπὸ Λάγου τινός. Χλούνειον τόπος ἐν Αἰτωλίᾳ, ὅπου ἦν ὁ Χλούνης. Λαύρειον τόπος ἐν Ἀττικῇ ἔχων μέταλλα. οὕτω καὶ κούρειον. οὕτω δὲ καλεῖται ἐν Ἀττικῇ τὸ ἱερεῖον τὸ θυόμενον ἡνίκα ἐγγράφοντο οἱ κοῦροι εἰς τοὺς φράτορας. τοῦτο δὲ καὶ μεῖον ἐλέγετο, καὶ μειαγωγὸς ὁ τοῦτο εἰσάγων. ἐκλήθη δὲ ὅτε τὸ ἱερεῖον ἔκραζον μεῖον μεῖον, τουτέστιν ὀλίγον. ἡ δὲ ἡμέρα ἐν ᾗ ἐποίουν τοῦτο, ἐλέγετο κουρεῶτις.

Κουρεῶτις, ἑορτή ἐστιν ἐπὶ τρεῖς ἡμέρας τελουμένη. Ἀθηναίων πρὸς Βοιωτοὺς πόλεμον ἐχόντων περὶ Οἰνόης καὶ Μελαίνης, Ξάνθος ὁ τῶν Βοιωτῶν βασιλεύς, Θυμοίτην τὸν τῶν Ἀθηναίων δυνάστην εἰς μονομαχίαν προσεκαλέσατο. τοῦ δ' οὐχ ὑποστάντος, Μέλανθος ὁ Κόδρου πατὴρ ἐμονομάχησε. νικήσας, ἐνομοθέτησε τὴν ἑορτήν. τῇ μὲν οὖν πρώτῃ ἡμέρᾳ δειπνοῦσι καὶ καλοῦσιν ἀνάρρυσιν. διὰ τὸ τοὺς ἄρχοντας ἀνακλῶντας τὰ ἱερεῖα καὶ ἄνω ἐρύοντας θύειν. καὶ Ὅμηρος. Αὐέρυσαν μὲν πρῶτα. τῇ δὲ τρίτῃ, τοὺς κούρους εἰσάγουσιν εἰς τὴν ἑορτήν. καὶ συνιστῶσι τοῖς συγγενέσι καὶ γνωρίμοις, καὶ ἐγγράφουσιν εἰς τὴν πολιτείαν. ἡ δὲ ἑορτή, καλεῖται κουρεῶτις.

Κουρόσυνα. κοῦρος λέγεται παρὰ τοῖς Ἀθηναίοις, ἡλικία τις ἐν ᾗ ποιοῦντες τραπέζας ἔταττον ἑαυτοὺς μετὰ τῶν νεωτέρων. λέγεται δὲ καὶ ὁ ξυρῶν αὐτοὺς τὸ γένειον. κουρίξ, ἐκ τῆς κόρσης, τουτέστι τῆς κεφαλῆς. ὅθεν καὶ ἡ κουρὰ ἐν ὑπομνήματι χ΄ Ὀδυσσείας. Ἀλέξης δὲ κουρίξ τῶν τριχῶν. ἢ νεανίσκος παρὰ τὸν κόρον.

Κουρά. ἀπὸ τοῦ κείρω κέκαρμαι κορὰ καὶ κουρά.

Κούρη. παρὰ τὸ οὐρῶ τὸ φυλάσσω, οὔρη. καὶ πλεονασμῷ. ἢ παρὰ τὸ κείρω τὸ κουρεύω, κόρη καὶ κούρη πλεονασμῷ τοῦ υ. ἡ κειρομένη ἔτι καὶ νηπιάζουσα.

Κουρίδας, μαχαίρας. αἱ μὲν παρὰ τὴν κουρὰν περὶ ἣν χρῆσαν παρωνύμως κουρίς, οὐδὲν ζήτημα. αἱ δὲ παρὰ τὸ κουρὰς, ἐν ἐλλιπεῖ τῷ η. κουρὰς. κουρῆος. κουρηΐς, καὶ κουρίς. κοῦσος. φύλαξ.

Κουρῆτες, προσδιορίζονται ἐπὶ τοῦ ἔθνους. ὡς τὸ, Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοί. οἱ τὴν Πλευρῶνα κατοικοῦντες ἀπόρους τόπου. ἢ ἀπὸ τῆς κουρᾶς, παρὰ τὸ μὴ κείρεσθαι. ἐπὶ τῶν νέων δὲ προπαροξύνεται ὡς τὸ, Κοῦροι τ' Ἀχαιῶν, τουτέστιν οἱ νεανίαι. κουρῆτες δὲ, οἱ τὸν Δία διαθρέψαντες.

Κόφινος, παρὰ τὸ κόπον ἀφιέναι τοῖς βαστάζουσιν. ἢ παρὰ τὸ κοῦφον ὃ σημαίνει τὸ βαθὺ καὶ κοῖλον χώρημα.

Κοχλίδιον, ἀπὸ τοῦ κόχλος γίνεται. καὶ ὡς ἀπὸ τοῦ κοιλία γίνεται κοιλίδιον, οὕτω καὶ ἀπὸ τοῦ κοχλίας κοχλίου, κοχλίδιον. κοχλίας δὲ, παρὰ τὸ κοχλῶ τὸ γυρίζω. ἢ παρὰ τὸ ὀλῶ τὸ συστρέφω, γίνεται ὀλίας. καὶ πλεονασμῷ τοῦ κχ, κοχλίας.

Κόχλος. παρὰ τὸ χαλῶ συγκοπῇ, χλῶ, γίνεται χλός. καὶ κατὰ ἀναδιπλασιασμὸν, κόχλος διὰ τὴν ἐπαλληλίαν. τὸ κατὰ τὴν εἴλησιν χαλώμενον κάτω. ὅθεν καὶ Θουκυδίδης ἐν τῇ τετάρτῃ, διὰ τοῦτο λέγει κάχλακας. ὡς παρὰ τὸ ἱερὸς γίνεται ἱέραξ, καὶ νέος νέαξ ὡς παρὰ Καλλιμάχῳ. Καὶ τῶν νεήκων εὐθὺς οἱ τομώταροι, καὶ μύρμος μύρμαξ, οὕτω καὶ κόχλος κόχλαξ.

Κραδάων δολιχόσκιον ἔγχος, ἀντὶ τοῦ κινῶν καὶ σείων. ἔστι δὲ ἐκ τῆς συζυγίας τῶν βαρυτόνων. ἐκ τούτου καὶ τὸ κραδαίνω. οἶμαι δὲ ἀμφότερα γέγονεν ἀπὸ τοῦ κάρα καραδαίνω καὶ κραδαίνω.

Κράδη, ἡ συκῆ. διὰ τὸ συνεχῶς κραδαίνεσθαι τοὺς θαλλοὺς τῶν κραδῶν. κράδη δὲ οὐ μόνον τῆς συκῆς οἱ κλάδοι, ἀλλὰ καὶ παντὸς ἀκροδρύου. ἀπὸ τοῦ κραδαίνεσθαι.

Κράμβη. τινὲς κοράμβη. ἡ ἀμβλύνουσα τὰς κόρας. βέλτιον δὲ ἡ τῷ κόρῳ ἀντιβαίνουσα. ὅθεν καὶ πρῶτον ἐν τοῖς συμποσίοις δίδοται. καὶ παρὰ ἀμπέλῳ οὐ φύεται.

Κρᾶμα, παρὰ τὸ κέκραμαι.

Κραναὴ, ἡ τραχεῖα. Ἰθάκης κραναῆς περιούσης. τραχείας. ὀρείου κάρηνα ἐχούσης. ἢ παρὰ τὸ κραναόν. τοῦτο παρὰ τὸ κράνιον ὅπερ ἐστὶ τραχὺ καὶ ὀστῶδες. ἀπὸ δὲ τοῦ κάρα, καράνιον καὶ κράνιον.

Κράσπεδον, τὸ κρεμάμενον ἤτοι κεχαλασμένον εἰς τὸ πέδον. παρὰ τὸ ἄκρα καὶ τὸ πέδον ἡ γῆ. κατὰ ἀφαίρεσιν τοῦ α καὶ πλεονασμὸν τοῦ ς, κράσπεδον. οἱονεὶ τὸ ἔξω ὂν, καὶ τῇ γῇ πλησιάζον.

Κραταίπεδον, λιθόστρωτον ἔδαφος, ἢ ψηφολογικὸν τὸ ἀντίτυπον.

Κρᾶτα, τὴν κεφαλήν. ἀπὸ τοῦ κρατεῖν. ὡς ἐν ταύτῃ τοῦ ἡγεμονικοῦ τυγχάνοντος. ἢ παρὰ τὸ κραίνειν καὶ βασιλεύειν τοῦ ὅλου σώματος. ὅθεν καὶ κρανίον. καὶ κέρατα τὰ ἐκ τοῦ κρανίου φυόμενα. οὕτω σαρανός. ὁ δὲ Χοιροβοσκός, παρὰ τὸ κρὰς τοῦ κρατὸς τῷ κρατὶ τὸν κρᾶτα, καὶ κρᾶτα. Κρατὸς ἀπ' ἀθανάτοιο, ἀντὶ τοῦ ἀπὸ τῆς ἀθανάτου κεφαλῆς. ἡ εὐθεῖα, κρὰς, κρατός. ὁ κανών. τὰ εἰς ας ὀξύτονα μονοσύλλαβα, κύρια εἰσὶ, καὶ διὰ τοῦ ντ κλίνονται. οἷον, Ζάς. Φθάς. Πράς. τὸ δὲ κρὰς, προσηγορικόν ἐστι. καὶ ὡς διήλλαξε περὶ τὸ σημαινόμενον, διήλλαξε καὶ περὶ τὴν κλίσιν. καὶ, Ὑπὸ κρασὶν, Ἰλιάδος κ΄. ὑπὸ ταῖς κεφαλαῖς.

Κρατῶ, παρὰ τὸ κράτος. τοῦτο, ἐκ τοῦ κάρα κάρατος καὶ κράτος. ὁ γὰρ κρατῶν καὶ ἄρχων, ἐκεῖνος ἐστὶ κεφαλή.

Κράτεια, παρὰ τὸ κρατῶ κράτεια, ὡς ἀνθῶ, ἄνθεια.

Κρατευτάων, τῶν βάσεων, ὅ ἐστι τῶν λίθων ἐφ' ὧν οἱ ὀβελίσκοι τίθενται ὀπτωμένων τῶν κρεῶν. οἱ δὲ τῶν λαβῶν τῶν ὀβελίσκων, εἶπον κακῶς.

Κράστις, ὁ ἡμίξηρος χόρτος. ὅθεν καὶ τὰ ζῷα κραστίζεσθαι φασὶν, οἷον, ἐμφορεῖσθαι τοῦ τοιούτου χόρτου.

Κρατηρίζων, ἤτοι τὸν οἶνον ἐν κρατῆρι κιρνῶν, ἢ ἀπὸ τῶν κρατήρων σπένδων.

Κρατερὸς, ἰσχυρός. ἀπειλητικός. τὰ εἰς τερος ὑπὲρ δισύλλαβα, προπαροξύνεται. τοῦτο δὲ ὀξύνεται, διότι οὐκ ἐγένετο ἡ παραγωγὴ διὰ τοῦ τερος, ἀλλὰ διὰ τοῦ ερος. ὅμοιόν ἐστι καὶ τὸ βλαβερὸς ἐκ τοῦ βλάβη. τὰ δὲ διὰ τοῦ ερος ὑπὲρ δύο συλλαβὰς ὀξύτονα εἰσὶν, διὰ τοῦ ε ψιλοῦ γράφεται. μυσερός. κρυερός. κρατερός. διατί ὀξύνεται. διότι τὰ μὲν ἄλλα, ἀπὸ τοῦ παραγώγου ἔσχον τὸ τ. τὸ μὲν πρότερος, ἐκ τῆς πρὸ προθέσεως κατὰ παραγωγήν. τὸ σφέτερος, ἐκ τῆς σφῶν γενικῆς τῶν πληθυντικῶν. τὸ κύντερος, ἐκ τῆς κυνὸς κυνότερος. καὶ συγκοπῇ, κύντερος. καὶ κύντερον, τὸ χαλεπώτερον. τὸ δὲ κρατερὸς, ἐκ τοῦ πρωτοτύπου ἔχει τὸ τ. ἐκ τοῦ κράτος, γίνεται κρατερός. ὡς θάλλω, θαλερός.

Κρατὺς ἀργειφόντης. ἀπὸ τοῦ κράτος κρατὺς, ὡς πλάτος πλατύς.

Κραυγή, ὄνομα ῥηματικόν. ἐκ τοῦ κράζω, κράξω, κέκραχα, κέκραγα, γίνεται κραγή. καὶ πλεονασμῷ τοῦ υ, κραυγή. κράζω. τὸ κρα, βραχύ, διατί. τὰ διὰ τοῦ αζω ῥήματα δισύλλαβα βαρύτονα, ἐκτείνονται. οἷον, σφάζω. φράζω. πλὴν τοῦ κράζω. τὰ δὲ ὄντα ὑπὲρ δύο συλλαβὰς, συστέλλεται. οἷον, ὑποπιάζω. ἀλαπάζω. πλὴν τοῦ σφαδάζω. μοτάζω. περάζω. γίνεται δὲ ἐκ τοῦ κρῶ κατὰ παραγωγήν. τοῦτο ἐκ τοῦ κλῶ. τοῦτο ἐκ τοῦ καλῶ κατὰ συγκοπήν. ἐκ δὲ τοῦ κράζω, καὶ Ἀττικῷ καὶ αἰολικῷ διπλασιασμῷ, γίνεται τὸ ἐκέκραξα. ἔθος γὰρ τοῖς Ἀττικοῖς διπλασιασμοῖς χρῆσθαι. τὸ δὲ κράζω, ἀναλογώτερόν ἐστι τοῦ κρώζω τοῦ παρὰ Ἀθηναίοις.

Κραίνω, τὸ ἐπιτελῶ. παρὰ τὸ κάρα, καραίνω. ὡς χεῖμα, χειμαίνω. καὶ συγκοπῇ, κραίνω. εἴρηται δὲ κυρίως ἡ λέξις ἐπὶ τοῦ τελειοῦσθαι, καὶ τῇ κεφαλῇ κάτω νεύειν τὸν ὑπισχνούμενον. Εἰ δ' ἄγε τοι κεφαλῇ κατανεύσω ὄφρα πεποίθῃς. ὁ παρατατικός, ἔκραινον. πλεονασμῷ τῆς αι διφθόγγου, κραίαινον, καὶ ἐπεκραίαινον. ὁ μέλλων, κρανῶ. ὅθεν καὶ τὸ κρανέεσθαι. σημαίνει τὸ κεφαλῇ ἐπινεῦσαι τῷ πράγματι τελειωθήσεσθαι, ἢ τελείως λείψεσθαι. ὁ ἀόριστος, ἔκρανα. ἰωνικῶς, ἔκρηνα. τὸ προστακτικὸν, κρῆνον. καὶ πλεονασμῷ τοῦ η, κρήηνον, ἀντὶ τοῦ ἐπιτέλεσον.

Κραιπνὸς, ὁ ταχύς. καὶ τὸ συγκριτικὸν, κραιπνότερος. παρὰ τὸ κάπτω τὸ πνέω. ὅθεν καὶ κάπος τὸ πνεῦμα. καὶ καπνὸς, τὸ ἐκκαυθὲν τῶν ξύλων ἀναπεμπόμενον πνεῦμα. τοῦτο κατὰ πλεονασμὸν τοῦ ρ, γίνεται καρπνός. καὶ καθ' ὑπέρθεσιν, κραπνός. καὶ πλεονασμῷ τοῦ ι, κραιπνός.

Κραιπαλῶ, δευτέρα συζυγία τῶν περισπωμένων. γίνεται ἐκ τοῦ κραιπάλη, ὃ σημαίνει τὴν μέθην. τοῦτο παρὰ τὸ κάρα καὶ τὸ πάλλω, ὑπερθέσει καὶ συγκοπῇ.

Κρεββάτιον, παρὰ τὸ κρεμᾶν τὰς βάσεις.

Κρέας, παρὰ τὸ κέαρ ὃ σημαίνει τὴν ψυχὴν καθ' ὑπέρθεσιν. πᾶν γὰρ κρέας, ἔμψυχόν ἐστιν, εἴ γε πᾶν ἔμψυχον κρέας ἔχει. ἢ παρὰ τὸ κείρω τὸ κόπτω. ἢ παρὰ τὸ κερῶ, τὸ συγκεκραμένον ἐκ τεσσάρων στοιχείων. τινὲς δὲ παρὰ τὸ κρατύνειν καὶ ἰσχυροποιεῖν τὸ σῶμα. τὸ ας, βραχύ. τὰ εἰς ας οὐδέτερα, συστέλλει τὸ α πρὸς ἀντιδιαστολὴν τῶν ἀρσενικῶν ὀνομάτων. καὶ εἰ μὲν ὦσι καθαρὰ, ἢ ἔχει πρὸ τοῦ α τὸ ρ, ἐπιδέχεται καὶ κλίσιν. εἰ δὲ μὴ, οὐ κλίνεται. οἷον, βρέτας. δέπας. δέμας. χωρὶς τῶν παραληγομένων τῷ λ. οἷον ἄλας, ἄλατος. ἐρισίπελας, ἐρισιπέλατος.

Κρεκόδειλος, ἀπὸ τοῦ κροκόδειλος, κατὰ ἐναλλαγὴν τῶν στοιχείων.

Κρεγμῷ, τῇ κρούσει. Ἀπολλώνιος.

Κρεμόω, ἀπὸ τοῦ κρεμῶ κρεμᾷς, γίνεται ποιητικῷ πλεονασμῷ τοῦ ο, κρεμόω. ὡς παρὰ γελῶ, γελόω, καὶ ὁρῶ, ὁρόω. ἐνεστὼς δὲ ἐστι καὶ οὐ μέλλων. ἐὰν γὰρ τὸ κρεμῶ καὶ ἀγορῶ δῶμεν μέλλοντας εἶναι ἀπὸ τοῦ κρεμάζω καὶ ἀγοράζω, εὑρεθήσονται ἐλάττονας συλλαβὰς ἔχοντες τοῦ ἐνεστῶτος, ὅπερ ἐστὶν ἀδύνατον. ἀλλ' ἔστιν εἰπεῖν, ὅτι ἀπὸ τοῦ ἀγοράζω καὶ κρεμάζω, γίνεται ὁ μέλλων ἀγοράσω καὶ κρεμάσω. καὶ ἀποβολῇ τοῦ σ, ἀγοράω καὶ κρεμάω. καὶ κράσει, ἀγορῶ καὶ κρεμῶ. καὶ μετάγεται εἰς ἐνεστῶτα. ταῦτα δὲ μέχρι τοῦ παρατατικοῦ κλίνεται. ὅτι γὰρ κρεμάσω μέλλων, οὐκ ἔστιν ἀπὸ τοῦ κρεμῶ, ἐπειδὴ κρεμήσω ὤφειλεν εἶναι, ὡς παρὰ βριμῶ βριμᾷς, βριμήσω. ἀλλ' ἔστιν εἰπεῖν ἐκ τοῦ κρεμάζω. καὶ τὸ ἀγοράσω, οὐκ ἐκ τοῦ ἀγορῶ, ἀλλ' ἐκ τοῦ ἀγοράζω, ἐπειδὴ ὤφειλεν εἶναι τὸ α μακρόν. ἀλλ' ἔστι βραχύ. μήποτε οὖν καὶ τὸ ἀμφιῶ ἢ ἐνεστώς ἐστιν, ἢ μεταβέβηκεν εἰς ἐνεστῶτα. χωρὶς εἰ μή τις εἴποι, ὅτι τὰ τῷ ι παραληγόμενα τῶν περισπωμένων, δευτέρας συζυγίας εἰσὶ, καὶ οὐ πρώτης. οἷον, ἀνιῶ. κονιῶ.

Κρεῖον, παρὰ τὸ κρέας, κρέον καὶ κρεῖον. λέγει δὲ Ὧρος, ὅτι τὸ κρεῖον, ὅμοιόν ἐστι τῷ θεῖον ἐν τῇ Ἰλιάδι τῇ κ΄ προσόδῳ. Ἰστέον ὅτι ἡ μὲν κοινὴ δόξα ἔχει, ὅτι τὸ κρεῖον κρεωδόχον ἀγγεῖον σημαίνει. ὁ δὲ Εὐφορίων τὸ κρέας λέγει εἶναι. ὁ δὲ Ἡρωδιανὸς, τὴν ἐκ τῶν ὠμῶν κρεάτων πεπληρωμένην τράπεζαν. ὁ δὲ Πολέμαρχος, τὸ ἀπὸ τοῦ στέατος πλακοῦντα φησὶν αὐτὸ σημαίνειν. Χοιροβοσκὸς, Ὁ δὲ κρειῶν ἐρατίζων, ἀντὶ τοῦ τῶν κρεάτων ἐπιθυμῶν. ἀπὸ τῶν κρεῶν γίνεται κατὰ πλεονασμὸν τοῦ ι. οὐκ ἔστι δὲ μετοχή, ἀλλ' ὄνομα.

Κρείων, ὁ βασιλεύς. ἔστι δὲ ὄνομα μετοχικόν. ἀπὸ γὰρ μετοχῆς, περιήχθη εἰς ὄνομα. ἔστι γὰρ κρατῶ, καὶ σημαίνει τὸ ἄρχω. ἐξ οὗ κατὰ παραγωγὴν, γίνεται κρατείω, ὡς ὄψω ὀψείω. ἡ μετοχὴ κρατείων. καὶ συγκοπῇ, Κρείων Ἀγαμέμνων. καὶ ἀπὸ μετοχῆς μετήχθη εἰς ὄνομα. ὁμοίως καὶ τὸ θηλυκὸν κρατείουσα. καὶ συγκοπῇ, κρείουσα. σημαίνει τὸ βασιλεύουσα.

Κρείσσων, παρὰ τὸ κρατὺς ὄνομα συγκριτικόν. ὁ πρῶτος τύπος, κρατύτερος. ὁ δεύτερος, κρατίων. καὶ ὁ τρίτος, κράσσων. καὶ κατὰ τροπὴν αἰολικὴν τοῦ α εἰς ε, καὶ πλεονασμῷ τοῦ ι. οὐδέποτε δὲ πρὸ τῶν δύο σσ εὑρίσκεται δίφθογγος, πλὴν τοῦ λεύσσω. γλαύσσω τὸ φωτίζω, καὶ κρείσσων. καὶ τοῦ ἐξ αὐτοῦ ῥήματος γινομένου.

Κρήγυον, τὸ ἀληθὲς καὶ ἀγαθόν. παρὰ τὸ κῆρ ἡ ψυχὴ καὶ τὸ ἡδύ, γίνεται κηρήδιον. τὸ τῷ κέαρι ἡδὺ, καὶ προσηνές. ὅ ταὐτόν ἐστι τῷ θυμῆρες. καὶ συγκοπῇ καὶ τροπῇ τοῦ δ εἰς γ, γίνεται κρήγυον, τὸ τὴν ψυχὴν ἡδῦνον.

Κρήδεμνον, τὸ κεφαλόδεσμιον. παρὰ τὸ κάρη καὶ τὸ δέω τὸ δεσμεύω, καρήδεμνον. καὶ συγκοπῇ, κρήδεμνον τὸ τὴν κεφαλὴν δεσμεῦον. ὁ δὲ Ἡρωδιανός φησι κρήδεμνον λέγεται, παρὰ τὸ δέμω. τὸ κατεσκευασμένον καὶ πεποιημένον εἰς κεφαλὴν τῶν νέων. σημαίνει δὲ καὶ τὰ τείχη, οἷον τὰ περιβλήματα.

Κρημνή. Κρήμνη σε αὐτὴν ἐκ μέσης ἀντηρίδος. ὡς ἀπὸ τοῦ ἵστημι, ὁ παρατατικὸς, ἵστην ἵστης ἵστη, καὶ τὸ προστακτικὸν, ἵστη, οὕτω καὶ ἀπὸ τοῦ κρημνῶ, γίνεται

κρήμνημι. ὁ παρατατικός, ἐκρήμνην ἐκρήμνης ἐκρήμνη. καὶ τὸ προστακτικόν, κρήμνη.

Κρημνός, παρὰ τὸ κρεμῶ κρεμός. καὶ πλεονασμῷ τοῦ ν, κατὰ τροπὴν τοῦ ε εἰς η, γίνεται κρημνός. ἢ παρὰ τὸ κάρα καὶ τὸ νεύω, γίνεται κάρανος. καὶ κρημνός, ὁ ἐπὶ κάρα νεύων.

Κρήνη, ἡ πηγή. παρὰ τὸ ῥέω ῥήνη, καὶ κρήνη. ἢ ἔστι ῥῆμα κρῶ μονοσύλλαβον, συγκοπὲν ἐκ τοῦ κερῶ. ὃ δηλοῖ τὸ ἐγχέειν. καὶ ὡς παρὰ τὸ εἴρω τὸ λέγω γίνεται εἰρήνη, οὕτω κρῶ κρήνη. καὶ νεοκρᾶτας σπονδὰς αἰσχύλος, τὰς νεωστὶ ἐγχυθείσας. καὶ ὅμηρος. Κέραστε δὲ νέκταρ ἐρυθρόν, ἀντὶ τοῦ ἐπέχεεν. οὐ γὰρ ὕδατι κιρνᾶται τὸ νέκταρ.

Κρηπίς, παρὰ τὸ ἐρῶ ἐρεπίς. καὶ ἐν ὑπερβιβασμῷ, ῥεπίς. καὶ πλεονασμῷ τοῦ κ, τροπῇ τοῦ ε εἰς η, γίνεται κρηπίς. δι' ἧς ἐρείδειν καὶ βαδίζειν δυνάμεθα. ἢ παρὰ τὸ ῥάπτω.

Κρῆτες, παρὰ τὸ ἐπὶ κέρασι βιοτεύειν. κυνηγετικοὶ γάρ. ὁ ἀπολλόδωρος παρὰ τὸ εὐκεκρᾶσθαι τὸν περὶ τὴν νῆσον ἀέρα.

Κρησφύγετα, φρούριά τινα οὕτω λεγόμενα, ἐν οἷς ἔκρυπτον οἱ νησιῶται τὸν μίνωα φεύγοντες. παρὰ τὸ κρίτην αὐτῶν εἶναι κρῆτα. τὸ οὖν κρησφύγετον ἔλεγον σπήλαιον χρήσιμον τοῖς φεύγουσιν εἰς τὸ κρύπτεσθαι.

Κρησέρα, δηλοῖ τὸ πῶμα. κυρίως δὲ ἐστὶν ἐπιβόλαιον ὀψὶ τῆς κεφαλῆς ποιόν. ἄλλοι δὲ περὶ τραχήλιον ποιὸν εἶναι φασί. κακῶς. ἡ γὰρ λέξις ἀπὸ τοῦ κάρα ὠνόμασται. τὸ τοῦ κοφίνου ἐπιβόλαιον κρησέρα εἴρηκε κατὰ μεταφοράν. ἀπολλώνιος δὲ γελοίως ἵστασθαι. φησὶ γὰρ ἐπὶ τὰ ἐσκοτωμένα κόσκινα, οἷς ἐπικαλύπτουσι τοὺς κοσκίνους. ὧρος.

Κριλευκόν, σημαίνει τὴν κριθήν. ἢ ἀπὸ τοῦ κριθὴ γέγονε κατὰ ἀποκοπήν. ἢ ἀπὸ τοῦ κρίμνον τοῦ σημαίνοντος τὸ πάχυ τοῦ ἀλεύρου. ὁμοίως κατὰ ἀποκοπὴν κρῖ. ἔστι γὰρ κρίμνον καὶ γένος κριθῆς. σημαίνει δὲ καὶ τὸ ἀπόσταγμα τοῦ κυκεῶνος.

Κρίβανος, σημαίνει τὴν κάμινον, ἔνθα ὀπτῶν τοὺς ἄρτους. παρὰ τὸ κρῖ καὶ τὸ βαίνω, ὡς κάμινος. οἱ δὲ δωριεῖς, κλίβανον λέγουσι.

Κριθή, παρὰ τὸ προκριθῆναι τῶν ἀκροδρύων. ἀκρόδρυα γὰρ ἤσθιον πρὸ τῶν καρπῶν. παρὰ τὸ προκριθῆναι τῶν δρυῶν. ὁ πρὶν γὰρ βαλάνους ἔτρωγον οἱ ἀρχαῖοι. καὶ πάλιν ἤρξαντο ἀπὸ κριθῆς ὕστερον δὲ τὸν ἐσθίειν. ἢ διὰ τὸ κρίνεσθαι καὶ διαχωρίζεσθαι αὐτὴν ἐκ τῶν ἀχύρων ὑπὸ τοῦ ἀνέμου. τὰ εἰς θη, βαρύνεται. λήθη. πλὴν τοῦ κριθή, ποθή.

Κρητήρ, ἐκ τοῦ κρατὴρ κατὰ τροπὴν ἰωνικὴν τοῦ α εἰς η. ὡς πρᾶγμα, πρῆγμα. τὸ κρᾶ, μακρόν. ἐκ τοῦ κρῶ κράσω, ὅπερ ἀπὸ τοῦ κερῶ. τοῦτο ἀπὸ τοῦ κέρας ὃ σημαίνει τὸ κέρατον. οἱ παλαιοὶ γὰρ κέρασιν ἐχρῶντο ἀντὶ προχόου.

Κριτής, ὁ τῆς διαφορᾶς χωριστικός. κρῖναι γὰρ τὸ διαχωρίσαι καὶ διακρῖναι. ἔνθα καὶ ἀκριτόμυθος, ὁ ἄκριτα καὶ ἀδιαχώριστα λέγων, καὶ μὴ διακρίνων τὰ λεγόμενα. κλίνεται κριτοῦ. τὰ ἀπὸ τοῦ παθητικοῦ παρακειμένου τρίτου προσώπου γινόμενα ὀνόματα, εἰς ου ἔχει τὴν γενικήν. κρίνω, σημαίνει τρία. τὸ διαχωρίζω, ὡς τό, Κρῖν' ἄνδρας κατὰ φῦλα. καί, Κρίνον τὸ διακρινόμενον ταχέως. καὶ τὸ δικάζω. σημαίνει καὶ τὸ ἐπιλέγω. ὡς τό, Κρίνας ἐκ λυκίας εἴκοσι φῶτας.

Κρίκος, τὸ κρικέλλιον. παρὰ τὸ κλείω. κατὰ ἀποβολὴν τοῦ ε, κίκλος. ὁ πάντοθεν περικεκλεισμένος. καὶ τροπῇ τοῦ λ εἰς ρ, κρίκος. ἢ ὡς ἄλγος ἀλγέος καὶ ἀργαλέος. ἔστι δ' ὅτε καὶ ἐν ὑπερθέσει γίνεται κρίκος. ὡς καρδία κραδία. βαρύνεται. ἐπειδὴ τὰ εἰς κος μονογενῆ διβραχέα, βαρύνεται. εἰ δέ τι ὀξύνεται πρὸς ἀντιδιαστολὴν σημαινομένου, ὡς ἔχει τὸ δοκὸς ἐπὶ τῆς δοκήσεως πρὸς ἀντιδιαστολὴν τοῦ δόκου. σεσημείωται τὸ φακὸς ὀξύτονον. τὸ δὲ φακῆ, περισπᾶται. ἀπὸ γὰρ τοῦ φακέα. τὸ δὲ κακός, ἐπιθετικόν.

Κρίκε. ἰστέον ὅτι τό, Κρίκε δὲ ζυγόν, μιμητικῶς ἐστιν εἰρημένον. ἐφ' οὗ τινὲς οὐ προσεσχηκότες τῇ μιμήσει τῆς φωνῆς ἠπόρησαν, ὡς ἡρωδιανός. πῶς ἀπὸ θέματος τοῦ κρίζω ὢν ὁ δεύτερος ἀόριστος, οὔτε διὰ τοῦ γ ἐστίν, οὔτε διὰ τοῦ δ, ὡς τὸ φράζω, ἔφραδον, καὶ στίζω, ἔστιγον, ἀλλὰ διὰ τοῦ κ. ὅτι δὲ ἐστὶ τὸ κρίζω θέμα, δῆλον ἐκ τῶν κινημάτων. ὁ γὰρ ποιητής φησι κεκριγυῖαι. καὶ ῥηματικὸν ὄνομα κριγή, ὡς παρὰ ἱππώνακτι. Κριγὴ δὲ νεκρῶν ἄγγελός τε καὶ κῆρυξ. σχηματίζει δὲ τὸ κρίζω ὁ ἡρωδιανὸς οὕτως. ἔστι μονοσύλλαβον κρῶ, ἀφ' οὗ τὸ κράζω, καὶ κρώζω. ἀπὸ δὲ τοῦ κράζω, γίνεται κρίζω, ὡς στάζω, στίζω, σεβάζω, σεβίζω. τοῦτο δὲ τὸ κρίζω, ἡμαρτημένον ἀόριστον παραλαμβάνει τὸ κρίκε. ἡμεῖς δὲ οὔ φαμεν ἡμαρτῆσθαι, ἀλλὰ πεποιῆσθαι. οὕτως ζηνόδοτος. σημαίνει δὲ τὸ ἐψόφησεν. ἢ ἦχος ἐποίησεν ἢ ἦχον ἀπετέλεσε.

Κριός. ὡς παρὰ λέγεται κρείων ὁ βασιλεύς, οὕτω καὶ κριὸς ὁ ἐξέχων τῆς ποίμνης. ὁ δὲ ἡρωδιανός φησι παρὰ τὸ κεκρίσθαι τὰς τρίχας. διαφέρουσι γὰρ αἱ τρίχες τοῦ κριοῦ τῶν ἄλλων. σημαίνει δὲ πολλά. ἔστι γὰρ ὁ προηγούμενος τῆς ποίμνης. ἔστι καὶ ὄργανον πολιορκητικόν. ἔστι καὶ εἶδος πλοίου. ἔστι δὲ καὶ εἶδος ἐρεβίνθου. ὁ ἐρέβινθος δὲ ἀρσενικῶς λέγεται. τινὲς δὲ λέγουσι παρὰ τὸ κέρας γίνεσθαι κεριός. καὶ συγκοπῇ, κριός. οὐ καλῶς. κεραῖος γὰρ ὤφειλεν εἶναι. ὡς κνέφας κνεφαῖος. οὖδας οὐδαῖος.

Κρῖος, ὄνομα τιτᾶνος. παρὰ τὸ κεκρίσθαι. προπερισπᾶται πρὸς ἀντιδιαστολὴν τοῦ κριὸς τοῦ προσηγορικοῦ. ὁ δὲ ἀρίσταρχος, καὶ τὸ κύριον ὀξύνει. τὰ διὰ τοῦ ιος δισύλλαβα ἀρσενικὰ τὴν ει δίφθογγον ἀποστρέφεται. βίος. δῖος. χῖος, ὁ πολίτης τῆς χίου. θρῖος, ὄνομα ποταμοῦ. κῖος, ὄνομα κύριον. πῖος, ὄνομα κύριον. τῖος, ὄνομα κύριον. οὕτως οὖν καὶ κρῖος. πρόσκειται ἀρσενικά, διὰ τὸ νειός, ὃ σημαίνει τὴν ἀρουμένην γῆν. ἔστι δὲ θηλυκόν. σεσημείωται ταῦτα. θεῖος. κεῖος, ὁ τῆς κέω πόλεως. πλεῖος. μεῖος. λεῖος. ῥεῖος. οὕτω δὲ λέγουσιν οἱ κύπριοι τὴν ἀφθονίαν. παρὰ τὸ ῥέα, ὃ σημαίνει τὸ εὐχερές. χεῖος, παρὰ τὴν χειάν. τὸ δὲ φλιός, σημαίνει δὲ τὸν διόνυσον, διφορεῖται. τινὲς μὲν γὰρ διὰ τοῦ ι γράφουσιν αὐτό. τινὲς δὲ διὰ τῆς ει διφθόγγου.

Κρίμα, σημαίνει ποτὲ μὲν τὸ κατάκριμα καὶ τὴν καταδίκην. ὡς τό, Κρίμα δίκαιον κρίνατε. σημαίνει καὶ τοὺς ἐξητασμένους τοῦ θεοῦ λόγους.

Κροαίνω, τὸ κτυπῶ καὶ ἠχῶ. ἀριστοφάνης, τὸ τοῖς ποσὶ σκιρτᾶν καὶ κροτεῖν. παρὰ τὸ κροτῶ κροταίνω. ἀποβολῇ τοῦ τ, κροαίνω. ἢ παρὰ τὸ κρούω κροαίνω κατὰ παραγωγὴν καὶ ἀποβολὴν τοῦ υ.

Κρόκη, παρὰ τὸ κρούεσθαι μέλλοντα γίνεται ἀποβολῇ τοῦ υ. ἢ τὸ κρούεσθαι διόλου περικολούθησε.

Κροκύφαντος, ὅτι διὰ κρόκης ὑφαίνεται. οἱ δὲ ἀττικοὶ κεκρύφαλον αὐτὸ καλοῦσιν, ὅτι κρύπτει τὸν φαλόν, ὅ ἐστιν ἐξοχὴ τῆς κεφαλῆς.

Κρόνος, παρὰ τὸ κιεῖν καὶ ἀναβλαστάνειν ἐν τῷ κρύει. κρυόνοός τις ὤν.

Κροκόδειλος, ἐκ τοῦ κρόκος καὶ τοῦ δειλός. καὶ γὰρ ὁ χερσαῖος κροκόδειλος, φοβεῖται τὸν κρόκον. ὅθεν καὶ οἱ μελιτουργοί, ἐπειδὴ ἀνέρχεται καὶ ἐσθίει τὸ μέλι, ἐπιτίθενται ἔξωθεν κρόκον. ὃν ὑπερορῶν φεύγει. ὁ δὲ θαλάσσιος, παρὰ τὸ δειλαίνεσθαι τὰς κρόκας, ὃ σημαίνει τοὺς αἰγιαλούς. οἱονεὶ περὶ τὴν γῆν δειλός. ὁ δὲ κροκόδειλος, ζωΰφιόν ἐστι μικρόν.

Κρόκαλα, λέγονται αἱ ψῆφοι τῶν ποταμῶν. ἀπὸ τοῦ κροτεῖν καὶ ψοφεῖν.

Κρόμυον, παρὰ τὸ τὰς κόρας μύειν τῶν ἐσθιόντων αὐτό. δριμὺ γάρ.

Κρόνος, ὁ κρόνος τῆς νοερᾶς ζωῆς ἐστι δοτήρ. κόρος ὢν τοῦ νοῦ. μᾶλλον δὲ κορὸς νοῦς καὶ καθαρός. πάντες οὖν οἱ νοερῶς ζῶντες, κρονίαν ἔχουσι πολιτείαν. ὅθεν καὶ βασιλεὺς αὐτῶν ὁ κρόνος λέγεται. τὸν κρόνον φασὶν ἐκ τοῦ κρᾶναι καὶ κιρνᾶν ἕκαστα τῶν γενεθλιωμάτων, καὶ μῖξαντα τὸ θῆλυ τῷ ἄρρενι. χρύσιππος δέ φησιν ὅτι καθύγρων ὄντων τῶν ὅλων, καὶ ὄμβρων καταφερομένων πολλῶν, τὴν ἔκκρισιν τούτων κρόνον ὠνομάσθαι. τὰ δὲ περὶ τὴν ἐκτομήν, ἄλλοι οὕτως ἀναλύουσιν. ὅτι τῆς τοῦ οὐρανοῦ καὶ γῆς μίξεως γινομένης, ἐζωογόνει τὰ πολλά. εἶτα τοῦ κρόνου, ἤτοι τοῦ χρόνου ἕκαστα διακρίναντος, καὶ τῶν γεννηθέντων ἐκ τῆς πρὸς ἄλληλα μίξεως ζωογονούντων, ἐκτετμῆσθαι τὸν οὐρανὸν εἰρήκασιν. ἄλλοι δέ φασιν αὐτὸν κρόνον εἰρῆσθαι, ὅτι πρῶτος θεῶν εἰς κρίσιν ἐπέβαλε. νομίζεται παῖς οὐρανοῦ καὶ γῆς, ὅτι ἐκ τῆς ἐπιπλοκῆς τῶν ὑπὸ γῆν καὶ ὑπὲρ γῆν ἄστρων ὁ χρόνος γίνεται. διὰ γὰρ τούτων καὶ ἡμερονύκτιον, καὶ μῆνα καὶ καιρὸν διορίζομεν. καταπίνειν δὲ λέγεται τὰ τέκνα, ὅτι ὅσα διὰ χρόνου γίνεται, τῷ χρόνῳ πάλιν συνδιατρίβεται. φώτιος πατριάρχης.

Κρονίων, πατρωνυμικόν. κλίνεται κρονίωνος. τὰ εἰς ων πατρωνυμικά, φυλάττουσι τὸ ω ἐπὶ τῆς γενικῆς. εὕρηται καὶ συνεσταλμένη ἡ νι συλλαβή, ὡς παρὰ τῷ ποιητῇ. Ος ῥα παρὰ κρονίωνι κάθητο. τὸ γάρ, Ζηνὸς κἂν ἐγὼ κρονίωνος, ὑπερβιβασμὸν ἔπαθε χρόνου. καὶ τὴν μὲν προπαραλήγουσαν ἐξέτεινε. τὴν δὲ παραλήγουσαν, συνέστειλεν. ἄλλως. τὸ κρονίων διὰ τοῦ ι. ἐπειδὴ τὸ κρονίδης διὰ τοῦ ι. τὰ γὰρ εἰς ων πατρωνυμικά, τὴν παραλήγουσαν θέλει ἔχειν τῶν εἰς δης. ἀτρείδης, ἀτρείων. πηλείδης, πηλείων, οὕτω καὶ κρονίδης κρονίων. τὰ δὲ εἰς ος, εἰ μὲν καθαρά, διὰ τοῦ αδης ποιοῦσι τὸ πατρωνυμικόν. οἷον, θυέστιος, θυεστιάδης. τελαμώνιος, τελαμωνιάδης. εἰ δὲ μὴ καθαρά, διὰ τοῦ ιδης. οἷον, πρίαμος, πριαμίδης. κρόνος, κρονίδης.

Κρόσσας, οἱ μέν φασι κεφαλίδας τοῦ τείχους σημαίνειν. ἄλλοι δὲ τοὺς προμαχῶνας. ἀρίσταρχος δὲ κλίμακας τινάς, ἢ ὄργανα πρὸς τειχομαχίαν ἐπιτήδεια. ἄλλοι δὲ τὰ ἀποκριδώματα. καὶ γὰρ κρόσσας τὰ ἄκρα τῶν ἱματίων λέγουσιν, ὃ καὶ βέλτιον. οἱονεὶ κόρσους τινὰς ὄντας, παρὰ τὴν κόρσην τὴν κεφαλήν. ἢ μεταφορὰ ἀπὸ τῶν πλοκάμων. καὶ μετάθεσιν τοῦ ρ, κρόσσας. οὕτω φιλόξενος ἐν τῷ περὶ ἰάδος διαλέκτου. τὸ δὲ τῆς κλίμακος ὄνομα οὐ γινώσκει ὅμηρος. οὐδέ πω δὲ ᾔδεισαν τὰ πολεμικὰ ὄργανα. καὶ ταῦτα μὲν ὁ ὠρίων. ἐγὼ δὲ εὗρον σχόλιον παρακείμενον ὑπόνοιαν παρέχον μοι ἵνα σημαίνῃ καὶ τὰς κλίμακας, καὶ τὰ ἐξέχοντα τοῖς τοίχοις. ἔχει δὲ οὕτως. Ὅτι εἰ μὲν διαστέλλοιμεν εἰς τὸν μὲν σύνδεσμον, γένοιτ' ἂν Κρόσσας μὲν πύργων ἔρυον. οἷον ἐπὶ τοὺς πύργους τὰς κλίμακας εἷλκον. εἰ δὲ συνάπτοιμεν κρόσσας πύργων, τὰς ἐξοχάς φησι, περὶ ὧν ἐν ταῖς περὶ ναυστάθμου διαλέξεσι. Στήλας τε προβλῆτας, ἀντὶ τοῦ τοὺς προκαταβεβλημένους θεμελίους. ζήτει εἰς τὸ προκρόσσας.

Κρόκας, παρὰ τὸ ἐν κρυφῇ ἔχειν τὴν πορείαν, ὅ ἐστι τὴν αὔξησιν. οἷον, κρυκιός τις ὤν. οὕτως εὗρον ἐν ὑπομνήμασι τῆς ἰλιάδος.

Κροσσός, παρὰ τὸ ἄκρα καὶ τὸ κάρα. ἢ παρὰ τὸ ἄκρον καὶ τὸ σείω τὸ ἐν ἄκρῳ σειόμενον, καὶ κρεμάμενον. ἐκ δὲ τοῦ κροσσός, τὸ κροσσῶ, κροσσώσω. καὶ κροσσωτός.

Κρότων, ὁ φθείρ. ἀπὸ τοῦ κρατεῖν οἷς ἂν ἐμφυῇ. ὁ δὲ ὧρος, βοτανικὸν ὄνομα λέγει. διὰ τὸ ὄζειν αὐτῆς τὸ σπέρμα διατριβόμενον ἐν τοῖς δακτύλοις ὁμοίως τῷ ζώῳ, διὰ τοῦτο κρότων ἐκλήθη. ἔστι δὲ καὶ ὄνομα πόλεως παρ' αὐτῷ, ἀπὸ κρότωνος τινος, ὃς ὑπὸ ἡρακλέους ἀνῃρέθη.

Κρότος, ἐκ τοῦ κρούω, κρούσω, κέκρουκα, κέκρουμαι, κέκρουται, κρότος, κροτῶ.

Κρόταφοι. κυρίως ἐπὶ τῶν ζώων τῶν κερατοφόρων, διὰ τὸ ἐξ αὐτοῦ τῶν μερῶν φύεσθαι κέρατα. οἱονεὶ κερατοφυεῖς ὄντες. ἢ ὅτι κρούουσι τὴν ἁφὴν πάλλόμενοι. οἱ,

κρόταφοι. ὡς δὲ Ἀπολλόδωρος, ὅτι συγκεκρότηνται ἀμφοτέρωθεν. ὡς δὲ Ἀπίων, ὅτι τῆς κόρσης ἅπτονται, τουτέστι τῆς κεφαλῆς. οὕτω Σωρανός. ἢ παρὰ τὴν κόρσην, κόρσαφος, καὶ κόρταφος. καὶ ἐν ὑπερθέσει, κρόταφος. ἢ ὅτι τῆς κόρσης ἄφεσις. κόρση, κρόσσαι. καὶ κρόσσας, καὶ τὸ κροσσός, οὕτως ἐτυμολογεῖται ἀπὸ τοῦ τέλους. φησὶ γὰρ ἡ κεφαλὴ τὸ τελευταῖον ὁ κρόσσος καλεῖται. ἢ ὅτι ὁ κρουόμενος εἰς αὐτὸν τάφον ἔχει καὶ ἐμπλήκτος ἐστίν. ὥστε, Τάφος δ' ἔλεν πάντας Ἀχαιούς.

Κρωσσός, ὑδρία, ἢ τὸ ἀγγεῖον εἰς τὸ ἐπιχεῖν ὕδωρ. παρὰ τὸ κρῶ τὸ ἐπιχέω. τοῦ τὸ ἐκ τοῦ κεράω. ὅθεν κέρασον.

Κρώβυλος, εἶδος ἐμπλοκῆς, ἢ ὄνομα κύριον.

Κρῶμνα. Κρῶμνάν τε καὶ Αἰγιαλὸν καὶ ὑψηλοὺς Ἐρυθίνους. αὗται δὲ πόλεις Παφλαγονίας. ἐν δὲ τῇ Κυτώρῳ φύεται πύξος πολλὴ καὶ διάφορος. Ἀπολλώνιος Ἀργοναυτικοῖς.

Κρούω. ἐκ τοῦ κρῶ, κατὰ παραγωγήν, κρόω. καὶ πλεονασμῷ τοῦ υ. ἢ κρύω, καὶ πλεονασμῷ τοῦ ο. κυρίως δὲ ἐπὶ τῶν κερασφόρων. κορούειν γάρ ἐστι τοῖς κέρασι παίειν. καὶ κατὰ συγκοπήν, κρούειν. ὁ παθητικὸς παρακείμενος, κέκρουμαι, κέκρουται, κρότος. καὶ ῥῆμα κροτῶ.

Κρουνός, τὸ ῥεῦμα. καὶ κρουνῶν, ῥευμάτων. ἐκ τοῦ κερῶ κρῶ, γίνεται κρονός καὶ κρουνός. ἢ ἀπὸ τοῦ ῥέω, ῥοωνός καὶ κρουνός.

Κρούζω, κροβύζω. ἀφαιρέσει τοῦ β, καὶ κράσει τῶν δύο χειῶν, κρούζω.

Κρύος, παρὰ τὴν γινομένην κροῦσιν τῶν ὀδόντων ἐν τῷ κρυοῦν ἤγουν ψύχει, γίνεται κροῦος καὶ κρύος. ἐκ τούτου κρυερός καὶ κρυόεις. φρικτός. φοβερός. συμβαίνει γὰρ τοῖς φοβουμένοις, συγκρούειν τοὺς ὀδόντας. ἢ παρὰ τὸ κρατῶ κρατύω, κρύω καὶ κρύος. καὶ κρύος κρυόεις, κρυόεσσα. φρικτή. φοβερά. ἢ ψυχροποιός. ἀφ' οὗ νεκροποιός.

Κρύσταλλος, τὸ διὰ τοῦ κρύους ἠλλοιωμένον ὕδωρ. ἢ παρὰ τὸ στάλασσω καὶ τὸ κρῶ.

Κρυμός, παρὰ τὸ κρύπτω κέκρυμμαι, κρυμμός. καὶ ἀποβολῇ τοῦ μ. κρυμός δὲ ὠνόμασται αὐτὸ τὸ πάγος, ὅτι ἐπὶ κρυπτόμεθα. χειμερίου γάρ καιροῦ τὸ πάθος.

Κρύπτω, ἐκ τοῦ καλύπτω, καρύπτω, καὶ κατὰ συγκοπήν. ἢ ἐκ τοῦ κάρα, καρύπτω καὶ κρύπτω.

Κτέανον, ὡς τὸ φιλοκτεανώτατε.

Κτέρας, κτῆμα. ἀπὸ τοῦ κτῶ τὸ κτῶμαι.

Κτεάτεσσι, κτήμασιν. ἀπὸ εὐθείας τῆς κτέας. ἄμεινον δὲ μετὰ πλεονασμὸν παραδέχεσθαι. ἀπὸ τῆς κτέα τοῖς δοτικῆς. ὥσπερ καὶ προβάρις πρόβασιν. ἅμα δὲ τῇ μεταπλάσει, καὶ ἐπέκτασιν ἔπαθε.

Κτάμενος, ἐκ τοῦ κτῶ τὸ φονεύω καὶ ἀναιρῶ, γίνεται κτημι. Ὁμήρου, κτῆσαι. ὁ παρακείμενος, ἔκτηκα. ἔκταμαι, ἐκτάθην, ἐκτάμην, ἡ μετοχή, κτάμενος.

Κτείνω, διὰ δύο νν. Ὁμήρου, κτανῶ. οὐ γάρ ἐστι κταίνω.

Κτείς, τὸ μόριον. ἤγουν τὸ αἰδοῖον. κλίνεται κτενός. παρὰ τὸ ἐκτείνεσθαι ἐν ταῖς συνουσίαις. ἐπὶ δὲ τοῦ κόσμου τῶν τριχῶν, παρὰ τὸ ἐκτείνειν τὰς τρίχας, ἢ τὰς χεῖρας. ἢ παρὰ τὸ κτείνειν τὰς φθεῖρας. ἐπὶ δὲ τῆς θαλάσσης, παρὰ τὸ ἐκτείνεσθαι καὶ ἐξαπλοῦσθαι.

Κτῆνος, παρὰ τὸ κτῶ τὸ φονεύω, κτήσω, κτῆνος. ἢ παρὰ τὸ κτῶ τὸ κτῶμαι, ἐξ οὗ καὶ κτῆμα καὶ κτῆσις. ἢ ἀπὸ τοῦ κτείνω. ὁ δεύτερος ἀόριστος, ἔκτανον. ἐξ αὐτοῦ κτανος, καὶ κτῆνος.

Κτήνη, κυρίως ἐπὶ τῶν σφαζομένων εἰς βρῶσιν. κτείνεσθαι γάρ τὸ φονεύεσθαι. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἄλλων. κυρίως μὲν τὰ θυόμενα ὅσα νόμος σφάζειν καὶ κτείνειν. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν τεθυσμένων καὶ μή.

Κτίλος, ὁ προηγούμενος τῶν προβάτων καὶ προεξάρχων τῆς ποίμνης κριός. παρὰ τὸ κίω τὸ πορεύομαι, κίλος καὶ κτίλος. ἐτυμολογεῖται δὲ παρὰ τὸ κίειν τῶν λοιπῶν, ἤγουν προπορεύεσθαι. ἢ παρὰ τὸ ἄγω. Ὁμήρου, ἄξω. ῥηματικὸν ὄνομα, ἀκτίλος. καὶ ἀποβολῇ τοῦ α, κτίλος. ἢ ἀπὸ τοῦ ἵκω, ἰκτός. ὡς τάσσω, τακτός. καὶ πλέκω, πλεκτός. καὶ ὥσπερ παρὰ τὸ πένθος γίνεται πενθίλος, οὕτω καὶ παρὰ τὸ ἰκτὸς ἰκτίλος. καὶ μετὰ τῆς ὑπερθέσεως τοῦ ι, κτίλος. οἱ δὲ νεώτεροι, τάσσουσι τὴν λέξιν ἐπὶ τοῦ ἠθισμένου, καὶ γεγονότος ἡμέρου ζώου.

Κτύπος, παρὰ τὸ τύπτω τύπος. καὶ πλεονασμῷ τοῦ κ. τὰ γὰρ τυπτόμενα ψοφεῖ.

Κτώμην, σὺν τῷ ι. Σοφοκλῆς ἀπὸ τοῦ κτασοίμην.

Κύαθος, ἀντλητήριον μέτρον ὑγροῦ.

Κυανός. ἐκ τοῦ κῦμα γίνεται κυμανός. καὶ ἀποβολῇ τοῦ μ, κυανός, ὁ μέλας. κυάνεος, καὶ κυάνεος. καὶ ἡ κυανέα τῆς κυανέας.

Κυάρης. Ἴβυκος. Οὐδὲ Κυάρης ὁ Μήδων στρατηγός. τινὲς λέγουσιν ἀπὸ τοῦ Κυαξάρης γεγονέναι συγκοπήν. ἄλλοι δὲ ἀπὸ τοῦ κυρά κατὰ πλεονασμόν.

Κύβελον, ὄρος ἐν Φρυγίᾳ. ἔνθα τῆς μητρὸς τῆς Κυβέλης ἱερὸν ἅγιον ἐστίν. Ἀλέξανδρος δὲ ὁ Πολυΐστωρ ἐν τῷ περὶ Βιθυνίας, ἔοικεν οὖν Κυβέλη ἀπὸ τοῦ ὄρους κληθῆναι. ἴσως δὲ καὶ κύβηλις ὁ πέλεκυς. ἐκ τούτου Κυβέλη, ἢ ὅτι ἀπὸ τοῦ ὦτος. καὶ μέλος σώματος.

Κυβερνήτης. ἀναλόγως οἱ Αἰολεῖς κυμερνήτην λέγουσιν, ἀπὸ τοῦ ἐρευνᾶν τὰ κύματα, καὶ πρὸς αὐτὰ ἰθύνειν τὴν ναῦν. ἡμεῖς δὲ τροπῇ τοῦ μ εἰς β, κυβερνήτην φαμέν.

Κύβηκος, ἀπὸ τοῦ κύψαι. ὅθεν καὶ κύβος καὶ κύφος. καὶ ἀμφικύπελλον, καὶ ἀμφίκυπον. καὶ Ῥωμαῖοι τὸ ἔγκωμα, κύμηκον λέγουσι. καὶ κύμβιον, τὸ ἀσφόνδυλον τοῦ βοός. Κυρτὸς γάρ ἐστι.

Κύβηβος, παρὰ τὸ κύπτω. ὁ καταπνεύσας.

Κυβηβεῖν, κυρίως τὸ ἐπὶ τὴν κεφαλὴν ῥίπτειν. καὶ κύμβαχος. ἐπεὶ οἱ μανιώδεις ἐπὶ τὴν κεφαλὴν πάθους γινομένου τοιοῦτοι γίνονται. ὅθεν καὶ τὴν μητέρα τῶν θεῶν ἀπὸ τοῦ ἐνθουσιασμοῦ Κυβήβην λέγουσιν. αἰτία γὰρ ἐνθουσιασμοῦ τοῖς μύσταις γίνεται. ἔστι δὲ καὶ ἐν Φρυγίᾳ ἱερὸν μητρὸς θεῶν. ἢ ἐκ τοῦ κυβῶ κυβήσω τὸ καταστρέφω. καὶ κύβος, τὸ γεωμετρικὸν σχῆμα.

Κύβος, ὁ κύκλωθεν βάσιν ἔχων. ἢ πᾶσα τετράγωνος ψῆφος. Ἀπολλόδωρος δὲ ἀπὸ τῆς κουφότητος. τὰ γὰρ ἐπὶ κεφαλὴν κύψαντα κυλισθῆναι, κυβιστῆσαι ἔλεγον. καὶ κυβιστᾶν, τὸ ἐπὶ κεφαλῆς πηδᾶν. κύβην γὰρ ἔλεγον τὴν κεφαλήν. παρὰ τὸ κύπτω κύψω, γίνεται κύβος. ἐξ αὐτοῦ κυβιστής, καὶ κυβιστήρ, ὁ κολυμβητής.

Κῦδος, ἡ δόξα. παρὰ τὸ κύειν δέος. ἢ παρὰ τὸ κύειν ἡδονήν. κύιδος, καὶ κράσει κῦδος. ἢ παρὰ τὸ κύω τὸ φιλῶ. Ὁμήρου, κύσσε. τροπῇ τοῦ σ εἰς δ. τὴν γὰρ δόξαν πάντες φιλοῦμεν. κῦδος κυδίτερος, κυδίστατος καὶ κύδιστος ὑπερθετικόν. πλεονασμῷ τοῦ ρ, γίνεται κυδρός. τουτέστιν, ἀγαθός. τίμιος.

Κυδάλιμος. ἐκ τοῦ κῦδος γίνεται κύδιμος. καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, κυδάλιμος, ὁ ἔνδοξος.

Κυδοίμεον, ἐκλόνουν. ἐθορύβουν. ἀπὸ τοῦ κυδοιμός, γίνεται ῥῆμα κυδοιμῶ. κυδοιμός δέ, τάραχος. θόρυβος, ἢ πόλεμος, ἀπὸ τοῦ κύειν δέος, ἢ δεῖμα.

Κύθρα, ἀπὸ τοῦ κύτος, κύθρα. ἢ παρὰ τὸ κεύθω.

Κυθρίσαι, ἐπὶ τοῦ σκῶψαι καὶ γελάσαι. πανηγυρεῖς γὰρ παρὰ Ἀθηναίοις οἱ κύθροι, ἐν οἷς ἀλλήλους ἔσκωπτον.

Κύδαρον εἶδος πλοίου.

Κυθέρεια, ἡ Ἀφροδίτη. παρὰ τὸ κεύθειν τὸν ἔρωτα. ἡ κεύθουσα τοὺς ἔρωτας. ἢ παρὰ τὸ χύδην θέρειν καὶ φλέγειν τῷ πάθει. ἢ παρὰ τὸ κεύθειν καὶ κρύπτειν τὸ αἰσχρόν, κρυφαίαν οὖσαν τὴν μῖξιν. ὁ δὲ Ἡσίοδος ἀπὸ τῆς Κυθήρων πόλεως. ἢ ἀπὸ τοῦ χέειν τὸν ἔρωτα. ἡ δὲ κοινὴ ἔννοια, ἧς ἔδει ἀποκεκρύφθαι τὸ ὄνομα αὐτοῦ, ἐπεὶ μυστηριώδης ἡ γέννησις αὐτῆς. τινὲς δὲ τὰ Κύθηρα ἀπὸ αὐτῆς, ὅτι γεννηθεῖσα ἐκεῖ ἐκρύπτετο. τὴν δὲ Κυθέρειαν νοοῦσι τινές, ὡς κρυψίποθον. διὸ καὶ σκοτίας Ἀφροδίτης ἐν Φαιστῷ ἱερὸν εἶναί φασι.

Κυκεών, ἡ πόσις. ἀπὸ τοῦ κεχύσθαι χυχεών τις ὤν, πόμα κατασκευασθὲν παυστικὸν δίψης. ἔστι δὲ διψωτικὸν πόμα ὁ κυκεὼν. ἐκ διαφόρων εἰδῶν σκευαζόμενος.

Κυκνᾶ, ἀπὸ τοῦ κυκῶ τὸ ταράσσω. ἐὰν δὲ κυρκυνᾶ, πλεονασμῷ τοῦ ρ.

Κύκνος, ὄνομα ἐστὶν εἰδικόν. τὸ γὰρ γενικὸς ἐστί τό, τε ὄρνις καὶ τὸ πετηνόν. ὁ γὰρ ποιητὴς πάντοτε τὰ γενικὰ προτάσσει, καὶ οὕτω τὰ εἰδικά. γίνεται δὲ παρὰ τὸ κλῶ τὸ φωνῶ. κρακτικὸν γάρ ἐστι τὸ ζῶον, ὡς καὶ ἡ χήν. ἐκ τοῦ κλῶ οὖν, παράγωγον κλύω. καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματικόν, κλύκνος. καὶ ὑπερθέσει καὶ μεταθέσει τοῦ λ εἰς ν, κύκνος. ἢ παρὰ τὸ κύκλος. ἔστι καὶ εἶδος πλοίου. ὀνομάζεται δέ, ὅτι κύκνους ἔχει ἐντετυπωμένους ἐπὶ τῆς πρώρας.

Κύκλωπες. Κύκλωπες δ' οὐνομ' ἔσαν ἐπώνυμοι, οὕνεκ' ἄρα σφέων κυκλοτερὴς ὀφθαλμὸς εἷς ἐνέκειτο μετώπῳ. κυκλόωπες, καὶ κατὰ συγκοπὴν κύκλωπες. καὶ Κυκλώπειον ὄρος ἐν Λιβύῃ. παρὰ τὸ κύκλος, καὶ τὸ ὤψ. ἢ παρὰ τὸ κυκλοτερῆ ὦπα ἔχειν.

Κύκλω, ἐπίρρημα τοπικόν. παρὰ τὸ κυλίω, γίνεται κύλος καὶ κύκλος. ἔχει δὲ τὸ ι προσγεγραμμένον, ὡς ἀπὸ δοτικῆς. τὸ μέντοι πόρρω, καὶ ἔξω, καὶ ἄφνω, οὐ παρὰ δοτικῆς. διὸ οὐδὲ προσγεγραμμένον ἔχει τὸ ι. ἢ ἔστι ῥῆμα κλῶ. ἐξ οὗ μονοσύλλαβον ὄνομα, κλός. καὶ ἐπειδὴ οὐδὲν εἰς ος λήγει μονοσύλλαβον, διπλασιασμὸν ἀναδεξάμενον, ἐγένετο κύκλος. ὡς παρὰ τὸ θῶ τὸ θηλάζω ἐγένετο θός, καὶ τιθή. ἢ κύκλος λέγεται ὁ εὐκύλιστος. τὸ δὲ κύκλα ὃ σημαίνει τοὺς τροχούς, κατὰ μεταπλασμὸν ἐγένετο ἀπὸ τοῦ κύκλοις, κύκλα. ὡς θάρσους, θάρσα. ὁ δὲ τοιοῦτος μεταπλασμός, φυλακτικός ἐστι τῶν τόνων. εἰς τὸ κέλευθος.

Κυκλήσομεν. Κυκλήσομεν ἐνθάδε πάντας. Ἰλιάδος η. ἀντὶ τοῦ ἐφ' ἁμαξῶν ἄξομεν. ἀπὸ τοῦ κυκλῶ κυκλήσω. κύκλα γὰρ οἱ τροχοί.

Κυλίω, παρὰ τὸ ἀλῶ τὸ πλανῶ, ἀλίω καλίω καὶ κυλίω. ἢ παρὰ τὸ κινῶ κινίω καὶ κυλίω. ἐξ αὐτοῦ τὸ κυλίνδω.

Κυλίσανος, πόλις Ἰταλίας. πάρθαξ βαρύτονον. δὲ τὸ πρῶτον ἐκαλεῖτο. διὰ δὲ τὸ τὸν Ἡρακλέα φονεῦσαι δράκοντά τινα ὑπερμεγέθη, καὶ κυλισθῆναι εἰς αὐτόν, Κυλίσανος ἐκλήθη.

Κυλινδήθρα, κυλίστρα. ἀπὸ τοῦ κυλινδῶ.

Κύλιξ, τὸ ποτήριον κύκλιξ τις ὤν, ἀπὸ τοῦ κυκλοειδὲς εἶναι. ἢ παρὰ τὸ χύω, χύλιξ, καὶ κύλιξ.

Κυλίχναι, λεκανίδες καὶ τρύβλια, ἢ φιάλαι. λέγεται δὲ καὶ κυλίκνη κατὰ τροπὴν τοῦ χ εἰς κ. καὶ κυλικνίδες παρὰ Ἀθηναίοις αἱ πυξίδες. οἱ δέ, οἱ λιβανωτοί. ἄλλοι ἀγγεῖα κεράμεια.

Κυλλήνιος, ὁ ἐν Κυλλήνῃ ὄρει τῆς Ἀρκαδίας. Κυλλήνη δὲ Ἀρκαδίας ἱερὸν Ἑρμοῦ καὶ Ἀπόλλωνος. καὶ ὑπ' αὐτῷ πόλις ὁμώνυμος. ἢ οὕτως ὁ Ὑδορκιτικός. ὥστε, κυλάδων ἔχων τὰς ἡνίας. κυλάδες γάρ εἰσιν ἐσταλμένα τοῦ υ, τὰ ὑπὸ τοῖς ὀφθαλμοῖς μέρη. ὅθεν καὶ τὸ ταύτας οἰδεῖν, κυλοιδιᾶν καλοῦσιν. ἔστι καὶ ὄνομα κύριον.

Κυλλοποδίων, ὡς ἀπὸ τοῦ οἰδίπους οἰδίποδος γίνεται οἰδιποδίων, οὕτω καὶ παρὰ τὸ κυλλόπους κυλλόποδος, γίνεται κυλλοποδίων.

Κύλλοι οὐδίζοντο. ὁ δὲ ποιητὴς παρὰ τὸ κύλον. καὶ Ἀττικῶς καὶ τῶν ἀκύλων καὶ τῶν βαλάνων. καὶ ἡ ἐτυμολογία βοηθεῖ. ἃ χύλους λέγει, κατὰ τροπὴν τοῦ χ εἰς κ. πρὸς τὴν ἐτυμολογίαν, ἀφαιρέσει δεδώκαμεν.

Κύλλαρος, ἵππος Κάστορος. παρὰ τὸ κέλλειν, ὁ ταχὺς. Στησίχορος, Τὸν μὲν Ἑρμῆς δεδώκεναι φησὶ Φλόγεον καὶ Ἅρπαγον ὠκέα τέκνα Ποδάργης, Ἥρα δὲ Ξάνθον καὶ Κύλλαρον.

Κῦμα. κυῶ, κυήσω, κύημα, καὶ κῦμα. παρὰ τὸ κύω. τὸ κυόμενον. ἢ παρὰ τὸ κυῶ συζυγίας δευτέρας τῶν περισπωμένων. καὶ ἡ χρῆσις. Δεινὸν δ' ἀμφ' Ἀχιλλῆα κυκώμενον ἵστατο κῦμα. καὶ ἔστι μακρὸν τὸ υ. τὰ εἰς μα δισύλλαβα τὸ υ παραληγόμενα, συστέλλει αὐτό. οἷον, χύμα. πλύμα. θύμα. σεσημείωται τὸ κῦμα. τὸ γὰρ λῦμα ποιητικῶς ἐκτείνεται. τὸ δὲ θῦμα ἱστορεῖ Ἀριστοκλῆς ἐν τῷ περὶ διαλέκτου ἐκτεινόμενον.

Κύματι κωφῷ, τῷ δίχα ἀνέμου ἐπαιρομένῳ. τῷ ἀψόφῳ,
καὶ μηδὲ ἦχον ἀποτελοῦντι. ἄνευ γὰρ ἀνέμου, τὸ κῦμα
ἠρεμεῖ μηδέπω ἀνέμου ἐγκρινοῦντος.
Κύμη, πόλις Ἰταλίας. ἀπό τινος Κύμης βασιλίδος, ἥτις
ἐκράτει τοῦ πόντου. οἱ δὲ, ἀπὸ ἑνὸς κύμονος γυναικὸς οὕτως ὠ-
νομάσθαι τὸν πόντον. οἱ δὲ διὰ τὸ πολυκύματον αὐτὴν εἶναι.
Κύμινδις, ὄρνεον. οἱονεὶ κρύμινδις. κρύπτεται γὰρ ἑαυτῆς τὴν
κεφαλὴν εἰς τὰς στραγγας τῶν δένδρων καταδύουσα. ἢ διὰ τὴν
τῆς φωνῆς ὁμοιότητα, ταύτης ἔτυχε τῆς ὀνομασίας.
Κύμβαχος, σημαίνει τὸ ἄκρον τῆς περικεφαλαίας. ὥσπερ, Κύμ-
βαχον ἀκρότατον νύξ' ἔγχεϊ ὀξυόεντι. ἀντὶ δὲ τοῦ ἐπὶ κεφα-
λὴν πτώματος, ὥσπερ, Κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεχμόν
τε καὶ ὤμους. ἐκπεσεῖν δηλονότι. κύμβαχος οὖν, τὸ σκεπά-
ζον τὴν κεφαλὴν βρέγμα. τὸ σκαμβόν. τὸ δέρμα. παρὰ τὸ
κῦφον, τουτέστι τὸ περιφερὲς καὶ πλατές. κύμβη γὰρ ἡ κε-
φαλή. ὅθεν κυμβητιᾶν. κυρίως τὸ ἐπὶ τὴν κεφαλὴν ῥί-
πτειν. εἰς τὸ κυβιστᾶν. σημαίνει δὲ καὶ τὸ κατάκρον τῆς περικεφα-
Κυμβίον, εἶδος ποτηρίου, 〈λαίας, ᾧ ἐμβάλλεται ὁ λόφος.
παραπλήσιον τῷ σχήματι πλοίῳ, ὃ καλεῖται κύμβη.
Κύμβαλα, παρὰ τὸ κῦφος κύφαλά τινα ὄντα. καὶ κυμβία,
τὰ κῦφα ἐκπώματα, διὰ τὸ περιφερῆ εἶναι. κῦφον δὲ τὸ
κυρτὸν δὲ καὶ περιφερές. καὶ κύμβαι, πλοῖα περιφερῆ παρὰ
Κυνέη, εἶδος περικεφαλαίας. κυρίως ἡ ἐκ 〈ῥωμαίοις.
κυνείου δέρματος κατεσκευασθεῖσα. ἐκ τοῦ κύων κυνὸς κύνει-
ος καὶ κυνέα ἀποβολῇ τοῦ ι. ἢ κυνέη, ἀπό τινος Κυνὸς κατα-
Κυνικοὶ φιλόσοφοι, ἀπὸ μεταφο- 〈σκευασθεῖσα παρὰ τοῖς
ρᾶς τῶν κυνῶν. ὅτι ἀναιδεῖς εἰσι καὶ ὑπάρχουσιν ὥσπερ καὶ οἱ κύ-
νες. οὗτοι γὰρ ἐλέγχουσι τὰ δημόσια οὐκ ἔτι ἰδίαν. καὶ ὅτε
ἤσθιον, ἢ ἀφροδίσια ἔπραττον, ἀναφανδὸν αὐτὸ ἐποίουν ὡς
Κυνίζω, παρὰ τὸ κίω τὸ κινῶ, κινίζω καὶ κυ- 〈οἱ κύνες.
νίζω. τὸ δὲ κίω, παρὰ τὸ ἴω τὸ πορεύομαι.
Κυνόμυια, τουτέστιν ἀναιδής. ἐσχημάτισται τὸ ὄνομα ἐκ δύο
ἀναιδῶν τελείων. τοῦ, τε κυνὸς, καὶ τῆς μυίας, διὰ τὸ ὑπερ-
βάλλον τῆς ἀναιδείας. ὁ μὲν γὰρ ἀναιδής. ἡ δὲ, θρασεῖα.
Κυνίδαι, γένος ἱερὸν Ἀθήνησιν. ἀπὸ κίνου, ἢ κυνίδου ἥρωος.
Κυνῶπα, ὦ ἀναιδέστατε. ἀναιδὲς πρόσωπον ἔχων καὶ κυνός.
ἀπὸ τοῦ κύων κυνὸς, καὶ τοῦ ὢψ ὠπὸς, γίνεται κυνώπης. ὡς
Γλαυκώπης. κλίνεται ἡ γενική, εἰς ου. καὶ ἡ κλητικὴ εἰς α. καὶ
τὸ θηλυκὸν, κυνῶπις κυνώπιδος. καὶ ὅσα ἀπὸ τῶν εἰς ης
Κύντερον, παρὰ τὴν κυνὸς γενικὴν, γίνεται κυνό- 〈ἀρσενικῶν.
τερον. καὶ συγκοπῇ, κύντερον, τὸ χαλεπώτατον. ὡς μέ-
λαν μελανότερον, καὶ μελάντερον. ἢ παρὰ τὸ κεύθω.
Κύπελλον, παρὰ τὸ κύφος, ἢ παρὰ τὸ κύπτω τὸ κεκυρτωμένον
καὶ περιφερές. ἐτυμολογεῖται χύπελλόν τι ὄν, παρὰ τὸ
χύειν τὸν πηλὸν, ἤγουν τὸν οἶνον. ὅθεν καὶ κάπηλος, παρὰ
τὸ χέειν τὸν πηλόν.
Κύπρος, παρὰ τὸ κυοφόρον καὶ λιπαρὰν γῆν ἔχειν.
Κύπτω, παρὰ τὸ γυῶ γύπτω, καὶ κύπτω.
Κυνοραϊστῶν κροτώνων, οἱ φθειρῶν. ῥαίνουσι γὰρ τοὺς
κύνας πίνοντες τὸ αἷμα αὐτῶν.

Κύμβαλον, παρὰ τὸ κύπελον, κύπαλον καὶ κύμβα-
λον. ἢ παρὰ τὸ πεποιημένην φωνὴν ἔχειν. κύμβαλον
γὰρ ἐκ πεποιημένης φωνῆς εἴληπται. αἱ δὲ πεποιημέ-
ναι φωναὶ αὗται. κυμ. καρ. κον. ρε. κρι. κε. γρι. χθα.
Κύπρις, τὸ ἐπίθετον τῆς Ἀφροδίτης. ὃ οὐχ ἐνόησαν οἱ πρὸ
ἡμῶν τινες. συμπλανηθέντες δὲ τῷ Ἡσιόδῳ, ἔδοξαν ὅτι
Κύπρις λέγεται ὥς φησιν Ἡσίοδος κυπρογενέα. διὸ θρυλεῖ-
ται ἐν τῷ περικύκλῳ ἐνὶ πόντῳ. ὥσπερ καὶ τὸ φιλομει-
δὴ, ὅτι μηδέων ἐξεφαάνθη. Ὅμηρος δὲ οὐκ ἐπέστησεν,
ἀλλὰ τὴν μειδιάματα φιλοῦσαν. οἱονεὶ ἱλαρὰν διὰ τὴν ἐγκει-
μένην αὐτῇ δύναμιν ἀπὸ τῆς συνουσίας. ὥσπερ γὰρ τὸ πῦρ
ἥφαιστον λέγουσιν ὁμωνύμως τῷ εὑρόντι, οὕτω καὶ τὴν ἀν-
δρὸς πρὸς γυναῖκα συνουσίαν. ἡνίκα περὶ τῶν μνηστή-
ρων λέγει. Καὶ ἐκλελάθοιντ' Ἀφροδίτης, ἣν ἄρα ὑπὸ
μνηστῆρσιν ἔχον, μίσγοντο δὲ λάθρῃ. τὸ μὲν οὖν ἐπίθε-
τον τὸ διὰ τὴν κύπριν σημαῖνον, ἀπὸ τῆς περὶ ἑαυτὴν δυ-
νάμεως Ὁμήρῳ παρείληπται. ἔστιν οὖν κατὰ συγκοπὴν εἰρη-
μένον, ἀπὸ τοῦ κύω, κυόπορις, ἡ τὸ κύειν πορίζουσα τουτέ-
στι παρέχουσα. ἴδιον γὰρ Ἀφροδίτης τοῦτο. οὐ γὰρ ἄλλως γυ-
ναῖκες κυΐσκουσι χωρὶς τῆς ἀφροδισιακῆς συνηθείας. τὸ δὲ
πλανῆσαν τὸν Ἡσίοδον καὶ τοὺς ἄλλους, ἐστὶ τὸ ἐν Ὀδυσσείας
λεγόμενον. Ἡ δ' ἄρα Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη
ἐς Πάφον. ἔνθα δέ οἱ τέμενος βωμός τε θυώδης. οὐκ εἴ τις ἄλ-
λῳ τινι τόπῳ τετίμηται καθ' ὃ καὶ γεγένηται. διὰ τοῦτο τῷ
ἐπιθέτῳ κεκόσμηται. οὐδὲ πώποτε ὁ Δήλιος Ἀπόλλων παρ'
Ὁμήρῳ, οὐδὲ Πύθιος. καίτοι γε καὶ ἑκάτερον τῶν ἱερῶν
οἶδε. διό φησι ποτὲ μὲν, Δήλῳ δή ποτε τοῖον Ἀπόλλω-
νος παρὰ βωμῷ, φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα.
ποτὲ δὲ, Οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει
Φοίβου Ἀπόλλωνος Πυθοῖ ἐνὶ πετρηέσσῃ. οὐδ' ἐπεί φη-
σιν ἵκετ' εἰς Αἰγάς, ὅθι δή κλυτὰ δώματ' ἔασι. Αἰγαῖος
ποτὲ ὁ Ποσειδῶν εἴρηται παρ' Ὁμήρῳ. Κυθέρεια δὲ καθ'
Ὅμηρον οὐχ ὅτι προσέκυρσε Κυθήροις. οἱ δὲ μὲν τὰ Κύ-
θηρα. οὐκ ἀπὸ τούτου δὲ εἴρηται, ἀλλ' ἢ κευθομένου ἔχουσα
ἐν ἑαυτῇ τὴν πᾶσαν τῆς ἐρωτικῆς φιλίας δύναμιν τὸν τετυγμένον
ἱμάντα. οἷον, τὸν ἔρωτα, ὃν πᾶσι τοῖς νέοις ἐφίησι. διὰ
γὰρ τοῦ κεστοῦ ταῦτα περιέπεται. Ἔνθ' ἔνι μὲν φιλό-
της, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστὺς πάρφασις, ἥ τ' ἔκλεψε
νόον πύκα περ φρονεόντων. καὶ ἀλαλκομενηὶς Ἀθηνᾶ
παραλογιζομένοις ἀπὸ τῆς ἐνεργείας, ἡ ἀπαλλάξουσα
τῷ ἰδίῳ μένει τοὺς ἐναντίους. οἱ γὰρ πυθόμενοι τοῖς νεω-
τέροις φασὶν ἀπὸ Ἀλαλκομενίου τινὸς εἰρῆσθαι. οὐδ'
ὥσπερ αὐτοθέμης παρήκουσεν Ὁμήρου τοῦ ποιητοῦ, Ἑρμεί-
ας ἀκάκητα, ὅτι ἀπὸ Ἀκακησίου ὄρους, ἀλλ' ὁ μηδενὸς
κακοῦ μεταδοτικός, ἐπειδὴ καὶ δοτὴρ ἐάων. πάντα γοῦν
ἀπὸ τῶν περὶ πομπῶν τοῖς θεοῖς. καὶ γὰρ ἡ Γλαυκῶπις οὐκ
ἀπὸ τοῦ, Ἡ τὰ κρήσιμα Γλαυκώπιον ἵζει, ἀλλ' ἀπὸ τῆς
περὶ τὸ πρόσωπον καὶ τῶν ὀφθαλμῶν κατὰ πλήξεως. καὶ
τἄλλα δὲ τῶν ἐπιθέτων ἐποίησεν ἡμῖν παρεστὶν ὁρᾶν,
οὐκ ἀπὸ τῶν ἱερῶν τόπων ὠνόμασαι, ἀπὸ δὲ τῶν ἐνερ-

γειῶν τῶν ψυχικῶν. ἢ διὰ συμβεβηκὸς τῶν περὶ τὸ σῶ-
μα, ὡς λευκώλενος Ἥρη, καὶ ἀργυρόπεζα Θέτις. καὶ Φοῖ-
βος Ἀπόλλων, καὶ ἀκερσεκόμης. καὶ πάλιν ἀπὸ πράξε-
ων, ἑκατηβελέτης. Ἄρτεμις δὲ καὶ ἀγροτέρη καὶ ἰοχέαι-
ρα. καὶ πάντα τὰ παραπλήσια. καὶ γὰρ σπανίως Ἑλι-
κώνιον τὸν Ποσειδῶνα εἴρηκεν ἀπὸ Ἑλικῶνος, ὡς Ἀρίσταρ-
χος βούλεται, ἐπεὶ ἡ Βοιωτία ὅλη ἱερὰ Ποσειδῶνος.
οὐ γὰρ ἀρέσκει ἀπὸ Ἑλίκης, ἐπεί φησιν, Οἱ δέ τοι εἰς Ἑλί-
κην τε καὶ Αἰγὰς δῶρ' ἀνάγουσιν. Ἑλικήϊον γὰρ ἂν εἶπε
συγχωροῦντος τοῦ μέτρου. δύναται δὲ Ἑλικώνιος λέγεσθαι
διὰ τὸ ἕλικας καὶ περιφερεῖς εἶναι τὰς δίνας τῆς θα-
λάσσης. ἔτι δὲ εἴπερ ἦν ἡ Κύπρις ἀπὸ τῆς Κύπρου, κα-
θὸ ἐν Κύπρῳ τιμᾶται, πολὺ μᾶλλον ἀπὸ τῆς Πάφου, ἐν
ᾗ βωμός τε θυόεις αὐτῇ, Παφίη ἐλέγετο. ἀλλ' οὐδέ πο-
τε Παφίην αὐτὴν εἶπεν Ὅμηρος, ὡς οἱ νεώτεροι. καὶ
γὰρ εἴ ποτε σπανίως ἐπίθετα ἐξενήνοχεν ἀπὸ τό-
που, οὐδέ ποτε ἐξ αὐτοῦ, ἀλλ' ἐξ ἡρωικοῦ προσώπου,
κατὰ τὸ ἦθος ἑαυτῷ λέγων. Ἀχιλλεὺς μὲν γὰρ Θεσσα-
λὸς ὤν φησι. Ζεῦ ἄνα Δωδωναῖε Πελασγικέ. καὶ Ἑκά-
βη. Ἀλλ' εὔχευ σύ γ' ἔπειτα, κελαινεφέϊ Κρονίωνι Ἰδαί-
ῳ, ὅτε Τροίην κατὰ πᾶσαν ὁρᾶται. εἰ γὰρ ἴδη τῆς Τροί-
ας, οἰκείως ἡ Ἑκάβη ἔσχηκε παρωνομασμένον τὸν Ἰδαῖον.
ὁ δ' Ὅμηρος οὐκ ἂν εἴποι ἀπὸ τῆς Κύπρου τὸ ἐπίθετον
ἐξ ἰδίου προσώπου λέγων, Ὁ δὲ Κύπριν ἐπῴχετο νηλέϊ
Κύρω. τὰ διὰ τοῦ υρω ῥήματα βαρυνό- 〈χαλκῷ.
μενα μὲν, ἐκτείνει τὸ υ. περισπώμενα δὲ, συστέλλει.
κύρω, κυρῶ. φύρω, φυρῶ. πύρω, πυρῶ.
Κύριος, τῶν πρός τι ἐστίν. ἔχει δὲ πρὸς τὸν οἰκέτην.
Κύρβαντες, δαίμονες περὶ τὴν Ῥέαν. οἱ τὸν Δία φυλάξαν-
τες. βαίνειν γὰρ τὸ φυλάσσειν. οἱ, Ὃς Χρύσην ἀμφιβέβη-
κας. ἢ παρὰ τὸ κρύβειν κρύβαντες καὶ κύρβαντες. ὅθεν καὶ
κυρβασία, καὶ κρυβασία. ἔνιοι δὲ τὸ τὴν κεφαλὴν καλύ-
πτειν. ἄλλοι δὲ τὰς περικεφαλαίας κυρβασίας φασί.
Κύρβεις, αἱ τὰς τῶν θεῶν ἑορτὰς ἔχουσαι, ἤτοι ἀπὸ
κατασκευῆς. εἰσὶ γὰρ κυρβασίαι, ἢ κύρβιες. ἐπεὶ τὰ
τῶν θεῶν ἀποκρυπτόμενα δεῖ εἶναι. Ἀσκληπιάδης
δὲ ἀπὸ Κύρβεως τοῦ τὰς θυσίας ὁρίσαντος, ὥς φησι Φα-
νίας ὁ Ἐφέσιος. ἢ ἀπὸ τοῦ ταῦτα κυρωθῆναι τοῖς γράμ-
μασιν. Ἐρατοσθένης τριγώνους αὐτάς φησιν εἶναι, οὐ τε-
τραγώνους. Ἀριστοφάνης δὲ ὁμοίας εἶναι τοῖς ἄξοσι, πλὴν
ὅτι οἱ μὲν ἄξονες, νόμους. αἱ δὲ κύρβεις, θυσίας ἔχου-
σιν. ἀμφοτέρων δὲ τὸ κατασκεύασμα τοιοῦτον. πλιν-
θίον μέγα ἀνδρόμηκες ἡρμοσμένα ἔχον ξύλα τετρά-
γωνα τὰς πλευρὰς πλατείας ἔχοντα καὶ γραμμά-
των πλήρεις. ἑκατέρωθεν δὲ δύνακας, ὥστε κινεῖσθαι
καὶ περιφέρεσθαι ὑπὸ τοῦ γράφοντος.
Κυρίσσει, κέρασι τύπτει καὶ μάχεται. κυρίως δὲ ἐπὶ τῶν κρι-
ῶν. καὶ κυρίζοντες, κερατίζοντες. κέρασι πλήσσοντες.
Κυρίβια, τὰ πίτυρα.
Κυρηβάσει, μαχήσεται. λέγεται μὲν ἀπὸ τῶν κριῶν. ἐλέ-

γετο τὸ τοιοῦτον καὶ κορύπτειν. οἱ, κερύπτειν καὶ κυρηβά-
Κύρηνα παρὰ Κνιδίοις ἡ δὴ μήτηρ. παρὰ τὸ 〈πτειν. Ὧρος.
κυρίαν εἶναι τοῦ ζῆν. Ὧρος.
Κύριος. ἐκ τοῦ κῦρος ὃ σημαίνει τὴν ἐξουσίαν. ἐξοῦ καὶ
ῥῆμα κυρῶ κυρώσω τρίτης συζυγίας. ἐκύρωσε σημαίνει
τὸ ἐποίησεν αὐτὸν δεσπότην τοῦ πράγματος. ὅτε δὲ
ἐστὶ πρώτης συζυγίας, σημαίνει τὸ ἐπιτυγχάνω. κυ-
ρῶ κυρήσω, ἐκύρησα. ἡ μετοχή, κυρήσας καὶ κύρσας κατὰ
συγκοπήν. οἷον, Μεγάλῳ ἐπὶ σώματι κύρσας, ἀντὶ τοῦ με-
γάλῳ ζώῳ ἐπιτυχών. ἔστι καὶ βαρύτονον κύρω, τὸ
ἐπιτυγχάνω. οὗ ὁ μέλλων, κυρῶ. αἰολικῶς, κύρσω. ὡς
παρὰ τὸ ὄρω ὀρῶ, ὄρσω. πλεονάζει δὲ τὸ σ. οἱ γὰρ Αἰολεῖς βα-
ρυτονοῦντες, οὐκ ἄλλο πλεονάζουσιν ἀλλ' ἢ τὸ σ. πᾶς
γὰρ βαρύτονος μέλλων, πρὸ τοῦ ω θέλει ἔχειν τὸ σ, ἢ
δυνάμει ὡς τύψω, λέξω. δυνάμει γὰρ διαιρεθήσεται
εἰς πς καὶ κς, ἢ ἐνεργείᾳ, ὡς τὸ ποιήσω. τοῦτο δὲ γίνεται,
ἵνα μὴ εὑρεθῇ τὰ χαρακτηριστικὰ τοῦ βαρυτόνου ἐνε-
στῶτος, τουτέστι τὰ ἀμετάβολα χαρακτηριστικὰ βα-
ρυτόνου μέλλοντος. καὶ διὰ τοῦτο ἀεὶ ὁ μέλλων τῆς πέμ-
πτης συζυγίας περισπώμενος. καὶ πᾶς μέλλων ἐνεργη-
τικὸς μὴ ἔχων τὸ σ, ἢ δυνάμει ἢ ἐνεργείᾳ, περισπᾶσθαι
θέλει. οἱ δὲ περισπώμενοι μέλλοντες, ἀεὶ βραχεῖαν θέ-
λουσι παραλήγεσθαι, χωρὶς τῶν Δωριέων. οἱ γὰρ Δωριεῖς
πάντας τοὺς ὁριστικοὺς μέλλοντας περισπῶσιν. ὁ δὲ μετ'
ὀλίγον μέλλων ἐπενοήθη. ἐπειδὴ ὁ παρῳχημένος χρό-
νος, εἰς πολλὰ εὑρίσκεται κατὰ μερισθείς, τούτου
χάριν καὶ ὁ μέλλων πρὸ τῶν ἄθρα μετὰ τοῦ πολὺ μέλλει,
ἄθρα μετὰ τὸ ὀλίγον, ἐπενοήθη ὁ μετ' ὀλίγον μέλλων.
Κῦρον, τὸ ὄνομα ἀπὸ τοῦ κυρεῖν. οἷον ἁπτόμενον καὶ συνε-
ρεῖδον. ὡς τό, Αἰὲν ἐπ' αὐχένι κύρεε. τουτέστιν ἤγγισεν.
ἐπέτυχε.
Κυρτονεφέλη, ἑταῖρα οὕτως ἐκαλεῖτο, διὰ τὸ μέλαν
ἔχειν τὸ ἐφήβαιον. διὸ καὶ ἐν ταῖς συνουσίαις οὐκ ἀνε-
καλύπτετο. Ὧρος.
Κυκάνη, ἡ ταραχὴ καὶ ὁ θόρυβος. εἴρηται παρὰ τοῖς
παλαιοῖς, παρὰ τῷ κυκῶ τὸ ταράσσω, κυκάνη. καὶ πλε-
Κύρμα, ἐπίτυχμα. εὕρεμα. παρὰ 〈ονασμῷ τοῦ ρ.
τὸ κύρω τὸ ἐπιτυγχάνω.
Κυρτὸς, ὀξυτόνως τὸ ἐπίθετον. ἀπὸ τοῦ κύπτω, κυπτός.
καὶ πλεονασμῷ τοῦ ρ, καὶ ἀποβολῇ τοῦ συμφώνου,
κυρτὸς, ὁ παρ' ἡμῖν λεγόμενος. κύρτος δὲ βαρυτόνως,
εἶδος δικτύου. ὡς πυρίδιον τὸ λεγόμενον κυρτάρα. κυρ-
τὸν σημαίνει καὶ τὸ μετέωρον καὶ ὑψηλόν. ὡς τὸ ἐπὶ
τῷ κύματι Ἰλιάδος ν. Τὸ μὲν ἔπειτα κυρτὸν ἐὸν
κορυφοῦται. διογκοῦται. αὔξεται. ἀπὸ τοῦ κίειν εἰς ὕψος,
Κύστις, ἀπὸ τοῦ κεύθειν τὸ οὖρον. 〈ἤτοι ἐπαίρεσθαι.
σημαίνει δὲ καὶ τὸ οὐροδόχον ἀγγεῖον, τὴν λεγομένην φῦσαν.
Κύταια, πόλις Σκυθίας. Δεῦρ' ἄγε τε Κυταιίδος ἤθεα
γαίης. καὶ Κύτα, πόλις Κολχίδος. ἔστι δὲ καὶ ἑτέρα
Κυταὶς τῆς Εὐρώπης.

Κύαθος, ἀπὸ τοῦ δι' αὐτοῦ γίνεσθαι τὴν κένωσιν. ἢ ἀπὸ τοῦ κεύ-

Κυρία, σημαίνει τὴν προθεσμίαν, ‹θειν τὸ ἐντός. καὶ τὴν ἐκκλησίαν, ἐν ᾗ τοὺς ἄρχοντας ἐχειροτόνουν.

Κύφων, σημαίνει τῷ κυρτώματι. ἡ εὐθεῖα, κύφων. καὶ ὡς παρώνυμον φυλάττει. γίνεται γὰρ παρὰ τὸ κύφος, ὅπερ ἐστὶ σκεῦος ἐγγεγλυμμένον κοῖλον τὸ λεγόμενον σκαφίδιον. παρὰ τὸ κύπτω, κύφος. ὅθεν καὶ τὴν κεφαλήν τινες ἀπὸ τῆς κυφότητος ἐτυμολογοῦσι. τὸ γὰρ περιφερές, κυφὸν λέγουσιν. ἀφ' οὗ καὶ κύμβιον τὸ περιφερὲς ποτήριον ἤτοι κυφίδιον. καὶ ἀμφικύπελλον, τὸ περίκυφον ἔκπωμα. Ὅμηρος. Κύμβαχος ἐν κονίῃσιν, περὶ κεφαλήν. περὶ τὸ κεκυρτωμένον μέρος.

Κύφελλα, τὰ νέφη. οἱονεὶ κρύφελλα. ἀπὸ τοῦ κρύπτειν τὴν σελήνην. ἢ κύφελλα, ἀπὸ τοῦ κεύθειν τὴν ἕλην ἤγουν τόν τε ἥλιον καὶ τὴν σελήνην. ἢ τὰ κούφως ἐλαυνόμενα. καὶ κύφελον, τὸ ποτήριον, ἀπὸ τοῦ κύφον ὃ σημαίνει τὸ βαθύ.

Κυψέλη, πλεκτὸν ἀγγεῖον. λέγεται δὲ καὶ τὸ κοῖλον τοῦ ὠτίου, διὰ τὸ κυφόν τε καὶ κοχλοειδὲς καὶ τοῖς ἀγγείοις ἐοικέναι. καὶ κυψελίτης ῥύπος, ὁ ἐν τῷ ὠτίῳ φυόμενος. καὶ σιτηρὰ ἀγγεῖα, καὶ τὰ κενὰ σμήνη.

Κύων, τὸ κάτω τῆς ποσθῆς συμπεφυκὸς τῷ δέρματι. παρὰ τὸ κεκινῆσθαι καὶ ἀναδίδοσθαι ἢ συνδεδέσθαι. κύων λέγεται ἐπὶ μὲν τὰ ἄγρια ζῶα, παρὰ τὸ κινεῖν καὶ σαίνειν. ἢ παρὰ τὸ ὠκύς. τὸ γὰρ ζῷον ταχύ ἐστιν. ὑπερβιβασμῷ καὶ ἀναδόσει τοῦ τόνου. ἢ παρὰ τὸ ὀξὺν εἶναι τὸ ζῷον. κατὰ μετάθεσιν τῶν στοιχείων. ἢ παρὰ τὸ κίω τὸ κινῶ. κινοῦνται γὰρ οἱ δεσπόται ὑπὸ τῆς ὑλακῆς αὐτοῦ. ἢ παρὰ τὸ κίω τὸ φιλῶ κυνῶ, ἐξ αὐτοῦ κύων. φιλοδέσποτον γὰρ τὸ ζῷον. καὶ φιλοτιμεῖται πρὸς τοὺς ἑαυτοῦ δεσπότας. τὸ δὲ κύω, σημαίνει τρία. τὸ φιλῶ. τὸ προσκυνῶ. καὶ τὸ τίκτω. κύων δὲ ἐπὶ τοῦ φιλοσόφου, ὁ κυσὶν ὅμοια ποιῶν. ἐπὶ μὲν τοῦ ὑλακτικοῦ ζῴου, ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσσι βεβῶσα. ἐπὶ δὲ τῶν ἀναιδῶν, ἐξελάαν ἔνθα δὲ κύνας κηρεσσιφορήτους. καὶ ἐπὶ τῶν τετυρευμένων, Χρύσειοι δ' ἑκάτερθεν καὶ ἀργύρεοι κύνες ἦσαν. καὶ ἐπὶ τοῦ ἄστρου, Ὅν τε κύν' Ὠρίωνος ἐπίκλησιν καλέουσι. καὶ ἐπὶ τοῦ θαλασσίου, Δελφῖνάς τε κύνας τε. κύων, παρὰ τὸ συνεχῶς κυεῖν. κυνός, ὁ κνώψ. δύο κανόνες εἰσὶν οἱ μαχόμενοι ἀλλήλοις. ὁ μὲν εἷς λέγει, ὅτι τὰ εἰς ων βαρύτονα καθαρὰ διχρόνῳ παραληγόμενα συνεσταλμένῳ, φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς. ἀμφιδρύων ἀμφιδρύωνος. ὁ δὲ ἕτερος λέγει, τὰ δὲ κοινὰ τῷ γένει διὰ τοῦ ο κλίνεται. ἀπορήσεως οὖν τοῦ μὲν, τὸ ω, τοῦ δὲ, τὸ ο, συνεκόπη τὸ ἀμφίβολον καὶ ἐγένετο κυνός. ἡ μέντοι κλητικὴ εὕρηται διὰ τοῦ ο μικροῦ, ὡς ἀπὸ τῆς τοῦ κύονος γενικῆς. ἐξ αὖ νῦν ἔφυγες θάνατον κύον.

Κώεα, κώδια. στρώματα. μετὰ πέπλασται τὸ κῶας εἰς τὸ κῶδος, ὡς τὸ ὕδας εἰς τὸ ὕδος. Ἡσίοδος. Γαῖαν ὕδει φύεσθαι. τὸ κῶδος οὖν τοῦ κώους, ὡς τὸ τεῖχος τοῦ τείχους. ἢ ἐντεῦθεν τῶν πληθυντικῶν, τὰ κώεα. καὶ ἡ δοτική, κώεσι.

Κώδεια, ἡ τῆς μήκωνος κεφαλή, ἢ εἶδος βοτάνης. ἀπὸ τοῦ τοὺς γευομένους αὐτῆς κωματώδεις φιλεῖν ποιεῖν. κῶμα δὲ ὁ ὕπνος. ὅθεν κώδιον ἐφ' οὗ κοιμώμεθα. κώδεια σημαίνει καὶ τὸ σφαιρίον. καὶ κώδιξ, ἀπὸ τῆς ὁμοιότητος τῆς πρὸς τὴν κώδειαν. κώδη, ὁ καρπὸς τῆς μήκωνος.

Κώδιον. ἰστέον ὅτι τὸ κώδιον καὶ στώδιον, εὐλόγως ἔχει τὸ ι. τὸ δὲ λαγώδιον παραλόγως. ἔστι γὰρ στοιὰ στοιᾶς. καὶ ἐπειδὴ ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ φωνήεντος ἄρχεται, ἐγένετο ἡ παραγωγὴ διὰ τοῦ διον, στοίδιον. ὡς γραφεῖον, γραφείδιον. καὶ κατὰ ἔκτασιν, στώδιον. καὶ ἔχει τὸ ι. τὸ δὲ κώδιον, σημαίνει τὸ τῶν προβάτων δέρμα, παρὰ τὸ ἐπ' αὐτῶν κοιμᾶσθαι. παρὰ τὸ κῶ τὸ κοιμῶμαι, γίνεται ὄνομα ῥηματικόν, κώς. νηὸς χαρισλημμία. Ἐπλεόμενῳ κορη ἐπὶ χώς. τοῦ τὸ γίνεται κατὰ πλεονασμὸν κῶας, ὡς ἀπὸ τοῦ ὡς ὠτὸς γίνεται ὦας. Κώεα ἄγειν κριοῖο μεμαῶτας. κλίνεται κώατος. καὶ γίνεται διὰ τοῦ ιδιον ἡ παραγωγὴ κωάδιον. ζήτει εἰς τὸ ἀργυρίδιον. καὶ συγκοπῇ τοῦ α, κώιδιον. καὶ συναιρέσει, κώδιον. τὸ δὲ λαγώδιον, εἴτε ἀπὸ τοῦ λαγωὸς λαγωοῦ γέγονεν, ὤφειλεν εἶναι χωρὶς τοῦ ι. ἐπειδὴ ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ φωνήεντος ἄρχεται, καὶ διὰ τοῦ ιδιον γίνεται ἡ παραγωγή. ἀλλ' ἔστιν εἰπεῖν ὅτι ἀπὸ τοῦ λαγωὸς λαγωοῦ, γέγονε λαγώδιον. καὶ ἔχει τὸ ἰῶτα κατὰ συνεκδρομὴν τοῦ κώδιον, καὶ στώδιον. συνεξέδραμε τούτοις καὶ τὸ καλώδιον.

Κώθωνες. νῦν ὑβρίζοντες τὴν λέξιν ἔλεγον, ὅτι διὰ μέθην οὕτως ἐκλήθη. κώθων γὰρ εἶδος ποτηρίου.

Κωκυτὸς, σημαίνει δύο. τὸν θρῆνον, καὶ γίνεται ἐκ τοῦ κωκύω. ὅθεν καὶ κωκύματα, τὰ ἄνθη τῶν στεναγμῶν. καὶ κωκυτὸς, ὁ κατὰ ᾅδην ποταμός. ἀπὸ τοῦ τὰ ἄχη εἰς αὐτὸν χεῖσθαι. χοαχυτὸς, χωχυτὸς. ὁ δὲ κυτὸς, φωνῆς ἐστι μίμημα. λέγει δὲ καὶ Ἀλίβαντα πάλιν τινὰ εἶναι ποταμόν, ἀπὸ τοῦ ἅπαντα καταξηραίνειν, καὶ μηδὲ λιβάδα ἔχειν.

Κωλῆν, ὄνομα κύριον. παρὰ τὸ κῶλον ὃ σημαίνει τὸ ὀστοῦν. διὰ τὸ ἰσχυρὸν τοῦ ἀνδρός. στρατηγὸς γὰρ ἦν.

Κῶλα, κυρίως ἐπὶ τῶν μελοποιῶν. μεταφορικῶς δὲ καὶ ἐπὶ τῶν πεζολόγων κώλοις μὴ χρωμένων. καὶ ἰσόκωλα δὲ λέγουσιν οἱ λογογράφοι.

Κωλιάδος ἀφροδίτης. Τυρρηνοῦ νικήσαντος Ἀθηναίους, ἐλήφθησαν αἰχμάλωτοι. μία γυνὴ τῶν Τυρρηνῶν ἐφίλησεν ἕνα, καὶ ἔλαβεν αὐτόν. καὶ φυγὼν, ἔκτισεν ἱερὸν ἀφροδίτης κωλιάδος. ἀπὸ τοῦ λυθῆναι τὰ κῶλα. ἢ ἄλλου θύοντος ἥρπασε τὸ ὄρνεον τὸ κῶλον, καὶ ἐκεῖσε ἀπέθετο. ἔστι δὲ καὶ ποταμὸς τῆς Ἀττικῆς, ἐξ οὗ τὸ, Κωλιάδος γενετυλλίδος. Ἀριστοφάνης.

Κωμάζειν, τὸ ποιὸς ὀρχεῖσθαι. ἐξ οὗ καὶ κῶμος εἶδος ὀρχήσεως. οἱ δὲ μέλος. κῶμος ἐστὶ μεθυστικὸς αὐλὸς ἐγχρονίζων οἴνοις καὶ κυμβάλοις καὶ αὐλοῖς καταθέλγων τοὺς δαιτυμόνας. κωμάζειν δὲ κυρίως, τὸ ἐπὶ τὸ κοιμᾶσθαι βαδίζειν. ἐκ τοῦ κῶμος, κωμάζω. κῶμος γὰρ ὁ καιρὸς ὁ ἀπὸ τῶν δείπνων πρὸς ὕπνον καλῶν. γίνεται δὲ παρὰ τὸ κῶ τὸ κοιμῶμαι. οὐ ὁμηρῶν, κάσω. ὅθεν καὶ κώμη τὸ χωρίον. ἡ κοιμητηρία καὶ ἀνάπαυσις ζώων τε καὶ ἀνθρώπων ἀπὸ τῶν ἀγρῶν.

Κῶμος, παρὰ τὸ αὐτὸ ῥῆμα. ἐμφαίνει γὰρ τὸν ἀπὸ δείπνου καὶ μέθης ἐπὶ τὸ κοιμηθῆναι βαδίζειν καιρόν. καὶ τὸ κωμάζειν τοὺς ἐρῶντας πρὸς τὰς ἐρωμένας. οἱ ἐπὶ τὸ συγκοιμᾶσθαι βαδίζουσι.

Κῶμα, ὁ ὕπνος, ἡ ληθώδης καταφορά. ἀπὸ τοῦ κοιμῶ κοιμήσω, γίνεται κοίμημα. συγκοπῇ, κοῖμα. καὶ τροπῇ τῆς οι εἰς ω, κῶμα. ἢ παρὰ τὸ κῶ τὸ κοιμῶμαι. τοὺς γὰρ τόπους οἱ παλαιοὶ, κώμους ἐκάλουν. καὶ κῶμαι ἐν αἷς ἔμελλον κοιμᾶσθαι. λέγεται καὶ κώμη τὸ χωρίον. ἀπὸ τοῦ χῶ τοῦ χωρῶ χώμη καὶ κώμη ἡ χωρητική.

Κωμῳδία, ζήτει εἰς τὸ τραγῳδία.

Κώνειον. Καί τε κωνείου βλαβόεν τεκμαίρεο πόμα κενόπορον. Νίκανδρος. ἔνθα τὸ κώνειον παραπλήσιόν ἐστι τῷ καυλῷ τῆς λαπάθης. τὰ δὲ φύλλα, σελίνῳ ἀγρίῳ. λέγεται δὲ καὶ ὑπό πικρος. καλεῖται δὲ καὶ ἐφήμερον διὰ τὴν ὀξύτητα τῆς ἀναιρέσεως. κώνειον δὲ αὐτὸ καλοῦσι, διὰ τὸν γινόμενον εἰλιγμὸν καὶ σκότον τοῖς πίνουσι. τὸ γὰρ στρέψαι, κωνῆσαι ἔλεγον οἱ παλαιοί. ἢ παρὰ τὸ καίνειν καὶ κόπτειν. ἢ παρὰ τὸ κοίμημα.

Κωνῆσαι, κυρίως τὸ κέραμον πιστῶσαι. κωνᾶν γὰρ τὸ στρέφειν. καὶ τοὺς δείμηκας, κώνους λέγουσι. καὶ Ἀριστοφάνης δὲ ἐν ταγηνισταῖς, τὸ περιενεγκεῖν κωνῆσαι λέγει.

Κῷνος, ἀντὶ τοῦ καὶ οἶνος κατὰ συναλοιφήν, ὅμως τοῦ ι γράφεται. Ἀριστοφάνης βατράχοις. Κῷνον κεράννυ γλυκύτατον, ἀντὶ τοῦ οἶνον. ὥρος ὁ μιλήσιος.

Κῷος, σὺν τῷ ι γράφεται, ἐπειδὴ εὕρηται κατὰ διάστασιν. Καλλίμαχος. Τὸ ἴκελον τὸ γράμμα τὸ κώϊον. ἢ ὅτι τὰ εἰς ος κτητικὰ, τῷ ι θέλει παραλήγεσθαι, χωρὶς τοῦ θηλυκός, ὁ τοῦ θήλεος. λιβυκός, ὁ τῆς λιβύης. ἁλυκός, ὁ τῆς θαλάσσης. ἔσωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα. ἡροδότειος. θηβαϊκός. πατρῷος. οὕτως οὖν καὶ κῷος.

Κώπη, ἡ τῶν ἐρετῶν. παρὰ τὸ κόπτειν τὸ ὕδωρ. λέγεται καὶ ἡ λαβὴ τοῦ ξίφους, ᾗ κόπτειν δυνάμεθα. κόπτω κοπή. ἀναβιβασμῷ καὶ τροπῇ, κώπη. ἐκ τοῦ κόπτω, κοπή. τῆς θέσει μακρᾶς γενομένης φύσει. ὡς ἀπὸ τοῦ κολλῶ κωλύω. καὶ κωπήεντα ξίφη, μελάνδετα. σιδηρόεντα. ἢ μέλανας λαβὰς ἔχοντα. ἔστι γὰρ ἡ λαβὴ δεσμὸς τις τοῦ ξίφους..

Κῶνος. κῶνος ἐστὶ τὸ στροβιλοειδὲς, τὸ ἀπὸ πλατείας βάσεως εἰς ὀξὺ λῆγον.

Κωρύκιον, εἴρηται εἰς τὸ πλεῖστοιο. ἐνταῦθα δὲ κωρύκιον ἐστὶ τόπος Λυκίας, ἐν ᾧ διάφορος κρόκος γίνεται. οἷον Τοῦ δ' ἤτοι ἄνθος μὲν ὅσον πηχυῖον ὕπερθεν χροιῇ κωρυκίῳ ἴκελον κρόκου ἐξεφάανθεν καυλοῖσι διδύμοισι μετήορον. ὅτι φησὶν ἡ γῆ ἀνέδωκε βοτάνας ἐκ τοῦ ἰχῶρος τοῦ προμηθέως ἥπατος, ὃν ἀφῆκεν ὁ ἀετὸς ἐσθίων αὐτοῦ τὸ ἧπαρ ἐν τῷ καυκάσῳ ὄρει. καὶ Ὀππιανὸς ἐν τρίτῳ ἁλιευτικῶν. Πανὶ δὲ κωρυκείῳ βυθίην παρακάθεο τέχνην παιδὶ τεῷ.

Κωρύκιον, σπήλαιον ἐν σικελίᾳ. ἀκρωτήριον.

Κωτίλλων, πανούργως κολακεύων καὶ λέγων. ἀπό τινος ὀρνέου χελιδὼν καλουμένου. ἀφ' οὗ καὶ οἱ πολλὰ λαλοῦντες καὶ κολακεύοντες, κωτίλοι λέγονται.

Κωφός, παρὰ τὸ κεκόφθαι καὶ ἀφῃρῆσθαι τὴν ὄπα ἐν τῷ ἀκούειν. καὶ ἐπὶ τοῦ ἀλάλου τὸ αὐτό. ἢ παρὰ τὸ ἐγκεκόφθαι τὴν ὄπα κενοπός τις ὤν, ὁ μήτε φθεγγόμενος, μήτε ἀκούων. τὸ ἔτυμον τῆς λέξεως ἁρμόζει ἄμφω. οὕτως Ἀπολλώνιος ἐν ταῖς γλώσσαις Ἡροδότου. ὅτι δὲ κωφὸς καὶ ὁ μὴ φθεγγόμενος, μαρτυρεῖται. ὁ αὐτὸς λέγεται ἐκ παραλλήλου εἶναι τὸ, Καὶ κωφοῦ ξυνίημι, καὶ οὐ λαλέοντος ἀκούω. δύναται διαφέρειν. καὶ κωφὸν μὲν, τὸν κενὸν ὀπός. ὁ παντελὴς κενοπός. οὐ λαλέοντος δὲ τοῦ δυνάμενον λαλεῖν, οὐ λα‹λοῦντα δέ.

Κοπτός, πόλις αἰγύπτου, εἰς ἣν φασὶ τὴν ἶσιν ἀφικομένην τὸν ὄσιριν τὸν υἱὸν ἀναζητεῖν. μαθοῦσαν δὲ αὐτὸν διεσπαράχθαι, τὴν κόμην τὴν ἑαυτῆς ἐκκόψαι. παρ' ὃ καὶ κοπτὸς ὠνόμασται ἡ πόλις. ἐδείκνυτο δὲ καὶ ὁ πλόκαμος τοῖς ἐπιδημοῦσιν αὐτόθι ἀπὸ στόμι ὑβριχῶν πλῆθος, ὅσον ἐξ ἀνθρώπου κεφαλῆς εἰκάσαι.

Κλητῆρες, ἄνδρες ἦσαν δι' ὧν τὰς δίκας προκαλοῦνται οἱ δικαζόμενοι. καὶ κλητεύσεις, τὸ μαρτυρήσεις. ἔδει γὰρ παρεῖναί τινας ὡς περὶ μάρτυρας τῆς προσκλήσεως. ἵνα μὴ ἀπρόσκλητοι αἱ δίκαι εἰς τὰ δικαστήρια εἰσάγωνται. μηδὲ ἐκλείπῃ τὴν δίκην ὁ κατηγορούμενος.

ΤΕΛΟΣ ΤΟΥ ΚΑΠΠΑ ΣΤΟΙΧΕΙΟΥ

ΙC

ΑΡΧΗ ΤΟΥ ΛΑΜΒΔΑ ΣΤΟΙΧΕΙΟΥ.

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

Λάμβδα τὸ στοιχεῖον. οἱονεὶ λάβα τί ὄν. παρὰ τὸ λείως βαίνειν ἐν τοῖς μέρεσι, καὶ ἀσθενέστερον πρὸς τὸ μηκύνειν τὰς συλλαβάς.

Λάας, σημαίνει δύο. τὸ κύριον ὄνομα, καὶ τὸ προσηγορικὸν, τουτέστι τὸν λίθον. διαφέρει δὲ κατὰ δύο τρόπους. κατὰ χρόνον καὶ κατὰ κλίσιν. πῶς οὖν τὸ μὲν κύριον λάας μακρὸν ἔχει τὸ α, τὸ δὲ προσηγορικὸν, βραχύ. καὶ τὸ μὲν κύριον, ἰσοσυλλάβως κλίνεται. ἀποβολὴ γὰρ τοῦ ς ποιεῖ τὴν γενικήν. οἷον, ὁ λάας τοῦ λάα. τὸ δὲ προσηγορικὸν, περιττοσυλλάβως. οἷον, λάας, λάαος. καὶ ἐπεὶ τὸ κύριον μακροκατάληκτον καὶ δισυλλαβοῦν ἐστι καὶ πάντα φυλάττει τὰ τοῦ κανόνος, ὥσπερ τὸ αἴας, διὰ τοῦτο οὐκ ἐκλίθη διὰ τοῦ ντ. ἐπειδὴ κανών ἐστιν ὁ λέγων ὅτι τὰ συγκεκομμένα τὴν τῶν ἐντελῶν φυλάττει κλίσιν. καὶ γὰρ ἀπὸ τοῦ λάας τοῦ προσηγορικοῦ, γέγονε τὸ κύριον. καὶ γὰρ ἔκγονος, λιθογλύφος ἦν. διὰ τοῦτο ἀπὸ μεταφορᾶς τοῦ προσηγορικοῦ κέκλιται τὸ κύριον. ἐκ τοίνυν τῆς λάαος γενικῆς, γίνεται εὐθεῖα ἑτέρα, λάαος. καὶ κλίνεται λαάου. ὥσπερ καππάδοξ καππάδοκος, ὁ καππάδοκος τοῦ καππαδόκου. τὸ γὰρ καππαδόκης, μεταπλασμός. καὶ ὁ θεολόγος, Τοὺς ἐμοὺς καππαδόκας φησί. καὶ ὥσπερ μενέλαος μενέλας, καὶ περίλαος περίλας, οὕτως ἀπὸ τῆς λάαος εὐθείας γέγονε λάας κράσει τοῦ αο εἰς α μακρόν. καὶ κλίνεται λάου. καὶ ἐπεὶ τὴν κλίσιν τοῦ ἐντελοῦς ἐφύλαξε, διὰ τοῦτο καὶ μὴ τὴν κατάληξιν αὐτοῦ. ἐπειδὴ τὸ ὄνομα δωρικόν ἐστιν. οἱ δὲ δωριεῖς τὸ ο εἰς α τρέπουσι τὴν γενικὴν τοῦ παππία καὶ τοῦ ἑρμεία. καὶ πάλιν ἐκ τῆς λάαος δισυλλάβου γενικῆς, γίνεται τῇ κράσει τῶν δύο αα εἰς α μακρόν, λᾶος. καὶ ὅμηρος ἰλιάδος μ. λᾶος ὑπὸ ῥιπῆς. τουτέστιν, ὑπὸ τῆς τοῦ λίθου φορᾶς. αὕτη πάλιν ἡ λᾶος γενική, μετάγεται εἰς εὐθεῖαν. καὶ κιρνωμένη, γίνεται λᾶς. καὶ κλίνεται λᾶ. σημαίνει δὲ τοῦτο καὶ ποταμὸν, καὶ πόλιν, καὶ λίθον.

Λαοί, οἱ ὄχλοι. λᾶες κατὰ διάλεκτον οἱ λίθοι λέγονται. ζήτει τὴν ἱστορίαν ἐν τῷ λεξικῷ τῆς α ἰλιάδος. προμηθέως παῖς δευκαλίων γινόμενος.

Λαός, ὄνομα ἀρσενικόν. εἴδους παραγώγου ῥηματικόν. εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι περιληπτικοῦ. γέγονε παρὰ τὸ λαλῶ, λαός. καὶ λαλός. ἢ παρὰ τὸ λάας ὃ σημαίνει λίθον. ἡ γενική, λάαος. καὶ κράσει, λᾶος. καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν, καὶ ὀξύνεται. διὰ τί. αἱ γὰρ γενικαὶ μεταγόμεναι εἰς εὐθεῖαν, πολλάκις ἀμείβουσι τοὺς τόνους. οἷον, υἱὸς υἱός. υἷος υἷου, οὕτως οὖν καὶ λάας λάαος, λᾶος λαός. καὶ ἄλλως. τὰ εἰς ος λήγοντα καθαρὰ μονογενῆ μακρᾷ παραληγόμενα προπερισπῶνται. ὅσα δὲ μὴ κύρια, μηδὲ ἔχοντα οὐδέτερον παρασχηματισμὸν, ὀξύνεται. οἷον, λαός. κριός. τὸ δὲ πρᾶος καὶ χῖος, οὐκ εἰσὶ προσηγορικά. τὸ δὲ λάας τὸ προσηγορικὸν, καὶ τὸ μέγας τὸ ἐπίθετον, συστέλλει τὸ α. σεσημείωται γὰρ τὸ μέγας λάας. τὰ δὲ κύρια, ἰσοσυλλάβως κλίνεται, καὶ ἔχει τὸ α μακρόν. οἷον, ὁ μέγας τοῦ μέγα. ὁ λάας τοῦ λάα. τὸ δὲ λάας τὸ προσηγορικὸν καὶ τὸ μέγας τὸ ἐπίθετον, διὰ καθαροῦ τοῦ ος κλίνεται. ἐναλλάξαντα γὰρ κατὰ τὸν τόνον, ἐνήλλαξαν καὶ κατὰ τὴν κλίσιν. οἷον, ὁ λάας τοῦ λάαος. ὁ μέγας τοῦ μέγαος. ἡ γὰρ μεγάλου γενική, ἑτερόκλιτός ἐστιν. ὡς ἀπὸ τῆς μεγάλος εὐθείας. ἐξελήλαται δὲ πάλιν ἡ μεγάλος εὐθεῖα. ἐπειδὴ γὰρ τὰ διὰ τοῦ αλος ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, ὡς τὸ ὀμφαλός, ἰταλός. ἢ προπαροξύνεται, ὡς τὸ κεκρύφαλος, ἄπαλος. τὸ μεγάλος μόνον παροξυνόμενον, διὰ τὸ ἀχαρακτήριστον τοῦ τόνου ἐξελήλαται. ὅτι δὲ παροξύνεται τὸ μεγάλος, δείκνυται ἐκ τῆς εὐθείας τῶν πληθυντικῶν. οἱ μεγάλοι γὰρ φαμέν. διὰ τοῦτο κλίνεται ἑτεροκλίτως. οἷον, ὁ μέγας τοῦ μεγάλου. τὸ μέντοι μέγας τὸ ἐπίθετον, συστέλλει τὸ α, ὡς ἔχει καὶ τὸ οὐδέτερον τὸ μέγα. καὶ τὰ εἰς ς λήγοντα μετὰ διχρόνου, ἀποβολῇ τοῦ ς τὸ οὐδέτερον ποιοῦντα, συνεσταλμένον ἔχει τὸ δίχρονον. τὸ δὲ λάας τὸ προσηγορικὸν, ἔχει ὁμοίως βραχὺ τὸ α δι' αἰτίαν ταύτην. τὰ εἰς ας καθαρὰ ὀνόματα δισύλλαβα ἀρσενικὰ, οὐδέποτε εἰσὶ προσηγορικά. ἀλλ' ἢ κύρια ὡς τὸ θόας δρύας, ἢ ἐθνικά, ὡς τὸ ὕας ὕαντος. ὕαντες γὰρ λέγονται οἱ κατοικοῦντες τὴν βοιωτίαν. ἢ ἐπίθετα ὡς τὸ εὔας εὔαντος. ἔστι δὲ ἐπίθετον τοῦ διονύσου. ἐπειδὴ οὖν τὸ λάας προσηγορικόν ἐστιν, ὡς διήλλαξε περὶ τὸ σημαινόμενον, διήλλαξε καὶ περὶ τὸν χρόνον. τὸ δὲ λαός, μακρὸν ἔχει τὸ α. ἢ ὅτι ἀπὸ κράσεως, ἢ ὅτι κράσει. ἢ τὰ εἰς ος ὀξύτονα ἀρσενικὰ δισύλλαβα καθαρὰ διχρόνῳ παραληγόμενα, ἐκτείνει αὐτό. οἷον, ναός, λαός. κριός. ἰός. βιός. ἔνθεν καὶ ὁμαδὸς εἴρηται τὸ πλῆθος, οἷον ὁμαυδὸς τις ὤν. ἄλλοι δὲ παρὰ τοὺς λίθους.

Λάβρος, ὁ ἀδηφάγος. ἐκ τοῦ βορὰ ὅ ἐστι τροφὴ καὶ τοῦ λα ἐπιτατικοῦ μορίου. ἔστι δὲ καὶ ἀπὸ τοῦ βορέας ὅ ἐστι τὸν ἄνεμον. ὡς τὸ, λάβρος ἐπαιγίζων. σφοδρὸς ἐπικαταπνέων. ἢ παρὰ τὸ λα καὶ τὸ βῶ τὸ βαίνω.

Λάβραξ. ἐκ τοῦ βορὰ γέγονε λάβορος. καὶ συγκοπῇ, λάβρος. καὶ λάβραξ παρώνυμον. ὡς λίθος λίθαξ. ἔστιν οὖν παρὰ τὸ λάβρως ἐσθίειν. ἀδηφάγον γὰρ τὸ ζῷον. ὡς ἱστορεῖ ὀππιανὸς ἐν τοῖς ἁλιευτικοῖς.

Λαβραγόρην, προπετῆ ἐν τῷ λέγειν. οἷον λάβρον καὶ θρασύν.

Λαβή, ἀφορμή. μέμψις.

Λαγαρόν, ὡς λαγαρνόν. ἐκκεκένωται γὰρ αὐτοῦ τὸ πάχος εἰς πλάτος. καὶ λίαν ἐστὶν ἀσθενέστερον. γέγονε παρὰ τὸ πλήττω.

Λαγών, ὁ εὐθέως λανθάνων τοῦ ἀγῶνος καὶ φόβου

Λαγαρία, πόλις ἰταλίας. ἀπὸ λαγάριδος τινὸς νομέως.

Λάγνος, ἡ πανυδεκτική. παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ γῶ τὸ χωρῶ.

Λαγνεία, λαγνεία τις οὖσα. παρὰ τὸ λα ἐπιτατικόν, καὶ τὴν γυναῖκα.

Λαγώς, παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ ὡς ὦτος δωρικῶς γέγονε. ὁ μεγάλα ὦτα ἔχων. ἢ παρὰ τὸ λάειν, ὅ ἐστι βλέπειν. λέγεται γὰρ μὴ μύειν κοιμώμενος. ἐκ τοῦ λαγώς, γίνεται λαγῷος τὸ ἐπίθετον. καὶ λαγῷα κρέα.

Λαβύρινθος. ἐν τῇ κρήτῃ νήσῳ ἐστὶν ὄρος ἐν ᾧ ἐστι σπήλαιον ἀντρῶδες, δύσκολον περὶ τὴν κάθοδον, καὶ δυσχερὲς περὶ τὴν ἄνοδον. ἐν ᾧ λέγεται ὁ μινώταυρος ἐμβληθῆναι. ἐπεὶ οὖν δυσχερὲς τὸ ἐκδῦναι τοὺς λαβυρίνθους. λαμβάνεται ἀπὸ τῶν ἀφύκτων λόγων οὓς οὐδεὶς δύναται ἐκφυγεῖν.

Λαδρέοντι, παρὰ τὸ λα καὶ τὸ ῥέω, λαρέοντι. μεγάλως ῥέοντι. καὶ πλεονασμῷ τοῦ δ.

Λαερτιάδης, παρώνυμον ἐκ τοῦ λαέρτιος. τὰ γὰρ εἰς ος ὀνόματα, εἰ μὲν καθαρὰ, διὰ τοῦ άδης ποιοῦσι τὸ παρώνυμον. οἷον, νηλήιος νηληιάδης. θυέστιος, θυεστιάδης. εἰ δὲ μὴ καθαρὰ, διὰ τοῦ ίδης. κρόνος, κρονίδης. λαγὸς, λαγίδης. ἰστέον ὅτι ταῦτα οὐ ποιοῦσιν ἀπὸ προσηγορικοῦ παρωνυμικά. τὰ γὰρ προσηγορικὰ, κοινά εἰσι καὶ κατὰ πολλῶν λέγονται. εἰ οὖν ἄνθρωπος ἀνθρωπίδης εἴπωμεν, ἐδηλώσαμεν τινὰ ἐκ πολλῶν γεννηθῆναι, ὅπερ ἐστὶν ἄτοπον. μόνον δὲ λέγουσι γεννηθῆναι τὸν πᾶνα ἐκ πολλῶν, ὅθεν καὶ αὐτὴν εἴληφε τὴν ὀνομασίαν.

Λαέρτιος. ὥσπερ δὲ λέγεται βούσιρις, οὕτω καὶ λαέρτης λαέρτιος. παρὰ τὸ δύνασθαι λάας ἀερτάζειν, ἤγουν κουφίζειν λίθους.

Λάϊγγες. παρὰ τὴν λᾶος γενικὴν, γέγονε λάϊξ. καὶ πλεονασμῷ τοῦ γ, λάϊγξ. κλίνεται λάϊγγος. ὥσπερ καὶ παρὰ τὸ ψῆφος γίνεται ψῆφιξ. καὶ ψάφιξ, καὶ ψάφιγξ.

Λάζετο. λάζετο δ' ἔγχος. ἐκράτει. ἐκ τοῦ λήβω τὸ λαμβάνω, ὁ δεύτερος ἀόριστος, ἔλαβον. ἐξ αὐτοῦ ῥῆμα λαβάζω. καὶ συγκοπῇ, λάζω. λάζομαι, ἐλαζόμην, ἐλάζου, ἐλάζετο. καὶ συναρχομένως, λάζετο.

Λάθιος, κρήνη περὶ τὴν οἴτην, ἥ τις οὕτως ὠνόμασται, διὰ τὸ τὸν ἡρακλέα πιόντα ἐξ αὐτῆς ἐπιλαθέσθαι τῶν ἐν ἀνθρώποις κακῶν.

Λαθικηδής, παρὰ τὸ κήδω. ὅθεν κήδομαι τὸ λυποῦμαι, καὶ τὸ λήθω γέγονε, ὁ ἄλυπος. ὀξύνεται δὲ, ὅτι παρὰ ῥῆμα ἐστὶ βαρύτονον τὸ λήθω, κήδω. εἰ γὰρ ἦν παρὰ τὸ κῆδος, ἐβαρύνετο ἄν. ὡς παρὰ τὸ μῆκος εὐμήκης.

Λαθικηδέα μαζὸν, τὴν λήθην ἐμποιοῦντα τοῖς παισὶ τῶν κακῶν πάντων. ἰλιάδος χ.

Λάκκος. ἀπὸ τοῦ λακίζω τὸ λακίσω, ὅ ἐστι τὸ διακόπτω. ὁ δεύτερος ἀόριστος, ἔλακον. καὶ ἐξ αὐτοῦ λάκκος πλεονασμῷ ἑτέρου κ. ἢ παρὰ τὸ λαχαίνω.

Λακαιρία, ὄνομα πόλεως. παρὰ τὸ λα καὶ τὸ ῥέειν. οἱονεὶ ἡ μεγάλως ἐπιρρεομένη.

Λακίνιον, ὄρος κρότωνος. ἀπὸ ἥρωος λακινίου ὠνόμασται.

Λακινία πόλις, ἀπὸ τοῦ λακίνος. ὅθεν καὶ τὸ νι ι.

Λάκτιν, ὅ ἐστιν ἡ λέξις σκυτάλην. τορύνην. καλλίμαχος. Αὖθις ἀπαιτίζουσαν ἐκνὸν εὐεργέα λάκτιν.

Λαμπρός, παρὰ τὸ λάμπω. τοῦτο παρὰ τὸ λίαν καὶ τὸ φῶ τὸ φαίνω, γίνεται λιανφῶ. καὶ ἀποκοπῇ, λάμπω. ἐτυμολογεῖται δὲ λαμπρός, παρὰ τὸ λύειν τὴν πήρωσιν.

Λακεδαίμων ἀνήρ, ἀπὸ τῆς πόλεως. καὶ ἡ λακεδαίμων πόλις λαχεδαίμων τις οὖσα. ἐν αὐτῇ γὰρ οἱ θεοὶ πρῶτοι ἔλαχον, καὶ ἐκληρώσαντο τὰς πόλεις.

Λακέρυζα κορώνη. ἡσίοδος. ἐκ τοῦ κρῶ κρύζω, ὄνομα κρύζα. πλεονασμῷ τοῦ ε, κέρυζα. καὶ μετὰ τοῦ λα ἐπιτατικοῦ μορίου, λακέρυζα. ἡ μεγάλως κράζουσα. ἐξ οὗ καὶ ῥῆμα λακερύζω. τάχα δὲ ἡ λέξις πεποίηται ἀπὸ τοῦ ἤχου.

Λαλῶ, πρώτης συζυγίας τῶν περισπωμένων. παρὰ τὸ λῶ τὸ θέλω, γίνεται κατὰ ἀναδιπλασιασμὸν, λαλῶ. ἃ γάρ τις θέλει, ταῦτα καὶ λαλεῖ. τὸ δὲ λῶ, σημαίνει τὸ ἀπολαύω. ἐξ οὗ καὶ λάρυγξ. ἔστι παράγωγον τοῦ λῶ, λάσω. καὶ πλεονασμῷ τοῦ κ, λάσκω. ὅθεν εὐριπίδης. Τοιαῦτα λάσκεις τοὺς ἀναγκαίους φίλους.

Λακίδες, ἐπισχίσματα ἱματίου. παρὰ τὸ λακεῖν καὶ ψοφεῖν ἠρέμα ἐν τῷ σχίζεσθαι.

Λαλιά, παρὰ τὸ λῶ τὸ λαλῶ. ὀξύνεται. τὰ σημαίνοντα ἄθροισιν ἢ περιεκτικὰ τινῶν προσηγορικῶν, ὀξύνεται. οἷον, ἀ

Λάλαξ. ἀπὸ τοῦ λαλαγὴ τὸ σημαίνον τὸν θόρυβον. χυρμιά. πυρκαϊά.

Λάμμαι. ἐκ τοῦ λαλῶ γέγονε ῥηματικὸν ὄνομα λάλη. καὶ πλεονασμῷ τοῦ λ, λάλλη. λάλλαι δέ εἰσιν αἱ ψῆφοι αἱ παραθαλάσσιαι, αἱ ὑπὸ τῶν κυμάτων κινούμεναι καὶ ψόφον τινὰ ἀποτελοῦσαι.

Λάμια, θηρίον. ἀπὸ τοῦ ἔχειν μέγαν λαιμόν, λαίμια.

Λαμία, πόλις. οἱ μὲν, ἀπὸ Λαμίου τοῦ Ἡρακλέους Λάμιαν ὀνομάζουσιν. οἱ δὲ, ἀπὸ γυναικὸς Λαμίας, ἥτις ἐβασίλευσε Τραχινίων. καὶ προσηγορικὸν καὶ σημαίνει τὰ χάσματα.

Λάμυρος, ὁ λάλος. ὁ στωμύλος. καὶ λαμυρία, ἡ στωμυλία. ἢ ἡ ἀλόγιστος ἀνδρεία. καὶ λαμυρόν, τὸ πολὺ καὶ ἄθροον. καὶ λαμυρήν, τὴν θάλασσαν, οἷον πολλήν.

Λαμπετῶ. ὥσπερ ἀπὸ τοῦ εὔχω γίνεται εὐχέτης, καὶ βάλλω βελέτης καὶ ἑκατηβελέτης, οὕτω καὶ παρὰ τὸ λάμπω, λαμπέτης. καὶ ἐκ τούτου λαμπετῶ. ἔστι δὲ δευτέρας συζυγίας τῶν περισπωμένων. καὶ οἱ ποιηταὶ ἐπὶ τῆς δευτέρας συζυγίας ἔθος ἔχουσι πλεονάζειν τὸ ο. καὶ γίνεται λαμπετόω. ἡ μετοχή, λαμπετόων λαμπετόωντος, λαμπετόωντι.

Λάμψακος. Ὅτι τοῖς Λαμψακηνοῖς χρησμὸς ἐδόθη, ὅπου ἂν αὐτοῖς λάμψῃ, ἐκεῖ πόλιν κτίσαι. ἀστραπῆς οὖν γενομένης, εἰς δὴ τὸν τόπον καὶ ἔκτισαν τὴν πόλιν, Λάμψακον ταύτην προσαγορεύσαντες. ἢ τοὺς πολεμοῦντας αὐτοῖς βαρβάρους λόχον ποιήσαντας διὰ τῆς ἀστραπῆς ἰδόντες, κατέκαυσαν.

Λάξ. ἀπὸ τοῦ λήγω ῥήματος. ὁ μέλλων, λήξω. λὴξ καὶ λάξ. τὸ τῷ λήγοντι μέρει τοῦ ποδὸς, τουτέστι τῷ ἄκρῳ πλήττειν. καὶ Ὅμηρος Ἰλιάδος κ. Λὰξ ποδὶ κινήσας. εὐτόνως τῷ μεγάλῳ δακτύλῳ τοῦ ποδός. τοῦ κοίλου μέρους ἁψάμενος τοῦ Διομήδους ποδός, ὡς δῆλον ἐκ τῶν ἐπιφερομένων. Ὤτρυνέ τε νείκεσέ τ' ἄντην. ὁ Νέστωρ δηλονότι.

Λάξις, ὅ ἐστιν οἰκοδόμημα αἱμασιᾶς. οἱ δὲ Ἀττικοί, λίθοις ἐκλέγοντες, ἀνῳκοδόμουν.

Λαοδίκη, ὄνομα κύριον. ἐκ τοῦ λαὸς καὶ τοῦ δίκη. τὰ δὲ εἰς ος ὀκταχῶς συντίθενται, ζήτει εἰς τὸ θ.

Λαομεδοντιάδης, εἶδος τῶν παραγώγων πατρωνυμικοῦ. ὅτι, ι. πᾶσα γενικὴ εἰς ος, διὰ τοῦ ιδης ποιεῖ τὸ πατρωνυμικόν. Λαομέδοντος, Λαομεδοντίδης. καὶ ὥσπερ Τελαμὼν Τελαμῶνος Τελαμωνίδης. καὶ πλεονασμῷ τοῦ α, Τελαμωνιάδης, οὕτω καὶ Λαομέδων Λαομέδοντος Λαομεδοντιάδης. ἡ κλητικὴ ὦ Λαομέδον.

Λαοσσόος. τὸν Ἀμφιάραον τὸν διὰ μαντικὴν σώζοντα τοὺς ἀνθρώπους. ἢ λαοσσόος ἡ Ἀθηνᾶ. καθὸ σώζει καὶ ἐφορμᾷ τοὺς λαούς.

Λάπαθος, ἡ κενωτικὴ τῆς γαστρὸς βοτάνη. παρὰ τὸ λαπάζειν τὰ πάθη. παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ πάθος. ἡ ἀπελαύνουσα τὸ πάθος. ἢ ἀπὸ τοῦ λαπάσσειν. ἔστι γὰρ τὸ λάχανον εὔθετον εἰς γαστέρα. ἀπαλύνει γάρ. οἱ δὲ Ἀττικοὶ λάπαθον λέγουσι τὰ ὀρύγματα τῶν θηρίων, ὅτι λανθάνει τοὺς θεωροῦντας. οἵτινες μὴ εἰδότες, ἔρχονται εἰς τὸ παθεῖν τι. καὶ ὑπολαπάξας, τὸ ὑποκενώσας ὁμοίως.

Λαξευτήριον, παρὰ τὸ λᾶας ὃ σημαίνει τὸν λίθον καὶ τὸ ξύω, τὸ τοὺς λίθους ξύον. ἢ ξέω, καὶ πλεονασμῷ τοῦ υ μετὰ τοῦ λα ἐπιτατικοῦ λαξεύω τὸ πάνυ ξέω. ὅθεν καὶ λαξευτήριον.

Λαπάρα, γίνεται ἐκ τοῦ λαπάζω ὃ σημαίνει τὸ κενῶ. ὅθεν καὶ τὸ ἐξαλαπάξας. καὶ λαπάξαι, τὸ κενῶσαι. παρὰ τὸ λάπαθον τὴν βοτάνην, κενωτικὴν οὖσαν γαστρός. ὅθεν καὶ λάφυρα ἀπὸ τῆς κενώσεως τῆς πόλεως. καὶ, Λάπτοντες γλώσσαις, οἱ κενοῦντες καὶ ἐξαντλοῦντες. Ἰλιάδος π. καὶ οἷον ταῖς γλώσσαις προσκείμενοι τῷ ὕδατι. τινὲς δὲ ἐστὶ λαπάρα, ὁ κενὸς τῶν ὀστέων τόπος. ὁ ὑποκάτω τῶν πλευρῶν κείμενος.

Λαπιδόρχας, ὁ μεγάλους ὄρχεις ἔχων.

Λαπίζειν, ἀλαζονεύεσθαι.

Λάρναξ, κυρίως ἡ διὰ λάων ὅ ἐστι λίθων κατασκευαζομένη θήκη. ἢ παρὰ τὸ λίαν νάσσεσθαι τὸν ἐκτιθέμενον.

Λάρισσα πόλις. ἀπὸ Λαρίσσης τινὸς κληθεῖσα.

Λάρος τὸ ὄρνεον, τὸ ἀπολαυστικὸν ἔχον τὸν νοῦν. Λάρῳ ὄρνιθι ἐοικώς.

Λαρόν, τὸ ἡδύπομα. παρὰ τὸ ἱλαρόν, λαρόν. ἢ παρὰ τὸ λῶ τὸ θέλω. τὸ κατὰ γεῦσιν ἢ κατὰ ὄψιν θελκτόν. ἢ παρὰ τὸ λίαν γέγονε. λέγεται καὶ ἐπὶ τοῦ ἁπαλοῦ. ἡ σποδός. Βαίνον λαροῖς ποσίν. ἐκ τούτου τὸ λαρινός. ἢ παρὰ τὸ λα ἐπιτατικὸν καὶ τοῦ ῥινός.

Λάρυγξ, παρὰ τὸ λαρύσσω λαρύξω, λάρυγξ. τὸ δὲ λαρύσσω, παρὰ τὸ λῶ τὸ ἀπολαύω. ἤγουν καὶ τὸ λαῖον. διὰ γὰρ τοῦ λαιμοῦ καὶ τοῦ φάρυγγος, τὴν ἀπόλαυσιν ἔχομεν τῶν τροφῶν. ἢ παρὰ τὸ λῶ τὸ λαλῶ. καὶ γὰρ τρεῖς πόροι εἰσὶ τοῦ τραχήλου. λάρυγξ. φάρυγξ. καὶ ὁ νωτιαῖος μυελός. λάρυγξ μὲν, δι' οὗ λαλοῦμεν καὶ ἀναπνέομεν. φάρυγξ δέ, δι' οὗ ἐσθίομεν καὶ πίνομεν. ὁ δὲ νωτιαῖος μυελός, δι' οὗ τινος τὰ νεῦρα ἐκφύονται.

Λαρυγγίζειν, εἰς τὸ λαχανίζειν.

Λάσιος, ὁ δασύς. ἐκ τοῦ λα ἐπιτατικοῦ, καὶ τοῦ σεύω τὸ ὁρμῶ. ὀρθῶς γὰρ ὁρμῶνται δι' αὐτοῦ τὰ νοήματα. ἡ γὰρ θέρμη, αἰτία τῆς ἐκφύσεως τῶν τριχῶν. νῦν δὲ περὶ τοῦ θερμοειδοῦς μέρους τῆς ψυχῆς φησίν. ἀφ' ὧν λέγεται, καὶ στήθεσι λασίοισιν. τουτέστι θερμοῖς. ἡ γὰρ θέρμη, ἐν τοῖς δασέσι καὶ συνετοῖς τόποις. ὑπὸ γὰρ τὰ στέρνα κεῖται ἡ καρδία, ἐν ᾗ ἐστι τὸ πυρῶδες ἢ ξηρῶδες καὶ θερμὸν καὶ μανικὸν τῆς ψυχῆς. λάσιοι οὖν, πολύτριχες ἢ συνετοί.

Λάσανον, ἐφ' οὗ οἱ δασεῖς τόποι ὀζοῦσιν. ὡς, Λαισήϊά τε πτερόεντα. λάσια δὲ τὰ περὶ τὸν φόρτον.

Λάσαυρος, παρὰ τὸ λᾶς. οἴδαμεν γὰρ ὅτι σημαίνει παρὰ τοῖς Ἀττικοῖς.

Λάταυρος, τὸ ἱμάτιον. ἀναλογεῖ γὰρ τῇ λωπ[illegible]α τῷ δέρματι.

Λάτρις, ὁ ἐπὶ μισθῷ δουλεύων. λάτρον γὰρ ὁ μισθός. ἢ παρὰ τὸ λα ἐπιτατικόν, μόριον, καὶ τὸ τρεῖν τὸ φοβεῖσθαι. ἔστι δὲ ἀρσενικὸν καὶ θηλυκόν.

Λατρεία, ἐκ τοῦ λατρεύω. τοῦτο ἐκ τοῦ λάτρις ὃ σημαίνει τὸν μίσθιον δοῦλον. τοῦτο ἐκ τοῦ λάτρον, ὃ σημαίνει μισθόν. τοῦτο ἐκ τοῦ τηρῶ τὸ βλέπω καὶ τοῦ λα ἐπιτατικοῦ, λατήριον. καὶ συγκοπῇ, λάτρον. πρὸς ὃ ἀποβλέπει ὁ μισθωτός.

Λαύρα, ἡ πλατεῖα ῥύμη. οἷον, Οὐδ' ὁδὸς ἐς λαύρην. παρὰ τὸ λίαν ἔχειν αὔραν. ἢ δι' ἧς ὁ λαὸς ῥεῖ εἰς τὴν ὁδόν.

Λαύρας, τὰς ὁδούς, ἢ τὰ ἄφοδα, ἢ τὰς πλατείας ῥύμας ἢ παρὰ τὸ δι' αὐτῶν τὸν λαὸν ῥεῖν, τουτέστιν ὁρμᾶν.

Λατῷος, ποταμὸς οὕτως ὠνόμασται ἀπὸ τοῦ τὴν Λητὼ ἐκεῖ ἀποκυῆσαι.

Λαφύστιος, ὁ Διόνυσος. ἀπὸ τοῦ ἐν Βοιωτίᾳ Λαφυστίου ὄρους.

Λάσκω, σημαίνει τὸ λαλῶ. Εὐριπίδης. Τοιαῦτα λάσκεις τοὺς ἀναγκαίους φίλους.

Λάταξ. παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ στάζω στάξω στάξ καὶ λάταξ, ἡ μεγάλη σταγών. ἡ σποδός.

Λάχεια, σημαίνει τὴν καλῶς ἐσκαμμένην γῆν. παρὰ τὸ λα ἐπιτατικόν. ὡς ἀπὸ τοῦ χαίρω χάρεια, καὶ ἀνθῶ ἄνθεια, καὶ κρατῶ κράτεια, οὕτω καὶ τὸ λαχῶ λάχεια. τὰ γὰρ ἀπὸ ἐνεστῶτος γινόμενα προπαροξύτονα, διὰ διφθόγγου γράφεται. μηδῶ, μήδεια. θέρω, θέρεια.

Λαχαίνειν, τὸ σκάπτειν. ἤτοι παρὰ τὴν λάχειαν γίνεσθαι τὴν γῆν θρυπτομένην. ἢ παρὰ τὸ σφόδρα χαίνειν αὐτὴν σκαπτομένην. καὶ λάχανον ἐντεῦθεν, παρὰ τὸ δεῖσθαι τοῦ σκάπτεσθαι. καὶ λάχεια νῆσος, ἀπὸ τοῦ σκάπτεσθαι εἰς βάθος δύνασθαι. οἱ δὲ λέγουσιν αὐτὴν ἐλάχειαν εἶναι ὅ ἐστι σμικράν. ἀλλ' ἐκ τοῦ περιεχομένου ἐλέγχονται. Πάρος τε λιμένος τετάνυσται. πῶς γὰρ παρατέταται μικρὰ οὖσα.

Λαχανίζεσθαι, ἀντὶ τοῦ λάχανα συλλέγειν.

Λαρυγγίζειν, τὸ πλατύνειν τὴν φωνὴν καὶ μὴ κατὰ φύσιν φθέγγεσθαι, ἀλλ' ἐπιτηδεύειν περιεργότερον τῷ λάρυγγι χρῆσθαι.

Λάχνη, ἡ τρίχωσις. ἐκ τοῦ λα ἐπιτατικοῦ καὶ τοῦ ἔχω τὸ κρατῶ, γίνεται λαέχνη. καὶ κατὰ κρᾶσιν λάχνη. ἢ ἧς ἔστιν ἔχεσθαι καὶ λαβέσθαι. ἢ τὸ πάνυ κεκρατημένον. ἡ γὰρ τρίχωσις, εὔληπτος. παράγεται δέ, παρὰ τὸ λάζω τὸ κρατῶ. ὁ μέλλων, λάξω. καὶ ἐξ αὐτοῦ λάχνη. οὐδὲν γὰρ εὐληπτότερον τῆς τριχός.

Λαχμῷ, τῷ δάσει τῶν ἐρίων. παρὰ τὸ λίαν ἔχεσθαι. Ἀντίμαχος δὲ τῶν ἵππων τὸν λακτισμόν. οἷον, Λαχμὸν δ' οὐ δείδισκεν ἵππων. Σέλευκος δὲ ἀξιοῖ διὰ τοῦ ν γράφεσθαι. λάχνῳ ὃ σημαίνει λάχνην.

Λαχοίην. ἔστι λάχοιμι λάχοις λάχοι. τούτου γίνεται κατὰ πλεονασμὸν τοῦ η Ἀττικῶς, λαχοίη. εἶτα προσθέσει τοῦ ς, λαχοίης. καὶ τροπῇ τοῦ ς εἰς ν, γίνεται τὸ πρῶτον. καὶ ἀποβολῇ αἰολικῇ τοῦ ι, λαχόην.

Λαυκανίη, ὁ λαιμός. ἀπὸ τῆς ἀπολαύσεως.

Λαιμός, παρὰ τὸ λίαν μαίνειν. ἢ παρὰ τὸ λάπτω, ὃ σημαίνει τὸ καταδίψης φλέγομαι. ἢ παρὰ τὸ λάειν, ὅ ἐστιν ἀπολαύειν. εἰς τὸ λῆμμα.

Λαιδρός, ὁ θρασύς. παρὰ τὸ λα ἐπιτατικόν. καὶ τὸ δρῶ, τὸ πράττω.

Λαίθαργος κύων, ὁ λαθραίᾳ δάκνων. ἐκ τοῦ λήθω.

Λαῖς, κάπρος ὁ λάγνος καὶ λάμυρος. παρὰ τὸ λα ἐπιτατικόν, πλεονασμῷ τοῦ ι. ὡς ἐν τῷ μαστροπός, ἂμ μαστροπός.

Λαισήϊά τε πτερόεντα, μικρὰ ἀσπιδίσκια. ὠμοβύρσια. ἔστι δὲ βαρβαρικὸν ὅπλον. γίνεται παρὰ τὸ λα ἐπιτατικόν, καὶ τὸ σεύω τὸ ὁρμῶ. ἢ παρὰ τὸ ἐν τῇ λαιᾷ βαστάζεσθαι. ἢ παρὰ τὸ λάσιον. ἀπὸ τοῦ ὠμαῖς βύρσαις περιβεβλῆσθαι.

Λαιὰ χείρ, ἡ ἀριστερά. ἀπὸ τοῦ λελιάσθαι καὶ κεχωρίσθαι τῶν πράξεων.

Λαῖφος, λινοϋφὲς ἄρμενον. ἢ παρὰ τὸ λῶπος, λάφος καὶ λαῖφος. ὡς γλῶσσα, γλάσσα.

Λαῖτμα, τὸ χάσμα, καὶ μέγα πέλαγος. ἢ τὸ οἴδημα τῆς θαλάσσης.

Λαίλαψ. παρὰ τὸ λάπτω λάψω λάψ. καὶ κατὰ ἀναδιπλασιασμόν, λαίλαψ. δηλοῖ δὲ τὴν σφοδρὰν καὶ ἐπιτεταμένην λαβρότητα τοῦ πνεύματος. τὸ δὲ λάπτω, ἐκ τοῦ λα ἐπιτατικοῦ, καὶ σημαίνει τὸ λίαν ἅπτεσθαι.

Λέα, ἡ ἐν τοῖς ἱστοῖς λίθος. ὅτι λίθοις ἐξήρτηνται.

Λεβηρίς, τὸ τοῦ ὄφεως γῆρας.

Λέβης, τὸ χέρνιβον. ἀπὸ τοῦ τὰς λιβάδας τῶν χειρῶν ὑποδέχεσθαι. ἢ ὁ χυτρόπους, εἰς ὃν λείβεται καὶ ἐμβάλλεται τὸ ὕδωρ. σημαίνει δ΄. ἀντὶ μὲν τοῦ παρ' ἡμῖν λεγομένου χέρνιβος, Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα, καλῇ χρυσείῃ ὑπὲρ ἀργυρέοιο λέβητος. ἀντὶ δὲ τῆς λεκάνης, Γρηῢς δὲ λέβητ' ἔλε παμφανόωντα. τῷ, πόδας ἐξαπένιζεν. ἀντὶ δὲ τοῦ ἡμῖν, συνήθους, Ὡς δὲ λέβης ζεῖ ἔνδον ἐπειγόμενος πυρὶ πολλῷ. ἀντὶ δὲ τῶν ἀναθεματικῶν, Αἴθωνας δὲ λέβητας ἐείκοσι.

Λεγεών, τὸ στῖφος τὸ ἐκλεκτόν. ἀπὸ τοῦ λέγω τὸ συλλέγω. τὸ δὲ λέγω, σημαίνει ἕξ. καὶ γίνεται παρὰ τὸ λῶ τὸ θέλω. λέγω τὸ λαλῶ, ἐξ οὗ καὶ λόγος. λέγω τὸ μετρῶ, ἐξ οὗ καὶ ὡρολόγιον, τὸ τὰς ὥρας μετροῦν. λέγω τὸ κοιμῶμαι, ἐξ οὗ καὶ λέχος ἡ κοίτη. λέγω τὸ φροντίζω, ἐξ οὗ καὶ ἀλέγω. λέγω τὸ συλλέγω, ὡς τό, Ἐπὶ δὲ ξύλα πολλὰ λέγοντο. λέγω τὸ λαγχάνω. ἐξ οὗ καὶ ὁ μέσος παρακείμενος, λέλογχα. ὡς τό, Τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσιν.

Λῶ, σημαίνει δ΄. τὸ λαλῶ. λῶ, τὸ ἀπολαύω. λῶ, τὸ βλέπω, ἐξ οὗ καὶ λέων. λῶ τὸ ἐπιθυμῶ, ἐξ οὗ τό, Λιλαιόμενοι χροὸς ἆσαι.

Λέγω, τὸ λε ψιλόν. διατί, τὰ διὰ τοῦ γω ῥήματα, διὰ τοῦ ε ψιλοῦ γράφεται. φλέγω. ψέγω. ἢ καὶ τὰ ἔχοντα τὸ ε ἐγκείμενον ἐν τοῖς ὀνόμασιν, ἔχουσι τὸ ε ἀντὶ παρακειμένου ἐν τοῖς ῥήμασιν. ὁ δεύτερος ἀόριστος, ἔλεγον. καὶ ὤφειλεν εἶναι ἔλαγον κατὰ τὸν λέγοντα κανόνα, κἂν που τύχῃ τὸ ε σὺν ἀμεταβόλῳ, εἰς α αὐτὸ τρέπει ὁ δεύτερος ἀόριστος. ἀλλὰ σεσημείωται τὸ λέγω, ἔλεγον. φλέγω, ἔφλεγον. καὶ ἀγείρω, ἤγερον. καὶ ὀφείλω, ὄφελον. τὸ λεγόμεθα καὶ φερόμεθα, οἱ Αἰολεῖς εἰς ε ποιοῦσι λεγόμεθεν καὶ φερόμεθεν μετὰ τοῦ ν. ἀλλὰ καὶ τὰ εἰς θεν λήγοντα ἐπιρρήματα, εἰς α ποιοῦσιν. ὄπισθεν, ὄπισθα. ἄτερθεν, ἄτερθα. χωρὶς τοῦ ν. ὅτε γὰρ ἦν εἰς ε τὰ ἐπιρρήματα, τότε καὶ τὸ ν. ὅτε δὲ εἰς α, ἀφίσταται τὸ ν, ὥσπερ καὶ τὸ λε-

γόμεθα, φερόμεθα. εἶτα λεγόμεθα, ἐπλεόνασε τὸ ν.

Λεηλατῶ, παρὰ τὸ λεὼς καὶ τὸ ἀτῶ τὸ βλάπτω, γίνεται λεωλατῶ πλεονασμῷ τοῦ λ. εἶτα τρέπεται τὸ ω εἰς η, καὶ σημαίνει τὸν λαὸν βλάπτω. ἢ ἐλεηλάτει, ἢ χμαλώτευσε. ἐλῄστευσε. ἥρπαζε.

Λεκάνη, ἧς τὸ χάσμα ἐστὶ λεῖον. πεπλάτυνται γάρ. ἀξιοχρήνη οὖν ἡ ἐτυμολογία καὶ λεκάνη.

Λελῆσθαι, πρὸς διάφορον σημαινόμενον, διάφορον ἔχει καὶ τὴν γραφήν. τὸ μὲν ἀπὸ τοῦ λήθω τὸ λανθάνω ἐστὶν, οὐκ ἔχει τὸ ι. τὸ δὲ ἀπὸ τοῦ ληΐζω, ληΐσω, λελήϊκα, λελήϊσμαι, λελήϊσαι, λεληΐσθαι καὶ λελῆσθαι κατὰ συναίρεσιν.

Λελογχὼς, ἀπὸ τοῦ λήχω, ἔλογχα, καὶ λέλογχα, καὶ λεληκώς. ζήτει εἰς τὸ λεπτός.

Λελῷτο, προπερισπᾶται τὸ εὐκτικόν.

Λελυμασμένος, παρὰ τὸ λύμη, λυμαίνω. ὁ παρακείμενος, λελύμαγκα, λελύμαμμαι, λελυμαμμένος. καὶ γὰρ ὅπου τὰ μεταβόλου εἰς γ τρέπεται. ὡς παρὰ τὸ δύνω, δύγκα, δύμμαι, καὶ ἥδυσμαι, ἐξ οὗ καὶ ἥδυσμα. ἔστι δὲ καὶ λυμάζω, λυμάσω. λελύμακα, λελύμασμαι.

Λελίηκα. ἀπὸ τοῦ λίω τοῦ σημαίνοντος τὸ προθυμοῦμαι, περισπώμενον λιῶ, λιήσω, λελίηκα.

Λελιημένος. προθυμούμενος. παρὰ τὸ μένος, ἢ παρὰ τὸ λίαν τεθραμμένος. ἢ ἔστι ῥῆμα λαῶ σημαῖνον τὸ θέλω καὶ προθυμοῦμαι. ἐκ τοῦ λῶ, γίνεται λιλῶ. καὶ κατὰ παραγωγὴν, λιλαίω. τοῦ λιλῶ ὁ παρακείμενος, λελίληκα. ὁ παθητικός, λελίλημαι. λελιλημένος. καὶ κατὰ ἀποβολὴν τοῦ λ λελιημένος.

Λέληκα, οὐκ ἀπὸ τοῦ λέγω, ἀλλ' ἀπὸ τοῦ λαλῶ, λαλήσω, λελάληκα, καὶ συγκοπῇ τοῦ λα.

Λεξείδιον, τὸ μὲν ἀπὸ τῆς λέξις λέξεως, διὰ τῆς ει διφθόγγου. τὸ δὲ ἀπὸ τῆς λέξιος ἰωνικῶς, διὰ τοῦ ι. ὡς καὶ ἀπὸ τῆς ῥήσεως ῥησείδιον. ἀπὸ δὲ τῆς ῥήσιος γενικῆς, ἰωνικῆς ῥησίδιον. καὶ τὰ ὅμοια. χοιροβοσκός.

Λέξασθαι, τὸ κοιμηθῆναι. παρὰ τὸ λέχιον πεσεῖν. κυρίως οὖν ἐπὶ ἀνθρώπων. καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀλόγων. σημαίνει δὲ καὶ τὸ ἐπὶ λέξασθαι, ὅ ἐστι λεχθῆναι, καταριθμηθῆναι.

Λεοντοκόμος, ὁ τὸν λέοντα ἐπιμελούμενος. ἐκ τοῦ κομῶ τὸ ἐπιμελοῦμαι καὶ τοῦ λέων. τὸ δὲ λέων, παρὰ τὸ λάω τὸ θεωρῶ. ὀξυδερκέστατον γὰρ τὸ θηρίον, ὡς φησιν ὁ μανέθων ἐν τῷ πρὸς ἡρόδοτον, ὅτι οὐδέποτε καθεύδει ὁ λέων. τοῦτο δὲ ἀπίθανον. οὐκ ἐνδέχεται γὰρ ἀεί τινα ἐγρηγορέναι, ἀλλ' ἴσως ὡς ἡ δορκὰς ἀνεῳγμένους ἐν τῷ καθεύδειν τοὺς ὀφθαλμοὺς ἔχει. καὶ λοιπὸν ὑπόνοιαν παρέχει τοῦ μὴ καθεύδειν. οὕτω καὶ ὁ λέων ἀνεῳγμένους ἔχει τοὺς ὀφθαλμοὺς, ἐπειδὴ τῶν ὀφθαλμῶν μεγάλων ὄντων, τὸ ἐπικείμενον δέρμα τοῖς ὀφθαλμοῖς μικρότερον ἐστὶ, καὶ οὐ δύναται σκεπάσαι αὐτούς.

Λεώς. ἐὰν μὲν ὀξύνηται, ἀττικόν ἐστιν ἀπὸ τοῦ λαός. τὸ δὲ βαρύνεται, ἀποβολή ἐστι τοῦ τελέως. ὃν γὰρ τρόπον προέρχεται ἤτε ἐν τῷ τέρμος, ἀφαιρεῖται ἐν τῷ τελεώς, τελέως.

Λεωκόριον, ἱερὸν ἀθήνησι τῶν λεὼ θυγατέρων. ὁ δὲ λεὼς, υἱὸς ὀρφέως.

Λέντιον, παρὰ τὸ λεαίνω τὸ καθαίρω, λελείαμαι λελείαται, γίνεται λειάντιον. καὶ συγκοπῇ, λέντιον.

Λέπαδνα, οἱ κατὰ τῶν ἱππείων στηθῶν ἱμάντες. οἱ μασχαλιστῆρες. πλεονάζει δὲ τὸ δ. ὡς γὰρ κόπτω κόπανον, οὕτω λέπω λέπανον καὶ λέπαδνον.

Λεπτός, παρὰ τὸ λείπω λεπτός. ὁ λείπων καὶ ἐνδέων. ἢ λέπτω λεπτός, ὁ ἐξελεπτισμένος. ἢ παρὰ τὸ λέπος. τοῦτο παρὰ τὸ λέπω τὸ λεπίζω. ὁ μέλλων, λέψω. ὁ παθητικὸς παρακείμενος, λέλεμμαι, λέλεψαι, λέλεπται, λεπτός.

Λέλογχα, ἀπὸ τοῦ λήχω, ὁ μέλλων λήξω. ὁ παρακείμενος, λέληχα. πλεονασμῷ τοῦ ν, λέλογχα. καὶ τροπῇ τοῦ η εἰς ο, λέλογχα. τὸ δὲ λέληκα, οὐκ ἀπὸ τοῦ λέγω, ἀλλ' ἀπὸ τοῦ λαλῶ λαλήσω. ὁ παρακείμενος, λελάληκα. καὶ συγκοπῇ τῆς λα συλλαβῆς.

Λεπτύνειν, αἱ πατικιεῖς παρὰ λυκόφρονι. οἱ μὲν τὸν ἅδην. οἱ δὲ, τὴν περσεφόνην, οἱονεὶ τὴν λεπτύνουσαν τὰ σώματα τῶν ἀποθνησκόντων. οἱ δὲ τὴν ψυχήν. λεπτομερέστατον γάρ ἐστι.

Λέμβος, τὸ ἐφόλκιον. παρὰ τὸ λίαν βαίνειν, ὅ ἐστι πορεύεσθαι διὰ σμικρότητα. καὶ λέμβαρχοι, οἱ ἐν ἐφολκίῳ πλέοντες.

Λέκτρον, ἡ κοίτη. πλεονασμῷ τοῦ ρ. ἀπὸ τοῦ κατακλίνεσθαι καὶ λήγειν ἡμᾶς εἰς αὐτό.

Λεπρός, παρὰ τὸ λέπος λεπρός. καὶ συγκοπῇ, λεπρός. καὶ λέπρα, σημαίνει τὸν ἐλεφαντιασμόν. παρὰ τὸ λέπος ὅ σημαίνει τὸ δέρμα, γίνεται λέπηρα. καὶ συγκοπῇ, λέπρα. εἰς γὰρ τὴν ἐπιφάνειαν τοῦ σώματος γίνεται ὁ ἐλεφαντιασμός. ἔστι δὲ ἐλεφαντιασμός, ὁ δίκην ἐλέφαντος τινὰ μὲν λευκὰ, τινὰ δὲ μελάντερα τοῦ σώματος ἔχων. ἢ παρὰ τὸ λέπος καὶ τὸ ῥαίω τὸ φθείρω, ἡ διεφθαρμένη σάρξ.

Λέσχη. λέσχαι παρὰ βοιωτοῖς, τὰ κοινὰ δεῖπνα τηρία. τινὲς δὲ τὰ φρύγια. καὶ τοὺς ἀλεεινοὺς τόπους, λέσχας καλοῦσι. συμβαίνει γὰρ τοὺς ἐν ταῖς οἰκίαις ταύταις χάριν θέρμης καθεζομένους λόγους συναίρειν. γίνεται παρὰ τὸ λέγω. ὁ παρακείμενος, λέλεχα. ἐξ αὐτοῦ λέσχη κατὰ πλεονασμὸν τοῦ ς.

Λεσχάραι οὖν αἱ σχολαί. ἀπὸ τοῦ λέξαι τι. ἐκεῖ γὰρ ὁμιλοῦσι.

Λέχος, σημαίνει τὴν κοίτην. παρὰ τὸ λεχείους ἡμᾶς, ἤγουν πλαγίους ποιεῖν. ἢ παρὰ τὸ λέγω τὸ κοιμῶμαι. καὶ λεχεποίην, ὅμηρος ἐπὶ τοῦ ποταμοῦ. λεχοποίην καὶ λεχεποίην κατὰ τροπήν. ἐν ᾧ ἐστι λέχος ποιῆσαι, ὅ ἐστι κοίτην. ἢ λοχεῦσαι, τουτέστιν ἐνεδρεῦσαι. τὸ δὲ τὸ ἔχειν ἔγκειται, πλεονασμός ἐστι τοῦ λ. καὶ σημαίνει τὴν ἔχουσαν πολλὴν πόαν, ὅ ἐστι δάση.

Λευγαλέον, τὸ ὑγρόν. σοφοκλῆς. Μύρῳ λευγαλέῳ. καὶ ὅμηρος ἰλιάδος φ. Νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι, τουτέστι τῷ δι' ὕδατος. ἢ χαλεπῷ. ἄδοξῳ. παρὰ τὸ χεύω χευαλέον. σημαίνει δὲ καὶ τὸ ὀλέθριον. παρὰ τὸ λοιγὸν λοιγαλέον. καὶ μεταθέσει τῶν στοιχείων, λευγαλέον.

Λευκός, παρὰ τὸ λεύσσω τὸ βλέπω, λευκός, ὁ διαφανὴς καὶ λαμπρὸς καὶ εὐσύνοπτος καὶ εὐειδής. ἐξ οὗ καὶ λευκὸν λέγεται χρῶμα διακριτικὸν ὄψεως. τὸ μὲν γὰρ λευκὸν, διακρίνει καὶ διαχεῖ τὴν ὄψιν. τὸ δὲ μέλαν συγκρύπτει καὶ συνέχει τὴν ὄψιν.

Λευκὴ νῆσος ἐν πόντῳ. διὰ τὸ πλῆθος τῶν λευκῶν ὀρνέων τῶν ἐνδιαιτωμένων αὐτῇ.

Λευκανοὶ, ἀπό τινος λευκίου προσαγορευθέντες.

Λεύκιμμα, πίναξ γυψώδης ἠλειμμένος. πρὸς γράμματα πολιτικὰ γραφόμενα ἐπιτήδειος.

Λευκοθέα, ἡ ἰνώ. ὅτι ἐμμανὴς γενομένη, διὰ τοῦ λευκοῦ πεδίου θέουσα, ὅ ἐστι περὶ τὴν μεγαρίδα, ἑαυτὴν εἰς τὴν θάλασσαν ἔρριψε. μυρσίλος δὲ οὐ μόνον τὴν λευκοθέαν ἰνώ φησιν, ἀλλὰ καὶ τὰς νηρηίδας λευκοθέας ὀνομάζει.

Λεῦκτρα, τόπος τῆς θεσπικῆς, ἀπό τινος ἐγχωρίου λεύκτρου.

Λευστῆρα, τὸν λιθοβόλον λυκόφρων.

Λευρὸν, τὸ λεῖον καὶ πλατύ. ἀπὸ τοῦ λίαν εὐρύ. ἢ λελιθευμένον. λεύειν γὰρ τὸ λίθοις βάλλειν.

Λευκαρίων, καθ' ὑπόθεσιν δευκαλίων ἢ λευκάδιον. τροπῇ τοῦ δ εἰς ρ, λευκάριον.

Λευκανία, στόμαχος. λαιμός. τὸ ἀπηρτισμένον τοῦ γαργαρεῶνος. παρὰ τὸ λευκὸν εἶναι φύσει. ἢ ὅτι λίαν κέχηνεν. ἢ παρὰ τὸ χεύω χευαλία, καὶ λευκανία. καὶ διαιρεθείσης αὐτῆς, ὁ τῆς τροφῆς ἀφανίζεται πόρος.

Λεύσσω, τὸ βλέπω. ἔστι ῥῆμα βλέπτω, ὅθεν καὶ ἀποβλέπτω. ὅπερ αἰολικῶς γίνεται βλέσσω. ὡς ὄπτω, ὄσσω. καὶ κατὰ ἀποβολὴν τοῦ β, ἢ πλεονασμῷ τοῦ υ, γίνεται λεύσσω.

Λεύσετε, ὁρᾶτε. ἀμοιβαὶ ἐνὸς γράφουσιν, ὡς ἀπὸ τοῦ λεύσω μέλλοντος. ὥσπερ καὶ τὸ, Ἄξετε δὲ πριάμοιο βίην. καὶ, Οἴσετε δ' ἄρνας. καὶ, Καταβήσεο δίφρου.

Λεαίνω, ἐκ τοῦ λειαίνω. τὸ οἱονεὶ ἀποστίζω καὶ ἐκμάσσω. οὗ ὁ μέλλων, λειανῶ, ἐλείηνα. λείηναν δὲ χῶρον. τοῦτο ἐκ τοῦ λεῖον ὃ σημαίνει τὸ ὁμαλόν. τοῦτο ἐκ τοῦ λαύω ὃ σημαίνει τὸ ἀπολαύω. τοῦτο ἐκ τοῦ λῶ τὸ θέλω, γίνεται λαύω. καὶ ῥηματικὸν ὄνομα, λᾶυος. καὶ τροπῇ τοῦ α εἰς ε, τοῦ δὲ υ εἰς ι, γίνεται λεῖος. οὗ πᾶς τις ἐφίεται. τὰ γὰρ λεῖα καὶ ὁμαλὰ θέλομεν, ὥσπερ τὰ κρημνώδη ἐκφεύγομεν.

Λείαξ, παρὰ τὸ λεῖον.

Λειόβατος, εἶδος ἰχθύος. παρὰ τὸ λεῖον.

Λειώδης, ὄνομα κύριον. οἱ μὲν ἀπὸ τοῦ λεῖον λέγουσι. λεῖος γὰρ ἦν. ὡς καὶ ὁ ποιητὴς δηλοῖ λέγων. Ὁ δ' ἐπεὶ κάμε χεῖρας ἀνέλκων ἀτρέπτους ἁπαλάς. οἱ δὲ, παρὰ τὸ λεὼς ἁδεῖν, ἤγουν ἀρέσκειν. οἷον λεώδης καὶ λειώδης. ἐμίσει γάρ φησι τὰς μάχας. ὡς καὶ ὁ ποιητὴς δηλοῖ λέγων. Ἀτασθαλίαι δέ οἱ οἷῳ ἐχθραὶ ἦσαν. κρεῖττον δὲ λέγεσθαι παρὰ τὸ λεῖον. ζήτει εἰς τὸ ἀκτίνα.

Λειμών, ὁ παράδεισος. διὰ τῆς ει διφθόγγου γράφεται. παρὰ τὸ λείβω τὸ κατασταλάζω, λειβὼν καὶ λειμών. ἔστι δὲ περιεκτικόν, ὡς καὶ τὸ χειμών.

Λεῖμαξ, ὁ λειμών. παρὰ τὸν λειμῶνα γίνεται.

Λείριον, τὸ ἄνθος. παρὰ τὸ λεῖον λείριον πλεονασμῷ τοῦ ρ. ὡς ἔγχος ἔγχει ἐγχείδιον. καὶ πλεονασμῷ τοῦ ρ, ἐγχειρίδιον. ἐκ τούτου λειριόεις. καὶ λειριόεσσα, γλυκεῖα. ἐπιθυμητή. ἡδεῖα.

Λειρόφθαλμος, τὸ μὲν σημαίνει τὴν προσηνῆ, διὰ τῆς ει διφθόγγου γράφεται. καὶ γίνεται παρὰ τὰ λείρια τὰ ἄνθη. τὸ δὲ σημαίνει τὸν ἀναιδῆ, διὰ τοῦ ι γράφεται. καὶ γίνεται παρὰ τὸ λιρός, ὃ σημαίνει τὸν ἀναιδῆ. παρὰ τὸ λίαν ὁρᾶν. οἱ γὰρ ἀναιδεῖς, λίαν ὁρῶσιν. ἢ παρὰ τὸ λίαν προσεῦναι.

Λεῖκνον, σημαίνει τὸ πτυάριον διφορούμενον. καὶ τὸ μὲν διὰ τῆς ει διφθόγγου, σχηματίζεται οὕτως. ἐκ τοῦ λέχος, γίνεται λέχνον καὶ λέκνον. καὶ πλεονασμῷ τοῦ ι, λεῖκνον. καὶ γὰρ οἱ ἀρχαῖοι ἐν τοῖς πτυαρίοις ἐποίουν τοὺς οἰκείους υἱοὺς καθεύδειν διὰ τὸ πολύγονον. τὸ δὲ διὰ τοῦ ι, οὕτως. ἔστι λικμᾶν, ὃ γίνεται παρὰ τὸ λίαν καμεῖν. ἐξ οὗ γίνεται λίκμον. καὶ μεταθέσει τοῦ μ εἰς ν, λίκνον. τινὲς λειπὸν αὐτὸ λέγουσι. καταλείπεται γὰρ τὰ χρήματα, καὶ τὰ ἄχυρα ἀποβάλλει.

Λειτουργός, ὁ τοῖς δημοσίοις ὑπουργῶν καὶ διακονῶν. τὸ γὰρ πρυτανεῖον ἤγουν τὸ δημόσιον, λήϊτον ἐκαλεῖτο. ἐκ τοῦ λήϊτον οὖν καὶ τὸ ἔργον, γίνεται κατὰ συστολὴν λείτουργος. καὶ κατὰ συναίρεσιν τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον. καὶ λειτουργεῖν, τὸ ὑπηρετεῖν.

Λειχῆν, παρὰ τὸ λείχω. καὶ γὰρ φασὶν ἐκ τοῦ λείχειν τὸ πάθος ἐπαίρεσθαι. ἢ παρὰ τὸ λεῖον κατὰ ἀντίφρασιν, τὸ μὴ ὂν λεῖον. τραχύνει γὰρ τὸ σῶμα. ὥσπερ, Ἁπαλοῖο δι' αὐχένος. καὶ τοῖ παρὰ τὸν αὐχμόν. καὶ αὐχὴν τράχηλος, παρὰ τὸ ταχύ.

Λείψανον. παρὰ τὸ λείπω λείψω. λείψανα γάρ εἰσι, τὰ ἔγκαταλείμματα. ἢ παρὰ τὸ λείβω λείψω. καὶ γὰρ ἔσπενδον ἐπὶ τῶν τεθνεώτων.

Λειψύδριον, τόπος τῆς ἀττικῆς. παρὰ τὸ λείβω.

Λήϊα, τὰ σιτοφόρα χωρία. καὶ συναιρέσει, λῆα. ἐτυμολογεῖται παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ ἱέναι. λάϊον ἢ λήϊον. παρὰ τὸ λίαν ἱέναι καὶ αὔξεσθαι τὸ σιτοφόρον πεδίον. ὅθεν καὶ λεία ἡ τῶν τετραπόδων κτῆσις ἡ νεμομένη τὰ λήϊα.

Λεία, ἡ λαφυραγωγία. ἡ πραῖδα. καὶ ἐν διαιρέσει, ληΐς.

Ληϊάδες καὶ ληϊτίδες, ἐπὶ τῶν γυναικῶν αἱ αἰχμάλωτοι λαφυραγωγοί. πολεμικαί.

Ληϊστοὶ, οἱ ἐκ λείας καὶ λῃστείας κτητοί. ἀπὸ τοῦ ληΐζω τὸ πραιδεύω. ληΐζεσθαι δὲ κυρίως, τὸ τὰ σιτοφόρα χωρία ἐκκόπτειν. ληϊστὴς οὖν ἐκλήθη, ἢ συναιρέσει, λῃστής. ληϊστὴς κυρίως, ὁ τὰ τετράποδα ἀπελαύνων. λεία γὰρ ἡ τούτων κτῆσις. διὰ τὸ ἐν τοῖς ληΐοις βόσκεσθαι. καταχρηστικῶς δὲ ληΐζεσθαι, καὶ ἐπὶ τῶν ἀπὸ πολέμου κτηθέντων. ἔνθεν, Οὔ μοι ληΐστὸ δύστηνος. καὶ, Ληϊστοὶ μὲν γάρ τε βόες. ἀπό τινος γὰρ ἂν τὸ λήϊον ὀνομάζοιτο, ἢ ἀπὸ τῶν ἐξ αὐτοῦ τρεφομένων λαῶν. λήϊα γὰρ

λέγονται τὰ ἐκ πολέμου λάφυρα, ἢ τὰ ἀπὸ ληστείας.

Λήδιον, φιλήμων φησὶ σημαίνειν εὐτελὲς χιτώνιον, ἢ χλανίδα παλαιάν. ζήτει εἰς τὸ ἀκτῖνα.

Ληδάριον, ἱμάτιον. Λήθαργος, ἔστιν ἐκ τοῦ ἀργός.

Λήκυθος, ἀγγεῖον ἐλαιοδόχον. ἢ τὸ λεγόμενον λαγύνιον. λάχυτός τις οὖσα. παρὰ τὸ μεγάλως χωρεῖν. ἢ παρὰ τὸ κύτος λάκυτος ἡ μεγαλόκυτος. ἢ λέγουν κύτος ἔχουσα. ἢ τὸ προχούδιον, παρὰ τὸ ἐλαιοκεύθειν.

Λῆμα, καὶ λῆμμα. οἷον τὸ θέλημα. ταύτῃ δὲ διαστέλλεσθαι χρὴ εὐλόγως τὸ λῆμμα τοῦ λήματος. τὸ μὲν γὰρ τίθεται ἐπὶ ψυχικοῦ παραστήματος. τὸ δὲ, ἐπὶ τοῦ λαμβανομένου. καὶ ἔστι τὸ μὲν ἀπὸ τοῦ λῶ τὸ θέλω. τὸ δὲ ἀπὸ τοῦ λήβω τὸ λαμβάνω.

Λῆμμα, κέρδος. θράσος. δύναμις. τόλμημα. ἀξίωμα.

Λημῶ, τὸ ἀμβλυωπῶ. λήμη γὰρ λέγεται τὸ συνιστάμενον ἐν τῷ ὀφθαλμῷ λευκὸν ὑγρόν, καὶ ἀμβλυωπεῖν παρασκευάζον. παρὰ τὸ λάω τὸ βλέπω καὶ τὸ μὴ ἀπαγόρευσιν. ἔστιν εἰς τὸ λιγνύς. ἡρακλείδης δὲ ὁ σωρανός λέγει λημᾶν λέγεσθαι τὸ ἀπολαυστικῶς βλέπειν. παρὰ τὸ λάειν, ὅ ἐστιν ἀπολαύειν. καὶ ὅμηρος. Ἀσπαίροντα λάων. ἔνθεν καὶ λαιμός. ἐπειδὴ καὶ τῶν ἐδεσμάτων καὶ τῶν ποτῶν οὕτως ἀπολαύει.

Λῆμνος, ἡ πόλις. παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ ὕπνος, λάυπνος. καὶ συγκοπῇ καὶ τροπῇ τοῦ α εἰς η, λῆμνος.

Ληνός, παρὰ τὸ λεαίνω τὸ λεπτύνω λεανὸς ληνός. καὶ κρᾶσι ληνός παρὰ τὸ λεαίνεσθαι ἐπ' αὐτῷ τὰ μέλη τῆς σταφυλῆς.

Ληνίς, σημαίνει τὴν βάκχην. παρὰ τὸ ληνόν. ὡς θηλυκὸν ὀξύνεται καὶ

Ληναιών, ἡ ὁδός. Μῆνα ληναιῶνα διὰ τί, φασί. κάκ' ἤματα, βούδορα πάντα. τοὺς βοῦς ἐκδέροντα διὰ τὸ κρύος. τὸν κατ' αἰγυπτίους λύαιον καλούμενον. ἐκλήθη δὲ ληναιών, διὰ τὸ τοὺς οἴνους ἐν αὐτῷ κομίζειν. οὗτος δὲ ὁ μὴν ἀρχὴ μηνῶν ἐστιν. οἱ δὲ ληναιῶνα φασίν, ἐπειδὴ διονύσου ἐποίουν ἑορτὴν ἐν τῷ μηνὶ τούτῳ, ἣν ἀμβροσίαν ἐκάλουν. καὶ λήναιον ἱερὸν διονύσου.

Λῆρος, ὁ διαρρέων καὶ τὴν μνήμην λανθάνων. παρὰ τὸ λήθω λήσω λῆρος. σημαίνει τὴν φλυαρίαν. καὶ ληρεῖν, παραφρονεῖν.

Λητώ, παρὰ τὸ λήθω τὸ λανθάνειν. ματαιολογεῖν. ὁ μὲν πλάτων φησὶν ἐλεητώ. ἐλεήμων γὰρ ἡ θεὸς καὶ πραεῖα, καὶ πάντας ἐλεοῦσα. κατὰ δέ τινας, ληθώ. τὸ γὰρ ἥμερον καὶ πρᾶον ἐκ τοῦ ἐπιλελῆσθαι τῶν εἰς αὐτὴν πεπλημμελημένων ἐμφαίνεται. ὁ δὲ ἀρίσταρχος παρὰ τὸ λῶ τὸ θέλω. ὅθεν καὶ τὸ λῇς ἀντὶ τοῦ θέλεις μετὰ τοῦ ι. εὐριπίδης. καὶ τὸ λῆ τὸ θέλει δωρικῶς. ἐπειδὴ ὁ ἄν τις θέλη παρ'

Λιαρός, ἰλιάδος λ. Καὶ ὕδατι αὐτῆς λαμβάνει. λιαρῷ. εὐκράτῳ. χλιαρῷ. προσηνεῖ. ἀπὸ τοῦ χλιαρός, κατὰ ἀποβολὴν τοῦ χ. τὰ γὰρ χλιαρὰ προσηνῆ. ἢ παρὰ τὸ λῶ τὸ θέλω, γίνεται λαρὸν ὃ θέλομεν. ὡς νῶ, ναρόν. καὶ πλεονασμῷ τοῦ ι, λιαρόν. ἢ λιλῶ τὸ λίαν θέλω. καὶ ὡς μαδῶ μαδαρός, πλαδῶ πλαδαρός, οὕτω λιλῶ λιλαρός. καὶ ἀποβολῇ τοῦ λ, λιαρός. τὰ γὰρ προσηνῆ θέλομεν καὶ ἐπιθυμοῦμεν.

Λιάμαθοι, οἱ ἐμπόλοι. ἀπὸ τοῦ εἶναι λίαν ἀμαθεῖς.

Λιασθείς, ἔστιν ἀλῶ τὸ πλανῶ καὶ ἐκκλίνω. ὅθεν ἀλίζω. καὶ κατὰ μετάθεσιν, λιάζω. ἐξ οὗ τὸ λιασθείς.

Λίβανος, παρὰ τὸ λίαν βαίνειν. ἢ παρὰ τὸ λείβω τὸ στάζω, ἤγουν σπένδω. ὁ λειβόμενος καὶ σπενδόμενος. δηλοῦσι γὰρ αὐτὸν οἱ ἰουδαῖοι ὅλον εἶναι πνεῦμα καὶ θεόν. ἀνωφερὴς γάρ ἐστιν. ὅθεν

Λιβανωτός, ὁ καρπὸς τοῦ λιβάνου. παρὰ καὶ αὐτὸ τὸ σέβον. τὸ λείβω. κατὰ στάζεται γὰρ ἀπὸ τοῦ φυτοῦ. λίβανος, παρὰ τὸ λείβω τὸ σπένδω, τὸ εἰς σπονδὰς καὶ θυσίας ἐπιτήδειον.

Λιβδύμεθα, ἀπὸ τῆς λιβάδος. οἱονεὶ ἐμβυθιζόμεθα. ἀφ' οὗ καὶ ἡ ἰνὼ βύνη ἐπεκλήθη. ἐπεὶ βεβύθισται. εὐφορίων δὲ, βύνην τὴν θάλασσαν λέγει. οἷον, Πολύρροφα δάκρυα βύνης. τοὺς ἅλας βουλόμενος εἰπεῖν. καὶ κατὰ συναλοιφήν, ἀλιβδύμαι, οἷον εἰς ἅλα βυθίζομαι.

Λιβρός, ὁ σκοτεινός. καὶ λιβρήν, τὴν λίαν ἐρεβεννήν. διότι ἐπίθετον τῆς νυκτός. ἢ λιβρὴν διὰ τὴν λιβάδα. διὰ τὸ ἔνδροσον τῆς νυκτός.

Λιμβρός, ἡ σκοτεινὴ νύξ. παρὰ τὸ λίαν βαίνειν.

Λιγύς, σημαίνει δύο. τὸν ἡδύν, ὡς τὸ, Λιγὺς πυλίων ἀγορητής. ὁ ἡδὺς ἐν τῷ λέγειν, ἢ ὀξύς. γίνεται παρὰ τὸ λέγω λεγύς καὶ λιγύς. ἢ παρὰ τὸ λίαν εἶναι ἡδύς.

Λιγνός. παρὰ τὸ λυγος λυγνός καὶ λιγνός. ἢ παρὰ τὸ λυγί-

Λιγυρῇ. Μάστιγι λιγυρῇ. λιγυρίζω, λυγινός καὶ λιγνός. γὰρ ἐστι καὶ ὀξεῖς τοὺς ἵππους ποιοῦσι κατὰ τὸν δρόμον ἢ ὀξὺν ἠ-

Λίγεια. τὰ εἰς α λήγοντα θηλυκὰ χον ἀποτελοῦσι. ἀπὸ τῶν εἰς υς ἀρσενικῶν γινόμενα, εἰ μὲν βαρύνεται τὰ ἀρσενικά, προπαροξύνεται τὰ θηλυκά. οἷον πρέσβυς πρέσβεια. ἥμισυς ἡμίσεια. εἰ δὲ ὀξύνεται τὰ ἀρσενικά, προπερισπᾶται τὰ θηλυκά. σεσημείωται τὸ ἐλαχύς ἐλάχεια. σημαίνει δὲ τὴν μικράν. καὶ τὸ λιγύς λίγεια. καὶ ἔστιν εἰπεῖν ὅτι ἀνάλογον παράκειται αὐτῷ τὸ λίγω, τὸ ὑμνῶ ῥῆμα. ἐξ οὗ καὶ τὸ λιγαίνειν, γίνεται παρὰ τὸ λίαν ἰαίνειν, ὅ ἐστιν εὐφραίνειν. τὰ δὲ ἀπὸ ἐνεστῶτος παρηγμένα διὰ τοῦ εια θηλυκά, προπαροξύνεται. οἷον μήδω, μήδεια. λίγω, λίγεια. τὸ δὲ ἐλάχεια, τὰ εἰς υς ὑπὲρ δύο συλλαβὰς συστέλλοντα τὸ υ, προπαροξύνεται. οἷον, λευκόφρυς. ἥμισυς. ἀβράφαξυς. ἔστι δὲ εἶδος βοτάνης. χρυσολάχανον. οὕτως οὖν καὶ ἔλαχυς ὤφειλεν εἶναι. ἀλλ' ἐπειδὴ τὰ εἰς υς ἔχοντα οὐδετέρου παρασχηματισμόν, παραληγόμενα τῷ α, ὀξύνεται. οἷον παχύς. ταχύς. τὸ τρυχερεῖν καὶ τὸ ἐλαχύς ὀξύνεται. τούνεκε χρεωστηθεῖσαν τάσιν τὴν ἐν τοῖς θηλυ-

Λιγνύς, ἡ ἀνάδοσις τοῦ πυρός. ὁ κα νοῖς ἀνεδέξατο. πνός. παρὰ τὸ δεικνύω δεικνύς τις οὖσα, ἡ δεικνύουσα τὸ πῦρ. ἢ παρὰ τὸ λίαν ἰκνεῖσθαι. καὶ λιγνυῶδες, τὸ ἀσβολῶδες καὶ καπνῶδες. ὅμηρος. Λιγνὺν αἰθαλόεσσαν. διαφέρει γὰρ παρ' ὁμήρῳ καπνὸς καὶ κνίσα καὶ λιγνὺς καὶ αἰθάλη. καπνὸς γὰρ λέγεται ὁ ἀπὸ ξύλων γινόμενος. κνίσα δὲ ἀπὸ κρεῶν καιομένων. λιγνύς, ὁ ἀπὸ καιομένων ἐλαιωδῶν γινόμενος καπνός. αἰθάλη δὲ, ὁ ἀπὸ ἀσβέστου καπνός. τὸ αἰθαλόεν δὲ, θερμὸν ἢ λαμπρόν. σημαίνει καὶ τὸ κατῃθαλωθῆναι ἄξιον. καὶ ἡ τοῦ πυρὸς ἀποφορά, καὶ ἡ τῇ ὀροφῇ προσεγγίζουσα μελανία. καὶ ἐπὶ τοῦ μελάθρου, Αὐτὴ δ' αἰθαλόεντος ὑπὲρ μεγάροιο μέλαθρα. καὶ ἐπὶ σποδᾶς. παρὰ τὸ αἰθάλην μὴ ἔχειν, ἀπὸ τοῦ καιομένου πυρός. οἱ γὰρ παλαιοί, οὐκ ἐχρῶντο ἐλαίῳ καὶ λύχνῳ, ἀλλὰ ξύλοις. ὅμηρος. Νήησαν ξύλα πολλά, φάος τ' ἔμεν, ἠδὲ θέρεσθαι. διὸ καὶ σεσημείωται τό, Χρύσεον λύχνον ἔχουσα.

Λήμη, ἢ παρὰ τὸ λήθω, λήσω, λέληκα, λέλημαι, λήμη. τοὺς γὰρ λημῶντας μὴ βλέποντας λανθάνοντες, παρερχόμεθα. λήμη, ἡ περὶ τοὺς κανθοὺς τῶν ὀφθαλμῶν πεπηγυῖα σύστασις. ἢ παρὰ τὸ λίαν μᾶν, ὅ ἐστι ζητεῖν. οἱ γὰρ λημῶντες καὶ τοῦ φωτὸς στερούμενοι, λίαν ζητοῦσιν. ἢ παρὰ τὸ λα καὶ τὸ μὴ ἀπαγορεύσεως. ἐν τῷ τέλει τίθεται, ὁμοίως τῷ χελώνη, ὃ γίνεται παρὰ τὸ κέλλω τὸ βρέχω, καὶ τὸ μὴ στερητικὸν μόριον.

Λίθος, παρὰ τὸ λίαν θέειν κατὰ ἀντίφρασιν.

Λικριφίς, ἔστιν ἐπίρρημα καὶ σημαίνει τὸ πλαγίως. λέχριον γὰρ τὸ πλάγιον. οἷον λεκριφίς. ἢ παρὰ τὸ ἴκρια τὰ πλάγια ξύλα ἰκριφίς, καὶ πλεονασμῷ τοῦ λ. ἄλλοι δὲ παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ κύπτειν, λικυφίς κατὰ μετάθεσιν τοῦ υ εἰς ι. παρὰ τὸ λίαν κεκυφέναι. καὶ πλεονασμῷ τοῦ ρ, λικριφίς.

Λιλαιόμενοι. Ὁλοοῖο λιλαιόμενοι πολέμοιο. ἐπιθυμοῦντες. παρὰ τὸ λῶ. διπλασιασμῷ, γίνεται λιλῶ τὸ πάνυ θέλω. καὶ λιλαίω κατὰ παραγωγήν, ὡς κερῶ, κεραίω. πε-

Λιμός, ἡ λεῖψις τῶν ἐπιτηδείων. γίνεται παρὰ ἐῶ περαίω. τὸ λείπω λείψω, λιμός. καὶ ὤφειλε διὰ διφθόγγου γράφεσθαι, ἀλλὰ συνέπαθεν ἡ φωνὴ τῷ σημαινομένῳ. ἐπειδὴ γὰρ ἔνδειαν δηλοῖ, τοῦ τυχεῖν, καὶ ἔνδειαν φωνῆς ἐδέξατο. τρύφων. ὁ δὲ ἀπολλώνιος ἐξ ἀφορμῆς τοῦ λιμπάνω. ἰστέον ὅτι παρὰ μὲν τοῖς ἀθηναίοις, ἀρσενικῶς λέγεται ὁ λιμός. παρὰ δὲ τοῖς δωριεῦσι, θηλυκῶς ἡ λιμός. ἔστιν εἰς τὸ λοιμός.

Λιμβός, παρὰ τὸ λίαν καὶ τὴν βόσιν τὴν τροφήν. ὁ σφόδρα πει

Λιμπάνω, ἀπὸ τοῦ λείπω γίνεται. τὰ γὰρ ταύτην ἔχοντα διὰ τοῦ ανω, εἰ μὲν πλεονάζει τὸ ν, συστέλλει τὴν ἀρχήν. οἷον λήθω, λανθάνω. πήθω, πανθάνω. ἥδω, ἁνδάνω. οὕτως οὖν καὶ λείπω, λιμπάνω. εἰ δὲ μὴ πλεονάζει τὸ ν, φυλάττει τὴν ἀρχήν. οἷον, αὔξω, αὐξάνω.

Λίμνη, τὰ συνεστῶτα ὕδατα. παρὰ τὸ λίαν καὶ διόλου μένειν. διὸ καὶ ὁ ὠκεανὸς ἀκαλαρρείτης ὤν, λίμνη κέκληται. Ἠέλιος δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην. οὕτως εὗρον ἐν ὑπομνήμασι τῆς ἰλιάδος. καὶ ἐν ἄλλῳ παρὰ τὸ λείβειν, ὅ ἐστι ῥεῖν. καὶ λίμνην ὁμοίως, παρὰ τὸ λίαν μένειν ἐν αὐτῷ τὸ ὕδωρ. λίμνη λέγεται καὶ ἐπὶ τῆς θαλάσσης.

Λιμενοχόσα ἄκρα, ἡ ἡρακλέους ἄκρα. ἐπειδὴ τοῖς πλέουσιν ἀπὸ σινώπης μέχρι τραπεζοῦντος τῆς κολχικῆς ἐπὶ χιλίους σταδίους, ἄλλος οὐ χύ πόκειται πλὴν τοῦ

Λιμήρη, πίνδαρος. τοῦ τροδιατόν κατὰ τὸ ἡρακλέους. ἔστιν. ὁπότε παρὰ τὸ λιμήν, λιμενηρή. ἢ παρὰ τὸ λειμὼν λειμῶνος λειμωνηρή, λιμηρή. οὕτως ἡρωδιανός.

Λινόν. τὸ λῖνος, σημαίνει τὸ ἔριον. λινὸν δὲ, τὸ λινοῦν. τὸ ἔριον, ἀπὸ τῆς λειότητος. ἢ τὸ λεπτὸν ὕφασμα λινὸν ἔλεγον, παρὰ τὸ λίαν νενῆσθαι.

Λίμνη, σημαίνει τρία. ἐπὶ τῆς θαλάσσης, Βαθείῃ δ' ἔμπεσε λίμνῃ. ἐπὶ τοῦ ὠκεανοῦ ὡς εἴρηται. καὶ ἐπὶ τοῦ συνήθως ἡμῖν νοουμένου. Λίμνη κεκλιμένος κηφισίδι.

Λιπαίνω, παρὰ τὸ λίπος. τοῦτο παρὰ τὸ λίαν πιότητα ἔχειν. ἀπὸ δὲ τοῦ λιπᾶναι, γίνεται λιπαρός. τὰ γὰρ εἰς ναι ἀπαρέμφατα ποιοῦσιν εἰς ρος ὀνόματα ἰσοσύλλαβα τοῖς ῥήμασι. ἢ τῷ α παραλήγεται, ἢ τῷ ε. μιᾶναι, μιαρός. χλιᾶναι, χλιαρός. θλιβῆναι, θλιβερός. στυγῆναι στυγερός. μυσᾶναι μυσαρός. ἰακῆναι ἰακερός.

Λιπαρεῖν, σημαίνει τὸ παρακαλεῖν. παρὰ τὸ λίαν παρεῖναι τοὺς παρακαλοῦντας. ἀπὸ δὲ τοῦ λιπαρόν γίνεται κατὰ ἀποκοπήν, λίπα. οἷον Λίπ' ἐλαίῳ, ἀντὶ τοῦ λιπαρῶς ἐπίρρημα, ἢ ἐκτενῶς.

Λιπερνῆτις, θηλυκόν. τὸ ἀρσενικόν, λιπερνήτης. σημαίνει τὸν ἐνδεῆ καὶ πτωχόν, παρὰ τὸ λείπεσθαι ἐρνέων, ὅ ἐστι φυτῶν. ἢ λιπερνῆτας φησὶν ἀριστόξενος τοὺς ἁλιεῖς καὶ θαλασσίους. ἀπὸ τοῦ τὰ τῆς ἁλὸς διαπιπράσκειν καὶ ζῆν. τινὲς δὲ λιπερνῆτας τοὺς λιπόντας τὸ βλάστημα τοῦ ἄνθους τοῦ πλούτου.

Λίπτω, σημαίνει τὸ ἐπιθυμῶ. οἷον, Λίπτοντα γάλακτος. ἐκ τοῦ λῶ τὸ θέλω, γίνεται παράγωγον λίπτω. ἢ παρὰ τὸ λίαν ἅπτεσθαι, ὅ ἐστι προσεγγίζειν. ὁ γὰρ ἐφιέμενός τινος προσεγγίζει.

Λίς, ὁ λέων, παρὰ τὸ λιαρόν. ἔνθερμον γάρ ἐστι τὸ ζῶον. Ὥστε λὶς ἠϋγένειος. οὗ ἡ αἰτιατική, Ἐπεί τε λῖν ἤγαγε δαίμων. τὸ πλῆρες λίνα ὅ ἐστι λέοντα δωρικῶς. ἔδει μέντοι περισπᾶσθαι, ὡς μῦς, μῦν. ἀριστάρχῳ δὲ ἐπείσθη ἡ παράδοσις ὀξύνειν. τὸ δὲ πληθυντικὸν παρὰ καλλιμάχῳ λίες, καὶ λίεσιν, ὡς μύεσι. λαμβάνεται δὲ καὶ ἐπίθετον ἐπὶ τῆς λείας πέτρας. Ὡς πέτρη γὰρ λίς ἐστι.

Λισσή. Λισσὴ ἐπικέλλεται νήσῳ. λισσὸν τὸ ὁμαλόν. παρὰ τὸ λίαν ἴσον. ἀμβρίας δὲ ἐπὶ τοῦ ὑψηλοῦ αὐτὸ λαμβάνει. αὕτη δὲ ἡ νῆσος ὄρνιθας ἔχει τοξευούσας τοῖς πτεροῖς ὡς βέλεσι. τὰς καλουμένας στυμφαλίδας. ἡ δὲ νῆσος καλεῖται ἄρηκα. ἐπειδὴ ἐν αὐτῇ ἐστιν ἐπιφανέστατον ἱε-

Λιστροῖσι, ξυστροῖσι. πτύοις. ἀπὸ τοῦ λίαν ῥοῦν δρηκός. στορεννύειν δι' αὐτῶν τὴν ὑποκειμένην ὕλην.

Λίσφοι, τὰ ἰσχία οἱ ἀττικοί. παρὰ τὸ λείπειν αὐτὰ σφαιρικῶν. δύναται καὶ λίσφοι εἶναι κατὰ τὴν ὀσφήν.

Λίσσεσθαι, παρὰ τὸ λίαν ἵζω. τὸ θέμα, λίσσω. ὁ μέλλων, λίσω. ἢ παρὰ τὸ λιτῶ τὸ παρακαλῶ. ἢ ὥς φασί τινες ἀπὸ μέλλοντος παρῆχθη εἰς ἐνεστῶτα. καὶ ἐγένετο πλεονασμῷ ἑτέρου σ, λίσσω. καὶ σημαίνει τὸ ἱκετεύω. ἰλιάδος α.

Λιτέσθαι. ὤφειλε προπαροξύνεσθαι, Δία λίσσαι. ὡς τὸ ἔρεσθαι, πύθεσθαι. ἐπειδὴ μέσου ἀορίστου δευτέρου ἐστὶ προπαροξύνεται. ὁμοίως τῷ δίρεσθαι καὶ φέρεσθαι ἐνεστῶτος. οὕτω καὶ ἐπὶ τοῦ, Κῆρα λιτέσθαι, ὤφει-

λεμῶν προπαροξύνεσθαι, ὅτι ἐνεστώς ἐστιν. ἀπὸ τοῦ λίπομαι βαρυτόνου. ἀλλ' ἐπεὶ τὰ εἰς θαι ἀπαρέμφατα τῶν εἰς μι παραληγόμενα, οὐκ ὄντα ἀπὸ τῶν εἰς μι, ἔχοντα ἐν τῇ τρίτῃ ἀπὸ τέλους συλλαβῇ τὸ ι συνεσταλμένον, μὴ ἐπιφερομένου αὐτῷ διπλοῦ, προπαροξύνεται. οἷον, λιπέσθαι. ἱκέσθαι. πιθέσθαι. οὕτως οὖν καὶ λιπέσθαι, οὐ τῷ λόγῳ τοῦ ἐνεστῶτος προπαροξύνεται, ἀλλὰ τῷ χαρακτῆρι.

Λίταργος κύων, σημαίνει τὸν ταχύν. παρὰ τὸ λίαν ἀργὸν

Λιτῆς, ὁ πένης, καὶ δημότης. < εἶναι, ἤγουν ταχύν. ἢ ὁ ἐκ λιτανείας ζῶν. ἢ ὁ περὶ τῆς γῆς κοιμώμενος. λιτὸς σημαίνει καὶ τὸν εὐτελῆ χιτῶνα καὶ ἀποίκιλον. παρὰ τὸ λεῖος. τὰ διὰ τοῦ ιτος ἀποστρέφεται τὴν ει δίφθογγον. σῖτος.

Λιτί. ἑανῷ λιτὶ κάλυψαν. < μίτος. ῥίτος. λιτός. Ἰλιάδος σ. ἀντὶ λεπτῷ πέπλῳ. ἢ λιτῷ καὶ ἀποικίλτῳ ὑφάσματι, ὅ ἐστι λινῷ. οἱ δὲ ἐξ ἀντιφράσεως τῷ ποικίλῳ. οἱ δὲ, ὕφασμα ἁπλοῦν λινίδιον. δεῖ δὲ ὀξύνεσθαι τὸ λιτί, κατὰ τὸν κανόνα Ἡρωδιανοῦ. Πᾶσα δοτικὴ δισύλλαβος, ὑπὲρ ὀνόματος ὀξύνεσθαι θέλει. φωτί. θητί. εἰσὶ δὲ οἳ προπερισπῶσιν. οὐ καλῶς. παραιτητέον δὲ τὸν Ἀσκαλωνίτην, διὸ λέγων ἀπὸ τῆς λὶς εὐθείας κεκλίσθαι τὴν λιτὶ δοτικὴν, καὶ λῖτα αἰτιατικήν. οὐ γάρ ποτε ἔμελλεν τὰ εἰς ις μονοσύλλαβα διὰ τοῦ τος κλίνεσθαι. μεταπλασμὸς δέ ἐστιν, ἀπὸ τοῦ λιτὸν λιτοῦ τῷ λιτῷ, καὶ λιτί. ὡς ἀπὸ τοῦ κλάδος κλάδου τῷ κλάδῳ, κατὰ μεταπλασμὸν κλαδί. καὶ ἡ αἰτιατικὴ ὁμοίως κατὰ μεταπλασμόν. ἐκ τοῦ λιτὸν λῖτα, ὡς ἐκ τοῦ κρόκον κρόκα. οἷον, Κατὰ λῖτα πετάσσας. Ἰλιάδος θ. ἀντὶ ἱμάτιον λινοῦν. ἢ λιτὸν κατὰ πετάσας, τουτέστιν ἁπλώσας. ὁ Χοιροβοσκὸς δὲ ἡ λῖτα τῆ λιτόν. ἐπειδὴ πᾶσα αἰτιατικὴ εἰς α λήγου

Λίχνοι, οἱ πολυπράγμονες καὶ ὀψοφά < σα, βαρύνεται. γοι, ἢ λαίμαργοι. παρὰ τὸ λίαν χαίνειν, κεχαίνειν, ὅ ἐστιν

Λιχμώμενος, περιλείχων. ἀπὸ ἀποστίζων. < ἐπιθυμεῖν. ἀπὸ τοῦ λιχμῶ δευτέρας συζυγίας τῶν περισπωμένων. τοῦτο ἀπὸ τοῦ λείχω πλεονασμῷ τοῦ μ. τὸ λι, ι. διατί. ἐπειδὴ πάντα ἀκόλουθα τὰ παράγωγα τοῖς πρωτοτύ-

Λίψ, σημαίνει τὸν ἄνεμον καὶ τὴν ἠπίαν, καὶ λιβάδα. ἀμ < ποις. φότερα παρὰ τὸ λείβω λείψω γέγονεν. ἢ παρὰ τὸ λείπω λείψω. τὰ δὲ εἰς ψ λήγοντα πάντα τὴν δίφθογγον ἀποστρέφεται. κνίψ, κνιφὸς καὶ κνιπός. νίψ νιβός, ὄνομα κρήνης. οὕτω καὶ λὶψ λιβός. ὁ δὲ ἄνεμος λέγεται καθὰ λείπει ὁ ἥλιος.

Λοιγός, ὁ ὄλεθρος. παρὰ τὸ λείπω λοιπὸς καὶ λοιγός. λείπειν γὰρ τῶν ἀνθρώπων ἐργάζεται. τὸ δὲ λοιμός, σημαίνει τὴν λοιμικὴν νόσον. μεταφορικῶς δὲ τὸν βλαπτικὸν ἀέρα. γίνεται γὰρ παρὰ τὸ λείπω λοιπός, καὶ λοιμὸς ἡ φθορά. ἢ παρὰ τὸ λίαν μετὰ πλεονασμοῦ τοῦ ο. ἢ παρὰ τὸ λιμός. λιμὸς μὲν γάρ ἐστιν ἔνδεια σίτου. λοιμὸς δὲ ἔνδεια τῶν σωμάτων. γράφεται τὸ λι, ι. πολλὰ γάρ εἰσιν ὀνόματα ἀπὸ ῥημάτων γινόμενα γραφομένων τῶν ῥημάτων διὰ διφθόγγου, τῶν δὲ ὀνομάτων διὰ τοῦ ι. οἷον, πείθω, πιθανός. οἰκτείρω, οἰκτιρμός. σείω, σιτός. νεί-φω νιφετός. λείχω, λιχμός. ἢ παρὰ τὸ λίαν χαίνειν. ἢ ὅτι πολλάκις συμπάσχουσι τὰ τῷ δηλουμένῳ. οἷον χεὶρ διὰ διφθόγγου. χιρὰς δὲ πάθος περὶ τὴν χεῖρα διὰ τοῦ ι. καὶ ἐμμηνύσατο τὸ πάθος ἡ γραφή. ἢ ὅτι τὰ εἰς μος ὀξύτονα τῷ υ ἐκτεταμένῳ παραλήγονται. οἷον θυμός. ῥυμός. δρυμός. σεσημείωται τὸ λοιμὸς διὰ τῆς οι διφθόγγου γραφόμενον. τὰ εἰς μος καθαρὰ δισύλλαβα διφθόγγῳ παραληγόμενα, ἀπὸ συμφώνου ἀρχόμενα σπάνιά εἰσι καὶ ὀξύνονται. οἷον λαιμός. λοιμός. τὰ δὲ μὴ ἀπὸ συμφώνου ἀρχόμενα, βαρύνονται. οἷον αἶμος. οἶμος.

Λοιδορία. παρὰ τὸ λοιμός, λοιμορία καὶ λοιδορία. ἢ παρὰ τὸ βάλλειν τοὺς λόγους ὡς δόρατα.

Λοῦτρον, βαρύνεται. ἐπειδὴ πᾶν εἰς τρον λῆγον ἀπαρασχημάτιστον, βαρύνεται. κέντρον. δένδρον. σεῖστρον. τὸ δὲ λουτρόν, πρὸς διαφορὰν σημαινομένου. ἐπὶ μὲν γὰρ τοῦ τόπου, βαρύνεται. ἐπὶ δὲ τοῦ ὕδατος ᾧ λουόμεθα, ὀξύνεται.

Λοῖσθος, ὁ ἔσχατος. παρὰ τὸ ὄλισθος. καθ' ὑπερθέσιν τοῦ λ λοῖσθος καὶ λοίσθιος. οἷον ὁ ἐξολισθήσας καὶ ἐμποδισθείς. ἢ παρὰ τὸ λείπω, λοιπὸς καὶ λοῖσθος. ἢ παρὰ τὸ λάσθη ὃ σημαίνει τὴν λοιδορίαν, λᾶσθος καὶ λοῖσθος. ὁ γὰρ

Λουτρά, τὰ εἰς λύσιν ἄγοντα < ἔσχατος, ὑβρίζεται. τῆς ἀκαθαρσίας. καὶ γὰρ λῦμα καλεῖται ὁ ῥύπος. λύ-

Λουτρόν, παρὰ τὸ λούω. < ματα πάντα κάθηραν. τὸ λουτρόν. οὐ γὰρ αὐτοὶ καθαίρομεν τὸ ὕδωρ, ἀλλὰ καθαιρόμεθα. δεῖ δὲ βαρύνεσθαι. ὥστε παραλόγως ὀξύνεται.

Λοεσσάμενος. ἐπιλουσάμενος. καὶ κατὰ διάλυσιν τῆς ου, γίνεται λοεσσάμενος. τὸ γὰρ λούω γίνεται ἀπὸ τοῦ ὀλύω καθ' ὑπερ-

Λοβοί. λοβοὶ λέγονται τὰ κάτω μέρη τῶν < βιβασμόν. ὤτων. Ἰλιάδος ξ. παρὰ τὸ λαμβάνεσθαί τινι καὶ δέχεσθαι, λαβὸς καὶ λοβός. οἷον, Εὐτρήτοισι λοβοῖσι, τοῖς ἄκροις τῶν ὤτων τοῖς ἁπαλοῖς. τοῖς καλῶς τετρημένοις. καὶ παρὰ τοῖς θυτικοῖς τὰ κάτω μέρη τοῦ ἥπατος οὕτω λέγεται. καὶ ἀγγεῖον ἐρεβίνθου καὶ κυάμου.

Λογάδες, οἱ ἐκλεκτοί. εἴποτε ἀνάγκη γένοιτο ἐκπέμψαι στρατιάν, ἢ ἐνεστήκοι τις ἄλλος κίνδυνος, κατάλογος ἐλέγετο τῶν ἐπιτηδείων πρὸς τὰς μάχας. οὗτοι οὖν λογάδες ἐκαλοῦντο. καὶ παρὰ τὸ ἐκλέγω καὶ διαλέγω λεκτός. ἀπὸ μὲν οὖν τοῦ λέγω λεκτός, καὶ ἐκλεκτός, σύνθετον ὀξύτονον. ἀπὸ δὲ τοῦ ἐκλέγω συνθέτου παρασύνθετον, διάλεκτος, βαρύνεται. ἔστιν εἰς τὸ λύχνος. λοβοὶ λέγονται, ἐπειδὴ μαρτυρόμενοι τινὶ λαμβανόμεθα αὐτῶν. οἱ δὲ ὅτι λωβώμενοί τινας, ἀπέτεμνον ταῦτα.

Λογεῖον, σημαίνει εἶδος κρατῆρος. καὶ τὸν τόπον τοῦ θε < μέρη. άτρου. ὥσπερ γὰρ ἀπὸ τοῦ ᾄδω γίνεται ᾠδεῖον, κείρω κουρεῖον, σκάφω σκαφεῖον, γράφω, γραφεῖον, οὕτω καὶ ἀπὸ τοῦ λέγω λογεῖον. καὶ γὰρ τὰ ἀπὸ τῶν εἰς ω ῥημάτων διὰ τοῦ εῖον παραγόμενα, προπερισπᾶται, καὶ διὰ τῆς ει διφθόγγου γράφεται.

Λογισταί, ἄρχοντες εἰσὶ κληρωτοὶ δέκα. ἐφ' ὧν πάντες οἱ ἄρξαντες ἀρχήν τινα λόγον ἀπέφερον τῶν διῳκημένων.

Λόγχας. λόγχας τὰς μερίδας Ἴωνες λέγουσιν. Ἴων ἐν Κινήτῃ σειεκ τῆς τέω λόγχης λόγχας ποιεῖ. εἴρηται δὲ παρὰ τὴν λῆξιν λαχεῖν τινα οὖσαν. ἢ κατὰ μετάθεσιν τοῦ α εἰς ο, καὶ πλεονασμῷ τοῦ γ, λόγχη. παρὰ τὴν λόγχην, καὶ ῥῆμα λογχῶ. ὁ παρακείμενος λελόγχηκα. ὁ μέσος παρακείμενος, λέλογχα.

Λογγών, ἐν Συρακούσαις λιμένες εἰσὶ δίπλοι λογχῶνες. λογγῶνες δὲ καλοῦνται, οἱ ἐπὶ τῶν λιμένων ἐντετριμμένοι λίθοι. οὓς τρυπῶσιν, ἵν' ἐξαρτῶσι τὰ σχοινία τῶν νεῶν ἐξ αὐτῶν. τοὺς δὲ τοιούτους λίθους καὶ λογγάσια ἔλεγον.

Λοξίας, ὁ Ἀπόλλων. ὡς μὲν οἱ Πυθαγορικοί, ἀπὸ τοῦ λοξὴν ἔχειν τὴν ἰαν. τουτέστι τὴν φωνήν. ἢ παρὰ τὸ λοξῶς ἰέναι τὸν ἥλιον διὰ τοῦ ζωδιακοῦ. καὶ λοξίας, ὁ λοξὴν κίνησιν κινούμενος. ὁ αὐτὸς γὰρ τῷ ἡλίῳ. τὸ δὲ λοξός, παρὰ τὸ λέχος κοίτη.

Λοπός, τὸ λέπισμα. παρὰ τὸ λέπω ῥῆμα. Ὅμηρος. Οἷον δὲ κρομύοιο λοπός.

Λόφος, ὁ ὑψηλὸς τοῦ ὄρους τόπος. παρὰ τὸ λέπω τὸ λεπτύνω. ἔνθεν καὶ λοπὸς ὁ τοῦ κρομύου λεπτόν. ἢ λόφοι πάντα τὰ μετέωρα, καὶ εἰς ὕψος ἀνέχοντα. ἀπὸ μεταφορᾶς τῶν βοῶν. λόφος γάρ ἐπ' αὐτῶν ἀπὸ τοῦ λέπεσθαι καὶ ἐκδέρεσθαι. παρὰ τὸ λέπω τὸ λεπίζω λόπος καὶ λόφος. ἀπὸ τούτου γὰρ τοῦ μέρους ἄρχονται ἐκδέρειν τὰ ζῷα. σημαίνει καὶ τὸν τράχηλον. ὥσπερ, Ἐσβάντες κνήμας τε ἠδὲ λόφον ἀμφί τε μηρούς. νῦν αὐχένα. τράχηλον. λέγεται καὶ λοφιὴ θηλυκῶς. σημαίνει ἄκρον. καὶ τὸ ἐπανάστημα τῆς περικεφαλαίας. ὡς τό, Ἄκρον ὕπερ λόφον αὐτόν. καί, Δεινὸν δὲ λόφος καθύπερ-

Λοφνίς. Τεὰς ἀνὰ λοφνίδας ἴσχον. < θεν ἔνευεν. τὰς λαμπάδας. κυρίως δὲ λοφνίδες λέγονται αἱ μονόξυλοι λαμπάδες, καὶ δαλοὶ παραπλήσιοι δὲ δέ κατασκευῆς τινος καὶ κόσμου γεγονυῖαι. λαμπάδες δὲ αἱ ὅπως δήποτε κατεσκευασμέναι καὶ ἀνακόσμως δεδεμέναι ὦσι. καὶ Ὅμηρος δὲ τὰς λέξεις ἴσως μὲν οὐκ αὐτάς, ἀλλὰ τὸ πῦρ τὸ δι' αὐτῶν. ἔνιοι δὲ λοφνίδας λέγουσι, τὰς ἐκ τοῦ φλοιοῦ τῆς ἀμπέλου γινομένας.

Λόχος, ἡ ἐνέδρα. παρὰ τὸ λέγω τὸ ἐπιλέγομαι. ὅθεν καὶ ἐπίλεκτος. ὅτι τοιοῦτοι ἐπίλεκτοι ἐπελέγοντο εἰς τὰς ἐνέδρας. ἢ παρὰ τὸ λέχος. οἱ γὰρ λοχῶντες οἱονεὶ κοιτάζονται, καὶ ὥσπερ εἰς λέχος ἀνακλίνονται, ἵνα ἀθεώρητοι ὦσιν. Ὣς ἄρα φωνήσαντε παρὲξ ὁδοῦ ἐν νεκύεσσι κλινθήτην. Ἰλιάδος κ. παρὰ τὸ λόχος γίνεται λοχίτης. καὶ σημαίνει τὸν ἐνεδρεύοντα. τὰ δὲ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιτης γινόμενα διὰ τοῦ ι γράφεται. τόπος, τοπίτης. στύλος στυλίτης. τέμενος, τεμενίτης. ἐκ τοῦ λέχους, γίνεται λοχῶ, λοχήσω.

Λόχμη, θάμνος. ὕλη. σύνδενδρος τόπος. παρὰ τὸ λοχᾶν ἐν αὐτῷ, τουτέστιν ἐνεδρεύειν ἐν τοῖς τοιούτοις τόποις. λοχῶ οὖν λόχη, καὶ πλεονασμῷ λόχμη. ὁ δὲ Φιλόξενος, παρὰ τὸ λάζω ῥῆμα. εὐληπτοτέρων ὄντων τῶν δασέων. ὁ μέλλων, λάξω. ὄνομα λαγμός. ὡς παρὰ τὸ κράζω κράξω κραγμός. τοῦ δὲ γ εἰς τὸ χ μεταπεσόντος, λαχμός. τούτου τὸ θηλυκόν, λόχμη.

Λώβη, ἡ ὕβρις, ἡ ἐπὶ κακῷ περιβόητος. παρὰ τὸ λῶ τὸ θέλω κατὰ ἀντίφρασιν, ἣν οὐδεὶς θέλει. ἢ παρὰ τὸ βλάβη. ἢ ἐκ τοῦ λωβός. τοῦτο ἐκ τοῦ λοβός τοῦ διὰ τοῦ ο μικροῦ κατ' ἔκτασιν. ἀπὸ μεταφορᾶς τῶν ἠκρωτηριασμένων. οἱ γὰρ παλαιοὶ τοὺς ἐπί τινι ἁμαρτήματι ἁλόντας ἐνυβρίζοντες, τὰ ἄκρα τῶν ὤτων ἀπέτεμνον. ὡς καὶ ὁ ποιητὴς πρὸς τὸν Ἶριν. καὶ ταῦτα ὁ Ὠρίων. ὁ δὲ Ἡρωδιανὸς λέγει, ὅτι ἐκ τοῦ λαβή, ὃ σημαίνει τὸ ξίφος γίνεται λάβη. καὶ τροπῇ τοῦ α εἰς ω, λώβη. ὡς φάρος φωριαμός. τὸ λω, μέγα. τὰ εἰς βη λήγοντα δισύλλαβα βαρύτονα φύσει μακρᾷ θέλουσι παραλήγεσθαι.

Λώϊον, παρὰ τὸ λῶ τὸ θέλω. < οἷον, ἥβη. θήβη. σίβη. καὶ τὸ συγκριτικὸν λώων, ὡς ῥάων. καὶ ὄνομα ἐξ αὐτοῦ λώϊος, καὶ λώϊον. τὸ γὰρ καλόν, πάντες θέλομεν. κρεῖσσον. βέλτιον. ὃ γὰρ νοεῖ τις ἑαυτῷ συμφέρον τοῦ-

Λῷστοι, βέλτιστοι. ἠγαπημένοι. πεπο- < το καὶ θέλει. θημένοι. ἔστι δὲ ὄνομα ὑπερθετικὸν ἀπὸ τοῦ λῶος.

Λῶμα, τὸ γυναικεῖον οὗ ὑπὸ Ἀττικῶν ὄχθοβος λέγεται. λῶμα λέγεται καὶ τὸ εἰς τὸ κατώτερον τοῦ ἱματίου ἐπίβλημα, ἐκ βύσσου καὶ πορφύρας καὶ κόκκου.

Λῶπος, τὸ ἱμάτιον. ἀναλογεῖ γὰρ τῇ λωπίᾳ τῷ δέρματι.

Λωτεῦντα, ἀνθοῦντα. ἤγουν λωτὸν ἔχοντα. λωτὸς δέ ἐστιν εἶδος βοτάνης. ἀπὸ τοῦ λωτὸς καθ' ὑπόθεσιν λωτέοντα. καὶ κράσει τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον λωτεῦντα. εἰ γὰρ ἦν ἀπὸ τοῦ λωτέοντα, λωτοῦντα

Λωφῶ λωφήσω, πρώτης συζυγίας < ὤφειλεν εἶναι. δεῦ. κυρίως δὲ λωφῆσαι τὸ παύεσθαι ἐπὶ τῶν ὑποζυγίων τὸ ἀποθέσθαι ἀπὸ τοῦ λόφου τὸν ζυγόν, καὶ ἀπολύεσθαι ἀπὸ τῶν ἔργων. ἐκ τοῦ οὖν λόφος, λοφῶ κατ' ἔκτασιν τοῦ ο εἰς ω. καὶ ἔστιν ἡ λέξις μεταφορικὴ ἀπὸ τῶν βοῶν τῶν ὑπὸ λόφον, ἢ ἐν τῷ λόφῳ ἀναπαυομένων ἡνίκα ἀνεθῶσι τοῦ ζυγοῦ. ὡς τό Τειρόμενοι καμάτῳ μετελώφεον. σημαίνει τὸ παύω. καὶ λωφήσασα, παυσαμένη. λήξασα. μετενήνεκται ἡ λέξις, ἀπὸ τῶν τὰ φορτία κατατιθεμένων.

Λυαῖος, ἀπὸ τῆς λύσεως τοῦ ῥάμματος. προσερράφη γὰρ τῷ μηρῷ τοῦ Διός. ἢ παρὰ τὸ λύεσθαι τῷ οἴνῳ τοὺς με-

Λυγαῖον, τὸ φοβερόν, ἢ τὸ σκοτει- < θυσκομένους. νόν. παρὰ τὸ λύειν τὸ αὖγος, καὶ μὴ ἐᾶν στῆναι αὐτό. καὶ Ὅμηρος, Νύχθ' ὑπολυγαίην.

Λύγος, τὸ σκότος οὐδετέρως. ἀπὸ τοῦ λύειν τὴν αὐγήν. καὶ τὸ κρύπτεσθαι, ὑπολυγίζεσθαι λέγουσι. σημαίνει δὲ καὶ φυτόν. ὡς ἐν τῷ μ στοιχείῳ εἰσόμεθα.

Λύθρος, τὸ μετὰ κονιορτοῦ αἷμα. κυρίως τὸ τοῦ λύματος καὶ καθάρματος δεόμενον. λέγεται καὶ ἡ ἀκαθαρσία.

Λύη, ἐπὶ τῆς στάσεως. παρὰ τὸ λύειν τὴν ὁμόνοιαν. καὶ λύμη ἡ φθορὰ ἡ λύουσα τὸ σῶμα. ὅθεν καὶ λυμαίνω.

Λυκεῖα, ἀγὼν ἐν Ῥώμῃ. συνήθεια δέ ἐστιν αὐτοῖς δορὰς

ἐπάθλου δίδοται.

Λύκιον, τόπος ἔξωθεν Ἰταλίας. ἔνθα λύκος ἐπιὼν τοῖς τοῦ πόλεως βουσὶν, ἀπελιθώθη.

Λυκόφως, τινὲς λυκόφως τὸ σκοτεινὸν, οἷον διαλελυμένον φάος. ἢ αὐγὴ διαλυθεῖσα. ἢ λυκόφως λέγεται, τὸ μετέχον σκότους καὶ φωτός. ἀπὸ μεταφορᾶς τῶν τριχῶν τῶν λύκων. αἵτινες τὸ μὲν κάτω μέρος τὸ πρὸς τῷ δέρματι λευκὸν ἔχουσι. τὸ δὲ ἄνω, μέλαν.

Λύμη, φθορά τις ἐστὶν τῆς ψυχῆς διαβαίνουσα. παρὰ τὸ λύω. σημαίνει δὲ τὴν ἀκαθαρσίαν.

Λυμαντὴρ, δαιτῶν ἀπὸ λυμαντῆρα. ἢ ἀπὸ παρέλκει. λυμαντῆρα τὸν καθαρτῆρα τῶν δαιτῶν. τὸν ἐκ τῶν σκυβάλων τὰ βρώσιμα ἀποκαθαίροντα. ἢ τὸν ἐσθίοντα καὶ λυμαίνοντα τὰς δαῖτας.

Λυκώρεια, πόλις δελφίδος, ἐν ᾗ τιμᾶται ὁ ἀπόλλων ἀπὸ λυκώρου κτίσαντος αὐτὴν υἱοῦ κωρυκείας. οἰκούντων ἐν τῷ παρνασῷ. καὶ τὸ παρακείμενον ὄρος ἐκάλεσε κωρύκιον, ἀπὸ τῆς ἑαυτοῦ μητρὸς κωρυκείας.

Λύπη, παρὰ τὸ λύειν εἰς δάκρυα τοὺς ὦπας, λυώπη τις οὖσα. ἢ διὰ τὸ λυμαίνεσθαι δι' αὐτῆς τοὺς ὦπας. οὕτω σωρανός. ὁ δὲ ἡρωδιανός παρὰ τὸ λύω, λύη καὶ πλεονασμῷ τοῦ π, λύπη. λύσις γὰρ ψυχῆς τὸ πάθος τὸ λυπηρόν. διαιρεῖται δὲ εἰς δ. εἰς ἄχος. ἄχθος. φθόνον. καὶ ἔλεον. ἢ λύπη, λείπη τις. παρὰ τὸ λείπεσθαι τὸ συνίσταται.

Λύτρον, παρὰ τὸ λύω λύσω, ὅθεν καὶ λύρα. λύρα τις οὖσα. ἐδόθη γὰρ τῷ ἀπόλλωνι παρὰ τοῦ ἑρμοῦ, ὑπὲρ ὧν ἔκλεψε βοῶν τοῦ ἀπόλλωνος ὁ ἑρμῆς.

Λύσσα, ἡ μανία. παρὰ τὸ λύειν τὸν νοῦν. παρὰ τὴν λύσιν τῶν κατὰ ψυχὴν λογισμῶν, καὶ τοῦ παλαιοῦ τῶν φρενῶν καταστήματος. ἢ παρὰ τὸ ἀφέτους εἶναι τοὺς κατεχομένους ὑπ' αὐτῆς.

Λῦτο. λῦτο δ' ἀγών. Ἰλιάδος ω. ἔστι μὲν μέσος ἀόριστος β' ἀπὸ τῶν εἰς μι, ὥσπερ ἤδη ἐπίσταται λέγεσθαι, οἱ Νῦν δ' ἐλύμην ἱστὸς ὅσσα πορών. καὶ Τῆς δ' ἄρα κλαιούσης λῦτο γούνατα, ἔκτασις ἐγένετο διὰ τὸ μέτρον. εἰ δὲ παρατατικὸν τινὲς ἐκδέχονται, δύναται εἶναι κρᾶσις ἀπὸ τοῦ ἐλύετο λῦτο. ὡς τὸ ἐρύεσθαι ἐρῦσθαι. καὶ ἰχθύες ἰχθῦς. ἢ ἀπὸ τοῦ λέλυτο, ὡς βέβλητο, βλῆτο.

Λύχνος, ἀρσενικῶς. λέγεται καὶ τὸ λύχνον οὐδετέρως ὡς παρὰ ἱππώνακτι. παρὰ τὸ λύειν τὸ νύχος τουτέστι τὸ σκότος, λυόνυχος καὶ λύχνος. οὕτως ἀριστόνικος ἐν τῷ περὶ σημείων τοῦ ὁμήρου.

Λογχάδες, τὰ ἄκρα τῶν ὀφθαλμῶν λευκά. καλλίμαχος. Ὅς τις ἀλιτροὺς αὐγάζειν, καθαραῖς οὐ δύναται λογχάσιν. εἴρηται δὲ οἷον λοχάδες τινὲς αἷς, αἱ κόραι λοχῶσι, καὶ οἷον λέχος ἐστὶν αὐταῖς. ἢ οἷον λευκάδες κατὰ συγγένειαν τοῦ κ πρὸς τὸ γ. ἢ ὅτι λοξοῦνται ἐν τῷ βλέπειν κατὰ τὰς ἐπιστροφάς. σώφρων ἐν θυννοθήραις. λοξῶν τὰς λογχάδας. οὕτω σωρανός.

Λύχνα, ὡς παρὰ καλλιμάχῳ. λύχνα φανείη κατὰ μεταπλασμόν. οὐδὲ γάρ ἐστιν εὐθεῖα τὸ λύχνον, ὥσπερ οὐδὲ τὸ δάκτυλον. ἀλλ' ἀπὸ τοῦ ὁ λύχνος οἱ λύχνοι μεταπλασμὸς γένους, τὰ λύχνα. ὡς ὁ δάκτυλος οἱ δάκτυλοι τὰ δάκτυλα. δεῖ δὲ εἰδέναι ὡς ὁ τοιοῦτος μεταπλασμὸς ἐπὶ προσηγορικοῦ γίνεται ὀνόματος. ἔνθα μὴ δύναται ἐν τῇ εὐθείᾳ τοῦ οὐδετέρου τὴν θηλυκὴν παραδέξασθαι. ἐν γὰρ τοῖς ἐπιθέτοις πάντα κατὰ ἀναλογίαν ἀποτελεῖται, τὸ οὐδέτερον ἐν παρασχηματισμῷ, ὁ καλός. τὸ καλόν. διὸ καὶ τὴν εὐθεῖαν τῶν πληθυντικῶν τὰ καλὰ οὐ φαμὲν μεταπλασμὸν ἀπὸ τοῦ οἱ καλοὶ ἀρσενικοῦ, πληθυντικοῦ γενομένην. πρόσκειται γὰρ ἡ εὐθεῖα ἑνικὴ τοῦ οὐδετέρου ἀνάλογος :–

ΤΕΛΟΣ ΤΟΥ ΛΑΜΒΔΑ ΣΤΟΙΧΕΙΟΥ :–

ΙC
ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ ΜΥ ΣΤΟΙΧΕΙΟΥ :–

Μῦ τὸ στοιχεῖον, ὅτι μυγμόν τινα ἔχει ἡ τούτου ἐκφώνησις. μυγμὸς δέ ἐστιν ὁ τοῦ μῦ ἦχος διὰ τοῦ μυκτῆρος ἐξερχόμενος.

Μάγιστερ, διδάσκαλε. ἐπιστάτα. λέγεται δὲ καὶ ὁδηγός.

Μάγος, παρὰ τὸ μάσσω τὸ μαλάσσω. ὁ διὰ τῶν μαγικῶν ἐμπλάστρων τὰ μέλλοντα προλέγων.

Μαγγανεία, ἐκ τοῦ μαγγανεύω. τοῦτο παρὰ τὸ μάγγανον. ἐκ δὲ τοῦ ἄγω, ἄγανον καὶ μάγγανον.

Μαγίς, ἡ τράπεζα ἔνθα τὰ μεμαγμένα. μαγὶς δὲ λέγεται παρὰ ἄρατι τὸ σκουτάριον. λέγονται δὲ μαγίδες καὶ οἱ μετὰ πολλοί, ὡς ἀπομάττουσι καὶ καθαίρουσιν. ἔτι μαγίδες, μάζαι. τουτέστιν ἄρτοι, οὓς καταφέρουσιν οἱ εἰς τροφωνίου κατιόντες.

Μάγειρος, παρὰ τὸ μάσσω. ἡρωδιανός. οἷον ὁ τὰς μάζας μερίζων. ὁ δὲ φιλόξενος, πλεονασμὸν λέγει τοῦ μ. παρὰ τὸ ἀγείρειν τὸ συναθροίζειν, ἤτοι δεξιῶν ἀρτύειν, ἐξ ὧν παρασκευάζει ὄψων.

Μαγνῆτις, ὅτι ἡ τὸν σίδηρον ἕλκουσα λίθος καλεῖται σιδηρῖτις καὶ ἡράκλεια καὶ μαγνῆτις καὶ λυδία. σιδηρῖτις μὲν ἀπὸ τῆς δυνάμεως, ἣν περὶ τὰ σίδηρα ἐπιδείκνυται. ἢ βούλει δὲ καὶ ἀπὸ τῆς ὄψεως. ἐμφερὴς γάρ ἐστι κατὰ τὴν χροιὰν ἀργῷ καὶ ἀκαθάρτῳ σιδήρῳ. φασὶ δὲ καὶ διότι ἐξ ἀρχῆς εὕρηται συμμεμιγμένη τοῖς τοῦ σιδήρου μετάλλοις. ἡράκλεια δὲ, ἢ διὰ τὸ ἰσχυρὸν καὶ κρατερὸν τῆς ὁλκῆς, ἢ μᾶλλον διότι περὶ ἡράκλειαν τὸ πρῶτον ἐφάνη. οἱ μὲν περὶ τὴν ἐν πόντῳ φασὶν, οἱ δὲ περὶ τὴν ἐν σαμοθράκῃ. μαγνῆτις δὲ, ὅτι ὥς φασιν ἄνδρες λιθοφόροι μάγνητες εὗρον αὐτῆς τὴν ἐνέργειαν. αἱ γὰρ κρηπῖδες ὡς ἔοικε, λίθοις ἔχουσι βαδιζόντων ἠρέμα.

Μᾶζα, ἡ τροφή. ὅθεν καὶ ὑπομαζᾶ, τὸ ὑποτρυφᾶ. πλουτεῖ. στρηνιᾷ. ἡσίοδος. Μάζαν τ' ἀμολγαίην. ἄρτος. ψωμός. ἀπὸ τοῦ μάσσω τὸ μαλάσσω γίνεται τροπῇ δωρικῇ τῶν δύο σσ εἰς ζ. ἢ παρὰ τὸ μῶ τὸ ζητῶ, γίνεται μάζα, ἡ ζητουμένη τροφή. λέγεται δὲ μάζα, φύραμα γινόμενον ποτὲ μὲν ἐξ ὕδατος, ποτὲ δὲ ἐξ ὀξυκράτου, ἢ ὀξυμέλιτος, ἢ ὑδρομέλιτος. ἔστι γὰρ τρόφιμον. ἀμολγαίην δὲ, τουτέστι κρατίστην. ἀκμαίαν. τὸ γὰρ ἀμολγὸν, ἀντὶ τοῦ ἀκμαίου τίθεται. ἐρατοσθένης δὲ ποιμενικήν.

Μαζονόμιον, ἀγγεῖον ἐν ᾧ ἡ μάζα φυρᾶται. ἢ ξύλινον πινάκιον καὶ κανοῦν.

Μαθητής, ἀπὸ τοῦ ἔμαθον δευτέρου ἀορίστου.

Μακάριος, ἀπὸ τοῦ κὴρ τοῦ σημαίνοντος τὴν θανατηφόρον μοῖραν γίνεται κατὰ παραγωγὴν κήριος, ὁ τῇ φθορᾷ ὑποπεπτωκώς. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀκήριος, ὁ ἐστερημένος τῆς φθορᾶς. καὶ τροπῇ τοῦ η εἰς α καὶ πλεονασμῷ τοῦ μ, μακάριος. πλεονάζει δὲ τὸ μ ἐν πολλαῖς λέξεσιν. ὡς ἐν τῷ μία, καὶ μεσός, καὶ ἄλευρον μάλευρον. μακάριος οὖν ὁ μὴ κηρί, τουτέστι φθορᾷ ὑποκείμενος. ἔστι δὲ εἰδέναι τῶν ὑποπεπτωκότων τῷ ὀνόματι ἐπιθέτου. καὶ λαμβάνεται ἀπὸ ψυχῆς.

Μάκαρ, πόσας εὐθείας ἔχει, τρεῖς. μακάριος, ἀπὸ κοπῆς τῶν δύο συλλαβῶν γίνεται μάκαρ. καὶ μένοντος τοῦ ς γίνεται μάκαρς. μάκαρες, οἱ μὴ πεπτωκότες ὑπὸ κῆραν. οἱ δὲ μακαρῖται οἱ ἀποθανόντες. οἱ ἤδη τὸ μῆκος ἐπιλαμβανόμενοι, οἱ μήκιστοι. ὅθεν καὶ μακραίων, ὁ τύμβος ὁ ἐς μακράν.

Μακάρτατος. ἰστέον ὅτι τὰ συγκριτικὰ σχηματίζονται ἀπὸ τῶν ληγόντων εἰς ων, ἢ εἰς ας, ἢ εἰς ως, ἢ εἰς οις. καὶ ταῦτα ἐὰν φυλάττῃ ῥιγένεσθαι. διὸ παρὰ μεμπτέον σώφρονα λέγοντα. φωρότατος ἀεὶ καπήλοις παρέχεται. οὐ δὲ γὰρ τὰ εἰς ω λήγοντα ῥήματα παρασχηματίζει συγκριτικὸν καὶ ὑπερθετικόν. ἔτι ἀμφότερα νοοῦσιν οἱ λέγοντες μακάρτατος. τὸ μέντοι φέρτερος φέρτατος, βέλτερος βέλτατος, ὕστερος ὕστατος, οὐκ οἴονται εἶναι συγκριτικὰ, ἢ ὑπερθετικά. συμπεπτωκέναι δὲ τοῖς συγκριτικοῖς. ὁμοίως δὲ καὶ τὸ πρότερος. εἰ γὰρ ἀπὸ τοῦ πρῶτος, ὤφειλε διὰ τοῦ ω μεγάλου γράφεσθαι.

Μάκαιρα, ἀπὸ μάχης. ὁ δὲ ἴων καθ' ὁμοιότητα ἀπὸ τοῦ εἰκέναι καὶ ὑποχωρεῖν. δειλὸν γάρ. μάκαιρον οὖν ἡ μακαρία.

Μάκελλα, ἡ μὴ κέλλουσα τοῖς ὀδοῦσι.

Μακκοᾶν, τὸ ἀνοηταίνειν, καὶ μωραίνειν. παρὰ τὸ μὴ καὶ τὸ νοῶ τὸ νοῶ, μηκοῶ. ἔτι κατὰ τὸν κανόνα τὸν λέ-

γοντα. ὅτι ἡ ἐπείσοδος τῶν συμφώνων βραχὺν ποιεῖ, ὡς ἡδὼ ἀμυδάμω, ἐπεισῆλθε τὸ κ καὶ ἐγένετο ἡ κ εἰς α. καὶ ὅτι ἀκκὼ γυνὴ γέγονεν, ἐπὶ μωρίᾳ διαβαλλομένη. ἣν φασὶν ἐνοπτριζομένην τῇ εἰκόνι ὡς ἑτέρᾳ διαλέγεσθαι. ἀκκὼ οὖν ἀκκοῦ. καὶ πλεονασμῷ, μακκοῦ.

Μακρύνω, παρὰ τὸ μακρός. τοῦτο ἐκ τοῦ μῆκος μηκερός. καὶ συγκοπῇ μηκρὸς καὶ μακρός. ἅμα γὰρ τῷ πλεονασμῷ τοῦ συμφώνου ἐγένετο τὸ μακρὸν εἰς βραχύ. ἐτυμολογεῖται παρὰ τὸ μέχρις ἄκρου διήκειν. τουτέστιν ἀρχῆς. τὸ θηλυκὸν μακρά. ἐξ οὗ γίνεται μακρὰν ἐπίῤῥημα τοπικόν, ἢ μεσότητος. τὸ δὲ μακρὰ βιβῶντα, ἐστὶν ἐπίῤῥημα μεσότητος, ἀντὶ τοῦ μεγάλως. τὸ δὲ μακρόθεν ἐπίῤῥημα τοπικόν.

Μέγα, σημαίνει τρία. τὸ πολύ. ὡς τὸ, Νῦν δ᾽ ἐμοὶ μέγ᾽ ἐπέγρετο. σημαίνει καὶ τὸ μεγάλως. ὡς τὸ, Ἦ κε μέγ᾽ οἰμώξειε γέρων. σημαίνει καὶ τὸ ἐπιμῆκες. ὡς τὸ, Μέγα τόξον ἔτεινεν.

Μέγας, σημαίνει δύο. τὸ κύριον ὄνομα, ὡς τὸ, Καὶ Περίμον Μεγάδην. σημαίνει καὶ τὸν πλατὺν καὶ μέγαν. ὡς τό, Οἵ ἑ μέγαν περ ἐόντα. καὶ, Ἥ ὑς τε μέγας τε. γίνεται παρὰ τὸ μὴ ἀπαγορευτικὸν καὶ τὸ γῆ, μήγας τις ὤν, ὁ μὴ ἀεὶ ἐν τῇ γῇ ὤν, ἀλλ᾽ ὑπερέχων αὐτῆς, καὶ εἰς ὕψος ἐπαιρόμενος.

Μεγακήτεα πόντον, τὸν μεγάλα … κήτη ἔχοντα. ἢ ἁπλῶς μέγαν. παρὰ τὸ κῆτος.

Μεγακήτεϊ νηΐ, μεγάλῃ. παρὰ τὸ κῆτος. ἢ μέγα κύτος ἐχούσῃ, ὅ ἐστι πλατεία.

Μεγαλοπρέπεια, ἐκ τοῦ μεγαλοπρεπής. τοῦτο παρὰ τὸ μεγάλως καὶ τὸ πρέπω γίνεται ἐν συνθέσει.

Μεγάλειον, ἐστὶ μύρον ἀπὸ μεγάλου σικελιώτου πρώ-

Μέγαρον, ὁ οἶκος. παρὰ τὸ μεγαί- … του εὑρόντος.

ρω. ἐγκώμιον γὰρ οἴκου τὸ μέγα καὶ ἄξιον φθόνου. τὸ δὲ μεγαίρω, σημαίνει τὸ φθονῶ. καὶ γίνεται παρὰ τὸ μέγα. οἱ γὰρ μεγάλοι φθονοῦνται. ἢ διὰ πλοῦτον καὶ δόξαν, ἢ δι᾽ ἀρετήν.

Μεγήρατα, ἡσίοδος. Θεῶν μεγήρατα τέκνα. μεγάλως ἐπέραστα. ἢ ὑπερήφανα διὰ τὸ κάλλος. ἢ μέγα ἐρίζοντα περὶ κάλλους. ἢ πρὸς οὓς οὐδεὶς δύναται ἐρίσαι, ἀλλὰ μετ᾽ ἀλλήλων ἐρίζειν.

Μέγεθος, παρὰ τὸ μέγα μέγαθος. καὶ τροπῇ μέγεθος.

Μεδέων. Δωδώνης μεδέων. ἀντὶ τοῦ βασιλεύων. ὡς φιλέων. μέδω καὶ ἕδω. εἰσὶ καὶ βαρύτονα καὶ περισπώμενα. ἀναλογώτερα οὖν εἰσὶ τὰ περισπώμενα. καὶ μέδων ὁ βασιλεύς. γέγονε δὲ ἀπὸ μετοχῆς ὄνομα μετοχικόν. τὸ θέμα, μέδω τὸ βασιλεύω. γίνεται παρὰ τὸ ἕζω τὸ καθέζομαι, ἕδων καὶ μέδων ὁ ἑδραίως καθεζόμενος. ἢ παρὰ τὸ μήδω τὸ βουλεύομαι μέδω, οἷς εὐβουλείας δεῖ. ὅθεν καὶ βουληφόροι λέγονται. καὶ μέδοντες, πρόβουλοι. βασιλεῖς.

Μάζεα, τὰ αἰδοῖα, ὅτι μέσα εἰσὶ τῆς οὐρᾶς μέσεα ὄντα. σικελοὶ δὲ καὶ ταραντῖνοι μέσα αὐτὰ ἀποκαλοῦσιν. ἡσίοδος. Καὶ ὑπὸ μέζε᾽ ἔθηκε. ἢ κατὰ μετάθεσιν τοῦ σ εἰς ζ, μέζεα.

Μέθες, ἄφες. βάλε. ἀπὸ τοῦ ἵημι. ὁ δεύτερος ἀόριστος, ἧν. ἡ μετοχή, εἷς ἕντος. τὸ προστακτικὸν ἕς. καὶ μετὰ τῆς μετὰ προθέσεως, μέθες. ἔθει ὤφειλεν εἶναι, ἀλλὰ σεσημείωται.

Μεθέμεν, μεθῆσαι. συγχωρῆσαι. καταλιπεῖν. ἔστι δὲ ἀπαρέμφατον. κατὰ Ἴωνας ἐνεστῶτος. ἀπὸ τοῦ εἶναι πλεονασμῷ τῆς με, ἔμμεναι. καὶ συγκοπῇ ἔμεν. καὶ μετὰ τῆς προθέσεως μεθέμεν. ἢ παρὰ τὸ ἵημι τὸ πέμπω, μεθίημι. ὁ παρατατικός, μεθίην. τὸ πληθυντικὸν μεθίεμεν. καὶ τὸ ἀπαρέμφατον μεθιέμεναι. καὶ κατὰ συγκοπήν, Μεθέμεν χόλον. ἤγουν ἀποπέμψαι τὴν … ὀργήν.

Μεθείω, ἀμελήσω. καταλείψω. ἀπὸ τοῦ μεθῶ μεθείω. ὥστε λῶ λείω.

Μεθίω. τὸ θι, μακρόν. τὰ εἰς ω καθαρὸν βαρύτονα ὑπὲρ δύο συλλαβὰς τῷ ι παραληγόμενα, ἐκτείνεται. τὸ θι, ι. τὰ διὰ τοῦ ιω ῥήματα ὑπὲρ δύο συλλαβὰς κλινόμενα εἰς μι λήγοντα, διὰ τοῦ ι γράφεται.

Μεθύω, γίνεται ἐκ τοῦ μέθυ, ὃ σημαίνει τὸν οἶνον. μέθυ δὲ ὁ οἶνος ἀπὸ τοῦ μεθύειν καὶ ἀμελεῖν τοὺς πίνοντας αὐτόν.

Μεθήμων μεθήμονος, ὁ ἀμελής. ἀπὸ τοῦ μεθῶ μεθήσω, μεθήμων. ὡς δειδήσω, δειδήμων.

Μεθύω, παρὰ τὸ μέθη. τοῦτο παρὰ τὸ μὴ θεῖν ἤγουν τρέχειν. οἱ γὰρ μεθύοντες ἀκίνητοι εἰσί, μέχρις ἂν ἀπομε-

Μέθυσος, παρὰ τὸ μέθυ. τοῦτο παρὰ … θυσθῶσιν.

τὸ μέθη. τοῦτο παρὰ τὸ μεθείω τὸ ἀμελῶ. ἐτυμολογεῖται δὲ παρὰ τὸ ἐνθεῖν, ἤγουν σφαδάζειν.

Μεθυμναῖος, ὁ Διόνυσος. ὅτι Μεθύμνῃ ἦλθεν. τάχα δὲ καὶ παρὰ τὴν μέθην εἴρηται ὡς μεθυδότης.

Μέλαινα, γίνεται ἐκ τοῦ μέλας μέλανος. ὀκνῶ. τὰ εἰς ας ὀνόματα τὰ ἰσοσυλλάβως κλινόμενα, διὰ τοῦ ντ κλίνονται. μέλας, μέλαντος. ἐξ οὗ τὸ, Μελάντερον ἠΰτε πίσσα. τάλας, τάλαντος. ἐπεκράτησε δὲ ἡ συνήθεια διὰ τοῦ ν μόνου αὐτὰ κλίνειν.

Μέλας, ὁ μὴ βλεπόμενος. παρὰ τὸ μή, καὶ τὸ λάω τὸ βλέπω. αἰολικῶς δὲ μέλαις καὶ τάλαις, πλεονασμῷ τοῦ ι. ἐπειδὴ χαίρουσι τῇ βαρείᾳ τάσει ὡς τὸ, πήλευς. χαίρουσι καὶ τῇ βραχυτέρᾳ συστολῇ. τὸ κείρω κέρρω λέγοντες. τούτου χάριν προστιθέασι τὸ ι, ἵνα βραχυτέραν τὴν συλλαβὴν ποιήσωσι. τὸ γὰρ α τὸ μακρὸν μεῖζόν ἐστι τῆς ἐχούσης τὸ ι ἐκφωνούμενον. ἐπὶ δὲ τοῦ αἴας, οὐ πρὸς τὸ ἔθος διὰ τὴν ἐπαλληλίαν. εἰ γὰρ ἰωνικῶς αἴαις, ἀλλ᾽ ἐπάλληλος εὑρίσκετο ἡ καὶ δυσφωνίας καὶ κακόφωνον.

Μελανόχροες κύαμοι, ἰλιάδος ν. τὸ μελάνιππος καὶ μελαγχροίης, παρὰ τὸ μέλαν ἡ σύνθεσις. τὸ δὲ μελανοπτέρυγες καὶ τὰ ὅμοια, παρὰ τὴν μέλανος γενικὴν ἡ σύνθεσις. ὥστε ποτὲ μὲν τὴν γενικὴν λαμβάνουσιν, ὡς τὸ μελανόχροες. ποτὲ δὲ τὸ οὐδέτερον, ὡς τὸ μελαγχαίτης. ὡς ὅταν εὕρωμεν δρυπέτης, ἀπὸ τῆς δρὺς εὐθείας λέγομεν εἶναι. τὸ δὲ δρυοκολάπτης, ἀπὸ τῆς δρυὸς γενικῆς.

Μελαγχρής, ἀπὸ τοῦ μελαγχροίης συγκοπῇ.

Μέλαθρον, κυρίως λέγεται τὸ μέσον τῆς στέγης ξύλον τὸ ὑπόρρυον καλούμενον. ἀπὸ τοῦ μελαίνεσθαι ὑπὸ τοῦ καπνοῦ. ὅταν οὖν εἴπῃ ὅμηρος. Αὐτὴ δ᾽ αἰθαλόεντα ἀναΐξασα ἕζετο, τοῦτο φησὶ δηλοῦν. τινὲς δὲ τὸν ὄροφον, ἢ τὸν οἶκον.

Μελεδών, τηκεδών. κυρίως δὲ μελεδὼν ἐστί, τὸ τὰ μέλη ἔδειν, ὅ ἐστιν ἐσθίειν. οἷον, μελέδειν κατὰ συγκοπήν.

Μελεδῶναι, αἱ τὰ μέλη ἔδουσαι φροντίδες. ὅθεν ἡσίοδος γυιοκόρους αὐτὰς λέγει, τὰς ἕως κόρου τὰ γυῖα ἀναλυούσας. καὶ οἱ αἰολεῖς σαλαγμὸν τὴν ὀδύνην λέγουσιν. ἀποστάζουσι γὰρ καὶ ῥέουσιν. ὅμηρος, Τηκεδόνι στυγερῇ μελέων ἐξείλετο.

Μελεδήματα, μεριμνήματα. φροντίδες. παρὰ τὸ ἔδειν

Μελέαγρος, ἐτυμολογεῖ εὐ- … τὰ μέλη καὶ βλάπτειν. ριπίδης. Μελέαγρε μελέαν γάρ ποτ᾽ ἀγρεύεις ἄγραν

Μέλεον. δὲ τὸ μάταιον. παρὰ τὸ λέω λῶ τὸ θέλω. ὁ μὴ λέομεν. τουτέστιν ὁ μὴ θέλομεν. οὐδεὶς γὰρ θέλει τὸ μάταιον. ἐκ τοῦ λῶ οὖν γίνεται ἤλεος καὶ μήλεος. καὶ συστολῇ τοῦ η εἰς ε, μέλεος. σημαίνει ἄθλιον. ταλαίπωρον. δυστυχῆ. καὶ τὸ θηλυκόν, Μελέη δ᾽ οἱ ἔπλετ᾽ ἀυτή. Ὦ μέλεοι. μὴ τλῆτε παρὲξ ἐμὰ θέσφατα βῆναι, ῥῆβαν ὠκυρόην ποταμὸν ἀκτήν τε μέλαιναν.

Μελετῶν, οἶκος ἐν ᾧ οἱ ῥαψῳδοὶ ἐμελέτων.

Μελετῶ, δευτέρας συζυγίας ἐστί. γίνεται παρὰ τὸ μελέτη. τὰ γὰρ τῆς δευτέρας συζυγίας ὡς ἐπὶ τὸ πλεῖστον ἀπὸ τῶν εἰς η θηλυκῶν γίνονται. τὸ δὲ μελέτη, παρὰ τὸ μέλι καὶ τὸ ἔτεον. ἡ ἀληθινὴ γλυκύτης. τὸ δὲ μέλι, παρὰ τὸ μέλω τὸ φροντίζω. ὃ περὶ πολλοῦ ποιούμεθα καὶ φροντίζομεν. τὸ δὲ μέλω τὸ φροντίζω, δι᾽ ἑνὸς λ. διατί. ἐπειδὴ οὐδέποτε βαρύτονος ἐνεστὼς διὰ ἑνὸς λ ἐκφέρεται. καὶ διὰ τοῦτο τὰ φθάσαντα γενέσθαι βαρύτονα καὶ τὰ ὅμοια, ἄχρι τοῦ παρατατικοῦ κλίνονται, ὡς βαρύτονα. ἀπὸ δὲ τοῦ παρακειμένου ὡς περισπώμενα. μέλω οὖν τὸ φροντίζω. ὡς τὸ, Σοὶ δὲ χρὴ τάδε πάντα μέλειν. ὅθεν καὶ μελέτη. τὰ γὰρ μαθήματα, φροντίδων πολλῶν ἄξια. τὸ δὲ μέλλω. σημαίνει δ. τὸ ὀφείλω. ὡς τὸ, Ὦ μέλλεις εὔχεσθαι ἰὼν ἐς δοῦπον ἀκόντων. καὶ τὸ φαίνω, ὡς τὸ, Οὕτω που Διὶ μέλλει ὑπερμενεῖ φίλον εἶναι. καὶ τὸ πρέπω, ὡς τὸ, Ἔμελλεν ἄρα πολλὰς ἡμῖν ὑποθέσεις. καὶ τὸ βραδύνω. ὡς τὸ, Τί μέλλεις ἀναδύη. καὶ μέλλησις ἡ βραδυτής. καὶ μέλλων ὁ ἐκεῖθεν χρόνος.

Μέλαινα, σημαίνει τρία. τὸ σκοτεινόν. ὡς τό, Ἔλθον νύκτα μέλαιναν. καὶ τὴν σύνεσιν. ὅθεν καὶ, Φρένες ἀμφιμέλαιναι. καὶ τὸ βαθύ, ὅθεν καὶ, Κρήνη μελάνυδρος, ἡ βαθεῖα. τὸ γὰρ μελαίνεσθαι αἴτιον τὸ βάθος. φύσει δὲ μέλαν τὸ ὕδωρ, ἀλλὰ λάμπεται ταῖς ἡλιακαῖς ἀκτῖσι.

Μέλη, ἤτοι συνωνύμως ἀπὸ τοῦ μεμερίσθαι μέρη καὶ μέλη. ἢ ἀπὸ μεταφορᾶς τῶν μουσικῶν μελῶν. ἐπειδὴ παρ᾽ ἐνίοις ἐδόκουν οἱ ἄνθρωποι μετὰ ἁρμονίας συνεστάναι. οὕτω δὲ καὶ τὰ σώματα. τὰ μέλη, ἤτοι συνωνύμως καὶ αὐτὰ μέρη κατὰ μείζονα καὶ ὁλοσχερεστέραν νοούμενα τῇ γραφῇ. ἢ ἀπὸ τῶν κατὰ μουσικὴν μελῶν. ἐπεὶ κατὰ ἁρμονίαν συνίσταται τὸ σῶμα.

Μέλος, κατὰ σύγκρισιν τοῦ ἔπους. τὸ μεμελισμένον. ἢ ἀπὸ τῆς τοῦ μέλιτος γλυκύτητος. μύσιμβλος δέ, τὰς ἐν λέσβῳ γινομένας παρθένους μούσας φησὶ τὰ πένθη φοιτᾶν καὶ θρηνεῖν. ὅθεν ἐπεκράτησε τὰ ᾀδόμενα μέλεα κληθῆναι. οἱ δὲ ἀπὸ τῆς μελιγήρυος. Μελισσοτεύκτων κηρίων ἐμὰ γλυκερώτερα ὀμφαῖος. καὶ ἔστι τὸ μέλος τὸ ἑκάστῳ μεμελημένον. καὶ γὰρ μετὰ φροντίδος σκευάζεται. σημαίνει δύο. τὴν ᾠδήν, παρὰ τὸ μέλω τὸ φροντίζω. ἢ παρὰ τὸ ἔλω τὸ ἐλαύνω. σημαίνει καὶ τὸ μέρος τοῦ σώματος παρὰ τὸ μείρω τὸ μερίζω, μέρος. καὶ τροπῇ μέλος.

Μελίφρονα πυρόν, τὸν ἡδύν. παρὰ τὸ μέλισσα. καὶ μελιηδέα θυμόν, τὴν πρὸς φιλεστάτην ψυχήν.

Μελιηδέα, ἡδέως. ἀρκεῖ γὰρ τὸ μέλι πρὸς τὸ ἐμφανίσαι τὴν ἡδονήν. ὅταν δὲ εἴπῃ τυροῦ καὶ μέλιτι γλυκερῷ, οὐκ ἐκ περιουσίας τοῦτο προσέθηκεν, ἀλλὰ πρὸς ἀντιδιαστολήν. ἐπεὶ πικρὸν γίνεται τὸ μέλι.

Μελιτίδης, καὶ οὗτος τῶν εὐηθῶν, ὡς ὁ μαργίτης, καὶ ὁ κόρυ-

Μέλισσα, παρὰ τὸ μέλειν. οἰκονομικὸν γὰρ τὸ … βος. ζῶον καὶ ἐπιμελές. ἢ ἐκ τοῦ μήλου, ὃ σημαίνει πάντα τὸν καρπόν, μηλίζασά τις οὖσα, ἡ πᾶσιν ἐμφανίζουσα τοῖς μήλοις. ἡ γὰρ μέλισσα τῶν ἀνθῶν τὰ χρησιμώτατα συλλέγουσα, τὸ μέλι ποιεῖ. τὰ μὲν καλὰ ἐκλέγουσα. τὰ δὲ φαῦλα ἀποῤῥίπτουσα. λέγονται δὲ καὶ μέλισσαι καὶ ἱέρειαι παρὰ τῷ ποιητῇ, παρὰ τὴν μέλισσαν τὸ ζῶον καθαρώτατον ὄν. καὶ μελισσονόμοι μελιτουργοί, οἱ τὰς μελίσσας νομοῦντες, τουτέστιν ἐπιμελείας ἀξιοῦντες. ἀπὸ τῶν εἰς αι οἱ αἰολεῖς μελισσάων, οἱ δὲ δωρι-

Μελίχλωρος, ἐπίθετόν ἐστι τοῦ διός. … εἰς πολέων.

Μέλινος, Οἱ μελίνου οὐδοῦ. παρὰ τὸ μελέα μελεῖ-

Μελίνη, εἶδος ὀσπρίου, λέγεται … νος ἀποβολῇ τοῦ ε. θηλυκῶς καὶ ἀρσενικῶς. μέμνηται δημοσθένης. καὶ ἡρόδοτος. καὶ ξενοφῶν.

Μελιταῖα κυνίδια, λέγεται ὅτι πλησίον ἰταλίας νῆσός ἐστι μελίτη ἐξ ἧς γίνεται. ἢ τὰ μικρὰ τὰ ἐπιμελείας χρείαν ἔχοντα. παρὰ τὸ μέλω τὸ φροντίζω.

Μέλος, ἡ ᾠδή, ἀπὸ μεταφορᾶς τῶν μελῶν τοῦ σώματος. ὥσπερ καὶ ἐπὶ τούτων τὰ μὲν ἐστὶ βραχέα, τὰ δὲ μακρά. καὶ τὰ μὲν εἰσὶν εἰς ἐργασίαν ὡς ἐπὶ τῶν χειρῶν. τὰ δὲ εἰς τὸ περιπατεῖν, ὡς ἐπὶ τῶν ποδῶν καὶ τὰ ὅμοια, οὕτως ἐπὶ τούτων τὰ μὲν εἰσὶν ὀξύφωνα. τὰ δὲ βαρύφωνα. καὶ οὕτως ἀποτελοῦσι τὴν τῶν ὀργάνων φωνήν.

Μέλλω τὸ βραδύνω. παρὰ τὸ μῶ τὸ ζητῶ. κατὰ παραγωγὴν γίνεται μέλλω. καὶ γὰρ ὁ βραδύνων, ἀεὶ ἐν ζητήσει ἐστίν. ἢ παρὰ τὸ τὰ μέλη ἔδειν. ὁ γὰρ φροντίζων, τήκεται ὑπὸ φροντίδων. καὶ ἀμελῆσαι, τὸ ἀφροντιστῆσαι.

Μελύγιον, πομάτιον σκυθικὸν γινόμενον ἐκ μόνου μέλιτος μεθ' ὕδατος βοτάνης τινὸς ἐμβαλομένης.

Μελπήθρα, παίγνια. παρὰ τὸ μέλπω τὸ παίζω. Δηίω μέλπεσθαι ἄρηϊ. κυρίως παίζειν. νῦν δὲ κινεῖσθαι εὐχερῶς, ἤγουν πεπεῖσθαι εὐχερῶς καὶ ἐμπείρως κατὰ τὴν μάχην. ἢ κινεῖσθαι καθάπερ παίζοντα καὶ ὀρχεῖσθαι. γίνεται παρὰ τὸ τὰ μέλη ἤγουν τοῖς ῥυθμοῖς ἐπάγειν ἤτοι λέγειν.

Μέλπω, τὸ ὑμνῶ. ἐξ οὗ καὶ μολπὴ ἡ ᾠδὴ καὶ ὁ ὕμνος.

Μέλποντες ἑκάεργον, ἀντὶ τοῦ ὑμνοῦντες.

Μελχισεδέκ. τὸ χι, ι. ἀπὸ παραδόσεως. μελχὶ λέγεται βασιλεὺς τὸ σεδέκ, εἰρήνη. λέγεται οὖν βασιλεὺς εἰρήνης. καὶ ἀνάγεται εἰς τὸν Χριστόν.

Μεμαῶτες, προθυμούμενοι. παρὰ τὸ μέμνω, ὃ δηλοῖ τὸ προθυμοῦμαι. ὁ μέλλων μεμῶ. ὅθεν καὶ μέμονα, ὁ μέσος παρακείμενος. Ἀλλ' ἄγε πῶς μέμονας, πῶς προθυμῇ. τούτου ὁ μέσος παρακείμενος μέμακα, ἢ μέμεικα. καὶ κατὰ συγκοπὴν μεμακώς. καὶ ἀποβολῇ μεμαώς. κλίνεται μεμαότος μεμῶτος, κατὰ συναίρεσιν. καὶ πλεονασμῷ τοῦ α ποιητικῶς. μεμαῶτος. τὸ θηλυκὸν μεμαῶσα, ἢ μεμαυῖα. ἔστιν εἰς τὸ γεγαυῖα. ἢ ἀπὸ τοῦ μῶ μάσω, ἀφ' οὗ μεμάκασιν. ἀποβολῇ τοῦ κ. ἢ ἀπὸ τοῦ μῶ, μήσω. μέμηκα, μεμηκώς. κατὰ συστολὴν καὶ ἀποβολὴν με-

Μέμβλωκε. Τῷ δ' αὐτῷ φίλῳ Ἀφροδίτη ... μαώς
ἀεὶ παρμέμβλωκεν. Ἰλιάδος δ. ἀντὶ τοῦ παραμένει. πάρεστιν. ἀπὸ τοῦ μολῶ μολήσω μεμόληκα, καὶ κατὰ συγκοπήν, μέμληκα. καὶ διὰ τὸ ἀσύντακτον πλεονασμῷ τοῦ β, γίνεται μέμβληκα. καὶ τροπῇ τοῦ η εἰς ω, μέμβλωκα. ἢ ἀπὸ τοῦ μέλω μεμέληκα καὶ μεμέλωκα. καὶ κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ β, μέμβλωκα.

Μέμβλεται, ἐν φροντίδι ἐστίν. ἀπὸ τοῦ μέλω. καὶ μέμβλεσθαι, τὸ ἐπιμελεῖσθαι.

Μεμόρηται. μορῶ, μορήσω, μεμόρηκα μεμόρημαι μεμόρηται. καὶ ἰωνικῶς μεμορέαται, παρὰ ἱππώνακτι. Ὁ μὲν οὖν βόσπορος καὶ ὁ πόντος κατὰ πάντα-

Μεμηλώς, παρὰ τὸ μέλω τὸ ... μοι μεμορέαται.
φροντίζω. ὁ μέσος παρακείμενος μέμελα. καὶ κατὰ τὴν ἐπέκτασιν γίνεται μέμηλα. ὅθεν ἡ μετοχή. ἢ ἀπὸ τοῦ μεμέληκα γέγονεν. Ἰλιάδος ε. Μέγα πλούτοιο μεμηλώς. ἀντὶ τοῦ πάνυ πεφροντικὼς τοῦ πλούτου, καὶ ἐπιμε-

Μεμνῇτο, ἀπὸ τοῦ μνῶ. κατὰ συγ- ... λείαν αὐτοῦ ἔχων.
κοπήν, μνῶ μνήσω, μέμνηκα, μέμνημαι. τὸ εὐκτικόν, μεμνήμην μεμνῇο μεμνῇτο.

Μέμνη. ἔστιν εἰς τὸ κάθη. Μεμνέωτο. Ὡς μεμνέωτο δρόμους. Ἰλιάδος ψ. ὅπως ἐπισκοποίη καὶ ἐπιμελοῖτο τοῦ δρόμου, μή τις περὶ τὸν καμπτῆρα πανουργήσῃ. προπαροξύνεται καὶ σὺν τῷ ι γράφεται. ἀπὸ τοῦ μεμνέοιτο. αὐξήσει τοῦ ο εἰς ω, μεμνέωτο. ξενοφάνης δὲ μεμνῷτο ἄνευ τοῦ ε. κράτης δὲ μεμνοῖτο. τὸ δὲ ἀνάλογον μεμνῆτο διὰ τοῦ η προσκειμένου τοῦ ι. πίνδαρος δὲ δωρικώτερον διὰ τῆς αι, μεμναίατο.

Μεμυκέναι, κρύψαι, κολλῆσαι, ἢ καμμῦσαι. σημαίνει δὲ ἠχῆσαι. ἀπὸ τοῦ μυκῶ. ὁ μέλλων, μυκήσω. ὁ παρακείμενος, μεμύκηκα. ὁ μέσος, μέμυκα. τὸ τρίτον, μέμυκε. καὶ τὸ παρέμφατον, μεμυκέναι. ἡ ὁδός. Μέμυκε δὲ γαῖα καὶ ὕλη, ἀντὶ τοῦ ἤχησεν. εἰ μὲν οὖν σημαίνει τὸ ἠχοῦν οἱονεὶ ἀποτελεῖν, ἀπὸ τοῦ μυκῶ ἐστιν. εἰ δὲ δηλοῖ τὸ συνεσφίγχθαι καὶ πεπιλῆσθαι, ἀπὸ τοῦ κρύοις, δηλονότι ἀπὸ τοῦ μύω ἐστί. καὶ ὅμηρος Ἰλιάδος ε. Αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ. ἀντὶ τοῦ ἤχησαν. ἀνεῴχθησαν. ἀπὸ τοῦ παρα-

Μέμφομαι. μέμφεται. καὶ ἀποβολῇ ... κολουθοῦντος.
τοῦ τ, μέμφεαι. ἐνεργητικὸν οὐκ ἔχει. τοῦτο γίνεται ἐκ τοῦ μομφή. παρὰ τὸ μέμφω τὸ λαμβάνω.

Μενέλας. Μενέλας τε καὶ Ἀγαμέμνων. ἀπὸ τοῦ μενέλαος. ἀμφίβολον. εἴτε συγκοπῇ μενέλας καὶ ἀδελύρας, εἴτε κράσει τοῦ ο καὶ α εἰς α μακρόν. ὡς ἐλέξαο ἐλέξα. ἐπρίαο, ἐπρία. ἐπαιδεύσαο, ἐπαίδευσα.

Μενέσθης. ὡς ἀπὸ τοῦ ἔργος γίνεται ἀργέστης, οὕτω καὶ παρὰ τὸ μένος μενέστης, καὶ μενεσθῆς κατὰ τροπήν.

Μεννέας. ὡς παρὰ τὸ θράσος θρασέας, καὶ θάλος θαλέας, οὕτω καὶ παρὰ τὸ μένος μενέας. καὶ πλεονασμῷ τοῦ ν μεννέας.

Μέταβος, υἱὸς ἀλίβαντος. ἡρακλέα λέγεται περὶ τὰς γηρυόνου βοῦς ἀπιόντα ξενισθῆναι παρὰ ἀλύβαντι. καὶ τότε γεννηθῆναι τὸ παιδίον. καὶ διὰ τοῦτο μέταβον προσαγορευθῆναι, ἐπεὶ μετὰ τὰς βοῦς τοῦ γηρυόνου εἴη.

Μένω, τὸ προθυμοῦμαι. ἐξ οὗ καὶ μένος. μένω, τὸ ἐπιμένω. καὶ μῆνις, ἡ πολυχρόνιος μνησικακία. ταῦτα διὰ τοῦ ε ψιλοῦ. μαίνω δέ, τὸ ὀργίζομαι. διὰ διφθόγγου.

Μενέλαος, παρὰ τὸ μένος ὃ σημαίνει τὴν ψυχικὴν προθυμίαν καὶ τὸ λαός, γίνεται μενόσλαος. ἀλλὰ τὰ εἰς ος ὀνόματα ἐν τῇ συνθέσει τῆς ἐπαγομένης λέξεως τῆς ἀπὸ συμφώνου ἀρχομένης. ἀποβάλλει τὸ ς καὶ φυλάσσει τὸ ο. οἷον, θεός, θεόδωρος. λόγος, λογοποιός. καὶ δῆμος δημοσθένης. καὶ τὸ ἀττικὸν ὁ μενέλεως. πόθεν γίνεται. παρὰ τὸ μένω καὶ τὸ λεώς, καὶ γίνεται μενώλεως. ἀλλὰ τὰ εἰς ω λήγοντα ῥήματα δισύλλαβα βαρύτονα σύνθετα μετὰ τοῦ ἀμεταβόλου, τρέπουσι τὸ ω εἰς ε. οἷον, φέρω, φερέοικος. μένω μενέλαος. πλὴν τοῦ τέρπω, τερπικέραυνος. Δεῖ δὲ γινώσκειν ὅτι οὐ πάντοτε ποιοῦσιν οἱ ἀττικοὶ ἰδίαν κλίσιν, ἀλλ' ἐπὶ τῶν ἐκτεταμένων ἐχόντων τὸ

Μένος, παρὰ τὸ μένω τὸ παραμένω, μένος. ὡς παρὰ τὸ ... α.
θένω, θένος. σημαίνει δ΄. ἐπὶ μὲν τοῦ θυμοῦ, Μένος δὲ μέγα φρένες. Ἰλιάδος α. ἀντὶ τοῦ θυμοῦ, ὀργῆς. ἐπὶ δὲ τῆς ἰσχύος, Δῶκε μένος καὶ θάρσος, ἀντὶ τοῦ ἰσχὺν καὶ δύναμιν. καὶ πάλιν. Ἔτι μοι μένος ἔμπεδόν ἐστιν. ἐπὶ δὲ τῆς ψυχῆς, Μένος ἄρκος. περιφραστικῶς ὁ πόλεμος. παρὰ τὸ μένος γίνεται μενεαίνω. καὶ σημαίνει δ΄. ἐπὶ μὲν τοῦ χολοῦσθαι, Οὐδέ τι σε χρὴ ἀσκελὲς αἰεὶ μενεαινέμεν. ἐπὶ δὲ τοῦ προθυμεῖσθαι, Μενέαινε δὲ κῦδος ἀρέσθαι. ἐπὶ δὲ τοῦ λειποψυχεῖν, Κτεινόμενος μενέαινεν.

Μενδήσιος, ἐκ τοῦ μένδης μένδητος μενδήσιος. τροπῇ τοῦ τ εἰς σ. μένδης δὲ λέγεται παρ' αἰγυπτίοις ὁ τράγος. ἢ ὅτι τὸ ἐπικόν ἐστιν, ὡς θαλάσσιος οὐράνιος.

Μενοεικές, τὸ τέρπον καὶ τῇ ψυχῇ εἰκὸς καὶ ἀρεστόν.

Μέντοιγε. ἐπίρρημα μεσότητος. ἐκ τοῦ μὲν καὶ τοῦ τοί παραπληρωματικοῦ συνδέσμου.

Μενοῦνγε, ἐκ δύο συνδέσμων, καὶ σημαίνει τὸ ἀληθές.

Μεριμνῶ, παρὰ τὸ μέριμνα. τοῦτο παρὰ τὸ μερίζω, μερίσω, μεμέρικα, μεμέρισμαι, μέριμνα. ἐτυμολογεῖται δὲ παρὰ τὸ μερίζειν τὸν νοῦν.

Μέρη, ἀπὸ τοῦ μεμερίσθαι, καὶ ἄλλο ἄλλου διαφέρειν. συστα-

Μέρμις, μέρμιθος, τὸ ... τικὰ δὲ τοῦ ὅλου σώματός ἐστι.
σπάρτινον σχοινίον. παρὰ τὸ εἴρω τὸ συμπλέκω, ἔρμις,

Μενθῆραι, αἱ φροντίδες. οἱονεὶ, μενεοθῆραι. ... καὶ μέρμις.
αἱ θηρώμεναι τὸ μένος. τουτέστι τὴν ψυχήν. οὐ γὰρ ἄλλως θηρᾶται ἡ ψυχὴ καὶ κρατεῖται, ἢ ταῖς φροντίσιν.

Μέριμνα. ὡς παρὰ τὸ λεπίζω γίνεται λέπαδνα, οὕτω καὶ παρὰ τὸ μερίζω μέριδνα. καὶ τροπῇ τοῦ δ εἰς μ.

Μερμήρα ἔργα, τὰ μερίμνης καὶ φροντίδος ἄξια ἔργα,

Μερμήριξε, παρὰ τὸ μείρω τὸ μερί- ... οἱ χαλεπά.
ζω, ἀφ' οὗ τὸ φροντίζω. ἀλλ' ὅτε μερμήριξεν, εἰς μέρη ἐμέριζεν. ἐμερίμνα. ἡ διάνοια μὴ ἑδραία. μέριμνα δὲ ἡ μεριζομένη. ἀπὸ τοῦ μερίζω διπλασιασμῷ καὶ τροπῇ τοῦ ζ εἰς η, μερμηρίζω. οἱ γὰρ φροντίζοντες, μερίζουσι τὴν γνώμην. ἀπὸ τοῦ ἐπὶ τάδε καὶ τάδε μερίζεσθαι τὴν ψυχὴν τοῦ μεριμνῶντος. ὅθεν μέρμηρας τὰς μερίμνας ἔνιοι λέγουσι. τὸ δὲ μερίζω, παρὰ τὸ μείρω μερῶ μερίζω. ἢ παρὰ τὸ μέρος. τοῦτο παρὰ τὸ μερίζεσθαι πρὸς τὸ ὅλον. ἢ παρὰ τὸ μείρω. μερίζεται γὰρ κατ' ἔκτασιν τὰ μέρη τὸ σῶμα. καὶ τὸ μηρὸς δὲ ὁμοίως.

Μέροψ, συνώνυμον. γίνεται παρὰ τὸ μείρω τὸ μερίζω. ὁ μεμερισμένην τὴν ὄπα, ὅ ἐστι τὴν φωνὴν ἔχων καὶ ἔναρθρον, ὡς πρὸς σύγκρισιν τῶν ἄλλων ζώων. ἐπειδὴ ἐὰν εἴπω ἄνθρωπος, μερίζεται εἰς συλλαβάς. ἢ ὅτι οὐ πάντες τὴν αὐτὴν φωνὴν ἔχουσι.

Μέσος, παρὰ τὸ μερίζω μερίσω, μεριστός. καὶ συγκοπῇ, μέσος. ἐτυμολογεῖται δὲ παρὰ τὸ τὰ μέρη ἴσα ἔχειν. ὅθεν καὶ μεσίτης ὁ μεσάζων.

Μεστός παρὰ τὸ ἔω τὸ πληρῶ. ὁ μέλλων, ἔσω. ἐκ τούτου ἐστός ὁ πλήρης. καὶ πλεονασμῷ τοῦ μ, μεστός. καὶ οὐδέτερον

Μεταλλῶ, δευτέρας συζυγίας ... μεστόν, τὸ πλῆρες.
τῶν περισπωμένων. καὶ σημαίνει τὸ πολυπραγμονῶ. καὶ γίνεται ἐκ τοῦ μέταλλον. καὶ ἐπειδὴ μετέρχονται τὰ μέταλλα πρὸς τὸ μεταλλᾶν. ἐπειδὴ ταῦτα ἐρεύνης οὐ τῆς τυχούσης, ἀλλὰ καὶ τῆς ἀναγκαίας δέονται. μέταλλον δὲ σημαίνει τὸν τόπον ἐν ᾧ ὁ χρυσὸς τίκτεται, ἢ τὴν χρυσῖτιν γῆν. καὶ γίνεται παρὰ τὸ μῶ τὸ ζητῶ. ἀπὸ τοῦ ζητεῖν ἐν αὐτῷ τι. καὶ τὸ ζητεῖν, μεταλλᾶν ἔλεγον. καὶ οἱ ἐργαζόμενοι μεταλλεῖς.

Μετάφρενον. ἡ μετὰ, τὸ ἔσχατον σημαίνει καὶ τὸ ὀπίσω. ὡς τὸ, Μετὰ χίλια καὶ μετὰ θησέα. σημαίνει καὶ τὴν ἄνω σχέσιν. ὡς τὸ, μέτωπον. ὧδε δὲ τὸ ἔσχατον ὡς εἴπομεν. σημαίνει τὸ ἀπὸ τοῦ ἥπατος καὶ τῆς κοιλίας. ἀπὸ γὰρ τούτου δηλονότι ἐκεῖνο.

Μέσος, παρὰ τὸ μετέχειν τοῦ ἴσου.

Μεσόδμη, μεσοδόμη συγκοπῇ.

Μεσαύλιος, ἡ κατὰ τὸν ἀγρὸν ἔπαυλις. ἀττικῶς καὶ τὴν μέσην τοῦ πυλῶνος καὶ τῆς αὐλῆς. ἢ τῆς ἀνδρωνίτιδος καὶ γυναικωνίτιδος.

Μεσότητος. μεσότητος λέγεται εἶναι ἐπιρρήματα, ἀπὸ τοῦ μεταξὺ εἶναι ὀνομάτων, καὶ ῥημάτων. οἷον ἀπὸ τοῦ φιλοσοφῶ, καὶ φιλόσοφος καὶ φιλοσόφως. τοῦτο δ' οὐκ ἀεὶ εὑρίσκεται. διὸ καὶ συκοφαντεῖται. τὸ γὰρ καλῶς καὶ σοφῶς, ῥῆμα οὐκ ἔχει παρακείμενον. βέλτιον οὖν σημειώσεις ποιότητος δηλωτικὰς αὐτὰς καλεῖν. ὥσπερ.

Μέσμα, πόλις κτισθεῖσα ὑπὸ λοκρῶν ὁμωνύμως τῷ

Μετάφρενα, τὰ ὄπισθεν τῆς κε- ... ποταμῷ. ὥσπερ.
φαλῆς. ἤγουν μετὰ τὰς φρένας. ἐν τῇ κεφαλῇ γὰρ αἱ φρένες.

Μεγισπαθεῖν, ἐκ μέρους τὰ πάθη καταδέχεσθαι. συγγι-

Μεσημβρία. παρὰ τὸ μέσος καὶ τὸ ἡμέρα, ... νώσκειν.
γίνεται μεσημερία καὶ μεσημβρία.

Μετάφρενα, τὰ νῶτα. ὅτι ἐξόπισθεν τῶν φρενῶν κεῖται. φρένες δὲ ὑμένες εἰσὶ μεταξὺ τῆς καρδίας καὶ τοῦ

Μεταμέλειν, σχῆμα παρασύνθετον. ἐκ τοῦ ... ἥπατος.
μεταμέλομαι καὶ μετανοῶ καὶ μεταγινώσκω.

Μέτεισι. τὸ θέμα εἶμι. ἡ μετοχὴ εἷς ἕντος. καὶ τὸ ὑποτακτικόν, ὦ, ῇς, ῇ. καὶ πλεονασμῷ τῆς σι συλλαβῆς ῇσι. καὶ τροπῇ τοῦ ε ποιητικῶς, ἔησι καὶ μετέησι.

Μετεωρισμός, ἐκ τοῦ μετεωρίζω. τοῦτο παρὰ τὸ μετέωρος. τοῦτο παρὰ τὸ ἀείρω τὸ κουφίζω. ῥηματικὸν ὄνομα, ἄορος. καὶ τροπῇ τοῦ α εἰς ο, ὄορος. καὶ ἐν ὑπερθέσει, ἔοιρος. καὶ τροπῇ τῆς οι διφθόγγου εἰς ω, ἔωρος. καὶ μετὰ τῆς μετὰ προθέσεως, μετέωρος ὁ κοῦφος. τὸ αὐτὸ δὲ δηλοῖ καὶ τὸ μεταχρόνιος. μετέωρος οὖν, παρὰ τὸ ὦρον

Μεταγάστης, ὁ μέτοικος καὶ φυγάς. ... ὃ σημαίνει τὸν χρόνον.
ἐκ τῆς μετὰ προθέσεως καὶ τοῦ ναστῶ τὸ οἰκῶ.

Μέτρον. ὡς ἀπὸ τοῦ φέρω γίνεται φέτρον, οὕτω καὶ ἀπὸ τοῦ μείρω τὸ μερίζω καὶ ἀριθμῶ, γίνεται μέρτρον. καὶ ἀποβολῇ τοῦ ρ μέτρον, οὕτω καὶ ἀπὸ τοῦ δείρω δέρτρον.

Μέτριον, τὸ ταπεινόν. παρὰ τὸ μετρῶ τὸ ὑποταπεινοῦμαι. τοῦτο παρὰ τὸ μέτρον. τὸ δὲ μετροῦν, μεθοροποιοῦν ἐτυ-

Μέτωπον, ἔστιν ἐνταῦθα πρόθεσις ἀντὶ ... μολογεῖται.
προθέσεως. τουτέστιν ὑπερώπον, τὸ ὑπὲρ τοὺς ὦπας ὄν. καὶ ἐπὶ τὰς φάλαγγας μετωπηδὸν ἱστάμενοι, ἀντὶ τοῦ ἔμπροσθεν τῶν ὀφθαλμῶν.

Μείων. παρὰ τὸ μείων μεῖστος ὁ ἐλάττων. ὡς πλείων πλεῖστος, τῷ λόγῳ τῶν συγκριτικῶν.

Μεῖον, παρὰ τὸ μέρος μερίων. καὶ ἀποβολῇ τοῦ ρ, μείων. καὶ συναιρέσει τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον, γίνεται μείων μείονος. τὸ οὐδέτερον τὸ μεῖον. σημαίνει δὲ τὸ μικρόν. ὅθεν καὶ μειονεκτεῖν, τὸ μεῖον ἔχειν. καὶ ἔστιν ἐναντίον τὸ μειονεκτεῖν, τῷ πλεονεκτεῖν. καὶ μειονεκτεῖσθαι, τὸ μικροῖς ἡττᾶσθαι. καὶ οἱ ἐπὶ μικρῶν ἔχεσθαι. τουτέστι κρατεῖσθαι. ἢ ἀπὸ τοῦ μικρός γίνεται, ἢ ἀπὸ τῆς μιᾶς. τις

γὰρ μιᾶς οὐδὲν ἐστὶν ἐλαττότερον.

Μείζων, εἶδος τῶν παραγώγων συγκριτικοῦ. ἐκ τοῦ μέγας ὁ πρῶτος τύπος, μεγάτερος. ὁ δεύτερος, μεγίων. ὀλίγος, μέσσων. καὶ κατὰ τροπὴν αἰολικὴν τῶν δύο σσ εἰς ζ, μέζων. καὶ πλεονασμῷ τοῦ ι, μείζων. τὸ δὲ μέγας, εἶδος τῶν ὑποπεπτωκότων τῷ ὀνόματι πρός τι ἔχον. πρὸς γὰρ

Μειδιῶ, παρὰ τὸ μεῖον γίνεται. ὁ γὰρ μειδιῶν, τὸ μικρὸν ἔχει. μείονι κέχρηται γέλωτι. καὶ παρὰ τὸ μειδιῶ, γίνεται μειδίας ὄνομα κύριον. ὡς παρὰ τὸ φειδῶ φειδίας.

Μείδυλος. οὕτως ἐλέγετο ὁ πατὴρ Βακχυλίδου. καὶ γίνεται παρὰ τὸ μειδιῶ. ὡς παρὰ τὸ φειδῶ φείδυλος. εἰς τὸ α

Μείλινος, σημαίνει τὸ ἀπὸ μελίας γεγενημένον. παρὰ τὸ μελέδης. μελία, γίνεται μελίινος. καὶ συγκοπῇ, μέλινος. καὶ πλεονασμῷ τοῦ ι, μείλινος. ὡς καὶ παρὰ τὸ μέλας μέλανος, Μείλανι πόντῳ. καὶ μελανίων, μειλανίων.

Μειλίγματα, σημαίνει τὰ πραϋντικά. ἀπὸ τοῦ μειλίσσω, μείλιγμα.

Μείλια, σημαίνει τὰ προικῷα πράγματα, τὰ ἐξωπροίκια. παρὰ τὸ μειλίσσω γίνεται. Ἰλιάδος ι. Πολλὰ δ' ἐπὶ μείλια δώσω. τὸ ἑξῆς, ἐπιδώσω μείλια, οἷς μειλίσσουσι τοὺς ἄνδρας. τὰ προῖκα δὲ λέγει τὴν ἕδνωσιν διατιθεμένην τὴν ψυχήν.

Μείλιχος καὶ μειλίχιος, σημαίνει τὸν πρᾶον καὶ πραϋντικόν. γίνεται ἀπὸ τοῦ μέλι ὥς τινές φασιν. ἢ παρὰ τὸ μέλος γίνεται μελίσσω. καὶ πλεονασμῷ τοῦ ι, μειλίσσω. καὶ ἐκεῖθεν μείλιχος. ὡς ταράσσω τάραχος. ἢ ἀπὸ τοῦ μέλος μελινός. καὶ κατὰ τροπὴν τοῦ ν εἰς χ, καὶ ἀναβιβασμῷ τοῦ τόνου, μέλιχος. ὡς ὀλυμπινός, ὀλύμπιχος. καὶ παιδικός, παῖδιχος. καὶ πλεονασμῷ τοῦ ι, μείλιχος. εἶτα πάλιν κατὰ ἀποβολὴν τοῦ ι καὶ διπλασιασμὸν τῶν συμφώνων αἰολικῶς, γίνεται μέλλιχος. ὡς κείρω, κέρρω. οὗτοι δὲ κακῶς λέγουσιν ὡς λέγει ὁ Ἡρωδιανός. ὅτι οὐδέποτε οἱ αἰολεῖς μετὰ τοῦ πλεονασμοῦ τοῦ ι ἀναδιπλασιάζουσι τὰ σύμφωνα. οἷον, τὸ κεννή γίνεται κεινή, καὶ οὐ γίνεται παρ' αὐτῶν κέννη. τὸ γὰρ ξέννος, οὐκ ἀπὸ τοῦ ξεῖνος, ἀλλ' ἀπὸ τοῦ ξένος γέγονεν. ἐπὶ γὰρ τῶν βραχέων ποιοῦσιν ἀναδιπλασιασμόν. οἷον, θεράπων, θεράππων. ξένη, ξέννη. ἔστι καὶ ὄνομα πόλεως.

Μείρεται. τὸ μὲν σημαίνει τὸ μερίζεται, γίνεται ἀπὸ τοῦ μέρος μέρω μέρομαι. καὶ πλεονασμῷ τοῦ ι, μείρομαι. τὸ δὲ σημαίνει τὸ ἐπιθυμεῖ, γίνεται ἀπὸ τοῦ ἵμερος ἱμέρω καὶ ἱμείρω. τὸ παθητικόν, ἱμείρομαι. τὸ τρίτον, ἱμείρεται. καὶ κατὰ ἀφαίρεσιν, μείρεται.

Μεῖραξ, παρὰ τὸ εἴρω τὸ λέγω γίνεται εἶραξ, ὅθεν εἰράκιον καὶ μειράκιον. καὶ πλεονασμῷ τοῦ μ, μεῖραξ. ὁ δυνάμενος ἤδη λέγειν. ἰστέον δὲ ὅτι θηλυκῶς λέγεται. καὶ κρεῖττον λέγειν αὐτὸ ἀπὸ τοῦ ἱμείρω ἵμειραξ καὶ μεῖραξ. ἡ τοιούτου χρόνου οὖσα, ὥστε καὶ ἐπιθυμεῖσθαι.

Μεῖς, σημαίνει τὸν μῆνα. μὴν μηνός. καὶ ἐτράπη τὸ η δωρικῶς εἰς τὴν ει δίφθογγον, ἐπειδὴ τὰ εἰς ν λήγοντα ἀρσενικά, οὐ θέλει ἔχειν πρὸ τοῦ ν δίφθογγον. οἷον, σωλήν, πλάτος(?), ἐτράπη τὸ ν εἰς ς, καὶ ἐγένετο μείς. πρόσκειται ἀρσενικά, διὰ τὸ χρυσοῦν οὐδέτερον. ἔστι δὲ ἄκλιτον. τὸ γὰρ ἐκκλινόμενος εἶχεν εἶναι ἡ γενική. ἢ παρὰ τὸ μειοῦσθαι. ὡς δὲ παρὰ τὸ ἐκάσω ἐκητμίς(?), οὕτω καὶ παρὰ τὸ μειῶ, μείς. ἔσχηματισται μακρῶς τε ἅμα καὶ ὀξυτόνως. παρὰ τὸ μεῖος, μειοῦσθαι εἴρηται, ὅτι μειουμένης εἰς ἄκρον τῆς σελήνης, πληροῦται ὁ μήν. τὸ δὲ μήν, γίνεται ἀπὸ τοῦ μήνη ὃ σημαίνει τὴν σελήνην. δι' αὐτῆς γὰρ τελειοῦται ὁ μήν. ἢ παρὰ τὸ μεῖον τὸ μικρόν, γίνεται μειήν. καὶ συγκοπῇ, μήν. ἡ εἰς ἄκρον ἐλάττωσις καὶ ἀποτερμάτωσις τῆς σελήνης. τὸ δὲ μῆνιν, ἢ ἀπὸ τοῦ μῆνις ὃ σημαίνει τὴν ὀργήν. αὐτὴ γὰρ τὸ πάθος ἀναπληροῦσιν. ἢ ἀπὸ τοῦ μὴ μένειν ἐν τῷ αὐτῷ, ἀλλὰ ποτὲ μὲν μειοῦσθαι, ποτὲ δὲ αὔξεσθαι. τὸ δὲ μῆνις, παρὰ τὴν μανίαν, μάνις τις οὖσα. ἐοίκασι γὰρ μαινομένοις οἱ ὀργιζόμενοι. ἢ παρὰ τὸ μένω τὸ ἐπιμένω. ἡ ἐπιμένουσα ὀργή. ἢ παρὰ τὸ ἐμμένειν τῷ μηνιῶντι καὶ ὀργιζομένῳ. ἔνθεν πρὸς φίλους καὶ ἰδίους καὶ υἱούς. μηνίειν δὲ τὸ πρὸς ἐχθρούς. ἐφ' ὧν μὲν γὰρ ταχὺ διαλλάττονται. ἐφ' ὧν δὲ ἐπιμένουσι πολὺ μνησικακοῦντες. καὶ ἀπομηνίσας, τὸ μνησικακήσας καὶ ὀργισθείς. ἀπὸ δὲ τοῦ μῆνις μηνίω. ὡς μῆτις μητίω. ἔστι καὶ μηνιῶ μηνιεῖς. ἀπὸ τοῦ μηνίω μηνίσω γινόμενον.

Μήνιγγες, λέγονται οἱ σκέποντες ὑμένες τὸν ἐγκέφαλον, διὰ τὸ μένειν ἐν αὐταῖς τὸν ἐγκέφαλον.

Μήδεα, σημαίνει τῶν αἰδοίων. παρὰ τὸ μέδειν καὶ ἄρχειν τῆς γενέσεως. ἐκτάσει τοῦ ε εἰς η. λέγεται δὲ μήδεα, καὶ τὰ βουλεύματα. ἡ εὐθεῖα, μῆδος.

Μηονία, ἡ Λυδία. γίνεται ἐκ τοῦ μαίων μαίονος. ἔστι δὲ ὄνομα κύριον, μαιονία. καὶ κατὰ τροπὴν τοῦ α εἰς η, μηονία. ὁ κανών. τὰ εἰς ων ὀξύτονα τῇ αι διφθόγγῳ παραληγόμενα, τὰ μὲν ὄντα ἐθνικά, τρέπουσι τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς. οἷον, παιών παίονος, Παίονας ἄνδρας ἄγων. μαιών μαίονος. τὰ δὲ μὴ ὄντα ἐθνικά, φυλάττει τὸ ω. οἷον, βαιών βαιῶνος. ἔστι δὲ εἶδος ἰχθύος. παιών παιῶνος κύριον.

Μήνυμα, παρὰ τὸ μηνύω. τοῦτο παρὰ τὸ ἀνύω ὃ σημαίνει τὸ διέρχομαι. πλεονασμῷ τοῦ μ, μανύω. ἢ παρὰ τὸ μνῶ μνύω. καὶ πλεονασμῷ τοῦ η.

Μήλη, ἰατρικὴ δι' ἧς ψηλαφᾶται τὰ πονούμενα. μηλοῦν γὰρ τὸ ψηλαφᾶν λέγεται. καὶ μηλώθρα, τὰ πορφυρᾶ βάμματα. γίνεται παρὰ τὸ μήσω μήσοντα δηλοῦντα τὸ ἐργάζομαι. Ὅμηρος φησί. Μήσατο ἔργα. μηλοῦν ἢ πολλῶν κατὰ τὴν ἰατρικὴν ἐργάτις.

Μήθομαι, παρὰ τὸ μήθω δηλοῦν τὸ μανθάνω. ὃ γίνεται κατὰ τροπὴν τοῦ δ εἰς θ. ἀπὸ τοῦ μήδω. ὁ δεύτερος ἀόριστος, ἔμαθον, ἀφ' οὗ τὸ μαθεῖν.

Μήκων, εἴρηται ὅτι ἐνταῦθα πρῶτον εὗρε τὸν τῆς μήκωνος καρπὸν ἡ Δημήτηρ. μήκων δὲ ἡ βοτάνη, παρὰ τὸ μῆκος εἴρηται. μῆκος δὲ τὸ ἐπιπολὺ ἤγουν μακρόν.

Μήκιστος, παρὰ τὸ μακρὸς μακρίων καὶ μακίων. καὶ κατὰ τροπὴν μηκίων, ὅθεν τὸ μήκιστος.

Μῆλα, πάντα τὰ τετράποδα. ὅθεν καὶ πᾶσα βύρσα, μηλωτὴ λέγεται. κατὰ τὴν κρᾶσιν καὶ τὰ πρόβατα καὶ αἶγες, ἐπειδὴ καρποφορεῖ ταῦτα τῇ εὐχῇ. κείρεται γὰρ καὶ πάλιν φέρει. Φιλητᾶς δὲ ἐν τοῖς ἐξηγουμένοις προσθεὶς τὸ γένος ἐπήνεγκε τὰ ε εἴδη. καὶ σημαίνει γ. μῆλον. Μῆλ' ὄϊές τε καὶ αἶγες. λέγεται δὲ καὶ ὁ καρπὸς τῆς μηλέας. λέγεται δὲ μῆλα πάντα τὰ δένδρα. ὡς ὅταν λέγῃ, Αὐτῇσι ῥίζῃσι καὶ αὐτοῖς ἄνθεσι μήλων, ἀντὶ τοῖς καρποῖς. μῆλα, τὰ πρόβατα. οἱ μὲν, ἀπὸ τοῦ μηκᾶσθαι ὅπερ ἀνάρμοστον. ἄλλοι δὲ ἀπὸ τοῦ μηλώδη καρπὸν ἔδεσθαι. Ἄπελλος δὲ, παρὰ τὸ μαλλόν. ἐγὼ δέ φημι, μᾶλλον ἀπὸ τοῦ μῆλα ὁ μαλλὸς εἴρηται. ἀπὸ γοῦν τοῦ μέλω καὶ μέλομαι, γίνεται μῆλον καὶ μῆλα. ἐπιμελείας γὰρ ἠξίωνται. καὶ διὰ πολλῆς φροντίδος ἦσαν τοῖς παλαιοῖς. ἢ παρὰ τὸ μηλόν, τὸ ἥσυχον καὶ ἥμερον, καὶ χαῦνον. τοιοῦτον γὰρ τὸ πρόβατον. ὁ δὲ καρπὸς κατ' ἐξοχήν. πᾶς οὕτως ἐλέγετο. οἷον, Καὶ αὐτοῖς ἄνθεσι μήλων. ἀνεστραμμένως δ' εἴρηται. ἔδει γὰρ εἰπεῖν ἀνθέων. Ἰλιάδος ι.

Μηλωτή, προβάτειος δορά. ἀπὸ τοῦ μῆλα, ἢ ἀπὸ τοῦ μηλώσω.

Μηρός, παρὰ τὸ μέλας, κατὰ τροπὴν τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον. καὶ ἐκτάσει τοῦ ε εἰς η. ἢ παρὰ τὸ μέρος, ἢ παρὰ τὸ μείρω. διὰ τὸν μερισμὸν τοῦ σώματος.

Μήρυμα, ἀπὸ τῆς ὑποστατικωτέρας ὑπάρξεως εἰς τὸ μεῖον καὶ ἔλαττον ἕλκεσθαι. οἱ δὲ, μόρημα. ἐπειδὴ διὰ πόνου ἐργάζονται. μορεῖν γὰρ τὸ πονεῖν.

Μήρινθος, ἡ σχοῖνος. καὶ μηρίνθοις, σχοινίοις. σπάρτοις. δεσμοῖς. παρὰ τὸ μύρεσθαι καὶ καταρρεῖν ἐν τῷ μύρεσθαι αὐτούς, τουτέστι συνάγεσθαι. ἢ παρὰ τὸ μύρεσθαι καὶ ἕλκεσθαι ἐν τῷ γίνεσθαι.

Μήρινδος(?), ἡ σπάρτος. παρὰ τὸ μύρεσθαι καὶ καταρρεῖν ἐν τῷ κλώθεσθαι αὐτήν, ἢ τρινήθεσθαι(?).

Μηρυκισμός, ἐκ τοῦ μηρυκίζω. τοῦτο ἐκ τοῦ μηρύκω. μηρύκειν γὰρ λέγεται, τὸ ἐκ βάθους ἀρύεσθαι καὶ εἰς μικρὰ κόπτειν. τοῦτο παρὰ τὸ μηρύω τὸ ἀναλέγομαι. τοῦτο παρὰ τὸ μέρος μερύω καὶ μηρύω, τὸ εἰς μέρη κοπτόμενον.

Μήτηρ, παρὰ τὸ μὴ τηρεῖσθαι. αἱ γὰρ γυναῖκες πρὶν γένωνται μητέρες, φυλάττονται πρὸς τὸ μὴ λυμανθῆναι τὴν αὐτῶν παρθενίαν. ἡνίκα δὲ γένωνται μητέρες, οὐ τηροῦνται. ἢ παρὰ τὸ μῶ τὸ ζητῶ, ἡ ὑπὸ τῶν τέκνων ζητουμένη. ἢ ἡ μαστεύουσα τὰ πρὸς τροφὴν τοῖς κυηθεῖσιν. ἢ ὅτι φυσικῶς αὐτὰ μαστεύει τὰ κυηθέντα ἡ μήτηρ. ἢ ἐκ τοῦ ματῶ, μάτηρ καὶ μήτηρ. ὡς μάτις μῆτις. ἢ τῶν ἀδήλων ζητητική. τὸ μη, ἢ ἐκ τοῦ μήσω μέλλοντος. ζήτει εἰς τὸ ἀστήρ.

Μήτρα. παρὰ τὸ μήτηρ μητέρος μητέρα, καὶ συγκοπῇ μήτρα. ὅτι μήτηρ ἐστὶ τοῦ γεννωμένου. ὡς πατὴρ πάτρα κατὰ μετάθεσιν τοῦ ρ. καὶ μήτηρ μήτρα.

Μῆτις, σύνεσις. τέχνη. βουλή. ὅθεν καὶ μητιάσασθαι, τὸ κατεργάσασθαι καὶ βουλεύσασθαι. γίνεται παρὰ τὸ μήδω. ὁ μέλλων, μήσω. ῥηματικὸν ὄνομα, μῆσις. καὶ μεταθέσει τοῦ σ εἰς τ, μῆτις. ἀπὸ τούτου γίνεται μητιόεις. καὶ, Μητιόεντα φάρμακα, εὖ ἐπινενοημένα καὶ ἐνεργά. ἐκ τοῦ μῆτις, γίνεται μητίτης. καὶ πλεονασμῷ τοῦ ε, μητιέτης. ἡ αἰτιατική, τὸν μητιέτην καὶ μητίετα κατὰ μεταπλασμὸν προπαροξύνεται. αἱ γὰρ κατὰ μεταπλασμὸν εἰς α αἰτιατικαὶ μὴ ἀπὸ ἡγουμένης γενικῆς ἢ δοτικῆς εἰς α μεταπλασθεῖσαι, ὡς τὸ ἱππότης ἱππότου ἱππότα, προμετεπλάσθη γάρ. ὑπὲρ δύο συλλαβάς, διὰ τὸ λίτα, προπαροξύνονται. οἷον εὔτροχον, εὔτροχα. ἀλίτροχον ἀλίτροχα. ἡ κλητικὴ μητίετα. καὶ ὤφειλεν εἶναι μητιέτα, ἀπὸ τῆς μητιέτης εὐθείας. κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι τὰ εἰς ης ἰσοσύλλαβα, εἰ τὸ τ ἔχει, εἰς α ποιοῦσι τὴν κλητικήν. ἀλλ' ἔστι κανὼν, ὅτι πᾶσα πτῶσις συνεμπίπτουσα ἑτέρᾳ πτώσει, τὸν αὐτὸν τόνον ἀναδέχεται, τούτου χάριν καὶ ἡ κλητικὴ τὸν αὐτὸν τόνον ἐφύλαξε τῆς αἰτιατικῆς. καὶ ἐνταῦθα πάλιν τῇ αἰτιατικῇ ὡμοφώνησε.

Μηχανή, παρὰ τὸ μήδω μήσω, μηχανή.

Μῆχος, μηχάνημα. τέχνασμα. ὄνομά ἐστιν οὐδέτερον. καὶ λέγουσί τινες ὅτι ἐκ τοῦ μηχανή, γίνεται μῆχος κατὰ παρασχηματισμόν. ὡς ἡδονή, ἦδος.

Μηρία, τὰ μηριαῖα ὀστᾶ. ἀπὸ τοῦ μηρός. ὑποκοριστικόν, μηρίον. ἐκ δὲ τοῦ μείρω ἢ μερίζω, γίνεται μέρος καὶ μηρός. ἀπ' αὐτοῦ γὰρ τοῦ τόπου μερίζεται τὸ σῶμα τοῦ ἀνθρώπου. μέχρι γὰρ αὐτοῦ ἐμμεσεῖ τὸ αὐτό. Ἐπεὶ κατὰ μῆρ' ἐκάη. Πτολεμαῖος τὸ ε τελευταῖον λαμβάνει τοῦ μῆρε, ἵν' ἰωνικώτερον ἐκδέξηται τὸ κάη. καὶ Ἀρίσταρχος δὲ οὕτω. δύναται δὲ καὶ ἐκάη εἶναι τὸ πλῆρες, ἐκθλίψεως γενομένης τοῦ α. ὥσπερ καὶ ἐπὶ τοῦ ἐντελέστερον εἰρημένου. Κατὰ πίονα μηρί' ἔκηα. τὸ δὲ τοιοῦτον, πολὺ παρὰ τῷ ποιητῇ. ἀποφηνάμην δὲ ἐντελέστερον εἶναι τὸ μηρίον τοῦ μηρόν. ἐκ γὰρ συγκοπῆς αὐτοῦ ἐγένετο, ἐπεὶ τοι εὐθύνεται ὁ τόνος. τὰ γὰρ εἰς ος λήγοντα μεταπλαζόμενα εἰς οὐδέτερα, τὸν αὐτὸν τόνον φυλάττει. ὁ ζυγός, τὸ ζυγόν. ὁ δίφρος, τὸ δίφρον. ὅθεν καὶ μηρός μηρὸν καὶ μῆρα. τὸ δὲ μῆρα καὶ μηρούς, μεταπλασμός ἐστι. καὶ ὤφειλεν εἶναι μηρὰ ὀξυτόνως. τὰ γὰρ ἀπ' ἀρσενικοῦ ἢ θηλυκοῦ εἰς οὐδέτερον γένος μεταπλασθέντα, τοῦ αὐτοῦ σημαινομένου ὁμότονα καθεστήκασιν. ἐρετμοί, ἐρετμά. αἱ πυραί, τὰ πυρά. αἱ οἰκίαι, τὰ οἰκία. τοῦτο δὲ οὐκ ἔστιν. ἔδειξε γὰρ ὁ τόνος τὸ πάθος. ἔστι γὰρ τὰ μηρία. καὶ κατὰ συγκοπὴν τὰ μῆρα. διαφέρει γὰρ τὸ ἀρσενικὸν τοῦ οὐδετέρου. ὅτι τὸ μὲν ἀρσενικὸν ὁ ποιητὴς τίθησι καὶ ἐπὶ τῶν ἁγιαζομένων, ὡς τὸ, Μηροὺς ἐξέταμον. καὶ ἐπὶ τῶν ἀνθρωπείων. Μιάνθην αἵματι μηροί. τὸ δὲ οὐδέτερον, ἐπὶ τῶν ἁγιαζομένων, ὡς τὸ, Αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη.

Μή. μή, ἀπαγορευτικόν ἐστιν ἐπίρρημα. οἷον, μὴ φάγῃς. μή μοι χεύσῃς, ὅπερ καὶ ὑποτάσσεται. σημαίνει καὶ διαστατικόν. οἷον, μὴ ἀπέθανεν ὁ δεῖνα, καὶ μὴ μάτην λέγομεν, ὅπερ οὐχ ὑποτάσσεται. καὶ ὅταν ἦ ἀντὶ τοῦ ἀπαγορεύσεως, οὐχ ὑποτάσσεται. τὸ δὲ οὐ μή, ὑποτάσσει. σημαίνει δὲ πέντε. ἄρνησιν, ὡς τὸ, Μὴ δι' ἐμὴν ἰότητα Ποσειδάων. ἀγόρευσιν, ὡς τὸ, Μή μοι οἶνον ἄειρε. δισταγμόν, ὡς τὸ, Μὴ μὲν ἐγὼ μετίκωμαι ἰών. ὁ δὲ μοὐκ ἐλέγχει(?) συλλογισμόν, ὡς τὸ, Μὴ οἰνωμένος οὐχὶ προ-

θήσει τοῦ ἀναστῆναι. καὶ ἂν εἴθε. Μὴ δή τοι σοί γε πόδεσσιν ὑπερβάλλῃς. σὺν τὰ πάντα δὲ μετὰ ἐγκλίσεων. μετὰ προστακτικοῦ, ὡς τὸ, Μὴ ψεῦδ' ἐπιστάμενος σάφα εἰπεῖν. μετὰ εὐκτικοῦ, ὡς τὸ, Εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην. καὶ μετὰ ὑποτακτικοῦ, ὡς τὸ, Μὴ δή που ὑπὸ χερσὶ λυώμεθα μώνυχας ἵππους. καὶ μετὰ ποίων προσώπων σὺν τὰ πάντα ἐν τοῖς προστακτικοῖς. εἰς μὲν τὸν ἐνεστῶτα, μετὰ δευτέρου καὶ τρίτου. οἷον, Μὴ δὲ ἔα νῆας ἄλαδ' ἑλκέμεν. καὶ μετὰ τρίτου ὡς ὁ Παῦλος φησίν. Ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω καὶ μὴ κρινέτω. ἐπὶ δὲ τοῦ ἀορίστου πρώτου ἐνεργητικοῦ, παθητικοῦ καὶ μέσου, μετὰ τῶν τρίτων μόνον σὺν τὰ πάντα. οὐ γὰρ λέγεται μὴ τύψον, ἢ μὴ τύψαι, ἢ μὴ τυπτοῦ. εἰς δὲ τὴν ὁριστικὴν ἔγκλισιν σὺν τὰ πάντα, οὐ μετὰ τῆς ἰδίας δυνάμεως τάσσεται, ἀλλ' ἀντὶ τῆς οὐ ἀποφάσεως. ὡς ἐν τῷ, Μὴ δ' ἐμὴν ἰότητα, ἀντὶ τοῦ οὐ διὰ τὴν ἐμὴν βούλησιν. καὶ ἐν τῷ, Μὴ ὄφελες λίσσεσθαι, ἀντὶ οὐκ ὤφελες. ἀπαρεμφάτῳ δὲ εἰ συντάσσεται ἡ μὴ ἀπαγόρευσις, οὐ ξένον. διότι πάντες ῥήματος ἔχει τὰ ἀπαρέμφατον. κατὰ γοῦν δέ ἐστιν εἰπεῖν ὅτι ἡνίκα μετὰ ἀπαρεμφάτου συντάσσεται, ἀντὶ προστακτικῆς ἐγκλίσεως κεῖται. ὡς ἐν τῷ, Μήτ' αὐτὸν κτείνειν τὸν Ἀγαμέμνονα ὁ αἴγισθος, μήτε μνάασθαι ἄκοιτιν. ἀντὶ μὴ ἔσο μνηστὴρ τῆς γυναικὸς αὐτοῦ. καὶ ἐν τῇ ἰλιάδι. Μὴ μὲν ἐγὼ κούρης βρισηΐδος χεῖρας ἐπενεγκεῖν. συνεχῶς γὰρ ὁ ποιητὴς τοῖς ἀπαρεμφάτοις ἀντὶ προστακτικῶν ἐχρήσατο. ὡς ἐν τῷ πειρᾶν, ἀντὶ τοῦ ἀπόπειραν ποιησάτω. καὶ ἀγορευέμεν, ἀντὶ τοῦ ἀγόρευσον.

Μήποτε, ἐπίρρημα δισταγμοῦ. ἓν μέρος λόγου. σύγκειται ἐκ τῆς μὴ ἀπαγορεύσεως, καὶ τοῦ ποτὲ ἐπιρρήματος.

Μηλιαυθμός. λυκόφρων. Καὶ μηλιαυθμὸν ἠδὲ χερσαίας πλάτης. σημαίνει τὸν ἐν τοῖς προβάτοις κοιμήσεως τόπον, ἤγουν τὴν μάνδραν. παρὰ τὸ μῆλα τὰ πρόβατα, καὶ τὸ ἰαύω τὸ κοιμῶμαι, γίνεται ἰαυθμὸς ἡ κοίμησις. καὶ ἐν συνθέσει, μηλιαυθμός. ὡς κλαίω, κλαυθμός.

Μήν. ὡς παρὰ τὸ κέφαλος γίνεται κεφαλήν, κῶλος κωλήν, μέγιστος μεγίστην καὶ μεγιστάν, οὕτω καὶ παρὰ τὸ μέσος μεσήν. καὶ κατὰ συγκοπὴν μήν. ἀφ' οὗ καὶ μήνη

Μηριόνης, ὁ διὰ τῶν μηρῶν τὴν ὄνησιν ... ἢ σελήνη. φέρων, καὶ ἑαυτῷ ἐμποιῶν. τάχα δέ. καὶ μόλος δὲ ὁ τούτου πατήρ, ἀπὸ τοῦ μολίσκειν.

Μηδαμινός, ἀπὸ τοῦ μηδαμῶς. ἀπὸ τοῦ ὄντος, ἀπὸ τοῦ μηδαμὸς ὀνόματος. σύγκειται δὲ ἀπὸ τοῦ μὴ ἀπαγορευτικοῦ καὶ τοῦ δαμὸς τοῦ ἰσοδυναμοῦντος τῷ τις.

Μήστωρ, ἐπιστήμων παρὰ τὸ μήδω μήσω. ὁ δυνάμενος μήσασθαι ὅ ἐστι βουλεύσασθαι.

Μεταίχμιον, σημαίνει τὸ μεταξὺ δύο τινῶν πραγμάτων ὑπάρχον. κυρίως δὲ ὁ μεταξὺ δύο στρατῶν τόπος. ἀπὸ τῆς αἰχμῆς.

Μεταμάζιον, μεταξὺ τῶν μαζῶν. ἓν ἐν ποιητέον ὡς μετάφρενον καὶ ἐνώτιον. πέπηκται δὲ παρὰ τὸ μαζὸς καὶ τὸ μετὰ πρόθεσιν. ὥσπερ παρὰ τὸ χθονὸς καὶ τὴν ἐπὶ ἐπιχθόνιος. καὶ τὴν παρὰ καὶ ποταμός, παραποτάμιος. γίνεται γὰρ καὶ ἀπὸ λέξεων ἕν τι παράγωγον. ὡς τὸ νεαπολίτης, καὶ ἀμαμυρία.

Μετανάστην, μέτοικον. φυγάδα. ἀπὸ τοῦ νάσσω. ὁ μέλλων νάσω. νένασμαι, νάστης καὶ μετανάστης.

Μεταδρομάδην, ἐπιδραμών. ἢ ἐν τῷ τρέχειν ὁμοῦ.

Μεταλλοῦν, οὕτω μύρον ἐλέγετο ἀπό τινος μεταλλοῦ σικελιώτου εὑρόντος αὐτοῦ τὴν κατασκευήν. ὅπερ διὰ τοῦ γ γράφει ἀριστοφάνης ἐν τελμησσεῦσιν. ὥρος.

Μεταπόντιος, πόλις ἰταλίας. ἀπὸ μεταπόντου τινὸς βασιλεύσαντος ἐν αὐτῇ.

Μετέῤῥα. τοῦτο τὸ πάθος τῆς αἰολικῆς ἐστὶ διαλέκτου. οἷον, Αἰπάο τὰ μετέῤῥα. ὁ γὰρ μέτριος μετέῤῥος παρ' αὐτοῖς εἴρηται.

Μιαρόν, παρὰ τὸ μιαίνω, ἢ παρὰ τὸ μία, τουτέστι παρώνυμον μιαρόν. ὡς σκιὰ σκιαρόν. οἱονεὶ τὸ μεμονωμένον ᾧ οὐκ ἄν τις ἐπὶ τῷ αὐτῷ συνέλθῃ διὰ τὸ μύσος. τουτέστι τὸ φευκτόν.

Μία. ἐκ τοῦ εἷς, τὸ θηλυκὸν μία. ὁ κανών. δύο κανόνες εἰσὶν οἱ μαχόμενοι. ζήτει εἰς τὸ εἷς.

Μιαιφόνος, μαινόμενος φόνοις. κατὰ τροπὴν δωρικὴν τοῦ β εἰς μ. οἷον, βιαιφόνος. ἢ κατὰ πλεονασμὸν τοῦ μ, οἷον, ἰαινόμενος τῷ φόνῳ.

Μιγάδ' ἄλλοις. ἀναμεμιγμένος τοῖς ἄλλοις. ἀπὸ τοῦ σμίγω, ἢ μίγω μίγδα.

Μιγέωσι. ῥῆμα ὑποτακτικὸν δευτέρου ἀορίστου. εἰ γὰρ ἦν ἐνεστώς, μακρὸν ὤφειλεν ἔχειν τὸ ι. ὧδε δὲ ἐστὶ βραχύ. οὗ χάριν ὁ δεύτερος ἀόριστος. ἐστὶ μίγω. τὸ μι, μακρόν. εἰς τὸ μίσγω. καὶ ἡ θέσει μακρά, μετεβλήθη εἰς φύσει. τὸ μι, ι. εἰ γὰρ ἐγράφετο διὰ διφθόγγου, ὤφειλεν εἶναι ὁ μέσος παρακείμενος μέμοιγα. ὁ δεύτερος ἀόριστος, ἔμιγον. βραχὺ τὸ ι. ὁ παθητικὸς ἐμίγην. μιγεὶς μιγέντος. ἐὰν μιγῶ. μιγῶμεν, μιγῶσι. καὶ πλεονασμῷ τοῦ ε. ἐπεὶ ἐνόμων μιγέωσι.

Μίκκος, σημαίνει τὸν μικρόν. καλλίμαχος. Τοῖς μίκκοις μίκκα διδοῦσι θεοί. ἀπὸ τοῦ μικρὸς γίνεται. τοῦτο παρὰ τὸ μεῖον τὸ ἔλαττον, τουτέστι κατὰ διάλυσιν, μέϊον. καὶ ἐκτάσει, μήϊον. μήϊκρος. καὶ συγκοπῇ τοῦ η, μικρός. τὰ ἔχοντα προηγούμενον σύμφωνον, ἀποστρέφεται τὴν ει δίφθογγον. ἴμβρος, ὄνομα πόλεως. κίβρος, ἐθνικόν. λιβρός, ἡ σκοτεινὴ νύξ. φιβρός. δίκρος, τὸ φουρκίον. ἴγκρος, ὁ ἐγκέφαλος. λίστρος, ὁ ξυστήρ.

Μίλητος, πόλις. ὅθεν καὶ μιλήσιοι. ἀπὸ μιλήτου υἱοῦ ἀπόλλωνος καὶ ἀρίας.

Μιλίγματα δαιτός, τὰ λείψανα. οἱ δὲ τὸ στάσιμον καταμασσομένων τὰς χεῖρας καὶ τὸ λίπος ἀπέψων. ὅπερ ἀπομαγδαλίαν οἱ ἀττικοὶ καλοῦσιν. ἴσως ἀπὸ τοῦ μελίζω μέλισμα καὶ μίλισμα. τὰ δὲ παραντικά, τὸ μει δίφθογγον.

Μιμαλλόνες, ἐκλήθησαν κυρίως αἱ γυναῖκες. πολεμικαὶ γάρ, παρὰ τὸ μιμεῖσθαι τοὺς ἄνδρας. ἢ τοι διὰ μακεδονικὴν ἱστορίαν, ἥτις κεῖται ἐν τοῖς καλλιμάχου.

Μίμησις, παρὰ τὸ μῖμος. ἢ μνήμη τις οὖσα. Μίμαντος, λέγεται πόλις καὶ χώρα ἐν θράκῃ. ἔοικε δὲ λέγεσθαι ἐκ τοῦ μίμαντος. μίμας γὰρ ὄρος ἐν θράκῃ, ὡς παρὰ ἀμμωνίῳ. Ἠδ' ὑψιτενής τε μίμας ὑπελείπετο ὀπίσσω, καὶ

Μίνθη, ἥν τινες ἡδύοσμον κα ... πιμπληΐδες ἄκρης. λοῦσιν. ἐστὶ δὲ καλάμινθος ἄγριον ἡδύοσμον. ὅπερ λυπουμένη ἡ δήμητρα τρίβουσα, ἐμίσησε καὶ ἄκαρπον ἐποίησε. μήποτε οὖν ἡ μὲν μίνθη κατὰ ἀντίφρασιν τὴν δυσωδί-

Μίν, ἀντωνυμία τρίτου προσώπου ... ἀνκαλοῦμεν. πρωτότυπος. ἐγώ. σύ. ἵ. τοῦτο γὰρ τὸ ἵ ὡς τρίτου βραχυνόμενον προσώπου, ἐφελκύσατο τὸ ν. καὶ πλεονασμῷ τοῦ μ, ἐγένετο μίν. ἔστι δὲ τρία γενῶν. ἀρσενικόν, θηλυκόν, καὶ οὐδέτερον. αὐτόν, αὐτήν, καὶ αὐτό.

Μίνυθα, ἐπ' ὀλίγῳ χρόνῳ. παρὰ τὸ μινύθω, μίνυθα. καὶ πλεονασμῷ τοῦ ν, μίννυθα. καὶ πλεονασμῷ, τουτέστι μινυνθά.

Μινυρίζειν, ἔστι τὸ ἡσυχῆ κλαί ... διος, ὁ ὀλιγοχρόνιος. εἰ καὶ θρηνεῖν. ἢ ἀπὸ τοῦ μύρω ὅ ἐστι τὸ κλαίω. κατὰ ἀναδιπλασιασμόν, μυμυρίζω. καὶ τροπῇ τοῦ υ εἰς τὸ ι καὶ τοῦ μ εἰς τὸ ν, μινυρίζω. ἢ παρὰ τὸ μύω, μυίζω. καὶ κατὰ ἀναδιπλασιασμόν, μυμυρίζω. καὶ τροπῇ.

Μίνως, τινὲς διὰ διφθόγγου. παρὰ τὸ μένω μένως καὶ μείνως. ἐπεὶ καταμένων ἐν κρήτῃ ἀστερίωνι γαμηθείσα, ἐξῆς γέγονεν ὁ μίνως. ἡ δὲ παράδοσις, ἔχει τὸ ι, ἐπειδὴ παρὰ τὸ μίμνω μίμνως καὶ μίνως. ἢ παρὰ τὸ ἲς ἰνὸς ὅ ἐστι τὴν δύναμιν, ἴνως καὶ μίνως. ὅθεν καὶ μινώταυρος. κλίνεται δὲ ἀττικῶς μίνω. ὡς λεὼς λεώ. καὶ πλεονασμῷ τοῦ ο, τουτέστι μίνωος. οὕτω γὰρ ἡ μίνωος γενικὴ ἀποβολῇ τοῦ ς πέπονθεν. οὐδέποτε γὰρ ἀποβάλλει τὸ ς.

Μιξονίδης. παρὰ τὸ μίσγω μίξω τουτέστι μίξις, ὡς πράξω πρᾶξις. καὶ μιξίας, ὡς σώσω, σωσίας. καὶ λέξω, λεξίας. καὶ μίξων μίξονος, μιξονίδης.

Μισγάγκεια. παρὰ τὸ μίσγω καὶ τὸ ἄγκος, τουτέστι ἀγκεία καὶ μισγάγκεια. ἐστὶ δὲ τόπος κοῖλος εἰς ὃν κατὰ φερόμενα τὰ ὕδατα ἐκ τῶν ὀρῶν, μίσγονται. ἐκ δὲ τοῦ κέω τὸ κεῖμαι ὅ τουτέστι κατὰ συναλοιφὴν καί, γίνεται ὄνομα μονοσύλλαβον κῶς. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α πλεονασμῷ τοῦ γ γίνεται ἄγκος.

Μιμαλλόνες, αἱ βάκχαι ... τὸ πάνυ κοῖλον καὶ βαθύ. βοηδρόμοι, ἤτοι αἱ μετὰ βοῆς καὶ ἐκπλήξεως διὰ τὸ κάτοχοι εἶναι προϊοῦσαι δρόμῳ. ἃς καλοῦσι καὶ γεγωνοκώμας ἄγριοι. τῷ γεγωνίσκειν ἤτοι θορυβεῖν τὰς κώμας.

Μίτραι, κυρίως οἱ ἀπὸ φασκίων καὶ ὠαρίων γινόμενοι στέφανοι. ἐν καταχρήσει δὲ πᾶς στέφανος μίτρα λέγεται, ὡς καὶ ἐνταῦθα. οὕτως εὕρομεν εἰς τὸ σχόλιον τοῦ πινδάρου. ἐφαρμόσω ὁ ποιητής.

Μῖσος, παρὰ τὸ μὴ ἴσος εἶναι. ὡς ἀνάρσιος ὁ ἐχθρός. ἢ ἀπὸ τοῦ μύω μύσω. μύσος καὶ μῖσος. ὃ πάντες μύοντες ἐκφεύγομεν. ἐστὶ δὲ τὸ μι μακρόν, ἀπὸ παραδόσεως.

Μισητής, παρὰ τὸ μισῶ μισήσω, μισητός. ὡς λαλῶ λαλήσω, λαλητός. μισητὴ δὲ ἡ πόρνη κατὰ ἀποβολὴν τοῦ γ. μισγητή τις οὖσα, παρὰ τὸ μίσγεσθαι.

Μισθός, κυρίως ὁ εἰς μῆνα καταθέμενος. καταχρηστικῶς καὶ ὁ ἐφ' ἡμέραν. παρὰ τὸ πείθω πείσω. οἱονεὶ πισθός τις ὤν, ἐν ᾧ τις πείθεται. ὁ πείθων τινὰ ὑπηρετεῖν. ἢ παρὰ τὸ μῖσος ὠθεῖν. Μισθαρνία. ἐκ τοῦ μισθὸς καὶ τοῦ ἄρνω τὸ ἀντικαταλλάσσομαι, τουτέστι μισθαρνία.

Μίστυλλον, εἰς μικρὰ διέκοψαν. ἢ παρὰ τὸ μέσον, γέγονε

Μίτρα, λέγεται ὁ γυναικεῖος τῆς ... μίτος, καὶ μιστύλλω. κεφαλῆς ἀνάδεσμος. μίτρα, ζώνη ἡ διὰ τοῦ μίτου ὑφαινομένη. ἐφορεῖτο δὲ ἐσώτερα τῆς λαγόνος ἡ χαλκῆ λεπίς, ἣν ζώννυνται περὶ τὴν κενεῶνα χάριν πλείονος ἀσφαλείας. ἐστὶ δὲ προγαστρίδιός τις ὅπλισις ἁλυσειδωτὴ τῶν πρὸ τοῦ ἥτρου φυλακτική.

Μνεία. ἀπὸ τοῦ μένω μενία. καὶ καθ' ὑπερβιβασμὸν μνεΐα. καὶ συναιρέσει, μνεία. Μνήμη, παρὰ τὸ μένω, μενήμη. καὶ συγκοπῇ μνήμη. ὅθεν μνημοσύνη ἡ ὑπόμνησις. καὶ μνῆμα τὸ μνημόσυνον.

Μνήμων, ὁ προεστὼς καὶ ἐπιμέλειαν ποιούμενος φόρτου, ὃν ἡμεῖς ἐπίπλουν καλοῦμεν.

Μοῖρα. ὥσπερ ἀπὸ τοῦ σπείρω τουτέστι σπορά, οὕτω καὶ ἀπὸ τοῦ μείρω μορὰ ὤφειλε λέγεσθαι. ἀλλὰ πρὸς ἀντιδιαστολὴν τοῦ τάγματος τῆς μορᾶς, ἐγένετο βαρύτονον μόρα. καὶ πλεονασμῷ τοῦ ι, μοῖρα. ἡ αὐτὴ εἱμαρμένη. παρὰ τὸ μεμερίσθαι ἑκάστῳ. σημαίνει τὴν εὐτυχίαν, ὡς τό. Ὦ μάκαρ ἀτρείδη μοιρηγενὲς ὀλβιοδαῖμον. τουτέστιν ἐν ἀγαθῇ μοίρᾳ γεγεννημένε. σημαίνει καὶ τὸν θάνατον, ὡς τό, Μοῖραν δ' οὔτινά φημι πεφυγμένον ἔμμεναι ἄνδρα. σημαίνει καὶ τὴν μερίδα, ὡς τό, Μοίρας δασσάμενοι δαίνυντο. σημαίνει καὶ τὸ πρέπον, ὡς τό, Κατὰ μοῖραν ἔειπες.

Μοιχός, ὁ πόρνος. παρὰ τὸ εἴκω τὸ πρέπω. ὁ παρακείμενος, εἶχα. ὁ μέσος, οἶκα. οἰκός. καὶ μετὰ τοῦ μὴ ἀπαγορευτικοῦ, μηοικός. καὶ τροπῇ, μοιχός, ὁ τὰ μὴ πρέποντα πράσσων. ἢ ὁ ἔξω ὢν τοῦ οἴκου. καὶ μοιχάγρια, τὰ ἀντὶ τῆς μοιχείας ἀγρεύματα ἐπὶ τῷ ληφθῆναι μοιχὸν ἀποτεινόμενα. καὶ οἱονεὶ ἡ τοῦ μοιχοῦ μοῖρα ἀγρευομένη.

Μοῦσα, τινὲς φασὶ μύουσαν εἶναι αὐτήν. ἡ γὰρ μουσικὴ οὐδὲν διαφέρει μυστηρίων. ὡς δὲ ἄνοι μῶσα τίς ἐστι. μῶ γὰρ καὶ μῶμαι τὸ ζητῶ. ἐπίχαρμος ὁ κωμικός. Πύῤῥαν γε μῶν καὶ δευκαλίωνα. καὶ τὴν τοῦ ἑρμοῦ ὅ ἐστι τὴν τοῦ λόγου μητέρα, μαῖαν λέγει παρὰ τὴν ζήτησιν καὶ εὕρεσιν τῶν μαθημάτων. καὶ μαίω τὸ ζητῶ, ὅθεν καὶ μαῖα καὶ μοῦσα. ἐτυμώτερον δὲ οἱ δωριεῖς λέγουσι μῶσα, ἄγε μοῦσα λίγεια.

Μουνυχία, τόπος τοῦ πειραιῶς, ἀπὸ μουνυχίας ἀρτέμιδος. ἢ ἀπὸ μουνύχου τοῦ παντακλέους.

Μόγος, ταλαιπωρία. κάματος. παρὰ τὸ μέγας. ἐν γὰρ τοῖς μεγάλοις πράγμασι κοπιῶμεν. ἢ παρὰ τὸ οἰμώζειν. ἢ παρὰ τὸ μὴ ἐᾶν τὴν ψυχὴν γάνυσθαι ὅ ἐστι χαίρειν. μόγος γὰρ λέγεται ἡ κακοπάθεια.

Μόθος, ὁ πόλεμος. ἡ μάχη. παρὰ τὸν μολυσμὸν τῶν φόνων. ἢ παρὰ τὸ ὁμοῦ θεῖν τοὺς μαχομένους καὶ εἰς ταυτὸ

Μοθωνία, ἀλαζονεία τις τοῦ σώματος ... συντρέχειν.

κινητική. ὅθεν καὶ μόθος καὶ μόθων παρακτικός.

Μόλις, ἐστὶν ἐπίρρημα μεσότητος. παρὰ τὸ μογῶ. οὕτως εὗρον. οὐκ οὖν δὲ ἀπὸ τοῦ μόγις ὥσπερ παρὰ τὸν μόγον γίνεται. ἢ ἀπὸ τοῦ μολῶ.

Μολοβρός. ὁ γαστρίμαργος. ἢ ὁ προσαίτης, ὁ πτωχός. κατὰ συγκοπὴν μολόβορός τις ὤν. παρὰ τὸ μολεῖν ἐπὶ τὴν βοράν.

Μόλιβος, καὶ μόλυβδος. τὸ μὲν Ἰώνων, τὸ δὲ οὐκ ἔστιν. οἷον, Καὶ μόλιβδος ὥστε δίκτυον κατεῖχε. σοφοκλῆς. ἐὰν δὲ τὸ υ, τὸ δ. Ἡ δὲ μολυβδαίνη ἰκέλη, ἰλιάδος ω. τουτέστι μολιβὴ ὁρμιά. μόλιβος δὲ ἐπίκειται τῷ ἀγκίστρῳ εἰς τὸ καθέλκειν αὐτὸ τῷ βάρει κάτω. παρὰ τὸ μολεῖν εἰς βάθος.

Μόθων μόθωνος, οὕτω καλοῦσι λακεδαιμόνιοι τὸν οἰκογενῆ δοῦλον, ὃν οἱ ἀθηναῖοι, οἰκότριβα φασί.

Μολύνω, παρὰ τὸ λύω λύνω καὶ μολύνω καὶ μολυσμός. ἢ παρὰ τὸν μῶλον, ὃ σημαίνει τὴν συμβολὴν τοῦ πολέμου. κατὰ τροπὴν τοῦ ω εἰς ο.

Μολπή, σημαίνει δύο. ἀντὶ μὲν τοῦ ὕμνου, Μολπῇ θεὸν ἱλάσκοντο. ἀντὶ δὲ τῆς παιδιᾶς, Ναυσικάα λευκώλενος ἦρχε μολπῆς.

Μόνος ἐστὶ δύο τὸ μοναδικόν, ὡς ὅταν λέγωμεν, Ἕνα θεὸν μόνον. καὶ τὸ πρὸς ἀντιδιαστολὴν τῶν ὁμοζύγων λεγόμενον. οἷον, Ἀπελείφθη τις ἐν τῇ πόλει δόρυ μόνον ἔχων. καί, Ἀπελείφθη τις ἐν τῷ ἀρίστῳ ἄρτον μόνον ἔχων. οὐχ ὅτι χεῖρας καὶ πόδας οὐκ εἶχεν, ἀλλ' ὅτι τὰ ὁμόζυγα τούτων οὐκ εἶχεν. οἷον οἶνον. κρέας. καὶ τὰ λοιπὰ προσφάγια.

Μονιός, ἐστὶ τὴν μεμονωμένην ἄρκτον. παρὰ τὸ μονιά.

Μοναχός, παρὰ τὸ μόνῳ θεῷ προσεύχεσθαι. ἢ παρὰ τὸ μόνος ἀρχὴν ἔχειν. ἤγουν λύπας. ζήτει εἰς τὰς διαφοράς.

Μόρα τάγμα ἐστὶ στρατιωτικὸν παρὰ λακεδαιμονίοις οὕτω λεγόμενον. καὶ εἴρηται παρὰ τὸ μείρω μορά ἀντὶ μέρους ὄχλου. ὡς φθείρω φθορά. ἔστι δὲ ἡ μόρα τάξις ἐξ ἀνδρῶν πεντακοσίων ἢ ἑπτακοσίων ἢ τριάκοντα.

Μόριον, ἀντὶ τοῦ αἰδοίου κατ' ἐξοχὴν τῶν ἄλλων μορίων τοῦ σώματος. ἐπειδὴ γενέσεως ἐστὶν ὄργανον. οἱ μέν, παρὰ τὸ μείρω. ἐγὼ δέ φημι, ἀπὸ τοῦ μὴ ὁρᾶσθαι. παρὰ τὴν αἰδῶ, ἀλλ' ἐν κρυφῇ ταῦτα κατέχειν.

Μορίαι, οἱ μὲν πᾶσαν ἐλαίαν οὕτω καλοῦσιν. οἱ δὲ τὰς ἱερὰς τῆς θεοῦ. ὅτι δημοσίαν μοῖραν ἐκ τῶν καρπῶν ἐλάμβανον. ζήνων δὲ ὁμοίως ὅτι τὸ βρύον τῶν ἐλαιῶν ἐκάλουν μόρον. ἔνθεν αἱ ἀνθοῦσαι ἐλαῖαι μορίαι ἐλέγοντο. τινὲς δέ φασι διὰ τὸν ἀλιρροθίου μῦθον ὃν ἄρης ἀνεῖλε πελέκει βιασάμενον τὴν θυγατέρα αὐτοῦ ἀλκίππην. ἀπὸ οὖν τοῦ περὶ αὐτὸν μόρου, ὅτι ἀνῃρέθη κόπτων τὰς ἐλαίας, μορία ἐκλήθη. σέλευκος, μορίαι, τῆς ἀθηνᾶς ἱεραὶ ἐλαῖαι.

Μορμολύκειον, προσωπεῖα ταῖ. ἔστι προσωπεῖον ἐπίφοβον. ἀριστοφάνης γῆρα. δηλοῖ δὲ τὸ φοβηρὸν ἁπλῶς ἐν θεσμοφοριαζούσαις. ἔστι δὲ πεποιημένη ἡ φωνή. ἢ τὰ τῶν τραγῳδῶν προσωπεῖα λέγουσιν. αἴνιγμα, παρὰ τὴν μορμώ. ἔστι δὲ ὄνομα γυναικός. μεταφορικῶς ἐκ ταύτης τὰ πρὸς κατάπληξιν τυπωθέντα προσωπεῖα, ἐκάλουν μορμολύκεια.

Μορμύροντα. πλημμυροῦντα. ὀνοματοπεποίηται. πέπονθε δὲ ἡ λέξις ἀπὸ τοῦ ψόφου τοῦ ἐν τοῖς ὕδασι γινομένου. καὶ μόρμυρος, ὄνομα ἰχθύος. ἀπὸ τοῦ μορμύρω.

Μόρος, ὁ θάνατος. ὥσπερ παρὰ τὸ πείρω γίνεται πόρος, οὕτω καὶ παρὰ τὸ μείρω μόρος, ὁ μεμερισμένος τοῖς πᾶσιν. ἐκ δὲ τοῦ μόρος γίνεται μόριμον, καὶ πλεονασμῷ τοῦ σ μόρσιμον τὸ πεπρωμένον ἢ τὸ εἱμαρμένον. παρὰ τὴν μοῖραν μοίριμον, συγκοπῇ καὶ πλεονασμῷ τοῦ σ.

Μορόεντα τὰ μετὰ πολλοῦ μόχθου καὶ κακοπαθείας γεγενημένα. μόρος γὰρ ἡ κακοπάθεια. ἀπὸ τοῦ μορῆσαι, ὅ ἐστι κακοπαθῆσαι.

Μορφή, παρὰ τὸ μείρω τὸ μερίζω, μορή. καὶ πλεονασμῷ τοῦ φ μορφή.

Μόρφνον, Μόρφνον θηρητῆρα. ὅμηρος ἐπὶ τοῦ ἀετοῦ ἰλιάδος ω. παρὰ τὸ μάρπτω τὸ καταλαμβάνω, γίνεται μάρπνος. καὶ τροπῇ τοῦ α εἰς ο καὶ τοῦ π εἰς φ, μόρφνος, ὁ καταλαμβάνων. ἐξ οὗ γίνεται ὁ ταχὺς καὶ δυνατὸς καταλαμβάνειν. ἢ παρὰ τὴν ὄρφνην, πλεονασμῷ τοῦ μ ἵνα σημαίνηται ὁ μέλας. οἱ δὲ παρὰ τὸ μέρος ἢ μόρος, καὶ τὸ φόνος, μοροφόνος. οἱονεὶ ὁ διὰ μόρου φόνον ἐπιφέρων ταῖς ὄρνισιν, ὁ μεμορημένος καὶ πεπονημένος περὶ τοὺς φόνους. καὶ συγκοπῇ τῶν δύο ο, μόρφνος, ὁ φόνιος. βαρύνεται. τὰ γὰρ εἰς νος λήγοντα δισύλλαβα μὴ ἔχοντα παρασχηματισμὸν θηλυκοῦ γένους, ἔχοντα πρὸ τέλους τὸ ορ συλλαβήν, πάντα βαρύνεται. ὑπεσταλμένων τῶν εἰς μος ληγόντων. οἷον, ὄρθος τὸ μονογενές. φόρτος. πόρθος, καὶ μόρφνος. πρόσκειται τὰ εἰς μος, διὰ τὸ κορμός, φορμός. τὸ μέντοι περκνός, ὀξύνεται ὡς τὸ πυκνός. ὃν καὶ περκνὸν καλέουσιν. τὸν αὐτὸν τὸν προειρημένον μέλανα. ἀφ' οὗ καὶ τὸν μελανούμενον καρπὸν περκάζειν λέγουσι.

Μόσχος, ὁ ἀρωματικός. παρὰ τὸ ἐκ μέσου χεῖσθαι. ἢ ἀπὸ τοῦ μῶ τὸ ζητῶ, ὁ τοῖς πᾶσι ζητούμενος. ἢ ἀπὸ τοῦ ὄζω γίνεται ὄσχος. καὶ πλεονασμῷ τοῦ μ. ἢ κατὰ στέρησιν τῆς δυσωδίας. ἀπὸ τοῦ ὄζω ὄσχος, καὶ μόσχος. δύο γάρ ἐστι τὸ ὄζω. καὶ μόσχος τὸ μοσχάριον, παρὰ τὸ ἐν τῷ κράζειν αὐτὸν λέγειν μῶ. ἢ παρὰ τὸ ὀσμᾶσθαι τῇ μητρί. ἢ παρὰ τὸ μῶ τὸ ζητῶ, καὶ τὴν σχέσιν ἣν ἔχουσι πρὸς τὰς μητέρας.

Μόσσυν, παρὰ τὸ μῶ τὸ σύνθω. ἔστι δὲ τὴν ξυλίνην οἰκίαν. ἢ παρὰ τὸ μάσσω τὸ μαλάσσω. ἔστι δὲ τὸ μεμαλαγμένον λῶρον.

Μόσχοισι λύγοισιν. ἔστιν ἱμαντῶδες φυτόν. ἡ μεταφορὰ ἀπὸ τῶν ἁπαλῶν ἔτι βοῶν ἀντὶ τὰ ζυφερὰ τῶν βοῶν ἀγομένων. λύγος δέ ἐστιν ἱμαντῶδες φυτόν, καὶ ἁπαλόν. ὃ καὶ οἴσον καλοῦσιν. ἐξ οὗ καὶ τὸ οἰσόκαρπον. καὶ μοσχύνεται, τρέφεται. κυρίως τὰ μοσχεῖα. ἢ τῶν λεπτῶν λαχάνων φυτεῖα, ἢ φυτῶν. τινὲς δὲ αὐτὸ καὶ ἄγνον καλοῦσιν. ὁ γὰρ τούτου καρπὸς ἐσθιόμενος, ἀφανιστικός ἐστιν ἀφροδισίων. καὶ οἱ ἱερεῖς δὲ τοῦ φυτοῦ τούτου τὰς κόμας τῇ ἑαυτῶν κλίνῃ ὑποτιθέασιν ὡς φυσικήν τινα δύναμιν ἐχούσας πρὸς ἁγνείαν.

Μοτόν, τὸ εἰς ἀναπλήρωσιν τρωτικὸς τιθέμενον. ἔνθεν καὶ ὀμολύτειον, οἷον πεπληρωμένον τρωτικός. παρὰ τὸ βῶ, βιβῶ βίβημι, βήσω. βέβηκα. βέβαμαι, βατός. καὶ τροπῇ τοῦ β εἰς μ καὶ τοῦ α εἰς ο, μοτός. μοτῶ μοτώσω, καὶ μότωσις. καὶ μοτάριον.

Μοχθηρία, λέγεται ἡ κακία. ἀπὸ τοῦ μοχθηρός, ὅ ἐστι τὸν κακόν. τοῦτο ἐκ τοῦ μόχθος. τοῦτο παρὰ τὸ ἄχθος. πλεονασμῷ τοῦ μ καὶ τροπῇ τοῦ α εἰς ο. ἢ παρὰ τὸ μόγος ὅ ἐστι τὸν πόνον. πλεονασμῷ τοῦ θ καὶ τροπῇ τοῦ γ εἰς χ. μοχθηρὸς οὖν κυρίως, ὁ περὶ μόχθον ἀναστρεφόμενος. καὶ πονηρός, ὁ περὶ πόνον. ἀπὸ δὲ τοῦ σώματος ἐπὶ τὴν διάνοιαν μετενήνεκται. ὁ τῇ διαθέσει κακός.

Μοχλός, παρὰ τὸ ὁμοῦ ἔχειν τὴν κλεῖν. ὃς ἅμα αὐτῷ τὴν κλεῖν ἔχει. ἢ παρὰ τὸ μολῶ πλεονασμῷ τοῦ χ. ἢ παρὰ τὸ ἔχω τὸ συνέχω, ὀχός. ἐπεὶ καὶ ὅμηρος, ὀχῆα λέγει τὸν μοχλόν. ἢ παρὰ τὸ ὀχλεῖν καὶ ὀχλίζειν παρ' ὁμήρῳ καὶ ἄλλοις τῶν παλαιῶν. τὸ μετὰ βίας κινεῖν. ἔστι καὶ τὸ ὀχλάδην. ἔπειτα ἅμα προσῆλθεν ἐπὶ τὴν ἴασιν δηλοῖ. μάοχλος, καὶ μοχλός. φιλόξενος δέ φησιν ὅτι οὐ κατὰ τὴν χρῆσιν εἴρηται ὁ μοχλὸς παρ' ὁμήρῳ, ἀλλ' ἐπιβλὴς καὶ ὀχεὺς εἴρηται παρ' αὐτῷ. μοχλὸν γὰρ λέγουσι νῦν τὸν συνέχοντα τὰς θύρας φησίν, ἀλλὰ μοχλὸν λέγουσιν ἡνίκα ἂν δέῃ μοχλεῦσαί τι καὶ σαλεῦσαι. οὕτως οἶδε τὴν ἐτυμολογίαν τοῦ ὀνόματος ὁ ποιητής. ὅτι παρὰ τὸ ὀχλῶ τὸ κινῶ καὶ μοχλεύω. τοιγαροῦν ἐπὶ τοῦ κύκλωπος φησίν, Ἐμοὶ σὺν μοχλὸν ἀείρας ῥίψαι ἐν ὀφθαλμῷ. καὶ οἱ μὲν μοχλὸν ἑλόντες ἐμόχλευον. καὶ πάλιν, Στήλας τε προβλῆτας ἐμόχλευον. καί, Μοχλοῖσιν ἄρα τήν γε κατείρυσαν εἰς ἅλα δῖαν. ἐκ τοῦ ὄπισθεν τὴν σχεδίαν μοχλοῖς ἐρείδων, ἐκίνει εἰς τὸ ἔμπροσθεν. οἱ δὲ μετὰ τὸν ποιητὴν ὡς ἠσυνήθεια ἐχρήσαντο τῷ ὀνόματι. εἰς τὸ ὀχλίζω.

Μῶλος, ἡ πολυχρόνιος μάχη. κυρίως παρὰ τὸ μὴ λύεσθαι ταχέως. ἢ ὅτι ὁμοῦ ὀλλύει, τουτέστιν ὀλοθρεύει. ἢ παρὰ τὸ μωλεῖν καὶ μῶλον. ἄρης, τὸν ἐν τῷ πολέμῳ μολυσμὸν καὶ τὴν μάχην. ἢ μώλωπα, τραῦμα. ἀπὸ τοῦ μόλις δύνασθαι ἐκφυγεῖν. ἢ ἀπὸ τοῦ μόλις κινεῖσθαι αὐτόν. καὶ μωλεῖν, τὸ μάχεσθαι. μολεῖν δὲ τὸ παραγίνεσθαι, διὰ τοῦ ο μικροῦ.

Μῶλυ, εἶδος βοτάνης ὅπερ δέδωκεν ὁ ὀδυσσεὺς τοῖς ἑταίροις αὐτοῦ καὶ ἀπεκατέστησεν αὐτοὺς ἀνθρώπους ἀπὸ τῆς ἀλλοιώσεως τῆς κίρκης. παρὰ τὸ μωλύειν, τουτέστι πραΰνειν καὶ καταστέλλειν τὰς φθοροποιοὺς ἐννοίας. μωλύνειν δέ ἐστι τὸ ἀμβλῦναι καὶ κωλῦσαι. ἀπὸ τοῦ μὴ ὀλλύειν, ἢ ἀπὸ τοῦ κωλύειν. Ἔχων μὲν ἐν τῇ χειρὶ μῶλυ. ἀντιφάρμακον γὰρ δέδοται.

Μωλύτερον, τὸ ἀμβλύτερον καὶ ἀσθενέστερον καὶ ἄνθος ἔχον.

Μώλωψ. ἔστιν ὄλλω καὶ ἔστι τὸ συστρέφω καὶ φθείρω. ὁ μέλλων, ὀλῶ. ὁ παρακείμενος, ὦλκα. ὁ παθητικός, ὦλμαι. ἐξ αὐτοῦ ὦλμος. καὶ ἐν ὑπερβιβασμῷ, μῶλος ἡ συστροφή. ἐξ οὗ μώλωψ. ἤγουν ἡ ἐκ πολέμου γενομένη πληγή. ἢ παρὰ τὸ βοῦς βοὸς καὶ λέπω τὸ λεπίζω, βώλωψ καὶ μώλωψ. δημήτριος ὁ πύκτης ἐν τῷ περὶ διαλέκτου. βώλωψ ἐτυμολογεῖται ἀπὸ τοῦ βοὸς λέπος ὅ ἐστι δέρμα, οὗ οἱ ἱμάντες σκευάζονται. μήποτε οὖν ὁ ἔλλος ὁ νευρὸς καὶ οἱ ἔλλοπες ἰχθύες, οὐκ ἀπὸ τοῦ τὸ ὄπα ἔχειν, ἀλλ' ἀπὸ τοῦ τοὺς μὲν ἐλλιπεῖς εἶναι, τοὺς δὲ ἐλλόπους. λεπὶς γὰρ καὶ λέπος, τὸ περικείμενον τῇ σαρκὶ δέρμα. λῶπος μὲν γὰρ τὸ ἱμάτιον. κατὰ μεταφοράν. λοπὶς δὲ καὶ λεπυρὸν καὶ λεπίς. κυρίως τὴν φολίδα τοῦ φωλεύειν ἐν αὐτῇ. κυρίως γὰρ μώλωπες λέγονται, αἱ ἐκ τῶν βοείων λώρων πληγαί.

Μωκός, χλευαστής. μωρός. σκώπτης. ἐξ οὗ καὶ μωκώμενος, ἤγουν χλευαζόμενος.

Μώνυχας ἵππους. ἀπὸ τοῦ μόνος καὶ τοῦ ὄνυξ ὄνυχος, γίνεται μονόνυχας. καὶ ἀποβολῇ τοῦ ν καὶ κράσει, μώνυχας.

Μωρός, παρὰ τὸ ὥρα ὅ ἐστι τὸ φροντίδα. μετὰ τῆς μὴ ἀπαγορεύσεως καὶ συγκοπῇ. οἱονεὶ ὁ μηδὲν φροντίζων. ἢ παρὰ τὸ μὴ ὁρᾶν τὸ συμφέρον.

Μῶμος, παρὰ τὸ μῶ, οὗ ὁ μέλλων. μώσω. δηλοῖ καὶ τὸ ζητῶ. μῶμος οὖν ὁ ἀεὶ ἐπιζητῶν. καὶ μηδὲν τῶν ἄλλων ἱκανὸν εἶναι νομίζων, ἀλλ' ἐνδεῖν τοῦ κρείττονος, ἀεὶ παντοῖον λέγων καὶ διασύρων.

Μυδᾶν, ἐστὶ δευτέρα συζυγία τῶν περισπωμένων. ἔστι τὸ ὄζειν, καὶ τὸ οἰδαίνειν, ἤγουν τὸ φυσᾶσθαι καὶ ὀγκοῦσθαι. οἰδαίνουσι γοῦν οἱ τάφοι κατὰ τὸ ἔνδον. γίνεται οὖν παρὰ τὸ μύω. ἢ ἀπὸ τοῦ μύζειν, καὶ ἐκθλίβειν τὸ ὑγρόν. κυρίως γὰρ τὸ ὄζω καὶ σήπω ἐστί. καὶ μυδῶντα, ἐστὶ τὸ ὄζοντα. παρὰ τὸ μύειν τοὺς μυκτῆρας, ἤγουν κλείειν. ἐξ αὐτοῦ μυδῶ μυδᾷς. καί, Μυδόωσα δὲ ἀπὸ χροὸς ἔρρεεν λάχνη. ἀντὶ διυγραινομένη. ἀπὸ τοῦ ὕδωρ ὕδω ὑδώσω. καὶ πλεονασμῷ τοῦ μ, μυδῶ. καὶ μυδαλέον, τὸ σεσηπὸς καὶ ὄζον. καί, Ἔερσας μυδαλέας. ἰλιάδος λ. ἀντὶ διαβρόχους. διύγρους. καὶ ἐμύδαινε, τὸ ἔβρεχε.

Μύδρος, ὁ πεπυρακτωμένος σίδηρος. εἴρηται παρὰ τὸ μύρεσθαι καὶ διαρρεῖν. λέγεται δὲ καὶ ὁ χρυσός, παρὰ λυκόφρονι. Πακτώλιον σταθμὸν τηλαυγῆ μύδρον.

Μυελός, παρὰ τὸ ἐν τῷ μυχῷ εἰλεῖσθαι, μυχελός τις ὤν. ἢ παρὰ τὸ μύω τὸ ἀσφαλίζω, ὁ ἐσφαλισμένος ὑπὸ τοῦ ὀστέου. ὅθεν καὶ μυαλοῦ.

Μύζεις. ἢ μυζεῖς. ἀριστοφάνης. παρὰ τὸ μύω, μύζω, ὡς ῥύω, ῥύζω. σημαίνει δὲ τὸ θηλάζω.

Μύησις, τὸ μυστήριον. παρὰ τὸ μεμυηκέναι. ἀπὸ τοῦ μυῶ τὸ μανθάνω. ἀφ' οὗ καὶ τό, Μυεῖται πνεύματος γνῶσιν.

Μῦθος, ἐστὶ δύο. τὸν σκοτεινὸν λόγον, παρὰ τὸ μύω τὸ καμμύω. καὶ τὸν ἁπλῶς λόγον, παρὰ τὸ μυῶ μυήσω τὸ διδάσκω, μύηθος καὶ μῦθος. Καρτερὸν δ' ἐπὶ μῦθον ἔτελλεν. μῦθος ἐστὶ καὶ τὴν στάσιν. ἅπαξ εἴρηται παρ' ὁμήρῳ. Ἄλλου μύθου ποιήσασθαι ἐπίσχεσιν. ὅθεν καὶ ἀνακρέων ἐν τῷ δευτέρῳ τῶν μελῶν. Μυθίας, τοὺς στασιαστάς. ἀντὶ τῶν ἁλιέων λέγεται.

Μυών. ἐκ τοῦ μυῶν. ἐστὶ δὲ τὸ παχὺ καὶ σαρκῶδες τῶν ὀπισθίων. τὸ συνεσφιγμένον ὑπὸ τῶν νεύρων μέρος. ἔνθα, Πάχιστος μυὼν ἀνθρώπου πέλει. γίνεται παρὰ τὸ μύω τὸ συσφίγγω. ὁ συνεσφιγμένος τόπος. μυὼν οὖν ἡ λεγομένη γαστροκνημία. ἰλιάδος π. ἥτις συνέστηκεν ἐκ πολλῶν νεύρων καὶ συνεστραμμένων σαρκῶν. ἐξ αὐτοῦ γίνεται μυὼν ἡ σαρκώδης οὖσα καὶ παχεῖα.

Μυκάλη, παρὰ τὸ ἐκεῖ μυκᾶσθαι τὰς γοργόνας διωκού-

Μυκαλησσός, ἡ πόλις. ὅτι ἐκεῖσε … σας τὴν πορείαν. ἐμυκήσατο ἡ βοῦς ἡ προηγησαμένη τοῦ Κάδμου εἰς τὴν κτίσιν τῶν Θηβῶν κατὰ χρησμὸν Ἀπόλλωνος.

Μύκης. μύκης ἐστὶν ἡ λαβὴ τοῦ ξίφους. νῦν τὸ ξίφος. καὶ ἀπὸ τοῦ μύκητος τοῦ ξίφους τοῦ πεσόντος ἐκεῖ ὄντος, ἐκλήθη ἡ πόλις Μυκήνη. μύκη δὲ τὸ κατακλεῖον τὴν θήκην τοῦ ξίφους τὸ κατὰ τὴν λαβίδα ὅπερ κρατεῖται. παρὰ τὸ μύω τὸ κατακλείω. Νίκανδρος. Ἐνθ' ἀκηφηνέα δῶρα μύκης ὅθι κάππεσεν ἄρπης. σημαίνει δὲ τὰ καρβώνια, ἤγουν τοὺς σπινθῆρας. ἀπὸ τῶν λύχνων ἀναπεμπομένους ἐν χειμῶνι. ὡς τό, Λύχνοιο μύκητες ἀγείρωνται περὶ μύξαν. Ἄρατος.

Μύκον. Ἀμφὶ δὲ πύλαι μύκον οὐρανοῦ. Ἰλιάδος ε. ἀντὶ τοῦ ἤχησαν. ἠνεῴχθησαν. ὀνοματοπεποίηται ὁ ψόφος, ἀπὸ τοῦ παρακολουθοῦντος. μυκῶ.

Μύκλος, καλεῖται ἡ ἐν τῷ τραχήλῳ τῶν ὄνων ὑποδίπλωσις. μύκλους οὖν εἶπεν ἐνταῦθα τοὺς μνηστῆρας, διὰ τὸ ἀδηφάγον καὶ καταφερές. ὡς καὶ Καλλίμαχος. Ἔστι μοι μάγγης ἐννέα μύκλος ὄνος. οἱ δέ, μύκλους φασὶ τὰς καταφερεῖς γυναῖκας. εἴρηται δὲ ἀπὸ ἑνὸς μύκλου αὐλητοῦ κωμῳδηθέντος ἐπὶ μαχλότητι. Λυκόφρων. Μύκλος γυναικόκλωπιν. ἡ δὲ βασσάρα.

Μυκτήρ, παρὰ τὸ μύζω μυκτήρ. ἢ ἀπὸ τοῦ τὸ μύξαν δι' αὐτῶν ἐξιέναι. ἢ ἀπὸ τοῦ μύξας τινὰς ἐφ' ἑαυτοῦ ἔχειν, τουτέστι πόρους. ἢ ἀπὸ τοῦ ἡγεμονικοῦ τεταγμένος τῆς αἰσθήσεως. ὅθεν καὶ μυκτηρίζειν λέγεται τὸ ἐν τῷ διαπαίζειν τινάς. τοῦ τόπως τὸ μέρος ἐπισπῶντας.

Μύξα, παρὰ τὸ ἀπὸ τοῦ μυκτῆρος ἐκκρίνεσθαι.

Μύλη. μύλαι τινὲς τῶν ὀδόντων οὕτως λέγονται διὰ τὸ ἐπ' αὐτῶν λεαίνεσθαι, ἢ τρίβεσθαι τὴν τροφήν. ἢ παρὰ τὸ μεσοῦν λίαν ἢ παρὰ τὸ ἐλῶ. ἀπὸ τῆς ἐπιγονατίδος. ἀπὸ τῆς ἔξω πρὸς τὴν μηχανὴν ἐμφερείας. διὰ τὸ εἶναι ἄνω τοῦ ἄρθρου τὸ κοῖλον, ὡς καὶ τῆς μύλης τὸ ὑπόθεν, καὶ τὰ ἐμβαλλόμενα πρὸς τὸ ἀλεσθῆναι τὰ σπέρματα. ἢ μύλη, ἡ μόλις κατεργαζομένη.

Μυληκόρον. κόρημα, τὸ σαροῦν λέγεται. ἔνθα μηλύκορον.

Μυληφάτος, παρὰ τὸ ὑπὸ μύλης συντετρίφθαι.

Μύλη, παρὰ τὸ μέσον καὶ τὸ ἀλοᾶν. οἷον, εἰς λεπτὰ ἀλοᾶν.

Μυλωθρός, πλεονασμῷ τοῦ ρ. οἷον, ὁ τὴν μύλην ὠθῶν. μυλωθός τις ὤν. λέγεται ὁ μυλῶνα κεκτημένος.

Μυλιόωντες. Ἡσίοδος. τὰ χείλη κινοῦντες ἀπὸ τῆς ψυχρότητος. ἢ συνάγοντες, ἢ τὰς μύλας συγκρούοντες. Κράτης δὲ γράφει, μαλκιόωντες. ἔστι δὲ τὸ διὰ ψῦχος μὴ ἔχειν εὐκίνητον δύναμιν χρήσασθαι.

Μύνη, πρόφασις. ἐπιμονῆς γὰρ χρεία τῶν προφασιζομένων εἰς τὸ ψεύδεσθαι καὶ μὴ εἰπεῖν τἀληθές. ὥστε ἀπὸ τοῦ μονή, μύνη, ὡς γονή, γυνή. τὰς προφάσεις δὲ μύνας καλοῦσιν οἱ Αἰολεῖς. ἔνθεν ἴσως καὶ τὸ ἀπροφασίστως τινὶ βοηθεῖν, ἀμύνειν λέγουσιν. Οὐ δὲ μυνάμην, ἀντὶ τοῦ προφασισάμην. Ἀλλ' ἄγε μὴ μύνῃσι παρέλκεαι. προφάσεσι. παρὰ τὸ μεμυκέναι τοῖς χείλεσι.

Μύνδος. Μύνδος ἰχθῦς. Σοφοκλῆς. ὁ μὴ αὐδῶν. ὅθεν καὶ ἔλλοψ, ἀπὸ τοῦ ἐλλείπειν τὴν ὄπα ἔχειν.

Μύουρον, τὸ ἐπὶ τελευτῆς ἀπολεπτυνόμενον.

Μυρία, τινὲς τὰ μὴ ὡρισμένα. οἱ δὲ τὰ πολλά. οἱ δὲ τὰς δέκα χιλιάδας. ἀπὸ τοῦ μεμυκέναι τοὺς δακτύλους ἐν τοῖς ψήφοις. σημαίνει πολλὰ ἀορίστως. τὸ μυ, βραχύ. ἐπὶ μὲν γὰρ τοῦ [illegible] τοῦ σημαίνοντος ὡρισμένον πλῆθος, ἐκτεταμένον ἐστίν. ἀπὸ γὰρ τοῦ μυ γίνεται στοιχείου τοῦ μακροῦ. τὸ δὲ σημαῖνον τὸ ἀόριστον πλῆθος, συστέλλεται. μυρία. τὸ μυ, ψιλόν. οὐδὲν στοιχείου ὄνομα εἰς δίφθογγον λήγει. ἢ οὕτως. ὁ τεσσαράκοντα ἀριθμὸς ὑφ' ἑαυτὸν πολυπλασιαζόμενος, γίνεται χίλια ἑξακόσια. εἶτα τὰ χίλια ἑξακόσια ἐφ' ἑαυτὰ ἑξαπλασιασθέντα, γίνεται ἐννάκις χίλια ἑξακόσια. εἶτα λείπει τοῦ στοιχείου τὰ τετρακόσια. καὶ προστεθέν, γίνεται δέκα χιλιάδες, ὅ ἐστι μύρια. παρὰ τὸ μυ στοιχεῖον, γίνεται μύριος. ἐξ οὗ μυριάς. κλίνεται μυριάδος. τὸ ας, βραχύ. τὰ εἰς ας ὀξύτονα θηλυκὰ συστέλλει τὸ α. ὀξύνεται. τὰ εἰς ας ὀνόματα διὰ τοῦ δος κλινόμενα, βραχὺ ἔχοντα τὸ α, ὀξύνεται. οἷον, ἐθάς. φυγάς.

Μύριννα. δύο πόλεις ἦσαν τῆς Λήμνου, Μύριννα καὶ Ἡφαιστία. οὐχ ὥς τινές φασι παρὰ τὸ μύρεσθαι καὶ ἔχειν, ἀλλ' ἀπὸ Μυρίνης τῆς Θόαντος γυναικός.

Μύρεσθαι, τὸ κλαίειν. παρὰ τὸ ῥεῖν τὰ δάκρυα. ἀπὸ τοῦ μύω.

Μύρον, τινὲς ἀπὸ τῆς μύρρας, ἢ ἀπὸ … ρω τὸ ῥέω. δευτερώθη. ἢ μύρον, ἀπὸ τοῦ ἐκπιέζεσθαι τὰ ἀρώματα.

Μυροπώλος. εἴρηται ὁ τὰ μύρα … καὶ ἀπρος ἀζειν ἐκεῖνα πωλῶν, τὸ πω μέγα. εἰ δὲ ὁ περὶ τὰ μύρα ἀναστρεφόμενος, μικρόν.

Μύρσος. Μύρσον ἐς ὠτώεντα πα… λαιφαμένης τε ἄγνοιο. μύρσος πλεκτόν ἐστιν ἀγγεῖον ἐξ ἄγνου πλεκόμενον λύγων.

Μύστις, παρὰ τὸ μύστης. τοῦτο παρὰ τὸ μύω. οὐ μόνον δὲ ἀπὸ βαρυτόνου γίνεται εἰς ι παρώνυμον, οἷον πλανήτης, πλανῆτις, ἀλλὰ καὶ ἀπὸ ὀξυτόνου. οἷον, ὑβριστής, ὑβρίστις. αἰχμητής, αἰχμῆτις. βουλευτής, βουλευτίς. Τῶν δὲ βουλευτὶς πόνων. ἐν ταῖς Ξαντρίαις.

Μύσταξ, ἐν ᾧ οἱ μυκτῆρες στάζουσιν.

Μῦς σημαίνει δ'. τὸν θαλάσσιον καὶ τὸν γηγενῆ. καὶ τὸ μέρος τοῦ σώματος. καὶ ὄνομα ἔθνους. ἐξ οὗ καὶ Μυσία ἡ πόλις.

Μύστης, παρὰ τὸ μύω τὸ καμμύω. μύοντες γὰρ τὰς αἰσθήσεις, καὶ ἔξω τῶν σωματικῶν φροντίδων γινόμενοι, οὕτω τὰς θείας ἀναλάμψεις ἐδέχοντο.

Μυστήρια, μυθήρια. μῦθος γὰρ ὁ λόγος. βέλτιον οὖν, ἃ δεῖ μύσαντας τηρεῖν ἐχέμυθον.

Μύστρον, ἀπὸ τοῦ μυστίλλεσθαι, τουτέστι μικρὰ ἐπαίρειν. καὶ μύστλον, τὸ κοῖλον τοῦ ἄρτου ἐσθίειν, μυστίλλας δὲ ἔλεγον. ὅθεν καὶ τὸ μύστλον. ἐγὼ δὲ μύστλον τὸ κοῖλον, παρὰ τὸ ἐοικέναι θαλασσίῳ μυΐ. καλεῖται δὲ μῦς ἐκεῖνο, ὅτι μύεται καὶ συγκλείεται ὅτε θέλει.

Μύσαχθες, παρὰ τὸ μύσος. τὸ δὲ μύσος παρὰ τὸ μύσω. τοῦτο παρὰ τὸ μύω τὸ καμμύω, ὃν γὰρ μισοῦμεν τοῦτον καὶ ἀποστρεφόμεθα. εἰς τὸ μύσαξ. παρὰ τὸ μυσάττω, οὗ παθητικὸν μυσάττομαι. μύω βαρύτονον τὸ καμμύω. περισπώμενον δὲ τὸ διδάσκω.

Μυττωτόν, ῥίμμα ἐξ ἀρτυμάτων πολλῶν συντιθέμενον. οἱ Ἀττικοὶ ὑπὸ ῥίμματι μετὰ σκορόδων καὶ τυροῦ γίνεσθαι λέγεται. ἔνιοι δὲ πλανῶνται διὰ λαχάνων συντιθέμενον. βέλτιον δὲ τὸ διὰ σκορόδων ῥίμμα. ὡς εἶναι παρὰ τὸ μυσάττεσθαι τὴν δυσωδίαν. μυσσωτόν, καὶ μυττωτόν.

Μυχοίτατος. ἀντὶ τοῦ ἐσχάτατος ἀπὸ τοῦ μυχός. ἀντίκειται δὲ ὥς φησιν Ἀρίσταρχος. τῷ, Ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο. οὐ γὰρ ἐσωτάτη ἐστὶ τοῦ Ἄργους, ἀλλὰ προκάθηται αὐτοῦ. δεῖ δὲ νοεῖν ὅτι οὐ τῆς πόλεως λέγει, ἀλλὰ τῆς Πελοποννήσου. μυχὸς δὲ σημαίνει τὸν ἐνδότατον τόπον, παρὰ τὸ νὺξ νυχός. καὶ κατὰ τροπὴν τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον μυχός. οἱονεὶ ὁ ἐνδότατος καὶ σκοτεινὸς τόπος.

Μύδρος, ὁ ἀργὸς σίδηρος. τίθεται δὲ καὶ ἐπὶ ἀκαθάρτου. καλεῖται δὲ καὶ ὁ διάπυρος σίδηρος μύδρος. ἔστι δὲ ἡ φωνὴ πεποιημένη. ἐκ τοῦ μύζω τοῦ ἠχῶ ῥήματος.

Μύωψ, ἔστι δὲ μυῖα τις ἐρεθίζουσα τοὺς βοῦς. ὁ μύειν συνεχῶς τοὺς ὦπας ποιῶν παρὰ τὸ μύω τὸ καμμύω.

Μῶν, ἀπορηματικὸς σύνδεσμος ἀντὶ τοῦ ἆρα. σύγκειται δὲ ἀπὸ τοῦ μὴ ἀπαγορευτικοῦ καὶ τοῦ οὖν συνδέσμου. καὶ ἐγένετο μὴ οὖν. ἀποβολῇ τοῦ η, μοῦν. καὶ κατὰ τροπὴν δωρικὴν τῆς ου εἰς ω, γίνεται μῶν. διὸ καὶ περισπᾶται.

Μετόπωρον, τὰς ὥρας τοῦ ἔτους ἀπὸ τῶν καρπῶν ὀνομάζουσι. θέρος οὖν ὅτε θερίζεται ὁ πυρός. ὀπώρα, ὅτε τρυγᾶται ἡ ὀπώρα. τὸ δὲ μετὰ ταῦτα, μετόπωρον.

Μέτασσαι. ἤγουν οἱ πάντες τοῦ εἶναι μεσαίταται, αἱ μεταξύ. καὶ ἐν ὑποθέσει μέτασσαι. ὥστε εἶναι μεταξύ τινάς. δύναται δὲ καὶ οὕτως ἐπίσσας λέγεσθαι ἰωνικῶς, παρὰ τὸ ἐκαταίω. ἔστιν ἐπίσσαι αἱ ἐπιγινόμεναι τοῖς προγόνοις. ὡς ἔπι οὖν ἔπισσα, οὕτω μετά, μέτασσαι.

Μενοινή. τὰ διὰ τοῦ οινη ὑπὲρ δύο συλ… λαβὰς ἔχοντα πρὸ τοῦ ν τὴν οι δίφθογγον οὐκ ἔστι γνήσια. γίνεται παρὰ τὸ μένω τὸ προθυμοῦμαι, μενή, καὶ μενοινή, κατὰ ἀναδιπλασιασμόν. ὡς καὶ παρὰ τὸ ἔδω ἐδή, καὶ ἐδωδή. καὶ κατὰ τροπὴν τοῦ ω εἰς τὴν οι δίφθογγον. ὡς παρὰ τὸ ἀγκὼν ἀγκώνη καὶ ἀγκοίνη. καὶ μενοινῶ ῥῆμα. ὃ σημαίνει τὸ προθυμοῦμαι. ὅθεν μενοινάᾳ δεύτερον πρόσωπον ἰωνικῶς, ἐνεστῶτος παθητικοῦ. τὰ δὲ εἰς η λήγοντα θηλυκὰ τρισύλλαβα ἀπὸ ῥημάτων γινόμενα, ἔχοντα ἐν τῇ τελευταίᾳ συλλαβῇ, καὶ τῇ πρὸ αὐτῆς τὸ αὐτὸ σύμφωνον ἢ ἀντίστοιχον, τὸ ω μέγα παραλήγεται. ὁ δὲ λόγος ἐπὶ τρισυλλάβων. οἷον, ἀγωγή. ὀδωδή. ἐδωδή. ὀπωπή. ἔχω ὀχή, ὀκωχή. ἤκω ἀκή, ἀκωκή. οὕτως οὖν καὶ μένω μενωνὴ ὤφειλεν εἶναι. ἀλλ' ἔστιν εἰπεῖν, ὅτι τὰ οὐδέτερα διπλασιάζονται ἀπὸ φωνήεντος ἄρχεται. τὸ δὲ μενοινὴ μόνον ἀπὸ συμφώνου. καὶ ὡς διήλλαξε κατὰ τοῦτο πρὸς τὰ ἄλλα, παρήλλαξε καὶ κατὰ τὴν παραλήγουσαν. οὕτως Ἡρωδιανός, ὡς λέγει Θεόγνωστος.

Μύρμηξ, παρὰ τὸ μερμηρίζω τὸ φροντίζω μερμηρίξω. καὶ συγκοπῇ μέρμηξ. καὶ κατὰ τροπὴν τοῦ ε εἰς υ μύρμηξ. ἤγουν ὁ τοῦ χειμερινοῦ καιροῦ τὴν τροφὴν μεριμνῶν. ἢ παρὰ τὸ μείρω. οὗτος γὰρ διὰ τὸ μὴ ἀναφύειν τὸν σῖτον εἰς δύο μερίζων ἀποτίθησι. καὶ τοὺς Μυρμιδόνας φασὶν ἀπὸ τῶν μυρμήκων γεγονέναι, ἐπινεύσαντος τοῦ Διὸς διὰ τὸ ὀλιγωθῆναι τοὺς ἀνθρώπους.

Μωσῆς, κλίσιν ἐπιδέχεται. Μωσῆς Μωσοῦ. Μωυσῆς Μωυσέος, ὡς εὐσεβὴς εὐσεβέος. καὶ Μωσεὺς Μωσέως, ὡς Πηλεὺς Πηλέως. Μωυσῆς Μωυσοῦ μᾶλλον ὁ θεοχώρητος:~

ΤΕΛΟΣ ΤΟΥ ΜΥ ΣΤΟΙΧΕΙΟΥ.

ΙΣ

ΝΙΚΟΛΑΟΥ — ΤΟΥΒΛΙΑΣ

ΑΡΧΗ ΤΟΥ ΝΥ ΣΤΟΙΧΕΙΟΥ

Ν Υ τὸ στοιχεῖον, ὅ τινες μυκτηρόφωνον ὀνομάζουσιν, ἐπειδὴ διὰ τοῦ μυκτῆρος ἔχει τὴν ἐκφώνησιν.

Νάκη, τὸ αἴγειον δέρμα. κωδία καὶ κώδιον τὸ προβάτειον. οὐκ ἄρα τὸ ἐν κόλχοις, νάκος ἐκ τούτου. καθὼς οὖν σιμωνίδης νάκος φησί. τὸ δὲ νάκη, ἔστιν ὄνομα προσηγορικόν. ὁ νάκης, τοῦ νάκου, τῷ νάκῃ, τὴν νάκην. τὸ γὰρ θηλυκόν, παρὰ τὸ νάκος, νάκη. ὡς παρὰ τὸ βλάβος βλάβη. ἄκος ἄκη. σκέπος, σκέπη. τὸ, παρωνυμικὸν παρὰ τὸ νάκη. τὰ γὰρ θηλυκά, προσθήκῃ τοῦ ς μὴ κωλυόμενα ὑπὸ χαρακτῆρος ἀρσενικῆς εἰσιν αὐτῆς κλίσεως, πλάτη, πλάτης, πλάτου. λέσχη, λέσχης, λέσχου. ἀκρου. ἀράχνου. μὴ κωλυόμενα ὑπὸ χαρακτῆρος, διὰ τὸ πλάνης καὶ κώμης.

Νᾶμα, παρὰ τὸ νῶ τὸ ῥέω. οὗ ὁ μέλλων νάσω. ἐξ αὐτοῦ νᾶμα. ὡς δράσω δρᾶμα.

Νᾶνος, ὁ μὴ αὐξόμενος. ὁ πίθηκος. παρὰ τὸ ἄνω, ὃ δηλοῖ τὸ αὐξάνω γίνεται ἄνος. καὶ μετὰ τοῦ νη στερητικοῦ καὶ συγκοπῇ.

Νάπυ, τὸ σίνηπι κατὰ στέρησιν τοῦ η πίου διὰ τὴν δριμύτητα. τὰ εἰς υ λήγοντα οὐδέτερα μακρᾷ παραληγόμενα, διὰ τοῦ εος κλίνονται. σεσημείωται τὸ νάπυος.

Νάπαι, δρυμοί. φάραγγες. κοιλάδες. παρὰ τὸ πίω ῥῆμα γίνεται μετὰ τοῦ στερητικοῦ α, ἄπη. καὶ μετὰ τοῦ νη ἑτέρας στερήσεως, γίνεται νηάπη. καὶ συγκοπῇ, νάπη. οἱονεὶ ἡ ἄγαν πίνουσα. αἱ γὰρ δύο στερήσεις ποιοῦσι μίαν ἐπίτασιν. ἢ παρὰ τὸ νη καὶ τὸ φῶ, γίνεται νηφαι καὶ νάπαι, κατὰ τροπὴν τοῦ η εἰς α. ὡς νηάνος καὶ νάνος, οὕτω νήπαι καὶ νάπαι. σημαίνει δὲ τοὺς συμφύτους καὶ κατασκίους τῶν ὀρῶν τόπους. ἢ τοὺς ὀρεινοὺς καὶ ὑλώδεις.

Ναρόν, τὸ ὑγρόν. παρὰ τὸ νῶ ῥῆμα δηλοῖ τὸ ῥέω. ὁ μέλλων νάσω, γίνεται ναρός. καὶ τὸ οὐδέτερον, ναρόν. σοφοκλῆς. Πρὸς ναρὰ δὲ κρηναῖα χωροῦμεν ποτά. οὕτω φιλόξενος. καὶ ἴσως ἡ συνήθεια τρέψασα τὸ α εἰς ε λέγει νερόν.

Νάρθηξ, σημαίνει δύο. τὸ τῆς ἐκκλησίας νάρθηκα. καὶ γίνεται παρὰ τὸ νέρθεν εἶναι τοῦ ναοῦ. σημαίνει καὶ τὸ ἐν τῇ κοινῇ συνηθείᾳ λεγόμενον νάρθηκα. καὶ γίνεται παρὰ τὸ ναρὸν ναρήξ καὶ νάρθηξ. ἢ παρὰ τὸ ναρόν, ὅ σημαίνει τὸ ὑγρόν, ναρήξ. καὶ νάρθηξ. νάρθηξ δὲ καὶ γλωσσόκομον ἤτοι τεῦχος. κυρίως τὸ ἐκ ναρθηκος γεγονὸς μὲν. καταχρηστικῶς δὲ καὶ τὸ ἐξ οἵας δήποτε ὕλης.

Ναστός, ὁ πεπιλημένος ἄρτος. ὁ μεστὸς πλήρους καὶ μὴ ἔχων κοῦφον. ἀπὸ τοῦ νάσσεσθαι ἀρτύμασιν, ἢ γάγμασιν. λυκόφρων. Οὐ γὰρ τις αὐτὸν ψήσεται πύργον γνάθῳ, πρὶν ἀγκρατήσει ναστὸν εὐστόχῳ λίθῳ. νῦν δὲ ἐπὶ ἄρτου καταχρηστικῶς ἔθηκε. ναστὸς δὲ κυρίως ὁ πλακοῦς ὁ μετὰ σταφίδων πεπεμμένος. ὁ πυκνός.

Νασμός, ὄμβρος. ἀπὸ τοῦ νάω. ὅθεν καὶ νᾶμα καὶ ναύτης. λυκόφρων. Ζηνὸς καχλάζων νασμός. σημαίνει δὲ ἐνταῦθα τὸν κατακλυσμόν. ἰλιάδος ξ. Πατὴρ δ' ἐμὸς ἄργει ναίεθεν πλαγχθείς, ἀντὶ τοῦ ἀπῳκίσθη.

Νάρκησεν, ἰλιάδος θ. ἐνάρκησεν, ἐλύθη. ἀπὸ τῆς νάρκης τοῦ ἰχθύος.

Ναῦς, γενικὴ εὐθείας ἔχει. ναῦς ναός. νηῦς νηός. νεῦς, νεός. ναῦς, ναός. ὁ κανών. δύο μόνα εἰσὶν εἰς αυς θηλυκά, ναῦς καὶ γραῦς. κλίνονται δὲ ἀμφότερα διὰ καθαροῦ τοῦ ος. ναὸς ἡ γενική. καὶ ἀττικῶς νεώς. γίνεται δὲ παρὰ τὸ νῶ τὸ κολυμβῶ ἢ νέω, παράγωγον νεύω. ὁ μέλλων νεύσω. νεῦς καὶ ναῦς. ὅμηρος ἐτυμολογεῖ. ἀπὸ τοῦ νῆσαι, ὅ ἐστι σωρεῦσαι. ἰλιάδος ι. Νῆα ἅλις χρυσοῦ καὶ

Ναῦφι, ὡς περ ἀπὸ τοῦ ταναός ταναόπους χαλκοῦ νηῆσαι. ὡς γίνεται ναυπόδης κράσει τοῦ αο εἰς ω ὁ διφθόγγου, σημαίνει δὲ τοὺς σύροντας τοὺς πόδας, οὕτω καὶ ἀπὸ τοῦ ναῦς ναός γίνεται ναόφι, καὶ κατὰ κρᾶσιν, Ναῦφιν ἀμυνόμενοι, ἀντὶ ἐκ

Ναύπακτος, πόλις. παρὰ τὸ πήγνυσθαι τῶν νεῶν ἀποσοβοῦντες. τὸ ναυπήγιον γενέσθαι τῶν ἡρακλειδῶν ἐκεῖ.

Ναυσικάα, κεκασμένη, ὅ ἐστι κεκοσμημένη ταῖς ναυσί.

Ναύτης, ὁ ἄγων τὰς ναῦς. ἢ διὰ τὸ τὰ νάματα τέμνειν. ἢ διὰ τὸ τὰ νάματα τείνειν, ἤγουν ἐλαύνειν.

Νάφθα, ἀπὸ τοῦ ἀνάπτω ἀνάψω ἀνῆφα, ἀνῆμμαι, ἀνῆψαι, ἀνῆπται, νάπτα καὶ νάφθα. παρεσκεύασται γὰρ ἐξάπτειν.

Ναῦλον, τὸ εἰς τὸ στόμα τῶν νεκρῶν ἐμβαλλόμενον νόμισμα.

Ναύλοχος, ὁ λιμήν. ἐν ᾧ αἱ ναῦς κοιμῶνται. λοχίζονται. ὅθεν καὶ εὐναὶ αἱ ἄγκυραι. εὐνάζουσι γὰρ τὴν ναῦν.

Ναύαιθος, ποταμὸς ἰταλίας. τῶν ἐξ ὀλίγου πλεόντων ἀχαιῶν, κατήχθησαν τινὲς εἰς τὸν ποταμὸν τοῦτον. αἱ δὲ αἰχμάλωτοι εὐλαβούμεναι τὴν ἐν τῇ ἑλλάδι δουλείαν, καὶ τὴν ἐσομένην ζηλοτυπίαν τῶν γυναικῶν αὐτῶν, ἐνέπρησαν τὰς ναῦς. καὶ ὁ μὲν ποταμὸς ὠνομάσθη ναύαιθος, ἀπὸ τοῦ αἴθω. αἱ δὲ γυναῖκες ναυπρήστιδες. καὶ αἱ νῆες.

Ναίω, σημαίνει τὸ οἰκῶ διὰ τῆς αι διφθόγγου. ὡς τό, ἐμπρήστιδες. Ναῖε δὲ σὰ τηνίσεν τὸς εὐρείτας ὑπὸ ὄχθας. ἐκ τούτου γίνεται καὶ ναός. νέω διὰ τοῦ ε ψιλοῦ τὸ πορεύομαι. ὡς τό, Νῶν δ' ἐπεὶ οὖν νέομαί γε φίλην ἐς πατρίδα γαῖαν. καὶ τὸ κολυμβῶ. ὡς τό, Στόμα καλλιρόοιο ἵξε νέων.

Ναιετάωσιν. ἀπὸ τοῦ ναίω γίνεται ναιέτης. καὶ ὡς κυνηγέτης κυνηγετῶ, οὕτω καὶ ναιέτης ναιετάω ναιετῶ. ναιέτης δὲ σημαίνει τὸν μέτοικον. ἡ μετοχὴ ναιετάων. τὸ θηλυκόν, ναιετάουσα. καὶ δωρικῶς, ναιετάωσα. ὡς ἱδροῦσαι ἱδρώσαι. καὶ βοῶν, βῶν.

Νέαιρα, τὸ ἔσχατον τῆς κοιλίας μέρος. παρὰ τὸ νέω τὸ πορεύομαι γίνεται. εἰς αὐτὴν γὰρ πορεύονται τὰ ἐσθιόμενα. καὶ πλεονασμῷ τοῦ ι, νείαιρα. ὡς τό, Νειαίρῃ δ' ἐν γαστέρι. ὡς νέαρος νείαρος. Νείατον ἐς κενεῶνα. καὶ, Ἐκ τοῦ δὲ νείαρος ἄλλων. παρὰ τὸ νέω γίνεται νέαρος. καὶ πλεονασμῷ τοῦ ι. ὡς περ παρὰ τὸ μέσον γίνεται μέσαρος. νέατον δὲ τὸ ἔσχατον. ὅθεν καὶ λαγὼν τὸ αὐτὸ εἴρηται

Νεάτη, ἡ ἐσχάτη. ἀπὸ τοῦ νέος. οἱ γὰρ νέοι παρὰ τὸ λήγειν. νέοι ἀτελεῖς εἰσὶ καὶ ἔσχατοι.

Νεαλής, ὁ νεωστὶ ἑαλωκὼς ἰχθύς. ἢ ὁ νεωστὶ ὀψοποιηκώς, ἢ πεπονηθώς.

Νεαροί, παρὰ τὸ νέω καὶ τὸ ἀρύω. τὸ νεωστὶ ἀρυθὲν ὕδωρ. μεταφορικῶς δὲ ἡ λέξις, καὶ ἐπὶ τῶν παιδίων τῶν νε

Νεανίας. παρὰ τὸ νέος γίνεται νεάν, ὡς νεωστὶ γεννηθέντος. μέγιστος μεγιστάν. καὶ παράγωγον ἐξ αὐτοῦ νεανίας. καὶ νεανίσκος. καὶ νεᾶνις.

Νέανδρος, κύριον ὄνομα. ἐπεὶ νέος ἠνδρεύσατο. ἢ νέος ὤν,

Νέαται, ἰλιάδος ι. Πᾶσαι δ' ἐγγὺς ἁλὸς νέαται πύλου ἠμαθόεντος. ἤγουν ἔσχαται ἢ κατῳκισμέναι εἰσί. συγκοπὴ δέ ἐστι τοῦ νενέαται. ἔστι δὲ νῶ ῥῆμα, δηλοῖ τὸ σωρεύω. οὗ ὁ παρακείμενος νένηκα, νένημαι. ἐξ οὗ γίνεται ἰωνικῶς, νενέαται. Φρυγάνων φάκελοι σωνενέαται. νῶ, σημαίνει τὸ οἰκῶ. ὁ παρακείμενος, νένηκα. ὁ παθητικός, νένημαι. νενήμεθα νένησθε νένηνται. καὶ ἰωνικῶς νενέαται. τὸ νέαται συνώνυμον τῷ δέχαται δέχαται.

Νέεσθαι, πορευθῆς. ἐπανέλθῃς. νέω τὸ πορεύομαι. τὸ ὑποτακτικὸν ἐὰν νέωμαι. τὸ δεύτερον νέηται. καὶ ἰωνικῶς νέηαι. συστέλλουσι γὰρ τὸ ε οἱ ἴωνες τοῦ δευτέρου προσώπου. καὶ ποιοῦσι δεύτερον πρόσωπον. ἰλιάδος α. Σαώτερος ὥς κε νέηαι.

Νέηλυς. τὰ ὡς σύνθετα εἰσὶ μόνα, ὥσπερ ὡς κε νέηαι. ἀπὸ τῶν εἰς υς ἁπλῶν σύνθετα, τὴν τῶν ἁπλῶν φυλάττει κλίσιν. οἷον βραχύς, βραχέος. ἄβραχυς, ἀβράχεος. ὀφρῦς ὀφρύος, λευκόφρυς λευκόφρυος. εἰ δὲ ἀπὸ ἄλλων ὀνομάτων εἰσὶ σύνθετα, διὰ τοῦ δος κλίνονται. οἷον ἔπηλυς ἔπηλυδος. νέηλυς νέηλυδος. σημαίνει δὲ τὸν ξένον. οὐκ ἔστιν ἀπὸ τῶν εἰς υς, ἀλλ' ἀπὸ τοῦ ἐλεύθω γίνεται ἤλυς, καὶ νέηλυς, ὁ νεωστὶ ἐληλυθώς. ἰλιάδος β. κηνῶν τοῦ χοιροβοσκοῦ. δεκάπηχυς δεκαπήχεος. ἀρσενόθηλυς ἀρσενοθήλεος. καλλίχθυς, καλλίχθυος.

Νεβροί, ἐλάφων γεννήματα. οἱ νεωστὶ ἐπὶ βορὰν ἐλθόντες. κίοντες, ἢ παρὰ τὸ νεωστὶ πρὸς πορείαν ἰέναι. ἢ νεόποροι, οἱ μηδέπω πορεύεσθαι δυνάμενοι. ἢ παρὰ τὸ νε στερητικὸν καὶ τὸ βορά, τὸ ἐστερημένον τῆς βορᾶς, ὅ ἐστι τῆς τροφῆς. καὶ νευρίζειν, τὸ νεβροῦ δέρμα φορεῖν.

Νεκρός, παρὰ τὸ κῆρ, ὃ δηλοῖ τὴν ψυχὴν καὶ τοῦ νε στερητικοῦ, γίνεται νέκηρος, ὁ ἐστερημένος τῆς ψυχῆς. καὶ κατὰ συγκοπὴν νεκρός. ἢ ἀπὸ τοῦ νη στερητικοῦ.

Νεαλής, κυρίως ὁ νεωστὶ ἑαλωκὼς ἰχθύς, ἢ ἁλισθείς.

Νέμειν, διαιρεῖν. μερίζειν. βόσκειν. νομεύς ὁ προσφάτως. μιζειν. ἀναγινώσκειν. καὶ χειρονομεῖν ἴωνες.

Νέκυς. ὡς περ κόρος κότυς, οὕτω καὶ νεκρός νέκυς. καὶ ἀποβολῇ τοῦ ρ νέκυς. ἢ παρὰ τὸ νίκυς ὃ σημαίνει τὴν δύναμιν καὶ ἰσχύν. μετὰ τοῦ νε στερητικοῦ γίνεται νέκικυς ὁ ἐστερημένος τῆς κίκυος. κατὰ συγκοπὴν νέκυς. σημαίνει δὲ τὸν νεκρόν.

Νεκάδες. ὅμηρος εἴωθε λέγειν νεκάδας, τὰς τῶν νεκρῶν τάξεις. παρὰ τοὺς νέκυας νεκυάδας τινὰς οὔσας. οἱ δὲ νεώτεροι καὶ τὰς τῶν ὁπλιτῶν τάξεις, οὕτω καλοῦσι. παρὰ τὸ νεῖκος, αἱ εἰς πόλεμον ἡτοιμασμέναι, ἢ ἀχώριστοι. τὸ γὰρ νε στερητικόν ἐστι. καὶ καλεῖν τὸ χωρῆσαι. ἰλιάδος θ. Δαναῶν κεκαδησόμεθα. παρὰ μέντοι τοῖς κυκλικοῖς, αἱ ψυχαὶ νεκάδες λέγονται. Ἤ τε κε δηρὸν αὐτοῦ πήματ' ἔπασχον ἐν αἰνῇσι νεκάδεσσιν. ἰλιάδος ε.

Νέκταρ. Νέκταρ ἐῳνοχόει. τὸ τῶν θεῶν πόμα. οἱονεὶ τὸ συνέχον τοὺς πίνοντας αὐτὸ ἐν νεότητι. παρὰ τὸ νέον, καὶ τὸ ἔχω, νεόεκταρ. καὶ κατὰ συγκοπὴν νέκταρ. διὸ καὶ ἡ ἥβη αὐτὸ κιρνᾷ. ἰλιάδος δ. τινὲς δὲ ἐπὶ τοῦ θείου πόματος. παρὰ τὸ νε στερητικὸν καὶ τὸ κτῶ τὸ φονεύω καὶ ἀναιρῶ γίνεται. οἱονεὶ τὸ στεροῦν τοῦ κτᾶσθαι καὶ φονεύεσθαι τοὺς πίνοντας αὐτό. ἀφ' οὗ δηλοῖ τὸ ἀθάνατον. οἱ τὸ μὴ κτεινομένοις, ἀλλὰ τοῖς ἀθανάτοις διδόμενον. κλίνεται νέκταρος. καὶ τὸ κτητικὸν νεκτάρεον. ὁ νεκτάρεος τοῦ νεκταρέου. τουτέστι, θείου. θαυμαστοῦ. ἀκηράτου.

Νεμέα, τόπος ἐν ἄργει. ἀπὸ τῶν νεμομένων ἐκεῖσε βοῶν, αἳ ἦσαν ἥρας. ἢ ἀπὸ τῶν δαναοῦ, οἳ κατενεμήσαντο καὶ ἐκληρώσαντο τὸ χωρίον. ἡρακλῆς δὲ διέθηκε τὴν ἑορτὴν τῶν

Νεμεαῖον, ὄρος πελοποννήσου. λέοντα φονεύσας. καὶ πόλις νεμέα, ἔνθα ἦν ὁ νεμεαῖος λέων.

Νέμεσις, μέμψις. μομφή. οἶμαι ἀπὸ τοῦ νεμῶ γίνεται. ἡ δίκη, νεμέσει. ἐκ τοῦ νεμεσᾶν. τροπῇ τοῦ ε εἰς σ. ἢ κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ ς. ἰλιάδος ζ. Οὔ τοι ἐγὼ τρώων τόσσον χόλῳ, οὐδὲ νεμέσσι ἥμην ἐν θαλάμῳ.

Νεμεσητός, μεπτός. ἀπὸ τοῦ νεμεσῶ δευτέρας συζυγίας. ὅθεν καὶ τό, Νεμεσσηθεὶς ἐνὶ θυμῷ, ἀντὶ τοῦ ἐμεμφθεὶς, ἰλιάδος β. ἔστι δὲ ἀόριστος παθητικός. καὶ οἱ βοιωτοὶ ἐπὶ τῶν μὴ ἐχόντων τὴν μετοχὴν ὡς περ νοσήθην. τὸ δὲ νεμεσῶ γίνεται ἐκ τοῦ νεμῶ περισπωμένου.

Νέος, ἀπὸ τοῦ νέεσθαι. ὅ ἐστι πορεύεσθαι καὶ ἔρχεσθαι εἰς αὔξησιν. ἢ παρὰ τὸ ὁρμᾶσθαι. ὁρμητικὴ γὰρ ἡ ἡλικία ἀνὰ πλέως.

Νεογνός, ὁ νεωστὶ γεγεννημένος· ἢ νεόγονος τις ὤν· καὶ κατὰ συγκοπήν.

Νεομηνία, παρὰ τὸ νέος καὶ τὸ μὴν μηνός.

Νεοσσὸς, ὁ νεωστὶ σευόμενος. ἢ παρὰ τὸ νεάζω.

Νεώτερος, ὁ νέος τῇ ὁράσει. ζήτει εἰς τὸ νεοῖν.

Νεοχμοῦντες, μετακοσμοῦντες. καὶ νεοχμῶσιν, τὴν νεοκίνησιν. καὶ νεοχμὸς, ἄηθος. ἄτοπος. καινότερος. νεωστὶ εἰργασμένος.

Νεοαρδέα, νεωστὶ πεποτισμένην καὶ ἀρδευθεῖσαν. ἰλιάδος φ.

Νεωκόρος, παρὰ τὸ κορῶ τὸ καθαίρω καὶ ... ἐπιμελείας ἀξιῶ, καὶ τὸ νεὼς ἀττικῶς, ὁ τοῦ νεὼ ἐπιμελούμενος.

Νεωστὶ, οἱ νέοι τῶν νέων. ἐπίρρημα, νέως καὶ νεωστί.

Νέωτα. Αἰεὶ γεωργὸς εἰς νέωτα πλούσιος. καὶ, Ἐς νέωτα τὸν πόλεμον μεταθέσθαι. τὸ ἐπιὸν ἔτος, ἢ τὸ μέλλον. παρὰ τὸ ὦμος, ὃ σημαίνει τὸν ἐνιαυτὸν, γίνεται ὦμοσα. καὶ ἀποβολῇ τοῦ σ ὦμοτα. καὶ ἐκτάσει τοῦ ο εἰς ω, καὶ ὑποθέσει τοῦ ν, νέωτα. ἀττικοὶ δὲ, παρὰ τὸ νέος νέωτα κατ᾽ ἔκτασιν. ἢ νέος νέωτε κατ᾽ ἔκτασιν, ὡς ἄλλος ἄλλοτε. καὶ τροπῇ αἰολικῇ τοῦ ε εἰς α, νέωτα.

Νεόχμωσεν. ἠλλοίωσεν, ἐκαινοποίησεν. ἀπὸ τοῦ νέος καὶ τοῦ ἔχω, γίνεται νεοέχω. καὶ κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ μ, νεοχμῶ.

Νεωλκῶ. ἐκ τοῦ ναῦς νεὸς καὶ ἀττικῶς νεὼς καὶ τοῦ ἕλκω, γίνεται νεωλκῶ β΄ τῆς συζυγίας.

Νεοῖν, τῇ ἀροσίᾳ. ἀπὸ τῆς ἐκ τῆς ἀροσιάσεως νέα ἀνα... λαμβάνειν τὴν γῆν.

Νεουτορος, νεόγωρος.

Νεοσσὸς, παρὰ τὸ νε στερητικὸν καὶ τὸ σεύω τὸ ὁρμῶ. τὰ πρὶν ἢ πτεροφυῆσαι σεύεσθαι μὴ δυνάμενα. ἐκ τούτου καὶ τὸ νοσσίον. ζήτει εἰς τὰς διαφοράς.

Νεώσοικοι, καταγώγια εἰσὶν ἐπὶ θαλάσσης οἰκοδομήματα πρὸς ὑποδοχὴν τῶν νεῶν. νεώρια δὲ ἡ τῶν ὅρων

Νένωται. ἢ κατὰ συγκοπὴν τοῦ η ἀπὸ ... περιβολή. τοῦ νενόηται, ὥσπερ καὶ νενόεαται ἰωνικῶς γίνεται, ἢ ἀπὸ τοῦ νένωται κατὰ συστολήν. ἔστι γὰρ ῥῆμα γ΄ τῆς συζυγίας ὡς παρὰ σοφοκλεῖ. οἷον, Ἑλένης γάμων ἐνώται. καὶ παρὰ ἀνακρέοντι, ἡ μεγαχὴ. Οὐδ᾽ ὑψηλὰ νενωμένος. καὶ ὁ ἄθλιος, ἐν τοῖς σαμίων ὅροις. Ἀλλὰ λέξασθαι νένωνται. καὶ πάλιν ὡς χρυσοῦνται χρυσοῦνται, οὕτω καὶ νόονται νοῦνται. δημόκριτος. Φησὶ θεανοῦνται. περὶ παθῶν.

Νέποδες, οἱ ἰχθύες. παρὰ τὴν νε στέρησιν καὶ τοὺς πόδας. οἱ ποδῶν ἐστερημένοι. καὶ ὅτε εἴθισται ἀπόδων γενῶν, ἡ μεταφορὰ ἀπὸ τῶν βρεφῶν τῶν μήπω τοῖς ποσὶ κεχρημένων. ὧρος.

Νέπως, παρὰ τὸ πῶμι, ὃ σημαίνει τὸ πίνω. ὁ μέλλων πώσω. ἀποβολῇ τοῦ ω μετὰ τοῦ στερητικοῦ, νέπως. ἄνυδρον γὰρ τὸ ὄρος ἐκεῖνο.

Νέσωρ, παρὰ τὸ νέα ἰσορρεῖν. ἢ παρὰ τὸ στερεὸν ἔχειν τὸν

Νεῦρον, παρὰ τὸ νεῦσθαι δι᾽ ὅλου τοῦ σώματος. ... νοῦν.

Νευρέας, ἀπὸ τῆς νευρᾶς πλεονασμῷ τοῦ ε.

Νέφος, παρὰ τὸ νείφεσθαι τῷ οὐρανῷ, ὅ ἐστι βρέχεσθαι. φέρεται γὰρ εἰς αὐτοὺς τὸν οὐρανόν. ἢ διὰ τὸ ἐν νότῳ φέρεσθαι.

Νέφος, οἷον νέφας τὸ ἐστερημένον φάους, ὅ ἐστι φωτός. ἢ παρὰ τὸ νείφω τὸ βρέχω. τὸ δὲ νείφειν κυρίως, ἐπὶ τὰς ἐκ νέφους καταφορὰς τῶν ὑδάτων εἴρηται τὸ νιφετοῦ. ἀπὸ τοῦ νέφος νέφω καὶ νείφω. σημαίνει τὸ χιονίζω. ὀκνῶν. τὰ διὰ τοῦ εφος οὐδέτερα δισύλλαβα μονογενῆ διὰ τοῦ ε ψιλοῦ γράφεται. χωρὶς τοῦ λαῖφος. καὶ τὰ διὰ τοῦ ελη θηλυκὰ ὑπὲρ δύο συλλαβὰς βαρύνεται, ἐν ἰφωνήσει τὰ παραληγόμενα. σεμέλη.

Νεφέλη, παρὰ τὸ νάμα ἐφέλκειν ἐκ τῆς θαλάσσης.

Νεφεληγερέτης, ὁ τῶν νεφῶν ἀθροιστικὸς ζεύς.

Νεῖκος, ἡ φιλονεικία. παρὰ τὸ νέοις ἐοικέναι. ἡ γὰρ φιλονεικία, τοῖς νεαροῖς ἁρμόζει. σοφοκλῆς. Ὕβρις δέ τοι ὑπὸ πόθου ἡβήσει τῷ σώφρονι ἱκετ. ἀλλ᾽ ἐν νέοις ἀνθεῖ τε καὶ πάλιν φθίνει. ἢ παρὰ τὸ νε στερητικὸν καὶ τὸ εἴκω τὸ ὑποχωρῶ, γίνεται νέεικος. καὶ κατὰ κρᾶσιν τοῦ ε, καὶ τῆς ει διφθόγγου εἰς τὴν ει δίφθογγον, νεῖκος. ἡ γὰρ φιλονεικία τοῦ ὑποχωρεῖν ἐστέρηται. εἰ γὰρ ὑποχωρήσουσιν, οὐκέτι γίνεται φιλονεικία. καὶ παρὰ τὸ νεῖκος, γίνεται νεικῶ ἐπὶ τοῦ ὀνειδίζω, καὶ λοιδορῶ.

Νεῖλος, ὁ ποταμός. παρὰ τὸ νέω τὸ ῥέω καὶ τὸ ἰλὺς, νεΐλος. καὶ κατὰ συναίρεσιν, νεῖλος. οἱονεὶ, ὁ ῥέων ἰλύν. ὁ γὰρ νεῖλος ἰλυώδης ἐστίν. ἢ ὥσπερ παρὰ τὸ ὄνθος γίνεται ὄνθυλος, καὶ ῥὼς ῥωίλος, καὶ ζωὴ, ζωίλος, οὕτω καὶ παρὰ τὸ νέος νέιλος καὶ νεῖλος. καὶ γὰρ νέος κατ᾽ ἔτος ἐστί. πλημμυρεῖ γὰρ κατ᾽ ἔτος, καὶ ποτίζει πᾶσαν τὴν αἴγυπτον. ἢ παρὰ τὸ νέαν ἰλὺν ἄγειν ἐν τῇ ἀναβάσει. καὶ πῶς ἔχει νέαν ἰλύν. ἐπειδὴ ἐναντίως φέρεται ὡς πρὸς τοὺς λοιποὺς ποταμούς. οἱ μὲν λοιποὶ, τῷ χειμῶνι πλημμυροῦσι. τῷ δὲ θέρει, ἀνεκτότερον προΐασι τὸ ῥεῖν. οὗτος δὲ τοὐναντίον. τῷ μὲν γὰρ χειμῶνι, ἀνεκτότερον ῥεῖ. τῷ δὲ θέρει πλημμυρεῖ. καὶ ἐρχόμενος, ποτίζει πᾶσαν τὴν γῆν ἐκείνην.

Νείλεως, ἢ παρὰ τὸ νέος καὶ τὸ λεώς, ἢ ὥσπερ ἡ αὐλῆτος καὶ ἡ ἀλῶτος γενικὴ, μετάγονται εἰς εὐθεῖαν καὶ προπαροξύνονται, τὸν αὐτὸν τρόπον καὶ ἡ νηλέως γενικὴ ἀπὸ τῆς νηλὴς εὐθείας, μετάγεται εἰς εὐθεῖαν καὶ προπαροξύνεται. οἷον, νείλεως κατὰ τροπὴν βοιωτῶν τοῦ η εἰς ει δίφθογγον. ὥσπερ οὐ τήσω, ὠτειλή.

Νεικείῃσι. Ὄφρα μή αὖτε νεικείῃσι πατήρ. ἰλιάδος α. ὅπως μὴ πάλιν κακολογοίη καὶ ὀνειδίζῃ. ἀπὸ τοῦ νεικῶ τὸ πλήσσω, γίνεται νεικείω. τὸ ὑποτακτικὸν, ἐὰν νεικείω, ἐὰν νεικείῃ. καὶ κατ᾽ ἐπέκτασιν τῆς σι συλλαβῆς. ὁ παρατατικὸς, ἐνείκεον ἐνείκεες ἐνείκεε. καὶ συναρχομένως, νείκεε. καὶ νεικείεσκε, ῥῆμα παρατατικοῦ γίνεται προσώπου.

Νειὸς, ἡ ἀρόσιμος γῆ. παρὰ τὸ νεῶ, νεός. καὶ πλεονασμῷ τοῦ ι, νειός. σημαίνει δὲ τὴν ἀνανεουμένην γῆν. ἀνανεοῦται γὰρ ἡ γῆ ἀρουμένη. νεῶ γὰρ τὸ ἀνανεῶ.

Νη, στερητικὸν ἐστὶν ἐπίρρημα. ὁρᾶται δὲ καὶ ἐπιτατικὸν, ὡς ἐν τῷ νηλὴς νήνεμος. νῆ χύτον ὕδωρ. φιλήτας. καὶ μα

Νηγάτεον, τὸ νεωστὶ κατασκευασμένον ἢ νενησμένον. ...ράβου δὲ νῆ χυτὸς ὁρ... ὥσπερ παρὰ τὸ τείνω τείνομαι τέτατος, οὕτω καὶ παρὰ τὸ γείνω γείνομαι, γάτος καὶ νεήγατος. τροπῇ τοῦ ε εἰς η. ἀπὸ τοῦ νέος. καὶ ὑποθέσει τοῦ ε, γέγονε νηγάτεος. ὁ νεωστὶ γεγονώς. ἢ παρὰ τὸ θεῶ τὸ θαυμάζω καὶ νήθω τὸ κλώθω, γέγονε νηγάθεον τὸ ἄγαν θαυμαστόν. ἢ ἠγάθεον τὸ θαυμαστῶς νενησμένον καὶ εἰργασμένον. ἰλιάδος β. ἢ τὸ ἐστερημένον τῆς βλάβης. πλεονασμῷ τοῦ γ.

Νήγρετος, ἥδιστος, ἀνέγερτος δι᾽ ἡδονήν. βαθύς.

Νήδυμος ὕπνος, ἡδὺς καὶ γλυκύς. τινὲς ἐκ τοῦ ἡδύς. λέξεως δὲ διασωζομένης, οὐ συντίθεται τὸ ν κατ᾽ ἀρχάς. ἔστι δὲ ἀπὸ τοῦ δύω δύσω. ῥηματικὸν ὄνομα, δύμος. καὶ μετὰ τοῦ νη ἐπιτατικοῦ. ἢ ἄδυμος, ὃν οὐ δυνατὸν ἀποδύσασθαι διὰ τὸ βάθος. φασὶ δὲ τινὲς ὅτι τὸ βαθὺν σημαίνει κατὰ μεταφορὰν παρὰ τὴν νηδύν, ἢ ἐπικοιλία. βαθύτατον δὲ ἐστὶν ἐν ἡμῖν τοῦτο τὸ μέρος. ἢ τὸν ἀνώδυνον σημαίνει.

Νηδὺς, ἡ γαστήρ. ἀπὸ τοῦ νῶ νήσω τὸ σωρεύω, νηδύς. εἰς ἣν σωρεύονται αἱ τροφαί. ἢ οὖν ἀπὸ τοῦ δύνειν ἤθαι τὰ τῆς τροφῆς ἐν αὐτῇ. ὅ ἐστι σεσωρεῦσθαι τὰ βρώματα. ἢ ἀπὸ τοῦ νάειν ὅ ἐστι ῥεῖν. ἡ γὰρ ἐπάρδευσις τῷ σώματι τῆς τροφῆς ἀπὸ ταύτης ἐστί. σημαίνει τὸ νηδὺς καὶ τὴν βαθεῖαν.

Νήλυμος, τὸ δὺ βραχύ. τὰ εἰς μος λήγοντα ὀνόματα ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα μὴ ὄντα σύνθετα τῷ υ παραληγόμενα, συστέλλει αὐτό. ἔρυμος, ἔλυμος. ἔτυμος. δίδυμος. τὸ γὰρ πρόθυμος, σύνθετον.

Νηίτης, ἀπὸ τῆς νεὼς νείτης καὶ νηίτης. ἢ ἀπὸ τῆς νηός. τὰ ἀπὸ τῶν εἰς αυς θηλυκῶν μονοσυλλάβων, διὰ τοῦ ιος παράγωγα, διὰ τοῦ ι γράφονται. οἷον, ναῦς ναός, ναῖος. καὶ τροπῇ, νήιος. καὶ νήιον ξύλον, τὸ πρὸς νηῶν κατασκευὴν ἐπιτήδειον. ἔστι δὲ καὶ ὄρος πλησίον τῆς ἰθάκης οὕτω καλούμενον. οἷον, Ἡμεῖς δ᾽ ἐξ ἰθάκης ὑπὸ νηΐου, τῆς ὑπὸ τῷ νηΐῳ ὄρει κειμένης. οὕτω δὲ θήβη ὑποπλακίη, ἡ ὑπὸ τῷ πλακίῳ ὄρει. γραῦς γραὸς γραῖος. καὶ, Γρήϊον εἶδος

Νηλὴς, ἀνηλεής. σκληρός. ἀπὸ τοῦ λῶ τὸ θέλω καὶ τοῦ νη στερητικοῦ. οἱονεὶ ὁ μὴ θέλων, ἀλλ᾽ ἀκαμ... ἔχουσα.

Νηλεής, ἀπὸ τοῦ ἔλεος καὶ τοῦ νη στερητικοῦ ἐστι. ...πῶς ὤν. οἱονεὶ ὁ ἐστερημένος τοῦ ἐλεεῖν. ἔστι καὶ ἐπίρρημα πλεονασμῷ τοῦ ι. οἷον, Νηλειῶς μελεϊστὶ κεδαιόμενος, θανέεσθαι. ἀντὶ ἀνηλεῶς. καὶ κατὰ μέλος καταποπτόμενος καὶ κατατεμνόμενος.

Νήλιπος, ἀνυπόδητος καὶ μονοχίτων κατὰ στέρησιν τοῦ νη. τὸ δὲ νήλιποι ἀνυπόδητοι, συνῆπται ἀπὸ τοῦ λίποδες.

Νῆμα οὐκ ἔστιν ἀπὸ τοῦ νήθω. νῆσμα γάρ ... εἰς τὸ ἀνήλιπος ἂν ἦν, ἀλλ᾽ ἀπὸ τοῦ νῶ ὃ σημαίνει τὸ νήθω. ὅθεν καὶ νήματα ἡσίοδος. καὶ ὁ παρατατικὸς, μάλιστα μὲν ἔρρει. ἀπὸ τούτου οὖν ἐστι νῆμα, οὐκ ἀπὸ τοῦ παθητικοῦ. οἷον, νήματος ἀσκηρίο βεβιωμένου τοῦ πρὸς νῆσιν ἐπιτηδείου μηρύματος. βεβιωμένου δὲ, τοῦ πεπληρωμένου. καὶ βυκτάων ἀνέμων, τῶν πλησίον ἀπελώκασι τινές.

Νηλεΐ χαλκῷ. ἡ εὐθεῖα νηλής. ἔστιν ἐκ τοῦ ἔλεος ἐλεής. καὶ συγκοπῇ, νηλὴς ὁ ἐστερημένος τοῦ ἐλέους. ἔστι δὲ καὶ νηλεής. διὸ γὰρ δέχεται εὐθείας. διὸ οὖν καὶ ἡ κλητικὴ ὦ νηλεές. καὶ νηλεὲς ἦτορ οὐδετέρως, τὸ ἀπηνὲς καὶ ἄπορμον.

Νημερτὴς, ὁ ἀληθής. παρὰ τὸ ἁμαρτῶ ἁμαρτής. τροπῇ τοῦ α εἰς ε μετὰ τοῦ νη στερητικοῦ, καὶ συγκοπῇ, νημερτής. οἷο

Νηλίτεις, σημαίνει τοὺς ἀμαρ... νειό ἐστερημένους τοῦ ἁμαρτεῖν. τωλοις. ὥσπερ ἀπὸ τοῦ εὐσεβὴς ἐστὶν εὐσεβέες εὐσεβεῖς. οὕτως ἀπὸ τοῦ νηλίτης νηλίτεες, νηλίτεις. ἔστι δὲ παρὰ τὸ νη τὸ ἐπιτατικὸν καὶ τὸ ἀλιτεῖν ὅ ἐστι τὸ ἁμαρτάνειν. καὶ ἄξιον ζητεῖν διατί τὸ νηλίτης διὰ τοῦ η ἐστὶ, τὸ δὲ ἀλιτεῖν διὰ τοῦ ι. ὅτι αἰολικῶς ἐγράφη διὰ τοῦ ει. οὕτω γὰρ καὶ τὸ ἀκτὴν καὶ τὸ ψιμύθιον διὰ τοῦ η προφέρουσιν αἰολεῖς. ἕτεροι δὲ τοὺς ἀναμαρτήτους λέγουσιν. ἀπὸ τοῦ νη

Νηΐς. ἐπὶ μὲν τῆς δαιμονος βα... στερητικοῦ καὶ τὰ ἀλιτεῖν. ρυτόνως λέγεται. νηΐδες αἵτινες καὶ νύμφαι ὀρεστιάδες προσαγορεύονται. παρὰ τὸ νάω τὸ ῥέω, αἱ ἐν νάμασιν οὖσαι ὡς φησιν ἡσίοδος. Καί τε περὶ κρήνην ἰοειδέα ποσσὶν ἁπαλοῖσιν λοῦσαν. ἐπὶ δὲ τῆς νύμφης, ὀξυτόνως. ἰλιάδος ζ. Οὕς ποτε νύμφη νηῒς ἀβαρβαρέη. ἢ παρὰ τὸ νεᾶνις, κατὰ συναλοιφὴν νῆνις. καὶ ἀποβολῇ τοῦ ν, νηΐς. ὀξύνεται. ἢ παρὰ τὸ εἰδῶ τὸ γινώσκω. ὁ μέλλων εἴσω. ἀποβολῇ τοῦ ω καὶ τοῦ ε, ἐστὶ ῥηματικὸν ὄνομα ἴς. καὶ μετὰ τοῦ νη στερητικοῦ, ἐστὶ νηῒς ἡ ἄπειρος γάμων. ἡ μὴ γινώσκουσα γάμον. ὅθεν καὶ τὸ νῆϊς τὸ ἀρσενικὸν καὶ βαρύτονον ἀντὶ ἄπειρος. οἷον,

Νήπιος, ἄφρων ἀνόητος. παρὰ τὸ ἤπιος ... Νῆϊς ἀέθλων. πλεονασμῷ τοῦ ν, ὁ πρᾶος καὶ προσηνής, καὶ νήπια ποιῶν. ἢ παρὰ τὸ νη στερητικὸν καὶ τὸ εἰπεῖν, ἐστὶ νήεπιος. καὶ κατὰ συγκοπὴν, ὁ μὴ δυνάμενος λέγειν. ἢ νήβιος, ὁ ἐστερημένος τοῦ βίου. καὶ νήπιον, τὸ ἐστερημένον τῶν βιωτικῶν φροντίδων. ἢ παρὰ τὸ νη ἐπιτατικὸν καὶ τὸ ἤπιον τὸ λιπαρόν. ἢ ἤπιον τὸ πρᾶον καὶ μὴ ἔχον ὀργήν. μετὰ τοῦ ἐπιτατικοῦ. ἢ νέον

Νηπίαχος. παρὰ τὸ νη στερητικὸν καὶ τὸ ἰάχω. ... πίον. τουτέστι ἡ ἐκπεπομένη βοή. τοῦτο παρὰ τὸ ...

Νηπιέη ἀλεγεινή. ἰλιάδος ι. ἐν ... πᾶσαν ἀνοηΐην εἶναι. τῇ χαλεπῇ παιδοτροφίᾳ. ἐκ τοῦ νήπιος κτητικὸς τύπος νηπίειος. καὶ ἀποβολῇ τοῦ ι τῆς διφθόγγου, νηπίεος, νηπιέα. καὶ τροπῇ, νηπιέη. ὡς νέα νέη ἰωνικῶς. ἢ αἰτιατικὴ τῶν πληθυντικῶν, νηπιέας. καὶ μεταθέσει τοῦ ε εἰς α, Νηπιάας ὀχέειν. ἢ κατὰ πλεονασμόν ἐστι τοῦ

Νηπύτιος, ἄφρων. ἀνόητος. παρὰ ... α, ἀπὸ τοῦ νηπίας. τὸ νη στερητικὸν καὶ τὸ πινυτὸν, γίνεται νηπινύτιος. καὶ συγκοπῇ, νηπύτιος.

Νηπενθὲς, ἀπένθητον. μέγα. ἢ μεγαλοπενθὲς παρὰ τὸ φάτως πενθούμενον ὡς τοῦ νη στέρησιν καὶ ἐπίτασιν δηλοῦντος.

Νήποινοι, ἀτιμώρητοι. καὶ νήποινον, τὸ ἀτιμώρητον. ἀπὸ τοῦ νη στερητικοῦ καὶ τοῦ ποινὴ, ὃ σημαίνει τὴν τιμωρίαν καὶ τὴν

Νηρεὺς, ὁ θαλάσσιος δαίμων ἀπὸ τῆς ... ἐκδίκησιν. νήξεως καὶ τοῦ ῥαδίως νεῖν. οἱονεὶ ὁ νηχόμενος θεός.

Νηρίτης, σημαίνει τὸν θαλάσσιον κοχλίαν. τινὲς λέγουσιν ἀπὸ τοῦ νηρεὺς γίνεται. ἀλλ᾽ ὤφειλε γράφεσθαι διὰ διφθόγγου. ὁ δὲ τεχνικὸς λέγει ἀπὸ τοῦ νηρηΐς. ἀλλ᾽ ὤφειλεν εἶναι νηρηΐτης. ὡς ἀπὸ τοῦ ὀρεὺς ὀρέος ὀρείτης καὶ ὀρείτης. ἀλλ᾽ ἔστι νηρέω νηρῶ. τὸ παρεμφαῖνον, νεῖν. οἷον, Πεζῇ πορεύου νεῖν γὰρ οὐκ ἐπίστασαι. ὁμήρῳ νηρῶ. ἐκ τοῦ τούτου γίνεται νηρός. λέγονται δὲ οἱ ἰχθύες ἀπὸ τοῦ νήχεσθαι. ἐξ οὗ νηρίτης, ὡς τόπος τοπίτης.

Νηρίτευλη, ἡ ὁδὸς μεγάλη. πρὸς ἣν οὐδεὶς φιλοῖ.

Νηρός, λυκόφρων. ἐν χθονὸς [...] κήσειεν διὰ τὸ πλῆθος. νηροῖς μυχοῖς. τοῖς κοίλοις, ἢ τοῖς καθύγροις.

Νηρῆδες, ἔχει τὸ ι. ἀπὸ γὰρ τοῦ νηρηΐδες καὶ βρισηΐδες καὶ χρυσηΐδες καὶ καδμηΐδες συνηρέθη. νηρῆδες βρησῆδες χρυσῶ.

Νηῶ. νήσαντες, σωρεύσαντες. [...] σῆδες, καὶ καδμῆδες. ἐκ τοῦ νῶ νήσω τὸ σωρεύω, ἐξ οὗ καὶ νηδύς. καὶ νῶ νήσω τὸ κολυμβῶ, ἐξ οὗ καὶ νῆσος, καὶ ναῦς. ἢ πᾶν μέρος ἐν τῇ θαλάσσῃ ἔχουσα, ὡς περ τὰ νηχόμενα σώματα. νῶ τὸ ῥέω, οὗ ὁμήρῳ, νάσω. ἐξ οὗ καὶ ναρὸν τὸ ὑγρόν. νῶ, τὸ νήθω, οὗ ὁμήρῳ, νήσω. ἐξ οὗ καὶ νῆμα.

Νησίδιον. ἀπὸ τοῦ νῆσος, γίνεται νησίδιον. ὥσπερ ὀψάριον. ὀψαρίδιον. βιβλίον βιβλίδιον. οὐ δύναται δὲ λέγειν ὅτι ἀπὸ τοῦ νῆσος νήσου γίνεται, ἐπεὶ καὶ βραχὺ ἔχει τὸ ι. ἡνίκα γὰρ ἡ τελευταία συλλαβή.

Νῆσος. ἀπὸ τοῦ νῶ νήσω τὸ κολυμβῶ. νῆσος δέ ἐστι γῆ περιτετειχισμένη ὑπὸ θαλάσσης. πάντοθεν ἔχουσα ἐν ἑαυτῇ πόλεις πολλὰς ἢ κώμας. ἴσως δὲ εἴρηται ἀπὸ τοῦ ὀρνέου τῆς νήσσης, ἥτις καὶ αὐτὴ διαπαντὸς τοῖς κύμασι τῶν ὑδάτων νήχεται. ὡς παρὰ τὸ δοξῶ δόξα, οὕτω καὶ παρὰ τὸ νέω νῶ τὸ κολυμβῶ, νῆσσα. καὶ ἐπὶ πλεονασμῷ διπλασιασμῷ τοῦ αὐτοῦ συμφώνου, νῆσσα.

Νῆστις, ἀμφοτέρων οὕτω λεγομένων. οἱονεὶ νήσιτις. παρὰ τὸ κενὸν εἶναι σιτίων. καὶ οὐ νῆστις ἄνθρωπος. παρὰ τὸ αὐτό. καὶ τὸ νηστεύειν, παρὰ τὸ στερεῖσθαι σιτίων. ἔγκειται γὰρ τὸ νη στερητικόν. ἢ παρὰ τὸ ἐδω ἔσω, ἔστις καὶ νῆστις. κλίνεται νήστιδος.

Νηῦς. γίνεται παρὰ τὸ νέω τὸ νήχομαι. [...] νήσιος. ὄνομα πρὸς ἀλεῦθαι, ποικίλαι. οἷον, νεῦς διὰ τοῦ ε. νηῦς διὰ τοῦ η. ναῦς διὰ τοῦ α. νᾶς παρὰ δωριεῦσι. χρῆται ὁ ποιητὴς ταύταις ταῖς φωναῖς. νηυσί. νευσί. νέεσσιν. νήεσσιν. οἱ αἰολεῖς, νάεσσι. τὸ οὖν οὐκ οἶδεν ὅμηρος τὸ ναυσί. ναῦ. ἐν συνθέσει ναυσίθοος. ναυσικλυτός.

Νήυτμος. ἡ ὁδός. κεῖται νήυτμος. ἄπνους. ἄφωνος.

Νήφω. τὸ ἐγρηγορῶ διὰ τοῦ η. ἀπὸ τῆς τοῦ ὕδατος προφορᾶς. οἱ γὰρ τούτῳ χρώμενοι, ἐγρήγοροί εἰσιν. ὅθεν καὶ νηφάλια λέγουσι θύειν. ὅταν ὕδωρ ἐπισπένδωσιν. ἀπολλώνιος δὲ ὁ τοῦ ἀρχιβίου, καὶ τὸ νήφω τὸ θύω. καὶ τὸ νήφω τὸ μεθύω, ἀπὸ τοῦ νείφω τὸ χιονίζω λέγεται ἐκτεθῆναι κατὰ ἀποβολὴν τοῦ ι τῆς ει διφθόγγου. τοὺς γὰρ λίαν ψυχοῦντας, πολλάκις ταῖς τοῦ ὕδατος ῥανίσι νήφειν ποιοῦμεν ὡς φησιν ὧρος. παρὰ δὲ τὸ νήφω, ὄνομα ῥηματικὸν νήφιος. καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, νηφάλιος.

Νήχω, τὸ κολυμβῶ. νῶ καὶ νέω. καὶ μεταθέσει τοῦ ε εἰς η.

νήω, καὶ πλεονασμῷ τοῦ χ, νήχω.

Νίζε, σημαίνει τὸ νίπτε. οἱ αἰολεῖς τὰ εἰς πτω ῥήματα εἰς διὸ σμεταβάλλουσι. νίπτω, νίσσω. ταραντίνων δὲ φωνή. γίνεται νίζω. παρὰ τὸ νίζω γίνεται νίτρον. ὡς μάσσω μάκτρον. καὶ πλήσσω πλῆκτρον.

Νίκη, ἢ παρὰ τὸ ἐνὶ δοτικὴν καὶ τὸ ἴκω τὸ παραγίνομαι, γίνεται ἐνίκη. καὶ κράσει τῶν β ι εἰς ἐν μακρόν, νίκη. ἀποβολῇ τοῦ ε. καὶ γὰρ πολλάκις πέφυκεν ἀποβάλλεσθαι κατὰ τὴν ἀρχὴν τὸ ε. οἷον, ἐρύω ἔρυ, ἐρυτῆρες, ῥυτῆρες, ἔχω ἐχείρ, χείρ. ὅθεν καὶ ἡ ἀθηνᾶ, νίκη προσαγορεύεται. νομιζομένης γὰρ αὐτῆς πολεμικῆς καὶ φονικῆς, ἀκόλουθον ἂν εἴη καὶ τὴν νίκην αὐτῇ ξυνέπεσθαι. τὸ γὰρ ἐμφόνως πολεμεῖν, νικητικόν. τὸ δὲ ἀφρόνως, καὶ προπετῶς, καὶ χωρὶς νοῦ, σφαλερὸν καὶ ἐλαττωτικόν. ἢ παρὰ τὸ ἐνὶ δοτικὴν καὶ τὸ εἴκω τὸ ὑποχωρῶ γίνεται ἐνεική. καὶ κατὰ ἀποβολὴν τῶν δύο εε καὶ κράσει τῶν δύο ιι, γίνεται νίκη. οἱονεὶ ἡ ἐνὶ ὑποχωροῦσα. ὡς καὶ ὁ ποιητὴς δηλοῖ λέγων. ἑτεραλκέα νίκην, τὴν ἑτεροκλινῆ. τινὲς δὲ σχηματίζουσιν οὕτω. παρὰ τὸ νη στερητικὸν καὶ τὸ εἴκω τὸ ὑποχωρῶ. οἱονεὶ ὁ μηδενὶ ὑποχωρῶν. κακῶς δὲ λέγουσιν. ἀντίκειται γὰρ αὐτοῖς ἡ γραφή. ἐκ τοῦ νίκη δὲ γίνεται τὸ νικῶ. ὁμήρῳ, νικήσω. καὶ ἔστι δευτέρας συζυγίας. οἷον, νικᾷς. νεικῶ, δὲ ἀντὶ τοῦ φιλονεικῶ, πρώτης ἐστὶ συζυγίας.

Νίκων. παρὰ τὸ νικῶ γίνεται. ὡς παρὰ τὸ κρατῶ κράτων, καὶ μέδω μέδων. νικίας δὲ ἢ παρὰ τὸ νίκη, ἢ παρὰ τὸ νικῶ, ὡς

Νίσομαι, τὸ πορεύομαι καὶ νισόμενον [...] ἄρχω, ἀρχίας. πόλεμον, σημαίνει τὸν περιγενησόμενον. ὤφειλε γὰρ διὰ τῆς ει διφθόγγου, ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ νέομαι. ἀλλ᾽ ἡ παράδοσις ἔχει τὸ ι θεματικόν, ὡς ἀπὸ τοῦ νίω ἐνεστῶτος. ὁμήρῳ, νίσω. τὸ νι μακρόν.

Νικῶ, καὶ ἡμετέρως νικῶντες. τὸ εὐκτικόν, νικῷμι. τὸ γ νικῷ. πλεονασμῷ τοῦ η ἀττικῶς νικῴη, ἐξ οὗ νικῴην.

Νίφα. νίφα λευκὸν ἀλευάμενοι. ἀπὸ τοῦ νιφὰς νιφάδος. ἡ αἰτιατικὴ νιφάδα. καὶ κατὰ συγκοπήν, νίφα. ἢ παρὰ τὸ νίπος. τοῦτο παρὰ τὸ εἰς ἕνα ἥκειν.

Νόες, ὅτι κακῶς λέγεται καὶ παρὰ ἀναλογίαν οἱ φιλόσοφοι χρῶνται λέγοντες τοὺς νόας τὴν αἰτιατικὴν τῶν ἑνικῶν. καὶ οἱ νόες καὶ τοὺς νόας. δέον γὰρ τὸν νοῦν λέγειν καὶ οἱ νοῖ. οἱ νοῖ σεσημείωνται παρὰ φιλήμονι τῷ κωμικῷ. τὸ οἱ εὔνοις γὰρ εὔνοες τὸ παρὰ φιλοσόφοις εἰρημένον. γέγονε κατὰ κρᾶσιν εὔνοις. οἱ εὖνοι δὲ δεῖ λέγεσθαι. Πόθεν νόος, παρὰ τὸ νέω τὸ πορεύομαι. οὐδὲν γὰρ ταχύτερον τοῦ νοός. ὅμηρος. ὡς δ᾽ ὅταν ἀΐξῃ νόος ἀνέρος.

Νόθος, παρὰ τὸ ὀνῶ τὸ μέμφομαι καὶ βλάπτω, γίνεται ὄνοθος. καὶ κατὰ ἀποβολὴν τοῦ ο καὶ τροπὴν τοῦ τ εἰς θ, γίνεται νόθος. εἰς τὸ γνήσιος.

Νουνεχόντως. ὑφ᾽ ἓν ἀναγνωστέον. πολλάκις γὰρ ἀπὸ δύο διεστώτων μερῶν τοῦ λόγου, γίνεται ἑνότης. οἷον ἄρειος πάγος, ἀρειοπαγίτης. νέα πόλις, νεαπολίτης. τὸ αὐτό, ταὐτότης. οὕτω νοῦν ἔχων, σύνθετον νουνεχόντως.

Νέμω. νέμω σημαίνει τέσσαρα. τὸ μερίζω, ἐξ οὗ καὶ νόμος καὶ ὄνομα. ἐκ τοῦ νέμομαι μέσου παρακειμένου. τὸ βόσκω, ἐξ οὗ καὶ νομεὺς ὁ βοσκός. καὶ νομὴ ἡ βοσκή. τὸ πορεύομαι. τὸ φθονῶ καὶ μέμφομαι, ἐξ οὗ καὶ νέμεσις, ἡ μέμψις. νέμω καὶ ὁμήρῳ, νεμῶ. ὁ παρακείμενος ὤφειλεν εἶναι νενέμηκα. ἀλλ᾽ ἐπειδὴ τὸ μ πρὸ τοῦ κ οὔτε κατὰ σύλληψιν ἐστίν, οὔτε κατὰ διάστασιν, ἐξέλιπε καὶ ἐγένετο ὡς ἀπὸ περισπωμένου. νενέμηκα. ὁμοίων ἐστὶ καὶ τὸ μεμέμηκα ἐξ εἰσὶ τὰ ἡμαρτημένα. νέμω νεμῶ, νενέμηκα. δέμω δεμῶ δεδέμηκα. βρέμω βρεμῶ, βεβρέμηκα, τρέμω τρεμῶ, τετρέμηκα. τέμω τεμῶ, τετέμηκα.

Νόμος. νόμος, σημαίνει πέντε. νόμος ὁ γραπτὸς ὃν ἔχομεν καὶ ὃν ἔθηκεν ὁ θεὸς τῷ μωυσῇ. νόμος καὶ τὸ νόμισμα. νόμος καὶ ὅτι τὴν γῆν μερίζουσι παρ᾽ αἰγυπτίοις. νόμος καὶ ἡ χώρα. νόμος καὶ ἡ συνήθεια. σημαίνει καὶ μέρος τῆς καὶ τὸ εὐαγγέλιον. νόμος δὲ πρὸς διάφορον σημαινόμενον ἡ νομὴ τῆς βοσκῆς. νόμος δὲ

Νόμοι κιθαρῳδικοί. τὰ παλ- [...] ὅνεμον πασι τὸ δέον. λωμένου τῆς λύρας καταδεῖξαι τοῖς ἀνθρώποις νόμους φασὶ καθ᾽ οὓς ζήσονται πραΰνοντα τῷ μέλει, τὰς καταρχὰς θηριώδεις ἡμῶν. ὅθεν τὰ κιθαρῳδούμενα, καλοῦσι νόμους.

Νόμισμα, παρὰ τὸ νομίσω. τὸ νομιζόμενον μηδὲν εἶναι.

Νόσος, παρὰ τῇ συνηθείᾳ ὁ πυρετὸς λέγεται. μεταφορικῶς δὲ ἀπὸ τῶν ἐδεσμάτων. νόσος λέγεται καὶ ἡ εἰς τὸ οἶκον ἀνακομιδὴ καὶ ἀναστροφή. παρὰ τὸ τῆς πατρίδος ἡδύ. καὶ ὅμηρος Οὐδὲν γλύκιον ἧς πατρίδος. παρὰ τὸ νέω τὸ πορεύομαι. ὁμήρῳ, νέσω. νεστός. καὶ νόστος. καὶ νοστῶ νοστήσω. καὶ ἀπὸ νοστήσειν, τὸ ἐπανελθεῖν. ὑποστρέψαι.

Νόσφι, σημαίνει χωρίς. πόρρω. παρὰ τὸ νο στερητικόν, καὶ τὸ ἕπω τὸ ἀκολουθῶ, γίνεται νόεπι, ἐπίρρημα. συγκοπῇ καὶ τροπῇ καὶ πλεονασμῷ τοῦ σ, γίνεται νόσφι, τὸ μὴ ἀκολουθοῦν, ἀλλὰ πόρρωθεν καὶ χωρὶς ὑπάρχον. ἢ ἀπὸ τοῦ νόσος ἢ ἐπάνοδος νόσου. κατὰ ἐπέκτασιν γίνεται νόσοσφι. καὶ συγκοπῇ, νόσφι. ὅθεν καὶ νοσφίζω τὸ χωρίζω. βαρύνεται. τὰ εἰς ι λήγοντα ἐπιρρήματα σύνεσταλμένον ἔχοντα τὸ ι, βαρύνεται. νόσφι. ἶφι. ἦκι. ναίχι. ὅθεν καὶ τὸ πρωὶ ἀναλογώτερον ἐστὶ παρὰ τῷ ποιητῇ βαρυνόμενον. πρῶϊ δ᾽ ὑπ᾽ ἠοῖ. τὸ δὲ χωρίς, ἀποβάλλει τὸ σ, καὶ διὰ τὸ κοινὸν βαρύνεται. χωρί. πρόσκειται ἔχοντα τὸ ι σύνεσταλμένον, διὰ τὸ νευρί. νινί. καὶ κοΐ. ἔστι δὲ μίμημα φωνῆς χοίρων. ἐχρήσατο ἀριστοφάνης τῇ λέξει. τὸ ἄρι, ἐπιτατικὸν ἐπίρρημα σύνεσταλμένον ἔχει τὸ ι, καὶ οὐ βαρύνεται. καὶ οὐκ ἀντίκειται ἡμῖν. οὐδέποτε γὰρ εὑρίσκεται αὐτὸ καθ᾽ αὑτό, εἰ μὴ ἐν συνθέσει. τὸ δὲ οὐχί, ὤφειλε βαρύνεσθαι. ἀλλ᾽ ἐπειδὴ ἐκ τῆς οὐ ἀρνήσεως γέγονε κατὰ ἐπέκτασιν τοῦ χι, παραλόγως ὀξύνεται καὶ κατὰ τὴν ἐπέκτασιν.

Νόσος, παρὰ τὸ ἐστερῆσθαι τοῦ σάου κατὰ τροπὴν τοῦ ω εἰς ο. τὸ γὰρ νο, στερητικόν ἐστι κατὰ μεταβολὴν ἀπὸ τοῦ νη στερητικοῦ. καὶ πλεονασμῷ τοῦ υ ἰωνικῶς, νοῦσος. ὡς κόρος, κοῦρος. μόνος, μοῦνος. ἢ παρὰ τὸ νο στερητικὸν καὶ τὸ

σεύω τὸ ὁρμῶ. ἡ μὴ ἐῶσα ἡμᾶς κινεῖσθαι καὶ σεύεσθαι. ἢ παρὰ τὸ νο στερητικόν, καὶ τὸ διὰ τοῦ ο γραφόμενον σόος ὁ

Νότος, ὁ ἄνεμος. παρὰ τὸ ὀνῶ τὸ βλάπτω. [...] ἀκέραιος. ὁμήρῳ ὀνόσω ὄνοτος, καὶ νότος ἀφαιρέσει τοῦ ο. οἱονεὶ ὁ βλαπτικὸς τῶν καρπῶν καὶ τῶν σωμάτων. ἢ ἀπὸ τοῦ νοτεῖν καὶ τῆς νοτίδος. αὕτη δὲ ἡ νοτὶς ἀπὸ τοῦ νῆσθαι, ὅ ἐστι διέρχεσθαι καὶ πορεύεσθαι. σημαίνει δὲ τὴν ὑγρασίαν.

Νοτάριος, ῥωμαϊκὴ ἡ λέξις. νότα γὰρ τὰ γράμματα ῥωμαῖοι. νῶτα οὐδέτερως σημαίνει εὐθεῖαν τῶν πληθυντικῶν. τὸ ἀρσενικόν, ὁ νῶτος. τὸ νῶ, μέγα. πρὸς ἀντιδιαστολὴν τοῦ ἀνέμου. καὶ ἡ εὐθεῖα τοῦ οὐδετέρου, οὐκ ἔχει. ὥσπερ καὶ ἡ κέλευθος, τὸ οὐδέτερον οὐκ ἔχει. μόνον ἡ εὐθεῖα τῶν πληθυντικῶν τὰ κέλευθα. οὕτω καὶ τοῦ τ. καὶ νώτοισι, τοῖς, νωτιαίοις μέρεσι. τὸ δὲ νῶτος, ἐπειδὴ τῶν ἄλλων μερῶν νοτίζεται μᾶλλον, καὶ εἰς τοῦτο τὸ μέρος ὁ ἱδρὼς καταρρεῖ, ὡς παρὰ τῷ ποιητῇ. Κατὰ δὲ νότιος ἔρρεεν ἱδρώς. ἀντὶ τοῦ κατὰ νώτου ἐφέρετο ὁ ἱδρώς, ὡς γέροντα εἶναι τοῦ ω εἰς ο. ἢ παρὰ τὸ ὤ τοῦ παρέχω, ὦτος καὶ νῶτος. νότιος δέ, ὁ ὑγρός, ἢ πολύς. ἐκ τοῦ νοτεῖν τὸ σῶμα γινόμενος. νότος δὲ τὴν ψίαν σημαίνει. καὶ γίνεται παρὰ τὸ νοτὶς, κατ᾽ ἐπαύξησιν τοῦ ω εἰς ο.

Νῶε, παρὰ τὸ νῶ τὸ κολυμβῶ.

Νωθής, ὁ βραδὺς καὶ ἐκλελυμένος. παρὰ τὸ νω τὸ στερητικὸν καὶ τὸ θέω τὸ τρέχω. γίνεται νωθής. ὡς ἀφροδῶ, νοεαρδής, ὁ ἐστερημένος τοῦ θεῖν. καὶ νωθρός, παρὰ τὸ νω, καὶ τὸ θορῶ τὸ πηδῶ, νωθηρός. καὶ κατὰ συγκοπήν, νωθρός. οἱονεὶ τοῦ θορεῖν καὶ ὀξέως κινεῖσθαι ἐστερημένος.

Νώκαρ, τὸ δυσκίνητον καὶ οὐδ᾽ ὁπωσοῦν ἐρρωμένον. ἀπὸ τοῦ νω στερητικοῦ καὶ τοῦ σκαίρω. τὸ σκιρτῶ, ἢ καίρω τὸ τρέχω, γίνεται νωκαίρω καὶ κατὰ ἀποβολὴν τοῦ ω, νώκαρ.

Νωμελέως, συνεχῶς καὶ ἀδιαλείπτως. παρὰ τὸ νω στερητικὸν μόριον καὶ τὸ λείπω τὸ λιμπάνω, γέγονε νωλεπέως. καὶ τροπῇ, νωλεμέως. οἱονεὶ τὸ μὴ λειπόμενον, ἀλλ᾽ ἀδιαλείπτως ὂν καὶ μὴ παυόμενον.

Νωνύμους. ἰλιάδος μ. ἀντὶ τοῦ ἄνευ ὕμνων καὶ εὐφημίας τῆς διὰ τῶν θρήνων γινομένης, ἢ ἀνωνύμοις.

Νῶσαι δ᾽ ὀρφεύς, ἀντὶ ἐπέγνω. ἀπὸ τοῦ νοήσαι κατὰ κρᾶσιν τοῦ ο καὶ η εἰς ω. ὡς ὀγδοήκοντα, ὀγδώκοντα.

Νωμῆσαι βάδην, ἰλιάδος η. διενέγκειν. βαστάξαι, ἢ κινῆσαι. ἀπὸ τοῦ ὦμος ἡ μεταφορά. ὡς οἶμαι ὦμος καὶ νωμῶ. ἀντὶ δὲ τοῦ διεμέρησαν, καὶ διέδωκαν, ὡς τό, Νώμησαν δ᾽ ἄρα πᾶσιν, ἐκ τοῦ νέμω γίνεσθαι νωμῶ νωμήσω, ἐνώμησα.

Νώροπα χαλκόν. σημαίνει τὸν λαμπρόν. παρὰ τὸ νῶ τὸ στερητικόν, καὶ τὸ ὤψ. πλεονασμῷ τοῦ ρ γίνεται νώροψ. ὁ μὴ ἐῶν εἰς αὐτὸν ἀφορᾶν τὴν ὄψιν διὰ τὸ ἄγαν λαμπρόν. ἀμαυροῖ γὰρ τὴν ὄψιν τὰ πάνυ λαμπρά, καὶ διαχεῖ.

Νωχελής, ὁ νωθρὸς καὶ ἀσθενὴς καὶ δυσκίνητος κατὰ τροπὴν τοῦ κ εἰς χ. νωκελὴς τις ὤν. ὁ ἐστερημένος τοῦ κέλλειν. κέλ-

λέγειν δὲ ἐστι, τὸ ταχέως λέγειν. ὅθεν καὶ κελλῆς ὁ μονω-

Νύμφη. ὥσπερ παρὰ τὸ ζυξ ἵππος, ὁ δρομικός. νέος, γίνεται νυός. καὶ κατὰ τὴν αἰολικὴν νηός. ὡς τὸ, Νυὸν ἀνδρῶν αἰχμαλώτων, ἀντὶ νύμφην. οὕτω καὶ παρὰ τὸ νέος καὶ τὸ φῶ τὸ φαίνω, γίνεται νεόμφη καὶ νεύμφη. καὶ συγκοπῇ καὶ τροπῇ, νύμφη, ἡ νέον φαινομένη.

Νυμφίος, ὁ γαμέτης τυχών. παρὰ τὸ νῦν ἠμφιάσθαι καλῶς. ἢ νυμφίος, ὁ νῦν φιλῶν τὴν νύμφην. νύμφιος δὲ, ὁ νυμφικὸς οἶκος.

Νῦν. τὸ νῦν κατ᾽ ἔκτασιν τοῦ ι, γίνεται νυνί. καὶ διαφέρει. τὸ μὲν γὰρ νῦν καθόλου ἐπιρρηματικῶς τάσσεται ἐπὶ τῶν τριῶν χρόνων. τὸ δὲ νυνί, ἐπὶ μόνου τοῦ ἐνεστῶτος.

Νυκτάλωψ, παρὰ τὸ ἐν τῇ νυκτὶ ἀλᾶσθαι, ὅ ἐστι πλανᾶσθαι.

Νῦν, ἐπίρρημα χρόνου δηλωτικόν. σημαίνει δὲ τρία. ἐνεστῶτα. ὡς τὸ, Νῦν μὲν πειρᾶται. τάχα δ᾽ ἴψεται υἷας ἀχαιῶν. καὶ, Νῦν τόδε δὴ, γένος ἐστὶ σιδήρειον. παρεληλυθότα. ὡς τὸ, Νῦν μὲν μενέλαος ἐνίκησεν σὺν ἀθηνᾷ. καὶ, Νῦν ὤλετο πᾶσα κατ᾽ ἄκρης. καὶ μέλλοντα. ὡς τὸ, Νῦν μὲν αὖτ᾽ ἐγχείῃ πειρήσομαι. καὶ, Νῦν δὴ ἀμείνονα βίη φῶτες.

Νύξ, παρὰ τὸ νύσσω. νύξω. νύξ, δι᾽ ἧς κατασιν ἀνάξει πτόμεθα. ἡ νύσσουσα ἡμᾶς πρὸς ὕπνον. ὁ δὲ ὠνήσαντινος ἐν τῷ περὶ χρηστομαθίας, παρὰ τὸ νύξω μέλλοντα, δηλοῖ τὸ πλῆξαι. διὰ τὸ νύσσεσθαι καὶ προσπταίειν τοῖς ἐνεργοῦσί τι ἐν σκότει. ἢ παρὰ τὸ προσκόπτειν καὶ πλήττεσθαι τοὺς βαδίζοντας ἐν αὐτῇ τῇ ὥρᾳ. κλίνεται νυκτός. ὁ κανὼν, πᾶν ὄνομα ἔχον ἐπὶ τῆς εὐθείας τὸ σύμφωνον τοῦ μέλλοντος, θέλει ἔχειν καὶ ἐπὶ τῆς γενικῆς, ποτὲ μὲν τὸ σύμφωνον τοῦ παρακειμένου, ποτὲ δὲ τοῦ μέλλοντος. καὶ ποῖον δεῖ τοῦ παρακειμένου, τὸ χ. καὶ γίνεται νυχός. πλεονάζει γὰρ τὸ τ ἐν πολλαῖς λέξεσιν. ὡς τὸ ἄναξ ἄνακος, καὶ ἄνακτος. καὶ ἐπεὶ ψιλὸν ψιλοῦ, καὶ δασὺ δασέος προηγεῖται, ἐτράπη τὸ χ εἰς κ. καὶ γέγονε νυκτός. σημαίνει τέσσαρα. τὴν σωματοειδῆ θεόν. ὡς τὸ, Εἰ μὴ νὺξ δμήτειρα θεῶν. καὶ τὴν παρ᾽ ἡμῖν νοουμένην ἐπὶ τῆς συνηθείας. ὡς τὸ, Νὺξ ἤδη διαρραίσει στρατὸν, ἢ σαώσει. καὶ τὴν σκοτίαν καὶ γνοφώδη κατάστασιν. ὡς τὸ, Ἀλλ᾽ ἐπεὶ νὺξ ὀλοὴ τέταται δειλοῖσι βροτοῖσι. σημαίνει καὶ τὸν θάνατον καὶ σκοτασμὸν τῶν ὀφθαλμῶν. ὡς τὸ, Τὸν δὲ κατ᾽ ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψε.

Νυκτέλιος, ὁ διόνυσος. ὡς νύκτωρ τὰ μυστήρια ἐπιτελεῖται. καλεῖται καὶ νυσήϊος, ἀπὸ νύσης ὄρους θρᾴκης. ὅθεν, Ἤλυθον ἡμεῖς ἐνέποισι διὸς νυσήϊον εἶναι. ἔστι δὲ καὶ νυσήϊον ὄνομα πεδίου. ἢ τὴν λεγομένην νύσαν ὄρος θρᾴκης. Ἰλιάδος ζ. τὸ μὲν γὰρ ἀπὸ τοῦ νύσιον, διὰ τὸ η πλεονάζει. εἰ δὲ παρὰ τὸ νύσα, ὤφειλεν εἶναι νυσεῖον. καὶ διαιρέσει καὶ ἐκτάσει.

Νύσσα, ὁ καμπτός. παρὰ τὸ νυσήϊον. ὡς ὄρθον ἀρήϊον. ἢ παρὰ τὸ νύσσω τὸ κάμπτω, ἢ τὸ πλήττω. ἐπεὶ ἐκεῖ νύσσονται οἱ ἵπποι. ἢ παρὰ τὸ νεύω νεύσω, νεῦσα. καὶ ἀποβολῇ τοῦ ε, καὶ πλεονασμῷ τοῦ σ, νύσσα.

Νυκτάλωψ, παρὰ τὸ τὴν νύκτα ἀλᾶσθαι. πλανᾶσθαι.

Νυστάζω, ἀπὸ τοῦ νευστάζειν. παρὰ τὸ ἐπινεύειν κάτω. διὰ τὴν ἐπιγινομένην ἐκ τοῦ ὕπνου καταφοράν. ἐπειδὴ ἐπινεύουσιν οἱ κοιμώμενοι τὴν κάραν. παρὰ τὸ νεύω οὖν νευστάζω. καὶ ἀποβολῇ τοῦ ε. καὶ ῥηματικὸν ὄνομα νυστα-

Νῶ, ἅπαξ ἐχρήσατο ταύτῃ τῇ λέξει λοτερόντιον. ὁ ποιητὴς ἐν τῇ ὀδυσσείᾳ, καὶ ἐν ἰλιάδος ε. Πρίν γ᾽ ἐπὶ νὼ τώδ᾽ ἄνδρε. ἀντὶ, πρὶν ἡμᾶς. ἐπὶ τούτων πληθυντικῶς τῶν ἀνδρῶν. ἢ κατὰ τοῦ τοῦ ἀνδρός. ὅτι τὸ νῶ τὸ σφῶ, σὺν τῷ ι τινὲς γράφουσι λέγοντες ἀπὸ τοῦ νῶϊ, καὶ σφῶϊ γίνεσθαι κατὰ συναίρεσιν τοῦ ω καὶ ι εἰς τὴν ω δίφθογγον. ἀλλ᾽ ἡ παράδοσις οὐκ οἶδε τὸ ι ἐγκείμενον. ἔτι γὰρ κατὰ συγκοπὴν λέγουσι χωρὶς τοῦ ι. ἀλλὰ λέγει ὁ τεχνικός, ὅτι εἰ ἀπὸ τοῦ νῶϊ καὶ σφῶϊ συνεκόπη, ὤφειλε περισπᾶσθαι. ἄλλοι δὲ λέγουσι τὸ νῶ καὶ σφῶ, οὐκέτι εἶναι ἀπὸ τοῦ νῶϊ καὶ σφῶϊ, ἀλλὰ καὶ ταῦτα ἑτέρων θεμάτων εἶναι. καὶ ἐκείνων ἕτερα θέματα. λέγει δὲ ὁ τεχνικός, ὅτι ἀπὸ τοῦ νῶϊ καὶ σφῶϊ γέγονε κατὰ συγκοπὴν τοῦ ι. καὶ ὀξύνεται ἀναλόγως. εἶτα δὲ τὸ ἐν τοῖς δυϊκοῖς ω, ἀποστρέφει τὴν περισπωμένην τάσιν. διὰ τί δὲ ἡ νῶϊ καὶ σφῶϊ δυϊκαὶ ἀντωνυμίαι ἀποκόπτονται καὶ γίνονται νὼ καὶ σφώ. ὅτι οὐδέποτε ἐν τοῖς πτωτικοῖς τὸ ω εὑρίσκεται πρὸ τοῦ ι περισπώμενον, ἀλλ᾽ ἢ προπαροξυνόμενον ὡς ἐπὶ τοῦ ἥρωϊ, ἢ ὀξυνόμενον, ὡς ἐπὶ τοῦ τρωΐ. ἐπεὶ οὖν αὗται προπερισπῶνται, διὰ τοῦτο πάσχουσιν ἵνα διὰ τῆς ἀποκοπῆς ἐξαμαυρωθῇ ἡ παράλογος τάσις. τοῦτο γὰρ ἔπαθον καὶ ἡ νῶϊν καὶ ἡ σφῶϊν κατὰ συναίρεσιν γενόμεναι νῷν καὶ σφῷν, ἵνα διὰ τῆς συναιρέσεως ἐξαμαυρωθῇ ἡ παράλογος τάσις. δεῖ γινώσκειν ὅτι ἀρίσταρχος τὸ Οὐ γὰρ σφῶν ἀπόλωλε τοκήων, ἐστὶν δὲ ὁμήρου χωρὶς τοῦ ι ἀξιοῖ γράφεσθαι. λέγων ὅτι τρίτου προσώπου ἐστὶ τῶν πληθυντικῶν. ἡμῶν. ὑμῶν. σφῶν, ἀντὶ δευτέρου δυϊκοῦ. ἀντὶ γὰρ τοῦ σφῶϊν κεῖται. ἀλλ᾽ ἔστιν εἰπεῖν ὅτι χωρὶς τοῦ ι γράφεται, ἐπειδὴ οὐδέποτε τῇ γενικῇ καὶ δοτικῇ τῶν δυϊκῶν κέχρηται ὁ ποιητής, εἰ μὴ κατὰ διάλυσιν. τοῖν, τοῖϊν. ὤμοιν, ὤμοιϊν. εἰ οὖν ἐνταῦθα τὸ ι εἶχεν, ὤφειλε κατὰ διάλυσιν εἶναι.

ΤΕΛΟΣ ΤΟΥ ΝΥ ΣΤΟΙΧΕΙΟΥ.

ΙC

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ ΞΥ ΣΤΟΙΧΕΙΟΥ.

Ξῦ τὸ στοιχεῖον, παρὰ τὸ ξέεσθαι ἐν τῷ γράφεσθαι τῶν ἄλλων πλέον. καὶ ἄλλως ὅτι ὥσπερ ξύσματά ἐστιν ἀπὸ σιδήρου ὁ τούτου ἦχος.

Ξάνθος, κυρίως ὁ ποταμός, παρὰ τὸ ξανθὰς τρίχας ποιεῖν τοῖς λουομένοις ἐκεῖσε. ξανθὸς δὲ τὸ ἐπίθετον. ἐκ τοῦ ξαίνω ξαντὸς, καὶ ξανθός. διὰ τούτου γάρ φησιν αἰνίττεται τὸ θερμὸν καὶ ὀργίλον τοῦ ἥρωος. οἱ γὰρ ξανθόχολοι τοιοῦτοι. ἢ παρὰ τὸ ἄνθος πλεονασμῷ τοῦ ξ, καὶ καταβιβάσει τοῦ τόνου, ξανθός. εἶδος τῶν ὑποπεπτωκότων τῷ ὀνόματι, ξανθινοῦ. τὸ γενικὸν πάθος ἐστὶ, χολή. διαιρεῖται εἰς δύο. εἰς ἀτμώδες, καὶ ὠχρόν.

Ξενοφῶν, παρὰ τὸ ξένος καὶ τὸ φαίνω. ὁ ἐν τοῖς ξένοις τόποις φαινόμενος. καὶ δημοφῶν, ὁ ἐν τῷ δήμῳ φαινόμενος. καὶ τὰ ὅμοια ὁμοίως.

Ξένος, διχῶς. καὶ ὁ ὑποδεχόμενος τὸν ξένον. καὶ ὁ ἀπὸ τῆς ἀλλοδαπῆς ἥκων. καὶ πέπονθε τοὔνομα παρὰ τὴν σκηνήν, τὴν παρέχουσαν σκέπην, ἵν᾽ ἡ σκένος καὶ ξένος. ἢ παρὰ τὸ ἄγω ἄξω ἄξενος. καὶ ξένος, ὃν ἄγει τις εἰς ἑαυτὸν καὶ ὑποδέχεται. ἢ παρὰ τὸ ἵξω ἵξενος καὶ ξένος. ὅρος. καὶ πλεονασμῷ τοῦ ι, γίνεται ξεῖνος. σημαίνει δὲ τρία. τὸν φίλον, Ἦ ῥά νύ μοι ξεῖνος πατρώϊός ἐσσι παλαιός. σημαίνει δὲ καὶ τὸν ἐν τῇ κοινῇ συνηθείᾳ λεγόμενον. Ξεῖνε τίς εἶ; πόθεν δ᾽ εἰλήλουθας. σημαίνει καὶ θαυμαστικόν, ὡς τὸ, Ξένον καὶ παράδοξον. ἐκ δὲ τοῦ ξένος καὶ τοῦ δέχομαι, γίνεται ξεινοδόκος, ὁ τοὺς ξένους φιλοφρονῶν. οὗτινος ὁ μὲν χαρακτὴρ παθητικός, τὸ δὲ σημαινόμενον ἐνεργητικόν.

Ξεινοδόκον, ὁ μὲν ὅμηρος τὸν ξένους δεχόμενον συνήθως ἡμῖν ὑποτίθησι. σιμωνίδης δὲ καὶ πίνδαρος, καὶ ἄλλοι τινὲς τὸν ἐπιμάρτυρα ἐξεδέξαντο. σιμωνίδης. Ξεινοδόκησε τελαμών, ἀντὶ τοῦ ἐμαρτύρησε. καὶ πίνδαρος. Ξεινοδόκων δ᾽ ἄριστος χρυσὸς ἐν αἰθέρι λάμπων. ἀντὶ τοῦ μαρτύρων.

Ξένος, παρὰ τὸ ἔξω εἶναι. ἢ παρὰ τὸ ἐκτὸς τῆς ἑνότητος εἶναι. ἢ παρὰ τὸ ξέω. ὁ ἐξεσμένος καὶ ἀποκεχωρισμένος. τὸ ξενίζω, σημαίνει δύο. παρὰ μὲν τῷ ποιητῇ ἀεὶ τὸ ἐξενοδόκησα. παρὰ δὲ τοῖς ῥήτορσι τὸ θαυμάζω. ξένος, παρὰ τὸ ἔξω εἶναι τῆς πατρίδος.

Ξέστης, ῥωμαϊκόν ἐστι τὸ ὄνομα. τὸν γὰρ παρ᾽ ἡμῖν ἓξ ἀριθμόν, αὐτοὶ λέγουσι σέξ. καὶ μέρους τινὸς παρ᾽ αὐτοῖς τὸ ἕκτον λέγεται σέξτον. διὰ δὲ εὐφωνίαν τὸ σέξτης λέγεται ξέστης κατὰ μετάθεσιν τῶν στοιχείων. οὕτω φιλόξενος ἐν τῷ περὶ ῥωμαίων διαλέκτου. ὦρος.

Ξηρὸν καὶ ξερόν. παρὰ τὸ ξῶ ῥῆμα ἢ ξέω. ἀπὸ μεταφορᾶς τῆς ὕλης τῶν ξύλων. ἔτι γὰρ ἐξύσαι, ξηρόν. γίνεται δὲ κατὰ τροπὴν τοῦ η εἰς ε ξερόν. ἢ παρὰ τὸ σκληρόν, ἐκβολῇ τοῦ λ καὶ κράσει.

Ξίφος, παρὰ τὸ ξαίνειν. ἢ παρὰ τὸ ὀξύνεσθαι πρὸς φόνον. ἀπὸ τοῦ ξύω, ξύσω, ξύφος. καὶ ξίφος. ἢ παρὰ τὸ σκηρίπτω, σκίπος σκίφος, καὶ ξίφος.

Ξιφίσματα, σημαίνει ὀρχήσεις τινὰς ποιάς. ὡς τῶν ὀρχουμένων ξιφηρέων ὄντων.

Ξόανον, παρὰ τὸ ξέω ξέανον. καὶ τροπῇ ξόανον. διαφέρει δὲ ξόανον, καὶ βρέτας, καὶ εἴδωλον. ξόανον μὲν γάρ ἐστι τὸ ἐξυσμένον εἴδωλον. λίθινον, ἢ ἐλεφάντινον, ἢ ξύλινον. βρέτας δὲ, τὸ βροτῷ ὅμοιον. ἤτοι χαλκοῦν, ἢ ἐξ ἐμφεροῦς ὕλης πεποιημένον. ἄγαλμα δὲ, τὸ παράμηρον, ἢ ἔκ τινος ἑτέρου λίθου κατεσκευασμένον.

Ξύλον, παρὰ τὸ ξύω. τὸ ἐπιτήδειον πρὸς τὸ ξύεσθαι. οὐδεμία γὰρ ὕλη πρὸς ξύσιν ἐπιτηδειοτέρα ξύλου.

Ξύλοχος, ὑλώδης καὶ σύνδενδρος τόπος.

Ξυλήφιον, ὑποκοριστικῶς. δοκιμώτερον δὲ τὸ ξυλήριον καὶ ξυλάριον.

Ξυρός, παρὰ τὸ ξύειν ἔραον.

Ξυστός, κατὰ παράληψιν τοῦ τῶν ποδῶν δρόμου. ὁ εὖ ἐξυσμένος καὶ ὁμαλὸς τόπος. σημαίνει δὲ καὶ δόρυ. οἷον, Νύσσοντες ξυστοῖσι.

Ξυνός, ὁ κοινός. οἶμαι ὅτι συνός, ὁ συνὼν τινί. ἢ ξύνιος, παρὰ τὸ συνιέναι τινί. ἢ παρὰ τὴν σὺν πρόθεσιν παρῆκται. οἱ γὰρ ἀττικοὶ τὸ σ ποτὲ μὲν εἰς τὸ τ τρέπουσι. ποτὲ δὲ εἰς ξ. τὸ γὰρ σύν, ξύν φασι. καὶ τὸ σοί, τοί.

Ξυνωρίς, σημαίνει τὴν δυάδα. παρὰ τὸ ἄρω τὸ ἁρμόζω. ξυνάορος τις ὤν, ὁ μετά τινος συναρμοζόμενος.

καὶ τὸ θηλυκὸν ξυνωορίς. καὶ κράσει τοῦ αο εἰς ω μέγα, ξυνωρίς.

Ξυνάρασθαι, συναρμόσασθαι. συγκαταθέσθαι. ἀπὸ τοῦ ἄρω τὸ ἁρμόζω. ὁ μέλλων ἀρῶ. ὁ μέσος πρῶτος ἀόριστος, ἠράμην. τὸ ἀπαρέμφατον ἄρασθαι.

Ξυναλιζόμενοι, συναθροιζόμενοι, ἢ συνεσθίοντες. παρὰ τοὺς ἅλας. ἐκ τοῦ ἅλς ἁλός, ἁλίζω. ἢ ἐκ τοῦ αὐλίζω.

Ξυνερρώγη. συνερράγη. διελύθη. ἀπὸ τοῦ ῥήσσω. ὁ μέσος παρακείμενος, ἔρρηγα. ὁ ὑπερσυντέλικος, ἐρρήγειν. καὶ τροπῇ τοῦ η εἰς ω ἐρρώγη.

Ξυνδεδέατο, συνδεδεμένοι ἦσαν. δέω. ὁ παθητικὸς ὑπερσυντέλικος, ἐδεδέμην, ἐδέδεντο, καὶ ἐδεδέατο. καὶ μετὰ τῆς ξὺν προθέσεως, ξυνεδεδέατο. οὐχ ὥς τινες δὲ ἀπὸ τοῦ δῶ, δήσω, ἐδέδηντο, καὶ ἰωνικῶς ἐδεδέατο, ὡς ἐπεποίηντο, ἐπεποιέατο, ἀλλ' ἀπὸ τοῦ ἐδέδεντο. καὶ αἰολικῶς τροπῇ τοῦ ν εἰς α.

Ξύνες, σύνες. ἄκουσον. οἱ δὲ ἀττικοὶ τὴν συμφορὰν, ξυμφορὰν φασί. καὶ τὸ σύμπαν. καὶ τὸ συνίεσαν, ξυνίεσαν. ἀπὸ τοῦ ξυνίημι, ὁ παρατατικὸς ξυνίην. ξυνίεμεν τὸ πληθυντικόν. τὸ δεύτερον ξυνίετε. τὸ τρίτον ξυνίεσαν.

Ξυνήλυδες, σύμμαχοι. ἐπείσακτοι.

Ξυνίστωρ, συμπράκτωρ. σύμβουλος. συγγνώστης. παρὰ τὸ εἴδω ῥῆμα, τὸ σημαῖνον τὸ γινώσκω. ὁ μέλλων, εἴσω. ἐκ τούτου ἴστωρ, καὶ ξυνίστωρ.

Ξύνιον, καὶ μέμευ βουλέων. ξύνιον ἀντὶ τοῦ ἐπείθοντο. ἐπῄνουν. ἡ μεταφορὰ ἀπὸ τῶν εἰς σκοπὸν βαλλόντων. συνιέναι γὰρ τὸ ἐπιτυγχάνειν τῇ τοῦ συμβουλεύοντος γνώμῃ συμφέρεσθαι. συνιῶ οὖν. καὶ ὁ παρατατικὸς συνίουν. ὁ δὲ δεύτερος ἀόριστος σύνιον καὶ ξύνιον.

Ξυνήια, κοινὰ χρήματα. ἀπὸ τοῦ ξυνὸς ξύνειος. ξυνὸν ξύνειον. κτητικὸς τύπος. ὥσπερ κοινὸν κοίνειον. καὶ διαιρέσει ἰωνικῇ, ξυνήϊον. καὶ τροπῇ τοῦ ε εἰς η ξυνήιον.

Ξενίζειν, τὸ ξενικῇ χρῆσθαι φωνῇ καὶ μὴ ἐπιχωρίῳ. ἢ τὸ ξενικοῖς χρῆσθαι ἐπιτηδεύμασι, καὶ ἐκδεδιῃτῆσθαι τῶν πατρίων ἐθῶν. σημαίνει καὶ τὸ ξένης εἶναι. καὶ τὸ ὑποδέχεσθαι ξένον.

Ξηραλοιφεῖν, τὸ ἐν ταῖς παλαίστραις γυμναζόμενον κόνει χρῆσθαι.

Ξυστίδες, οἱ μὲν εἶδος ὑποδημάτων. οἱ δὲ, κόσμου γυναικείου. οἱ δὲ, σκεύους, ἢ ἱματίου.

Ξάνιον, κτένιον ὃ φοροῦσιν αἱ γυναῖκες. ἢ ἐν φυλακτηρίοις ἔχουσι.

Ξυστός, ἀνδρῶν τόπος τοῖς ἀθληταῖς εἰς γυμνάσιον. καὶ ξυστὸν δόρυ, ἀκόντιον. ἔστι καὶ τὸ ξύλον. ἔστι δὲ χιτὼν γυναικεῖος. οἱ δὲ, γαμικὸν ἔνδυμα.

Ξουθόν, λεπτόν. ἁπαλόν. ἐλαφρόν. χλωρόν. ὑγρόν.

Ξηρὸς ἱδρώς, ὁ μὴ ὑπὸ λουτρῶν, ἀλλ' ὑπὸ γυμνασίων καὶ πόνων γενόμενος :~

ΤΕΛΟΣ ΤΟΥ Ξ ΣΤΟΙΧΕΙΟΥ :~

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

IC

ΑΡΧΗ ΤΟΥ Ο ΣΤΟΙΧΕΙΟΥ :~

Τὸ στοιχεῖον, παρὰ τὸ ἐμφερῆ εἶναι τῷ χαρακτῆρι τὴν ἐκφώνησιν. κατὰ γὰρ περίκλασιν φωνῆς ἐκφέρεται τὸ ὄνομα τοῦ στοιχείου.

Ὀα, τὰ εἰς α λήγοντα καθαρὸν τῷ ο παραληγόμενα, σπάνια. καὶ σχεδὸν ἀπὸ πάθους γέγονεν. ἔστι γὰρ τὸ ὄα, ὅπερ ἀπὸ τοῦ οἰα γέγονεν, ἐξ οὗ καὶ τὸ διὰ τῆς ω διφθόγγου ῷα. δηλοῖ δὲ δῆμον ἀττικόν. καὶ τοῦ χιτῶνος τὸ ἄκρον. καὶ τὸ χόα, ἀπὸ τοῦ χοιά. καὶ τὸ στόα, ἀπὸ τοῦ στοιά. ἴσως δὲ καὶ τὸ πόα ἡ βοτάνη, ἀπὸ τοῦ ποιά γέγονε. Θεόγνωστος.

Ὄαροι, αἱ γυναῖκες. αἱ γαμεταί. οἱονεὶ ὁμόαροί τινες οὖσαι. παρὰ τὸ ὁμοῦ ἀρηρέναι γάμῳ καὶ συνηρμόσθαι. ἐξ αὐτοῦ δὲ τὸ ὀαρίζειν λέγεται, τὸ τοὺς ἄνδρας γυναιξὶν ὁμιλεῖν. Ἰλιάδος ζ. Ὅθι ἢ ὄαριζε γυναικί. καὶ ὀαριζέμεναι, τὸ γυναικώδεις προσδιαλέγεσθαι λόγους. Ἰλιάδος χ. ἔνθεν ὀαριστύς, Ὀαριστὺς πάρφασις, ἤγουν ὁμιλία παρασκευαστική. Ἰλιάδος ξ. καὶ Μετὰ προμάχων ὀαριστύν. ἤγουν ἐν τῇ τῶν προαγωνιστῶν ὁμιλίᾳ καὶ συναναστροφῇ. Ἰλιάδος ρ. ὀαριστὺν οὖν, σύνομιλον. συναναστρεφόμενον. ἀπὸ τοῦ ὀαρίζειν.

Ὄβδην, ἐπίρρημα ἐστὶ μεσότητος. ἀπὸ τοῦ ὄμμαι, ὄβδην. ὡς ἀπὸ τοῦ ἔστηκα στάδην. συνεστάλη τὸ ω εἰς ο. Μοῦσαι τὸ ἦλθεν ὄβδην.

Ὀβελίσκος, οἱονεὶ ὀφελίσκος τις ὤν. ὁ εἰς μῆκος ὀφελλόμενος. ὀφέλλειν γὰρ τὸ αὔξειν. καὶ ὀβελός. ἔστι δὲ ἀμφότερα τὰς σούβλας. παρὰ τὸ βάλλω ἢ βέλλω γίνεται. τὸ μὲν οὐδέτερον βέλος. τὸ δὲ ἀρσενικὸν, βελός. καὶ πλεονασμῷ τοῦ ο, ὀβελός. ὁ ἐοικὼς βέλει. Φώτιος δὲ ὅπως ἀπαρχῆς ὀβολὸν κληθῆναι φησί, ἐπειδὴ τὸ παλαιὸν χαλκοῦν νόμισμα τῶν ἀθηναίων, ὀβελίσκον εἶχεν. Ἀριστοφάνης δὲ ἐν βατράχοις. Ναύτης διάξει δύ' ὀβολὼ μισθὸν λαβών. φεῦ ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύ' ὀβολώ. τροπῇ δὲ τοῦ ε εἰς ο. πρὸ τούτου γὰρ ὀβελίσκοις ταχέσιν ἐνομίστευον. οἱ μὲν οὖν ἴωνες ὀβελός. ἡμεῖς δὲ ὀβολός. Πάντων δὲ πρῶτος φείδων ἀργεῖος νόμισμα ἔκοψεν ἐν αἰγίνῃ. καὶ διὰ τὸ νόμισμα ἀναλαβὼν τοὺς ὀβελίσκους, ἀνέθηκε τῇ ἐν ἄργει ἥρᾳ. ἐπειδὴ δὲ τότε οἱ ὀβελίσκοι τὴν χεῖρα ἐπλήρουν τουτέστι τὴν δράκα, ἡμεῖς δὲ καίπερ μὴ πληροῦντες τὴν δράκα τοῖς ἓξ ὀβολοῖς δραχμὴν αὐτὴν λέγομεν, παρὰ τὸ δράξασθαι. ὅθεν καὶ νῦν λέγομεν ὀβολοστάτην τὴν τοκιστήν, ἐπειδὴ σταθμοῖς παρεδίδοσαν οἱ ἀρχαῖοι. ὁ δὲ ὧρος λέγει, ὅτι τὸ στῆσαι δανείσασθαι δηλοῖ. ὀβολοστάτης οὖν, ὁ τὰ μικρὰ δανείζων φίλοις. ἢ ὁ τοκογλύφος λεγόμενος. καὶ ὀβολοστατῆσαι, τόκους λαβεῖν.

Ὄβριμος, ἰσχυρός. γενναῖος. ἀπειλητικός. δυνατός, παρὰ τὸ βρι ἐπιτατικὸν μόριον, δηλοῖ τὸ ἄγαν, ἢ τὸ μεγάλως καὶ ἰσχυρῶς, γίνεται βρίμος. καὶ πλεονασμῷ τοῦ ο, ὄβριμος. καὶ ὀβριμοεργός, ὁ μεγάλοις ἔργοις ἐπιτιθέμενος, καὶ ἰσχυρὰ διαπραττόμενος.

Ὄβυζος, παρὰ τὸ ἁβρόν, ὅ ἐστι τὸ τρυφερόν.

Ὄγδοος, παρὰ τὸ ὀκτώ, ὄκτοος καὶ ὄγδοος. τὰ διὰ τοῦ οος ὀνόματα προπαροξύνεται. οἷον, ὄγδοος. πείροος. ψιλοῦται. πᾶν φωνῆεν τῶν ἀριθμῶν δασύνεται, πλὴν τοῦ ὀκτὼ καὶ εἴκοσι.

Ὀγμεύω, κατὰ τάξιν θερίζω.

Ὄγμος, ἡ ἐπὶ στίχος φυτεία τῶν δένδρων, καὶ κατὰ τάξιν ἀγωγή. ὥσπερ γὰρ παρὰ τὸ δαΐζω γίνεται δαϊγμός, καὶ παρὰ τὸ φάζω φαγμός, οὕτω καὶ παρὰ τὸ ἄγω ἀγμός καὶ ὄγμος κατὰ μετάθεσιν τοῦ α εἰς ο αἰολικῶς, καὶ παροξύνεται. ἢ παρὰ τὸ ἔχω ἐχμός, καὶ ὄγμος. παρὰ τὸ ἔχεσθαι ἄλλο ἐπ' ἄλλο, καὶ πρὸς ἄλληλα ἔχειν τὴν σχέσιν. δηλοῖ δὲ ὄγμος τὴν τομὴν τοῦ ἀρότρου. παρὰ τὸ οἴγεσθαι τὴν γῆν ὑπὸ τοῦ ἀροῦντος.

Ὄγκαι, πόλις ἐν ἀρκαδίᾳ. ἀπὸ ὄγκου τινὸς ὠνομάσθη.

Ὀγκίον, ἀγγεῖον ἐν ᾧ ἀποτίθενταί τινα. παρὰ τὸ ὀγκῶσαι. ὀγκοῦσθαι πληρούμενον. ἢ ὅπου ἀποτίθενται τὰ σίδηρα τῶν βελῶν. ὄγκους γὰρ τὰς ἀκίδας λέγουσι, καὶ δοχὰς τῶν βελῶν. ἀπὸ τοῦ ἔχειν. Ἰλιάδος δ. Ὡς δὲ εἶδε νεῦρόν τε καὶ ὄγκους. νεῦρον δὲ ἐν ᾧ δέδεται τὸ σιδήριον τοῦ βέλους πρὸς τὸν κάλαμον.

Ὄγε, δύο μέρη λόγου εἰσίν, ἢ ἕν; δύο. ὁ, ἄρθρον. γε, σύνδεσμος. ἐν συνθέσει μὲν, ἢ ἐν παραθέσει; παράλληλος σύνταξις ἐστὶ λέξεων. ἑκάστης τὸν ἴδιον τόνον φυλαττούσης. τὰ ἐπεκτεινόμενα διὰ τοῦ δε, διὰ τοῦ γε οὐκ ἐπεκτείνονται. οἷον, τοῖος, τοιόσδε. τοιόσγε, οὐ λέγεται. τόσος, τοσόσδε. καὶ τὰ ἐπεκτεινόμενα διὰ τοῦ γε. διὰ τοῦ

δὲ οὐκ ἐπεκτείνονται. τὸ ἐγὼ, ἔγωγε. ἐμοί, ἔμοιγε.

Ο, ἄρθρον ὑποτακτικόν μεταχθὲν εἰς ἀντωνυμίαν ἀναφορικήν. ἔθος γὰρ τῷ ποιητῇ τὰ ὑποτακτικὰ τῶν ἄρθρων εἰς ἀντωνυμίαν μετάγειν, ὅτι οὐκ ἔχει ὄνομα προϋποκείμενον εἰς ὃ συντάττεται. σημαίνει δὲ τὸ ο, ἕξ. ἄρθρον προτακτικόν, ὡς τὸ, Τὸν δ' ὅ περ οὐν ἠγάσατο. καὶ ὑποτακτικόν, ὡς τὸ, Ο σφιν ἐϋφρονέων. καὶ ἀντωνυμίαν τρίτου προσώπου, ἀντὶ τοῦ οὗτος. ὡς τὸ, Ο γὰρ ἦλθε θοὰς ἐπὶ νῆας. καὶ ἀντὶ τοῦ τὸ, ὡς τὸ, Ο μὲν, οὔτι τόσον τε λέληθε κακόν. ἐμνῆσθαι μεμνημένον. καὶ ἀντὶ τοῦ ὅτι, ὡς τὸ, Λεύσσετε γὰρ τόγε πάντες ὅ μοι γέρας ἔρχεται ἄλλῃ. καὶ ἀντὶ τοῦ διότι. Τοῖον γὰρ πάρος, ὃ καὶ πεπνυμένα βάζεις.

Ο σφιν, ἀντὶ τοῦ ὃς ἐν ἄλλοις. ἔστι προτακτικόν. καὶ εἴωθεν ὁ ποιητὴς τὰ προτακτικά, ἀντὶ ὑποτακτικῶν χρῆσθαι. ὡς τὸ, Ενθα ὁ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ' ἀνδρῶν. καὶ, Αἰδοῖος νεμεσητὸς, ὅ με προέηκε πυθέσθαι, ἀντὶ τοῦ, ὅστις. χωρὶς εἰ μὴ τὸ μέτρον κωλύσει. Ος μάλα πολλὰ πλάγχθη. καὶ λέγεται ὅτι, ἆρα ἀναλόγως τούτῳ χρῆται ὁ ποιητής, ἢ παραλόγως; ἀναλόγως. ἐπειδὴ τὰ ὑποτακτικὰ τῶν ἄρθρων ὁμοιοκατάληκτα θέλει εἶναι τοῖς ἰδίοις προτακτικοῖς. τοῦ, οὗ. τῷ, ᾧ. ἔνθα Ἀρίσταρχος φησὶν ὅτι ὁ ποιητὴς προτακτικοῖς χρῆται ἀντὶ ὑποτακτικῶν. τὸ, ὅσφιν προϊεὶς. καὶ τὰ λοιπὰ δι' ἑνὸς σ γράφεται.

Ο τις ἐπίορκον ὀμόσσει. ἀόριστον ὄνομα. σύγκειται ἐκ τοῦ ο ἄρθρου προτακτικοῦ καὶ τοῦ τὶς. σημαίνει δὲ τὸ, ὅστις. ἀεὶ γὰρ ὁ ποιητὴς τὰ προτακτικὰ ἄρθρα ἀντὶ ὑποτακτικῶν χρῆται. χωρὶς εἰ μὴ μέτρον κωλύσει.

Οστις, ὄνομα ἀναφορικόν. καὶ σύγκειται ἐκ τοῦ ὃς ἄρθρου ὑποτακτικοῦ καὶ τοῦ τὶς ὀνόματος ἀορίστου. τὸ γὰρ τίς τὸ ἐρωτηματικόν, ἀεὶ τὸν οἰκεῖον τόνον φυλάττει. καὶ οὐδέποτε

Οου. Οου κράτος ἐστὶ μέγιστον. ἄρθρον ὑποτακτικόν. τὸ δὲ ο λέγεται πλεονάζειν. λέγει δὲ Ἡρωδιανὸς ὅτι ὁ πλεονασμὸς τὸν οἰκεῖον τόνον φυλάττει. οἷον, ὥρακα, ἑώρακα. ἔδει ἄρα οὖν καὶ τὸ κατὰ πλεονασμὸν γενόμενον, ὀφείλειν εἶναι ὅου περισπωμένου. οὐκ ἔστι δὲ πλεονασμός, ἀλλὰ διαίρεσις. τὰ γὰρ ἄρθρα εἴωθε διαιρεῖσθαι οὐχὶ πλεονάζειν. οἷον, ἧς, ἕης. οὗ, ὅου. τί διαφέρει διαίρεσις πλεονασμοῦ; διαφέρει. ὅτι ὁ μὲν πλεονασμὸς τὸν αὐτὸν τόνον φυλάττει. οἷον, εἴκοσιν, ἐείκοσι. ἡ δὲ διαίρεσις, ἀλλάσσει τὸν τόνον. δασύνεται. τὰ πλεονάζοντα φωνήεντα ἐν δασυνομένῃ λέξει, μεταληπτικὰ γίνεται τοῦ δασέος πνεύματος. ζήτει εἰς τὸ ἑῷ. ἐγκλίνεται.

Ο δεῖνα, ὥσπερ τὸ Νεάπολις δύο ὀνόματα εἰσὶ καθ' ἑνὸς ὑποκείμενα, οὕτω καὶ τὸ ὁ δεῖνα, δύο ἀντωνυμίαι εἰσὶ καθ' ἑνὸς ὑποκειμένου. τινὲς δὲ λέγουσιν, ὅτι μία λέξις ἐστὶ καὶ οὐ δύο, οἵτινες κακῶς λέγουσιν, εἰ γὰρ ἦν μία λέξις, οὐκ ὤφειλε κατὰ πτῶσιν ἐναλλάττεσθαι ἡ ἀρχή. οἷον, ὁ δεῖνα τοῦ δεῖνατος. τῆς γὰρ μιᾶς λέξεως, φυλάττεται ἐν τῇ κλίσει ἡ ἀρχή. οἷον, φιλάνθρωπος φιλανθρώπου φιλανθρώπῳ. γράφεται διὰ διφθόγγου οὕτως ἐχούσης τῆς παραδόσεως. καὶ ἴσως πλανηθεῖσιν ἐκ τοῦ τινὰς λέγειν, ὅτι μία λέξις ἐστίν. οἱ γὰρ λέγοντες ὅτι μία λέξις ἐστὶν, λέγουσιν ὅτι παρὰ τὸ ὅδε ἀντωνυμίαν γέγονεν ὁ δεῖνα καὶ ὁ δεῖνα. αἱ ὑπὲρ μίαν συλλαβὴν μονοπρόσωποι ἀντωνυμίαι, θέλουσιν ἔχειν δίφθογγον. αὐτός. οὗτος. ἐκεῖνος. μόνον τὸ ὅδε οὐκ ἔχει. τούτου χάριν τὸ ὁ δεῖνα ἔχει τὴν ει δίφθογγον. πρόσκειται ὑπὲρ μίαν συλλαβὴν, διὰ τὸ μὶν καὶ σφὶν μονοπρόσωπον. μονοπρόσωποι δὲ λέγονται αὗται, ἐπειδὴ οὐκ ἔχουσι πρῶτον καὶ δεύτερον πρόσωπον κατὰ τὴν ἀκολουθίαν. τὸ γὰρ ἐγὼ, σὺ, οὐκ εἰσὶ τούτων, ἀλλὰ τοῦ ι.

Οδὸς, παρὰ τὸ ἔω τὸ πέμπω ἐδὸς καὶ ὁδὸς. ὡς σβέω σβεδὸς καὶ σποδός. τὸ δὲ οὐδὸς, πλεονασμός ἐστι τοῦ υ. Καὶ ἐπὶ γήραος οὐδῷ, ἀντὶ τοῦ ἐπὶ ἐξόδου τοῦ γήρως. ὅτε ἤδη πεπέρασται ὁ βίος καὶ διελήλυθε δι' αὐτοῦ. καὶ, Οὐδὸν ἐς λαύρην, βατῆρα θυμόν. σημαίνει δὲ τὴν δημοσίαν ὁδόν. λαύρην δὲ Φιλόξενος τὴν ῥύμην φησί. καὶ τινὲς μὲν ὁδὸν ἀπέδωκαν. τινὲς δὲ τὸν κοπρῶνα ὡς Ἱππῶναξ.

Οδιος, πρὸ τέλους ἡ ὀξεῖα. ἐπεὶ κύριόν ἐστι. τὸ δὲ προσηγορικόν, ὅδιος. ὡς σκότιος.

Οδὰξ λαζοίατο γαῖαν, ἀντὶ τοῦ τοῖς ὀδοῦσι δάκοιεν τὴν γῆν. τοῦτο δὲ σημαίνει ἄλλοις ὀδυνωμένοις. παρὰ τὸ δάκω δάξω δάξ. καὶ πλεονασμῷ τοῦ ο, ὀδάξ.

Οδόντες οἱ ἐπὶ ἐδωδὴν ὄντες. ἔδοντες τινές. παρὰ τὸ ἔδω τὸ ἐσθίω γίνεται ὀδοὺς. καὶ κλίνεται ὀδόντος. ὀξύνεται δὲ καὶ διὰ τοῦ ντ κλίνεται ὡς μετοχή. αἱ δὲ εἰς ους μετοχαί, διὰ τοῦ ντ κλίνονται. οἷον, διδοὺς διδόντος. ἄξιον δέ ἐστι ζητῆσαι, εἰ ἄρα τὰ εἰς ους λήγοντα ὑπὲρ μίαν συλλαβὴν ὀνόματα, οὐδέποτε συντίθενται διὰ τὸ ὀδούς. οἷον, εἰσόδους. κεινόδους. πρόσκειται ὑπὲρ μίαν συλλαβὴν, διὰ τὰ μονοσύλλαβα. εὔνους. εὔχους. καὶ ἔστιν εἰπεῖν, ὅτι τὰ εἰς ους ὀνόματα οὐδέποτε ὀξύνονται. ἀλλ' ἢ βαρύνονται ἢ περισπῶνται. ἐπεὶ οὖν τὸ ὀδοὺς ὀξύνεται, τούτου χάριν συντίθεται ἵνα βαρυνθὲν ἐκφύγῃ τὴν παράλογον τάσιν.

Οδύνη, παρὰ τὸ ἔδειν τὴν ψυχήν. καὶ ὀδυνήφατα φάρμακα, τὰ τὰς ὀδύνας παύοντα καὶ φθείροντα. παρὰ τὸ φθίω. παρὰ τὸ ἔδω οὖν ὀδύνη. καὶ ῥῆμα ὀδυνῶ. σημαίνει τὸ τήκομαι καὶ καταπονοῦμαι. καὶ τροπῇ τοῦ ν εἰς ρ, γίνεται ὀδύρω. τὸ ἐνεργητικὸν οὐχ εὕρηται. τὸ δὲ παθητικόν, Οδυρομένη κ

Οδυσσεὺς, εἴρηται ἀπὸ ἱστορίας. Ἀντί- φίλα τέκνα. κλειαν γάρ φασι τὴν Ὀδυσσέως μητέρα ἐγκύμονα ὁδεύουσαν τὸ Νήριτον τῆς Ἰθάκης ὄρος ὕσαντος πολὺ τοῦ Διὸς ὑπὸ ἀγωνίας τε καὶ φόβου καταπεσοῦσαν ἀποτεκεῖν τὸν Ὀδυσσέα. οὕτω ταύτης τῆς ὀνομασίας ἔτυχεν, ἐπειδὴ κατὰ τὴν ὁδὸν ὕσεν ὁ Ζεύς.

Οδμή, παρὰ τὸ ὄζω ὀδὴ καὶ ὀδμὴ πλεονασμῷ. ὄζω ὀζέσω, ὅθεν τὸ προσώζεσαν. ὥσπερ πιέζω, πιεζῶ. ἐκ δὲ τοῦ ὄζω, ὁ μέλλων ὀσῶ. ὁ παρακείμενος, ὦκα. ὁ μέσος, ὦδα. καὶ Ἀττικῶς, ὄδωδα. ἢ ἐκ τοῦ ὀδῶ ὀδώσω, ὤδωκα. ὁ μέσος, ὦδα.

Οζος, ὁ κλάδος. παρὰ τὸ ἵζω τὸ καθίζω. ἢ παρὰ τὸ ἕζω τὸ κάθημαι ἕζος καὶ ὄζος, τὸ ἐγκαθήμενον καὶ ἐμπεπηγμένον τῷ ξύλῳ, εἰς ὃν κάθηνται οἱ νεοσσοί. οἷον, Οζῳ ἐπ' ἀκροτάτῳ πετάλοις ὑποπεπτηῶτες.

Οθομαι. Οὐδ' ὄθομαι κοτέοντος, ἀντὶ τοῦ ἐπιστροφὴν ποιοῦμαι ὀργιζομένου σου. ἢ ὄθομαι, τὸ ταράττομαι, παρὰ τὸν ὄτοβον, ὃ σημαίνει τὸν τάραχον. οὕτω δὲ λέγουσιν Ἴωνες. ἢ ἐκ τοῦ ὄθω τὸ συστρέφω καὶ κινῶ. ἀντὶ τοῦ οὐ κινοῦμαι. οὐκ ἐπιστρέφομαι. ὅθεν καὶ ὀθόνη, ἡ εὐκίνητος διὰ τὸ λεπτότατον. δύναται δὲ λέγεσθαι τὸ λεπτὸν καὶ διαφανὲς ἱμάτιον. παρὰ τὸ ὄθμα τὸ ὄμμα, ὀθμάνη καὶ ὀθόνη. ἢ ἐκ τοῦ ὄθω τὸ ἐπιστρέφομαι. οἱονεὶ τὸ μαλακὸν καὶ εὐένδοτον, καὶ εὐεπίστροφον.

Οθνεῖον, τὸ ξένον. ὥσπερ παρὰ τὸ ἄριστος, γίνεται ἀριστεῖον, καὶ κότταβος κοτταβεῖον, οὕτω καὶ παρὰ τὸ νόθος νοθεῖον. ἢ ἐκ τοῦ νοθεύω. καὶ ὑπερβιβασμῷ, ὀθνεῖον. οἱονεὶ τὸ νόθον. καὶ ὀθνεία.

Οθεν καὶ ὅθι, ἀπὸ τοῦ πόθεν ἀποβολῇ τοῦ π, ὅθεν. καὶ δασύνεται. καὶ ὥσπερ ἐκ τοῦ ὕψοθεν ὕψοθι, οὕτω καὶ παρὰ τὸ ὅθεν γίνεται ὅθι. σημαίνει δὲ τὸ ἔνθα. ὅπου. διαφέρει δέ. ὅτι τὸ μὲν ὅθι, ἐπίρρημά ἐστι τοπικόν, καὶ δηλοῖ τὴν ἐν τόπῳ σχέσιν. τὸ δὲ ὅθεν τὴν ἐκ τόπου. ἢ ἐκ τοῦ ο ἄρθρου, κατ' ἐπέκτασιν τῆς θι γίνεται ὅθι.

Οθρυς, ὄρος Θεσσαλίας. οἱονεὶ ἄθρυς τις ὤν. ὅθεν ἐστὶν ἀθροῖσαι διὰ τὸ ὕψος.

Οἱ. σημαίνει ἕξ. ἄρθρον προτακτικὸν ἀρσενικὸν πληθυντικόν. ὡς τὸ, Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι. καὶ ὑποτακτικόν, ὡς τὸ, Ἀγχοῦ Κυκλώπων. οἱ πόδες σινέσκοντο. καὶ ἀντὶ τοῦ οὗτοι. ὡς τὸ, Οἱ μὲν πὰρ νηυσὶ κορωνίσιν ἐμάχοντο. καὶ ἄρθρον ἀντωνυμικὸν συζυγοῦν τῇ ἐμοί, σοί, οἷ. ἥτις ἐγκλιθεῖσα, σημαίνει ἀντωνυμίαν ἀντὶ τοῦ αὐτῷ. ὡς τὸ, Ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή. ὀρθοτονουμένη δὲ σημαίνει ἑαυτῷ. ὡς τὸ, Ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς. ὥσπερ δὲ λέγεται σφεῖς αὐτοί, καὶ ἑξῆς σφῶν αὐτῶν, σφᾶς αὐτούς, οὕτω καὶ ἐπὶ τοῦ ἑνικοῦ. οἷ αὐτῷ.

Οἱ νεῴ, σὺν τῷ ι. πρῶτον ἀπὸ τοῦ οἱ Μενέλαοι καὶ οἱ ναοὶ γέγονε κατὰ τροπὴν τοῦ ο εἰς ω, καὶ μένει τὸ ι προσγεγραμμένον. δεύτερον δὲ ὅτι πᾶσα εὐθεῖα ἀρσενικῶν τε καὶ θηλυκῶν πληθυντικῶν εἰς φωνῆεν λήγουσα ἀνεπέκτατος, εἰς ι θέλει λήγειν. οἷον, οἱ καλοί. αἱ μοῦσαι. αἱ γὰρ θεματικαὶ εὐθεῖαι πληθυντικαί, ἤγουν αἱ μὴ ἀπὸ ἑνικοῦ κεκλιμέναι. οἷον, οἱ πέντε. καὶ οἱ ἑπτά, οὐκ ἀνάγκη ταῖς ἡμῖν μὴ λήγουσαι εἰς ι. ἐπειδὴ οὐκ εἰσὶν ἀπὸ ἑνικοῦ κεκλιμέναι. εἰ ἄρα οὖν οἱ Μενέλεῳ καὶ οἱ νεῷ εἰς φωνῆεν λήγουσιν, εἰς τὸ ι δηλονότι θέλουσι καταλήγειν.

Οἴαξ, ὁ κανὼν δι' οὗ τὸ πηδάλιον φέρεται. γίνεται παρὰ τὸ οἴω τὸ νομίζω καὶ φέρω. ὁ μέλλων, οἴσω. ἐξ αὐτοῦ οἴαξ. καὶ κλίνεται οἴακος. ἐξ οὗ γίνεται οἰήκιον. καὶ κατ' ἔλλειψιν τοῦ η, οἴκιον. σημαίνει δὲ τὸ πηδάλιον τῆς νηός, ἀφ' οὗ φέρεται ἡ ναῦς. ἢ ἀπὸ τοῦ οἴω οἴσω, γίνεται οἴιον. καὶ πλεονασμῷ τοῦ η. οὕτω Φιλόξενος περὶ ἰάδος διαλέκτου. ἰλιάδος τ. Οἵ τε κυβερνῆται, καὶ ἔχον οἰήια νηῶν.

Οἴαξις, χωρίον κρητικὸν ὑψηλόν. τινὲς δὲ ὅτι πλεονασμός ἐστι τοῦ ι. ὄαξις. διὸ καὶ, Δραξάμενος γαίης οἰαξίδος.

Οἰδίπους ὁ μὲν θεόγνωτος ἀπὸ τοῦ οἰδήσω οἰδησίπους κατὰ συγκοπὴν τῆς ης συλλαβῆς. ὁ δὲ Ἡρωδιανὸς λέγει μὴ εἶναι οὕτως, ἀλλ' ἀπὸ τοῦ οἰδῶ οἰδίπους. ἄμεινον γὰρ τὸ ἀπαθὲς τοῦ πεπονθότος. ζήτει εἰς τὸ ἀλίπους.

Οἶδα, ζήτει εἰς τὸ οἶσθα.

Οἰδάνει, εἰς ὕψος αἴρεσθαι ποιεῖ. πληροῦται ὑπὸ τῆς ὀργῆς, ἀπὸ μεταφορᾶς τῶν οἰδημάτων, ἤγουν τῆς φλεγμονῆς. παρὰ τὸ οἰδῶ, ὥσπερ ἀπὸ τοῦ οἴω γίνεται. ἰλιάδος ι. Ἀλλ' ὅτε δὴ μενέλαον ἔδυ χόλος, ὅς τε καὶ ἄλλων οἰδάνει ἐν στήθεσι νόον πύκα περ φρονεόντων.

Οἶδμα, τὸ κῦμα, ἐκ τοῦ οἰδῶ τὸ ὀγκοῦμαι οἰδήσω οἴδημα. καὶ συγκοπῇ, οἶδμα. Οἶδμα τ' ἰθύων. ἰλιάδος ψ.

Οἴδματα, ἐπάρματα. φυσήματα. καὶ οἴδημα, ὄγκω-

Οἰέτεας, ὡς Διομήδεας. ἔστι δὲ μα, φλεγμονή. ἐπὶ τούτου τοῦ σχήματος παράλογος ὁ τόνος. τὰ γὰρ ἀπὸ τῶν εἰς ος λήγοντων οὐδετέρων δισυλλάβων σύνθετα εἰς ης λήγοντα ἐπιθετικά, μὴ ἔχοντα τὸ ο πρὸ τέλους, πάντα ὀξύνεται. εὐγενής. ἀκλεής. ἐχρῆν οὖν καὶ παρὰ τὸ ἔτος τὸ αὐτὸ ἀναδέχεσθαι. νυνὶ δὲ κατὰ βαρεῖαν τάσιν ἀναγινώσκεται. ὡς εὐσέβεια.

Οἴκαδε, ἐπίρρημα τοπικὸν τῆς εἰς τόπον. καὶ διατί ἐστι προτέρα ἡ ἐν τόπῳ. ἐπειδὴ εἰ μὴ ἐν τόπῳ ἧς, εἰς τόπον οὐ δύνασαι ἀπελθεῖν.

Οἶκος, παρὰ τὸ εἴκω τὸ ὑποχωρῶ. ὑφ' οὗ χωρούμεθα. ὅθεν καὶ οἶκτος. οἱ γὰρ οἰκτείροντες, εἴκουσι καὶ ὑποτάσσονται.

Οἰκός, παρὰ τὸ ἐοικός. καὶ κατὰ ἀφαίρεσιν τοῦ ε, οἰκός.

Οἰκῆας, οἰκείους. οἰκέτας. δούλους. οἶμαι ἀπὸ τοῦ οἰ- κεὺς ὡς ἀχιλλεύς.

Οἶκτος, σημαίνει τὸν θρῆνον. ἔστιν οἴχω, τὸ πορεύομαι. ἡ μετοχή, οἰχόμενος. καὶ κατοιχόμενος, ὁ κατωπορευόμενος. ἤγουν ὁ νεκρός. τούτου ὁ παρακείμενος, ᾦχα. ὁ παθητικός, ᾦγμαι, ᾦκται. καὶ ἐξ αὐτοῦ οἶκτος, ὁ ἀποθανών. οἶκτος δὲ βαρύνεται, ὁ ἐπὶ θανάτῳ θρῆνος.

Οἰκρός, ἐλεεινός.

Οἰδαίνειν, θυμοῦσθαι. ἐπαίρεσθαι. φυσᾶσθαι. παρὰ τὸ φῶ ὃ σημαίνει τὸ ποιῶ, γίνεται φοιτῶ. ἐκ τούτου φοιταίνω. ἀποβολῇ τοῦ φ, καὶ τροπῇ τοῦ τ εἰς δ, οἰδαίνω. καὶ ὁ παρατατικός, οἴδαινον. τρέπεται γὰρ τὸ ο ἐπὶ τοῦ παρατατικοῦ εἰς ω. οἷον, οἰκῶ, ᾤκουν. πλὴν ἕνδεκα. οἰῶ οἴουν, τὸ μονῶ. οἰμῶ, οἴμουν. οἰστρῶ, οἴστρουν. οἰωνίζομαι, οἰωνιζόμην. οἰωνοσκοπῶ, οἰωνοσκόπουν. οἰωνοπολῶ, οἰωνοπόλουν. οἰακονομῶ, οἰακονόμουν. οἰακοστροφῶ, οἰακοστρόφουν. οἰνουρῶ, οἰνούρουν. οἰδαίνω οἴδαινον. οἰμάζω, οἴμαζον. ταῦτα δὲ διαφέρονται. οὐ τρέπονται δὲ διὰ

εὐφωνίαν, ἰωνικῷ ἔθει ὥς τινες φασίν.

Οἶδα, ὥσπερ ἀπὸ τοῦ εἴκω γίνεται ἔοικα, οὕτω καὶ ἀπὸ τοῦ εἴδω μέσου παρακειμένου, γίνεται διαλύσει εἴδα καὶ ἔοιδα, καὶ οἶδα. τὸ μέντοι σύνοιδα, αἰολικόν ἐστι καθὸ τὸν τόνον ἀνεβίβασε. ἔδει γὰρ ὥσπερ εἶκα σύνεικα, οὕτως οἶδα σύνοιδα.

Οἶμος, ἡ ὁδός. παρὰ τὸ οἰμῶ τὸ σημαῖνον τὸ ὁρμῶ. ὁ μέλλων, οἰμήσω. ἐν ᾗ ὁρμῶσί τινες καὶ ὁδεύουσι. καὶ ἡ ῥάβδος οἶμος λέγεται. παρὰ τὸ ὁρμᾶν εἰς εὐθὺ ἐν τῷ φύεσθαι. οἷον, Τοῦ δ' ἦτοι δέκα οἶμοι ἔσαν. ἰλιάδος λ. ὁ δὲ φιλόξενος παρὰ τὸ οἴσω μέλλοντα οἶμος, ἡ ὁδός. δι' ἧς παντοίας φέρουσι φορὰς οἱ κατ' αὐτὴν ὁδεύοντες.

Οἴμη, ἡ ᾠδή. παρὰ τὸ ἐν ταῖς οἴμαις, τουτέστι ταῖς ὁδοῖς ψάλλεσθαι. ὦρος. ἀφ' οὗ καὶ προοίμιον ἐπί τε ποιημάτων. καὶ μεταφορικῶς ἐπὶ τῶν πεζῶν. δὲ καὶ ᾠδή.

Οἶμα Οἶμα λέοντος ἔχει. ἰλιάδος π. ἀπὸ τοῦ οἰμῶ οἰμήσω. Οἴμησε δὲ ἀλεὶς ὥς τ' αἰετός. οἴμημα. καὶ κατὰ συγκοπὴν, οἶμα τὸ ὅρμημα.

Οἰμώζειν, τὸ θρηνεῖν. παρὰ τὸ οἴμοι θρηνητικὸν ἐπίρρημα. ἢ ἔστιν ὦ, σχετλιαστικὸν ἐπίρρημα. ὅθεν τὸ ὤμοι, ὅπερ οὐκ ἔχει προσγεγραμμένον τὸ ἰῶτα. ἐκ γοῦν τοῦ ὤμοι ἐπιρρήματος, γίνεται καθ' ὑπερβιβασμὸν οἰμώζω. ὁ παρατατικός, οἴμωζον καὶ ᾤμωζον, διαφέρεται.

Οἰμωγή, στεναγμός. ὀλοφυρμός. ἀπὸ τοῦ οἰμώζω. τὸ δὲ οἴμοι ἐπήξηται φησὶν ἡρωδιανὸς ἀπὸ τοῦ οἱ ψιλουμένου. τὰ δ' ἄλλα δασύνονται. ὁμοίως καὶ θεόγνωτος.

Οἶνος, οἰνοῦς τις ὤν. παρὰ τὸ οἴησεως καὶ πλάνης αἴτιος τοῖς ἀνθρώποις γενόμενος. ὦρος. ὡς ἀριστοφάνης. Εὕρηλ' ... εἰς ἐπίνοιαν λοιδορούμενοι, ὁρᾷς; ὅταν πίνωσιν ἄνθρωποι, τότε πλουτοῦσι. διαπράττουσι. καὶ κρίνουσι δίκας. ἢ παρὰ τὸ ὄνομαι τὸ ὀφελῶ. παρὰ τὸ δὲ αὐτοῦ ὄνησιν ἰλιάδος ζ. Ἔπειτα δ' ἢ κ' αὐτὸς ὀνήσεαι αἴκε πίησθα. ἢ παρὰ τὸ οἷς ὅ ἐστι τὸ πρόβατον. οἱ γὰρ παλαιοὶ ἐγαλακτοτρόφουν πρὸ τοῦ εὑρεθῆναι τὸν οἶνον. μησιανὸν καρπόν.

Οἰνίζεσθαι, ἤγουν τὸ οἶνον ἀγοράζειν.

Οἰνοποτάζων, οἶνον πίνων.

Οἴνοπες. Βόες οἴνοπες. τουτέστι μέλανες. ὡς αἴθιοπα οἶνον τὸν μέλανα ἐν αὐτῷ. οὕτως ὦρος.

Οἰνόφλυξ. φλύειν ἐστὶ τὸ ὁρμὴν ἔχειν πρός τι. ὅθεν οἰνόφλυξ, ὁ εἰς τὸν οἶνον ὁρμῶν.

Οἰοκασίγνητο. τοῦ ἰδίου ἀδελφοῦ. ἡ εὐθεῖα, ὅς, οὗ. ἢ ἰωνικῶς οἷο. οἰκανῶν. οἱ ἴωνες καὶ οἱ θετταλοὶ τὰς εἰς ος εὐθείας διὰ τοῦ οιο προφέρουσιν.

Οἰονεί, εἰς τὸ ἐνθάδε.

Οἰοπόλῳ. Χώρῳ ἐν οἰοπόλῳ. ἐν ᾧ οἷς ἐς πολοῦνται. ἢ οἷος τις πολεῖται μόνος. ὃς ἐστιν ἐν ἐρήμῳ. οἷος μόνος. καὶ οἴη, ἡ μόνη. παρὰ τὸ ἴος ὅ ἐστι τὸ αὐτό. καὶ κατὰ πλεονασμὸν τοῦ ο, οἷος. Οἰόθεν οἷος ἀντίβιον μάχην. ἰλιάδος η. ἐκ μόνου μόνος. νῦν δὲ μόνος πρὸς μόνον.

Οἰός. Ἐν στρόφῳ οἰὸς ἀώτῳ. καλῶς ἐστρεμμένῳ ἐρίῳ. τουτέστι ἐρίῳ, σφενδόνῃ. προβάτου ἄνθει, ὅ ἐστιν ἐρίῳ.

Οἶσθα, ἀντὶ τοῦ γινώσκεις. ἔστιν εἴδω περισπώμενον, καὶ ἄλλο εἴδω βαρύτονον ὁ μέσος παρακείμενος οἶδα. τοῦ δὲ περισπωμένου ὁ μέλλων, εἰδήσω. παράγωγον εἴδημι. τὸ δεύτερον εἴδης. καὶ κατ' ἐπέκτασιν τῆς θα συλλαβῆς, εἴδησθα. καὶ κατὰ συγκοπὴν τῆς δη. καὶ τροπῇ αἰολικῇ τοῦ ε εἰς τὸ ο, οἶσθα. ἢ τὸ οἶδα αἰολικῶς, οἴδημι λέγεται. τὸ δεύτερον οἴδης. καὶ κατ' ἐπέκτασιν οἴδησθα. καὶ συγκοπῇ, οἶσθα.

Οἴσετε. ῥῆμα προστακτικὸν ἐνεστῶτος καὶ παρατατικοῦ. ἔστι γὰρ οἴσω μέλλων. καὶ μετάγεται εἰς ἐνεστῶτα. τοῦ τὸ μεταγόμενον, μέλλοντα οὐκ ἔχει. τὰ γὰρ ποιητικὰ ἀπὸ μελλόντων εἰς ἐνεστῶτα μεταγόμενα, ἄχρι τοῦ παρατατικοῦ κλίνεται. τούτου τὸ προστακτικὸν οἶσε οἰσέτω. καὶ οἴσετε, ὡς ἄγετε. Ἰστέον ὅτι τοῦ φέρω μέλλων οὐκ ἔστι. τοῦ δὲ οἴσω ἐνεστὼς οὐκ ἔστι. πλὴν ἔθος τῷ ποιητῇ μετάγειν ἀπὸ μελλόντων εἰς ἐνεστῶτα. οὕτως ἔχει καὶ τὸ ἄξετε, ἀντὶ τοῦ φέρετε.

Οἰσπώτη, ὁ πλὴν προβάτου. ἐκ τοῦ οἷς καὶ τοῦ πατῶ, οἰσπάτη. καὶ τροπῇ τοῦ α εἰς ω.

Οἰσυπηρὰ ἔρια, τὰ ῥυπαρά. καὶ οἴσυπον λέγουσιν. ἀλλ' ἀριστοφάνης ἐν λυσιστράτῃ, οἰσπώτην εἴρηκεν. οὐκ εὖ δὲ τὸ μὲν τυροῦ μὲν παραιτεῖται. ἔστι γὰρ οἰσπώτη τὸ τῶν προβάτων διαχώρημα. ἔστιν οὖν ὡς οἶμαι οἴσυπος, οἷς ῥύπος, οἷος ῥύπος. καὶ ἐκ τούτου οἴσυπος, οἰσυπηρός.

Οἰσύϊνα, Γέῤῥα οἰσύϊνα ὀισύα. λύγος τις ἰτέας ἀφ' ἧς ἔπλεκον τὰ κανᾶ. ἐκ τούτου δὲ καὶ τὰ γέῤῥα. σκεπαστήρια ταῦτα πολεμικά. οὐ κυκλοτερῆ δὲ ὡς αἱ ἀσπίδες, ἀλλὰ τετράγωνα. καὶ οὐδὲ ταῖς παρατάξεσιν ὑφ' ἑκάστου στρατιώτου φερόμενα, ὡς αἱ ἀσπίδες, ἀλλὰ τοῖς σταθμοῖς καταπηγνύμενα. ἢ εἴπερ ἄρα ἔξωθεν τῆς παρατάξεως ὡς σκέπη ἐσόμενα, τῶν στρατοπέδων, ἀπὸ τῶν ἀπὸ τῆς παρατάξεως φερομένων βελῶν.

Οἶτος, θρῆνος. μόρος θάνατος. παρὰ τὸ οἶ καὶ μοὶ στεναγμοῦ ἐπιῤῥήματα. παρὸ, καὶ τὸν μόχθον δηλοῖ. ὦρος.

Οἰστρεῖ, ἐρεθίζει. ἐκμαίνει.

Οἰσχός, κλῆμα βότρυας φέρον ὀργῶντας καὶ γενναίους. καὶ ὀσχοφορία, τὰ τῆς ἀμπέλου κλήματα περιέχοντα βότρυας παρὰ ἀριστοφάνει.

Οἰχνεῖν, ἀμφίβολον. ἢ παρὰ τὸ ἴχνος ἰχνῶ. καὶ πλεονασμῷ τοῦ ο, οἰχνῶ. ἢ παρὰ τὸ οἴχω οἰχνῶ. ὡς ὀρέγω, ὀριγνῶ. σκεδῶ σκιδνῶ. ἔχεις δὲ ἀμφότερα εἰς τὸ περὶ παθῶν.

Οἰωνός, ὄρνις, ὁ γύψ, παρὰ τὸ οἴω τὸ μονῶ γίνεται. φασὶ γὰρ τινὲς ὅτι καὶ χωρὶς μίξεως πέφυκε πολλάκις τίκτειν, ἐξ ἀνέμου καὶ θερμασίας, καὶ τῶν τοῦ ἡλίου ἀκτίνων. ὥσπερ δὲ παρὰ τὸ κοινῶ κοινώσω γίνεται κοινωνός, οὕτω καὶ ἀπὸ τοῦ οἰῶ τὸ μονῶ ὁ μέλλων, οἰώσω οἰωνός. ὁ παρακείμενος, οἴωκα. οἴωμαι. οἰώθην. ὅ ἐστι τὸ ἐμονώθην. ἀπὸ τοῦ οἶος γίνεται.

Οἰωνοπόλος, ὀρνεοσκόπος μάντις. ὁ περὶ οἰωνοὺς ἤγουν γύπας καὶ κόρακας καὶ ἄλλους ὄρνιθας περιπολῶν, ἤγουν ἀναστρεφόμενος καὶ μαντευόμενος. ὅθεν καὶ οἰωνιστὴς ὁ μάντις.

Ὀϊζυρός, ἐπίπονος. ἄθλιος. ταλαίπωρος. χαλεπός. ἀτυχής. καὶ ὀϊζύς, ἡ ταλαιπωρία. παρὰ τὸ ἵζω δηλοῖ τὸ καθίζω, γίνεται ἰζύς. ὡς ἡδὼ ἡδύς. καὶ μετὰ τοῦ α τοῦ δηλοῦντος τὸ κακὸν, γίνεται αἰζύς. ἡ κακῶς καὶ δυστυχῶς ἰζάνουσα τοῖς ἀνθρώποις. καὶ τροπῇ τοῦ α εἰς ο. ἐκ δὲ τοῦ ὀϊζύς, ῥῆμα ὀϊζύω. ὅ ἐστι τὸ μοχθῶ καὶ ταλαιπωρῶ. ἐξ οὗ γίνεται ὀϊζυρός. ὁ δὲ ἀπολλώνιος λέγει ὅτι ἔστιν οἲ ἐπίρρημα σχετλιαστικὸν καὶ θρηνητικόν. ἐκ τούτου γίνεται οἴζω, ὡς λίαν λιάζω. καὶ αἲ αἰάζω. ἐκ δὲ τοῦ οἴζω, γίνεται ὀιζύω. καὶ κατὰ διάλυσιν ὀϊζύω, καὶ ὀϊζυρός. τὸ ζυ, μακρόν, ἐπειδὴ τὰ εἰς ρος ὀξύτονα, ὑπὲρ δύο συλλαβὰς ὅτε ἔχει τὴν τρίτην ἀπὸ τέλους μακρὰν φύσει ἢ θέσει. πάντοτε ἔχουσι καὶ τὴν προτέλους μακράν. οἷον, ἰσχυρός. ὀκνηρός.

Οἰστοί, τὰ βέλη. παρὰ τὸ ἵημι τὸ πέμπω. γίνεται οἰστὸς κατὰ πλεονασμὸν τοῦ ο. ἢ παρὰ τὸ ἴσω τὸ φέρω, οἰσός. καὶ οἰστός. ἐξ οὗ οἰστεύω. ὅ ἐστι τὸ τοξεύω. οἰστοὶ τὰ βέλη, ἤτοι τὰ τόξα. εἴρηται δὲ τόξον, ὅταν τείνηται ἐν τῇ νευρᾷ. παρὰ τὸ τάξω τὸ τανύω. οἰστὸς δὲ, ὅταν φέρηται καὶ βαστάζηται, ἐκ τοῦ οἴω τὸ νομίζω. βέλος γὰρ τὸ συστάδην καὶ οὐ μακρόθεν, ἀλλ' ἐγγύθεν βαλλόμενον. καὶ οἷον κρατουμένου καὶ τοῦ βέλους ἐν τῇ χειρί. ἰὸς δὲ, παρὰ τὸ ἵημι. ὅταν μακρὰν που πέμπηται ἀπὸ τῆς νευρᾶς. βιὸς δὲ, ἀπ' αὐτῆς τῆς βίας, ἤτοι συνεργίας τῆς τάσεως. εἴρηται, ἢ ὅτι οἱ ἀρχαῖοι, δι' αὐτοῦ τὰ πρὸς τὸν βίον εἶχον, θηρεύοντες, ἢ κυνηγετοῦντες.

Οἰσθείς, ὑπονοήσας. ἐκ τοῦ οἴω.

Ὀΐω, ὅ ἐστι δύο. τὸ ὑπολαμβάνω. Ἀλλ' οὐ πείσεσθαι ὀΐω. καὶ τὸ προσδέχομαι. Κεῖνον ὀϊόμενος τὸν κάμμορον.

Οἴων, Ὃς οἴων, μέγα πάντων. ἰλιάδος γ. ἀρίσταρχος καὶ πτολεμαῖος ὁ ἀσκαλωνίτης, δισυλλάβως ὡς αἰγῶν. λέγει γὰρ ὅτι ἡ εὐθεῖα μόνη ἐστὶν, οἷς. διαμαρτάνει δέ. οὐδέποτε γὰρ ὁ ποιητὴς μονοσύλλαβον εἶπε τὴν εὐθεῖαν. ἀλλὰ δισύλλαβον. Τοῖσι δ' ὄϊς λάσιος. καὶ τὰς πλαγίας κατὰ διάστασιν λύει, ἀμήκω λύει μέτρον. Νῶτον ἔθηκ' ὄϊος. καὶ, Ἦ δ' ἀπάνευθεν ὄϊν. καὶ, Μῆλ' ὄϊές τε καὶ αἶγες. εἰ δὲ κωλύει μέτρον, οὐ κατὰ διάστασιν λέγει. Οἰὸς ἀώτῳ. καὶ ἄλλως. ὅτι τὸ ὄϊς δισύλλαβον ἀναλογώτερον ἐστὶ τοῦ μονοσυλλάβου. πολλὰ γὰρ εἰσὶν εἰς ις λήγοντα ἐπ' εὐθείας εὑρεῖν. οὐδὲν δὲ εἰς οις εἰμὴ μόνον τὸ οἷς παρ' ἀττικοῖς, καὶ τὸ φθοῖς.

Ὀκκα δὲ τύνη εἴκην παρὰ ἀλκμᾶνι. τὸ ὅτε, ὄκα λέγει ἡ διάλεκτος. εἶτα διπλασιάσασα ὄκκα. περὶ παθῶν.

Ὀκλαδιᾶν, ὀκλάζειν. παρὰ τὸ ἐγκλᾶν καὶ κάμπτειν τὰ γόνατα ἐν τῷ καθέζεσθαι. ἐκ δὲ τοῦ κλῶ κλάσω, γίνεται ῥηματικὸν ὄνομα κλάς. καὶ δωρικῶς, κλάξ. καὶ πλεονασμῷ τοῦ ο ὀκλάξ ὡς ὀδάξ. καὶ ὀκλάζει, χωλεύει. ἐπὶ τοῦ γόνυ κάμπτει.

Ὀκνείω, οὐκ ἔστι πλεονασμός. λέγει γὰρ ὅτι ἔστιν ὀκνῶ. καὶ κατὰ ἴωνας, ὀκνέω. καὶ πλεονασμῷ τοῦ ι, ὀκνείω. οὐκ ἔστι δὲ οὕτως, ἀλλὰ κατὰ παραγωγήν. ὥσπερ παρὰ τὸ θάλπω γίνεται θαλπείω, ἐγείρω ἐγειρείω, οὕτως ὀκνῶ ὀκνείω. περὶ παθῶν. καὶ δημοσθένης ἐν δευτέρῳ φιλιππικῶν τὸ ὀκνεῖν ἀντὶ φοβοῦμαι εἶπε καὶ δέδοικα. ὀκνηροὶ γὰρ φοβούμενοι καὶ δεδιότες. τάττεται δὲ ἐπὶ ἀργίας καὶ ῥαθυμίας καὶ ἀμελείας. ὄκνος, ἡ ἀκινησία τὸ πάθος, οἱονεὶ ἄκινός τις ὤν. συγκοπῇ. καὶ τροπῇ τοῦ α εἰς ο, ὄκνος.

Ὀκρίβαντες, ἐφ' ὧν ἄκρων ἑστᾶσιν οἱ ὑποκριταί. οἱονεὶ ἀκρίβαντες τινὲς ὄντες. παρὰ τὸ ἄκρον. γράφεται δὲ διὰ τοῦ ι. ὡς ἀργὸν ἀργικέραυνον.

Ὀκρίδα, ταυτόν ἐστι τὸ ὀκριόεις διὰ τὴν τραχύτητα. φαίνεται δὲ ὁ σχηματισμὸς παρὰ τὰς ἄκρας καὶ τὰς ἐξοχάς. πόθεν δὲ ἔχει τὴν ἀφορμήν. πλεονασμῷ τοῦ ο λέγεται. παρὰ τὸ ἀκρίζω ῥῆμα, ἀκρὶς καὶ ὀκρίς.

Ὀκριόεις, ὁ τραχὺς λίθος. ὀκρίας δὲ τὰς πέτρας φησὶν ὅμηρος. Δι' ὀκρίας ἠνεμοέσσας. παρὰ τὸ ἄκρος καὶ τὴν ἐξοχήν. πλεονασμῷ τοῦ ι. ἢ κατὰ παραγωγὴν γίνεται ἄκριος, ὡς βοιώτιος. ἐκ δὲ τοῦ ἄκριος, γίνεται ἀκριόεις, ὡς βροτὸς βροτόεις. καὶ τροπῇ τοῦ α εἰς ο, ὀκριόεις. καὶ τὸ θηλυκὸν, ὀκριόεσσα. καὶ ῥῆμα ὀκριόω. ἀπὸ δὲ τοῦ ὀκριόεις, γίνεται ὀκρυόεις ὁ ἀκρότατος καὶ ἄκρατος φόβος. ἢ παρὰ τὸ κρύος κρυόεις καὶ ὀκρυόεις πλεονασμῷ τοῦ ο. ὀκρυόεις καὶ φόβου ποιητικός.

Ὀκτάκνημα, ὀκτάραβδα. ὀκτακέρκιδα. κνῆμαι γὰρ εἰσὶν αἱ ἐν τοῖς τῶν τροχῶν ῥάβδοι ἐμπεπηγμέναι πρὸς τῇ χοινικί.

Ὀλέκρανα, τῶν ἀγκώνων τὸ ὀστοῦν. ὄλεχον, καὶ ὄλβαχνον. εἰς τὸ δερβιστήρ.

Ὄλβιος, μακάριος. εὐδαίμων. πλούσιος. καὶ ἐν μηδενὶ ἐνδεὴς ὤν. οἱονεί, οὔλιός τις ὤν. οὖλον γὰρ ἐν ἰάσι τὸ ὑγιές. ἢ παρὰ τὸ ὄλβος. ὅ ἐστιν ὁλόκληρος καὶ τέλειος. τοῦτο δὲ παρὰ τὸ ὅλος. πλεονασμῷ τοῦ β, ὄλβος. ὄλβιοι δὲ λέγονται οἱ ὅλον τὸν βίον τῆς ζωῆς ἢ χρόνον ἐν εὐδαιμονίᾳ διάγοντες.

Ὀλέκοντο. Ὀλέκοντο δὲ λαοί, ἀπώλλοντο. παρατατικὸς ἰωνικός. ἄρχεται ἀπὸ τοῦ ο. καὶ ἔστιν ἄκλιτον ὡς ἀπὸ μελλόντων. παρὰ τὸ ὀλῶ ὀλέσω ὀλέσκω. καὶ κατ' ἔνδειαν τοῦ σ, ὀλέκω. καὶ τὸ ὀλέκεσθαι τὸ ἐπιστρόφως καὶ ἐῤῥωμένως ἐπ' αὐτοὺς στρέφεσθαι.

Ὀλῆαι, τυραννίων προπερισπᾷ. καὶ τὸ ἰῶτα προσγράφει, οἰόμενος παρέλκειν τὴν αι. οὕτω γὰρ καὶ ἐπὶ τοῦ πρώτου ἐπώρηαι. ἔστι δὲ μέσος ἀόριστος δεύτερος, καὶ οὐ περισπᾶται. οὐ δὲ προσγράφει τὸ ι. τὸ μέντοι, Αὐτὸς ἐν ὀφθαλμοῖσιν ὅρηαι, ἐκ τοῦ ὅρεαι γίνεται ἐνεστώς. ὡς ἀπὸ τῆς πρώτης συζυγίας κατ' ἔκτασιν, ὡς δίζεαι, δίζηαι. λέγουσι γὰρ οἱ ἴωνες ὁρέω ὡς ἀπὸ τῆς πρώτης συζυγίας.

Ὀλίγον, παρὰ τὸ ὅλον κατ' ἀντίφασιν, τὸ μὴ ὂν σῶον. καὶ ὀλίγος, ὁ μικρός. παρὰ τὸ ὅλος. ὅ ἐστι τὸ ὁλόκληρον. ὦρος ὁ μιλήσιος.

Ὀλιγωρία, ἡ ἀμέλεια. παρὰ τὸ ὤραν τοῦ φροντίδα καὶ τὸ ὀλίγον. τὸ δὲ ὀλίγον, καὶ ἐπὶ τοῦ οὐδαμῶς εἴρηται. ὡς τὸ, Ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο τυδεύς. ἀντὶ τοῦ οὐδαμῶς. ὦρος.

Ὀλιγαρτία, ἡ ἔνδεια τοῦ σίτου.

Ὀλιγαίμοις, παρὰ τὸ αἷμα ἐστίν. ὦρος ὁ μιλήσιος.

Ὀλιγηπελέων, ὀλιγοδρανέων. ὀλίγον ἰσχύων. ἀδυνατηκώς. δραίνειν γὰρ τὸ ἰσχύειν.

Ὀλίος, κατὰ διάλεκτον. Ταραντῖνοι γὰρ τὸ ὀλίγος, ὀλίος λέγουσιν ἄνευ τοῦ γ. ἐν δούλοις Μελεάγρου. Ὀλίοισιν ἡμῶν ἐμπέφυκ᾽ εὐτυχία. καὶ ὀλίον μισθόν. Πλάτων μέντοι ὁ κωμικὸς διαπαίζει τὴν λέξιν ὡς βάρβαρον. καὶ τὸ, ὁ Γίννος, Γίννος φησί. τοῦτο δὲ εἴρηκε τὸ δὲ ἵππου μὲν μητρός. πατρὸς δὲ ὄνου. περὶ παθῶν.

Ὀλίζων. Ὀλίζονος ἔμμορε τιμῆς. Διονύσιος ὁ περιηγητής. ὀλίγης. μικρᾶς. εὐτελοῦς. παρὰ τὸ ὀλίγον γίνεται.

Ὁλκός, ἡ ἰσχυρὰ φορά. παρὰ τὸ ἕλκω, ὁλκός, ὡς φέρβω, φορβός. ὅθεν καὶ ὁλκάδες αἱ νῆες. καὶ ὁλκοὶ οἱ τόποι δι᾽ ὧν ἕλκονται αἱ νῆες. ἢ σχοινία τινὰ εἰς τὸ ἕλκειν ἐπιτήδεια. λέγεται δὲ ὁλκός, ὁδός. συρμός. ἀγωγός.

Ὀλαιτὸς καὶ ὀλεμβὰς, ὁ σπερμο- < ἢ πόρος ὕδατος. λόγος, παρὰ τὰς ὀλὰς, ὁ τὰς ὀλὰς βάλλων. ὧρος. ὁμιλήσιος.

Ὀλάς, παρὰ τὸ ὀλῶ τὸ πληρῶ.

Ὁλοκαύτωμα, ἐκ τοῦ ὀλῶ τὸ φθείρω καὶ τοῦ καίω.

Ὄλισθος, παρὰ τὸ ὅλως θέειν. ἢ παρὰ τὸ ὅλος καὶ τὸ ἵζω τὸ κάθημαι. ὁ ὅλος καταπίπτων. καὶ ῥῆμα ὀλισθαίνω τὸ

Ὄλεθρος, παρὰ τὸ ὀλέω, ὀλέσω, ὤλεκα, < καταπίπτω. ὤλεσμαι. ἐξ αὐτοῦ ὄλεθρος. ἢ παρὰ τὸ ὅλως θραύειν.

Ὀλιγωρηκότες, ἀφροντικότες. ἠμεληκότες.

Ὀλλύω, οἱ μὲν παρὰ τὸ ὀλῶ ὀλύω. καὶ πλεονασμῷ τοῦ λ, ὀλλύω. οἱ δὲ παρὰ τὸ ὄλλω ὀλλύω. τὰ δὲ διὰ τοῦ υω ποιοῦντα παράγωγα, τὰ μὲν ὑπὲρ δύο συλλαβὰς, ἄχρι τοῦ παρατατικοῦ κλίνεται. οἷον ὀλλύω, ὄλλυμι. τὰ δὲ δισύλλαβα, κλίνεται καὶ μετὰ τὸν παρατατικόν. κλῦμι,

Ὀλοὴ, καὶ ὀλοιή, σημαίνει τὴν ὀλεθρίαν. παρὰ τὸ < κλύσω. ὀλῶ, ἢ ὄλλω, γίνεται ὀλοὸς ὀλοή. ὡς θοὸς θοή.

Ὀλολυγὴ, φωνὴ γυναικῶν, ἣν ποιοῦνται ἐν τοῖς ἱεροῖς εὐχόμεναι. ἢ ἁπλῶς ὁ μετὰ ἤχου κλαυθμὸς καὶ θρῆνος. παρὰ τὸ ὀλολύζω. τοῦτο παρὰ τὸ ὀλῶ ὀλύω ὀλύζω. καὶ κατὰ ἀναδιπλασιασμὸν, ὀλολύζω.

Ὀλοφυδνὸν, γοερόν. θρηνητικόν. παρὰ τὸ ὀλοφύρω. ὀλοφυρὸν καὶ ὀλοφυδνόν.

Ὀλοφυρόμενος, κλαίων. θρηνῶν. κυρίως δὲ τὸ μετὰ τιλμοῦ τῶν τριχῶν κλαίειν. παρὰ τὸ ὅλως φύρειν ἑαυτόν.

Ὀλοφώϊα, ὀλέθρια, καὶ χαλεπά. παρὰ τὸ τοὺς φῶτας ὀλλύειν ὅ ἐστιν ὀλοθρεύειν. παρὰ Νικάνδρῳ ἐν θηριακοῖς.

Ὀλοίτροχος, Ἰλιάδος ν. Πολεμαῖος καὶ Ἀριστόνικος ψιλοῦσι προξύνοντες, ἀκούοντες τὸν ἀπὸ τὸ τρέχειν ὀλεόν. ἐπένθεσις δὲ τοῦ ι περὶ πλ. οἱ δὲ, δασύνουσιν, ἵν᾽ ἢ ὁλοστροχοειδής, καὶ κατὰ πᾶν μέρος ἀστήρικτος. Δημόκριτος δὲ, τὸ κυλινδρικὸν σχῆμα ὀλοοίτροχον καλεῖ. ἐκ δὲ τοῦ ὀλοὸς γίνεται ἡ κλητικὴ ὀλοέ. καὶ κατὰ συγκοπὴν ὀλέ. ἐὰν δὲ ὀλὸς ἡ εὐθεῖα, γένοιτ᾽ ἂν ἡ κλητικὴ ὀλέ. καὶ οὐκ ἔστι συγκοπή. οἷον, Ἔχιμαχος ὦ ὀλὲ δαῖμον. τοῦτο περὶ παθῶν Ἡρωδιανός.

Ὀλοώτερος, ἐκ τοῦ ὀλοός. ἔστι δὲ συγκριτικὸν ἀντὶ ἁπλοῦ. τὸ γὰρ δικαιότατος καὶ ὀλοότερος, παρὰ τῷ ποιητῇ ἀντὶ ἁπλοῦ παραλαμβάνεται. τύπου γάρ ἐστι συγκριτικοῦ. σημαινομένῳ δὲ, ἀντὶ ἁπλοῦ παραλαμβάνεται.

Ὅλμος, ἀπὸ τοῦ κορμοῦ τῶν ἡμετέρων σωμάτων διὰ τὴν εὐρυχωρίαν τῶν ἀποκεκλιμένων τῶν χειρῶν ὅλμῳ ἐοικώς. οἷον, Ὅλμον δ᾽ ὡς ἔσσευε κυλίνδεσθαι δι᾽ ὁμίλου. παρὰ τὸ λύω, λύομος. ἐκβολῇ τοῦ υ, λόμος. καὶ καθ᾽ ὑπέρθεσιν, ὅλμος. ἢ παρὰ τὸ ἄλλω τὸ πηδῶ.

Ὄλπια, τὰ ὄρη, τὰ διείργοντα Ἰταλίαν καὶ Κελτικήν.

Ὄλπις. Καλλίμαχος. Καίρια παρὰ σκαιοῖο βραχίονος ἔμπλεον ὄλπιν. σημαίνει δὲ ἡ λέξις τὴν λήκυθον. εἴρηται δὲ παρὰ τὸ οἱονεὶ ἐλαιόλπιν τινὰ διὰ τὸ δι᾽ αὐτῆς ὀπιπεύ

Ὄλυμπος, δύο σημαίνει. τὸν οὐρανὸν καὶ τὸ < εσθαι τοῦ λαιον. ὑψηλότατον ὄρος τοῦ Ὀλύμπου. εἴρηται παρὰ τὸ ὁλολαμπὴς εἶναι τοῖς ἄστροις. ἢ παρὰ τὸ ὀλλύειν τοὺς ὦπας διὰ τοῦ κρύους. καὶ ἡ μὲν πρώτη ἐτυμολογία, μόνον τῷ τοῦ οὐρανοῦ ἁρμόζει σημαινομένῳ. ἡ δὲ ἑτέρα καὶ τῷ ὄρει ὡς αἰγίνεφει καὶ οὐρανομήκει ὄντι.

Ὀλυμπία, ὁ ἐν Ἤλιδι τόπος. φασὶ γὰρ τὸν Δία καθέντα τῷ τόπῳ ἑαυτὸν ὡς κλῆρον κατασχεῖν. ὁμωνύμως οὖν τοῦ ὀνόματος τοῦ οὐρανοῦ τὸν τόπον ὠνόμασε. διὰ τοῦτο καὶ αὐτὸς Ὀλύμπιος προσηγόρευται. οὐ γὰρ δέχομαι τοὺς λέγοντας ὠνομάσθαι τὸν τόπον ἀπὸ Ὀλυμπίας τῆς Ἀρκάδος, ἣν ἔγημε Πῖσος. ὧρος.

Ὅμαδος. Ὅμαδος δ᾽ ἦν. Ἰλιάδος β. θόρυβος. κραυγή. οἱονεὶ ἅμα αὐδός τις ὤν. παρὰ τὸ πολλοὺς ὁμοῦ αὐδᾶν.

Ὁμαρτεῖν καὶ ἁμαρτεῖν, ἀμφότερα ἀπὸ τοῦ ἐπιτυχεῖν καὶ ἀκολουθεῖν. τὸ δὲ δεύτερον, καὶ ἀπὸ τοῦ συμπράξαι. οἷον, Τὼ δ᾽ ἐξ οἴκου ἔβησαν ἁμαρτήσαντες ἅμ᾽ ἄμφω. διὰ δὲ τὸ, Ἀλλ᾽ ἐφομαρτεῖτον καὶ σπεύδετον. παρὰ τὸ ἄρω βαρύτονον, ὁ μέλλων αἰολικῶς, ἄρσω. ὄνομα ῥηματικὸν ἀρτός. ἐξ αὐτοῦ ῥῆμα ἀρτῶ. καὶ ἐν συνθέσει μετὰ τοῦ ἅμα ἐπιρρήματος τοῦ δηλοῦντος τὸ ὁμοῦ, γίνεται ἁμαρτῶ. καὶ ἐν συγκοπῇ, ἁμαρτῶ καὶ ὁμαρτῶ. καὶ ὁμαρτήσαντες, ὁμοῦ ἁρμόσαντες. καὶ ἐφομαρτοῦντες, τὸ παρακολουθοῦντες, ἢ συντυχόντες. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω.

Ὄμβρος, παρὰ τὸ ὁμοῦ ῥεῖν. ὁμόρροος, ὅμορος. καὶ συγκοπῇ ὅμρος. καὶ ἐπεὶ τὸ μ πρὸ τοῦ ρ οὐ δύναται εἶναι, πλεονάζει τὸ β, καὶ γίνεται ὄμβρος. ὁ ὁμοῦ ῥέων καὶ κατερχόμενος. ἢ ἀπὸ τοῦ φέρω κατὰ συγκοπὴν φρὸς καὶ βρός. καὶ προσθήκῃ τοῦ ο, ὄβρος. ὡς στοῦν ὀστοῦν. καὶ πλεονασμῷ τοῦ μ, ὄμβρος. ἢ ἀπὸ τοῦ βάρος βρὸς καὶ ὄμβρος, ὁ βαρέ-

Ὁμαιχμία, ἡ συμμαχία. παρὰ τὸ < ως φερόμενος. αἰχμὴ καὶ τὸ ὁμοῦ γίνεται ὁμαιχμία. καὶ συγκοπῇ. σημαίνει δὲ τὴν εἰρήνην. σημαίνει γὰρ εἰρηνευόντων τινῶν ὁμοῦ τὰς

Ὁμευνέτης, ὁ σύνοικος. < αἰχμὰς ἔχειν.

Ὁμήγυρις, ἄθροισμα. πλῆθος.

Ὁμηγερέες, ἐπίρρημα ἀθροίσεως. παρὰ τὸ ὁμοῦ καὶ τὸ ἀγείρω τὸ συναθροίζω. ὁμαγειρής, ὁμαγειρέος ὁμηγερέος. καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν.

Ὅμηρος, παρὰ τὸ ὁρῶ καὶ τὸ μὴ ἀπαγορευτικὸν, μήορος. καὶ ἐν συγκοπῇ καὶ ὑπερθέσει, ὅμηρος. ἢ παρὰ τὸ πηρὸς ὃ σημαίνει τὸν τυφλὸν, γίνεται ὁ πηρὸς καὶ ὅμηρος. καὶ ὁμηρίδαι γλώσστι.

Ὅμηρος, παρὰ τὸ συνεῖναι τοῖς λαμβάνουσιν. οἷον ὁμοῦ σύνων. ἢ ἀπὸ τοῦ ἅμα ἀρηρέναι. ὡς οἶνος οἰνηρός. οὕτως ὁμὸς ὅμηρος. εἰς τὸ ὡμήρευσεν. Ἡσίοδος. Φωνῇ ὁμηρεύουσαι, τουτέστιν ὁμοῦ εἴρουσαι.

Ὁμῆλιξ, ὁμήλικος ὁ ἴσην ἡλικίαν ἔχων. γίνεται ἐκ τοῦ ὁμοῦ καὶ τοῦ ἧλιξ.

Ὅμιλος. ἀπὸ μὲν τοῦ πολέμου, παρὰ τὸ ὁμοῦ τὰς ἴλας βάλλειν, ὅ ἐστι τὰς συστροφάς. ἀπὸ δὲ τῆς ἀναστροφῆς τοῦ ὄχλου, παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι. οὕτως ὧρος.

Ὁμιλαδὸν, κατὰ ἴλας καὶ συστροφὰς, ἢ ἀθροίσματα.

Ὀμιχεῖν, σημαίνει τὸ οὐρεῖν. παρὰ τὸ ὁμοῦ ῥεῖν καὶ χεῖν τὴν ἀμίδα. οἷον ἀμιδοχεῖν. καὶ κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ α εἰς ο, ὀμιχεῖν. ἔστι δὲ καὶ βαρύτονον ῥῆμα. οἷον ὀμίχω. ὁ μέλλων ὀμίξω. ὡς παρὰ Ἱππώνακτι. οἷον, Ὤμιξεν αἷμα, καὶ χολὴν ἐτίλησεν.

Ὀμίχλη, ὁ παχὺς καὶ ὑγρότατος ἀήρ. παρὰ τὴν ὁμοῦ εἴλησιν τῶν νεφῶν, ὁμίλη. καὶ πλεονασμῷ τοῦ χ. ἢ παρὰ τὸ ὁμοῦ ἔχειν εἴλησιν. ἢ παρὰ τὸ τοῖς ὄμμασι παρέχειν ἀχλύν. δασύνεται. τὸ ο πρὸ ἑνὸς μ, δασύνεται. τὸ ὀμιχῶ σεσημείωται. καὶ τὸ παρὰ τῷ ποιητῇ λεγόμενον. Ἠΰτ᾽ ὀμίχλη. κατὰ διάλεκτον ἰωνικήν. οἱ γὰρ Ἴωνες, τοῖς ψιλοῖς ἀντὶ δασέων χρῶνται. τὸ ἀφικόμεθα γὰρ, ἀπικόμεθα λέγουσι. καὶ τὸ οὐχὶ, οὐκί. οὕτω καὶ τὸ ἠΰτε ὁμίχλη, ἠΰτ᾽ ὀμίχλη.

Ὄμματα, οἱονεὶ ἔρματα καὶ οἵματα ὄντα. ἐπειδὴ δι᾽ αὐτῶν ἀφίεται καὶ ὁρμᾶται τὸ ὁρατικόν. αἰολικῶς ὄπτα τὰ

Ὀμνύω. ὀμῶ. ὀμνύω. καὶ συγκοπῇ < περὶ τοὺς ὦπας. ὀμνύω. περὶ παθῶν. ἢ παρὰ τὸ ὁμοῦ καὶ τὸ νεύειν. ἢ παρὰ τὸ ὄμμα καὶ τὸ νεύειν. οἱ γὰρ ὀμνύοντες, κατανεύουσιν.

Ὁμοίϊος, ἐκ τοῦ ὅμοιος πλεονασμῷ τοῦ ι. ὡς γελοῖος γελοίϊος. ὅμοιος ὁ αὐτός. προπερισπᾶται ἐπὶ τῶν ἐπῶν.

Ὁμοκλήσασκεν, ἐκ τοῦ ὁμοκλῶ, ῥῆμα ὁμοκλῶ. ὁ μέλλων, ὁμοκλήσω. ὁ ἀόριστος, ὡμόκλησα. τὸ τρίτον ὡμόκλησε, καὶ ὁμοκλήσασκεν. ἔλθωμεν καὶ διαλεξώμεθα περὶ αὐτῶν. ἰστέον ὅτι ταῦτα τὰ ἰωνικὰ γίνεται διὰ τοῦ σκ. ἀπὸ μὲν βαρυτόνου ὄντα, ἔχει πρὸ τοῦ σκ τὸ ε. οἷον τύπτεσκε. λάβεσκε. λέγεσκεν. ὑπεσταλμένου τοῦ πρώτου ἀορίστου. περὶ οὗ μετ᾽ ὀλίγον εἰρήσεται. καὶ τὰ τῆς πρώτης συζυγίας τῶν περισπωμένων καὶ τῶν εἰς μι, ὁμοίως τὸ ε ἔχει πρὸ τοῦ σκ. οἷον, ποίεσκε. τίθεσκε. τὰ δὲ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἐν τῷ παρατατικῷ μόνῳ τὸ α ἔχει πρὸ τοῦ σκ. οἷον, βόασκε. γέλασκεν. ἐν δὲ τῷ δευτέρῳ ἀορίστῳ ἐὰν ὅλως γένωνται, τὸ ε ἔχει πρὸ τοῦ σκ. οἷον, μυκῶ μυκᾷς ἔμυκον, μύκεσκε. τὰ δὲ τῆς δευτέρας συζυγίας τῶν εἰς μι, καὶ ἐν τῷ παρατατικῷ καὶ ἐν τῷ δευτέρῳ ἀορίστῳ, διὰ τοῦ α ἐκφέρονται. οἷον, ἵστημι, ἵστην, ἔστην, στάσκε. τὰ δὲ τῆς τρίτης συζυγίας τῶν περισπωμένων καὶ τῶν εἰς μι, διὰ τοῦ ο ἐκφέρονται. ἐχρύσουν, ἐχρύσοσκεν. ἐδίδων, ἐδίδοσκε. τὰ δὲ τῆς τετάρτης συζυγίας τῶν εἰς μι, συστέλλει τὸ δίχρονον μόνον πρὸ τοῦ σκ. ἐζεύγνυ, ζεύγνυσκεν. ἔδυν, ἔδυς, ἔδυ, δύσκεν. ὁ δὲ ἀόριστος πρῶτος ἀπὸ τῶν βαρυτόνων καὶ περισπωμένων, καὶ τῶν εἰς μι, τὸ α ἔχει πρὸ τοῦ σκ. οἷον, πλάσκε. γράψασκε. βοήσασκε. φήσασκε. πήσασκε. καὶ τοῦτο εἰκότως. τὸ γὰρ κεχρεωστημένον α τοῦ τρίτου προσώπου ἀνεδέξατο ἐνταῦθα. προσερχομένου γὰρ τοῦ σκ ἐν τῷ πρώτῳ προσώπῳ τοῦ ἀορίστου οὐκέτι ἐγένετο τὸ ὁμόφωνον μετὰ τοῦ α. ταῦτα δὲ οἱ Ἴωνες. οἱ δὲ ποιηταὶ κατὰ μίμησιν τῶν ἰωνικῶν πολλάκις καὶ τὸ πρῶτον καὶ τὸ δεύτερον πρόσωπον ποιοῦσιν. οἷον, τύπτεσκον, χαίρεσκον. τύπτεσκε, χαίρεσκε. λέγει δὲ ὁ Ἄμβρων, ὅτι ἐπειδὴ προσλαμβάνει ταῦτα κατὰ τὸ τέλος, ἀποβάλλει κατὰ τὴν ἀρχήν. καὶ γὰρ τὸ ἔτυπτε ποιοῦσιν οἱ Ἴωνες τύπτεσκεν. ἀποβάλλουσιν ἐκ τῆς ἀρχῆς, καὶ προστιθέασι κατὰ τὸ τέλος. διὰ τοῦ τὸ ἔτυπτεν ἐν τῷ τύπτεσκεν ἀποβάλλει τὸ ε τῆς ἀρχῆς. ἐπειδὴ τὰ ποιητικὰ ἰωνικὰ ταῖς ἰδίαις μετοχαῖς θέλουσι συνάρχεσθαι. οἷον, ἔτυπτε, Τύπτε δ᾽ ἐπιστροφάδην, πρὸς τὴν τύπτων μετοχήν. ἥψατο, Ἥψατο δήμου, πρὸς τὴν ἅψας μετοχήν. καὶ ἄκουσα, πρὸς τὴν ἀκούσας. διὰ τί δὲ εἶπε ταῖς ἰδίαις μετοχαῖς, καὶ οὐ τοῖς ἰδίοις ἐνεστῶσι, διὰ τὸ εἴπεσκε. τὸ γὰρ εἰπὼν μετοχῇ συνάρχεται, οὐ μὴν τῷ ἐνεστῶτι. ἔπω γάρ ἐστιν ὁ ἐνεστώς. ταῦτα μὲν ἐν τούτοις.

Ὁμοκλὴ, ἡ ἀπειλή. Ὁμοκλητῆρος ἀκούων. σημαίνει δὲ τὸ ὁμοῦ ἐγκελεύσασθαι. ὡς τὸ, Πεπληγὸν θ᾽ ἱμάσιν, ὁμόκλησάν τ᾽ ἐπέεσσιν. ὅταν δὲ λέγῃ τὸ, Σκῆπτρα ἐλάσασκεν, ὁμοκλήσασκέ τε μύθῳ, ἀντὶ τοῦ ἠπείλησε. γίνεται παρὰ τὸ κέλλω τὸ προστάσσω καὶ τὸ ὁμοῦ, ὁμοκέλη. καὶ συγκοπῇ, ὁμοκλή. ἢ ἔστι ῥῆμα κλῶ τὸ φωνῶ καὶ λέγω. ἐξ οὗ καὶ ὁμοκλῶ, τὸ μεθ᾽ ὕβρεως ἀπειλῶ. καὶ ὁμοκλὴ ἡ ὁμοῦ πᾶσι λεγομένη φωνή. οἷον, Μετὰ δὲ Τρώεσσιν αὐτὸς ὁμόκλα. ἀντὶ τοῦ πᾶσιν ἐπεφώνει καὶ ἔλεγεν. ὅθεν καὶ τὸ ἐνικλᾶν. τοῦτο δὲ ὁ Ἀριστοφάνης ἀντὶ τοῦ ἀντιλέγειν φησί. τὴν γὰρ ἐν πρόθεσιν, ἀντὶ τῆς ἀντὶ εὑρίσκει. ὡς παρὰ Σοφοκλεῖ ἐν Αἴαντι. οἷον, Τὸν σὸν ἐνστάτην λέγει, ἀντὶ τοῦ ἀντιστάτην. ὧρος.

Ὁμογνίῳ, ὁμογενεῖ. τουτέστιν ἀδελφῷ. οἷον ὁμογονίῳ.

Ὁμονήδυϊος, ἀπὸ τῆς νη- < τῷ ἐκ τῆς αὐτῆς γονῆς. δύος γενικῆς. ὁμονήδυος, καὶ πλεονασμῷ τοῦ ι.

Ὁμόσφυρος, ὁ ἀδελφός. διὰ τὸ περὶ τὰ αὐτὰ σφυρὰ τῆς μητρὸς πεσεῖν γεννηθέντα.

Ὀμόργνυ, ἀπεπύαζεν. ἀπέματτεν. ἀπὸ τοῦ ἀμέλγω. τροπῇ τοῦ α καὶ τοῦ ε εἰς ο. καὶ τοῦ λ εἰς τὸ ρ. πλεονασμῷ δὲ τοῦ ν γίνεται ὀμόργνω. ὀμοργνύω, ὀμόργνυμι. ἡ μετοχή, ὀμοργνύς.

ETYMOLOGICUM MAGNUM GR

Ομώλακες, ὁμοαύλακες, ὅμοροι. ὤλακα γὰρ τὴν αὔλακα δωρικῶς. καὶ ὅμοροι, γειτνιάζοντες.

Ομφαλός, κυρίως ἐπὶ τοῦ ἡμετέρου σώματος κατὰ τὸ μέσον. εἴρηται ἀπὸ τοῦ εἶναι εἰς τὸ ἐμπνεῖν. παρὰ οὖν τὸ ἐμπνεῖν ὅ ἐστιν ἀναπνεῖν, γίνεται ὀμπναλός. καὶ κατὰ ἀποβολὴν τοῦ ν καὶ τροπὴν τοῦ π εἰς φ, ὀμφαλός. δι' οὗ τὸ ἔμβρυον ἀναπνεῖ. τὸ γὰρ βρέφος κατὰ γαστρὸς ὂν, περὶ αὐτὸν εἰλεῖται καὶ ἀναπνεῖ καὶ τρέφεται. ὅθεν καὶ τὴν δημήτραν τροφὸν οὖσαν, ὀμπνίαν ὀνομάζουσι κυριανοί. ὡς παρὰ λυκόφρονι. Καὶ κτῆσιν ἄλλην ὀμπνίαν κειμηλίων, τὴν συντελοῦσαν πρὸς τὸ ζῆν. παρὰ τὸ πνέω. καὶ ὀμπνοὺς, τοὺς δημητριακοὺς καρπούς. ἢ παρὰ τὸ φαλὸν ἐοικέναι. ἐκ κρεμῆς γάρ ἐστιν ἐν ἀρχῇ πρὸ τῆς ἀποτομῆς. εἴρηται δὲ μεταφορικῶς καὶ ἐπὶ ξυστοῦ καὶ ἀσπίδος, καὶ ἐπὶ ἄλλων τινῶν.

Ομπαὶ, πυροὶ μέλιτι κεχρισμένοι. μελιτωμένοι.

Ομφαξ, τὸ ὀξίνιον. βάβριος. ὄμφαξ ὁ μὴ πέπειρος βότρυς ὡς ὦμην καὶ ἐν τῇ θείᾳ γραφῇ. Γονεῖς φάγωσιν ὄμφακας, καὶ τέκνα ὠμωδιάσωσιν. οἱονεὶ ὠμόφαξ τις ὤν. καὶ κατὰ συγκοπὴν καὶ συστολὴν τοῦ ω εἰς ο. ἡ ὠμὴ εἰς τὸ φαγεῖν.

Ομφὴ, θεία φήμη. κληδών. παρὰ τὸ φῶ τὸ φαίνω καὶ τὸ ὄν. ἡ τὸ ὂν φαίνουσα, ἤγουν τὸ ἀληθές.

Ονείατα, σημαίνει τὰ βρώματα τὰ τὴν ὄνησιν παρέχοντα, καὶ πάντα τὰ ὠφελοῦντα. ὥσπερ παρὰ τὸ οὐτήσω μέλλοντα γίνεται οὐτειλὴ κατὰ τροπὴν βοιωτῶν, οὕτω καὶ παρὰ τὸ ὀνήσω μέλλοντα, γίνεται ὄνειαρ ὀνείατος. κατὰ τροπὴν βοιωτικὴν τοῦ η εἰς τὴν ει δίφθογγον.

Ονῶ, σημαίνει δύο. τὸ ὠφελῶ, ἐξ οὗ ὄνησις ἡ ὠφέλεια. ὡς τὸ, Ἔπειτα δὲ καὐτὸς ὀνήσεαι. ἔστι δὲ συζυγίας πρώτης. σημαίνει καὶ τὸ μέμφομαι. ὁ μέλλων, ὀνόσω. ὡς τὸ, Οὐδ' ἐκαθεν τόνγε ἰδοῦσ' ὀνόσαιτο. ἔστι δὲ συζυγίας τρίτης. τὸ δὲ ὀνῶ τὸ ἀγοράζω, ἔστι δευτέρας.

Ονειδος, παρὰ τὸ ὀνῶ τὸ μέμφομαι καὶ τοῦ εἴδω γέγονεν. ὄνειδος, ὁ μεμπτὸν εἶδος ἔχων. καὶ ὀνειδισμός, ὁ κατὰ

Ονειρος, παρὰ τὸ ὀνῶ τὸ ὠφελῶ. πο‹ › τὸ εἶδος μεμπτός. λοὶ γὰρ ἐκ τῶν ἰδίων ὀνειράτων ὠφελήθησαν. ὡς πέπτω, πέπειρος ὁ ἀκμαῖος βότρυς.

Ονειροπόλος. ὥσπερ λέγεται θυηπόλος ὁ περὶ τὰς θυσίας ἀναστρεφόμενος, οὕτω καὶ ὁ περὶ τοὺς ὀνείρους πολλὴν καὶ ἀναστρεφόμενος, ὀνειροπόλος.

Ονομα, παρὰ τὸ νέμω τὸ μερίζω, νένομα νόμα καὶ ὄνομα. ὅθεν καὶ ῥῆμα ὀνομαίνω. ὡς πῆμα πημαίνω. ἀφ' οὗ τὸ ἐξονομήνῃς, ὃ δηλοῖ τὸ ἐξονόματος εἴπῃς. καὶ δεῖ γινώσκειν, ὅτι ἐπὶ τοῦ ἀορίστου τῶν ἀπὸ περισπωμένων τῶν διὰ τῆς αι διφθόγγου, οἱ ἴωνες τρέπουσι τὸ α εἰς η. καθαρῶ, ἐκάθηρα. χρῶνται δὲ αὐτῷ καὶ οἱ ἀθηναῖοι. μιαίνω, ἐμίηνα. σημαίνω, ἐσήμηνα. καὶ ἐσημηνάμην.

Ονος, ἐπὶ τοῦ ζώου. παρὰ τὴν ἐξ αὐτοῦ γινομένην ὄνησιν ἐν τοῖς ἔργοις. ἐπὶ δὲ τοῦ παρὰ τέκτοσιν εἰργασμένου, καὶ ὁμοίως εἴρηται παρὰ τὸ βαστάζειν.

Ονῶνις, παρὰ τὸ ὀνῶ τὸ ὠφελῶ καὶ τὸ ὄνος. ἡ τοῖς ὄνοις ὠφελοῦσα. ἔστι δὲ ἀκανθῶδες φυτόν.

Ονειδος, λαμβάνεται καὶ ἐπὶ τοῦ κλέους ὡς εὐριπίδης ἐν φοινίσσαις. ἔστι δὲ τῶν μέσων λέξεων. ὡς τύχη. καὶ ζῆ-

Ονθος, ἡ τῶν βοῶν κοπρίδιον. ‹ › λος. καὶ δόλος.

Ονυξ, παρὰ τὸ νύσσω νύξω νύξ. καὶ πλεονασμῷ τοῦ ο, ὄνυξ. ἢ παρὰ τὸ ἀνοίγω ἀνοίξω ἄνοιξ καὶ ὄνυξ. δι' οὗ ἀνοίγεται ἡ σὰρξ καὶ ἀραιοῦται.

Οξυθύμια, τὰ καθάρματα τῶν νεκρῶν. ἃ δὴ καὶ ἑκαταῖα λέγονται. ἢ τὰ τῶν οἰκιῶν καθάρματα τὰ ἐν ταῖς τριόδοις τιθέμενα.

Οξυλαβῆσαι, τὸ ὀξέως λαβέσθαι τοῦ πράγματος.

Οξίς, τὸ ὀξηρὸν ἀγγεῖον.

Οξύς, παρὰ τὸ ξέω ξόος. καὶ ὡς πλάτος πλατύς, οὕτω καὶ ξόος ξοὺς. καὶ ἐν ὑπερβιβασμῷ, ὀξύς. ἐκ δὲ τοῦ ὀξύς γίνεται ὄξος. ὡς ταχύς τάχος, παχύς, πάχος. τουτέστιν ὁ εἰς ὀξὺ καταβεβληκὼς οἶνος, ἐπειδὰν τέμνῃ καὶ κεντρίζῃ ὡς εἰπεῖν τὴν γεῦσιν. οὕτω καὶ ὀξεῖαν σταφυλὴν λεγομένην τὴν κεντρίζουσαν τὴν γεῦσιν. καὶ ὀξὺν ἄνθρωπον, τὸν ταχέως θυμούμενον. καὶ μάχαιραν ὀξεῖαν, τὴν ἠκονημένην. οἱ δὲ κυρηναῖοι τὸ ὄξος ἥδος φασί. καὶ ἄλλοι γλυ-

Οξυβελής, ὁ ταχέως βάλλων, ἢ τα‹ › κάδιον. ὠρος- χέως βαλλόμενος.

Οξύνω, ἐκ τοῦ ὀξύς. ὥσπερ δὲ παρὰ τὸ χέω χόος χοῦς, οὕτω παρὰ τὸ ξέω ξόος ξοῦς. καὶ ἐν ὑπερβιβασμῷ, ὀξύς. καὶ ὀξύ, τὸ ἀντιδιαστελλόμενον τῷ ἀμβλεῖ.

Οξος, ἢ παρὰ τὸ ἔχω τὸ κρατῶ, ἔχει γὰρ αἰσθήσεις, ἢ παρὰ τὸ ὀξύνειν τὰς αἰσθήσεις ἐν τῷ γεύεσθαι.

Οπα, παρὰ τὸ ἔπω τὸ λέγω. ὁ μέλλων ἔψω. καὶ ἀποβολῇ τοῦ ω, ἔψ. καὶ τροπῇ τοῦ ε εἰς ο, ὄψ. κλίνεται ὀπός. σημαίνει δὲ τὴν φωνήν.

Οπαδός, ὁ ἀκόλουθος. ὥσπερ παρὰ τὸ πέμπω γίνεται πομπός, οὕτω καὶ παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ, γίνεται ὀπός. ἐξ οὗ παράγωγον ὀπάζω. ὡς γυμνός, γυμνάζω. μόνος, μονάζω. καὶ ἵππος, ἱππάζω. Ὡς ἕκτωρ ὤπαζε. οἱονεὶ ἑπόμενος ἐδίωκε. παρέπεται γὰρ τῷ διώκοντι, ἕπεσθαι τῷ διωκομένῳ. οἱ δὴ τότε γ' ὦ κήρυκα τὸ ὀπασσάμενος, καὶ ἑταίρους, ἀντὶ τοῦ ἕπεσθαι ποιήσας. ὡς τὸ, Οἶνον δὲ φθινύθουσιν, ἀντὶ φθίνειν ποιοῦσι. καὶ ὀπή, ἡ ἐξόπισθεν ἑπομένη νόσιν. ἐκ τοῦ οὖν ὀπάζω ὀπάσω, γίνεται ὀπαδός. ὡς φάζω φράσω, φαδή. νομίζω νομίσω, νομιδή. ἐκ δὲ τοῦ ὀπαδὸς γίνεται κατὰ μεταπλασμὸν ὀπηδός. ἐξ οὗ ῥῆμα, ὀπηδῶ καὶ ὀπηδεύω. ὅμηρος ἰλιάδος β. Ος οἱ ὀπήδει. καὶ, Μῆλ' ὀπηδεύοντα νομῆϊ. ἀπολ-

Οπάζω, ἐκ τοῦ ὀπαδὸς γίνεται κατ' ἔλλειψιν, ‹ › λώνιος. ὀπάος. καὶ ἐκ τοῦ ὀπάος, Οπάονι ἰδομενῆος. σημαίνει τὸ ἀκόλουθον. σημαίνει δὲ ἡ λέξις πλείονα. ποτὲ μὲν, τὸ περιποιεῖν καὶ διδόναι ὡς τὸ, Τρωσί τε καὶ ἕκτορι κῦδος ὀπάζει. ποτὲ δὲ, τὸ καταφέρεσθαι. οἷον, Χειμάρρους κατ' ὄρεσφιν ὀπαζόμενος διὸς ὄμβρῳ. ποτὲ δὲ τὸ ἐπιλέγεσθαι. οἷον, Η, καὶ νεώτερον υἱὸν ὀπάσσατο κῦδος. ποτὲ δὲ τὸ διώκειν. Αλλ' ὅτε δὴ ῥ' ἐκίχανε πολὺν καθ' ὅμι-

Οπατρος, κασίγνητος. ψιλοῦται. τὸ α‹ › λον ὀπάζων. πρὸ τοῦ π μὴ κατὰ ἀναφορικὴν ἔννοιαν, ψιλοῦται. ὀπώρα. οὕτω καὶ ὄπατρος. παρὰ τὸ ὁμὸς καὶ τὸ πατρός. τὸ δὲ ὁμός, σημαίνει τὸ ὅμοιος. οἷον, Ου γὰρ πάντων ἦεν ὁμὸς θρόος. πρόσκειται κατὰ ἀναφορικήν, διὰ τὸ ὁπόσος. τὸ ὁπλή, ἀντιπίπτει.

Οπὴ, κυρίως τόπος τετρημένος, ἀφ' οὗ τις δύναται ὀπήσασθαι, καὶ περιβλέψασθαι. οὕτως ἀριστόνικος ἐν σημείοις.

Οπη, εἰς τὸ ἁμαρτῇ.

Οπήτιον, παρὰ τὸ ὀπὰς ἐμποιεῖν.

Οπις, σημαίνει τὴν μῆνιν. ἐκ τοῦ ἕπω. παρὰ τὸ ἕπεσθαι καὶ ἀκολουθεῖν τοῖς ἁμαρτάνουσιν. ἐξ οὗ καὶ φιλόπις. καὶ

Οπίζεσθαι, τὸ ἐντρέπεσθαι. ἀπὸ τῶν ‹ › θεῶν ὄπιν. ὠπῶν τῶν ὀφθαλμῶν. οἷον, Θεῶν δ' ἐποπίζεο μῆνιν, ἀντὶ προόρα τὴν τῶν θεῶν μῆνιν. καὶ ἐπιστροφὴν ποιοῦ. καὶ ἀπολλώνιος ἐν τοῖς ἀργοναυτικοῖς λέγει ὀπίζετο, ἀντὶ τοῦ ἐπεστρέφετο.

Οπισθόδομος, τὸ ὄπισθεν μέρος οἰκήματος. ἀθηναῖοι δὲ τὸ ταμιεῖον τῶν ἱερῶν χρημάτων. ἐπεὶ ἦν ὄπισθεν τοῦ

Οπιπεύεις, ἰλιάδος δ. παρὰ τὸ ‹ › ἱεροῦ τῆς ἀθηνᾶς. ὀπτῶ τὸ βλέπω, παράγωγον ὀπτεύω. καὶ κατὰ ἀναδιπλασιασμόν, ὀπιπτεύω ὀπιπεύω, τὸ περιβλέπομαι.

Οπίσω, ἐπίρρημα τοπικόν. ποίας σχέσεως, τῆς ἐν τόπῳ. ἔστι δὲ καὶ χρόνου δηλωτικόν, καὶ σημαίνει τὸ μέλλον. πόσαι σχέσεις τῶν τοπικῶν, ἕξ. ἄνω. κάτω. ἔμπροσθεν. ὄπισθεν. δεξιᾷ. ἀριστερᾷ. γίνεται δὲ παρὰ τὴν ἐπὶ ἐπίσω, ὡς παρὰ τὴν ἐξ, ἔξω. καὶ τροπῇ τοῦ ε, ὀπίσω. σημαίνει δὲ τὸ μετὰ ταῦτα. ἢ παρὰ τὸ ὀπίζω τὸ ἐπιστρέφομαι. ἢ παρὰ τὸ ὀπίζω τὸ ἀκολουθῶ, καὶ κατόπιν διώκω. τὸ δὲ ὀπίζω, ἐκ τοῦ ὄπις. ὃ σημαίνει τὴν ἐπιστροφήν. Θεῶν ὄπιν οὐκ ἀλέγοντες. καὶ ὄπισθεν διχῶς. καὶ τὸ δὲ ὄπισθεν. ἀπὸ τοῦ ὀπίσω ὀπίσωθεν. καὶ συγκοπῇ τῆς σω συλλαβῆς. εἰ δὲ ὄπισθεν, ἀποκοπὴ τοῦ ω. καὶ μετ' ὄπισθεν ἰλιάδος α.

Οπίστατον, τὸ τελευταῖον.

Οπλα, παρὰ τὸ ὀφέλλω τὸ αὔξω, ὄφλα καὶ ὅπλα. τὰ κατὰ μῆκος ἐξελαυνόμενα ἐπὶ τοῦ ἄκμονος. ἢ παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ, ἕπλον καὶ ὅπλον. Αὐτὰρ ἐπεὶ πάνθ' ὅπλα κάμε περικλυτὸς ἀμφιγυήεις. σημαίνει καὶ τὰ τῆς νεὼς σχοινία. Ὅπλα τε πάντα εἰς ἄντλον κατέχευε. σημαίνει καὶ τὰ χαλκευτικὰ ὄργανα, ἤγουν ἐργαλεῖα. φύσας. ὥς φησιν ἀππίων. ἰλιάδος ς.

Οπλὴ, οἱονεὶ ἁπλῆ τις ἐστί, κατὰ τροπὴν τοῦ α εἰς ο. ἢ παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ.

Οπλότεροι, οἱ νέοι. οἱ μᾶλλον ὅπλα φέρειν δυνάμενοι. ὡς τὸ, Αἰχμὰς δ' αἰχμαλωτῶν νεώτεροι. οἱ γὰρ προβεβηκότες, τούτων ἀπηλλάγησαν. ὅμηρος. Γῆρας ἤδη πολέμων πέπονθε. ἀπὸ τῶν ὅπλων οὖν ὁπλότεροι. ἐπεὶ πρὸς ὅπλων ἀναίρεσιν εἰσὶν ἐπιτήδειοι ὡς πρὸς τοὺς γέροντας. καὶ ὁπλοτέρων, ἀντὶ τοῦ νεωτέρων. εἰδὼς τῶν παραγώγων συγκριτικοῦ. ὥσπερ τὸ νεώτερος πρεσβύτερος. τύπου μὲν ἔχουσι συγκριτικοῦ. τὴν δὲ φωνὴν ἀντὶ ἁπλοῦ παραλαμβάνουσιν.

Οπότερος, τὸ ἐρωτηματικόν, πότερος. καὶ τὸ ἀναφορικὸν πλεονασμῷ τοῦ ο, ὁπότερος. σχήματος συνθέτου. ἐκ τοῦ ὁποῖος καὶ τοῦ ἕτερος, ὁποιότερος καὶ ὁπότερος. ὁ ἕτερος τῶν δύο. πλεονάζουσι δὲ τὸ π οἱ ποιηταί. ὥσπερ καὶ τὸ ὁππόθι. καὶ ὁποῖος, ὁπποῖος.

Οπὸς. ἀππίων, τὸ τῶν δένδρων δάκρυον. ὅθεν καὶ ἡ σμύρνα καὶ ὁ λίβανος οὕτω λέγεται. ἀφ' οὗ καὶ ἡ ὀπώρα, ὅτι ὁ ὀπὸς αὐτὴν ὥρει, ὅ ἐστι φυλάσσει. οὐκ ἀπιθάνως. ὁ ὀπὸς γάρ ἐστιν ἀπὸ τοῦ ἐπεῖναι κατὰ τὴν ἐπιτομήν. ὅμηρος ἰδικῶς ὀπὸν καλεῖ. Ὡς δ' ὅτε ὀπὸς γάλα λευκὸν ἐπειγόμενον συνέπηξεν. ἰλιάδος ε.

Οπώρα, παρὰ τὸ ἕπεσθαι τῇ ὥρᾳ.

Οπυομένη, μεμνηστευμένη. γεγαμημένη.

Οπωπὴ, πρόσοψις. ὁ δ' ἀππίων τὴν ἐν τῷ προσώπῳ ἀποδίδωσι. παρὰ τὸ ὄπτω γίνεται ὀπή. ὡς κόπτω, κοπή. καὶ κατὰ ἀναδιπλασιασμὸν καὶ ἔκτασιν, ὀπωπή. ἀπολλώνιος δὲ τὴν χρῆσιν εἶπε. Δρύψε δ' οἱ βλέφαρον, γυμνὸν δ' ἀπέλειπεν ὀπωπήν. βλέφαρον καλεῖται τὸ ἐπικαλύπτον τοὺς ὀφθαλμοὺς δέρμα. ὀπωπὴ δὲ ἡ κόρη, ἢ ἡ ὅρασις. ἀπὸ τοῦ ὄπτω, ὄψω, ὁ παρακείμενος, ὦφα.

Οπωπα, ἀπὸ τοῦ ὄπτω ὦπα καὶ ὀπω‹ › ὁ μέσος, ὦπα. τούτου δὲ οἱ κοινοὶ μέσοι παρακείμενοι, φημὶ δὴ τοῦ ὦπα καὶ τῶν λοιπῶν, οὐχ εὑρίσκονται ἐν χρήσει ὡς λέγει

Οπταλέα, ὀπτά. παρὰ τὸ ὀπτῶ. τοῦτο ‹ › ὁ χοιροβοσκός. παρὰ τὸ πέπτω πτῶ. καὶ πλεονασμῷ τοῦ ο, ὀπτῶ. ἢ παρὰ τὸ ὄπτω. δεῖ γὰρ βλέπειν συνεχῶς πρὸς τὸ μὴ καίεσθαι.

Οπτανεῖον. Δεῖ γινώσκειν ὅτι διὰ τῆς ‹ › τὰ ὀπτώμενα. εἰ διφθόγγου γράφεται. σημαίνει δὲ τὸ μαγειρεῖον. πρῶτον μὲν ὅτι λέγεται ὀπτανήϊον. δεύτερον δὲ τῷ λόγῳ τοῦ βαλλαντεῖον. λέγει δὲ ὁ ἡρωδιανὸς καὶ ἐνταῦθα καὶ ἐν τῇ καθόλου, ὅτι παρὰ τοῖς ἀττικοῖς καὶ διὰ τοῦ ι γράφεται καὶ προπαροξύνεται, οἷον ὀπτάνιον.

Οργὴ, ἀπὸ τοῦ ῥέζω τὸ πράττω ὅθεν τὸ ἔοργα γίνεται. ἢ παρὰ τὸ ὀρέγω τὸ ἐπιθυμῶ ὀρεγή, καὶ συγκοπῇ ὀργή. ἢ παρὰ τὸ εἴργω, εἰργή. καὶ ἀποβολῇ τοῦ ι καὶ τροπῇ τοῦ ε εἰς ο, ὀργή. ἡ κωλύουσα ἡμᾶς τὰ δέοντα βουλεύεσθαι. ἢ παρὰ τὸ ὄρω τὸ διεγείρω, ὀρὴ καὶ ὀργή. σημαίνει δὲ δύο. αὐτὴν τὴν ὀργήν. ὡς τό, Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. καὶ τὴν κρυφίαν. ὡς τὸ, Εμοὶ μὲν εἰρηνικὰ ἐλάλουν, καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο.

Οργεῶνες, σύνταγμά τι ἀνδρῶν. ὡς τῶν γεννητῶν, καὶ τῶν φρατόρων. ὠνόμασται ἀπὸ τοῦ κοινῇ ὀργιάζειν τὸ θύειν τοῖς θεοῖς. παρὰ τὰ ὄργια ἅ ἐστι μυστήρια ἱερά.

Ορασις, ὁρατική τις οὖσα. διὰ τὸ τοὺς ὅρους τουτέστι τὰ πέρατα τῶν σωμάτων καταλαμβάνειν.

Οργάδα γῆν, παρὰ τὸ ἀργή τις εἶναι καὶ ἀνέργαστος. ἢ διὰ τὸ ἐν αὐτῇ τὰ φυτὰ πρὸς αὔξησιν ὀργᾶν. τάχα δὲ

βέλτιον, παρὰ τῆς κατεργασίας εἴρηται. ὡς φύτω φυτὰς, ἔθω ἔθας, ἔργω ἔργας. ἐλέγετο γὰρ καὶ χωρὶς τοῦ ι τὸ εἴργειν. καλλίμαχος δέ φησιν, ὀργάδα λέγεσθαι τὴν μελάγγειον καὶ ἔνυδρον γῆν. καὶ γὰρ ὀργάσαι τὸ πηλοποιῆσαι διὰ καὶ ὑγρῷ ξηρὸν μῖξαι. σοφοκλῆς. Θέλοιμι πηλὸν ὀργάσαι. ἔστι δὲ ἐν μεγάροις οὕτω καλουμένη ὀργάς. λέγεται δὲ καὶ ἡ εὔγειος καὶ σύμφυτος.

Ὄργια, τὰ μυστήρια. κυρίως δὲ τὰ διονυσιακά. διὰ τὸ ἐν ταῖς ὀργάσιν αὐτοῦ ἐπιτελεῖσθαι. ἢ διὰ τὸ ὀργᾶν καὶ ἐπιθειάζειν. ἢ παρὰ τὸ ὀρέγω τὸ ἐπιθυμῶ. τὸ δὲ ὀρέγω, σημαίνει καὶ τὸ ἐπεκτείνω τὰς χεῖρας. ὅθεν τὸ ὀρεγνύς.

Ὀρίγανον, ἀπὸ τοῦ ὀρέγω τὸ ἐπιθυμῶ, γίνεται ὀρέγανον καὶ ὀρίγανον, γάνυσθαι γὰρ καὶ χαίρειν τοὺς καταλουμένους ποιεῖ. ἢ παρὰ τὸ ὀρέγω τὸ διεγείρω.

Ὄργυια, σημαίνει τὴν ἔκτασιν τῶν χειρῶν. σὺν τῷ πλάτει τοῦ στήθους. παρὰ τὸ ὀρέγειν καὶ ἐκτείνειν τὰ γυῖα, ὅ ἐστι τὰς χεῖρας.

Ὀργῶντας, ἐπιτεταμένως ἐπιθυμοῦντας. ἀπὸ τοῦ ὀργῶ, ὃ σημαίνει τὸ ἀκμάζω. ὅπερ ἀπὸ τοῦ ὀρέγω τὸ ἐπιθυμῶ γίνεται κατὰ συγκοπήν.

Ὀρεκτῇσι, μελίῃσι. παρωνύμως. αἷς ὀρέγδην χράονται ἐκ χειρὸς νύσσοντες.

Ὀρεύς, ὁ ἡμίονος. παρὰ τὸ ἐν ὄρεσι μᾶλλον τῶν ἄλλων ζῴων δύνασθαι ἐργάζεσθαι. ὄρος, ὀρεύς. πλεονασμῷ τοῦ υ, οὐρεύς. ὡς τὸ ἡνίοχος ἡνιοχεύς. κλίνεται οὐρῆος κατὰ ἴωνας. ἡ αἰτιατικὴ τῶν πληθυντικῶν, οὐρῆας. ἢ παρὰ τὸ οὐρώδη γονὴν ἔχειν. ὅθεν ἐν ταῖς συνουσίαις οὐ συλλαμβάνουσιν οὐδὲ τεκνογονοῦσιν.

Ὀρκαί, ἀπὸ τοῦ ὄρω ὄρσω ὦρκα ὦρμαι. ὡς τὸ ὁλκαί.

Ὀρεσκεύειν, τὸ διατρίβειν. νίκανδρος ἐν θηριακοῖς.

Ὀρεσκῷος, ὁ ἐν ὄρεσι διαιτώμενος. ἀπὸ τοῦ κείω τὸ κοιμῶμαι, γίνεται ὀρεσίκοιος. καὶ κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ ο εἰς ω, ὀρεσκῷος. καὶ μένει τὸ ι προσγεγραμμένον.

Ὀρίνω, τὸ διεγείρω καὶ ταράσσω. ἀπὸ τοῦ ὄρω τὸ διεγείρω, ὀρύω καὶ ὀρύνω. καὶ τροπῇ τοῦ υ εἰς ι, γίνεται ὀρίνω.

Ὀρίγανον. ὤφειλεν ἐκ τῆς ἐτυμολογίας διὰ διφθόγγου γράφεσθαι. τὰ γὰρ ἀπὸ δοτικῆς τῶν εἰς ος οὐδετέρων συντιθέμενα, γίνεται τοῦτον τὸν τρόπον. εἰ μὲν φωνῆεν ἐπιφέρηται ἢ ἓν ἁπλοῦν σύμφωνον, φυλάττεται ἡ ει δίφθογγος. οἷον, ὄρει, ὀρείαυλος. ὀρειγενής, ὁ ἐν τῷ ὄρει γεννηθείς. τοῦτο γὰρ κύριον ὄνομα, καὶ βαρύνεται, καὶ διὰ τοῦ ω μεγάλου γράφεται καὶ διὰ τοῦ ι. ἔγχει, ἐγχείμορος. εἰ δὲ δύο σύμφωνα ἐπιφέρηται, ἀποβάλλουσι τὸ ε. ἔγχει ἐγχίκτυπος. ὄρει, ὀρίλοφος. χωρὶς τῶν παρὰ τὸ κάλλος καὶ τὸ ὕψος. οἷον, καλλιπάρθενος, ὑψίθρονος. κρεῖττον δὲ σημειοῦσθαι μόνα τὰ παρὰ τὸ κάλλος. περὶ γὰρ τῶν δοκούντων παρὰ τὸ ὕψος εἶναι, λέγεται ὅτι παρὰ τὸ ὕψι ἐπίρρημά εἰσι. τούτου οὕτως ἔχοντος, τὸ ὀρίγανον ὤφειλε διὰ τῆς ει διφθόγγου γράφεσθαι. παρὰ γὰρ τὴν ὄρει δοτικήν, καὶ τὸ γάνος τὸ σημαῖνον τὴν χαρὰν γίνεται. τὸ γὰρ ὀρίγανον, ἐν τῷ ὄρει χαίρει. ἢ παρὰ τὸ ὁρᾶν καὶ τὸ γανῶ τὸ λαμπρύνω, οἱονεὶ τὸ λαμπρῦνον τὴν ὅρασιν. ὁρᾶν γὰρ καλῶς ποιεῖ τὸ ὀρίγανον. ἡρωδιανός. ὁ δὲ γραμματικὸς θεόδοτος λέγει διὰ τοῦ ι γράφεσθαι. ἐπειδὴ παρὰ τὸ ὀρίζω γίνεται ὀρίγανον. καὶ πλεονασμῷ τοῦ ο, ὀρίγανον. οἱονεὶ τὸ ψῦχος τινὰ κατ' ἀντίφρασιν. θερμαίνει γάρ. ἢ ἐπειδὴ ὥς φησιν ὠριγένης εὕρηται ἐν συστολῇ ἡ ρι συλλαβή, ὡς παρὰ τῷ τιμοθέῳ τῷ κιθαρῳδῷ. οἷον, Τεταμένον ὀρίγανον διὰ μυελοτεφῆ. ὁ δ' ὑγείας δ΄. σύγκειται δὲ οὗτος ὁ στίχος ἀπὸ προκελευσματικῶν. ὁ δὲ τελευταῖος ποὺς ἀνάπαιστός ἐστι τῶν δύο βραχέων εἰς μίαν μακρὰν συναιρεθεισῶν. ἰστέον δὲ ὅτι λέγεται καὶ ὁ ὀρίγανος καὶ ἡ ὀρίγανος καὶ τὸ ὀρίγανον. καὶ θηλυκῶς μὲν εὕρηται παρὰ ἀριστοφάνει ἐν ἐκκλησιαζούσαις. ἀρσενικῶς δὲ παρὰ ἀναξανδρίδῃ ἐν φαρμακομάντει. οὐδετέρως δέ, ἐν ἐλεγείοις. καὶ ἐπὶ ἑρμῷ ἐν ἀταλάντῃ.

Ὀρείχαλκος, εἶδος ὕλης οὕτω καλουμένης, ἥτις νῦν οὐχ εὑρίσκεται. χοιροβοσκός. ἄλλοι δὲ λέγουσιν ὅτι χύμευσίς ἐστι χαλκοῦ τοῦ νῦν εὑρισκομένου λευκοῦ χαλκοῦ. οὗτος γὰρ σκευασίᾳ τινὶ γίνεται λευκὸς φύσει.

Ὀρθός, ἐκ τοῦ ὄρω ὄρσω. ῥηματικὸν ὄνομα ὀρτὸς καὶ ὀρθός. ἢ ἔστιν ὄρω τὸ διεγείρω, καὶ θέω τὸ βλέπω, γίνεται ὀροθός. καὶ κατὰ συγκοπὴν ὀρθός, ὁ διεγειρόμενος καὶ πρὸς τὰ ἄνω βλέπων.

Ὀρθωσία, ἡ ἄρτεμις. παρὰ τὸ ὀρθοῦν τοὺς βίους τῶν ἀνθρώπων.

Ὀρθογόη, ἡ μεγάλως θρηνοῦσα. ἢ ὑπὸ τὸν ὄρθρον ἠχοῦσα. ἡ ἀηδών. Πρὶν ὄρθαι, διεγέρθαι. ἀπὸ τοῦ ὦρθαι ἀπαρεμφάτου. καὶ συστολῇ, ὄρθαι.

Ὀρθοκραιράων, τῶν τὰς κεφαλὰς ὀρθὰς ἐχουσῶν. κραῖραν γὰρ λέγουσι τὴν κεφαλήν. λέγεται δὲ διὰ τὸ τὰς πρύμνας καὶ τὰς πρώρας ἀνατετάσθαι. ἐκ μεταφορᾶς τῶν βοῶν. σημαίνει δὲ καὶ τῶν ἐχόντων ὀρθὰ κέρατα.

Ὄρθρος, παρὰ τὸ αἴρειν, καὶ ὀρθοὺς ἡμᾶς ποιεῖν λεχήρεις ὄντας. ὅθεν καὶ ἦρι ἐλέγετο, ὁμοίως παρὰ τὸ αἴρειν.

Ὅρκος ἐκ τοῦ ὅρος. οἱ γὰρ ὀμνύοντες ὁρίζονται καὶ ὀμνύουσιν. ἢ παρὰ τὸ ἀρκῶ τὸ βοηθῶ. ὥσπερ γὰρ βοηθήματι αὐτῷ ἐχρῶντο οἱ ἀδικούμενοι. ἢ παρὰ τὸ εἴργω. ἐπισχετικὸν γάρ ἐστι τῶν παραβῆναι βουλομένων. παρὰ οὖν τὸ εἴργειν καὶ κωλύειν τοῦ παραβαίνειν ὅρκος. καὶ τροπῇ τοῦ ε εἰς ο, ὅρκος. ἀπὸ δὲ τοῦ ὅρκου, γίνεται ὅρκιος. ἢ παρὰ τὸ ἕρκος καὶ τεῖχος εἶναι τῷ ὀμνύοντι, μὴ παραβῆναι τὰς συνθήκας. προπαροξύνεται. τὰ διὰ τοῦ ιον ὑπὲρ δύο συλλαβὰς προσηγορικά, ἔχοντα πρὸ τοῦ ι δύο σύμφωνα προπαροξύνεται, ὁπότε πρὸ τοῦ ι οὐκ ἔστιν ἀμετάβολον. οἷον, κυμβίον. ἰσχίον. ἑρκίον. τὸ μέντοι ὅρκιον προπαροξυνόμενον, κτητικοῦ τύπου ἔχεται. ἐπεὶ δὲ αὐτὸ σημαίνει τῷ ὅρκῳ παρωνύμως εἴδει ὑποπεπτωκέναι φαμέν. ὡς τὸ κάπριος. σάζηιος. εἶπεν ὁπότε πρὸ τοῦ ι, διὰ τὸ ἴκριον, καὶ ἴχνιον.

Ὅρμος, σημαίνει δύο. τὸν λιμένα, καὶ τὸν περιτραχήλιον κόσμον. παρὰ τὸ ἕρμα τὸ ἀσφάλισμα, γίνεται ὅρμος ὁ λιμήν. ὅθεν καὶ ὁρμίσαι, τὸ ἐν ἀσφαλείᾳ εἶναι τὴν ναῦν. ἢ παρὰ τὸ εἴρω τὸ συμπλέκω. ἐξ οὗ καὶ ὁρμιὰ ἡ σειρά. πρὸς ἣν τὸ ἄγκιστρον ἐπησφάλισται δεδεμένον.

Ὁρμῶ, εἰ μὲν ἐπὶ ἐμψύχων, δευτέρας συζυγίας. ἀπὸ τοῦ ὁρμή. εἰ δὲ ἐπὶ ἀψύχων, πρώτης. ἀπὸ τοῦ ὅρμος. καὶ διαφέρει. ὁρμεῖ μέν, τὸ πλοῖον. ὁρμᾶν δέ, τὸ ἁπλῶς ἐπέρχεσθαι. ἀπὸ τοῦ ὄρω τὸ διεγείρω, πλεονασμῷ τοῦ μ γίνεται. Ἦ ἕα καὶ ὥρμηθ' ὄρει νιφόεντι ἐοικώς. ἰλιάδος ν.

Ὄρμενον, ἐξαίφνης. ἰλιάδος φ. ἀπὸ τοῦ ὄρω τὸ διεγείρω, ὄρσω, ὦρκα, ὦρμαι, ὡρμένος. καὶ κατὰ συστολὴν καὶ ἀνάδοσιν τοῦ τόνου, ὅρμενος. ἢ ἀπὸ τοῦ ὀρόμενος ὅρμενος.

Ὁρμήματα, ἐνθυμήματα. φροντίδας. κατὰ συγκοπήν.

Ὁρμαθός, στίχος. ἤγουν τὸ σύστημα. ἀπὸ τοῦ ἐν ἀλλήλοις ἁρμόζεσθαι.

Ὅρμασται, ἀπὸ τοῦ ἁρμόζω. ὁ παθητικὸς παρακείμενος, ἥρμοσμαι. τὸ τρίτον ἥρμοσται. ὑπερθέσει, ὅρμησται. καὶ κατὰ συστολὴν τοῦ η, ὅρμασται.

Ὄρνεον, παρὰ τὸ ὀρούειν. ἢ ἀπὸ τοῦ αἱρεῖσθαι. ἰλιάδος ν. Ὡς ἅ τ' ἀπ' αἰγίλιπος πέτρης περιμήκεος ἀρθεὶς ὁρμήσῃ πεδίοιο διώκειν ὄρνεον ἄλλο. ὅμηρος διὰ τὸν ἱέρακα. ἢ παρὰ τὸ τὰ ὄρνεα ἤγουν διώκειν, γίνεται ὄρνεον.

Ὄρνις, παρὰ τὸ ὄρω ὄρις. καὶ πλεονασμῷ τοῦ ν. τί γὰρ ὁρμητικώτερον πτηνοῦ, γίνεται ὄρνις. οὐδὲν γὰρ ὁρμητικώτερον τούτου τοῦ ζῴου. ὄρνιθος, ὁ κανών. τὰ εἰς ις λήγοντα ἔχοντα πρὸ τοῦ ι δύο ἀμετάβολα, διὰ τοῦ θος κλίνεται. δέλλις δέλλιθος, ἔστι δὲ εἶδος ζῴου ὅμοιον μελίσσῃ. μέρμις μέρμιθος, τὸ σχοινίον. ἕλμινς ἕλμινθος. πλὴν τοῦ βάλλις βάλλεος, ἔστιν ὄνομα πόλεως. τοῦτο γὰρ διὰ καθαροῦ τοῦ ος κλίνεται. τὸ ὄρνις ἀττικῶς ἐκτείνεται, ὥστε βραχύ ἐστι. τὰ γὰρ εἰς ις βαρύτονα, εἴτε ἀρσενικά, εἴτε θηλυκά, συστέλλει τὸ ι. ἐπὶ δὲ τῆς γενικῆς, μακρόν ἐστι. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι οὐδέποτε παραλήγουσα γενικῆς περιττοσυλλάβου μείζων τῆς ληγούσης τῆς ἰδίας εὐθείας εὑρίσκεται, πλὴν τοῦ ὄρνιθος καὶ κώμυθος καὶ πόληος. ὡς ἐμάθομεν ὅτι ἐπὶ τῆς εὐθείας βραχύ ἐστι τὸ ι, ἐπὶ δὲ τῆς γενικῆς μακρόν. ἰστέον δὲ ὅτι τὸ ὄρνις καὶ τὸ πετεινὸν γενικά ἐστι. τὰ δὲ εἰδικά, ταῶς. χήν. γέρανος. κύκνος.

Ὀρνιθοκλόος, ἀπὸ τοῦ κοεῖν τὸ συνιέναι, γίνεται ὀρνιθοκόος. εἶτα ὀρνιθοκλόος.

Ὀρνιθευτάς, ὀρνιθοθήρας.

Ὀρνύω, ἐκ τοῦ ὄρω τὸ διεγείρω, ὀρύω. καὶ πλεονασμῷ δωρικῷ τοῦ ν, ὀρύνω. καὶ ὑπερβιβασμῷ, ὀρνύω. ἐξ οὗ ὄρνυμι. καὶ ὤρνυτο. Ἀλλὰ σύ γ' ὄρνυθι τούτῳ.

Ὀρκάνη, περίφραγμα ἀκανθῶδες.

Ὅρος, σημαίνει δύο. τὰ ὅρια, καὶ τῆς χώρας τὰ τέλη. καὶ σανίδιον ἐπιτιθέμενον ταῖς οἰκίαις καὶ τοῖς χωρίοις ἐκείνοις πηγνύμενον τοῖς ἐνεχυριαζομένοις πρὸς ἃ ὀφείλουσιν οἱ δεσπόται. καὶ ὁρισταί, ἀρχή τίς ἐστιν, ἥτις ἀφορίζει τὰ ἴδια καὶ τὰ δημόσια οἰκήματα ὥσπερ τινὲς γεωμέτραι καὶ ὁριοδεῖκται. ὅρος καὶ γεωργικὸν σκεῦος, ὅ φασί τινες σχοινίον.

Ὄροβος, ὁ σπορίου εἶδος.

Ὅρος ἐστίν, ὁ τὸ ὄν τι εἶναι δηλῶν. ἢ λόγος ἐκ τῶν καθόλου καὶ κοινῶν, ἰδιότητα ἀποτελῶν. οἷον, Ἄνθρωπος ἐστὶ ζῷον λογικὸν θνητόν. ἐκ τοῦ καθόλου καὶ κοινοῦ, ἰδιότητα ἀπετέλεσε τὸν ἄνθρωπον. τῶν καθόλου ἐστὶ τὸ ζῷον. τῶν κοινῶν τὸ λογικόν. εἴληπται δὲ ὅρος, ἀπὸ μεταφορᾶς τῶν τῆς γῆς ὁροθεσίων. ὥσπερ γὰρ τὰ ὁροθέσια χωρίζουσι τήνδε τὴν γῆν ἀπὸ τῆσδε, καὶ ἑκάστῳ τὸ ἴδιον φυλάττει, τὸν αὐτὸν τρόπον καὶ ὁ ὅρος ὁ τοῦ ἀνθρώπου χωρίζει τὸν ἄνθρωπον ἀπὸ τοῦ ἵππου καὶ τῶν ὁμοίων. γίνεται δὲ ἀπὸ τοῦ εἴρω τὸ συνάπτω καὶ συμπλέκω. ὡς σπείρω σπόρος. ἐπὶ δὲ τοῦ οὐδετέρου οἷον τὸ ὄρος, παρὰ τὸ αἴρω ἄρος καὶ ὄρος. τὸ ἀπὸ γῆς πρὸς ὕψος αἰρόμενον. ἢ παρὰ τὸ ὄρω τὸ ὁρμῶ. ἢ παρὰ τὸ ὁρᾶν εἰς ὕψος δι' αὐτοῦ. ὀρὸς δὲ ἡ ὑπόστασις τοῦ γάλακτος. ὀξύνεται.

Ὄρουσε καὶ ἀνόρουσεν, ἐκ τοῦ ὀρούω τὸ ὁρμῶ γίνεται. ἀπὸ τοῦ ὄρω ὀρύω, ὡς πλήθω πληθύω, πήδω πηδύω. καὶ πλεονασμῷ τοῦ ο βοιωτικῶς, γίνεται ὀρούω. οἱ γὰρ βοιωτοὶ τότε πλεονάζουσι τῷ ο στοιχείῳ, ἡνίκα τὸ υ οὐχ ὑποτάσσηται φωνήεντι. οἷον, κύνες, κοῦνες. κῦμα, κοῦμα. οὐ πλεονάζει δὲ τὸ ο, ἡνίκα ὑποτάσσηται. οἷον, εὐνή. αὐλή.

Ὀρούειν, παρορμῆσαι. εἰς τὸ ἀλλαίεσθαι.

Ὄρπηξ, ὁ ῥόδαμνος. καὶ ὅρπηξ ὁμοίως ἐπὶ τῶν κλάδων λέγεται. παρὰ τὸ ὀρούειν κατὰ τὴν αὔξησιν. ὄρπηξ ὁ κλάδος, παρὰ τὸ ἕρπειν καὶ ὀρούειν εἰς ὕψος πεποίηται. ἢ ὅρμηκες τινὲς ὄντες. ἢ ὄρφηκες, οἱ εἰς ὀροφὴν ἐπιτήδειοι.

Ὀρόγυια, ὀρέγω τὸ ἐκτείνω. ὁ μέσος παρακείμενος, ὤρεγα. ἡ μετοχὴ ὠρεγώς. τὸ θηλυκόν, ὠρεγυῖα. συστολῇ καὶ τροπῇ, ὀρόγυια.

Ὀροθύνω, τὸ παρορμῶ καὶ διεγείρω, καὶ ἐρεθίζω, παρὰ τὸ ὀροθῶ. ἢ παρὰ τὸ ὄρω ὀρῶ καὶ τὸ θύνω, γίνεται ὀροθύνω.

Ὁρῶ, παρὰ τὴν ὅρασιν, ὁ διὰ τῆς ὁράσεως τι καταλαμβάνων. ἢ παρὰ τὸ ὅρος. ὁ διὰ τῶν ὅρων τὰ πέρατα τῶν σωμάτων καταλαμβάνων. ἔστι καὶ ὀρῶ περισπώμενον, τὸ διεγείρω καὶ ὁρμῶ. ἔνθα τὸ νῆσος ὀρεῖται. τούτου ὁ μέσος παρακείμενος ὦρα καὶ ὄρωρα. καὶ καθ' ὑπερβιβασμόν, ὄρωρα. ἢ ἐκ τοῦ ὄρω τὸ διεγείρω, ὁ μέσος παρακείμενος, ὦρα, καὶ ἀττικῶς ὄρωρα. ὁ ὑπερσυντέλικος, ὀρώρειν.

Ὁρόωτε, ἰλιάδος δ. ἀπὸ τοῦ ὁράοιτε ὁρῶτε. καὶ πλεονασμῷ τοῦ ο. ὁρόωτε, ὁ μέλλων, ὁρήσω. ὁ παρακείμενος, ὥρηκα. ὁ μέσος, ὦρα. καὶ τὰ ἑξῆς.

Ὀρωρέχαται, ἰλιάδος λ. ἤγουν ἢ τῷ κυρτώματι, ἢ τῷ χρώματι, ἢ πρὸς τὴν διάστασιν αὐτῶν ἡ ὁμοίωσις. σημαίνει τὸ ἐκρέμαντο. ἀπὸ τοῦ ὀρέγω ὀρέξω. ὁ παρακείμενος, ὤρεχα, ὤρεγμαι. ὁ ὑπερσυντέλικος, ὠρέγμην, ὤρεκτο, ὠρέχατο. καὶ κατὰ ἀναδιπλασιασμόν, ὀρωρέχατο.

Ὀροίτυπος, ὡς ἀπὸ τοῦ χορότυπος γίνεται πλεονασμῷ τοῦ ι χοροίτυπος, καὶ δολοφονῆσαι δολοιφονῆσαι, οὕτως ὀρότυπος καὶ ὀροίτυπος. ὁ ἐν ὄρει τὰ στύπη, ὅ ἐστι στελέχη κόπτων. ἀρχίλοχος. Οὐρέων ἀπετύπαζον. σημαίνει δὲ τὸν ξυλουργόν.

Ορυμαγδός, θόρυβος. κραυγή. ὁ ἐν ὄρει γινόμενος. παρὰ τὸ ὄρος καὶ τὸ ὅμαδος. οἱ δέ φασι παρὰ τὸ θορυβάζω θορυβάσω. καὶ δωρικῶς θορυβάξω. ὁ μέσος παρακείμενος, τεθορύβαγα, θορυβαγός· καὶ ἀφαιρέσει τοῦ θ. καὶ τροπῇ τοῦ β εἰς μ καὶ πλεονασμῷ τοῦ δ, ὀρυμαγδός. σημαίνει τὸν ἁπλῶς θόρυβον.

Ορρωδῶ καὶ ἀρρωδῶ, ζήτει εἰς τὰς διαφοράς. καὶ κατὰ ῥωρωδηκότες, τὸ φοβούμενοι, ἀπὸ τοῦ ῥώω τὸ ὑγιαίνω, ἐξ οὗ καὶ τὸ ἔρρωμαι. παρὰ γοῦν ῥώζω. καὶ μεταθέσει τοῦ ζ εἰς δ, ῥωδῶ. ὡς μύζω μυδῶ, καὶ ἐρίζω ἐριδῶ. ἔνθα τὸ, Ἐριδήσασθαι. μετὰ τοῦ στερητικοῦ α, ἀρρωδῶ. ἡρόδοτος. Καὶ ἀπεμάχετο τὴν ψυχὴν ἀρρωδέων. καὶ τροπῇ τοῦ α εἰς ο, ὀρρωδῶ τὸ μὴ ἐρρῶσθαι τὴν ψυχὴν ἀπὸ φόβου. φιλόξενος. ὀρρωδῶ, παρὰ τὸ τὸν ὄρρον ἰδεῖν. ὀρρὸς δέ ἐστι τὸ ἱερὸν ὀστοῦν. συμβαίνει δέ πως τοῖς φοβουμένοις ἱδρῶτα γίνεσθαι κατὰ τοῦ ἱεροῦ ὀστέου.

Ορσεο, ῥῆμα προστακτικὸν ἐνεστῶτος καὶ παρατατικοῦ. ὁ κοινῶς ὦ. οἱ ἴωνες τὴν οὐ δίφθογγον εἰς ε καὶ ο διαλύουσιν, ὄρσου ὄρσεο. τὸ ῥῆμα, ὄρσω. τοῦτ' ἔστιν ὄρω τὸ διεγείρω. ὁ μέλλων αἰολικῶς, ὄρσω. καὶ μετάγεται εἰς ἐνεστῶτα. καὶ κλίνεται ἀπὸ τοῦ παρατατικοῦ. ὄρσω, ὄρσομαι. ὠρσόμην ὤρσου. καὶ ὄρσεο τὸ προστακτικὸν ἰωνικῶς κατὰ συστολὴν τῆς πρώτης συλλαβῆς. ὡς ἐμοῦ, ἐμέο. τύπτου, τύπτεο.

Ορσοθύρη, θυρὶς δι' ἧς εἰς ὑπερῷον ὑπάρχει ἀνάβασις. παρὰ τὸ ὄρω ὄρσω καὶ τὸ θύρα, Ορσοθύρη δέ τις ἔσκεν. θυρίς τις ἔοικεν ἐπὶ τὴν δημοσίαν ὁδὸν φέρουσα, ἐφ' ἣν ἔδει ἀναβῆναι διά τινος κλίμακος. δύναται δὲ καὶ δι' αὐτοῦ ἄνοδός τις εἶναι φέρουσα ἐπὶ τὴν θύραν ταύτην. εἴρηται παρὰ τὸ ὀρούειν ἐπ' αὐτήν. λέγει δὲ σιμωνίδης κακοσχόλως. Καὶ τῆς ὄπισθεν ὀρσοθύρης ἡλσάμην. φησὶ δὲ ἀπολλόδωρος, ὀρσορόαν ὑπό τινων λέγεσθαι, δι' ἧς τὸ ὕδωρ ὄρνυται. κράτης δὲ, ὀρθοθύρη, θύρα πρόβασιν ἔχουσα. καὶ εἰς τὰ ὑπερῷα φέρουσα. τινὲς ὑψηλὴν θύραν.

Ορσόλοπος, ὀρσόπους, ἵνα λάβῃ τὸ λ. περὶ παθῶν.

Ορτή, ἀπὸ τοῦ ἑορτή. κατὰ ἀφαίρεσιν. περὶ παθῶν.

Ορταλίζειν, τὸ ἐρρίπτειν ὡς ἀριστοφάνης. οἷον, Ανωρτάλιζες, κἀκερουτίας. ἀντὶ τοῦ ἀνερρίπτειν ἐποίεις. παρὰ τὸ ὄρω τὸ διεγείρω. ὁ παθητικὸς παρακείμενος, ὦρται. ῥηματικὸν ὄνομα ὀρτός. ἀφ' οὗ περισπώμενον ῥῆμα ὀρτῶ. καὶ παράγωγον ὀρτίζω. καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ὀρταλίζω. δηλοῖ δὲ κυρίως ἡ λέξις τὸ ἀναρρίπτειν τὰ νήπια τῶν παιδίων, οἱονεὶ ὀρούειν εἰς ὕψος. κατεχρῶντο δὲ τῇ λέξει καὶ ἐπὶ τὸ ἀνήκειν ἤ τινα οὖν ποιεῖσθαι κίνησιν ὡς ἄνω προείρηται παρὰ ἀριστοφάνει.

Ορτυγομήτρα, παρὰ τὸ ὄρω τὸ διεγείρω.

Ορτάλιχος, παρὰ τὸ ἀλίχεσθαι τὸ ὀρούειν καὶ πέτεσθαι.

Ορφανός, ἀπὸ τοῦ ὄροφος ὀροφανός, καὶ ὀρφανός, ὁ μὴ ἔχων τινὰ βοηθόν. ἢ παρὰ τὸ ὄρφνον ὃ σημαίνει τὸ σκοτεινόν. ζήτει εἰς τὸ ὀρχομενόν.

Ορφνη, ἡ σκοτία. καί, Νύκτα δι' ὀρφναίην. τὴν σκοτεινήν. ἀπὸ τοῦ ἐρέφω τὸ σκέπω, γίνεται ὀροφή. πλεονασμῷ τοῦ ν, ὀροφνή. καὶ συγκοπῇ ὄρφνη, ἡ σκέπουσα τὸ φῶς.

Ορχαμος, ἡγεμών. παρὰ τὸ ἄρχω, ἄρχαμος καὶ ὄρχαμος.

Ορχατος, σημαίνει τὸν παράδεισον. τὴν φυτείαν δι' ἧς ἐρχόμεθα. διαφέρει δὲ ὀρχοῦ. ὀρχὸς γάρ ἐστιν ὁ βόθρος, εἰς ὃν ἐντίθεται τὰ φυτὰ πρὸς μοσχείαν. παρὰ τὸ ὀρύσσω, ὀρυχόν τινα ὄντα. ὄρχατος δέ ἐστιν ἐπίστιχος φυτεία, παρὰ τὸ ἔρχεσθαι. καὶ ἀριστοφάνης τὸ μεταξὺ τῶν φυτῶν, μετόρχιον ἐκάλεσεν ἐν τοῖς γεωργοῖς. ὁ δὲ ἡσίοδος, ὀρχὸν λέγει τὴν ἐπίστιχον φυτείαν τῶν ἀμπέλων. Οἱ δ' αὖ ταλάρους ἔφερον βότρυας μεγάλων ἀπὸ ὀρχῶν. καὶ πάλιν, Παρὰ δέ σφισιν ὀρχὸς χρύσεος ἦεν. ἔστι δὲ ὅτε δηλοῖ καὶ κῆπον. ἀππίων δὲ ἐτυμολογεῖ, παρὰ τὸ ὀρύσσεσθαι τὴν γῆν πρὸς φυτείαν. καὶ ὅμηρος. Πολλοὶ δὲ φυτῶν ὄρχατοι ἦσαν ἀμφίς. ἰλιάδος ξ.

Ορχῆσαι. τὴν τάξιν τῆς φυτείας ὀρχοὺς εἰώθασι λέγειν οἱ ποιηταί. καὶ ὀρχῆσαι ἐντεῦθεν. ὅτι κατὰ τὴν τῶν βοτρύων συγκομιδὴν ἐν τοῖς τόποις τούτοις, ἐπειδὰν ἔτυχον τρυγῶντες, ἀπήρχοντο τῷ θεῷ χορεύοντες καθάπερ κωμῳδοί. ἐξ οὗ καὶ τὸ ὀρχῶ ὀρχήσω. οἱ δέ, παρὰ τὸ ὀρέγειν καὶ ἐκτείνειν τὰς χεῖρας κατὰ τροπὴν τοῦ γ εἰς χ. καὶ ὀρχηστὴς ἄρης, ὁ εὐκίνητος κατὰ πόλεμον. ὡς τὸ, Μηριόνη τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα. ἰλιάδος π. ἐπυρρίχιζον γὰρ ὅπλοις οἱ κρῆτες πρὸς ἄσκησιν τῶν πολεμικῶν, ὅ ἐστι σὺν τοῖς ὅπλοις τὸ πυρρίχιον, καὶ ἔνοπλον ὄρχησιν ἠσκοῦντο. τρία γὰρ εἴδη ὀρχήσεως. πυρρίχη. σίκιννις, ἥτις ἐστὶν ἱερατική. καὶ ὁ κορδακισμὸς αἰσχρός τις ὤν. καὶ μᾶλλον κωμικοῖς ἁρμόδιος.

Ορχομενός, δύο εἰσί. βοιωτικὸς καὶ ἀρκαδικός. ἀλλ' ὁ μὲν βοιωτικός, μινύειος καλεῖται. ὁ δὲ ἀρκαδικός, πολύμηλος. καὶ τοῖς ἐπιθέτοις διαστέλλεται ἡ ὁμωνυμία.

Ορφανός, ἢ παρὰ τὸ οἶος ὁ μόνος, γίνεται οἰοφανὸς καὶ ὀρφανὸς ὁ μόνος φαινόμενος, καὶ γονεῖς μὴ ἔχων, ἢ παρὰ τὸ ἁρπάζω, ἁρπανὸς καὶ ὀρφανός. οὗ τινος οἱ γονεῖς ἡρπάγησαν.

Ος, ἄρθρον ὑποτακτικόν. σημαίνει δὲ καὶ ἀντωνυμίαν κτητικὴν τρίτου προσώπου. ἐμός. σός. ὅς. σημαίνει καὶ ἀντωνυμίαν ἰσοδυναμοῦσαν τῇ οὗτος. οἷον, Ος γὰρ δεύτατος ἀχαιῶν. δύναται σημαίνειν καὶ τὸ αὐτός. οἷον, Αλλὰ καὶ ὃς δείδοικε διὸς μεγάλοιο κεραυνόν. ἔστι δὲ καὶ ἀόριστον μόριον ἰσοδυναμοῦν τῷ ὅστις ὑποτακτικῷ ἄρθρῳ ὁμόφωνον. οἷον, Ος ἂν ἔλθοι, μενέτω. καί, Ανθρωπος ὃς ἦλθε. ἄξιον δὲ ζητῆσαι, διατί οὐκ εἰσὶν εἰς ος ὀνόματα μονοσύλλαβα. τὸ γὰρ ὅς, ἄρθρον ἐστὶν ὡς εἰπεῖν, καὶ τὸ πώς. οἷον, Ως πὼς χειμαινόμενος. ἀπὸ τοῦ πούς γέγονε κατὰ ἀποβολὴν τοῦ υ. καὶ ἔστιν εἰπεῖν ὅτι κανών ἐστιν ὁ λέγων, ὅτι πᾶν ὄνομα μονοσύλλαβον, μακροκαταληκτεῖν θέλει φύσει ἢ θέσει, χωρὶς τοῦ τίς. ἀλλ' ὥστε, δύο κανόνες εἶχον μάχεσθαι. καθὸ μὲν γὰρ εἰς ος ἐστίν, ὤφειλεν εἰς ου ἔχειν τὴν γενικήν. καθὸ δὲ πάλιν ὅτι πᾶσα μονοσύλλαβος εὐθεῖα, ἰσοσυλλάβως κλινομένη, ἀποβολῇ τοῦ ς ποιεῖ τὴν γενικήν. ὁ χνᾶς τοῦ χνᾶ. ὁ θρῆς τοῦ θρῆ. τῶν δύο οὖν κανόνων μαχομένων, ἀπέλιπον τὰ εἰς ος μονοσύλλαβα ὀνόματα.

Ορφῶς, περὶ δὲ τοῦ ὀρφῶς ἔστιν εἰπεῖν ὡς λέγει ὁ αὐτὸς χοιροβοσκός, ὅτι τὰ εἰς ως ἀττικὰ τῆς κοινῆς εὐθείας ἔχουσι τὸν τόνον. κἂν φθάσῃ προπαροξυνθῆναι ἡ εὐθεῖα, πᾶσα πτῶσις προπαροξύνεται. σεσημείωται τὸ ὀρφῶς καὶ τὸ λαγῶς. ταῦτα γὰρ οὐκ ἐφύλαξε τὸν τόνον τῶν κοινῶν. τὸ μὲν γὰρ ὀρφῶς ὁ τόνος ὀρφὸς ἐστὶ βαρύτονος. τοῦ δὲ λαγῶς, λαγὸς ὀξύτονος. ὡς ἡρωδιανός φησιν, οὐδὲν τοῖς εἰς ως ὑπὲρ μίαν συλλαβήν, οὐδὲν περισπᾶται, πλὴν τοῦ ὀρφῶς καὶ λαγῶς.

Οσιος, παρὰ τὸ ἅζω τὸ σέβομαι τοῦτ' ἔστι τροπῇ τοῦ α εἰς ο. διὸ καὶ διὰ τοῦ ι γράφεται. τὰ γὰρ παρὰ μέλλοντος διὰ τοῦ ιος γινόμενα διὰ τοῦ ι γράφεται. ἅζω, ἅσω, ἅσιος καὶ ὅσιος. καὶ κτήσω, κτήσιος. ἀλέξω, ἀλέξιος. τὸ δεξιὸς καὶ ἀνεψιός, κατὰ τόνον μόνον διήλλαξεν.

Οσημέραι, πάντοτε. καθ' ἡμέραν. ὅσαι ἡμέραι.

Οσπριον δεῖ λέγειν, καὶ οὐκ ὄσπρεον. παρὰ τὸ σπόρος σπόριον. καὶ ὑπερβιβασμῷ, ὄσπριον. χοιροβοσκός.

Οσσα, θεία φήμη καὶ κληδών. Οσσαν δ' ἄμβροτον ἵεται. οἶμαι παρὰ τὸ ὄπτω. ἤγουν καὶ τὸ ὄρος τὸ θετταλικόν. ἡσίοδος τὴν πᾶσαν φωνὴν ὄσσαν λέγει.

Οσσε. ἤγουν τοὺς ὀφθαλμούς. παρὰ τὸ ὄπτω τὸ βλέπω. αἰολικῶς ὄσσω. ὡς κόπτω, κόσσω, καὶ πέπτω, πέσσω. ἔστιν οὐδέτερον τὸ ὄσσος. κλίνεται τοῦ ὄσσεος καὶ ὄσσους. ὄσσεε. καὶ ἀφαιρέσει τοῦ ἑνὸς ε, ὄσσε. κλίνεται δὲ ἀρσενικῶς ὁ ὄσσος, ὥσπερ καὶ ὁ σκότος.

Οσσόμενος, σημαίνει τὸ περιβλεψάμενος.

Οσσετο θυμός, προεώρα. τουτέστι κατὰ ψυχὴν προσεδέχετο. οἷον ἡ κατ' ἐπίνοιαν γνῶσις ἀπὸ τῶν ὄσσων τῶν ὀφθαλμῶν.

Οσταφίς, πλεονασμῷ τοῦ ο. καὶ ἀσταφίς, πλεονασμῷ τοῦ α. σταφὶς γάρ. σπάνιον γὰρ τὸ σταφίς. σχεδὸν γὰρ ἡ εἰς α χρῆσις ἀσταφὶς ἔχει, περὶ παθῶν.

Οστέον, παρὰ τὸ στῶ στέον καὶ ὀστέον. τὸ αἴτιον τῆς στάσεως. ἢ παρὰ τὸ ἵστημι.

Οστρακον, παρὰ τὸ στερεὰν ἀκμὴν ἔχειν.

Οστλιγγες. Οστλίγγεσ μαλεροῖο πυρὸς, αἱ λαμπηδόνες. παρὰ τὸ ὄσσε καὶ τὴν ἴλιγγα, ὀσίλιγγες τινὲς οὖσαι. καὶ κατὰ συγκοπήν. ἤγουν δὲ καὶ τρίχας ὡς παρὰ καλλιμάχῳ ἐν τῷ πρώτῳ. Λιπαρὴν ἀπὸ στλίγγων αἰὲν ἄλειφαρ ἔχει. παρὰ τὸ ὀστοῖς εἱλεῖσθαι, ὀστοΐλιγγες τινὲς οὖσαι. αἱ περὶ τὸ ὀστέον εἱλούμεναι. ἢ περὶ τὰ ὀστώδη μέρη τῆς κεφαλῆς εἱλεῖσθαι καὶ συναθροῖσθαι. ὧρος, καὶ ἄλλοι.

Οσφύς, ῥάχις, καὶ ψύα. ὡς μὲν ἀριστοτέλης, ἡ ἴση πρὸς ἄνω ἐμπεφυκυῖα ἰσοσφύς τις οὖσα. ὡς δὲ ἀπολλόδωρος, οἱονεὶ ὀστοφυής τις οὖσα. ὀστώδης γάρ. ὀσφὺς λέγεται τὸ τρίτον μέρος τῆς ῥάχεως. ἡ γὰρ ῥάχις, τρεῖς ἐπωνυμίας ἔχει. καὶ ἡ μὲν πρώτη καλεῖται αὐχήν. ἡ δὲ δευτέρα, ἰξύς. ἡ δὲ τρίτη, ὀσφύς, οἱονεὶ ὀστοφυής.

Οσχεός, ὀχεύω, ὀχεός. καὶ πλεονασμῷ τοῦ ς, ὀσχεός.

Οταν, τὸ ὅταν ἐπίρρημα οὐ ... ὡς φολεύω, φολεός. δύναται εἶναι. τὰ γὰρ εἰς αν ἐπιρρήματα, ἐκτείνεται. τὸ πάμπαν. τὸ δὲ ὅταν κατὰ συστολὴν δύο μέρη λόγου ἐστίν. ὅτι ἄν. ὁμοίως καὶ τὸ ὁπόταν.

Οτέοισιν, ἰλιάδος ο. Ημὲν ὁτέοισι κῦδος ὑπέρτατον ἐγγυαλίξει. ἢ διότι νᾶς μινύθει. ἀντὶ τοῦ οἷστισι τὸ ὅτισι τρισύλλαβον, ἀπὸ τοῦ ὅ ἔχει τὸν τόνον. τὸ δὲ ὁτέοισιν οὐκέτι.

Οτλος, ὁ μόχθος. ἡ κακοπάθεια. παρὰ τὸ τλῶ τὸ κακοπαθῶ, ῥηματικὸν ὄνομα τλός. καὶ πλεονασμῷ τοῦ ο. ἢ μετὰ τοῦ ἐπιτατικοῦ α, ἄτλος καὶ ὄτλος. ὡς ἄχθος, ὀχθήσας.

Οτι. Ιστέον ὅτι τὸ ὅτι, ποτὲ μέν ἐστι σύνδεσμος αἰτιολογικός, ποτὲ δὲ ὄνομα οὐδέτερον. ὅπερ γέγονεν ἀπὸ τοῦ ὅστις ἀρσενικοῦ. τὸ θηλυκὸν ἥτις. καὶ τὸ οὐδέτερον ὅτι. καὶ ὥσπερ ἐν τῷ ὅστις δύο λέξεις εἰσίν, οὕτω καὶ ἐν τῷ ὅτι, ὅπερ ἐστὶν ἓν μέρος λόγου. τοῖς γὰρ πυσματικοῖς, εἴωθε προσέρχεσθαι ἀναφορικὸν μόριον τὸ ο. ποῖος, ὁποῖος. τίς, ὅστις. τὸ δὲ τίς, κοινόν ἐστι τῷ γένει, καὶ σημαίνει ἀναφορικόν. ἐὰν δὲ ἀναδιπλασιασμὸν δέξηται τοῦ το, τί, μόνον ἐστὶν ὅτε σημαίνει ἐν μιᾷ λέξει ἀκουόμενον, καὶ οὐκέτι συμπίπτει συνδέσμῳ, ἀλλ' ἔστιν οὐδέτερον ὄνομα. Ιστέον ὅτι ἐπὶ μὲν τοῦ ὁποῖος καὶ τῶν ὁμοίων, οὐκ ἔστι τὸ ο ἄρθρον, ἀλλὰ μόριον προστιθὸν τοῖς πύσμασιν. οὐδέποτε γὰρ ἄρθρον μετὰ πυσμάτων συντάσσεται. τὰ γὰρ πύσματα ἀγνοεῖ. τὸ δὲ ἄρθρον, ἀναφέρει τὸ προεγνωσμένον.

Οτοβος, ψόφος. διὰ τὸ ἀσαφὲς τῆς λέξεως. ἤγουν τοῦ λέγειν. ἢ διὰ τῶν ὤτων βοή. ἡσίοδος. ἔνθα ὄτοβος δ' ἄτλητος ὀρώρει.

Οτραλέως, σπουδαίως. παρὰ τὸ τρέω τὸ φοβοῦμαι καὶ σπεύδω, τοῦτ' ἔστι τρέης. καὶ κατὰ συναλοιφὴν τοῦ ε καὶ η εἰς τὸ αὐτὸ η, καὶ πλεονασμῷ τοῦ ο, ὀτρής. ἀφ' οὗ ἐπίρρημα εἰς ως, ὀτρῶς καὶ ὀτρέως, ὡς εὐτυχὴς εὐτυχῶς. εὐγενὴς εὐγενῶς. καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς. ἰλιάδος γ. Τοὶ δ' ὀτραλέως ἐπίθοντο. ἔστι ῥῆμα τρῶ τὸ φοβοῦμαι. ἐξ αὐτοῦ σημαίνει ῥηματικόν, τράς. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀτράς ὁ ἄφοβος. τροπῇ ὀτράς. ὅθεν τὸ, Λαοὺς ὀτρῆος. ἡ γενικὴ τῶν πληθυντικῶν, ὀτρέων. καὶ ἔπος ὀτρέως. καὶ ὥσπερ παρὰ τὸ κάρπιμος πλεονάζει ἡ αλ συλλαβὴ γίνεται καρπάλιμος, οὕτω καὶ

Οτρηρώ. Οτρηρὼ θεράποντε. δραστικοί. σπουδαῖοι. ... ὧδε. παρὰ τὸ ὀτρύνω, ὀτρηρός. καὶ τροπῇ, ὀτρηρός, ὁ δι' ἑαυτοῦ παρωξυμμένος πρὸς τὸ ἐνεργεῖν, ἢ δι' ἑτέρου. ὁ δὲ φιλόξενος, παρὰ τὸ τρῶ τρέω, γίνεται ῥηματικὸν ὄνομα τρερός. ὡς σφάλλω, σφαλερός. καὶ κράσει, τρηρός, ὁ δειλός. ἀφ' οὗ παρώνυμον τρήρων. μετὰ τοῦ στερητικοῦ α ἀτρηρός, ὁ μὴ δειλός, ἀλλὰ δραστικός, καὶ ἐρρωμένος τὴν γνώμην. καὶ μεταθέσει, ὀτρηρός.

Ὄτριχας, οἰέτεας, καὶ ὁμοπάρας. οἱονεὶ ὁμοέτεας καὶ ὁμοιότριχας. καὶ ὁμόπαρας καὶ κατὰ συγκοπὴν, ὄτριχας. τὸ ὁμοῦ λέγει τὸ αὐτό. ὅθεν καὶ ὁμώνυμον.

Ὀτρυγηφάγος, τρύγη, ὁ δημητριακὸς καρπός. ἐξ οὗ τρυγηφάγος. καὶ πλεονασμῷ τοῦ ο, ὀτρυγηφάγος.

Ὀτρύνω. ὄρω τὸ διεγείρω. ὀρύω. ὀρύνω. καὶ πλεονασμῷ τοῦ τ, ὀτρύνω. σημαίνει τὸ ἐπισπεύδω καὶ παρορμῶ καὶ διεγείρω. ὥσπερ τὸ, Ὄτρυνε δὲ γέροντα παριστάμενος ἐπέεσσι. σημαίνει καὶ τὸ παρακατασκευάζω. ὥσπερ τὸ, Αὐτὰρ ἐμοὶ πομπὴν ὀτρύνεται.

Οὐκ ἐᾷ. τρεῖν μ' οὐκ ἐᾷ Παλλὰς Ἀθήνη. ἰλιάδος ε. συστέλλεται, καὶ βαρύνεται. τὸ μὲν οὖν ἐντελὲς τοῦ ἐνεστῶτος ἐστὶν ἐῶ, ἐᾷς, ἐᾷ, μετὰ τοῦ ι. τοῦ δὲ παρατατικοῦ, εἴων, εἴας, εἴα οὖν μετὰ τοῦ ι. καὶ τὸ προστακτικὸν ἔα. ἐπεὶ τοίνυν ἐστὶ τοιοῦτο τὸ ῥῆμα οὐκ ἐᾷ, μόνον συνεστάλη τὸ α. καὶ ὁ παρατατικός ἐστιν ἰσοδύναμος τῷ ἐνεστῶτι. εἰ δὲ ἐνεστώς ἐστιν, ἀεὶ περισπᾶται καὶ σὺν τῷ ι γράφεται, δῆλον ὅτι πολλὰ πάθη. συστολὴ τοῦ α, καὶ ἐκβολὴ τοῦ ι, καὶ μεταβολὴ τοῦ τόνου, εἰ μὴ ἐκδεξαίμεθα, ὡς ἔθος τῷ ποιητῇ τὰ ῥήματα τῆς δευτέρας συζυγίας κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον πολλάκις διαλύειν εἰς δύο αα. ὧν τὸ μὲν πρῶτον συνεσταλμένον. τὸ δὲ δεύτερον ἐκτεταμένον καὶ σὺν τῷ ι γραφόμενον. οἷον, Οὐχ ὁράας οἷος κἀγώ. καὶ ἀπὸ τοῦ τρίτου, ὅ κ' ἐάᾳ Κρονίδης. τοῦτο οὖν τὸ ἐάα, δύναται καὶ ἀποκοπὴν εἰρῆσθαι. οἷον, Τρεῖν μ' οὐκ ἐᾷ. ἔνθα καὶ συστέλλεται τὸ α καὶ βαρύνεται. οὐκ ἀληθὲς δὲ καὶ ἐνεστῶτα ἀποκόπτεσθαι καὶ ἄλλους χρόνους. ὡς τὸ, Οὖτα κατὰ λαπάρην. εἰ δὲ τις ἐπιζητῶν ὁμοιότητα, ἀπὸ τῶν εἰς ω περισπωμένων ἢ βαρυτόνων ἀπὸ τοῦ τρίτου ἀποκοπὴν οὐχ εὑρήσει, καὶ οὐδὲ τοῦτο παραδέξαιτο, ἑαυτὸν λήσει. περὶ τοῦ πάθους καὶ λαμβάνομαι.

Οὔ τε ἔοικε. διαφέρουσιν αἱ ἐγκλινόμεναι ἀντωνυμίαι τῶν ὀρθοτονουμένων. διαφέρουσιν. ὅτι αἱ μὲν ὀρθοτονούμεναι, διαστολὴν ἔχουσιν ἑτέρου προσώπου. οἷον, ἐμοὶ ἔδωκε καὶ οὐκ ἄλλῳ. ἐμοῦ ἤκουσας καὶ οὐκ ἄλλου. αἱ δὲ ἐγκλινόμεναι, ἀπόλυτα πρόσωπα δηλοῦσι. Ὥς σεο νῦν ἔραμαι.

Οὐ μέν πως. τὸ μὲν, ὀξύνεται ἐπειδὴ αἱ ὀξυνόμεναι λέξεις διὰ τὴν συνέπειαν τρέπουσι τὴν ὀξεῖαν εἰς βαρεῖαν. ἐπιφερομένου δὲ ἐγκλιτικοῦ μορίου, τὴν ἰδίαν τάσιν φυλάττουσι. Ζεὺς δ' ἐπεὶ οὖν. καὶ, Ζεύς με μέγα Κρονίδης.

Οὔ ἔθεν, ἐκ τῆς οὐ ἀρνήσεως καὶ τῆς ἔθεν ἀττικῶς παραγωγῆς ἀντωνυμίας. ἰστέον ὅτι τὸ οὔ ἔθεν, χωρὶς τοῦ κ εὑρέθη, διότι ἐγκλίνεται. τὰ δὲ ἐγκλινόμενα, οὐδέποτε προσλαμβάνει τὸ ν. οἷον, ἐμοῦ, ἤκουσέ μου. ἄλλως δὲ, αἱ [illegible] ἡ οὐ ἄρνησις τοῦ πλεονασμοῦ, ἀλλ' οὐ δύναται λήγειν εἰς κ. οὐδέποτε γὰρ ἐστὶ λέξις ἑλληνικὴ εἰς κ ἄφωνον λήγουσα. δεῖ οὖν αὐτὸ ἐπιφέρειν τῇ ἑτέρᾳ λέξει. εἰ οὖν ἔλαβεν αὐτὸ ἐν τῷ ἔθεν, ἤμελλε φυλάττειν ἐν πλεονασμῷ. καὶ οὐκέτι ἐνεκλίνετο.

Οὔθ' ἥμιν, πόσοι τόνοι, δύο. διατί; ἡνίκα εὑρεθῇ ἐγκλιτικὰ ἐφεξῆς ἀλλήλων κείμενα, πολλάκις ἔσονται καὶ παράλληλοι αἱ ὀξεῖαι. Ἦ ῥά νύ που. περὶ παθῶν.

Οὐχ ἅπτομαι. πότερον ἀπὸ τῆς οὐ ἀρνήσεως γέγονεν, ἢ ἀπὸ τῆς οὐχί. οὐ γὰρ ἔχει ἀπόστροφον. καὶ τοῦτο δῆλον καὶ ἐξ ἑτέρου ῥήματος. οὐκ ἔρχομαι. οὐκ ἄγω. εἰ γὰρ ἐκ τοῦ οὐχί αἱ συνθέσεις ἐλέγοντο, ἄρ' ἔπειτ' ἂν τὸ χ ἐφυλάττετο. ψιλὴ γὰρ οὐ δύναται μεταβάλλειν τὸ δασὺ εἰς ψιλόν. ὡς τὸ ἀμφ' ἐμοί. ἡ δασεῖα δὲ μᾶλλον τὸ ψιλὸν μεταβάλλει. πρόσδα σύ. προφανὲς οὖν ὅτι ἐκ τῆς οὐ ἀρνήσεως, μᾶλλον τὰ ῥήματα σύγκειται. καὶ πλεονασμῷ τοῦ κ διὰ τὴν ἐπαλληλίαν μεταβάλλεται, ὁπηνίκα δασὺ τὸ ῥῆμα. ὡς τὸ οὐχ ὁρῶ. ἄτοπον οὖν εἰ τὸ μὲν οὐκ ἄγω ἐκ τοῦ οὐ συντίθεται, τὸ δὲ οὐχ ἅπτομαι ἐκ τοῦ οὐχί. ὤφειλε γὰρ λέγεσθαι οὐχ ἔρχομαι. ἰστέον δὲ καὶ τοῦτο, ὅτι τὸ σύμφωνον προσελθὸν διὰ τὴν ἐπαλληλίαν τῶν φωνηέντων τῇ κάτω συλλαβῇ ἀκολουθεῖ διϊστάμενον τῆς οὐ ἀρνήσεως. οὕτως εὗρον ἐγὼ εἰς τὴν ἀπορίαν καὶ λύσιν εὐλογίου σχολαστικοῦ. Οὐ. τοῦτο ἐπίρρημά ἐστιν ἀρνήσεως. τὸ δὲ κ πλεονάζει διὰ τὴν χασμωδίαν. καὶ ὅτι ψιλοῦ ψιλοῦται, καὶ δασὺ δασέως. καὶ ὅτι ἡ οὐ ἄρνησις συντιθεμένη ἑτέρᾳ λέξει τῇ ἀπὸ φωνήεντος ἀρχομένῃ, ψιλουμένης μὲν αὐτῆς, πλεονάζει τὸ κ. ὡς τὸ οὐκ ὄνοσα, ἀντὶ τοῦ οὐ μεμπτά. καὶ οὐκ ἐπιεικτὸν, ἀντὶ τοῦ οὐχ ὑποχωροῦν τινί. οὐ νικώμενον. δασυνομένης δὲ, πλεονάζει τὸ χ. ὡς τὸ, οὐχ οὕτως. ἔστι δὲ ἐπίρρημα μεσότητος, ἐκ τῆς οὐ ἀρνήσεως καὶ τῆς οὕτως ἀντωνυμίας.

Οὐχί. τὸ οὐχί, κατ' ἐπέκτασίν ἐστι τῆς χι συλλαβῆς ἐκ τῆς οὐ ἀρνήσεως, ἢ κατὰ πλεονασμόν. τὸ δὲ οὐκί. κατὰ πλεονασμὸν καὶ μόνον καὶ οὐ κατ' ἐπέκτασιν. αἱ γὰρ ἐπεκτάσεις, διὰ δασέων γίνονται καὶ οὐ διὰ ψιλῶν. οὐί. καὶ οὐχί. καὶ οὐκί. σημαίνει τὸ οὐδαμῶς. καὶ ἔστιν ἐπίρρημα ἀρνήσεως. καὶ οἱ ἴωνες ἀντὶ τῶν δασέων. εἰς τὸ ὁμίχλη. τὸ δὲ οὐχί, παράλογόν ἐστι κατὰ τόνον. ὤφειλε γὰρ βαρύνεσθαι. ἐπειδὴ δὲ παραλόγως ὀξύνεται τὸ ναίχι. ἢ, ἡ χί πρὸ τῆς ἐπεκτάσεως, τούτου χάριν καὶ μετὰ τὴν ἔκτασιν παραλόγως ὀξύνεται. εἰς τὸ νόσφι.

Οὖας, σημαίνει τὸ οὖς. παρὰ τὸ αὔω τὸ φωνῶ, γίνεται αὔας. καὶ τροπῇ τοῦ α εἰς ο, οὖας. τὸ τῆς φωνῆς ἀντιληπτικὸν αἰσθητήριον. κλίνεται οὔατος. ὡς δέρας δέρατος. ἐκ δὲ τούτου γίνεται κατὰ ἀποβολὴν τοῦ υ, ὄας. καὶ κατὰ κρᾶσιν οὖς. καὶ κατὰ δωριεῖς, ὦς. τὸ δὲ, Ἀμφώδες νεοτευχές παρὰ θεοκρίτῳ, ἔστιν οὕτως. ὥσπερ παρὰ τὸ οὖδας γέγονε τὸ οὐδός, καὶ παρὰ τὸ γῆρας γῆρος, καὶ παρὰ τὸ κῶας, κῶος, οὕτω καὶ παρὰ τὸ ὄας ὄος. εἶτα πάλιν ὥσπερ παρὰ τὸ εἶδος εὐειδής, γένος εὐγενής, οὕτω καὶ παρὰ τὸ ὄος γέγονεν ἀμφώδης. ἀπὸ γὰρ τῶν εἰς ας οὐ γέγονε σύνθετον, ἀλλ' ἀπὸ τῶν εἰς ος. περὶ παθῶν. τὸ δὲ οὖς, ἄκλιτόν ἐστιν ὡς λέγει ὁ χοιροβοσκός. οὐδὲν γὰρ οὐδέτερον εἰς ους λήγει, εἰ μὴ μόνον τὸ οὖς. ὅθεν ὡς μονῆρες ἔμεινεν ἄκλιτον. ὥσπερ τὸ δέμας ἄκλιτόν ἐστιν. οὐδὲν γὰρ οὐδέτερον εἰς ας εὑρίσκεται ἔχον πρὸ τοῦ α τὸ μ. καὶ μὴ ἔχον τὸ μ, ἐμφ-

Οὐδαμῶς, ἐπίρρημα μεσότητος. ἀπὸ [illegible] μεν ἀκλίτου. τοῦ ἀμὸς γέγονε. ἐξ οὗ καὶ τὸ οὐδαμόθεν. ζήτει εἰς τὸ ἀμῶς.

Οὐδείς, ἰστέον ὅτι τὸ οὐδεὶς ὅτε ἰσοδυναμεῖ τῷ οὔτις, δύο μέρη λόγου εἰσί. τό, τε οὐ, καὶ τὸ δείς. οὐ δὲ γὰρ ἐστὶ σύνθετον. εἰ γὰρ ἦν σύνθετον, ἤμελλε πρὸ μιᾶς ἔχειν τὸν τόνον. πᾶν γὰρ ὄνομα μονοσύλλαβον συντιθέμενον ἀναβιβάζει τὸν τόνον. παῖς, ἔμπαις. χθών, αὐτόχθων. θρᾷξ, σαμόθρᾳξ. χωρὶς τοῦ πτώξ, πολυπτώξ. δηλοῖ δὲ καὶ ἡ γενικὴ ὀξυνομένη. εἰ δὲ ἦν ἐν συνθέσει, ἤμελλεν ἡ γενικὴ βαρύνεσθαι. πᾶσα γὰρ γενικὴ ὑπὲρ δύο συλλαβὰς εἰς ος λήγουσα, ἀπέστραπται τὴν ὀξεῖαν τάσιν, χωρὶς τοῦ γυναικὸς καὶ θυγατρός. λέγει δὲ ὁ φιλόπονος, ὅτι τὴν γενικὴν τῶν πληθυντικῶν περισπᾶσθαι ὀφείλει διὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι πᾶσα εὐθεῖα πληθυντικῶν εἰς ες λήγουσα δισύλλαβος, περισπᾶται κατὰ τὴν γενικήν. ἄνδρες ἀνδρῶν. ἡ δὲ παράδοσις ἀντίκειται αὐτῷ. πάντες γὰρ οἱ ῥήτορες οὐδένων βαρύνοντες, ἀναγινώσκουσιν. αὐτοῦ δὲ τοῦ οὐδεὶς τὸ οὐδέτερον, δὲν χωρὶς τῆς οὐ παραθέσεως. ἔχομεν παρὰ ἀλκαίῳ ἐν τῷ ἐνάτῳ. Κοὐδὲν ἐκ δενὸς γένοιτο. ζηνόβιος.

Οὐδενόσωρα, ἰλιάδος θ. τὰ οὐδὲ μιᾶς φροντίδος ἄξια. ὑφὲν δὲ κατὰ σύνθεσιν. εἰ καὶ σπανίως ἡ τοιαύτη σύνθεσις ἐκ τῆς οὐ ἀποφάσεως. καὶ τῆς δενὸς γενικῆς καὶ τοῦ ὤρα ἡ φροντίς. αὔξεται δὲ αὗται συνθέσεις, ποιητῶν τὰ λήμματα. καὶ γὰρ οὐκ ἔχει τὶ ἕτερον μιμήσασθαι. τὸ γὰρ ἑκκαιδεκάδωρα. παρὰ τὸ ἑκκαίδεκα καὶ οὕτω τὰ δῶρα προσελθόν, ἐγένετο ἑκκαιδεκάδωρα. καὶ ὁ μὲν ἡρωδιανός, οὕτως. ἕτεροι δὲ ἐκ τῆς οὐ ἀποφάσεως τοῦ δὲ συνδέσμου τῆς ἑνὸς γενικῆς, καὶ τοῦ ὤρα, τοῦτο φασὶ συγκεῖσθαι.

Οὐδέτερον. οὐδέτερον ἐστὶ τὸ μήτε ὂν ἐν ἐκ τῶν αὐτῶν προϋποκειμένων γενῶν, λέγω δὴ τοῦ ἀρσενικοῦ καὶ θηλυκοῦ. εἰ γὰρ εὑρίσκομεν καὶ ἀπὸ τοῦ α στερητικοῦ ἀρχόμενον, ὡς τὸ ἄφιλος, ἄσεμνος. εἰκὸς γοῦν καὶ ἀπὸ τῆς οὐ ἀποφάσεως ἄρχεσθαι τοῦτο. οὐ δὲ γὰρ διαφέρουσιν ἀλλήλων ἥ, τε ἀπόφασις καὶ στέρησις, ὅσον κατὰ τὸ εἶναι ἄμφω ἀναιρετικά, εἴτε κατὰ ἄλλον τρόπον διαφέρουσι. καθὸ ἡ μὲν στέρησις ἐπιβάλλοντος ἤγουν ἁρμόζοντος ἐστὶν ἀτευξία τουτέστιν ἀποτευξία. ὡς ὅταν εἴπωμεν ἄτεχνος ὁ ῥήτωρ. ἐπιβάλλει μὲν γὰρ ἤτοι ἁρμόζει αὐτὸν τὸ εἶναι ἔντεχνον, οὐκ ἔτυχε δὲ τούτου. ἡ δὲ ἀπόφασις, ὡς ἔτυχε λαμβάνεται. δύναται γὰρ λέγειν οὐτεχνικὸς ὁ ὄνος, ἄτεχνος δὲ ὁ ὄνος, οὐ δύναταί τις λέγειν. ἐπειδὴ ὡς εἴρηται οὐχ ἁρμόζει τῷ ὄνῳ τὸ εἶναι τεχνικόν. ἀμέλει ἡνίκα ἡ α στέρησις μὴ σημαίνει ἐπιβάλλοντος ἀποτυχίαν, τότε ἀντὶ ἀποφάσεως λέγουσιν αὐτὴν εἶναι, καὶ παραλαμβάνεται ὡς ἐν τῷ ἀθάνατον, ἄλογον, ἀντὶ τοῦ οὐ θανατούμενον, οὐ λογικόν. οὐδὲ γὰρ ἐστὶν ἐν τούτοις ἐπιβάλλοντος ἀτευξία. οὐ δύναται γὰρ ὁ ἀθάνατος εἶναι θνητός, οὐδὲ τὸ ἄλογον λογικόν. οὕτως ὁ χοιροβοσκὸς εἰς τὰ προλεγόμενα τῶν οὐδετέρων. σύγκειται δὲ ἐκ τριῶν μερῶν τοῦ λόγου, τῆς οὐ ἀποφάσεως, καὶ τοῦ δὲ συνδέσμου, καὶ τοῦ ἕτερον ὀνόματος. καὶ ἔστιν ἀναλογώτερον τοῦ οὐθέτερον. ὥσπερ ἀπὸ τοῦ τε συνδέσμου γίνεται οὔτε τὸ ἕτερον. καὶ διὰ τὴν δασεῖαν, ἐτράπη τὸ τ εἰς θ. ὁ γὰρ τε σύνδεσμος, ἀπαιτεῖ καὶ ἕτερον σύνδεσμον. οὔτε τοῦτο. οὔτε τοῦτο. ὅθεν σεσημείωται τὸ παρὰ μενάνδρῳ, οὐθὲν μέλει σοι, ὅποι οὐκ ἔχει ἑτέρου συνδέσμου ἐπιφοράν. μήποτε δὲ οὐκ ἔστιν ἀπὸ τοῦ τε συνδέσμου, ἀλλ' ἀπὸ τοῦ δὲ κατὰ τροπήν. οὐδέτερον, οὐθέτερον. ὡς δάσος, θάσος.

Οὖθαρ ἀρούρης, τὸ λιπαρώτατον καὶ κάρπιμον καὶ κάλλιστον τῆς γῆς. οἶμαι ἀπὸ τοῦ θῶ τὸ τρέφω ἢ θάλλω γίνεται πλεονασμῷ τοῦ ο. ἢ παρὰ τὸ θῶ τὸ θηλάζω, γίνεται θάρ. καὶ πλεονασμῷ τῆς οὐ συλλαβῆς, οὖθαρ. σημαίνει δὲ τὸν μαζόν.

Οὐθέν. ἔστιν ὄνομα δείς. καὶ ἰσοδυναμεῖ τῷ τίς. ἀπὸ τοῦ εἷς ἑνός. καὶ τὸ οὐδέτερον δέν. μετὰ τῆς οὐ ἀρνήσεως καὶ συγκοπῇ, οὐδέν. καὶ τροπῇ τοῦ δ εἰς θ, οὐθέν.

Οὐλαμός, παρὰ τὸ πλῆθος τῶν ἀνδρῶν ἡ τάξις. παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι. ὅθεν καὶ τὰς τρίχας οὔλας φασίν. ἰστέον ὅτι οὐλαμός ἐστιν τάξις συνεστηκυῖα ἐκ τεσσαράκοντα τεσσάρων ἀνδρῶν. φάλαγξ δὲ ἐστιν ἐξ ἑκατὸν εἴκοσι ἀνδρῶν.

Οὖλος, σημαίνει τέσσαρα. τὸν ὁλόκληρον καὶ προσηνῆ, ὡς ἐν ὀδυσσείᾳ. Οὖλον ἐπαγγέλλων ἐπέεσσι μεγαπέζη. καὶ τὸν μαλακόν. ὅθεν Οὔλων τε ταπήτων. καὶ τὸν ὀλέθριον, ὡς οὖλος ἄρης, ὁ ὀλέθριος. παρὰ τὸ ὄλλω ὀλλύω, οὖλος. καὶ τὸν συνεστραμμένον, ὡς τὸ οὐλοκάρηνος, ἀπὸ τοῦ ὀδυσσέως. παρὰ τὴν τῶν τριχῶν διαστροφήν. σημαίνει καὶ τὸ ὑγίαινε. ὡς τὸ, Οὖλέ τε καὶ μέγα χαῖρε. οὖλον δὲ ὄνειρον, οὐκ αὐτὸν ὀλέθριον ὄντα, ἀλλὰ τὸν ἐπ' ὀλέθροις πεμπόμενον. ἢ οὖλον τὸν ὑγιῆ. ὥσπερ λέγεται οὐλὴ, ἰάματα. Οὐλαὶ δ' ἐπενήνοθε λάχνη, ἁπαλή, ἡ τρυφερά. καὶ πάλιν. Χλαίνας τ' ἐνθέμεναι οὔλας. ἐν ταύταις τὰς συνεστραμμένας. εἰσὶ δὲ αἱ ἑλικοειδεῖς τρίχες. παρὰ τὸ εἰλεῖσθαι. ὡς ἐξ ἐναντίας αἱ ἁπλαῖ τετανὲς λέγονται. παρὰ τὸ τετάνθαι. οὐλὴ δὲ βαρύνεται. καὶ τὸ ἀρσενικὸν αὐτοῦ. καὶ μήποτε ἀναγκαία ἡ παρὰ τῷ ποιητῇ ἀνάγνωσις πρὸς τὴν κοινὴν συνήθειαν, εἴγε ὀξύνεται τὸ ὄνομα λεγόμενον οὐλὸς ἄνθρωπος καὶ οὐλίκομη. οὔλιον δέ. τὰ γὰρ εἰς λος λήγοντα δισύλλαβα, μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον, παραληγόμενα δὲ τῷ ο, ἤτοι μόνῳ ἢ μεθ' ἑτέρου φωνήεντος, βαρύνεται. πόλος. στόλος. κοῖλος. δοῦλος. προσέθηκε δὲ μὴ ἔχοντα σύμφωνον, διὰ τὸ μοχλός. τὸ μέντοι θολός, ὀξυνόμενον, πρὸς ἀντιδιαστολήν ἐστιν.

Οὐλή, τὸ ὑγιανθὲν τραῦμα. παρὰ τὸ οὐλῶ τὸ ὑγιαίνω. Οὖλέ τε καὶ μέγα χαῖρε. οἱονεὶ ἡ τὴν ὅλην ἀναλαβοῦσα σάρκα. ὁ δὲ ἡρωδιανός, παρὰ τὸ εἴλω τὸ συστρέφω γίνεται οὐλὴ ἡ συνεστραμμένη σάρξ. τὸ γὰρ ἐναντίον, ἀπὸ τοῦ διελκῦσαι ἕλκος λέγεται. ἢ οὐλὴ ἡ σῶα γενομένη σάρξ παρὰ τὸ ὅλον ὅλη καὶ οὐλή.

Οὔλιος ἀστήρ, ἰλιάδος λ. οὕτω γράφεται καὶ οὐχὶ αὔλιος ὥς τινες. ἵνα σημαίνῃ τὸν φθοροποιὸν κύνα καὶ λαμπρότατον. αὔλιος δὲ ὁ ἕσπερος, ὅτε εἰς ἀνάπαυσιν ἄγων τὰ ζῶα. ἀλυπός τις ὤν. ἴσως δὲ καὶ οὐ τὸν κύνα λέγει, ἀλλ᾽ ἕνα τῶν κομητῶν. διὸ καὶ φθοροποιός, ὁ φθορὰν προμηνύων. παρὰ τὸ οὖλος ὃ σημαίνει τὸν ὀλέθριον, γίνεται οὔλιος.

Οὖλον, ἡ συνέχουσα τοὺς ὀδόντας σάρξ. ὠνόμασται δὲ διὰ τὸ τρυφερόν. οὖλον γὰρ τὸ ἁπαλόν. οἷον, Οὔλας ἢ κεινόμας. ἢ παρὰ τὸ εἰλεῖσθαι περὶ τοὺς ὀδόντας. τούτῳ γάρ τινι τειχῶν τάξιν ἐπέχει εἰς διακράτησιν τῶν ὀδόντων. ἢ παρὰ τὸ οὐλὴν ἔχειν. ἐκ τῆς γινομένης διανοίξεως τῶν φυομένων ὀδόντων.

Οὐλομένην, Οὐλομένην μῆνιν. σημαίνει τὴν ὀλεθρίαν. ἀπὸ τοῦ οὐλόμενος. ἢ ἀπὸ τοῦ οὖλος ὁ ὀλέθριος, γίνεται οὐλῶ οὐλήσω. μετοχὴν δὲ εἶπεν ἀντὶ ὀνόματος. ἀλλὰ καὶ ἡσίοδος ἔλαβε τὴν χρῆσιν. οὐλομένην πενίην τ᾽ ἀπὼν. ἢ ἀπὸ τοῦ ὀλῶ ὀλέσω. ἡ παθητικὴ μετοχὴ τοῦ θηλυκοῦ ὀλομένη. καὶ ὑπερθέσει οὐλομένη. ἢ ἀπὸ τοῦ ὀλῶ τὸ ἀπολύω. καὶ πλεονασμῷ τοῦ υ. καὶ ἔστι μετοχὴ ἀντὶ ἐπιθετικοῦ ὀνόματος τοῦ ὀλοή. ὡς καὶ τὸ ἐναντίον ἐστὶν εὑρεῖν ὄνομα ἀντὶ μετοχῆς. ψάμμῳ κυανέῃ, ἀντὶ τοῦ κυανίζουσα.

Οὐλοχύτας προυβάλοντο. κριθαὶ εἰσι μετὰ ἁλῶν μεμιγμέναι. ἃς ἐπέχεον τοῖς ἱερουργουμένοις ζώοις πρὸς τὸ θύεσθαι. ἤτοι πολυπληθίας χάριν, ἢ μνήμην ποιούμενοι τῆς ἀρχαίας βρώσεως. πρὶν ἢ γὰρ μάθωσιν οἱ ἄνθρωποι ἀλεῖν τὸν δημητριακὸν καρπόν, οὕτω σώας αὐτὰς ἤσθιον. ὅθεν ὅλας αὐτάς φησιν ὁ ποιητής. ἐκ τοῦ ὅλος, πλεονασμῷ τοῦ υ, γίνεται οὖλος δηλονότι, ὁ ὁλόκληρος. καὶ θηλυκῶς οὐλή, ἐπὶ τῶν κριθῶν. λοιπὸν ἐκ τοῦ οὐλὴ καὶ τοῦ χύω, γίνεται οὐλοχύτης. πρὸ τοῦ γὰρ εὑρεθῆναι τὸν δημητριακὸν σῖτον, ὁλοκλήροις τὰς κριθὰς ἤσθιον.

Οὐμός. ὅτι ἀπολλώνιός φησιν ἐν τοῖς πνεύμασι τὴν δασεῖαν ἐπικρατεῖν. ὁ ἐμὸς οὑμός. ἃ ἔπαθον, ἅπαθον. καὶ ὅτι φησὶ τὸ ὦ πολὸς δασύνομεν καὶ ψιλοῦμεν συναλείφεται.

Οὕνεκα, σύνδεσμος αἰτιολογικός, σχήματος ἁπλοῦ. ἔχει δὲ ἔμφασιν σύνθετον. ἀντὶ τοῦ οὗτινος ἕνεκα. ἀλλὰ κανών ἐστιν ὁ λέγων τὰ ἐν ἀνταποδόσει τούτοις παραλαμβανόμενα, ἁπλᾶ καθεστήκασιν. οἷον, τέως ἕως τόσος, ὅσος. τὸ οὖν ἕνεκα, ἐν ἀνταποδόσει τούτου παραλαμβανόμενον, λέγεται τοὔνεκα. τούτου χάριν ἐν ἁπλότητι καθεστήκασι. τὸ δὲ τοὔνεκα, σύνδεσμος ἀνταποδοτικός.

Οὔπω, ἐπίρρημα ἀρνήσεως. συντέθηκε ἐκ τοῦ οὐ ἀρνητικοῦ, καὶ τοῦ πω παραπληρωματικοῦ συνδέσμου.

Οὖπις, ἐπίθετον ἀρτέμιδος. ἢ παρὰ τὸ ὀπίζεσθαι τὰς τικτούσας αὐτήν, ἢ παρὰ τὴν θρέψασαν αὐτὴν οὖπιν. ἢ διὰ τὰς ὑπερβορέας κόρας. οὖπιν. ἑκαέργην. λοξώ, ἃς ἐτίμησαν ἀπόλλων καὶ ἄρτεμις. καὶ ἀπὸ μὲν τῆς οὔπιδος, ἡ ἄρτεμις οὖπις. λοξίας δέ, καὶ ἑκάεργος ἀπὸ τῶν ἄλλων.

Οὐράδιον, εἰς τὸ γράδιον.

Οὐρά. κυρίως οὐρὰ λέγεται ἐπὶ τοῦ λέοντος. παρὰ τὸ ὀρῶ τὸ διεγείρω καὶ ὁρμῶ. παρορμητικὴ τίς οὖσα ὥς φησιν ὅμηρος. Οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν μαστίζεται, ἑὲ δ᾽ αὐτὸν ἐποτρύνει μαχέσασθαι. ὀρὰ οὖν καὶ πλεονασμῷ τοῦ υ, οὐρά.

Οὐρανός, παρὰ τὸ ὁρῶ τὸ βλέπω. ὁ πάσιν ὁρώμενος, ἤτοι φαινόμενος. ἢ παρὰ τὸ οὐρῶ τὸ φυλάττω, ὁ πάντα περιέπων ὥς φησιν ἡσίοδος. Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ οὐρανὸν ἀστερόεντα, ἵνα μιν περὶ πάντα καλύπτοι. ὁ δ᾽ ἡρακλείδης, οὐρανόν φησι καὶ τὸν φύλακα τὸν ἐν τοῖς ἀγροῖς. οὖροι γάρ φησιν οἱ φυλάσσοντες τὸ ἴδιον ἀπὸ τοῦ ἀλλοτρίου.

Οὐρανίσκος, ἢ ἡ ὅρασις ἄνω, ἢ ὁ ὁρώμενος ἄνω. ἢ ὅτι ὀροφή ἐστιν ἄνω. ὑποκοριστικὸν ἐπὶ τοῦ σωματικοῦ μέρους. οἱονεὶ ὁ μικρὸς οὐρανός. ὅτι μετεωρότατός ἐστι τῆς εὐρυχωρίας οὗτος ὁ τόπος. ἀπὸ μεταφορᾶς τοῦ ἐν ὅλῳ τῷ κόσμῳ οὐρανοῦ.

Οὖρος, σημαίνει τέσσαρα. τὸν φύλακα. ὥσπερ τό, Οὖρος ἀχαιῶν. διὰ τὸν νέστορα. ἰλιάδος θ. καὶ γίνεται παρὰ τὸ οὐρῶ τὸ φυλάσσω, ὁ ἐπὶ τῶν ὁρίων τεταγμένος καὶ προορῶν. λέγεται οὖρος καὶ ὁ φορὸς ἄνεμος. ἰλιάδος α, Τοῖσιν δ᾽ ἴκμενον οὖρον ἵει. παρὰ τὸ ὀροῦσαι καὶ ὁρμῆς αἴτιον εἶναι. λέγεται δὲ καὶ ὁ εὐθυντήρ. καὶ ἡ διὰ θαλάσσης ὁδός. σημαίνει καὶ τοὺς τόπους ἐν οἷς ἕλκονται αἱ νῆες. ἰλιάδος β. Οὐρούς τ᾽ ἐξεκάθηρον. καὶ γίνεται παρὰ τὸ ὀρούω ὀρούσω. ἀποβολῇ τοῦ ω καὶ πλεονασμῷ τοῦ υ, οὐροί. δι᾽ αὐτοῦ γὰρ ἐγείρονται καὶ καθέλκονται αἱ νῆες εἰς τὴν θάλασσαν. σημαίνει δὲ καὶ τὸν ὅρον τῆς γῆς. ὥσπερ τό, Ἀμφ᾽ οὔροισι δηρίσοντε. καί, Ἔμμεναι οὖρον ἀρούρης. λέγεται δὲ οὐδετέρως καὶ οὖρα τὰ ὅρια, ὥσπερ τό, Ὅσσον ἐπὶ οὖρα πέλονται ἡμιόνων. καί, Ὅσσα δὲ δίσκου οὖρα.

Οὐριοδρομήσαντες. ἐπὶ φορῷ ἀνέμῳ πλεύσαντες.

Οὐσία, παρὰ τὸ ἰσοσία. τροπῇ τοῦ ι εἰς υ καὶ πλεονασμῷ τοῦ ο οὐσία. ζήτει εἰς τὸ ἐούσης.

Οὖσα, τὰ σχοινία οἷς φέρεται ἡ ναῦς. παρὰ τὸ οἴσω τὸ κομίσω. ὅθεν οὐδὲ τεροινοῖσον. καὶ τροπῇ τοῦ ι εἰς υ, οὖσον. παραλυκόφρονι. οὐκ ἄρα πλεονασμός, ἀλλὰ παραγωγή.

Οὐτάμε τυδέως υἱός, ἀντὶ τοῦ ἔτρωσέ με. ἀπὸ τοῦ οὐτάζω. ὁ μέλλων, οὐτάσω. ὁ ἀόριστος, οὔτασα. οὔτασε. καὶ κατὰ συγκοπήν, οὖτα.

Οὐτάμενοι παρὰ τὸ οὐτῶ περισπώμενον γίνεται παράγωγον εἰς μι οὔτημι. ἀφ᾽ οὗ ἀπαρέμφατον οὐτάναι καὶ οὐτάμεν. ἀπὸ τοῦ οὐτάμεναι ὃ δηλοῖ τὸ τρῶσαι. τὸ παθητικόν, οὔταμαι. ἡ μετοχή, οὐτάμενος. ἢ παρὰ τὸ οὐτάζω. ὁ παθητικὸς παρακείμενος, οὔτασμαι. οὐτάσμενος καὶ ἀποβολῇ τοῦ σ, οὐτάμενος. προπαροξύνεται δὲ ὑπὸ ἀρισάρχου διὰ τὸν χαρακτῆρα. ἐπειδὴ αἱ τοιαῦται μετοχαὶ προπαροξύνονται, ἱστάμενος κιχράμενος. ὁ γὰρ ποιητὴς τῷ χαρακτῆρι μᾶλλον τοὺς τόνους προσνέμει. ἢ ὅτι καὶ ἡ ἀφαίρεσις τοῦ σ ἀναδρομὴν ἀπεργάζεται τοῦ τόνου. εἰς τὸ ἐληλάμενος.

Οὐτιδανός, οὐδενὸς λόγου ἄξιος ἐλάχιστος. ἐκ τῆς οὐ ἀρνήσεως, καὶ τοῦ τὶς ὃ δηλοῖ τὸ οὐδεὶς γίνεται οὖτις. ἡ γενικὴ οὔτινος, οὐτιδανός. καὶ πλεονασμῷ τοῦ δ. διὸ εἰσὶ σύνθετα εἴδους, οὐτιδανὸς οὐτιδανὴ καὶ μηδαμηνὸς μηδαμηνή. καὶ τὸ μὲν γίνεται παρὰ τὸ οὖτις οὔτιδος. τὸ δὲ παρὰ τὸ μηδαμός. διὸ ἀπολογούμεθα ὑπὲρ αὐτῶν, ὅτι παρασύνθετά εἰσι, καὶ διὰ τοῦτο καὶ τὰ θηλυκὰ ἐν ἄλλα ἐξ ἑτέρου εἰσὶ διὸ, τὰ γὰρ κοινὰ τῶν γενῶν σύνθετά εἰσιν.

Οὔτις. τὸ οὐ ἐπίρρημα. τὸ τὶς ἀόριστον. τὸ δὲ οὖτις ἐπὶ τοῦ ὀδυσσέως ἀντὶ ὀνόματος κυρίου λαμβάνεται. καὶ ἔστιν ἓν μέρος λόγου, καὶ προπερισπᾶται. τὸ δέ, Ἀλλ᾽ οὔτιν δύναμαι ἰδέειν, κατὰ συγκοπὴν ἐστὶν ἀπὸ τοῦ οὔτινα. ἐπλανήθη δὲ ὁ ζηνόδοτος ὁμήρου, οἷον, Οὖτιν δέ με κικλήσκουσιν, ἐπεὶ οὕτω κέκληται. παρέλαβε δὲ αὐτὸ ὡς κύριον, οὔτιν ὡς πάριν. ὁ δὲ γεωργὸς ὤηθη τὸ οὔτινα οὔτιν. εἰ γὰρ οὖν διὸ μέρη λόγου ἦν, οὔτινα ἐγίνετο. περὶ παθῶν.

Οὗτος, ἀντωνυμία μονοπρόσωπος. τὸ δὲ δεικτικόν, οὑτοσί. τὸ γὰρ οὑτοσί, ἐκεινοσί καὶ ὁ δὶ, γίνεται κατ᾽ ἐπέκτασιν τοῦ ι, πρὸς ἔμφασιν πλείονος δείξεως. ἡ δὲ αὐτὸς στερηθεῖσα τῆς δείξεως, ἐστέρηται καὶ τῆς διὰ τοῦ ι ἐπεκτάσεως, οὗτος. καὶ ἡ κλητικὴ ὦ οὗτος ἀττικῶς. ὁμοίως καὶ τὸ ἐκεῖνος. ἡ δὲ αὐτὸς, κλητικὴν οὐκ ἔχει. ἡ γὰρ οὗτος καὶ ἡ ἐκεῖνος ἀντωνυμίαι, δεικτικαί εἰσιν. ἡ δὲ αὐτὸς, ἀναφορὰν δηλοῖ. ἐναντία δὲ ἡ δεῖξις τῆς ἀναφορᾶς. τὸ οὑτοσί, παραγωγὴ ἀντωνυμίας, καὶ πλεονασμός. αἱ γὰρ αὗται ἀντωνυμίαι ἐπεκτείνονται, καὶ οὐ πλεονάζουσιν.

Οὕτω, ἐπίρρημα μεσότητος. οὐκ ἔστι γὰρ ἀπὸ τῆς γενικῆς σεσημειωμένον, ἀλλ᾽ ἀπὸ εὐθείας γίνεται. εἰ γὰρ ἀπὸ τῆς γενικῆς, ὤφειλεν εἶναι τούτως ἐκ τοῦ εἰπεῖν καὶ τὸ ντέχνικόν, τὸ δὲ ὡς, ὀξύνεται, ἐπεὶ ἀπὸ τοῦ ὃς γέγονε. καὶ τὰ ὅμοια. καὶ ὅτε μὲν ἐπιφέρεται σύμφωνον, ἐκφέρεται τὸ ς. ὅτε δὲ φωνῆεν, φυλάττει τὸ ς. ἔστι δὲ τὸ οὕτως, ἀναλογώτερον τοῦ οὕτω. ἐπειδὴ τὰ ἀπὸ γενικῶν ὀνομάτων γινόμενα μεσότητος ἐπιρρήματα, εἰς ως λήγει ὑποφείλει. ὅταν δὲ μὴ ὑπάρχει γενική, εἰς ω λήγει. κύκλος, κύκλῳ. ἰδωμένου οὖν εἰς τὸ τρεῖς γενικαὶ. οὗτος. οὗτοι. αὗται, ταῦτα οὕτως ἄρα τὸ ἀνάλογον. τὸ δὲ οὕτω, κατὰ τὸ ἔλλειψιν.

Ὀφέλες, ῥῆμά ἐστι κατὰ παντὸς ἀριθμοῦ φερόμενον. γίνεται καὶ μέγα καὶ μικρόν. καλλίμαχος δέ, ἐπίρρημα εὐκτικόν. Ὀφέλε μηδ᾽ ἐγένοντο θοαὶ νῆες.

Ὄφελον. κανών ἐστιν ὁ λέγων, ὅτι τὸ ὄφελον ἀδιάπτωτόν ἐστι. καὶ ἀπαρεμφάτως συντάσσεται καὶ οὐκ ἄλλῃ τινὶ ἐγκλίσει. σημαίνει δύο. ἔστι γὰρ εὐχῆς σημαντικόν, καὶ ῥῆμα.

Ὄφελος, ἄκλιτόν ἐστι. τὰ γὰρ διὰ τοῦ ελος ὑπερδισύλλαβα, οὐκ εἰσὶν οὐδέτερα. τὰ γὰρ διὰ τοῦ ελος οὐδέτερα, δισύλλαβά εἰσι. τοῦτο οὖν ὡς μὴ ἔχον τι μιμήσασθαι.

Ὀφέλλω, σημαίνει τὸ αὔξω. διαβάλλω ἔμπαλιν ἄκλιτον. ἐκ τοῦ πλεονασμοῦ τοῦ ι, γίνεται ὀφείλω. ὅθεν καὶ ὀφείλημα, τὸ αὐξανόμενον ἐν τῷ τόκῳ δάνειον.

Ὀφελτεύω. Ὀφελτεύουσι κοσμοῦσι πέδον. λυκόφρων. σημαίνει τὸ καλλύνουσιν.

Ὀφλή, σημαίνει τὸ χρέος. γίνεται παρὰ τὸ ὀφείλω. σπανίως δὲ εὕρηται ἐν χρήσει. εὑρίσκεται δὲ παρὰ ξενοφῶντι. ἐν τοῖς περὶ πόρων.

Ὄφις, παρὰ τὸ ὄπτω τὸ βλέπω. ὀπτικὸν γάρ. ὅτι κοιμώμενος, ἀνεῳγμένους ἔχει τοὺς ὦπας. ἢ παρὰ τὸ ἰός. ἐν ὑπερθέσει, οἶς. καὶ πλεονασμῷ τοῦ φ. ὡς δὲ παρὰ τὸ φύσις, γίνεται φυσικός, μάντις μαντικός, οὕτως ὄφις ὀφικός, καὶ ὀφιακὸς κατὰ πλεονασμὸν τοῦ α. συνεξηκολούθησε γὰρ τῷ θηριακός.

Ὀφλῶ, σημαίνει τὸ χρεωστῶ. καὶ γίνεται κατὰ συγκοπὴν ἀπὸ τοῦ ὀφείλω. ὅθεν καὶ βαρύνεται. ὀφλεῖν, ὀφείλειν ἐκ κατὰ δίκης χρεωστεῖν.

Ὀφθαλμοί, ὄνομα προσηγορικόν. γίνεται παρὰ τὸ ὄπτω καὶ θάλλομαι τὸ πηδῶ ὀπταλμὸς καὶ ὀφθαλμός, διὰ τὸ ἅλλεσθαι τὸ ὁρατικόν. ἢ ἀπὸ τοῦ περιέχειν ἅπαντα ὀφθῆναι. ἢ ὀφθαλμοί τινες κατὰ τροπὴν τοῦ ν εἰς λ τὸ μ. ἐξ ὧν ἐναλλεῖ ἡ ὄψις. ἢ ὀπτῶν θάλαμοι ὄντες κατὰ συγκοπήν, καὶ τροπῇ τοῦ π εἰς φ. ἡ ὅρασις θολουμένη ὁμῶς, τουτέστι χαλεπῶς.

Ὄφρα. τὰ ἐπιρρήματα συνεμπεσόντα συνδέσμοις, οὕτως διακρίνονται. εἰ μὲν ὑποτακτικὸν ἐπιφέρεται, σύνδεσμός ἐστιν ἀντὶ τοῦ ὅπως. ὥσπερ τό, Ὄφρα καὶ οὐκ ἐθέλει. ἰλιάδος β. εἰ δὲ ὁριστικὸν ἐπιφέρεται, ἔστιν ἐπίρρημα. ὥσπερ τό, Ὄφρα μὲν ἠὼς ἦν. ἀντὶ τοῦ, ἕως ἰλιάδος θ.

Ὀφρῦς παρὰ τὸ φέρω φορῦς. καὶ ἐν ὑπερθέσει, ὀφρῦς. ἢ ἀπὸ τοῦ φέρω συγκοπῇ, φῶ, φῦς καὶ ὀφρῦς. ὁ δὲ ἡρωδιανός παρὰ τὸ ὀρῶ ὀρῦς, πλεονασμῷ τοῦ φ. οἱ δέ, παρὰ τὸ ὄπτω, ὦφα, ὀφῦς καὶ ὀφρῦς πλεονασμῷ τοῦ ρ. ἢ ὠπορύες, ἢ μᾶλλον ὠποφρύες τινὲς οὖσαι, οἳ τοὺς ὦπας ἢ τὰ ὄμματα φρουροῦσαι. ἀπό τε τῶν ὄμβρων καὶ τῶν καταφερομένων ἱδρώτων. ὡς μὴ ἐπ᾽ αὐτοὺς φέρεσθαι. ἢ ὠποφύες τινὲς οὖσαι κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ ρ, αἱ ἐπὶ τῶν ὠπῶν φυόμεναι. ἢ ὠπορόφυες τινὲς οὖσαι οἱ ὄροφοι τῶν ὠπῶν. δηλοῖ δὲ ἡ λέξις, καὶ τὴν προβολὴν ὁτουδήποτε τόπου καὶ τῶν ὀρέων καὶ τῶν ὄψεων ἡμῶν. ἢ κατὰ τὸν ὅρον ἡμῶν τῶν ὄψεων.

Ὀφρυάζειν, λέγεται τὸ ταῖς ὀφρύσι νεύειν. ἀπὸ τῆς ὀφρῦς ὀφρυάζω.

Ὀχ᾽ ἄριστος, σημαίνει τὸν ἔξοχον, ἢ ἐξόχως ἄριστον. γίνεται ἀπὸ τοῦ ἐξέχω, ἔξοχος. τὸ οὐδέτερον, ἔξοχον ἢ εὐθεῖα τῶν πληθυντικῶν, ἔξοχα. καὶ ἀφαιρέσει τῆς ἐξ

προθέσεως, ὄχα. ἔστι δὲ ἔπος ὀνοματικόν.

Ὀφθαλμιῶν, ἀντὶ τοῦ ὁρῶντες ζηλοῦσι καὶ ἐπιθυμοῦσιν τῶν ἄλλων.

Ὀχεπράνια, τὰ κηλώνεια, ἢ ἐκ χύσεως αἴλε γόμεναι τὸ μηχάνημα τοῦτο. εἰσὶ δὲ αὗται ξύλιναι ἢ κεραμαῖαι. οἱ δὲ φασὶ τοῖς ὑπονόμοις καὶ τοῖς ὑπὸ τὴν γῆν ὀχετοῖς.

Ὀχεύς, ὁ δεσμὸς καὶ ὁ λώρος δι' οὗ ἀποκρέμαται ἡ κασσίς. παρὰ τὸ ἔχω ὃ σημαίνει τὸ κρατῶ, ἔχανον καὶ ὀχανον.

Ὀχεύς, ὁ συνέχων καὶ συσφίγγων τὴν περικεφαλαίαν ἱμάς. ἀπὸ τοῦ συνέχειν. παρὰ τὸ ἔχω ὀχεύς. σημαίνει δὲ καὶ τὸν τῆς θύρας μοχλόν, ἀπὸ τῆς αὐτῆς ἐννοίας. λέγουσι δὲ καὶ ζωστῆρος ὀχῆας, τὴν τοῦ θώρακος ζώνην.

Ὄχεσφιν. διγινώσκεται ὅτι τὸ ὄχεσφιν, καὶ ὄρεσφιν, ὁ μὲν δίδυμος λέγεται γεγονέναι ἀπὸ τῆς ὄχεσι καὶ ὄρεσι δοτικῆς τῶν πληθυντικῶν, κατ' ἐπένθεσιν τοῦ φ. ὁ δὲ τρύφων ἐναντιοῦται αὐτῷ λέγων, ὅτι οὐ δύναται ἀπὸ δοτικῆς γενέσθαι, ἐπειδὴ γενικῆς σημαίνουσιν ἐπέχουσι. ὅτι δὲ κατὰ τὸ ὄρεσφιν, ἀντὶ τοῦ ἐκ τοῦ ὄρους, καὶ τὸ ὄχεσφιν, ἀντὶ τοῦ ἐκ τοῦ ἅρματος σχηματίζεται οὕτως ὥσπερ ἀπὸ τοῦ θεόφαντον γίνεται θέσφατον, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τῆς ὄρεος καὶ ὄχεος γενικῆς, γίνεται ὄρεσφι. καὶ κατὰ συγκοπὴν τοῦ ο, καὶ πλεονασμῷ τῆς φι συλλαβῆς. οὕτως ἡρωδιανός.

Ὄχος, ἀντὶ τοῦ ὄχημα. ἢ καὶ τὸ ἔπος εἰς ὀχεῖα νέπι τηχος, σημαίνει τὸ ἅρμα. καὶ γίνεται ἐκ τοῦ ἔχω τὸ ἐλαύνω. [...]ἔδος. ἐξ αὐτοῦ ῥῆμα ὀχῶ ὀχήσω. ὅθεν ὄνομα ῥηματικόν, ὀχή.

Ὄχθαι, τὰ χείλη τοῦ ποταμοῦ [...]μα. σημαίνει δὲ τὸ ῥεῦμα. τὰ ἐξέχοντα. παρὰ τὸ ἔχω ὄχος. τὸ θηλυκόν, ὀχή. καὶ πλεονασμῷ τοῦ θ, ὄχθη. σημαίνει καὶ τὸ ἀνάστημα τῆς γῆς. ὥστε τό, Λύτ' ἄρ' ὅ δ' ἰογενὴς δρυμένῳ λίπεν αὐτοῦ ἐπ' ὄχθη. εἴρηται δὲ ἀπὸ τοῦ ἐξέχειν.

Ὀχθοβος. τὸ λῶμα τὸ γυναικεῖον, ὑπὸ ἀττικῶν ὄχθοβος.

Ὀχθήσας, δεινοπαθήσας στενάξας. παρὰ τὸ [...]λέγεται. ἄχθω βαρύτονον. ἀφ' οὗ περισπώμενον, ἀχθῶ. καὶ ὀχθήσας κατὰ τροπὴν τοῦ α εἰς ο. σημαίνει δὲ καὶ τὸ μετεωρισθεὶς τὴν ψυχὴν ἀπὸ τῶν ὄχθων, οἱ ἀναστήματά εἰσι τῶν ποταμῶν.

Ὄχλος, παρὰ τὸ χλῶ ῥῆμα, ὃ σημαίνει κατ' ἐπένθεσιν τοῦ ο, ὄχλος. ὅθεν καὶ τὸ παρὰ πινδάρῳ ἐν ὀλυμπιονίκῃ. Τριπλόος ὀκχλαδῶς, ἀντὶ ὁ πληθύων. ὁ δὲ ἡρωδιανός, παρὰ τὸ ἔλλω τὸ συστρέφω. πλεονασμῷ τοῦ χ, ἔχλω. ἀφ' οὗ ῥηματικὸν ὄνομα ὄχλος, ὁ συνεστραμμένος.

Ὀχλίζω, σημαίνει τὸ κινῶ. ἔνθεν καὶ μοχλός, ὁ μὴ [...]λαός. ἐὰν κινεῖσθαι τὰς θύρας. ὄχλος δὲ σημαίνει τὸ ὄχλησιν καὶ

Ὀχμάζω, σημαίνει τὸ κατέχω. ἐκ τοῦ ἔχω τὸ κα[...] τὸ πλῆθος. τέχω. παράγωγον ἐχάζω. ὡς κύπτω κυπτάζω. προσθήκῃ τοῦ μ καὶ τροπῇ τοῦ βραχέος εἰς βραχύ. ἢ ἐκ τοῦ ἔχω ὀχμὸς ὀχμάζω, ὡς πλέκω πλοχμός. ἢ ἔστιν ἔχω τὸ κρατῶ. ὀχμάζω, ἕξω. ὁ παθητικὸς παρακείμενος, ἔσγμαι. ἐξ αὐτοῦ ὄνομα, ὀχμὰς ὀχμάδος. καὶ ἐκ τοῦ ὀχμάζω ὁ μέλλων, ὀχμάσω. ὁ ἀόριστος, ὤχμασα. ἡ μετοχή, ὁ χμάσας. σημαίνει δὲ τὸ κρατήσας καὶ κόψας.

Ὄχνη, ἡ ἄχρας. ἔστι δὲ εἶδος φυτοῦ. οἱονεὶ ἀχόνητις οὖσα διὰ τὸ μὴ ποτίζεσθαι, ἄχνη καὶ ὄχνη κατὰ πλεονασμόν. ἢ παρὰ τὸ ἄγειν ὥσπερ βραχεῖα οὖσα. ἔστι δὲ καὶ ἄλλη ἑτέρα ἥτις καὶ ἄπιος καλεῖται. οἱονεί, ἡ ἥκιστα πίνουσα.

Ὀψίς, ὡς μὲν ποσειδώνιος, παρὰ τὸ ἅπτω ἅψω ἁψίς τις οὖσα, ἡ φῶς ἐμποιοῦσα καὶ καταυγάζουσα τῶν ὑποκειμένων ἕκαστα ὡς πῦρ. ὡς δέ τινες παρὰ τὸ ἅπτω τὸ συνάπτω ἁψὶς καὶ ὀψίς. ἡ διὰ τῶν ὁρατῶν ψαῦσιν ποιουμένη πρὸς κατανόησιν. ἢ παρὰ τὸ ὄψομαι μέλλοντα.

Ὀψία, οἱονεὶ ἑψία τις οὖσα. παρὰ τὸ ἕπω ἕψω τὸ ἀκολουθῶ. ἡ ὀπισθενίουσα καὶ ἐπακολουθοῦσα ἀπὸ τῶν ἔργων. ὅθεν καὶ πρωΐα, τὸ ἐναντίον κατάστημα.

Ὀψέ, ἐπὶ τῆς ἑσπέρας. παρὰ τὴν ὥραν ἐπὶ τὴν δείλην εἶναι, εἰς τὸ ἀψὶ ἔμεναι οἴκαδε. τροπῇ τοῦ α εἰς ο, ὀψέ. εἴρηται δὲ καὶ ἐπὶ τοῦ βραδὺ καὶ μετὰ πολὺν χρόνον. οἷον, Ὀψὲ δὴ μετέειπε γέρων. ἐκ δὲ τοῦ ὀψέ, γίνεται κατὰ μεταπλασμόν, ὀψὶ βαρύτονον. ταῦτα δὲ εἰς ι λήγοντα ἐπιρρήματα. ζητεῖται εἰς τὸ νόσφι. τὸ δεῦριν. καὶ νυνί, μακρὸν ἔχει τὸ ι. παρὰ τὸ ὀψὶ καὶ τὸ τελεσόν, γίνεται ὀψιτέλεστον. ὡς ἀπὸ τοῦ γόνος ὀψίγονος, καὶ ἀπὸ τοῦ ἔμαθον καὶ τοῦ ὀψὲ ἐπιρρήματος τοῦ σημαίνοντος τὸ βραδύ, ὥσπερ ἐστὶ καὶ τοῦ παραστατικοῦ, γίνεται ὀψιμαθής.

Ὄψον, σημαίνει τὸ προσφάγιον. ἐκ τοῦ ὀπτῶ ὀπτὸν κατὰ τροπὴν τοῦ τ εἰς σ, καὶ κράσει τοῦ π σ εἰς ψ, ὄψον καὶ ὀψάριον, παρὰ τὸ ὄψον αἱρεῖσθαι ἐκ τῆς θαλάσσης καὶ ὥσπερ παρὰ τὸ οἰκία γίνεται οἰκίδιον, καὶ γωνία γωνίδιον, οὕτω καὶ παρὰ τὸ ὀψάριον ὀψαρίδιον.

Ὀψείοντες, εἰς τὸ κακκείοντες. ὅτι δὲ ὄψεσθε ῥωδέως καὶ ῥωάδες ἔκτρα, ἐνεστῶτα εἶναι φησὶν ἡρωδιανός, ἀπὸ τοῦ ὀψομαι γινόμενον μέλλοντος. οὐ γὰρ μαντεύεται αὐτός φησιν, ἀλλ' ἀντὶ τοῦ ἴδετε. καὶ πάλιν, Ἀλλ' ὄψεσθε ἔνιν. οὐκ ἔστι δὲ οὕτως, ἀλλὰ μᾶλλον μέλλοντός ἐστιν ἡ σημασία. οὐ γὰρ ποιοῦσι καὶ ὁρῶσι τὸ ἔκτρα λέγει ἡ κασσάνδρα. ὄψεσθε γάρ φησι προσιόντες, ὥστε εἰς θέαν αὐτοὺς προσκαλεῖ. ὥστε τό, Ἀλλ' ὄψεσθ' ἵνα τάγε καθεύδετεν. προσκαλεῖται τοὺς θεοὺς εἰς θέαν. ὡς ἂν εἴ τις λέγῃ, δεῦτε καὶ ἀκούσεσθε. δεῦτε καὶ ὄψεσθε. ἢ ὅτι οὐδὲ τὸ ψ ἐστὶ χαρακτηριστικὸν τοῦ ἐνεστῶτος. οὐκ ἄρα ἐστὶν ἐνεστώς, ἀλλὰ μέσος ἀόριστος πρῶτος ὄψαι ὀψάσθω, ὄψασθε ὀψάσθωσαν. οὕτω ζηνόδοτος:~

ΤΕΛΟΣ ΤΟΥ Ο
ΣΤΟΙΧΕΙΟΥ ~

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ Π
ΣΤΟΙΧΕΙΟΥ ~

Πιτυοῖχον, παρὰ τὸ παίω ὁ γὰρ τοῦ τοιούτου φθόγγος, ὥσπερ παίοντος καὶ κρούοντος ἦχος ἐστί.

Πάα. τὸ πᾶα ὥς λέγει ἡρωδιανὸς περὶ παθῶν, ἀπὸ τοῦ πᾶσα γίνεται.

Παγασαῖος λέγεται ὁ ἀπόλλων ἀπὸ παγάσης. ἔστι δὲ τόπος τῆς θεσσαλίας καὶ πόλις. παρὰ τὸ ἐκεῖ τὴν ἀργὼ πεπῆχθαι. ἡσίοδος ἐν ἀσπίδι Παγασαῖος ἀλσος καὶ βωμὸς ἀπόλλωνος παγασαίου.

Παγίς. παρὰ τὸ πήσω τὸ πηγνύω πηγὶς καὶ παγίς. λέγεται καὶ πάγη δίκτυον ἢ θηρατικὸν ὄργανον τετράγωνον.

Παγιωθείς, ἑδραιωθείς. βεβαιωθεὶς ἀπὸ τοῦ παγιῶ. τοῦτο παρὰ τὸ πάγιος. τοῦτο παρὰ τὸ πήσω πήξω. ὅθεν καὶ τὸ ἔπαγην. καὶ ἡ μετοχὴ παγείς. ἐκ τοῦ ἐπάγου γίνεται πάγιος, ὁ πεπηγμένος.

Πάγουροι, οἱ καρκίνοι. παρὰ τὸ οὐρεῖν καὶ φυλάττεσθαι ἐν τοῖς πάγοις. πάγοι δέ εἰσιν οἱ κρημνώδεις τόποι, παρὰ τὸ πεπῆχθαι εἰς ὕψος. καταστρέφει δὲ εἰς τὸ διατρίβειν ἐν τοῖς πάγοις. ὥστε τό, Δυσκηδέας νύκτας φυλάξω, ἀντὶ τοῦ διατρίψω.

Πάγχυ, τὸ παντελῶς σημαίνει. γίνεται δὲ παρὰ τὸ πάνυ κατὰ πλεονασμὸν τοῦ χ.

Παγκρατιαστής, ἀθλητής. πύκτης. καὶ παγκράτιον [...] ἀγών.

Παλαιός, παρὰ τὸ πάλαι ἐπίρρημα. [...] ἄθλησις. καὶ παλαιὸν παρὰ τὸ ἐκ παλαι εἶναι. τὰ δὲ εἰς αι λήγοντα ἐπιρρήματα ὧν σχετλιαστικά εἰσι τὰ πλείω, διὰ τῆς αι διφθόγγου, γράφεται. παπαί. βαβαί. οὐαί. οὕτως οὖν καὶ πάλαι. τὸ λαι, βραχύ. διατί. ἰστέον γὰρ ὅτι ἡ αι καὶ οι δίφθογγοι ἐν τοῖς εὐκτικοῖς καὶ ἐν τοῖς ἐπιρρήμασι, τελεῖαι λογίζονται μακραί, πλὴν τοῦ πάλαι. ἐξ οὗ καὶ τὸ πρόπαλαι καὶ ἔκπαλαι.

Παλαιφάτου, παλαιφαμένης. ἀντὶ τοῦ τῆς πάλαι τετιμημένης δρυός. ἢ τῆς ἐκ παλαιῶν χρόνων πεφημισμένης. ὡς ἀνθρώπων γυναικῆς οὔσης ὑπαρχούσης. μυθολογεῖται γὰρ ὅτι πάλαι ἄνθρωποι, ἐκ δρυῶν καὶ λίθων ἐγένοντο. οἷον, Οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου.

Παλαίμων. ἐκ τοῦ πάλη ὃ σημαίνει τὴν παλαίστραν γίνεται καὶ τὸ αἵμων. τουτέστιν ὁ ἔμπειρος τῆς παλαιστικῆς.

Παλαίω, παρὰ τὸ πάλλω τὸ σείω. ἢ ἀπὸ τῆς παλάμης.

Παλαιστίνη, ἀπὸ τοῦ πάλαι ἐπιρρήματος.

Παλαιστή, σημαίνει τὴν τῶν τεσσάρων δακτύλων ὁρδινημίαν σύνθεσιν. πελαστή τις οὖσα. ὅτι πέλας συνάγει τὰ ὀστᾶ. τουτέστι πλησίον ποιεῖ τοὺς δακτύλους. παρὰ τὸ πελάζειν οὖν τὰ ὀστᾶ, παλαιστή. ἔστι δὲ τετραδάκτυλον μέτρον. λέγεται καὶ δοχμή, ὅτι πλατεία τῇ χειρὶ μετροῦμεν. ποιεῖ δὲ ἀπὸ τῶν μεγάλων δακτύλων πρὸς τὸ λιχανὸν ἄκρον δακτύλους δέκα. ἡ δὲ σπιθαμή, ἔχει δοχμὰς τρεῖς. οἷον, παλαιστὰς τρεῖς. δακτύλους δὲ δώδεκα. ὡς ἐχούσης τῆς δοχμῆς δακτύλους τέσσαρας. ὁμοίως καὶ τῆς παλαιστῆς. ἀπὸ δὲ τοῦ μικροῦ δακτύλου διϊσταμένων τῶν δακτύλων ἕως τοῦ ἀντίχειρος, λέγεται σπιθαμή, παρὰ τὸ ἀποσπασμὸν ποιεῖν. διὰ τὸν ἀποσπασμὸν τὸν ἀπὸ τοῦ μεγάλου τοῦ ἀντίχειρος, πρὸς τὸ τοῦ μικροῦ ἄκρον. ὡς δὲ χρυσίππος, διὰ τὸ ἀποσπᾶσθαι τὴν ὅλην χεῖρα. καὶ παλαιστὰς ἐν τῷ λη ψαλμῷ ἀντὶ τοῦ μετρητάς. γίνεται ἀπὸ τοῦ παλαιῶ.

Παλάμη, ἐκ τοῦ πάλλω τὸ κινῶ. ὁ παθητικὸς παρακείμενος, πέπαλμαι. καὶ ἐξ αὐτοῦ παλάμη, δι' ἧς ἡ χεὶρ κινεῖται. εἰς τὸ πάλιν πετές.

Παλαμναῖος, ὁ τοὺς αὐτοχειρὶ φονεύσαντας τιμωρούμενος ζεύς παλαμναῖος. λέγεται καὶ ἐν χαλκίδι παλαμναῖος. καὶ ἀσπίς δέ τις τῶν θηρίων παλαμναία καλουμένη. καὶ ὁ ἐχθρὸς δὲ καὶ πολέμιος, παλαμναῖος καλεῖται. ὁ διὰ χειρῶν καταγωνιζόμενος τὴν μάχην παρὰ τὴν παλάμην. παλαμναῖος, φονεύς. ἀντίθετος τῷ θεῷ. μεμιασμένος. πικρός. φόνιος. σοβαρός. παλαμᾶσθαι γὰρ οἱ ἀττικοὶ τὸ διὰ χειρὸς ἐργάζεσθαι. γίνεται πάλαμνος καὶ παλαμναῖος ἐξ αὐτοῦ.

Παγγενῆ, ἐπίρρημα μεσότητος. μετεβλήθη δὲ ἐξ αἰτιατικῆς πτώσεως εἰς ἐπίρρημα. ὁ παγγενὴς τοῦ παγγενοῦς τὸν παγγενῆ. παρὰ τὸ πᾶν καὶ τὸ γένος.

Πάλη, ἀπὸ τῆς παλαίστρας θυγατρὸς πανδόκου οἰκοῦντος ἐν γιόδῳ. καὶ τοὺς καταγομένους παρ' αὐτῷ ἀναιροῦντος. ὃν ἑρμῆς καταχθεὶς ἐφόνευσεν ὑπὸ[...]

παλαίστρας. ἀφ' οὗ καὶ τὰ τῶν ξένων καταγώγια πανδοχεῖα λέγουσιν. ἢ ἀπὸ τῆς κινήσεως ἧς χρῶνται οἱ ἀγωνιζόμενοι. πάλην δὲ μεταφορικῶς ἀπὸ τῶν πυρίνων ἀλεύρων ἢ κριθίνων. οὕτω γὰρ καλοῦσι τὴν διαλυομένην γῆν. καὶ Ὅμηρος, ἐπάλυνεν. διέλυσε, καὶ ἔθρυψε, χαύνην γὰρ αὐτὴν ἀπὸ τῆς χιόνος συμβαίνει γίνεσθαι. ἢ ἀπὸ τοῦ παλαίειν τὸ θηρᾶν τι τῶν τοῦ ἀντιπάλου μερῶν, δι' οὗ δυνήσεται αὐτὸν ἀνατρέψαι. τινὲς δὲ ἀπὸ τοῦ βάλλειν καὶ ὡσανεὶ μεσολαβεῖν, βάλλειν τινὰ οὖσαν. Παλάσσετο δ' αἵματι θώρηξ, Ἰλιάδος ε. ἀντὶ τοῦ ἐμολύνετο. ἐβρέχετο. ἀπὸ τοῦ πάλλω τὸ βρέχω, παλάσσω. ἢ σημαίνει τὸ μολύνω. τὸ δὲ πάλλω, παρὰ τὸ ἄλλω τὸ πηδῶ. ἐν γὰρ τῇ βροχῇ, ἄλλονται τὰ ἐκ τῆς γῆς ὕδατα.

Πάλη, ἢ ἀπὸ τῶν παλμῶν. ἢ ἀπὸ τοῦ πάλλεσθαι τὸ σῶμα, ἢ ἀπὸ τοῦ καταπάσσεσθαι τὸ σῶμα τῇ κόνει.

Πάλιν, σημαίνει δύο. τὸ εἰς τοὐπίσω. ὡς τὸ, Χειρὶ πάλιν ἐρύσατο. καὶ τὸ ἐκ δευτέρου. ὡς τὸ, Οὐδ' ἤκην μιν πάλιν ὀνήσεται θυμός. σημαίνει καὶ τὸ ἐξεναντίας, ὡς τὸ, Οὐ τίς τοι τὸν μῦθον ὀνόσσεται οὐδὲ πάλιν ἐρέει.

Παλίσκιον, τὸ ὑποσκιαζόμενον ὑπὸ ἄλλου.

Παλινάγρετον, παλισύλλεκτον. εἰς τοὐπίσω ληπτόν. ἐξ οὗ ψευδές, ἢ μεταβλητόν.

Παλίνορσος, παρὰ τὸ ὄρω γίνεται ῥηματικὸν ὄνομα ὀρτός, καὶ παλίνορτος. ἔχρην διὰ τοῦ τ γράφεσθαι, οὐχὶ διὰ τοῦ ς. ἴσως ἦν, ὁ πάλιν ὡρμημένος. σημαίνει δὲ τὸ ὀπισθόρμητος. ἐκ τοῦ πάλιν τοῦ σημαίνοντος τὸ εἰς τοὐπίσω, καὶ τοῦ ὄρσω αἰολικοῦ μέλλοντος.

Παλινορμένων, Ἰλιάδος λ. τυραννίων, δύο μέρη λόγου ποιεῖ. ὁ δὲ Ἑρμαππίας, σύνθετον ἐκδέχεται. καὶ Ἀρίσταρχος, ἀντὶ τοῦ ὀπίσω ὁρμῶντες ὡς παλιμπλαγχθέντες καὶ Εὐρυκρείων. σημαίνει δὲ τὸ ὑποστρέψαντες καὶ πάλιν δρομήσαντες. κρεῖττον δὲ τὸ πρῶτον.

Παλινῳδία. ᾠδὴ τῇ προτέρᾳ ἐναντία. ἢ δόγμα ἀνόμοιον τοῖς πρώην. οἷον, Ἀλλὰ παρ' ἀθηνῆ τὰ κατὰ Στησίχορον παλινῳδίαν ᾆσαι.

Παλίωξις. παλίωξις λέγεται ὅταν οἱ διωκόμενοι εἰς τοὐπίσω στραφέντες, τοὺς πρώην διώκοντας ἐλαύνωσι, παρὰ τὸ πάλιν καὶ τὸ δίωξις, παλιίωξις κατὰ ἀποβολὴν τοῦ ν καὶ τοῦ δ. καὶ κράσει τῶν δύο ιι εἰς ι μακρόν, παλίωξις. σημαίνει δὲ τὴν ἐκ δευτέρου δίωξιν καὶ φυγὴν τοῖς ἐναντίοις. ἢ τὴν ἐξ ὑποστροφῆς τῶν φευγόντων δίωξιν. ὅταν οἱ πρότερον φεύγοντες ὕστερον πάλιν αὐτοὶ διώκωσι θαῤῥήσαντες. Ἰλιάδος μ.

Παλιγκάπηλος, ὁ μεταβολεὺς. ὁ τὸ αὐτὸ ἀγοράζων καὶ πωλῶν.

Παλίμφημα, κακὰ ἐναντία.

Παλίλλογα, Ἰλιάδος α. ἀντὶ τοῦ πάλιν σύλλεκτα. ἐκ δευτέρου πάλιν συναγόμενα. παρὰ τὸ πάλιν καὶ τὸ λέγω τὸ συλλέγω, πλεονασμῷ τοῦ λ.

Παλίμβολος, ὁ ἄπρατος καὶ ἀπόδοκιμος. καὶ ὁ πολλάκις τῇ μεταβολῇ ἀπεμπολημένος. ἢ ὁ κατάλληλος καὶ ἄστατος καὶ ἀνάρμοστος. ἢ ὁ πονηρὸς ὁ πολλάκις μεταβαλλόμενος, ὃν Ὅμηρος ἀλλοπρόσαλλον φησί. ἢ ὁ δοῦλος ὁ διὰ πονηρίαν πιπρασκόμενος.

Παλιμπετὲς, τὸ ὀπισθόρμητον. παρὰ τὸ ἐμπάλιν καὶ εἰς τὸ ἐναντίον πεσεῖν. Ἰλιάδος π.

Παλάμη, ἀπὸ τοῦ πάλλειν τὸ κινεῖν καὶ σείειν, ἢ ὅτι δι' αὐτῶν παλαμώμεθα. καὶ τεχνώμεθα. παλάμαι γὰρ αἱ τέχναι παρ' ὅσον δι' αὐτῶν παλαμώμεθα. ἐτυμολογεῖται παρὰ τὸ πολλοὺς ἀμᾶν, ἐξ οὗ καὶ παλαμαῖος. καὶ πλεονασμῷ τοῦ ν, παλαμναῖος. ἢ σημαίνει δὲ τοὺς αὐτοχειρὶ φονεύσαντας τιμωρουμένους, καὶ τὸν ἐπιτιμήματι κατεχόμενον.

Παλιμπλαγχθέντας. δεῖ γινώσκειν ὅτι ἐὰν ἔστιν ἐν συνθέσει ἓν μέρος λόγου, διὰ τοῦ μ γράφεται. εἰ δὲ ἔστιν ἐν παραθέσει, διὰ τοῦ ν. λέγουσι τινὲς ὅτι ἐν παραθέσει μὲν τὰ σημαντικὰ ἐπιῤῥήματα μετὰ τῶν ῥημάτων καὶ τῶν μετοχῶν. ἐν παραθέσει παραλαμβάνεται, οἷον καλῶς γράφω. καλῶς γράφων. μεγάλως γράψας μεγάλως ἔγραψε. τὰ δὲ συσσημαντικὰ, ἐν συνθέσει παραλαμβάνονται. οἷον, ἐστιχῶ, καὶ ἐξ οὗ τὸ ἀχῶμαι μετὰ τοῦ στερητικοῦ α. ὁ γὰρ λυπούμενος, οὐκέστι χωρητικὸς τῆς λύπης. εἰ τοίνυν τὸ πάλιν σημαντικόν ἐστι δηλονότι μετὰ τῆς πλαγχθέντας αἰτιατικῆς ἐν παραθέσει ἐστί. τινὲς δὲ λέγουσιν ὅτι ἐν συνθέσει ἐστί. λέγοντες ὅτι τὸ πάλιν ἐν παραθέσει μὲν ὂν σημαίνει τὸ ἐκ δευτέρου. οἷον, πάλιν ἦλθον, ἀντὶ τοῦ ἐκ δευτέρου. ἐν συνθέσει δὲ ὂν σημαίνει τὸ εἰς τοὐπίσω. οἷον, παλίντονος. ἐὰν οὖν τὸ παλιμπλαγχθέντας λαμβάνηται ἐν παραθέσει, εὑρίσκεται σημαῖνον τὸ ἐκ δευτέρου πλανηθέντας ὅπερ ἐστὶν ἄτοπον. ὁ γὰρ ποιητὴς οὐκ οἶδεν οὐδὲ ἅπαξ τοὺς Ἕλληνας πλανηθέντας. τὴν γὰρ πλάνην τῆς Μυσίας αἴτιον. ἐστὶ δὲ τοῦτο πεῖν ὅτι κακῶς λέγουσιν. οὐδέποτε γὰρ λέξις ἄλλο σημαινόμενον ἔχει ἐν παραθέσει οὖσα, καὶ ἄλλο ἐν συνθέσει. ἀλλὰ πάντως τὸ αὐτό. αἱ γὰρ συνθέσεις, φυλάττουσι λείψανόν τι τῆς σημασίας τοῦ ἁπλοῦ. οἷον, καλῶς γράφω, καλλιγραφῶ. πῶς οὖν δύναται τὸ πάλιν ἄλλο καὶ ἄλλο σημαίνειν. ἄλλως. τὸ πάλιν ἐν τῇ παραθέσει καὶ ἐν τῇ συνθέσει, δύο σημαινόμενα ἔχει. σημαίνει γὰρ καὶ ἐν τῇ παραθέσει καὶ τὸ ἐκ δευτέρου, καὶ τὸ εἰς τὰ ὀπίσω. καὶ ἐν τῇ συνθέσει ὡσαύτως, σημαίνει καὶ τὸ ἐκ δευτέρου καὶ τὸ εἰς τὰ ὀπίσω. λέγουσιν οὖν ὅτι τὸ παλιμπλαγχθέντας ἐν τῇ συνθέσει ἐστί. καὶ γὰρ ὁ ποιητὴς ἔθος ἔχει τὰς συνθέτους λέξεις διαλύειν. οἷον, κηρεσιφορήτους, οὓς κῆρες φορέουσι. Τρωὸς πυκιμήδεος. εἶτα διαλύων τὴν σύνθεσιν, ἐπιφέρει, Πυκινὰ φρεσὶ μήδε' ἐχούσης. εἰ τοίνυν τὸ παλιμπλαγχθέντας διέλυσεν εἰς πὼ ἂψ ἀπονοστήσειν, δῆλον ὅτι ἐν συνθέσει ἐστί.

Παλλάδιον. παλλάδια ἐκάλουν ὥς λέγει Φερεκύδης τὰ βαλλόμενα εἰς γῆν ἐκ τοῦ οὐρανοῦ ἀγάλματα. πάλλειν γὰρ τὸ βάλλειν.

Παλλὰς, ἡ Ἀθηνᾶ. ἢ παρὰ τὸ ἀναπεπάλθαι ἐκ τῆς κεφαλῆς τοῦ Διός. ἢ ὅτι πάλλαντα ἕνα τῶν γιγάντων ἀπέκτεινεν. ἢ παρὰ τὸ ἀεὶ πάλλειν καὶ κραδαίνειν τὸ δόρυ. πολεμικὴ γὰρ ἡ θεός. ἢ διὰ τὸ παλλομένην τὴν καρδίαν τοῦ Διονύσου προσκομίσαι τῷ Διΐ.

Παλλακὶς, ἡ παῖς. κατὰ Δωριεῖς, πάλλαξ λέγεται.

Παλύνω, ὡς μὲν ἄπιον, τὸ μολύνειν καὶ βρέχειν. ἄμεινον δὲ τὸ λευκαίνειν. Ἰλιάδος κ. Ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας. παρὰ τὴν πάλην, ἢ παλίνην, ἣν οἱ Ἀττικοὶ πασπάλην λέγουσιν. ἔστι δὲ τὸ λεπτομερέστατον τοῦ ἀλεύρου. παρὰ τὸ ἀποπάλλεσθαι, τουτέστιν ἀποῤῥίπτεσθαι ἐκ τοῦ ἀλεύρου.

Παμφαίνησιν, ἔχησι. καὶ τὰ τοιαῦτα, ἔχει τὸ ι προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν. ἔστι γὰρ ἐὰν παμφαίνω. καὶ τὸ τρίτον παμφαίνῃ. καὶ λοιπὸν κατ' ἔκτασιν τῆς σι συλλαβῆς, γίνεται παμφαίνησι καὶ ἔχησιν. ἢ ἔστι φαίνω, φαίνῃς, φαίνῃ. διαλέκτῳ δὲ Ῥηγίνων, γράφεται τὸ τρίτον πρόσωπον διὰ τοῦ η μετὰ τοῦ ι. τὸ γὰρ νοεῖ καὶ φιλεῖ, νοῆσι καὶ φιλῆσι λέγουσιν ἐκεῖνοι πλεονασμῷ τῆς σι συλλαβῆς. οὕτω καὶ τὸ παμφαίνησιν, Ἰλιάδος ε.

Παμφαλᾶν, σημαίνει τὸ ἐπιφέρεσθαι καὶ περιβλέπεσθαι πάντη. παρὰ τὸ τὰ φάνωδε κακεῖσε ἄλλεσθαι. φαῶ καὶ παμφαῶ. καὶ πλεονασμῷ τοῦ λ, παμφαλῶ. Πολλ' ἐπιπαμφαλόωντες ὁμοῦ.

Πάμπαν, ἀντὶ τοῦ παντελῶς. Ἰλιάδος α. γίνεται ἀπὸ τοῦ πᾶν. κατὰ ἀναδιπλασιασμὸν, πάμπαν.

Πὰν, φαντικῶν. διὰ τὸ ἐπιφαίνεσθαι ἀκαίρως τοῖς ἐν θυσιῶσιν.

Πάνδαρος, πάντων ἀρά. τοξότης γὰρ ἦν.

Πανδάρεως κυρίως, ὁ πάντα δράσας ἕνεκα κέρδους καὶ πλεονεξίας. ὥρος.

Πανδώρη, εἴρηται ὅτι παρὰ πάντων δῶρα ἔλαβεν, ἢ ὅτι δῶρον πάντων τῶν θεῶν, ὡς φησὶν Ἡσίοδος.

Πανδίων, παρὰ τὴν Ἰὼν μετοχὴν καὶ τὸ πᾶν, γίνεται πανίων καὶ πλεονασμῷ τοῦ δ, πανδίων.

Πανδοκεὺς, πανδοχεὺς. ὁ πάντας δεχόμενος.

Πανέφθου κασσιτέρου, Ἡσίοδος ἐν Ἀσπίδι. ἀντὶ τοῦ ἑψητοῦ καὶ διαλελυμένου καὶ ὑγροῦ τὴν φύσιν. Ἡρόδοτος δὲ ἀπέφθου φησὶν, ἀπὸ τοῦ ἑφθός.

Πανήγυρις, ἑορτή. συνάθροισις. ἀπὸ τοῦ ἄγυρις. εἰς ἣν πάντες ἀγείρονται.

Πανόψιον ἔγχος, τὸ οἱονεὶ πανόρατον καὶ ἐπιφανές. δύναται δὲ καὶ τὸ πάντων τελευταῖον ἀκούεσθαι. ἵνα τὸ ὀψὲ εἴκηται, καὶ μὴ ὡς ἐκ τῶν ἄλλων τέχνης δεχόμεθα, ἀλλὰ ἀπὸ τούτου νοῶμεν. τὸ δὲ πάντων ἔσχατον, αὐτὴ τὸ ἔγχος λαβοῦσα ἐπέμψωσε. Πανομφαίῳ Ζηνὶ, πάσης φήμης καὶ κληδόνος ἀκούοντι. οὐκ ἔστι δὲ καθόλου τὸ ἐπίθετον ὁ πανομφαῖος, ὁ κληδόνιος καὶ πάσης κληδόνος παραίτιος. ἀλλ' ἅπαξ.

Παννύχιον, ἐπίῤῥημα μεσότητος ἀντὶ τοῦ παννυχίως. ὅπερ γὰρ ὂν, μετῆλθεν εἰς ἐπιῤῥηματικὴν σύνταξιν, ὥσπερ τὸ ἥδιστα. ἐκ τοῦ νὺξ νυχὸς, νύχιος, καὶ παννύχιος.

Πανσαγία, ἡ πανοπλία. καὶ ἴσως ἀπὸ τοῦ σάκους εἴρηται. οὕτως εὗρον εἰς τὸν Σέλευκον.

Πανσυδὶ, ἐπίῤῥημά ἐστιν ἀθροίσεως. παμπληθεί. ἔστι δὲ καὶ πανσυδὴν μετὰ τοῦ ν. παντὶ τῷ πλήθει. πανστρατιᾷ. παρὰ τὸ ὁμοῦ τάττεσθαι καὶ σεύεσθαι, ἤγουν ὁρμᾶν καὶ ἐπακολουθεῖν.

Παπῶ παπᾶς, δευτέρας συζυγίας. Τὸν ἁπαλῇ χειρὶ παπώσαντα. ἀπὸ τοῦ ἀφῶ τὸ ψηλαφῶ. κατὰ ἀναδιπλασιασμὸν φαφῶ. καὶ τροπῇ τῶν δασέων εἰς τὸ ψιλὸν, παπῶ.

Πάππα, προσφώνησις τιμητικὴ νέων πρὸς πατέρα. Παῖδα ποτὶ γούνατα παππάζουσιν. Ἰλιάδος ε. οὕτω λέγεται παρὰ Συρακουσίοις ὁ πατὴρ, πᾶς. καὶ κατὰ ἀναδιπλασιασμὸν τοῦ π, πάππα.

Παπταίνων, περιβλεπόμενος. ἐπιτηρῶν. πανταχοῦ τὰ φάντε τὰ νύειν. γίνεται φαπταίνω. καὶ τροπῇ παπταίνω. σημαίνει δὲ τὸ βλέπειν καὶ περισκοπεῖν τῇδε, κἀκεῖσε. ἢ παρὰ τὸ πέτω, πτῶ. παράγωγον πταίνω. καὶ κατὰ ἀναδιπλασιασμὸν παπταίνω. οἱονεὶ τὸ περιάγω πάντῃ τὰς ὄψεις, καὶ περιπέτεσθαι ποιῶ, καὶ οἷον πεπταμέναις ἐοικέναι. Ἰλιάδος δ.

Παππίας, παρὰ τὸ πάππα, ὃ σημαίνει τῇ τῶν Ῥωμαίων φωνῇ, τὸν πατέρα.

Πανοῦργος, παρὰ τὸ εἰς πᾶν ἐνεργεῖν. σημαίνει καὶ τὸν φρόνιμον καὶ νοήμονα ἐπὶ καλοῖς. σημαίνει καὶ τὸν κακοποιεῖν δυνάμενον. διὰ τῆς ἑαυτοῦ σοφιστικῆς κακίας.

Πάνδεια, ἑορτὴ Ἀθήνησιν. ἀπὸ πανδείας τῆς σελήνης. ἢ ἀπὸ Πανδίονος, οὗ καὶ ἡ φυλὴ ἐπώνυμος. ἢ ὅτι τῷ Διῒ ἄγονται τὰ πάνδεια. ὠνόμασται δὲ ἀπὸ τοῦ πάντα δινεύειν τῷ Διΐ.

Πάρα, σημαίνει δύο. Τίς ἔσθ' ὁ πωλῶν τἀνδράποδα. ἐμοὶ πάρα, ἀντὶ τοῦ πάρειμι. πάρα δ' ἀνὴρ, ἀντὶ τοῦ πάρεστι. Πάρ' ἔμοιγε καὶ ἄλλοι, ἀντὶ τοῦ πάρεισι μοι. τίνος δ' ἄρα ἡ ἀποκοπὴ, πρὸς τὸ σημαινόμενον καὶ ἡ ἀποκοπή. τοῦ πάθους.

Παρὰ ἡ πρόθεσις, σημαίνει δύο. τὴν ἐκ τοῦ σχέσιν, ὡς τὸ, ἄνομος παράνομος. λαλῶ, παραλαλῶ. καὶ εἶπω, παρείπω. καὶ τὴν πλησιότητα. ὡς τὸ, ἕζετο, παρέζετο. καὶ τὴν πλείονα σχέσιν, ὡς τὸ, ὁρμῶ παρορμῶ. Παρὰ θῖν' ἁλός. ἢ παρὰ, τὸ ἔξω δηλοῖ. ὡς περ καὶ παραπλεῖν, τὸ ἔξω πλεῖν. αἰγιαλὸς μὲν οὖν εἴρηται κοινῶς ὀνόματι παρὰ τὸ ἀΐσσειν ἐν τῷ ἁλός. ἔχει δὲ διαφορὰς τρεῖς, ἀκτὴν, καὶ ῥηγμῖνα, καὶ θῖνα. ἀκτὴ μὲν οὖν εἴρηται ὁ πετρώδης αἰγιαλός. ῥηγμὶν δὲ ὁ πρὸς ἄνεμον αἰγιαλός. θὶν δὲ ὁ εὔδιος καὶ ἥσυχος αἰγιαλός. παρὰ τὸ μετὰ γαλήνης καὶ νηνεμίας ἐκεῖσε τὰ κύματα ἀποτίθεσθαι.

Παραβλῶπες τ' ὀφθαλμὼ, Ἰλιάδος ι. παρὰ τὸ βλέψω μέλλοντα, ἀποβολῇ τοῦ ω, βλέψ. καὶ τροπῇ τοῦ ε εἰς ο καὶ ἐκτάσει, βλώψ, καὶ παραβλώψ. ἀντὶ στραβαί.

Παράδεισος, παρὰ τὸ δεύσω μέλλοντα. ὃς δηλοῖ τὸ βρέχω. ἐσημαίνετο δὲ ὁ δεῦσος. καὶ παράδεισος κατὰ ἀποβολὴν τοῦ υ εἰς ι. οἱ δέ φασι παραδεῖσαι ποιεῖσθαι, ὅ ἐστι τὴν τῶν βοτανῶν συλλογήν.

Παραβολή, εἰς τὸ παροιμία.

Παράβυστον, παρακεκρυμμένον. λάθρα γινόμενον. παρὰ τὸ βύω, ὅ ἐστι τὸ κλείω. σημαίνει δὲ καὶ τὸ πληρῶ. ὁ Λυσίας δ. Νήματος ἀσκηρίου βεβυσμένον, ἀντὶ τοῦ πεπληρωμένου. ἦν δὲ καὶ παράβυστον δικαστήριον, ὃ λάθρα ἔκρινε.

Παραπλῆγες, οἱ πεπληγμένοι. παραπλὴξ, μαινόμενος. παράφρων. τὰς φρένας βεβλαμμένος.

Παρακαίρια ἔξω, ἡ ὁδός. καίρια τὰ εὐκαίρως γινόμενα. παρακαίρια, τὰ ἄκαιρα καὶ ἄτοπα. ἢ παρὰ τὸ παρέλκεται.

Παράσημα, τὰ κίβδηλα τῶν νομισμάτων λέγουσι. τὰ φαῦλα καὶ ἀδόκιμα. παρὰ τὸ κακῶς σεσημάνθαι, ὅ ἐστιν ἐσφραγίσθαι. καὶ παράσημος ῥήτωρ, μεταφορικῶς ὁ φαῦλος.

Παραιφάμενος, παραινούμενος. πλεονασμῷ τοῦ ι ποιητικῶς. Παραί πού σε κάππεσε θυμός.

Παρασάγγαι, τὰ ἑξήκοντα στάδια παρὰ Πέρσαις. παρ' Αἰγυπτίοις δ' ἑξήκοντα. παρὰ δὲ Σοφοκλεῖ ἐν Ἀνδρομάχῃ, ἀντὶ τοῦ ἀγγέλου εἴρηται.

Παραστάται, ὑπό τινων καλοῦνται αἱ γόνιμοι φλέβες, αἱ τῇ κύστει παρεστῶσαι. λέγονται καὶ οἱ νῦν ὑπηρετοῦντες βασανισταί.

Παραίσια, ἐναντία. ἀπρεπῆ. χαλεπά. παρ' ἐκ τοῦ αἰσίου.

Παραιτεῖσθαι, οὐχ εὕρηται ἐν χρήσει ἀντὶ τοῦ σημαινομένου τοῦ ἀρνεῖσθαι καὶ ἀποβάλλεσθαι καὶ μὴ δέχεσθαι, ἀλλ' ἀντὶ τοῦ αἰτεῖν, ὡς παρὰ Μενάνδρῳ. Παραιτοῦμαί σε συγγνώμην ἔχειν, ὥστε περιττὴν εἶναι τὴν πρόθεσιν. ὡς ἀντὶ τοῦ καθεύδω. τὸ γὰρ εὕδω δηλοῖ. σπανίως δὲ εὑρίσκεται καὶ ἀντὶ τοῦ σημαινομένου τοῦ λεγομένου ἐν τῇ συνηθείᾳ παραιτεῖσθαι, παρακαλεῖν. συγγνώμην αἰτεῖν.

Πάρδαλις. ποτὲ πόρδαλις, καὶ ποτὲ πάρδαλις. φυλακτέον ὅτι ἀντὶ μὲν τοῦ ζώου, διὰ τοῦ ο δεῖ προφέρεσθαι. ἀντὶ δὲ τοῦ δέρματος, διὰ τοῦ α. τὸ ζῷον οὖν, παρὰ τὸ προάλλεσθαι καὶ ἀτάκτως κινεῖσθαι. πρόαλις. καὶ πλεονασμῷ τοῦ δ καὶ ὑπερθέσει. ὡς δὲ ὧρος, παρὰ τὸ τὸν πόρον αὐτῆς ποιεῖσθαι μεθ' ἅλματος. πορευτικὸν γὰρ τὸ ζῷον. οἱ Ἴωνες τὸ ι τῆς ει διφθόγγου ἀποβάλλουσιν. οἷον παρδάλειος παρδάλεος. καὶ τὸ θηλυκὸν παρδαλέη παρδαλῆ ἀντὶ τῆς δορᾶς. ὡς παρὰ λεοντέη λεοντῆ. καὶ τὴν παρδαλέα τὴν παρδαλῆν ὡς τὴν λεοντῆν.

Πάρεξ, παρὰ τὴν παρὰ πρόθεσιν καὶ τὴν ἐξ, ἥτις δηλοῖ τὸ ἐκτός. βαρύνεται δὲ καὶ ὀξύνεται πρὸς διάφορα σημαινόμενα. τὸ μὲν οὖν βαρυνόμενον, σημαίνει τὸ χωρίς, καὶ συντάσσεται γενικῇ. οἷον, Πάρεξ τοῦ κυρίου. καί, Πάρεξ τοῦ σκυθινοῦ ἔθνους, ἀντὶ τοῦ χωρίς. τὸ δέ γε ὀξυνόμενον, ἰσοδυναμοῖ τῇ παρὰ ἢ τῇ ἐξ προθέσει, ἥτις σημαίνει τὴν ἔξω σχέσιν. ὡς παρ' Ὁμήρῳ. Πάρεξ ὁδοῦ ἐκκλίνασαν, ἀντὶ ἐκτὸς τῆς ὁδοῦ. καί, Πάρεξ ἅλα φῦκος ἔχευεν, ἀντὶ τῆς παρὰ μόνον. καί, Πάρεξ τὴν νῆσον ἐλαύνετε, ἀντὶ τοῦ ἐκτός.

Παρακρούεται, ἀπατᾷ. ἀπὸ μεταφορᾶς τῶν παλαιστῶν οὐ καταβαλλόντων, ἀλλ' ἐνώρα παρακρουόντων ἢ ποδὶ, ἢ χειρὶ, καὶ οὐ ῥιπτόντων. ἢ ἀπὸ τῶν ἐν τοῖς ζυγοῖς ἱστώντων, οἳ τοῖς σταθμοῖς παρακρούουσιν, ἵνα ὃ βούλονται μέρος καθέλκῃ βαρυνόμενον τῇ κρούσει.

Παραστησάμενος, ἑλών. παραλαβών. καταστρεψάμενος. καὶ παρακατάστασις.

Παρέστησαν, Δημοσθένης, ἐνίκησαν. ἐπειδὴ οἱ ἡττώμενοι παρίστανται τοῖς νενικηκόσιν ὡς δοῦλοι δεσπόταις.

Παρακατάστασις, ἀργύριόν ἐστι παρακαταβαλλόμενον ἐν τοῖς διαιτηταῖς ὑπὸ τῶν δικαζομένων, ἡ παρακατάστασις. λέγεται καὶ παρακαταβολή. καὶ παρακαταβάλλειν τὸ πρᾶγμα.

Παρασκήνια, αἱ εἰς τὴν σκηνὴν ἄγουσαι εἴσοδοι. σκηνὴ δέ ἐστιν, ἡ νῦν θυμέλη λεγομένη.

Παρέκνοον ἤλασεν Ἕκτωρ. Ἰλιάδος κ. ἀντὶ τοῦ παρεπάτησε τὸν νοῦν, ἐξεπάτησε.

Παρεκτικός, παρὰ τὸ παρέχω παρέξω. ὁ παρακείμενος, παρέσχα. ὁ παθητικὸς παρέσχημαι, παρέσχηται. καὶ ἐξ αὐτοῦ παρεκτός. καὶ παρεκτικὸς κτητικόν.

Παρεβάθην, ἀπὸ τοῦ βίβημι, βέβηκα. ὁ παθητικὸς, βέβαμαι, ἐβάθην, καὶ παρεβάθην.

Παρέσομαι, οὐκ ἀπὸ τοῦ εἰμὶ σχηματίζεται, ἀλλ' ἀπὸ τοῦ ἔω. εἰ γὰρ ἀπὸ τοῦ εἶμι τὸ πορεύομαι, εἴσομαι ἂν ἦν καὶ παρείσομαι, ἵνα τὴν αὐτὴν ἔχῃ τῷ ἐνεστῶτι παραλήγουσαν.

Παρείατο δακρυχέουσα, ἀντὶ τοῦ παρῆν ἡ κόρη δακρύουσα. ἕω τὸ κάθημαι, ἢ τὸ ὑπάρχω. παράγωγον εἶμι. ὁ μέσος ἀόριστος ἔμην, ἔσο, ἔτο, καὶ εἶτο. καὶ πλεονασμῷ τοῦ α, εἵατο, καὶ παρείατο. οἱ δὲ, πληθυντικὸν ἀντὶ ἑνικοῦ. τὰ γὰρ εἰς το λήγοντα, πληθυντικὰ ἔχει τὸ α. πεύθοιατο.

Παρειά, Ἰλιάδος γ, χωρὶς τοῦ ς. ἵν' ᾖ οὐδέτερον. τὰ γὰρ ἀπὸ τοιούτου θηλυκοῦ μεταποιούμενα εἰς οὐδέτερον γένος τοῦ αὐτοῦ σημαινομένου μένοντος, τὸν αὐτὸν φυλάττει τόνον. πλευραί. πλευρά. πυραί, πυρά. οὐκ ἀντίκειται τὸ νευραὶ νεῦρα. διάφορον γὰρ σημαινόμενον. ἔστι δὲ μεταπλασμός. τὸ δὲ ἐπίθετον ὀξύνεται. οὕτως αἱ παρειαὶ τὰ παρειά. τὸ ρει δίφθογγον κατὰ διάλεκτον. οἱ γὰρ Αἰολεῖς παρήια λέγουσι διὰ τοῦ η. ἐξ οὗ καὶ παρήιον. τὴν γὰρ ει δίφθογγον εἰς η τρέπουσι. τὸ γὰρ πλεῖον, πλῆον λέγουσι.

Παρείας, παρὰ τὸ πεφυσιωμένας ἔχειν τὰς γνάθους, ἤγουν τὰς παρειάς. αἳ καὶ φοῦγγαι λέγονται. οὗ τὸ δῆγμα βλάβης ἀλλότριον.

Παρήϊον, τὸ παρὰ τὰς παρειὰς χαλινάριον. ζήτει εἰς τὸ καλλιπάρηος.

Πάρηορος, ἔνθα καὶ ἔνθα, Ἰλιάδος ψ. ἀντὶ τοῦ κατὰ πλάτος καὶ κατὰ μῆκος. παρηωρημένος τῷ σώματι, τουτέστιν ἐκλελυμένος ἐν ἄλλῳ. νῦν δὲ ἀντὶ τοῦ μέγας. παραιωρούμενος καὶ εἰς μῆκος ἐκτεταμένος. γίνονται δὲ ἀμφότερα ἀπὸ τοῦ ἀείρω. ῥηματικὸν ὄνομα κατὰ ἀποβολὴν τοῦ ι, ἄορος. καὶ μετὰ τῆς παρὰ προθέσεως, καὶ ἐκτάσει τοῦ α εἰς η, πάρηορος. καὶ Ὅμηρος παρηορίας λέγει τὰς τοῦ παρηόρου ἵππου ἡνίας. ὑφ' ἃς ὁ τρίτος ἵππος τῇ ξυνωρίδι δέδεται. καὶ ὁ μὴ κατὰ χώραν ἔχων ἀραρυίας τὰς φρένας, ἀλλ' αἰωρουμένας. οἱονεὶ ὁ ἄφρων. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω. καὶ ὁ πεπτωκὼς τῷ σώματι παραιωρούμενος ἐν τῷ ἐκτάσθαι. καὶ ὁ ἐν τοῖς τοῦ ζυγοῦ παρεζευγμένος ἵππος.

Παρηρημένη, ἐκβεβλημένη. ἀποκεχωρισμένη, καὶ οἱονεὶ καθῃρημένη. ἀπὸ τοῦ αἱρῶ τὸ καταβάλλω. ὁ παρακείμενος ᾕρηκα.

Παρίσθμια, τὰ περὶ τὸν φάρυγγα. διὰ τὸ παρακεῖσθαι τῷ ἰσθμῷ. ἰσθμὸς δέ ἐστι στενὸς τόπος, δι' οὗ ἵενται τὰ ἐσθιόμενα. καὶ πινόμενα ἢ παρὰ τὸ ἱέναι τὴν πνοήν. οὕτως Ἡρωδιανός. λέγονται δὲ καὶ ἀντιάδες, ἀπὸ τοῦ ἀντικεῖσθαι ἀλλήλοις.

Παροινία, ἡ ἐν οἴνῳ ἀταξία.

Παροίτερος, παλαιότερος καὶ ἀρχαιότερος. ἀπὸ τοῦ πάρος ὃ σημαίνει τὸ πρὶν ἢ πάλαι, γίνεται παροίτερος καὶ παροίτατος. εἴρηται δὲ καὶ τὸ παροιτέρω. οἷον, Καὶ δέ μ' ἐνικέτιον δὲ παροιτέρω ἐξερέεσθαι. εἴρηται δὲ καὶ τὸ πρώτιος. Ὥς μιν ἔτυψε παροίτατος. εἴρηται δὲ ἀπὸ τοῦ πάρος, κατὰ ἀποβολὴν τοῦ ς.

Πάρθις, ὁ παρθένιος. εἴρηται οὐκ ἀπὸ ἀποκοπῆς, ἀλλὰ μεταποίησις καὶ μετασχηματισμός. περὶ παθῶν.

Παροψίς, τὸ μέγα τρυβλίον.

Παροιμία, παρὰ τὸ οἶμος ὅ ἐστιν ἡ ὁδὸς οἰμία καὶ παροιμία. ἔστι δὲ παροιμία λόγος ὠφέλιμος μετ' ἐπικρύψεως μετρίας αὐτόθεν ἔχων τὸ χρήσιμον, καὶ πολλὴν τὴν ἐν τῷ βάθει διάνοιαν. ὅθεν καὶ ὁ Κύριος ταυτ' ἄφησιν. Ἐν παροιμίαις λελάληκα ὑμῖν.

Παραβολή. ἡ παραβολὴ ποσαχῶς. παραβολὴ ὁ ὀνειδισμός, ὡς τὸ, Ἔθου ἡμᾶς εἰς παραβολήν. παραβολὴ, αἰνιγματώδης λόγος, ὃ πολλοὶ λέγουσι ζήτημα, ἐμφαῖνον μέν τι, οὐκ αὐτόθεν δὲ πάντως δῆλον ὂν ἀπὸ τῶν ῥημάτων, ἀλλ' ἔχον ἐν τῇ διανοίᾳ κεκρυμμένην, ὡς ὁ Σαμψὼν ἔλεγεν. Ἐξῆλθεν ἀπὸ στόματος πικροῦ γλυκύ. καὶ Σολομῶν, Τότε νοήσεις παραβολὴν καὶ σκοτεινὸν λόγον. παραβολὴ καὶ ἡ ὁμοίωσις. ἀμέλει γοῦν παραβολήν φησι παρέθηκεν αὐτοῖς λέγων. Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σπείροντι. παραβολή ἐστιν ἡ τροπικῶς λεγομένη, οἷόν ἐστι τὸ, Υἱὲ ἀνθρώπου, εἰπὸν αὐτοῖς τὴν παραβολὴν ταύτην. ὁ ἀετὸς, ὁ μέγας ὁ μεγαλοπτέρυξ. ἀετὸν λέγων τὸν βασιλέα. εἰς τὸ ἄλλος ἕως.

Πάρις, παρὰ τὸ παριέναι τὸν μόρον, τουτέστιν ἐκφυγεῖν τὸν θάνατον. ἢ παρὰ τὴν πήραν, ὃ σημαίνει τὸ μαρσίπιον. ἀπὸ τοῦ ἐν τῇ ποιμενικῇ πήρᾳ ἀνατραφῆναι.

Παρεγγεγραμμένος, ὁ μὴ κατὰ νόμον τοῖς πολίταις τεταγμένος. δημοποίητος δὲ, ὁ ὑπὸ δήμου προῖκα πολιτευθείς. παρεγγράπτους δὲ νόθους.

Παρθένος, παρὰ τὸ παρακαταθέειν τὴν παιδικὴν ἡλικίαν. ἢ παρὰ τὸ παραθέειν τῇ μητρί. ὡς ὁ ποιητής. Ἤθ' ἅμα μητρὶ θέουσ' ἀνελέσθαι ἀνώγει. ἢ παρὰ τὸ ἐνθήσω μέλλοντα γίνεται θήνη. καὶ μετὰ τῆς παρὰ προθέσεως, παρθένη. καὶ κατὰ συγκοπὴν παρθένος. ἡ περὶ ταύτην τὴν ἡλικίαν οὖσα, καθ' ἣν ὥραν ἔχει ἐκθρέψαι καὶ ἐκτίθεσθαι μαζούς, ἣν ἡ φύσις ἔταξε. τὰς γοῦν μικρὰς παῖδας οὐ προσαγορεύουσι παρθένους, ἀλλὰ τὰς ἤδη ἀντὶ τὸ γυναῖκας μέλλειν ἰούσας. οὕτω Φιλόξενος. ὁ δὲ Ἡρωδιανός, ἡ παρ' οὐδενὸς οὐδὲν λαβοῦσα εἰς ἕδνα.

Παρθενία, ὅτι παρὰ θεοῦ ἐδόθη. φησὶ γὰρ, Ἔλαβε καὶ ἑαυτῷ γυναῖκα, τουτέστιν οὐκ ἐκ τοῦ θεοῦ.

Παρθενοπίπης, Ἰλιάδος γ. σημαίνει τὸν περιβλεπόμενον τὰς γυναῖκας. παρὰ τὸ ὄπτω ὀπτεύω, γίνεται ὀπίπης. καὶ ἐν συνθέσει παρθενοπίπης, διὰ τοῦ ι. τὰ γὰρ παρὰ τὸ ἐποπτεύω διὰ τοῦ ι γράφεται. οἷον, παιδοπίπης.

Παρμέμβλωκε, Ἰλιάδος δ. πάρεστι. προθυμεῖται. ἐκ τοῦ μέλω, μεμέληκα, καὶ μεμέλωκα. ὡς ὤχηκα, παρώχωκα. εἶτα κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ β, μέμβλωκα. ἢ παρὰ τὸ μολῶ μολήσω μεμόληκα, καὶ ἑξῆς.

Παρνασσός, ὄρος ἐστὶ Δελφῶν. ἀπὸ Παρνασοῦ τοῦ ἐγχωρίου ἥρωος. ἄνδρων δέ φησιν ἐπειδὴ προσώρμισεν ἡ λάρναξ τοῦ Δευκαλίωνος. καὶ τὸ μὲν πρότερον Λαρνασσὸς ἐκαλεῖτο. ὕστερον δὲ κατ' ἐναλλαγὴν τοῦ λ εἰς π, Παρνασός.

Παρρησία, οἱ μὲν ἀπὸ τοῦ παντορησία κατὰ συγκοπὴν, ὅπερ ἐστὶν ἄτοπον. ἀλλὰ παρὰ τὸ πᾶν γίνεται. συγκοπὴ γὰρ οὔ, ἀλλὰ τροπή. ἡ πάντα ἐν αὐτῇ ἔχουσα καὶ λέγουσα. περὶ παθῶν. οὕτω καὶ ὧρος.

Πᾶς, δύο σημαίνει. καὶ τὸν πατέρα, ὁ κατὰ ἀναδιπλασιασμὸν πάπας. τοῦτο δὲ οἱ μὲν Ῥωμαῖοι βαρύνουσι πάπας λέγοντες. ἡμεῖς δὲ περισπῶμεν. ἀμφίβολον. οὐδέποτε γὰρ δασυνόμενον α ἀφαιρεῖται. πῶς οὖν τὸ ἅπας γέγονε πᾶς. ἐπλεόνασε τὸ α. πῶς δασύνεται. τὸ γὰρ πλεονάζον α, οὐδέποτε δασύνεται, ὥστε ἀμφίβολον. ὁρῶ δὲ καὶ τὸ ἀθρόος ὄνομα λαμβάνον τὸ α καὶ βαρυνόμενον καὶ δασυνόμενον ἕνεκεν ἐμφάσεως ἐν τῷ ἀθρόους. οὐκ ἄρα κεκώλυται κατὰ ταύτην τὴν ἀναλογίαν, καὶ τὸ πᾶς, ἅπας. ὥστε μᾶλλον εἶναι πρόσοδος, ἢ ὑφαίρεσις. ὁ δὲ Ἡρωδιανὸς βούλεται ἐκ τοῦ ἅμα πᾶς εἶναι ἐν συγκοπῇ. περὶ παθῶν. Πόθεν παράγεται τὸ πᾶς; πρωτότυπόν ἐστι καὶ παραγωγὴν οὐκ ἔχει. τὰ δὲ εἰς ας μονογενῆ διὰ τοῦ ντ κλινόμενα, ὀξύνεται. οἷον, ζὰς, ζαντός. πρὰς, πραντός. ἰσοσυλλάβως δὲ κλινόμενα περισπᾶται. θωμᾶς, θωμᾶ. τὸ μέντοι πᾶς περισπᾶται ὡς διαλλάξαν κατὰ τὴν γενικήν, καὶ ὂν

ETYMOLOGICUM MAGNUM GR

εὐγενές. τὸ θηλυκὸν ἡ πᾶσα. καὶ τὸ οὐδέτερον τὸ πᾶν.

Πάσσαλος, παρὰ τὸν πάσσω μέλλοντα. ἔστι δὲ ξύλον ἐπιμήκες πρὸς τὸ κρεμᾶσθαι, ὅπερ δῆ.

Πάσσασθαι, εἰς τὸ ἐπάσαντο.

Πάσσων, ὄνομα συγκριτικόν. γίνεται ἀπὸ τοῦ παχὺς πάσσων, ὡς βραδὺς βράσσων.

Πάσσονα, τὴν εὐπαγεστέραν. ἀπὸ τοῦ πάσσω.

Πάσσω, σημαίνει τὸ ἐπιβάλλω καὶ ἐπιπάσσω, ἢ τὸ ποικίλλω. ὅθεν δῆλον ἐστὶν ἐπειδὴ καὶ τὰ ποικίλα παραπετάσματα καλεῖται.

Παστός, ἡ ἐκ παραπετασμάτων ποικίλων κατασκευασμένη σκηνή. ἢ τις ἐστὶ πεποικιλμένη. καὶ νυμφικὸς οἶκος, παρὰ τὸ πάσσειν. ἐξ οὗ καὶ τό, Πολέας δ' ἐνέπασσεν ἀέθλους. ἰλιάδος γ, ἀντὶ τοῦ ἐνεποίκιλλεν.

Παστάς, ἣν ἡμεῖς παστάδα λέγομεν. καὶ εἴρηται οὕτω διὰ τὸ ἐν αὐτῇ ἡμᾶς σιτεῖσθαι. παρὰ τὸ πάσασθαι. ἀπολλώνιος.

Παταικός, κατὰ ἀφαίρεσιν τοῦ α ἀπαταικός. ὦρος.

Πασείλη, σημαίνει τὴν τελευταίαν ἡμέραν τοῦ ἐνιαυτοῦ. γίνεται δὲ ἐκ τοῦ πᾶς καὶ τοῦ τέλος, ἐν ᾗ τελοῦνται πάντα τὰ τοῦ ἐνιαυτοῦ.

Πατάσσω, ἐκ τοῦ πτῶ τὸ φοβοῦμαι. ὁ μέλλων, πτήσω. συστολῇ τοῦ η πτάσσω. καὶ πλεονασμῷ, πατάσσω. μεταγομένου τοῦ μέλλοντος εἰς ἐνεστῶτα. ἢ παρὰ τὸ πατῶ πατάσσω. Θυμὸς ἐνὶ στήθεσσι πάτασσεν. ἰλιάδος η, ἀντὶ τοῦ ἔπαλλεν, ἐπήδα ὑπὸ τοῦ φόβου.

Πατήρ, παρὰ τὸ πατεῖν ἐν τῇ συνουσίᾳ. ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζώων. ἢ παρὰ τὸ σπείρω σπατὴρ καὶ πατήρ. ἢ παρὰ τὸν ἦχον τὸν γινόμενον ἐν τῷ καταφιλεῖν τὰ παιδία. πάππος δέ, ἀπὸ τῆς τῶν παίδων τῶν μικρῶν προσφωνήσεως, ὥς φησιν ὅμηρος. Ποτὶ γούνασι παππάζουσιν. ὀνοματοποιεῖται οὖν ἡ λέξις. οἱ δὲ ὅτι κατὰ συνήθειαν πίππα λέγουσιν ἀντὶ τοῦ φίλει. ὡς ἀριστοφάνης ἐν πλούτῳ. Ἱκανὸν γὰρ αὐτὴν ἐπίππων, ἀντὶ τοῦ ἐφίλουν. ὦρος. πατήρ, παρὰ τὸ τοὺς παῖδας τηρεῖν. ἢ ὅτι ἵπποι ἐν τῇ συνουσίᾳ πρῶτον πατοῦσι τὰς θηλείας. πατὴρ οὖν, ὁ τοὺς παῖδας ὑποκάτω τῶν ποδῶν αὐτοῦ ἔχων. εἰ δὲ σημαίνει τὸν θεόν, γίνεται παρὰ τὸ τὰ πάντα ὁρᾶν.

Πατεκίων, ὁ ἐπὶ συκοφαντίᾳ καὶ κλοπῇ καὶ τοιχωρυχίᾳ τ...

Πάτος, ὅμηρος. Πάτον ἀνθρώπων ⟨βίον ποιούμενος⟩ ἀλεείνων, ὥσπερ. ἰλιάδος ζ. τὰ γὰρ εἰς τος λήγοντα δισύλλαβα βραχείᾳ παραληγόμενα μονογενῆ, βαρύνεται. κρότος, νότος. μίτος. πότος. οὕτω καὶ πάτος. δοκεῖ ἀντικεῖσθαι τὸ στρατός. τὸ γὰρ βροτός, κατὰ δύο τρόπους ἀποφεύγει. ὅτι καὶ κοινόν, καὶ ἔχει ἀντέμφασιν. σημαίνει δὲ τὴν πεπατημένην ὁδὸν τὴν λεωφόρον.

Πατῶ, πατήσω. ἐκ τοῦ πάτος τοῦ ἐκ τοῦ τόπος.

Πάτρα, λέγεται ἡ πατρίς.

Πατρίκιος, οἱονεὶ πατὴρ τοῦ κοινοῦ.

Πατριά, ἀπὸ τοῦ πατὴρ πατέρος γέγονε, διαφέρει δὲ πόλεως.

Πατρῷος, ὄνομα κτητικόν. ὅπερ διαλύσει γίνεται πατρώϊος. διαφέρει δὲ τοῦ πατρωός. πατρωὸς γὰρ λέγεται ὁ παρὰ τῇ συνηθείᾳ πάτριος. πατρῷος τὸ κτητικόν. οἷον, πατρῷος δοῦλος. πατρῷον κτῆμα.

Παῦρον, τὸ ὀλίγον. γίνεται παρὰ τὸ παύω παύσω, παῦρος, ὁ ταχὺς, καὶ δι' ὀλίγων ῥημάτων τοῦ παύεσθαι ἀφιστάμενος. ἢ ὁ μὴ μέχρι πολλῶν διατελῶν, ἀλλὰ ταχὺ παυόμενος. ὁ μὴ μέχρι πολλοῦ διήκων, ἀλλὰ ταχέως παύων. καὶ τὸ οὐδέτερον, παῦρον. τὸ γὰρ ὀλίγον, ταχέως παύεται.

Παυσωλή, ἡ ἀνάπαυσις. ἀπὸ τοῦ παύσω μέλλοντος, κατὰ προσθήκην.

Παφίη, ἡ ἀφροδίτη. ἀπὸ τῆς πάφου τῆς ἐν κύπρῳ πόλεως. ἢ παρὰ τὸ ἀπαφῶ τὸ ἀπατῶ, ἀπαφίη. κατὰ ἀποβολὴν τοῦ α. ὅθεν καὶ παρήπαφεν, τὸ ἐξηπάτησε. παρὰ τοῦτο καὶ τὸ βουκόλῳ συνοικεῖν αὐτήν, ἀπὸ τοῦ βουκολεῖν καὶ ἀπατᾶν πεπλάσθαι τὸν μῦθον. εἴρηται γὰρ βουκολεῖν ἀπὸ τούτου τὸ ἀπατᾶν. ὅθεν καὶ τό, Ἀπεβουκολήθη ποίμνης.

Παφλάζω, σημαίνει τὸ ἐκβρασμοῦ ἀνάδοσιν γίνεσθαι. ταύτην δὲ τὴν λέξιν πεποιῆσθαι παρὰ ὁμήρῳ ὡς ἠχομιμητικήν. ὅπερ ὁ τῶν κυμάτων ἀναπέμπειν εἴωθε βρασμός. ἔστι δὲ φλέω, ὃ καὶ φλύω λέγεται τὸ ἀναπέμπω καὶ ἀναδίδωμι. κατὰ συγκοπήν, φλῶ. ἀφ' οὗ παράγωγον φλάζω. ὡς ῥίπτω ῥιπτάζω, καὶ ἐνθουσιῶ ἐνθουσιάζω. καὶ κατὰ ἀναδιπλασιασμόν, παφλάζω.

Πάχετον, παχύτερον κατὰ συγκοπὴν τοῦ υ καὶ ρ.

Πάχνη, παρὰ τὴν πῆξιν. πάγη τις οὖσα. καὶ ὅμηρος, Παχνοῦται, ἀντὶ τοῦ φθείρεται. λυπεῖται. ἰλιάδος ρ. ἡ δὲ μεταφορά, ἀπὸ τῆς πάχνης τῆς φθειρούσης καὶ φρίκην ἐμποιούσης τὰ φυτά.

Παχνώσω. ἡσίοδος. Ἐπάχνωσε φίλον ἦτορ. ἐλύπησεν. ἔφθειρε.

Παιάν, ὕμνος ᾠδῆς ἐπὶ ἀφέσει λοιμοῦ ᾀδόμενος, ὡς τό, Καλὸν ἀείδοντες παιήονα κοῦροι ἀχαιῶν μέλποντες ἑκάεργον. οὕτω γὰρ ᾔδεισαν αὐτοὺς τῷ ἀπόλλωνι καὶ τῇ ἀρτέμιδι προσέφερον ὡς αἰτίοις τῶν λοιμικῶν παθῶν. τὸν μὲν γὰρ ἀπόλλωνα, ταὐτόν φασιν εἶναι τῷ ἡλίῳ. τὴν δὲ ἄρτεμιν, τῇ σελήνῃ. οἱ δὲ αὐχμοὶ καὶ τὰ λοιμικὰ συστήματα καὶ αἱ νόσοι, δι' ἡλίου καὶ σελήνης ἐμπίπτουσιν, ἀπὸ τῆς τοῦ ἀέρος παχύτητος τοῦ περιέχοντος τοὺς ἀνθρώπους. εἴρηται οὖν ἀπὸ τοῦ παύω παιὰν καὶ παιάν, γέγονε τροπῇ τοῦ υ εἰς ι. ὁ κατὰ παῦσιν ὕμνος τοῦ λοιμοῦ. καὶ πάλιν ἀπὸ τοῦ παύω παιών, ὁ παύων τὰς νόσους καὶ τὰ λυποῦντα. καὶ πλεονασμῷ τοῦ η, γίνεται παιήων. παιὼν δὲ ἐστὶ καὶ ἔθνος θρακικόν. οὓς παιονίους φασί. νῦν δὲ μακεδόνας.

Παιωνίσαντες, εὐφημήσαντες. ἀλαλάξαντες. τὸν παιᾶνα ἐπικαλεσάμενοι. ἦν δὲ ἔθος καὶ ἐπὶ ἔργου ἀρχομένους καὶ ἐπὶ τῇ νίκῃ τοῦτο λέγειν.

Παιήων, σημαίνει δύο. τόν τε ὕμνον καὶ τὸν τῶν θεῶν ἰατρόν.

Πᾶσαι. ἐπὶ μὲν τοῦ ἡμῖν συνήθους, Φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων. ἐπὶ δὲ τοῦ ὅλαι, Πᾶσαι δ' ὠΐγνυντο πύλαι. οὐ γὰρ πολλαὶ ὑπέκειντο πύλαι κατὰ τὸν ἀρίσταρχον. καί, πάσας γὰρ ἐπώχετο, αἳ κεκλειμέναι ἦσαν.

Πάσσεν. ἐπὶ μὲν τοῦ ἡμῖν νοουμένου, Πάσσε δ' ἁλὸς θείοιο. ἐπὶ δὲ τοῦ ἐποίκιλλε, Πολέας δ' ἐνέπασσεν ἀέθλους.

Παῖλλος, ἀπὸ τοῦ παίσω μέλλοντος, παῖλος. καὶ παῖλλος κατὰ ἀναδιπλασιασμὸν τοῦ λ. ὦρος.

Παλιπάλημα, σημαίνει τὸ πανοῦργον καὶ ποικίλον ἐν κακίᾳ καὶ παμπόνηρον σὺν ἀγχινοίᾳ. λέγεται δὲ καὶ ὁ τραχὺς ἄνθρωπος καὶ ἀνώμαλος. ἐπεὶ καὶ τῶν ὀρῶν τὰς ἀνωμαλίας παιπαλήματα καλοῦσι.

Παίζω. παρὰ τὸ παιδιά ... τικήν, γέγονε παράγωγον παιδίζω. ὡς ποδῶ ποδίζω. καὶ συγκοπῇ, παίζω. φίλον γὰρ τοῖς παισὶ τὸ παίζειν.

Παῖς, παρὰ τὸ παίζω. ὁ μέλλων παίσω ἀποβολῇ τοῦ ω. ἢ παρὰ τὸ πάλλεσθαι. εὐκίνητος γὰρ ἡ ἡλικία. ἢ παρὰ τὸ βαιόν, γέγονε βαῒς καὶ παῒς. ἐκ δὲ τοῦ παῒς, γέγονε κατὰ συναίρεσιν παῖς. καὶ κλίνεται παιδός. ὁ κανών. τὰ συνῃρημένα τῶν ἐντελῶν φυλάττει τὴν κλίσιν. ἢ οὕτω. δύο μόνα εἰσὶν εἰς αις μονοσύλλαβα. κλίνεται δὲ ἀμφότερα διὰ τοῦ δος. καὶ ὤφειλεν εἶναι δαὶς δαιδός, ἀλλὰ διὰ τὴν ἐπαλληλίαν τῶν δύο δδ. ἔστι δὲ καὶ τὸ σταῖς. ταῦτα δὲ τὰ τρία, κλίσιν μὲν ἀνεδέξαντο, κανόνι δὲ οὐχ ὑπέπεσον. ἐξ αὐτοῦ ῥῆμα παιδεύω, ὅθεν καὶ τὸ παιδεία. σημαίνει δὲ πολλά. σημαίνει τὴν παίδευσιν, καὶ τὴν παιδικὴν ἡλικίαν, καὶ τὴν ἀναστροφήν, καὶ τὴν μίξιν. τὸ γὰρ σημαῖνον τὸ παίγνιον, διὰ τοῦ ι, γέγονε, καὶ παρ' ἡμῖν μὲν ὀξύνεται, οἷον παιδιά. παρὰ δὲ τοῖς ἀθηναίοις, βαρύνεται, οἷον παιδία, τὰ δὲ σημαίνοντα ἄθροισιν ἢ περιεκτικὰ τινῶν προσηγορικά, ὀξύνεται. λαλιά. παιδιά. πυρκαϊά.

Παιδνός, κυρίως ἐπὶ τοῦ νεωτάτου παιδός. παρὰ τὸ παίζω.

Παιδίον, παρὰ τὸ παιδείας δεῖσθαι.

Παισός, σημαίνει τὴν πόλιν. εἰς τὸ ἄπαισος.

Παιπαλόεντος, τραχέος κατὰ πλεονασμὸν τοῦ π. ἀπὸ τοῦ ἄλην διὰ τὸ σκολιότητα ἔχειν. καὶ ἔστι κατὰ τὸ ἔτυμον ἐπαλήματα, τὰ μεγάλα ἁλήματα. ἢ παρὰ τὸ αἰπὸς ὃ σημαίνει τὸ μέγα καὶ τραχύ, αἰπαλόεν. καὶ κατὰ ἀναδιπλασιασμόν, παιπαλόεν, τὸ τραχύ.

Παιφάσσουσα, ἐνθουσιωδῶς ὁρμῶσα. ἐπὶ τῆς ἀθηνᾶς. ἰλιάδος β. ἐπὶ δὲ τοῦ τυδέως ὅτε λέγει, Πολεμίζειν οὐκ εἴασκον οὐδ' ἐκπαιφάσσειν, ἀντὶ οὐκ εἴων ἐμφανῆ αὐτὸν καὶ περιφανῆ ποιεῖν τοῖς θηβαίοις, ἀλλ' ἐν τῷ τοῦ ἀγγέλου σχήματι μένοντα εὐωχεῖσθαι. αὐτὸς δὲ τῇ ἐμφύτῳ αὐτοῦ ἀνδρείᾳ ἐκφερόμενος, προσεκαλεῖτο τοὺς θηβαίους. ἔστιν οὖν ῥῆμα φῶ, δηλοῦν τὸ φαίνω. παράγωγον φάσσω. καὶ κατὰ ἀναδιπλασιασμὸν παφάσσω. καὶ προσθέσει τοῦ ι, παιφάσσω. οὐ γὰρ ἁρμόζει τὸ ἐνθουσιᾶν. δηλοῖ δὲ ἡ λέξις καὶ τὸ ἄλλῃ καὶ ἄλλῃ περιάγειν τὰς ὄψεις.

Πέδη, σημαίνει τοὺς δεσμούς. ὡς οἶμαι παρὰ τὸ δέω ἔδη καὶ πέδη. ἢ παρὰ τὸ πιέζειν τοὺς πόδας. ἰλιάδος ν. Ἀμφὶ δὲ ποσσὶ πέδας ἔβαλεν. ἢ παρὰ τὸ πεδῶ πεδήσω. τοῦτο παρὰ τὸ τοὺς πόδας, γέγονε ποδῶ. καὶ τροπῇ τοῦ ο εἰς ε, πεδῶ. πεδῆσαι γὰρ κυρίως, τὸ τοὺς πόδας δεσμῆσαι. λέγεται δὲ πέδιον προπαροξυτόνως τὸ ὑποκοριστικὸν τῆς πέδης, τουτέστιν ὁ μικρὸς δεσμός. πεδίον δὲ λέγεται ἐπὶ τοῦ ἀναπεπταμένου καὶ μακροῦ καὶ ἐπιμήκους τόπου. παρὰ τὸ πέδον ὃ σημαίνει τὴν γῆν ἁπλῶς, γέγονε πέδου καὶ πεδίον. τροπῇ τοῦ βραχέος εἰς βραχύ. τάσσεται δὲ τὸ πέδον καὶ ἐπὶ τοῦ οἰκήματος. τὸ δὲ πεδίον, μεῖζον ἐστὶν ἐν σημαινομένῳ τοῦ πέδου. οὐκέτι δὲ ὑποκοριστικόν. πέδον δὲ ἡ γῆ, ἐφ' οὗ βεβήκαμεν τοῖς ποσὶ τοῦ πεζεύειν. καὶ πεζοὺς φασί, τοὺς διὰ τῶν ἰδίων ποδῶν τὴν ὁδὸν ποιουμένους. οἱονεὶ πεδούς. καὶ κατὰ τροπήν, ἀπὸ τοῦ πέδον. πεζὸς γάρ, ὁ διὰ τοῦ πέδου πορευόμενος. παρὰ τὸ ἕζω τὸ κάθημαι, ἕδον καὶ πέδον ἡ γῆ.

Πέζαι, ἑταῖραι αἱ χωρὶς ὀργάνων εἰς τὰ συμπόσια φοιτῶσαι. ὦρος.

Πεζέτεροι. πολλαὶ περὶ τούτου φέρονται ἐξηγήσεις. οἱ μὲν γὰρ αὐτῶν λέγουσιν ὄνομα στρατεύματος οὕτω λεγομένου. οἱ δὲ ὅτι τινὲς ἦσαν παρ' αὐτοῖς στρατιῶται, τὸν ἕτερον πόδα γυμνὸν ἔχοντες, τὸν δὲ ἕτερον ὡπλισμένον. διό φασι καὶ πεζετέρους αὐτοὺς καλεῖσθαι, παρὰ τὸ τὸν ἕτερον πόδα γυμνὸν ἔχειν. πέζα γὰρ τὰ κάτω τοῦ ποδός. ὅθεν καὶ πεζεύειν, τὸ χαμαὶ περιπατεῖν. οἱ δέ φασι τοὺς ἀπὸ τοῦ πλήθους τῶν πεζῶν ὧν εἶχε ξένων ἑταίρους καὶ φίλους γενομένους αὐτοῦ. οἱονεί τινας ἐκλελεγμένους διὰ τὴν ἀνδρείαν, ἵνα φυλάττωσιν αὐτόν. ἡ δὲ γραφή, πρὸς διάφορον ἐξήγησιν. ζήτει εἰς τὸ τέλος

Πέδιλα, τὰ ὑποδήματα. παρὰ τὸ ... τοῦ γράμματος. περιειλεῖσθαι αὐτὰ τοῖς ποσίν. ἢ παρὰ τὸ ἐν τῷ πέδῳ εἰλεῖσθαι. οὐ πάντως δὲ τὰ ῥηματικὰ ὀνόματα φυλάττει τὴν γραφὴν τοῦ ῥήματος, ὥσπερ εἴρω ἶρος, καὶ νείφω νιφάς. ἢ ὅτι πέδιλλα λέγουσιν οἱ αἰολεῖς, ὥσπερ ὅμιλος ὅμιλλος. εἰ δὲ ἐγράφετο διὰ τῆς ει διφθόγγου, πέδειλα ἂν ἐλέγετο. ὥσπερ κείρω κέρρω. φθείρω φθέρρω.

Πέλας, κατὰ τοπικὸν καὶ χρονικόν. καὶ ἐπὶ συγγενείας.

Πελιώματα, τὰ ἴχνη τῶν πληγῶν.

... λευκὸν δὲ τὸ πέμμα. ἢ ἀπὸ τοῦ πελάζειν καὶ ἱκετεύειν τὸν θεὸν διὰ τούτων.

Πέλαγος, τὸ μὴ πέλας τῆς γῆς. ἢ παρὰ τὸ τῆλε καὶ τὸ γῆ, τηλέγεόν τι ὄν. τὸ πόρρω τῆς γῆς ὄν. hebraice est peleg, unde πέλαγος

Πελαργός, ἐλλείψει τοῦ ρ ποιητικῶς. πελαργὸς γάρ. τοῦτο ἐπειδὴ λευκὰ καὶ μέλανα πτερὰ ἔχει, οὕτω καλεῖται τὸ ζῶον. πέλον γὰρ τὸ μέλαν. καὶ τὴν ἐπιφάνειαν τοῦ σώματος, ἡνίκα ἂν ὑποδρομὴν αἵματος δέξηται καὶ μελαίνηται, πελιώματα καλοῦμεν.

Πελαργικόν, τὸ ὑπὸ τυρρηνῶν κατασκαφὲν τεῖχος. οὓς καὶ θεασάμενοι τινές, πελαργοὺς ὠνόμασαν διὰ τὰς σινδόνας ἃς ἐφόρουν.

Πέλανοι, πέμματά ἐστι τινὰ ποιά. ἀττικοὶ δὲ λέγουσι πέλανον πᾶν τὸ πεπηγός. ὡς εὐριπίδης περὶ τοῦ ἀφροῦ τοῦ πεπηγότος περὶ τοὺς ὀδόντας, οὕτως ἔθηκε τὴν λέξιν· ἀφρώδη πέλανον ἐκ γενύων. ἀπολλώνιος. Πανδήμοιο μύλης πελάνους ἐπαλευρεύουσι. πέλανοι λέγονται τὰ πόπανα, ἀπὸ τοῦ πεπλατύνθαι, ἢ ἀπὸ τῆς παιπάλης. ἀπὸ γὰρ τοῦ λευκοτάτου κατασκευάζονται. καὶ ὅμηρος τὸ λευκᾶναι παλύναι φησί. πόπανα δὲ ἀπὸ τῆς πέψεως. πέπτειν γὰρ ποιοῦσιν. οὕτως εὐριπίδης φησί.

Πέλεκυς, παρὰ τὸ πέλειν ὠκύς. τὸ γὰρ πέλω σημαίνει καὶ τὸ γίνεσθαι καὶ εἶναι. σημαίνει καὶ τὸ ἀναστρέφεσθαι. ὅθεν ὁ μέλλων πελήσω. ἐξ οὗ καὶ πόλος ὁ οὐρανός.

Πελεμίχθη, ἐκινήθη. ἐσείσθη. ἀπὸ τοῦ πάλλω ὥς οἶμαι, ἢ ἀπὸ τοῦ πέλω. καὶ τὸ πελεμίζω, ἐκινεῖτο σημαίνει.

Πέλεια καὶ κίρκος. ἔστι γένει εἴδους ἱέρακος. ἔστι δὲ γένη ἱέρακος ὀκτὼ ὥς φησι καλλίμαχος ἐν τοῖς περὶ ὀρνέων. πέλεια δὲ περιστερᾶς εἶδος, οἷον φάσσαι. ἐτυμολογεῖται δὲ παρὰ τὸ πελλὸν, ὅ ἐστι τὸ μέλαν. καὶ ὥσπερ παρὰ τὸ μαῖα γίνεται μαιὰς μαιάδος, οὕτω καὶ παρὰ τὸ πέλεια, πελειὰς πελειάδος. καὶ πελίωμα τὸ μέλαν. καὶ τὸ πελλὴν λέγουσι βοῦν, τὴν τοιοῦτο χρῶμα ἔχουσαν. καὶ Πέλλην, πόλις μακεδονίας, ὅτι βοῦς αὐτὴν εὗρε. πέλλη, τὸ χρῶμα καὶ ὁ πελίας ὄνος.

Πέλω, βαρυνόμενον μὲν, σημαίνει τὸ ὑπάρχω. περισπώμενον δὲ, τὸ προσεγγίζω.

Πέλλας, ἰλιάδος π. Γλαγέας κατὰ πέλλας. ἀπὸ τοῦ πεπελικῆσθαι. ἔστι δὲ ξύλινα ἀγγεῖα.

Πέλμα, παρὰ τὸ πεπιλῆσθαι πλέον τοῦ ἄλλου δέρματος. ἢ παρὰ τὸ πέλας ἀεὶ καθεστάναι τῶν πεδῶν.

Πελοπηΐς. ὥσπερ παρὰ τὴν κέκροπος δοτικὴν, γίνεται κεκροπηΐς, αἰθίοπι αἰθιοπηΐς, οὕτω πέλοπι πελοπηΐς. καὶ πλεονασμῷ τοῦ η. περὶ παθῶν.

Πελοπόννησος. δύναται καὶ τοῦτο πλεονασμῷ ἔχειν τὸ ν. παρὰ γὰρ τὴν πέλοπος γενικήν. ὡσαύτως καὶ τὸ προκόννησος, ἀπὸ τῆς προκόνησος. περὶ παθῶν.

Πελωρὶς, νῆσος, ἢ τόπος. διονύσιος ὁ περιηγητής. σημαίνει δὲ μικρὸν, ὡς τὸ, Ἄκρα δέ οἱ παχύνος, πελωρίς τε λύβη τε καὶ μέγα. ὡς τὸ, Ἠνεμόεσσα πελωρίς. ἐς αὐσονίην ὁρόωσα. λέγεται δὲ πελωρὶς καὶ εἶδος ὀστρέου. παρὰ τὸ πέλωρον, ὅ ἐστι τὸ μέγα. ἐπειδὴ μείζων ἐστὶ τῆς χήμης, καὶ τῶν ἄλλων ὁμοίων ὀστρέων.

Πελώριος, μέγας. παρὰ τὸ πέλω τὸ ὑπάρχω καὶ τὸ ὥρα ἡ φροντίς. ὧ πέλει φροντὶς διὰ τὸ μέγεθος. καὶ πελώριον, τὸ μέγιστον.

Πεμπάσεται, ἀπὸ τοῦ πεμπάζω. σημαίνει τὸ διελθεῖν καὶ ἐρευνῆσαι. ἴσως ἀπὸ τοῦ πέμπω. αἰολικῶς δὲ τὸ κατὰ πέντε ἀριθμήσειν.

Πέμπελος, λυκόφων, ἡ γραῦς. παρὰ τὸ εἶναι πλησίον τοῦ πέμπεσθαι εἰς ᾅδην.

Πένθος, κυρίως ἐπὶ τῶν κατοιχομένων. παρὰ τὸ ἐν βαθυτάτω εἶναι τὴν ἐπ᾽ αὐτοῖς λύπην. παρὰ τὸ βάθος πλεονασμῷ τοῦ ν καὶ τροπῇ τῶν στοιχείων. ἢ διὰ τὸ ἐν βαθυτάτω εἶναι τοὺς τεθνεῶτας. τὸ δὲ κατωτάτω καὶ ἀφανὲς, βένθος ἐλέγετο. ὁ δὲ ἡρωδιανὸς παρὰ τὸ βάθος λέγει.

Πένης, σημαίνει τὸν ἐκ πόνου καὶ ἐνεργείας τὸ ζῆν ἔχοντα. παρὰ τὸ πένω τὸ ἐνεργῶ καὶ πράττω. ἐκ τούτου πενιχρός, ὡς μελιχρός.

Πένοντο, καὶ ἀμφεπένοντο, ἐν ἔργοισι. καὶ ἠσχολοῦντο, ἀπὸ τοῦ πένω τὸ κάμνω. ἀφ᾽ οὗ καὶ πόνος καὶ πονηρός.

Πενταχα κοσμηθέντες, ἰλιάδος λ. ἀντὶ τοῦ πενταχῶς.

Πεντηκόντορος, εἰς τὸ ἐρέτης.

Πεντηκοντόγυον, εἰς τὸ γύης.

Πέντοζος, ἡ χείρ. παρὰ τὸ πέντε ὄζους ἔχειν.

Πενέσται, οἱ δοῦλοι τῶν θετταλῶν, ὡς οἱ τῶν λακεδαιμονίων, εἵλωτες, καὶ τῶν κρητῶν κλαρῶται.

Πελτασταὶ, τοξόται τοὺς ξυστοὺς κατέχοντες.

Πέλτη, ἀσπὶς ἴτυν μὴ ἔχουσα. ὅθεν καὶ πελτασταὶ στρατιῶταί τινες οἱ πέλτην ἔχοντες. ὁ δὲ πέλτης, εἶδος ὅπλου οἷον ἀσπίς.

Πεντηκοστευόμενον, τῶν εἰσαγομένων εἰς τὴν πέραιαν φορτίων ἐκ τῆς ἀλλοδαπῆς πεντηκοστὴν ἐτέλουν οἱ ἔμποροι, καὶ τοῦτο ἐκάλουν πεντηκοστεύεσθαι. καὶ οἱ τὸ τέλος εἰσπράττοντες, πεντηκοστολόγοι καλοῦνται.

Πέλωρα, ὄνομα οὐδέτερον. τὸ ἀρσενικὸν ὁ πέλωρ. ὅ ἐστι, τὸ ἐξαίσιον καὶ φοβερόν. παρὰ τὸ πέλω καὶ τὸ ὥρα. οἷς ὑπάρχει ἀεὶ ἡ φροντὶς διὰ τὸ μέγεθος. οὕτως ἐτυμολογεῖται. παράγεται δὲ παρὰ τὸ προσπελάζειν καὶ προσεγγίζειν τῷ ὠρίωνι ὥς λέγει ὁ ποιητὴς ἐν τῷ χ διὰ τὸ μέγεθος αὐτοῦ. Ὅς τάς γ᾽ ἔρεξ᾽ ἐπεσσύμενον πεδίον, ὅσσ᾽ ἄρα τόπ᾽ ὤρησιν εἰσί. καὶ ἑξῆς. λοιπὸν πέλωρ πέλωρος. καὶ τὸ οὐδέτερον πέλωρον καὶ πελώριος. τὸ ρι, ι. ὡς ἕλωρ ἕλωρος ἑλώριος. τὰ γὰρ ἀπὸ τῶν εἰς ωρ, εἰ μὲν γένοιτο ω, διὰ τῆς ει διφθόγγου σημαίνει τὰ κτητικά. νεστόρειος. εἰ δὲ φυλάττει, διὰ τοῦ ι.

Πενταέτηρον, τὰ διὰ τοῦ ηρος ὑπὲρ δύο συλλαβὰς ὀξύτονα καὶ βαρύτονα, μὴ ἔχοντα ἀναφαινόμενον τὸ ο, μήτε ῥῆμα ἀντικείμενον, διὰ τοῦ η γράφεται. αὐστηρὸς τόπος. ἄβληρος κύριον. φάληρος, ἐξ οὗ τὸ τετραφάληρος. πενταέτηρος. σεσημείωται βαρυνόμενα δύο. κάμηρος. αἶρος. ὀξύνεται καυστηρός. ὅπερ γίνεται κατὰ διάλεκτον βοιωτῶν, ὡς τὸ τέθηκα τέθεικα. μὴ ἔχοντα ἀναφαινόμενον τὸ ο, διὰ τὸ ὄνειρος. ὄνοιρος γὰρ λέγεται αἰολικῶς. μὴ ἔχοντα δὲ ῥῆμα, διὰ τὸ μάγειρος. ζήτει εἰς τὸ κάμηρος.

Πέος, σημαίνει τὸ αἰδοῖον. οἶμαι ὅτι κατ᾽ ἔλλειψιν τοῦ ς. ὅτι σπᾶ καὶ ἐντείνεται. ἢ κατ᾽ ἔλλειψιν τοῦ λ, πλέος παρὰ τὸ πλησιάζειν. ἢ παρὰ τὸ πῶ τὸ κτῶμαι, δι᾽ οὗ κτώμεθα τέκνα. ἢ φέος, οἷον φύος, δι᾽ οὗ φύομεν τέκνα. ἐν ὦ ἐπενόησα.

Πεπάλασθε, κληρώσασθε. λάχετε. πάλος γὰρ ὁ κλῆρος. παρὰ τὸ πάλλω ῥῆμα τὸ κινῶ καὶ σείω. παλῶ παλάσω. ἐπειδὴ ἡνίκα ἂν κληρῶσιν οἱ κλῆροι πάλλονται. οἷον, Πάλλεν δὲ γερήνιος ἱππότα νέστωρ. ἐκ δ᾽ ἔθορε κλῆρος κυνέης.

Πεπαλαγμένον μεμολυσμένον καὶ πεφυρμένον. ἀπὸ τοῦ παλάσσω. ὅπερ ἀπὸ τοῦ πάλη τοῦ ἀλεύρου γίνεται. πάλη δὲ εἴρηται τὸ λεπτὸν τοῦ ἀλεύρου, ὅπερ δύναται ἐπιπάσσεσθαι διὰ λεπτότητα. παρὰ τὸ πάσσω μέλλοντα πάλη. ὡς δαμάσω δαμάλη. ἀνθήσω ἀνθήλη. καὶ γὰρ ὁ εἰς σω μέλλων τὴν σω βραχεῖαν ἐπὶ τὸ εἰς λη. εἰ δὲ ἔχει διπλοῦν, προσέρχεται, οἷον ζεύξω ζεύγλη. γώξω γώγλη. οὕτως οὖν πάσω πάλη. καὶ κατὰ ἀναδιπλασιασμὸν, παπάλη. καὶ τροπῇ, πεπάλη. οἱ δὲ ἀττικοὶ παιπάλη λέγουσι πλεονασμῷ τοῦ ι.

Πέπαρος, εἰς τὸ ὄνειρος.

Πέπει. παρὰ τὸ πέπτω πέσσω. τὸ εἰς πέψιν ἄγον τῇ θερμότητι τοῦ πνεύματος.

Πεπαρμένον. Χρυσέοις ἥλοισι πεπαρμένον. διαπεπαρμένον. ἔστι δὲ πείρω τὸ κεντῶ. παρῶ. πέπαρκα. πέπαρμαι. ἡ μετοχὴ πεπαρμένος.

Πεπείθαται, ἀπὸ τοῦ πείθω, πείσω. πέπεικα. πέπεισμαι. πέπεισαι. καὶ ἰωνικῶς, πεπείθαται. καὶ τὸ ἐπέπιθον, πείθω. ὁ δεύτερος ἀόριστος, ἔπιθον. καὶ ἀναδιπλασιασμῷ ἀττικῷ, ἐπέπιθον. ἐξ οὗ καὶ τὸ, καὶ σπουδῇ πεπιθόντες. καὶ τὸ ἀπαρέμφατον, πεπιθεῖν, πεπιθέσθαι. καὶ τὸ πεπίθοιμεν, ἀντὶ τοῦ πείσαιμεν. καὶ πεπιθοῦσα, μετοχὴ ἀορίστου δευτέρου καὶ μέλλοντος. εἰώθασι γὰρ τοὺς δευτέρους ἀορίστους ἀναδιπλασιάζειν οἱ ποιηταί. τὸ δὲ πεπιθήσω, γίνεται ἀπὸ τοῦ πιθῶ πιθήσω. καὶ κατὰ ἀναδιπλασιασμόν.

Πεπιλημένος, συνεσφιγμένος. ἀπὸ μεταφορᾶς τοῦ πίλου. ὅπερ ἐν τῇ ἐργασίᾳ ὑπὸ τῶν τεχνιτῶν κατασφίγγεται.

Πέπληγε, πλήσσω, ἔπλαγον ἐπὶ τοῦ ψυχικοῦ πάθους. ἐπὶ δὲ τοῦ σωματικοῦ, διὰ τοῦ η. ὁ δὲ ποιητὴς εἶπε κατεπλάγη διὰ τοῦ η. ἵνα μὴ νομίσωμεν ἐπὶ τοῦ σωματικοῦ λέγεσθαι, εἶπε φίλον ἦτορ. ἤγουν τὴν ψυχήν.

Πέπλος, τὸ γυναικεῖον ἱμάτιον καὶ ποικίλον. οἱονεὶ περιπελός τις ὤν. ὅτι περὶ τὸν φοροῦντα περιπελόμενος καὶ εἱλούμενος. καὶ πέπλος κατὰ συγκοπὴν τῆς ρι συλλαβῆς καὶ τοῦ ε. ἢ παρὰ τὸ πρέπω, πρέπαλος. καὶ συγκοπῇ πέπλος.

Πεπνυμένος, εἰς τὸ ἀπνύσω.

Πεποιήκαντι, δωρικῶς. οὗτοι γὰρ ἐποίουν τὸ ς εἰς τ, ἐπεισόδου πλεονασμῷ τοῦ ν. τὸ γὰρ κοινὸν, πεποιήκασι.

Πέπονες, ὦ πέπον. ὅτε μὲν τὸν εὐδιάλυτον δηλοῖ καὶ ἀσθενῆ. ὅτε δὲ τὸν προσηνῆ. καὶ τότε λαμβάνεται ἐπὶ ἐπαίνου. καὶ ἐπὶ μὲν τοῦ ἐκλύτου, ἀπὸ μεταφορᾶς τῶν πεπαινομένων καρπῶν. οἱ μετρίως μὲν πεπανθέντες, εὔχυλοι εἰσὶ καὶ ἀποδεκτοί. ὑπερπεπανθέντες δὲ, ἔκλυτοι καὶ σεσηπότες. διόπερ ἡ λέξις τὰ ἐναντία σημαίνει. ἀπὸ τοῦ πεπείρου καὶ ἀσφαλοῦς, καὶ ἀπὸ τοῦ σεσηπημένου. ἢ τῶν πεπόνων. ἃ τῇ μὲν γεύσει ἐστὶν ἡδέα, τῇ δὲ θίξει καὶ τῇ ἁφῇ, μαλακὰ καὶ ἀνένδοτα. ὅταν δὲ ἐστὶ τοὺς γενναίους, ἐκ τοῦ φόνος. φόνους δὲ ἔλεγον οἱ δωριεῖς τοὺς ἐπονειδίστους, ἤγουν τοὺς ἄξια φόνου δεδρακότας. καὶ παρὰ φρυγικῷ ἔθει καὶ ἀναδιπλασιασμῷ, πέφονες. καὶ τροπῇ, πέπονες. συστέλλεται δὲ ὡς κοινὸν τοῖς γένεσι.

Πέπονθα. ἀπὸ τοῦ πονῶ, πονήσω, πεπόνηκα, πέπονα. καὶ πλεονασμῷ τοῦ θ, πέπονθα.

Πέποσχε, ἀπὸ τοῦ πάσχω, πάσξω, πέπασχα. τὸ γ πέπασχε. καὶ κατὰ τροπὴν τοῦ α, πέποσχεν. ἐν ἁρπαγαῖς ἐπιχάρμου. Α δὲ σικελία πέποσχε.

Πέποσθε, ἰλιάδος γ, ἀντὶ τοῦ πεπόνθατε. ὁ μὲν ἡρωδιανός, ἀπὸ τοῦ πήθω τὸ πανθάνω. ὁ μέλλων, πήσω. πέπηκα, πέπησμαι, πεπήσμεθα, πέπησθε. καὶ συστολῇ τοῦ η εἰς ο. ἄλλοι δὲ ἀπὸ τοῦ πεπόνημαι, πεπονήμεθα, πεπόνησθε καὶ συγκοπῇ τῆς νη, πέποσθε.

Πεπόταται. ἀπὸ τοῦ πετῶ γίνεται πεπότημαι, πεπότηται, πεποτέαται ἰακῶς. καὶ κατὰ ἴωνας καὶ ἐκτάσει, πεποτήαται.

Πέπρακα. ἀπὸ τοῦ περῶ περάσω, πεπέρακα. καὶ κατὰ συγκοπὴν, πέπρακα. ζήτει εἰς τὸ ἐμπρήσω.

Πεπρωμένον. σημαίνει τὸ εἱμαρμένον καὶ ὡρισμένον, καὶ οἱονεὶ πεπερατωμένον. ἀφ᾽ οὗ γίνεται κατὰ συγκοπὴν πεπρωμένον, οἷον τύχην τὴν τὸ πέρας τοῦ βίου ὁρίζουσαν καὶ περατοῦσαν. βάβριος. Ἃ σοι πέπρωται, ταῦτα τλῆθι γενναίως καὶ μὴ σοφίζου. τῶν χρεῶν γὰρ οὐ φεύξῃ. καὶ πρίαμος λέγει. Ζεὺς μέν που τόγε οἶδε καὶ ἀθάνατοι θεοὶ ἄλλοι, ὁπποτέρω θανάτοιο τέλος πεπρωμένον ἐστίν. ἰλιάδος γ.

Πέπταμαι, ἐκ τοῦ ἵπτημι γίνεται. ὁ παθητικὸς παρακείμενος, ἔπταμαι, ἔπτασαι, ἔπταται. καὶ πλεονασμῷ τοῦ π, πέπταμαι αἰολικῶς. οἱ γὰρ αἰολεῖς εἰώθασι προστιθέναι σύμφωνον, ὥσπερ τὸ ἐπτερύγωμαι, πεπτερύγωμαι. καὶ ἀπὸ τοῦ ἔπτωκα, πέπτωκα. ἢ ἀπὸ τοῦ πτῶ. ὁ παρακείμενος, ἔπτωκα. καὶ πλεονασμῷ τοῦ π.

Πέπτω. ἀπὸ τοῦ πετῶ, πετήσω πεπέτηκα, καὶ κατὰ συγκοπὴν πέπτηκα καὶ πέπτωκα. ὡς οἰχῶ, οἰχήσω, ᾤχηκα. καὶ ᾤχωκα. ἀπὸ τοῦ πετῶ, παράγωγον, πετέω. ὡς χαλῶ χαλέω. τούτου γίνεται κατὰ συγκοπὴν, πεπτῶ, πεπτήσω. ὁ παρακείμενος, πέπτηκα. καὶ τροπῇ. ἀπὸ τοῦ πέδον γίνεται πεδῶ, πεδήσω, πεπέδωκα. καὶ κατὰ συγκοπὴν, πέπδωκα. ἐπειδὴ δασέα δασέων, καὶ ψιλὰ ψιλῶν, καὶ μέσα μέσων προηγοῦνται κατὰ σύλληψιν. οἷον πτῶσις, κτῆμα, ἐτράπη τὸ δ εἰς τ, καὶ γέγονε πέπτωκα. ἀπολλώνιος. Κύζικον ἐν κονίῃσι τε καὶ αἵματι πεπτηῶτα.

Πεπτηῶτα, ἀντὶ τοῦ ἐκτεταμένον. σημαίνει δὲ καὶ τὸν πεπτωκότα. ὡς τὸ, Πετάλοις ὕπο πεπτηῶτα. ἢ ἀπὸ τοῦ πέτω, ἢ ἀπὸ τοῦ πτήσσω, πτήξω, ἔπτηχα, ἐπτηχώς. καὶ ἰωνικῶς, πεπτηχώς. καὶ ἀποβολῇ πεπτηώς.

Πέπυσμαι, ἀπὸ τοῦ πεύθω, πεύσω, πέπευκα. ὁ παθητικός, πέπευσμαι, ἄρσει τοῦ ε, πέπυσμαι. ἀλλ' εἴ τις εἴποι ὅτι ἀπὸ τοῦ πυνθάνω δύναται εἶναι, ἐπεὶ οὐ τὰ διὰ τοῦ ανω ἄκλιτά εἰσιν. ὥστε πέπυσμαι ἐν ἐνδείᾳ τοῦ ε, ὡς καὶ τὸ τέτυγμαι ἀπὸ τοῦ τεύχω.

Πεπρωμένον. ἀπὸ τῆς μετοχῆς μετήχθη εἰς ἐπιρρηματικὴν σύνταξιν. ὡσπερ καὶ τὸ εἱμαρμένη. ἡ δὲ μετοχή, ἐκ τοῦ περατόω περατῶ περατώσω. καὶ ἔστι πεπερατωμένον. καὶ συγκοπῇ πεπρωμένον. σημαίνει δὲ τὸ προωρισμένον καὶ εἱμαρμένον. ἔστι δὲ παρ' Ἕλλησιν ἡ λεγομένη παρ' ἡμῖν πρόνοια. τὴν δὲ αὐτὴν εἱμαρμένην ἔλεγον καὶ ἀδράστειαν, διὰ τὸ μὴ ἀποδιδράσκειν ἅπαντα τὰ προορισθέντα.

Πέρας, παρὰ τὸ τέλος τέλας. καὶ τροπῇ τοῦ τ εἰς π καὶ τοῦ ἀμεταβόλου, πέρας. ἢ παρὰ τὸ τῆς ἔρας παῦσις εἶναι. ἐκ τοῦ πέρας γίνεται ῥῆμα περῶ. καὶ σημαίνει τὸ τελειῶ. ἢ ἐκ τοῦ περῶ περάσω. καὶ ἀποβολῇ τοῦ ω, πέρας.

Περάτη, λέγεται ἡ ἀνατολή. ὡς τό, Ἐκ περάτης ἀνιοῦσα, παλαίσσουσι δ' ἀταρποί. δύναται δὲ καὶ ἐπὶ δύσεως καὶ ἐπὶ ἄρκτου καὶ μεσημβρίας. λέγεται περάτη καὶ τὸ τέλος.

Περαιτέρω, πλέον πάνυ. ἀπὸ τοῦ πέρας περατέρω. πλεονασμῷ τοῦ ι, περαιτέρω. ὅσοι τὸ ἐγγυτέρω καὶ ἐγγυτάτω καὶ τὰ ὅμοια σὺν τῷ ι βούλονται γράφεσθαι, ἀπὸ δοτικῆς λέγουσιν αὐτὰ εἶναι. ὁ ἐγγύτατος τοῦ ἐγγυτάτου τῷ ἐγγυτάτῳ. καὶ ὁ ἀνώτατος τοῦ ἀνωτάτου τῷ ἀνωτάτῳ. καὶ λέγει ὁ Ἐπαφρόδιτος ὅτι τινὰ τῶν ἀρχαίων ἀντιγράφων σὺν τῷ ι εἶχον αὐτὰ γεγραμμένα. κρεῖττον δὲ ἐστὶ χωρὶς τοῦ ι ταῦτα γράφεσθαι. λέγει δὲ ὁ Τεχνικὸς ὅτι εἴ τις τὸ ἔξω σὺν τῷ ι γράφει, ἐπειδὴ οἱ Συρακούσιοι ἔξοι λέγουσιν, οὐκ ἐπιχειρεῖ καλῶς. ἰδοὺ γὰρ τὸ ἔνδον ἔνδοι λέγουσιν ὡς παρὰ Θεοκρίτῳ. Ἔνδοι Πραξινόα. καὶ ὅμως τὸ ἔνδον οὐ γράφεται διὰ τοῦ ο καὶ ι. τὸ οὖν ἄρτιον καὶ τὸ ἔξω γράφεσθαι χωρὶς τοῦ ι, εἰ καὶ λέγουσιν οἱ Συρακούσιοι ἔξοι. ζήτει εἰς τὸ ἔξω.

Πέπλαται. πλῶ. πλῆμι. ὁ μέλλων πλήσω. ὁ παρακείμενος, πέπληκα. ὁ παθητικός, πέπλαμαι, πέπλαται.

Πέρδιξ, παρὰ τὸ πυκνῶς ἄδειν. ἢ παρὰ τὸ πηδᾶν ἀπὸ τόπου εἰς τόπον. ἢ πέρδιξ, ὁ πυκνῶς διωκόμενος καὶ φεύγων. ἢ παρὰ τὸ πέδον, ὃ σημαίνει τὸ χαμαί, τὴν γῆν. χαμαιπετὲς γὰρ τὸ ζῶον, καὶ μὴ σφόδρα εἰς ὕψος αἰρόμενον, μηδὲ πυκνῶς ἵπτασθαι ἐν ἀέρι δυνάμενον.

Πέρθω, τὸ πορθῶ. τὸ πολιορκῶ. γίνεται παρὰ τὸ περιθέω, τουτέστι περιτρέχω τὴν γῆν καὶ τὴν πόλιν. ὁ παρακείμενος, πέπερκα. ὁ παθητικός, πέπερμαι, πέπερται. τὸ ἀπαρέμφατον πεπέρθαι. ἄρσει τοῦ διπλασιασμοῦ, καὶ γίνεται πέρθαι.

Περιδέραιον, περὶ τὸν τράχηλον κόσμος. ἀπὸ τοῦ δέρη αἰολικῶς, ὃ σημαίνει τὸν τράχηλον. ὁ δὲ Ὧρος ὁ Μιλήσιος, διὰ τῆς αι διφθόγγου γράφει καὶ δι' ἑνὸς ρ. ὃ μᾶλλον πιστέον.

Περιδώμεθα. καὶ Ἀριστοφάνης, Περίδου νῦν ἐμοί, καί, Ἐμέθεν περιδώσομαι. ἀντὶ τοῦ κατ' ἐμαυτοῦ συνθήκην ποιήσομαι. εἴρηται ἀπὸ τοῦ δῶ τὸ δεσμεύω.

Περιδέξω, ζήτει εἰς τὸ τέλος.

Περίηρς, ἐκ τοῦ περιήρης. ἄρσει τοῦ η, περίηρς. ταύτην ἐάν σοι προτεθῇ παρ' Ἀλκμᾶνι ὅτι κλῖνον αὐτό, μὴ κλίνῃς. οὐ γὰρ ἀκολουθεῖ ἡ κατάληξις εἰ γένοιτο περιήρους πρὸς τὴν περίηρς εὐθεῖαν. περιπαθῶν.

Περικαλλής, ἐκ τοῦ κάλλος γίνεται. Ὅστε πάρος περικαλλ' ἐόντε. ἀδύνατον τὴν μετοχὴν ἀπὸ τοῦ ο ἄρχεσθαι. θέλει γὰρ ἀπὸ τοῦ ε ἄρχεσθαι, Ἐκτὸς ἐόντας. καί, Ἔνθα δ' ἐόντ' ἐμάχοντο. ὥστε κατὰ ἔκθλιψιν ἐστί. ζητεῖται δὲ καὶ τοῦτο. τίνος ἐστὶν ἔκθλιψις, τοῦ α, ἢ τοῦ ε. περικαλλέα, ἢ περικαλλέε. ὅμοιόν ἐστι καὶ τό, Δύο φάρε' ἐΰνητόν τε χιτῶνα. καὶ ἔστιν εἰπεῖν, ὅτι σύνηθες τῷ ποιητῇ ἐκθλίβειν ἐπὶ τῶν δυϊκῶν τῶν ἀρσενικῶν τὸ ε. ἐπὶ δὲ τῶν οὐδετέρων, τὸ α.

Περικτίται, σημαίνει τοὺς κτίστας. ἐλλείψει οὖν τοῦ ς. ἡ δὲ χρῆσις παρὰ Ἀπολλωνίῳ.

Περικτιόνων. παρὰ τὸ οἰκῶ γίνεται περιοικῶ. πλεονασμῷ τοῦ τ καὶ ἐκβολῇ τοῦ ο. σημαίνει δὲ τοὺς περὶ κύκλῳ οἰκοῦντας.

Περίπατος. ἡ περὶ σχέσιν κυκλοτερῆ δηλοῖ, ὡς τό, περιέχεσθαι, περικάμπτειν. οὕτως ἔχει καὶ ὁ περίπατος. πάτος γὰρ τὸ πατούμενον. ἐξ οὗ τὸ κατὰ κυκλοτερίαν, περίπατος λέγεται. ἡ δὲ περί, ἔστι καὶ ἀντὶ τῆς ὑπέρ. ὡς τό, Περὶ μὲν βουλῇ Δαναῶν, περὶ δ' ἐστὲ μάχεσθαι. ἀντὶ τοῦ ὑπερέστε ἐν τῷ βουλεύειν, καὶ περίεστε ἐν τῇ μάχῃ, ὅπερ ἐστὶ τὸ ὑπερέχετε. ἐπὶ δὲ τοῦ περισσοῦ, Περὶ γάρ με φιλεῖ καὶ κήδεται. καί, Περίφρων Πηνελόπη. ἡ περισσόφρων. περισσῶς φρονοῦσα. φρόνιμος. ἐπὶ δὲ τοῦ ἡμῖν συνήθους, Αἱ περιναιετάουσι.

Περιπατρίης. Δεῖ γινώσκειν ὅτι πολλάκις εὑρίσκεται εἰς ην καθαρόν, εὐκτικὸν μὴ οὔσης τῆς μετοχῆς εἰς ς ὀξύτονον, διὰ τοῦ ν κλινομένης. τὸ γὰρ περιπατοίην, ὁ Ἀπολλώνιος οὕτω σχηματίζει. ἔστι περιπατρίμι. καὶ τὸ τρίτον, περιπατρῖ. καὶ ἀττικῷ πλεονασμῷ τοῦ η, περιπατρίη. εἶτα προσθέσει τοῦ ς, γίνεται τὸ δεύτερον περιπατρίης. τὸ τρίτον περιπατρίη.

Περιπέζια, τὰ παρὰ τὴν γῆν προσπελάζοντα. πέζα γὰρ οὐ μόνον ὁ πούς, παρὰ τὸ ἐν τῷ πέδῳ ἕζεσθαι, ἀλλὰ καὶ ἡ γῆ, παρὰ τὸ ἕζω.

Περιπλομένων ἐνιαυτῶν. ἀπὸ τοῦ πέλεσθαι ὅ ἐστι γίνεσθαι. οἷον, περιπελομένων, τῶν διαγινομένων. καὶ κατὰ συγκοπήν. καὶ περιτελλομένων, περιερχομένων.

Περιρρηδής, περιρραγής. περιρρυής. οὕτως Ἀλέξανδρος ὁ Κοτυαεύς. Πῖος δέ, περιφερής, περιρρυής. Ὧρος.

Περισθενής, περισσῶς τῷ σθένει χρώμενος, καὶ οὐ δυνάμενος αὐτὸν κατέχειν ἐν οἰκείῳ ὅρῳ. λέγεται τὸ περιώδυνος καὶ περιαλγής.

Περισκέπτω. Περισκέπτω ἐνὶ χώρῳ, τῷ ὑψηλῷ. ὅθεν ἔστι περισκέψασθαι διὰ τὸ ὕψος καὶ ἀπιδεῖν. ἢ ὅθεν ἐστὶ τὸ πέριξ ἰδεῖν. ἢ περίσκεπτον ὅ, τι ἂν καταυγοῦν θαυμάσειεν. οἷον, Ὄφρα γένωμαί σοι περίσκεπτον παίγνιον Ἀρσινόῃ. Δίδυμος ἐν ὑπομνήματι τῆς Ὀδυσσείας. οὕτως εὗρον ἐγώ.

Περιστερά, παρὰ τὸ πέτεσθαι στερρῶς. ἢ παρὰ τὸ περισσῶς ἐρᾶν. θερμότατον γὰρ κατὰ συνουσίαν ἐστί. διὸ καὶ τῇ Ἀφροδίτῃ ἀνάκειται. καὶ πολλάκις ὀχεύουσιν ἐν τῷ ἐνιαυτῷ, τῶν ἄλλων ὀρνέων μὴ ποιούντων τοῦτο. τὸ δὲ πυκνῶς, παρὰ τὴν περὶ πρόθεσιν ἀφῆκται.

Περίστῳον, σὺν τῷ ι γράφεται τῷ χαρακτῆρι τῶν διὰ τοῦ ωον. καὶ ὅτι ἀπὸ τοῦ στοιὰ γίνεται τοῦ σημαίνοντος τὴν στοάν, περίστοιον. καὶ ἐκτάσει τοῦ ο εἰς ω περιστῷον, εὐλόγως προπαροξύνεται. τὸ δὲ πρόστῳον προπερισπᾶται. καὶ ὤφειλεν ἢ τὰ δύο προπερισπᾶσθαι, ἢ τὰ δύο προπαροξύνεσθαι. ἐπειδὴ ἀπὸ τοῦ στοιὰ ἀμφότερα γέγονεν. ἀλλ' ἡ παράδοσις τὸ μὲν ἓν οἶδε προπαροξύτονον. τὸ δὲ ἕτερον, προπερισπώμενον.

Περισσός, παρὰ τὴν περὶ πρόθεσιν καὶ τὸ σεύω τὸ ὁρμῶ.

Περιστοιχίζω, ζήτει εἰς τὸ τέλος.

Περιουσιασμός, πλῆθος. ὕπαρξις φυσική.

Περίσταροι, περίβλεπτοι. ἐφ' οἷς ἄν τις σταίη βουλόμενος θεάσασθαι.

Περίττωμα, τὸ περὶ τὸ σῶμα καθάρσιον. οἱονεὶ τὸ περισσόν. ἀπὸ τῶν τρεφόντων τὸ σῶμα, καὶ εἰς οὐδὲν ἡμῖν ὠφέλιμον. ἢ ἀπὸ τοῦ περὶ τὸ σῶμα εἶναι, καὶ οὐκ ἐν τῷ σώματι μένειν.

Περιφραδέως, ἀντὶ τοῦ πάνυ ἐπιστημόνως καὶ ἐντέχνως. ἐμπειρίας γὰρ προσδεῖ τοῖς ὀπτῶσι, διὰ τὸ συχνοτέρως ἐποπτεύειν. παρὰ τὸ φράζω, φράδμων φραδής. καὶ φραδέως, ἐπὶ τῶν μετὰ λόγου καὶ ἐπιστήμης τι ποιούντων. Ὤπτησάν τε περιφραδέως.

Περιωπή, ὁ κάτοπτρος τόπος. καὶ ἔστι παρὰ τὸ περιόπτω ῥῆμα, περιοπή. ὡς κλέπτω κλοπή. ἡ δὲ τοῦ ο μετάθεσις εἰς ω, σεμνοτέραν ἐποίησε τὴν λέξιν. σημαίνει ἀκρώρειαν, ὑψηλὸν τόπον.

Περιώσιον, Ἰλιάδος δ. περισσῶς. παρὰ τὸ προσῆκον. παρὰ τὸ ὅσιον. γίνεται κατ' ἔκτασιν τοῦ ο εἰς ω. καὶ ὑπερώσιον ὁμοίως.

Περόνη, παρὰ τὸ πείρειν ὅ ἐστι κεντᾶν καὶ διαπερᾶν, τουτέστιν ἐμπερονᾶν. πόρπη δὲ ἡ φίβλα.

Πέρπερος, ὁ φλύαρος. ἀπὸ τοῦ περιφέρω γίνεται περίφερος. καὶ συγκοπῇ πέρφερος. καὶ τροπῇ τοῦ φ εἰς π, ὁ τοῖς λόγοις περιφερόμενος. ἢ παρὰ τὸ πτερὸν περίπτερος. καὶ ἐν συγκοπῇ πέρπερος. ὅθεν καὶ περπερεύεται, ἀντὶ ματαιοῦται. ἀτακτεῖ. κατεπαίρεται μετὰ βλακείας.

Πέρραμος, Πρίαμος αἰολικῶς. ποτὲ δύο ρρ, καὶ ποτὲ ἕν. καὶ ἔστιν εἰπεῖν ὅτι ἐὰν σύμφωνον ἐπιφέρηται, ἕν. οἷον, τέτρατος, τέταρτος, οὐκέτι δύο ρρ. οὐ γὰρ ἠδύνατο δύο ρρ. καίτοι ἐὰν μὴ ᾖ καθαρόν, δύο. ἐὰν δέ, σύμφωνον, ἕν. οἷον, Πρίαμος πέρραμος. ὑπερθέσει Πρίαμος, Πέρραμος, περὶ πάθος.

Περσεύς. Τὸν μὲν καὶ Περσῆα μετακλήϊσαν Ἀχαιοὶ οὕνεκ' ἄστεα πέρθεν ἀπειρεσίων ἀνθρώπων. Ὧρος.

Περσεφόνη, παρὰ τὸ φέρω καὶ τὸ φόνος, οἱονεὶ φερσεφόνη τις οὖσα, πρὸς ἣν ἀποφέρονται οἱ πεφονευμένοι. κατὰ τροπήν.

Πέσκος, σημαίνει κυρίως τὸ τοῦ προβάτου δέρμα. παρὰ τὸ πείκω πέκω πέκος, καὶ πέσκος κατὰ πλεονασμὸν τοῦ σ. ἢ παρὰ τὸ σκέπω σκέπος οὐδετέρως. καὶ μεταθέσει πέσκος. τὸ γὰρ δέρμα τὸ σκεπάζον ἐστί. ἢ οὗ τοῖς ἐρίοις ἐπὶ σκέπην χρώμεθα.

Πεσεῖν, ἀπὸ τοῦ πέδον ὅ ἐστι τῆς γῆς. τὸ ῥῆμα πεσῶ. πόθεν. παρὰ τὸ πέδον ὃ σημαίνει τὴν γῆν. κυρίως γὰρ τὸ πεσεῖν ἐστί, τὸ ἀπὸ ὕψους εἰς γῆν κατενεχθῆναι. καὶ πεσόντος, μετοχὴ δευτέρου ἀορίστου, ἀντὶ ἀναιρεθέντος. φονευθέντος. ἐκ δὲ τοῦ πεσῶ πεσήσω, γίνεται ὁ δεύτερος ἀόριστος, ἔπεσον. καὶ τὸ προστακτικόν, πέσε, πεσάτωσαν. σεσημείωται γὰρ ὁ ἔπεσον. αἱ ἔχουσι δεύτερον ἀόριστον ἔχοντες τὸ σ χαρακτηριστικόν. ἐκ δὲ τοῦ ἔπεσον ἡ μετοχή πεσὼν πεσόντος. ὅθεν τὸ εὐκτικόν, πέσοιμι. γίνεται δὲ ἐκ τοῦ πίπτω πέσω.

Πέσσει, κατάσχῃ, ἢ καταπραΰνει. καὶ πεσσέμεν, ἀπὸ ἐνεστῶτος. τὸ θέμα πέσσω. ὅθεν τὸ καταπέψῃ, ἀντὶ κατάσχῃ, καταδαπανήσῃ, ὅ ἐστι καταπραΰνῃ. ἡ δὲ μεταφορά, ἀπὸ τῶν ἐν τῇ γαστρὶ πλείονι χρόνῳ κατεχομένων σιτίων. καὶ γὰρ αὐτὰ ἂν μὴ κρατηθῇ τὸν ὡρισμένον καιρόν, ἀσθενούσης τῆς καθεκτικῆς δυνάμεως, οὐ πέπτεται, διὰ τὴν πέψιν οὖν τὴν ἐν αὐτῇ γινομένην. τὸ θέμα πέπτω. ὁ μέλλων, πέψω.

Πεσσοί, βόλια κυβιστῶν. πεσσὰ ὁμωνύμως, ἥ τε γραμμὴ καὶ ὁ ψῆφος. πέντε δὲ ἦσαν οἷς ἐχρῶντο. καὶ πεσσὰ πεντάγραμμα, καὶ τάχα ἡ πεττεία. οἱονεὶ πεντεία τις οὖσα. εὗρε δὲ αὐτὴν Παλαμήδης. καὶ δηλοῖ τὸ ἐπίγραμμα τῶν λϛ πρὸς τοὺς τόπους οὓς ἔχει τὸ παλαμήδειον ἀβάκιον. ἔστι πέσσω ὃ σημαίνει τὸ καταπίπτω. ὁ μέλλων πέσω. ἐξ αὐτοῦ ὄνομα πεσσός, ὁ ἐπιπίπτων ἐν τῷ βάλλεσθαι. καὶ τροπῇ πεττός. καὶ πεττεύειν, τὸ μεταφέρειν ἀπὸ τῶν πεττῶν, τουτέστι τῶν κύβων. πεττεύειν δὲ καὶ τὸ ταυλίζειν. γίνεται δὲ ἀπὸ τοῦ πεττὸς πεττεύω. δηλοῖ δὲ τὸ μετατιθέναι καὶ παίζειν. ἐπὶ δὲ τῶν πέντε γραμμῶν τὰς ψήφους ἐτίθουν. ὧν ἡ μέση γραμμὴ ἱερὰ ἐκαλεῖτο.

Πέταλον, σημαίνει τὸ φύλλον. παρὰ τὸ πέπτω πίπτω. πίπτουσι γὰρ ὁμειοῦνται. Ἰλιάδος β.

Πέτασαν, ἀπὸ τοῦ πετάζω πετάσω, ἐπέτασα, καὶ τὰ λοιπὰ δῆλα. Ἱστία λευκὰ πέτασαν. τοῦτο ἀπὸ τοῦ πετῶ βαρυτόνου. πετῶ γὰρ οὐκ εἴρηται.

Πεφωρίωσθαι, τὸν ὀφθαλμὸν πεπαχῦναι.

Πετεινόν. οἱ μὲν διὰ διφθόγγου γράφουσιν, ἐκ τοῦ τὴν πτέρυγα τείνειν ἐτυμολογοῦντες. ὁ δὲ Ἡρωδιανὸς ἐκ τοῦ πετῶ πετάσω, πτῶ πτήσω πτηνὸν καὶ πετηνόν. τὸ δὲ

πετεινόν ὡς ῥηματικὸν διὰ τοῦ η. ἐκ τοῦ πετῶ πετήσω πετηνόν. καὶ πλεονασμῷ τοῦ ε ποιητικῶς, πετεηνόν. ὥσπερ τε δὲ ὁ ποιητὴς διὰ τοῦ ε καὶ η προφέρει. ἔστι δὲ καὶ τοῦ γενικόν. ἔχεις εἰς τὸ ὄρνις.

Πετεῶς. ἡ εὐθεῖα ὁ πετέως τοῦ πετέω. καὶ πλεονασμῷ τοῦ ο ἀττικῶς.

Πέτεσθαι, ἀπὸ τῆς πτήσεως. παρὰ τὸ πέτω τὸ ἐπιπλῶ. ἐπειδὴ τῷ τοῦ σώματος μέρει δοκεῖ ἐπιπλεῖν τὰ πετόμενα ἐπὶ τοῦ ἀέρος. ὁ παθητικὸς ἐνεστὼς, πέτομαι. ὅθεν καὶ πέτονται. ἐκ τούτου γίνεται πέτος. καὶ σημαίνει τὸ ὕψος. ἐξ οὗ γίνεται πετῶ πετάς. καὶ κατὰ τροπὴν, ποτῶ. καὶ ἀπὸ μὲν τοῦ πετῶ γίνεται ὑψιπετής. καὶ χαμαιπετής. ἀπὸ δὲ τοῦ πέτω, ὁ δεύτερος ἀόριστος ἔπετον. οἷον, ἐπέτοντο κυπρογενῆς.

Πέρα, παρὰ τὸ πέπλεσθαι ῥαδίως, κατὰ ἀντίφρασιν.

Πεύθω, σημαίνει τὸ ἀκούω. ἀπὸ τοῦ κεύθω. ὁ γὰρ ἐρωτῶν καὶ μανθάνων τι παρά τινος, ἀποκεκρυμμένου πράγματος γνῶσιν ἐρωτᾷ μαθεῖν. Ἡ μάλα λυγρῆς πεύσεσθαι ἀγγελίης. τὸ δὲ πεύθω, σημαίνει καὶ τὸ ἐρωτῶ. ζήτει εἰς τὸ πύθεσθαι.

Πευκαλίμας φρένας, οἱονεὶ δριμείας καὶ σώφρονας. ἀπὸ δὲ τῆς πεύκης ἡ μεταφορά. ἡ δὲ πεύκη, εἶδός ἐστι δένδρου.

Πευκεδανός, καυστικός. θερμός. λέγει δὲ τοιοῦτον τὸν πόλεμον παρὰ τὴν πεύκην τὴν πρὸς καῦσιν ἐπιτηδείαν. σύνηθες δὲ ὁμήρῳ τὸν πόλεμον πυρὶ παραβάλλειν, διὰ τὸ τῶν μαχομένων πυροῦσθαι τὸ περικάρδιον αἷμα. ἢ ὁ πικρός, διὰ τὸ τὴν πεύκην εἶναι πικράν. ὡς ὁ ὀπὸς δηλοῖ.

Πέφνη, ζήτει εἰς τὸ ἔπεφνον. ἐκ τοῦ φῶ τὸ φονεύω, παράγωγον φένω. καὶ ἑξῆς. ἔστι καὶ τὸ παράγωγον τοῦ φῶ τὸ φονεύω, φίζω, φίσω, πέφικα, πεφισμένος. διὸ σημαίνει ἢ τὸ λεγόμενον, ἢ τὸ πεφονευμένον.

Πέφαται. ἐκ τοῦ φῶ, παράγωγον φημὶ, φήσω, πέφηκα, πέφαμαι, πέφασαι, πέφαται. καὶ τὸ πέφανται, πεφονευμένοι εἰσίν. ἀναιροῦνται. ἔστι καὶ ἐκ τοῦ πέφαγκα, πέφαμμαι.

Πεφοβήατο, εἰς τὸ βεβολήατο.

Πεφήσεαι, ἀντὶ τοῦ φονευθήσῃ. ἀπὸ τοῦ φῶ τὸ φονεύω.

Πεφιδήσεται, ἀντὶ τοῦ φείσεται, παθητικόν. ἀπὸ τοῦ φείδω φιδῶ, ὡς πείθω πιθῶ.

Πεφαργμένος. ἀντὶ τοῦ πεφραγμένος. καὶ ἐφάρξαντο, ἀντὶ τοῦ ἐφράξαντο, καὶ τὸ φρακτὸν, φαρκτόν. ὥστε ὑπερθέσις. περὶ πάθους.

Πεφωσμένος, ἀντὶ τοῦ κεκαυμένος, ἀπὸ τοῦ φώζω ὡς χρώζω. ὅπερ ἔχει τὸ ι.

Πέφηνα. φαίνω. φανῶ. ὁ παρακείμενος, πέφαγκα. ὁ μέσος, πέφηνα.

Πεφυζότες. ὥσπερ ἀπὸ τοῦ κίσσα γίνεται ῥῆμα κισσῶ, οὕτω καὶ ἀπὸ τοῦ φύζα, φυζῶ, φυζήσω, πεφύζηκα, πεφυζηκώς. καὶ συγκοπῇ, πεφυζώς. πεφυζηκότες, καὶ συγκοπῇ πεφυζότες. οὐδύναται γὰρ εἶναι μέσος παρακείμενος. οὐδέποτε γὰρ μέσος παρακείμενος διὰ δύο συμφώνων κατὰ σύλληψιν ἐκφέρεται, οὐ δὲ διὰ δύο διπλῶν χαρακτηρίζεται.

Πεῖνα, παρὰ τὸ πένω τὸ ἐνεργῶ. τὰ δὲ διὰ τοῦ ινα ἰταλικὰ πρὸ μιᾶς τὸν τόνον ἔχοντα διὰ τοῦ ι γράφεται. φαυστῖνα. μαρῖνα. πλὴν τοῦ πεῖνα.

Πείθρα παρὰ τὸ πείθω τὸ πιστεύω.

Πείκω καὶ πέκτω, ἔστι τὸ κτενίζω. ὅθεν καὶ πεξαμένη. ἢ παρὰ τὸ πέκω. καὶ πλεονασμῷ τοῦ ι, γίνεται πείκειν, σημαίνει τὸ ξαίνειν.

Πειραταὶ, οἱ κατὰ θάλασσαν λησταὶ καὶ κατὰ ποντισταί. παρὰ τὸ πειρᾶν ὅ ἐστι διαπερᾶν. οἱ, Ἀλεγεινά τε κύματα πείρων. ἢ παρὰ τὴν πεῖραν, ὃ δηλοῖ τὴν ἔφοδον καὶ ἐπέλευσιν.

Πεινῶ, παρὰ τὸ πένω πένομαι. ὃ παρέπεται πολλάκις τοῦτο.

Πείρησαι, ἀντὶ τοῦ ἀπόπειραν λάβε. παρὰ τὸ πειράζω. ἢ παρὰ τὸ πειρῶ πειρᾶς ἐπείρασα, καὶ τὸ προστακτικὸν πείρασαι. καὶ κατὰ τροπὴν πείρησαι.

Πεῖραρ, πέρας. τέλος. τὸ μὲν παρὰ τοῦ σχοινίου, Πεῖραρ ἐπαλλάξαντες ἐπ' ἀμφότερα τάνυσαν. ἐπὶ δὲ τοῦ περατος, Πείραρ ὀιζύος. καὶ πείρατα, ἐπὶ μὲν τῶν δεσμῶν, Ἐκ δ' αὐτοῦ πείρατ' ἀνῆφθη. ἐπὶ δὲ τοῦ πέρατα, Ἐς ἠλύσιον πεδίον καὶ πείρατα γαίης.

Πειραιεύς, πλεονασμῷ τοῦ ι πε公αιεύς(?)... πειραιεύς τινῶν. ἦν γὰρ ὅτε οὐ συνήπτετο τῇ γῇ, ἀλλ' ἦν νῆσος. γίνεται δὲ παρὰ τὸ περαιοῦσθαι. ἀπὸ τοῦ περῶ περαιῶ περαιεύς, καὶ πλεονασμῷ τοῦ ι.

Πειρήνη, πηγή ἐστιν ἐν κορίνθῳ, παρὰ τὸ πέτρα. ἢ παρὰ τὸ πέρας ἀπείρηνη, κατὰ ἀποβολὴν τοῦ α. οἱονεὶ ἡ πολλή. ἢ ἀπὸ ἀπειρήνος τινὸς ὠνόμασαι.

Πειρατήριον, ἀπὸ τοῦ πέτρα ὃ σημαίνει τὴν ἐμπειρίαν τούτου δὲ γίνεται παρὰ τὸ πείθω. τὸ καταπείθω. ἢ παρὰ τὸ περῶ τὸ τελειῶ.

Πείθω, σημαίνει τρία. τὸ ἐλπίζω, ἐξ οὗ καὶ πίστις. τὸ φιλονεικῶ, ἐξ οὗ καὶ πεῖσμα. σημαίνει διὰ τοῦ η καὶ τὸ πάσχω, ἐξ οὗ καὶ τὸ ἔπαθον δεύτερος ἀόριστος. ἐκ δὲ τοῦ πείθω τὸ ἐλπίζω, γίνεται ὁ μέσος παρακείμενος, πέποιθα.

Πειρίθους, παρὰ τὸ περιθέειν περίθους. καὶ πλεονασμῷ τοῦ ι. ὅτι γὰρ ζεὺς ὁμοιωθεὶς ἵππῳ, περιέτρεχε τὴν μητέρα αὐτοῦ δίαν. καὶ οὕτω συνεγένετο αὐτῇ, καὶ ἐκ τούτου ἐτέχθη. ἠμάρτηται δὲ κατὰ διόδοτον, ὅτι πλεονασμὸν ἔχει τὸ ε, μηδέποτε τῆς περὶ πλεοναζούσης. καὶ παρὰ τοῖς δωριεῦσι διὰ τοῦ η γράφεται.

Πείρινθος, ἢ καὶ πείρινθα λέγεται. σημαίνει δὲ τὸ τετράγωνον. τὸ ἐπάνω τῆς ἁμάξης εἰς ὃ ἐντίθεται τὰ κομιζόμενα. οὕτως ἀπίων. ὁ δὲ δίδυμος, τὸ ἐκ ῥιπῶν πεπλεγμένον πλινθίον εἴπονθα. καὶ καθ' ὑπερθέσιν καὶ πλεονασμῷ τοῦ ι πείρινθα. ἢ παρὰ τὸ περιθέειν, γίνεται πέρινθος, καὶ πλεονασμῷ τοῦ ι. ἡ περὶ οὐ μόνον ἐν τῷ περίθους, ἀλλὰ καὶ ἐν τῷ πείρινθος.

Πείρων, ἀντὶ τοῦ περᾶν, ἰλιάδος ψ. πάμφιλος περισπωμένως. λέγων τὴν πρόσθεσιν τοῦ ι μὴ ἐξαλλάσσειν τὸν τόνον. ὁ μέντοι ἀρίσταρχος βαρύνει. φησὶ γοῦν, Πεῖρε κέλευθον. εἰ γὰρ περιεσπᾶτο, ἦν ἂν ὁ παρατατικὸς ἐπείρουν. ἔστιν οὖν διττὸν τὸ ῥῆμα. καὶ τὸ μὲν σὺν τῷ ι βαρύνεται. πείρω. τὸ δὲ χωρὶς, περισπᾶται.

Πειώλης, σημαίνει τὸν πόρνον. παρὰ τὸ πέος καὶ τὸ ὄλω γίνεται πεώλης. καὶ πλεονασμῷ τοῦ ι, πειώλης. τουτέστιν ὁ διὰ τὸ πέος ἀπολλύμενος.

Πεῖσμα, εἴτε ἐπὶ τοῦ ἐν τῇ συνηθείᾳ λεγομένου, εἴτε ἐπὶ τῶν ἀπογείων σχοινίων, διὰ διφθόγγου γράφεται. παρὰ γὰρ τὸ πείθω πείσω γίνεται. τὰ γὰρ ἀπόγεια σχοινία, πείθειν καὶ εἴκειν τὴν ναῦν ποιοῦσιν. ἐκ τοῦ πείσω μέλλοντος γίνεται καὶ πέπεισμαι(?) ἡ πειθώ. τὸ δὲ πείσεται ἐπὶ τοῦ παθεῖν, ἀπὸ τοῦ πήθω πήσω ἐστὶ κατὰ τροπὴν τοῦ η εἰς ει δίφθογγον.

Πεισίστρατον, παρὰ τὸν πείσω μέλλοντα. φησὶ δὲ ὧρος, ὅτι ταῦτα τὰ δισύλλαβα ῥήμασιν τιθέμενα, κατ' ἀρχὰς εἰς ε μεταβάλλει τὸ ω. φέρω φερέοικος. ἢ εἰς ι, τέρπω, τερπικέραυνος. τὰ δὲ ἔχοντα τὸ ο, ἀπὸ τῶν εἰς ων εἰσιν ὀξυτόνων μετοχῶν. ἔφανον, φανῶν φανόδημος. φυγῶν φυγόπολις. ἔνια δὲ τὸ ε ἔχει. δακὼν δακέθυμος, δακεκάρδιος. καὶ τὰ παρὰ μέλλοντος ὡς ἐπὶ τὸ πλεῖστον διὰ τοῦ ι. φύσω φυσίζωος. μέμψω μεμψίμοιρος. σείσω σεισίχθων. ἔσθ' ὅτε καὶ εἰς ο. βρίσω βρισόμαχος. εἰ δὲ τὸ ι παραλήγεται ὁ μέλλων, διὰ τοῦ ο συντίθεται, μιξόθηρος. μιξοβάρβαρος. σεσημείωται τὸ δρυψόπαις μὴ παραληγόμενον τῷ ι καὶ διὰ τοῦ ο γινόμενον. σημαίνει δὲ τὸν κατεσπαραγμένον παῖδα. ἐπὶ δὲ τοῦ ἐνεστῶτος, ἔκθλιψις γίνεται ἐν τῷ ῥήματι φωνήεντος τέρπω τέρπανδρος. ἔχω ἔχεγγυος. φείδιππος. ἀλέξω ἀλεξάνεμος. πείσανδρος. πεισήνωρ. ἐπὶ δὲ μετοχῆς ὁμοίως ἔκθλιψις γίνεται. λιπὼν λίπανδρος. λίφαιμος. ἀντίκειται τὸ ἡσιεπὴς μὴ ἔκθλιψιν ποιήσαν τοῦ φωνήεντος. σημαίνει δὲ τὸν εὐστοχοῦντα ἐν τῷ λέγειν, παρὰ τὸν ἥσω μέλλοντα.

Πῆ, ἐπίρρημα ἐρωτήσεως ἀντὶ τοῦ ποῦ. ἔστι καὶ ἀόριστον. ὅτε δὲ ἐστὶν ἐρωτηματικὸν, περισπᾶται. διαφέρει δὲ τοῦ ποῦ. ὅτι τὸ μὲν πῆ, τὴν εἰς τόπον σχέσιν σημαίνει ὡς ὅμηρος φησὶ Πῆ ἔβη ἀνδρομάχη. τὸ δὲ ποῦ, τὴν ἐν τόπῳ. Ποῦ δὲ ὑ ροκιῶν (?) λίπες ἔκτορα. ὅθεν οὐ δεῖ λέγειν, ποῦ ἀπέρχῃ, ἀλλὰ πῆ.

Πηγὴ, παρὰ τὸ πηδῶ ῥῆμα.

Πηγεσιμάλλω, σημαίνει τὸν εὐπαγῆ καὶ εὐτραφῆ. ὁ εὐπεπηγμένος καὶ δασεῖς ἔχων τοὺς μαλλούς. παρὰ τὸν πήσω μέλλοντα, καὶ τὸ μαλλός. γέγονε πηγεσίμαλλος. πλεονασμῷ τῆς σι συλλαβῆς. καὶ σημαίνει τὸν μέλανας μαλλοὺς ἔχοντα. πόθεν δῆλον, ἐκ τοῦ εἰπεῖν τὸν ποιητὴν, Ὃς τ' οἰῶν μέγα πῶυ διέρχεται ἀργεννάων. ὁ γὰρ τοιοῦτος φοβερὸς φαίνεται ἐν πλήθει προβάτων.

Πηγὸς, σημαίνει δύο. τὸν εὐπαγῆ καὶ εὐτραφῆ, ὡς τὸ, Πηγοὺς ἀθλοφόρους. σημαίνει καὶ τὸ μέλαν, κατὰ διάλεκτον. ὡς τὸ, Κύματι πηγῷ. ἢ τῷ ηὐξημένῳ.

Πηὸς. τὸ πηὸς, ἢ ὅτι κατὰ διάλεκτον εὑρέθη πᾶος, ἢ ἐκ τῆς παραγωγῆς αὐτῆς. ἔστι γὰρ πῶ τὸ κτῶμαι. ὁ μέλλων πάσω, ἐξ οὗ καὶ πάμων. καὶ πολυπάμων. γέγονεν οὖν πᾶος. καὶ κατὰ τροπὴν, πηός. ἢ παρὰ τὸ πάσασθαι, ὅ ἐστι γεύσασθαι ἐξ ἐπὶ πολλῆς τῆς συγγενείας. καὶ οἱονεὶ ἐπίκτητον ἔχειν καὶ μὴ ἐξ αἵματος αὐτῷ προσηκόμενον. πηὸς γὰρ κυρίως ὁ κατ' ἐπιγαμίαν συγγενής. ὡς παρ' ὁμήρῳ.

Πηοί τε φίλοι τε. διαφέρουσι δὲ ἀλλήλων. φίλοι μὲν λέγονται οἱ μηδὲν τῷ γένει προσήκοντες. πηοὶ δὲ, οἱ κατ' ἐπιγαμίαν συγγενεῖς καὶ οἰκεῖοι.

Πηδάλιον. πηδὸς ἐστὶν εἶδος δένδρου. οἷον, Μέγα δ' ἔβραχε πήδινος ἄξων. λέγεται οὖν πηδὸς, ἡ πλάτη, διὰ τὸ ἐκ πίδου κατασκευάζεσθαι ξύλου.

Πηλαμὶς, παρὰ τὸ ἐν τῷ πηλῷ μένειν.

Πάληξ, κυρίως σημαίνει τὴν ὕβριν. ἔστι δὲ ἡ λέξις πεποιημένη, ὡς περ καὶ ἡ παροιμία. εἴρηται δὲ ἀπὸ τῆς τῶν παλήκων ὕβρεως, πάληξ πάληκος παληκίζω, οἱονεὶ παληκισμός. καὶ ἐν ὑπερθέσει πηλακισμός προπηλακισμός. ἄλλοι δὲ λέγουσιν ὅτι οἱ ἀρχαῖοι ὅτε ἤθελον ὑβρίσαι τινὰ καὶ ἐμπαῖξαι, πηλὸν ἔχριον τὸ πρόσωπον αὐτοῦ. ἀπὸ τοῦ πηλὸς, πήλαξ πήλακος πηλακίζω.

Παληγόνες, οἱ γίγαντες. καλλίμαχος, Πηλαγόνων ἐλατῆρα. εἴρηνται παρὰ τὸ ἐκ πηλοῦ γεγονέναι, τουτέστιν ἐκ γῆς.

Πηλεὺς, παρὰ τὸ πάλλω τὸ κινῶ, γίνεται παλεὺς. καὶ τροπῇ τοῦ α εἰς η, πηλεύς. τὸ πατρωνυμικὸν, πηλείδης. κατὰ διάλυσιν πηλεΐδης. κατὰ τροπὴν τοῦ ε εἰς η. πηληΐδης. ἰστέον ὅτι τὰ εἰς ευς εἰ μὲν καθαρὸν ἔχει τὸ ε, συναιρεῖται παρὰ τοῖς ἀθηναίοις. στειρεὺς στειριέως, στειριῶς. ζήτει εἰς τὸ βασιλεύς. εἰ δὲ μὴ καθαρὸν ἔχει τὸ ε, οὐ γίνεται κρᾶσις. ἐπὶ τούτων καὶ ἡ αἰτιατικὴ εἰς α μόνον κιρνᾶται καὶ οὐκ εἰς η. τῆς γὰρ κλητικῆς εἰς φωνῆεν ληγούσης, οὐ θέλει ἡ αἰτιατικὴ εἰς η καταλήγειν. οὔτε παρ' ἡμῖν, οὔτε παρὰ τοῖς ἀθηναίοις. παρὰ δὲ τοῖς δωριεῦσιν, εὑρίσκεται ἡ αἰτιατικὴ εἰς η, ὡς παρὰ τῷ ποιητῇ. Ἀγγελίην ἐπὶ τυδῆ στεῖλαν ἀχαιοί, ἀντὶ τοῦ ἐπὶ τὸν τυδέα. διὰ ταύτην τὴν αἰτίαν οὐ γίνεται ἐπὶ τοῦ ἔχοντος σύμφωνον ἡ κρᾶσις, οὔτε ἐπὶ τῶν καθαρῶν γέγονε κρᾶσις κατὰ τὴν κοινὴν γενικὴν, ἀλλὰ αἰτιατικήν. οὔτε ἐπὶ τῶν εἰς ις ἡ διὰ ιος. οὔτε ἐπὶ τῶν εἰς ις, ὄφις ὄφεως. ἐπειδὴ ἔμελλον αἱ αἰτιατικαὶ τοῦ χ εἰς η καταλήγειν. δεῖ δὲ γινώσκειν ὅτι τοῦ πηλεὺς ἡ κλητικὴ τοῦ κυρίου ὀνόματος, εἰς η ἐστὶ, πρὸς ἀντιδιαστολὴν τοῦ ἐθνικοῦ.

τὰ γὰρ εἰς ης, ἰσοσυλλάβως κλινόμενα, καὶ ἑξῆς. δεῖ προσθεῖναι χωρὶς τοῦ αἰήτῃ παρὰ ἀπολλωνίῳ. καὶ ὦ καλλιλαμπέτη καὶ ὦ εὐαρέτη. σημειοῦνται τὸ λάγυνος λάγυνου, ὦ λάγυνα. πυραίχμης πυραίχμου, ὦ πυραίχμα. καὶ μενέχθης ὦ μενέχθα. πρόσκειται ἐν τῷ κανόνι ἐθνικά, διὰ τὸ σκύθα καὶ καππαδόκα, παράκειται ῥηματικά, διὰ τὸ ἀρτοπώλης ἀρτοπῶλα. ἢ εἰς πης ὦπι, διὰ τὸ κυνώπης κυνῶπα. ταῦτα δὲ τὰ εἰς πης, ποιητικὰ λέγονται εἶναι. διὸ καὶ κατὰ τὴν ποιητικὴν ἐξουσίαν εἰς α ἔχει τὴν κλητικήν. χοιροβοσκὸς εἰς τὸν τέταρτον κανόνα τῶν ἀρσενικῶν. ἐκ τοῦ πηλείδης διαλύσει καὶ τροπῇ καὶ πλεονασμῷ τοῦ α διὰ τὴν κακοφωνίαν ἢ διὰ τὴν συνέμπτωσιν, γίνεται πηληϊάδης. ἔχει δέ τε χρονολογίαν τῶν πατρωνυμικῶν τὸ ἀπὸ ἐτυμολογικοῦ ὧδε.

Πήληξ, ἡ περικεφαλαία. ἀπὸ τοῦ πάλλεσθαι καὶ σείεσθαι τὰς περικεφαλαίας ἐν τῷ κλήρῳ, ὡς ὅμηρος. Κλήρους ἐν κυνέῃ πάλλον ἑλόντες.

Πηλός, ἐκ τοῦ πάλλω ἢ πλάσσω τὸ βρέχω καὶ μολύνω, γίνεται πηλός. ἡ βεβρεγμένη γῆ. πηλὸς λέγεται καὶ ὁ οἶνος, παρὰ τὸ πάλλειν καὶ σείειν ἡμῶν τὰς φρένας. οἱ γὰρ πίνοντες αὐτὸν, σείονται. ὅθεν καὶ κρεπάλη.

Πηλυγίς. Πηλυγὶς ὁ κρυόεντος ἀναπνείουσα μυχοῖο. συνεχὲς ἀργινόεσσαν ἀεὶ περιτέτροφε πάχνην. ἡ ἐκ τοῦ κρύους ψύξις. εἴρηται παρὰ τὸ πήσσω πηλύς, ὡς πληθύω πληθύς. ἐξ οὗ πηλυγίς. ἐκ γὰρ τῆς ἀχερουσίας ἄκρας ἐπὶ τὴν γῆν ἐστι κοίλη νάπη ἐν ᾗ ἐστι σπήλαιον τοῦ ᾅδου. ὕλῃ καὶ πέτραις κατὰ στόμιον πεπυκνωμένη. ὅθεν ἀνάπνοια ψυχροτάτη ἄνεισι οὖσα, πηγνύουσιν ἐκεῖ τὸ ὕδωρ, καὶ γίνεται πάχνη.

Πῆμα, σημαίνει τὴν βλάβην καὶ τὸ κακόν. παρὰ τὸ πήθω τὸ πάσχω. ἐξ οὗ πημαίνω. ὅθεν πημήνειαν, τὸ βλάψειαν.

Πηνελέως, παρὰ τὸ πήνω πηνέλαος, καὶ πηνέλεως ἀττικῶς.

Πήρα, τὸ σακκοπάριον. ἢ τὸ σακκίον μικρόν. φέρα τις οὖσα. ἡ πρὸς τὸ φέρειν εἰργασμένη. ἐκτάσει τοῦ ε καὶ τροπῇ τοῦ φ. ἢ πρὸς τὸ τηρεῖν καὶ φυλάττειν τὰ παρ' αὐτῆς κατεχόμενα εἰργασμένη, τηράτις οὖσα. διὸ καὶ τὰ παρ' αὐτῇ συγκείμενα. διὰ τοῦ η γράφεται. πηρός, κακόπηρος. μονόπηρος.

Πηρός, ὁ τυφλός. ἀπὸ τοῦ πήθω πήσω, πηρός. ὁ ἐπὶ παντὸς μέρους πεπονθώς. ἐξαιρέτως δὲ ἐπὶ τῆς ὄψεως.

Πηρίν, δικατάληκτόν ἐστι. σημαίνει δὲ τὸν ὄρχιν. ἀπὸ τοῦ σπείρω σπηρὶν καὶ πηρίν. παρὰ τὸ σπείρειν δι' αὐτοῦ τέκνα.

Πῆχυς, ἐπὶ τῆς χειρός. ἀπὸ τοῦ πεφηγέναι ἄκρῳ τῷ βραχίονι.

Πῆχυν προύχοντα, ἀπολλώνιος. οἱ μὲν μικρὸν ἱμαντίδιον τὸ συνέχον τὴν κώπην πρὸς τὸν σκαλμόν. ὅπερ ἀττικοὶ πηχυαλέα καλοῦσιν. οἱ δὲ τὸ ὄπισθεν μέρος τῆς κώπης. ὅπερ κατέχων ὁ ναύτης κωπηλατεῖ. τὸ δὲ Πήχυον βόθρον ὀρύξας ἐν ὀδυσσείᾳ, ἀντὶ τοῦ πηχυαῖόν ἐστι.

Πῖαρ, παρὰ τὸ πῖον ὃ σημαίνει τὸ λιπαρόν. ἀπὸ τοῦ πιδύειν. πιδύειν δὲ ὅ ἐστιν ὑγραίνεσθαι, γίνεται πῖον ἐξ ἀναδόσεως τῶν σιτίων. παρὰ τὸ πίω ὃ σημαίνει τὸ ποτίζω. ὁμήρῳ πίσω. καὶ πιαλία, ἡ κάθυγρος. λιβάδα ἔχουσα. ἐκ τοῦ πίω.

Πίδαξ, σταγών. πηγή. παρὰ τὸ πίω. ἀφ' οὗ καὶ πιδύειν. τινὲς δὲ παρὰ τὸ πηδᾶν κατὰ μετάθεσιν τοῦ η εἰς τὸ ι βοιωτικῶς. ὥσπερ ἥκω ἵκω. πηδᾶν γὰρ λέγεται καὶ ἐπὶ τοῦ ἁλλομένου ὕδατος κατὰ μετάθεσιν αἰολικήν. ἀπὸ τούτου γίνεται καὶ πιδύω, καὶ πιδύτης κύριον.

Πιέζω καὶ ὑποπιάζω, γίνεται παρὰ τὸ ἶπος τὸ θλίβω, ἰπάζω. καὶ ὑπερθέσει, πιάζω. τοῦ γὰρ πιέζω, τὸ πιάζω ἀναλογώτερόν ἐστι. τρία γὰρ μόνα εἰσὶν εἰς ζω δισύλλαβα τῷ ε παραληγόμενα. ῥέζω. ἕζω. χέζω, οὐδὲν δὲ ὑπερδισύλλαβον. τῷ ε παραλήγεται. κατὰ τροπὴν οὖν γίνεται πιέζω. ἴωνες μὲν οὖν καὶ ἀττικοί, πιέζω λέγουσιν. οἱ δὲ δωριεῖς πιάζω.

Πιδηέσσης, πηγὰς ἐχούσης, καθύγρου. πίδαξ γὰρ ἡ πηγή. ὅθεν καὶ πολυπίδακα, τὴν πολλὰς πηγὰς ἔχουσαν. κάθυγρον ἴδην λέγει. καί, Ἴδης ἐν κορυφαῖς κάθηται πιδηέσσης. ἰλιάδος λ.

Πιερίαθεν τόπου, ἔνθα αἱ μοῦσαι ἐγεννήθησαν. παρὰ τὸ πιὴρ γέγονεν. ἢ ἀπὸ τοῦ πιέρου ἀδελφοῦ τῆς μεθώνης. ἢ ἀπὸ πιερίας νύμφης. τὸ δὲ πιὴρ, παρὰ τὸ πίω ῥῆμα. ἢ παρὰ τὸ πῖον ὅ ἐστι τὸ λιπαρόν. ἔστι δὲ ὄνομα κύριον. καὶ πίειρα, ἡ λιπαρά. παρὰ τὸ πῖον. ἰλιάδος ς.

Πῖθι πακτωλοῦ ῥοάς, ἀντὶ τοῦ πίε. ἴων ἐν ὀμφάλῃ. ἀπὸ τοῦ πίω γίνεται πίε. καὶ κατ' ἔκτασιν τῆς θι συλλαβῆς πίεθι. καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ ι εἰς ι μακρόν, πῖθι.

Πίθος, παρὰ τὸ πίω, ἀφ' οὗ ἐστι πιεῖν.

Πιθάκνη, τὸ μικρὸν πιθάριον.

Πίθηκος, παρὰ τὸν πιθήσω μέλλοντα. ὅπερ ἀπὸ τοῦ πιθῶ γέγονεν, ἐξ οὗ καὶ τὸ πείθεσθαι. πείθει γὰρ ἡμᾶς τὸ ζῶον τοῦ δὲ χθὲς ὂν προσέχειν αὐτῷ.

Πικρός, παρὰ τὸ πευκινὸς τὴν πικρίαν. ἤγουν ὀδυνηρόν. χαλεπόν. ἢ παρὰ τὸ πεῦκος, ὅ ἐστι τὴν πεύκην. πλεονασμῷ τοῦ ρ καὶ τροπῇ πικρός, πικραίνω.

Πιλάρες, ἀπὸ τοῦ σπῖλος ὅ ἐστι τὸν ῥύπον, γίνεται σπιλάρες, καὶ κατὰ ἀφαίρεσιν τοῦ σ πιλάρες. τὸ λα, μακρὸν φύσει.

Πῖλος τὸ ἐξ ἐρίων εἰργασμένον πρὸς τὸ κοιμᾶσθαι ἐπιτήδειον. ὃ ἡμεῖς πιλωτὸν φαμέν. ἰλιάδος κ. Μέσσῃ δ' ἐνὶ πῖλος ἀρήρει. ἐν τῇ περικεφαλαίᾳ. καὶ ἡσίοδος. Κεφαλῆφι δ' ὕπερθεν πῖλον ἔχειν ἀσκητόν. τὸ καμελαύκιον λέγει. σημαίνει δὲ καὶ ὀρτάρια. πανυγία ὡς παρὰ τῷ αὐτῷ. πέδιλα καὶ ἑξῆς. Πίλοις ἔντοσθεν πυκάσας. γίνεται παρὰ τὸ πιέζω πιέσω, οἱονεὶ πιελός τις ὤν. καὶ κατὰ κρᾶσιν πῖλος, ἐπεὶ συμπεπίληται. ὁ δὲ ἀπολλώνιος, παρὰ τὸ πιλνῶ ῥῆμα ὃ σημαίνει τὸ προσπελάζω. καὶ γὰρ πιλνᾶται φησὶ καὶ συνάπτεται ἵνα κατασκευασθῇ. οἱ δὲ παρὰ τὸ πελάζω. ἐπεὶ συμπελάζει ἀλλήλοις τὰ ἔρια. ὥσπερ δὲ παρὰ τὸ φίλος γίνεται φιλῶ, οὕτω καὶ παρὰ τὸ πῖλος πιλῶ. καὶ ἔστι πρώτης συζυγίας. ὁμήρῳ, πιλήσω, καὶ οὐ πιλώσω ὡς ἐν τῇ συνηθείᾳ φαμέν.

Πίμπλαντο. ἀπὸ τοῦ πέλω. γίνεται καὶ κατὰ συγκοπὴν πλῶ. καὶ κατὰ ἀναδιπλασιασμὸν τοῦ μ, πιμπλῶ. παράγωγον πίμπλημι. ἤγουν τὸ πληρῶ. καὶ τὰ λοιπὰ δῆλα. ἀπὸ δὲ τοῦ πιπλῶ, πιμπλάνω. καὶ πιμπλάνεται, σημαίνει τὸ πληροῦται. ἰλιάδος ι.

Πιμελή, παρὰ τὸ πῖον καὶ τὸ μέλος, πιομελή τις οὖσα, ἡ πιαίνουσα τὰ μέλη. ἢ ὅπια μέλη ἔχουσα. ἤγουν δὲ τὸ λίπος. καὶ ἔστι θηλυκόν, καὶ ὀξύνεται.

Πιπρᾶσαι, φυσῶσαι. ἀπολλώνιος.

Πίναξ, ἡ σανίς. Πίνακάς τε νεῶν. καταχρηστικῶς δὲ καὶ τὸ σκεῦος λέγεται. ὡς τό, Κρειῶν πίνακας παρέθηκεν. ἐνταῦθα γὰρ τὰ σκεύη λέγει. ἐπειδὴ πάλαι ἐπὶ σανίδων ἴσως τὰ κρέα ἐτίθεσαν ὀπτῶντες. ἢ κατακόπτοντες. οὕτως ὦρος. ὁ δὲ χοιροβοσκὸς εἰς τὸ ἀνεκφώνητον λέγει πίνακας, ἐν οἷς αἱ ἀναγραφαὶ ἦσαν τῶν δραμάτων. ὁ οὖν καλλίμαχος ὁ γραμματικὸς ἐποίει πίνακα, ἐν οἷς ἦσαν αἱ ἀναγραφαὶ παρὰ τῶν ἀρχαίων. οἷς ἐντυχὼν ὁ γραμματικός, ἐποιήσατο τὰς ὑποθέσεις τῶν δραμάτων..

Πινάκιον, παρὰ τὸ τῇ πείνῃ ἄκος φέρειν. λέγεται καὶ ἡ γραφή, ὡς παρὰ τῷ δημοσθένει. Μικρὸν πινάκιον ταῦτα ἐπισχεῖν. ἐδήλου τὸ καὶ τὸ νῦν πινακίδιον τῶν κοινῶν γραμμάτων. σημαίνει συμβόλαιον δικαστικὸν ἐν ᾧ ἐπεγέγραπτο τὸ πρᾶγμα τοῦ κρινομένου, καὶ ὁ δῆμος.

Πιναρὸς καὶ πινάδης, ὁ ῥυπαρός. παρὰ τὸ πῖνος ὅ ἐστι τὸν ῥύπον. τοῦτο παρὰ τὸ σπῖνος ἀποβολῇ τοῦ σ. τοῦτο παρὰ τὸ σπῖλος τροπῇ τοῦ λ εἰς ν.

Πινοτήρης, ὁ τὴν πίνα τηρῶν ἤτοι τὸν λίθον. παρὰ τὸ πίνα οὖν ὁ λίθος καὶ τὸ τηρῶ. τὸ πι, ι. διὰ τί. τὸ γὰρ πεῖνα τὸ ἐπὶ τῆς ἐνδείας, δίφθογγον.

Πινύσκω. παρὰ τὸ πνέω πνύω. ὁμήρῳ πνύσω. πλεονασμῷ τοῦ κ, πνύσκω. καὶ ἐπενθέσει τοῦ ι. ἢ ἀναδιπλασιασμῷ, πιπνύσκω. καὶ ἀποβολῇ τοῦ π καὶ ἐκτάσει τοῦ ι, πινύσκω. ὡς γιγνώσκω, γινώσκω. ἄμεινον δὲ λέγειν πλεονασμόν, εἴπερ διπλασιασμόν. περὶ παθῶν.

Πινυτός, ὁ σώφρων καὶ συνετός. ἀπὸ τοῦ πνύω πνυτός. καὶ πλεονασμῷ τοῦ ι πινυτός. ἢ παρὰ τὸ πονῶ πονύω, πνυτός, καὶ πλεονασμῷ τοῦ ι. ὁ διεγηγερμένος. ἐκ τούτου πινυτὴ ἡ σωφροσύνη καὶ ἡ φρόνησις.

Πίνω, ἀπὸ τοῦ πίω γίνεται κατ' ἐπένθεσιν τοῦ ν. καὶ ἰστέον ὅτι τὸ πίνω μόνον ἐκτείνει τὸ ι. Πίνοντά περ ἔμπης. ἰλιάδος π. τὸ δὲ πίω ἐκτείνει καὶ συστέλλει. ἐκτείνει μὲν ὡς τό, Πίομεν ἐκ βοτάνης. ἰλιάδος υ. καὶ ἀριστοφάνης ἐν ἥρωσι. Πῶς πίομαι. συστέλλει δὲ ὡς τό, Οἵ κέ μοι αἷμα πιόντες, ἄκεον τότε δίψαν.

Πίπτω. ἀπὸ τοῦ πέτω πτῶ διπλασιασμῷ πίπτω. τὰ γὰρ πετόμενα, τοῖς πίπτουσιν ἔοικε. τὰ γὰρ εἰς πτω λήγοντα ῥήματα διχρόνῳ παραληγόμενα, συστέλλει αὐτό. βάπτω. σκάπτω. τύπτω. ἴπτω. λίπτω. σεσημείωται τὸ πίπτω φύσει μακρᾷ παραληγόμενον. ἀλλὰ καὶ ῥίπτω. ἀπὸ δὲ τοῦ πέτω, γίνεται πίπτω. τὸ γὰρ ε ἐν πλεονασμῷ συμφώνου γινόμενον τρέπεται εἰς ι. ὥσπερ δὲ ἀπὸ τοῦ ὄπτω αἰολικῶς ὄσσω, οὕτω καὶ πίπτω πίσσω.

Πίσα, ὄνομα πόλεως. οἱ μὲν ἀπὸ πίσου τινὸς ὠνομάσθαι, ἢ ὅτι κάθυγρός ἐστιν ὁ τόπος, καὶ πολὺ ὕδωρ ἔχουσα. πίση δὲ τὰ τοιαῦτα λέγουσιν οἱ παλαιοί. ὡς ὅμηρος. Καὶ πίσεα ποιήεντα, ἀντὶ τοῦ τοὺς καθύγρους τόπους. καὶ παρὰ ἀπολλωνίῳ. Πίσεά τε προλιπὼν καὶ ἑλεσπίδας. διὰ τοῦ ι γράφεται, ἐπειδὴ παρὰ τὸ πίω πίσω, ὡς λύω λύσω. ἐκ τούτου ῥηματικὸν ὄνομα πίσος, καὶ πίσεα. τὸν δὲ πίσω μέλλοντα ὁ τεχνικὸς μὴ εἰρῆσθαι φησί. καὶ ταῦτα εἰρημένου αὐτοῦ, καὶ παρὰ πινδάρῳ. οἷον, Πίσω γε δίρκης ὕδωρ. καὶ παρὰ εὐπόλιδι. Τῶν δ' ἂν οἶνος εἰ ἡ πόλις πίσει. ἀλλὰ μή ποτέ ἐστιν εἰπεῖν ὅτι μὴ εἰρῆσθαι ἐν πλάτει.

Πισός παρὰ τὸ πτίσσαι τὸ καθαίρειν, πτισὸς καὶ πισός.

Πιστός παρὰ τὸ πείθω γίνεται.

Πίστρα ἤγουν τὴν ποτίστραν, καὶ γίνεται παρὰ τὸν πίσω μέλλοντα.

Πίσυνος διὰ τοῦ ι. πεπιστευκώς. τεθαῤῥηκώς. πεποιθώς. παρὰ τὸ πιστός πιστόσυνος. ὡς δοῦλος δουλόσυνος καὶ κατὰ συγκοπὴν πίσυνος.

Πίσυρες, ἀντὶ τοῦ τέσσαρες. κατὰ τὴν κοινωνίαν τοῦ τ πρὸς τὸ π, καὶ τοῦ ε πρὸς τὸ ι. καὶ τοῦ α εἰς τὸ υ. οἷον, τέσσαρες καὶ πίσυρες.

Πιτνῶ, ἤγουν τὸ διαῤῥήσσω. ἀπὸ τοῦ πέτω πιτνῶ, ὡς ὀρέγω ὀριγνῶ. ὡς γὰρ λέγει περὶ παθῶν ἡρωδιανός, οὐ δύναται εἶναι ἀπὸ τοῦ πίπτω κατὰ πλεονασμὸν τοῦ ν. ἐπειδὴ μετὰ δύο ἀντιστοίχων μόνον τὸ ρ τίθεται. οἷον ἐχθρός.

Πίτυς, παρὰ τὸ πίπτω πίπτυς καὶ πίτυς. Ὀλολυζέτω πίτυς ὅτι πέπτωκε κέδρος.

Πιτύεια, ἄκρον ἐστὶ περὶ τὴν λάμψακον. καὶ πιτύεια πρότερον ἡ λάμψακος ἐκαλεῖτο, διὰ τὸ ἔχειν πίτυς πολλάς. ἀπολλώνιος.

Πίτυλος, κτυπιστής. φαντασιοποιός. παρὰ τὸ τύπτω τύπτιλος καὶ ἀποβολῇ τοῦ τ καὶ μεταθέσει τῆς ἐν ἀρχῇ συλλαβῆς πίτυλος.

Πιφαύσκω, ἐμφανίζω, ὅ ἐστι φανεροποιῶ. λέγω. παράγωγον φάζω. ὁμήρῳ, φάσω. καὶ φάσκω. καὶ πλεονασμῷ τοῦ υ, φαύσκω. καὶ ἀναδιπλασιασμῷ, πιφαύσκω. ὁ δὲ φιλόξενος ἀπὸ τοῦ φῶ. παράγωγον φαύω. ὁμήρῳ φαύσω. καὶ πλεονασμῷ τοῦ κ καὶ ἀναδιπλασιασμῷ, πιφαύσκω. λέγεται καὶ πιφραύσκω πλεονασμῷ τοῦ ρ.

Πίφιξ, εἶδος ὀρνέου. παρὰ τὸ πίω. χαίρει γὰρ τὸ ὄρνεον τοῖς ὕδασι.

Πίων, ἤγουν τὸ λιπαρόν. ἔστι πίω. ἐξ οὗ καὶ ποτόν. ὁ δεύτερος ἀόριστος, ἔπιον. λοιπὸν ἐκ τοῦ πίω γίνεται ὄνομα πίων. ὁ γὰρ λιπαρός, πιότητα ἔχει αὐτοῦ πιότης. διὰ τὸ ὑγραίνεσθαι τῇ ἀναδόσει τῶν σιτίων. οἱ δὲ παρὰ τὸ πόαν. τὸ πι μακρόν. κανών ἐστιν ὁ λέγων ὅτι

τὰ εἰς ων δισύλλαβα τῷ ι παραληγόμενα μὴ ὄντα κύρια, ἐκτείνει αὐτό. οἷον, κίων, πρίων. οὕτως οὖν καὶ πίων.

Πλαγγὼν, οὐκ ἀπὸ τοῦ πλάσσω. ἔμελλε γὰρ ἂν πλάδων, ὡς σπάσσω σπάδων, ἀλλὰ παρὰ τὸ πλάζω πλαγών. καὶ πλεονασμῷ τοῦ γ, πλαγγών. τοῦτο γὰρ εἰς πλάνην γίνεται καὶ ἀπάτην τῶν κορωνῶν.

Πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκός. ἀπεκρούσθη δὲ ἀπὸ τοῦ σιδήρου. παρὰ τὸ πλάζω πλάζομαι πλάχθη. καὶ πλεονασμῷ τοῦ γ. τὸ δὲ πλάζω, ἐκ τοῦ πλανῶ πλανάζω, καὶ κατὰ συγκοπήν. ἢ ἀπὸ τοῦ πελάζω πλάζω. καὶ πλάζουσι τὸ πλανῶσιν, Ἰλιάδος β. τὸ δὲ πλανῶ, ἐκ τοῦ πλάνη. τὸ δὲ πλάνη, ἐκ τοῦ ἄλη. ἢ διὰ τὸ πλαγιάζειν τὸν νοῦν. ζήτει καὶ τοῦτο ἐν τῷ πλαγγόνων.

Πλάστιγξ, ἡ μάστιξ. ἀπὸ τοῦ πλήσσειν παρ' Αἰσχύλῳ. πλάστιγξ δὲ, παρὰ τὸ πλατεῖαν εἶναι.

Πλαδαρὸν, χαῦνον, ὑγρόν. καὶ πλάδος, ἡ ὑγρασία ἡ ἐν τῷ στομάχῳ. παρὰ τὸ πλάζω τὸ πλανῶ, ἢ παρὰ τὸ πεπλάσθαι. καὶ παρὰ Ἀπολλωνίῳ, Πλαδόωσαν ἐπιστίζοντες ἄρουραν. ἀντὶ τοῦ διυγροῦσαν.

Πλακοῦς. πλάκας ἐκάλουν πάντα τὰ εἰς πλάτος ἐκτεταμένα, ὅθεν πλακόεις. καὶ ἀττικῇ συναιρέσει, πλακοῦς. τὰ δὲ εἰς ους συνηρημένα τῶν ἐντελῶν ἔχει τὴν κλίσιν. καλῶς δὲ εἴρηται τὰ συνηρημένα καὶ οὐχὶ τὰ πεπονθότα τῶν ἀπαθῶν. ἰδοὺ γὰρ ἡ εἰκών. καὶ ἀποβολῇ τοῦ ν, γίνεται εἰκὼ ἐπὶ τοῦ αὐτοῦ σημαινομένου, καὶ οὐ φυλάττει τὴν αὐτὴν κλίσιν. ἡ μὲν γὰρ, κλίνεται εἰκόνος. ἡ δὲ εἰκοῦς, ὡς Σαπφοῦς.

Πλάτος, παρὰ τὸ πλῶ τὸ πληρῶ. ἢ παρὰ τὸ ἐπιπολὺ τετάσθαι. ἢ παρὰ τὸ πολὺ καὶ τὸ ἄτος, ὅ ἐστι τὸ εὖρος.

Πλαταγὴ, κρόταλόν ἐστι χαλκοῦν. Ἀπολλώνιος, Χαλκείην πλαταγὴν ἐνὶ χερσὶ τινάσσων δούπει.

Πλατάνιστος, ὄνομα παρώνυμον. τὸ γὰρ πλατάνιστος, καὶ πρώτιστος, τῇ μὲν φωνῇ εἰσιν ὑπερθετικὰ, τῷ δὲ σημαινομένῳ καὶ τῷ χαρακτῆρι, ἀντὶ ἁπλῶν εἰσι καὶ εἰσὶ παρώνυμα. γίνεται δὲ ἐκ τοῦ πλάτους. λέγεται γὰρ εἶναι αὐτὴν πλατύφυλλον. εἰς τὸ χαριέστατος.

Πλαίσια, τὰ ποιοῦντα πλίνθους. οἷον, πλάσια, παρὰ τὸ πλάττεσθαι ἐν αὐτοῖς τοὺς πλίνθους. δηλοῖ δὲ καὶ τὴν τετραγωνοειδῆ τῶν στρατιωτῶν σύνταξιν ὡς λέγει Ἡρωδιανός. καὶ γίνεται παρὰ τὸ πέλας πελάσιον. καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ ι, πλαίσιον.

Πλέας. ἐκ τοῦ πλείων, πλέων. ἡ εὐθεῖα τῶν πληθυντικῶν, πλέονες. ἆρον τὴν ον συλλαβὴν, πλέες. καὶ ἰακῶς ὁμοίως, πλέας.

Πλευραὶ, αἱ πληροῦσαι καὶ ἀμύχουσαι. ἢ πλεωραί τινες οὖσαι, αἱ φυλάττουσαι τὸν πνεύμονα. ἢ πολύευραί τινες οὖσαι ὡς πλατεῖαι. καὶ πλευρὸν, παρὰ τὸ πέλειν εὐρὺ, ἤγουν πλατύ. καὶ πλευρὰ, παρὰ τὸ πολὺ καὶ τὸ εὖρος, πολύευρά τινα ὄντα, τουτέστι πλατεῖα. τὰ γὰρ ἀρσενικὰ ἢ θηλυκὰ εἰς οὐδέτερον γένος μεταπλαττόμενα, τοῦ σημαινομένου ὄντος, τὸν αὐτὸν τόνον φυλάττει. οἱ δεσμοὶ, τὰ δεσμά.

Πλεῖαι. Πλεῖαί τοι χαλκοῦ, ἀντὶ πλήρεις. γέμουσαι. ἀπὸ τοῦ πλείων κατὰ μετασχηματισμὸν, τὸ πλεῖος, καὶ πλεῖα. τὸ θηλυκὸν, πλεῖαι. ἐκ τοῦ πλεῖος ὡς τὸ, Πλεῖοι μέλανος θανάτοιο. ἐκ δὲ τοῦ πολὺς πολέος. ἐν συγκοπῇ πλέος καὶ μετὰ τοῦ ι, πλεῖος. καὶ τὸ συγκριτικὸν, πλείων. καὶ τὸ οὐδέτερον, πλεῖον. ἔστι δὲ τὸ πλεῖστον. ἢ παρὰ τὸ πολὺς πολεῖον, καὶ συγκοπῇ πλεῖον.

Πλειότερος, οὕτω κατεσκεύασται. ὅτι οὐ πάντα τὰ εἰς ων ὁμοίως ποιοῦσι συγκριτικὰ, ἀλλὰ μόνα τὰ παραληγόμενα θηλυκῷ καὶ οὐδετέρῳ γένει. τῶν γέ τοι ὀξυτονουμένων, οὐδὲν εἰς σύγκρισιν κλίνεται, οὐδὲ τοῖς γένεσι παρασχηματίζεται. οἷον, σαοφρονέστατος. τλημονέστατος. ἀπὸ τοῦ σάοφρων καὶ τοῦ τλήμων. οἷον, Ἀλλ' εἶμι· τὸ δ' ἤδη τλημονεστάτην ὁδόν. τὸ οὖν παρὰ Καλλιμάχῳ πλειοτέρη, οὐ παρὰ τὸ πλεῖον πεποίηται, πλειονέστερον γὰρ ἂν ἐλέγετο, ἀλλὰ παρὰ τὸ πλεῖος, ἀφ' οὗ καὶ Ὅμηρος. Πλεῖοι μέλανος θανάτοιο. καὶ, Πλεῖαι οἴνου κλισίαι. πλεῖος οὖν καὶ πλειότερος. ἡμαρτηται δὲ ὁμολογουμένως τὸ πολὺ χερειότερον παρὰ Ἡσιόδῳ. καὶ γὰρ συγκριτικὸν ὂν τὸ χεῖρον, ἐξ αὐτοῦ συγκριτικὸν ἐποίησεν, ὅπερ ἀδύνατον. καὶ ὅλως ὤφειλεν εἰπεῖν, χειρονέστερον ὤφειλεν. ἴσως οὖν ὁ Ἡσίοδος παρὰ τὸ χεῖρος τοῦ χερείου ἐποίησεν, ὡς ἀπὸ τοῦ πλεῖος, τὸ πλειότερος. οὕτω Φιλόξενος.

Πλειάρειν. τὴν γὰρ πλήρην, οὕτως ἔφη πλειάρειν. οἱ γὰρ Αἰολεῖς, τὸ η εἰς ει δίφθογγον μεταβάλλουσι. τὸ γὰρ πλήρης, πλείρης λέγουσι. περὶ παθῶν.

Πλέκω, παρὰ τὸ ἕλκω τὸ σύρω, γίνεται λέκω. καὶ πλεονασμῷ τοῦ π, πλέκω.

Πλειὰς, ὡς ἐκ πλειόνων ἀστέρων οὖσα. πλειὰς, ἀπὸ τῆς Πληϊόνης θυγατρὸς μὲν Ὠκεανοῦ, γυναικὸς δὲ Ἄτλαντος. λέγει δὲ Πίνδαρος περὶ τοῦ καταστερισμοῦ αὐτῶν, ὅτι τῆς Πληϊόνης πορευομένης μετὰ τῶν θυγατέρων κατὰ τὴν Βοιωτίαν, συναντῆσαι αὐτῇ Ὠρίωνα. εἶτα ἐρασθεὶς, ὥρμησε πρὸς τὸ ἁρπάσαι. τῆς δὲ φευγούσης μετὰ τῆς θυγατρὸς, Ὠρίων ἐδίωκε. γενέσθαι δὲ αὐτῶν τὸν δρόμον ἐπὶ ἔτη ἑπτὰ ἀδιάλειπτον. τὸν δὲ Δία διὰ τὴν κακοπάθειαν αὐτῶν οἱονεὶ μνημεῖα καταστερίσαι τὰς Πλειάδας φευγούσας τὸν Ὠρίωνα, ὅ ἐστιν ἐνιαυτός. σημαντικαὶ δὲ καὶ θέρους καὶ χειμῶνός εἰσιν αὗται. ἢ παρὰ τὸ πλεῖον ὃ σημαίνει τὸ πλῆρες γίνεται. καὶ πλειὼν δὲ αὐτῶν ὁ ἐνιαυτός. οἷον, ὁ πλήρης χρόνος. ἢ ἀπὸ τοῦ πλείονας χρόνους περιέχειν ἐν ἑαυτῷ. ἢ παρὰ τὸ πολεῖν καὶ διέρχεσθαι κατὰ τοὺς τεταγμένους χρόνους, καὶ ἐν τῷ αὐτῷ τόπῳ ἀναστρέφεσθαι, πολειὼν, καὶ συγκοπῇ πλειών. ἢ παρὰ τὸ πλειὰς γίνεται. καὶ γὰρ αἱ πλειάδες σημαντικαί εἰσι τοῦ ἐνιαυτοῦ. δύνουσαι μὲν γὰρ, τὴν ἀρχὴν τοῦ ἐνιαυτοῦ δηλοῦσιν. ἀνατέλλουσαι δὲ, τὸ τέλος. ὀξύνεται δὲ τὸ πλειὼν, ἐπειδὴ δοκεῖ περιεκτικὸν εἶναι.

Πλεισθένης, ἀπὸ τοῦ πλέον καὶ τοῦ σθένος, πλεοσθένης. καὶ κατὰ κρᾶσιν ἀττικὴν, πλεισθένης.

Πλειστοδίκεια. τὸ μὲν πλειστοδίκεια, παρὰ τὸ πλειστοδίκης ἐστὶν, ὅπερ ἀπὸ τοῦ δίκη ἐστί. τὸ δὲ πλειστοδόκεια, παρὰ τὸ πλειστοδόκη. ὅπερ ἀπὸ τοῦ δέκομαι ἰωνικοῦ ὄντος τοῦ σημαίνοντος τὸ δέχομαι. ἀμφότερα διὰ διφθόγγου τῷ λόγῳ τοῦ Πηνελόπεια.

Πλειστοῖο. Ἀπολλώνιος. Πολλὰ δὲ Κωρύκιαι νύμφαι Πλειστοῖο θύγατρες. τινὲς ἀναγινώσκουσι προπερισπωμένως. ἐπεὶ δὲ καὶ ὑπὸ τῶν ἐγχωρίων λέγεται πλειστὸς ὀξυτόνως. ἔστι δὲ ποταμὸς ἐν Δελφοῖς. Ἡρωδιανὸς δὲ ἐν τῷ καθόλου πλεῖστος βαρύνει. Κωρύκιον δὲ ἐστὶν ἄντρον ἐν Παρνασσῷ. ἀπὸ νύμφης Κωρυκίας καὶ Ἀπόλλωνος.

Πλεῖστος. Δεῖ γινώσκειν ὅτι τὰ εἰς στος ὑπερθετικὰ δισύλλαβα ὄντα, φυλάττει τὴν δίφθογγον. λώων, λῷστος. ῥάων, ῥᾷστος. μείων, μεῖστος. πλείων, πλεῖστος. τὰ δὲ εἰ εἴη ὑπὲρ δύο συλλαβὰς, ἀποβάλλει τὸ ε. ἀρείων, ἄριστος. χερείων, χέριστος.

Πλειστηριάσαντες, τὸ πλείονος πωλῆσαι τιμῆς ὅ τις ὠνήσαιτο.

Πλημμέλεια, ἀπὸ τοῦ πλημμελές. τὸ δὲ πλημμελὲς, παρὰ τὸ πάλιν ὃ σημαίνει τὸ ἐκ δευτέρου, καὶ τὸ μέλω τὸ φροντίζω, γίνεται παλιμμελῶ. καὶ συγκοπῇ πλημμελῶ. ἔστι δὲ τὸ ἐκ δευτέρου τὰ αὐτὰ φροντίζειν τοῦ λέγειν, ἢ ἐπαναλαμβάνειν.

Πλημμυρὶς, ἡ πλημμύρα. τὰ δὲ ἀπὸ βαρυτόνου ῥήματος, ὀξύνεται. βασιλεύω, βασιλίς. πλημμύρω, πλημμυρίς. τοῦτο ἀπὸ τοῦ πλήθω πλήσω, πλήμη, καὶ πλημμύρα. ἔνιοι δὲ ἐπίρρημα οἴονται εἶναι, ὡς τὸ λικριφὶς καὶ ἀμοιβαδίς. εἰ μέντοι ὄνομα ἐστὶν, εὐλόγως βαρύνουσιν αὐτὸ διὰ τὴν παρὰ Βακχυλίδῃ αἰτιατικήν. οἷον, Πλημμύριν πόντου φυγών. τὰ μὲν γὰρ ὀξύτονα τῶν εἰς ις θηλυκῶν, μόνως περιττοσυλλαβεῖ κατὰ τὰς πλαγίους πτώσεις. ἀσπὶς, ἀσπίδος, ἀσπίδι, ἀσπίδα. τὰ δὲ βαρύτονα, ἰσοσυλλάβως ἔχει τὴν αἰτιατικήν. Θέτις, Θέτιδος, Θέτιδι, Θέτιν. παρὰ δὲ τῷ ποιητῇ ἑκατέρως. Κύπριδα μὲν πρώτην. καὶ, Ὁ δὲ Κύπριν ἐπῴχετο.

Πλῆμναι, δι' ὧν ὁ ἄξων στρέφεται. παρὰ τὸ πληροῦσθαι ὑπὸ τοῦ ἄξονος. ἢ παρὰ τὸ πλήθω.

Πλήμνας, τοὺς τροχοὺς. τὰς σύριγγας. ἃς ἔνιοι χοινικίδας καλοῦσιν, εἰς ἃς ὁ ἄξων ἐνστρέφεται.

Πλὴν, τὸ χωριστικὸν ἐπίρρημα. εἴρηται δὲ κατὰ ἀντίφρασιν, ἀπὸ τοῦ πλῶ. τοῦτο δὲ ἀπὸ τοῦ πέλω τὸ πλησιάζω κατὰ συγκοπήν. σημαίνει τὸ χωρίς. σημαίνει καὶ τὸ ὅμως. ἔστι δὲ ἐπίρρημα τάξεως.

Πλῆντο. ἀπὸ τοῦ πέλω πλῶ. σημαίνει δύο. τὸ προσεπέλασαν. ὡς τὸ, Καὶ ῥ' ἔνες οὐδεῖ πλῆντο. Ἰλιάδος ξ. ἔστι καὶ τὸ ἐπληροῦντο. ὡς τὸ, Πλῆντο δ' ἄρ' αἴθουσαί τε καὶ ἕρκε' ἀνδρῶν.

Πληθύνω, ἐκ τοῦ πληθύς. τοῦτο παρὰ τὸ πληθύω. καὶ πλῆθος. τοῦτο παρὰ τὸ πλῶ πλήθω, ὡς νῶ νήθω.

Πλήρης, παρὰ τὸ πολὺ πολυήρης. καὶ κατὰ συγκοπὴν, πλήρης. ἢ ἔστι πλεῖος πλειήρης. καὶ κατὰ συγκοπὴν, πλήρης. κλίνεται πλήρους. καὶ ἔστι τριγενές.

Πλησίον, ἐστὶν αἰτιατικὴ ὀνόματος, καὶ μετηνέχθη εἰς ἐπίρρημα. καὶ ἔστι μονόπτωτον. ζήτει εἰς τὸ ἀπάσιος.

Πλόος, ἀπὸ τοῦ πλέω γίνεται πλόος καὶ πλοῦς. καὶ τί δήποτε τὸ γόος καὶ χλόος μὴ ἐποίησε γοῦς καὶ χλοῦς, ἐπειδὴ τὸ πλόος γίνεται πλοῦς, καὶ τὸ νόος νοῦς. καί φαμεν, ὡς τὰ ἀπαθῆ οὐκ εἰσὶ διηνεκῆ. ὅθεν οὐδεὶς ἐγκαλεῖ τοῖς ἀπαθέσιν. ἀλλὰ τοὐναντίον ὑπὲρ πεπονθότων ἀπολογοῦνται.

Πλύτης, εἰς τὸ ὑφάντης.

Πλόκαμοι, αἱ μακραὶ τρίχες. αἱ ἐπιτήδειαι οὖσαι πρὸς τὸ πλέκεσθαι. παρὰ τὸ πλέκω. ὅθεν καὶ πλοχμὸς καὶ πλόκαμος.

Πλούσιος, οἱονεὶ, πολυούσιος κατὰ συγκοπήν. ἐκ τοῦ πολὺς καὶ τὸ οὐσία, ὁ πολλὴν οὐσίαν ἔχων.

Πλοῦτος, παρὰ τὸ πολὺς, καὶ τὸ τῶ τὸ λαμβάνω καὶ δέχομαι, πολύουτος. καὶ συγκοπῇ, πλοῦτος. καὶ πλούτων λέγεται ὁ ᾅδης. ἀπὸ τοῦ τοὺς ἀποθανόντας μηδενὸς δεῖσθαι ὡς οἱ πλούσιοι. ἢ ὅτι ἐκ τῆς γῆς ὁ πλοῦτος εὑρίσκεται τοῖς ἀνθρώποις. ὅθεν καὶ Ἡσίοδος. Δημήτηρ μὲν πλοῦτον ἐγείνατο.

Πλυνοὶ, τόποι ἐν οἷς πλύνουσί τι. καὶ πλυνέας τοὺς πλύντας.

Πλώζω, ἔχει τὸ ι. σημαίνει δὲ τὸ πλωΐζω. ὥσπερ ἀπὸ τοῦ λέπω γίνεται λεπίζω, οὕτω καὶ ἀπὸ τοῦ πλώω πλωΐζω. καὶ κατὰ συναίρεσιν. ἢ ὥσπερ ἀπὸ τοῦ λέγω λόγος, οὕτως ἀπὸ τοῦ πλέω γίνεται πλόος, ἐξ οὗ πλοΐζω, ὡς ἄνθρωπος ἀνθρωπίζω. καὶ κατὰ ἔκτασιν τοῦ ο εἰς τὸ ω, πλωΐζω. καὶ κατὰ συναίρεσιν πλώζω. ὡς χρωΐζω χρώζω.

Πλίνθος, παρὰ τὸ ἐπὶ λίνον θέσιν εἶναι. καὶ πλινθεῖον, τὸ πλινθουργεῖον, ὅπου πλίνθοι γίνονται.

Πνευματέμφορον στόμα, τὸ ἀπὸ πνεύματος πεπληρωμένον. παρὰ τὸ πνεῦμα πνεύματος καὶ τὸ ἔμφορος γίνεται. τὸ δὲ πνεῦμα, παρὰ τὸ πνέω. καὶ πνεύμων. ἀναλογώτερον διὰ τοῦ μ. ταμίας γὰρ τοῦ πνεύματος. καὶ ἐν αὐτῷ τὸ πνεῦμα ἐστὶ πεπιλημένον.

Πνιγεὺς, παρὰ τοῖς κωμικοῖς ὁ φοῦρνος. ἔστι δὲ καὶ τοῦ ὑδραυλικοῦ ὀργάνου μέρος τι. σημαίνει καὶ τὸν φιμόν. καὶ γίνεται παρὰ τὸ πνίγω. ὁ δεύτερος ἀόριστος ἔπνιγον. ἐξ αὐτοῦ πνῖγος οὐδετέρως. καὶ σημαίνει τὸ καῦμα καὶ τὸ θέρος. καὶ παρώνυμον πνιγεὺς, καὶ σημαίνει τὸν κρίβανον καὶ τὸν φιμὸν τῶν ὑποζυγίων. τοῦ μὲν προτέρου τὸν οὐρανὸν λέγοντος, ὥσπερ ἐστὶ πνιγεύς. τοῦ δὲ δευτέρου, Περίθες σεαυτῷ τὸν πνιγέα. ἀντὶ τὸν φιμόν. καὶ ἔστι τὸ μὲν πνῖγος τὸ ι μακρὸν, ὡς γίνεσθαι παρὰ τὸ τὴν πνοὴν ἄγχειν, πνῖχος καὶ πνῖγος. τὸ δὲ πνιγεὺς βραχὺ, ἀπὸ δευτέρου ἀορίστου γινόμενον.

Πνὺξ, παρὰ Ἀθηναίοις ἡ ἐκκλησία. παρὰ τὸ πεπυκνῶσθαι τῷ πλήθει τῶν ἐκκλησιαζόντων ἐκεῖσε ἀνθρώπων. ἢ ὅτι πυκνά ἐστι περὶ αὐτὴν οἰκήματα. ἡ γενικὴ, πνυκός. διὰ δὲ εὐφωνίαν, πυκνός.

Πόα, ἡ βοτάνη. ἀπὸ τοῦ ποιῶ κατὰ ἀποβολὴν τοῦ ι. ἢ πόα ἐστὶν ὁ ἐνιαυτός, ἐκ τοῦ πόα. ἐπειδὴ κατὰ τὸν ἐνιαυτὸν πολλάκις αὔξεται καὶ ξηραίνεται. πόα δὲ εἴρηται ὁ ἐνιαυτὸς παρὰ τὴν ποιότητα. διὰ τὸ ἅπαξ καὶ μόνον ἐν τῷ ἐνιαυτῷ τὴν βοτάνην φύεσθαι. Καλλίμαχος. Αἴγυπτος προπάροιθεν ἐπ' ἐννέα κάρφετο ποίας. σημαίνει δὲ καὶ τὴν βοτάνην, ὥσπερ, Νεοθηλέα ποίην. Ἰλιάδος ξ. ποία ἡ πεποιημένη φωνή. διὰ τοῦτο ὀξύνεται. ζήτει εἰς τὸ ῥοιά.

Ποδαβρός, ὁ τὸν πόδα ἁβρός. πόδες, διὰ τὸ παίειν τὸ ἔδαφος.

Ποδάρκης, σημαίνει τὸν ταχὺν περὶ τὸν δρόμον. ὁ τοῖς ποσὶ τοῖς ἑαυτοῦ ἐπαρκεῖν δυνάμενος πρὸς τὸ ὑπεκφυγεῖν ἢ διώκειν τοὺς πολεμίους. Ὅμηρος. Ποδάρκης δῖος Ἀχιλλεύς. ἔστι δὲ καὶ ὄνομα κύριον. ὤφειλε δὲ εἶναι ποδαρκὴς ὀξυτόνως ὡς ἐπίθετον. ἀλλὰ σεσημείωται τὰ παρὰ τὸ ἀρκῶ. ἐξαρκῶ, καὶ αὐθάδης. ἔστι δὲ ἡ κλητικὴ πόδαρκες, ὡς αὔταρκες. καὶ τὸ οὐδέτερον ποδαρκὲς ὀξυτόνως. τῶν ἄλλων ὁμοφωνούντων τῇ κλητικῇ τοῦ ἀρσενικοῦ.

Ποδοκάκη, ὁ ἐν τῷ ξύλῳ δεσμὸς τῶν ποδῶν. ἤτοι διὰ τὸ τοὺς πόδας κακοῦν. ἔστι δὲ εἶδος παγίδος ᾧ χρῶνται οἱ κυνηγέται πρὸς τὰ θηρία. καὶ ξύλον ἐν ᾧ οἱ κακοῦργοι δεσμοῦνται. ποδοκατόχη τις οὖσα, ἐν ᾗ οἱ πόδες κατέχονται.

Ποδαλείριος, ὄνομα κύριον. οἱ μὲν λέγουσι διὰ τὸ ἔχειν τὸν πόδα λείριον, ἤγουν ἁπαλόν. ἀπὸ τοῦ γὰρ ἥρωος πόδα λέγειν ἁπαλόν. οἱ δὲ λέγουσι κατὰ στέρησιν ἀλείριος. καὶ ἐντεῦθεν ποδαλείριος. οἷον, ὁ τοὺς πόδας μὴ ἔχων ἁπαλούς, ἀλλὰ σκληρούς. κρεῖττον δὲ παρὰ τὸ ἔχειν τοὺς πόδας περὶ τὰ λείρια, ἤγουν περὶ τὰ ἄνθη. βοτανικὸν γὰρ ἰατρὸν τοῦτον ἡμῖν ὑποτίθησιν, Ἰατρὸς μὲν Ποδαλείριος ἠδὲ Μαχάων. Ἰλιάδος λ.

Ποδοστράβη, ἡ γινομένη πρὸς τὰ στρέμματα τῶν ποδῶν ξύλον. Ξενοφῶν δὲ τὴν ταῖς ἐλάφοις ἱσταμένην πάγην. παρὰ τὸ πούς καὶ τὸ στρέφω.

Ποδορρώη, ἐπώνυμον Ἀτλάντης. παρὰ τὸ πούς καὶ τὸ ὁρούειν. οἷον, ἡ τοῖς ποσὶν ὁρμῶσα.

Ποδεῶνες, οἱ ἑκατέρωθεν τοῦ ἀσκοῦ προύχοντες.

Πόθος, παρὰ τὸ πείθω τὸ πάσχω γίνεται πόθος κατὰ τροπὴν τοῦ η εἰς ο. ἢ ἀπὸ τοῦ πείθω τὸ εἰς συγκατάθεσιν ἄγειν. ἐκ τοῦ πέποιθα. ὁ γὰρ πόθος, πείθει τὸν ποθοῦντα ποθεῖν, ὁ ποθεῖ. ἐκ τοῦ πόθος γίνεται ποθεινός, καὶ ποθή, Ἰλιάδος α. Ἀρίσταρχος ὀξύνει. ὡς παρὰ τὸ χόλος τὸ πάθος, χολὴ δὲ ἀφ' οὗ τὸ πάθος, οὕτω καὶ πόθος τὸ πάθος. ποθὴ δὲ ἡ ἐπιπόθησις καὶ ἐπιθυμία. ἢ ὅτι τὰ εἰς ος δισύλλαβα τῷ ο παραληγόμενα ποιοῦντα θηλυκά, ὀξύνονται. οἷον, τρόφος, τροφή. νόμος, νομή. ῥόος, ῥοή. ταῦτα δὲ Ἡρωδιανός. ὁ δὲ Φιλόξενος εἰς τὸ ῥηματικὸν αὐτοῦ λέγει, ἀπὸ τοῦ πεύθω γέγονε πουθή, καὶ ποθή.

Ποῖ, παρὰ Ἀργείοις ἀντὶ τοῦ ποτί. ἀφαιρέσει τοῦ τ. εἶτα συνόδῳ, περὶ παθῶν.

Ποικίλος, παρὰ τὸ πέλω τὸ ὑπάρχω γίνεται ποικίλος. καὶ τροπῇ τοῦ ε εἰς ο, καὶ πλεονασμῷ τοῦ ι, ποικίλος, ὁ ἐπιμελῶς κατεσκευασμένος. παρὰ τὸ πύκα, ὁ πολλὴν ἔχων πυκνότητα ποικιλίας. λέγεται καὶ ὁ πανοῦργος.

Ποιμήν, παρὰ τὸ ἐν τῇ πόᾳ μένειν. κλίνεται ποιμένος. ἐξ αὐτοῦ γίνεται ποιμένη καὶ συγκοπῇ ποίμνη. ἐκ τοῦ ποιμένος γίνεται ποιμένιον καὶ συγκοπῇ ποίμνιον. καὶ πλεονασμῷ τοῦ η, ποιμνήιον.

Ποινή, ἡ ὑπὲρ φόνου ζημία καὶ ἀντέκτισις καὶ τιμωρία. φονητίς οὖσα πλεονασμῷ τοῦ ι. ὅθεν καὶ παρ' Ὁμήρῳ ἄποινα. οἷον, Λυσόμενός τε θύγατρα φέρων τ' ἀπερείσι' ἄποινα. σημαίνει δὲ τὰ ὑπὲρ ἀπολυτρώσεως φόνου προσαγόμενα δῶρα. καὶ ἄποινον ᾠδὴν τῷ κυρίῳ ὁ θεόπτης ἦσε Μωυσῆς ὑπὲρ τῶν Ἰσραηλιτῶν ῥυσθέντων τοῦ παρ' Αἰγυπτίων φόνου. καὶ εἶπεν, Ἄσωμεν τῷ κυρίῳ. Ἰστέον ὅτι ἔστι τείω διὰ τῆς ει διφθόγγου. ἐξ οὗ γίνεται τοινὴ καὶ ποινή. Εἰ δ' ἂν ἐμὴν τιμὴν Πρίαμος. καὶ ἑξῆς τίνειν οὐκ ἐθέλῃ μάχην ἕνεκεν ποινῆς. ἢ ἀπὸ τοῦ πόνος γίνεται πονὴ καὶ ποινή. ἐκ δὲ τοῦ ποινή γίνεται ποιναῖος καὶ ποιναίω, ἀντὶ τοῦ τιμωρητικῶ.

Ποιπνύειν, ἐνεργεῖν διακονεῖν. οἱονεὶ τὸ μετὰ σπουδῆς καὶ πνεύματος ποιεῖν τι. τῷ γὰρ ἐσπουδακότι ἐνεργεῖν, ἕπεται τὸ πνευστιᾶν. πνεῖν οὖν καὶ πνύειν. καὶ ἐν συνθέσει μετὰ τοῦ ποι ποιπνύειν. ἢ παρὰ τὸ πονῶ πονύω. καὶ πλεονασμῷ τοῦ π, καὶ τοῦ ι, ποιπνύω.

Πνεῦμα. Πνεῦμα ὁ θεός. καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. πνεῦμα ὁ ἄγγελος. ὥσπερ, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα. σημαίνει καὶ τὴν ψυχήν, ὥσπερ, Ζήσεται τὸ πνεῦμα αὐτοῦ. σημαίνει καὶ τὸν ἄνεμον. ὥσπερ, Πνεῦμα βίαιον. παρὰ τὸ παρέχειν ἡμῖν πνεῖν.

Ποιῶ, παρὰ τὸ ποιόν. ἢ παρὰ τὸ πονῶ, κατὰ ἀποβολὴν τοῦ ν καὶ πλεονασμῷ τοῦ ι. Ἰστέον ὅτι οἱ Ἀθηναῖοι ἀποβάλλουσι τὸ ι, λέγοντες ποῶ. καὶ ἀποροῦσί τινες λέγοντες, ὅτι εἰ ἄρα οἱ Ἀθηναῖοι ἐν τῷ κλαίω καὶ καίω ἀποβάλλοντες τὸ ι ἐκτείνουσι τὸ δίχρονον, διατί καὶ ὧδε ἀποβάλλοντες τὸ ι οὐκ ἐκτείνουσι τὸ ο, εἰς τὸ ω. καὶ ἔστιν εἰπεῖν ὅτι οἱ Ἀθηναῖοι ἀποβάλλοντες τὸ ι, τὸν αὐτὸν τόνον φυλάττουσιν ἐν τῷ κλάω κάω. τὸ δὲ ποιῶ καὶ μετὰ τὴν ἀποβολὴν τοῦ ι ἀναγκάζεται περισπᾶσθαι. εἰ δὲ ἐξετάθη τὸ ο εἰς τὸ ω, οὐκ ἠδύνατο περισπᾶσθαι. Τὰ γὰρ διὰ τοῦ αιω μὴ ἔχοντα ὀνόματα προϋποκείμενα βαρύνονται. μὴ ἔχοντα δὲ ὀνόματα εἴπερ, διὰ τὸ ἐρωῶ. λέγουσι δέ τινες ὅτι οὐ πάντως οἱ Ἀθηναῖοι ἀποβάλλοντες τὸ ι καὶ τὸν αὐτὸν τόνον φυλάττουσιν. ἰδοὺ γὰρ τὸ χροιά γινόμενον παρ' αὐτοῖς κατὰ ἀποβολὴν τοῦ ι χρόα βαρύνεται. ἔστι δὲ εἰπεῖν, ὅτι οὐκ ἐγένετο ἀπὸ τοῦ χροιά ὀξυτόνου, ἀλλ' ἀπὸ τοῦ χροία βαρυτόνου. καὶ γὰρ τὸ χροιά χροία λέγεται βαρυτόνως. ἢ ἀπὸ τοῦ χρούς χροός γέγονεν ἡ χρόα ἀττικῶς. καὶ ἐντεῦθεν ἡ χροιά, ἐν ὀξείᾳ τάσει.

Πόκος, τὸ συνειλιγμένον ἔριον. παρὰ τὸ πείκω τὸ ξαίνω. ὡς σπείρω, σπόρος. ἐξ αὐτοῦ γίνεται καὶ πόκος.

Πόλεμος, παρὰ τὰς πόλεις μειοῦν. ἢ παρὰ τὸ πολλοὺς ἅμα ἢ ὀξέως θερίζειν καὶ κόπτειν. ἢ παρὰ τὸ πόλεις ὀλλύειν. ἢ παρὰ τὸ ὀλῶ, ὄλεμος. καὶ πόλεμος οὐδετέρως τὸ πολέμιον. καὶ πλεονασμῷ τοῦ η, πολεμήια ἔργα.

Πολέμων. ὁ Ἡρακλῆς διὰ τὸ παλαῖσαι Ἀνταῖον. Φερεκύδης λέγει, ὅτι μετὰ τὸ παλαῖσαι αὐτὸν Ἀνταῖον καὶ ἀποκτεῖναι συνῆλθε τῇ γυναικὶ αὐτοῦ Ἰφινόῃ. καὶ ἐγέννησε Πολέμωνα. Ὧρος.

Πολεμώνιος, πόλις Πόντου. ἀπὸ Πολέμωνος βασιλέως, ὃς ἦν ἐπὶ Ἀντωνίνου τοῦ ἐπ' Αὐγούστου.

Πολέες, ἀπὸ τοῦ πολύς πολέος, ὡς ἡδύς ἡδέος. ἡ εὐθεῖα τῶν πληθυντικῶν, πολέες καὶ κράσει πολεῖς. ἡ αἰτιατικὴ πολέας, ἀντὶ τοῦ πολλούς.

Πόλις, σημαίνει δύο. τὰ κτίσματα. ὥσπερ, ἀλλ' ἄγε δὴ τὸν δύστηνον ἄγ' εἰς πόλιν. σημαίνει καὶ τὸ πλῆθος καὶ τὸν λαόν. ὥσπερ, Τρώων δὲ πόλις πᾶσα βέβηκε θάρσυνος. γίνεται ἐκ τοῦ πέλω τὸ ἀναστρέφομαι. παρὰ τὸ πολεῖν ἐν αὐτῇ. ἐν ᾗ ἀναστρέφονται οἱ ἄνθρωποι κατὰ τὸ αὐτό. ἢ παρὰ τὸ πολίζω τὸ οἰκῶ. ἢ παρὰ τὸ ἐκ πολλῶν συνίστασθαι. ἐκ δὲ τοῦ πόλις γίνεται πολίτης. καὶ πλεονασμῷ τοῦ η, πολιήτης.

Πολίσσαμεν, τὴν πόλιν ἐτειχίσαμεν. περιεβαλόμεθα, ἤγουν ᾠκοδομήσαμεν. Ἰλιάδος η.

Πολίειον, πόλις τῆς Ἰταλίας πρότερον Σῖρις καλουμένη. ἀπὸ Πολιάδος ἐμπόρου. ἢ ὅτι Ἀθηνᾶς Πολιάδος ἱερὸν ἐν αὐτῇ ἐστιν.

Πολιά, ἐπὶ τῆς τριχός. παρὰ τὸ λευκὴν εἶναι. τὸ γὰρ λευκὸν πολιὸν λέγεται. ἢ παλαιὰ καὶ πολιά. ὡς γὰρ ἐπὶ τὸ πλεῖστον ἐν γήρᾳ γίνεται. ὅθεν καὶ πολιῆς ἁλὸς τῆς λευκῆς διὰ τὸν ἀφρόν, ἢ τῆς παλαιᾶς.

Πολιοκροτάφους τε γέροντας. Ἰλιάδος θ. ἀπὸ μέρους πολιοὺς συνεκδοχικῶς. ἢ τοὺς ἐντίμους καὶ λαμπροὺς ταῖς διανοίαις.

Πολιοὶ λύκοι, γράφονται καὶ πελλοὶ πυρροὶ ἢ μέλανες. ὡς παρὰ τῷ ποιητῇ Ἰλιάδος κ. ῥινὸν πολιοῖο λύκοιο. ἢ ὑπότεφροι. ἢ τίμιοι. τίμιον γὰρ τὸ ζῷον. καὶ παρ' Ἀθηναίοις ὁ ἀποκτείνας λύκον ἀγείρεται αὐτῷ τὰ πρὸς ταφήν. καὶ ἴσως ἐπειδὴ ἡ Λητὼ ἔγκυος οὖσα διὰ δώδεκα ἡμερῶν εἰσῆλθε μεταβαλοῦσα εἰς λύκον. διὸ παρὰ τὸ ὡρισμένον τίκτει παῖδα λύκαινα. ἢ πολιοὺς λέγει τοὺς λευκούς. αἱ γὰρ τρίχες αὐτῶν τὸ μὲν ἔχουσι πυρρόν. τὸ δὲ λευκὸν τὸ δὲ μέλαν ἐν αὐταῖς. οἷον, τὸ μὲν κάτω πρὸς τῷ δέρματι λευκόν. τὸ δὲ μέσον, μέλαν. τὸ δὲ ἄνω, πυρρὸν καὶ τὸ ἀνάπαλιν. εὑρίσκεται οὖν ἡ θρὶξ τρεῖς ἔχουσα χροιάς. πολιοὺς οὖν ἀπὸ τοῦ λευκοῦ μέρους τῶν τριχῶν, τοὺς λύκους εἶπεν.

Πολιόν τε σίδηρον, ἔνιοι φασίν, ὅτι πυρωθεὶς ὁ σίδηρος λαμπρότερος γίνεται φύσει μέλας ὤν. καὶ ἅμα δὲ πολλὰ ταὐτὸ πάσχει. ἄλλοι πολιόν, ἀντὶ τοῦ ἔντιμον διὰ τὰς χρείας. ἢ ὅτι λαμπρυνθεὶς καὶ ἀλοηθεὶς λευκὸς φαίνεται.

Πόλιον, σημαίνει βοτάνην. διὰ τὸ πολιὸν εἶναι. ἤγουν λευκήν. ὡς παρὰ Νικάνδρῳ ἐν Ἀλεξιφαρμάκοις.

Πολλοί, ἡ εὐθεῖα ὁ πολλός. εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι ἀορίστου. σχήματος ἁπλοῦ. εἴδους πρωτοτύπου. ὀξύνεται. Τὰ εἰς λος λήγοντα δισύλλαβα ἀρσενικὰ ἐπίθετα ἑτέρῳ λ παραληγόμενα, μὴ ἔχοντα τὸ ω, ὀξύνεται. κυλλός. ἰλλός. ψελλός. σεσημείωται τὸ ἄλλος ὡς ἐπιμεριζόμενον. τὰ γὰρ ἐπιμεριζόμενα ἅπαντα βαρύνονται. τὸ δυϊκὸν οὐκ ἔχει. τὰ δὲ δυϊκὰ τοῦ πολλός ἀπέλειψαν κατὰ σημασίαν. γίνεται δὲ παρὰ τὸ πέλω. τὸ μᾶλλον τῶν ἄλλων ὑπαρκτικόν. τὸ θηλυκὸν πολλή. διαφέρει τοῦ πολύς, ὅτι δι' ἑνὸς λ.

Πόλοι, οἱ ἐν τῷ οὐρανῷ. ἔστι δὲ ἄστρων θέσις. παρὰ τὸ περὶ αὐτοὺς ἀναστρέφεσθαι τὸν κόσμον. ἤγουν τὸν οὐρανόν, ἅτε πόλον καλούμενον.

Πολυάϊκος πολέμοιο. πολλὰς ὁρμὰς καὶ κινήσεις ἔχοντος. ἀστάτου. ἀπὸ τοῦ ἀΐσσω, ἀΐξω, γίνεται πολυαΐξ.

Πόλυβος, συγκοπῇ καὶ οὐχ ὑφαιρέσει. εἰ γὰρ κατ' ἔλλειψιν ἐγένετο τοῦ υ, ὤφειλεν εἶναι πολύβος, ὡς ὠκύπους. προπαροξύνεται τοίνυν. ἢ ἀπὸ τοῦ πολύβοιος συγκοπῇ, ἢ ἀπὸ τοῦ πολύβιος. περὶ παθῶν.

Πολυδίψιον Ἄργος. πολλὴν δίψαν ἐκφέρον. ἢ τὸ πολλοῖς ἔτεσι διψῆσαν. ἄνυδρον γὰρ οὖσαν τὴν Πελοπόννησον, ἔνυδρον ἐποίησε Δαναὸς ἐλθὼν ἀπὸ τῆς Αἰγύπτου καὶ οἰκήσας αὐτήν. τῶν γὰρ θυγατέρων αὐτοῦ ζητουσῶν ὑδρεύσασθαι, μιᾶς αὐτῶν τῆς Ἀμυμώνης ἠράσθη Ποσειδῶν καὶ ἔδειξεν αὐτῇ τῇ τριαίνῃ πλήξας τὰς ἐν Λέρνῃ πηγάς. ἢ τὸ πολυπόθητον μεταφορικῶς ἀπὸ τῶν διψώντων. ἄλλοι δὲ πολυΐψιον, πολυβλαβές. καὶ πλεονασμῷ τοῦ δ.

Πολυδεύκης, Πολυδεύκους. τὰς Ἰλιάδος γ. τὰ εἰς ης ὀνόματα κύρια σύνθετα ἀπὸ ῥήματος παρηγμένα, εἰς ους ἔχει τὴν γενικήν. ὡς Ἀριστοφάνης, Ἀριστοφάνους. ζήτει, εἰς τὸ ἀδευκής.

Πολλά, σημαίνει δύο. ἐπίρρημα ἀντὶ τοῦ πολλαχῶς. Πολλὰ δ' ὅ γ' ἐν πόντῳ πάθεν ἄλγεα. ἀντὶ δὲ τοῦ ἡμῖν συνήθους, Πολλὰ δέ οἱ πρόβατα ἔσκεν.

Πόλτιν, παρὰ τὸ πέλω τὸ ἀναστρέφομαι κατ' ἀντίφρασιν. σημαίνει δὲ τὸ ξυλόκαστρον.

Πολύϊδος, Ἰλιάδος ε. Ὁ δ' Ἄβαντας μετῴχετο καὶ Πολύϊδον. ἐν ἄλλοις δὲ διὰ τοῦ ι συνεσταλμένου. ὡς παρὰ Σοφοκλεῖ. ὁρῶ πρὸ χειρῶν Πολυΐδου τοῦ μάντεως. καὶ πάλιν ὁ αὐτός. Οὐκ ἔστιν εἰ μὴ Πολυείδῳ. Χοιροβοσκός.

Πολυθρύλητον, πεφημισμένον. διαβεβοημένον. ὀνομαστότατον.

Πολύζυγος, ὄνομα θηλυκὸν ἐκ τοῦ πολύς καὶ τοῦ ζυγός. κανών ἐστιν ὁ λέγων. ὅσα τὸ πολύ ἔχει ἐν τῇ συνθέσει. κατὰ τὴν ἀρχήν, ὀνόματος ἐπιφερομένου ἢ ῥήματος ἐν τέλει, προπαροξύνεται. πολύκαρπος, πολύϊδος. τὸ δὲ πολυφάγος παροξύνεται. καὶ τὰ παρὰ τὸ φαγεῖν συντιθέμενα, κατὰ τὸ τέλος παροξύνονται. ποηφάγος, ὁ ποιμήν. παμφάγος. ὠμοφάγος.

Πολύκρημνος μὲν διὰ τοῦ η, ἡ πολλοὺς κρημνοὺς ἔχουσα. διὰ δὲ τοῦ ι. ἡ πολλὰς κριθὰς ἔχουσα, διὰ τὸ εὔκαρπον τοῦ τόπου.

Πολυκάγκης, πολύξηρος, ξηραντικός. ἐκ τοῦ καῶ τὸ καίω γίνεται πολύκης. καὶ κατὰ ἀναδιπλασιασμὸν πολυκάκης. καὶ πλεονασμῷ τοῦ γ. πολυκάγκης. πολυκαγκέα δίψαν. Ἰλιάδος λ.

Πολύκεστος, πολυκέντητος, πολύγραφος ποικίλος.

Πολυκτόριον. τόπος ἐν Ἰθάκῃ. ἀπὸ Πολύκτορος οὗ καὶ ὁ ποιητὴς μέμνηται.

Πολυλήϊος, πλούσιος πολλὰ λήϊα ἔχων, ἢ πολλὰ θρέμματα. τὸ δὲ πολύλιτος, ἐλλείψει τοῦ ς.

Πολυπάμμων, Πολυπάμμονος ἀνδρός, ἀντὶ τοῦ πολυθρεμμάτου πλουσίου. πάω, πῶ. ἐστὶ τὸ κτῶμαι. ὁ μέλλων, πάσω. ῥηματικὸν ὄνομα πάμμων καὶ πολυπάμμων. καὶ πάσασθαι τὸ κτήσασθαι κυρίως θρέμματα. καταχρηστικῶς δὲ πάντων ὁποίων. καὶ πασάμενος πολλάκις Ξενοφῶν λέγει ἀντὶ τοῦ κτησάμενος. καὶ Θεόκριτος. Πασάμενος πολίταις ὅτε συρακοσίοις ἐπιτάσσεις, ἀντὶ τοῦ κτησάμενος.

Πολυφόρβην τὴν πολλοὺς τρέφουσαν γῆν. ὅθεν καὶ ἱπποφόρβια καλεῖται, τὰ τοὺς ἵππους τρέφοντα.

Πολυωπὸν τὸ δίκτυον. ἀπὸ τοῦ πολλὰς χωρία. ὀπὰς ἔχειν. τουτέστι τὸ περιωπὴν ἐκτείναντο, ἔσω.

Πολιωρῶ, πολυωρήσεις με. ἔστιν ὠρῶ τὸ φυλάσσω. καὶ μετὰ τοῦ πολὺ ἐπιρρήματος, γίνεται πολυωρῶ, πολυωρήσω, ἤγουν ἐπὶ πολὺ φυλάξω.

Πομπός, ἄγγελος. σύνοδος. καὶ πομπὴ ἡ ἀποστολή. Ἰλιάδος ζ. λέγεται δὲ πομπὴ καὶ ἡ μετὰ σταυροῦ λιτή, καὶ ἄφοδος καὶ δημοσίευσις.

Πομφόλυγες, αἱ ἐκ τῶν ὄμβρων, ἤγουν καταφερομένων ὑδάτων ἐπὶ ὕδασιν εὐδιάλυτοι κυρτώσεις. ἤγουν, τὰ φυσήματα. ὅθεν καὶ ἐπὶ τῶν διακενῆς φυσιουμένων. ἢ ὅλως ἐπαιρομένων λαμβάνεται ἡ λέξις. παρὰ τῷ παμφλάζω ῥῆμα ἄλλο παράγωγον παμφαλύζω. ὁ μέλλων παμφαλύξω ῥηματικὸν ὄνομα παμφάλυξ. καὶ τροπῇ τῶν δύο αα εἰς ο, πομφόλυξ.

Πόνος παρὰ τὸ πένω τὸ ἐνεργῶ καὶ κάμνω. σημαίνει δὲ τὸ γυμνάσιον. ὡς παρὰ Ἱπποκράτει. Ἄσκησις ὑγιείης, ἀκορίη τροφῆς. ἀοκνίη πόνων. σημαίνει καὶ τὴν ὀδύνην ὡς παρὰ τῷ αὐτῷ. δύο πόνων προκειμένων μὴ κατὰ τὸν αὐτὸν τόπον. σημαίνει καὶ τὴν βλάβην. ὡς ὁ αὐτὸς πάλιν. Ἐν ᾧ νοσήματι ὕπνος πόνον ποιέει θανάσιμον. ἐκ δὲ τοῦ πόνος γίνεται

Πονηρεύω. παρὰ τὸ πονηρὸς πονηρεύω πονῶ πονήσω. καὶ εἰ μὲν κατὰ ψυχὴν πονηρὸς ὀξύνεται. εἰ δὲ κατὰ τὸ σῶμα πόνηρος βαρύνεται. ἐξ οὗ καὶ τὸ, Ἰὼβ ἔπεσεν ἕλκει πονήρῳ. ζήτει εἰς τὰς διαφοράς.

Πονεύμενον, ἐπιπονοῦντα. μαχόμενον. ἐκ τοῦ πονέομαι πονεόμενος, καὶ κράσει δωρικῇ πονεύμενος.

Πόντος, σημαίνει τὴν θάλασσαν. ἀπὸ τοῦ πνέω, ἐν ᾗ αἱ πνοαὶ καὶ οἱ ἄνεμοι. ἢ ἀπὸ τοῦ πόνος πόντος, καθ' ὃν πεπόνηνται περὶ τὸν πλοῦν τὸ τῶν ἀνθρώπων γένος. καὶ ἀπὸ τοῦ πνέω πνόος καὶ πόντος, ἐξ οὗ καὶ αἱ πνοαὶ γίνονται. Ὅμηρος, Αἶψα δὲ πόντον ἵκανον ἀήμεναι. καὶ πόνων ἐπωνύμως ὁ πόντος. ἢ παρὰ τὸ πίνω, ὁ πίνων τοὺς κινδυνεύοντας. ἢ παρὰ τὸ πέπονται ἀπὸ τοῦ πάθω.

Πολύτροπος, Ὀδυσσείας α. οὐδαμοῦ τῆς Ἰλιάδος παλίμβολόν τινα τῶν ἡρώων ὠνόμασε. τάχα οὖν πολύτροπον φησὶ τὸν λόγιον. τὸν ἱκανῶς ποικίλως τῇ γλώττῃ χρώμενον. ἢ τὸν πολλὰ τρέποντα τὴν διάνοιαν. συνετὸν ἢ πολλῶν ἔμπειρον τόπων.

Πομπεῖα, τὰ εἰς τὰς πομπὰς κατασκευαζόμενα. οἷον, θυμιατήρια καὶ φιάλαι. πομπὴ γὰρ ἄφοδος ἐξ ἀποστολῆς δημοσία τις. καὶ πέμψαι, οὐ μόνον τὸ ἀποστεῖλαι, ἀλλὰ καὶ τὸ πομπεῦσαι.

Ποππύσματα, κολακεῖαι ἵπποις ἀδαμάστοις.

Πόπανα, πλακούντια ἀπὸ ἄρτου. παρὰ τὸ πέπτω τὸ χωνεύω. ἢ παρὰ τὸ ὀπτῶ ὄπανον, καὶ τροπῇ, πόπανον.

Ποικῆχος. ζήτει καὶ τοῦτο, Ποῖ κῆχος εἰς τὸν οὐρανόν. καὶ Ἀριστοφάνης, ποικῆχος, εὐθὺς Σικελίας. καὶ παρὰ Φερεκράτει. ποικῆχος. καὶ εἰ μὲν παρεζευγμένον, εὑρήσεις τὸ ποῖ τῷ κῆχει. Ἐρατοσθένης δὲ λαμβάνει ἐκ ταύτης τῆς συντάξεως, ποῦ ἐγγύς, ἀντὶ εἰς τίνα τόπον. ποῦ ἄγχος, ποῦ κῆχος. τὸ πῆ, κῆ. πῆ, ἐγγύς. πῆ ἄγχος. ὅπερ ἐστὶν ἐν τῷ ἔναγχος κῆχος. ἐλλείψει δὲ ἄρα τοῦ γ. κῆχος. ἄγχος. ἔχει αὐτὸ ἐν τῷ ἔναγχος, Ἡρωδιανός περὶ

Πορεύω, παρὰ τὸ πόρος. τὸ δὲ πόρος παθῶν. παρὰ τὸ περῶ τὸ τελειῶ. σημαίνει δὲ τρία. τὸν περάσιμον τόπον τοῦ ποταμοῦ. ὡς τὸ, Ἀλλ' ὅτε δὴ πόρον ἷξον. καὶ τὸν τραχὺν, καὶ λιθώδη τόπον. καὶ διὰ τοῦ ω μεγάλου σημαίνει, κύριον ὄνομα.

Πόροι, διέξοδοι. τρίβοι. ἀπὸ τοῦ πορεύεσθαι διὰ δι' αὐτῶν. εἴληπται δὲ παρὰ τὴν κοινὴν συνήθειαν. πόρους δὲ λέγουσι καὶ τοὺς ποταμοὺς, ὅτι πορεύεται αὐτῶν τὸ ῥεῖθρον εἰς τὴν θάλασσαν. οἱ δὲ τὸ διάβατον μέρος τοῦ ποταμοῦ πόρον φασὶ λέγεσθαι ἀπὸ τοῦ πορεύεσθαι.

Πορθμός, ὥσπερ ἀπὸ τοῦ κείρω γίνεται κορ- διὰ δι' αὐτοῦ. μός, οὕτω καὶ ἀπὸ τοῦ πείρω τοῦ σημαίνοντος τὸ περῶ, γίνεται πορμός καὶ πλεονασμῷ τοῦ θ, πορθμός. ἡ μεταξὺ δύο ἠπείρων θάλασσα. ζήτει εἰς τὸ ἰσθμός.

Πόρκις, πόρκιος. οἱ μὲν πόρκιον δίκτυον ἀπέδωκαν οὐκ εὖ. ἔστι δὲ σχοινίον. πλέγμα. οἱ δὲ κύρτον, οὐδὲ οὗτοι ὑγιῶς. ὁ γὰρ Πλάτων ἕτερον φησὶν εἶναι τὸν κύρτον τοῦ πόρκου, ἐν σοφιστῇ λέγων οὕτως. Κύρτους δὴ καὶ δίκτυα καὶ βρόχους καὶ πόρκους καὶ τὰ τοιαῦτα, οὐκ ἄλλο τι πλὴν ἕρκη δεῖ προσαγορεύειν. καὶ Φίλων δὲ μνημονεύει τοῦ πόρκου. Θᾶττον πλέκειν κέλευε τῶν πόρκων πυκνοτέρους. καὶ Ἀντιφάνης Κιθαρῳδῷ, Εἰσδυόμενος εἰς πόρκον, ὅθεν ἔξω πάλιν οὐ ῥᾳδίως ἐξεῖμι τὴν αὐτὴν ὁδόν. ἔλεγον δὲ τὸ πλέγμα πόρκον. διὰ τὸ περιλαμβάνειν καὶ ἀμπέχειν τὰ εἰσδύοντα ἰχθύων. καὶ καθάπαξ τὰ ἐν κύκλῳ πάντα καὶ περιφερῆ οὕτως ἔλεγον ἀπὸ τοῦ οἱονεὶ περιεῖκθαι. καὶ ὁ ποιητὴς δὲ πόρκην φησὶ, τὸν περὶ τὸ δορατικρίνον. Περὶ δὲ χρύσεος θέε πόρκης, ἤγουν, ὁ συνέχων τὸ σίδηρον πρὸς τὸ ξύλον τοῦ δόρατος Ἰλιάδος ζ. παρὰ τὸ περιέχειν. οὕτως ὧρος. ὁ δὲ Ὠρίων. ἀπὸ τοῦ πείρω.

Πόρνη, παρὰ τὸ πέρνω τὸ πωλῶ. ὅθεν τὸ περνὰς νήσων ἐπὶ τηλεδαπάων, ἀντὶ τοῦ πιπράσκων. οἱονεὶ πορνητίς οὖσα ἢ τὴν μίξιν πωλοῦσα. ἐπὶ δὲ τοῦ ἀνδρὸς παρὰ τὸ πεπωρωμένον ἔχειν τὸν νοῦν τουτέστιν ἐσκοτισμένον.

Πόρπη, ἐκ τοῦ περόνη.

Πόρρω παρὰ τὴν πρὸς πρόθεσιν γίνεται, πρόσω. καὶ κατὰ μετάθεσιν πόρσω. καὶ τροπῇ τοῦ σ εἰς ρ πόρρω. ὡς μυρσίνη, μυρρίνη.

Πορσύνω, σημαίνει τὸ εὐτρεπίζω, καὶ ἑτοιμάζω καὶ κοσμῶ. ἀπὸ τοῦ πόρος πορύνω. καὶ πλεονασμῷ τοῦ σ, πορσύνω. ὅθεν καὶ τὸ Ἰλιάδος γ. Κείνου πορσανέουσα λέχος. ἀντὶ ἑτοιμάζουσα. δωρουμένη. ἢ παρὰ τὸ πόρος καὶ τὸ σαίνω τὸ καλλωπίζω, καὶ εὐτρεπίζω, γίνεται πορσαίνω. ὁ μέλλων πορσανῶ. καὶ τὸ θηλυκὸν πορσανοῦσα καὶ πορσανέουσα, διαλύσει ἰωνικῇ. ἢ πλεονασμῷ τοῦ ε. ἢ ἐκ τοῦ ὄρω τὸ διεγείρω. αἰολικῶς ὄρσω. ὀρσαίνω κατὰ παραγωγήν. καὶ πλεονασμῷ τοῦ π. ἢ ἐκ τοῦ πόρω τὸ παρέχω ὁ μέλλων πορῶ. καὶ αἰολικῶς πόρσω. καὶ ἐξ αὐτοῦ πορσαίνω. Θυγατέρ' ἰφθίμην ἀδμῆτα πορσαίνεσκον

Πόρτα, παρὰ τὸ τὸν πόρον τηρεῖν. Ἀπολλώνιος.

Πόρτις, Ἰλιάδος ρ. πόρτις δέ ἐστιν ἡ μικρὰ βοῦς ἡ δάμαλις. παρὰ τὸ ἄρτι εἰς πορείαν καὶ νομὴν ἔρχεσθαι. οἷον, πόρος πόρις. καὶ πλεονασμῷ τοῦ τ, πόρτις. ἢ πορεία πόρις καὶ πόρτις, ἡ ἀρξαμένη νῦν τὴν κατὰ

Πορνεία, εἴρηται πηρονεία, ἢ διὰ νομὴν πορείαν. τὸ τὸν νοῦν πηροῦν, ἤγουν ἐκτυφλοῦν, ἢ διὰ τὸ πόρρω

Πορεῖον, τὸ διδόμενον τοῖς πρεσβευ- θενεύειν. ταῖς περὶ τοῦ πορευθῆναι εἰς τὴν πρεσβείαν ὡς πορ

Πορφύρα, ἀπὸ τοῦ πορφύρω ῥήματος τοῦ ἐφόδιον. σημαίνοντος τὸ βουλεύομαι γίνεται, πορφύρα. τοῦτο παρὰ τὸ περιφέρειν τὸν νοῦν ὧδε κἀκεῖσε. Ὀδυσσείας δ. Πολλὰ δέ οἱ κραδίη πόρφυρε κιόντι. Ἰλιάδος ξ, Ὡς δ' ὅτε πορφύρῃ πέλαγος. ἀντὶ τοῦ μελανίζει. καὶ γὰρ πορφύρεον θάνατον λέγουσι τὸν μέλανα. καὶ κῦμα πορφύρεον, τὸ μέλαν. ἔνιοι δὲ μετέφρασαν τὸ πορφύρει, ἀντὶ κατὰ βάθος κινεῖται. ἔνθεν καὶ τὸ κατὰ βάθος μεριμνᾶν, πορφύρειν λέγουσι.

Πόσις, δύο σημαίνει. τό, τε πόμα καὶ τὸν ἄνδρα. λέγεται ἀπὸ μεταφορᾶς τοῦ ὕδατος ὁ ἀνήρ, πόσις, παρὰ τὴν τοῦ ὕδατος φύσιν. ἐπειδὴ μιγνυμένου τῇ γῇ, γεννητικὸν γίνεται τῶν φυτῶν καὶ σπερμάτων. οὕτω καὶ ὁ ἀνὴρ μιγνύμενος τῇ γυναικὶ, αἴτιος γίνεται τῆς τῶν παίδων

Ποσειδῶν, γράφεται καὶ διὰ τοῦ ι, καὶ γενέσεως. διὰ τῆς ει διφθόγγου. καὶ εἰ μὲν διὰ διφθόγγου γράφεται, ἔχει λόγον τοιοῦτον. ἀπὸ τοῦ πέδον καὶ τοῦ σείω, γίνεται πεδοσείων. καὶ ἐν ὑπερβιβασμῷ ποσειδῶν παρὰ τὸ σείειν τὸ πέδον. ὁ αὐτὸς γὰρ καὶ ἐνοσίχθων. εἰ δὲ διὰ τοῦ ι, παρὰ τοὺς πόδας δεῖν, ὅ ἐστι δεσμεύειν. σημαίνει γὰρ τὴν θάλασσαν. ἐκεῖσε γὰρ ἀφικόμενοι, βαδίζειν οὐ δυνάμεθα. ἢ παρὰ τὸ τὴν πόσιν δεσμεῖν. οὐδεὶς γὰρ ἐκ τοῦ τῆς θαλάσσης πίνει ὕδατος αὐθαιρέτως. ἢ παρὰ τὸ τὴν πόσιν τὰ πάντα ἀπ' αὐτῆς ἔχειν κατὰ ἀντίφρασιν. οὐδεὶς γὰρ ὡς εἴρηται ἐκ τῶν θαλάσσης ἀπογεύεται ῥεέθρων. ἢ παρὰ τὸ τὴν πόσιν τῷ δάει, ἤγουν τῷ ἡλίῳ ἀναπέμπειν. ἐκ γὰρ τῆς θαλάσσης ὁ ἥλιος ἀνιμᾶται τὴν ὑγρότητα, ἐκ τούτου γίνεται καὶ ποσειδάων. ἢ παρὰ τὸ τῇ πόσει ἐνδεῖν, γίνεται ποσειδῆς. καὶ ἐξ αὐτοῦ ποσειδέων, ὅθεν ποσειδῶν. καὶ τροπῇ δωρικῇ τοῦ ε εἰς α, ὡς ἐπὶ ἄλλων πολλῶν, γίνεται ποσειδάων. καὶ κλίνεται ποσειδάωνος. καὶ ὡς παρώνυμον φυλάσσει τὸ ω. οὐ κλίνεται διὰ τοῦ ντ. ἐπειδὴ τὰ εἰς ων περισπώμενα, οὐδέποτε εἰσὶ παρασύνθετα, ἀλλὰ σύνθετα. Ξενοφῶν. ἀγλαοφῶν. τὸ δὲ ποσειδῶν παρασύνθετόν ἐστιν. ἐκ γὰρ τοῦ ποσειδῆς γέγονε. καὶ ὥσπερ διήλλαξε περὶ τὸ σχῆμα, διήλλαξε καὶ περὶ τὴν κλίσιν. καὶ ἄλλως. τὰ εἰς ων περισπώμενα οὐ παραλήγεται φύσει μακρᾷ. οἷον, κτησιφῶν. δεξιχῶν. τὸ δὲ ποσειδῶν, φύσει μακρᾷ παραλήγεται. διὸ πῶς οὖν σεσημείωται. ὦ πόσειδον. ὁ κανών. τὰ εἰς ἀμετάβολα λήγοντα μακροκατάληκτα. καὶ ὡς οὐκ ἔστι βαρύτονον. ἀλλὰ πάντα τὰ περισπώμενα δυνάμει βαρυνόμενά εἰσιν. οἷον ποσειδάων ποσειδῶν, ξενοφάων ξενοφῶν.

Πόσθη, τὸ αἰδοῖον πλεονασμῷ τοῦ σ. οἷον, πόθη, διὰ τὸ ἐκεῖ τὰ τοῦ πόθου γίνεσθαι. ὦρος. ὁ δὲ Ἡρωδιανός πρόσθη. περὶ παθῶν.

Πόσος, ὡς μυχός μύχατος, τρίτος τρίτατος, ἕβδομος ἑβδόματος, οὕτω πόσος πόσατος. καὶ κατὰ συγκοπὴν

Ποταμός, παρὰ τὸ πότος παρώ- πόσος. περὶ παθῶν. νυμον. ποτός δὲ ὀξυνόμενον, σημαίνει τὴν πόσιν. παροξυνόμενον δὲ, σημαίνει τὸ συμπόσιον. ἢ παρὰ τὸ ποτάζω τὸ ῥέω. ἢ παρὰ τὸ πότιμον ὕδωρ ἔχειν.

Ποταίνιον, τὸ ξένιον τὸ πρόσφατον. καὶ οἶμαι παρὰ τὸ νέον, ἵνα ἢ ποτενέον τὸ νεαρόν. ἀπὸ τοῦ παρακολουθοῦντος. ὡς παρὰ Πινδάρῳ ἀγησιδάμῳ.

Ποτή, ἡ πτῆσις. ὡς ἔχω ὀχή, οὕτω πέτω ποτή.

Ποτήριον. λέγεται ποτήριον, καὶ τὸ ἐξ ἐρίων ἔνδυμα, ἐπεὶ ποτε ἔριον ἦν. παρὰ τὸ τὴν πόσιν τηρεῖν. σημαίνει καὶ τὴν τιμωρίαν. ὡς τὸ, Ὅτι ποτήριον ἐν χειρὶ κυρίου. καὶ, Ποτήριον σωτηρίου λήψομαι. καὶ τὸν θάνατον. ὡς τὸ, Πάτερ εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. σημαίνει καὶ τὸ ῥαίδιον, ἐν ᾧ πίνομεν. οὐ παρὰ τὸ ποτός, ἢ πότον. ἀλλ' ἀπὸ τῆς ποτῆς ποτῆρος, ποτήρ. ὡς ποιητῆς ποιητήρ. ὅθεν καὶ οἰνοποτήρ. παρὰ ὃ κτητικὸν

Ποτινίσεται, ἀντὶ προσιδεύει, προσέρχεται ποτήριον. ὅ ἐστιν ἀνάκειται. ἀπὸ τοῦ εἶμι τὸ πορεύομαι, ἢ ἀπὸ τοῦ νίω νίσω νίσε, καὶ ποτινίσεται πλεονασμῷ τοῦ σ. τὸ δὲ ποτὶ, ἀντὶ τοῦ πρὸς προθέσεως σημαίνει δωρικῶς. ἡ γὰρ πρὸς κατ' ἐπέκτασιν γίνεται προτί. ὡς ἐν ἐνὶ. ἀναλόγως. παρ' ἐπεὶ δὲ ταῖς προθέσεσι τὸ μέχρι τῆς δισυλλαβίας αὔξανεσθαι. καὶ τροπῇ δωρικῇ τοῦ σ εἰς τ, καὶ ἀποβολῇ τοῦ ρ, ποτί. ὡς πόσος, τός.

Πότμος· μόρος, θάνατος. παρὰ τὸ πέτω, ποτῶ, πότος. καὶ πλεονασμῷ τοῦ μ, πότμος. ἢ παρὰ τὸ πίπτω κατὰ συγκοπὴν πτῶ. ἐξ οὗ ῥηματικὸν ὄνομα, πτός. καὶ πλεονασμῷ τοῦ μ, πτμός. καὶ διὰ τὴν ἀσυνταξίαν ἐπλεόνασε τὸ ο, καὶ γέγονε πότμος, ἡ ἐσχάτη σύμπτωσις τοῦ βίου. ἀπὸ τοῦ πεσεῖν. ἢ ὁποῖον πεσεῖν εἰς τὴν γῆν. σημαίνει δὲ τῆς τύχης, ἀπὸ τοῦ μεταπίπτειν. ἡ ὑπὸ τὴν πρώτην γένεσιν τοῦ βρέφους ἐπιμεριζομένη τύχη. παρὰ τὴν μετάπτωσιν καὶ μεταβολὴν τῶν πραγμάτων. ὅθεν Μένανδρός φησι, Τὸ τῆς τύχης γὰρ ῥεῦμα μεταπίπτει ταχύ.

Ποτνιάδες θεαί, αἱ μανιοποιοί. Εὐριπίδης Ὀρέστῃ. περὶ τῶν ἐριννύων. Πότνιαι γὰρ χωρίον Βοιωτίας. ἔνθα φαγοῦσαι βοτάνην αἱ Γλαύκου ἵπποι τοῦ Βελλεροφόντου, καὶ μανεῖσαι, διεσπάσαντο τὸν ἴδιον δεσπότην. ἀλλὰ καὶ Γλαῦκος ὁ Ἀνθηδόνιος ἁλιεὺς ἑωρακὼς ἰχθῦν παρὰ ψάμμῳ βοτάνης γευσάμενον καὶ ἀναζήσαντα, φαγὼν καὶ αὐτός, ἐμμανὴς γέγονε καὶ ἥλατο εἰς τὴν θάλασσαν. ἢ ὅτι θάνατος μὲν οὐκ ἀγήρως δὲ γεγονώς, αὐτὸς ἑαυτὸν κατεπόντισε.

Ποτνιᾶσθαι, τὸ μετὰ λύπης τὸν θεὸν ἐπιβοᾶσθαι.

Πότνια, σεβασμία. ἔντιμος. παρὰ τὸ πέτω, ποτῶ καὶ ποτνῶ. οἱ γὰρ σεβόμενοι, προσπίπτουσιν. ὅθεν ποτνιᾶσθαι, τὸ προσπίπτειν καὶ παρακαλεῖν. παρὰ τὸ πίπτειν τοῖς ποσί. κυριώτερον δὲ ἄν τις φήσειεν ἐπὶ γυναικῶν. ὅταν γυνὴ κακόν τι πάσχῃ καὶ θηλείᾳ ἱκετεύῃ θεόν, ὦ πότνια λέγει. ποτνιᾶσθαι δὲ ὅταν εἴπῃ τις ἄνδρα, περιφανῶς ἁμαρτάνει. οὕτως εὕρηται τινὸς ἐν τῷ περὶ χρηστομαθίας. ὦρος.

Πότνα, ἀπὸ τοῦ πότνια.

Πούς, ἀπὸ τοῦ πάω, παύσω, παῦς, καὶ πούς. εἰς ὃν ἀναπέπαυται τὸ ὅλον μέρος τοῦ σώματος. καὶ τὸ ἐν τοῖς ποσὶν ἀναπαύεται καὶ καταλήγει τὸ σῶμα. ἢ ὅτι εἰσί τινα εἰς ος ὀνόματα πρὸς διάφορον σημαινόμενον διάφορον ἔχοντα καὶ τὸν τόνον. οἷον, φόρος ἐστὶν ὁ φέρων. φορὸς δὲ, ὁ φερόμενος. τρόχος ὁ τόπος ἐν ᾧ τρέχουσι. τροχὸς δὲ, ὁ τρέχων. τὰ γὰρ εἰς ος ὀνόματα δισύλλαβα ῥηματικά, ἡνίκα μὲν παθητικὰ ᾖ, τῷ σημαινομένῳ βαρύνεται. ἡνίκα δὲ ἐνεργητικά, ὀξύνεται. ἐκ τοῦ πορῶ οὖν, γίνεται πόρος βαρυτόνως, ὁ διαπορούμενος τόπος. πορὸς δὲ ὀξυτόνως, ὁ διαπορῶν. εἶτα ἀποβολῇ τοῦ ρ, γίνεται πός. καὶ κατὰ συναίρεσιν ποὺς ἐν ὀξείᾳ τάσει. ἡ γὰρ βαρεῖα καὶ ἡ ὀξεῖα, εἰς ὀξεῖαν συνέρχεται. οἷον ζωός, ζώς. ἢ ἐκ τοῦ πόρος γέγονε κατὰ συγκοπὴν πρός. ἐκβολῇ τοῦ ρ, πός. καὶ πλεονασμῷ τοῦ υ, πούς. κλίνεται διὰ τοῦ δος. τὰ γὰρ ἀπὸ μελλόντων δισυλλάβων κατὰ ἀπὸ

Πραΰς, ἀπὸ τοῦ ῥᾷον ὅστις ὁ εὔκολον, γέγονε ῥαΰς. [illegible] βολήν. πλεονασμῷ τοῦ π, πραΰς, ὁ εὔκολος καὶ ἀγαθός.

Πρᾶος, παρὰ τὸ πάντα ῥᾳδίως ποιεῖν.

Πρανές, τὸ κάταντες καὶ κατωφερές, οἷον προνενευκός. καὶ πρανίζειν, τὸ καταφέρειν.

Πράμνειος οἶνος, πραϋμένης, ὁ πραΰνων τὸ μένος καὶ στέλλων. οἱ δὲ, τὸν αὐτοῖς πρέμνοις φυταγωγούμενόν φασιν. οἱ γὰρ τῶν Ἰταλῶν γεωμόροι βότρυν αὐτὸν ταῖς τῶν δένδρων χαίταις μεταρσίοις ἐλευθεριάζοντα κλήμασι τιθηνοῦνται. ἢ ἀπὸ Πραμνείας ἀμπέλου. πρέμνον δὲ, τὸ ἀπογηράσκον τῶν στελεχῶν λέγεται. καὶ τὰ μεγάλα ξύλα. καὶ πρεμνίζειν. οἱ δὲ, τὸν ἀκραιφνῆ καὶ μὴ μετεωριζόμενον πρὸς τὴν ἀηδεστέραν χρῆσιν, ἀλλὰ τῷ γήρᾳ συννεάζοντα καὶ συνανθοῦντα. ἢ ἀπὸ τοῦ παραμένειν, παραμένειον φασὶ λέγεσθαι καὶ πράμνειον. ἢ τὸν μέλανα.

Πραπίδεσσι, φρεσί. διανοίαις. ἴσως τὸ πέμπω. ἐν συνθέσει προϊῶ. συγκοπῇ πρῶ. καὶ φῶ. ἐκ τούτου φαπὶς καὶ πραπίς, ἀφ᾽ ἧς προΐενται τὰ βουλεύματα. ἡ εὐθεῖα τῶν πληθυντικῶν, πραπίδες. καὶ κατ᾽ ἐπέκτασιν τῆς σι συλλαβῆς, πραπίδεσσι.

Πρᾶσις, ἡ ἐπὶ τῆς πραγματείας, οἷον εἰ περασοῦσα. ἡ δὲ ἑτέρου εἰς ἕτερον μεταβαίνειν ποιοῦσα τὰ πιπρασκόμενα. κατὰ συγκοπὴν τοῦ ε.

Πρασιαί, τετράγωνά τινα σχήματα ἐν τῇ γῇ. οἱονεὶ περασιαί τινες οὖσαι. παρὰ τὸ πεπερατῶσθαι. καὶ κατὰ συγκοπήν. τὸ γεωργικὸν σχῆμα, πρασιά. ἔστι δὲ καὶ ὄνομα πό-

Πραιτώριον, εἴρηται παρὰ τὸ πράττω πραι- [illegible] λεως. τώριον πλεονασμῷ τοῦ ι. ὅπου τὰ πραττόμενα ἀθροῦνται. ὅτι φυλάττονται καὶ αὔξάνονται.

Πρέπω, παρὰ τὴν πρὸ πρόθεσιν καὶ τὸ ἔπω τὸ λέγω.

Πρευμενής, ὁ ἄγαν εὐμενής. ἀπὸ τοῦ πραῢ μένος ἔχειν. ἢ ἀπὸ τοῦ πρᾶος καὶ εὐμενής. Λυκόφρων.

Πρέσβα, θεά. πρεσβυτάτη. ἐντιμοτάτη. ἀπὸ τοῦ πρέσβεια, κατὰ συγκοπήν. οἱονεὶ ἡ πρεσβευτική. ἀπὸ δὲ τοῦ πρέσβυς, πρέσβειρα, ὡς θῆλυς θήλεια. ἢ ἀπὸ τοῦ σέβειρα. Ὅμηρος, Πρέσβειρα θέμις. οἱ δὲ τὸ πρέσβειρα, ἀπὸ τοῦ πρέσβεια.

Πρεσβῆες, ἀπὸ τοῦ πρεσβεύσω πρεσβεύς, ὡς ἱππεύσω, ἱππεύς. πρεσβευτὴς ἐκ τοῦ πρεσβεύω.

Πρεσβήϊον, Ἰλιάδος θ. τὸ ὑπὲρ τιμῆς διδόμενον δῶρον.

Πρέσβυς, ὁ ἐκπεμπόμενος πρὸς βασιλέα, ἢ πολίτης ἐντιμότατος ὤν. ἀπὸ τῆς ἡλικίας τοῦ πρεσβύτου. πρεσβύτης γὰρ ὁ γηραιός, παρὰ τὸ προβεβηκέναι τὴν ἥβην. ἢ παρὰ τὸ περισσῶς βεβιωκέναι. ἀπὸ τοῦ πρέσβις πρέσβιος, πρέσβεος πρέσβεις. καὶ πρέσβυς ὁ γηραιός. οἷον, πρέσβυς ἀταλὰ γηραιέ. κλίνεται πρέσβυος καὶ πρέσβεως ἀττικῶς. σεσημείωται δὲ καὶ τοῦτο ὡς πῆχυς πήχεως, καὶ πέλεκυς πελέκεως.

Πρέσβεις, γέροντες. βασιλεῖς. ἄρχοντες πρωτιμώμενοι. καὶ οἱ νῦν πρεσβευταί.

Πρηνής, εἰς τοὔμπροσθεν. ἐπὶ στόματος. ἐπὶ προσώπου. παρὰ τὸ προσωνενευκέναι, πρωνής, καὶ κατ᾽ ἔκτασιν. τὸ πρη, ἢ. διὸ ἀνεφάνη τὸ α ἐν τῷ πρανής. τὸ οὐδέτερον πρηνές. καὶ ἀπὸ ὀνόματος μετήχθη εἰς ἐπίρρημα τὴν σύνταξιν. καὶ ἔστιν ἐπίρρημα τὸ πρανὸν τὸ πρηνές. γνὺξ ἐστὶ κυρίως, τὸ εἰς γόνυ πεσεῖν. τινὲς δὲ αὐτόφασι ταύτην τὸ πρηνίξαι. κακῶς. διαφέρει γάρ. οὐ δύναται γάρ τις ἅμα πρηνιχθῆναι καὶ ὀκλακέναι ἐπὶ τὰ γόνατα. τὸ δὲ πρηνιχθῆναι, ἐπὶ τὸ πρόσωπον. ὁ γὰρ Ἡρόδοτος τὸ τοιοῦτον ἐξέφησε. μεταφορικῶς γὰρ χρησάμενος εἶπε τὴν πόλιν εἰς γόνυ πεσεῖν, τοῦτο δηλῶν. ὡς εἰς δουλείαν αὐτὴν ἐπήγαγεν. ὁ δὲ Εὐφορίων, οὐκ ὀρθῶς λέγει περὶ τοῦ Διονύσου, ὅτι ταῖς γυναικείαις τάξεσιν ἐγκελευσάμενος, ἐπρήνιξε τὴν Εὐρυμέδοντος πόλιν. τουτέστι τὸ Ἄργος. Εὐρυμέδων δὲ ὁ Περσεὺς ἐκαλεῖτο.

Πρηξῖνος, παρὰ τὸν πράξω μέλλοντα, γίνεται πρηξῖνος.

Πρήθω, ἀπὸ τοῦ πρίω ἐξ οὗ. κατὰ παραγωγὴν [illegible] κατ᾽ ἔκτασιν. πρίθω. καὶ καθ᾽ ὑπαλλαγήν, πρέθω. ἐξ οὗ Ἡσίοδος. Πάσας ἔπρεσε θεσπεσίας κεφαλάς. ἐξ οὗ γέγονε κατ᾽ ἔκτασιν τοῦ ε εἰς η. σημαίνει δὲ τὸ ἐμπρίζω. ὡς τό, Πρῆσαι δὲ πυρὸς δηΐοιο θύρετρα. σημαίνει καὶ τὸ φυσῶ. ὡς τό, Ἔπρησε δ᾽ ἄνεμος μέσον ἱστίον. καί, Δάκρυον πρήσας, ἤγουν ἀναφυσήσας. ὅθεν καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ τοὺς πεφυσημένους, πεπρησμένους λέγομεν. ἐξ οὗ παρὰ τὸ πιμπρῶ δευτέρας συζυγίας τῶν περισπωμένων. παράγωγον, πίμπρημι. ὁ μέλλων, πρήσω. ὁ ἀόριστος, ἔπρησα. σημαίνει δὲ τὸ πνεῦμα τῆς φύσεως. ἔστι καὶ πρῶ τὸ πιπράσκω, ἀπὸ τοῦ περῶ. ὅθεν τὸ πέπρακα. καὶ γὰρ τὸ πωλούμενον, περᾷ ἀπὸ τοῦ πωλοῦντος πρὸς τὸν ἀγοράζοντα. πρῶ οὖν, ὁ μέλλων πρήσω. ἡμετέρη χὴ πρήσειν. καί, Διαπρήσσουσα κελεύθους. ἢ ἐκ τοῦ πρῶ τὸ περῶ, γέγονε πρήθω, ὡς κνῶ κνήθω. καὶ ἐμπρήθω. ὁ παθητικὸς παρακείμενος, ἐμπέπρησμαι. ἐξ οὗ

Πρηστῶ. τοῦ τὸ ἐνεστώς ἐστι, καὶ μέλλοντα [illegible] ἐμπρησμός. οὐκ ἔχει. ὡς ἀπὸ μέλλοντος παραχθέν. περῶ, περάσω. συγκοπῇ, πράσω. ἐπὶ τοῦ πρηστῶ μετὰ πλεονασμοῦ ἑτέρου σ, πρήσσω. ὁ παρατατικός, ἔπρησσον. καί, Διέπρησσον πε-

Πρίαμος, παρὰ τὸ πρίημι τὸ ἀγοράζω. τὸ παθητι[illegible] διοιο. νόν, πρίαμαι. ἐξ αὐτοῦ Πρίαμος. ἐπράθη γὰρ ὡς ἡ ἱστο-

Πρίε. ἐν ταῦθα ἤγουν λάβε [illegible] ρία δηλοῖ παρὰ Λυκόφρονι. ἐστί. Λευγαλέος δὲ οἱ πρίεν χόλος. Ἀπολλώνιος.

Πρίων, παρὰ τὸ πρίζω. ὁ περὶ ἀπὸ τοῦ περῶ περίζω, ἢ πρῶ

Πρίεται. Ἰστέον ὅτι οἱ Ἀθηναῖοι οὐ [illegible] πρίζω, ὡς κτῶ, κτίζω. λέγουσι πρίζω, ἀλλὰ χωρὶς τοῦ ζ, πρίω. καὶ παρὰ Μενάνδρῳ. Ἔνδοθεν δὲ πρίεται. ἔστι δὲ ἀπὸ τοῦ πρίζω. εὕρηται

Πρίαμος, ἐκ τοῦ πρίω τὸ πωλῶ, τῆς [illegible] δὲ καὶ ἐν συστολῇ. ὀνομασίας ταύτης ἔτυχε. τὰ διὰ τοῦ αμος ὀνόματα, εἰ μὲν ὦσι κύρια, βαρύνεται ὡς Σήσαμος. εἰ δὲ μή, ὀξύνεται. ὡς φω-

Πρίν, ἐπίρρημα χρόνου δηλωτικόν. [illegible] ριαμός. χηραμός. νόν. ἐκ τοῦ πάρος πρίν. καὶ συγκοπῇ, πρίν.

Πρόβατον. πολλάκις κατὰ κοινοῦ ἐπὶ πάντων τῶν βοσκημάτων εἴρηται ἡ λέξις. παρὰ τὸ πρὸ τῆς ὀπισθίας βάσεως ἑτέραν βάσιν ἔχειν. ὅθεν καὶ πρόβασις, ἐπὶ τῆς τῶν τετραπόδων βάσεως. παρὰ τὸ πρὸ τῆς ὀπισθίας βάσεως, ἔμπροσθεν βάσιν ἔχειν. ἢ πρόβατον, παρὰ τὸ προβαίνειν τῇ βοσκῇ. ἢ παρὰ τὸ πράως βαίνειν τοὺς ὄπισθεν πόδας, τὴν ἔμπροσθεν πόδα.

Προβατεία, ἡ τῶν προβάτων νομὴ καὶ κτῆσις.

Προβλῆτι. τόπῳ προβεβλημένῳ καὶ προνενευκότι εἰς τὴν θάλασσαν. εἰς τὸ ἀβλῆτα. ζήτει εἰς τὸ τέλος προβολὴ καὶ

Προγορεών, τόπος ἐστὶν ὅπου ἀγείρεται ἡ τροφή. [illegible] ἅμα.

Πρόδομος, ἡ πρὸ τῆς οἰκίας στοά, ἣν καὶ αἴθουσαν καλεῖ Ὅμηρος. ἔνιοι μὲν, παστάδα. τινὲς δὲ προστάδα προσαγορεύουσιν, ἣν Ὅμηρος πρόδομον εἴρηκε. Πρόες, εἰς τὸ ἕς.

Προοῦ, ἀπὸ τοῦ ἵημι τὸ πέμπω. ὁ δεύτερος ἀόριστος, ἧν. ὁ μέσος, ἕμην. τὸ δεύτερον ἕσο, ἕο. ἀποβολῇ γίνεται ἕο καὶ οὗ. καὶ συνθέσει, προοῦ, ἤγουν πρόπεμψον. καὶ περισπᾶται. ἡνίκα γὰρ συντεθῇ μετὰ μονοσυλλάβου προθέσεως περισπᾶται. οἷον προοῦ. ἡνίκα δὲ μετὰ δισυλλάβου, βαρύνεται. ἀπόου. κατάθου.

Προηροσία, ὄνομα θυσίας ὑπὲρ τῶν καρπῶν γινομένη.

Προθέλυμνος. πρόρριζος, ἢ πυκνός, παρὰ τὸ τέλος τέλυμνος καὶ θέλυμνος. θέλυμνα λέγεται τὰ ἐπαλλήλως ἔχοντα τοὺς κλάδους δένδρα. διὰ τὸ θηλύνεσθαι μεταφορικῶς. Ἰλιάδος ν. Φράξαντες δόρυ δουρί, σάκος

Προθεσμία, ἀπὸ τοῦ προθεῖναι τὴν [illegible] σάκει προθελύμνῳ ἡμέραν, ἐν ᾗ τόδε γενέσθαι χρήσιμον. οὐκ ἀπὸ τοῦ προθεσπίζειν, ἢ ἀπὸ τοῦ θεσμός, ὃ σημαίνει τὸν νόμον.

Προΐηλε, ἀπὸ τοῦ ἴλλω εἶλε. ἐν ὑπερθέσει, ἴελε καὶ ἴηλε. σημαίνει δὲ δύο. ἐπὶ μὲν τοῦ προσέφερε ἢ προεξέτεινε, καὶ προέθηκε, Πρῶτον μὲν ἐπιπροΐηλε τράπεζαν. Ἰλιάδος λ. ἐπὶ δὲ τοῦ ἐξέπεμψε, Ζεὺς δ᾽ ἔριδα προΐαλλεν. Ἰλιάδος λ.

Προΐκτης, προσαίτης. ἡ πρό, ἀντὶ τῆς παρά. παρὰ τὸ ἱκνεῖσθαι. τινὲς δὲ παρὰ τὸ ἵζεσθαι δωρεάν τινα λαμβάνειν, ὡς Ἀρχίλοχος. Ἐμεῦ δ᾽ ἐκεῖνος οὐ καταπροΐξεται. ζήτει εἰς τὸ κατα. ὁ δὲ Ἡρωδιανός, παρὰ τὸ ἰᾶσθαι ὡς Ἀρχίλοχος. Προτείνω χεῖρα προΐσσομαι.

Προίξ, παρὰ τὸ προΐκω, προΐξω. ἡ προδιδομένη εἰς τὸν τοῦ ἀνδρὸς οἶκον. καὶ οὐ καταπροΐξει, ἤγουν οὐ προδώσει, οὐ καταφρονήσει. ἢ παρὰ τὴν πρὸ πρόθεσιν καὶ τὸ οἶκος, προοίξ, ἡ προοικονομένη εἰς τὸν οἶκον. κατὰ ἀποκοπὴν ἢ κατὰ συναίρεσιν. τὸ δὲ προῖκα, ἐπίρρημά ἐστι ποιότητος. Προῖκα χρηστός εἰμι. ὁ Θεολόγος, ἤγουν δωρεὰν ἀγαθός εἰμι.

Προικόννησος, ἐκ τοῦ προὶξ προικὸς καὶ τοῦ νῆσος. ἡ πάσαις ταῖς νήσοις προῖκα τῶν μαρμάρων μεταδιδοῦσα. ἔστι δὲ ὄνομα νήσου. ἢ προὶξ ἐστὶ ζῷον ὅμοιον ἐλάφῳ. ὁ λεγόμενος νεβρός. Διονύσιος δὲ ὁ Ἀθηναῖος ἐν ταῖς Κτίσεσιν οὕτω λέγει τὰς ἐλάφους πρόκας. ὅθεν καὶ ἡ Προικόννησος. ἐν αὐτῇ γὰρ πληθύουσιν ἔλαφοι. οἱ δὲ ἀπὸ τῆς Πρόχου φασίν, ἣν ἔχουσα συνῴκησε τοῖς Μιλησίοις ἡ παρθένος ὅτε τὴν ἀποικίαν ἔστειλαν. οἱ δὲ τὴν Πρόχου νῆσον ἐτυμολογοῦσι, καθάπερ πρότερον οὖσα νῆσος, ὕστερον προσεχώσθη. ὑπὸ τινῶν δὲ ἡ Προικόννησος, Ἐλαφόννησος κέκληται. Φιλήτας δέ φησι πρόκας λέγεσθαι τὰς πρῶτον τικτομένας ἐλάφους, οἷον πρωτοτόκας. ὡς παρὰ Ἀπολλωνίῳ.

Προκρόσσας ἔρυον. διὰ τὰς νῆας λέγει. Ἰλιάδος ξ. ἄλλας ἐπ' ἄλλαις. ἑξισουμένας, οἷον, μίαν κατὰ μίαν. προκρόσσοι τινὲς οὖσαι. παρὰ τὸ κάρα. αἱ κατὰ κεφαλὴν συντιθέμεναι. καὶ οἱονεὶ τὰς κεφαλὰς ἀλλήλαις ἐπιθεῖσαι. ἐπεὶ καὶ ἡ συνήθεια λέγει τὰς κεφαλὰς τῶν ὀθονίων καὶ ἀρχὰς, κρόσσους. καὶ τῶν τειχῶν αἱ κεφαλαὶ καὶ ἴσως ἀρχαὶ, κρόσσοι λέγονται. οἷον, Κρόσσας μὲν πύργων ἔρυον.

Προμολὴ, ἐστὶν ἡ προαυλία καὶ προέξοδος. ἀπὸ τοῦ προμολεῖν ἤτοι προαυλίζεσθαι. παρὰ Ἀπολλωνίῳ. καὶ πρόμαλοι, εἶδος ἀγρίας δρυός.

Προμηθεὺς, κατὰ μεταβολήν. προμηθεὺς, ὁ προορῶν τὰ μήδεα, τὰ βουλεύματα.

Προμνηστῖνοι ἐσέλθετε μηδ' ἅμα πάντες, ἀντὶ τοῦ παραλλασσόμενοι ἀλλήλους καθ' ἕνα. ὡς ἀπὸ τοῦ ἀγαθὸς ἀγαθῖνος, οὕτως ἀπὸ τοῦ μένω μενηστῖνος. καὶ συγκοπῇ καὶ μετὰ τῆς πρὸ προθέσεως, προμνηστῖνος.

Πρόμος, δηλοῖ τὸν πρόμαχον. ἀπὸ τοῦ πρόμαχος κατὰ συγκοπήν. βέλτιον δὲ παρὰ τὸ βῶ τὸ βαίνω πρόβος, ὁ προβαίνων ἐν τῇ μάχῃ. καὶ κατὰ μετάθεσιν, πρόμος. οἱ δὲ, παρὰ τὸ νῶ τὸ πορεύομαι, πρόνος καὶ πρόμος.

Προμῶτος, ῥωμαϊκή ἐστιν ἡ φωνὴ, καὶ δηλοῖ ὁ προκόψας τὸν προκόψαντα. ὅθεν καὶ προμωτίονες αἱ προκοπαί. δηλοῖ δὲ καὶ τὸν προεξωσθέντα.

Πρόνοια. ἡ πρὸ, ἀντὶ τῆς ὑπὲρ κεῖται. οἱονεὶ τὸ ὑπέρ τι νῷ νοῆσαι.

Προπὰρ, εἰς τὸ ἔα.

Προπέτης, εἰς τὸ πετῶ.

Προπάροιθεν, ἐπίρρημα τοπικόν. ἐκ τῆς πρὸ προθέσεως, καὶ τοῦ πάροιθεν. τοῦτο ἐκ τοῦ πάρος πάροθεν. καὶ πλεονασμῷ τοῦ ι. τὸ δὲ πάρος, ἐκ τῆς πρός, ὡς τὸ, Μικρὸν τι πρὸς, ἀντὶ τοῦ ἔμπροσθεν. σημαίνει δύο. τὸ ἔμπροσθεν ἐπὶ τόπου, ὡς τὸ, Πάροιθεν αὐτοῖο κάθηται. καὶ ἐπὶ χρόνου. ὡς τὸ, Τὸν δ' ὀδυνάσας προπάροιθεν ἰδών. Ἰλιάδος κ.

Προπηλακισθέντα, ἀδικηθέντα. ὑβρισθέντα. διασυρθέντα. προπηλακισμὸς λέγεται ὕβρις μετὰ προσαφῆς τοῦ σώματος. ἀπὸ τοῦ πάλλω τὸ κινῶ, ἢ ἀπὸ τοῦ πολλάκις. ἢ παρὰ τὸ πηλὸς, ὃ καὶ βέλτιον. οἱ γὰρ Ἀττικοὶ τὸν ἐπί τινι ἁμαρτήματι ἁλόντα, πηλῷ χρίοντες ἐδημοσίευον.

Πρὸς τοῦ διός. ἡ πρὸς, πολλάκις λαμβάνεται καὶ ἀντὶ τῆς παρά. καὶ τὸ πρὸς ἄλλης, τουτέστιν ὑπὸ δεσποίνης.

Προσελῆνοι. προσελεῖν λέγουσι τὸ ὑβρίζειν. καὶ οἱ Ἀρκάδες, ἐπειδὴ λοιδορητικοί εἰσιν. οὕτως ἐν ὑπομνήματι Προμηθέως δεσμώτου.

Προσείλος οἰκία, ἡ πρὸς τὴν εἵλην τετραμμένη. εἵλη γὰρ ἡ τοῦ ἡλίου αὐγή. διὸ καὶ πρόειλος καὶ πρόσειλος.

Προσήλυτος. ἀπὸ τοῦ ἐλεύθω, ἤλευσμαι, ἤλευσαι, ἤλυτος καὶ προσήλυτος, ὁ μέτοικος καὶ φυγάς.

Προσήκατο, σημαίνει τὸ προσελάβετο. ἀπὸ τοῦ προσίημι μέσου ἀορίστου. σημαίνει δὲ μετὰ τῆς πρὸ προθέσεως, τὸ προδίδωμι. οἷον, Οὐ προΐημι τὴν ψυχήν μου.

Προσῆκον, τὸ πρέπον. ἐκ τοῦ ἥκω τὸ ἔρχομαι. μετὰ τῆς προθέσεως. ἡ γὰρ πρόθεσις, τὸ πλησιάζον καὶ προσεγγίζον σημαίνει. τὸ γὰρ πρέπον καὶ ἁρμόζον, πλησιάζει. ὥσπερ τὸ ἀπαρέσκον, πόρρω καθίσταται.

Πρόσθεμα καὶ προσθέματα, ἐπὶ τῶν αἰδοίων. παρὰ τὸ ἀλλήλοις ἐν ταῖς συνουσίαις προστίθεσθαι. ἢ διὰ τὸ ἐπὶ τὰ ἔμπροσθεν μέρη εἶναι.

Προσχὼν, ζήτει εἰς τὸ τέλος.

Πρόσκλιντρον, τὸ λεγόμενον προσκλιτόν. καὶ κλινθὴρ, ὁ θρόνος ὁ ἔχων πρόσκλιντρον.

Προσκυνῶ, συζυγίας πρώτης. ἐκ τῆς πρὸ προθέσεως καὶ τοῦ κυνῶ. τοῦτο παρὰ τὸ κύω τὸ φιλῶ.

Προσῳδίαι, παρὰ τὸ προσιόντας, ναοῖς ἢ βωμοῖς πρὸς αὐλὸν ᾄδειν. διὰ δὲ τῶν ὕμνων, ὅτι τοὺς ὕμνους πρὸς κιθάραν ἑστῶτες ᾖδον. οὕτω Δίδυμος ἐν τῷ περὶ λυρικῶν ποιητῶν. ἢ παρὰ τὸ πρὸς αὐτὰς ᾄδειν ἡμᾶς ταῖς φωναῖς. ἢ παρὰ τὸ πρὸς αὐτὰς ᾄδεσθαι τὰ ποιήματα. ᾠδὰς γὰρ οἱ παλαιοὶ τὰ ποιήματα ἐκάλουν. ἢ παρὰ τὸ προσᾴδειν ἤτοι ἁρμόζειν τῇ ὑποκειμένῃ λέξει. ἐκ τῆς πρὸς προθέσεως καὶ τοῦ ᾠδή.

Προσόδιον, λιτανεία μετὰ ὕμνων. παρὰ τὸ προσιέναι μετὰ τούτου τοῖς θεοῖς. Ἰστέον ὅτι τῶν μελῶν καὶ τῶν ὕμνων, τὰ μὲν καλεῖται προσόδια, τὰ δὲ ὑπορχήματα. τὰ δὲ στάσιμα. καὶ προσόδια μὲν, τὰ λεγόμενα ᾄσματα, εἰσφερομένων εἰς τὸν βωμὸν τῶν ἱερείων. παρὰ τὸ τῶν προσιόντων εἰς τὸν βωμὸν τῶν θυμάτων ταῦτα λέγειν. ὑπορχήματα δὲ, ἅτινα πάλιν ἔλεγον ὀρχούμενοι καὶ τρέχοντες κύκλῳ τοῦ βωμοῦ καιομένων τῶν ἱερείων. στάσιμα δὲ, ἃ ἑστῶτες ὕστερον ἔλεγον ἀναπαυόμενοι μετὰ τὸ κύκλῳ δραμεῖν τοῦ βωμοῦ. ὅτε δὲ περιέτρεχον τὸν βωμὸν ἀπήεσαν πρότερον μὲν ἀπὸ τοῦ ἀριστεροῦ μέρους ἐπὶ τὸ δεξιὸν κατὰ μίμησιν τοῦ ζῳδιακοῦ κύκλου. ἐπεὶ ἤτοι αὐτὸς τὴν ἐναντίαν τῷ οὐρανῷ ποιεῖται κίνησιν. ἀπὸ δυσμῶν ἐπὶ ἀνατολὰς φερόμενος. ὕστερον δὲ πάλιν, ἀπὸ τοῦ δεξιοῦ ἐπὶ τὸ ἀριστερὸν ᾔεσαν κατὰ μίμησιν τοῦ οὐρανοῦ. τελευταῖον δὲ πάντα τὸν βωμὸν περιέτρεχον.

Πρόσωπον. ἐκ τοῦ ὢψ ὠπὸς ὃ σημαίνει τὸν ὀφθαλμὸν ὦπον, ἤτοι πρόσωπον. τὸ πρὸς τὴν ὦπα ὄν. ἢ ἀπὸ τοῦ πρόσω, τουτέστιν ἔμπροσθεν, ἀλλ' οὐκ ἐκ πλαγίου τοὺς ὦπας ἔχειν. διὸ καὶ μόνοις ἀνθρώποις ἐπικατηγορεῖται.

Πρόσφατον, κυρίως ἐπὶ τοῦ νεωστὶ πεφονευμένου εἴρηται. οἷον, Νῦν δέ μοι ἑρσήεις καὶ πρόσφατος. ἐκ τοῦ φῶ τὸ φονεύω. καὶ πρόσφατον κρέας, τὸ νεοσφαγές. καταχρηστικῶς δὲ ὁ πρὸς ὀλίγον νεωστὶ ἐληλυθὼς πρᾶγμα.

Πρότερος, παρὰ τὴν πρὸ πρόθεσιν.

Προτέρω, πορρωτέρω. εἰς τὸ ἔμπροσθεν. ἢ ἐνδοτέρω. ἢ πρότερον. γίνεται κατὰ συγκοπὴν ἀπὸ τοῦ πορρωτέρω. καὶ προτέρωσε. Ἀπολλώνιος.

Πρότονον, σημαίνει τὸ σχοινίον.

Πρότμησις, ὁ κατὰ τὸν ὀμφαλὸν καὶ τὴν λαγόνα τόπος. ἐπεὶ κατὰ τοῦτον τὸν τόπον προτέμνεται τὰ ζῷα καὶ προέρχεται. κυρίως δὲ ἐπὶ τῶν ἀλόγων ζώων. ἔνιοι δὲ κακῶς πρότμησιν τὴν ὀσφὺν ἀποδεδώκασι.

Προυνείκους, σημαίνει τοὺς ὑβριστὰς, καὶ τοὺς ἄνδρας τοὺς ἱσταμένους ἐν τῇ ἀγορᾷ ἤτοι φέροντας τὰ ὤνια καὶ λαμβάνοντας ὑπὲρ τούτων μισθόν. καὶ εἰ μὲν τοὺς ὑβριστὰς σημαίνει, γίνεται παρὰ τὴν πρὸ πρόθεσιν καὶ τὸ νεῖκος, πρόνεικος. καὶ πλεονασμῷ τοῦ υ. εἰ δὲ τοὺς ἄλλους, παρὰ τὸ ἐνείκω βοιώτιον ὃ σημαίνει τὸ ἐνέγκω, γίνεται προένικος. καὶ κράσει τοῦ ο. καὶ ε εἰς τὴν ου δίφθογγον, προύνικος.

Προυργιαίτερον, προφανὲς καὶ φανερὸν, ἤτοι οἱονεὶ πρὸ τῶν ὀφθαλμῶν κείμενον. τὸ πρὸ τοῦ ἔργου αἱρετώτερον. ἐκ τῆς πρὸ προθέσεως, καὶ τοῦ αἱρῶ τὸ προαιροῦμαι.

Προύργου, τῶν ἀναγκαίων ἤτοι τῶν πρὸ τοῦ ἔργου. οἷον, τὸ μὲν ἔργον αὐτὸς ὁ γάμος. τὰ δὲ πρὸ τοῦ ἔργου τὰ εἰς τὸν γάμον ἀναγκαῖα. οὕτως Ὧρος ὁ Μιλήσιος.

Πρόφασις, ἀπὸ τοῦ φημὶ, φήσω, πέφαμαι, πέφαται. ἢ ἀπὸ τοῦ λόγου φάσις.

Πρόφρων, προθύμως. παρὰ τὴν πρὸ καὶ τὸ φρῶ.

Πρόφρασσα, ἐνόησαν τινὲς εἶναι θηλυκόν. οὐκ ἔστι δέ. Φιλόξενος γὰρ ἐν τῷ περὶ μονοσυλλάβων φησὶν ὅτι ἔστιν ἰδιοτύπου ῥήματος χαρακτήρ. ὡς παρὰ τὸ βήσω, βῆσσα, οὕτως ἀπὸ τοῦ φρῶ φρῆσσα ἤτοι φράσσα. καὶ ἐν συνθέσει, Ἰλιάδος κ. Σὺν σοὶ δῖα θεὰ ὅτε οἱ πρόφρασσα παρέστης. σημαίνει δὲ τὸ προδιανοηθεῖσα πρὶν ἐκεῖνον προσκαλέσασθαι. αὐτεπάγγελτος, ἢ πρόθυμος.

Προχέοντο, προήρχοντο. μεταφορικὸς ὁ τρόπος. κυρίως γὰρ τὸ χέω ἐπὶ τῶν ὑδάτων λέγεται.

Προφήτης. φῶ, φήσω. ὁ παθητικὸς, πέφημαι, πέφηται, φήτης. καὶ προφήτης.

Πρόχνυ. Πρόχνυ καθεζομένη, οἱονεὶ πρὸ γόνυ. καὶ κατὰ συγκοπὴν, πρόγνυ καὶ πρόχνυ. ἡ γὰρ πρὸ, ἀντὶ τῆς ἐπὶ κεῖται. οἷον ἐπὶ γόνυ, ὅ ἐστι παντελῶς ὀκλάσαι, Ἰλιάδος ι. ἐπὶ δὲ τοῦ παντελῶς, πρόχνυ ἐπὶ πολλῶν ἀνδρῶν.

Πρωϊζόν, σημαίνει τὸ προχθεσινόν. ἔχει τὸ ι. ὥσπερ ἀπὸ τοῦ χθὲς γίνεται χθιζόν, οἱ χθιζά τε καὶ πρωϊζά, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ πρωῒ γίνεται πρωϊζόν. καὶ κατὰ συναίρεσιν πρῶζον. ἐκ τοῦ πρωῒ, πρωϊζὸς καὶ πρωϊζά. καὶ προΐζον, ὑπόγυον.

Πρωῒ, καιροῦ παραστατικόν. παρὰ τὴν πρὸ πρόθεσιν. κατ' ἐπέκτασιν τοῦ ο εἰς ω ἤτοι ι, γίνεται πρωΐ. διὸ οὖν καὶ κατὰ παραγωγὴν πρώϊος. τὸ θηλυκὸν πρωΐα. ὡς ὀψὲ, ὄψιος, ὀψία. ἡ αἰτιατικὴ, πρωΐαν. καὶ ἰωνικῶς πρωΐην. ἤτοι κατὰ συναίρεσιν πρώην, ἤτοι χωρεῖ εἰς ἐπιρρηματικὴν σύνταξιν αὕτη ἡ αἰτιατικὴ, ὡς καὶ ἡ ἀκὴ τῆς ἀκῆς. τῇ ἀκῇ. τὴν ἀκήν. καὶ ἐπίρρημα, Ἀκὴν ἐγένετο σιωπή. Δεῖ οὖν γινώσκειν ὅτι τὸ πρώην σὺν τῷ ι γράφεται ὡς γινόμενον ἀπὸ τοῦ πρωΐ. ὅπερ οἱ μὲν ποιηταὶ βαρύνουσιν. οἷον, πρῶϊ δ' ὑπηοῖ. οἱ δὲ κοινοὶ καὶ Ἀττικοὶ καὶ Ἀθηναῖοι, ὀξύνουσιν. ὀξύνεται δὲ εἰς τοὺς ἐπιρρηματισμούς. τὰ εἰς ι λήγοντα ἐπιρρήματα δισύλλαβα, καὶ ἑξῆς. ζήτει εἰς τὸ νόσφι. βαρύνεται. οἷον, τὸ, καὶ τὸ. σεσημείωται τὸ πρωΐ.

Πρωΐα, παρὰ τὴν πρὸ πρόθεσιν χρόνον δηλοῦσαν. ἢ ἀπὸ τοῦ προϊέναι ἡμᾶς καθ' ὃ ταύτης ἐπιφανείσης, προΐασιν οἱ ἄνθρωποι. ἢ ἀπὸ τοῦ προοικονομεῖσθαι τῆς ἡμέρας τὸν καιρὸν τοῦτον. ἢ ἀπὸ τοῦ πρώϊος. διὸ τὸ οὐδέτερον, πρώϊον, ὡς παρὰ τῷ ποιητῇ, Ἰλιάδος ο. οἷον, Νευρὴν δ' ἐξέρρηξε νεόστροφον ἣν ἐνέδησα πρώϊον, ἀντὶ τοῦ ἕωθεν. ὄρθρου. ἢ πρόσφατον. νεωστὶ ἐστραμμένην. καινήν.

Πρῶρα, σὺν τῷ ι. οἱ μὲν λέγουσι παρὰ τὸ προέχειν ἤτοι προορᾶν τοῦ σκάφους. ἢ παρὰ τὸ πρώτην εἶναι. ἢ παρὰ τὴν ὥραν ὃ δηλοῖ τὸν καιρόν. γίνεται πρῶρα. διὸ καὶ πρωρεύς. ἔργον γὰρ τῷ πρωρεῖ πρὸ ὥρας ὁρᾶν. ἀλλ' οὕτως εἰπεῖν, οὐκ ἔχει τὸ ι προσγεγραμμένον, ἀπό τε τῆς ἐτυμολογίας ἀπὸ τοῦ προϊέναι, καὶ ἀπὸ τῆς διαστάσεως. ἐπειδὴ εὕρηται κατὰ διάστασιν ὡς παρὰ τῷ ποιητῇ. Κυανοπρωΐρους. καὶ παρὰ Σιμωνίδῃ, Κυανοπρώϊραν. τὸ δὲ πρώϊρα, οἱ μὲν διὰ τοῦ ι λέγουσιν ὡς ἀπὸ τοῦ πρῶρα. κατὰ διάστασιν τοῦ ι, πρώϊρα. ὁ δὲ Ἡρωδιανὸς διὰ τῆς ει διφθόγγου γράφει, πρὸς τὸν χαρακτῆρα τῶν διὰ τοῦ ειρα. ζήτει εἰς τὸ ἐθείρησι. τὸ δὲ ἶρα, ἡνίκα μὲν ἐπὶ τῆς πόλεως σημαίνει, διὰ τοῦ ι γράφεται. ἔστι γὰρ καὶ πόλις οὕτω λεγομένη. τὸ δὲ ἐπὶ τῆς ἐκκλησίας, διφορεῖται κατὰ παράδοσιν. ἔστι περὶ τούτου καὶ εἰς τὸ εἴρην.

Πρῶρα, ἀφ' οὗ ἐστι προορᾶν καὶ προβλέπειν τὰ ἔμπροσθεν.

Πρωϊαίτερον, θᾶττον. πρὸ τοῦ ἀνατεῖλαι τὸν ἥλιον.

Πρωθῆβαι, οἱ ἐν τῇ πρώτῃ ἡλικίᾳ ὄντες. παρὰ τὴν ἥβην καὶ τὸ πρῶτον.

Πρωκτὸς, προακτός τις ἐστί. παρὰ τὸ δι' αὐτοῦ προάγεσθαι τὰ περιττώματα.

Πρῶνες, οἱ ὑψηλοὶ τόποι. παρὰ τὴν πρὸ πρόθεσιν καὶ τὴν ἰὼν μετοχὴν, γίνεται προϊὼν καὶ προών. καὶ κατὰ συναίρεσιν πρών. κλίνεται πρωνός. ἡ εὐθεῖα τῶν πληθυντικῶν, πρῶνες. καὶ πλεονασμῷ τοῦ ο, πρώονες ἄκροι.

Προχοαὶ, αἱ τῶν ποταμῶν διεξοδευτικαὶ ἀφέσεις εἰς τὴν θάλασσαν. ἤτοι ἡ ἐκ παντὸς ὕδατος ἐκροή.

Πρῶτος, παρὰ τὴν πρὸ πρόθεσιν, γίνεται καθ' ὑπέρθεσιν πρότατος. ἀποβολῇ τοῦ τ καὶ κράσει, πρῶτος. πολλαχῶς λαμβάνεται, πενταχῶς. καταχρηστικῶς, ὅτι πρῶτοι εἰσὶν οἱ προφῆται τῶν ἀποστόλων. κατὰ φύσιν, ὥσπερ πρῶτον ἐστὶ τὸ ζῷον τοῦ ἀνθρώπου. κατὰ τάξιν, ὥσπερ τὰ στοιχεῖα τῶν συλλαβῶν. κατὰ ἀξίαν, ὥσπερ οἱ ἄρχοντες τῶν ἀρχομένων. κατὰ αἴτιον, ὥσπερ ὁ πατὴρ τοῦ υἱοῦ. αἴτιος γὰρ ὁ πατὴρ τοῦ υἱοῦ. πρῶτος γάρ ἐστι. σημαίνει δύο. τὸ παρ' ἡμῖν λεγόμενον. ὡς πρῶτος ἐστὶν ὁ Πέτρος τοῦ Παύλου. καὶ τὸ ἄκρον τοῦ ῥυμοῦ. ὡς τὸ, Ἄξαν τ' ἐν πρώτῳ ῥυμῷ.

Πρωτοπαγεῖς, νεοτευχέες. πρώτως πεπηγότες. νεο-

κατασκεύασται. νεωκατεσκευασμένοι. εἰς τὸ εὐλαβές.

ρωτόλεια, τὰ πρῶτα τῶν λῃΐων καὶ τῶν τοῦ πολέμου λαφύρων ἐξαίρετα καὶ πρώτιστα. ἃ ὑπὸ εἰώθασιν οἱ πρώτιστοι λαμβάνειν. οἷον ἡ χρυσηῒς ἐδόθη τῷ ἀγαμέμνονι καὶ ἡ βρισηῒς τῷ ἀχιλλεῖ. δηλοῖ δὲ τὰς ἀπαρχάς.

ρῶτα. Πρῶτα δ' ἐγὼν ἔπεσι πειρήσομαι. ἀντὶ τοῦ πρότερον, ἢ πρώτως. ἔστι δὲ ἐπίρρημα μεταχθὲν ἀπὸ οὐδετέρου ὀνόματος.

ρώτιστος. πρῶτος. καὶ τὸ συγκριτικὸν οὐκ ἔχει. τὸ δὲ ὑπερθετικὸν, πρώτιστος χαρακτῆρι μόνῳ, ἐπειδὴ τὰ ὑπερθετικὰ εἰσὶ δύο ἤδη. τὰ δὲ οὐδέτερα οὐκ ἔχει. ζήτει πλατάνιστον. τινὰ μὲν γὰρ αὐτῶν εἰσὶ καὶ χαρακτῆρι καὶ σημαινομένῳ, ὡς ὑπὸ τὸ σοφώτατος. διαφέρει δὲ ὅτι τὰ μὲν ὑπερθετικὰ, ἀπηρτισμένην καὶ ἀκροτάτην ἔχοντα ὑπέρθεσιν, οὐκ ἐπιδέχεται ἐπιτατικὸν ἐπίρρημα. οὐ γὰρ λέγομεν ἄγαν ἢ λίαν τιμιώτατος. τὰ δὲ συγκριτικὰ ἀτελεστάτην οὐκ ἔχοντα ἐπίτασιν, ἔστιν ὅτε δευτέραν ἐπιτατικὴν ἐπίτασιν ἐπιδέχεται. ὡς παρ' ὁμήρῳ, Πολλὸν παυρότεροι καὶ ῥηΐτεροι μᾶλλον ἔστε

ρυλέες, ἰλιάδος μ. πεζοὶ ὁπλῖται. ὡς δε. δαμῶ δαμάζω, δάμαλις, οὕτω παρὰ τὸ πῶ πύω πύσω πύλις. καὶ συγκοπῇ, πρύλις. καὶ πρύμνη, οὐκ ἐπὶ νηὸς μόνον, ἀλλὰ παντὸς τὸ τελευταῖον καὶ ὕστατον. τὸ συνορίζον τινὶ παρά τι. παρὰ τὸ περὰς περυμνὸν. καὶ συγκοπῇ, πρυμνὸν καὶ πρύμνη. ἐκ τοῦ πρυμνὸς, γίνεται πρυ-

ρυμνήσια, τὰ ἀπόγεια σχοινία, οἷς μνη ἡ ἐσχάτη ἐκ τῆς πρύμνης δεσμεῖται ἡ ναῦς πρὸς τὴν γῆν.

ρυμνώρειας, τὰ κατώτατα καὶ ἔσχατα τῶν ὀρῶν κα-

ρυτανεία, ἀριθμὸς ἡμερῶν τριάκοντα. λέγεται. καὶ θηλυκῶς πρυτανεία. οὕτως ἀριστοφάνης.

ρυτανεῦσαι, διοικῆσαι. προστατεῦσαι. φυλάξαι. βασιλεῦσαι. ταμιεῦσαι. κυρίως γὰρ ἀπὸ τοῦ τοῦ σημαινομένου τάττεται ἡ λέξις. πρύτανις γὰρ ὁ σιτοφύλαξ. οἷον πυροταμίας τις ὤν. συγκοπῇ, πρύτανις. καὶ

ρύτανις, τὸ δέκατον μέρος τῆς γὰρ ὑπὸ τῶν μ εἰσί. βουλῆς τῶν πεντακοσίων καὶ πεντήκοντα ἀνδρῶν, ἀπὸ μιᾶς φυλῆς. οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς πραττόμενα, πρυτάνεις ἐκαλοῦντο. ἐπρυτάνευον δὲ ἐκ διαδοχῆς ἀλλήλων αἱ δέκα φυλαὶ κληρολαχοῦσαι κατ' ἐνιαυτόν. καὶ πρυτανεῖον λέγεται παρὰ τὸ ἐκεῖ φυλάττεσθαι τὸν πυρὸν ἤγουν τὸν σῖτον. οἱονεὶ πυροταμεῖον καὶ πρυτανεῖον. γίνεται δὲ διφθόγγου διὰ διαλύσεως. ἢ ὅτι εὕρηται καὶ κατὰ διάστασιν πρυτανήϊον.

ταίω, παρὰ τὸ πέτω, συγκοπῇ πτῶ. καὶ κατὰ παραγωγὴν πταίω. ἀπὸ τοῦ πίπτειν πολλάκις τοὺς προσπταίοντας. ἐκ δὲ τοῦ πτῶ, γίνεται πτηνὴ καὶ πτανές.

τέρνα, παρὰ τὸ πετῶ πετέρνα, καὶ συγκοπῇ πτέρνα. ἢ ἀπὸ τοῦ πεπτωκέναι αὐτῇ τὸ ὅλον τὸ σῶμα. ἢ παρὰ τὸ τέ-

τερὸν, παρὰ τὸ πέτω πετερὸν, ὡς ραν πατεῖν. θάλλω θαλερὸν, τήκω τηκερόν. καὶ συγκοπῇ, πτερόν. ἢ παρὰ τὸ πτῶ ὃ δηλοῖ τὸ πέτομαι. ἢ παρὰ τὸ πτερῶ, ἐξ οὗ τὸ, ἀναπτερωθῆναι.

τερόεντα, Ἔπεα πτερόεντα. ἐπειδὴ νικήσασαι αἱ μοῦσαι τὰς σειρῆνας, τοῖς πτεροῖς αὐτῶν ἐστέφθησαν.

τέρυξ, παρὰ τὸ πτερύσσω πτερύξω. τοῦτο παρὰ τὸ πετῶ πετήσω, πτῶ πτήσω, πτέρυξ. ἢ παρὰ τὸ πτερὸν πτερύσσω. ἢ ἀπὸ τοῦ πτερὶς, ὡς χλαμὶς. συγκοπῇ, πτέρυξ. διαφέρει πτέρυξ καὶ πτερύξ. πτέρυξ λέγεται τὸ ὅλον μέρος. πτερὺξ δὲ, τὸ ἄκρον. ὡς τὸ, Πτερύγος λάβεν, ἰλιάδος β. ἢ ὅτι τὸ πτερὺξ ὀξυτόνως, περιεκτικόν τι σημαίνει, ἤγουν ὅλην, καὶ περιεκτικόν ἐστι πολλῶν πτερῶν. πτέρυξ δὲ, μέρος τι τοῦ πτεροῦ παροξυτόνως. ἢ πτέρυξ ἡ σὰρξ ἡ ἐκφύουσα τὰ πτερά. πτερὺξ δὲ τὸ πτερύγιον δι' οὗ πέτονται.

ρυτανεῖα. ὅτι τὸ ἱερὸν πῦρ ἐπὶ τούτων ἀπόκειται. καὶ τοὺς ὅποι ποτὲ ἀποικίαν στέλλοντας, αὐτόθεν αὔεσθαι τὸ ἀπὸ τῆς ἑστίας πῦρ, ὅπερ ἐστὶ τὸ πυρεύεσθαι.

τήσσω, τὸ φοβοῦμαι, παρὰ τὸ πέτω, πτῶ, πτήσω, καὶ πτήσσω, ὁ γὰρ φοβούμενος, πίπτοντι ἔοικε.

τίλα, τὰ ἄρμενα. παρὰ τὸ τίλλω, τίλα καὶ πτίλα.

τίλος, ὁ ἐκπεπτωκὼς τῶν ἴλλων, τουτέστι τῶν ὀφθαλμῶν. ὑπὸ τῶν ἀποτετιλμένων τὰ βλέφαρα.

τισάνη, ἡ λελεπισμένη κριθή. παρὰ τὸ πτίσσω τὸ καθαίρω. καὶ ἐπτισμένον, τὸ κεκαθαρμένον.

τολίεθρον, ἐκ τοῦ πόλις, κατὰ ποιητικὸν ἔθος γίνεται πτόλις καὶ πτολίεθρον. διαφέρει δὲ. ὅτι πόλις λέγεται καὶ χωρὶς τοῦ τ. τὸ δὲ πτολίεθρον, ἄνευ τοῦ

τολίπορθος, ἐκ τοῦ πορθῶ. καὶ διατί μὴ προ του λέγεται. μίαν εἶχε τὸν τόνον ὡς παρὰ καὶ τὸ καλλιγράφος ἐκ τοῦ γράφω. ἐπειδὴ τὰ εἰς ος ὀνόματα ἀπὸ ῥήματος δισυλλάβου συντιθέμενα, προπαροξύνεται. οἷον συλῶ, ἱερόσυλος. μυκῶ, ἱερόμυκος. οὕτω καὶ πτολίπορθος ὁ τὰς πόλεις πορθῶν.

τόρθος, οὐ χεῖρον τὴν ἐτυμολογίαν. ὡς οἶμαι δὲ παρὰ τὸ πέτω πτῶ, γίνεται πτείρω. ἐξ οὗ ὁ δεύτερος ἀόριστος, ἔπταρον. ὡς φθείρω ἔφθαρον. ἐκ δὲ τοῦ πτείρω, ῥηματικὸν ὄνομα πτόρος. ὡς φθείρω, φθόρος. καὶ πλεονασμῷ τοῦ θ,

τοῶ, ἐκ τοῦ πετῶ ποτῶ. καὶ ὑπερθέσει, πτοῶ πτόρθος. πτοήσω. ἐξ οὗ τὸ, Ἐπτοήθην ὡς παρὰ κατὰ πέπτωκε. τὸ δὲ πτοῶ, λέγεται καὶ πτοιῶ. ἐξ οὗ τὸ διεπτοίησε. καὶ πτοίαι ἡ πτόη-

τοῖαι, παράλογοι φόβοι. ἐκπλήξεις. κίνδυνοι. σις. οἱ δὲ, ταραχαί. ἀπὸ τοῦ πτοῶ ῥήματος, γίνεται πτόα καὶ πτοία.

τωσκάζειν, παρὰ τὸ πτῶ ὅ ἐστι τὸ φοβοῦμαι, καὶ τὸ σκά-

τωχεύειν, ἀπὸ τοῦ πτώσσειν καὶ προς ω τὸ ἐκκλίνω. πίπτειν τοὺς δεομένους. ἢ ἀπὸ τοῦ ἐκπεπτωκέναι τοῦ ἔχειν. ὡσαύτως δὲ καὶ πτωχός. ὁ δὲ ὧρος, ἐτυμολογεῖ τὸ πτωχὸς ἀπὸ τοῦ πτήσσειν περὶ τὴν ὀχὴν, τουτέστι τὴν τροφήν. ἢ πτηχός τις ὤν. πτωχὸς γὰρ οὐ χύφυσται ἀ-

τύον, παρὰ τὸ πτύω. τὸ ἀποπτύον καὶ ἀπορ πάλην. ῥίπτον τῶν καρπῶν τὰ ἄχυρα. τὸ δὲ πτύω, σημαίνει τὸ ἀπορρίπτειν καὶ ἐκβάλλειν. ἔνθεν καὶ τὸ ἀποπτύω, ἀπὸ τοῦ πετῶ πετύω, καὶ συγκοπῇ, πτύω. τὸ δίκην ἀπὸ πεταννύμενον καὶ ἀπορριπτόμενον.

τύσσω, παρὰ τὸ πέτω πετύσσω. τὸ γὰρ πτύσσειν, οὐδὲν ἐστὶν ἄλλο, ἢ τὸ ἐπιπίπτειν ἕτερον ἑτέρῳ. ὡς τὸ, Ἔγχεα δ' ἐπτύσσοντο, ἰλιάδος ν. ἀντὶ εἰς αὐτὸν συνήγετο καὶ ἐκάμπτετο κραδαινόμενα.

τὼξ, παρὰ τὸ πτῶ, παράγωγον πτώσσω. ὁ μέλλων πτώξω. καὶ ἀποβολῇ. ἢ ἀπὸ τοῦ πτήσσω τὸ φοβοῦμαι πτήξω πτήξ. καὶ συγκοπῇ τοῦ μακροῦ εἰς μακρόν. σημαίνει δὲ τὸν λαγωόν.

τύχες, σημαίνει τὰς τῶν ὀρῶν κατακλίσεις, ὡς τό, Πολυπτύχου οὐλύμπου, τοῦ πολλὰ ἀποκλίματα ἔχοντος. λέγονται δὲ καὶ ἐπὶ τῆς ἀσπίδος πτύχες, τὰ διάφορα ἐπάλληλα ἐλάσματα.

ύγελα, πόλις περὶ τὴν ἔφεσον, οὐδετέρως λεγομένη τὰ πύγελα. ὠνόμασται παρὰ τὸ τὰς πυγὰς ἀλγῆσαι οἱ ἀγαμέμνονος ἐρέται. κἀντεῦθεν ἀπομείναντες, τῆς συμφορᾶς ἐπώνυμον ἐποίησαν τὴν πόλιν.

υγοστόλος. ἡ σοβάς. οἱ μὲν τὴν μαυλίστριαν. οἱ δὲ αὐτὴν τὴν ἑταίραν, τὴν περὶ τὴν πυγὴν στολιζομένην, τουτέστιν ἐκεῖνα τὰ μέρη πανούργως τοῖς ἱματίοις. στέλλειν γάρ ἐστι τὸ συγκοσμεῖν. ἄλλοι δὲ τὴν κοσμοῦσαν τὰς χεῖρας. πυγούσιον γὰρ ὁ πῆχυς κεκλασμένων τῶν δακτύ-

υγμαίως, ἰλιάδος γ. ἤγουν ἴσως γρόνθω. λων. πυγμὴ γὰρ σημαίνει τὸν γρόνθον τῆς χειρός. παρὰ τὸ πτῶ πτύσσω, πτυγμὴ καὶ πυγμή. ἐξ οὗ γίνεται καὶ πτυχία, τὰ ἠσφαλισμένα. πυγμὴ σημαίνει καὶ τὸν πῆχυν, ἐξ οὗ παρώνυμον πυγμαῖος. ζήτει εἰς τὸ πτύξ.

υλαγόραι, οἱ προεστῶτες πυλαίας. πυλαία δέ ἐστιν ἡ εἰς θερμοπύλας γινομένη σύνοδος τῶν ἀμφικτυόνων. ἢ οἱ πεμπόμενοι ἀπὸ τῶν πόλεων εἰς ἀμφικτυονίαν ῥήτορες, ὥστε ἐκεῖ ἀγορεῦσαι. ἐκαλοῦντο δὲ πυλαγόρας, παρὰ τὸ ἐπὶ τῇ πυλαίᾳ ἀγορεύειν. πύλαι δέ ἐστι τὸ ἀμφικτυονικὸν συνέδριον.

ύγαργος, εἶδος ἀετοῦ. λυκόφρων, δειλὸν ἢ ἅρπαγα. σοφοκλῆς ἐπὶ τοῦ δειλοῦ, ἀπὸ τῆς λευκῆς πυγῆς. ὥσπερ ἐναντίως μελαμπύγης ἀπὸ τῆς ἰσχυρᾶς.

ὺξ. Πὺξ ἀγαθός. ἔστιν ἐπίρρημα ποιότητος. γίνεται παρὰ τὸ πτύσσω πτύξω τὸ ἀσφαλίζω. ἀποβολῇ τοῦ ο καὶ τοῦ τ, πύξ. παρὰ τὸ πτύσσειν τοὺς δακτύλους ἐν τῷ πλήττειν. κατακλείοντες γὰρ τοὺς δακτύλους ἐν τῇ πυγμομαχίᾳ, ἐπάλαιον. ἡ σύνοδος. Οἷον δ' ἐμάχοντο πύξ τε καὶ ἑλκηδόν. ἔστι δὲ καὶ πυγμὴ εἶδος ἀγῶνος, παρὰ τὸ πτύσσειν. κλείοντες γὰρ τοὺς δακτύλους πλήσσομεν.

υδαρίζειν, ἐπὶ τοῦ ἅλλεσθαι, ἤτοι ποδαρίζειν. ὡς ὄνομα ὄνυμα αἰολικῶς. ἢ πυγαρίζειν, παρὰ τὴν πυγήν. δηλοῖ δὲ τὸ λακτίζειν. ἀριστοφάνης εἰρήνῃ. Ἀπεπυδάρισα μόθωνα παρὰ τοὺς πόδας. οὕτως εἰρηναῖος ἐν τῷ περὶ τῆς ἀλεξανδρέων διαλέκτου.

ύελος, κυρίως ὅπου τοὺς πυροὺς πλύνουσι. πυέλους τινὰς ὄντας. ἐκβολῇ τοῦ ρ πυέλοις. πυοὺς δὲ λέγουσι καὶ δίχα τοῦ ρ τοὺς πυρούς. εἰσὶ δὲ σκαφίδες ἐν αἷς λούονται. παρὰ τὸ πεπυθὸς τουτέστι τὸ σεσηπὸς ἔλκειν. οὕτω δὲ ἔλεγον τοὺς πλυνοὺς ὡς θέων ἐν ὑπομνήματι ὁ διο- σείας.

ύθεσθαι, τὸ σήπεσθαι. ἐκ τοῦ πύθω τὸ σήπω.

υθέσθαι, τὸ ἀκοῦσαι καὶ μαθεῖν. ἐκ τοῦ πεύθω πεύσω. ὁ δεύτερος ἀόριστος, ἔπυθον. ἐπυθόμην. ἐπύθετο. καὶ τὸ ἀπαρέμφατον πυθέσθαι.

υνθάνεσθαι, μανθάνειν. διδάσκειν. ἱστορεῖν. ἐρωτᾶν. ἐκ δὲ τοῦ πεύθω, γίνεται πύθω τὸ μανθάνω καὶ ἀκούω, ἐξ οὗ καὶ τὸ πυνθάνω.

υθοίατο. ἐκ τοῦ ἐπυθόμην, τὸ εὐκτικὸν, πυθοίμην, πύθοιο, πύθοιτο, καὶ πυθοίατο. ζήτει εἰς τὸ δευοίατο.

ύθια καὶ πυθαῖος, ὄνομα ἑορτῆς ἀγαμέμνονος τῷ ἀπόλ-

υθὼ, πόλις φωκίδος ἧς οἰκήτορες δελφοί. λωνι. ἀπὸ τοῦ σεσῆφθαι αὐτόθι τὸν δράκοντα ὃν ἀνεῖλεν ὁ ἀπόλλων. ἢ παρὰ τὸ πεύθεσθαι καὶ ἀκούειν τῶν χρησμῶν. ἐκεῖ γὰρ ἦν τὸ μαντεῖον τοῦ ἀπόλλωνος.

ύθων. ὀξυνόμενον μὲν καὶ θηλυκὸν, ὁ τόπος. βαρυνόμενον δὲ καὶ ἀρσενικὸν, ὁ δράκων.

υθμὴν, φυτευθεμένη θέσις ἐστὶν οὖν, τοῦ φυτοῦ θέσις. φυθμὴν καὶ πυθμὴν οὕτως ὧρος. ἢ παρὰ τὸ φύω φύσω φυθμήν. καὶ σημαίνει τὸν κοῖλον τόπον. ὁ δὲ θεόγνωτος παρὰ τὸ κεύθω τὸ κρύπτω, κευθμὴν καὶ κυθμήν. πλεονασμῷ τοῦ μ καὶ συγκοπῇ, πυθμήν. βαθυπύθμην, ἀπύθμην. τὸ ὑψιλόν.

ύκασε, περιεκάλυψεν. ἐσκέπασεν. ἀπὸ τοῦ πτύσσω

υκνὰ, τὰ συνεχῆ καὶ συνετά. ἡ γὰρ φρό πυκάζω. νιμος διάνοια, πεπυκνωμένη ἐστὶν, ὡς παρὰ τοὐναντίον ἡ ἔξηχος, ἡ ῥαιωμένη. τὸ ἀρσενικὸν, ὁ πυκνός. τοῦτο ἐκ τοῦ πυκινός. ὅθεν καὶ πυκινὴν βουλὴν, τὴν πυκνὴν καὶ συνετὴν καὶ σώφρονα. ἢ ἐκ τοῦ πτύσσω πτυκνὸς καὶ πυκνός. τὸ δὲ πυκινὸς, ἐκ τοῦ πύκα ἐπιρρήματος, ὅ σημαίνει τὸ ἐπιμελῶς ἔχειν. τοῦτο ἐκ τοῦ πτύσσω τὸ σφαλίζω πτύκα καὶ πύκα. τὸ δὲ πτύσσω, ἐκ τοῦ πέτω. τὸ γὰρ πτύσσειν, οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ ἐπιπίπτειν ἕτερον πρὸς τὸ ἕτερον.

ύλη, ἐκ τοῦ πτύσσω τὸ σφαλίζω. καὶ, Πυλάρταο ἅδου, τοῦ τὰς πύλας ἰσχυρῶς ἀρτῶντος. ὅ ἐστι κατασκευάζοντος καὶ συναρμόζοντος. καὶ πυλαῖος τὸ κύριον ὄνομα, προπαροξυτόνως πρὸς ἀντιδιαστολὴν τοῦ

ύματος, ἔλλειψις τοῦ θ. παρὰ τὸ πυ τόπου. θμὴν ὄνομα. ἀπὸ μεταφορᾶς τῶν ἀγγείων. ὁ γὰρ πυθμὴν ἔσχατος, εἰ καὶ τὴν ἀρχὴν ἔχει. πύθματος οὖν. καὶ ἀποβολῇ τοῦ θ, πύματος. σημαίνει δὲ τὸ ἔσχατον.

υξὶς, τεῦχος ἰατρικόν. καὶ κυρίως ἡ ἐκ πύξου γενομένη. καταχρηστικῶς δὲ ἡ ἐξ οἱασδήποτε ὕλης καὶ χαλκοῦ οὖν καὶ μολύβδου.

ῦος, τὸ σεσηπὸς αἷμα καὶ μεταβεβλημένον. παρὰ τὸ πύθω τὸ σήπω, καὶ τὸ γάλα ὁμοίως. οὕτως ἀριστοφάνης. Πῦος ἡ μὲν ἔμβδην. τὸ πεπηγὸς γάλα, διὰ τὸ καὶ αὐτὸ μεταβεβλῆσθαι. καὶ ἔμπυον, τὸ γαλακτῶδες τῆ

ὁμοιότητι ὑγροῦ. τὸ πρωτότυπα, πῦος ἀντὶ τοῦ πε-
σαρμένου ὑγροῦ ἐν τῷ σώματι. ἔστι δὲ οὐδέτερον τὸ
Πῦρ, πυρός. ἔστιν ἀντὶ τῆς εὐθείας μακροῦ. πῦος.
ἀντὶ δὲ τῆς γενικῆς, βραχύ. πρὸς ἀντιδιαστολὴν ἑτέρου
σημαινομένου. ἔστι γὰρ πυρός. τὸ πυ, μακρόν. καὶ σημαίνει τὸν
σῖτον. τὸ δὲ πῦρ, φῦρ τί ἐστιν, ὅτι φυόμενον διέρπει. ἢ
παρὰ τὸ φύω τὸ ἀναβλαστάνω, φῦρ. ἔστι γὰρ πῦρ ὀξὺ εὐφυέ-
στερον ἡνίκα ἐπιλάβηται ὕλης. φύεται γὰρ λαβόμενον ὕλης.
ἐκ δὲ τοῦ πῦρ πυρός, πυράζω. ὁ μέλλων πυράξω. ὅθεν ῥημα-
τικόν, πυρακτός. καὶ ῥῆμα πυρακτῶ. ἐξ οὗ ἐπυρακτέον.
Πυραί, πυρκαϊαί. ἀπὸ τοῦ φύρω.
Πυργοβάρεις, προμαχῶνες οἱ ὀχυρώτεροι τῶν πύργων.
Πύραυνος, ὁ χυτρόπους. παρὰ τὸ πῦρ ἐνιαύειν ἐν αὐτῷ.
Πυρριχισταί, οἱ τὴν ἔνοπλον ὀρχούμενοι ὄρχησιν.
Πύραμος, ποταμὸς Κιλικίας. ὠνόμασται δὲ οὕτω, διὰ
τὸ πολὺν πυρὸν περὶ τοὺς ἐν τῇ Κιλικίᾳ οἰκοῦσι.
Πυραμίς, ἡ ἐκ πυρῶν καὶ μέλιτος. ὥσπερ σησαμίς, ἡ ἐκ
σησάμων καὶ μέλιτος. τινὲς δὲ ἀπὸ τοῦ συμβαίνοντος
αὐτῇ σχήματος. πλατέος κάτωθεν ὄντος, καὶ εἰς ὀξὺ λή-
γοντος ὅ ἐστι τὸ φλογὶ ἀναφερόμενον ἐοικός. τοιοῦτος δὲ καὶ ὁ
πύργος. ἢ παρὰ τὸ πυρόν. πυραμίδες δὲ πάλιν λέγονται
ὤργα βασιλικὰ σιτοδοχεῖα ἃ κατεσκεύασεν Ἰωσήφ.
Πύργος, παρὰ τὸ ὑπὲρ ἄνω τῆς ἵστασθαι. σημαίνει δὲ ὅτε μὲν κυ-
ρίως, τὸν πύργον ὡς τό, Πύργῳ ἐφεστήκει γοόωσα. ὅτε
δὲ τὸ τεῖχος. Ὡς εἶδον Ἑλένην ἐπὶ πύργον ἰοῦσαν καὶ
τὴν τάξιν. ὡς τό, Εἰ δέκα πύργοι Ἀχαιῶν. καὶ ἐπίρρημα,
πυργηδόν. καὶ μέρος τι τοῦ τείχους. Τοῦ γὰρ δὴ πρὸς
πύργον ἦσαν. Ἰλιάδος μ. ὅτε δὲ μεταφορικῶς. ἀσφα-
λείας καὶ φυλακῆς, Τοῖος γάρ σφιν πύργος ἀπώλεο.
λέγεται δὲ καὶ μέρος τι τῆς νεώς.
Πυρήϊα. Πυρήϊα δινεύεσκον. Ἀπολλώνιος. λέγεται τὰ
ξύλα τὰ τριβόμενα, πυρεῖα. τινὲς δὲ τοὺς πυροβό-
Πυρνός, σημαίνει τὸν ψωμόν. κοινοτέρως δὲ ἡ λους λίθους.
τροφή. ἀπὸ τοῦ πυροῦ ὅ ἐστι τοῦ σίτου.
Πυρός, οἱ μὲν παρὰ τὴν ἔκφυσιν, φυροὺς καὶ πυρούς. οἱ δὲ
ἀπόρους ἀπύρους καὶ πυρούς. σημαίνει καὶ κριθήν. κυρίως δὲ σῖ-
Πυρόεις. Πυρόεις ἀπολάμπεται ἀστὴρ Ἀπολλώνιος. τος.
ὅτι ὁ ἀστὴρ ὁ Ἄρης ὑπὸ μὲν Ἑλλήνων Ἄρης λέγεται. ὑπὸ δὲ Αἰ-
γυπτίων καὶ ἀστρονόμων, πυρόεις. ὑπὸ δὲ Χαλδαίων,
Πῦσις, μήπως παρὰ τὸ πέπυ- Ἡρακλῆς. περὶ παθῶν.
σμαι πύσις. καὶ πλεονασμῷ τοῦ τ. οὐ δύναται δὲ πλεο-
νασμός, εἶναι ἀλλὰ παραγωγή. ἀπὸ τοῦ πῦς ὁ πῦσις, ὡς
Πυτίζω. παρὰ τὸ πτύω πτυτίζω ὕβρις ὁ ὕβρισις.
παραγωγῇ. καὶ ἀποβολῇ τοῦ τ. τινὲς δὲ παρὰ τὸ φυσῶ
φυσίζω. καὶ ἐναλλαγῇ τοῦ φ, πυτίζω.
Πώγων. ὡς μὲν Ἀπολλόδωρος. ὅτι πῆξιν ἡλικίας σημαίνει. ὡς
δὲ ἄλλοι, ὅτι ἀντὶ τοῦ εἶπεν ἄγει. ἱκανοὶ γὰρ ἤδη οἱ γενειῶν-
τες πρὸς τὸ λέγειν. παρὰ τὸ πήσσω πῶ, πήξω πέπηγα,
πήγων, καὶ πώγων, ὁ πεπηγὼς καὶ ἑδραῖος τόπος.
Πωγωνίτης. πώγων πώγωνος πωγωνίτης. λέγουσι,

δέ τινες ὅτι ἀπὸ τῶν εἰς ων ληγόντων, οὐκ ἔχει. γεγό-
νε γὰρ πωγωνία. κρατῆσαν δὲ ἐν μετρίοις, λέγω πωγω-
νία ἔφη. δύναται οὖν ὥσπερ οἰκία οἰκιάτης, οὕτω πω-
γωνία πωγωνιάτης καὶ πωγωνίτης. γενέσθαι.
Πῶλοι, οἱ νέοι ἵπποι. πώαλοί τινες ὄντες. ὡς ἵππος
ἵππαλος. οἱ περὶ πόαν ἁλλόμενοι.
Πωλικὸν παράδειγμα. ὥσπερ ὁ νεωστὶ πῶλος γεννηθείς,
ἐκ τῆς γεννησάσης αὐτὸν οὐδὲν χωρίζεται, οὕτω κἀγὼ ἐν
ταῖς ἀρεταῖς τὴν πατέρα μου οὐκ ἐχωριζόμην.
Πωλῶν, παρὰ τὸ πολῶ τὸ συναναστρέφομαι καὶ ἐπιφοιτῶ.
ἐπειδὴ ὁ πωλούμενος καὶ ὁ πωλῶν, περὶ τὸν αὐτὸν τόπον
ἀναστρέφεται, ἵνα θεωρῆται ὑπὸ πάντων. ἰστέον δὲ ὅτι τὸ
πωλῶ διαφέρεται κατά τε γραφὴν καὶ σημαινόμενον. ἀντὶ
μὲν γὰρ τοῦ πιπράσκω, διὰ τοῦ ω μεγάλου. ἀντὶ δὲ τοῦ κινοῦ-
μαι ἢ περιπατῶ. διὰ τοῦ ο μικροῦ. ἀμφότερα δὲ ἐν τῇ συν-
θέσει τὴν ἰδίαν φυλάττει γραφήν. ὅθεν ἀρτοπώλης μὲν
καὶ τὰ ὅμοια, διὰ τοῦ ω μεγάλου, οἰονοπόλος δὲ καὶ τὰ
ὅμοια διὰ τοῦ ο μικροῦ. σεσημείωται τὸ ἀπεμπολῶ
καὶ πυρπολῶ τὸ μὲν ἀπὸ τοῦ πωλῶ τὸ πιπράσκω διὰ τοῦ ω
μεγάλου γραφέν. τὸ δὲ ἀπὸ τοῦ πολῶ τὸ συναναστρέφομαι,
διὰ τοῦ ο μικροῦ. τούτου δὲ τὴν ἐτυμολογίαν οὐ χεῖρον. ὡς
οἶμαι δὲ παρὰ τὸ πέλω ἐστὶ τὸ ὑπάρχω. οἱ γὰρ συναναστρε-
φόμενοι, περὶ τὸν αὐτὸν ὑπάρχουσι τόπον. καὶ Πωλέ-
σκετο, Ἰλιάδος α, τὸ συνανεστρέφετο. διῆγεν. ἐκ τοῦ πο-
λῶ. ὁ μέλλων πολέσω. πλεονασμῷ τοῦ κ, πολέσκω. ὡς
ἀρῶ ἀρέσω ἀρέσκω. καὶ γίνεται ἀπὸ μέλλοντος ἐνεστὼς πολέ-
σκω. ὁ παθητικός, πολέσκομαι, ἐπολεσκόμην. καὶ τὸ
γίνεται κατ' ἔκτασιν ποιητικὴν τοῦ ο εἰς ω, πωλέσκετο.
Πῶ, καὶ πώμαλα. τὰ τῷ ο παραλληγόμενα ἐπιρρήματα
ἀπὸ κοινῆς τῆς θεν καὶ ἐκτάσει τοῦ ο εἰς ω γίνεται παρὰ Δωρι-
εῦσι. οἷον, αὐτόθεν, αὐτῶ. τουτόθεν, τούτω. οὕτω καὶ πό-
θεν, πῶ. καὶ παρὰ Σώφρονι, Πῶ τις ὄνον ὠνάσηται, ἀντὶ πό-
θεν. τὸ δὲ πώμαλα παρὰ Ἀττικοῖς, προσλήψει τοῦ μαλα
γίνεται. οἷον, Ἡ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός.
καὶ, Ἡ μάλ' ἐλαφρὸς ἀνήρ. τὸ δὲ πόθεν, ἀντὶ τῆς οὐ ἀρ-
νήσεως λέγεται. οἷον, ἔγραψας, πόθεν, ἀντὶ οὐ. καὶ κατὰ ταύτην
σημασίαν τὸ πώμαλα. παρὰ Ἀττικοῖς, σημαίνει τὸ οὐδαμῶς,
καὶ τὸ πώποτε, ἀπὸ τοῦ πω ἐπιρρήματος. ἔστι δὲ καὶ ῥῆμα
παρὰ Αἰολεῦσιν. οἷον, Χαῖρε καὶ πῶ, ὅπερ λέγεται ἐν ἑτέ-
ρῳ σύμπωθι. γίνεται ἐκ τῆς συζυγίας ἐστίν, ὡς μυρῶ Ἀΐδῶ. πῶ,
ὅτι ἐγένηται πῶθι, ἐπαύξησις ἐστὶν ὡς ζῆθι καὶ ζῶθι.
Πωλοδάμνης, παρὰ τὸ πῶλος καὶ τὸ δαμῶ δαμνῶ.
Πωληταί, ἀρχή τις Ἀθήνησιν οἱ τὰ τῆς πόλεως πω-
λοῦσι καὶ φροντίζουσιν ἀποδιδόντες τῇ πόλει.
Πυῤῥίχην, σημαίνει τὴν σύντονον ὄρχησιν. ἀπὸ Πυῤ-
ῥου καὶ πυῤῥίχου. ἢ παρὰ τὸ διὰ πυρὸν τῶν ὀρχουμένων.
Πῶυ. κλίνεται πώεος, καὶ σημαίνει τὸ ποίμνιον. παρὰ
τὴν πόαν ἣν νέμεται. ἢ παρὰ τὸ πῶ τὸ κτῶμαι. ἢ παρὰ
τὸ πῶ τὸ πίνω. ὅτι ποτῷ ἥδεται καὶ εὐφραίνεται. ἢ ὅτι
τὰ κτήματα ἔλεγον ὡς πολυπάμμονα.

Πωρός, ὅθεν τὸ ταλαίπωρος. παρὰ τὴν πήσω μέλλον-
τα πηρὸς καὶ πωρός, γίνεται τροπῇ τοῦ η εἰς ω. ὡς ἀρηγὼ ἀρηγὸς
Πώυγγες, αἱ αἴθυιαι αἱ κληθεῖσαι βοῦ καὶ ἀρωγός.
γγες. παρὰ τὴν βοὴν καὶ τὴν ἠχήν.
Παραπέτασμα, τὸ προκάλυμμα κυρίως τῶν πορνῶν ὃ
προβάλλονται διὰ τὸ μὴ ὁρᾶσθαι τοὺς εἰσιόντας.
Πάραλος, ἱερὰ τριήρης. ὥσπερ καὶ Σαλαμινία καὶ Ἀντι-
γονὶς καὶ Δημητριάς. ἀπὸ Παράλου τινὸς ἥρωος πρὸς
ὑπηρεσίαν τῶν ἀναγκαίων ἐπιτήδειος. αὕται δὲ ἀντὶ
στρατηγοὺς ἔπεμπον, καὶ τοιαύτας τινὰς χρείας.
Παραφυλακτηρευόμενοι, περὶ τὰς φυλακὰς καὶ φρυ-
κτοὺς ἀνατείνοντες ἀντὶ τὰ συμφέροντα τῶν πο-
Προκαλεῖν, προτρέπειν. δεῖσθαι. ἱκετεύειν. λεμίων.
Πρόβολοι, αἱ εἰς θάλασσαν ἐγκείμεναι πέτραι ὀξεῖαι.
καὶ προβόλιον, εἶδος δόρατος. καὶ προβλῆτας, τοὺς
θεμελίους λίθους παρὰ τὸ προβεβλῆσθαι.
Πάρεδροι, οἱ αἱρούμενοι τοῖς ἄρχουσιν. οἷον, βοηθοί,
σύμβουλοι, καὶ φύλακες. Δημοσθένης, Παρεδρεύον-
τος ἄρχοντος τῷ υἱεῖ. ὠνόμασται δὲ οὕτω παρὰ τὸ τῷ ἄρ-
χοντι καθεζόμενον καὶ συνεδρεύοντα, συνδικεῖν τὰ τῆς ἀρχῆς.
Προβάλλεσθαι. ἔθος ἦν Ἀθηναίοις τοὺς ἄρχοντας εἴ τις
ἀδικοίη καὶ τοὺς συκοφάντας παράγειν εἰς τὴν ἐκκλη-
σίαν τὸν βουλόμενον, καὶ ἀποφαίνειν ὥς ἐστι.
Περιστοιχίζεται, Δημοσθένης ἐν δευτέρῳ Φιλιππικῶν.
ἔστι δὲ οἷον αἱρεῖν. λαμβάνειν. ἀπὸ μεταφορᾶς τῶν κυνη-
γετῶν, οἵτινες στοίχους περιβάλλουσι τοῖς ὄρεσι. στοῖχοι
δὲ εἰσὶν αἱ λεγόμεναι στάλικες, ἀφ' ὧν τὰ δίκτυα καθίεν-
ται. ταύταις οὖν περιβάλλοντες, αἱροῦσι τὰ θηρία.
Περιδέξιος. Ὅπως ἀποφεύξῃ θεὸν περιδέξιον. καὶ τῇ ἀρι-
στερᾷ ἐργαζόμενος. καὶ περιδέξιον ἐστὶ πανδιλήμματον.
ἑκατέρωθεν γὰρ ὁ βούλεται συνάγει. καὶ παρὰ τῷ Θεολόγῳ.
Περίδειπνον, ἡ ἐπὶ τοῖς ἀποθανοῦσι γινομένη ἑστίασις.

Περιγράψαι, τὸ ἀποκτεῖναι. ἐπεὶ οἱ ἀποθανόντες
περιγράφονται.
Πεζέταιρος, Δημοσθένης Φιλιππικῶν δευτέρῳ. Καὶ
τῶν Μακεδόνων τοὺς πεζεταίρους μὲν καλουμένους. ὄν-
τας δὲ ἀπὸ λέκτους, ἔβαλεν εἰς τὴν Ἰλλυρίδα ἔχων. πε-
ζεταίρους εἶναι φασὶν ἀπὸ ὁδοιπορικῶν ἔργων ἑταί-
ρους γεγονότας. οἱ δέ, τοὺς περὶ τὸ σῶμα τοῦ Φιλίππου
φρουρούς. ἦσαν δὲ οὗτοι καὶ πρῶτοι καὶ ἰσχυροί, ἀπὸ
μεταφορᾶς τῶν πεζῶν. πέζαι γὰρ λέγονται αἱ ὧαι τῶν
ἱματίων. ἐπεὶ ἔξωθεν περὶ τὸ ἱμάτιον εἰσὶ κατασκευ-
Προφερεῖς, οἱ νέοι μὲν ὄντες. πρεσβύτε- ασμέναι.
ροι δὲ φαινόμενοι.
Προναία Ἀθηνᾶ, ἄγαλμα τὸ ὄνομα. ἤτοι διὰ τὸ πρὸ
τοῦ ναοῦ ἐν Δελφοῖς ἑστάναι. ἢ ὅτι προενόησεν ὅπως ἔστιν
Προέσαντες, τὸ δύσκολον. τὸ προϊστάμενον ἡ Λητώ.
τὴν γνώμην. ἀπὸ μεταφορᾶς τῶν ἐν ὄρεσι προϊσταμένων
καὶ ἐμποδιζόντων.
Προκώνια, γένη θυμιαμάτων. οἱ δέ, τὰς ἀφρύκτους
κριθάς. ἢ οἷον πυροκώνια πυροὶ μέλιτι κεχρισμένοι,
καὶ ἐν ἡλίῳ ὠπτημένοι.
Προστρόπαιος, δαίμων τις ἀπὸ τῶν ἐναγῶν. προστρόπαι-
Προστέτηκε, προσκεκόλληκε. ον, ἄγος. μίασμα.
Προσφυῶς. οἰκείως. ἀκολούθως.
Παρέγγραπτος. πάντες δὲ οἱ πολῖται παρὰ Ἀθηναίοις
ἐν γραμματείῳ ἐνεγράφοντο. εἴ τις οὖν μὴ ὢν πολί-
της ἐνεγράφη παρ' ἀξίαν, ἐκαλεῖτο παρέγγραπτος.
Προσχών. τοῦτο ποτὲ μὲν δι' ἑνὸς σ γράφεται, ποτὲ
δὲ διὰ δύο. διὰ δύο μέν, ὅτε σημαίνει τὸ προσορμίσας. ὅτε
δὲ σημαίνει τὸ ἰδών, δι' ἑνός. τουτέστι καὶ τὸ προ-
στῆναι. ἐὰν γὰρ εἴπω προσστῆναί μου τὴν τροφὴν ἀντὶ τοῦ
στομάχου, διὰ δύο σ γράφεται. ὅτε δὲ σημαίνει τὸ
προΐστασθαι, δι' ἑνός. :~

ΤΕΛΟΣ ΤΟΥ ΠΙ
ΣΤΟΙΧΕΙΟΥ:~

ΝΙΚΟΛΑΟΥ ... ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ ΡΩ ΣΤΟΙΧΕΙΟΥ

Ῥῶ τὸ στοιχεῖον, παρὰ τὸ ῥέω. ὑγρὸν γάρ ἐστι καὶ εὐμάλακτον, καὶ ὥσπερ ἔλαιον ῥεῖ ἐν τοῖς μέρεσι τὰ ἀμετάβολα.

Ῥᾷ, σημαίνει τὸ εὐχερές. τινὲς δὲ ἀπὸ τοῦ ῥέα σχηματίζουσιν αὐτό. οἷς καὶ ὁ τόνος καὶ ἡ παράδοσις ἀντίκειται καὶ ἡ τῶν αἰολέων διάλεκτος. ὁ τόνος μέν, ὅτι εἰ ἦν ἀπὸ τοῦ ῥέα, ὤφειλε περισπᾶσθαι. ἡ παράδοσις δέ, ὅτι οὐκ ὤφειλεν ἔχειν τὸ ι. ἡ τῶν αἰολέων δὲ διάλεκτος, ὅτι εἰ ἦν ἀπὸ τοῦ ῥέα, οὐκ ὤφειλον οἱ αἰολεῖς προστιθέναι τὸ β καὶ λέγειν βρᾶ. τότε γὰρ προστιθέασι τὸ β τῷ ρ, ἡνίκα ἐπιφέρεται τὸ κ, ἢ τὸ δ, ἢ τὸ τ, ἢ τὸ ζ. ἀλλ' ἔστιν εἰπεῖν ὅτι τὸ ῥᾴδιον λέγεται βράδιον αἰολικῶς, ὡς ἐπιφερομένου τοῦ δ. ἐκ τούτου γίνεται κατὰ ἀποκοπήν, καὶ εὐλόγως ἔχει τὸ ι. οὐδὲν δὲ ξένον τὸ δύο συλλαβῶν γένηται ἀποκοπή. καὶ γὰρ πολλάκις καὶ δύο συλλαβῶν γίνεται ἀποκοπή. οἷον, μακάριος, μάκαρ. προπάροιθεν, πρόπαρ. οὕτως οὖν καὶ ῥᾴδιον, ῥᾷ. τὸ δὲ ῥᾴδιον, ἔχει τὸ ι προσγεγραμμένον. ἐπειδὴ εὑρίσκεται τὸ ι κατὰ διάστασιν ἐν τῷ ῥηΐδιον, ὃ σημαίνει τὸ εὔκολον καὶ εὐχερές. καὶ ὅτι ἀπὸ τοῦ ῥέα γίνεται ῥεΐδιον. καὶ τροπῇ τοῦ ε εἰς τὸ η, ῥηΐδιον. ἢ ἀπὸ τοῦ ῥᾷος ῥᾴου. εἶτα γὰρ παράγωγα καὶ διὰ τοῦ διον καὶ διὰ τοῦ ιδιον. ζήτει εἰς τὸ γραΐδιον. ἀλλ' εἰ ἦν ἀπὸ τοῦ ῥᾷος, οὐκ ὤφειλε τρέψαι τὸ α εἰς η ἐν τῷ ῥηΐδιον. τὰ γὰρ διὰ τοῦ διον ἀπὸ πρωτοτύπου φωνῆεν ἔχοντα τὸ α, οὐ τρέπεται. ὡς κεφάλαιον, καὶ ἐλάδιον, καὶ σπηλάδιον. καὶ οὐ λέγεται κεφαλήδιον. καὶ ἐλήδιον καὶ σπηλήδιον.

Ῥᾳδιουργεῖν, σημαίνει τὸ μετὰ πανουργίας τι διαπράττεσθαι. τὰ δὲ παρὰ τὸ ῥᾴδιον, ἔχουσι τὸ ἰῶτα προσγεγραμμένον. οἷον, ῥᾴθυμος, ῥᾳστώνη.

Ῥᾴθυμος, ἐκ τοῦ ῥᾷ καὶ τοῦ θυμός. ὁ εὐκόλως μεταστρεφόμενος. ἢ ὁ περὶ τὰ ἀπόντα τῆς ψυχῆς ἔχων. τὸ γὰρ ῥᾷ, σημαίνει τὸ ἡδέως.

Ῥᾷον, παρὰ τὸ ῥέω. τὸ γὰρ εὐχερῶς γινόμενον, ῥύσει ἔοικε. τὰ δὲ εἰς ων συγκριτικὰ δισύλλαβα διφθόγγῳ παραλήγεται. οἷον. πλείων, ῥᾴων. καὶ ῥᾷον, ὁμοίως ἔχει τὸ ι. ὅτι εὑρίσκεται καὶ κατὰ διάστασιν,

Ῥᾳστώνη, εὖρος ἢ κατά τινας, περίστασις. ἢ συγχία πάντοθεν. παρὰ τὸ ῥᾷον τὸ εὔκολον, ῥᾷστον. καὶ ἐκ τούτου ῥᾳστώνη. ἄδεια. ἀνάπαυσις. ἡδυπάθεια. ἡ εὐκολία. παρὰ τὸ ῥᾷστος.

Ῥάμνος, παρὰ τὸ ῥᾷον μένειν. σημαίνει δὲ τὴν μεγάλην ἄκανθαν.

Ῥαιβός, ὁ διεστραμμένος. ὁ πλάγιος. ὃν καλοῦσιν οἱ πολλοὶ σκελόν. παρὰ τὸ ῥᾷον βαίνειν κατ' ἀντίφρασιν. ἢ παρὰ τὸ ῥαίω τὸ φθείρω καὶ τὸ βαίνω, ὡς παρὰ λυκόφρονι. καὶ ῥαιβώσας, καὶ ῥεβηδόν.

Ῥαινός, ἀπὸ τοῦ γραινός. ἀποβολῇ τοῦ γ. εἰς τὸ δια-

Ῥαιστήρ, ἡ σφύρα. παρὰ τὸ ῥαίω τὸ φθείρω. ῥαῖσαι ὁμήρου ῥαίσω, ῥαιστήρ. ἡ φθείρουσα καὶ συντρίβουσα τὰ ὑποκείμενα.

Ῥέα ἐπὶ τῆς θεοῦ. πλάτων μέν, παρὰ τὸ ῥεῖν καὶ μὴ μένειν τὸν χρόνον. οἱ δέ, ἐπειδὴ παρὰ τοῦ παιδὸς αὐτῆς διός, ὄμβροι καταῤῥέουσι. κρόνῳ δὲ λέγουσιν αὐτὴν συνεῖναι. καθόσον ἐξ ἀϊδίου χρόνου ἡ κατ' αὐτὴν ῥύσις γίνεται. αἰγύπτιοι δέ φασιν αὐτὴν εἶναι ῥύσιν καὶ φορὰν τῶν γινομένων πραγμάτων. χρύσιππος δὲ λέγει τὴν γῆν ῥέαν κεκλῆσθαι, ἐπειδὴ ἀπ' αὐτῆς ῥεῖ τὰ ὕδατα. κρόνος δέ ἐστι τὸ εὐμηχάνημα, αἴτιον κατὰ ἀρχὴν μεθόδων.

Ῥέα, παρὰ τὴν ἐπὶ τὰ δεῦρο ῥεῦσιν. τὴν αὐτὴν γὰρ φασὶ τῇ προνοίᾳ ἄνωθεν ἐπὶ γῆν οἰκοῦσαν.

Ῥέθη, σημαίνει τὰ μέλη. ψυχὴ δ' ἐκ ῥεθέων πταμένη. διὰ τὸ ῥᾳδίως φαίνεσθαι τὰ ἤθη δι' αὐτῶν. οὕτω γὰρ ἐκ τῆς ποιᾶς αὐτῶν συστάσεως τὰ πάθη τῆς ψυχῆς θεωροῦμεν, χαιρούσης. λυπουμένης. ἐτυμολογεῖται δὲ παρὰ τὸ ῥέειν τὰ ἤθη τῆς ψυχῆς. αἰολικῶς δὲ ῥέθος. ἢ ῥέθος λέγεται τὸ πρόσωπον. ἢ προσώπου ἐρύθημα. μέλος. σπλάγχνον.

Ῥέξας, παρὰ τὸ ἔρδω τὸ θύω. ὑπερβιβασμῷ, ῥέδω. τροπῇ δωρικῇ, ῥέζω. ὁμήρου, ῥέξω. σημαίνει τρία. τὸ πράττω, ὡς τό, Μέγ' ἐν ἔργῳ ἔρεξας. τὸ θύω. ὡς τό, Ἄλλος ἄλλῳ ἔρεζε θεῶν. καὶ τὸ τῇ χειρὶ καταψῶ. ὡς τό, Χειρί τέ μιν κατέρεξεν.

Ῥάβδος, παρὰ τὸ ῥάσσω. ἢ παρὰ τὸ ῥαπίζω. ἢ παρὰ τὸ ῥάπτω τὸ ῥαπίζω, ῥάπδος καὶ ῥάβδος. ἐτυμολογεῖται δὲ παρὰ τὸ ῥᾷον βαίνειν ἐν τῇ ὁδῷ. βαρύνεται. τὰ εἰς δος δισύλλαβα εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ εἴτε κύρια εἴτε προσηγορικά, μετὰ τῆς ἐπιπλοκῆς συμφώνου, βαρύνεται. φοῦρδος. πάρδος. σπόδος. ῥάβδος ὅπερ προ-

Ῥαδάμανθυς. ἢ ὅτι περὶ τὰ ῥόδα ἐμάνη τὰ σπορινόν. ὑπὸ τοῦ ταύρου προϊέμενα, ἢ ὅτι ἐν ῥόδῳ παρὰ ταῖς ἠλιάδεσιν ἐπαιδεύθη.

Ῥαδαλόν, δονακῆα ἰλιάδος ς. οὕτω ζηνόδοτος, ἀρίσταρχος δὲ ῥαδηλόν. ῥαδαλὸν δὲ ἀκουστέον τὸ εὐκράδαντον καὶ εὐδιάσειστον διὰ τὸ ὕψος. γράφεται δὲ καὶ παρὰ τὸ ῥοδανός. ἔστι δὲ ποταμός.

Ῥᾳθυμεῖν, τὸ ἀργεῖν, ἢ καὶ τρυφᾶν, ἢ τὸ τοῖς ἀφροδισίοις σχολάζειν.

Ῥαΐσαι, ἐσύλλεβον. οἱ ἀττικοὶ τὸ ἐκ νόσου ἀναλαβεῖν.

Ῥάμνος, ὁ καὶ ἄγνον φασὶ διὰ τὸ συγγενές. παρὰ τὸ στερέμνιον καὶ καρτερὸν πρὸς ἡδονάς. ὅθεν καὶ τὸν Ἠλίαν ἐκ προσώπου τῆς ἰεζάβελ φεύγοντα ὑπὸ ῥάμνον ἐλθεῖν. ὅτι τῶν φευγόντων τὸν οἶστρον καὶ τὴν γυναικὸς ἡδονήν, καταγώγιόν ἐστι τὸ τῆς ἀγνίας ξύλον. ἀπὸ τοῦ ἀρχιπαρθένου Χριστοῦ πεφυτευμένον τοῖς τὴν ἀγνίαν ἀσπαζομένοις.

Ῥαδινίζειν, τὸ τινάσσεσθαι καὶ κινεῖσθαι. τὸ παρὰ ταῖς γυναιξὶ λεγόμενον ὡς ἡρακλέων ἐν ὑπομνήματι τῆς ἰλιάδος. ὧρος.

Ῥάδικα, ῥάβδον, βακτηρίαν. ἐπειδὴ τὰ βοτὰ ταύτῃ ἐλαύνεται. ἢ βάτος, ἀπὸ τοῦ ἐπ' αὐτῇ βαίνειν. νίκανδρος ἐν θηριακοῖς.

Ῥαδινότερον, κοῦφον, ἐλαφρότερον. παρὰ τὸ δαμάζεσθαι ῥᾷον. ἢ ἐκ τοῦ ῥέω ῥεάδην. ἐξ οὗ ῥαδινός.

Ῥαθάμιγγες, σταγόνες ῥανίδες. γίνεται παρὰ τὸ θαμὰ θαμίζω, θάμιγξ. κατὰ πλεονασμὸν τοῦ γ καὶ τοῦ ῥέω, ῥεθάμιγξ. καὶ τροπῇ τοῦ ε εἰς α, ῥαθάμιγξ. σημαίνει δὲ τὰς συνεχεῖς καὶ πυκνὰς καὶ ἀλλεπαλλήλους ῥανίδας. ἰλιάδος λ. ἢ ὁ ἀπὸ τῶν ἵππων κονιορτός.

Ῥάκος, παρὰ τὸ ῥήσσω ῥήξω, γίνεται ῥῆχος καὶ ῥάκος, καὶ ῥάκιον ὑποκοριστικῶς.

Ῥάμνος, εἶδος ἀκανθώδους φυτοῦ. παρὰ τὸ ῥᾷον τέμνεσθαι κατὰ ἀντίφρασιν. ἢ παρὰ τὸ ῥᾷον δύνασθαι. κατὰ τροπὴν τοῦ δ εἰς μ. ἢ παρὰ τὸ ῥάπτω ὃ σημαίνει δύο. τό, τε πλήττω, καὶ τὰ διεστῶτα συνάπτω. ὁ παθητικὸς παρακείμενος, ἔῤῥαμμαι τὸ πέπληγμαι, ἐξ αὐτοῦ ῥάμμος. καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον, ῥάμνος ἡ πλήσσουσα.

Ῥαπίσαι, τὸ πατάξαι τὴν γνάθον ἁπλῇ τῇ χειρί.

Ῥαντίζω. ἐκ τοῦ ῥαίνω ῥανῶ ῥανίζω. καὶ πλεονασμῷ τοῦ τ, ῥαντίζω.

Ῥαπίδες, κρηπίδες. ἄρον τὸ κ καὶ τρέψον τὸ η εἰς α. ἢ ἀπὸ τοῦ ἄρπις ὀξυτόνου μετὰ τοῦ ι. ὑπερθέσει καὶ συστολῇ χρονικῇ, ῥαπίς.

Ῥάρος. οἱ μὲν λέγουσιν ὄνομα τόπου. οἱ δέ, τὴν γαστέρα. ἐξ οὗ καὶ ῥάριον λέγεται τὸ βρέφος. οὕτως εὗρον τὸ λεξείδιον.

Ῥάσφιν. τὸ πλῆρες, ῥάχεσφιν. πέπονθεν ἔκθλιψιν τοῦ α. εὕρηται ἡ σφὶ ἀντωνυμία παρὰ τῷ ποιητῇ σὺν τῷ ν. συρακούσιοι δὲ ψὶν λέγουσι. λάκωνες σφίν.

Ῥάχις. ὡς μὲν ἀπολλόδωρος ἀπὸ τοῦ ῥῆξις εἶναι. καὶ τὰ δεξιὰ μέρη διακρίνειν ἀπὸ τῶν εὐωνύμων. ὡς δέ τινες ῥάχις, διὰ τὴν τραχύτητα τῶν συνεστηκότων αὐτὴν σφονδύλων. διὰ τοῦτο δὲ καὶ ἀκανθώτας τὰς ἐκ τούτων ἀποφύσεις εἶναι. ἔστι δὲ καὶ ἐπὶ πέτρας καὶ ἐπὶ σώματος. καὶ ἐπὶ μὲν σώματος, εἴρηται παρὰ τὸ τραχύ, ὡς εὐριπίδης ἐν ἑκάβῃ ἀκανθώδη εἶπε τὴν ῥάχιν. ἢ παρὰ τὸ ἐν αὐτῇ προσαρτᾶσθαι πάντα τὰ πλευρά. ἐπὶ δὲ τῆς πέτρας, παρὰ τὸ ὀξέα τινὰ ἔχειν καὶ τραχέα. κυρίως δὲ πᾶς ὁ πετρώδης αἰγιαλός, ῥαχίας καλεῖται. καὶ γῆ δέ τις ἐν τοῖς μετάλλοις οὕτω καλουμένη. παρὰ τὸ σοφοκλεῖ, ῥαχία λέγεται ἡ τοῦ ὄρους. παρ' ἑτέροις δέ, ὁ σύνδενδρος τόπος. εἴρηται ῥαχία, παρὰ τὸ ῥάχει ἐοικέναι. ἢ παρὰ τὸ ῥάσσω. οὗ ὁ δεύτερος ἀόριστος, ἔῤῥαγον.

Ῥάχος, ἀρσενικῶς, ὁ σκόλοψ ὁ ἀκανθώδης. καὶ ἐπὶ τῆς ἀμπέλου, ἐπεὶ ἀποξύνεται ἐν τῷ ἀποτέμνεσθαι. καὶ ῥαχῶσαι, τὸ τέμνειν.

Ῥεῖα διακρίνω. λέγεται καὶ ῥέα. καὶ γίνεται παρὰ τὸ ῥέω, ῥέα. καὶ πλεονασμῷ τοῦ ι, ῥεῖα. καὶ τι μετέχει. τὸ γὰρ εὐχερές, ῥεύσει ἔοικεν. ὡς παρὰ τὸ ἠρέμα ἠρεμῶ.

Ῥεῖθρον, παρὰ τὸ ῥέω ῥέεθρον. καὶ κράσει, ῥεῖθρον.

Ῥεῖθρον σημαίνει δὲ δύο. τὸ ῥεῦμα, καὶ τὸν λιμένα. ἐν ὀδυσσείᾳ.

Ῥειώνη, τὴν ἱέρειαν φησὶν εὐφορίων.

Ῥείτης. ἐκ τοῦ ῥέω. ῥείτης. καὶ κατὰ συναίρεσιν. ῥείτης. ἐξ οὗ τὸ βαθυῤῥείτης καὶ εὐῤῥείτης. ῥεῖτος, ἢ ῥεῖτος. ῥεῖτοι δὲ ποταμοί εἰσι δύο, διαφάρατος ὑπὸ γῆν ῥέοντες ἐν τῷ θριασίῳ πλησίον ἐλευσῖνος. λέγει ὧρος διὰ διφθόγγου ῥειτὸς καὶ ὀξύνεται. ὁ δὲ ἡρωδιανός, διὰ τοῦ ι ῥῖτος καὶ βαρύνεται ὡς σῖτος.

Ῥηγνύμενον, προσρησσόμενον, φθειρόμενον τὸ κῦμα, ἀπὸ τοῦ ῥήσσω. τοῦτο παρὰ τὸ ῥέω τὸ φθείρω. καὶ ῥηγνύω ῥηγνύσω, ῥηγνύσκω.

Ῥηγμῖν, κυρίως ἐπὶ τοῦ προσρησσομένου τῇ γῇ ὕδατος. ὡς τό, Ἁλὸς ἐν ῥηγμῖνι βαθείῃ. καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ αἰγιαλοῦ. βαῖνον ἐπὶ ῥηγμῖνι θαλάσσης. παρὰ τὸ ἐκεῖ ῥήσσεσθαι καὶ οἱονεὶ κεκλᾶσθαι τὰ κύματα.

Ῥήγιον, πόλις πλησίον σικελίας. ἐπειδὴ σεισμοῦ γενομένου ἀπετελέσθη τὰ ἐκεῖ, ῥαγέντος τοῦ τόπου ἐκείνου.

Ῥῆγος, τὸ πορφυροῦν περιβόλαιον. ῥέξαι γὰρ τὸ βάψαι, καὶ οἷον μεταποιοῦσαι. ὅτι δὲ ῥαγεῖς ἔλεγον τοὺς βαφεῖς, καὶ ῥέγος τὸ βάμμα, σαφὲς ἀνακρέων ποιεῖ, Ἁλιπόρφυρον ῥέγος. καὶ παρὰ ἰβύκῳ. Ποικίλα ῥέγματα.

Ῥαψῳδοὶ καὶ ῥαψῳδοῦντες, οἱ τὰ ὁμήρου ἐπαγγέλλοντες ἐν τοῖς θεάτροις. ῥαψῳδῆσαι οὖν ἐστιν ἤτοι τὸ φλυαρῆσαι, ἢ ἁπλῶς λαλεῖν καὶ ἀπαγγέλλειν, χωρὶς ἔργου τινός.

Ῥήτωρ, πόθεν ὠνόμασται. ἢ ἀπὸ τοῦ ῥύδην λέγειν, ἢ ἀπὸ

τοῦ συνηγορεῖν τῷ νόμῳ. εἴρηται δὲ κατὰ δωρισμὸν ὁ νόμος.

Ῥῆμα, ἀπὸ τοῦ ἐρῶ τὸ λέγω. ἔστι δὲ δευτέρας συζυγίας. ὁ μέλλων, ἐρήσω. ἐξ οὗ ἔρησις, καὶ ἐρήτωρ, καὶ ἐρητήρ, ἰλιάδος ι. Μύθων τε ῥητῆρ' ἔμμεναι, ἤγουν διδάσκαλον τῶν ἐσομένων λόγων.

Ῥήτη, ἡ ὑπὸ τοῖς ῥητοῖς συνθήκη.

Ῥήτρα, συνθήκη. ὁμολογία. ταραντῖνοι δὲ, νόμους καὶ οὖν οἱ ψήφισμα. οἱ δὲ, σύγγραμμα. καὶ ῥητροφύλακας, τοὺς γραμματοφύλακας.

Ῥήτωρ, παρὰ τὸ ἐρῶ τὸ λέγω. ὁ τῷ δήμῳ συμβουλεύων τὰ συμφέροντα. καὶ ὁ ὑπὸ οἰκείοις λήμμασι σύμβουλος.

Ῥηξήνορα, τὸν ῥηγνύντα τὴν ἠνορέην, τουτέστι τὴν ἀνδρείαν. ἀνδρείου. ἢ τὸν ῥέξαι καὶ πρᾶξαι τὴν ἠνορέην δυνάμενον.

Ῥιγεδανῆς ἑλένης. ἰλιάδος τ. παρὰ τὸ ῥῖγος, ῥιγεδανός, ὡς μῆκος μηκεδανός.

Ῥίγησε. ῥιγῶ. ὁ μέλλων, ῥιγήσω. συζυγία δευτέρα, ἀπὸ τοῦ φοβοῦμαι. ὡς τὸ, Ῥίγησεν δ' ὁ γέρων. ῥιγῶ δὲ ῥιγώσω συζυγία τρίτη, ἀπὸ τοῦ ψύχω. ὡς τὸ, Οὐκ ἔφαμεν ῥιγώσεμεν, ἀντὶ τοῦ οὐχ ὑπελάβομεν ῥιγῶσαι. ἀμφότερα δὲ ἐκ τοῦ ῥῖγος γίνεται. τοῦτο ἀπὸ τοῦ φρίσσω φρῖγος καὶ ῥῖγος. ὅθεν τὸ ι μακρόν. ἡ γὰρ ἀποβολὴ τοῦ φ, ἔκτασιν πεποίηκε τοῦ ι. σημαίνει δὲ τὸν φόβον. ἐκ δὲ τοῦ ῥῖγος ῥίγιον τὸ κτητικόν. σημαίνει δὲ τὸ φρικτῶδες καὶ χαλεπόν. ὅθεν καὶ, Ῥίγιστα, ἰλιάδος ε, τὰ φρικτὰ καὶ χαλεπά. ὁμοίως δὲ καὶ ἐπὶ τῆς νόσου. τὸ μὲν ῥῖγος, παροξύνεται. τὸ δὲ φρικτὸν, ὀξύνεται.

Ῥίζα, δι' ἧς ῥέει τὸ ζῆν ἄνω τοῖς δένδροις. παρὰ τὸ ῥέειν δι' αὐτῆς τὸ ζῆν. ἢ παρὰ τὸ ἵζω τὸ κάθημαι, ἵζα καὶ ῥίζα. παρὰ τὸ προσιζάνειν ἐν τῇ γῇ. ἢ παρὰ τὸ ἔρα ἡ γῆ, ἐριζά τις οὖσα κατὰ ἀποβολὴν τοῦ ε.

Ῥικνοῖσι. Ῥικνοῖσιν ἐπισκεζουσιν ποδέσσιν. ἀντὶ τοῦ ἐφθαρμένοις. καὶ, Ἄψεα ῥικνὰ, μέλη τὰ ῥυτίδας ἔχοντα. παρὰ τὸ τὴν ῥινὸν κατακεκνίσθαι, ἤγουν τὸ δέρμα.

Ῥίμφα, σημαίνει τὸ ταχέως. παρὰ τὸ ῥίπτειν φθείρεσθαι. ἑαυτὸν διὰ τάχος. ὡς παρὰ τὸ κρύπτω, κρύφα, οὕτω παρὰ τὸ ῥίπτω ῥίφα. καὶ πλεονασμῷ τοῦ μ, ῥίμφα.

Ῥὶν, ὀφείλει διὰ διφθόγγου γράφεσθαι. ἀπὸ γὰρ τοῦ ῥέω γέγονεν. ἐκ γὰρ τῆς ῥινὸς, ῥέουσι καὶ κατέρχονται τὰ περιττώματα τῆς κεφαλῆς. ἀλλ' ἡ παράδοσις διὰ τοῦ ι, ὡς ῥινός. Ῥινὸς ὕπερ στόματός τε. ὧδε δι καταληκτον. ἐπὶ τοῦ μυκτῆρος δέρματος. ἐπὶ δὲ τῆς ἀσπίδος, Σὺν δ' ἔβαλον ῥινούς. σημαίνει βύρσας. ἀσπίδας. ῥινὸς, τὸ δέρμα, ἀπὸ τοῦ ῥίνη ὅπερ ἐστὶν εἶδος ἰχθύος. ἢ παρὰ τὸ ῥίον ὃ σημαίνει τὸ ἄκρον. καὶ γὰρ τὸ δέρμα ἄκρον ἐστί. καὶ οἱονεὶ ἐπιφάνεια τῆς σαρκός. χοιροβοσκός. ὁ δὲ ὧρος λέγει. ῥινὸς λέγεται, ὅτι δι' αὐτοῦ ῥέουσιν οἱ ἱδρῶτες.

Ῥινότερος, σημαίνει τὸν διακόπτοντα καὶ τιτρώσκοντα τοὺς ῥινούς. ῥινοὶ δὲ καλοῦνται αἱ ἀσπίδες. ἡσίοδος. Ῥινοτόρῳ κυθέρεια, φόβον καὶ δεῖμον ἔτικτεν. ἤγουν ἀφροσύνη τῷ θράσει συνεμίγετο.

Ῥίον, τὸ ἀκρωτήριον. ἐπεὶ περιρρέεται ὕδατι. ἴσως δὲ καὶ ἐκ τοῦ ἀκρωτήριον γέγονε μείωσις. ἵν' αἱ τρεῖς πρῶται συλλαβαὶ ὦσιν ἀφῃρημέναι. ἢ ὄριόν ἐστιν, ἐξ οὗ ἐστιν ὁρᾶν. καὶ γὰρ σκοπὴ λέγεται.

Ῥίπες, σημαίνει τὰ κατεσκευασμένα πλέγματα ἐκ τῆς οἰσύας. ἢ ψίαθοι. ἴσως ἀπὸ τοῦ ῥίπτεσθαι ἐν πάντι. καὶ ῥίπεα, πλέγματί τινι ἐκ λύγων.

Ῥιπὴ, παρὰ τὸ ῥίπτω ῥιπή. ἡ ῥιπτομένη. τίθεται δὲ ἡ λέξις ἐπὶ βίας πνευμάτων. ἔστι δὲ καὶ ὄνομα πόλεως ὡς λέγει ὁ χοιροβοσκὸς παρὰ τῷ ποιητῇ. παρὰ τὸ ῥιπίζω. εὐρίπιστος γάρ ἐστιν ἡ πόλις. σημαίνει δὲ καὶ φοράν. ἀπὸ δὲ τοῦ ῥίπτω, ῥιπίζω. καὶ ἀπὸ τοῦ ῥίπτω, ῥιπὴ καὶ ῥιπή.

Ῥιπτάζων, ῥίπτων. παρὰ τὸ ῥίον τὸ ἀκρωτήριον, ῥίπτω ὡς τὸ πετάζω βαρύτονον. ῥιπτάζει δὲ τὸ ἐξουθενῶ πειρασάμενον. ἐξ οὗ καὶ τὸ, Ἐξελεξάμην παριπτάζεσθαι. τὸ δὲ ῥίπτασκον, οὐκ ἔστιν ἰωνικόν. οὐ δὲ γὰρ τῷ ε παραλήγεται. καὶ τινὲς μὴ φασὶν ἀπὸ ἐνεστῶτος αὐτὸ εἶναι. παρῆκται γὰρ ἀπὸ τοῦ ῥιπτάζω ῥιπτάσκω, ὡς φάζω, φάσκω. ἢ συγκοπῇ ἰωνικῇ, ῥιπτάζεσκον. ῥίπτασκον. τὸ δὲ ῥίπτω. παράγωγόν ἐστιν ἀπὸ τοῦ ῥέπω.

Ῥοιά. τὰ εἰς α λήγοντα θηλυκὰ, εἰ μὲν τὸ ο παραλήγεται, προπαροξύνεται. οἷον, χρόα. ῥόα. πόα. εἰ δὲ τῇ οι διφθόγγῳ, ὀξύνεται. οἷον, χροιά. ῥοιά. ποιά.

Ῥοδωνία, οἱ μὲν, τὴν ῥοδέαν φασίν. οἱ δὲ, τὴν ῥοδοδάφνην. ἄλλοι δὲ εἶδος ἀμπέλου, τῆς ἐχούσης ξανθὴν σταφυλήν.

Ῥόδος, ἡ νῆσος. παρὰ τὸ πολὺν ῥοῦν αὐτόθι δεῖσθαι πρὶν φανῆναι τὴν νῆσον.

Ῥόδον. παρὰ τὸ ὄζω, ὄδον καὶ κατὰ ἀντίφρασιν, τὸ μὴ ὄζον, ἀλλ' εὔοσμον ὄν.

Ῥόθος, θόρυβος, καὶ ῥόθιον, σημαίνει τὸ ὁρμητικόν. ῥόθιον λέγεται καὶ τὸ κῦμα τὸ κατὰ τὰ χύνον τὴν ῥοήν. καὶ ἁπλῶς τὸ κῦμα καὶ ἡ σφοδρὰ τῶν κωπῶν κίνησις. καὶ ὁ ἐκ τούτων ἦχος. παρὰ τὸν ῥόθον τὸν ἐκ τῶν κωπῶν ἀκουόμενον.

Ῥοῖζος, πεποιημένη φωνή. σημαίνει δὲ ῥύμην. ὁρμήν. ἦχον. ἀπὸ τοῦ ῥίζω, γέγονε ῥίζος. πλεονασμῷ τοῦ ο, ῥοίζος. ἀποβολῇ τοῦ τ, ῥοίζος. ἢ ἀπὸ τοῦ πῦρ πυρὸς πυρίζω καὶ συγκοπῇ, πρίζω. πλεονασμῷ τοῦ ο, προίζω. καὶ ἐξ αὐτοῦ προῖζος. καὶ ἀποβολῇ τοῦ π, ῥοῖζος. ὅθεν καὶ ῥοιζηδόν. καὶ ῥοίζησεν, ἰλιάδος κ, ἤγουν ποιὸν ἦχον ἀπετέλεσε. τουτέστι συριγμόν. πεποιημένη δὲ ἡ λέξις.

Ῥόπαλον, παρὰ τὸ εἰς ἕτερον μέρος ῥέπειν. ἢ παρὰ τὴν ῥοπὴν καὶ τὸ ἀλοιᾶν τὸ τύπτειν.

Ῥομφαία, παρὰ τὸ ῥέπω ῥοπὴ ῥοπαία καὶ ῥομφαία.

Ῥοφῶ. οἱ ἀττικοὶ ῥόφω λέγουσι βαρυτόνως. οὐ χυτῶς. ὁ γὰρ μέλλων, ῥοφήσω. ἔστιν οὖν ῥοφῶ. οἱ δὲ δωριεῖς, ῥυοχθεῖν. Ῥοχθεῖ δὲ κῦμα. πλεονασμῷ τοῦ χ. φῶ. παρὰ τὸ ῥόθιον, ῥοθῶ ῥοθεῖν. ἐν ἄλλοις δὲ σημαίνει τὸ πρὸς τὴν ξηρὰν ἀντικρούειν. ἴσως παρὰ τὸν ῥοῦν καὶ τὸν ἦχον, ῥοηχεῖν καὶ ῥοχθεῖν. ἢ ἀπὸ τοῦ ῥέω ῥοχῶ. ὡς λέγω, λογῶ. καὶ πλεονασμῷ τοῦ θ, ῥοχθῶ. ὡς τὸ, Ῥόχθει γὰρ μέγα κῦμα. ποιὰ φωνή ἐστι. τὸ γὰρ ὕδωρ εἰς τὰ κοιλώματα τῶν πετρῶν εἰσιὸν, δηλαδὴ τινὰ ποιεῖν ἦχον. ῥοχθῶ. ῥοχθῶ.

Ῥῶ, σημαίνει ἐπιτά. τὸ λέγω. ἐξ οὗ καὶ ῥῆσις καὶ ῥῆμα ὁ λόγος. ἀπὸ τοῦ ἔρρηκα ὁ παθητικὸς, ἔρρημαι. τὸ ῥέω, ἐξ οὗ καὶ ῥέεθρον. τὸ φθείρω, ἐξ οὗ καὶ ῥαῦς καὶ γραῦς, ἡ διεφθαρμένη. τὸ ὁρμῶ, ἐξ οὗ καὶ ῥώσασθαι, τὸ ὁρμῆσαι. τὸ σπεύδω, ἐξ οὗ καὶ ῥώσασθαι τὸ σπουδάζειν. τὸ πράττω, ἐξ οὗ καὶ τὸ ῥέζω. τὸ ὑγιαίνω, ἐξ οὗ καὶ ῥώμη.

Ῥὼξ μεγάλη. παρὰ τὸ ῥήσσω ῥηγὰς καὶ ῥωγάς. ὡς τὸ πλήσσειν, πλώσσειν. ῥωγάδες δὲ πέτραι εἰσί. καὶ τὴν ὀρσοθύρα, ῥωγάδα καλοῦσιν. οἱ, ἐκρηγμα οὖσαν καὶ διακοπὴν τοῦ τοίχου. ζήτει εἰς τὸ ἀναρρωγάς. καὶ ῥωγαλέον, τὸν διερρωγότα καὶ ἐσχισμένον.

Ῥώμη. ἐπὶ μὲν τῆς ὑγείας, παρὰ τὸ ῥῶ. οὗ ὁ παρακείμενος, ἔρρωμαι. ὁ μέλλων, ῥώσω. ῥηματικὸν ὄνομα, ῥώμη, ὡς γνώσω γνώμη. ἐπὶ δὲ τῆς πόλεως, ἀπὸ ῥώμου καὶ ῥωμύλου τῶν αἰνείου παίδων. ὧρος.

Ῥὼξ, ζῶον ἐστὶ μικρὸν, ῥαγίῳ σταφυλῆς ὅμοιον. περιφερὲς γάρ ἐστιν ὡς οἱ ἑωρακότες μοι εἶπον. ὧρος. παρὰ τὸ ῥήσσω ῥήξω καὶ ῥώξ. ἔστι δὲ εἶδος σκορπίου.

Ῥῶπες, ὕλη καὶ ὑλώδη φυτά. καὶ ῥωπογράφους, τοὺς τὰ τοιαῦτα ὑπογράφοντας. καὶ τὸν κοῦφον φόρτον, ῥῶπον λέγουσιν. ὅθεν καὶ ῥώπια, τὰ οὐ στερέμνια καὶ ῥωπήϊα. δρυμοί. φύγανα. ἱμαντώδη φυτά. ἀπὸ τοῦ ῥέπω ῥέψω. τροπῇ, ῥόψ. καὶ αὐξήσει, ῥὼψ, ὡς βλώψ. καὶ ῥῶπος, ὁ παντοδαπὸς φόρτος.

Ῥωχμός. Ῥωχμὸς ἔην γαίης. ἰλιάδος ψ. τόπος ἐστὶ κεχαραγμένος ὑπὸ ὀμβρίου ὕδατος. παρὰ τὸ ῥήσσω, ῥηγμός. καὶ μεταθέσει, ῥωχμός. σημαίνει δὲ ῥῆξιν.

Ῥύδην. Ῥύδην ἀφνειοῖο. ἄγαν πλουσίου. ἀπὸ τοῦ περιρρεῖν τὸν πλοῦτον.

Ῥυηφενία, σημαίνει ἡ λέξις τὸν πλοῦτον. καὶ ῥυηφενέων ἀνδρῶν τῶν πλουσίων. παρὰ τὸ ῥυῆναι τὸν ἄφενον. σύγκειται δὲ ἡ λέξις παρὰ τὸ ῥύδην καὶ ἄφενος. τουτέστι τὴν τοῦ πλουσίου ῥύσιν.

Ῥυθμὸς, ἡ τῆς κινήσεως τάξις, ῥυθμὸς ὠνόμασται. ῥύμη γὰρ ὅμοιον ὑποποιεῖ. ὁ δὲ ὧρος, ἀπὸ τοῦ ῥύω ῥύσω. ῥηματικὸν ὄνομα, ῥυσμός. καὶ τροπῇ τοῦ σ εἰς θ. ἢ ἐκ τοῦ ἐρύω τὸ ἑλκύω, ἐρυσμός. καὶ ἀφαιρέσει τοῦ ε καὶ τροπῇ, ῥυθμός. καὶ ῥυθμίζει, ἀντὶ τοῦ διατυποῖ. κανονίζει. εὐθύνει.

Ῥυμβόνες, εἰσὶν αἱ εἰλήσεις καὶ κινήσεις τῆς σπείρας. οἱονεὶ, τὰς κοτυλώδεις καμπάς. Ῥεμβόνας ἀζαλέησιν ἐπηρεφέας βολίδεσιν. ἀπολλώνιος.

Ῥυμβός. ῥύω ἐστὶ ῥῆμα, ἀφ' οὗ ῥύσις καὶ ῥυτὸς καὶ ῥυσμός. εἶτα ἔλλειψει τοῦ σ καὶ πλεονασμῷ τοῦ β, ῥυμβός.

Ῥύμβω. Ῥύμβω καὶ τυμπάνῳ ῥείην φρύγες ἱλάσκονται. μυστικῷ σανιδίῳ ὃ στρέφουσιν εἰς τὸν ἀέρα, καὶ ἦχον ἐμποιοῦσι. ῥύμβος δὲ καὶ ῥόμβος διχῶς λέγεται. ἔστι δὲ τροχίσκος, ὃν τύπτοντες ἱμᾶσι καὶ στρέφοντες, ποιοῦσι περιδινεῖσθαι καὶ ψόφον ἀποτελεῖν. ῥύμβον δὲ αὐτὸν εὐπόλις εἶπε. καλεῖται δὲ καὶ βρυτήρ.

Ῥύμη. ῥέω ἐστὶ ῥῆμα. καὶ ῥύω ῥύσω ῥύμη. τὸ δὲ ῥύω, παρὰ τὸ λύω. τροπῇ τοῦ λ ἀμεταβόλου εἰς ἀμετάβολον.

Ῥυμὸς, τὸ μεταξὺ κατὰ μῆκος ξύλον τοῦ ἅρματος. ἤγουν τὸ προκρτημένον τῷ ζυγῷ ὀρθὸν ξύλον. παρὰ τὸ ἐρύω ἐρύσω. ῥηματικὸν ὄνομα, ἐρυσμός. καὶ ἀποβολῇ τοῦ ε καὶ σ, ῥυμός.

Ῥυσμὸς, εἰκών. ἰδέα. σχῆμα. διονύσιος ὁ περιηγητής. Σχῆμα δὲ τριάσσης ῥυσμὸς πέλει.

Ῥύπος, παρὰ τὸ χροῦς καὶ τὴν ὕπων μετοχήν. οὐ πὼ τῷ χροΐ.

Ῥύσια, ἐνεχυρώματα σωτήρια. Ῥύσι' ἐλαυνόμενος. ἰλιάδος λ. ἀντὶ τοῦ ἐνέχυρα. τὰ ἀντί τινων ἑλκόμενα, ἅπερ ἀντὶ τῶν ἡρπασμένων ἁρπάζονται. λέγεται ῥύσια, καὶ τὰ ὑπὲρ ὑγείας καὶ εὐτυχίας εὐχαριστήρια. παρὰ τὸ ῥύεσθαι, ὡς παρὰ διονυσίῳ τῷ περιηγητῇ. Ῥύσια δ' ἀπόλλωνι χοροὺς ἀνάγουσιν ἅπασαι.

Ῥυσὸς, παρὰ τὸν ἐρύσω μέλλοντα, ὁ συνελκυσμένος τὴν σάρκα καὶ ῥυτίδων.

Ῥυσαὶ, αἱ ἀπογεγηρακυῖαι, καὶ ῥυτίδας ἔχουσαι. ῥυτίδες δὲ καλοῦνται αἱ ἐπὶ τοῦ μετώπου τοῦ δέρματος συστροφαί. παρὰ τὸ ἐρύω, ἐρυτὶς καὶ ῥυτίς. ἡ συνελκυσμένη σάρξ.

Ῥυστάζειν, τὸ μετὰ βίας ἕλκειν. παρὰ τὸ ἐρύω, ἢ ῥύω. καὶ πλεονασμῷ, ῥυστάζειν. ἔστι δὲ τὸ μετὰ βίας καὶ ἀνάγκης ἕλκειν καὶ μίγνυσθαι γυναικί. καὶ λυκόφρων, ῥυσταγμάτων λέγει.

Ῥυτὴρ, ἑλκυστήρ. ἀπὸ τοῦ ἐρύω ἐρυτήρ. καὶ ἀποβολῇ τοῦ ε. ἰλιάδος η. Ἐν δὲ ῥυτῆρσι τάνυσθεν. παρὰ τὸ ἐρύειν ὅ ἐστιν ἑλκύειν.

Ῥυτοῖς, μεγάλοις. ἑλκυστικοῖς, ἢ κυλιστοῖς. ἀπὸ τοῦ ἐρύω. καὶ, Ῥυτοῖσι λάεσσι, τοῖς ἑλκυστικοῖς λίθοις διὰ τὸ μέγεθος.

Ῥυτὴρ, ὁ ἱμάς. κυρίως καὶ τὰ ἡνία. παρὰ τὸ ῥύεσθαι ἵππους καὶ τοὺς ἐποχουμένους, ὅπερ ἐστὶ σώζειν.

ΤΕΛΟΣ ΤΟΥ ΡΩ ΣΤΟΙΧΕΙΟΥ.

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ ΣΙΓΜΑ ΣΤΟΙΧΕΙΟΥ

Σίγμα τὸ στοιχεῖον, παρὰ τὸ σίζω. σίγα, σίγμα. ἀπὸ τῆς περὶ τὴν φθόγγον δυνάμεως. τὸ σῖ, ῖ. τὰ γὰρ εἰς ᾱ λήγοντα ὀνόματα τῶν στοιχείων ἐν ἰφωνήεντι θέλει παραλήγεσθαι ᾱ. β̄. γ̄. δ̄.

Σαβάζιος, ὁ διόνυσος. διὰ τὸ γινόμενον περὶ αὐτὸν θίασον. τὸ γὰρ εὐβαδίζειν, οἱ βάρβαροι σεβάζειν λέγουσιν. ὅθεν καὶ τῶν ἑλλήνων τινὲς ἀκολουθοῦντες, τὸν εὐασμὸν σαβασμὸν προσηγόρευσαν.

Σάγαρις, ποταμὸς φρυγίας. ἀπὸ σαγάριδος τοῦ υἱοῦ μήδου.

Σάγγαρις, ποταμὸς φρυγίας. ὅτι σάγγαν τινὰ ἀσεβήσαντα εἰς τὴν ῥέαν, μετέβαλεν εἰς τοῦτο τὸ ὕδωρ. καὶ ἀπ' αὐτοῦ τὸν τόπον κληθῆναι.

Σαθρός, σημαίνει τὸν σεσημμένον. ἐκ τοῦ σήπω, σήψω. ὁ δεύτερος ἀόριστος, ἔσαπον. καὶ ἐντεῦθεν σαπρός. κατὰ πλεονασμὸν τοῦ ρ καὶ τροπῇ τοῦ π εἰς θ. ἢ ἀπὸ τοῦ σαθῆναι σαθρός, καὶ σαθρός κατ' ἀντίφρασιν. ἢ παρὰ τὸ σείεσθαι ῥαδίως. ἢ παρὰ τὸ σείεσθαι τὰ ἄρθρα. ἐτυμολογεῖται δὲ παρὰ τὸ σεσημμένον ἔχειν τὸ ἄρθρον.

Σακέρδως, ῥωμαϊστὶ ἱερεύς. σάκρα γὰρ παρ' αὐτοῖς λέγεται τὰ ἱερά. σακέρδως οὖν, ὁ τὰ ἱερὰ ἔρδων ἐν ἐλλείψει τοῦ ρ. λέγεται δὲ καὶ σέκω τὸ σφάζω. δύναται καὶ παρ' αὐτοῖς εἶναι ὁ σέμνων ἐν τῷ ἔρδειν.

Σακέσπαλος, πολεμικός. ἀπὸ τοῦ πάλλειν τὸ σάκος ἤγουν κινεῖν τὴν ἀσπίδα. σάκος δὲ ἡ ἀσπίς, ἀπὸ τῶν σάκων τῶν πρώτως εὑρόντων. οἱ δὲ σάκες, ἔθνος εἰσὶ θράκης. ἢ παρὰ τὴν σάγην σάγος καὶ σάκος. ἢ παρὰ τὸ σαύω σάκος, ὡς σώζω σῶκος.

Σάκκος, παρὰ τὸ βάσταγμα τὸ φορτίον. τέσσαρα δέ εἰσιν εἰς κος ὀνόματα γραφόμενα διὰ δύο κκ. σάκκος. λάκκος. μάκκος. κόκκος.

Σαλαμίς, πόλις. ἀπὸ σαλαμῖνος τῆς ἀσωποῦ θυγατρός. ὅς ἐλθὼν εἰς σαλαμῖνα καὶ εὑρὼν ὄφιν βασιλέα, ἀνεῖλε καὶ αὐτὸς ἐβασίλευσε.

Σαλάμβας, ἤγουν τὰς θυρίδας τὰς ἀεὶ ἐν σάλῳ οὔσας. λυκόφρων. ἢ παρὰ τὸ δι' αὐτὰς εἰσβαίνειν τὸ φῶς. τὸ σέλας. καὶ σαλάμβας ἡ δαίμων, παρὰ τὸ ἀεὶ περιφέρεσθαι καὶ ἐν σάλῳ εἶναι. καὶ ὅτι περιέρχεται θρηνοῦσα τὸν ἄδωνιν. καὶ σαλαΐζειν ἀνακρέων, ἀντὶ τοῦ θρηνεῖν. σαλεύει γὰρ καὶ ταράττει τὴν διάνοιαν ἡ τοιαύτη ὀδύνη τοῦ θρήνου.

Σαλμυδησσός, ποταμὸς θράκης. καὶ οἱ κατοικοῦντες, σαλμυδήσσιοι. εἴρηται ἀπὸ τοῦ ἁλμυδησσός τις ὤν. ὁ εἰς τὴν ἅλα ἅπτων, ὅ ἐστιν εἰς αἰγιαλόν. οὕτως ἐγώ.

Σαλεύω, ἀπὸ τοῦ σάλος. τοῦτο παρὰ τὸ ἅλς, ἁλός.

Σαλακωνεία, ἡ βλακεία.

Σάλπιγξ, παρὰ τὸ σαλπίζω. τοῦτο παρὰ τὸ σέλας καὶ τὸ ὀψὸ ὅπως ἡ φωνή, ὀπίζω. σελαπίζω. καὶ συγκοπῇ καὶ ὑπερβιβασμῷ, σαλπίζω. Σάλπιγξ ἀθηνᾶς, διὰ τὸ πρώτην αὐτὴν εὑρεῖν σάλπιγγα, καὶ ἱδρύσασθαι σάλπιγγος ἀθηνᾶς ἱερὸν ἐν ἄργει.

Σαμάρδα, πόλις. εἴρηται ἀπὸ τοῦ σῆμα τοῦ ἄρεως. ὅτι ἐν αὐτῇ ἄρης ἀσκαλάφῳ τῷ υἱῷ τύμβον ἔχωσεν, ἐν ᾧ καὶ ἐπέγραψε, Τοῦτο σῆμ' ἄρεως ἔτυμον βεβοημένον ἀσκαλάφου ἡμῖν. ὃν ἐκ ἄρης τέκνον ἔχωσε πολ

Σαμοθράκη, ἀπὸ σαμόθρακος υἱοῦ διός. ἢ ὅτι κεῖται ἡ νῆσος αὕτη κατάντικρυ τῆς θράκης. φασὶ δὲ σαμίους ... αὐτὴν οἰκῆσαι.

Σανίς, ίδος, σανίς. παρὰ τὸ τετάσθαι. τὸ ἐπιμηκὲς ξύλον. σανίδες δὲ, ἐν αἷς ἐγγράφονται οἱ ὀφείλοντες τι καὶ οἱ ἠδικηκότες τι.

Σάπερες, ἐπίθετον. ἡ εὐθεῖα, σάπερ. παρὰ δὲ τὸ σήπεσθαι καὶ ὁ σάπφειρος λίθος λέγεται.

Σαπρός, ὁ σεσηπὼς καὶ παλαιός. εἰς τὸ σαθρός.

Σαπφώ, παρὰ τὸ σάφω τὸ σαφηνίζω. ἢ παρὰ τὸ σάφω τὸ ψηλαφῶ. σάφω σαφῶ, ὡς κλώθω, κλωθῶ. καὶ πλεονασμῷ τοῦ π, σαπφώ. ἢ παρὰ τὸ σαφής.

Σαργάνη. σάσσω ἐστὶ ῥῆμα. καὶ σαγάνη. καὶ πλεονασμῷ τοῦ ρ, σαργάνη. ἔστι δὲ πλέγμάτιον ἀπὸ σχοινίου γινόμενον εἰς

Σάρδις. καὶ οἱ πολῖται καὶ ἡ πόλις ... ὑπόδοχὴν ἰχθύων. διὰ τοῦ ι. ὡσπερ παρὰ τὸ πόλιες καὶ ὄφιες, ἤγουν πόλις καὶ ὄφις κατὰ κρᾶσιν, οὕτω καὶ παρὰ τὸ σάρδιες σάρδις. τί οὖν οἱ πολῖται σάρδις λέγονται; ἀλλ' ὅτι ἀμφότερα διὰ τοῦ ι γράφονται. σαρδιανοὶ γὰρ λέγονται οἱ πολῖται.

Σαρκάζω, σημαίνει τὸ ψευδέσι λόγοις μέχρι τῶν σαρκῶν κεῖσθαι. ἐτυμώτερον δὲ λέγουσιν οἱ αἰολεῖς σύρκα. παρὰ τὸ ἀποσύρεσθαι τὸ δέρμα ἀπ' αὐτῆς. τὰς γὰρ σάρκας, σύρκας οἱ δωριεῖς λέγουσι. παρὰ τὸ σύρω σύρξω, σύρξ καὶ σάρξ.

Σάρισσα, εἶδος ἀκοντίου ἑλληνικοῦ.

Σάω. Σάω δ' ἑτέρους ἑταίρους. ἔστι ῥῆμα σέω τὸ σώζω. τροπῇ ... σάω. τὸ παθητικόν, σάομαι. ἐσαόμην, ἐσάου καὶ τροπῇ δωρικῇ τῆς ου εἰς ω, καὶ συναρχομένως, σάω.

Σαπέρδας. Σαπέρδας πέντε, καὶ τέσσαρας πέρκας. λυκόφρων. σαπέρδαι, αἱ ἀφύαι καλάμοις δεδεμέναι καὶ τεταριχευμέναι. ἢ τὰ ὕδατα ἐμάχη· ἃ ἰόνδην παφλαγόνες καλοῦσιν. αἱ πέρκαι δὲ, εἶδος ἰχθύος καὶ αὐτὸ τεταριχευμένον. καὶ ἔοικεν ἀπὸ τούτου καὶ ὁ σαπέρδης, τὰ ἀπὸ τῶν ἀφυῶν νῦν τάριχη σημαίνειν. οἱ δὲ ἀκριβέστεροι, σαπέρδην φασὶ τέμαχος τεταριχευμένου ἰχθύος. τὸν γὰρ καρκῖνον ἰχθῦν, σαπέρδην οἱ ποντικοί φασι.

Σαρπηδών, ὄνομα κύριον. παρὰ τὸ ἀρπηδόν ἤγουν τὴν δρεπάνην.

Σαρωνίς, εὐφορίων φησὶν, ἐπειδὴ σάρων τις κυνηγὸς ἐπιδιώκων, ἐντεῦθεν κατεκρημνίσθη εἰς θάλασσαν, διὰ τοῦτο σαρωνικὸν ἐκλήθη τὸ πέλαγος. διονύσιος ὁ περιηγητής. Τὴν μὲν τε σαρωνίδα κικλήσκουσι.

Σαρούμενον, κλυδωνιζόμενον. λυκόφρων. ἀπὸ τοῦ σαίρω. τοῦτο παρὰ τὸ αἴρω τὸ κουφίζω. πᾶς γὰρ ὁ κλυδωνιζόμενος, αἴρεται, καὶ κουφίζεται. ὁ μέλλων, σαρῶ. καὶ μετάγεται εἰς ἐνεστῶτα. καὶ γίνεται σαρῶ σαρῶσαι. καὶ ἀντὶ τοῦ χανεῖν. σάρμα γὰρ τὸ χάσμα φασὶν, ἀφ' οὗ καὶ γέλως σαρδώνιος. καὶ σαρωνίδες, αἱ κοῖλαι δρύες.

Σάτυρος, παρὰ τὸ σάθη τὸ αἰδοῖον, σάθυρος καὶ σάτυρος. καταφερὲς γὰρ τὸ γένος τῶν σατύρων.

Σαυρωτήρ, ξυστὸν δόρυ. ἢ ὁ στύραξ ὃν ἔνιοι καὶ οὐρίαχον καλοῦσιν, ὅπου ἐμπήσσεται τὸ σιδήριον τοῦ δόρατος. παρὰ τὸ σταυροῦσθαι καὶ ὀρθοῦσθαι ἐπ' αὐτὸ τὸ δόρυ. σαυρωτήρ τις ὤν. οἱ δὲ αὐτὸ τοῦτο τὸ σιδήριον, στύρακα καλοῦσιν. ἔστι δὲ καὶ εἶδος δένδρου στύραξ. οὗ καὶ ὁ καρπὸς ὁμωνύμως λέγεται στύραξ. λέγεται δὲ σαυρωτήρ, καὶ ἡ τοῦ δόρατος ἀρχὴ ἐφ' ᾗ στηρίζεται.

Σαώτερος. ἔστι ῥῆμα σῶ τὸ ὑγιαίνω. παράγωγον, σάω. ἐξ οὗ ὄνομα σάος. ἐξ αὐτοῦ σαώτερος. ἔστι δὲ ἀπὸ τοῦ σῶ ῥήματος καὶ σέω, ἐξ οὗ σόος.

Σαίνω, σημαίνει τὸ κολακεύω. καὶ σαίνουροι, οἱ τὰς οὐρὰς συνεχῶς κινοῦντες ἵπποι καὶ κύνες.

Σέλας, ἡ λαμπρότης τοῦ πυρός, ἤγουν ἡ λαμπηδών. παρὰ τὸ σάλος, σέλας. ὡς βάλλω, βέλος. τὸ ἀεικίνητον πῦρ. ἢ παρὰ τὸ σαλεύεσθαι πνοῇ. τὸ καιόμενον καὶ κεραύνιον πῦρ. οἱ δὲ, τὴν ἀστραπήν. οἱ δὲ, τὸ φῶς. ἢ παρὰ τὸ σεύω τὸ ὁρμῶ.

Σελήνη, παρὰ τὸ σέλας νέον ἔχειν. ἢ παρὰ τὸ σέλας ἀεὶ ἐν ἔχειν. ὅθεν καὶ ἕνος ὁ ἐνιαυτός. ὁ ἀεὶ νεάζων.

Σέλινον, ἐτυμολογεῖ ὧρος, τὸ ἐξ ἕλης σευόμενον, ὡς ὅμηρος φησίν. Ἐλεόθρεπτον σέλινον.

Σέκρετον, παρὰ τὸ σείειν τὰς κρίσεις.

Σελλοί, ἰλιάδος π. ὅτι ἕλλος καὶ ἑλλοί, τὸ ἐν δωδώνῃ τῆς ἠπείρου κατοικοῦν ἔθνος. καὶ γὰρ οὕτω τινὲς λέγουσι τὸ παρὰ τῷ ποιητῇ. Ἀμφὶ δὲ ἑλλοὶ σοὶ ναίουσιν. εἴρηται δὲ αὐτὸ παρὰ τὸ ἕλος. ἐκ γὰρ τοῦ κατακλυσμοῦ τῆς γῆς ἐνθα ὤκουν ἑλώδους γενομένου, μετῴκησαν ἐν δωδώνῃ. καὶ οἱ μὲν, ἑλλοὺς αὐτοὺς ἐξεδέξαντο ὡς πίνδαρος. δεῖ δὲ ἀπὸ τοῦ σ ἄρχεσθαι τὴν λέξιν σελλούς, ἀπὸ σελλήεντος ποταμοῦ.

Σελμών, ὄνομα βάρβαρον. ἀπὸ τοῦ ἕλκω, ὁ παθητικὸς παρακείμενος, εἵλμαι. ἐξ αὐτοῦ εἱλμών. ἀποβολῇ τοῦ ι, ἑλμών. καὶ πλεονασμῷ τοῦ σ, σελμών. ἢ ἀπὸ τοῦ ἐλεύθω, ἑλμὼν καὶ σελμών.

Σεμέλη, παρὰ τὸ σέλας μέλλειν, ἤγουν φοντίζειν. διὰ γὰρ ᾐτήσατο μετ' ἀστραπῶν καὶ βροντῶν συγγενέσθαι αὐτῇ. οὗ γενομένου καὶ κεραυνωθείσης, ἐσείσθη τὰ μέλη. καὶ ἐν ... τεῦθεν σεμέλη.

Σεμίδαλις, παρὰ τὸ σεμνῶ καὶ τὸ ἄλις. τουτέστι τὸ ἄλις σεμνῆμα τὸ πάνυ. οἱ, τὸ λεπτομερὲς ἄρτου

Σεμνός, παρὰ τὸ σεύω σεβνός, καὶ σεμνός, ὁ σεβασμοῦ ἄξιος. ὁ θαυμαστὸς καὶ ἄξιος ἐντροπῆς. καὶ τὰ ἄρρητα δὲ καὶ ἀνεξιχνίαστα, σεμνὰ λέγεται. καὶ παρὰ λυκόφρονι. Σεμνῶς κασσωρεύουσα, ἀντὶ αἰσχρῶς.

Σεύς, σημαίνει τὸν σκώληκα. οὐχ εὕρηται δὲ ἐν χρήσει ἡ εὐθεῖα, ἀλλ' αἱ πλάγιοι ὡς παρὰ ἀριστοφάνει. Ὑπὸ τῶν σεῶν καταχαμπτόμενος. ὤφειλε δὲ περισπᾶσθαι, ὡς χῆνες χηνῶν, ἀλλὰ σεσημείωται καὶ τοῦτο μετὰ τῶν ἄλλων ἐννέα. ὥσπερ καὶ τὸ οὐδένες οὐδένων. καὶ τὸ φᾶδες φῴδων. χοιροβοσκός.

Σεύω, ἀπὸ τοῦ σῶ, γίνεται σεύω. σημαίνει τὸ ὁρμῶ καὶ τὸ διώκω. ὁ μέλλων, σεύσω. ὁ πρῶτος ἀόριστος, ἔσευσα. οἱ δὲ ἀόριστοι πρὸ τοῦ, ἢ τὸ σ ἔχουσιν ἢ τὸ ξ ἢ τὸ ψ, ἢ ἐν τῶν ἀμεταβόλων. σεύσας οὖν ἐστιν ἡ μετοχὴ τοῦ πρώτου ἀορίστου, καὶ χεύσας, ὡς ἀλεύσας, καὶ ἱππεύσας. ἀλλὰ κατ' ἔνδειαν τοῦ σ, γίνεται σεύας καὶ χεύας καὶ ἀλεύας. καὶ τὸ σευάμενος, ἀπὸ τοῦ σευσάμενος καὶ ἀλευσάμενος.

Σειληνός. σειληνοὶ λέγονται οἱ γέροντες τῶν σατύρων. παρὰ τὸ σείεσθαι περὶ τὸν ληνόν. ἢ παρὰ τὸ σεσηρέναι καὶ χαίνειν, γίνεται σέρινος. καὶ κατὰ πρόσθεσιν τοῦ ι καὶ μεταθέσει τοῦ λ εἰς ρ, σειληνός. χοιροβοσκός. σειληνός, ὁ γέρων. παρὰ τὸ εἴρω τὸ λέγω, σειρηνὸς καὶ σειληνός. σειληνοὶ δὲ οἱ τὰς σταφυλὰς πατοῦντες, παρὰ τὸ σείεσθαι ἐν τῷ ληνῷ. σιλληνὸς διὰ δύο λλ καὶ διὰ τοῦ ι.

Σειρά, παρὰ τὸ εἴρω τὸ συμπλέκω, γίνεται εἰρά. καὶ πλεονασμῷ τοῦ σ, σειρά. σημαίνει δὲ τὴν ἅλυσιν.

Σειρήν, παρὰ τὸ εἴρω τὸ λέγω εἰρήν. καὶ πλεονασμῷ τοῦ σ, σειρήν.

Σειραίνω, ἤγουν τὸ ξηραίνω ὡς λέγει ὧρος ὁ μιλήσιος. παρὰ τὸν σείριον τὸν ἀστέρα. σείριος δὲ ὁ κύων ... ἀστήρ. καὶ εἴρηται παρὰ τὴν ζέσιν ζέριος. ἢ παρὰ τὸ ἐκκενοῦν ἡμᾶς ἱδρῶσι ῥεομένους. σειρεῖν γὰρ τὸ ἀποκενοῦν

λέγεται, ἢ παρὰ τὸ σεσηρέναι, σέριος καὶ σείριος. τοὺς γὰρ κύνας διακεχηνότας ποιεῖ. ἢ παρὰ τὸ εἴρω τὸ λέγω, εἴριος καὶ σείριος. λέγει γὰρ καὶ μηνύει ἡμῖν τὸν καιρὸν τοῦ θέρους. ἔνιοι δὲ πάντα τὰ ἄστρα σείρια καλοῦσι. τείρια ὄντα καὶ σημεῖα τῶν πλεόντων. ὁ δὲ Ἀντίμαχος, σείρινα τὸν διὰ ἔφη διὰ τὸ ἄστρον.

Ϲεισάχθεια, τὸ κόσκινον παρὰ τὸ ἀποσείεσθαι τὸ ἄχθος. τὸ δὲ παρὰ τὸ σείω. Χοιροβοσκός. Πλούταρχος ἐν Σόλωνι. Ἡ σεισάχθεια χρεῶν ἦν ἀποκοπὴ παρὰ Ἀθηναίοις. τινὲς δέ φασι τόκων μετριότητα εἶναι, καὶ μέτρων ἐπαύξησιν καὶ τιμὴν τοῦ νομίσματος. ἐγὼ ἀνέγνων.

Ϲείω, ἐκ τοῦ σῶ, σέω καὶ σείω, ὡς πλέω πλείω, καὶ πνέω πνείω. ἐκ δὲ τοῦ σείω, γίνεται σεῖστρον.

Ϲήθω, ἐκ τοῦ σῶ ὃ δηλοῖ τὸ σείω, ἕτερον παράγωγον ῥῆμα σήθω, τὸ κοσκινίζω, ὃ δηλοῖ τὴν αὐτὴν κίνησιν συνεχῆ τὴν ἐν τῷ κοσκίνῳ. Ἡρόδοτος δὲ τοῦ σῶ, τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν σῶσιν, ἀντὶ τοῦ σείουσιν. οἱ δὲ Ἀττικοὶ τὸ σῶ, τῶ λέγουσιν ὡς σήμερον, τήμερον. παρὰ δὲ τὸ τῶ σύνθετον καὶ πλεονασμῷ τοῦ τ, διὰ τὸ λέγουσιν Ἀττικοί.

Ϲηκώρ, ἐκ παραδόσεως διὰ τοῦ η. κατὰ δὲ τὴν ἐτυμολογίαν διὰ τοῦ ι. καὶ γὰρ ἑρμηνεύεται μικρὰ κατὰ πῆγν. ἤγουν παρὰ τὸ σιγᾶν. ὁ γὰρ ταπεινὸς ὁ μὴ δυνάμενος, καθ' ἑαυτὸν σιγᾷ.

Ϲηλώμ, ψαλμὸς οζ. τὸ ση, η. τῶν ἐθνικῶν καὶ βαρβάρων αἱ προσακτικαὶ παραδόσεις εἰσὶ μᾶλλον, οὐχὶ δὲ παραθέσει ὑποπίπτουσι.

Ϲηκώς, σηκὸς τίς ἐστι. καὶ γὰρ σταθμός ἐστιν, ἀπὸ τοῦ ἵστασθαι ἐν αὐτῷ τὰ θρέμματα. ὅθεν καὶ οἱ νεώτεροι τῶν ποιητῶν, σηκὸν λέγουσι τὸν ναόν. παρὰ τὸ ἵστασθαι ἐν αὐτῷ τὸ ἄγαλμα. καὶ σηκοκόρος, παρὰ τὸ κορεῖν τὸν νεών, ὅ ἐστι καλλύνειν. κορεῖν γὰρ τὸ σαίρειν καὶ καλλύνειν. ὅθεν καὶ μηλοκόρος. ἐν Ἰλιάδος θ. Καὶ νύ κε σήκασθεν κατὰ Ἴλιον ἠΰτε ἄρνες. ἀντὶ τοῦ εἰς σηκὸν κατεκλείσθησαν. ἀπὸ τοῦ σηκὸς σηκῶ. σημαίνει δὲ ποτὲ μὲν περίφραγμα. ποτὲ δὲ τὴν ἔπαυλιν καὶ τὴν παραγωγὴν τῶν προβάτων. καὶ τὴν πολύκαρπον ἐλαίαν.

Ϲηλυμβρία, ἀπὸ σήλυος τοῦ θρακὸς ὠνόμασται. ὧρος.

Ϲῆμα, παρὰ τὸ σῶ τὸ ὑγιαίνω. σημαίνει δὲ καὶ τὸ γράμμα. Ἰλιάδος ζ. Καὶ ᾔτεε σῆμα ἰδέσθαι. τὸ σημεῖον, ὡς τό, Σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδές. καὶ τὸν τάφον, ὡς τό, Ἀνδρὸς μὲν τόδε σῆμα πάλαι κατατεθέντος.

Ϲημάντορες, ἡγεμόνες. παρὰ τὸ σημαίνω τὸ προστάσσω. Ἰλιάδος α. Μὴ γὰρ ἔμοιγε σήμαινε.

Ϲήμων, παρὰ τὸ σῶ τὸ σωρεύω.

Ϲήπω, παρὰ τὸ σὴς σητὸς ὃ σημαίνει τὸν σκώληκα, σήπω καὶ σήπω. ὁ μέλλων, σήψω. ὁ ἀόριστος. ἔσηψα. ὁ δεύτερος, ἔσαπον ἐσάπην.

Ϲηπιάς, ἄκρα ἐν Μαγνησίᾳ. οὕτω λέγεται διὰ τὸ τὴν Θέτιν ἐν ταύτῃ εἰς σηπίαν μεταβληθῆναι ὑπὸ Πηλέως διωκομένην.

Ϲής, ὁ σκώληξ. παρὰ τὸ σῶ τὸ κινῶ. ὁ μέλλων, σήσω. καὶ ἀποβολῇ τοῦ ω, σής.

Ϲημαίας, Ἰταλοὶ τὰ σίγνα καὶ τὰ λεγόμενα βάνδα καλοῦσι. τὰ ἐν ταῖς τάξεσιν ἐπίσημα. ἃ, κοντοῖς ἤρτηνται. ἃ ἐκ τῶν ἢ λεόντων ἢ δρακόντων ὑφάσμασι ποικίλα καὶ παρασήμοις κατάστικτα. ἑκάστην τῶν τάξεων παραδηλοῦντα.

Ϲηστός. ἀπὸ μὲν τῆς πόλεως, διὰ τοῦ η γράφεται. ἀπὸ δὲ τοῦ σειομένου, διὰ διφθόγγου.

Ϲήραγξ, ὁ βαθὺς καὶ κρημνώδης τόπος. γίνεται παρὰ τὸ ῥήσσω τὸ ῥηγνύω καὶ διακόπτω, ῥήσαγξ. καὶ ὑπερβιβασμῷ, σήραγξ. καὶ σήραγγες, αἱ ὑπὸ γῆν ὑπομήκεις ἐκ ῥήξεως. οἱονεὶ φλέβες τινὲς οὖσαι τῆς γῆς. ἃς ὑπορέχον τὸ ὕδωρ, διέξοδον ζητεῖ. ἐντεῦθεν σηραγγώδης τόπος εἴρηται ὁ κοῖλος καὶ διατετρημένος. ἀπὸ τοῦ σεσηρέναι καὶ διεστράφθαι.

Ϲηταῖον, χωρίον ἐστίν. ὠνόμασται δὲ ἀπὸ τῆς Σηταίας τῆς αἰχμαλωτίδος Τρῳάδος. ἥτις ἔπεισε τὰς λοιπὰς συμφλέξαι τὰς ναῦς τῶν Ἑλλήνων. διὸ περιγνόντες οἱ Ἕλληνες, ἀνεσκολόπισαν αὐτήν.

Ϲητάνιοι, πυροί. εἴρηται παρὰ τὸ σῆτες. σῆτες δὲ λέγουσιν οἱ Ἴωνες τὸ ἐπέτεις. Δωριεῖς μὲν σάτες σφόδρα σύνηθες ἔχουσι τὸ ὄνομα. Ἀττικοὶ δὲ μεταβάλλοντες τὸ σ εἰς τ ὡς σεῦτλον τεῦτλον, τῆτες λέγουσιν. ὅθεν Δωριεῖς μὲν σατίνοις λέγουσιν. Ἀττικοὶ δὲ τητίνοις. Φαβωρῖνος δὲ περὶ παντοδαποῦς ὕλης, οὕτω. τητάνιος σῖτος. δηλοῖ δὲ ἡ λέξις τὸν καθαρόν. καὶ σητανείους πυροὺς ἐπετείους. ὧρος.

Ϲθένος, δύναμις. καὶ σθένω, τὸ δύναμαι. οἶμαι παρὰ τὸ θέω, θένος καὶ σθένος. ὁ γὰρ ταχὺς, καὶ δυνατός, θέει. ἢ παρὰ τὸ ἵστημι στήσω, στένος καὶ σθένος.

Ϲιαγών. ὅτι σείονται περιαγόμεναι. ἢ παρὰ τὸ σιγᾶν. αἷς ἐστιν σιγᾶν καὶ λέγειν ἀνοιγομέναις. ὧρος. ἢ παρὰ τὸ τὰ σιτία ἄγνυσθαι δι' αὐτῶν. τοῦτο ἐγὼ εὗρον.

Ϲίαλος, τὸ λεπτὸν καὶ οἷον ὀρὸς τῶν ἄλλων ὑγρῶν ἀποσειόμενον ἄλις καὶ ἀθρόως. διαφέρει πτυάλου. πτύαλον τὸ ἀποπτυόμενον κατὰ προαίρεσιν κατὰ τὴν τῶν χειλέων ἐπίπτυξιν. ὁ δὲ σίαλος, αὐτομάτως ῥεῖ. καὶ σιαλίζει μὲν τὰ βρέφη. καὶ οἱ ὑπεργηράσαντες, οὓς ἀναισθήτους λέγουσι. πτύειν δὲ τοὺς κατὰ προαίρεσιν ἐκρίπτοντας αὐτό. πιθανὸν δὲ κἀκ τοῦ παρακολουθοῦντος ἐν τῷ πτύειν ψόφου. λέγεται δὲ σίαλος, καὶ ὁ εὐτραφὴς σῦς, παρὰ τὸ ἅλις σεσιτεῦσθαι. ἢ ὁ ἄρρην σῦς. παρὰ τὸ ἀφρὸν προΐεσθαι ὃν λέγουσι σίαλον.

Ϲίβδαι, αἱ ῥοιαί. πλεονασμῷ τοῦ β.

Ϲιγαλόεντα, σημαίνει τὰ πεποικιλμένα. παρὰ γὰρ τὸ στίζω, στιγαλόεντα, καὶ σιγαλόεντα.

Ϲίγειον, ἀκρωτήριον Τροίας. παρὰ τὴν σιγὴν κατὰ ἀντίφρασιν. πολύηχος γὰρ ὁ τόπος.

Ϲίγρου, λιμὴν Τενέδου ἱερὸν ἔχων Σίγρου Ἀρτέμιδος. οὕτως ὧρος.

Ϲιγύνοις. ἰχθῦς ἀνασχόμενοι. Ἀπολλώνιος. ἀλλαχοῦ μὲν ἀσπιδίσκια μικρὰ πελτήρια λεγόμενα. ἐνταῦθα δὲ δόρατα ὁλοσίδηρα. ταῦτα δὲ ἐπεποίητο εἰς θήραν συῶν τὸ παλαιόν. διὰ τὸ ἄγαν θερμὸν καὶ ἰσχυρὸν τοῦ ζώου. ἔνθεν καὶ σίγυννος εἴρηται. συὸς καινός τις ὤν. ὁ τοὺς σῦς καίνων. οἱονεὶ κεντῶν. καὶ Κύπριοι δὲ τὰ δόρατα σιγύνους φασί.

Ϲιγῶ. παρὰ τὸ σιγή, σιγῶ, ὡς παρὰ τὸ τιμή, τιμῶ. ἢ ἐκ τοῦ σίζω τὸ ἠχῶ κατὰ ἀντίφρασιν.

Ϲίδηρος, ἀπὸ τοῦ σίζω τὸν ἦχον ἀποτελεῖν. τὸ δὲ η, ἢ σίδαρος γὰρ δωρικῶς λέγεται ἢ αἰολικῶς. τὸ δὲ σίδηρα, ἐστὶ κτητικὸν ἀπὸ τοῦ σιδηροῦς.

Ϲίζω, ὀνοματοπεποίηται. ὀνοματοποιΐα δέ ἐστι φωνῆς μίμησις πρὸς τὴν ποιότητα τοῦ ὑποκειμένου ἤχου ὡς τὸ σίζε. ἐπεὶ γὰρ καιομένου τοῦ κύκλωπος ὀφθαλμοῦ, ποιὰν ἀπετέλει φωνήν. κατὰ μίμησιν φησί. ὁμοίως δὲ καὶ τὸ λίγξε βιός, μίμησις ἐστὶ τοῦ ἤχου. ὃν ἀφιεμένου τοῦ βέλους ποιεῖ ἡ νευρά. τοῦ οὖν σίζω ἐνεστῶτος, ἕτερον μὴ ζήτει χρόνον μήτε ἔγκλισιν. μὴ δὲ ὡς τὸ πρίζω κλίνης τὸ σίζω. πάλιν τοῦ λίγξε ἀορίστου ὄντος. μὴ ζήτει θέμα μήτε ἄλλο τι. πάλιν τὸ παφλάζοντα μὴ κλίνης παφλάσω πέφλακα, ὡς τὸ θαυμάζω, ἀφαιρήσεις γὰρ τὴν λέξιν τῆς ἐμφάσεως τῆς τοῦ ἤχου μιμήσεως. τὸ γὰρ σίζω, χαρακτῆρα ἔχει ἐνεστῶτος. καὶ τὸ λίγξε, χαρακτῆρα ἔχει ἀορίστου. ὅθεν Νίκανδρος ἐν τοῖς ἀλεξιφαρμάκοις. Ἐπιλίζοντας ὀϊστούς. τοῦ λίγξε τὸ θέμα θελήσας εἰπεῖν, ἔφθειρε τὴν τοῦ ἤχου μίμησιν, οὐκ ἀπὸ θέματος οὖν ταῦτα, ἀλλ' ἀπὸ τῶν φωνῶν αὐτῶν ἡ ὀνοματοποιΐα πεποίηται. οὕτω Ζηνόβιος.

Ϲικελός, ἀπὸ ἡγεμόνος Σικανοῦ. οἱ αὐτοὶ δὲ καὶ Σικανοὶ εἴρηνται. ἐκαλεῖτο γὰρ πρότερον ἡ Σικελία, Σικανία.

Ϲίκινος, νῆσος ἐστὶ πρὸς τῇ Εὐβοίᾳ Οἰνοίη τὸ πρότερον καλουμένη. διὰ τὸ εἶναι ἀμπελόφυτον. μετωνομάσθη δὲ ἀπὸ υἱοῦ Θόαντος Σικίνου. καὶ νύμφης Οἰνοΐδος. Ἀπολλώνιος. Καὶ τὴν μὲν ἐς Οἰνοίην ἐρύσαντο πρόσθεν. αὐτὰρ Σικίνου γε μεθ' ὕστερον αὐδηθεῖσαν.

Ϲίκιννος, σατυρικὴ ὄρχησις. ἐμμέλεια δὲ τραγική. κόρδαξ δὲ κωμική. ὡς Ἀριστόξενος ἐν πρώτῳ περὶ τραγικῆς ὀρχήσεως. εἴρηται σίκιννις, παρὰ τὸ σείεσθαι καὶ κινεῖσθαι. ἢ ἀπὸ Σικάννου τοῦ Ἀθηναίων βασιλέως. οἱ δὲ ἀπὸ τοῦ παιδαγωγοῦ τῶν Θεμιστοκλέους παίδων Σικανοῦ.

Ϲίκημα. σίκημά ἐστι τὸ ἐξαίρετον χωρίον τοῦ Ἰωσήφ, παρὰ τοῦ Ἰακὼβ δεδομένον. τύπος τῆς διαθήκης τῆς μόνῳ δοκούσης τῷ Ἰσραὴλ δεδωρῆσθαι. ἔστι δὲ ὄνομα τόπου. γράφεται ἀπὸ παραδόσεως τὸ διὰ τοῦ ι. εἰς τὸν νθ ψαλμόν. εἰς δὲ τὸ ἄλλο ἐτυμολογικόν, ἔγκειται καὶ αὐτὴ ἡ προφητικὴ ἔπος γεγραμμένη.

Ϲίλλοι, ἐπισκώμματα κατὰ γνώμην. τοῦ τ εἰς σ, τίλλοι τινές. σιλλαίνειν δὲ τὸ σκώπτειν ὡς λέγει Ἀνακρέων. σιλλαίνεις κυάμοις ἀσπιδιώτης. ὅ ἐστι σκώπτει καὶ χλευάζει. δηλοῖ δὲ καὶ χλευαστικὸν ποίημα. παρὰ τὸ διασείειν τοῖς ἴλλοις καὶ διασύρειν τῷ σχήματι τῶν ὀφθαλμῶν. ἴλλοι γὰρ λέγονται οἱ ὀφθαλμοί. καὶ σιλλαίνειν, τὸ στραβίζειν. ὁ γὰρ σίλλος, λοιδορίας καὶ διασυρμοὺς περιέχει-μένως ἀνθρώπων ἔχει. μέλος δ' ἐστί.

Ϲιμός, παρὰ τὸ σίγμα σιγμὸς καὶ σιμός. καὶ γὰρ τὸ τοῦ σιμοῦ ἡ ῥὶς δοκεῖ τὸν τύπον τοῦ σίγμα μιμεῖσθαι.

Ϲιμωνίδης, ἀπὸ μὲν τοῦ ἰαμβοποιοῦ, διὰ τοῦ η γράφεται. καὶ ἴσως παρὰ τὸ σῆμα ἐστί. τὸ δὲ ἀπὸ τοῦ λυρικοῦ, διὰ τοῦ ι. καὶ ἴσως παρὰ τὸ σιμός ἐστι. Χοιροβοσκός.

Ϲίμβλα, τὰ ἀγγεῖα τῶν μελισσῶν. παρὰ τὸ συμβεβλῆσθαι ἄλλο ἐπ' ἄλλῳ. ὅ ἐστι σιμβλήϊα τινὰ ὄντα. ἢ σπόδος. Ἐπηρεφέας κατὰ σίμβλους. ἢ ὅτι σιμὰς ἐκάλουν οἱ ἀρχαῖοι τὰς μελίσσας. αἱ γὰρ μέλισσαι, πρὸς σύγκρισιν τῶν σφηκῶν, ἀμβλύτερα ἔχουσι τὰ κέντρα. καὶ ἐκ τούτου σίμβλους τὰ κύθρα. οἱονεὶ σιμοβόλους.

Ϲινάμωροι πολεμίζουσι θυρωροί. ἐν δευτέρῳ Ἀνακρέων. μεμορημένοι φησὶ πρὸς τὸ σίνεσθαι. δεξοῦ ἢ κουσόμεθα τοῦ ἐξ ἅπαντος κακουργεῖν προαιρουμένως. οἱ μὲν Ἀττικοὶ λέγουσιν ἀμοργεύειν τὸ λιχνεύειν. καὶ Φερεκράτης τὰ τοιαῦτα κλέμματα σιμορεύματα καλεῖ. ὧρος.

Ϲινᾶ, ὄνομα ὄρους. παρὰ τὸ ἰς ἰνός. ὅτι ἐκεῖ ἐδόθη ἡ τοῦ νόμου δύναμις.

Ϲιδών, ἀπὸ Σιδῶνος τῆς πόλεως. οἱ γὰρ Σιδόνες, ἐφεῦρον πρῶτοι κάμνειν σινδόνας. Σιδὼν δὲ σημαίνει δύο. τὴν πόλιν καὶ τὸν πολίτην. καὶ ἀπὸ μὲν τῆς πόλεως, ἐκτείνεται. ἀπὸ δὲ τοῦ πολίτου, συστέλλεται.

Ϲίνηπι, τὸ νῆ, η. διότι ἀνεφάνη τὸ α ἐν τῷ σινάπιον. τὸ πι, ι. διατί. τὰ εἰς ι λήγοντα οὐδέτερα, διὰ τοῦ ι γράφεται. παρὰ τὸ σίνεσθαι τοὺς ὦπας, ὡς οἷα δριμὺς ὢν μὲν τυγχάνει. βλάπτει γὰρ τοὺς ὀφθαλμούς. καὶ σίνος, τὸ βλάβος.

Ϲιντηΐδα Λῆμνον ἵκοντο. Ἀπολλώνιος. τὴν ὑπὸ πολιτῶν Σιντίων κατοικισθεῖσαν. ἔθνος δὲ τυραννικὸν τοῦτο καὶ λῃστρικόν. τινὲς δὲ καὶ Σιντίους τοὺς Λημνίους φασίν. οὗτοι γὰρ λαβόντες πλοῖα, τοὺς παριόντας ἐσίνον, ὅ ἐστιν ἔβλαπτον. ἢ ὅτι δοκοῦσιν αὐτοὶ πρῶτοι ἐπινενοηκέναι τὰ πρὸς τὸν πόλεμον ὅπλα. ἅπερ ὁμολογουμένως βλάπτει.

Ϲινιάσαι, κοσκινῆσαι.

Ϲινώπη, πόλις ἐστίν. εἴρηται δὲ ἀπὸ Σινώπης τῆς Ἀσωποῦ θυγατρός, ἣν ἐκόμισε Ζεὺς ἀπὸ Ἀσσυρίας εἰς τὸν Πόντον βουλόμενος αὐτὴν διαφθεῖραι, ὀμόσας δώσειν αὐτῇ ὃ βούλεται. ἡ δὲ τὴν παρθενίαν ᾐτήσατο. ὁ δὲ Ἄνδρων φησὶ μίαν τῶν ἀμαζόνων φυγοῦσαν εἰς Πόντον παρὰ τὸν βασιλέα τοῦ τόπου, πινουσάν τε πλεῖστον οἶνον, προσαγορευθῆναι Σινώπην. μεταφράσει δὲ τοῦτο σημαίνει τὴν πολλὰ πίνουσαν.

Ϲιπτοί, πυκνοὶ καὶ στερεοί. Ἀριστοφάνης. εἴρηνται δὲ ἀπὸ τῶν καινῶν ἐσθήτων, αἵτινες πατηθεῖσαι ἀπὸ τῆς ἀραιότητος εἰς πυκνότητα συνάγονται.

Ϲίπαλος, ὁ εἰδεχθὴς καὶ ἄμορφος. Ἀλλὰ σὺ μὲν σίπαλός τε καὶ ὀφθαλμοῖσιν ἔφηλος.

Ϲίπυλον, τὸ ὄρος οὕτω κέκληται ἀπὸ Σιπύλου τοῦ ἄγρου.

Ϲιπύη, σημαίνει τὴν ἀρτοθήκην. οἱονεὶ σιτοβοίη [illegible] τις οὖσα. παρὰ τὸ ἐν αὐτῇ τὰ σιτία ἐμβάλλεσθαι.

Ϲίρις, πόλις Ἰταλίας. ἡ πρότερον οὕτω καλουμένη. εἶτα Πολίειον. Σῖρις δὲ ὠνόμασται, ἀπὸ Σίριδος θυγατρὸς Μόργητος τοῦ Σικελίας βασιλέως. γυναικός τε

σκίνδου. ἢ ἀπὸ σίριδος μιᾶς τῶν νηρηΐδων. ἢ ἀπὸ τοῦ παραρρέοντος αὐτὴν ποταμοῦ.

Σιροί, τὰ ἐπιτήδεια ὀρύγματα εἰς ἀπόθεσιν πυρῶν καὶ τῶν ἄλλων ὀσπρίων. ἀμμώνιος δὲ ἱστορεῖ ὡς οἱ ἀττικοὶ ὀξύνοντες τὸ ὄνομα, τὸ ι βραχύνουσι καὶ ἡ ῥῆσις τῆς ἀναγνώσεως ἐκτείνεται. εὑρίσκεται δὲ καὶ βραχὺ ὡς παρ' εὐριπίδῃ φρίξω. Ἀνοῖξαι μὲν σιροὺς οὐκ ἠξίου. εἴρηται δὲ οἱονεὶ σιτηρός τις ὤν. καὶ ἐν συγκοπῇ, σιρὸς ὁ εἰς τὰ σιτία ὢν ἐπιτήδειος. εἰσὶ δὲ καὶ ὀρύγματά τινα σιροί.

Σισύρα, αἴγειον, στέγαστρον. τετριχωμένον δέρμα. πολλάκις δὲ καὶ τὸ τραχὺ καὶ ἄγναπτον ἱμάτιον. ὡς ἀριστοφάνης.

Σισύρνα. ὅπερ παχὺ περιβόλαιον. < Ἐν πέντε σισύραις. ἤγουν δέρματι νῦν. ἱμάτιον. λυκόφρων. Σισυρνοδῦται.

Σίσυφος, κύριον. τὸ θεὸς οἱ λάκωνες σιός λέ- < καρκῖνοι. γουσιν. ἀπὸ οὖν τοῦ σιός καὶ τοῦ σοφός, γίνεται σιόσοφος καὶ σίσυφος. οἱονεὶ καθ' ὑπερθέσιν. χοιροβοσκὸς καὶ ὧρος. ἢ ἀπὸ τοῦ σιῶν, τουτέστι τῶν θεῶν. σοφός.

Σῖτος, λέγει ὁ τεχνικός, ὅτι ὥσπερ παρὰ τὸ ἐργάζομαι γίνεται ἐργάστης καὶ ἀποβολῇ τοῦ ς ἐργάτης βαρυνόμενον, καὶ ἀπὸ τοῦ δεσπόστης δεσπότης, ὁ ἱστός οἶτος, οὕτω καὶ παρὰ τὸ σέσεισται σειστός. ἀποβολῇ τοῦ ς καὶ τοῦ ε, σῖτος. λέγει δὲ ὁ ὧρος ὅτι πυρετιόν ἐστι παρὰ τὸ σίω τοῦ διὰ τοῦ ι γραφομένου γεγονέναι. ἔστι γὰρ καὶ σίω διὰ τοῦ ι ὡς χρὴ ταιάνα κρέων. σίον, Θρηϊκίην σίοντα χαίτην. ἢ ὅτι πολλάκις ὀνόματα ἀπὸ ὀνομάτων γινόμενα γραφόμενα. ἢ διὰ τὸ σῖτος ἀποστρέφεται τὴν ει δίφθογγον. τὸ σι, μακρὸν κατὰ ποιητικὴν ἄδειαν. βαρύνεται. τὰ εἰς τος δισύλλαβα μονογενῆ παραληγόμενα τῷ ι ἐκτεινομένῳ, βαρύνεται. κρῖτος. μῖτος. νῖτος ὄνομα ποταμοῦ. πλὴν τοῦ ἀριθμοῦ, βραχύνει τὸ ι. οὕτω καὶ σῖτος. τὸ λιτὸς οὐκ ἔστι τὴν γραφὴν οὐδὲ κατὰ τὸν χρόνον, εἰ μὴ μόνον περὶ τόνον διήλλαξε. τὸ μέντοι λιτὸς τριγενὲς ὄν, ὀξύνεται.

Σῖτα, ἢ ἐκ τοῦ σῖτος μεταπεποίηται, ἢ ἀπὸ τοῦ σιτία. ἡρωδιανὸς περὶ παθῶν.

Σιτώνης σιτώνου, ὁ ἐπὶ τὸ σῖτον ἀγοράζων καὶ ἀποτιθέμενος.

Σιτροδεία, σπυρίδεια. σπρένδεια καὶ σπυρίδια. πάντες οὕτως. ἢ ἀπὸ τοῦ σιτοδέκης, σπυρίδα. καὶ κατὰ ἀφαίρε- < σιν τοῦ ε.

Σιφλός, πλεονασμῷ τοῦ φ. καὶ κυρίως, ὁ ἐστιγμένος τοὺς ὀφθαλμούς. καταχρηστικῶς δὲ, καὶ ἐπὶ ἄλλου μέρους σώματος. ἰλιάδος ξ. Θεὸς δὲ ἑ σιφλώσειε. ἐκλύσειε. μωμητὸν ποιήσειε. ἀπὸ τοῦ φλῶ, τὸ ὁρμὴν ἔχω. ἄλλοι δὲ τὴν ἰδέαν χεῖν. ἢ ἀπὸ τοῦ σιφλὸς σιφλῶ. ἵνα σημαίνῃ τὸ βλάψειε.

Σίφων, παρὰ τὸ ποιὸν ἦχον τὸν ἐν τῷ ἀποσπᾶν καὶ πίνειν.

Σιφνεύς, σημαίνει ὥσοι μὲν τὰ ἀπαλὰ < ἢ παρὰ τὸ σίζω. κα. λυκόφρων.

Σιών, ὅτε μὲν σημαίνει τὴν πόλιν, γράφεται διὰ τοῦ ι κατὰ παράδοσιν. ὅτε δὲ σημαίνει τὸ κύριον ὄνομα, γράφεται διὰ τοῦ η. ὡς τὸ, Τὸν σηὼν βασιλέα τῶν ἀμορραίων. τὰ γὰρ εἰς ων λήγοντα βαρβάρων ὀνόματα, ὀξύνονται. οἷον, θεατάν. ἐρατάν. ἀτμών. τελαμών. οὕτω καὶ σιών. χωρὶς τοῦ μεγάν. βαραβάν. βαριωνάν. ταῦτα δὲ περὶ-

Σιωπή, ἐκ τοῦ σιγῇ καὶ τοῦ ὤψ ὠπός, < ὅπα ταί. ἔστιν ἄκλιτα. ἢ τὸ ὅπα ὃ σημαίνει τὴν φωνήν, γίνεται σιγηοπή. καὶ ἀποβολῇ τοῦ γ. καὶ κράσει τοῦ η καὶ τοῦ ο μικροῦ εἰς ω μέγα, γίνεται σιωπή. ἢ ἐκ τοῦ σιγῶ σιγωπή. καὶ ἐκβολῇ τοῦ γ, τὸ δὲ σιωπῇ καὶ σιγῇ, ἔστιν ἐπίρρημα μεσότητος. καὶ ἔστι τὸ σιγῇ μακρόν. τὸ δὲ σιωπῇ, βραχύ, ὡς παρὰ τῷ ποιητῇ.

Σκαλμός, περὶ ὃν δεσμεύουσι τὰς κώπας πάσσαλον. ὑποσκαλμὶς δὲ, ἡ τοῦ σκαλμοῦ βάσις. ἐκ τοῦ σκαίρω σκαρμός, γίνεται τὸ ὑποκοριστικὸν, σκαρμίς. καὶ τροπῇ τοῦ ρ εἰς λ ἀμεταβόλου εἰς ἀμετάβολον, σκαλμίς. ὑπὸ τοῦ πλοίου παρὰ τὸ μὴ ἐᾶν τὴν ναῦν σκαίρειν, ἤγουν πηδᾶν.

Σκάλοψ, ὁ σπάλαξ λέγεται παρὰ ἀττικοῖς. καὶ λέγεται μὲν ἱππο- κλῆς σκάλοπας ὡς παρ' ἀριστοφάνει ὁ κεκαλυμμένους ἔχων

Σκάμανδρος, ποταμὸς τροίας. < τοὺς ὦπας. ἀπὸ σκαμάνδρου υἱοῦ τεύκρου ὃς ἦν κρὴς τὸ γένος. ἢ ἡρακλῆς διψήσας κατασχεθεὶς ηὔξατο τῷ διΐ. ὁ δὲ, ἀνέδωκεν αὐτῷ μικρὰν λιβάδα, ἣν θεασάμενος καὶ σκάψας δαψιλέστερον ἐποίησε φέρεσθαι παρὰ τὸ ἐσκάφθαι οὖν

Σκάνδαλον, παρὰ τὸ σχάζω, ὅ ἐστι τὸ χωλαί- < εἴρηται. νω. λέγεται καὶ σκάνδαλον ἡ διαστροφή.

Σκανδάληθρον, τὸ πέταυρον τῶν παγίδων. ἀπὸ τοῦ σκαζομένου συμπίπτειν καὶ κρατεῖν τὸ ἐμπεσόν. ἔστι δὲ τὸ ἐν τῇ παγίδι καμπύλον ξύλον ᾧ ἐρείδεται. ἀρίσταρχος δὲ ἐπὶ ὅπλον ἔφη. οἷον, Ῥόπτρῳ ἐρειδόμενον.

Σκαλεύω, εἰς τὸ σκῆψις.

Σκάμανδρος, διὰ τὸ γεγονέναι κατὰ τοῦ παραίτιος ἢ διὰ τὸ ἐσκάφθαι ὑπὸ ἀνδρός, ἐκλήθη σκάμανδρος. ξάνθος δὲ, ἐπειδὴ ἐκεῖ λουσάμεναι αἱ θεαὶ, ξανθὰς ἔσχον τὰς κόμας. ὁπότε ἀλεξάνδρῳ ἦσαν ἕνεκα κάλλους κριθησόμεναι. ὅμηρος. Ὃν ξάνθον καλοῦσι θεοὶ ἄνδρες δὲ

Σκάνδαλον, τὸ σκάζον περὶ τὴν ἀλήθειαν. < σκάμανδρον.

Σκαμβή, παρὰ τὸ σκαιῶς προβαίνειν. ἢ παρὰ τὸ σκάπτω τὸ κατορύσσω ὁ γὰρ διεστραμμένος, πολλὰ κατορύσσει κατὰ τοῦ πλησίον.

Σκαληνόν, σκολιόν. πολύγωνον. τοῦ τριγώνου, εἴδη τρία ἰσόπλευρον. ἰσοσκελές. σκαληνόν.

Σκαφίς, ὁ καδίσκος ἐν ᾧ καταχέονται αἱ γυναῖκες ἐκαλεῖτο δὲ οὕτως ἐπεὶ καὶ σκάφη εἶδός τι πλοίου καὶ ὁμοιότροπος ἐστι τῷ πλοίῳ ὁ καδίσκος. ἔστι δὲ καὶ νουρᾶς εἶδος, καὶ ὕσμινης γεωργική.

Σκίρτης, λόχος ἀνδρῶν, ἐξακοσίων. οἳ αὐτοὶ καθ' αὐτοὺς ἐστρατεύοντο. καὶ οὐχ ἅμα τοῖς ἄλλοις λακεδαιμονίοις.

Σκαρδαμύσσειν, παρὰ τὸ μύω, μύσσω, παράγωγον, καὶ παρὰ τὸ σκαίρειν τὸ κινεῖν, παρὰ τὴν συνεχῆ κίνησιν τῶν βλεφάρων. ἃ δὴ τὸ μύειν παρέχει. τὸ δὲ σκαίρω, ἀποβολῇ τοῦ ς, καίρω. καὶ διπλασιασμῷ καρκαίρω. ἔνθεν καὶ τὸ, Κάρκαιρε δὲ γαῖα. οἷον ἐν κινήσει καὶ ταραχῇ ἡ γῆ ἐγένετο, διὰ τὸ πλῆθος τῶν σειόντων αὐτὴν ποδῶν. καὶ τὸ σκαρδαμύσσειν ἀπὸ τοῦ σκαίρω, ἀποβολῇ γέγονε τὸ κινεῖν καὶ μύειν τὰ βλέφαρα. ὡς τὸ, Βλέψον εἰς ἐμὲ ἀσκαρδαμυκτί. ἀριστοφάνης ἱππεῦσι. παρὰ τὸ σκῶ, σκαίρω, ὡς

Σκάφος, παρὰ τὸ σκάπτω τὸ κοιλαίνω, < ἀσπαίρω. σκάψω, ἔσκαφα. ἐξ αὐτοῦ σκάφος. ἀπὸ μεταφορᾶς τῶν σκαπτομένων καὶ γινομένων βαθέων.

Σκαιαὶ πύλαι, αἱ τῆς ἰλίου. ἢ ἀπὸ τοῦ σκαιοῦ τοῦ κατασκευάσαντος αὐτάς. ἢ ὅτι ἐν τοῖς σκαιοῖς μέρεσι τῆς πόλεως κεῖνται, ἤγουν ἐν τοῖς ἀριστεροῖς. ἢ παρὰ τὸ σκαιῶς βουλεύσασθαι τοὺς τρῶας. τὸν γὰρ δούρειον ἵππον κατ' αὐτὰς ἐδέξαντο. αὗται δὲ καὶ δαρδανίδαι προσηγόρευον τὸ δι' ὧν ἐξήεσαν εἰς τὸ πεδίον οἱ τρῶες.

Σκαιός, ἐκ τοῦ σκάζω τὸ χωλαίνω. ἢ τὸ οὐκ ὀρθῶς βαδίζω. ἐξ οὗ καὶ σκαμβός, ὁ μὴ ὀρθῶς βαδίζων. καὶ σκαιὸς ἄνθρωπος. σκαμβός τις ὢν καὶ μὴ ὀρθός. σκαὸς καὶ σκαιός. καὶ σκαιή, ἡ ἀριστερὰ χείρ. σκαιῶς γὰρ ἔχει πρὸς τὰς πράξεις. παρὰ τὸ σκάζειν οὖν περὶ τὰς πράξεις ἐνδέουσαν. ἢ ὅτι ἀσθενεστέρα τῆς δεξιᾶς. ὁ δὲ ἀσθενὴς σκά- < ζει.

Σκέλος, ἢ παρὰ τὸ σχίσιν, διέσχισται γὰρ ἀπ' ἀλλήλων. ἢ παρὰ τὸ κέλευθον δι' ἧς βαδίζομεν. ἢ παρὰ τὸ ἐσκληκέναι καὶ σκληρότερα εἶναι τῶν ὑποσθεν. ἢ κέλευθος πλεονασμῷ τοῦ ς, σκέλευθος. καὶ συγκοπῇ σκέλος. δι' αὐτῶν γὰρ τὴν ὁδὸν τελοῦμεν. ἢ παρὰ τὸ σχίζω, σχέλος, καὶ σκέλος. ἀπεσχισμένα γάρ εἰσιν ἀπ' ἀλλήλων. ἐκ δὲ τοῦ σκέλος, γίνεται σκελίζω.

Σκέλλω, σημαίνει τὸ ξηραίνω. ἰλιάδος ψ. Μὴ πρὶν μένος ἠελίοιο σκήλει' ἀμφὶ περὶ χρόα ἴνεσιν. καὶ σκελετός, ὁ ἀπεξηραμμένος.

Σκεῦος, παρὰ τὸ σχῶ τὸ κρατῶ καὶ φυλάττω σχεῦος καὶ σκεῦος. ἢ παρὰ τὸ κεύθω τὸ κρύπτω.

Σκεπάζω, ἐκ τοῦ σκέπω. τοῦτο παρὰ τὸ σχέθω τὸ κωλύω, σχέπω. καὶ τροπῇ καὶ πλεονασμῷ τοῦ τ, σκέπτω. ἢ παρὰ

Σκείρων, ὄνομα λῃστοῦ πολλῆς φθο- < τὸ σκιὰ καὶ τὸ ἕπω. ρᾶς γεγονότος αἰτίου. τὸ σκει δίφθογγον, κατὰ ἀναλογίαν. ἀπὸ τοῦ κείρω κείρων καὶ σκείρων. καὶ τὸ κουστείρων.

Σκηνή, παρὰ τὸ σκηνῶ. τοῦτο παρὰ τὸ σχῶ τὸ κρατῶ, σχηνὴ καὶ σκηνή. ἡ κρατοῦσα καὶ φυλάττουσα ἡμᾶς. ἢ παρὰ τὸ ἵστημι. σκηνὴν δὲ ἠνέχοισι. δημοσθένης ἐν τῷ πρὸς

Σκῆνος, ἔοικε δὲ σκεῦός τι εἶναι. ὁ περὶ < σπουδαῖον. μὲν κοσμόν τινα γυναικεῖον εἶναι φασίν. οἱ δὲ σκιάδειον. ῥητορική. σκῆνος καὶ τὸ σῶμα παρὰ τὸ σκήνωμα καὶ σκηνὴν εἶναι τῆς ψυχῆς, οἷον οἰκητήριον.

Σκηπάνιον, σκῆπτρον. ῥάβδος. ἰλιάδος ν.

Σκῆπτρον, παρὰ τὸ σκήπτω τὸ ἐπανουμβίζω. ἀπὸ τοῦ σκήπτεσθαι καὶ ἐπερείδεσθαι αὐτῷ. πλεονασμῷ τοῦ ρ. ἔστι δὲ

Σκῆψις, ἡ πρόφασις. ἀπὸ τοῦ σκή- < βασιλικὴ ῥάβδος. πτω τὸ προφασίζομαι. τοῦτο παρὰ τὸ σκέπτω. οἱ γὰρ προφασιζόμενοι, σκέπτονται τί εἴπωσιν. καὶ ἐπέσκηψε, ἤγουν ἐνετείλατο, ἢ προεφάσατο. ἔστι καὶ δίκη τις ὑπωμοσία καὶ παραγραφή. δημοσθένης ἐν τῷ πρὸς πανταίνετον Ἀλλ' ὑπὲρ ταύτης τῆς σκήψεως εἰσελθών, ἀμφότερα αὐτῶν ἐπιδείξω. ἔστι δὲ καὶ ὄρχησίς τις ἡ σκῆψις. σημαίνει καὶ ἀναβολήν, ἢ φροντίδα. ἔστι δὲ καὶ πόλις ἐν τροίᾳ ἧς μέμνηται δημοσθένης ἐν τῷ κατὰ ἀριστοκράτους. λέγεται δὲ σκῆψις, καὶ ἡ ἐκ μελέτης ψευδομαρτυρία παρὰ τὸ σκέπτω σκέψις καὶ σκῆψις. ὁ σκεπτόμενός τι εἰπεῖν ψευδές. ἔστι δὲ καὶ ἐπισκήψασθαι, καὶ τὸ ἐπιβαρήσαντα. καὶ ἐπισκήψασθαι, τὸ ἐπιβαρῆσαι καὶ ἐπισημειώσασθαι.

Σκαλεύω. ὡς τὸ, Ἐφ' ἡμᾶς αὖτις ἐσκαλευκότες φαινόμεθα. σεσαλευκότες. ἐρευνήσαντες. παρὰ τὸ σάλος,

Σκέπτεσθαι. σκέπτεσθαι μὲν ἐστὶ τὸ βουλεύε- < σαλεύω. σθαί τι. σκήπτεσθαι δὲ, τὸ προφασίζεσθαι μεθ' ὑποκρί-

Σκέπαρνον, τὸ ἐργαλεῖον διὰ τὸ σκέπειν τὰ ἔργα. < σεως.

Σκείρων ἄνεμος, ἀπὸ τῶν σκειρωνίδων πετρῶν κατὰ τὸ πνέων.

Σκίρα, ἑορτὴ ἀθηνᾶς. καὶ σκιράφια, τὰ κυβεῖα. ἤτοι ἐπεὶ σκίραφός τις ἦν ὄργανον κυβευτικόν. ἢ ἀπὸ σκιράφου τινὸς κυβευτοῦ. ἢ ὅτι ἐν τῷ τῆς σκιράδος ἀθηνᾶς ἱερῷ οἱ κυβευταὶ ἔπαιζον.

Σκιρὰς ἀθηνᾶ, εἶδος ἀγάλματος ἀθηνᾶς. ὀνομάζεται δὲ οὕτως ἀπὸ τόπου τινός.

Σκιά, παρὰ τὸ κίω τὸ ἀκολουθῶ, κιά. καὶ πλεονασμῷ τοῦ ς, σκιά. ἡ συνακολουθοῦσα. καὶ σκιόεις ὁ σκιὰν ἀποτελῶν.

Σκιάς, τὸ ᾠδεῖον ἐκαλεῖτο τῶν λακεδαιμονίων κατὰ τὴν ἀρχαίαν φωνήν. οἶκος γάρ ἐστι στρογγύλος. τοὺς δὲ τοιούτους διὰ τὸ τὴν ὀροφὴν ἔχειν μιμήματα τῶν σκιαδείων, σκιάδας οἱ πάλαι προσηγόρευσαν. ἐπειδὴ δὲ μετωνόμασται σκιάδης, καὶ τὸ πολὺ πλῆθος τῶν ἑλλήνων θολίας ἐκάλουν αὐτάς. καὶ τοὺς οἴκους τοὺς περιφερεῖς οἱ μὲν θόλους, οἱ δὲ θολίας, προσαγορεύουσι.

Σκιδνῶ, ἐκ τοῦ σκεδῶ σκιδνῶ, ὡς πετῶ πιτνῶ. κερῶ κιρνῶ. ἐξ οὗ παράγωγον, σκίδνημι. τὸ τρίτον τῶν πληθυντικῶν σκιδνᾶσι. τὸ παθητικόν, σκίδναμαι. ἐσκί-

Σκίπων, παρὰ τὸ σκηρίπτω κατὰ < δναντο, καὶ ἐσκίδναντο. ἀποβολῇ τοῦ τ, καὶ τοῦ ρ. καὶ συγκοπῇ τοῦ κ, σκίπων.

Σκίμπους σκίμποδος, παρὰ τὸ < σημαίνει δὲ τὴν βακτηρίαν. σκηνὴ καὶ τὸ πούς ποδός, γίνεται. σκηνίπους τίς ὤν, ὡς σκηνοῦ στάσωμα. καὶ συγκοπῇ, σκίμπους. λέγεται δὲ τὸ μέρος τοῦ κραββάτου. μεταφορικῶς δὲ ὅλος ὁ κράββατος. λέγεται καὶ σκίμπος χωρὶς τοῦ υ. ὡς ἀελλόπος. σκινόπους τίς ὤν,

Σκιρωθῆναι. φαμὲν ὑπὲρ τοῦ ῥύπου τοῦ < ὁ σκηνῇ ὅμοιος. σφόδρα ἐμμένοντος καὶ δυσεκπλύτου. σαπφὼ ἐν τοῖς γυναικείοις βοτανίοις. Πρὶν αὐτὰν ταννόσον εἰς τὸν μυελὸν σκιρωθῆναι. σκίρον δὲ τὸν ἄδηλον ῥύπον καὶ κρατῖνος λέγει. καὶ εὔπολις ὑπὲρ τοῦ ἐν τῷ τυρῷ ῥύπου. ἀλλὰ καὶ ξενοφῶν ἐν τῷ περὶ ἱππικῆς οὕτω λέγει.

Σκιροφοριών, ὄνομα μηνὸς παρὰ ἀθηναίοις. λέγεται δὲ παρὰ τὸ φέρειν σκίραν ἐν αὐτῷ τὸν θησέα, ἤγουν γύψον. ὁ γὰρ θησεὺς ἀπερχόμενος μετὰ μινωταύρου, τὴν ἀθηνᾶν ποιήσας ἀπὸ γύψου, ἐβάστασεν. ἐπεὶ οὖν τῷ μηνὶ τούτῳ ἐποίησε, λέγεται σκιροφοριών.

C κίφος, τὸ ξίφος. διαιρέσει τοῦ ξ εἰς κσ, καὶ ὑπερθέσει.

C κρτῶ, παρὰ τὸ σκαίρειν τὸ πηδᾶν. ὑφαιρέσει τοῦ α, καὶ πλεονασμῷ τοῦ τ, μετὰ περισπωμένου τοῦ τόνου.

C κληρός, παρὰ τὸ σκλῶ μονοσύλλαβον, ὅ ἐστιν ἀπὸ τοῦ σκέ-

C κνιπὸς, ὁ μικρολόγος καὶ σκνιφός. παρὰ τοὺς λλω. σκνίπας καὶ τὴν τοῦ σμικρότητα. σκνὶψ δὲ ἐστὶ κωνωποειδὲς πτηνόν. ὧρος. λέγει δὲ ὁ χοιροβοσκὸς ὅτι λέγεται σκνὶψ καὶ κνίψ. καὶ τὸ μὲν σκνὶψ, κλίνεται καὶ διὰ τοῦ π, καὶ διὰ τοῦ φ. οὗ σκνιφὸς καὶ σκνιπός. τὸ δὲ κνὶψ, διὰ τοῦ π μόνου κλίνεται. ἔστι δὲ ζῷον εὐτελές. ὅθεν καὶ ἐπὶ τῶν μικροψύχων ἀνθρώπων εἴωθε λέγεσθαι ὅτι σκνιφός ἐστι. μετάγεται γὰρ ἡ γενικὴ εἰς εὐθεῖαν.

C κόλοπες, ὀξέα ξύλα ἅπερ ἐμπήγνυνται τῷ τείχει. παρὰ τὸ κολάπτω, κολάψω, κόλαψ. ἢ παρὰ τὸ σχίζω σχόλαψ, καὶ σκόλοψ. τὸ διεσχισμένον. ἢ ἀπόξυσμα ξύλου.

C κολιός, παρὰ τὸ σκάζω τὸ χωλαίνω, ὁ μὴ εὐθεῖαν ὁδὸν πορευόμενος, ἀλλὰ διεστραμμένην. ἢ παρὰ τὸ σκαιός. ἢ παρὰ τὸ σκόλον ὃ σημαίνει τὸ σκολιόν. πόρον λέγουσι καὶ τὸν ἀπὸ βυζαντίου πλοῦν, ἕως τοῦ στομίου τοῦ πόντου. ἔνθα εἰσὶν αἱ κυανέαι πέτραι. ἢ διὰ τὸ σκαμβὸν εἶναι καὶ οὐκ ἴσον. ἔοικε δὲ τῷ ξ στοιχείῳ καὶ θηρίῳ ἑρπετῷ.

C κολιά, τὰ συμποτικὰ ἄσματα. δίδυμος φησὶ διαφόρους ἐτυμολογίας ἐν τῷ τρίτῳ τῶν συμποσιακῶν. ὧρος. ἀπὸ τοῦ μεθύουσι καὶ σκολιῶς ἔχουσι τὰ αἰσθητή-

C κολύθριον, πλατὺ τὸ ἧθος ἀντὶ τοῦ ρια ἄδεσθαι. ὑφ' ἣν μὲν λεγομένου ὑποποδίου, ὑπὸ ποιητῶν δὲ ὑπὸ θρονίου. πλάτων. ὥς περ οἱ τὰ σκολύθρια τῶν μελλόντων καθιζήσεσθαι, ὑποσπῶντες χαίρουσι καὶ γελῶσιν. ἐπειδὰν ἴδωσιν ὕπτιον, ἀνατετραμμένον. τινὲς δὲ περὶ τῶν μικρῶν διφριδίων ἐξεδέξαντο τὴν λέξιν.

C κοπὸς, σὺν τῷ β. τὸν κατάσκοπον. ὡς τό, Οὐχ ἅλιος σκοπὸς ἔσσομαι. ἰλιάδος κ. περὶ δὲ τῆς ἁπλῶς παρατηρήσεως, Δμωῶν σκοπός ἐστιν, κατὰ μέγαρ' ἢ μέτερα.

C κοπιά, ὁ ὑψηλὸς τόπος καὶ σκόπελος. ὁμοίως καὶ σκοπαὶ ὑψηλοὶ τόποι. ἀμφότερα ἀφ' ὧν ἐστι περισκοπῆσαι καὶ ἰδεῖν. τὰ πέριξ καὶ κύκλῳ. ἐκ δὲ τοῦ σκοπιά, γίνεται καὶ σκοπιάζω, σημαίνει τὸ βλέπω.

C κρινιάριος, τῆς δουκικῆς ὑπάρχων τάξεως, λατίνων φωνή. ὅ ἐστι νοτάριος ἑλληνικῶς, ἢ χαρτοφύλαξ. σκρίνιον γὰρ τὴν φυλακτικὴν λάρνακα οἱ ῥωμαῖοι κα-

C κορακισμός. οἱ παλαιοὶ οἱ παρὰ δύο λέξεις διε- λοῦσι. ζευγμένας, παράγωγα ποιοῦσι πολλάκις. νέα πόλις, νεαπολίτης. παρὰ ποταμόν, παραπόταμος. οὕτω καὶ τὸ σκορακίζειν ἐς κόρακας, ἐσκορακίζειν. καὶ ἀποβολῇ τοῦ ε, σκορακίζειν. οὕτως ὧρος. ἀλλὰ καὶ ὠρίων καὶ ἡρωδιανός, περὶ παθῶν.

C κορδινᾶσθαι, τὸ παρὰ φύσιν τὰ μέλη ἐκτείνειν. μετὰ τοῦ χασμᾶσθαι διακλώμενον λέγεται. γίνεται δὲ παρὰ τοὺς ἐγειρομένους ἐξ ὕπνου ὅταν χασμώδεις ὄντες, ἐκτείνωσι τὰς χεῖρας ὥσπερ καὶ παρὰ τοῖς ἄμοις πῶς βασανιζομένοις καὶ διαστρεφομένοις τὰ μέλη. οὗ σκορδινᾶσθαι δινεῖσθαι ἀπὸ κόρου ὕπνου καὶ τροφῆς. ἢ καρηδινᾶσθαι τὴν κεφαλήν. ὧρος.

C κορπίζω, ἐκ τοῦ καρπὸς καρπίζω καὶ σκορπίζω. ἐκ μεταφορᾶς εἴρηται ἡ λέξις, ἐπεὶ ὁ καρπὸς σκορπί-

C κορπιός, σημαίνει δύο. τὸν χερσαῖον, καὶ παρὰ ζεται. παρὰ τὸ σκορπίζειν τὸν ἰόν. καὶ τὸν θαλάσσιον, καὶ παρὰ ἐκ τοῦ πλήττειν καὶ τὸν ἰὸν ἐπιβάλλειν. ἢ παρὰ τὸ σκαιῶς ἕρπειν. σημαίνει καὶ τὸν ἀστέρα. καὶ λέγουσιν ἀπὸ τῆς πρὸς τὸν χερσαῖον ὁμοιότητος. ἐπειδὴ ὅτε ἐν αὐτῷ ἐστιν ὁ ἥλιος, τότε τὰ σπέρματα ἐπὶ τὴν γῆν σκορπίζομεν σπείροντες. ἢ ἐπειδὴ ἐκ τοῦ κόλπου σκορπίζειν τὰ σπέρματα.

C κότος, ἀπὸ τοῦ σκιάζειν ὠνόμασται. οἱ δὲ φασὶν σκοπός ἐστιν, ὅτι δεῖ προσκοπεῖσθαι τὸν προσερχόμενον ἐν τῷ αὐτῷ. οὕτως ἡρακλείδης. ὁ δὲ ἡρωδιανός, παρὰ τὸ σχέθειν ἡμᾶς πολλάκις προϊέναι, ὅ ἐστιν ἐπισχεῖν. ὧρος.

C κοτόμαινα, νὺξ ἐστὶν ἐν ᾗ μαίνεται καὶ ἀκαταστατεῖ.

C κῶλος, εἶδος ἐστὶν ἀκάνθης. ἢ πῦρ ὠθεῖ τὰ οὐράνια. σα εὐρυώτερος γὰρ. ἰλιάδος ν. ὥς τε σκῶλος πυρίκαυστος. ὁ δὲ ἀππίων ῥάβδος πεπυρακτωμένη. ἔστι δὲ καὶ πόλις ἐν τῇ βοιωτίᾳ. ἔστι δὲ ἅπαξ τὸ ὁμηρικόν. λέγεται δὲ παρὰ τὸ σκέλλω τὸ ξηραίνω. ὁ ὑπὸ πυρὸς ἐξηραμμένος.

C κώληξ, παρὰ τὸ μὴ ἔχειν κῶλον ἤγουν ὀστέον κατὰ ἀντίφρασιν. πλεονασμῷ τοῦ σ. τὸ δὲ κῶλον, παρὰ τὸ κλῶ. τὸ δὲ κλῶ, παρὰ τὸ σκέλλω τὸ ξηραίνω. καὶ γὰρ σκληρότερον ἐστι καὶ ξηρότερον.

C κῶπες, ἔστι τι ζῷον σκὼψ λεγόμενον. κόβαλλον δὲ καὶ μιμηλὸν τὸ ὄρνεον. τινὲς δὲ κακόφωνον αὐτὸ λέγουσι. καὶ εἴρηται οὕτως. παρὰ τὸ σκαιὰν ἔχειν ὄπα. φασὶ δὲ ἀπὸ τοῦ ζῴου καὶ τὸ σκώπτειν εἰρῆσθαι τουτέστι τὸ λοιδορεῖν.

C κύβαλον, τὸ διὰ ἐντέρων ἐκδιδόμενον κυσίβαλόν τι ὄν.

C κυθμαίνειν, τὸ σκυθρωπάζειν καὶ ὀργίζεσθαι. κυρίως ἐπὶ τῶν λεόντων ἐπὶ τοῖς ἀφαιρουμένοις σκύμνοις ὀργιζομένων. ἀπὸ οὖν τοῦ σκύμνος καὶ τὸ μαίνειν, γίνεται τὸ σκυδμαίνειν. ἢ ἀπὸ τοῦ τῆς περὶ τὸ πρόσωπον συστολῆς τοῦ σκύλλους ὅ ἐστι δεῖγμα, ὃ συμβαίνει ἐπὶ τῶν ὀργιζομένων ἰλιάδος ω.

C κύνιον λέγεται ἡ ὀφρὺς καὶ ἐξ αὐτοῦ γὰρ σκυνίζω καὶ σκύζω.

C κύζεσθαι, σημαίνει τὸ ὀργίζεσθαι παρὰ τοὺς σκύθας. οἵτινες ὀργιλότατοι ὄντες, τὸ ἐπισκύνιον καθέλκουσι.

C κυθρωπάσαι πλεονασμός ἐστι, τοῦ ρ. σκυθωπάσαι γὰρ ἐστὶν παρὰ τὸ σκυθινοὺς ἔχειν ὦπας. ἢ σκυθρωπὸς παρὰ τὸ σκίζω τῷ ὀργίζομαι καὶ τὸ ὢψ ὠπὸς ὁ ὀφθαλμός. ἢ παρὰ τὸ χύτρα καὶ τὸ ὢψ γίνεται χυθρωπός. καὶ πλεονασμῷ τοῦ σ. καὶ τροπῇ τοῦ χ εἰς κ. τουτέστιν ὁ ἀφανὲς πρόσωπον κεκτημένος.

C κῦλα σημαίνει τὰ ἀπὸ τοῦ πολέμου συναγόμενα λήϊα. καὶ τὰ ἐκ τῶν πολεμίων λαμβανόμενα ἔτι ζώντων λάφυρα. τὰ δὲ τῶν θεατῶν σκῦλα. γίνεται δὲ παρὰ τὸ συλῶ σύλον καὶ σκύλον. ὅθεν τὸ σκῦ μακρόν. παρὰ τὸ φωνὴν ἔχειν σκύλακος. ὅμηρος. Τῆς δ' ἤτοι φωνὴ μὲν ὅσον σκύλακος νεογιλλῆς. ὠρίων.

C κύλλος, κυρίως ἐπὶ κυνὸς νεογνοῦ. ἀπὸ τοῦ ἐπισχεῖν ἐπὶ τὸ ὑλακτεῖν σκύλαξ τις ὤν. ὧρος.

C κύμνος, τὸ τῶν λεόντων ἔκγονον. παρὰ τὸ σκύζω τὸ ὀργίζομαι, σκύμνος λέγεται ἐπὶ λεόντων. σκυμνὸς δέ, ἐπὶ τῶν ἄλλων ζώων.

C κῦρος, ἡ νῆσος. ἐπεὶ ἀργιλώδης ἐστὶ καὶ λευκόγεως. σκῦρος γὰρ ἡ λατύπη. δίδυμος λέγει ἐν ὑπομνήματι ξ ὀδυσσείας. αἱ ἀργιλιώδεις φαῦλαι εἰς καρπῶν ἀνέσεις. μηλόβοτοι δὲ καθάπερ σκῦρος. καὶ αἱ λεγόμεναι ἀργινοῦσαι. ὧρος.

C κύτος, τὸ δέρμα. καὶ σκυτοδέψης, παρὰ τὸ ξύω ξύτος. εἶτα διαλύσει τοῦ ξ καὶ ὑπερθέσει γίνεται σκύτος, τὸ ξυόμενον. οὐδὲν γὰρ οὕτω ξύεται. ἢ παρὰ τὸ σχίζω, σχίτος καὶ σκύτος κατὰ ἐναλλαγὴν καὶ τροπήν. ἐσχισμένον γάρ ἐστι ἅπαν. σκύτος δὲ λέγεται πᾶν τὸ μεταξὺ τῶν ταινόντων τοῦ τραχήλου δέρμα ὥσπερ τρώνιός φησι. τινὲς δὲ φασὶ σκύτος λέγεσθαι τὸν νωτιαῖον μυελόν. οἱ δὲ τὸν μεταξὺ τῶν ὀφρύων καὶ τοῦ μετώπου τόπον. οἱ δέ, τὸ ἰνίον. ὅπερ ἐπισκύνιον καλοῦμεν. ἄλλοι δὲ τὸ τῆς κεφαλῆς δέρμα. παρ' ὃ καὶ σκύτος εἴρη-

C κυτίνας, περιζώματα ἀπὸ λώρων. ται ἡ κεφαλή. παρὰ τὸ σκύτος ὅ ἐστι δέρμα.

C κυταλωτοὺς τροχούς, ῥαβδωτούς. ἡ σκυτάλη παρὰ ἀττικοῖς βακτηρίαν. σημαίνει καὶ ὄφεως δὲ ἐστι τι εἶδος οὕτω καλούμενον. καὶ παρὰ λακεδαιμονίοις ἐπὶ βακτηρίας τάττεται. καὶ σκυταλίδες, καμπῶν εἶδος, ὅ ἐστι ζῶόν τι. παρὰ ἀλεξανδρεῦσι τε εἶδος καρίδων, καὶ σκεῦός τι ἐν τῇ νηί καὶ σκυταλουμένη, ξύλῳ τυπτομένη. σκυτάλη δέ, πίναξ. δέλτος. ἔθος δὲ λακεδαιμονίοις χρῆσθαι σκυτάλῃ, ἀντὶ τῶν γραμματείων.

C μαραγεῖ, ψοφεῖ. κτυπεῖ. ἀπὸ τοῦ σμάραγος, σμαραγῶ. τοῦτο παρὰ τὸ σπαράσσω σπάραγος καὶ σμάραγος. ψόφος. ἦχος. κυρίως γὰρ σμάραγος, ὁ ἀπὸ σπαραγμοῦ ἦχος. ἔστι δὲ καὶ ἕτερον σμαραγῶ, καὶ σημαίνει τὸ λάμπω. ἐξ οὗ καὶ σμάραγος, ὁ λαμπρότατος λίθος. παρὰ τὸ μαίρω τὸ λάμπω. ὁ μέλλων, μαρῶ. κατὰ παραγωγήν, μαράσσω. πλεονασμῷ τοῦ σ, σμαράσσω. καὶ ῥηματικὸν ὄνομα, σμάραγος καὶ σμάραγδος.

C μερδαλέος, καταπληκτικός. φοβερός. ἐκ τοῦ σμερδνόν, σμερδναλέος. ἀποβολῇ τοῦ ν. καὶ σμερδνόν, τὸ καταπληκτικόν. ἀπὸ τοῦ μερίζειν τὴν ψυχὴν τῶν ὁρώντων τῷ φόβῳ, καὶ μὴ ἐᾶν αὐτὴν ἐν τῷ μένειν. παρὰ τὸ μερίζω μερδνός. καὶ συγκοπῇ καὶ

C μῆνος, τὸ μελισσοτρόφον. ἢ πλεονασμῷ τοῦ σ. τὸ σύστημα τῶν μελισσῶν. σημαίνει καὶ τὸ πλῆσμα. καὶ γίνεται ἀπὸ τοῦ σμῶ σμήσω, τὸ πλήσσω.

C μήριγγα, τὴν θρίχα τῆς κεφαλῆς. ἀπὸ τῆς μήριγγος ὅπερ σημαίνει τὴν κεφαλήν. πλεονασμῷ τοῦ σ. λυκόφρων. καὶ σμικρός, ἀπὸ τοῦ μικρός πλεονασμῷ τοῦ σ.

C μινθεύς, ἐπίθετον ἀπόλλωνος. οὕτω καλοῦσιν κρῆτες τοὺς μύας. ζήτει τὴν ἱστορίαν ἐν τῷ α τῆς ἰλιάδος.

C μυγερή, ἅμα ἐπίπονος καὶ αἰσχρά. ἡσίοδος.

C μύξαι, καῦσαι. ζήτει εἰς τὸ ὑποσμήχουσα.

C μῶδιξ, ἡ ὕφαιμος πληγή. παρὰ τὸ σμῶξαι. οὕτω δὲ λέγουσιν οἱ ἴωνες τὸ πατάξαι. ὁ δὲ θεόγνωτος, ἀπὸ τοῦ σμῶ τὸ πλήσσω. κατὰ παραγωγήν, σμήγω. καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρόν, σμώγω, σμώξω, καὶ σμῶδιξ. ἢ ἐκ τοῦ σμῶ σμήσω. ἐξ οὗ καὶ σμῆνος, τὸ πλῆγμα. ἢ παρὰ τὸ μώλωψ μώλωπος μωλωπίζω. ὁ μέλλων, μωλωπίξω. ἐξ αὐτοῦ μῶλιξ. καὶ πλεονασμῷ τοῦ σ καὶ, τροπῇ τοῦ λ εἰς

C μώνη, ἡ ἐκ τοῦ ἀνέμου πληγή. δ, σμῶδιξ. ἀπὸ τοῦ σμῶ ῥήματος. τὸ σμῶ, μέγα. ὡς τὸ ζώνη. διὸ δὲ εἰσὶν εἰς γω δισύλλαβα τῷ ω παραληγόμενα βαρύτονα. τρώγω, καὶ σμώγω.

C μύρνα, παρὰ τὸ μυρίζω μύρνα καὶ σμύρνα. ἢ παρὰ τὸ μύρον, πλεονασμῷ τοῦ ν, καὶ προθέσει τοῦ σ. τὸ δὲ ὁμηρικὸν τῆς

C οβαρός, παρὰ τὸ σεσοβῆσθαι, ἢ νήσου, σμύρνη. παρὰ τὸ σεσεῖσθαι, σοαρὸς καὶ σοβαρός πλεονασμῷ τοῦ β. εἰς τὸ δυστόνος. εἴρηται γὰρ περὶ σοβαροῦ οἷον ὀστοβῶν. καὶ μετὰ σεμνότητος προϊών.

C όλος ὁ δίσκος. ἀπὸ τοῦ σῶ τὸ σείω. τὸ ὁρμῶ καὶ κινῶ τούτου δὲ τοῦ σῶ, ὁ μέλλων, σώσω. καὶ ῥηματικὸν ὄνομα κατὰ συστολὴν τοῦ ω εἰς ο, σόλος. ἢ παρὰ τὸ ὅλον σεύ-

C όλυμος, ἔθνος περὶ κιλικίαν. ἀπὸ σολύμου εσθαι. τοῦ καλδήνης τῆς πισίου καὶ ἄρεως. οἱ νῦν ἴσαυροι.

C όλοι. ἡ ἐν κύπρῳ πόλις. πλούταρχος ἐν σόλωνι, ἀπὸ σόλωνος τοῦ ἀθηναίων νομοθέτου. διὸ καὶ τῷ σόλωνι τιμὴν ἀποδιδούς, αἰπεῖαν τὴν πόλιν καλουμένην πρότερον, ἀπ' ἐκείνου σόλους προσηγόρευσε.

C όλοικοι, οἱ βάρβαροι. ἀπὸ σόλωνος κίλικος. Ἰστέον ὅτι διαφέρει τὸ βαρβαρίζειν τοῦ σολοικίζειν. καθὸ τὸ μὲν βαρβαρίζειν. περὶ μίαν λέξιν ἐστὶν ἁμάρτημα. κατὰ τόνον μέν, ὡς ὅταν τὸ ἄνθρωπος ὀξυτόνως εἴπωμεν ἀνθρωπός. κατὰ γραφήν, ὡς ὅταν τὸ νεῖλος διὰ τοῦ ι γράψω. κατὰ κλίσιν, ὡς ὅταν τὸ αἴας, αἴου κλίνω. κατὰ χρόνον, ὡς ὅταν τοῦ αἴας, τὸ α συστέλλω. κατὰ πνεῦμα, ὡς ὅταν τὴν ὑπὸ πρόθεσιν ψιλῶ. σολοικίζειν δὲ ἐστι, τὸ περὶ σύνταξιν καὶ τὴν φράσιν ἁμαρτάνειν. τουτέστιν ἑκάστης λέξεως καθ' ἑαυτὴν κειμένης καλῶς ἐχούσης. ἐν δὲ τῇ συντάξει, ἀτάκτως καὶ ἀνακολούθως παραλαμβανομένης. ὡς ἐπὶ τοῦ, ἐγὼ περιπατῶν ὁ τοῖχος ἔπεσεν. ἰδοὺ γὰρ ἐνταῦθα ἑκάστη λέξις καθ' ἑαυτὴν οὖσα, καλῶς ἔχει. ἐν δὲ τῇ συντάξει, ἀτάκτως καὶ ἀνακολούθως παραλαμβάνεται. ὅθεν καὶ σολοικισμὸς λέγεται, οἱονεὶ τοῦ σώου λόγου αἰκισμός. ἤγουν, ὕβρις τοῦ ὁλοκλήρου λόγου. δεῖ δὲ γινώσκειν ὅτι σολοικίζειν καὶ βαρβαρίζειν δεῖ λέγειν. καὶ σολοικιζόμενον, καὶ βαρβαριζόμενον. σολοικισμός

δὲ καὶ βδελυγμὸς βαρβαρισμός· οὐ δεῖ λέγειν. Χοιροβοσκός.

Σορός, ἡ τῶν λειψάνων. παρὰ τὸ σεσωρεῦσθαι τὰ σώματα ἐν αὐτῇ. ἢ παρὰ τὸ εἴργω τὸ κωλύω, σορός. ἡ κωλυτική.

Σοφός, παρὰ τὸ σέβω, σοβός καὶ σοφός. σέβουσι γὰρ τὸν σο-

Σοφιστής, κυρίως ὁ σοφιζόμενος. ὁ δὲ φοὶν ἅπαντες. Ἀριστοτέλης σοφιστὰς λέγει τοὺς ἑπτὰ σοφούς. ἐλέχθη δὲ καὶ ὁ ἐθελοφιλόσοφος, σοφιστής. ὁ δὲ τῷ ὄντι σοφός, ὅθεν ἐπεπόλαζε λέγειν, φιλόσοφε ὀφρεῦ γινώσκῃς ἢ μὲν θεὸν ἢ δὲ σοφιστήν. νῦν σοφιστάς, τοὺς διὰ τέχνην προϊσταμένους. οὕτως Ἀπολλώνιος ἐν ἐξηγήσει τῶν Ἡροδότου γλωσσῶν. Ὧρος λέγεται καὶ ὁ ἐπηρεάζων ἐκ ὧν ἐν τοῖς λόγοις.

Σοῦσα, ἡ πόλις. ἀπὸ τῶν περιφυομένων κρίνων. σοῦσα γὰρ τὰ λείρια λέγεται. ἢ ἀπὸ τοῦ ἱππάσιμον αὐτὴν εἶναι. σοῦς γὰρ ὑπὸ Σύρων τὸν ἵππον λέγεσθαι.

Σούσινον μύρον, τὸ κρίνινον Ἕλληνες προσαγορεύουσι. τὰ γὰρ λείρια ὑπὸ τῶν Φοινίκων, σοῦσα λέγεται. σοῦσον δὲ τὸ κρίνον ὑπὸ Φρυγῶν λέγεται.

Σπάδων, σημαίνει τὸν εὐνοῦχον. παρὰ τὸ ἀπεσπάσθαι τὰ μέρος αὐτοῦ.

Σπάθη, τὸ ὑφαντικὸν ἐργαλεῖον, παρὰ τὸ καταστᾶν

Σπάθαι, αἱ τῶν πλευρῶν, ἀπὸ τοῦ σπα- τὴν κρόκην. σθαι πρὸς ἐπικαμπίαν.

Σπάργανον, παρὰ τὸ σπαράσσω σπάραγανον, καὶ συγκοπῇ. λέγονται δὲ αἱ πρῶται φασκίαι σπαργανώματα. ἔνθα δεσμοῦνται οἱ παῖδες ῥυθμιζόμενοι περὶ τὸ

Σπάνιον, τὸ ὀλίγον. ἐκ τοῦ σπάνιος. ὀρθότερον. τοῦτο ἀπὸ τοῦ σπανίζω ὃ σημαίνει τὸ ἐλαττῶ καὶ φθείρω. τοῦτο παρὰ τὸ σπάνις ἡ λῆψις. τοῦτο παρὰ τὸ σπῶ σπαίνω, σπαῖνις καὶ σπάνις. ἢ παρὰ τὸ παίνω. καὶ κατὰ παρασχηματισμόν, πάνις καὶ πλεονασμῷ τοῦ σ.

Σπάρτα λέλυνται, Ἰλιάδος β. παρὰ τὸ σπείρω τὸ ἡλίσσω, σπάρτιον. καὶ ὡς παρὰ μήρια μῆρα, οὕτω καὶ σπάρτια σπάρτα, κατὰ συγκοπὴν ὡς ὑποκοριστικόν.

Σπαρτιάτης, ἀπὸ τοῦ Σπάρτη Σπαρτίτης. καὶ πλεονασμῷ τοῦ α, Σπαρτιάτης. ὅμοιον ἐστι καὶ τὸ Κροτωνιάτης. Ἡρωδιανὸς περὶ παθῶν.

Σπαίρω, ἐξ οὗ τὸ ἀσπαίρω σημαίνει. τὸ δὲ σπαίρω, ἐκ τοῦ σκαίρω. διαφέρει δὲ κατὰ τὴν Ἀττικὴν συνήθειαν. Ἥρῳ οἱ σπαίρουσι καὶ οὐρίον πέλονται καὶ ἤσπαιρεν, ὥς τὸ, Ὅτε τοὺς βοῦς ἀσπαίρει. καὶ διότι τὸ μὲν σπαίρειν καὶ ἀσπαίρειν, ἄμουσόν τινα κίνησιν δηλοῖ σημαίνει ἐν ἰχθύσι καὶ ἐν τῇ δεδεμένῃ κατὰ τὴν ποιητὴν βοΐ. τὸ δὲ σκαίρειν, ἄμουσόν τινα ὀρχηστικήν τε καὶ εὔρυθμον κίνησιν δηλοῖ. ὅθεν παράγονται σκάρος καὶ σπάρος ἰχθύες. ὅθεν τὸ σκάρος εὔμουσόν τινα καὶ εὔρυθμον κίνησιν δηλοῖ. ἐξ οὗ καὶ τὸ σκιρτᾶν παράγεται. σπαρίζειν, ἐπὶ ἰχθύων λέγεται.

Σπένδω, παρὰ τὸ σπείω σπένδω. παραγωγῇ καὶ οὐ πλεονασμός. ὡς κυλίω κυλίνδω. ἀμείρω, ἀμέρδω. σημαίνει δὲ τὸ μετὰ θυσιῶν φιλιοῦμαι καὶ καταλλάσσομαι καὶ θεῷ

Σπέος, τὸ σπήλαιον. τὸ ἀνθρώπινον καὶ ἀνθρώποις. οἴκημα. παρὰ τὴν σβέσιν τοῦ φωτός. ὡς ἐπὶ τὸ πολὺ γὰρ φωτὸς ἐστερημένον ἐστίν. ὅθεν φησί, Σπέος ἠεροειδές.

παρὰ τὸ σβῶ σβέω, σβέος καὶ σπέος. κλίνεται σπέεος. ἡ εὐθεῖα τῶν πληθυντικῶν, τὰ σπέεα. καὶ συγκοπῇ, σπέα.

Σπέρμα, παρὰ τὸ συνεσπαρμένην ἔχειν ἐν ἑαυτῷ τὴν δύναμιν τῆς τελειότητος. καὶ σπερμαίνειν, τὸ παιδοποιεῖν.

Σπέργις, παρὰ τὸ πρέσβυς. τὸ ἐπὶ τοῦ β εἰς γ, πρέσγυς. καὶ ὑπερθέσει, σπέργυς. περὶ παθῶν.

Σπεύδω, παρὰ τὸ πέδον σημαίνει πεύδω. καὶ προσθέσει τοῦ σ. ὁ γὰρ ἀγωνιζόμενος, γῆν διεγείρει. ἢ παρὰ τὸ ἕω τὸ περιπατῶ,

Σπέρχω, σημαίνει τὸ κατὰ σημαίνει ἕδω, πεύδω, καὶ σπεύδω. πείγομαι. σπεύδω. καὶ συστρέφω. ἴσως ἀπὸ τοῦ περιέχεσθαι. συμπεριέχω οὖν. καὶ κατὰ συγκοπήν, σπέρχω.

Σπέσθαι, τὸ ἀκολουθῆσαι. ἀπὸ τοῦ ἕπεται, τὸ ἀπαρέμφατον ἕπεσθαι. πλεονασμῷ τοῦ σ, ἕσπεσθαι καὶ

Σπείους. αὗται εἰσὶ μόναι παρὰ τῷ ποιη- σπέσθαι. τικαὶ εἰς ους λήγουσαι ἀπὸ τῶν εἰς ος οὐδετέρων. ἀεὶ γὰρ ἐντελῶς λέγεται τείχεος, σάκεος. τὸ δὲ αἴτιον ἡ εὐθεῖα καθὸ σπέος καὶ δέος. εἰ προσέλαβεν ἡ γενικὴ ἕτερον ε, σπέεος καὶ δέεος, κακόφωνον ἂν ἐγίνετο. ἔνθεν ἐποίησε δείους, σπείους. καὶ πλεονασμῷ τοῦ ι, δείους καὶ σπείους.

Σπεῖρα, τὰ ἱμάτια. παρὰ τὸ ἐνσπειρεῖσθαι καὶ συσφίγγεσθαι ἐν αὐτοῖς. καὶ σπείρημα, τὸ τοῦ ὄφεως εἴλιγμα. γράφεται δὲ καὶ διὰ τοῦ ι. ὤφειλε δὲ διὰ διφθόγγου. ἀλλ' ἡ παράδοσις ἔχει τὸ ι. καὶ ἴσως τῷ λόγῳ τῶν ῥηματικῶν. εἰσὶ γάρ τινα ὀνόματα ἀπὸ ῥημάτων γινόμενα, ἅτινα διὰ τοῦ ι γράφεται. λείβω λιβάς. οὕτως ἀπὸ τοῦ σπείρω σπίριον καὶ σπεῖρα.

Σπήεσσιν. ἐκ τοῦ σπέος, ἡ δοτικὴ τῶν πληθυντικῶν, σπέεσι. καὶ ἐκτάσει, σπήεσσι. καὶ ἐν σπέσι κατὰ συγκοπήν.

Σπερμολόγος, μικρὸν ὀρνίθιον κολοιῶδες. ὠνόμασται δὲ ἀπὸ τοῦ τὰ σπέρματα ἀναλέγειν. λέγεται ἀπὸ τούτου καὶ ὁ εὐτελὴς καὶ εὐκαταφρόνητος ἄνθρωπος. καὶ ἴσως ἀπὸ τῶν ἀγοραίων διαζῶν.

Σπείρων, ἀπὸ τοῦ σπῶ τὸ κατὰ σπῶ. σπωμένη γάρ ἡ γῆ, δέχεται τὰ σπέρματα. παράγωγόν ἐστι τοῦ σπῶ. ἅμα γὰρ τῷ καταβληθῆναι τὴν σποράν, σπᾶται ὑπὸ τῆς γῆς τὸ χωρῆσαν εἰς αὐτήν. οὕτω Φιλόξενος. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν θηλειῶν, ὅτε δέχονται τὸ σπέρμα.

Σπεῖσαι, παρὰ τὸ πῖσαι ὅ ἐστι ποτίσαι τὴν γῆν τῷ οἴνῳ.

Σπήλαιον, παρὰ τὸ σπῶ τὸ κατὰ σπῶ καὶ τὸ λᾶας Ὧρος. ὁ λίθος. σπήλαιον γὰρ οὐδὲν ἄλλο ἐστὶν ἢ λίθος κατεσπασμένος.

Σπηλυγγες, τὰ βεβρωμένα τῶν πετρῶν. παρὰ τὸ σπᾶν.

Σπιλάδες, αἱ ὕφαλοι πέτραι. οὖν οἱ, ἀπὸ σπάδες. ἢ οὖν μελαίνεται τὸ κατ' αὐτὰς μέρος. ἢ σπηλυγγώδεις εἰσὶν αἱ κοῖλαι πέτραι, παρὰ τὸ σπέος. οὕτως Ὠρίων. ὁ δὲ Ὧρος, ἀπὸ τοῦ λεπίζεσθαι ὑπὸ τῶν κυμάτων τῆς θαλάσσης. οἱονεὶ λεπίς τις οὖσα. ἢ παρὰ τὸ σχίζεσθαι, ἢ ἀπὸ τοῦ σχάζεσθαι, ἢ ἀπὸ τοῦ συμπεπιλῆσθαι.

Σπιθαμή, εἰς τὸ παλαιστή. Σπινθῆρες, βολίδες καὶ ἀκοντισμοὶ πυρός. παρὰ τὸ σπεῖραι πεποίηνται τοῦ τοῦ πυρὸς ἔχων λόγον. οὖν οἱ σποράδες τινὲς ὄντες θέροντες πυρός. ἢ παρὰ τὸ μετὰ σπουδῆς ἱεσθαι καὶ θηρᾶσθαι. ἢ παρὰ τὸ ἐν τῇ σποδῷ θεωρεῖσθαι.

Σπλάγχνα, οἱονεὶ πέλαγχνα. διὰ τὸ πλησίον ἀλλήλων ὑπάρχειν καὶ ἐφάπτεσθαι καὶ διὰ τὸ σπᾶν τὴν τροφήν. Ὧρος.

Σπλήν, ἀπὸ τοῦ εἰς ἑαυτὸν ἐπισπᾶσθαι τὰ φαυλισθέντα

Σπόγγος, εἰ μὲν διὰ τοῦ π, παρὰ τὸ σπᾶν τῶν ὑγρῶν. τὰ ὑγρά. εἰ δὲ διὰ τοῦ φ, παρὰ τὸ σφίγγειν κατὰ τὰς ἐκθλίψεις. ζήτει εἰς τὸ φῶς.

Σποδός, ἀπὸ τοῦ σβέσω, σβοδὸς καὶ σποδός, ἡ ἀμαυροῦσα τὴν φλόγα. ἢ ἀπὸ τοῦ ποὺς ποδός. πλεονασμῷ τοῦ σ. τῷ ἐν ποσὶ κείμενον. ἢ παρὰ τὸ σπένδω. παρὰ γὰρ τῷ πυρὶ

Σποράδες νῆσοι, ἢ διὰ τὸ σποράδην ἔθυον οἱ Ἕλληνες. κεῖσθαι, ἢ ἀπὸ τοῦ σπαρτὸν καὶ σπαρτόν.

Σπουδή, ἐπίρρημα μεσότητος, καὶ ἀθροίσεως. τὸ δή, ἡ. τὰ παρὰ δοτικὴν γινόμενα ἐπιρρήματα, καὶ τὴν αὐτὴν

Σπυρίς. πλεονασμός ἐστι τοῦ σ ἀπὸ γραφὴν φυλάσσει. τοῦ πυρός, πυρίς. Ἡρόδοτος λέγει ὅτι τοὺς πυροὺς σπυροὺς λέγουσιν οἱ Συρακούσιοι. παρὰ τοὺς σπόρους.

Σταγών, παρὰ τὸ στῶ ῥῆμα. οὐ παράγωγον στάζω. οἷον, οὐ ῥύσιν, ἀλλὰ στάσιν τῆς φορᾶς τοῦ ὑγροῦ λαβούσης.

Στάδιον, ἤτοι διὰ τὴν στάσιν, ἑστῶτες γὰρ ἐθεῶντο. οἱ δὲ φασὶ περὶ τὸ ἐν εἶναι τοῦ σ. εἶναι γὰρ τάδιον, παρὰ τὴν

Σταδίῃ, ἡ ἐν τῇ συστάσει μάχῃ. ἐν τῷ δρόμῳ τάσιν. ἢ ἀπὸ τοῦ διαστήματος τοῦ ὁρισθέντος. ἢ ἀπὸ τοῦ στάντα τὸν Ἡρακλέα τοῦ δρόμου διαπνεῦσαι.

Σταθερὸν ἦμαρ, Ἀπολλώνιος. τὸ μέσον τῆς ἡμέρας τὸ μεσημβρινόν, ὅτε ἵσταται ὁ ἥλιος, ἢ τότε γὰρ δοκεῖ ἵστασθαι κινεῖσθαι. οἱ δέ, ἐπὶ τοῦ ἰσχυροῦ τεθείκασι.

Σταθμός, λέγεται καὶ τὸ σταθμίζον, καὶ τὸ σταθμιζόμενον, καὶ ἡ παραστάς. σταθμὸς δὲ λέγεται, καὶ ἡ μάνδρα τῶν προβάτων. ἀμφότερα παρὰ τὴν στάσιν.

Σταθμῶ, παρὰ τὸ στάθμη. τοῦτο παρὰ τὸ ἵστασθαι.

Στακτή, παρὰ τὸ στάζω στάξω, ἔσταγμαι, ἔστακται στακτή.

Σταλαγμός, στῶ ῥῆμα. οὗ παράγωγον στάζω. ὁ μέλλων, στάξω. ἐξ οὗ σταγμός. ὡς φάξω φαγμός. πλεονασμῷ τῆς αλ συλλαβῆς, σταλαγμός. ἢ ἐκ τοῦ σταλάσσω. τοῦτο ἐκ τοῦ στάσσω, πλεονασμῷ τῆς αλ συλλαβῆς.

Σταμῖνες, τὰ κατὰ στρώματα τῆς νηὸς ἐφ' ὧν ἱστάμεθα. Ἀρίσταρχος δὲ ὀρθὰ ξύλα. οὖν οἱ, στήμοσιν ἐοικότα. Ὧρος.

Στάμνος, μέτρον τι. Σταῖν, ἀπὸ τοῦ ἔσταν.

Στάσιμον, τὸ μέλος τοῦ χοροῦ. ὅταν γὰρ ὁ χορὸς μετὰ τὴν πάροδον διατίθηται τι μένων ἀκίνητος, πρὸς τὴν ὑπόθεσιν ἂν εἴη οὕτως στάσιμον λέγοιτο.

Στενεῖ καὶ περιστένεται. θυμούμενος περισσῶς. καὶ παρὰ τοῦ δέοντος θυμοῦται καὶ ὀργίζεται.

Στασιάζειν, ὁ μὲν Ἡρωδιανὸς πλεονασμὸν λέγει εἶναι τοῦ α. ἀπὸ τοῦ στάσις στασιάζω. ὁ δὲ Ὧρος λέγει ὅτι τοὔνομα ἔλαβεν ἀπὸ τοῦ ἵστασθαι καὶ συστρέφεσθαι τινὰς περισσοτέρως πρὸς ἀλλήλους.

Στατήρ, ἀπὸ τοῦ ἵστημι, στήσω. καὶ παρ' ἡμῖν ἐπὶ τοῦ νομίσματος τίθεται. οἱ δὲ ἀρχαῖοι, ἐπὶ τοῦ δανείζειν. ὀβολοστάτας γοῦν οἱ Ἀττικοί, τοὺς ὀλίγα δανείζοντας ἔλεγον ὑπερβολικῶς. καὶ τὸ παρ' Ὁμήρῳ τοιοῦτόν ἐστι.

Δείδω μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοὶ χρέος. Ἰλιάδος μ. ἀντὶ δὲ διὰ μὴ ὃ χθὲς οἱ Ἕλληνες ἐδάνεισαν χρέος, σήμερον ἀπολάβωσι. τουτέστι τὴν νίκην ἣν δεδώκασιν ἡμῖν χθὲς ἡττηθέντες ὑφ' ἡμῶν, μὴ σήμερον ἡμᾶς νικήσωσι. τὸ γὰρ ἀποστήσονται, ἀντὶ τοῦ ἀπολάβωσιν. ὁ οὖν πρὸς τὸ διδόναι καὶ λαμβάνειν ἐπιτήδειος, στατὴρ ὠνόμασται. παρὰ τὸ ἵστασθαι. ὁ δὲ Ὧρος, στατὴρ τὸ νόμισμα, ἀπὸ τοῦ ἵστημι τὸ δανείζεσθαι παριστῶντος τὸ νόμισμα ἂν ἐρρήθη, ὁ πρὸς δανεισμοὺς καὶ ἀποδόσεις ἐπινοηθεὶς τῷ βίῳ. ὅθεν καὶ στατῆρες, οἱ χρεῶσται. οὖν οἱ, Πολλοὶ στατῆρες, ἀποδοτῆρες οὐδ' ἂν εἷς. ἐπὶ χαρ-

Σταυρός, παρὰ τὸ στάσις καὶ τὸ μος Προμηθεύς. εὖρος. οὖν οἱ, ὁ μῆκος ἔχων καὶ πλάτος. παρὰ δὲ τῷ ποιητῇ, σταυροὶ λέγονται ὀρθὰ καὶ ἀπεξυσμένα ξύλα παρὰ τὴν στάσιν, ἅπερ ἔξωθεν περιτίθενται ταῖς αὐλαῖς πρὸς τὸ μὴ στενοχωρεῖσθαι τὰ ζῷα ἐν τοῖς συφεοῖς.

Σταφυλή, παρὰ τὸ σήπω σαπῶ σαπυλὴ καὶ σταφυλή. πεπανθεῖσα γὰρ τῆς ἀμπέλου, τότε καὶ ἡ σταφυλὴ σημαίνει σταπίς. ζήτει εἰς τὸ τέλος.

Στέαρ, παρὰ τὸ στάζω, ἢ ἵστημι στήσω. παρὰ τὸ στάσιν καὶ

Στεγάζω, παρὰ τὸ στέγη. τοῦτο παρὰ τὸ πῆξιν ἔχειν. στέγω τὸ ὑπομένω.

Στεγανός, ὁ ἐστεγασμένος καὶ ἐσκεπασμένος. παρὰ τὴν στέγην. λέγεται δὲ στεγανὸν καὶ τὸ στενότερον. καὶ στεγανόποδες ὄρνιθες, οἱ ἐν ὕδασι διατρίβοντες, καὶ τοὺς πόδας ἔχοντες στεγανούς. οἷς αἱ μεταξὺ τῶν δακτύλων εὐρυχωρίαι δερμάτια εἰλημμένα εἰσί, καὶ στεγανώματα ἐν τοῖς τοίχοις οἱ ἐνδεσμοί. τὸ δὲ στέγη, παρὰ τὴν σὺν πρόθεσιν, καὶ τὸ τέγω τὸ βρέχω. ἡ ὑπὸ τῶν βροχῶν συντεγ-

Στελγίσματα, ἀποξύσματα. στλεγγίδες γὰρ γομένη. αἱ ξύστραι αἳ τὰς παλαίστρας τοῦ σώματος ἀποξύουσαι. λυ-

Στελεός, τὸ τοῦ πελέκεως ξύλον. κόφων.

Στεναγμός, παρὰ τὸ στενάζω. τοῦτο παρὰ τὸ στένω. τὰ δὲ παθητικὰ οὐχ εὕρηται ἐν χρήσει. ἐναντίως γὰρ ἔχει τὸ σημαινόμενον τῷ τῆς φωνῆς χαρακτῆρι.

Στέργω, εἰ μέν ἐστι συντάττεται μετὰ δοτικῆς, σημαίνει τὸ ἀρκοῦμαι. εἰ δὲ μετὰ αἰτιατικῆς, σημαίνει τὸ ἀγαπῶ καὶ φιλῶ. γίνεται παρὰ τὸ στέγω ὃ σημαίνει τὸ ὑπομένω. τοῦτο παρὰ τὸ στῶ ῥῆμα ὃ σημαίνει τὸ ἵστω, καὶ ἑδραιῶ, καὶ βεβαιῶ. ἀπὸ τοῦ στῶ, οὗ, στέγω. καὶ πλεονασμῷ τοῦ ρ, στέργω. ὡς φῶ, φέβω, φέρβω.

Στέλεχος, εἰ μὲν ὁ κορμὸς ἤγουν ἡ ῥίζα παρὰ τὸ τέλος ἔχειν. ἢ παρὰ τὸ στερεόν. εἰ δὲ οἱ ἄνω τῆς κορυφῆς κλάδοι, παρὰ τὸ εἰς τέλος ἔχεσθαι.

Στέλλω, σημαίνει εὐτρεπίζω καὶ κοσμῶ. ἀποστέλλω δὲ ἡ πρόθεσις περισσὸν τι δηλοῖ. ἤγουν ἐκπέμπω τὸ προετοιμάσαι καὶ κοσμῆσαι, καὶ διευθετῆσαι πάντα. σημαίνει τὸ κοσμῶ, ἐξ οὗ καὶ στολή. τὸ κρύβω, ἐξ οὗ καὶ συστολή. τὸ ἐπιστέλλω, ἐξ οὗ καὶ ἐπιστολή. καὶ τὸ πλέω.

Στέρνον, ἀπὸ τῆς στερεότητος, ἢ παρὰ τὸ στερεὸν εἶναι. ἢ παρὰ τὸ στερρὸν εἶναι. παρὰ τὸ στῶ στεῶ. τὸ ἐντελές, στέω. στερόν. καὶ πλεονασμῷ τοῦ ν στέρνον, τὸ στῆθος.

Ϲτερρός. βούλονταί τινες ἀπὸ τοῦ στερεὸς εἶναι. συγκοπῇ στερός. καὶ πλεονασμῷ ἑτέρου ρ, στερρός. ἐμοὶ δὲ δοκεῖ μᾶλλον τὸ στερεὸς, ἀπὸ τοῦ στερρὸς εἶναι. τὰ γὰρ εἰς ναι ἀπαρέμφατα, ποιεῖ εἰς ρος ὀνόματα ἰσοσύλλαβα. οἷον, μιῆναι μιαρός. διῆναι, διερός. ἐυπῆναι, ἐυπρός. σταθῆναι, σταθερός, οὕτω στῆναι, στερός, καὶ στερρός.

Ϲτέρφος, ἔστιν ἔρεφος καὶ στέρφος. οἱ δὲ, παρὰ τὸ στέφειν ὅ ἐστι σκέπειν τὸ σῶμα, στέφος. καὶ πλεονασμῷ τοῦ ρ, στέρφος. σημαίνει τὸ δέρμα, παρὰ τὴν στρυφνότητα καὶ πυκνότητα. ἢ παρὰ τὸ ἐρέφειν καὶ σκέπειν. καὶ στερφόπεπλος ὁ Ἡρακλῆς, διὰ τὸ δέρμα τοῦ λέοντος, ᾧ εἶχεν ἀντὶ περιβολαίου. λέγεται δὲ καὶ σκαπανεὺς, διότι ἔσκαψε τὰς κόπρους τῶν Αὐγείου βοῶν. βουγαΐδας δὲ, διὰ τὰς Γηρυόνου βοῦς. Λυκόφρων.

Ϲτεῦται, διαβεβαιοῦται. ὑπισχνεῖται. παρὰ τὸ στῆθος, οἱ ἐν τοῖς στήθεσι διανοοῦνται. ἐκεῖ γὰρ τὸ λογιστικὸν, κατὰ Ὅμηρον. οἷον, Στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ. ὥσπερ παρὰ τὸ ἆθλον ἀθλεύω, οἰνοχόοι οἰνοχοεύω, λωβῶ, λωβεύω, οὕτω στῶ, στεύω, στεύομαι, στεύεται, στεῦται ἀντὶ τοῦ ὡρισμένου τῇ ψυχῇ, καὶ στάσιμον λαβεῖν. καὶ ὑποθέσμενος τί, περὶ οὗ διισχυρίζεται εἰπεῖν.

Ϲτεφανίτης, ἀπὸ τοῦ στέφανος. τοῦτο παρὰ τὸ στέφω. στεφανίτην δὲ λέγουσιν Ἀττικοί τινα ἀγῶνα ἐφ' ᾧ στέφεται ὁ νικῶν. Χοιροβοσκός.

Ϲτεφάνη, εἶδος περικεφαλαίας. ἔστι καὶ κόσμος γυναικεῖος. τίθεται δὲ καὶ ἐπὶ ὄρους. ἐπὶ τῆς κυκλοτεροῦς καταφορᾶς, Ἰλιάδος ν. Οὔτε κατὰ στεφάνης. Ἰστέον δὲ ὅτι, οὐκ ἀπὸ τοῦ στέφω τὸ στεφανῶ. ὡς περ ἀπὸ τοῦ λήθω τὸ λανθάνω, καὶ μήθω τὸ μανθάνω. τὸ γὰρ σημαινόμενον, ὅμοιον. τὸ δὲ στέφω καὶ στεφανῶ, οὐκ ἔχει ὅμοιον. εἴ τις μὲν γὰρ στεφανοῖ, οὗτος πάντως καὶ στέφει. οὐκ εἴ τις δὲ στέφει, οὗτος πάντως καὶ στεφανοῖ. στέμματα μὲν γάρ ἐστι πάντα τὰ ἐνδιδόμενα, τὰ περιτιθέμενα καὶ περὶ χεῖρα καὶ περὶ τράχηλον. στέφανος δὲ μόνῃ τῇ κεφαλῇ περιτίθεται. ὥσπερ οὖν ἀπὸ τοῦ στέφος γίνεται στέφω, οὕτω καὶ ἀπὸ τοῦ στέφανος, στεφανῶ.

Ϲτειλειά, τὸ τρῆμα τοῦ πελέκεως δι' οὗ τὸ στελεὸν ἐνείρεται. ἣν τρήμην Ἀττικοὶ λέγουσιν. Ἀριστοφάνης. Τρήμας ἔχει, καὶ τὸ τρύπημα δὲ ὡς Εὔπολις. Οὐδὲν κακὸν τρύπημα ἐν ταῖς οἰκίαις ἂν εὕρῃς. ἡ δὲ τρώγλη, θύριον.

Ϲτεῖνος. Στεῖνος ὅθι τρώσεσθαι ὀΐω. προπερισπᾶται. οὐδέτερον γάρ. πᾶν δὲ εἰς ος οὐδέτερον ἐν ὀνόμασι βαρύνεται. καὶ μακρὸν ἀρσενικὸν ὑπάρχον, ὀξύνεται. εἰ δὲ οὐδέτερον γένος, βαρύνεται. Ἰστέον δὲ ὅτι τὸ κατὰ τὴν γέφυραν στένωμα λέγεται στεῖνος. τὸ δὲ τρώσεσθαι ἀντὶ τοῦ ἐλαττοῦσθαι καὶ ταπεινοῦσθαι. τρώματα γὰρ τὰς τροπὰς οἰωνοὶ καλοῦσι. Καὶ οἶνος στερώσει μελιηδής. οὕτως εὗρον ἐγώ.

Ϲτεῖρα, ἐπὶ πλοίου εἴρηται. παρὰ τὸ στερρὰ εἶναι καὶ εὔτονος. στέρρα, ἀποβολῇ τοῦ ρ καὶ πλεονασμῷ τοῦ ι, στεῖρα. ἀφ' οὗ καὶ τὴν μὴ τετοκυῖαν γυναῖκα, στεῖραν λέγουσι, διὰ τὸ στερεοτέραν καὶ εὐτονωτέραν εἶναι τῆς τετοκυίας, ἢ ἀπὸ τοῦ στερέσθαι στέρα καὶ στεῖρα, ἡ στερουμένη τοῦ τίκτειν. ἢ παρὰ τὸ στῶ στείω, ὡς σῶ σείω, καὶ θῶ θείω, στεῖρα, ἡ τοῦ κύειν στάσιν ἔχουσα.

Ϲτειριεύς, παρὰ τὸ στερεὸν ἐστὶ στεριεύς. καὶ πλεονασμῷ τοῦ ι.

Ϲτῆθος, παρὰ τὸ ἵστημι, στήσω. καὶ τί μετέχει τὸ ἱστάμενον ὀρθόν. ἀπὸ τοῦ ἑστάναι οὖν, διότι ἕστηκεν ἀσάλευτον. τὰ γὰρ ἄλλα μέρη τοῦ σώματος κλίνεται, τὸ δὲ στῆθος οὐ κλίνεται. ὡς δὲ ἄλλοι, ὅτι ἐν αὐτῷ τὸ ἡγεμονικὸν ἕστηκεν. ἢ ὅτι δι' αὐτοῦ τὰ σιτία διωθεῖται. σιτιώθοσον. καὶ συγκοπῇ στῶθος. καὶ τροπῇ, στῆθος.

Ϲτηθύνιον, ὑποκοριστικῶς μέρος τι τοῦ στήθους.

Ϲτήλη, παρὰ τὸ στῶ, στήσω. σημαίνει δὲ τὸν ἐν τῇ κεφαλῇ κείμενον τοῦ τεθνεῶτος λίθον. ἐξ οὗ καὶ στηλίτης. καὶ στηλιτεύω, τὸ θριαμβεύω. ὡς πολίτης πολιτεύω. παρὰ τὸ στῶ στήσω γίνεται καὶ στήμων. τὸ δὲ στῶ σημαίνει τὸ ὑπομένω, Ἰλιάδος λ. Ἀλλ' ἄγε δὴ στέωμεν καὶ ἀλεξώμεσθα μένοντες.

Ϲτήωσιν, τὸ μὲν χωρὶς τοῦ ι, ἀπὸ τοῦ στῶ στείω. τὸ πληθυντικὸν, στῶμεν, στῶσι. καὶ πλεονασμῷ τοῦ η, στήωσιν. τὸ δὲ μετὰ τοῦ ι ἀπὸ τοῦ ἐὰν στῶ στῇς στῇ. καὶ πλεονασμῷ τοῦ η, στήῃ. καὶ στήῃν, στήημεν στήητε, στήωσι. καὶ στήωσιν ὃ καὶ βέλτιον.

Ϲτίβος, σημαίνει τὴν ὁδὸν, παρὰ τὸ στείβω τὸ περιπατῶ. ἐξ οὗ καὶ θεοστιβής. σημαίνει καὶ τὸ σωρηδὸν τίθημι. ἐξ οὗ καὶ στοιβή.

Ϲτιβάς, παρὰ τὸ στοιβάζω. ῥυθμῷ δὲ ἡ στοιβασία. τὸ ψεῦδος στιβάζουσιν, ἀντὶ τοῦ ῥαπτεύουσι. διαφέρουσι. καὶ στιβεύειν τὸ ἰχνεύειν.

Ϲτιβαρὸν, εἰς τὸ στείβω τὸ περιπατῶ. καὶ τί μετέχει, οἱονεὶ τὸ πεπιλημένον καὶ συνημμένον καὶ ἠσφαλισμένον. ἤγουν μὴ ἔχον ἔξοδον μηδὲ ὀπήν. ἢ ἀπὸ τοῦ ἵστημι στιβαρόν, τὸ ἰσχυρὸν ἀπὸ τοῦ στείβω. ὁ δεύτερος ἀόριστος, ἔστιβον, ὁ παθητικὸς, ἐστίβην, καὶ τὸ ἀπαρέμφατον, στιβῆναι. καὶ ἐπειδὴ κανών ἐστιν ὁ λέγων ὅτι τὰ εἰς ναι ἀπαρέμφατα, ἐξ ὧν ἀντιπαράκειται ὄνομα εἰς ρος. οἷον μιῆναι, μιαρός. οὕτω στιβῆναι, δωρικῇ τροπῇ στιβάναι. ἐξ οὗ τὸ στιβαρός.

Ϲτήριγμα, παρὰ τὸ στηρίζω. τοῦτο παρὰ τὸ ἵστημι στήσω. κατὰ παραγωγὴν στηρίζω.

Ϲτιγματίας, καλοῦσι τοὺς οἰκέτας τοὺς στιζομένους ὡς.

Ϲτιγμή, παρὰ τὸ στίζω στιγή. καὶ πλεονα- ἀχηνίμοις. σμῷ τοῦ μ. ὡς δὲ φοιτῶ φοιτίζω οὕτω στῶ στίζω, τὸ τὴν διακεχυμένην καὶ πεπλανημένην γραφὴν στῆσαι. ὁ δὲ Φιλόξενος στίζειν, τὸ τοὺς ἐν τῇ ἀναγνώσει φορᾶς στάσιν ποιεῖν. στίζω, στίξω, στιγμή.

Ϲτίλβω, τὸ λάμπω. παρὰ τὸ στέλλω στίλβω, ἐξ οὗ καὶ στιλπνός, ὡς τέρπω τερπνός. ἢ παρὰ τὸ σέλας καὶ τὸ βῶ τὸ βαίνω. ἢ παρὰ τὸ τῆλε. οἷον, τὸ πόρρωθεν λάμπον καὶ διι-

Ϲτιχάει, παρὰ τοῦ ἀπὸ τοῦ στείχω τὸ ἐν τάξει αὐγάζον. παραγίνομαι, τοῦ περισπωμένου δευτέρας συζυγίας, στιχῶ. ἐξ οὗ καὶ στὶξ ἡ τάξις τῶν τεταγμένων ἀνδρῶν. ἐκ τοῦ στείχω στείξω. ἢ ἀπὸ τοῦ στίζω στίξω, ἐστὶ χα. στιχῶ, καὶ στοῖχος καὶ στοιχεῖον.

Ϲτοά, ἀπὸ τοῦ στοιά. στοιαὶ δὲ αἱ καμάραι. ἢ τὸ λεγόμενον προς-

Ϲτολή, ἀπὸ τοῦ στέλλω. ἀποβολῇ τοῦ ἑνὸς λ. κλιτόν. κυρίως ἀπὸ στέλλειν ἐστὶ, τὸ διὰ νεὼς ἐκπέμπειν, ὅθεν καὶ στόλος, ὁ πολλῶν πλοίων ἀπόπλους. καταχρηστικῶς δὲ καὶ τὸ δι' ἑτέρου τινὸς ἐκπέμπειν ἐν αὐτῷ. ὅρος. παρὰ τὸ στέλλω οὖν τὸ πλέω, γίνεται στόλος.

Ϲτόμα. ἀπὸ τοῦ τέμνω, τέτομα, τόμα καὶ στόμα. ἢ παρὰ τὸ τὰ σιτία ἀμᾶν. στόμα δὲ λέγεται ἢ ἐπειδὴ δι' αὐτοῦ τέμνονται τὰ σιτία, ἢ ἐπειδὴ αὐτὸ μόνον τὸ μέρος τετμημένον ἐστί.

Ϲτόμαχος, σημαίνει τὸν φάρυγγα, δι' οὗ κατα- τῆς ὄψεως. πίνομεν τὴν ὑγρὰν καὶ ξηρὰν τροφήν. παρὰ τὸ στόμα καὶ τὸ χέω. δι' αὐτοῦ γὰρ ἡ τροφὴ πρὸς τὴν γαστέρα χεῖται. καὶ ἤτοι ὅτι τὰ ἀπὸ τοῦ στόματος εἰς αὐτὸν χεῖται. ἢ ὅτι στόμα ἐστὶ τῶν χεομένων. ἢ ἐκ τοῦ στόμα καὶ τοῦ μῆχος ὃ σημαίνει τὴν μηχανήν. ἢ ὅτι τὸ μάχος, ὁ τοῖς σιτίοις μαχόμενος. θλίβουσι γὰρ αὐτόν. ἢ ὁ θλίβων ἔμπαλιν ταῦτα.

Ϲτόνος, στεναγμός. λύπη. ἀπὸ τοῦ στένω. καὶ στενόεντα, τὰ τῶν πολλῶν στεναγμῶν αἴτια.

Ϲτόνυξ, καλεῖται τὸ εἰς ὀξὺ λῆγον. Πτερέως ὄνυχι, τρι-

Ϲτορέσας, καταστρώσας. οἶμαι ἀπὸ τοῦ ψεσφυρόν. στροφῶ. ὑπερθέσει καὶ ἀποβολῇ τοῦ φ, στορῶ. Ἐστόρεσε δὲ θεὸς μέγα πόντον. ἀπὸ τοῦ στορέω στορῶ στορέσω, τὸ γα-

Ϲτοχάζομαι, ἐκ τοῦ στείχω τὸ κατὰ τάξιν σκοπῶ καὶ λημιῶ. βλέπω καὶ βαδίζω. στοχάζεσθαι γὰρ λέγεται, τὸ πρὸς εὐθεῖαν ὁδὸν τὸν λογισμὸν ἀπευθύνειν.

Ϲτρατός, τὸ πλῆθος τῶν πολεμούντων. παρὰ τὸ στρέφω, στρέψω, ἔστραφα, ἔστραμμαι, ἔστραπται, στραπτός. καὶ κατ' ἀποβολὴν τοῦ π στρατὸς, ὁ εὐπερίστρεπτος. ἢ ὁ συνεστραμμένος καὶ συνδεδεμένος ὄχλος. ἀλλὰ μὴν οἱ Αἰολεῖς στροφὰς λέγουσι τὸ ῥῆμα. καὶ στρότον λέγουσι τὸ συνεστραμμένον πλῆθος. ἢ παρὰ τὸ στερρῶς ἵστασθαι, στρατός. ἢ παρὰ τὸ στερρῶς ἅπτεσθαι, ἤγουν ἐφάλλεσθαι.

Ὀρβικίου, τῶν περὶ τὸ στράτευμα τάξεων.

Ἰστέον δὲ ὅτι τῶν περὶ τὸ στράτευμα τάξεων καὶ ἡγεμονιῶν, ὁ μὲν πέντε ἀνδρῶν ἀριθμὸς, καλεῖται πεμπάς. ὁ δὲ ἄρχων, πεμπάδαρχος. ὁ δὲ τῶν δέκα, δεκὰς, καὶ δεκάδαρχος. ὁ δὲ τῶν πέντε καὶ εἴκοσι, λόχος, καὶ λοχαγός. ὁ τῶν πεντήκοντα, πεντηκοστὺς, καὶ πεντηκοντάρχος. ὁ τῶν ἑκατὸν, τάξις, καὶ ταξίαρχος. ὁ τῶν πεντήκοντα καὶ διακοσίων, σύνταγμα, καὶ συνταγματάρχης. ὁ τῶν πεντακοσίων, πεντακοσιοστὺς, καὶ πεντακοσίαρχος. ὁ τῶν χιλίων, χιλιοστὺς, καὶ χιλίαρχος. ὁ τῶν δισχιλίων, μεραρχία καὶ τέλος, καὶ μεράρχης καὶ τελάρχης. ὁ τῶν τετρακισχιλίων, φύλαξ, καὶ φαλαγγάρχης. ὁ τῶν μυρίων, μυριοστὺς, καὶ μυρίαρχος. αἱ δύο διφαλαγγαρχίαι. τετραφαλαγγαρχία, ἀνδρῶν μυρίων ἑξακισχιλίων. καὶ ὁ ἄρχων, τετραφαλαγγάρχης. τὸ μέντοι πεζικὸν ἅπαν, στράτευμα. ὁ μωνύμως τοῖς μερικοῖς τάγμασι, λέγεται φάλαγξ. καὶ ὁ ἡγούμενος, στρατηγός. τοῦ δὲ ἱππικοῦ, ἵππαρχος. τὸ δὲ συναμφότερον πεζοί τε καὶ ἱππεῖς, στρατιά. τῆς δὲ στρατιᾶς τὸ μέτωπον λεγόμενον, ὃ καὶ πρωτοζυγὸν καλοῦσι, πρωτοστάται. καὶ ὁ ἡγούμενος πρωτοστάτης. οἱ δὲ περὶ ἑκάτερα παρεπόμενοι κέρατα, δεξιοί τε καὶ εὐώνυμοι, οἱ αὐτοὶ καὶ παραστάται. ὁ δὲ ἄρχος ὁμωνύμως. οἱ δὲ ὄπισθεν αὐτῶν ὡς ἐπὶ τὸ βάθος παρεπόμενοι ἐπιστάται. τὸ δὲ ἐπὶ τοῦ τοῖς πρὸς τὸ βάθος ἔσχατον ζυγόν, οὐρὰ καὶ οὐραγία καὶ οὐραγός. ὁ αὐτὸς δὲ ὀπισθοφύλαξ. ἡ συνήθεια, πεντηκοντοφύλακα αὐτὸν καλεῖ. ὁ δὲ γε τοῦ πάντος στρατοῦ ἡγεμονεύων, βασιλεύς.

Ϲτρατεία, τὸ ἀξίωμα καὶ ἡ ἐκ στρατείας. στρατιὰ δὲ κοινῶς τὸ πλῆθος τῶν πολλῶν καὶ τῶν ἀγγέλων ὁμοίως.

Ϲτίφος, ὄχλος. ἄθροισμα. τὸ πλῆθος καὶ ἡ τάξις τῶν ἀνδρῶν. ἐκ τοῦ στὶξ στιχός, μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν καὶ βαρύνεται, καὶ τρέπεται τὸ χ εἰς φ, καὶ προπερισπᾶται.

Ϲτωϊκοί, οἱ φιλόσοφοι ἐκ τοῦ στοαί. ἐκεῖ γὰρ ἦν αὐτῶν τὸ διδασκαλεῖον. Ζήνων ὁ Κιτιεὺς διέτριβεν ἐν τῇ στοᾷ τῇ καλουμένῃ ποικίλῃ. ὅθεν λαβεῖν τὴν αἵρεσιν καὶ τοὔνομα συνέβη. κατ' ἐπέκτασιν τοῦ ο εἰς τὸ ω.

Ϲτωμύλος, λάλος. πολύκαμπτος. πιθανολόγος. εὐτράπελος. ἔφεδρος τῶν λόγων. ἀπατεών. κόλαξ. πέρπερος. καὶ στωμύλεσθαι, τὸ περιττῶς λέγειν. καὶ στωμύλματα, τὰ περιλαλήματα.

Ϲτρατόπεδον. Στρατόπεδον ἐποιήσατε, ἀντὶ σκηνάς. δύο γὰρ σημαίνει ἡ λέξις. καὶ τὸ στράτευμα λέγουσιν, ἀλλὰ καὶ αὐτὴν τὴν στρατευσιν. οὕτως Ἀριστοφάνης. Στράτιος Ζεὺς, ὁ Ζεύς. ἡ δευτέρα συλλαβὴ, βραχεῖα. καὶ στρατεῖον

Ϲτράτις, ὡς περ παρὰ τὸ Βάκχος τὸ μέγα καὶ σοβαρόν. γίνεται βάκχις, κρόνος κρόνις, δῆμος δῆμις καὶ δάμις, οὕτω στρατὸς στράτις, καὶ πλεονασμῷ τοῦ τ στράττις.

Ϲτραβός, παρὰ τὸ στρέφω, τροπῇ τοῦ ε εἰς α. οἷον, ὁ διεστραμμένος τοῖς ὀφθαλμοῖς.

Ϲτράγξ, παρὰ τὸ στάζω στάξω στάξ. καὶ πλεονασμῷ τοῦ γ καὶ τοῦ ρ, στράγξ. ἡ γὰρ ἐπισχεθεῖσα, ῥύσις δηλοῖ. καὶ Μένανδρος. Ὕδατος στράγγα ἔχων.

Ϲτραγγαλίδες, τὰ δύσλυτα ἅμματα.

Ϲτρεβλός, παρὰ τὸ ἐστραμμένα τὰ βλέμματα ἔχειν. στρεβλὸν γὰρ τὸν στραβὸν λέγομεν. παρὰ δὲ τὸ στρέφω στρέψω, γίνεται στρεβλὴ, ὡς στήσω, στήλη.

Ϲτρεύγεσθαι, Ἰλιάδος ο. οἷον στραγγίζεσθαι. τουτέστι κατὰ ὀλίγον κινεῖσθαι καὶ ἐκλείπειν.

Ϲτρευγομένη, στρεφομένη.

Ϲτρεψίμαλλος ἄνθρωπος, ταλαίπωρος. κακοπαθής.

Ϲτρέψον, προστακτικόν. ἐκ τοῦ στρέφω. ὁ μέλλων, στρέψω. ὁ παρακείμενος, ἔστραφα. ὁ παθητικός, ἔστραμμαι. καὶ ὤφειλεν εἶναι ἔστρεμμαι. ἀλλὰ τὰ εἰς ω λήγοντα ῥήματα τὸ ε καὶ ρ μετὰ ἐπιπλοκῆς συμφώνου τῆς πρώτης συζυγίας τῶν βαρυτόνων, τρέπει τὸ ε εἰς ἄλφα ἐν τῷ παθητικῷ παρακειμένῳ. ὁ πρῶτος ἀόριστος, ἐστρέ-

φθην. καὶ ὤφειλεν εἶναι ἐστράφθην. ἀλλ' ἀεὶ ὁ παθητικὸς ἀόριστος φυλάττει τὴν παραλήγουσαν τοῦ παθητικοῦ παρακειμένου, πλὴν τῶν παρὰ τὸ αἱρῶ περισπωμένων. συνῄρημαι, συνῃρέθην, καὶ τὰ ὅμοια. καὶ πλὴν τοῦ ἐπῄνημαι ἐπῃνέθην. καὶ τοῦ εὑρῶ εὕρημαι εὑρέθην. καὶ τοῦ ῥῶ ἔρρημαι ἐρρέθην. καὶ τοῦ μέμνημαι ἐμνήσθην, προσλαμβάνοντος τὸ σ. καὶ τοῦ σέσωσμαι ἐσώθην, ἀποβάλλοντος τὸ σ. τὸ δὲ ἐρρώσθην, οὐκ ἀπὸ τοῦ ῥῶ, ἀλλ' ἀπὸ τοῦ ῥώζω. καὶ χωρὶς τῶν ἐχόντων τὸ ρ καὶ ε μετ' ἐπιπλοκῆς συμφώνου τῆς πρώτης συζυγίας τῶν βαρυτόνων. ταῦτα γὰρ ἐν μὲν τῷ παθητικῷ παρακειμένῳ, τρέπει τὸ ε εἰς α. ἐν δὲ τῷ παθητικῷ ἀορίστῳ, πάλιν ἐπαναλαμβάνει αὐτό. οἷον, στρέφω ἔστραμμαι, ἐστρέφθην.

Στρηνιᾶν, παρὰ τὸ στερεῖν καὶ ἀποσπᾶν τὰς ἡνίας. ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζώων. τινὲς δὲ παρὰ τὸ στρῆνος τὸ σκληρόν. Στρῆνος δὲ περισυφελὴ γένεται κτῆ. ὅθεν γίνεται τὸ στρηνιᾶν.

Στρηνόν, οἱ μὲν τὸ ὀξὺ καὶ ἀναπεπταμένον. Μνήστρατος δὲ τὸ τραχὺ καὶ προσσαίνοντες τῇ ἀκοῇ φθέγμα.

Στριφνόν, σημαίνει τὸ σφιγκτὸν καὶ στερεόν. παρὰ τὸ στρύφνω στρυφνὸς καὶ στριφνός. ἐκ τοῦ στύφω, πλεονασμῷ τοῦ ρ. σημείωσαι δὲ ὅτι τὸ υ μακρὸν ἔχει τῶν ἄλλων τῶν εἰς νος μετ' ἐπιπλοκῆς συμφώνου συνεσταλμένον αὐτὸ ἐχόντων. οἷον, σκύμνος, κύκνος, καὶ τὰ ὅμοια.

Στρουθός, παρὰ τὸ μετὰ οἴστρου θέειν. ἢ παρὰ τὸ στερεῶς θέειν. στρουθοῦ καὶ στρουθίον. ὤφειλε βαρύνεσθαι. τὰ γὰρ εἰς θος δισύλλαβα μονογενῆ φύσει μακρᾷ παραληγόμενα, βαρύνεται. ξοῦθος κύριον. μῦθος. κῶθος. ζῆθος. ἀλλὰ τὰ παρὰ τὸ θέω συντιθέμενα, ἅπαντα ὀξύνεται. βοηθός. ἀγαθός. οὕτω καὶ στρουθός.

Στελγιδοποιός, ὁ χαλκεύων καὶ ποιῶν τὰς στελγίδας, αἵ εἰσι ξύστραι.

Στρόβιλος, παρὰ τὸ στρέφω στρόφιλος καὶ στρόβιλος. σημαίνει δὲ ἡ λέξις τοὺς κοχλίας, καὶ τοὺς θαλασσίους κήρυκας. καὶ εἶδος ὀρχήσεως καὶ ἀνέμων. καὶ τὸν τοῦ δένδρου καρπόν, ἤγουν τῆς πίτυος.

Συρός, ἀπὸ τοῦ στροβῶ. σημαίνει τὸ περιερχόμενος κύκλῳ.

Στρόμβος, ῥόμβος. ἀπὸ τοῦ περιστρέφεσθαι. καὶ στροβεῖ, ταράττει. κινεῖ.

Στροφαῖος, ὁ παρὰ ταῖς θύραις ἱδρυμένος Ἑρμῆς. παρὰ τὴν στροφέα τῆς θύρας.

Στροφάδες, νῆσοί εἰσιν ἐν τῷ Ἰωνίῳ πελάγει. Ἰώνιον δὲ πέλαγος, ὁ νῦν Ἀδρείας καλούμενος.

Στροφάλιγγι, τῇ συστροφῇ, Ἰλιάδος π. παρὰ τὸ στρέφω στρόφος στρόφιγξ. πλεονασμῷ τοῦ γ καὶ τῆς αλ συλλαβῆς προσιούσης, στροφάλιγξ. γίνεται γὰρ εἰς ιξ ὄνομα ἀπὸ τῶν εἰς ος, ὡς φοῖνος φοῖνιξ, λᾶος, λᾶιξ. καὶ ῥῆμα στροφαλίζω, ὡς κναχὴ κναχίζω, ὀργὴ ὀργίζω, οὕτω στρέφω στροφὴ στροφίζω, προσθέσει τῆς αλ.

Στρόφιον, τὸ στρογγύλον ζωνάριον. Ἀριστοφάνης. Τὸ στρόφιον ἤδη λύομαι.

Στρόφος, ὁ τῆς πήρας κρεμαστήρ. παρὰ τὸ ἐστράφθαι. καὶ πᾶν τὸ στρεφόμενον ὁμοίως.

Στρωμνή, παρὰ τὸ στρῶ στρώσω. ἢ παρὰ τὸ στορῶ στορέσω, ὅθεν ἡ Γαληνικὴ τὸ στορεμνή. καὶ συγκοπῇ, στρωμνή. ἀπὸ δὲ τοῦ στορῶ τὸ στρωννύω. καὶ στρωτὴρ λέγεται μὲν ἐν τῇ συνηθείᾳ τὸ πλέγμα τὸ ἀπὸ τῶν παπύρων εἰς σκηνὰς καὶ καλύβας πεποιημένον. οἱ δὲ ῥήτορες, στρωτῆρας καλοῦσι τὰ μικρὰ δοκίδια, τὰ ἐπάνω τῶν δοκῶν τιθέμενα. ἢ τὰ εἰς ὀροφὰς πεποιημένα. ἄλλοι δὲ πλέγμα λέγουσι τὸν στρωτῆρα ἀπὸ ῥάβδων εἰς ὀροφὸν πεποιημένον.

Στρωφᾶσθαι, Ἰλιάδος ι. ἀναστρέφεσθαι. διάγειν, ἀπὸ τοῦ στρέφω στρωφῶ.

Στυγνός. ὡς παρὰ τὸ ἔπαγον παγανός, ἔπιθον πιθανός, οὕτω καὶ παρὰ τὸ στύζω στύξω ἔστυγον, στυγανός. καὶ συγκοπῇ, στυγνός. οἱ δὲ παρὰ τὴν Στύγα φασὶν εἰρῆσθαι. οἱ γὰρ ἀρχαῖοι, τὰ μὲν ἀηδῆ καὶ λυπηρά, ἀπὸ τῶν ψυχρῶν ὠνόμασαν. τὰ δὲ ἡδέα καὶ τερπνά, ἀπὸ τῶν θερμῶν. τὸ οὖν στυγεῖν, ἀπὸ τῆς Στυγός. ἣ περιμυθεύεται ψυχρότατον ἔχειν ὕδωρ. ὁμοίως καὶ ὁ στυγνὸς παρ' αὐτὴν εἴρηται. ὡσαύτως καὶ τὸ φόβου κρυόεντος, ἀπὸ τοῦ κρύους τοῦ ψυχροῦ. ἀπὸ δὲ τῶν θερμῶν, τὸ τερπνὴν θαλπωρὴν ἔλεγον. καὶ τὸ τέρπεσθαι, ἰαίνεσθαι. οὕτω Φιλόξενος ἐν τῷ περὶ τῆς Ῥωμαίων διαλέκτου. καὶ κατέστυξαν, ἐφόβησαν, ἢ ἐφοβήθησαν. ἀπὸ τοῦ στύζω ἢ στύγω. καὶ τὸ στυγεομένη, ἀπὸ τοῦ στυγῶ στυγήσω, ἐξ οὗ καὶ στυγητὸς ὁ μισητός. καὶ στυγερὴ ἐκ τοῦ στυγῶ, ὅπερ ἐστὶ τὸ φοβοῦμαι καὶ τὸ μισῶ. τοῦτο ἐκ τῆς Στυγός. καὶ τι μετέχει. μυθεύονται οἱ ἀρχαῖοι ὅτι τὰ μὲν ἀηδῆ, ἐκ τῶν ψυχρῶν καθεστήκασι, τὰ δὲ ἡδέα ἐκ τῶν θερμῶν.

Στύξ. ἡ Στύξ, μία ἐστὶ τῶν Ὠκεανοῦ θυγατέρων, ἣν ὁ Ζεὺς φρικωδέστατον ὅρκον τῶν θεῶν ἐποίησε τιμήσας αὐτήν, ὡς φησὶν Ἡσίοδος ἐν Θεογονίᾳ. ἔστι δὲ κρήνη ἐν Ἅδου.

Στῦλος. ὡς ἀπὸ τοῦ ἄνω ἀνύω, οὕτω καὶ στῶ στύω στύσω, στῦλος. ὡς χῶ, χύω, χύσω, χυλός. τὰ γὰρ ῥηματικὰ ταῦτα ὀνόματα, διαφόρως τονίζεται.

Στυμφαλίδας ὄρνιθας, τὰς πλωάδας. ἐπεὶ Στύμφαλις, πόλις Ἀρκαδίας. πλησίον δὲ αὐτῆς, λίμνη ἔνθα διέζων αἱ ὄρνιθες. ἐξεδίωξε δὲ αὐτὰς ὁ Ἡρακλῆς πλαταγῇ, μὴ δυνάμενος αὐτὰς κατατοξεῦσαι διὰ τὸ πλῆθος.

Στύπος, Λυκόφρων. Πεύκης πρέμνον ἢ στύπος δρυός. καλεῖται τὸ πρέμνον τῆς ἀμπέλου, ἀφ' οὗ Ἀρχίλοχος, Ορέων ἀπεστύπαζον. πᾶν δὲ δένδρον σκληρὸν καὶ στερεόν, στύπος λέγεται. ἢ τὸ ταπεινὸν παρὰ τὸ στρέφεσθαι ἐν συμφύτοις τόποις. σημαίνει δὲ στέλεχος. κλῶνα. κλάδον. παρὰ τὸ τύπτω, τύπος, καὶ στύπος.

Στυππεῖον, τὸ τυπτόμενον λινάριον. κατὰ πλεονασμὸν τοῦ σ. τυπεῖον γάρ. καὶ αὐτὸ παρὰ τὸ τύπτω.

Στύππιον ἢ στιππύον, εἶδος λινοῦ.

Στύραξ, τὸ κάτω τοῦ δόρατος τραχήλιον. ὃ κατὰ πηγνύειν εἰς τὴν γῆν εἰώθασι. καὶ Θουκυδίδης, στυρακίῳ φησὶν αὐτῷ, ἀντὶ βαλάνου χρησάμενος εἰς τὸν μοχλόν. ὁ σαυρωτὴρ καλούμενος ἢ τοῦ δόρατος ἀρχή, ἐφ' ἧς στηρίζεται τὸ δόρυ.

Στυρακίζειν, κεντρίζειν. ἀπὸ τοῦ στύρακος.

Στυφελός. Ἡσίοδος ἐν Θεογονίᾳ. Στυφελοῦ διὰ χώρου. ἀντὶ σκληροῦ. τραχέος. καὶ στυφελίζειν, τὸ σκληρῶς διατίθεσθαι. ἀπὸ τοῦ στροφαλίζω. ἀποβολῇ τοῦ ρ καὶ τροπῇ. κυρίως δὲ ἀπὸ τῶν πέτρας στυφλοὺς ἅλλεσθαι. καὶ στυφελόν, τὸ σκληρόν. ἢ στυφελίζειν, κινῆσαι. σεῖσαι. ἀπὸ τοῦ τοῖς στύφεσιν ἐλαύνειν, ὅ ἐστι στελέχεσι.

Στύφλα νάσσονται κλίτη. λέγονται δὲ τὰ τραχέα κλίματα. Λυκόφρων.

Συβήνη, ἡ δερματίνη αὐλοθήκη, ἢ φαρέτρα.

Συβριάζειν, ἀπὸ τοῦ συβαρίζειν, ἐν ὑπερθέσει. Συβαρῖται γὰρ ἐπὶ τρυφῇ διαβέβληνται.

Συβόσια, τὰ τῶν συῶν νόμια.

Σύγε. ἔστι τοῦτο δεῖξαι ἀπὸ διαλέκτου, ὅτι ἓν μέρος λόγου ἐστίν. ἐπειδὴ οἱ Δωριεῖς τύγα λέγουσιν. εἰ δὲ ἦσαν δύο μέρη λόγου, οὐκ ἂν οὕτως ἔλεγον. ἐπὶ γὰρ συνδέσμου, οὐ τρέπουσι τὸ ε εἰς α. οὐ δεῖ γὰρ τὸ μὲν συνδέσμου ἢ τοῦ δὲ τὸ ε τρέπουσιν. ἔστι δὲ εἰπεῖν ὅτι κακῶς λέγουσι. καὶ γὰρ ἐπὶ συνδέσμου τρέπεται. οἷον, αἴκε, Αἴκα μὴ θαλφθῇ γοργίς. καὶ ἐπ' αὐτοῦ δὲ τοῦ γε τρέπεται. οἷον, Τοῦτό γα τὸ γ' ὄστρου τέμαχος. ἀλλὰ μᾶλλον κάλλιόν ἐστι δεῖξαι ἀπὸ τῆς Ἀτθίδος διαλέκτου ἓν μέρος λόγου. τὸ σύγε, ἐπέκτασιν ἔχει τὸ γε ὡς τὸ ἔγωγε. εἶχον γ' ἄλλο, ἐγὼ δέ. ἀλλ' ὡς ἀνωφελὲς τοῦτο κρίνας κατέλιπον. τὰ δὲ τῆς χρήσεως, ζήτει εἰς τὸ ἔγωγε, καὶ ὅγε.

Συγγραφεῖς. ἄνδρας ᾑροῦντο ἵνα συγγράψωσι τοὺς μεθέξοντας τῆς τῶν τετρακοσίων ἀρχῆς, καὶ τῆς τῶν τριάκοντα. ἐκαλοῦντο δὲ οἱ αὐτοὶ καὶ καταλογεῖς. εἰθισμένον ἦν παρ' Ἀθηναίοις ὁπότε δέοι πλῆθος τινὰ αἱρεῖσθαι, εἰς ῥητὴν ἡμέραν εἰσφέρειν γνώμας εἰς τὸν δῆμον, ὡς Ἰώσηπός φησι. τούτους δὲ καὶ πρὸ τῆς καταστάσεως τῶν νῦν ἔλεγον, καθὰ Θουκυδίδης ἐν τῇ ὀγδόῃ. Ἐν δὲ τούτῳ τῷ καιρῷ, οἱ περὶ τὸν Πείσανδρον ἐλθόντες εὐθὺ τῶν λοιπῶν εἴχοντο, καὶ ἑξῆς. ἦσαν δὲ οἱ μὲν πάντες συγγραφεῖς τριάκοντα οἱ τότε αἱρεθέντες ὥς φησιν Ἀνδροτίων καὶ Φιλόχορος. ὁ δὲ Θουκυδίδης, τῶν δέκα ἐμνημόνευσε μόνον τῶν προβούλων.

Συγκρητίσαι. συγκρητίσαι λέγουσιν οἱ Κρῆτες, ὅταν ἑνωθῶσιν αὐτοῖς ἐπίοιτο πόλεμος. ἐστασίαζον γὰρ ἀεί. δοὺξ δὲ πρῶτον ὑπὸ Ῥωμαίων δουλωθεὶς, κατὰ τὸν Μιθριδατικὸν πόλεμον, εἷλε δὲ τὴν νῆσον ὁ κληθεὶς Κρητικὸς διὰ τοῦτο.

Σύγκλητος. τῶν ἐκκλησιῶν αἱ μὲν ἔξωθεν κατὰ μῆνα ἔλεγον ἐγίνοντο. εἰ δέ τι ἐξαίφνης κατεπείξειεν ὥστε γενέσθαι ἐκκλησίαν, αὕτη ἐκαλεῖτο σύγκλητος ἐκκλησία. Δημοσθένης κατὰ Αἰσχίνου.

Συγκόψαι, ἀντὶ τοῦ πληγαῖς αἰκίσασθαι. οὕτως οἱ μετα-

Συγκομιδή, ὡς ἐπὶ καρπῶν. Θουκυδίδης … νεώτεροι. ἐν τρίτῃ. Καὶ ἐν συγκομιδῇ καρποῦ ἦσαν. καὶ Λυσίας ἐν τῷ πρὸς Ξενοκράτην. συγκομίσας δὲ δῶρα καὶ ἀπο-

Συζυγία, ἐκ τῆς σὺν προθέσεως καὶ τοῦ … δεῖ τὸν ἀγρόν. ζυγός. καλεῖται δὲ διὰ τὸ συνεζευγμένα ἔχειν ἑκάστην σύμφωνον ἀλλήλοις, δι' ὧν ἑκάστη παράγεται.

Συηνία, καυηνία. ἀμαθία. σκαιότης. παρὰ Φερεκράτει. καὶ συηνεῖν Πλάτων, τὸ ἀμαθῶς ἀναστρέφεσθαι, καὶ συώδες τι ποιεῖν.

Συκῆ, παρὰ τὸ σεύω τὸ ὁρμῶ. ὁρμητικὴ γάρ ἐστι. τὰ διὰ τοῦ αια προπαροξύτονα θηλυκὰ μὴ ἐπιδεχόμενα συναίρεσιν, διὰ διφθόγγου γράφεται. ἐλαία. ἀλκαία. συκομωραία. μὴ ἐπιδεχόμενα συναίρεσιν, διὰ τὸ συκέα συκῆ, ἀμυγδαλέα, ἀμυγδαλῆ. καὶ τὰ ἐπὶ δένδρων, διὰ τοῦ

Συκοφαντία, ἡ ψευδὴς κατηγορία. καὶ συκο- … φαντεῖν, τὸ ψευδῶς κατηγορεῖν. κεκλῆσθαι δὲ τοῦτο φασὶ παρὰ τοῖς Ἀθηναίοις, πρῶτον ἐκεῖσε εὑρεθέντος τοῦ φυτοῦ τῆς συκῆς τῆς ἡμέρου τροφῆς. Καλλίστων δὲ ὄντων τῶν Ἀθηναίων σύκων, καὶ διὰ τοῦτο κωλυόντων ἐξάγειν αὐτά, ἔκλεπτον αὐτά τινες, καὶ ἐξῆγον ἔξω. τοὺς δὲ μηνύοντας καὶ φαίνοντας τοὺς ἐξάγοντας, ἀπεδέχοντο μέν, ἐξ ὧν δὲ ἔπραττον, συκοφάντας ὠνόμασαν. συνέβη δὲ καὶ τοὺς ὁπωσοῦν κατηγοροῦντάς τινος φιλαπεχθημόνως, οὕτω προσαγορεύεσθαι. λαμβάνεται δὲ καὶ ἄλλως τὸ συκοφαντεῖν παρὰ Πλάτωνι καὶ Μενάνδρῳ. οἷον, κνίζειν ἐρωτικῶς. καὶ Πλούταρχος ἐν Σόλωνι. Οὐκ ἂν οὖν τις ἡγήσαιτο παντελῶς ἀπιθάνως τοὺς λέγοντας ὅτι καὶ σύκων ἐξαγωγὴ τὸ παλαιὸν ἀπείρητο. καὶ τὸ φαίνειν ἐνδεικνύμενον τοὺς ἐξάγοντας κλη-

Συκοφάνται, οἱ ἐπηρεάζοντες. … θῆναι συκοφάντας. φαίνειν γὰρ τὸ ἐγκαλεῖν. καὶ συκαστάς, τοὺς φιλεγκλήμονας ἔλεγον. καὶ συκοβίους. καὶ συκώρους. καὶ συκώδεις. καὶ συκολόγους, καὶ φιλοσύκους.

Συλῶ, τὸ ἀφαιρῶ καὶ αἰχμαλωτίζω.

Σῦλαι. αἱ συλήψεις παρὰ Δημοσθένει ἐν τῷ περὶ στεφάνου. ἐν δὲ τοῖς ἑξῆς, ὥσπερ ἐπεξηγούμενος αὐτό φησι. Σεσυλήμεθα δὲ τὰ ἡμέτερα αὐτῶν ὑπὸ Φασηλιτῶν δεδομένων συλῶν. ἐπειδὰν γὰρ μὴ θέλωσιν ἀποδοῦναι ἃ ἔλαβον τινές, ἄν τις ἔχοι ἄλλο ὄνομα θέσθαι τῷ τοιούτῳ, ἢ ὅτι ἀναιρουμένῳ τὰ ἀλλότρια.

Σύμβαμα, ἀπὸ τοῦ βίβημι τὸ πορεύομαι.

Συλλήβδην, ὁμοῦ. συλλαβὼν ἀθρόως. ἀπὸ τοῦ λήβω λήψω, λήψομαι, λήβδην καὶ συλλήβδην.

Σύμβολα, σημεῖα. τεράσματα. μαντεύματα. οἰωνίσματα. οἷον, σημεῖον τοῦ φθαρτοῦ γένους τῶν ἀνθρώπων πρὸ θανάτου, οἱ δερμάτινοι χιτῶνες. εἴρηται δὲ σύμβολον,

ἐκ τοῦ συμβάλλειν καὶ ἐξ ὑπαντήσεως πρὸς ὀπτικὴν μόνον, ὡς τὰς συμβολικάς τις εἴποι.

Σύμβολα, τὰς συνθήκας ἃς ἀλλήλαις αἱ πόλεις θέμεναι τάττωσι τοῖς πολίταις, ὥστε διδόναι καὶ λαμβάνειν τὰ δίκαια πολλάκις. Δημοσθένης ἐν ἑβδόμῳ Φιλιππικῶν. Σύμβολον δὲ ἐλάμβανον οἱ δικασταὶ τὸ δικαστήριον εἰσιόντες, εἶτα τοῦτο διδόντες, τὸ δικαστικὸν ἐκομίζοντο.

Συμμορία, ἀπὸ τοῦ μέρους ἤγουν οἱ τῆς αὐτῆς μερίδος. σύνταγμα ἢ φατρία. Δημοσθένης κατ' Ἀφόβου. οὐδὲ γὰρ δεῖ θαυμάζειν πῶς ὁ μὲν Δημοσθένης φησὶν ἑξήκοντα ἄνδρας ἔχειν τὴν συμμορίαν. ὁ δὲ Ὑπερίδης, δεκαπέντε. ἐν γὰρ τῷ κατὰ Πασικλέους λέγων τὴν αἰτίαν γράφει. Ἕως μὲν οἱ πλούσιοι προκρουόμενοι τὴν πόλιν σῶοι καὶ ἐξ τριηραρχοῦντες, μετρία ἀνήλισκον, ἡσυχίαν ἦγον οὗτοι. ἐπειδὴ δὲ ταῦτα κατεῖδε Δημοσθένης, νόμοις ἔθηκε τριακοσίοις τριηραρχεῖν, καὶ βαρεῖαι γεγόνασιν αἱ τριηραρχίαι. ὅτι δὲ καὶ οἱ δημοποιητοὶ ἐνεγράφοντο εἰς τὰς συμμορίας, δεδήλωκεν Ὑπερίδης ἐν τῷ κατὰ Πολυεύκτου. συμμορῖται δὲ εἰσὶν οἱ τῆς αὐτῆς μετέχοντες συμμορίας. διηρέθησαν δὲ πρῶτον Ἀθηναῖοι κατὰ συμμορίας, ἐπὶ Ναυσινίκου ἄρχοντος, ὥς Φιλόχορος.

Συμφορά, παρὰ τὸ φορά. φορὰν δὲ ἔλεγον οἱ Ἕλληνες τὴν τύχην. συμφορὰ δέ ἐστιν ἡ ἀπό τινος τύχης συμβεβηκυῖα.

Συνάορος, ἡ τὴν γαμετήν, παρὰ τὸ συναρηρέναι. ἢ σύνοαρος τίς ἐστι καὶ συνόμιλος, μεταθέσει τοῦ α.

Σύνδικοι. Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου. σύνδικοι ἦσαν πρὸς οὓς τὰ δημευόμενα ἀπέφερον. καὶ Λυκοῦργος φησὶ περὶ τούτων. μή ποτ' οὖν ἀρχή τις ἦν καθεσταμένη μετὰ τὴν ἐκ Πειραιῶς κάθοδον οἱ σύνδικοι.

Συνδυάσω, συζευχθῶ. κοινωνήσω. συμπράξω. λέγεται δὲ καὶ παρὰ τὸ δύω τὸ ὑπέρχομαι δυάζω.

Συνεοχμῷ, ἐν τῇ συναφῇ τοῦ ἰνίου. ἐν τῷ συνδέσμῳ. καθὸ συνδεῖται ὁ τράχηλος τῇ κεφαλῇ. ἔχω ἐχμός, ὡς ἔλδω ἔελδωρ. εἶτα ἑοχμός, ὡς πλεγμός πλογμός.

Συνέρα, εἰς τὸ συνείρω.

Συνηβολία, ὑπάντησις συντυχία. Ὅμηρος. Ἀριστῆες δὲ συνηβολίῃ κεχάροντο.

Σύνες, ἐκ τοῦ συνίημι τὸ συνιῶ καὶ γινώσκω. ὁ παρατατικός, συνίην. καὶ τὸ προστακτικόν, ἧς, καὶ σύνες. τὸ δὲ συνιῶ, ἔστι καὶ παραγωγὴν ἐκ τοῦ συνῶ, ἢ ἐκ τοῦ συνίω.

Σύνθεο καὶ σύνθεο. ἀμφότερα κατὰ πλεονασμόν, ἀπὸ τοῦ

Σύνθημα, συνθήκη. σύστημον. λόγος σύνεο σύνθεο. ἐν πολέμῳ ἀπὸ γνωρισμῶν τῶν οἰκείων εἰδόμενος.

Συνήγορος, προστάτης ὑπὲρ τῶν λόγων. ἔοικε δὲ παρ' Ἀθηναίοις τινὰς χειροτονεῖσθαι συνηγόρους, ἀπὸ τοῦ ἀγορεύειν.

Συνήμονας, ἤτοι παρὰ τὸ ἧσθαι, εἶν, ὡς ἂν Σαπφὼ φησί. ἢ συνέδρους, ἢ παρὰ τὸ ἕστιν ἢ συναγωνιστάς, ὃ καὶ βέλτιον. συνήθεις. καὶ ἑταίρους. ὁμοήθεις.

Συνημοσύνας, Ἰλιάδος χ. συνθήκας. παρὰ τὴν ἡ συνημένον-

τα. τὸ εἰς αὐτὸ ἀφικνεῖσθαι τὰ τῆς διανοίας.

Συνίζησις, ὅτι συνίζησις τὸ ἐν φωνῆεν καὶ συναιρεῖται καὶ καθέζεται κρυπτόμενον ὑπὸ τοῦ ἐπιφερομένου φωνήεντος.

Συνίστωρ, εἰς τὸ ἵστωρ.

Συνοίμιον ὕμνον ἀείδειν. Ἀπολλώνιος. σύμφωνον καὶ συ-

Συνοχωκότε, συμπεπτωκότε, νωδόν. οἱ μὲν τὸ ἠῶδη. συνηγμένω. Ἰλιάδος β. ἐστὶ δὲ μετοχὴ πρώτης συζυγίας τῶν περισπωμένων. ἐκ τοῦ συνέχω, σύνοχος. ἐξ οὗ ῥῆμα συνοχῶ. συνοχώσω. ὁ παρακείμενος, συνώχηκα. διὰ τοῦ ω, μέγα. τὸ δὲ ο εἰς ω, καὶ τὸ η, τὸ μακρὸν εἰς μακρόν, ἔστι συνώχωκα. ἡ μετοχή, συνωχωκώς, συνωχωκότος. καὶ συστολῇ τῆς ἰωνικῆς ἢ ποιητικῆς, γίνεται ἡ εὐθεῖα τῶν δυϊκῶν, συνοχωκότε.

Συνώμεθα. Ἀλλ' ἕπευ ὄφρ' ἐπὶ νηυσὶ συνώ νότε. μεθα, ἀντὶ τοῦ συνθήκας ποιησώμεθα.

Σύνταξις, δευτέρων πραγμάτων ἕνωσις. καὶ τὸ λαμβάνειν καὶ ποιεῖν τὰ δέοντα. ἢ ἀντὶ τοῦ συντεταγμέ

Συνοίκησις. Δημοσθένης Φιλιππικῶν. Καὶ μίαν σύνταξιν εἶναι τὴν αὐτὴν τό τε λαμβάνειν καὶ ποιεῖν τὰ δέοντα. ἔλεγον ἑκάστους φόρους σύνταξιν, ἐπειδὴ χαλεπῶς ἔφερον οἱ Ἕλληνες τὸ τῶν φόρων ὄνομα, Καλλιστράτου τὸ καλέσαντος. καὶ ὑπὲρ συντάξεως ἐν τῷ περὶ ὀνόματος δηλοῦται.

Συντελής, χρήσιμος. ἢ ὅτε οἱ τριηραρχοῦντες νεὼς μιᾶς ἅμα ἐπεμελοῦντο, συντελεῖς ἐλέγοντο. ἢ οἱ συνδαπανῶντες καὶ συνεισφέροντες. τὸ δὲ πρᾶγμα, συντέλεια.

Συντιμηθῆναι, οὕτω καλεῖται τὸ πολ καλεῖται. λῆς τιμῆς γενέσθαι τὰ ὤνια.

Συνοχάσαι, καταντῆσαι. πληρωθῆναι. ἀπὸ μεταφορᾶς

Συρβηνός, ὁ ταραχώδης ἀπὸ τῶν αὐλῶν τοῦ τῶν χορῶν. μετὰ θορύβου. ἢ ᾠδῆς, διὰ τὸ τὰς αὐλοθήκας καὶ φαρέτρας κενάς. καὶ συρβηνέων χορός, ὁ τεταραγμένος καὶ συνῳδῆς. ἀπὸ τοῦ τρισκύσιν ἐπιφωνουμένου.

Συρβάβυττα, τὸν τάραχον καὶ σύρβη, ὡς Ἀριστοφάνης ὁ

Σύργαστρος, ὑοφορβὸς ἐργάτης. γραμματικός.

Συρακοῦς. Καὶ τὰς κλεινὰς Συρακοῦς. ἀποβολῇ ἐκ τοῦ συ-

Σύριγξ, ὁ ἦχος τὸ ὀπὴν τῶν μουσικῶν αὐλῶν, ῥανούσας. καὶ τὸ πάθος, καὶ τὴν διαρρηθεῖσαν. ἔστι δὲ κατὰ μίμησιν τοῦ γενομένου ἤχου. οὕτως Ἡρωδιανός.

Συρμαία, τὸ καθαρτικὸν δι' ἐμέτων καὶ κοιλίας. καὶ συρμαΐζειν, τὸ κενοῦσθαι. καὶ συρμαιαβλέπων, ἀντὶ τοῦ

Συρφετός, ἀγυρτώδης ὄχλος ἢ λόγος, ναυτιῶν. ἢ ἡ ὑπ' ἀνέμου συλλεγομένη κόπρος καὶ φρυγανώδης. γίνεται δὲ ὡς παρὰ τὸ ἀνύω ἀνυτός, οὕτω σύρω συρετός. καὶ πλεονασμῷ τοῦ φ. Ἡσίοδος δέ φησι σημαίνειν τὸ ἄχυρον. ὥστε, Χόρτον δ' ἐς κομίσαι καὶ συρφετόν.

Σῦς, δύναται εἶναι παρὰ τὸ σύω τὸ ὁρμῶ. ὁρμητικὸν γὰρ τὸ ζῷον. καὶ ἀποβολῇ τοῦ ς, ὗς. ὁ δὲ τρυχηρόν. ἢ παρὰ τὸ ὕω ὕσω ὗς, ἀπὸ τοῦ ὕεσθαι ὅ ἐστι βρέχεσθαι. καὶ γὰρ αὐτοῖς ὕδασι τέρπεται. καὶ πλεονασμῷ τοῦ ς, σῦς. τὰ δὲ εἰς υς περισπώμενα κατὰ τὴν γενικὴν συστέλλει τὸ υ. σῦς συός. καὶ ὗς ὑός.

Σύοις, τοῖς Ἱπποκράτους υἱοῖς ἔλεγον καὶ τοῖς Πολυμαιδίου καὶ Μέμνονος, εἰς ὑηνίαν κωμῳδοῦντες.

Συσίτιον, εὐωχία. ἄριστον. καὶ συσιτία, τὰ δεῖπνα ἃ κοινῇ ποιοῦσι Λακεδαιμόνιοι. καλεῖται δὲ καὶ φιλίτια.

Συστῆσαι. ἡ σὺν πρόθε- ἐπεὶ καὶ φιλίας ἐστὶ συναγωγά. σις ἐπιφερομένου τοῦ ς ἑτέρου συμφώνου, ἀποβάλλει τὸ ν. ὡς τὸ συστρατιώτης. εἴρηται ἀπὸ μεταφορᾶς τῶν ἵππων καὶ τῶν ἡμιόνων. ἐπεὶ μετὰ τῶν συνήθων ἵστανται καὶ εὐσταθοῦσιν ἐν ταῖς φάτναις.

Σύφαρ, οὐχ ἁπλῶς τὸ γῆρας, ἀλλ' ὡς αὐτὸ γέννημα γήρως, καὶ τῆς ἐσχάτης ἡλικίας τὸ κατεξηρασμένον. τουτέστι τὸ δέρμα. καὶ Σώφρων ἐν τοῖς ἀνδρείοις δεδήλωκε μίμοις εἰπών. Τί μὰν ξύσιλος, τὸ δὲ σύφαρ ἀντ' ἀνδρός. ἐν τούτοις γὰρ τὸν ἀνακρινόμενον γέροντα, ξύσιλον παίζων εἴρηκεν, ἀπὸ τοῦ κνᾶσθαι καὶ ξύειν τὸ δέρμα. κατ' ἐπεὶ δὴ ἀποκρινόμενον σύφαρ ἀντ' ἀνδρός, τουτέστι δέρμα ψιλὸν ὡς τῶν ἄλλων ἤδη δεδαπανημένων. τινὲς δὲ καὶ τὸ τοῦ ὄφεως γῆρας, σύφαρ λέγουσι, τὸ ἀποσυρόμενον. Λυκόφρων δέ, τὸ λίαν γεγηρακός.

Σφαδάζειν, Ἀττικοὶ μὲν ἀντὶ τοῦ χαλεπῶς φέρειν καὶ σχετλιάζειν λέγουσι. Ξενοφῶν ἀντὶ τοῦ ἀλγεῖν. ἔνιοι δὲ τὸ σπαίρειν ἐκδέχονται. οἱ δὲ τὸ χαλεπῶς φέροντα πηδᾶν. οἱ δὲ ἁπλῶς τὸ διαφορεῖν, ἢ πᾶν τὸ μετὰ βίας. ἐν δὲ τῷ ῥητορικῷ λεξικῷ, εὗρον τὸ σφαδάζειν σημαίνειν τὸ δυσθανατεῖν. ματαίως σπᾶσθαι. χαλεπαίνειν. μετ' ὀργῆς στενάζειν. ὡς Εὐριπίδης καὶ Πλάτων, Διὰ παντὸς βίου σφαδᾷ. Γίνεται παρὰ τὸ σπεύδω, σπευδάζω. ἀποβολῇ τοῦ υ καὶ τροπῇ τοῦ π εἰς φ καὶ τοῦ ε εἰς α, σφαδάζω. Ἰστέον ὅτι τὸ σφαδάζειν καὶ ματάζειν καὶ βοράζειν καὶ τεράζειν, ἔχει τὸ ι προσγεγραμμένον. πρῶτον μὲν ἀπὸ τοῦ ματαΐζειν καὶ σφαδαΐζειν καὶ τῶν ὁμοίων τοῦ α καὶ τοῦ ι συναιρουμένου. δεύτερον δὲ ὡς φησιν ὁ Τεχνικός, τὰ εἰς ζω λήγοντα ῥήματα κοινολεκτούμενα, οὐδέποτε ἔχει τὸ α ἐν τῇ παραληγούσῃ μακρὸν φύσει. σεσημείωται τὸ κράζω. οἷον, γενιάζω. ἑτοιμάζω. ἁρπάζω. ἰδοὺ γὰρ ταῦτα μὴ ἔχοντα τὸ ι, οὐκ ἔχει τὸ α φύσει μακρὸν ὡς δῆλον εἰς τὸν γενιάσω, ἑτοιμάσω, ἁρπάσω, μέλλοντα. ἐνταῦθα γὰρ βραχὺ τὸ α. εἰ δ' ἄρα οὖν τὸ σφαδάζω καὶ ματάζω καὶ κεράζω φύσει μακρὸν ἔχει τὸ α, ὡς δῆλον ἐκ τῆς λοιπῆς κλίσεως τῆς μὴ ἐχούσης τὸ ζ, δῆλον ὅτι ἔχει ἐγκείμενον τὸ ι. πρόσκειται κοινολεκτούμενα, ἐπειδὴ τὸ πλήσσω πλάζω λέγουσιν οἱ Αἰολεῖς. καὶ ἔστι τὸ α φύσει μακρόν, καὶ οὐκ ἔγκειται τὸ ι.

Σφαδάζοντες, σπώμενοι ἢ δυσφοροῦντες.

Σφάζω, παρὰ τὸ φῶ ὅ ἐστι τὸ ἀναιρῶ καὶ τὸ φονεύω. παραγωγὸν φάζω, ὡς βῶ βάζω. πλεονασμῷ τοῦ ς, σφάζω. ὁ μέλλων, σφάξω. καὶ σφαγάς, τὰς κατακλεῖδας.

Σφαγεῖον, τὸ ἀγγεῖον εἰς ὃ τὸ αἷμα τῶν σφαζομένων ἱερείων δέχονται.

Σφακελίζοντες, διασπῶντες. πηδῶντες. ὑποτρέμοντες. σφαδάζειν γάρ ἐστι τὸ σπᾶσθαι. καὶ τὸ σφακελίζειν δὲ ἐντεῦθεν, τὸ ἀλγεῖν μετὰ σπασμοῦ. καὶ σφακελισμός, παραπληξία, ἢ σῆψις τῶν μυελῶν. γίνεται δὲ ἐκ τοῦ σφακελισμοῦ καὶ σπασμός. λέγεται δὲ σφάκελος, καὶ ὁ μέσος τῆς χειρὸς δάκτυλος. λέγεται δὲ καὶ ὁ σφυγμὸς καὶ ὁ παλμός. σφάκελον δὲ ἔνιοι τὴν σῆψιν λέγουσι τῶν ὀστέων. καὶ σφακελίσαι, κατασαπῆναι.

Σφάραγον, ὁ ἀπ' αὐτῶν τὴν φάρυγα. ἀπονεκρωθῆναι. ἀπὸ τοῦ περὶ αὐτὸν γινομένου ψόφου.

Σφαραγεῦντο, ἦχον προΐεντο. ὀνοματοπεποίηται ἡ λέξις ἔνθα καὶ ὁ βρόχος ὃν τὴν φωνὴν ἀφιέμεθα, ἀσφάραγος καλεῖται. καὶ σφαραγίζω τὸ ἠχῶ. ὡσαύτως δὲ ὀνο-

Σφαῖρα, παρὰ τὸ σπαίρειν καὶ κι- ματοπεποίηται. νήσει εἶναι, μεταθέσει τοῦ π εἰς φ, ἢ τοῦ κ. τὸ γὰρ σπαίρειν, σκαίρειν ἐστί. καὶ τὸ πῶς, κῶς εἴρηται. ὦρος.

Σφαιρωτήρ, σανδαλίου ζινίχιον. οἷον τὸ λωρίον τοῦ ὑποδήματος. ἐν τῷ ῥητορικῷ οὕτω.

Σφέας. τὸ σφέας, κατὰ πλεονασμόν ἐστι τοῦ ε. ἢ τὸ σφᾶς κατὰ συναίρεσιν. καὶ λέγεται ὅτι τὸ σφέας κατὰ πλεονασμὸν γίνεται τοῦ ε, διὰ τὸν κανόνα τὸν λέγοντα καθόλου ἐν πληθυντικῷ ἀριθμῷ ἡ τοῦ τρίτου προσώπου ἀντωνυμία ἀρχομένη ἀπὸ τοῦ σφ, ἐνδεῖ συλλαβῇ κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον τοῦ πρώτου τε καὶ δευτέρου προσώπου. οἷον ἡμεῖς ὑμεῖς σφεῖς. ἡμῶν ὑμῶν σφῶν. ὑμῖν ἡμῖν σφίν. οὕτω καὶ ἡμᾶς ὑμᾶς σφᾶς. ὥστε τὸ σφέας κατὰ πλεονασμόν ἐστι τοῦ ε. ἀπὸ τοῦ σφᾶς.

Σφεδανόν. Ἕπεσθαι σφεδανὸν Δαναοῖσι κελεύων. ἑκατέροις δύναται προσδίδοσθαι. σημαίνει δὲ ἡ λέξις σφενδονηδόν. ἀπὸ τῆς σφενδόνης. οἷον ἐπικεκινημένον καὶ ἐπεστραμμένον, ἢ σύντονον. ἀφ' οὗ καὶ σφὴν καὶ σφίγγω. οἱ δέ, σφεδανὸν λέγουσι σπευστικῶς. παρὰ τὸ σπεύδειν σπεδανὸς καὶ σφεδανός, Ἰλιάδος λ.

Σφετεριζόμενος, ἰδιοποιούμενος, ἀπὸ τοῦ σφέτερος.

Σφέλας, τὸ ὑποπόδιον. παρὰ τὸ φλᾶσθαι εἰς αὐτὸ τὰ γόνατα. ὅ ἐστι θλᾶσθαι καὶ κάμπτεσθαι ἐν τῷ καθῆσθαι.

Σφενδόνη, τοῦ δακτυλίου ἡ περιφέρεια καὶ ἡ εἰς λίθων βολὰς καὶ πέμψεις ἐπιτηδεία. γίνεται παρὰ τὸ σπένδω τὸ ἀναιρῶ. Ἐγὼ γὰρ ἤδη σπένδομαι. σπενδόνη καὶ σφενδόνη. ἢ παρὰ τὸ σφάζω. ἢ παρὰ τὸ σπένδω.

Σφῆκες, καὶ τὰ μικρὰ καὶ εἰς ὀξὺ συνηγμένα ξύλα.

Σφίγξ, παρὰ τὸ σφίγγω, διὰ τὸ ἐσφιγμένα καὶ ἀνόητα.

Σφηκώδεις, οἱ κατίσχνοι τοῖς σώμασι. λέγειν ῥήματα. καὶ γὰρ οἱ σφῆκες τὴν κοιλίαν ἐπισυνηγμένην ἔχουσι.

Σφηκῶσαι, τὸ δῆσαι. οὕτω Φρύνιχος. ὅθεν καὶ σφηκούμενος, στρεβλούμενος. βασανιζόμενος.

Σφήττιοι, δῆμος φυλῆς Ἀκαμαντίδος. λέγονται δὲ καὶ σφηττοί. κωμῳδοῦνται δὲ ὡς ὀξεῖς, ὡς παρ' Ἀχαρνεῖς ἄγριοι. Ποτάμιοι δέ, ὡς ῥᾳδίως δεχόμενοι τοὺς ἐγγράφους νόμους.

Σφόνδυλος, παρὰ τὸ ἐσφίγχθαι πρὸς ἀλλήλους. Μυελὸς αὐτὲ σφονδυλίων ἐκ παλθος. Σφόδρα, ἐπίρρημα ἐπιτάσεως. ἐκ τοῦ σπῶ τὸ κατὰ σπῶ, σπόδρα καὶ σφόδρα.

Σφριγῶν, ἀκμάζων. σφύζων. βράζων. εὐσωματῶν. ἀκμάζων. ἀνθῶν. καὶ σφριγῶσιν, ἀκμάζουσι. καὶ ὥσπερ διεσφηνωμένοι εἰσὶν ὑπὸ πυκνότητος καὶ ἀκμῆς. παρὰ Ἱπποκράτει. καὶ σφριγανὸν, τὸ ἀκμάζον λέγεται. δηλοῖ δὲ καὶ τὸ περιτέτανται. ἢ περιτείνονται. καὶ μάλιστα ἐπὶ θηλῆς, καὶ οἷον εὐσωματούσης. ἔνιοι σφύζουσιν, ὑγιεῖς τυγχάνουσι.

Σφῶε, ἀντωνυμία τρίτου προσώπου, αἰτιατικῆς πτώσεως. καὶ διὰ τί οὐκ ἔστιν ὀρθῆς καὶ αἰτιατικῆς. διότι ἡ ὀρθὴ πτῶσις οὐδέποτε ἀναδίδωσι τὸν τόνον. οἷον νῶι. σφῶι. τοῦτο δὲ καὶ ὀξύνεται καὶ ἐγκλίνεται, καὶ ἀναδίδωσι τὸν τόνον. διὸ ἀπέλειψεν ἡ εὐθεῖα. ἔστι μόνης αἰτιατικῆς. τὸ γὰρ πρῶτον πρόσωπον τῶν δυϊκῶν, εὐθείας καὶ αἰτιατικῆς πτώσεως ἐστίν. οἷον, νῶ. τὸ δεύτερον πρόσωπον, ὀρθῆς πτώσεως. οἷον, σφῶι. τὸ τρίτον αἰτιατικῆς πτώσεως καὶ μόνον. οἷον σφῶε. τὸ δὲ σπόγγος, διὰ τοῦ π λέγεται, οὐ διὰ τοῦ φ. πᾶσα γὰρ λέξις δισύλλαβος ἀπὸ τοῦ σ ἀρχομένη ᾧ ὑποτέτακται σύμφωνον, τὸ ο παραληγομένη, οὐδὲν τῶν δασέων ἀντιστοίχων ἔχει δευτερεῦον. ἀλλ' ἐν ψιλῶν. οἷον, σπόρος.

Σφυρὸν, τὸ περὶ τὸν ἀστράγαλον, ἤγουν σκόρος. στόνος. τὰ ἀπολήγοντα μέρη πρὸς τῷ ἀστραγάλῳ. παρὰ τὸ συνεσφίγχθαι τὰ ἄρθρα τῇ συνθέσει καὶ τοῖς νεύροις.

Σφύριον, καὶ ἐπισφύριον, κτητικόν. καὶ ἔστιν ἐκ τοῦ σφυροῦ. τὰ δὲ γινόμενα διὰ τοῦ ι ὑποκοριστικά, εἰ μὲν ὦσι δακτυλικὰ, προπαροξύνεται καὶ διὰ τοῦ ι γράφεται. τὸν τόνον. εἰ δὲ τρίβραχεα προπαροξύνεται, καὶ διὰ τοῦ ι γράφεται.

Σχαδόνες, τὰ τῶν κηφήνων κηρία. ἔστι ζῶον ἄπτερον. ἀπὸ τοῦ. καὶ σχαδίσαι, τὸ θηλάσαι. καὶ ἀνίσχαδον, τὸ ἄγριον.

Σχεδὸν, σημαίνει ἐγγύς. πλησίον. πέλας. ἢ καὶ ἀθήλαστον. ἐκχειρός. ἔστι παρὰ τὸ σχέθω τὸ κωλύω, σχεθὸν καὶ σχεδόν. ἐτυμολογεῖται δὲ παρὰ τὸ σχέσιν ἔχειν ἄλλον πρὸς ἄλλον.

Σχεδίην, σημαίνει τὸ ἐκ τοῦ συνεγγύς. ὡς τὸ, Τύψον δὲ σχεδίην. κυρίως δὲ σχεδίη ἐστὶν, ἡ πρὸς τάχος γινομένη.

Σχέθε, ἀπὸ τοῦ σχῶ ἔστι σχέθω, ὡς φλέγω φλεγέθω. ὁ παρατατικὸς, ἔσχεθον. ἔσχεθες. ἔσχεθε. καὶ κλίνεται ἄχρι τοῦ παρατατικοῦ κατὰ πᾶσαν ἔγκλισιν.

Σχὲς, καὶ πρόσχες, ῥῆμα προστακτικὸν κατάληξεως τῶν εἰς μι. τὸ ῥῆμα, ἴσχημι. ἔστι ἐκ τοῦ σχῶ. ὁ μέλλων, σχήσω. ὁ δεύτερος ἀόριστος, ἔσχην. ἡ μετοχὴ, σχεὶς σχέντος. ἔστι τὸ προστακτικὸν, σχές. ὁμοίως τὸ σύνες. ὁ δὲ Ἀπολλώνιος ἀπὸ τοῦ σχῶ κανονίζει, μόνον αὐτὸ σημειούμενος. ὥσπερ τὸ σπές, ἀπὸ τοῦ σπῶ, ἔστι τὸ φρὲς ἀπὸ τοῦ φρῶ, οὕτω καὶ τοῦτο ἀπὸ τοῦ σχῶ. ἀλλὰ κακῶς. οὐχ εὑρίσκεται ὁ τεχνικὸς σημειούμενος αὐτὸ ἰδίαν εἰς ω εἰς ες προστακτικόν. Χοιροβοσκός. εἰς τὸ εἰς ψαλμόν. Σύνες τῆς κραυγῆς μου, πρόσχες τῇ φωνῇ. ἀπὸ τοῦ σχῶ, ὁ μέλλων σχήσω. ὁ δεύτερος ἀόριστος ἔσχον, καὶ κατέσχον. καὶ ἡ μετοχὴ σχών. καὶ ὥσπερ ἀπὸ τῆς φαγὼν μετοχῆς ἔστι τὸ προστακτικὸν φάγε, καὶ πιὼν πίε, οὕτω καὶ ἀπὸ τοῦ σχὼν σχὲ καὶ κατάσχε. ἐν πλεονασμῷ δὲ τοῦ ς, σχὲς, καὶ κατάσχες. τὸ δὲ σπές, ἀπὸ τοῦ σπῶ. σημαίνει τὸ λέγω. ὁ μέλλων, σπήσω. ὁ δεύτερος ἀόριστος ἔσπον. ἡ μετοχὴ, σπὼν καὶ ἐνισπών. καὶ τὸ προστακτικὸν, σπέ. καὶ πλεονασμῷ τοῦ ς, σπές. οὕτω Ζηνόδοτος. πλεονάζει δὲ τὸ ς, διὰ τὸ μονοσύλλαβον.

Σχέτλιος, ὀδυνηρός. χαλεπός. ἀγνώμων. βουλόμενος δυστυχής. ἄδικος. ἄπορος. θλιβόμενος. τλήμων. ἐπαχθής. ἢ ὁ τὸ σχετλιάζειν καὶ δυσφημεῖν καὶ λύπας τισὶ διδούς. Ζεὺς με γὰρ σχέτλιος. Ἰλιάδος β. καὶ πάλιν, Σχέτλιος ἐσσὶ γεραιέ. Ἰλιάδος κ. ἤγουν σχετλιασμοῦ ἄξιος. γίνεται παρὰ τὸ σχέθω τὸ κωλύω καὶ τὸ λίαν, ὁ ἐπὶ σχέσεως ἄξια ἔργα ποιῶν.

Σχετλιάζει, δυσχεραίνει, ἢ βλασφημεῖ.

Σχηματιζόμενος, προσποιούμενος, ἢ σὺν ταπεινότητι.

Σχήσεσθαι, Ἰλιάδος ι. ἀνθέξειν. ἀντιστῆναι. παρὰ τὸ σχῶ τὸ κρατῶ, γίνεται σχήσω.

Σχοινίον, ἐκ τοῦ σχοῖνος. τοῦτο ἐκ τοῦ σχῶ τὸ κρατῶ. ἔστι σχοινοφόρος, ἐκ τοῦ σχοῖνος καὶ τοῦ φέρω. τὸ δὲ σχοῖνος, μέτρον ἐστὶ γεωμετρικόν. σημαίνει τὴν πόαν, ἢ νομήν. ὡς τὸ, Ἀσπάσιον βαθύσχοινον. καὶ μέτρον περσικόν, ὃ παρὰ Πέρσαις παρασάγγης λέγεται, ἀπὸ μεταφορᾶς. καὶ ἡ κατευθυντηρία κάθοδος. καὶ ὁ ψαλμῳδός φησι. Τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου, σὺ ἐξιχνίασας. ἐκ τοῦ τῆς σχοίνου τοῦ μετρικοῦ σπαρτίου, ἔστι τὰ μετρούμενα τῶν χωρίων, σχοινίσματα λέγεται.

Σχῖνον, τὴν σκίλλαν, ἣν διαμασῶνται οἱ καλλωπιζόμενοι ἕνεκα τοῦ λευκοῦν τοὺς ὀδόντας. ἀφ' οὗ καὶ τὸ σχινίζεσθαι.

Σχολὴ, οὐχ ὁ τόπος ἐν ᾧ σχολάζουσι καὶ διατρίβουσι περὶ παιδείαν, οὐ δὲ αὐτὴ ἡ ἐν λόγοις εὐμουσία καὶ διατριβὴ, ἀλλ' ἣν οἱ πολλοὶ ἀκύρως καλοῦσιν εὐκαιρίαν. τὸ δὲ εὐκαιρεῖν, βάρβαρον. ἀντὶ δὲ τοῦ σχολὴν ἄγειν λέγουσιν Ἀττικοὶ σχολάζειν. ἡ δὲ εὐκαιρίς βάρβαρον μὲν οὐκ ἔστιν ὄνομα, τάττεται δὲ οὐκ ἐπὶ σχολῆς, ἀλλ' ἐπὶ καιροῦ τινὸς εὐφυΐας καὶ ἀρετῆς. καὶ ἤγουν οὐδαμῶς. ἀπὸ δὲ τοῦ σχολὴ σχολαῖος. τὸ δὲ σχολὴ, ἔστι παρὰ τὸ σχῶ. ἔστι δὲ ἐπίρρημα, ἤγουν ἠρέμα. καὶ σχολαῖον, ἀργόν. διατριβὴν ποιούμενον. καὶ σχολαίτερον, ἠρεμαιότερον, ἀπὸ τοῦ σχολαιότερος. ὅπερ ἀπὸ τοῦ σχολαῖος. ὁμοίως σχολαιότης.

Σχέδος, παρὰ τὸ χέω χέδος καὶ σχέδος. οἱονεὶ τὸ διαχέον καλῶς καὶ διαμερίζον τὰς λέξεις καὶ τοὺς λόγους. ἢ παρὰ τὸ σκεδάζω σκεδάσω σκέδος καὶ σχέδος. διασκεδαζόμεναι γὰρ αἱ λέξεις καὶ οἱονεὶ μεριζόμεναι, εἰς λεπτὰ διὰ τοῦ λόγου εἰς γνῶσιν παραλαμβάνονται.

Σχόλιον, εἴρηται διὰ τὸ κατὰ σχολὴν παρατίθεσθαι πρὸς σαφεστέραν ἑρμηνείαν τῶν δυσνοήτων ῥημάτων.

Σχίδαξ, παρὰ τὸ σχίζω. σημαίνει δὲ τὸ ἐσχισμένον ξύλον.

Σχολαστικὸς, ἀπὸ τοῦ σχῶ τὸ κρατῶ, σχάζω καὶ σχολάζω ὁ ἐν τῇ διακρατήσει διάγων.

Σκεδάζω, παρὰ τὸ σχεδιάζω, τὸ ἐκ τοῦ παραχρῆμα τι ποιῶ, σχεδάζω καὶ σκεδάζω. ἢ παρὰ τὸ σχίζω τὸ διαχωρίζω. πλεονασμῷ τῆς δα συλλαβῆς, σχιδάζω καὶ σκεδάζω. τὸ γὰρ σκεδαζόμενον, εἰς πολλὰ διασχίζεται.

Σχολὴ, Ἀττικοὶ οὐ μόνον δὲ τὸ μηδὲν δρᾶν, ἀλλὰ καὶ τὸ περισχολάζειν.

Σώζω, τὸ σώζω χωρὶς τοῦ ι λέγει ὁ Δίδυμος. ὥσπερ γὰρ ἀπὸ τοῦ ἕω τὸ κάθημαι γίνεται ἕζω, οὕτως ἀπὸ τοῦ σόω τὸ ὑγιαίνω, γίνεται σώζω πλεονασμῷ τοῦ ζ. ἀλλ' ἡ παράδοσις ἔχει τὸ ι. τὸ δὲ σώζω, ὅτε μὲν γίνεται ἀπὸ τοῦ σῶος σωίζω, ὡς λέπος λεπίζω, καὶ κατὰ συναίρεσιν σῴζω, ἔχει τὸ ι. ἡνίκα δὲ ἀπὸ τοῦ σάος σαόζω καὶ κράσει σώζω, οὐκ ἔχει προσγεγραμμένον τὸ ι. Δεῖ δὲ γινώσκειν ὅτι ἡνίκα ἀπὸ τῆς σω συλλαβῆς ἄρχεται ἐπιφερομένου τοῦ ζ, ἔχει προσγεγραμμένον τὸ ι. σῴζω σῴζομαι. ἔσῳζον. ἡνίκα δὲ μὴ οὕτως ἔχῃ, οὐ προσγράφεται. οἷον, σαώζω.

Σωτηρία, ὄνομα παρώνυμον ἀπὸ τοῦ σωτῆρος. τοῦτο ἀπὸ τοῦ σώζω, σώσω, σέσωκα, σέσωσμαι, σέσωσαι, σωτήρ, καὶ σωτήρ. ἔστι δὲ καὶ ἄλλος σῶ τὸ ὑγιαίνω. ἐξ οὗ ὁ παθητικὸς παρακείμενος, σέσωσμαι σέσωσαι, καὶ ἐξ αὐτοῦ σωτήρ. τὸ δὲ σῶος ἔλεγεν ὁ Δίδυμος σὺν τῷ ι γράφεται, ὡς ἀπὸ τοῦ ὅσως τοῦ σῶ. τὰ γὰρ ἀπὸ τοῦ εἰς ως διὰ τοῦ ωος σὺν τῷ ι. μίνως μινῷος. ἥρως, ἡρῷος, οὕτω σῶς σῷος. ὁ δὲ Ἡρωδιανὸς λαβόμενος αὐτοῦ λέγει, ὅτι τὸ σῶς ἀπὸ τοῦ σῶος πέπονθε. πρὸς ὃν ἔστιν εἰπεῖν, τί οὖν ἀπὸ τοῦ πεπονθότος γίνεται παράγωγον, γίνεται γὰρ ἀπὸ τοῦ πατρὸς καὶ μητρὸς, πατρικὸς καὶ μητρικός. λέγει δὲ πάλιν ὅτε Χοιροβοσκός. ὅτι οὐδέν ἐστιν εἰς ως μονοσύλλαβον πλέον ἀρσενικὸν, εἰ μὴ τοῦτο, πρὸς ὃν ἔστιν εἰπεῖν, ὅτι σὺ ἐδίδαξας ἡμᾶς ἐν τῇ περὶ τοῦ ζῶς μονοσυλλάβου βίβλῳ, ὅτι ἔστι τὸ ζῶς, καὶ τὸ κῶς, ἔστι γλῶς. εἰσὶ δὲ ὀνόματα ἡρώων. Δεῖ δὲ γινώσκειν ὅτι τὸ σῶος ἄνευ τοῦ ι ἡ παράδοσις οἶδε. καὶ λέγει ὅτε Χοιροβοσκὸς ὅτι ἔστι σάω σαώσω διὰ τοῦ ω μεγάλου, ὡς γνώω γνώσω. καὶ σόω διὰ τοῦ ο μικροῦ. ταῦτα γὰρ ἐποίησε τὸ τελευταῖον ω εἰς ος. καὶ γίνεται ἐκ μὲν τοῦ σάω τὸ σῶος. ἐκ δὲ τοῦ σόω τὸ σόος. σῶ μονοσύλλαβον, οἱ σῶοι. καὶ παρὰ Θουκυδίδῃ. ἡ δὲ συνήθης γραφὴ σῶος. λέγει δὲ Ὧρος ὁ Μιλήσιος ἔχειν τὸ ι προσγεγραμμένον. ἀπὸ γὰρ τοῦ οἱ σῶοι οἱ σῷ, ὥσπερ οἱ ζῷοι οἱ ζῷ.

Σώεσκον, ἔσωζον. ἢ ἀπὸ τοῦ ἔσωον. ἢ ἀπὸ τοῦ σώζω. τὸ δὲ σώω σημαίνει τὸ ὁρμῶ. ὡς τὸ, Σώεσθαι στροφάδην παρὰ Ἀπολλωνίῳ.

Σώχω, τὸ τρίβω. παρὰ τὸ σῶ σώχω, ὡς σμῶ, σμήχω. παρὰ τοῦτο δὲ καὶ τὸ ψώχω.

Σῶκος, ἐπίθετον Ἑρμοῦ. ἢ ὁ ἰσχυρός. σωκεῖν γὰρ τὸ ἰσχύειν. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ. Οὐκέτι σωκῶ. ἢ σωσίνοος. ἢ ὁ ὠκέως σοούμενος, ἄγγελος γάρ. ἢ σωσίοικος, ἢ ὁ σωστικὸς θεός. παρὰ τὸ σώζω σῶκος, ὡς θάσσω θᾶκος. ἔστι δὲ καὶ ὄνομα κύριον.

Σῶμα, οἱονεὶ δῶμα ὂν τῆς ψυχῆς. ὅθεν καὶ σκήνωμα πᾶν τὸ τεθνηκός. εἴρηται δὲ σῶμα, ὥς φησι Πλάτων, ὅτι σῆμά ἐστι. τουτέστι τάφος τῆς ψυχῆς. δίκην γὰρ τάφου ἐντέθαπται ἡ ψυχὴ τῷ σώματι. ἢ σώαιμα, σῶον αἷμα. ἐν τῷ ἅμα.

Σωρὸς, ἀπὸ τῶν λίθων. ἀπὸ τοῦ σωρός, σωρεύω σωρεία. ἔστι σωρεός, ἀπὸ τοῦ σωρεύω. ὡς φωλεύω φωλεός. εἴρηται δὲ, ἀπὸ τοῦ ἐν αὐτῷ σωρεύεσθαι τὰ σώματα. ἢ παρὰ τὸ ἔσω ὠρεῖν, ὅ ἐστι φυλάττειν. ὥστε τὸ σωρεὸς μὴ πεπλεονακέναι, ἀλλὰ μᾶλλον ἐνδεδεηκέναι τὸ σωρός. τὰ γὰρ εἰς ρος λήγοντα δισύλλαβα, τῷ ω παραληγόμενα, μὴ ὄντα ἐπίθετα, βαρύνεται. ὦρος. δῶρος. φλῶρος. βῶρος. οὐδὲν ἔχομεν ὀξύτονον. σεσημείωται τὸ σωρός. τὰ ὀξύτονα ἐπίθετα εἰσί. χλωρός. ψωρός. μωρός. πῶς οὖν ὀξύνεται τὸ σωρός. ἠλόγηται ὅταν δισυλλαβῇ. τὸ πρῶτον ἄρα σωρεός, ὡς ὀχεός. λοχεός.

Σῶρος, ἐν ᾧ τὸ σῶμα ἐστὶν, ἤγουν κατάκειται.

Σωφροσύνη, παρὰ τὸ σώζειν τὸ φρονεῖν, ἢ παρὰ τὸ σῶμα φρουρεῖν ἀπὸ ῥύπου, ἢ διὰ τὸ σῶα φρονεῖν.

Σωφρονιστῆρες, οἱ ἔσωθεν τῶν ἄλλων ὀδόντων διαφυόμενοι κατὰ τὴν τοῦ φρονεῖν ὥραν περὶ εἰκοστὸν ἔτος. ὁ δὲ Ἀριστοτέλης, καλεῖ αὐτοὺς κριτῆρας.

Σωφρονισταὶ, ἄρχοντές τινες χειροτονητοὶ δέκα τὸν ἀριθμὸν ἑκάστης φυλῆς. ἐπεμελοῦντο δὲ τῆς τῶν ἐφήβων σωφροσύνης.

Σάωσε. τὸ ἐσάωσα συναιρεθὲν εἰς τὸ ἔσωσα διὰ τί μὴ περισπᾶται, ὅτι ὁ τύπος ἀντίκειται. οἱ γὰρ ὑπὲρ δύο συλλαβὰς ἀόριστοι προπαροξύνονται.

Σταφυλὴ, ὀξύνεται καὶ βαρύνεται ὥς φησι Πτολεμαῖος. τὸ μὲν γὰρ βαρυνόμενον ὄνομα, ἀπὸ τῆς καθιεμένης μολίβδου παρὰ τοῖς ἀρχιτέκτοσι τίθεται. τὸ δὲ ὀξυνόμενον, ἀπὸ τῆς ὀπώρας ἐπιτεθεῖσθαι. καὶ λέγουσι τὴν ὀπώραν ἀπὸ σταφύλου τινὸς ὃς ἐγένετο υἱὸς τοῦ Διονύσου. Ἡρακλείδης δὲ ἡ μήτηρ τε φησὶ λῆγον εἰς ὀξεῖαν. οὐδὲν γὰρ τῶν εἰς λη ληγόντων θηλυκῶν ὀνομάτων ἀμέτοχον γένους οὐδετέρου παραληγόμενον τῷ υ, ὀξύνεται. κρυώλη. φασύλη. ἡ Δύλη. κορδύλη. οἱ οὖν ὀξύνοντες, φασὶν ὅτι ἀπὸ βαρυτόνου ἀρσενικοῦ γέγονε. τὰ γὰρ εἰς η θηλυκὰ ὀξύνεται, ἐὰν τὰ ἀρσενικὰ βαρύνεται. οἷον πόθος, ποθή. φόνος, φονή. νόμος, νομή. ὦνος, ὠνή. καὶ τοὔμπαλιν, δαναὸς δανάη. καὶ πῶς τὸ κόγχος κόγχη, φίλος φίλη, μύλος μύλη, καὶ ἅμα μυρία. ἔστι ἀπὸ τῶν ὀξυτόνων καλὸς καλή, συμβαρύνεται καὶ ὀξύνεται τοῖς ἀρσενικοῖς. καί τινες βοηθεῖν τῇ συνηθείᾳ βουλόμενοι, φα-

σιν, ὅσα τοῦ αὐτοῦ ἀπαραλλάκτως ἔχεται σημαινομένου, ὁμότονα. ὅσα δὲ διαλλάττει τῷ σημαινομένῳ, καὶ τῷ τόνῳ διαλλάττει. τὸ μὲν οὖν ξένος ξένη, φίλος φίλη καὶ τὰ ὅμοια, ἀπαράλλακτά εἰσι. τὸ δὲ χόλος χολὴ, ῥόπος ῥοπὴ, στρόφος στροφὴ, γόνος γονὴ, δόμος δομὴ, διαφέρουσιν. εἰ οὖν τὸ στάφυλος ἀρσενικὸν διαφέρει τῷ σημαινομένῳ, ἡ σταφυλὴ τὸ θηλυκὸν ἐπὶ τῆς ὀπώρας, ὀξύνεται. παρὰ τὸ στάζειν τὸν πηλόν.

Σκηνή, ἡ κρατοῦσα καὶ φυλάττουσα ἡμᾶς. οἱ δὲ δέρματα καὶ ζωστῆρας καὶ δόνους, οἷς καταπήγνυται πᾶσα ἡ σκηνή. οἱ δὲ εἶδος κόσμου γυναικείου. οἱ δὲ σκεῦος τι οὕτω καλούμενον. οἱ δὲ τὴν νῦν δελφικὴν καλουμένην. καὶ σκηνευτὴς, ὁ σκηνήν τινα οἰκῶν.

Στάδιον, κατὰ τὸ ἀρχαῖον ἐκαλεῖτο αὐλός. ὅθεν δίαυλος τὰ δύο στάδια. ἀπὸ τοῦ δύο αὐλῶνας ἔχειν. καὶ διαυλωνίζειν λέγουσι τοὺς ἀνέμους, ὅταν διά τινος ὁμαλοῦ καὶ στενοῦ διαπνέωσι. καλεῖται δὲ ὅτι φασὶ δαναὸν ἐπὶ τοῖς γάμοις τῶν θυγατέρων ἀγῶνα ἐπιτελοῦντα, δεῖξαι τοῖς μνηστῆρσι τὸ τοῦ δρόμου τέρμα ἐν ᾧ ἐπεφύκει σέλινα. ἐξ ὧν σπᾶσαι τὸν φθάσαντα, καὶ τοῦτο σύμβολον γενέσθαι τῆς νίκης, ὥσπερ νῦν τὰ βραβεῖα. ἀπὸ δὲ τοῦ σπάσαι, κληθῆναι σπάδιον καὶ στάδιον. ἢ ὅτι τετράποδες τὸ πάλαι περιπατοῦντες, μετὰ τὸ εὑρεθῆναι τὸν δημητριακὸν καρπὸν, ἀνέστησαν. καὶ εὐρωστίας ἐπίδειξιν ποιούμενοι, δρόμον ἠγωνίζοντο. διὰ τὴν στάσιν οὖν, στάδιον. εἰς τὰ σχόλια πινδάρου.

Σκηνή, ἐστιν ἡ μέση θύρα τοῦ θεάτρου. παρασκήνια δὲ, τὰ ἔνδοθεν τῆς μέσης θύρας, χαλκᾶ κάγκελλα. καὶ ἵνα σαφέστερον εἴπω, σκηνὴ ἡ μετὰ τὴν σκηνὴν εὐθὺς. καὶ τὰ παρασκήνια. ἡ ὀρχήστρα. αὕτη δέ ἐστιν ὁ τόπος ἐκ σανίδων ἔχων τὸ ἔδαφος. ἐφ᾽ οὗ καὶ θεατρίζουσιν οἱ μῖμοι. εἶτα μετὰ τὴν ὀρχήστραν. βωμὸς ἦν τοῦ διονύσου, τετράγωνον οἰκοδόμημα κενὸν ἐπὶ τοῦ μέσου, ὃ καλεῖται θυμέλη παρὰ τὸ θύειν. μετὰ τὴν θυμέλην, ἡ ὀρχήστρα. τουτέστι τὸ κάτω ἔδαφος τοῦ θεάτρου.

ΤΕΛΟΣ ΤΟΥ ΣΙΓΜΑ
ΣΤΟΙΧΕΙΟΥ

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ ΤΑΥ ΣΤΟΙΧΕΙΟΥ

Ταῦ τὸ στοιχεῖον, ὅτι ἐντεταμένας ἔχει τοῦ χαρακτῆρος τοῦ στοιχείου τὰς ἐντυπώσεις. ἀπὸ γὰρ μακρᾶς τῆς ἄνω καὶ τοῦ ι, τὸ γράμμα ἐστίν. ἐντεῦθεν καὶ ταρσὸς ὅ ἐστι τεταμένα ἔχων τὰ πτερά. τὸ δὲ ἁλιρροθίου πέλεκυν φησὶ μιμησάμενος, ἐνετύπωσα τὸ γράμμα.

Τάγηνον, τοῦτο ἰωνικῶς τινὲς τήγανον λέγουσι. καὶ ἡρωδιανὸς ἀπὸ τοῦ τήκω τήγανον. καὶ καθ᾽ ὑπέρθεσιν. οἷον, Ἐμοῦ δὲ ὥσπερ ἐπὶ ταγήνου ἐστὶ ζεῖν ἡ καρδία, καὶ κατεγήνοντο αἱ σάρκες. καὶ αὐτόματα ἐχώρει κατὰ τῶν γνάθων τὰ δάκρυα.

Ταγηνίας, πέμματά ἐστι τῶν ἀπὸ τυγάνων ἐκ στέατος ὑγροῦ καὶ τυροῦ καὶ μέλιτος καὶ ἀσταφίδος.

Τάγυρι, τὸ βραχύ τι καὶ ἐλάχιστον. οἷον ψιλὰ λέγουσιν. εὔπολις αἰξί. Μαθόντι δὲ μὴ τάγυρι μουσικῆς.

Ταλαεργοὶ, οἱ τλητικοὶ καὶ τλῆναι δυνάμενοι πρὸς πᾶν ἔργον.

Ταλαίπωρος, εἰς τὸ ἀταλαίπωρος.

Τάλαντον, Χρυσᾶ πατὴρ ἐτίταινε τάλαντα. σημαίνει δὲ τάλαντον τὸν ζυγὸν παρὰ τὸ ταίνω ῥῆμα. ὅπερ ἐστὶ κατὰ ἀναδιπλασιασμὸν τιταίνω. καὶ ὥσπερ φαίνω φαντὸς, οὕτω ταίνω ταντὸς, καὶ τὸ οὐδέτερον ταντόν. καὶ συνθέσει πλεονασμοῦ τῆς α συλλαβῆς τάλαντον. καὶ συνθέσει ἀτάλαντον ἤγουν ὁμοιοτάλαντον. ἢ παρὰ τὸ ταλαὸν τὸ ὑπομονητικὸν τοῦ βάρους. τάλαντον οὖν ἡ στάθμη. καὶ ταλαντεύειν τὸ σταθμίζειν καὶ ζυγοστατεῖν. ἐν τιμαίῳ. τὴν δὲ γῆν ταλαντουμένην ἀνωμάλως σείεσθαι μὲν ὑπ᾽ ἐκείνων. κινουμένην δὲ αὖ πάλιν ἐκεῖνα σείειν. μεταφορικῶς, ἀπὸ τῶν ζυγῶν. ἐπεὶ τὸ ζυγεῖν ταλαντᾶν λέγουσι καὶ ὑπερταλαντᾶν τὸ ὑπερβαρεῖν. πολλὰ εὗρον σημαίνειν τὴν λέξιν. ἢ παρὰ τὸ μέγιστον χρυσίου καὶ ἀργυρίου μέρος. καθ᾽ ὃ σημαινόμενον δημοσθένης φησὶ πεντήκοντα τάλαντα. ἢ σταθμοῦ τι ὄνομα. ὥσπερ ἀριστοφάνης. ἀλλ᾽ ἢ ταλάντῳ μουσικὴ κριθήσεται. καὶ τὸ ὁμήρου. Χρυσᾶ πατὴρ ἐτίταινε τάλαντα. τρίτον σημαινόμενον ἡ ῥοπή. τέταρτον ἀριθμοῦ τινὸς ὄνομα. ὡς καὶ πολυτάλαντος ὁ πλούσιος. καὶ τὸ ὁμήρου, Κεῖται δ᾽ ἄρ᾽ ἐν μέσσῳ δύο χρυσοῦ τάλαντα. καὶ διτάλαντον δὲ καὶ τριτάλαντον, καὶ ἡμιτάλαντον λέγεται. ἀρχαία δὲ ἡ χρῆσις καὶ ἡ τοῦ τρίτου ἡμιταλάντου. καὶ πέμπτον ἡμιτάλαντον. ἔστι δὲ τὸ μὲν τρίτον ἡμιτάλαντον, δύο ἥμισυ τάλαντα. τὸ δὲ πέμπτον ἡμιτάλαντον, τέσσαρα ἥμισυ. καὶ τὸ ἕβδομον ἡμιτάλαντον, ἓξ ἥμισυ. καὶ ὅλως οὗτινος ἀριθμοῦ παρωνύμως μετὰ τῆς ἐπονομάσει τις τὸ ἡμιτάλαντον, τούτου ὁ προηγούμενος ἀριθμὸς ἐφαρμόσει τῷ ταλάντῳ. οἷον, ἂν μὲν η, ἑπτά. ἂν δὲ θ, ὀκτώ. συναριθμουμένου δηλονότι καὶ τοῦ ς. φίλον δὲ τοῖς ἀρχαίοις, καὶ τὸ ἐν ἥμισυ τάλαντον τρία ἡμιτάλαντα λέγειν. ὡς καὶ τρία ἡμίμναια, τὴν μίαν ἥμισυ μνᾶν. καὶ ἄλλως τὸ τάλαντον κατὰ τοὺς παλαιοὺς χρυσοῦς εἶχε τρεῖς. διὸ καὶ φιλήμων ὁ κωμικός φησι. δύο λάβοι τάλαντα χρυσοῦς ἔχων ἕξ, ἀποίσεται. εἰς τὸ λεξικὸν τῆς ἰλιάδος, ἑπτ᾽ ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῦ τάλαντα. τὰ νῦν ἑξακισχίλια λεγόμενα παρὰ ἀθηναίοις. διαφόρως δὲ νοεῖται. ἦν γὰρ καὶ βραχύ τι παρὰ τοῖς ἀρχαίοις. καὶ ὁ ποιητὴς δὲ δῆλον ἡμῖν τοῦτο ποιεῖ, ἐν τῷ ἐπιταφίῳ πατρόκλου λέγων. Τῷ δὲ τετάρτῳ θῆκε δύο χρυσοῦ τάλαντα. εἰ γὰρ περὶ τοῦ ταλάντου τῶν ἀθηναίων, ἐστὶ βραχύ τι τὸ τάλαντον τοῦ χρυσοῦ, ἦν παρ᾽ αὐτοῖς ὡς ὁ δίφιλος ἐν ἀργύρῳ. βραχύ τι τάλαντον φησί. τάλαντον δὲ, οὐ τάλαντα. ταῦτα δέ ἐστι χρυσίου τάλαντον.

Ταλαιπείριος, οἱ [illegible] τὸν ταλαίπωρον λέγουσιν, ἢ ὁ τηλόθεν πεπειραμένος, οἱονεὶ ὁ πολλὴν πεῖραν ὑπομείνας. τουτέστι πολύπειρος ἢ ὁ πολλὰ τετληκὼς καὶ πολλῶν πεπειραμένος. ἢ παρὰ τὸ τηλόθεν πεπειρᾶσθαι. ταλαιπέριος. καὶ πλεονασμῷ τοῦ ι ταλαιπείριος.

Τάλαρος, καλαθίσκος κόφινος. κυρίως, δι᾽ οὗ εἰς εὖρος. εἴρηται δὲ ἀπὸ τοῦ τετάσθαι. ἢ ἀπὸ τοῦ τηρὸς ταρός. καὶ πλεονασμῷ τῆς α συλλαβῆς τάλαρος, ὁ εἰς τυρὸν ἐπιτήδειος. ἡ σποδὸς, Ἐς ταλάρους ἐφόρει. καὶ ὅμηρος. Πλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν. ἰλιάδος σ.

Τάλας, σημαίνει τὸν ἄθλιον. παρὰ τὸ τάλω τὸ κακοπαθῶ. ἔνθα ἡ σποδὸς φησὶ, Ἐτρέφετο ἀτάλλων μέγα νήπιος. ἤγουν μὴ κακοπαθῶν. τάλω οὖν, καὶ κατὰ συγκοπὴν τλῶ. καὶ ταλῶ ἔνθα τὸ ταλάσσης, ἤγουν ὑπομείνῃς. καὶ ταλασίφρων ὁ καρτερόφρων καὶ γενναῖος παρὰ τὸ τλῆναι.

Ταλαύρινον, πολλὸν ὑπομονητικὸν ἐν τῇ μάχῃ. παρὰ τὸ ταλαὸν καὶ ῥινὸν, ὅ ἐστι σύνθετον.

Ταμίας, ὁ δεσπότης. παρὰ τὸ ἀποτετμῆσθαι αὐτῷ τὰ τοῦ οἴκου δέξασθαι. ἢ παρὰ τὸ τέμνειν αὐτὸν καὶ ἀπομερίζειν τοῖς ἄλλοις, ζεὺς ταμίας πολέμοιο. Ταμίαι, ἔφοροι φύλακες ταμιοῦχοι διοικηταί. ἀρχὴ γάρ τις παρὰ Ἀθηναίοις ἦσαν οἱ ταμίαι ι΄ τὸν ἀριθμόν. παραλαμβάνουσι δὲ οὗτοι τό, τε ἄγαλμα τῆς Ἀθηνᾶς καὶ τὰς νίκας καὶ τὸν ἄλλον κόσμον καὶ τὰ χρήματα ἐναντίον τῆς βουλῆς ὡς Ἀριστοτέλης. εἰσὶ καὶ ἄλλοι ταμίαι ἄρχοντες χειροτονητοὶ οἱ τὰς ἱερὰς καὶ δημοσίας [illegible]. ὅτι δὲ καὶ τοῖς [illegible] ἀρχαῖς προεῖπον τὸ ταμίαι δεδήλωκεν Εὔπολις. Ταμύαι, πόλις ἐν Εὐβοίᾳ.

Τάμον, ἀόριστος δεύτερος. καὶ τάμε τὸ ὑποτακτικόν. καὶ ἡ μετοχὴ ταμών, καὶ προταμών. ἀντὶ τοῦ ἀποκόψας, ἢ τὸ σκληρὸν τῆς τροφῆς προκατεργασάμενος. τὸ ῥῆμα τέμνω. τὸ δὲ τάμνω δωρικόν. ὁ μέσος παρακείμενος τέτμα.

Ταμεσίχροα, παρὰ τὸ ταμῶ ταμέσω ταμεσίχροος. σημαίνει δὲ τὸν τέμνοντα τὸν χρῶτα, τὸν τμητικὸν τοῦ χρωτός.

Τανύω, ἀπὸ τοῦ τείνω. Τανύποδας, ταχείας.

Τανηλεγέος θανάτοιο, παρὰ τὸ λέγω τὸ κοιμῶμαι ταναλεγής καὶ τανηλεγής. ἢ παρὰ τὸ τῆλε, τηλελεγής καὶ τανηλεγής ὁ μακρὸν κοίμημα ἔχων τουτέστιν αἰώνιον. ἢ ὁ μακρὰν ἀφροντιστίαν παρέχων. Ταναύποδας, εἰς τὸ ναῦφι.

Τανύηκες, τεταμένην ἔχοντα ἀκήν, ἢ αἰχμήν. τουτέστιν ἠκονημένον, ἐπὶ τοῦ ξίφους. τὸ δὲ τανυήκεας ὄζους, τοῖς τεταμένοις κλάδοις. καὶ ἔστιν ἁπλῆ ἡ λέξις, τὸ δὲ μέχρι πολλοῦ ἥκοντας καὶ παρατεταμένους.

Τανύπεπλος, ἐπιμήκη πέπλον ἔχουσα. διὰ τοῦ καὶ τὴν φοροῦσαν εὐμήκη φαίνεσθαι δηλοῖ. γίνεται δὲ παρὰ τὸ τανύω, τανύσω, τανύπεπλος. ὡς γανύω γανυμήδης. καὶ τανύπτερος, ἡ παρατεταμένα πτερὰ ἔχουσα.

Τανύφλοιο, ἰλιάδος π΄. τὴν μακρὸν φλοιὸν ἔχουσαν.

Ταπεινός, ἢ παρὰ τὸ θάπτω, ὁ δεύτερος ἀόριστος ἔθαφον θαφεινός καὶ τροπῇ, ταπεινός. ἢ ὡς παρὰ ἐκ τοῦ ὄρος γίνεται ὀρεινός, οὕτως ἀπὸ τοῦ ἔδαφος ἐδαφεινός. καὶ κατὰ ἀφαίρεσιν τοῦ ε, καὶ τροπῇ τῶν συμφώνων, ταπεινός. ἢ παρὰ τὸ πέδον πεδεινός. καὶ κατὰ τροπὴν τοῦ δ εἰς τ, καὶ τοῦ ε εἰς τὸ α ταπεινός. καὶ καθ' ὑπέρθεσιν. ἢ παρὰ τὸ δάπεδον δαπεδεινός. καὶ κατὰ συγκοπὴν καὶ τροπήν. ἢ παρὰ τὸ πατῶ γίνεται πάτος. οἱονεὶ ὁ πατούμενος. καὶ ἐκεῖθεν πατεινός καὶ ἐν ὑπερθέσει. ἢ παρὰ τὸ τάπης τάπητος ταπητεινός καὶ κατὰ συγκοπήν. εὔοινον.

Τάπητες, ἐπιβόλαια, ἢ στρώματα. οὕτως Ἀριστοφάνης. ἐτυμολογεῖ δὲ αὐτὸ Ὠρίων, παρὰ τὸ θάλπω, θάλπης. καὶ μεταθέσει τοῦ θ εἰς τ καὶ ἀποβολῇ τοῦ λ, τάπης. ἢ δάπης καὶ τάπης. ἢ παρὰ τὸ θάπτω, θάφης καὶ τάπης. ἢ παρὰ τὸ πατῶ, πάτης καὶ τάπης.

Ταλαὸς μετὰ τοῦ ι τινές. ἢν ταρφασὶ ταλαοῖο. οὐ καλῶς ἐπεὶ γὰρ δὲ ἀπὸ τῶν εἰς ως εὐθειῶν αἱ ἀττικαὶ κέκλινται. καὶ πλεονασμῷ τοῦ ο. ὡς μίνωο. ἀνδρογέω.

Ταραντεινόν, λεπτὸν καὶ διαφανὲς ἱμάτιον. οὐ πάντως πορφυροῦν ὥς τινες ὑπέλαβον. καὶ ταραντιναὶ βαφαί.

Ταλάσια, τὰ ἔρια. ἀφ' οὗ καὶ ταλασιουργοί οἱ ἐριουργοί. τὸ σι, ι. τὰ διὰ τοῦ ιος κύρια ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται διὰ τοῦ ι γράφεται. χωρὶς τῶν παρὰ τὸ κλέος καὶ τῶν ἀπὸ τῶν εἰς εως. οἷον προκόπιος. γεώργιος. πρὸς κεῖται ὑπὲρ τρισύλλαβα, διὰ τὸ ἄργος. παρὰ τὸ κλέος, διὰ τὸ ἡρακλεῖος. ἀπὸ τῶν εἰς εως διὰ τὸ βασίλειος. παρὰ ἀχαιοῖς οἶμαι τὰ ἁλουργά, ἢ τὰ ἀπὸ ὀστρέων.

Τάρβος, σημαίνει τὸν φόβον. τρισὶ παραγωγαῖς ὁ ἡρωδιανὸς τοῦτο ὑπέλαβε. πρῶτον, ἐκ τοῦ ταράσσω τάραβος, καὶ συγκοπῇ τάρβος, παρὰ τὸ ταράσσειν τὴν ψυχήν. β΄, ἐκ τοῦ τρέπω. ὁ β΄ ἀόριστος, ἔτραπον, τράπος καὶ τάρβος. οἱ γὰρ εὐλαβούμενοι, φεύγουσι. γ΄, ἐκ τοῦ τείρω τὸ καταπονῶ. ὁ β΄ ἀόριστος, ἔταρον, τάρος. καὶ πλεονασμῷ τοῦ β τάρβος. καὶ ῥῆμα ταρβῶ. Τάρβησάν τε, ἀντὶ τοῦ ἐφοβήθησαν.

Ταραχή, ἐτυμολογεῖται μὲν παρὰ τὸ ῥᾷον χεῖσθαι. παράγεται δὲ παρὰ τὸ ταράσσω. τοῦτο παρὰ τὸ ῥῶ τὸ φθείρω, ῥάσσω. μετὰ τοῦ στερητικοῦ α, ἀράσσω. καὶ πλεονασμῷ τοῦ τ, ταράσσω. ταράξω, τετάραχα. τὸ ρα, βραχύ. διότι τὰ διὰ δύο σσ ἐκφερόμενα παράγωγα ῥήματα ὑπὲρ δύο συλλαβὰς βαρύτονα δίχρονον παραληγόμενα, συστέλλει αὐτό. οἷον, ἀνάσσω. πατάσσω. ταράσσω.

Τάμνε, σημαίνει τέσσαρα. ἀντὶ μὲν τοῦ διατέμνειν, Τάμνε νέους ὅρπηκας ἵν' ἅρματος ἄντυγες εἶεν. ἀντὶ δὲ τοῦ περιελαύνειν, Τάμνον τ' ἀμφὶ βοῶν ἀγέλην. ἀντὶ δὲ τοῦ θῦσαι, Καὶ ἀπὸ στομάχους ἀρνῶν τάμεν, ἰλιάδος γ΄. ἀντὶ δὲ τοῦ διὰ τομῶν ὁρκίοις, Ὄφρ' ὅρκια τάμνῃ αὐτός.

Τάριχος, παρὰ τὸ ἐν τῇ ταριχείᾳ ἰχνεύεσθαι. ἢ παρὰ τὸ γάρη ἔχειν, τροπῇ τοῦ γ εἰς τ. καὶ ταριχεύειν, τὸ τήκειν καὶ ξηραίνειν.

Τάργανον, παρὰ τὸ γάρον. σημαίνει δὲ τὸ πεπασμένον λαρδίον. τινὲς δὲ τῶν ἰώνων, τὸ ταρακτὸν καλοῦσι.

Τάρπημεν, ἐτέρφθημεν, ἐκορέσθημεν. ἀπὸ τοῦ τέρπω.

Τάρπη, Καὶ αὐτοῦ βέλος ὠκύ. ἔταρπον ἐτάρπην. τὰς τάρπας εἰπεῖν κοφίνους μεγάλους. ἢ νεκροφορικὰ ἀγγεῖα. παρὰ τὸ αἴρειν τι. αἴρω οὖν, ὁ μέλλων, ἀρῶ. ἐξ αὐτοῦ ἄρπη. καὶ πλεονασμῷ τοῦ π, ἄρπη καὶ τάρπη.

Ταρροί, ταλαροὶ καὶ ταρσοί. καὶ τὰ πλατύσματα τῶν καρπῶν. αὐτὸ τὸ πτέρωμα. καὶ θουκυδίδης οὕτως εἴρηκε. καὶ τάρρωμα τὴν κωπηλασίαν. οὕτως ἀριστοφάνης.

Ταρσοί, τὰ ἀγγεῖα τῶν τυρῶν, καὶ τὰ ἔξω τῶν καρπῶν.

Ταρσός, ἐκ μέρους ἢ τὸ καὶ ταρσοῖς, πτεροῖς ἄκροις. πλάτος τοῦ ποδός, ἢ τὸ ἄκρον τῆς χειρός. ἐμπειρική ἐστι δὲ καὶ ποιητική. οἷον, Νῦν δέ μευ ἐπέγραψε ταρσὸν ποδός. παρὰ τὸ τερσαίνεσθαι, ἤγουν ξηραίνεσθαι. ἀστηκὸν γὰρ τὸ πρὸς τοῖς δακτύλοις μέρος. ὥρος. σημαίνει τὸ ἀγγεῖον, ὡς τό, Ταρσοὶ μὲν τυρῶν βρῖθον. καὶ τὸ ἄκρον τοῦ ποδός. Ταρσὸν δεξιτεροῖο ποδός. καὶ τὴν πόλιν.

Τάρταρος, ὁ κατώτερος τοῦ ᾅδου τόπος. οἱ δέ, τὸν περὶ τὰ νέφη τόπον οὕτω λέγουσιν. ἄλλοι δὲ τὸν σκοτεινότατον τόπον. παρὰ τὸ ἐκτετάραχθαι καὶ συγκεχύσθαι τὰ ἐν αὐτῷ πάντα.

Ταρτημόριον, δίχαλκον. τὸ γὰρ ὄγδοον τοῦ ὀβολοῦ, ταρτημόριον τινὲς καλοῦσιν. οἱ, δίχαλκον.

Ταρφειάς, ἀρίσταρχος ὀξύνει ὡς πυκνάς. ὁ δὲ θρᾷξ διονύσιος, ὁμοίως τῷ ταχείας, παρὰ τὸ τάρφυς ἀρσενικῶς οὐ πολλαὶ ἦσαν χρήσεις. καὶ δῆλον ὅτι ἀναλόγως μὲν ἀναγινώσκει ὁ θρᾷξ. ἐπεκράτησε δὲ ἀριστάρχου ἀνάγνωσις. ἄξιον.

Τάρφεσι, πυκνώμασι. δάσεσι. παρὰ τὸ τρέφεσθαι καὶ αὔξεσθαι. ἡ εὐθεῖα τῶν πληθυντικῶν, τάρφη. συνεμπίπτει δὲ πτώσει θηλυκοῦ ἑνική. καὶ πληθυντικὴ οὐδετέρου. οἷον, σκέπη, τὸ σκέπος καὶ τὰ σκέπη. βλάβη, τὸ βλάβος, καὶ τὰ βλάβη. στέγη, τὸ στέγος, καὶ τὰ στέγη. δέρη, τὸ δέρος, καὶ τὰ δέρη. οὕτως οὖν καὶ τάρφη ἡ πόλις. παράκειται γὰρ ἐκεῖ ταρφεία λίμνη. τὸ οὐδέτερον, τάρφος. καὶ τάρφη. ἡρωδιανὸς περὶ παθῶν.

Ταρχύσωσι, θάψωσι. τὰ νενομισμένα τῶν νεκρῶν, πρὸς κηδείαν ἐπιτελέσωσι. ἀπὸ τῆς ταραχῆς τῆς ἐν τοῖς νεκροῖς γινομένης ἐν τῷ θάπτειν αὐτοὺς εἴρηται τάρχεα καὶ ταρχύω.

Ταῦρος, ἢ παρὰ τὸ τείνω καὶ τὸ οὐρὰ τανύουρός τις ὤν. καὶ συγκοπῇ ταῦρος, ἢ παρὰ τὸ γαίω τὸ γαυριῶ γαῦρος. καὶ τροπῇ, ταῦρος. καὶ ὁ ὑπὸ τῶν ἀχαιῶν τόπος οὕτως ὠνόμασται, παρὰ τὴν ἀνάτασιν.

Ταυρείην. ταύρειον δέρμα. Ταῦροι, τὸ σκυθικὸν ἔθνος. ὅτι τιμῶσιν αἰγύπτιοι τοὺς βοῦς καὶ τὸν ἆπιν.

Ταῦρος, ὄρος τῆς χώρας κείμενος, ἐν ᾧ εἰσὶ βάλανοι πρὸς τροφὴν τῶν συῶν. λοιπὸν ἐξ αὐτοῦ τοῦ ὄρους εἰσφορὰς ἔφερον, ἃς ταυρικὰς προσόδους φασί.

Ταυροφάγον, τὸν διόνυσον. σοφοκλῆς ἐν τυροῖ. ὅτι τοῖς τὸν διθύραμβον νικήσασι βοῦς ἐδίδοτο. ἢ τὸν ὠμηστήν, ἀφ' οὗ καὶ ἐπὶ τὸν κρατῖνον μετήνεκται τοὔνομα.

Ταυροπόλον, τὴν ἄρτεμιν, ὅτι ὡς ταῦρος περιέρχεται πάντα. ἢ ὅτι τὸν ὑπὸ ποσειδῶνος ἐπιπεμφθέντα ἱππολύτῳ ταῦρον, ἐξοιστρῆσαι ἐπὶ πᾶσαν γῆν. ἢ ὅτι ἡ ἰφιγένεια φυγοῦσα ἀπὸ σκυθίας ἐν ἀττικῇ, ἱδρυσαμένη τὸ ἄγαλμα, ταυροπόλον ἄρτεμιν προσηγόρευσεν. ἐπειδὴ ἐκ τῶν ταύρων τοῦ ἔθνους ἦλθεν. οἱ δέ, λέγουσιν ὅτι τῶν ἑλλήνων βουλομένων ἀνελεῖν τὴν ἰφιγένειαν ἐν αὐλίδι, ἡ ἄρτεμις ἀντέδωκεν ἔλαφον. κατὰ δὲ φανόδημον, ἄρκτον. κατὰ δὲ νίκανδρον, ταῦρον. διὸ καὶ τὴν θεὸν οὐ ταυροπόλον, ἀλλὰ ταυροφάγον ὠνόμασαν.

Τὸ ταὐτοῦ πλεονασμός, ἀλλ' ἀναλογία. αἱ ἀντωνυμίαι εἰς ο περατοῦνται κατὰ τὸ γ΄ πρόσωπον. κατὰ γένος οὐδέτερον αὐτό, ἐκεῖνο, τοῦτο. ἀθηναῖοι οὖν μετὰ τοῦ ἄρθρου φασὶ τὸ οὐδέτερον τῆς αὐτοῖς λέγοντες ταὐτό. ἀναλόγως διδάξω τί ἐστι τὸ αἴτιον. ἡ ἐκεῖνος καὶ ἡ οὗτος ἀντωνυμίαι στεροῦνται ἄρθρου. ἵν' οὖν διαστῇ ἡ γένος ἀρσενικὸν καὶ οὐδέτερον, εἰς τὸ ο περατοῦνται κατὰ τὸ οὐδέτερον. ἐκεῖνο. τοῦτο. ἵνα τὸ μὲν εἰς ο, σημαίνῃ τὸ οὐδέτερον. τὸ δὲ εἰς ν, τὸ ἀρσενικόν. ἐκεῖνον τοῦτον. ἡ δὲ αὐτός, ἄρθρον λαμβάνει. οὐκ ἔτι ἄρα ὀφείλει ἔχειν τὸ οὐδέτερον εἰς ο ὁμοίως τῇ χωρὶς ἄρθρου. ἔχει γὰρ διὰ τοῦ ἄρθρου σημαίνειν τὸ γένος. ἀθηναῖοι τοίνυν τὸ ἄρθρον προνέμοντες καὶ τὸν διδοῦσι. ταὐτὸν θυμὸν φαγόντες. ταὐτὸ γὰρ ὤφειλεν εἶναι. οἱ γὰρ οὖν ἀττικοὶ λέγουσιν αὐτό, τὸ ὀφειλόμενον ἀποδιδόασιν οὐ πλεονάζουσιν. οὐ δὲ ἐνθάδε πλεονάζουσι. τοσοῦτον. τηλικοῦτον, οὗ γὰρ ἔγκειται ἡ οὗτος ἀντωνυμία. περὶ παθῶν.

Τάφος, παρὰ τὸ θήπω τὸ ἐκπλήττομαι. ὁ δεύτερος ἀόριστος, ἔταφον. καὶ ἐξ αὐτοῦ τάφος, ὅπου ἀποτίθεται τὰ λείψανα. ἢ παρὰ τὸ θῶ. οὗ παράγωγον, θάπτω. καὶ τροπῇ τοῦ θ εἰς τ καὶ τοῦ π εἰς φ. περὶ τοῦ γὰρ τ ἐν τῷ ῥήματι. ἐτυμολογεῖται δὲ οἱονεὶ φλάθαπός τις ὤν. παρὰ τὸ φλᾶν τοὺς τεθαμμένους. ἢ παρὰ τὸ ἐκδέχεσθαι τὸν τεθνεῶτα. σημαίνει δὲ τρία. τὴν ἔκπληξιν, ὡς τό, Τάφος δ' εἷλεν πάντας ἀχαιούς. καὶ τὸ δεῖπνον, ὡς τό, Ἤ τοι τὸν κτείνας δαίνυ τάφον ἀργείοις. σημαίνει καὶ ὄνομα νήσου, ὡς τό, Ξεῖνος οὗτος παρώϊος ἐκ τάφου ἐστί.

Ταφός, ἡ ἔκπληξις. ὅμηρος. Ταφὸς δέ μιν εἷλεν ἰδόντα. ἔστι ῥῆμα θήπω τὸ ταράττω. ῥηματικὸν ὄνομα θάπος. καὶ τροπῇ κατὰ ἴωνας τοῦ θ εἰς τ καὶ τοῦ π εἰς φ, ταφός.

Τάφιον, παρὰ τὸ τάφος, τάφιος. καὶ πλεονασμῷ, ταφήϊον.

Τάφιοι λῃστῆρες. τοὺς ταφίους πρότερον, τηλεβόας φασὶ καλεῖσθαι. κληθῆναι δὲ αὐτοὺς ταφίους, ἀπὸ τάφου τινὸς βασιλέως. καὶ αὐτοὶ δὲ τὸ ἀνέκαθεν φοίνικες τῶν μετὰ κάδμου σταλέντων.

Τάφρος, σημαίνει τὸ περὶ τὸ τεῖχος ὄρυγμα. Ἔκτοσθεν δὲ βαθεῖαν ὀρύξομεν ἐγγύθι τάφρον. μετὰ τῆς ἀπὸ καὶ τοῦ αἴρω τὸ κουφίζω, γίνεται ἀφαιρῶ. ἐξ αὐτοῦ ἄφαιρος. καὶ συγκοπῇ, ἄφρος. καὶ προσθέσει τοῦ τ, τάφρος. παρὰ τὸ ἀφαιρεῖσθαι ἐξ αὐτοῦ τὸ χῶμα. ἢ παρὰ τὸ ἀποφέρεσθαί τι ἐν τῷ σκάπτεσθαι, ἄφρος καὶ τάφρος. ὁ δὲ ἡρωδιανός φησι γίνεσθαι διάφορα ὀνόματα ἀπὸ ῥημάτων. ὡς παρὰ τὸ νέω τὸ πορεύομαι. νεός καὶ νόος. καὶ παρὰ τὸ θέω, θεός καὶ θοός. δύναται δὲ καὶ τροπῇ εἶναι τοῦ υ εἰς τὸ τ. ὡς φιτρῶν καὶ λαῶν. παρὰ γὰρ τὸ φύω.

Ταφών. Ταφὼν δ' ἀνόρουσεν ἀχιλλεύς, ἰλιάδος ι΄. ἐκπλαγείς. ἢ θαμβηθείς. ἢ θαυμάσας. ἔστι δὲ δεύτερος ἀόριστος. ἐκ τοῦ θήπω, ἔθαπον, καὶ ἔταφον. ἰωνικῶς καὶ ταφών. ἡ δὲ μεταφορά, ἐκ τῶν τάφων. καὶ γὰρ ἡμεῖς ὁρῶντες τοὺς τάφους, ἐκπληττόμεθα διὰ τὸ μέλλον δεινόν.

Τάχος, παρὰ τὸ θᾶσσον, ἢ παρὰ τὸ τάζω τάξω, τέταχα. ἐξ αὐτοῦ τὸ τάχος οὐδετέρως. καὶ τάχιστα, ἐπίρρημα μεσότητος, ἀντὶ ταχέως. γίνεται ἐκ τούτου. ταχίων συγκριτικόν.

Ταών, πτηνόν. παρὰ τὸ τείνειν τὴν οὐράν. τὸ γὰρ ζῶον ἐναβρυνόμενον τῷ ἑαυτοῦ κάλλει τοῖς ὁρῶσι τὴν οὐρὰν ἐξαπλοῦν ἀποδείκνυσι. τινὲς δὲ ἀπὸ τοῦ ταὼς βούλονται εἶναι κατ' ἔκτασιν τοῦ ο εἰς ω, καὶ ἐναλλαγῇ τοῦ τόνου. ἀλλ' οὐκ ἔστιν. ἐπειδὴ τὸ ταὸς ὥς φησιν ἡρωδιανὸς διὰ τὸ μικροῦ οὐκ ἔστι σύνηθες τοῖς ἀθηναίοις. καὶ λέγουσί τινες ὅτι ὤφειλεν εἶναι ταώς, ὡς λαὸς λεώς. πρὸς οὓς ἐστιν εἰπεῖν ὅτι συνεσταλμένον ἔχει τὸ α. καὶ τούτου χάριν οὐκ ἐγένετο παρὰ ἀττικοῖς τροπὴ τοῦ α εἰς ε, ὥσπερ τὸ οἰνόμαος. ἄξιον δὲ ζητῆσαι διατί οὐ κλίνεται ταὼς ταῶτος, καὶ τυφὼς τυφῶτος, ὡς ἱδρώς, ἱδρῶτος. καὶ ἔστιν εἰπεῖν ὅτι ἐκεῖνα ὀξύνεται.

ταῦτα δὲ περισπᾶται. καὶ ὅτι ταῦτα εἰς ν λήγει. μηδεὶς δὲ οἰέσθω ταῦτα δικατάληκτα εἶναι. τὰ γὰρ δικατάληκτα τὴν αὐτὴν κλίσιν φυλάττει. ῥὶν καὶ ῥὶς ῥινός. ταῦτα δὲ οὐκ ἔχει τὴν αὐτὴν κλίσιν. τυφῶν γὰρ τυφῶνος, καὶ ταῶν ταῶνος. καὶ τυφὼς τυφῶ καὶ ταὼς ταῶ.

Ταίγε, ἄρθρον εὐθείας τῶν πληθυντικῶν θηλυκῶν. χοιροβοσκός. καὶ δωρικῶς. λέγουσι γὰρ ὅτι τὰ σύμφωνα ἀπὸ τῆς ἐχούσης εὐθείας τῶν δυϊκῶν, θέλει ἔχειν καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν. λάχητε, λάχητες. ὁμοίως καὶ ἐπὶ ἄρθρων. τὼ ξύλω, τὰ ξύλα. οὕτω καὶ τὰ μοῦσα, ταὶ μοῦσαι. καὶ τά, ταί. τὸ δὲ γε, σύνδεσμος παραπληρωματικός. τὸ δὲ τοίκεν, ἄρθρον ἐστὶ προτακτικὸν ἀντὶ ὑποτακτικοῦ. καὶ λέγουσι πῶς ἐστιν ἡ εὐθεῖα αὐτός. καὶ τὸ πληθυντικὸν οἱ ὤφειλεν, ἀλλ᾽ ἐπειδὴ οἱ δωριεῖς τὴν ἀναλογίαν φυλάττουσι τῆς εὐθείας τῶν δυϊκῶν, πλεονάζουσι τὸ τ, καὶ ποιοῦσιν αὐτὸ τοί. ὁμοίως καὶ τὸ ὤμοι μαγείνατο.

Ταχύς, παρὰ τὸ ὠκύς. τροπῇ τοῦ ω εἰς α, ἀκύς. καὶ πλεονασμῷ τοῦ τ καὶ τροπῇ, ταχύς.

Ταινίας, ἐπὶ μὲν ἀνθρώπων, πεζεῖα. στέμματα. στεφάνη. ζώνη. ἐπὶ δὲ ξύλων, τὰ κυμάτια. ἐτυμολογεῖται δὲ παρὰ τὸ ταίνω. ὃ κατὰ ἀναδιπλασιασμὸν γίνεται τιταίνω. ἢ παρὰ τὸ τανύω. σημαίνει γάρ φασι τὸ στηθοδέσμιον, ἣν οἱ πολλοὶ ἀδοκίμως φασκίαν λέγουσι. παρὰ τὸ δὲ ἐνσυμπεσῶ. καὶ πᾶν δὲ στενὸν ὕφασμα ἢ λινοῦ ἢ ἐρίου ταινίαν λέγουσι. καὶ τὸ ἀναδεῖν στεφάνοις, ταινιοῦσθαι. καὶ ταινίον, ἀττικῶς τὸ στηθοδέσμιον, τουτέστι περιτραχήλιον κόσμον.

Τέγη, δωμάτιον. στέγη. οἰκία. καὶ τέγεοι, ὑπερῷοι ὑψηλοί, κοῖλοι. στοαί.

Τέγγω, τὸ βρέχω. Πολλὴ δ᾽ ἐπικύμαντος ἀεὶ τέγγε πόδας.

Τεθναίης, ἀντὶ τοῦ ἀποθάνοις εὐκτικόν. ἐκ τοῦ θνῶ γίνεται κατὰ ἀναδιπλασιασμόν, τεθνῶ. ἐξ οὗ τέθνημι συζυγίας δευτέρας τῶν εἰς μι. ἡ μετοχή, τεθνὰς τεθνάντος. καὶ τὸ εὐκτικὸν τεθναίην, τεθναίης. τὸ προστακτικὸν τοῦ ἐνεστῶτος, τέθναθι. ὅτι δὲ ἐνεστώς ἐστι τὸ τέθναθι, δείκνυται ἐν τῷ εἶναι βραχὺ τὸ α. εἰ γὰρ ἦν δεύτερος ἀόριστος, ὤφειλεν εἶναι μακρόν. ἀεὶ γὰρ ὁ δεύτερος προστακτικὸς ἀόριστος μακρὰ παραλήγεται. ὁ παρατατικός, ἐτέθναμεν, ἐτέθνατε, ἐτέθνασαν. τέθνημι, τὸ πληθυντικόν, τέθναμεν. ἐξ οὗ τὸ ἀπαρέμφατον, τεθνάναι. τὸ δεύτερον, τέθνατε. τὸ τρίτον, τεθνᾶσιν. εἰ δὲ μὴ βούλοιο οὕτως, ἄλλως μάθε. τεθνήκασι. καὶ κατὰ ἀφαίρεσιν καὶ συστολήν, τεθνάασι. καὶ κατὰ συναλοιφήν, τεθνᾶσι. τὸ δὲ τεθναίης, τινὲς ἀπὸ τοῦ τεθναίημι λέγουσι. τὸ δὲ τέθνηκα καὶ πέπτωκα, τῇ μὲν φωνῇ, ἐνεργητικά εἰσι. τῷ δὲ σημαινομένῳ, παθητικά.

Τεθολωμένος, καὶ ἐπὶ χαρᾶς. φερεκράτης. Μυρμηκανθρώποις γελῶντα καὶ χαίροντα καὶ τεθολωμένον. καὶ ἐπὶ λύπης. ὑπὸ τῆς ἀνοίας ἀνεθολοῦτο δ᾽ ἡ καρδία.

Τεκμαίρω, σημαίνει τὸ κατασκευάζω, καὶ τὸ σημειοῦμαι. γίνεται δὲ ἀπὸ τοῦ τέκμωρ. τοῦτο ἀπὸ τοῦ τέκω τέκωρ, καὶ τέκμωρ πλεονασμῷ τοῦ μ. σημαίνει δὲ τέλος. τεκμήριον.

Τεκμηριοῦσθαι, σκέπτεσθαι. φράζεσθαι. τοῦτο ἀπὸ τοῦ τέκμωρ τέκμωρος, τεκμηριῶ.

Τέκος, παρὰ τὸ τέκω τέκος, ὡς νέμω νόμος. καὶ παρὰ τὸ τέκω τέκνον, καὶ τέκνον.

Τεκτήνατο, κατεσκευάσατο. οἶμαι ἀπὸ τοῦ τέκτω τεκταίνω. ὁ μέλλων, τεκτανῶ. ὁ ἀόριστος, ἐτέκτηνα. εἰς

Τελαμών, ὁ ἀναφορεὺς τῆς ἀσπίδος, […] τὸ τέτυκτο. ὅ ἐστι πλατὺς ἱμάς, ἀφ᾽ οὗ ἤρτηται ἡ ἀσπίς. ἔστι δὲ καὶ ἕτερος τελαμών, ὁ ἀναφορεὺς τοῦ ξίφους. εἴρηται δὲ ἀπὸ τοῦ τείνεσθαι τὸν ἱμάντα. ἢ παρὰ τὸ ταλάσσω, τελαμών. καὶ τροπῇ. τὰ δὲ εἰς μων ὀξύτονα παραληγόμενα, φυλάσσει τὸ ω ἐπὶ γενικῆς. τελαμῶνος. πλαταμῶνος. καὶ τελαμώνιος κτητικόν, ὡς καλαμώνιος. σημαίνει δὲ τρία, τὸν τῆς ἀσπίδος ἀναφορέα, ὡς τό, Ἱδρώσει μέν τευ τελαμὼν ἀμφὶ στήθεσσι βόειος. σημαίνει δὲ καὶ τὸν δεσμόν, ὡς τό, Δησάμενος τελαμῶνι περὶ σφυρόν. σημαίνει δὲ καὶ

Τέλος, παρὰ τὸ τίω τὸ ἀνταποδίδωμι […] κύριον ὄνομα. μι καὶ τὸ ἕλω τὸ ἑλκύω, ἢ παρὰ τὸ ἕω τὸ πληρῶ, ἕλος καὶ τέλος. ἀρχή. πρᾶξις. σημαίνει ἕξ. τὸ τάγμα, ὡς τό, Αἶψα δ᾽ ἐπὶ θρηκῶν ἀνδρῶν τέλος ἷξον, ἰλιάδος τ. τὸ πέρας ἤγουν τὸ πλήρωμα, ὡς τό, Οἳ δή τοι τόσσον μὲν ἔχον τέλος, οὔατα δ᾽ οὔπω. τὸ πρᾶγμα, ὡς τό, Οὐ γὰρ ἐγώ γέ φημι τέλος χαριέστερον εἶναι. ὀδυσσείας ι. τὴν ἑορτὴν παρὰ εὐριπίδῃ. ὡς τό, Σεμνὴν ἑορτὴν καὶ τέλος προσάξομεν. τέλος καὶ τὸ διδόμενον τοῖς βασιλεῦσιν ἤγουν τὸ δημόσιον. τέλος καὶ τὸ δαπάνημα, ὅθεν καὶ πολυτελὴς τράπεζα. καὶ πολυτελές, τὸ πολυδάπανον καὶ πολυανάλωτον. τέλος καὶ τὸ πέρας καὶ ὁ γάμος. ὅθεν καὶ τὰ προτέλεια. ἐκ δὲ τοῦ τέλος, γίνεται τέλειος. καὶ τελειῶ ῥῆμα βαρύτονον. ἐξ οὗ τελείομαι ἐτελειόμην ἐτελείετο. γίνεται γὰρ παράγωγον διὰ τοῦ ειω καὶ ἀπὸ ἐνεστῶτος καὶ ἀπὸ μέλλοντος. νικῶ, νικείω. τελῶ, τελείω. θῶ, θείω. σῶ, σείω. γελάσω, γελασείω. ἀλλὰ τὰ ἀπὸ ἐνεστῶτος γινόμενα, ἔχουσι καὶ παρατατικὸν μόνον. τὰ δὲ ἀπὸ μέλλοντος, ἐνεστῶτα μόνον. ὅθεν σεσημείωται τὸ ὤψεον, ἀπὸ τοῦ ὀψείω. τὰ δὲ εἰς ω λήγοντα καθαρὰ τῇ ει διφθόγγῳ παραληγόμενα, βαρύνεται. εἰ δὲ περισπᾶται, τοῦτο ἀπὸ ὀνόματος γίνεται. τὸ γὰρ μειῶ, καὶ τελειῶ, καὶ ἀρειῶ, καὶ ἀχρειῶ, παρὰ τὸ μεῖος, καὶ τέλειος, καὶ ἄχρειος, καὶ ἄρης.

Τελισκόμενος, τελειούμενος. πληρούμενος. ἐνθουσιῶν.

Τελενικίσαι, ἐν σερίφοις τὸ κνῶσαι. ἀπὸ τελενίκου τινὸς ὡς τὸ εἰκὸς πονηροῦ τελέως. καὶ λέγεται τις τελενίκιος ἦχος. ἐκ μεταφορᾶς ἀπὸ τῶν κνωδῶν ἀγγείων.

Τελεσθῆναι, τὸ ἀναλωθῆναι. οὕτως ἀντιφῶν.

Τελεσιαζόμενα, θυόμενα καὶ τελούμενα.

Τελεσφόρος, τέλειος μάντις. ἐγγαστρίμυθος.

Τελετή, θυσία μυστηριώδης. ὁ δὲ ὧρος ὁ θηβαῖος λέγει, ὅτι τελετὰς καλοῦσι τὰς ἐπὶ μείζους καὶ μετά τινος μυστικῆς παραδόσεως ἑορτὰς τῶν εἰς αὐτὰς δαπανημάτων ἕνεκεν. τελεῖν γάρ φαμεν τὸ δαπανᾶν. καὶ πολυτελεῖς, τοὺς πολλὰ ἐσθίοντας. χρύσιππος δέ φησι τοὺς περὶ τῶν θείων λόγους εἰκότως καλεῖσθαι τελετάς. χρῆναι γὰρ τούτους τελευταίους καὶ ἐπὶ πᾶσι διδάσκεσθαι. τῆς ψυχῆς ἐχούσης ἕρμα καὶ κεκρατημένης. καὶ πρὸς τοὺς ἀμυήτους σιωπᾶν δυναμένης. μέγα γὰρ εἶναι τὸ ἆθλον ὑπὲρ θεῶν ἀκοῦσαί τε ὀρθὰ, καὶ ἐγκρατεῖς γενέσθαι αὐτῶν.

Τέλμα, τόπος πηλώδης ὕδωρ ἔχων. καὶ τέλματα, τὰ πηλώδη καὶ τελευταῖα τοῦ ὕδατος. ἢ βάθρα. ἰσαῖος δὲ εἶπε τὰ γεωργήσιμα χωρία. καὶ τελμῖνα καλεῖται τόν

Τελμισσεῖς, οἰκοῦσιν ἐν […] ἐκ τελμάτων πηλόν. καρία, ἀπέχοντες ἑξήκοντα στάδια ἀλικῆσιοι ὡς πολέμων. τελμισσὸς δὲ, πόλις ἐν λυκίᾳ. ἀπὸ τελμισσοῦ τοῦ ἀπόλλωνος, καὶ μιᾶς τῶν ἀντήνορος θυγατέρων.

Τέλσον ἀρούρης, ἰλιάδος ν. παρὰ τὸ τέλλω. αἰολικὸς μέλλων, τελσῶ. ὡς κέλλω κέλσω.

Τελχῖν, οὐ μόνον ὁ ἰσχὺν ὑπὲρ ἄνθρωπον ἔχων μιαρὸς καὶ κακοῦργος, ἀλλὰ καὶ τοὺς νῦν κρῆτας. καὶ τὴν κρήτην τελχινίαν λέγουσι. τελχῖν, καὶ ἡ εἰς θάνατον καταφορά. καὶ τελχινώδης, ὁ τραχηλιώδης. καὶ τελχίναι, ἀντερίζει. σκληροτραχηλεῖ. λέγονται δὲ τελχῖνες, οἱ φθονεροὶ καὶ πονηροὶ καὶ βάσκανοι δαίμονες. παρὰ τὸ θέλγω τὸ ἀμαυρῶ καὶ σκοτίζω. θελγῖνες τινὲς ὄντες. ἢ παρὰ τὸ θέλγειν καὶ ἀπατᾶν τοὺς ἀνθρώπους.

Τεμένη, ναοί. ἱερά. ἢ τὰ ἀφωρισμένα κατὰ τιμὴν χωρία. παρὰ τὸ τέμνω τέμνος. καὶ πλεονασμῷ τοῦ ε, τέμενος. ὁ ἀποτετμημένος καὶ ἀποκεχωρισμένος τόπος.

Τέμπη, τὰ μεταξὺ τῶν θετταλίας […] τῶν θεῶν. ὀρῶν περὶ τὸν ὄλυμπον καὶ τὴν ὄσσαν στενά. καθόλου δὲ καὶ ἐν πᾶσι τοῖς ὄρεσιν, αἱ στενόταται διαβολαί. ὡς διονύσιος ὁ περιηγητής. Πυμάτης παρὰ τέμπεα κέρνης. λέγει δὲ τὰς κατὰ δύσεις καὶ φωλεύσεις τῶν ὀρῶν. τοὺς διύγρους τόπους. τέμπη καὶ τὰ στενὰ τῶν ὀρέων. λέγεται τέμπη, καὶ τὰ μεταξὺ τῶν ὀρῶν στενώματα. οἱονεὶ τέμπη τινὰ ὄντα, τὰ μετὰ τροπὰς καὶ κάμψεις ἔχοντα.

Τενάγη, διάβροχοι καὶ κάθυγροι τόποι. πηλώδη […] τα. πελάγη. ἢ ἰλὺς ἐπιπολάζοντος ὕδατος οὐ πολλοῦ, καὶ βοτάνης ἐπιφαινομένης τῷ ὕδατι. εἴρηνται δὲ οἱ ὑπόβρυχοι τόποι. παρὰ τὸ τέγγω τὸ βρέχω, γίνεται τέγος. καὶ πλεονασμῷ τοῦ α, τέναγος. τροπῇ τοῦ γ εἰς ν. ἢ τέγγω τέγανος. καὶ ὑπερθέσει, τέναγος, ὁ ὑπόβροχος.

Τένης, παρὰ τὸ τείνω τὸ τανύω. ἢ […] χος τόπος. παρὰ τὸ στένω τὸ στενάζω. τένης.

Τένθης, γαστρίμαργος.

Τένοντας, τραχήλους. τὰ διατεταμένα νεῦρα. ὁ τράχηλος μὲν, τένων λέγεται ἀπὸ τῆς τάσεως. αὐτὰ δὲ τὰ νεῦρα, ἀπὸ τοῦ τείνω.

Τέο καὶ τεόν. τὸ μὲν τέο, ἀντὶ τοῦ τινὸς κεῖται. τὸ δὲ τεόν, ἀντὶ σόν. κατὰ τὸν δωρικὸν πλεονασμὸν τοῦ ε. ἔστι δὲ τίς τινός. καὶ ἐκβολῇ τοῦ ν, τίος. καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν, καὶ γίνεται τίος τίου. οἱ γὰρ αἰολεῖς βαρυτονοῦσιν. ἢ ὅτι καὶ αἱ γενικαὶ μεταγόμεναι εἰς εὐθεῖαν βαρύνονται, πολλάκις ἀμείβουσαι τοὺς τόνους. ἐκ τῆς τίου γενικῆς, κατὰ κρᾶσιν γίνεται τοῦ. καὶ διαλύσει ἰωνικῇ, τέο. καὶ κράσει, τεῦ.

Τέρας, τὸ σημεῖον. παρὰ τὸ εἴρω τὸ λέγω. ὁ μέλλων, ἐρῶ. ἔρας καὶ τέρας. διὰ γὰρ τῶν σημείων καὶ τῶν τεράτων, ἔλεγον οἱ μάντεις τὰ μέλλοντα. διαφέρει δὲ σημείου. τέρας λέγεται τὸ παρὰ φύσιν γινόμενον πρᾶγμα. σημεῖον δὲ, τὸ παρὰ τὴν κοινὴν συνήθειαν γινόμενον.

Τερατεία, καὶ τερατολογία, ἡ ψευδολογία. καὶ τερατολόγοι, οἱ θαυμαστὰ καὶ παράδοξα μυθεύοντες.

Τερατοσκόπος, τερατουργός. μάντις. θαυματοποιός.

Τέρεινα. ὥσπερ παρὰ τὸ μάκαρ μάκαρος καὶ τάλας τάλανος, γίνεται μάκαιρα καὶ τάλαινα τὸ θηλυκόν, οὕτως ἀπὸ τοῦ τέρην τέρενος, γίνεται τὸ θηλυκὸν τέρενα. καὶ προσθέσει τοῦ ι, γίνεται τέρεινα. λυκόφρων καὶ ἀπολλώνιος. Τερείνης ἄνθεα γαίης. ἔστι δὲ πόλις. ὅθεν ἡρακλείδης ὁ τερειναῖος. τὸ δὲ τέρην, γίνεται παρὰ τοῦ τείρω τὸ καταπονῶ. σημαίνει δὲ τὸν τρυφερὸν καὶ ἁπαλόν, ἢ τὸν θερμόν. ὡς τό, Τέρεν κατὰ δάκρυ χέουσα. παρὰ τὸ θέρω θέρεν καὶ τέρεν. τὸ ὥσπερ τεθερμασμένον καὶ διακεχυμένον. καὶ τέρεν τὸ ἁπαλόν. παρὰ τὸ διακεχύσθαι.

Τερετίζειν, τοῖς μουσικοῖς κρου- […] καὶ μὴ τραχὺ εἶναι. ματίου τι κατείθισται, τὸ λεγόμενον τέρεν. ἀφ᾽ οὗ τερετίζειν λέγεται τὸ ᾄδειν. κατὰ ἀλλοίωσιν τοῦ α εἰς ε. καὶ τερετίσματα, ᾠδαὶ ἀπατηλαί, ἢ ᾄσματα ἔκλυτα ἀπὸ μεταφορᾶς τοῦ τέττιγος ἢ τῆς χελιδόνος.

Τέρετρον, τρυπάνιον. ἔστι ῥῆμα τρῶ τρᾷς. ὅπερ ἐστὶ κατὰ συγκοπὴν τοῦ τείρω. παρὰ δὲ τὸ τείρω, τέρτρον, ὡς φέρω φέρτρον. δηλοῖ δὲ τὸ τρῶ, τὸ κόπτω. ἔνθεν τὸ τρῶσαι, καὶ ἐκτρῶσαι, ὅ ἐστι διακόψαι τὸν τοκετόν.

Τερθρεία, γοητεία. περιπάθεια. παρὰ τὸ τέρας τέρατος, τερατεύω. τερατεία. καὶ συγκοπῇ, τερθεία. καὶ τροπῇ τερθρεία. ἢ καλεῖται τέρθρον, σχοινίον τι τοῦ πλοίου λεπτόν. οἷον τέρετρον. διατετρύπηται γὰρ κατὰ τῶν ἄκρων σινδόνων. φασὶ δέ τινες τὰ ἄνω τμημάτια τοῦ ἐπὶ τῷ ἱστῷ ὀργάνου. ἀφ᾽ οὗ ἤρτηται τοῦ ἱστοῦ ἡ κεραία. ἐκ τούτου γίνεται τερθρία ἡ λεπτολογία. ἄλλοι δὲ τερθρίαν φασὶ τὴν φλυαρίαν τὴν ἐν τοῖς δύο μέρεσι καλουμένην μάχην. οἱ δὲ ὅτι ἔθος ἦν τοὺς ἐφήβους μετὰ τὸ γενέσθαι περιπόλους τῆς χώρας στρατεύεσθαι μέχρις οὗ συμβαίη πόλεμος. μὴ μέντοι μετὰ τῶν ἄλλων, ἀλλ᾽ ἰδίᾳ ἐν μέρεσι τοῖς ἀκινδύνοις τῆς μάχης. διὸ οὕτω καλοῦσι τὴν στρατείαν τὴν ἐν τοῖς μέρεσι. σημαίνει καὶ ἀπάτην καὶ περιεργίαν οὕτως εἰς τὸ ῥητορικόν. ὁ δὲ ὧρος ὁ μιλήσιος λέγει ὅτι εἶναι περὶ ἃ ἄχρηστα τινὲς σπουδάζουσιν, γίνεται κενοσπουδία. παρὰ τὸ τερθρεύειν. καὶ τερθρευόμενος. φερεκράτης

τερθρία, πνοή. Τερμιλάς, ὁ ζιλάς· παρὰ τὸ πάντων ἀρχὴν καὶ τέρμα εἶναι. Τέρμινθος, καὶ τέρμινθος, ἐμφερὲς λίνῳ φυτόν. ἐξ οὗ πλέκειν φασὶν ἀθηναίους ὁρμιὰς χρειώδεις εἰς τὰ πάντα, καὶ πρὸς ἀλεξιφάρμακα.

Τερμιόεσσα, ἀπὸ τοῦ τέρμα γίζουσα. οἷον, μεγάλη καὶ τελεία.

Τέρπνιστος. πανόητος ἐστὶν λέγουσι καθαρόν, συγκριτικὸν τὸ ἴδιον πρωτοτύπου μιᾷ συλλαβῇ πλεονάζει. οἷον, ταχὺς ταχίων. κακὸς κακίων. βραδὺς βραδίων. ἐλαχὺς ἐλαχίων, ἐλάχιστος. τερπνὸς τερπνίων, τέρπνιστος. καλλίμαχος. Τέρπνιστοι δὲ τοκεῦσι τόθ᾽ υἷες. ὠκὺς ὠκίων, ὤκιστος. γλυκὺς γλυκίων, γλύκιστος. πρέσβυς πρεσβίων, πρέσβιστος. Πρέσβιστος δ᾽ ἀνδρῶν νυκτὸς ὀφθαλμὸς πρέπει. αἰσχύλος. βραχὺς βραχίων βράχιστος. λαλίων λάλιστος, λαλίστατος. ψευδίων ψεύδιστος ψευδίστατος. κλέπτης κλέπτιστος, κλεπτίστατος. οὕτως οὖν καὶ καλὸς καλίων. καὶ πλεονασμῷ τοῦ λ, καλλίων κάλλιστος. ταῦτα δὲ πάντα τὰ διὰ τοῦ ι διφορεῖται κατὰ τὸν χρόνον. ἔχει γὰρ καὶ μακρὸν καὶ βραχὺ τὸ δίχρονον.

Τέρπεσθαι, μετάθεσίς ἐστι τοῦ ρ. παρὰ τὸ ῥέπεσθαι καὶ μετάγεσθαι τὴν ψυχὴν ἀπὸ τῶν βιωτικῶν φροντίδων. ἢ ἀπὸ τοῦ θεραπεύω τὸ τέρπω.

Τερπικέραυνος, ἢ μὲν ἀπὸ τοῦ τέρπω, δηλοῖ τὸν τερπόμενον ἐν τοῖς κεραυνοῖς. ἢ δὲ ἀπὸ τοῦ τρέπω, παρὰ τὸ τρέπειν τοὺς ἐναντίους τῷ κεραυνῷ.

Τερπνός, παρὰ τὸ τέρπω τερπός. καὶ πλεονασμῷ τοῦ ν. ἐκ τοῦ τερπνός, τερπνότης. ἢ παρὰ τὸ τέρπειν τὸν νοῦν.

Τέρσεσθαι, ξηραίνεσθαι· παρὰ τὸ θέρσω μέλλοντα. αἰολικῶς καὶ τροπῇ τοῦ θ εἰς τ. καὶ ἔτερσε τὸ ἐξήραινε.

Τεταγών, τείνας. ῥίψας. τὸ θέμα τάγω. σημαίνει τὸ τείνω καὶ ἕλκω. ὁ μέλλων, τάξω. ὁ μέσος παρακείμενος, τέταγα. ὁ δεύτερος ἀόριστος, ἔταγον. ἡ μετοχὴ ταγών. καὶ κατὰ ἀναδιπλασιασμόν, τεταγών. ἰλιάδος α.

Τετάχαται καὶ τετεύχαται, ἀπὸ τοῦ τεύχω τεύξω, τέτευχα, τέτευκται, καὶ ἰωνικῶς, τετεύχαται. τὸ δὲ ἀπὸ τοῦ τάσσω τάξω ὁμοίως ἰωνικῶς.

Τέταρτος, παρὰ τὸ τέσσαρας ἀριθμοὺς ἔχειν.

Τεταρτημόριον, τὸ τέταρτον μέρος τοῦ ὀβολοῦ, τουτέστι χαλκοῖ δύο. ὁ γὰρ ὀβολὸς, ὀκτὼ χαλκοῦς ἔχει. τριτημόριον δὲ, τοὺς ἓξ χαλκοῦς εἴρηκε φιλόξενος.

Τεταργανωμένη, συμπεπλεγμένη. συνειλημμένη. ἡ γὰρ παρ᾽ ἡμῖν στεργάνη, παρὰ ἀττικοῖς ταργάνη καλεῖται. καὶ τὸ συνειλῆφθαι, τεταργανῶσθαι. λυκόφρων.

Τέτλαθι. Τέτλαθι μῆτερ ἐμή. καρτέρησον. ὑπόμεινον. ἐκ τοῦ τλῶ τλῆμι. τὸ πληθυντικόν, τλᾶμεν. τὸ προστακτικόν, τλᾶθι. καὶ κατὰ ἀναδιπλασιασμόν, τέτλαθι.

Τέτλαμεν. τοῦτο δύναται εἶναι καὶ συγκοπῇ καὶ κινήσει. βεβήκαμεν, βέβαμεν. τετλήκαμεν, τέτλαμεν. ἀξιοῖ φιλόξενος εἶναί τι καὶ τέτλημι ῥῆμα.

Τετιημένε. τεταλαιπωρημένε. πεπονθώς. ἀπὸ τοῦ τίω τὸ τιμωρῶ, τὸ παθητικὸν τιῶμαι τιῶ. καὶ σημαίνει τὸ λυπῶ. ὁ μέλλων τιήσω. τετίηκα. τετίημαι.

Τέτρε, ἡ σφόδρα. Η δὲ γυνὴ τέτρε ἐβόα, ἀντὶ τοῦ τέσσαρα. οὐδεὶς δὲ ἀπαιτήσει τὸ ἑνικὸν τοῦ τέτρε. τὸ τέτρε, ἐστὶ δυϊκόν.

Τετραβάμων, τετράπους.

Τετραφάληρον, τέσσαρας φάλους ἔχουσαν.

Τετραποδισταί, οἱ ἐπίπονον βίον ζῶντες.

Τέτηκα, μέσος παρακείμενος καὶ διάθεσις μέση. καὶ τί ἐστι μέση διάθεσις. ἡ ποτὲ μὲν ἐνέργειαν, ποτὲ δὲ πάθος παριστῶσα. καὶ τί παριστᾷ. ἐπειδὴ ὁ τῶν μέσων τύπος ἐπ᾽ ἀμφοτέρας φθάνει τὰς διαθέσεις, εἰς ἣν ἡ ἑρμηνεία, ὁ τῶν μέσων τύπος φθάνει καὶ ὡς τοῦ ἐνεργητικοῦ χαρακτῆρος καὶ ὡς τοῦ παθητικοῦ. καὶ ὡς τοῦ παθητικοῦ μὲν, διὰ τὸ ἠκροασάμην καὶ κατηρξάμην. παθητικοῦ γὰρ τύπου ταῦτα. ὡς δὲ τοῦ ἐνεργητικοῦ, ὡς τὸ κέκοπα καὶ πέπονθα. ἄλλως. τὸ λέλογα καὶ πέφαδα, ἐνεργητικὴν ἔχει σημασίαν. τὸ δὲ τέθηκα καὶ διέφθορα, παθητικήν. οἱ αὐτοὶ γὰρ σχηματισμοὶ, καὶ ὡς ἐνεργητικοῦ λαμβάνονται καὶ ὡς παθητικοῦ.

Τετράφαται. τρέπω. τέτραφα. τέτραμμαι, τέτραπται. τετράμμεθα. τέτραφθε. καὶ ἰωνικῶς τετράφαται.

Τέτρασι. τὸ παροξύτονον ἐντελές. οἷον, τετράσιν. ἢ ἐκ τοῦ τέσσαρσι, τέτταρσι. ἀποβολῇ καὶ ὑπερθέσει τέτρασι.

Τετραχίζειν. οἷον, ὡς τεταρτημερεῖ ποιεῖν. ἀριστοφάνης.

Τετραρχίαι, τεττάρων μερῶν ὄντων τῆς θετταλίας, ἑκάστου μέρος τετρὰς ἐκαλεῖτο. ὄνομα δέ φασιν εἶναι ταῖς τέτρασι, θετταλιῶτιν. φθιῶτιν. πελασγιῶτιν. ἑστιαιῶτιν.

Τετράχμον. οὐ δύναται κατὰ συγκοπὴν λέγεσθαι διὰ τὸν τόνον. εἰ γὰρ συγκοπὴ γίνοιτο, παράλογος ὁ τόνος. τετράδραχμον. καὶ ἀποβολῇ τοῦ δ, τετράαχμον. καὶ συναλοιφῇ, τετρᾶχμον. καὶ περισπᾶται.

Τετρήνας λύχνους, λυκόφρων. διατρυπήσας.

Τετρήχει. Τετρήχει δ᾽ ἀγορή. ἐτετάρακτο. ἀπὸ τοῦ ταράσσω ταράξω, τετάραχα, ἐτεταράχειν. ὁ μέσος ὑπερσυντέλικος, ἐτεταράγειν. τὸ τρίτον ἐτεταράγει. καὶ κατὰ συγκοπὴν, ἐτετράγει, ἐτετρήγει. καὶ ἀποβολῇ τοῦ ε. ἄλλοι δὲ ἀπὸ τοῦ τρίζω. οὐ καλῶς. Καὶ ἀγορὴ τετρηχυῖα. ἡ τραχεῖα καὶ θορυβώδης. ἡ τεταραγμένη ὑπὸ τοῦ θορύβου. ἀπὸ τοῦ ταράσσω, ἢ ἀπὸ τοῦ τραχύνω.

Τετρυχωμένους, ἐκ τοῦ τρυχῶ συζυγίας γ τῶν περισπωμένων. τοῦτο ἐκ τοῦ τρύχω βαρυτόνου. τοῦτο ἐκ τοῦ τρῶ τὸ κατὰ πονῶ. τρῶ τρύω κατὰ παραγωγήν. καὶ πλεονασμῷ τοῦ χ. Τέτρωρον, παρὰ τὸ ἀρηρέναι καὶ ἡρμόσθαι τοὺς ἵππους ἑαυτῷ.

Τέττα, προσφώνημα τιμητικὸν νεωτέρου φίλου πρὸς παλαιότερον. ἀπὸ τοῦ ἄττα. καὶ κατὰ ἀναδιπλασιασμόν, τέττα.

Τέττιξ, μουσικώτατον ζῶον. παρὰ τὸ τερετίζω τὸ μουσικὰς φωνάς. τερέτιξ, καὶ συγκοπῇ τέττιξ. ἢ παρὰ τὸ τάττω τάξω τάττιξ, ὁ τεταγμένον ἔχων καιρὸν ἐν τῷ ᾄδειν.

Τετύφωμαι, ἀντὶ ἐμβεβρόντημαι. ἔξω τῶν φρενῶν γέγονα. ἤτοι ἀπὸ τῆς βροντῆς, ἢ ἀπὸ τῶν αὐτῶν τυφῶνα κατὰ φερομένων σκηπτῶν. ἢ ἀπὸ τῶν τυφωνικῶν καλουμένων πνευμάτων, ἃ δὴ καὶ αὐτὰ ἐξίστησιν ἀθρόως καταρραγέντα. καὶ τετυφῶσθαι τὸ μεμηνέναι. τὰ γὰρ τυφώνια πνεύματα, μανίαν ἐμποιεῖ πεσόντα.

Τετύκοντο, κατεσκευάζοντο. ἀπὸ τοῦ τεύχω. ὁ δεύτερος ἀόριστος, ἔτυχον. ὁ παθητικός, ἐτυχόμην. ἐτυχόμεθα. ἐτύχοντο. καὶ κατὰ ἀναδιπλασιασμόν, τετύχοντο. καὶ τετύκοντο κατὰ τροπήν. ὥσπερ καὶ τὸ κεκάδοντο ἀπὸ τοῦ χάζω. τὸ δὲ τεύχω, δύο σημαίνει. τὸ κατασκευάζω καὶ τὸ ἐπιτυγχάνω. ὁ μέλλων τεύξω. ὁ παρακείμενος, τέτευχα. ὁ παθητικός, τέτευγμαι, τέτευξαι, τέτευκται. καὶ ἀποβολῇ τοῦ ε, τέτυκται. ἐκ δὲ τοῦ τέτυκται, γίνεται τυκτός. ὡς πέφυκται φυκτός. καὶ ἄφυκτος ὃν οὐ δύναταί τις διαλαθεῖν. καὶ ὁ ἰωάννης. Στραφαῖς ἀφύκτοις ἐν διαθροῖ δακτύλοις. ἐκ δὲ τοῦ τέτευκται, γίνεται τευκτός. ὅθεν τεκταίνω. οὗ ὁ ἀόριστος πρῶτος ἰωνικῶς, ἐτέκτηνα. ὁ μέσος, ἐτεκτηνάμην ἐτεκτήνατο. καὶ ὅμηρος ἰλιάδος ε. καὶ ὥσπερ ἀπὸ τοῦ πέφευγμαι γίνεται ποιητικῶς πέφυγμαι, οὕτω καὶ ἀπὸ τοῦ τέτευγμαι γίνεται τέτυγμαι ἀπὸ τοῦ τεύχω βαρυτόνου. ὅθεν ὁ παθητικὸς ἀόριστος, ἐτύχθη, ἀντὶ τοῦ κατεσκευάσθη. ἐγένετο. ἔστι καὶ περισπώμενον τευχῶ. ἐξ οὗ καὶ τὸ τετυχεῖσθαι. ὀδυσσείας ε.

Τεῦ, ὄνομα ἀορίστου γενικῆς, ἀντὶ τοῦ τινός. λέγεται καὶ τεοῦ. ζήτει εἰς τὸ τέο.

Τεῦχος, σημαίνει τρία, τὰ πολεμικὰ ὅπλα, καὶ τὰ τῆς νεὼς. καὶ ἀγγεῖόν τι.

Τευτάζειν, πραγματεύεσθαι, ἢ σκευωρεῖσθαι, ἢ στρατεύεσθαι. καὶ πολὺ διατρίβειν ἐν τῷ αὐτῷ. λυκόφρων οὕτω καὶ δίδυμος, προσθεὶς ὅτι ἐνίοτε σημαίνει καὶ τὸ φροντίζειν. ἡρωδιανὸς δὲ λέγει κατὰ μέμψιν λυκόφρονος φησὶν εἶναι τὸ ἐπιστρεφῶς τι πράττειν ἢ ἐνεργεῖν. πλάτων. Ην δὴ θόρυβος τευταζόντων, ἀντὶ πραγματευομένων ἢ διατριβόντων. καὶ ἐν τιμαίῳ τευταζόντι, ἀντὶ τοῦ διατρίβοντι. γράφεται καὶ τεταυκότι. τηλεκλείδης.

Πάντες δὲ τεταυζουσιν, ἀντὶ πραγματεύονται. σκευωροῦνται. σημαίνει καὶ τὸ σπουδάζειν, καὶ τὸ ἡσυχάζειν. καὶ τευτάζων, τὸ αὐτὸ ἀεὶ λέγων. φλυαρῶν. ῥητορική.

Τεύμησαν, κατεσκεύασαν. ἐτεχνήσαντο. εἴρηται δὲ ὅτι τὸ τεύμησσον τὸ ὄρος ὑπὸ τοῦ διὸς κατασκευασθέντα εἰς ἀπόκρυψιν τῆς εὐρώπης, ἀπὸ τούτου κληθῆναι τεύμησσον ἀπὸ τοῦ κατεσκευάσθαι. καὶ τευμησία ἀλώπηξ, θηρίον.

Τέφρα, παρὰ τὸ τύφω τὸ καίω. ἡ κεκαυμένη σποδιά.

Τέχνη, παρὰ τὸ τεύχω τὸ κατασκευάζω, τευχάνη. καὶ συγκοπῇ, τέχνη.

Τεχθησόμενος, ἐκ τοῦ τέκω, τέτεχα, τέτεγμαι.

Τέως, τοῦτο παρὰ πλησίον ἐστὶ τῷ πρὸ τοῦ, ὃ δὴ καὶ πρὶν λέγεται. ἔστι δὲ ὅτε καὶ ἀντὶ τοῦ ἕως τινὲς αὐτὸ ἐχρήσαντο. καὶ ἀντὶ τοῦ ἐν τοσούτῳ. ἕως. τέως.

Τείρεα, τὰ ἄστρα. παρὰ τὸ εἴρω τὸ λέγω, εἴρεα, καὶ τείρεα πλεονασμῷ τοῦ τ. καὶ γὰρ τὰ ἄστρα σημαίνουσί τινα σημεῖα. ἢ παρὰ τὸ τέρας τὸ σημεῖον. σημαντικὰ γάρ ἐστι τῶν μελλόντων. ἢ παρὰ τὸ τείρω τὸ καταπονῶ. πολλοὶ γὰρ ἐκ τῶν ἀστέρων κατεπονήθησαν, καὶ γεγόνασιν ἀστρόβλητοι, ὥσπερ καὶ ἐμβρόντητοι. καὶ τειρεσίας ὁ μάντις, παρὰ τὸ εἴρω τὸ λέγω, ἢ παρὰ τὸ τείρεα. πολλάκις γὰρ οἱ μάντεις ἐκ τῶν ἀστέρων τι λέγουσιν. ἢ παρὰ τὸ τείρεσθαι. οἱονεὶ ὁ καταπονούμενος ἐκ τῆς στερήσεως τῶν ὀφθαλμῶν. τυφλὸς γὰρ ἦν.

Τεῖχος, παρὰ τὸ τεύχω τὸ κατασκευάζω, τεῦχος καὶ τεῖχος. ἢ ἀντίκειται τὸ τοῖχος. ἐκ τοῦ τεῖχος, τὸ τειχόεις. καὶ πλεονασμῷ τοῦ ι, τειχιόεις.

Τειχεσιπλῆτα, τοῖς τείχεσι προσπελάζων. πορθητά. εἰ δὲ διὰ τοῦ β γράφεται, ὁ τὰ τείχη καταβάλλων.

Τῆ τοῦτον ἱμάντα, ἰλιάδος ξ, ἀντὶ τοῦ δέξαι, λάβε. ἔστι τάω τῶ, σημαίνει τὸ δέχομαι. τάεις τᾷς, τάει τᾷ. καὶ κράσει τοῦ α καὶ ε εἰς η δωρικῶς, τῇς, καὶ τῇ. τούτου ὁ παρατατικὸς ἔταον, ἔταες, ἔταε. καὶ τὸ προστακτικόν, τάε. καὶ κράσει δωρικῇ, τῆ. Κύκλωψ τῆ πίε οἶνον.

Τήβεννα, ἱμάτιον, ἢ χλαμὺς ἣν φοροῦσι τύραννοι.

Τήγανον, παρὰ τὸ τήκω τήκανον. καὶ μεταθέσει τοῦ κ εἰς γ.

Τῆδε, ἀντὶ τοῦ ἐκεῖσε. καὶ ἔστιν ἐπίρρημα τοπικόν. ἀπὸ τοῦ τῆ, ἄρθρου.

Τηθαλλαδοῖς, γυναικοτρόφοις. ὑπὸ τηθῆς τεθραμμένους.

Τήθεα, εἰς τὸ τηθά.

Τηθὴ, ἐκ τοῦ τῆ. ἡ λέγουσα τῷ βρέφει λάβε. θήλασον. ἐν δὲ τῷ ῥητορικῷ εὗρον σημαίνειν τὴν λέξιν μάμμην, ἢ πρὸς πατρὸς ἢ μητρὸς μήτηρ.

Τηθύς. τηθύος, ἡ γῆ, παρὰ τὸ τιτθή. τὸ γὰρ ὕδωρ, πάντα τρέφει. ἢ ὅτι κυρία ἐστὶ τῆς ὑγρᾶς οὐσίας, ἀφ᾽ ἧς πάντα τρέφεται.

Τῆλε, ἐπίρρημα χρόνου δηλωτικόν. καὶ δηλοῖ τὸ πόρρω. καὶ γίνεται ἐκ τοῦ τηλόσε. συγκοπῇ τῆς ος συλλαβῆς. ἐκ τούτου καὶ τηλέμαχος, ἀπὸ τοῦ ἵστασθαι κατὰ τὴν ἱστορίαν.

Τηλεδαπός, οὐχ ὥς τινες ἔλκεται τὸ ἔδαφος ὁ πόρρω ἔχων τὸ ἔδαφος καὶ τὴν πόλιν, ἀλλὰ παραγωγόν ἐστι, διὰ τοῦ δαπος τῆλε, τηλεδαπὸς, ὁ μακρὰν ἀφεστηκώς. ὡς ἡμέτερος ἡμεδαπὸς, καὶ ὑμεδαπός.

Τηλεθάοντες. παρὰ τὸ θάλλω θάλλοντες. δύναται δὲ εἶναι καὶ παρὰ τὸ θαλέθω. καὶ μεταθέσει τοῦ θ εἰς τ, θαλεθάοντες καὶ τηλεθάοντες. οὐ γὰρ ἔγκειται τὸ τῆλε. καὶ τηλεθόωσα, ἡ εὐθαλὴς καὶ μεγάλως θάλλουσα.

Τήλεφος, ὄνομα κύριον. ἐκλήθη δὲ διὰ τὸ θηλάσαι αὐτὸν ἔλαφον.

Τηλία, πῆγμα τετράγωνον. ἐφ᾽ οὗ ἦσαν τὰ ἄλευρα πιπράσκεται, ἢ ἀλεκτρυόνες συμβάλλονται. ῥητορική. ὁ δὲ ὦρος, τηλίαν λέγει τὴν περιφέρειαν τοῦ κοσκίνου. παρὰ τὸ σῶ τὸ δηλοῦν τὸ σείω καὶ κινῶ τῷ σήθω. ἀφ᾽ οὗ ὄνομα σηλία καὶ τηλία. τρέψαντες γὰρ οἱ ἀττικοὶ τὸ σ εἰς τ, τὸ σῶ τῶ λέγουσι. καὶ ἐν συνθέσει τῆς διά, διάττω πλεονασμῷ τοῦ τ. λέγεται καὶ ἡ σανὶς τῶν κύβων τηλία. ἐφ᾽ ἧ οἱ κυβεύοντες παίζουσι. καὶ ἀλφίτων πωλητήριον πλατείας προσηλωμένας ἔχον κυκλωσανίδας, τοῦ μὴ ἐκπίπτειν τὰ ἄλφιτα.

Τηλοῦ, ἐπίρρημά ἐστι, καὶ σημαίνει τὸ πόρρω. καὶ γίνεται παρὰ τὸ τέλος τέλου. καὶ τροπῇ τοῦ ε εἰς η, τηλοῦ. τὰ γὰρ ἐπὶ τέλους ἀποτείνοντα, μεγεθύνεται. ἐκ τοῦ τοῦ καὶ τὸ γεννῶ γεννήσω γεννητὸς, γίνεται τηλυγέννητος. καὶ συγκοπῇ τηλύγετος.

Τηλόθι. ἐπίρρημα τοπικόν. σημαίνει τὸ πόρρω. καὶ γίνεται παρὰ τὸ τηλοῦ τηλόθι. ὥσπερ παρὰ τὸ ὑψοῦ ὑψόθι, καὶ ἀγχοῦ ἀγχόθι.

Τηλυγέτην, καταχρηστικῶς ἀγαπητήν. μονογενῆ. κυρίως γὰρ τηλυγέται καλοῦνται, οἱ τηλοῦ τῆς γονῆς ὄντες παῖδες, ὅ ἐστιν οἱ ἐκ γεροντικῆς ἡλικίας σπαρέντες. δοκεῖ γὰρ τὰ μετὰ ἀπογέννησιν τῆς παιδοποιΐας γεννώμενα, μᾶλλον ἀγαπᾶσθαι.

Τῇ μῇ, ἔχει τὸ ι κατὰ τὴν λήγουσαν. κατὰ δὲ τὴν ἀρχὴν, οὔ. οἷον, Ἀμφὶ δέ τοι τῇ μῇ κλισίῃ. ἔστι γὰρ τῇ ἐμῇ. καὶ ἐκθλίβεται τὸ ι τοῦ ἄρθρου. καὶ κιρνᾶται τὸ η καὶ ε εἰς η. ἔστι χωρὶς τοῦ ι. ὥσπερ τὸ, Δίε μὲν οἱ ἀδινὴ τῶ μῶ κεχαρισμένε θυμῷ. ἔστι γὰρ τῷ ἐμῷ. καὶ ἐκθλίβεται τὸ ι τοῦ τῷ ἄρθρου, καὶ κιρνᾶται τὸ ω καὶ ε εἰς τὸ ω, καὶ γίνεται τῶ μῶ χωρὶς τοῦ ι.

Τῆμος, σημαίνει τὸ τηνικαῦτα. καθ' ἣν ὥραν. τότε.

Τηνάλλως, μάτην.

Τήνελλα, τοῦ ἐπαυλήματος μίμησις καὶ τοῦ κρούματος.

Τῆς, ἀντὶ μὲν τοῦ ἄρθρου, Τῆς μὲν ἰῆς στίχος ἦρχε. ἀντὶ δὲ τῆς ἀντωνυμίας, ὥσπερ τὸ, Τῆς ἴη κεν καλέα πάντα. ἀντὶ τοῦ ταύτης.

Τὴν, ἀντὶ μὲν τοῦ ἄρθρου, Τὴν δὲ γυναῖκ' οὐ χεῖρον. ἀντὶ δὲ τῆς ἀντωνυμίας, ὥσπερ τὸ, Τὴν δ' ἄμ πέλαγος ἄνεμοι φέρον, ἀντὶ τοῦ ταύτην.

Τὴν δ' ἐγὼ, ἀντὶ τοῦ ταύτην δὲ ἐγώ. καὶ ἔστιν ἄρθρον θηλυκὸν μεταπεσὸν εἰς ἀντωνυμικὴν σημασίαν. τὰ γὰρ ἄρθρα, εἰ μὴ ἔχει ἐπαγόμενον ὄνομα, εἰς ἀντωνυμικὴν μετάγονται σύνταξιν.

Τοῦνδε, ἓν μέρος λόγου. εἰ γὰρ ἦν δύο, ὤφειλεν εἶναι τὸ δέ.

Τηρεὺς, ὁ τηρῶν τὰ ἡδονὴν αἴρεσθαι δυνάμενα, καὶ ἀκρασίᾳ ἡδονῶν λελημμένος.

Τηρῶ. παρὰ τὸ θέω, θηρῶ. ὅπου γὰρ ἔχει τις καὶ θεωρεῖ. ἢ ἐκ τοῦ ὁρῶ τὸ φυλάττω. πλεονασμῷ τοῦ τ, τωρῶ διὰ τοῦ ω μεγάλου. ὡς πυλωρός. καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν, τηρῶ. ἢ ἐκ τοῦ ὁρῶ τὸ βλέπω.

Τητᾷ, ἡ στέρησις. σημαίνει τὸ ζητεῖς. ἐκ τοῦ τάω τὸ σημαῖνον τὸ ζητῶ, κατὰ ἀναδιπλασιασμὸν, τατάω τατῶ. καὶ κατ' ἔκτασιν τητῶ. ὁ παθητικὸς ἐνεστὼς, τητάομαι. τὸ β', τητάῃ, τητᾷ. τὸ γ', τητᾶται, ὥσπερ ὁρᾶμαι ὁρᾶται. καὶ ὅμηρος ἴτεα ἐκάλεσε τὰ ὄσπρεα, τήτεα γάρ εἰσιν ἃ ζητοῦντες καταδύουσιν. ἰλιάδος π.

Τηύσιη, ἡ ματαία. τροπῇ τοῦ δ εἰς τ καὶ τοῦ ε εἰς η. δεύσιη γάρ ἐστιν, ἡ ἔκλυτος, παρὰ τὸ δεύω. τὸ ὑγρὸν καὶ ἔκλυτον νοεῖται.

Τιάρα, κόσμος ἐπικεφάλαιος ἣν οἱ βασιλεῖς μόνοι ὀρθὴν ἐφόρουν παρὰ πέρσαις. οἱ δὲ στρατηγοὶ, κεκλιμένην. τὸ δὲ αὐτό φασιν εἶναι καὶ κίδαριν.

Τιβηνὶ βῆνος, λέγεται ὁ γύπος. γιβηνιστῶν. ἀποβολῇ τοῦ ρ, παρὰ τὸ ἐπαίω γιδυβάσεων καθῆσθαι.

Τίη, καὶ ὅτι ἡ, οὐκ ἔστι πλεονασμὸς, ἀλλὰ δύο μέρη λόγου εἰσί. τὸ τί, πυσματικόν. ὁ ἤ, σύνδεσμος παραπληρωματικός. κατὰ πολλὴν συνειλημμένος ἴσος τῷ δή. Τίη δὲ σύ.

Τιθασεύω. ἐκ τοῦ τιθῶ τιθάσω. σημαίνει δὲ τὸ χειροήθη ποιῶ καὶ παραγωγὴν τιθασεύω τὸ καὶ πραΰνω καὶ τῇ χειρὶ ἐπιψῶ.

Τιθαιβώσσοντες, λυκόφρων, ἐπιμελείας ἀξιοῦντος. κυρίως δὲ, ἐπὶ τῶν μελισσῶν λέγεται παρὰ τὸ τιθέναι τὴν βόσιν. καὶ ὅμηρος. τιθαιβώσσω μενέλαος, ὀδυσσείας ν.

Τιθήμενος, ὁμοίως τῷ κιχήμενος καὶ ἀνημμένος. ἤτοι ποιητικὴ ἔκτασις, ἢ διαλέκτῳ ἀναπέμπεται. περὶ παθῶν. Ἀμφ' ὤμοισι τιθήμενον ἔντεα καλά.

Τιθύνας, τροφούς. παρὰ τὸ τιτθὸν, σημαίνει τὸν μαστὸν, γίνεται τιτθήνη. καὶ ἀποβολῇ τοῦ τ, τιθήνη. ἢ παρὰ τὸ θῶ τὸ σημαῖνον τὸ τρέφω, ῥηματικὸν ὄνομα, θήνη. καὶ διπλασιασμῷ, τιθήνη.

Τιθωνὸς, ἡ ἡμέρα, παρὰ τὸ τιθασὸς τὸ σημαῖνον τὸ ἥμερος. σημαίνει καὶ τὸν γέροντα παρὰ ἀριστοφάνει. ἔστι καὶ ὄνομα κύριον παρὰ ὁμήρῳ.

Τίλλω, σημαίνει τὸ ξαίνω. γίνεται ἀπὸ μεταφορᾶς τοῦ κριοῦ. κτίλος γὰρ λέγεται. ἢ ἐκ τοῦ τείνω τὸ τανύω.

Τιμαλφέσταταν, παρὰ λυκόφρονι πρᾶγμα ἄγαν τίμιον. καὶ τιμαλφέστερον, τὸ τιμιώτερον καὶ λαμπρότερον. τὸ τιμὴν εὑρίσκον πλείστην, ὃ δὴ συμβέβηκε τῷ χρυσῷ. ἀλφεῖν γὰρ τὸ εὑρίσκειν. καὶ τιμαλφούμενος, ὁ τιμὴν εὑρίσκων.

Τί γὰρ δ' οὖν. κατάφασιν δηλοῖ, ἀντὶ τοῦ πῶς γὰρ δ' οὔ. διὰ τί γὰρ δ' οὔ.

Τιμὴ, ἐκ τοῦ τίω τίσω. τὸ δὲ τίω, γράφεται διὰ τοῦ ι, ἐπειδὴ εὑρίσκεται καὶ ἐν συστολῇ. Πέρι μέν σε τίω δαναῶν. καὶ, Πᾶσαν δ' ὄλβιον ἄνδρα τίει. αὐτὸς δὲ πενιχρόν. ἀντὶ μὲν οὖν τῆς δόσεως καὶ τῆς ἡμῖν νοουμένης συνήθους, ἰλιάδος ψ. Τιμῆς ἥ τ' ἐμ' ἔοικε τετιμῆσθαι. Καὶ, τιμὴ δ' ἔκδοσις ἐστίν. ἀντὶ δὲ τῆς τιμωρίας, Τιμὴν ἀρνύμενοι μενελάῳ. καὶ γράφεται ποινήν. ἀντὶ δὲ τοῦ προστίμου, Τιμὴν δ' ἀργείοις ἀποτινέμεν. ἀντὶ δὲ τῆς ὠνῆς, Τιμὴν ἀλφίσκον τεσσαράβοιον ἑκάστου. ποτὲ δὲ καὶ τοῦτο ἀντὶ προστίμου λέγεται. ὁ δὲ ἡρωδιανὸς καὶ τὴν βασιλείαν οὕτω φησὶν εἰρῆσθαι, Ἢ ἔπι ἔχει τιμὴν μετὰ μυρμιδόνεσσι.

Τίμημα, ἀντὶ τοῦ ἐνέχυρον. καὶ οἷον ἀποτίμημα ὡς λυσίας. τίθεται δὲ ἀντὶ τοῦ οἷον κεφάλαιον ὡς ἐν τῷ περὶ τῶν συμμοριῶν δημοσθένης. λέγεται δὲ καὶ τὸ ἐκ τῆς οὐσίας εἰσφερόμενον παρ' ἑκάστου τίμημα. ἐν δὲ τῷ κατὰ μειδίου, ἀντὶ τῆς τιμωρίας εἴρηται. ῥητορική.

Τιμήοροι, ἥρωες καὶ ἔφοροι.

Τιμήσεως, ζημίας.

Τιμητικὸν πινάκιον, τὸ τοῖς δικάζουσι τιμώμενον. ἐν ᾧ γράφουσί τι χρήσιμον. ἀριστοφάνης.

Τίμιος, παρὰ τὸ τιμή.

Τιμουλκῶν, ἕλκων τὴν τιμήν. τουτέστι βαρυτιμῶν.

Τιμωρὸς, ἀπὸ τοῦ τιμὴ καὶ τὸ ὠρῶ τὸ φυλάττω.

Τινάσσω, ἀπὸ τοῦ ἰς ἰνὸς ἰνάσσω καὶ τινάσσω. οὐκ ἀπὸ τοῦ τείνω, ἀλλ' ἀπὸ τοῦ τιταίνω ὁ μέλλων τιτανῶ. αἰολικῶς, τιτάνσω. ἀποβολῇ τοῦ τ καὶ ὑπερβιβασμῷ, τινάσσω.

Τίνω, σημαίνει τὸ ἀποδίδωμι. ἀπὸ τοῦ τίω. κατὰ πλεονασμὸν τοῦ ν. ὡς πίω, πίνω. εὕρηται γὰρ συνεσταλμένον, ὡς τὸ, Καὶ τίνει ταύτην δίκην. εὐριπίδης. ἔστιν οὖν τὸ τίω, καὶ μακρὸν καὶ βραχὺ παρὰ τῷ ποιητῇ. τίνω δὲ τὸ τι, ἰῶτα, πρὸς ἀντιδιαστολὴν τοῦ τείνω τὸ τανύω. ἐκ τοῦ τίνω, γίνεται τινύω καὶ τίνυμι. τὸ παθητικὸν, τίνυμαι. τὸ δυϊκὸν, τινύμεθον, ἀντὶ τοῦ τιμωρεῖσθον.

Τίπτε, ἀπὸ τοῦ τί ποτε κατὰ συγκοπήν. τὸ δὲ πότε, ἐπιζητητικὸν χρόνου ἐστί. τὸ δὲ, Τίπτε δὲ δακρυόεις, οὐκ ἐπιζητεῖ τὸν χρόνον τοῦ δακρύειν, ἀλλὰ κατὰ πολλὴν λαμβάνεται. παρέλκον οὖν ἐστί.

Τίς, τὸ οὐδέτερον τί. σημαίνει ἐρωτηματικόν. δηλοῖ δὲ καὶ ἐπίρρημα ἐπιτατικὸν, ἀντὶ τοῦ λίαν. ὡς τὸ, Κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με. δηλοῖ δὲ καὶ θαυμαστικὸν ἐπίρρημα. ὡς ἐν τῷ τί ὡραῖος αἰτιᾶται. καὶ τί καλὴ ἡ πλησίον. λέγουσι δὲ ὅτι τὸ τίος κατὰ συγκοπὴν πρότερον, εἶτα κατὰ πάθος τὸ τίς δεύτερον. τὰ γὰρ πυσματικὰ πάντα εἰς ος λήγει. διαφέρει δὲ τῶν λοιπῶν πευστικῶν, ἐπειδὴ τῆς οὐσίας ἐστὶ ζητητικά. οἷον τίς ἐστι. καὶ λέγει σωκράτης. τὰ δὲ ἄλλα πευστικὰ περὶ τὴν οὐσίαν ἐστί. ποιότης ζητεῖ ποῖος λευκὸς ἢ μέλας. πόσος, ποσότης, μικρὸς ἢ μέγας. πόστος, τάξεως, πρῶτος δεύτερος. τὸ ποδαπὸς, ἐθνικόν. οἱ μέντοι αἰολεῖς φασὶ τίοισιν ὀφθαλμοῖσιν, ὡς παρὰ σαπφοῖ. κλίνεται πρὸς διάφορον σημαινόμενον. ἡ δὲ κλητικὴ, ἀπελείφθη. σημαίνει δὲ καὶ ἐρώτησιν, ὡς τὸ, Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης. καὶ ἀπόφασιν. ὡς τὸ, Τίς μάχεται, οὐδείς. καὶ, Τίς ἔγνω νοῦν κυρίου, ἢ τίς σύμβουλος. καὶ, Τίς ἐστιν ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον. καὶ ὅμηρος. Τίς ἂν τάδε γηθήσειε. καὶ ἀόριστον. ὡς τὸ, Ἄνθρωπός τις. καὶ ὅμηρος. Εἰ δέ τις ἐστὶ βροτῶν. καὶ προσδιορισμὸν, ὡς τὸ, Εἰσί τινες τῶν ὧδε ἑστηκότων. ἔτι ἀγανάκτησιν καὶ ἐπιτίμησιν, ὡς τὸ, Τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ. καὶ, Τίς σε κατέστησεν ἄρχοντα. καὶ, Τίς εἶ σὺ ὁ κρίνων ἀλλότριον οἰκέτην. καὶ, Τίς ἐστιν ὁ κρύπτων με βουλήν. εἰ δέ τις ἐρωτηματικῶς ταῦτα λάβοι, ἄγνοιαν τοῦ θείου κατηγορεῖ. σημαίνει δὲ καὶ εὐτέλειαν, ὡς τὸ, Τίς εἰμι ἐγὼ κύριε, καὶ τίς ἐστιν ὁ οἶκος τοῦ πατρός μου. σημαίνει καὶ τὸ σπάνιον, ὡς τὸ, Τίς σοφὸς καὶ φυλάξει ταῦτα. καὶ, Τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, εἰ μὴ γὰρ πάντες, ἀλλ' οὖν γε τινές. σημαίνει καὶ θαυμασμὸν, ὡς τὸ, Τίς οὗτος ὁ παραγενόμενος ἐξ ἐδώμ. καὶ, Τίς ἐστιν οὗτος ὅτι καὶ ἡ θάλασσα αὐτοῦ ὑπακούει. σημαίνει καὶ τὸ δι' ἀμηχανίας εὔχεσθαι. ὡς τὸ, Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ.

Τισάμενος, λέγεται ἐκ τοῦ τὸν πατέρα αὐτοῦ. λέγω δὴ τὸν ὀρέστην, τιμωρῆσαι τὴν μητέρα αὐτοῦ κλυταιμνήστραν. διὰ τὸν φόνον τοῦ πατρὸς ἀγαμέμνονος.

Τίσανδρος, παρὰ τὸ τίσω μέλλοντα, ἢ ἀπὸ τῆς τιμῆς γενικῆς τιμήσανδρος. καὶ συγκοπῇ.

Τίσασθαι, σημαίνει τὸ τιμωρήσασθαι. διαφέρει γὰρ τοῦ τίσειν ἤγουν τὸ τιμωρήσειν. τιμωρεῖν μὲν ἐστὶ τὸ ἐπαμύνειν καὶ βοηθεῖν. τιμωρήσασθαι δὲ, τὸ τὸν προηδικηκότα κολάζειν, ὡς ἀμύνειν καὶ ἀμύνασθαι. τιμωρεῖ μὲν πάτροκλον ἀχιλλεύς. τιμωρεῖται δὲ ἕκτορα. τὸ θέμα ἐστὶ τίω. σημαίνει τὸ τιμωρῶ. τιμωρίαν ἐκτινύω καὶ ἀποδίδωμι. ὅθεν καὶ τίσις, τιμωρία. ἀπόδοσις. ἀντέκτισις. τὸ τίω, σημαίνει καὶ τὸ τιμῶ.

Τίσειαν, ἀόριστος πρῶτος εὐκτικὸν αἰολικόν. τρίτου προσώπου τῶν πληθυντικῶν. ἐκεῖνοι γὰρ τὸ τύψαιμι, τύψεια λέγουσι. τὸ δεύτερον, τύψειας. τὸ τρίτον, τύψειε. καὶ τῷ μὲν πρώτῳ χρῶνται οἱ αἰολεῖς. τοῖς δὲ λοιποῖς προσώποις, ἡ κοινὴ συνήθεια καὶ διάλεκτος. ὡσαύτως καὶ τῷ τρίτῳ τῶν πληθυντικῶν. ὁ κανών. τὰ εἰς μι εὐκτικὰ ἀορίστου ὄντα ἐνεργητικὰ οἱ αἰολεῖς διὰ τοῦ εια προφέρουσι. τίσαιμι τίσεια. ὑποστρέψαιμι, ὑποστρέψεια. ἀκούσαιμι, ἀκούσεια. τὰ δὲ τοιαῦτα εὐκτικὰ, εὐχὴν δηλοῦσι πράγματος, ὀφείλοντος πληρωθῆναι. ὁ γὰρ λέγων γράψειας εὔχεται ἵνα εἰς πέρας ἔλθῃ τοῦ ποιῆσαι. ὅθεν οὐ δεῖ λέγειν τινὶ ζήσειας, ἐπειδὴ εὑρίσκεται εὐχόμενος ἵνα εἰς πέρας ἔλθῃ τῆς ζωῆς, τουτέστιν ἵνα ἀποθάνῃ. λοιπὸν εὕρηται κατευχόμενος αὐτοῦ.

Τιτακίδαι, δῆμος ἐστὶ τῆς αἰαντίδος φυλῆς. μήποτε δὲ ἀπὸ τοῦ τιτακοῦ ὠνόμασται οὗ μέμνηται ἡρόδοτος. τὸ δὲ τιταγίδαι καὶ θυργωνίδαι, φρατρίαι τινὲς καὶ γεννῆται ἄδοξα. εἰς γὰρ εὐτέλειαν ἐκωμῳδοῦντο. οὐχὶ δὲ δῆμοι ὡς τινὲς οἴονται.

Τιτανίδα γῆν, οἱ μὲν τὴν πᾶσαν, οἱ δὲ τὴν ἀττικήν. ἀπὸ τιτάνου ἑνὸς τῶν τιτάνων. ὃς μόνος οὐκ ἐστράτευσεν ἐπὶ τοὺς θεούς. τιτᾶνες δὲ οἱ καταχθόνιοι δαίμονες. ἢ ἀπὸ τοῦ τίνω τὸ ἀνταποδίδωμι, τίαν καὶ τιτάν. οἱ οὕτω διαπραττόμενοι, ὡς δεδῶναι τιμωρίαν. ἢ παρὰ τὸ τιταίνω, οἱονεὶ οἱ τείνοντες τὰς χεῖρας εἰς τὸ κόψαι τὰ αἰδοῖα τοῦ πατρὸς κρόνου, ἤγουν τοῦ οὐρανοῦ. τὸ δὲ τιταίνεται, σημαίνει τὸ τείνεται καὶ ἕλκεται. παρὰ τὸ τιταίνω κατὰ ἀναδιπλασιασμόν. ἢ ἀπὸ τοῦ τανύω.

Τιταρίσιον, ὄνομα πόλεως. ἢ κύριον. ἢ σπόδος ἐν ἀσπίδι.

Τιτιγόνιον, ὅμοιον τέττιγι.

Τιτθοὶ, οἱ μαστοὶ, ὅτι ἐπὶ στήθει δύο τινές εἰσι. παρὰ τὸ ἐντίθεσθαι τοῖς σώμασι.

Τιτρώσκω. τρώω. τρώσω. τρώσκω. καὶ κατὰ ἀναδιπλασιασμόν.

Τιτώ, οὕτω λέγεται ἡ ἡμέρα. παρὰ τὸ τιτὰν τιτᾶνος, ἤγουν τιτανίς. καὶ ἐκεῖθεν ὑποκοριστικὸν τιτώ, ὥσπερ πύλη, πυλώ. εἰδοθέα, εἰδώ.

Τῖφος, ἕλος καὶ κάθυγρος τόπος. ἀπὸ τοῦ τύφεσθαι, ὅ ἐστι πύθεσθαι καὶ κρύπτεσθαι τοὺς ἐν ὑλώδεσιν ὄντας τόποις. παρὰ Ἀπολλωνίῳ.

Τιτυσκόμενοι, κατὰ στοχαζόμενοι. βλέποντες. εἴρηται δὲ ἔστι τὸ βλέπω, ἤγουν ἀπὸ τοῦ θεῶ θεάσω. κατὰ συγκοπὴν, θῶ. τροπῇ, τῶ. καὶ κατὰ παραγωγὴν, τύω. ὁ μέλλων τύσω. πλεονασμῷ τοῦ κ, τύσκω. καὶ μετάγεται εἰς ἐνεστῶτα. καὶ ἤγουν κατὰ ἀναδιπλασιασμὸν, τιτύσκω. εἴρηται δὲ ἔστι τὸ κατασκευάζω, ἤγουν ἀπὸ τοῦ τεύχω. ὁ δεύτερος ἀόριστος, ἔτυχον. ἐξ αὐτοῦ κατὰ ἀναδιπλασιασμὸν καὶ πλεονασμῷ τοῦ σ, πετύσκω, καὶ τιτύσκω. ἔστι δὲ τρία. περὶ μὲν τοῦ ἡτοιμάζετο, Ἰλιάδος ν. ὡς εἰπὼν ὑπ' ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω. τὸ στοχάζεσθαι, Μηροὺς δ' ἐν τοῖσι τιτύσκετο. περὶ δὲ τοῦ ψυχικῶς κατεστοχάζετο, Τιτύσκετο δὲ φρεσὶν ᾗσιν, ἠ τευχάνοντα κ.

Τλῆτε φίλοι, ὑπομείνατε καρτερῶς. ἐκ τοῦ τλῶ, ἤγουν τλῶ.

Τληπόλεμος, ἐκ τοῦ τλῶ τλήσω, τλησιπόλεμος. καὶ συγκοπῇ.

Τοίη, ἀντὶ τοῦ τοιαύτη. τίθεται καὶ ἀνταποδοτικῶς καθ' ὁμοίωσιν πρὸς τὰς παραβολάς. Οἵη περ φύλλων γενεὴ, τοίη δὲ καὶ ἀνδρῶν. καὶ θαυμαστικῶς. Τοίην περ κεφαλὴν γαῖα κατέσχε. καὶ ἀναφορικῶς ἐπὶ τὸ προειρημένον, καὶ προεγνωσμένον, Ἀλλὰ καὶ ὥς τοίην περ ἐοῦσα.

Τοῖχος. παρὰ τὸ τεύχω τὸ κατασκευάζω, ἤγουν τεῦχος καὶ τοῖχος. Τοιχωρύχος, καὶ τοιχορύκτης, κλέπτης. λῃστής.

Τοὶ γὰρ ἐμὴν ἐρέω, ἐὰν ἐμὴν οὖν εἴπω. οὐκ ἔστιν ἐὰν γάρ. οὐδέποτε γὰρ ἀρκτικόν. ἔστιν ἄρα δή.

Τό, ἔστι τὴν τοπικὴν πτῶσιν. Ὅμηρος. Τόδ' ἱκάνω. καί ἐστιν αἰτιατικῆς πτώσεως. τὸ δὲ δε, ἰσοδυναμεῖ τῇ εἰς προθέσει. οὖν, εἰς τοῦτο τὸ χωρίον, ὅ ἐστι τόπον. ὡς οὐλυμπόνδε, ἀντὶ τοῦ εἰς ὄλυμπον.

Τὸ δ' ἐμοὶ κρήγυον ἔλδωρ. Ἀρίσταρχος δύο μέρη λόγου ταῦτα εἶναι λέγει. ὁ δὲ Ἡρωδιανὸς ἕν. ὁ δὲ Ἀρίσταρχος ὀξύνει τὸ δὲ ὁμοίως τῷ τὸ, ἵν' ᾖ δύο μέρη λόγου. ἐπείσθη δὲ ἡ παράδοσις Ἀριστάρχῳ.

Τοκάδα, Εὔβουλος τὸ κηρύκειον, ἢ τὴν μάχαιραν λεγόμενον τι, τὸ κατακύλωμα. τὸ πορας, καὶ ἀνωτάτω τῶν καλῶν ῥημάτων.

Τοκεύς. ὡς παρὰ τὸ ἔχω τὸ συνέχω καὶ σφίγγω, ἤγουν ὀχεύς, οὕτω καὶ παρὰ τὸ τέκω τοκεύς.

Τολμῆσαι, σημαίνει τὸ ὑπομεῖναι.

Τολόται, οἱ δημόσιοι ὑπηρέται. τοὺς δ' αὐτοὺς καὶ σκύθας ἔλεγον καὶ σπευσινίους. ἀπὸ τοῦ συντάξαντος αὐτοὺς ἑτέρου. ζήτει εἰς τὸ τοξόται.

Τολύνιον, τὸ καλούμενον κρατίνειον μέτρον πολυσύνθετον, ἀπὸ τοῦ Μεγαρέως τολύνου. ἔστι δὲ πρεσβύτερος Κρατίνου.

Τολύπευμα, τὸ κατασκεύασμα καὶ πεπιλοκαλημένον ἔριον.

Τολυπεύειν, ἐξεργάζεσθαι. τολύπη γὰρ ἡ ἐργασία.

Τολύπαις, μηχαναῖς. ἐργασίαις. καὶ τολυπεύειν, μηχανᾶσθαι. ποιεῖν. ἀθροίζειν. ταλαιπωρεῖν. ἀπὸ μεταφορᾶς τῶν τὰ ἔρια ἐργαζομένων καὶ δεσμευόντων αὐτά.

Τονιαία, ἄλεξις. πολλάκις. ἡ δὲ ἐπιπολὺ τῆς φωνῆς ἀπότασις, καλεῖται τονιαία.

Τονθορύζει, ὑπόπτως λαλεῖ. ψιθυρίζει. ἠρέμα γογγύζει. παρὰ τὸ θροῦς, ὅ ἐστι τὴν ταραχὴν καὶ τὸν θόρυβον, γίνεται θρούζω. ἢ θρόος θρούζω. καὶ ἐν ὑπερβιβασμῷ, θορύζω. καὶ κατὰ ἀναδιπλασιασμὸν, τονθορύζω.

Τόξον, παρὰ τὸ τάζω τάξω τάξον. καὶ τροπῇ, τόξον.

Τοξοποιεῖν τὰς ὀφρῦς, ἀντὶ τοῦ σκυθρωπάζειν.

Τοξόται. τοξόται δὲ καὶ σκύθαι καὶ σπουσίνιοι, οἱ δημόσιοι δοῦλοι Ἀθήνησιν. ἀπὸ σπουσίνου τοῦ πρώτου καταστήσαντος αὐτοὺς ἐπὶ τὴν ὑπηρεσίαν.

Τοπάζειν, στοχάζεσθαι. ὑπονοεῖν. καὶ παρὰ Σοφοκλεῖ ἐν Ἠριγόνῃ. Ἃ δὲ δέξῃ τοπάζω, ταῦτ' ἰδεῖν σαφῶς θέλω. ζήτει εἰς τὸ ὑπετόπαζε. διὸ καὶ ὑποτοπεῖν, τὸ ὑπονοεῖν λέγεται. καὶ καθ' ὑπὸ τὸ πείθεσθαι, τοῦ πω τὸ χεῖρον ὑπονοεῖν.

Τόπος, παρὰ τὸ πατῶ πάτος καὶ τόπος. ἢ παρὰ τὸ τύπος τροπῇ τοῦ υ εἰς ο. ἢ παρὰ τὸ τῶ τὸ λαμβάνω καὶ δέχομαι. ζήτει εἰς τὸ τόσος.

Τόπειον. τὰ σχοινία λέγεται τόπεια. Στράττις Μακεδόσι. Τὸν πέπλον δὲ τοῦτον ἕλκουσι δεσμεύοντες τοπείῳ ἄνδρες.

Τόρνος, ξύλον στρογγύλον. παρὰ τὸ τείρω τερῶ. ἐκ τούτου τορνώσω τὸ περιγράφω καὶ κατασκευάσω. καὶ, Τορνώσαντο δὲ σῆμα θεμείλιά τε προβάλοντο. Ἰλιάδος ψ.

Τορῶ, εἰς τὸ ἀντιτορήσας.

Τορός, εὔτροχος. τορός. σύντονος. ἐμμελὴς σαφής, ὡς παρὰ Σοφοκλεῖ. Λέξω τορῶς σοι πᾶν ὅπερ χρῄζεις μαθεῖν, οὐκ ἐμπλέκων αἰνίγματ' ἀλλ' ἁπλῷ λόγῳ ὥσπερ δίκαιον πρὸς φίλους οἴγειν στόμα. σημαίνει δὲ καὶ ἐργαλεῖον φρεωρυχικόν, σκαφείῳ παραπλήσιον.

Τορύνη, ὑπὸ τῶν Ἀττικῶν τὸ εὐεργέτην σημαίνει. ὅμως καὶ Πλάτων κατὰ ἰδιωτικὴν συνήθειαν προσωνόμασεν ἐν ἱππίᾳ. τίθησι πρότερον πρέπω τορύνην τῷ ἔτνει καὶ τῇ χύτρᾳ.

Τόσος, ὄνομα ἀναφορικόν. ποίου εἴδους τῶν ἀναφορικῶν, ἀνταποδοτικοῦ. διατί, ἐπειδὴ τὰ ὑπὲρ μίαν συλλαβὴν ἐρωτηματικὰ ἀποβάλλοντα τὸ κατ' ἀρχὰς σύμφωνον, ἀναφορικὰ γίνεται. οἷον, ποῖος, οἷος. πόσος, ὅσος. καὶ πάλιν προσλαμβάνοντα τὸ τ κατ' ἀρχὰς, ἀνταποδοτικὰ γίνονται. οἷον, οἷος, τοῖος. ὅσος, τόσος. ἅτινα πάλιν ὀξυτονούμενα, ἀόριστα γίνονται. οἷον, πόσος, ποσός. τόσος, τοσός. Τόσον δ' ἔτε λαόν.

Τόπος, παρὰ τὸ τύπος. ἕκαστος γὰρ τόπος, ἰδίῳ τύπῳ κέχρηται. ἢ παρὰ τὸ τάφος. πᾶς γὰρ τόπος, εἰς ταφὴν ἐπιτήδειος.

Τοσαῦτα, ὄνομα πτώσεως αἰτιατικῆς τῶν πληθυντικῶν. γίνεται δὲ κατὰ παραγωγὴν ἐκ τοῦ τόσα. παραλήγουσαν ἔχον τὴν αυ. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι ἐπὶ ταύτης τῆς παραγωγῆς τῆς κατὰ γένη καὶ ἀριθμοὺς προϊούσης, ἡ πρὸ τέλους συλλαβὴ βούλεται ἔχειν τὸ υ μετὰ τοῦ ἐν τῇ ληγούσῃ φωνήεντος. ἔστιν οὖν τῆμος. τὸ τημοῦτος παράγωγον ἐξ αὐτοῦ τὸ υ τὸ ο προκείμενον. ὁμοίως τὸ τηνίκα τηνικαῦτα, οὕτω καὶ ἔνθα ἔνθεν ἐντεῦθεν. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ τόσος τοσοῦτος. τόσαι τοσαῦται τοσαῦτα. κατὰ γένη γὰρ καὶ ἀριθμοὺς αἱ παραγωγαὶ γίνονται. οἷον, τηλίκος, τηλικοῦτος. τηλίκα, τηλικαῦτα. τὸ τοίη, τοιαύτη ὤφειλεν εἶναι. ἀλλ' ἐπειδὴ κανών ἐστιν ὁ λέγων οὐκ ἔστιν ἐπινοῆσαι τὸ η καὶ τὸ υ ἐν μιᾷ συλλαβῇ καὶ τὰ ὅμοια, τούτου χάριν γέγραπται τὸ η εἰς α, καὶ ἤγουν τοιαύτη.

Τόφρα, ἐπὶ τοσοῦτον. οἷον, Τόφρα δ' ἐπὶ Τρώεσσι τίθει κράτος ὄφρ' ἂν Ἀχαιοί. ἔστι καὶ ἀποδοτικὸν ἐπίρρημα.

Ἰστέον ὅτι ἡνίκα γίνεται κρᾶσις ἐν ἁρμογῇ δύο λέξεων, τίθεται κορωνίς. οἷον τὸ ἐμὸν τοὐμόν. τὰ ἐμά, τἀμά. προέστη, προὔστη. πρόοπτον, προὔπτον. ἔστι δὲ τὸ φανερόν. ἡνίκα δὲ μὴ γίνεται κρᾶσις ἐν ἁρμογῇ δύο λέξεων, οὐ τίθεται κορωνίς. οἷον, νόος νοῦς. δημοσθένεος δημοσθένους. πρόσκειται ἐν ἁρμογῇ δύο λέξεων, διὰ τὸ Ἡρακλέης Ἡρακλῆς. τοῦτο γὰρ ἐκ δύο λέξεων ὂν, ὅμως οὐκ ἔχει κορωνίδα, ἐπεὶ οὐκ ἐγένετο ἐν ἁρμογῇ δύο λέξεων ἡ κρᾶσις, ἀλλ' ἐν τῷ μέσῳ τῆς δευτέρας λέξεως. ἡ γὰρ ἁρμογὴ τῶν δύο λέξεων, μεταξὺ τοῦ α καὶ τοῦ κ ἐστί.

Τοὔμπαλιν, ἐς τοὐπίσω. παρὰ τὸ ἔμπαλιν, κατὰ κρᾶσιν.

Τοὐπίπεμπτον. οἱ γὰρ μὴ καταλαβόντες τὸ πέμπτον μέρος τῶν ψήφων, ἄτιμοι ἦσαν. οὕτως Ἀριστοφάνης.

Τουτάκι, εἰς τὸ αὐτίκα.

Τύδωνοι, οἱ τοποτηρηταὶ παρὰ τυρίοις.

Τραγάσιον, ἐν τῇ Τροίᾳ. ἀπὸ Τραγάσου τοῦ πατρὸς Φιλονομίας τῆς ἐρασθείσης Τένου.

Τραγικὴ σκηνὴ, πῆγμα μετέωρον, ἐφ' οὗ ἐν θεάτρῳ τινὲς παριόντες ἔλεγον. λέγεται δὲ καὶ ἡ τραγικὴ τέχνη σκηνή.

Τραγορίγανον ὅριον, ὅπερ οἱ ἐσθίοντες πολλάκις γίνονται κατωφερεῖς. διὸ οὕτως εἴρηκε Νίκανδρος. ἔνθα ἀγροτέρης τραγοριγάνου.

Τράγος, παρὰ τὸ τρώγω. πολυφάγον γὰρ τὸ ζῷον. ἢ παρὰ τὸ τραχὺ δέρμα ἔχειν.

Τρανός, παρὰ τὸ στερεός. μακρὸν τὸ α. τὰ εἰς νος ὀξύτονα δισύλλαβα τῷ α παραληγόμενα, ἐκτείνουσιν αὐτό. τρανός. φανός.

Τράπεζα, κατὰ ἀποβολὴν τῆς τε συλλαβῆς. τετράπεζα. τέσσαρας πέζας ἔχουσα. αἱ γὰρ τῶν παλαιῶν τράπεζαι, τετράγωνοι ἦσαν. τραπεζίτης διὰ τοῦ ι. ἔστι τὸν ἐν τῇ συνηθείᾳ λεγόμενον τραπεζίτην. ἀπὸ τοῦ τράπεζα. διὰ δὲ τῆς ει διφθόγγου, τὸν ἐν τῇ τραπέζῃ παριστάμενον ὡς παρ' Ὁμήρῳ. Τραπεζῆες κύνες, ἀπὸ τοῦ τραπεζάς ἐστι. τὸ δὲ παρ' Ἰβύκῳ, διὰ τοῦ η λεγόμενον, τραπεζήταν κυνῶν, ἐστὶν ὡς πλειόνων πλήων.

Τραπεζοποιός, ὁ περὶ τὸ συμπόσιον πάντων ἐπιμελούμενος. τραπεζῶν. σκευῶν, ἀκουσμάτων. οὕτω Μένανδρος. ἐκ τρικῆ.

Τραπεζοφόρος, ἱερωσύνης ὄνομά ἐστι. καὶ ὅτι αὐτή τε καὶ ἡ κοσμὼ συνδιέπουσα πάντα τὰ τῆς Ἀθηνᾶς ἱέρεια.

Τραπέουσι, δηλοῖ τὸ πατοῦσι. παρὰ τὸ τρέφω τὸ πήσσω, ἐκ τοῦ θρέψαι.

Τρακταΐζω, τὸ λευκαίνω καὶ κατασκευάζω. ἐξ οὗ τὸ τράκτον, ὁ κηρὸς ὁ πεποιημένος λευκός.

Τράμην, οἱ μὲν, τὸ τρῆμα τῆς ἕδρας. οἱ δὲ, τὸ ἀπὸ τοῦ τύπου μέχρι τῆς ἀρχῆς τοῦ βαλάνου χωρίον.

Τραγῳδία, ἐστὶ βίων τε καὶ λόγων ἡρωϊκῶν μίμησις. κέκληται δὲ τραγῳδία, ὅτι τράγος τῇ ᾠδῇ ἆθλον ἐτίθετο. ᾠδὴ γὰρ ἡ τραγῳδία. ἢ ὅτι τρύγα ἆθλον ἐλάμβανον οἱ νικῶντες. τρύγα γὰρ ἐκάλουν οἱ παλαιοὶ τὸν νέον οἶνον. ἢ ὅτι τετράγωνον εἶχον οἱ χοροὶ σχῆμα. ἢ ὅτι τὰ πολλὰ οἱ χοροὶ ἐκ σατύρων συνίσταντο, οὓς ἐκάλουν τράγους σκώπτοντες. ἢ διὰ τὴν τοῦ σώματος δασύτητα. ἢ διὰ τὴν περὶ τὰ ἀφροδίσια σπουδήν. τοιοῦτον γὰρ τὸ ζῷον. ἢ ὅτι οἱ χορευταὶ τὰς κόμας ἀνέπλεκον σχῆμα τράγων μιμούμενοι. ἢ ἀπὸ τῆς τρυγὸς τρυγῳδία. ἦν δὲ τὸ ὄνομα τοῦτο κοινὸν καὶ πρὸς τὴν κωμῳδίαν. ἐπεὶ οὔπω διεκέκριτο τὰ τῆς ποιήσεως ἑκατέρας. ἀλλ' εἰς αὐτὴν ἓν ἦν τὸ ἆθλον, ἡ τρύξ. ὕστερον δὲ τὸ μὲν κοινὸν ὄνομα ἔσχεν ἡ τραγῳδία. ἡ δὲ κωμῳδία ὠνόμασται, ἐπειδὴ πρότερον κατὰ κώμας ἔλεγον αὐτὰ ἐν ταῖς ἑορταῖς τοῦ Διονύσου καὶ τῆς Δήμητρος. ἢ παρὰ τὸ κωμάζειν, ἢ ἐπὶ τῷ κώματι ᾠδή. ἐπειδὴ ἐπὶ τὸν καιρὸν τοῦ ὕπνου τὴν ἀρχὴν ἐφευρέθη. ἢ ἡ τῶν κωμητῶν ᾠδή. κῶμαι γὰρ λέγονται οἱ μείζονες ἀγροί. βλαπτόμενοι γάρ τινες γεωργοὶ παρὰ τῶν ἐν Ἀθήνησι πολιτῶν, κατῄεσαν περὶ τὸν καιρὸν τοῦ ὕπνου. καὶ περιιόντες τὰς ἀγυιὰς ἔλεγον ἀνωνυμὶ τὰς βλάβας ἃς ἔπασχον ὑπ' αὐτῶν. οἷον, ἐνταῦθα μένει τις τὰ καὶ τὰ ποιῶν. καὶ ἐκ τούτου ἀποχὴ τῶν ἀδικιῶν ἐγίνετο.

Τρασιά, παρὰ τὸ τέρσω τὸ ξηραίνω, τερσιὰ καὶ ταρσιὰ ὡς παρὰ Σιμωνίδῃ. καὶ καθ' ὑπέρθεσιν τρασιά.

Τραῦμα, παρὰ τὸ τρῶ τὸ τιτρώσκω, τρῶμα καὶ τραῦμα. ἐτυμολογεῖται δὲ παρὰ τὸ ῥέειν δι' αὐτοῦ τὸ αἷμα.

Τραύξανα, τὰ ἀπὸ τῆς φάτνης ἀποπίπτοντα τῶν ἵππων ἢ τῶν βοῶν, ἢ τῶν ἄλλων κτηνῶν λείψανα. σημαίνει δὲ καὶ τὰ ἀκανθώδη καὶ ξηρὰ ξύλα.

Τραφερά, ἡ ξηρὰ γῆ. ἡ πεπηγυῖα ὡς πρὸς τὴν θάλασσαν. θρέψαι γὰρ τὸ πῆξαι.

Τράφηξ τράφηκος, παρὰ Λυκόφρονι ἡ ὑπόπλανος βάσις. λέγεται δὲ καὶ τὸ τῆς νεὼς χεῖλος, ἐφ' οὗ οἱ σκαλμοὶ τίθενται. νῦν δὲ τὸ ξύλον, ἔνθα τιθέασι τὸν ἄρτον.

Τραχύς, σημαίνει τὸ σκληρόν. ἀπὸ μεταφορᾶς τῆς ῥάχεως. αὕτη γὰρ ὀστώδης ἐστίν. ἢ παρὰ τὸ τάραχος, ταραχύς, καὶ τραχύς. ὁ γὰρ τραχύς, ταραχὴν ποιεῖ.

Τράχηλος, παρὰ τὴν τραχύτητα. ὀστῶδες γὰρ τὸ μέρος. ἢ παρὰ τὸ δι' αὐτοῦ τρέχειν τὴν τροφήν, οἷον τρόχαλος. ἢ ὅτι τῆς ῥάχεως ὅλος ἐστὶ τράχηλος. ἢ παρὰ τὸ ῥαχὶς καὶ τὸ ἧλος, ὁ ῥαχιαίους ἥλους ἔχων. ὅτε δὲ φησὶν Ὅμηρος, Ἀπαλοῦ δι' αὐχένος, κατὰ ἀντίφρασιν λέγει. οὕτως ὦρος. ἐν δὲ τῷ ῥητορικῷ λεξικῷ τράχηλον εὗρον σημαίνειν τῶν θαλασσίων πορφύρων. οὕτω πορφύρων. οὕτω παρὰ δὲ τῷ πάππος.

Τρέφεσθαι, συνίστασθαι. πλάτων ἐν τῷ περὶ ψυχῆς. Τότε δὴ τὰ ζῷα συντρέφεται, ἀντὶ τοῦ συνίσταται. πήγνυται.

Τρέφοιν, ὡς Εὐριπίδης. Ἀφεῶν ἂν εἴην εἰ τρέφοιν τὰ τῶν πέλας. ἔστι δὲ οὕτως. ἔστι τρέφοιμι, τρέφοι. πλεονασμῷ τοῦ ν ἀττικῶς, τρεφοίης, τρεφοίην. καὶ συγκοπῇ τοῦ η.

Τρήρων, ἐπὶ τῆς περιστερᾶς. ἡ δειλή. παρὰ τὸ τρεῖν. εὐλαβὲς γὰρ τὸ ζῷον. παρὰ τὸ τρέω τὸ φοβοῦμαι, τρέερος. καὶ συγκοπῇ, τρῆρος. καὶ παρώνυμον, τρήρων. ὡς ἄβρος ἄβρων.

Τρητὸν λέχος, παρὰ τὸ τετρῆσθαι κατὰ τὰ ἐνήλατα, εἰς ἃ ἐμβάλλεται ἡ σπάρτος. ἢ παρὰ τὸ τετρῆσθαι τοὺς πόδας, εἰς οὓς ἐμβάλλεται τὰ ἐνήλατα.

Τρεῖς. πᾶς ἀριθμὸς ἐν τοῖς τῶν χιλίων θέλει ἔχειν στοιχεῖον εἴτε φωνῆεν, εἴτε σύμφωνον ἐκ τῶν ἐν τοῖς τῆς δεκάδος. οἷον, τὸ εἷς καὶ τὸ ἕν, ἔχει τὸ ε ἐκ τῶν ἐντὸς τῆς δεκάδος. καὶ τὸ δύο ἔχει τὸ δ. καὶ τὸ πεντήκοντα ἔχει τὸ ε καὶ τὸ η καὶ τὸ α. τὸ ὀκτὼ δοκεῖ ἀντικεῖσθαι, ἀλλὰ καὶ τοῦτο δύναμιν ἔχει ἐκ τῶν ἐν τοῖς τῆς δεκάδος. λέγουσι γὰρ οἱ φιλόσοφοι ὅτι τὸ ὀκτὼ καὶ ὀγδοάς, λέγεται παρὰ τὸ ἀγαθύνειν τὰς τετράδας, οἱονεὶ ἀγαθυνὰς καὶ ὀγδοάς. τὸ δὲ α καὶ τὸ γ καὶ τὸ δ, ἐκ τῶν ἐν τοῖς τῆς δεκάδος εἰσί. κατὰ τοῦτο τὸ τρεῖς διὰ τῆς ει διφθόγγου γράφεται, ἵνα σχῇ τὸ ε. εἰ γὰρ ἐγράφετο διὰ τοῦ ι, οὐκ ἔμελλεν ἔχειν τὸ στοιχεῖον. ἐν δὲ τῇ συνθέσει, ἤγουν ἐν τῷ τρισκαίδεκα, ἀποβάλλει τὸ ε. ἔχει γὰρ ἄλλα στοιχεῖα ἐκ τῶν ἐν τοῖς τῆς δεκάδος. οἷον, τὸ α τοῦ καὶ συνδέσμου. καὶ τὸ δ καὶ τὸ ε τοῦ δέκα.

Τριακοντούτης, παροξυτόνως. κοινὸν δὲ ἐστὶν ἀμφοτέρων τῶν γενῶν. καὶ τὰ πληθυντικὰ, τριακοντούτεις παρὰ Θουκυδίδῃ. Ἰστέον δὲ ὅτι τὰ παρὰ τὸ ἔτος παρ' ἡμῖν ὀξύτονα, οἱ Ἀθηναῖοι βαρύνουσιν. οὐ μόνον γὰρ περὶ τὸν τόνον πταίουσιν, ἀλλὰ καὶ περὶ τὴν κλίσιν. δωδεκαέτης γὰρ δωδεκαέτου κλίνεται. ὥσπερ οἰκέτης οἰκέτου. καὶ τὸ πληθυντικὸν δωδεκαέται, ὥσπερ οἰκέται. δωδεκαέτεις ὤφειλε κεκλίσθαι. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ θηλυκοῦ, ὡς ἀπὸ τοῦ ἰσοσυλλάβου κλινόμενον ποιοῦσι, τριακονταέτις τριακονταέτιδος, ὡς κυνηγέτις κυνηγέτιδος. καὶ κατὰ κρᾶσιν, τριακοντούτιδος. ὡς παρὰ τῷ συγγραφεῖ, Τὰς τριακοντούτιδας σπονδάς.

Τριακοντέος. ὥσπερ ἐπὶ τῆς γενικῆς τῶν πληθυντικῶν γερόντων γεροντέων, οὕτω καὶ ἐπὶ τῆς γενικῆς τῶν ἑνικῶν, τριάκων τριάκοντος, τριακοντέος κατὰ πλεονασμὸν. περὶ παθῶν.

Τριάσσειν. τὸ νικᾶν, ἀπὸ μεταφορᾶς τῶν παλαιστῶν, ἐν ταῖς τρισὶ πάλαις τὴν νίκην καρπουμένων. καὶ ἀτρίακτος, ὁ ἀήττητος.

Τριαχθῆναι, λέγουσιν οἱ παλαιστρικοὶ, ἀντὶ τοῦ τρὶς πεσεῖν, ἢ τὸ τρία νικήσαντα νικηθῆναι. στάδιον. δίαυλον. δολιχόν.

Τριέτης. ὁ μὲν χρόνος βαρύνεται. τὸ δὲ μετεσχηκὸς τοῦ χρόνου, ὀξύνεται. ὡς εἶναι τριέτης μὲν χρόνος. τριετὴς δὲ παῖς.

Τριβοῦνος, ὁ χιλίαρχος.

Τριταγωνιστής, ὁ Αἰσχίνης, ὡς ἀδοκιμώτατος τῶν ὑποκριτῶν ἐν τῇ τάξει καταριθμούμενος.

Τρίβανος, ἡ τριβή, παρώνυμον. ἔστι γὰρ τρίβαξ τρίβανος. καὶ μετατίθεται ἡ γενικὴ εἰς εὐθεῖαν καὶ γίνεται ὁ τρίβανος, ὥσπερ ὁ φύλαξ τοῦ φύλακος, καὶ ὁ φύλακος. ἐν πολλοῖς γὰρ μετατίθεται ἡ γενικὴ εἰς εὐθεῖαν, ὡς καὶ παρὰ τῷ Σοφοκλεῖ, Κωὸς λακαίνης ὥς τις εὔρινος βάσις. ἀντὶ τοῦ εὐόσφρητος πορεία. καὶ ἱέραξ ἱέρακος. καὶ ὁ ἱέρακος.

Τρίβαλλοι, οἱ ἐν τοῖς βαλανείοις ἀναγώγως διατριβόμενοι. οἱ δὲ, τοὺς ἀχρείως τοὺς βίους κατατρίβοντας.

Τρίβος, παρὰ τὸ τρίβω. ἡ καταπεπατημένη ὁδός. ἢ παρὰ τὸ ῥέω τὸ κατὰ πονῶ καὶ τὸ τρίβω. παρὰ τὸ τρίβω τὸ καταπονῶ.

Τριβωνευόμενοι, ἢ τρίβωνας ἐμποιοῦντες. ἢ ἀντὶ τοῦ τε χλιάζοντες τρίβωνες εἶναι πραγμάτων. τρίβος γὰρ ὁ ἔμπειρος. Καί τοι σοὶ τριβωνότερα τὰ τοιάδε καὶ ἀκριβέστερα.

Τριβωνοφόρος, ὁ φορῶν στολὴν ἔχουσαν σημεῖα ὡς γραμμάτια. τρίβων γὰρ λέγεται, παρὰ τὸ ἤδη τετρῖφθαι ἐκ διαφόρων.

Τρίγληνα, οἷον τρίκορα. γλήνη γὰρ ἡ τῶν ὀφθαλμῶν κόρη. ἢ πολύγληνα, τὰ πολλῆς θέας ἄξια. παρὰ τὸ γλήνη, τρίγληνον. ἢ τρίκορα, ὡς τριῶν ζωδίων ἐφ' ἑκάτερον δὲ δημιουργημένων.

Τρίγωνος ἀρσενικῶς, μουσικὸν ὄργανον. ψαλτηρίῳ τὴν διάρθρωσιν ὁμοίαν ἔχων.

Τρίζω. παρὰ τὸ θρῶ, τρίζω παράγωγον. δηλοῖ δὲ ὀξύνηχον τινὰ φωνὴν, καὶ ἐπαλληλῆ ἀφίεναι. ὅθεν καὶ τετριγῶτας, Ἰλιάδος β.

Τριήρεις, πλοῖα πολεμικὰ, ἃ καλοῦνται λέβερνοι.

Τριηράρχημα, τὸ εἰς τὴν τριηραρχίαν ἀνάλωμα. ἐπιτριηράρχημα δὲ τὸ ἀναλισκόμενον μετὰ τὸν τῆς τριηραρχίας χρόνον.

Τρικαλίνδητον, τρικυλίνδητον. ἐν τρικῇ.

Τρικέφαλος, ὁ Ἑρμῆς λέγεται, ὡσπερ διδάσκων τὰς ὁδοὺς καὶ ἔχων ὑπογραφήν, ποῖ μὲν αὕτη φέρει ἡ ὁδός, ποῖ δὲ αὕτη. ἴσως δὲ πρὸς ἑκάστην ὁδὸν κεφαλὴν εἶχεν. ἦν δὲ ὁ ἀναθεὶς τὸν τρικέφαλον Ἑρμῆν Προκλείδης.

Τρίλλιστος νύξ, πολυλιτάνευτος γάρ.

Τρίμνον, τριῶν μνῶν ἄξιον.

Τρικυμία, ἡ σφοδροτάτη καὶ δεινοτάτη τῆς θαλάσσης ταραχή. παρὰ τὸ τρέω τὸ φοβοῦμαι καὶ τὸ κῦμα, ὁ ἐκ τῶν κυμάτων φόβος.

Τριώτης. περὶ τραχηλίου κόσμος. καὶ μήποτε παρὰ τοὺς ὀσσούς οἱονεὶ, ὁ τρεῖς ἔχων ὄσσους, ἤγουν ὀφθαλμούς. γράφεται δὲ διὰ τοῦ ω μεγάλου, ὥσπερ καὶ τὸ ἀμβλυώττειν ἀπὸ τοῦ ὄσσος ὄν.

Τριοβολιμαῖος, τριῶν ὀβολῶν ἐώνιος.

Τριόπιον, ἡ ἀπολήγουσα χώρα τῆς Κνίδου. ἀπὸ Τριόπα τοῦ πατρὸς Ἐρυσίχθονος. ὦρος.

Τριπαία, ἡ ἐναντία πνοή. οὕτω Σοφοκλῆς εἴρηκε.

Τριπτῆρ, τριπτῆρος, πιθάκνη ἐκ πετάνου σοῖα τὰ ἐπιλήνια. πολὺ σημαίνει τοὔνομα.

Τριστάται, οἱ παρὰ χεῖρα τοῦ βασιλέως. οἱ ἔχοντες λόγχας ἀνὰ τρεῖς κατὰ χεῖρα. διατί ὥσπερ ἀπὸ τοῦ τρία τριάκοντα καὶ ἑξῆς, μὴ δύο δυήκοντα, ἀλλὰ εἴκοσι λέγεται. ὅτι οὐκ ἔστι κυρίως ὁ δύο ἀριθμός. ἔνθεν καὶ ἐν τῷ πολυπλασιασμῷ διηλλάγη. ἐὰν οἱ ἀριθμοὶ ἐκ τῶν ἀρσενικῶν συντίθενται ἄρθρων, ὁ τρισκαιδέκατος, καὶ ὁ τεσσαρεσκαιδέκατος, καὶ οὐκ ἀπὸ τῶν οὐδετέρων τρισκαιδέκατος καὶ τεσσαρεσκαιδέκατος. διατί μὴ ἐγένετο καὶ ἀπὸ τοῦ εἷς εἰσδέκατος, ἀλλ' ἀπὸ τοῦ οὐδετέρου ἑνδέκατος. ἐπειδὴ οἱ ἀριθμοὶ συντιθέμενοι, τὴν αὐτὴν ἀρχὴν θέλουσι φυλάττειν ἐπὶ τοῦ ἀρσενικοῦ καὶ θηλυκοῦ. οἷον, τρισκαιδέκατος, τρισκαιδεκάτη. τὸ δὲ εἷς, οὐ λέγεται ἐπὶ θηλυκοῦ ὥσπερ οἱ τρεῖς καὶ αἱ τρεῖς, ἵνα εἴπω εἰσδέκατος εἰσδεκάτη. εὐλόγως οὖν ἀπὸ τοῦ ἓν γέγονεν, ἵνα γένηται ἑνδέκατος, καὶ ἑνδεκάτη. πολλάκις γὰρ τὸ οὐδέτερον ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ τίθεται. ὡς ἐπὶ ἀρσενικοῦ οὐδέτερον τὸ παιδίον. ἀλλὰ καὶ ἐπὶ θηλυκοῦ ὁμοίως. εἰ δέ τις ἀπορεῖ λέγων διατί μὴ γέγονε μία καὶ δεκάτη, λέγομεν ὁμοίως ὅτι ἀδύνατόν ἐστιν εἰπεῖν ἐπὶ ἀρσενικοῦ μιακαιδέκα. εἰ δέ τις ἀπορεῖ διατί πάντων τῶν ἀριθμῶν συντιθεμένων μετὰ τοῦ δέκα, πάντες τὸν καὶ σύνδεσμον λαμβάνοντες, οὐ γέγονεν εἰσκαιδέκατος, ὡς τρισκαιδέκατος. λέγομεν, ἐπειδὴ οὐκ ἔστι κυρίως ἀριθμός, ἀλλ' ἀρχὴ ἀριθμοῦ ὁ εἷς, ὁ δύο. καὶ ἐπειδὴ ἀμφιβάλλεται εἴ τε ἀριθμός ἐστιν εἴτε μὴ, καὶ οὐ λαμβάνει τὸν καί. Ἰστέον ὅτι τοῦ τρισκαιδέκατος ἡ σύνθεσις οὐκ ἐγένετο ἀπὸ τοῦ τρὶς ἐπιρρήματος, ἀλλ' ἀπὸ τοῦ τρεῖς ὀνόματος. δηλοῖ γὰρ ἡ σύνθεσις ὅτι τὸ τρὶς ἐπίρρημα, τὸ τριστὸν δηλοῖ. τριστὸν γὰρ ἔγραψα, ἀντὶ τοῦ τρίτον ἔγραψα. εἰ οὖν ἀπὸ τοῦ τρὶς ἐπιρρήματος συνετέθη, ἔμελλε δηλοῦν τὸ τρὶς δέκα, ὅπερ ἐστὶ τριάκοντα. ἀλλὰ μὴν τοῦτο οὐ σημαίνει. τρισκαίδεκα γάρ ἐστι τὰ δέκα καὶ τρία. ὁ μὲν Ἀπολλώνιος λέγει ἀπὸ τοῦ δὶς καὶ τρὶς, γίνεται δίμηνος καὶ τρίμηνος. ὁ δὲ Ἡρωδιανὸς, ἀπὸ τοῦ δύο καὶ τρία κατὰ συγκοπήν. ζητεῖται οὖν ποῖον ἐστὶν ἀναλογώτερον, καὶ λέγομεν τὸ ἐκ τοῦ ὀνόματος. μᾶλλον ἰδοὺ κατὰ τὸ ἐντελὲς ἂν τὰ παρὰ Ἀθηναίοις συντιθέμενα, δοκεῖ ἡμῖν καὶ ταῦτα γίνεσθαι ἐξ ὀνόματος. οἷον, πεντέμηνος, ὀκτάμηνος. καὶ δῆλον ὅτι ἀπὸ τοῦ ἐπιρρήματος τοῦ πεντάκις καὶ ὀκτάκις, γίνεται πεντακίμηνος. καὶ κατὰ συγκοπὴν τοῦ κι, πεντάμηνος καὶ ὀκτάμηνος. καὶ λέγομεν πρὸς αὐτοὺς ὅτι τοῦτο ἀληθές. ἀλλὰ πολλάκις οἱ ἀριθμοὶ ἐν ταῖς συνθέσεσι καὶ παραγωγαῖς, τρέπουσι τὸ τέλος εἰς α. ὥσπερ γὰρ ἀπὸ τοῦ ὀκτὼ, παράγωγον ὀκτάκις, καὶ ἀπὸ τοῦ πέντε πεντάκις, οὕτω καὶ σύνθετον ὄνομα, πεντάμηνος καὶ ὀκτάμηνος. δέδεικται οὖν τὰ προκείμενα διὰ τοῦ ἀττικοῦ ὀνόματος τοῦ πεντέμηνος καὶ ὀκτώμηνος. ὥσπερ ἐκ τοῦ ὀνόματος γέγονε συγκοπῇ καὶ τροπῇ δυόμηνος δύμηνος καὶ δίμηνος, τριάμηνος καὶ τρίμηνος. τὸ δισχίλιοι καὶ τρισμύριοι ὡς ἔχοντα τὸ ς, ἐν παραθέσει ἐστί. τὸ δὲ δὶς καὶ τρὶς, ἐν τῇ συνθέσει ἀποβάλλει τὸ ς. σεσημείωται τὸ δισθανέες.

Τριτογένεια, ἡ Ἀθηνᾶ. ἤτοι ὅτι ἐκ τῆς μήτρας καὶ τῆς κεφαλῆς τοῦ Διὸς ἐξῆλθεν, ἢ ὅτι παρὰ τῷ Τρίτωνι ποταμῷ γέγονεν, ἢ ὅτι τρίτη μετὰ τὴν Ἄρτεμιν καὶ Ἀπόλλωνα ἐγένετο. ἢ ἐπειδὴ τριτώ ἐστιν ὅπερ κατὰ τοὺς Ἀθαμάντας, σημαίνει τὴν κεφαλήν. ἢ ἐπειδὴ τριταία γέγονεν, οἱονεὶ ἡ φαινομένη τριταία. καὶ γὰρ τὴν αὐτὴν εἶναι τῇ σελήνῃ. καὶ τὴν τρίτην τοῦ μηνὸς, τριτομηνίδα ἐκάλουν. δοκεῖ δέ γε γεννῆσθαι τότε ἡ Ἀθηνᾶ. τινὲς δὲ λέγουσι παρὰ τὸ τρεῖν τὸ φοβεῖν, ἢ φόβου ἐμποιητική. οἷς ἀντίκειται καὶ ἡ γραφὴ, ὅτι ὤφειλε γράφεσθαι διφθόγγῳ. καὶ ὁ σχηματισμὸς, ἐπειδὴ οὐ δύναται ἐκ τοῦ τρεῖν γενᾶσθαι, ἐπειδὴ οὐ γεννᾶται ἐκ τοῦ φόβου. ἢ παρὰ τὸ τρεῖν γεννᾶν, ἐπειδὴ ὥς φησιν ὁ τεχνικὸς, τὰ τοιαῦτα εἰς πάθη ἀναλύονται, καὶ οὐκ εἰς ἐνέργειαν. οἷον, λυκηγενής, ὁ ἐν Λυκίᾳ γεννώμενος. ἠριγενής, ὁ ἐν τῷ ἔαρι γεννηθείς. οὕτως οὖν καὶ τριτογένεια, ἡ ἐκ τοῦ τρεῖν γεννωμένη. οὐ μὴν ἡ τὸ τρεῖν γεννῶσα. Χοιροβοσκός.

Τριτοπάτορες, δήμων ἀνέμους εἶναι φησί. Φιλόχορος δὲ τριτοπάτορας, πάντων γεγονέναι πρώτους. τὴν μὲν γὰρ σελήνην καὶ τὸν ἥλιον τότε καλεῖν γονεῖς, τοὺς δὲ ἐκ τούτων, τρίτους πατέρας. Φανόδημος δέ φησιν ὅτι μόνοι Ἀθηναῖοι θύουσί τε καὶ εὔχονται αὐτοῖς ὑπὲρ γενέσεως παίδων. ἐν δὲ τοῖς Ὀρφέως φυσικοῖς, τοὺς τρίτους πατέρας. Ἀμαλκείδην. Πρωτοκλείαν. καὶ Πρωτοκρέοντα. θυρωροὺς καὶ φύλακας ὄντας τῶν ἀνέμων. ὁ δὲ τὸ ἐξηγητικὸν ποιήσας, Οὐρανοῦ καὶ γῆς φησιν αὐτοὺς εἶναι. ὀνόματα δὲ αὐτῶν Κόττος. Βριάρεως. καὶ Γύγης.

Τριττύς, τὸ τρίτον μέρος τῆς φυλῆς. αὕτη γὰρ διῄρηται εἰς τρία μέρη, τριττῦς, καὶ ἔθνη, καὶ φατρίας. καὶ τριττύαρχης, ὁ ἄρχων τῆς τριττύος.

Τριστή. τὸ ἀρσενικὸν, τριστός. ἔδει οὖν καὶ ἐπίρρημα τριστῶς τρισσῶς.

Τριττύν θυσίαν, Καλλίμαχος μέν, τὴν ἐκ κριοῦ καὶ ταύρου καὶ κάπρου. Ἴστρος δὲ τὴν ἐκ βοῶν. αἰγῶν. ὑῶν ἀρσένων, πάντων τριετῶν.

Τρίτων, ὄνομα ποταμοῦ. παρὰ τὸ τρεῖν τὸ φοβεῖσθαι. ὁ φόβου ἐμποιητικός. ἢ παρὰ τὸ ῥεῖν. ἢ παρὰ τὸ ἐκ τριῶν γενέσθαι, ῥίτων. καὶ πλεονασμῷ τοῦ τ, τρίτων. καὶ γὰρ ἕκαστος ποταμός, τριῶν τινῶν μετέχει. γῆς, ἀέρος, ὕδατος.

Τριχάϊκες, οἱ συνεχῶς κινοῦντες ἐν τοῖς πολέμοις τὰς κατὰ λόφον τρίχας. τοιοῦτος καὶ ὁ κορυθαίολος Ἕκτωρ. Ἡσίοδος δὲ διὰ τὸ τριχῆ αὐτοὺς οἰκῆσαι. οἷον, Πάντες γὰρ τριχάϊκες καλοῦνται οὕνεκα τρισσὴν Γαῖαν ἑκὰς πάτρης ἐδάσαντο. τρία γὰρ ἔθνη ἐν τῇ Κρήτῃ κατῴκησαν. Πελασγοί. Ἀχαιοί. Δωριεῖς.

Τρίχαπτον, τὸ βαμβύκινον ὕφασμα. ἱμάτιον πολύτιμον.

Τριχθὰ καὶ τετραχθά, εἰς τρία καὶ εἰς τέσσαρα. ἔστιν ἐπίρρημα μεσότητος. παρήχθη ἐκ τοῦ τρίχα βαρυτόνου, ὃ σημαίνει τὸ τριχῶς. τὰ εἰς χα ἐπιρρήματα ἀπὸ ποσότητος λαμβανόμενα, βαρύνεται. εἰ δὲ ἦ ὑπὲρ δύο συλλαβάς, προπαροξύνεται. οἷον, δίχα, διάνδιχα. τρίχα καὶ τέτραχα. καὶ πλεονασμῷ τοῦ θ, τετραχθά. ὀξυτόνως. τὰ εἰς χα λήγοντα ἐπιρρήματα, ἔχοντα τὸ χ πρὸ τοῦ θ, ὀξύνεται.

Τρίχες, παρὰ τὴν τραχύτητα. τράχες τινὲς οὖσαι. οἱ δὲ ἀπὸ τοῦ τρίζειν ἐν τῇ κουρᾷ. οἱ δὲ ἀπὸ τοῦ πλήθους. οἱ δὲ ἀπὸ τοῦ τρύχεσθαι καὶ ἀφαιρεῖσθαι συνεχῶς.

Τριχίδες, θρίσσαι. διὰ τὸ λεπτὰ ἔχειν ὀστᾶ.

Τρίχινον, παρὰ τὸ τρύχω τὸ καταπονῶ. τὸ καταπονοῦν καὶ ἀλγῦνον τὸ σῶμα.

Τριχολογεῖν, τὸ τὰς τρίχας ἀναλέγεσθαι, καὶ περὶ αὐτῶν φροντίζειν.

Τριχοβρωθήριον, ὅ τις τῶν περικεφαλαίων λόφους διαβιβρώσκει.

Τροπαία, ἡ Ἥρα. διὰ τὸ τὰ τρόπαια ὅ ἐστι τὰ νικητήρια μὴ μόνον δεῖν ἀνατίθεσθαι, ἀλλὰ καὶ τῇ Ἥρᾳ. καὶ ὥσπερ ὁ Ζεὺς πανομφαῖος, οὕτω καὶ ἡ Ἥρα πανομφαία. ὡς δὲ καὶ γένειος γενεία.

Τρόπηλις, ἡ τῶν σκορόδων δέσμη. ἀπὸ τοῦ τρέπεσθαι. ἐν δὲ τοῖς καιροῖς τῆς ἑορτῆς ἤσθιον σκόροδα, ἕνεκα τοῦ ἀπέχεσθαι ἀφροδισίων, ὡς μὴ μύρῳ πνέοιεν.

Τροπῆς ἀποσκίασμα, ἀντὶ τοῦ ἀλλοιώσεως καὶ μεταβολῆς ἴχνος, καὶ ὁμοίωμα φαντασίας. ῥητορική.

Τροπίας οἶνος, ὁ τετραμμένος καὶ ἐξεστηκώς. Τροπίδια, τὰ εἰς τρόπιν νεὼς ἐντιθέμενα ξύλα. μεταφορικῶς δὲ ἐπὶ καταβολῆς τινος καὶ ἀρχῆς πράγματος. καὶ ὁ τρόπος ἐφ' οὗ τίθεται ἡ τρόπις. οὕτω Πλάτων ῥητορική.

Τροχισθεῖσα, ἀπὸ τοῦ τροχός, ὅ ἐστιν ὄργανον βασανιστικόν, διατεῖνον τὰ σώματα τῶν βασανιζομένων.

Τρόπαιον, πᾶν κτητικὸν οὐδέτερον ἀπὸ θηλυκοῦ γένους, τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν. οἷον, κεφαλή, κεφάλαιον. γυνή, γύναιον. ὅθεν καὶ τροπή, τρόπαιον. οἱ δὲ παλαιοὶ Ἀττικοὶ προπερισπῶσιν. εἴρηται δὲ ἀπὸ τοῦ τρέψαι καὶ διῶξαι τοὺς πολεμίους, ἱστάμενα σύμβολα τῆς νίκης.

Τροπωτῆρες, οἱ ἱμάντες οἱ ἐν τοῖς πλοίοις. ἐν οἷς αἱ κῶπαι περὶ τοὺς σκαλμοὺς περιδέονται. τροπὸς δέ, ὁ τροπωτήρ, παρὰ τὸ τρέπειν τὰς κώπας.

Τρόμος, εἶδος τῶν ὑποπεπτωκότων τῷ ὀνόματι, εἰδικοῦ. γίνεται παρὰ τὸ τρέμω. τοῦτο παρὰ τὸ θέρμω τὸ θερμαίνω.

Τροφαλίς, σημαίνει τὸν τυρόν. παρὰ τὸ τρέφω τὸ πήσσω, γίνεται τρεφίς, ὡς λέπω λεπίς. καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, καὶ τροπῇ, τροφαλίς.

Τροφή, παρὰ τὸ τρέφω τὸ πηγνύω. ἡ πηγνύουσα καὶ εὐσταθῆ ποιοῦσα τὰ σώματα. λαμβάνεται καὶ ἐπὶ τῆς ἀγωγῆς καὶ παιδείας. καὶ τραφέν, ἀντὶ τοῦ ἀχθὲν καὶ παιδευθέν. καὶ ἐπὶ τῆς πολιτείας Πλάτων τὴν περὶ τὴν τροφὴν καὶ γέννησιν. Τροφὴν μὲν γὰρ βρῶμα καὶ πόμα λέγομεν. γέννησιν δὲ τὰ ἀφροδίσια. ἐν δὲ τρίτῳ πολιτείας, Καὶ ὑπὸ τῷ σοφωτάτῳ Χείρωνι τεθραμμένος, ἀντὶ τοῦ πεπαιδευμένος.

Τρόφι κῦμα, τὸ τεθραμμένον καὶ συνεστάμενον, ὅ ἐστιν εὐτραφές, Ἰλιάδος λ. Ἰστέον ὅτι εἰσὶ τινὰ οὐδέτερα μονογενῆ εἰς ι λήγοντα πεπονθότα, ἅπερ ἄκλιτά εἰσι, τὸ ἄλφι. καὶ τὸ ἔρι. ἤγουν τὸ κρῖ. καὶ τὸ τρόφι, γέγονεν ἀπὸ τοῦ τρόφιμον. ἢ παρὰ τὸ εὔτροφις. τὸ οὐδέτερον, εὔτροφι. ὡς τὸ λιπόπατρις λιπόπατρι. καὶ κατὰ ἀφαίρεσιν τρόφι. διὰ τί δὲ οὐκ ἔστι τρόφις, καὶ τὸ οὐδέτερον τρόφι. ἔστιν εἰπεῖν ὅτι τὰ εἰς ις ἁπλᾶ οὐκ ἔχει οὐδετέρου παρασχηματισμόν.

Τροχός, παρὰ τὸ τρέχω, τροχός, ὡς παρὰ τὸ δραμεῖν δρόμος. ἐπὶ μὲν τῶν ἁρμάτων. ἐκ δίφρου πεσὼν ἐξεκυλίσθη. ἐπὶ δὲ τοῦ κεραμικοῦ ἐργαλείου, Ἰλιάδος σ. ὥς τε τροχὸν ἄρμενον ἐμπάλιν. ζήτει εἰς τὸ πούς. τρόχος δὲ βαρυτόνως ἐπὶ τοῦ δρόμου. Εὐριπίδης Μηδείᾳ, Ἀλλ' οἱ δὲ παῖδες, ἐκ τρόχων πεπαυμένοι, στείχουσιν. ἀντὶ τοῦ γυμνασίων δρόμων. ἢ ἐκ τῶν κατατρεχομένων τόπων. τρόχος γὰρ παροξυτόνως κατὰ τὸ παθητικὸν ὁ τρεχόμενος.

Τροχαλός. Ἡσίοδος, Τροχαλὸν δὲ γέροντα τίθησιν, ἀντὶ τοῦ ἐπικαμπῆ. ἐκ μεταφορᾶς τοῦ τροχοῦ. ἢ ὀξὺν ἐν τῷ δρόμῳ. ἀναγκάζεται γὰρ ὁ γέρων ὑπὸ ψύχους τρέχειν ὑπὸ θερμὸν οἶκον. ἢ κυρτὸν καὶ ἐπικλινῆ.

Τρόχμαλος, ἡ ἐκ λίθων στρογγύλων αἱμασιά. ἡ περιῳκοδομημένη τοῖς χωρίοις. τρόχμαλα γὰρ κυρίως λέγονται οἱ μικροὶ λίθοι, οἱ κάχληκες. παρὰ Λυκόφρονι.

Τροία. τὰ διὰ τοῦ οια θηλυκὰ δισύλλαβα μακροκατάληκτα, διὰ τῆς οι διφθόγγου γραφόμενα, βαρύνεται καὶ ὀξύνεται. οἷον, ποία, νοία, ἐπὶ τὴν σφαῖραν. ἡ χρῆσις παρὰ Ἀντιμάχῳ. Κοίας ἐκ χειρῶν εἰς σκόπελον μεταρίπτάζουσι. ποιά. ῥοιά. χροιά. τὰ δὲ ὑπὲρ δύο συλλαβάς, ἅπαντα διὰ τοῦ υ ψιλοῦ γράφεται. οἷον, σικύα. κωδύα. ἰξύα. ἀφυά. σηπύα. καρύα. ἔστιν οὖν τὸ Τροία ἡ πόλις, ὄνομα βοιώτιον. Τρὼς Τρωὸς Τρωικὸς Τρώϊος, ὡς Ὀλύμπιος. Τρωία. Ἰωνικῶς Τρωΐη. συστολῇ ποιητικῇ, Τροΐη. καὶ συναιρέσει Τροίη καὶ Τροία. ἢ ἐκ τοῦ Τρωία Τροία. ὡς Ἀχελώιος, Ἀχελοῖος λέγεται.

Τρώς, ὀξύνεται. τὰ εἰς ως λήγοντα μονοσύλλαβα ἀρσενικά, ὀξύνεται, εἰ μὴ ἐκ συναλοιφῆς εἴη. ὥσπερ σόος, σῶς. ἢ ἐκ μεταθέσεως. κἂν τινὲς οἱ Δωριεῖς καὶ οἱ Ἴωνες τὸ οἶς, ὡς λέγουσι. σημαίνει δὲ κύριον ὄνομα, καὶ ἐθνικόν. καὶ διαφέρει. ὅτι τὸ μὲν κύριον ὄνομα, οὐδέποτε παρὰ τῷ ποιητῇ λαμβάνεται ἐν πληθυντικοῖς. τὸ δὲ ἐθνικόν, πάντοτε ἐν πληθυντικοῖς. κλίνεται Τρωός. ὁ κανών. τὰ εἰς ως ὀξύτονα μονοσύλλαβα εἰ μὲν ἔχει σύμφωνον, τῆς τρίτης συζυγίας τῶν βαρυτόνων, διὰ καθαροῦ τοῦ ος κλίνεται. δμὼς δμωός. θὼς θωός. εἰ δὲ μή, διὰ τοῦ τ. φῶς φωτός. πλὼς πλωτός, ὁ ἰχθύς. χρὼς χρωτός, τὸ σῶμα.

Τρῳαί. τὸ μὲν Τρῳαί, σημαίνει τὰς Τρωΐδας ἢ γυναῖκας, ἢ ἵππους. τὸ δὲ δμωαί, τὰς δούλας. καὶ οὐκ ὤφειλεν ἔχειν τὸ ι. ὅτι ἔστι Τρὼς Τρωός, καὶ δμὼς δμωός χωρὶς τοῦ ι. καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν καὶ γίνεται Τρωός καὶ δμωός χωρὶς τοῦ ι. λέγει δὲ ὁ τεχνικὸς ὅτι ἔχει τὸ ι, ἐπειδὴ εὕρηται κατὰ διάστασιν Τρωϊάδας γυναῖκας, καὶ ἵππους. καὶ Τρωοῖς, ἀντὶ τοῦ Τρωικοῖς ἢ ἄνδρας ἢ ἵππους. ἀποβολῇ τοῦ κ, Τρωίοις. καὶ συναιρέσει, Τρώοις.

Τρώγω, παράγωγόν ἐστιν ἀπὸ τοῦ τρῶ τὸ βλάπτω. σημαίνει τὸ κατεργάζεσθαι τὰ βαλλόμενα, καὶ μὴ ἐᾶν ὑγιῆ ἅτινα ἂν τρώγῃ τις.

Τρῶτες, θηρία τὰ ἐν τοῖς ὀσπρίοις.

Τρώγλη, παρὰ τὸ τρώγω τρώξω, γίνεται τρώγλη. τὸ διαβεβρωμένον καὶ τετρυπημένον μέρος τοῦ τείχους. ἀπὸ δὲ τοῦ τείρω γίνεται κατὰ συγκοπὴν τὸ τρῶ τρᾶς. καὶ τρεῖ τὰ ἄστερα. καὶ ὑποτρέσαι, τὸ ὑποχωρῆσαι.

Τρώκτης, ἀποστερητής. ἀπατεών. ἐκ πάντος κερδαίνων. ἀπὸ τοῦ τρῶ τὸ βλάπτω, τρώγω. ὁ μέλλων τρώξω. ῥηματικόν, τρώκτης, ὁ ἐπὶ βλάβῃ τινὸς ἅμα ἐγκαταμίσγων. σφόδρα γὰρ ἅμα σεσηρὼς καὶ γελῶν. ἐκ τοῦ τρώκτης γίνεται καὶ τρακταῖσαι τὸ κακουργῆσαι. καὶ Ὅμηρος οὕτω τοὺς Φοίνικας φησί. Φοῖνιξ ἦλθεν ἀνὴρ ἀπατήλια εἰδώς, τρώκτης.

Τρωπᾶσθαι, Ἰλιάδος π, ἀντὶ τοῦ εἰς τοὐπίσω ἀναστρέφεσθαι. ἀπὸ τοῦ τρέπεσθαι. καὶ παρατρωπῶσιν, ἀντὶ τοῦ παρατρέπουσιν. Ἰλιάδος ι. ἀπὸ τοῦ τρέπω τρωπῶ, ὡς στρέφω στρωφῶ. καὶ τρωπέουσιν, ἐπιτρεπέουσιν, ἐπιτρέπουσι.

Τρύγη, ὁ δημητριακὸς καρπός. τὰ πεπονημένα καὶ ἐκτετριμμένα. ἀπὸ τοῦ τρύχω. καὶ τρύγοιπος, ὁ ὑλιστήρ, παρὰ τὸ ἰποῦσθαι τὴν τρύγα. καὶ ῥῆμα τρυγῶ. ὅθεν τὸ τρυγῶσιν. καὶ ὡς τρυπῶ τῷ λόγῳ τῶν εὐκτικῶν, οὕτω τρυγάοιμι τρυγῷμι, τρυγάοις τρυγῷς, τρυγάοι τρυγῷ.

Τρυγίας, ἀπὸ τοῦ τρὺξ τρυγός. τοῦτο ἀπὸ τοῦ τρῶ τὸ βλάπτω. Οἶνος στετρώει μελινδής.

Τρύζει, ψιθυρίζει. γογγύζει. ἀσήμως λαλεῖ. παρὸ καὶ ἡ τρυγών, ἐπεὶ ἀσήμως φθέγγεται καὶ γογγυστικῶς. ῥητορική. ὥστε ἀπὸ τοῦ τρύγονος ἡ μεταφορά.

Τρυτάνη, ἡ στάθμη. παρὰ τὸ εἰς τρία ἑστάναι, τριτάνη. ἔστι δὲ εἶδος ζυγοῦ.

Τρισύππειον, ἔγκαυμα ἵππου γεγηρακότος ἐπὶ τῆς γνάθου τροχῷ ὅμοιον. οὕτως Ἀπολλώνιος.

Τρυφάλεια, περικεφαλαία. τροπῇ τοῦ ι εἰς υ. τρυφάλεια τις οὖσα, ἢ τρεῖς φάλους ἔχουσα. Ὧρος.

Τρυφή. παρὰ τὸ θρύπτω τὸ διακλῶ, θρυφὴ καὶ τρυφή, ἡ διακλῶσα καὶ ἀφανίζουσα ἡμῶν τὸ σῶμα. Ἰλιάδος γ. καὶ τρυφέν, ἀντὶ τοῦ διακλασθέν. παρὰ τὸ θρύπτω τὸ εἰς μικρὰ διακόπτω. ὁ μέλλων, θρύψω. ὁ δεύτερος ἀόριστος, ἔτρυφον τρυφείς, καὶ τρυφέν. καὶ τρύφος ὃ σημαίνει τὸ κλάσμα, ὁμοίως ἀπὸ τοῦ θρύπτω μεταθέσει τῶν στοιχείων. θρύψαι γὰρ τὸ κλάσαι.

Τρύχεται, κακοπαθεῖται. καταπονεῖται. ταλαιπωρεῖται. ἐκνενεύρισται. ἔστι ῥῆμα τρῶ, δηλοῖ τὸ βλάπτειν καὶ κακοῦν. οὗ παράγωγον, τρώω καὶ τρύω. καὶ προσθέσει τοῦ χ, τρύχω.

Τρύχνον, τὴν πόαν λέγουσι θηλυκῶς. στρύχνον δὲ οὕτως, οὐδαμῶς εὗρον.

Τυδεύς, παρὰ τὸ τυτθόν. μικρὸς γὰρ ἦν τὴν ἡλικίαν.

Τυγχάνω, ἀπὸ τοῦ τεύχω ἐστὶ παράγωγον καὶ οὐ πλεονασμός. ὡς φεύγω, φυγγάνω, ἐρεύγω, ἐρυγγάνω.

Τυκτὸν κακόν, μετὰ πόνου κακόν. εἰς τὸ τέτυγμαι.

Τύμβος, ὁ τάφος. παρὰ τὸ τύφεσθαι ἐκεῖ τὸ νεκρὸν σῶμα, τουτέστι καίεσθαι. καὶ τυμβοχοεῖν, θάπτειν χῶσαι τάφῳ.

Τυμβογέροντες, πέμπτη ἡλικία γερόντων. ὡς καὶ Θεόφραστος. παραπλῆγες καὶ τῇ διανοίᾳ παρηλλαγμένοι.

Τύμπανον, ἐκ δερμάτων ἐστὶ γινόμενον καὶ κροῦον, ὃ κατεῖχον αἱ βάκχαι. παρὰ τὸ τύπτω, τύπανον. καὶ πλεονασμῷ τοῦ μ. ἢ τύμπανον ἐστὶ τὸ τοῦ δημίου ξύλον, ᾧ τοὺς παραδιδομένους διαχειρίζεται. καὶ τυμπανίζεται, ξύλου πλήσσεται. ἐκδέρεται, καὶ κρέμαται.

Τύνη, εἰς τὸ ἄγω.

Τυντλάζειν, εἰς πηλὸν ἐμβαίνειν, ἢ ἐπὶ ἐραίνειν πηλῷ. τύντλος γὰρ ὁ πηλώδης τόπος, ἢ πηλός, καὶ τάραχος. καὶ τυντλώδους, ἀντὶ τοῦ ὑλώδους. ῥητορική. ἢ τυντλάζειν, τὸ αὐτολέγειν.

Τύραννος, ἤτοι ἀπὸ τῶν Τυρρηνῶν. ὠμοὶ γὰρ οὗτοι. ἢ ἀπὸ Γύγου ὅς ἐστιν ἀπὸ Τύρρας πόλεως Λυκιακῆς τυραννήσαντος πρώτου τοῦ ἐν αὐτῇ. ἄλλοι δὲ ἀπὸ τοῦ ῥύω τὸ καταπονῶ, ῥύανος. καὶ ὑπερβιβασμῷ τοῦ ρ, τύρανος καὶ πλεονασμῷ τοῦ ν. τύραννον δὲ οἱ ἀρχαῖοι καὶ ἐπὶ βασιλέως ἔτασσαν. ἔσθ' ὅτε δὲ καὶ τὸν τύραννον, βασιλέα ἔλεγον.

Τύρβη, ἀπόλαυσις, ἢ θόρυβος, ἢ τάραξις.

Τυρός, παρὰ τὸ τηρεῖν. κατὰ τροπήν. γάλα γὰρ τηρούμενον ἐστὶν ὁ τυρός. καὶ τυρεύω, τὸ κατασκευάζω. καὶ τυρεύεται καὶ τυρεῖται, ἀντὶ τοῦ συνίσταται καὶ συμπήγνυται. καὶ τυρευθέντα, ταραχθέντα.

Τυρόκνηστις, μαχαίριον καὶ σχῆμα ἀκόλαστον. καὶ ἡ πόλις ἀπὸ γυναικός τινος οὕτως ὠνόμασται εἰς τυροὺς πρώτης συμπηξάσης τὸ γάλα.

Τυτθόν, ὀλίγον. τυτθὸς λέγεται ὁ μαστός. καὶ ὑπομάζια παιδία, τὰ βρέφη. ὅθεν γίνεται τυτθόν, τὸ ἐπὶ ὀλίγον. καὶ τυτθήν, λέγουσι τὴν ὀλίγην ἢ μικράν.

Τύπος, παρὰ τὸ τύπτω γίνεται. ὥσπερ εἰς τὸ βουλλωτήριον τυπτόμενος ὁ μόλιβδος τύπον ποιεῖ καὶ εἰκόνα ἀποτελεῖ.

Τυφλός, σημαίνει τὸν ἐστερημένον τῶν ὀμμάτων. τυφλὸς γὰρ κυρίως, ὁ μετὰ τὸ γεννηθῆναι τυφλωθείς. παρὰ γὰρ τὸ ἀπολωλεκέναι τὸ φῶς γίνεται. ἢ παρὰ τὸ τύπους τῶν ἴλλων ἔχειν, ἤγουν τῶν ὀφθαλμῶν. ἢ παρὰ τὸ τύπους τοῦ φωτὸς ἔχειν. καὶ τυφλοπατεῖται, τυφλὸς πατεῖται.

Τυφλῶν ὀνείρων, ἤγουν τῶν ἀπατηλῶν. καὶ ἴσως πέπλασται τοῦτο. διαὶ γὰρ πύλαι ψευδῶν εἰσὶν ὀνείρων. ἢ ὅτι μύουσι προδιαλέγονται.

Τυφηστός, πόλις ἐστὶν ἐν τοῖς ἐσχάτοις τῆς μεναλίας. ἀπὸ τυφηστοῦ βασιλέως. ἢ τυφρηστός τις οὖσα, ἀπὸ τῆς ἡρακλέος τέφρας.

Τυφών. παρὰ τὸ τύφω τὸ καίω. τυφὼν γάρ ἐστιν ἡ τοῦ ἀνέμου σφοδρὰ πνοή. ὃς καὶ εὐρυκλύδων καλεῖται. ἢ παρὰ τὸ τῦφος τυφῶν, οὐχ ἡ φλὸξ ἡ ἐκ τοῦ ἀέρος, ἀλλ᾽ ἡ ἐκ τῆς ἀναθυμιάσεως συστροφὴ πρὸ τοῦ ἐκπυρωθῆναι ὡς Πλάτων ἐν Φαίδωνι.

Τυφῶνος, πυρώδους δαίμονος.

Τυφώς, ὁ κατὰ θάλασσαν, ὑφ᾽ οὗ τὰ πλοῖα φθείρεται. εἰσὶ δὲ γ΄. τυφών. πρηστήρ. κεραυνός. ἰστέον ὅτι τὸ ποσειδῶν διαιρούμενον, ποσειδάων ποσειδάωνος, φυλάττει. τὸ δὲ τυφῶν διαιρούμενον, συστέλλει. τυφάων τυφάονος. καὶ τυφαονία, πέτρα ἐστὶν ὑψηλὴ ἐν τῷ καυκάσῳ. καύκασος δὲ ὄρος σκυθικόν. καὶ ἕτερον ἰνδικόν. ὠνόμασται δὲ διὰ τὸ ἐν αὐτῷ διωκόμενον τὸν τυφῶνα ὑπὸ διὸς πεπλῆχθαι τῷ κεραυνῷ. πληγέντα δὲ αὐτὸν φασὶ καιόμενον ἀπελθεῖν ἐν τῇ σερβωνίδι λίμνῃ ἐν αἰγύπτῳ. καὶ εἰς τὸ βάθος αὐτῆς ἐμπεσεῖν καὶ δῦναι, συνεχόμενον ὑπὸ τῆς ἐκκαύσεως. ἡ δὲ λίμνη, θερμότητα τινὰ ἀναπέμπει, ὡς τοῦ τυφῶνος καιομένου ἐν αὐτῇ.

Τυφωεύς. ἡσίοδος αὐτὸν γῆς γενεαλογεῖ. στησίχορος δὲ ἥρας μόνης κατὰ μνησικακίαν διὸς τεκούσης αὐτόν. οἱ δὲ τυφωέα φασὶ σημαίνειν τῶν ταραχωδῶν πνευμάτων τὴν ἀνάδοσιν τὴν ἐκ τῆς γῆς.

Τετυφωμένος καὶ ἀσθενής, οἷον καπνός εἶναι. τύφω τὸ καίω. καὶ τυφώδης, ὁ ἡλικίαν ἔχων τοῦ τύφεσθαι. τουτέστιν ὁ πρὸ τῶν ἀποθνησκόντων. καὶ τυφογέρων, ὁ διὰ τὸ γῆρας τετυφωμένος καὶ ἐπικεκαυμένος. τὸ γὰρ ἐπικεκαυμένον, βέβλαπται.

Τύχων τύχωνος, δαίμων ἐστὶ περὶ τὴν ἀφροδίτην.

Τυχηρότερον, εὐτυχέστερον. ὅθεν καὶ τυχηρῶς λέγεται τὸ ἐπιτυχῶς. τύχην γὰρ ἁπλῶς, τὴν ἀγαθὴν τύχην καλοῦσι.

Τυλιμός, δερμάτινον βαλάντιον.

Τωθάζει, σκώπτει. χλευάζει. λοιδορεῖ. καυχᾶται. καὶ ἐτώθαζον, τὸ ἔσκωπτον. καὶ διέσυρον τὸ ῥῆμα τωθάζω. σημαίνει τὸ ἐμπαίζω καὶ ἀπατῶ. ἀπὸ τοῦ θώψ ὃ σημαίνει τὸν κόλακα, γίνεται θωπάζω. καὶ κατὰ τροπὴν τοῦ ψιλοῦ εἰς ψιλόν, καὶ ὑπερβιβασμῷ τοῦ θ, θωπάζω. τωθάζω. ἢ παρὰ τὸ ὠθῶ ὠθάζω καὶ τωθάζω. σημαίνει δὲ καὶ τὸ σχολάζω.

Τῶς δ᾽ ὅ σ᾽ ἀπεχθήρω. ἔστι δὲ ἐπίρρημα μεσότητος. γίνεται ἀφαιρέσει ἐκ τοῦ οὕτως. τὸ δὲ τουτέστι, σύνδεσμός ἐστι διασαφητικός. ὁμοίως καὶ τὸ ἤγουν.

Τῷ, σημαίνει τὸ ἐξ αὐτοῦ τοῦ τόπου. πολλὰ εἰσὶν ἐπιρρήματα εἰς θεν λήγοντα, ἅτινα ἀποβάλλουσι τὴν θεν συλλαβήν, καὶ ἐκτείνουσι τὸ ο. οἷον, πόθεν, πῶ. αὐτόθεν, αὐτῶ. καὶ γέγονε τοῦτο. τοῦτο δὲ ὁ μὲν ἀπολλώνιος ὀξύνει. ὁ δὲ ἡρωδιανὸς περισπᾷ. λέγων ὅτι οὕτως ἔχει ἡ παράδοσις. γέγονε δὲ οὕτω. πολλαὶ λέξεις ἐλλείπονται προθέσεων. οἷον, γέμωσε, ἀντὶ τοῦ διὰ σέ. ἡσίοδος. Πικρὰς ὠδῖνας ἔχουσαι, ἀντὶ ἐπέχουσαι. καὶ πάλιν. πολλαί εἰσι προθέσεις ἐλλείπουσαι ῥήματος. ὡς τό, ἀλλ᾽ ἄνα. καὶ ῥῖμι τρίφενες. ἔστιν οὖν διὰ τό. καὶ κατέλληψιν τῆς προθέσεως, τό. καὶ κατ᾽ ἔκτασιν, τῶ. ὡς ἐν ἰλιάδος β. Τῷ οὐκ ἂν βασιλῆας ἀνὰ στόμ᾽ ἔχων ἀγορεύοις. καὶ περισπᾶται κατὰ ἡρωδιανόν. τοῦτο δὲ τὸ τῶ, σημαίνει πέντε. ὄνομα. ἄρθρον. ἀντωνυμίαν. σύνδεσμον αἰτιολογικόν, καὶ ῥῆμα. ὄνομα μέν, οἷον, Οὔτε σοὶ οὐ τέτω ἄλλῳ μὴ δέα δέξεται πῶν. ἀντὶ τοῦ τινί. ὥσπερ γίνεται οὕτως. ἀπὸ τοῦ τὶς τινός, ἀποβολῇ τοῦ ν, γίνεται τίος. καὶ μεταγεται εἰς εὐθεῖαν. ὡς ὁ καταπάδος τοῦ καταπάδονος. καὶ ὁ καταπάδινος τοῦ καταπαδίνου. καὶ γίνεται πός, ποῦ. καὶ ἀττικῶς τεῶς, ὡς ναὸς νεώς. ἡ γενική, τεώ. ἡ δοτική, τεῷ. καὶ κράσει τῷ. ἄρθρον δέ, οἷον, τῷ ἀσκληπιῷ. γενικῆς δὲ οὖν εὐθείας καὶ αἰτιατικῆς, βαρύνεται. εὐθείας μὲν ὡς τό, Τώ γ᾽ ἀντιβίοισι μαχεσσαμένω ἐπέεσσιν, ἀντὶ τοῦ οὗτοι. αἰτιατικῆς δέ, ὡς τό, Οὐδ᾽ ἄρα τώ γε ἰδὼν γήθησεν ἀχιλλεύς, ἀντὶ τοῦ τούτους. ἀντωνυμίαν δέ, ὡς τό, Τῷ μιν ἐεισάμενος προσέφη νεφεληγερέτα ζεύς. ἀντὶ τούτῳ ὁμοιωθείς. καὶ πάλιν, Τῷ καὶ τεθνειῶτι, νόον πόρε περσεφόνεια. σύνδεσμον δὲ αἰτιολογικόν, ὡς τό, Τῷ οὐκ ἂν βασιλῆας ἀνὰ στόμ᾽ ἔχων ἀγορεύοις. καὶ πάλιν. Τῷ μή τις πρὶν ἐπειγέσθω οἴκον δὲ νέεσθαι. ἀντὶ τοῦ διότι. καὶ γίνεται ἀπὸ τοῦ διό. συναιρέσει, δῶ. καὶ κατὰ τροπὴν τοῦ δ εἰς τ, τῶ. ῥῆμα δέ, οἷον, Κύκλωψ. τῆ πίε οἶνον. ἀπὸ τοῦ θέματος. καὶ ἀντὶ οὕτως. ὡς τό, Τῷ κε τάχ᾽ ἡμύσειε πόλις πριάμοιο ἄνακτος. σημαίνει καὶ τὸ ἐξ αὐτοῦ τοῦ τόπου. τῶ, οἷον αὐτόθι, ὡς καὶ ἐν τοῖς ἄνωθεν εἴρηται.

ΤΕΛΟΣ ΤΟΥ ΤΑΥ ΣΤΟΙΧΕΙΟΥ.

IC

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ Υ ΣΤΟΙΧΕΙΟΥ.

Υ

Τὸ στοιχεῖον, ὅτι αἱ ὑάδες τὸ πρόσωπον τοῦ ταύρου, ὃ αὗται πλατυνόμεναι ἀπὸ τοῦ μετώπου λεπτύνονται ἐξ ἀμφοτέρων ἀπὸ τῶν κάτω ὥσπερ καὶ τὸ γράμμα.

Υάδες, οἱ αὐτῶν κεράτων τοῦ ταύρου ἀστέρες παρὰ τὸ ὕειν. ὑετοῦ γὰρ παρασκευαστικοί εἰσι δύουσαι. ἢ παρὰ τῶν στοιχείῳ ἀπεικάζεσθαι.

Ύαλος, διὰ τοῦ α, ὁ ὑέλος. καὶ θηλυκῶς, ἡ ὕαλος. καὶ ὑάλινον, ἀντὶ ὕαλον. ἐτυμολογεῖται δὲ παρὰ τὸ ὕειν. κατὰ ὁμοιότητα τῆς γινομένης συστάσεως καὶ μεθέξεως τοῦ ὕδατος ὑάλῳ ὁμοίως.

Ύβός, ὁ κυρτός. καὶ ὕβος, ἐστὶ κῦφον. καὶ ἀπὸ βολῇ τοῦ κ καὶ κατὰ τροπὴν τοῦ φ εἰς β. ὅθεν καὶ ὕβωσις, ἡ λόρδωσις. εἰσὶ δὲ πάθη λόρδωσις, ἢ λέδορσις. ἔστι δὲ τὸ ἔμπροσθεν. ὕβωσις, τὸ κατὰ τὴν κεφαλὴν πρὸ τῆς ῥάχεως πάθος. κύρτωσις δέ, τὸ μέσον τῆς ῥάχεως.

Ύβρις, ἡ μετὰ προπηλακισμοῦ καὶ ἐπηρείας αἰκία. αἰκία δὲ πληγαὶ μόνον. λυσίας ἐν τῷ περὶ αἰκίας πρὸς ἰσοκράτην. Καίτοι τίς οὐκ οἶδεν ὑμῶν ὅτι ἡ μὲν αἰκία χρημάτων ἐστὶ μόνον τιμῆσαι. τοὺς δὲ ὑβρίζοντας δόξαντας, ἔξεστιν ἡμῖν θανάτῳ ζημιοῦν. εἴρηται παρὰ τὸ ὕφαιρω ὕφις. καὶ κατὰ τροπὴν ὕβρις. οἱ δέ, ὑπόβαρίς τις οὖσα. ἢ παρὰ τὸ ὑβάλλω τὸ ἐμποδίζω, ὕβαλις. καὶ κατὰ συγκοπὴν καὶ κατὰ τροπὴν τοῦ λ εἰς ρ, ὕβρις.

Ύβριστής, παρώνυμόν ἐστιν, ἀπὸ τοῦ ὑβριστής.

Ύβάδαι, δῆμος τῆς λεοντίδος.

Ύγεία ἀθηνᾶ, ἐπίθετόν ἐστιν ἀθηνᾶς. καλεῖται γὰρ καὶ νίκη παι...

Ύγίης, ὁ ἐν ὑγρῷ ὢν καὶ ζῶν. οἷον, καὶ ἐργάνη. ὑγρίης. ὁ σθενιέρος, ὁ ζῶν. καὶ ἀλίβας, ὁ νεκρός, οὕτως ἡρωδιανός. ἐγὼ δὲ οἶμαι παρὰ τὸ εὖ εἶναι τὸ σῶμα, ἢ παρὰ τὸ εὐϊαίνεσθαι, ἀντὶ εὐφραίνεσθαι. ἰστέον ὅτι τὰ εἰς ης καθαρὸν ὀξύτονα τῷ ι παραληγόμενα, δισύλλαβά εἰσι. χαρίης καὶ ὑγιής. ἐξ οὗ συγκριτικὸν χαριέστερος καὶ ὑγιέστερος. ὥσπερ δὲ παρὰ τὸ εὐσεβὴς εὐσέβεια, οὕτω καὶ παρὰ τὸ ὑγιής, γίνεται ὑγίεια. καὶ κράσει, ὑγεία, ὥσπερ ἰατὰ ἀπολλωνίεια, ἰατὰ ἀπολλώνεια. οἱ δὲ ἀθηναῖοι ἐκτείνουσι τὸ α, καὶ κατὰ βιβάζουσι τὸν τόνον καὶ φυλάττουσι τὴν αὐτὴν γραφήν, ὑγίεια ὥσπερ τὸ ἱερεία. ἰστέον δὲ ὅτι τὸ ὑγίεια, τρισύλλαβον οὕτως ἐν τῇ κωμῳδίᾳ, οὕτως ἐν τῇ τραγῳδίᾳ αὐτὸ εὑρηται. καὶ οἱ ῥήτορες δὲ τετρασυλλάβως προφέρουσι. χοιροβοσκός. ἰστέον δὲ ὅτι ὑγίειαν καλοῦσιν οἱ ἀττικοὶ τὰ πεφυραμένα οἴνῳ καὶ ἐλαίῳ ἄλφιτα, καὶ πανὸ, περὶ ὁ ἱεροῦ φέρεται. ὃ θαλλὸν τινὰ ἢ ἄλειμμα. ζητεῖται τὸ παρὰ σώφρονι ὑγιώτερον κολοκύντας, πῶς οὐ λέγει ὑγιέστερον. ῥητέον οὖν ὅτι ἑκὼν ἥμαρτε τὸ ἄκακον τῆς γυναικείας ἑρμηνείας μιμησάμενος. ἐν ᾧ τόπῳ καὶ ἐσολοίκισε τὰ τῶν μεναιτοῦ κιτῶνος, ἀντὶ τοῦ ἐνέχυρα θεὶς ὁ τόνος νιν ἀλφθερῶ κηι ἀπιλόξενος.

Ύγρόν, ὕδωρ τί ὄν. οἷον, ἔνυδρον. ἢ παρὰ τοῦ ὕω ὑσαυρός. καὶ πλεονασμῷ τοῦ γ, ὑγρός. ὑγρὸν ἔλαιον, διὰ τὸ μὴ πήγνυσθαι καθὼς τὸ ὕδωρ, ὅτι πολὺ ἔχει τὸ θερμόν.

Ύδωρ. παρὰ τὸ ὕω τὸ βρέχω, ὕωρ. καὶ πλεονασμῷ τοῦ δ. καὶ ὕδωρ αὐτοπαγές, τὸ συνεστηκὸς ἐν τοῖς ἱεροῖς, ἢ τὸ αὐτομάτως πηγὰς ἔχον.

Ύδρία, κυρίως τὸ εἰς ὕδωρ εὔθετον ἀγγεῖον.

Ύδροφορία, ἑορτὴ ἀθήνησι πένθιμος αὐτοῖς ἐν τῷ κατακλυσμῷ ἀπολλομένοις.

Ύερός, παρὰ τὸ ὕω τὸ βρέχω, ὑρός. καὶ πλεονασμῷ τοῦ ε.

Ύης, ἐπίθετον διονύσου ὡς κλείδημος, ἐπειδὴ ἐπιτελοῦμεν τὰς θυσίας αὐτῷ καθ᾽ ὃν ὁ θεὸς ὕει χρόνον. ὁ δὲ φερεκύδης τὴν σεμέλην ὕην λέγει. καὶ τὰς τοῦ διονύσου τροφοὺς ὑάδας. ἀριστοφάνης δὲ συγκαταλέγει ξενικοῖς θεοῖς τὸν ὕην. ἢ ὅτι ὕστερον ὁ θεὸς αὐτὴν τὴν κίνησιν αὐτοῦ.

Ύηνές, ὑϊκόν τι καὶ ὃ ζῶν δὲ ἐς ποιεῖς. καὶ ὑηνία, σκαιότης καὶ ἀμαθία. καὶ ὑήνων, σκαιῶν καὶ ἀμαθῶν.

Ύθλος, ἡ φλυαρία, ἢ ἡ μωρία. ἐκ τοῦ φλῶ, παράγωγον φλέω καὶ φλύω, ὡς ῥέω, ῥύω. ὑποθέσει, ὕφλος, καὶ ὕθλος.

Ύικόν, ὑὸς ἴδιον. χοίρου ἔργον. ξενοφῶντος ἀπομνημονεύμασι.

Υἱός, παρὰ τὸ ὕω τὸ βρέχω. ὁ τοῦ πατρὸς καὶ τῆς μητρὸς ὢν εὐφρασία.

Υἱεύς υἱέος, διὰ τοῦ ο. οὐ γίνεται δὲ παρὰ ἀθηναίοις διὰ τοῦ ε καὶ ω ἀλλὰ διὰ τοῦ ου, υἱεῖς πριάμου, ἰλιάδος ε. γίνεται δὲ υἱός ἀπὸ τοῦ φύω τὸ γεννῶ, φυός καὶ υἱός. ἔστι καὶ υἱὶς ὃ σημαίνει τὸ υἱόν. κλίνεται υἷος. καὶ κατὰ συναίρεσιν, υἷος. ἡ δοτική, υἱί. ἡ αἰτιατική, υἷα. ἡ εὐθεῖα τῶν πληθυντικῶν, υἷες. καὶ ἡ αἰτιατική, υἷας ἀχαιῶν. τοῦ υἱὶς ἡ εὐθεῖα οὐ

συναιρεῖται. οὐδέποτε γὰρ μετὰ τὴν υι δίφθογγον ἐπάγεται σύμφωνον. ἡ δὲ γενικὴ μετάγεται εἰς εὐθεῖαν, καὶ γίνεται υἱός υἱοῦ. ὡς ἀπὸ τοῦ κῆρυξ κήρυκος καὶ κήρυκος κηρύκου.

Υἱωνός, υἱοῦ υἱός, ὅ ἐστιν ἔκγονος.

Υἱώσεις, αἱ υἱοθεσίαι. καὶ υἱώσατο, ἀντὶ τοῦ υἱὸν θετὸν ἐποίησε. καὶ υἱῶσαι, ἡ χρῆσις παρὰ Αἰολεῦσιν.

Ὑϊκὸν δέρμα, οὐχ εὕρηται ἐν χρήσει, εἰ μὴ παρὰ Ἀξιονίκῳ. ἡμάρτηται δέ. οὐδέποτε γὰρ λέξις σημαίνουσα μέρος σώματος, ἔχει εἰς κὸν κτητικόν, ἀλλὰ διὰ καθαροῦ τοῦ ον. οὐ γὰρ λέγομεν χοιρικὸν κρέας, ἀλλὰ χοίρειον. οὐδὲ ἀνθρωπικὸς πούς, ἀλλὰ ἀνθρώπειος. οὕτως οὐ δεῖ λέγειν ὑϊκόν, ἀλλ' ὕειον δέρμα. ἀποροῦσι τινὲς λέγοντες, διατί αὐτάντειος υἱὸς λέγεται, αὐτάντειος δὲ ἀδελφὸς οὐ λέγεται. καὶ ἔστιν εἰπεῖν ὅτι τῶν κτητικῶν ἀντωνυμιῶν, καὶ πρὸς μείζονας λαμβάνεται ἡ σχέσις, καὶ πρὸς ἴσον καὶ πρὸς ἥττονα. πρὸς μείζους μέν, οἷον ὁ ἐμὸς δεσπότης. πρὸς ἴσον δέ, οἷον, ὁ ἐμὸς ἀδελφός. πρὸς ἥττων δέ, οἷον, ὁ ἐμὸς δοῦλος. ἐπὶ δὲ τῶν κτητικῶν ὀνομάτων, οὐδὲν τοιοῦτον εὕρηται. ἀεὶ γὰρ πρὸς ἥττονα θέλει εἶναι ἡ σχέσις. καὶ οὔτε πρὸς μείζονα, οὔτε πρὸς ἴσον. οὐδεὶς γὰρ λέγει ἀριστάρχειος πατὴρ ἢ φίλος. ἀριστάρχειος δὲ ἀγρὸς λέγεται. τούτου χάριν αὐτάντειος μὲν υἱὸς λέγεται, ἐπεὶ πρὸς ἥττονα ἐστὶν ἡ σχέσις. αὐτάντειος δὲ ἀδελφὸς οὐ λέγεται. πρὸς ἴσον γάρ. ὥσπερ γὰρ τὸ ὑδροφόρος παροξυτόνως μὲν σημαίνει ἐνέργειαν, προπαροξυτόνως δὲ πάθος. τὸ μὲν γάρ ἐστιν ὁ φέρων τὸ ὕδωρ. τὸ δέ, τὸ ἀπὸ ὕδατος φερόμενον. ἄρα καὶ ἐν πᾶσι τοῖς ἀπὸ ῥημάτων συντιθεμένοις ταυτὸ εἶναι εὑρίσκομεν, φασὶν ὅτι ἐπίσκοπον. οὐδὲ ἐν μιᾷ μορίῳ παραβαίνοντα τὸν λόγον, ὡς αἱ προθέσεις καὶ τὰ ἐπιτατικά, οἷον ἐπίσκοπος καὶ ζάχρυσος, ἐνέργειαν σημαίνει οὐ πάθος. ἢ προπαροξύνεται. καὶ τὰ ὅμοια. ὥσπερ τὸ ναυβάτης, παροξυτόνως μὲν παθητικός, προπαροξυτόνως δὲ ἐνεργητικός. τὸ μὲν γὰρ δηλοῖ τὸν ἐμβαίνοντα αὐτὸν τῶν ναῶν. τὸ δέ, τὸν ὑπὸ τῆς νηὸς βαινόμενον. ἄρα καὶ τὰ λοιπὰ τὸν αὐτὸν λόγον φυλάττει. λέγεται πάλιν ὡς ἐπὶ τῶν, ἰδοὺ ἀτερπὴς μῦθος ὁ μὴ τέρπων ὀξύνεται ἐνεργητικός. καὶ ἀνηλεής, ὁ μὴ ἐλεῶν. καὶ φιλομμειδής, ἡ φιλοῦσα τὸν γέλωτα. καὶ ἀνεμοσκεπὴς χλαῖνα, ἡ ἐκ τοῦ ἀνέμου σκέπουσα. καὶ δυσαής, ὁ δεινῶς πνέων. τοὐναντίον δὲ εὐήρης ναῦς ἢ ὑπὸ εἰδῶν ἐρεσσομένη. ἐν γὰρ τοῖς παροξυτόνοις ἐστὶ παθητικόν. ὁμοίως καὶ ἁλιήρης καὶ πανώλης ἢ ἐξώλης. τὸ ἀπολλύσθαι παθητικῶς ἐγκείμενον.

Ὑδῶ, τὸ ῥέφω. καὶ ὑδεῖν, τὸ ῥέφειν.

Ὑδῶ, τὸ ὑμνῶ καὶ λέγω. καὶ ὑδεῖν, τὸ ὑμνεῖν καὶ λέγειν.

Ὕδωρ. τὸ υ, διαφορεῖται κατὰ τὸν χρόνον. ἀλλὰ τὸ μὲν συστελλόμενον, ἀνάλογον. τὸ δὲ ἐκτεινόμενον, ποιητικόν. κλίνεται ὕδατος. σεσημείωται γὰρ ὅτι ἐστὶν ἑτερόκλιτον. ἡ γὰρ κλίσις αὐτοῦ, ὡς ἀπὸ τῶν εἰς ας ἐστὶ τοῦ ὕδας ὕδατος, ὡς γῆρας γήρατος. διατί, ἐπεὶ οὐδέτερον ὑπὲρ μίαν συλλαβὴν ἀπαθὲς τῶν παρὰ τοῖς καὶ τῶν εἰς ωρ καταλήξεων διὰ τὸ τέκμωρ τέκμωρος, βραχείᾳ καταλήγειν θέλει.

Ὑλακόμωροι, ὑλακτικοί. οἱ παρὰ τὸ ὑλακτεῖν ποιούμενοι. τινὲς δὲ τοὺς ὀξυφώνους, ὡς καὶ ἐγχεσιμώρους διὰ τὴν ὀξύτητα τῶν δοράτων. μόρον γὰρ λέγουσι Κύπριοι τὸ ὀξύ. βέλτιον δὲ οἱ περὶ τὴν ὑλακὴν μεμορημένοι, διὰ τὸ ἐγρηγορέναι. ἢ τὴν ὑλακὴν ὁρῶντες, ὅ ἐστιν ὀξεῖα χώμενοι.

Ὑλάστριαι, καὶ ὑλαζόμενοι, οἱ ξύλα συλλέγοντες. καὶ ὑλοφόροι, οἱ ξυλοφόροι. καὶ ὑλουργοί, οἱ ὑλοτόμοι.

Ὑλιστύλιος, μεταπλασμός ἐστιν, ἀπὸ τοῦ ὕλη τοῦ μακροῦ. γίνεται παρὰ τὸ ὕεσθαι ὅ ἐστι βρέχεσθαι. ἤδη ὑγροῦ αὐξανομένη. εἰς τὸ ἴλις.

Ὕλη σημαίνει τρία. τὰ ξύλα, ὡς τό, ὕλην ταμέμεν. καὶ τὸν σύνδενδρον τόπον. ὡς τό, ὡς δ' ὅτε πῦρ ἀΐδηλον ἐν ἀξύλῳ ἐμπέσῃ ὕλῃ. ἔστι καὶ ὄνομα πόλεως.

Ὑλομανούντων, μεμηνότων περὶ τὴν ὕλην. τῇ ὕλῃ χαιρόντων.

Ὑλλήων, γενικὴ πληθυντικὴ παρὰ Ἀπολλωνίῳ. Ὕλλεις, ἔθνος Κελτικόν. ἀπὸ Ὕλλου βασιλέως αὐτῶν υἱοῦ Μελίτης καὶ Ἡρακλέους.

Ὑμέναιος, γαμικὸς ὕμνος, παρὰ τὸ ὁμοῦ ναίειν. ὅτε οὖν συνοικίζεται ἀνὴρ γυναικί. οἱ δὲ παρὰ τὸ ὕμνος. ἀλλ' οὐ πᾶς ὕμνος ὑμέναιος καλεῖται. καὶ ἔσῃ μαθ' ὑμεναίῳ πρὸ τῆς συζυγίας. ἀλλὰ καὶ αὐτῇ τῇ συζυγίᾳ εἴρηται. καὶ ὑμεναιοῦν, τὸ ᾄδειν τὸν ὑμέναιον καὶ συνάπτειν γάμῳ. ἢ ὑμέναιος, ὁ ἐπιθαλάμιος ὕμνος, ἀπὸ τοῦ ὁμονοεῖν τοὺς νυμφίους ὁμόσε ναίοντας. γίνεται αἰολικῶς. ἢ ἀπό τινος Ὑμεναίου, ὅν φασι γήμαντα δοξασθῆναι.

Ὑμενώδης, λεπτότατον καὶ οἱονεὶ ἀερῶδες. ὁ δὲ ὑμήν, ὑφή τις ἐστίν. ἢ ὕφασμα εἶναι λεπτὸν ὑμένα. ὑμῆν ὑμετέρων, ἀπὸ τοῦ ὑμῶν. γίνεται τοῦ ω εἰς η. ἢ συγκοπῇ γίνεται τῶν τεσσάρων στοιχείων, ἀπὸ τοῦ ὑμετέρα, καὶ γίνεται ὑμῆ. ὡς ἐν Ἰλιάδος η. ὡς τὸ ὑμέτερον ὑμόν. ἢ ἀπὸ τοῦ ὑμῶν κατὰ τροπήν.

Ὑμήττιον, μέλι τὸ εὔχρηστον πρὸς ἰατρείαν. Ὑμήττιος τόπος Ἀττικῆς ἐν ᾧ λέγεται εὔχρηστον μέλι γίνεσθαι.

Ὕμνος, κατὰ συγκοπήν. ὑπόμονός τις ὤν. καθὸ εἰς ὑπομονὴν καὶ μνήμην ἄγει τὰς τῶν ἐπαινουμένων πράξεις ἢ ἀρετάς. κεχώρισται δὲ ἐγκωμίων καὶ προσῳδιῶν καὶ ἐπαίνων, οὐχ ὡς κἀκείνων μὴ ὄντων ὕμνων. γράφεται δὲ ὕμνος προσῳδίας. ὕμνος ἐγκωμίου. ὕμνος παιᾶνος, καὶ τὰ ὅμοια. διαστέλλεται ὡς εἴδη ἀπὸ γένους, ἀλλ' ἀντιδιαστέλλονται. προσῳδία γάρ, Ἀθηναῖοι προσιόντες ναοῖς ἢ βωμοῖς, πρὸς αὐλὸν ᾖδον. τὸν δὲ ὕμνον, πρὸς κιθάραν. οὕτω Δίδυμος ἐν τῷ περὶ λυρικῶν ποιητῶν.

Ὑμνοπολείτω, ἀντὶ ὑμνείτω. ἢ ὑμνούντων ψιλῶς, ἀντὶ λεγόντων. Πλάτων Νόμων ἕκτῳ. καὶ ὑμνεῖν, ὀδύρεσθαι. μέμφεσθαι. λοιδορεῖν κατ' εὐφημισμὸν ὡς ἐν πρώτῳ Πολιτικῶν.

Ὕνις, τὸ γεωργικὸν ἐργαλεῖον. ἀπὸ βολῇ τοῦ δ, δῦνις τις οὖσα. ἐπεὶ κατὰ τῆς γῆς δύνει.

Ὑοσκύαμος, ὃν οἱ πίνοντες μαίνονται. καὶ ὑοσκυαμᾶν, τὸ μεμηνέναι καὶ παραπαίειν, ὡς Φερεκράτης Κοριαννοῖς.

Ὑπαγωγεύς, ἐργαλεῖον οἰκοδομικόν.

Ὑπάγει, ἐξαπατᾷ. καὶ ὑπαγωγαί, αἱ ἀπάται. καὶ ὑπαγωγὴ ἡ ὑποχώρησις. καὶ ὑπαγωγάς, τὰς ἀναχωρήσεις. διώξεις τε καὶ ὑπαγωγάς, Θουκυδίδης φησί. καὶ ὑπαγωγὴ δὲ λέγεται ἡ τῶν νηῶν σκέπη καὶ προσόρμησις. οἷον, ἐφόρμησις.

Ὑπακτέον, πορευτέον. ἐκ τοῦ ἄγω, ἀκτέον καὶ ὑπακτέον.

Ὕπαρ, ἐγρήγορσις. ὀπτασία ἀληθής, οὐκ ἐν ὀνείρῳ. ἀλήθεια. οὐκ ὄνειρος. οἷον, ὕπαρ οὐκ ὄναρ φαινόμενον. ἔστι ῥῆμα ὕπω, σημαῖνον τὸ ὑπάρχω. ἀφ' οὗ ῥηματικὸν ὄναρ. ὡς θένω, θέναρ. καὶ μετὰ τῆς ὑπὸ προθέσεως, ὑπόναρ. καὶ ὑπερθέσει καὶ ἀποκοπῇ, ὕπαρ.

Ὑπαρκτά, μόνιμα. ὑπάρχοντα. παρὰ τὸ ὑπάρχω.

Ὑπάρχων, προκατάρχων. καὶ τὸ ὑπάρχειν, οὐχ ἁπλῶς τὸ εἶναι σημαίνει, ἀλλὰ τὸ πάλαι εἶναι καὶ προϋπεῖναι.

Ὑπασπισταί, δορυφόροι. παρὰ τὴν ἀσπίδα.

Ὑπάτη, ἀνωτάτη. παρὰ τὸ ὕπατος, ὃ σημαίνει τὸν ὑπερέχοντα καὶ ὑψηλόν. παρὰ τὴν ὑπὸ πρόθεσιν δηλοῦσαν τὸ ὑπεράνω, ὑπότατος. καὶ συγκοπῇ, ὕπατος.

Ὑπαιθαλιάσθη, Ἰλιάδος ο. ἀντὶ τοῦ εἰς πλάγιον ἐξέκλινεν, ἢ εἰς τοὔμπροσθεν.

Ὑπαίθριον, ὑπὸ τὸν ἀέρα. καὶ ὕπαιθρον, ὁμοίως.

Ὑπεμνήμυκε. Πάντα δ' ὑπεμνήμυκεν. Ἰλιάδος χ. ἔστιν ἡμύω, τὸ ἐπικλίνω ἢ καταπίπτω. ὁ παρακείμενος ἤμυκα. ὁ Ἀττικὸς ὤφειλεν ἠμύμηκα εἶναι. ἀλλ' ἐπεὶ ὁ Ἀττικὸς παρακείμενος ἀεὶ ἀπὸ βραχείας ἄρχεται, συνεστάλη τὸ η εἰς ε, καὶ ἐγένετο ἐμύμηκα. καὶ πλεονασμῷ τοῦ ν διὰ χρείαν ποιητικήν, γίνεται ἐμνήμυκε καὶ ὑπεμνήμυκε.

Ὑπεξαιρήσαν, ἀντὶ ὑπεξέλον. ἀνελλήνιστόν ἐστι. τοῦ γὰρ ῥήματος μὴ ὄντος, λέγω δὴ τοῦ ᾕρησα, οὐδὲ ἡ μετοχὴ αἱρήσας. οὐδὲ οὐδέτερον τὸ αἱρῆσαι. καθόλου γὰρ τὰ διὰ τοῦ αιρω περισπᾶται. οἷον διαιρῶ. καὶ τῶν ὁμοίων ἐκλέλοιπεν ὁ ἀόριστος καὶ τὰ τούτου κινήματα.

Ὑπεξηρήθωσαν. αἱρῶ, αἱρήσω, ᾕρηκα, ᾕρημαι, ᾑρήμην, ᾕρησο. ἢ τὸ προστακτικόν, ᾑρήσθω. τὸ πληθυντικόν, ᾑρήσθωσαν. καὶ μετὰ τῆς ὑπὸ καὶ ἐξ, ὑπεξηρήθωσαν.

Ὑπελύσαο. λύω, λύσω, ἔλυσα, ἐλυσάμην, ἐλύσω. καὶ κατὰ διάλεκτον ἰωνικήν, ἐλύσαο.

Ὑπεὶρ ἅλα. ὑπὲρ ἦν. καὶ πλεονασμῷ, γίνεται ὑπείρ. ὡς τό, ὑπείρεχον ἡφαιστοιμένος.

Ὑπείροχον, ὑπερέχοντα. προὔχοντα. εἰς τὸ ὑπερβασία.

Ὕπερα, τὸ ἐξηρτημένον τοῦ κέρατος τοῦ ἱστοῦ σχοινίον, ᾧ ἀνίεται ἢ τείνεται τὸ σχοινίον. παρὰ τὸ ὑπεράνω εἶναι.

Ὑπεραεῖ, ἰσοσάελλη. τῇ ἄγαν πνεούσῃ συστροφῇ τοῦ ἀνέμου. παρὰ τὸ ἄω τὸ πνέω, ὄνομα ὑπεραής ὑπεραέος. ἡ δοτικὴ ὑπεραεῖ. ἡ αἰτιατική, ὑπεραέα ὑπεραῆ. Ἰλιάδος λ.

Ὑπερβασία, παραβασία. ἀδικία. καὶ τὸ ὑπὲρ τὸ δίκαιον πράττειν. γίνεται παρὰ τὸ βέβαμαι παρακείμενον, βέβασαι, βασία. καὶ ὑπερβασία. κυρίως ἐπὶ τῶν ὑπερβαινόντων τοὺς ἰδίους ὅρους. ταῦτα δὲ καὶ ἐπὶ τῆς ὑπερηφανίας. δοκοῦσι γὰρ οἱ ὑπερήφανοι ποιεῖν τι ὑπὲρ ἑαυτούς.

Ὑπείρεχον. ἔστι ῥῆμα ἔχω. ὁ παρατατικὸς εἶχον ποιητικῶς. μετὰ τῆς προθέσεως, ὑπερεῖχον. καὶ πλεονασμῷ τοῦ ι, ὑπείρεχον. ὤφειλε δὲ ἐν τῷ τέλει εἶναι ὁ πλεονασμὸς ἵνα ᾖ ὑπέριχον. αἱ γὰρ προθέσεις κατὰ τὸ τέλος πλεονάζουσιν. οἷον, ἐν, ἐνί. πρός, προτί. ἀλλ' ἐπειδὴ παρέπεται ταῖς προθέσεσι τὸ μέχρι τῆς δισυλλαβίας αὔξεσθαι, τούτου χάριν οὐ πλεονάζει ἵνα μὴ εὑρεθῇ τρισύλλαβος ἡ πρόθεσις. διατί ἀναβιβάζει τὸν τόνον. πᾶς παρῳχημένος χρόνος τὸν προσγινόμενον αὐτῷ χρόνον ἀποβαλών, ἐν τῇ συνθέσει προπαροξύνεται. οἷον, εἶχον, κάτεχον.

Ὑπέρβιον, ὑπερβιαίως. οἷον, ἀγανβιαίως, ἢ ὑπερβαλλόντως τῇ βίᾳ. ὑπερηφάνως.

Ὑπερβολήν, τὴν ἀναβολὴν καὶ ὑπέρθεσιν. καὶ ἐν τῷ περὶ στεφάνου Δημοσθένης.

Ὑπερδεᾶ δῆμον ἔχοντα, ὑπερβαλλόντως ἐνδεᾶ. οἷον, πάνυ ἐλάσσονα κατὰ δύναμιν. γίνεται δὲ ἀπὸ τοῦ ὑπερδεής ὑπερδεοῦς. καὶ αἰτιατικὴ ὑπερδεέα. καὶ συγκοπῇ, ὑπερδεᾶ.

Ὑπερδέξιον χωρίον, οἷον χαλεπώτατον. Ξενοφῶν.

Ὑπέρδικον, τὸν ἄκρως δίκαιον, καὶ σφόδρα δίκαιον.

Ὑπερήμεροι, οἱ ἐν ταῖς καταδίκαις πρὸς ἔκτισιν ἡμέραν λαβόντες καὶ μὴ διαλυσάμενοι. οἱ δίκην ὀφείλοντες ὅ ποιοῦσιν, τοῖς ἑλοῦσι μὴ ἀποδιδόντες ἐν ταῖς τακταῖς προθεσμίαις, ὑπερήμεροι ἐκαλοῦντο. τὸ δὲ πρᾶγμα, ὑπερημερία.

Ὑπέρθυμος, μεγαλόψυχος. γενναῖος.

Ὑπερηφανέω ὑπερηφανῶ καὶ ὑπερηφανεύω. ἐκ τοῦ ὑπερήφανος. τοῦτο ἐκ τῆς ὑπὲρ προθέσεως καὶ τὸ φῶ τὸ φαίνω. ὑπερήφανός τις ὤν. ὁ ὑπεράνω πάντων φαινόμενος.

Ὑπερίδης, παρὰ τὴν ὑπὲρ πρόθεσιν, γίνεται ὕπερος καὶ ὑπερίδης, ὡς ὕλλος Ὑλλίδης.

Ὑπερηνορεόντων, ἤτοι τῶν ὑπερεχόντων τῇ ἠνορέᾳ. τουτέστιν ἀνδρείων, ἢ τῶν ὑπὲρ δύναμιν φρονούντων ὑπερηφάνων.

Ὑπερίων, ὁ ἥλιος. ἤτοι Ὑπερίονός ἐστι καὶ Θείας παῖς ὡς Ἡσίοδος. ἐντεῦθεν γὰρ αὐτὸν παρωνυμικῶς Ὑπεριονίδην καλεῖ. ἢ ὁ ὑπεράνω ἡμῶν ἰὼν καὶ περιπολῶν τὸν κόσμον. διὰ τούτου γὰρ τὰ ὅλα συνέχεται.

Ὑπερινός, ὑπερκεκαθαρμένος.

Ὑπέρινον, τὸ σφόδρα λεπτόν. ἰνῶ ἐστὶ ῥῆμα τὸ ἐκκενῶ καὶ λεπτύνω ἢ ὀξύνω. ὅθεν ἢ ὑπέρινον ἄνδρα λέγομεν τὸν λεπτὸν καὶ κενόσαρκον.

Ὑπερικταίνοντο. Πόδες δ' ὑπερικταίνοντο. Κράτης τὸ ἄγαν ἐφάλλοντο, ὑπερικταίνοντο. Λυσανίας ἀπὸ τοῦ ῥέμβειν φησὶ τετάχθαι. ἢ δασύνεται ὥστε εἶναι ὑπερικνοῦντο, ἢ ψιλοῦνται. Οἱ δὲ πόδες δίκνουντο διὰ τὴν χαρὰν ὑπὲρ τὸ μέτρον τῆς δυνάμεως.

Ὑπερθέσις, ἤγουν παρὰ τὴν σύγκρισιν καὶ ὑπέρθεσιν, ἔλεγε τὸ συγκριτικὸν καὶ ὑπερθετικόν, ὡς παρὰ τὸ φθίσις φθισικόν. παρὰ μὲν γὰρ τὸ συγκριτὸς καὶ ὑπέρθετος, γίνεται συγκριτὴς καὶ ὑπερθετής. ἐξ οὗ συγκριτικὸν καὶ ὑπερθετικόν.

Ὑπερκύδαντας, γαυριῶντας, ὑπερενδόξους. τὰ εἰς [ ] τινὸν δας ὑπὲρ δύο συλλαβάς, ἰσοσυλλάβως κατὰ ἀποβολὴν τοῦ ς κλίνεται. ἀκάδας, ἀκάδα. ἰούδας, ἰούδα. τιμαχίδας, τιμαχίδα. λεωνίδας, λεωνίδα. χωρὶς εἰ μὴ ἀπὸ βαρυτόνου ῥήματος γίνοιτο. οἷον, οἶδα, οἴδας, οἴδαντος. μείδω μείδας μείδαντος. φείδομαι, ἀφείδας ἀφείδαντος. οὕτω καὶ τὸ ὑπερκύδαντος, ἀπὸ τοῦ ὑπερκυδαίνω, ὑπερκυδήσω ὑπερκυδήσαντος καὶ ὑπερκύδαντος. λέγουσι δέ τινες ὅτι ἐν τοῖς ἐπιμερισμοῖς ἡρωδιανὸς λέγει ὅτι μετοχή ἐστι. κυδαίνω, ἐκύδηνα, κυδήναντος. καὶ κατὰ συγκοπὴν καὶ σύνθεσιν, ὑπερκύδαντος. ἐν δὲ τῷ ὀνοματικῷ λέγει ὅτι ὄνομά ἐστι. καὶ μᾶλλον ὅτι ἠθέλησε δεῖ λέγειν ἢ ὑπὲρ μετοχήν. τὸ γὰρ ὀνοματικὸν αὐτοῦ ὡμολόγηται εἶναι. οἱ δὲ ἐπιμερισμοὶ οὐκ εἰσὶν αὐτοῦ πάντες, ἀλλ' εἰσὶ καὶ ψευδεπίγραφοι.

Ὑπέρμορα, ἐπίρρημα μεσότητος, φύσει ἢ θέσει. τὰ εἰς α λήγοντα οὐδέτερα εἰ μὲν μετὰ ὀνόματος συντεθῇ, ὀνόματά εἰσιν. οἷον, καλὰ γράμματα. εἰ δὲ μετὰ ῥήματος, ἐπιρρήματά εἰσιν. οἷον καλὰ γράφει, ἀντὶ τοῦ καλῶς. οὕτω καὶ ὑπέρμορα, ἀντὶ τοῦ ὑπὲρ τὸ προσῆκον. ὑπὲρ τὴν εἱμαρμένην. καὶ ὃν τρόπον τὸ καλὸν καὶ τὰ καλὰ εἰσὶν ὀνόματα ἀλλὰ καὶ ἐπιρρήματα, οὕτω καὶ τοῦτο εἰς σύνταξιν ἐπιρρηματικὴν λαμβάνεται. ἢ ὅτι δύναται καὶ τοῦτο καὶ τὸ ὑπέρμορον κατὰ διάλυσιν ἀναγινώσκεσθαι. ὁμοίως. τῷ β. ἢ καὶ ὑπὲρ μοῖραν ἄϊδος, ἢ οὐ κατὰ διάστασιν. ἀντὶ γὰρ τοῦ ὑπερμόρως εἴληπται. ἐκ γὰρ τοῦ μόρος γίνεται ὑπέρμορος. ἐξ αὐτοῦ τὸ οὐδέτερον καὶ τὰ πληθυντικὰ ὑπέρμορα.

Ὑπέρον, παρὰ τὴν ὑπὲρ πρόθεσιν πέπηκται.

Ὑπεροπλία, ἡ ὑπερηφανία. γίνεται ἀπὸ τοῦ ὑπέροπλος. μεταφορικὴ δέ ἐστιν ἡ λέξις ἀπὸ τῶν τὰ ὅπλα φερόντων. καὶ ὑπέροπλον, τὸ ὑπερήφανον. ἀπὸ τοῦ ὑπέροπλος γίνεται ὑπερόπλειος κτητικὸν τύπῳ. ἐξ οὗ τὸ θηλυκὸν ὑπεροπλεία διὰ διφθόγγου. ἢ ἀπὸ τοῦ ὑπεροπλής. ὅθεν τὸ ὑπεροπλήεστατος παρ' ὁμήρῳ, ἀντὶ ὑπερηφανώτατος. ὡς σοφοκλῆς σοφοκλέος. καὶ, Οὐκ ἄν τις ἀνὴρ ὑπεροπλίσσαιτο. ἀντὶ ὑπερηφάνως ἴδοι καὶ νεανικῶς ὑπερβαίη. ἀπὸ ὑπέρτατος, μεγαλώτατος. ἰλιάδος [ ] τῶν ὅπλων. μ. καὶ ὑπέρτερον εὖχος ἰλιάδος λ. ὑψηλότερον.

Ὑπερφίαλος, παρὰ τὸ φῶ τὸ φαίνω. [ ] μεγαλώτερον. ὁ ὑπερφαίνοντα τῶν ἄλλων ἑαυτὸν ἐπὶ χρεῶν ἐπιδεῖξαι. εἰ δὲ παρὰ τὸ φῶ τὸ λέγω, ὁ ὑπὲρ τὴν ἑαυτοῦ δύναμιν λέγων καὶ ἐπαγγελλόμενος. ὁποῖον λέγει ὅμηρος ὑψαγόρην. οἶμαι δὲ καὶ παρὰ τὸ πίω πίαλος καὶ ὑπερφίαλος, ὁ ὑπέρπιονδος. λαμβάνεται δὲ καὶ ἐπὶ ἐγκωμίου. ἢ ὑπερήφανος καὶ ἄθεος, καὶ παραβαίνων τοὺς διὰ φιάλων γινομένους ὅρκους. ἢ ὁ ὑπερβάλλων τῇ ἀμετρίᾳ, ὡς τῆς φιάλης ἀμέτρου οὔσης. καὶ ὑπερφίαλον, λέγεται τὸ πολὺ καὶ ἄμετρον.

Ὑπερῷα, ὁ οὐρανίσκος. παρὰ τὸ ὑπὲρ αὐτοῦ ὁρμᾶσθαι τὴν τροφήν. ἐρωὴ γὰρ ἡ ὁρμή. ἢ μετενήνεκται ἀπὸ τῶν ὑπερῴων οἰκοδομημάτων καὶ τῶν μετεωρισμένων ὑπὲρ τὴν ἔραν τὴν γῆν. ἡ αὐτὴ δὲ ἐτυμολογία καὶ ἐπὶ τοῦ ὑπερῴου. ὑπερῷον γὰρ τὸ μετέωρον, τὸ ὑπὲρ τὴν ἔραν καὶ τὸ ἐπίπεδον. τὸ ὑπὲρ ἄνω μόνον οἴκημα. ἔχει καὶ τὸ ι προσγεγραμμένον. καὶ ὑπερῷος οἶνος, τήτινον.

Ὑπερῷον, ὑπερώϊον τι ὄν. τὸ ὑπὲρ ἄνω τοῦ κάτω ἰόν. ἢ παρὰ τὸ ἄνω ὁρᾶσθαι.

Ὑπερώησαν δὲ οἱ ἵπποι, ὑπεχώρησαν. ὑπερώρμησαν.

Ὑπετέθυπτο, ὑπεκσίετο, καὶ ἐκεκίνητο.

Ὑπεψηνισμένοι, ἀκμαῖοι πρὸς τόκον. ἀπὸ τῶν συκῶν τῶν διὰ τοὺς ψῆνας πεπείρων.

Ὑπηνέμιοι, ὑπὸ τὸν ἄνεμον. καὶ ὑπηνέμια ὠά, δίχα τοῦ ὀχευθῆναι γενόμενα.

Ὑπήνη, αἱ ὑποκάτω τοῦ γενείου τρίχες. ἀπὸ τοῦ ὑπεῖναι καὶ ὑποκεῖσθαι τῷ γενείῳ. ἢ ἀπὸ τοῦ ἵημι ἥσω ἥνη καὶ ὑπήνη. παρὰ τὸ ἔσω τῶν τριχῶν. οὐκέτι δὲ ψιλοῦσθαι. ὧρος. ἐν δὲ τῷ ῥητορικῷ λεξικῷ εὗρον σημαίνειν τὴν λέξιν μύστακα. γένειον. πώγωνα. ἡ τοῦ ἄνω χείλους τρίχωσις. ταῦτα δὲ εἰς τὸ ἄλλο ἐτυμολογικόν. εἰς δὲ τὸ αἱμωδ[ ] εἰχένου-

Ὑπηνήτης, ἀκμαῖος. ἀρτιγενής. ὑπήνη γὰρ λέγεται [ ] τως. ἡ τοῦ ἄνω χείλους τρίχωσις. ὑπαίνη τις οὖσα. παρὰ τὸ ἄνω ὑπεῖναι. μύσταξ δὲ λέγεται ἡ ἀπὸ τῶν μυκτήρων τρίχωσις. ζήτει εἰς τὸ ἴουλος.

Ὑπηρέτης, ἐκ τῆς ὑπὸ προθέσεως καὶ τοῦ ἐρέσσειν τὸ κωπηλατεῖν, γίνεται ὑποερέτης. ἐκβολῇ τοῦ ο καὶ τροπῇ τοῦ ε εἰς η, ὑπηρέτης. κυρίως γὰρ ὁ ναύτης. καὶ ῥῆμα ὑπη[ρετῶ].

Ὑπηρέσιον, ὁ διδόμενος μισθὸς τοῖς ὑπηρε[ ] ρετῶ. τοῦσι τοῖς στρατευομένοις καὶ ἐρέσσουσι, καὶ δουλεύουσιν. ἀπὸ τοῦ ὑπηρετῶ. ὑπηρέσιον κυρίως, ἐφ' οὗ καθίζουσιν οἱ ἐρέται. ἀπὸ τοῦ ἐρέσσω. καὶ ὑπηρεσία κυρίως, ἐπὶ τῶν ὑπηρετῶν, ἐφ' ὧν καθέζονται ἐρέττοντες. ὑπηρέσια τινα ὄντα. οὕτως εἴρηκεν ὁ ἀττικιστής. ὧρος. ἔστι δὲ καὶ ὄνομα πόλεως.

Ὑπισχόμενος, εἰς τὸ ὑποσχόμενος.

Ὕπιος, εἰς τὸ ἄμφιος. ὡς παρὰ τὴν ἀνὰ ἄνιος.

Ὕπνος, παρὰ τὸ ὕπονος εἶναι, ἤγουν ὑποχωρεῖν. ἐν αὐτῷ γὰρ αἱ τοῦ ἀνθρώπου αἰσθήσεις ὑποχωροῦσιν. ἢ παρὰ τὴν ὑπὸ πρόθεσιν καὶ τὸ νοῦς νόος, ὕπονοος. καὶ συγκοπῇ ὕπνος. ἐν γὰρ τῷ ὕπνῳ, ἀφρένες καὶ ὁ νοῦς ὑποχωρεῖ. ἢ παρὰ τὸ λύειν τοὺς πόνους. λύπονός τις ὤν. καὶ συγκοπῇ καὶ ἀφαιρέσει τοῦ λ, ὕπνος. σημαίνει τέσσαρα. τὸν θεόν, ὡς τό, Ὕπνε ἄναξ πάντων. καὶ τὸν διὰ σιδήρου θάνατον, ὡς τό, Ὣς ὁ μὲν αὖθι πεσὼν κοιμήσατο χάλκεον ὕπνον. καὶ τὸν κοινῶς λεγόμενον ὕπνον, ὡς τό, Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος. καὶ τὸ τῶν ἀνθρώπων πάθος. ὡς τό, Ὕπνῳ καὶ φιλότητι δαμείς. τουτέστι τῇ συνουσίᾳ.

Ὑποβλήδην. ὑποβαλὼν λόγον ὑποκρουστικῶς, ἔτι λέγοντός τινος. ὡς ἐπὶ τοῦ ἀγαμέμνονος ὁ ἀχιλλεύς. ἐν ἰλιάδος α. ἐκ τοῦ βλῶ βλήσω, γίνεται βλήδην, καὶ ὑποβλήδην. διαφέρει δὲ τοῦ παραβλήδην. παραβλήδην μὲν γάρ ἐστι, τὸ παραβάλλειν τινὰ καὶ προσάγειν λόγον, ἐκείνου τὸν λόγον καὶ τὴν ὁμιλίαν πρότερον διελθόντος. ὡς τό, Μειλιχίοις ἐπέεσσι παραβλήδην προσέειπεν. ὑποβλήδην δέ, τὸ ὑποβάλλειν λόγον, μηδέπω τοῦ διαλεγομένου τὴν ὁμιλίαν καὶ τὸν λόγον τελέσαντος. καὶ δεῖ γινώσκειν, ὅτι τὸ παραβλήδην παρὰ μὲν ἀπολλωνίῳ, ἀντὶ παραβάλλων καὶ παρηγορῶν τοῖς λόγοις ἐστί. παρὰ δὲ ὁμήρῳ, τὸ κατὰ ἀπάτην λέγειν. ὡς τό, Μειλιχίοις ἐπέεσσι παραβλήδην προσέειπε. παραβλήδην, ἔστιν ἐπίρρημα ποιότητος. ἐκ ποσῶν μερῶν τοῦ λόγου γίνεται τὰ εἰς δην ἐπιρρήματα, ἐκ δύο. ὀνόματος καὶ ῥήματος. καὶ ἀπὸ μὲν ὀνόματος, τῷ α παραλήγεται. οἷον, λόγος, λογάδην. σπόρος, σποράδην. ῥόχος, ῥοχάδην. ἀπὸ δὲ ῥήματος, τῷ β. γράφω, γράβδην. λείβω, λείβδην. κρύπτω, κρύβδην. ἀπὸ δὲ τῶν εἰς ω μελλόντων, τῷ γ. μίξω, μίγδην. λίξω, λίγδην. ἀπὸ δὲ τῶν εἰς σω, τῷ η. ῥήσω. ῥήδην, σημαίνει τὸ φανερῶς. τμήσω, τμήδην. ἀπὸ δὲ τῶν εἰς μι, ἀπὸ μὲν τῆς πρώτης συζυγίας τῷ ε παραλήγεται. ἀνίημι ἀνήσω ἀνέδην. ἀπὸ δὲ τῆς δευτέρας, τῷ α παραλήγεται. βίβημι βήσω βάδην, ἀντὶ ἀργῶς. ὡς τό, Τοὺς δ' ἠρέμα βάδην ἀπιόντας.

Ὑπόβολον, ὑποκείμενον πρὸς δάνειον καὶ τόκον.

Ὑποβολιμαῖοι, ὑποβαλλόμενοι καὶ εἰσποίητοι, ἤγουν ὥσπερ ἐπὶ τῶν χαμαιριφῶν παιδίων, ἀφ' ἑαυτῶν ἀποβάλλουσιν αἰγυπτιακῶς. ἀντὶ νόθοι. ἀλλότριοι.

Ὑποβρύχιον, ὑπὸ τὸ ὕδωρ βυθισθέν, παρὰ τὸ βρέχω.

Ὑπόδρα. Τὸν δ' ἄρα ὑπόδρα ἰδών, ἰλιάδος α. σημαίνει δεινὸν καὶ ὀργίλον ὑποβλεψάμενος. ὥσπερ ἀπὸ τοῦ ἠρεμῶ γίνεται ἠρέμα, καὶ σιγῶ σῖγα, οὕτως ἐκ τοῦ ὁρῶ καὶ τῆς ὑπὸ προθέσεως, ὕπορα. καὶ πλεονασμῷ, ὑπόδρα, τὸ ὑφορᾶσθαι. ἢ ἐκ τοῦ δέρκω τὸ βλέπω γίνεται συγκοπῇ δρῶ τὸ ὁρῶ. ὑποδρώμενος, ἀντὶ ὑφορώμενος. δρᾶ. καὶ συνθέσει, ὑπόδρα τὸ ὑποβλέπειν. ὁ δὲ ἡρωδιανὸς λέγει ὅτι ἐκ τοῦ ὑπόδραξ γίνεται ὀξυτόνου. τὰ εἰς ξ λήγοντα ἐπιρρήματα, ὀξύνεται. εὐράξ. ἀπρίξ. ἐναλλάξ. πρίξ. χωρὶς εἰ μὴ παρὰ πρόθεσιν γίνεται. διὰ τὸ ὑπόριξ. τὸ πρὲξ ὅτε ὀξύνεται, οὔ φασιν εἶναι ἐπίρρημα, ἀλλὰ β προθέσεις. σεσημείωται τὸ ἅπαξ. καίτοι ὤφειλε δέξασθαι ἐν τῇ ἁπλότητι, ἐδέξατο ἐν τῇ συνθέσει. ἅπαξ, ἐφάπαξ. τὸ δὲ ὑπόδραξ ἀποβαλὸν τὸ σύμφωνον, ἀνεβίβασε τὸν τόνον, ὡς ἀνυστής ἀνύτης. δεσπότης δεσπό[της].

Ὑπόγυον, παρὰ τὸ γυῖον ὃ σημαίνει τὸ μέλος. οἷον, τὸ ἐγ[ ]της. γυῖ τῶν μελῶν. ἢ ἀπὸ τοῦ γυῖα ὃ σημαίνει τὰς χεῖρας. διὰ γὰρ τῶν χειρῶν ἀποτελοῦνται τὰ ἔργα. ἢ παρὰ τὸ γύη, ὃ σημαίνει τὴν γῆν. ὁ μὲν οὖν ἀγὼν ὑπόγυος. καὶ συνεστήκασι τῶν ῥητόρων οἱ δεινότατοι. σημαίνει τὸ παραυτίκα μέλλον γί-

Ὑπογραμμός, προγραμμός τις ὤν. ἤγουν ὑπὸ [ ] νεσθαι. ἀντὶ τῆς πρό, ὡς καὶ ἐν βατράχοις ἀριστοφάνης. Ταῖς μούσαις τι μέλος ὑπάσατε, ἀντὶ προάσατε.

Ὑπογράφω, καταβάλλομαι. σκιαγραφῶ. βεβαιῶ.

Ὑπόγραμμα, τὸ ἁρμάτιον ὑπόμνημα. ὥσπερ οἱ ὀφθαλμοὺς ὑπογράφουσι. καὶ ὑπογεγραμμένη, ἐστιβασμένη. ἀριστοφά-

Ὑπογενειάζων, λιτανεύων. τοῦ γενείου ἁπτόμενος [ ] νης.

Ὑπόδημα, ἐκ τοῦ δέω δῶ δήσω τὸ δεσμεύω, δῆμα καὶ ὑπόδημα.

Ὑποδεξίη, ἰλιάδος ι. σημαίνει τὸ ὑποδέχεσθαι. ὡς [ ] ὑπόδημα. παρὰ τὸ ἀνόρεκτος ἀνορεξία, οὕτως ὑπόδεκτος ὑποδεξία.

Ὑποδερίς ὑποδερίδος, ὁρμίσκος. πλόκιον. γυναικεῖος κόσμος. οἷον δέραιον. καὶ ὑποδέραια, περιτραχήλια.

Ὑποδιδάσκαλος, ὁ τῷ χορῷ καταλέγων. διδάσκαλος γὰρ αὐτὸς ὁ ποιητής.

Ὑποζυγιώδης ἄνθρωπος, ὁ μὴ ἐκ τῆς ἑαυτοῦ προαιρέσεως καὶ προθυμίας τι πράττων, ἀλλ' ἐκ τῆς ἑτέρων κελεύσεως ὥσπερ καὶ τὰ ὑποζύγια. Εἴποις δ' ἂν καὶ ὑποζυγιῶδες πρᾶγμα. ἀριστοφάνης.

Ὑποθησόμεθα, συμβουλευσόμεθα. καὶ ὑποτίθεται, συ-

Ὑποικουροῦν. ἰλιάδος φ. Λεληθός τι [ ] μβουλεύει. μῖσος ὑποικουροῦν, ἀντὶ ὑποστρεφόμενον καὶ ἐνδομυχοῦν.

Ὑποκαθῆναι τὰς ὀφρῦς, οἷον παύσασθαι χαλεπαίνοντα. τὸ γὰρ ἀνατείνειν τὰς ὀφρῦς, ὀργῆς ἐστι σημεῖον.

Ὑποκηρυξάμενος, τὸ ὑπὸ τῷ κήρυκι τῷ δημοσίῳ στῆναι καὶ ποιῆσαί τι διὰ τοῦ κήρυκος φανερῶς.

Ὑποκορίζεται, κολακεύει. ὑποκρίνεται. ὑποκοριζόμενοι, ξενοφῶν, ἀντὶ διασύροντες. ὁ δὲ δημοσθένης ἐχρήσατο τῇ λέξει ἐπὶ τοῦ εὐφημοῦντος. καὶ τὸ αἰσχρὸν εὐφήμως

Ὑποκοριστικόν, ἐλαττώσεως ῥῆμα. καὶ [ ] ὀνομάζοντος. ὑποκορισμός, μείωσις μεγέθους. εἴρηται δὲ ἀπὸ τοῦ ταῖς κόραις ἐοικέναι. αὗται γὰρ φιλοῦσιν ἐκλύτῳ φύσει κεχρημέναι εἰς κολακείας τρόπον πάντας μικροπρεπῶς προάγειν, εἰς νεότητος κομιδῇ ἔνδειξιν. πολλὰ τοιαῦτα παίζεται ἐν κωμῳδίᾳ, μέχρι καὶ αὐτῶν τῶν ὀνομάτων. καὶ μάλιστα εἰ τύχοι ἑταίρων προφέρεσθαι ὀνόματα, ὡς ἠκλονάριον. καὶ μουσάριον. καὶ λεόντιον. καὶ τὰ τοιαῦτα.

Ὑποκριτής. ἡ ὑπό, ἀντὶ τῆς ἀπὸ κεῖται. οἷον ἀποκριτής. τὴν γὰρ ἀπόκρισιν οἱ παλαιοί, ὑπόκρισιν κεκλήκασιν.

Ὑποκρίνοντο, ἀντὶ τοῦ ἀποκρίνοντο ἐστίν. [ ] σιν. ἰλιάδος η. ἢ χρόνου σημαίνει ἐν τῷ ἴσως τὸ μετὰ τὸν χρόνον ἀποκρίνεσθαι. καὶ ὑποκρίνεσθαι, τὸ ἀποκρίνεσθαι. καὶ ὑποκριτὴς ἐντεῦθεν, ὁ ἀποκρινόμενος τῷ χορῷ. θουκυδίδης ἑβδόμῃ.

Ὑπόκυκλα, τινὲς ὑφ' ἓν ἀναγινώσκουσιν, ὡς ὑπότροχα. ἡ ὑπὸ ἐφαρμόζεται ταῖς πλαγίαις πτώσεσιν. ἐναντίαν δὲ ἔχει κατάσχεσιν τῇ ἐπὶ καὶ ὑπέρ. ἔστι καὶ τῷ ἀναστρεφομένῳ ἐξαιρέτως τι πέπονθος. ὅτι ἅμα τῷ πλεονασμῷ τοῦ ι, ἢ τροπῇ ἐγένετο τὸ εἰς α. ὑπό, ὑπαί. διὸ καὶ ἐτόλμησάν τινες φάναι μὴ ἄρα αἰολικὸς τῆς ὑπαὶ ὁ πλεονασμός. οἷς ἐλέγχει τὸ πνεῦμα.

Ὑπολαβών, ὑπονοήσας, ἢ ἀποκριθείς, ἢ ἀντιπών. ἀντικρούσας. ἀπὸ τοῦ λήβω δὲ ἀμφότερα.

Ὑπομάλης, τὸ μὲν ὅμοιον κεῖται παρὰ τῷ ῥήτορι. ὅταν μὲν οὖν ἑνικῶς λέγεται, οὕτως αὐτὸ τίθησι μετὰ τῆς προθέσεως. ὅταν δὲ πληθυντικῶς, ὑπὸ μάλας λέγουσιν, ἀλλὰ μασχάλας.

Ὑπομηλαφῆσαι, ὑποψηλαφῆσαι.

Ὑπονομεύοντες, ἤγουν ὑπονόμους ὀρύττοντες.

Ὑπόνοια καὶ ὑπονοεῖν, ἡ ὑπὸ πρόθεσις ἐντελοῦς διανοίας ἔλλειψιν δηλοῖ. ὑπονοεῖν οὖν, τὸ μὴ τελέως νοεῖν τό.

Ὑπόξυλος, ὁ κίβδηλος, ὡς ὑπόχαλκος. ὑποκείμενον. οὕτως Ἀριστοφάνης.

Ὑπορρήνον, ὑπὸ ἀρνῶν. ῥῆνες γὰρ τὰ πρόβατα.

Ὑποπτέρων ὀνείρων. Διονύσιος ὁ Αἴλιος προφέρεται αὐτῇ τῇ ἐπιβολῇ ἔχει ὥσπερ, ἣ παραχρῶνται οἱ γραμματικοί. ὡς τύμβος τυμβίδιος, ταῦρος ταυρίδιος, σχίδιος. πτερόν, πτερίδιος. ἔχει μὲν οὖν τὴν πτῶσιν καὶ τῶν ὑποπτεριδίων. ὑπὲρ τῶν ὑποπετεριδίων. οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

Ὑποσκιάζειν, ὑπεξαίρειν. ἀναλογεῖν. καὶ ὑποσκιάζειν τῆς ὁδοῦ φασίν, ἤγουν τὸ προσκοπεῖν καὶ ἀναλογεῖν. ῥητορική.

Ὑποσιώπησις. ἔστιν ὅταν μέλλῃ τις ἐπιφέρειν βραχύ τι ἢ λοιδορίας ἐχόμενον. μὴ βούλοιτο δὲ διὰ τὸ ἐπαχθὲς αὐτὸ λέγειν, ἀλλὰ δι' αἰνίγματος σημαίνῃ.

Ὑποσμύχονται ὀπωπαί. ὑποτύφονται. ἔστι δὲ ὑποσμύχειν, τὸ ἠρέμα ὑπολάμπειν.

Ὑποσμύχουσιν. ἀπὸ τοῦ σμυχοῦ τοῦ σκοτεινοῦ τόπου καὶ ἀφεγγοῦς. ἢ τὸ τυφλώττειν καὶ μεμυκέναι.

Ὑποσμύχουσα, διαρεθίζουσα. ὑποκαίουσα. θλίβουσα. καταπονοῦσα. ῥητορική.

Ὑπόσπονδος, ὑπὸ φιλίαν ὑποτεταγμένος. παρὰ τὸ σπένδω.

Ὑποστειλάμενος, ὑποκρυψάμενος. φοβηθείς. καὶ ὑπεστειλάμην, ἀρνησάμην. ὑπεκρυψάμην. καὶ ὑποστέλλεται, ἀναδύεται. ὑποκρίνεται. φεύγει. δολιεύεται.

Ὑποσταίη, ὑπόσχοιτο.

Ὑπόσχου, ἀντὶ τοῦ συγκατάθου. μέσος ἀόριστος δεύτερος παθητικός, ἀπὸ τοῦ σχοῦ. καὶ ὑποσχόμενος, τὸ ἐπαγγειλάμενος. καὶ ὑπισχόμενος, διαβεβαιούμενος. ἐπαγγελλόμενος. ἀπὸ τοῦ ἴσχω. Ἰλιάδος ι. Ὑπισχόμενοι μέγα δῶρον.

Ὑποστήτω μοι, παραχωρησάτω. ὑπειξάτω. Ἰλιάδος ι.

Ὑπέσχετο. ἔχω. ὁ μέλλων ἕξω. ὁ παρατατικός, εἶχον. καὶ ὁ δεύτερος ἀόριστος ἵνα μὴ συνεμπέσῃ τῷ παρατατικῷ, προσέλαβεν τὸ σ, καὶ ἐγένετο ἔσχον, ἐσχόμην. ἔσχου ἔσχετο, καὶ ὑπέσχετο.

Ὑποτεμνόμενος τὸν πλοῦν, ἤγουν διὰ τῶν συντομωτάτων πλέων, ἵνα καταλάβῃ τὸν διωκόμενον. οὕτω Ξενοφῶν.

Ὑποτείνουσιν, ὑποβάλλουσιν, ἢ προτείνονται.

Ὑποτίτθιος, ὡς τὸ τυτθός.

Ὑποτοπάζειν, τὸ στοχάζεσθαι καὶ ἐνθυμεῖσθαι. καὶ ὑπετόπαζεν, ἤγουν ὑπενόει. ἀπὸ τοῦ ὑποτοπεῖσθαι ἐν τῷ νοΐ. ἔστιν οὖν τύπος τυπῶ τυπάζω. καὶ τροπῇ, ὑποτοπάζω. καὶ ὑποτύπωσις, χαρακτὴρ λόγου.

Ὑπότριμμα, ἔκ τε φοινίκων καὶ μέλιτος καὶ ἄλλων τινῶν ἀρτυμάτων. ἀπὸ τῆς γινομένης ἐν αὐτοῖς τρίψεως.

Ὑπότροπος, ἐξ ὑποστροφῆς ἐπανεληλυθώς. παλινόρμητος.

Ὕπουλος ἄνθρωπος, ἀπὸ μεταφορᾶς τῶν τραυμάτων ὑπονεμομένης οὐλῆς. οἷον ὁ μὴ προφανὴς πονηρός. ὑπόουλος γάρ ἐστι τὸ ὑγιαίνειν μᾶλλον. ὕπουλος, δόλιος φαινόμενος. δηλοῖ δὲ ἐθνικός. ὡς περὶ τῶν Ἑλλήνων τῶν ἐχόντων τὰς οὐλὰς ὑγιεῖς ἐπιπολαίως. ἔνδοθεν δὲ σηπεδόνας ποιοῦντας. εἶτ' οὖν καὶ περὶ τῶν προσποιουμένων μὲν εἶναι χρηστῶν ἀνθρώπων, ὄντων δὲ μοχθηρῶν, ἐλέχθη οὗτος ὁ λόγος.

Ὕπουλα γόνατα, καὶ ὕπουλον πόδα, καὶ ὕπουλον χεῖρα καὶ σῶμα, τὸ φλεγμαῖνον διά τινας πληγάς, ἢ ἔτι τὸ ἀθεράπευτον. ῥητορική.

Ὑποφῆται, ἱερεῖς. προφῆται. χρησμολόγοι.

Ὑπόφορος, ὑπεύθυνος.

Ὑπόκινσον, ὑπὸ τέλος.

Ὑποφόνια, τὰ ὑπὲρ τοῦ φόνου διδόμενα χρήματα τοῖς οἰκείοις τοῦ ἀναιρεθέντος ἵνα μὴ ἐπεξίωσιν.

Ὑποφύσεις, παραφυάδες φαύλων λογισμῶν ἔξωθεν φυόμενοι.

Ὑποχυτῆρες, λυβλία, δι' ὧν τὸ ἔλαιον εἰς λύχνους ἐπιχέουσι.

Ὑποχόνδρια, τὰ ἀκροσπάθια. τὰ ὑπὸ τὴν λαγόνα.

Ὑπόψιος, παρὰ τὸ ὕποπτος ὑπόπτιος. συγκοπῇ τοῦ τ τῆς συλλαβῆς, καὶ κράσει τοῦ π καὶ σ εἰς ψ, ὑπόψιος. ἢ ὁ ὑποπτεύεσθαι ὑπὸ τῶν λοιπῶν πάντων, καὶ μισεῖσθαι ἄξιος. ὁ Ἡρωδιανὸς δὲ, διὰ τοῦ ε γράφει ἐπόψιος. ἔστι δὲ ἀριφανής, ἢ φανερὸς περὶ κακῶν.

Ὕπτιος, περὶ νῶτον κείμενος. παρὰ τὸ ὄπισθεν ὄπιος καὶ ὕπτιος. τὰ γὰρ ὕπτια, εὐθεώρητα.

Ὑπωμοσία, τὸ ὑπερτίθεσθαι δίκην καὶ ἀναβάλλεσθαι προφάσει χρώμενον, ἀποδημίᾳ ἢ νόσῳ, ἢ τινι τῶν παραπλησίων μεθ' ὅρκου οὕτως ἐλέγετο. καὶ τὸ ποιεῖν τοῦτο, ὑπόμνυσθαι. ῥητορική.

Ὑπώρεια, ἡ ὑπὸ τὸ ὄρος πεδιάς.

Ὑπώπια, τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς πελιώματα, ἢ τὰ ἐξ αὐτῶν ῥέοντα πύα. ὦπες γὰρ οἱ ὀφθαλμοί. σημαίνει δὲ καὶ τὴν ὄψιν. ὡς Ὅμηρος Ἰλιάδος μ, διὰ τὸν Ἕκτορα.

Ὑπωρόφιοι, ὑπὸ τὴν αὐτὴν οἰκίαν ἐπειλημμένοι συγγενεῖς. καὶ ὑπώροφον, τὸ ὑπὸ τὴν στέγην. καὶ ὑπωρόφιον, τὸ ὑπόστεγον.

Ὑρία, ὄνομα πόλεως ἀπὸ Ὑριέως.

Ὕρτανος, ὠνόμασται ἀπὸ τοῦ Ὕρτανος.

Ὑσμίνη, παρὰ τὸ ὑπομένω ὑπομένη. συγκοπῇ καὶ πλεονασμῷ τοῦ σ, ὑσμίνη. δεῖ γὰρ ὑπομονῆς ἐν τῷ πολέμῳ. ἢ παρὰ τὸ λυσιμελής τις εἶναι.

Ὕσπληξ, φραγέλλιον. ἀφετηρία. βούκεντρον. ἢ μύωψ, ὁ πλήσσων τοὺς βοῦς. ὕσπληξ οὖν λέγεται παρὰ τὸ ἀπὸ τῶν τριχῶν τῶν ὑῶν τουτέστι τῶν χοίρων γίνεσθαι τὴν μάστιγα. οἶμαι δὲ καὶ ἡ ἀφετηρία, ἐκ τοῦ ἐκεῖσε πλήττεσθαι τῇ μάστιγι τοὺς ἵππους. οὕτως ἐγώ. Ὠρίων δὲ παρὰ τὴν ὑπὸ πρόθεσιν, ὑπόπληξ. συγκοπῇ τῆς πο συλλαβῆς, καὶ πλεονασμῷ τοῦ σ, ὕσπληξ.

Ὑστάκοις, τοῖς πασσάλοις λέγομεν.

Ὑσσός, ἐμβόλιον. ἀκόντιον. ἢ καὶ τὸ ἐξέχον τοῦ ὀμφαλοῦ τῆς ἀσπίδος σιδηροῦν κέντρον, ἤτοι πασσάλιον.

Ὕστατος, ἔσχατος. ἀπὸ τοῦ ὕστερος συγκριτικοῦ, τὸ ὑπερθετικόν, ὕστατος. ἐκ τῆς ὑπὸ προθέσεως ὑπότερος. ὡς παρὰ τὴν πρό, πρότερος. καὶ συγκοπῇ ὕτερος. καὶ πλεονασμῷ τοῦ σ. προόντος γὰρ τινὸς ἑτέρου λέγει τις ὕστερος, ἢ ἐκ τοῦ ὑπότερος. συγκοπῇ, ὕπτερος. καὶ τροπῇ τοῦ π εἰς σ, ὕστερος. τὸ δὲ ὕστατα, ἔστιν εὐθείας οὐδετέρου τῶν πληθυντικῶν. καὶ μετενήνεκται εἰς ἐπιρρηματικὴν σύνταξιν. καὶ ἔστιν ἐπίρρημα μεσότητος. οὐκ ἔστι δὲ ἐπίρρημα μεσότητος εἰ μή ἐστιν ἀπὸ ἀρσενικοῦ θηλυκοῦ καὶ οὐδετέρου. διὰ τοῦτο λέγονται μεσότητος ἐπιρρήματα.

Ὑστέρα, δεκάτη. ἡ ἐσχάτη δεκάδος ἡμέρα καλεῖται ὑπὸ τῶν Ἀττικῶν. ἣν ἡμεῖς πρώτην καὶ εἰκοστὴν καλοῦμεν.

Ὑστέρα, ἡ τῆς μήτρας. ἀπὸ τῆς θέσεως, ἢ ἀπὸ τοῦ μὴ εὐθὺς ἀλλ' ὕστερον ἀποδιδόναι τὰς οἰκείας ἐνεργείας.

Ὕστριξ, ὕστριχος, ἡ ἐκ τῶν τριχῶν τῶν ὑῶν μάστιξ.

Ὑφά, ὑφαίνω ὕφασμα. καὶ ὑφάζω ὕφασμα ὑφασία, ὕφα. Ἡρωδιανὸς περὶ παθῶν. τὸ δὲ ὑφαίνω, ἀπὸ τοῦ ὕφος. τοῦτο παρὰ τὴν ὑπὸ πρόθεσιν καὶ τὸ ὄς. ὅθεν καὶ ὑφὴ ὁ ἱστός. ἢ παρὰ τὸ εἷς, γέγονεν αἴνω. καὶ μετὰ τῆς ὑπὸ προθέσεως ἐν συνθέσει, ὑφαίνω. οἱ γὰρ ὑφαίνοντες, τὰ διῃρημένα καὶ κεχωρισμένα εἰς ἓν ἄγειν σπεύδουσιν. οὕτω Θεόγνωστος. Ὑφαίνειν ἤρχετο μύθους, ἀντὶ τοῦ κατασκευάζειν. καὶ ὕφαινεν, ἀντὶ τοῦ κατεσκεύαζεν. ἔστι δὲ ἡ μεταφορὰ ἀπὸ ἀψύχων εἰς ἔμψυχα. ζητεῖται δὲ διατί ἀπὸ τοῦ πλύνω οὐ φασὶ πλύντης, καὶ κρίνω κριντής. ὡς ὑφάντης ἀπὸ τοῦ ὑφαίνω, καὶ ξαίνω ξάντης, καὶ μιαίνω μιάντης. ὅτι τὰ μὲν ἐν τῷ παρακειμένῳ ἐφύλαξαν τὸ ν. ὕφαγκα. μεμίαγκα. ἔξαγκα. τὸ δὲ πλύνω καὶ κρίνω, ἀπέβαλον αὐτό. πέπλυκα γὰρ καὶ κέκρικα λέγομεν. ὅθεν καὶ τὰ ὀνόματα χωρὶς τοῦ ν γέγονεν.

Ὕψιστος, ὁ ἐν τῷ ὕψει ἑστώς.

Ὕφαλοι, αἱ ὑπὸ θάλασσαν κεκρυμμέναι πέτραι. ὅθεν καὶ ὕφαλος ἄνθρωπος λέγεται ὡς ἔσωθεν ὁ κεκρυμμένος καὶ πανοῦργος.

Ὑφύφασαι, ἀπὸ τοῦ ὑφάζω, ὑφάσω, ὕφακα, ὕφασμαι, ὕφασαι. καὶ ὁ Ἀττικός, ὑφύφασαι. ἢ ἀπὸ τοῦ ὑφαίνω, ὕφασμαι καὶ ὑφύφασμαι. Ζηνόδοτος.

Ὑφορῶμαι, ἀντὶ τοῦ κρυπτῶς βλέπω.

Ὑψηχέες ἵπποι. παρὰ τὸ εἰς ὕψος ἀναφέρειν τὴν ἠχὴν τῶν ποδῶν. ἢ μεγαλόφωνοι, ἢ ὑψαύχενες. Ἰλιάδος ε.

Ὑψήγορος, ἐκ τοῦ ὕψους καὶ τοῦ ἀγορῶ, γίνεται ὑψαγόρος, καὶ τροπῇ. ὁ τὰ ὑψηλὰ καὶ μεγάλα δημηγορῶν.

Ὑψηλός, ὑψερός τις ὤν, ὁ εἰς ὕψος ἠρμένος.

Ὑψιπέτηλον, ὑψηλόν.

Ὕσσωπον, ἐκ τοῦ ὕω, ὕσω, καὶ τὸ ὤψ ὠπός τὸ πρόσωπον. πλεονασμῷ ἑτέρου σ. τὸ περὶ τὴν ὦπα χεόμενον. ἔστι δὲ βοτάνη καθαρτική, ὁμοία σαμψύχῳ.

Ὑψιβρεμέτης, ὁ ἐν ὕψει βρέμων τουτέστιν ἠχῶν.

Ὑψίζυγος, ὁ Ζεύς. ἤτοι ὁ ἐν ὕψει ἔχων τὴν καθέδραν, καὶ πάντων ὢν κυβερνήτης. ἢ ὁ ἐν ὕψει ζυγοστατῶν καὶ ταλαντεύων τὰς μοίρας. ἢ ὁ ὑφ' ἑαυτῷ ὑποζευχώς.

Ὑψιπέτης, Ἀρίσταρχος ἐβάρυνε, παντοπώλης. εὑρὼν τὸ ὠκυπέτα ζεῦγος. ὡς παρὰ καὶ ἀπὸ τοῦ παντοπώλης παντοπώλα. τινὲς μὲν ἐτόλμησαν περισπᾶν τὸ ὑψιπέτης εὑρόντες τὸ ὑψιπετῆς, ὡς τιμὴ τιμῆς. ἀλλ' ἐπὶ μὲν τοῦ τιμῆς, εὕρομεν τιμήεντα χρήσιμον. ἐπὶ δὲ τοῦ προκειμένου, οὐδὲν εὕρομεν τοιοῦτον. ὅθεν ἐπείσθημεν Ἀριστάρχῳ.

Ὕψιστος, παρὰ τὸ ὕψος ὑψίων ὕψιστος ἐστι. ἢ παρὰ τὸ ἐν ὕψει ἱζάνειν, ὅ ἐστι καθῆσθαι.

Ὕψος, παρὰ τὸ ὄπισθεν βλέπω, ὄψος. καὶ τροπῇ, ὕψος. ἀφ' οὗ ἔστιν ὁρᾶν.

ΤΕΛΟΣ ΤΟΥ Υ ΣΤΟΙΧΕΙΟΥ.

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ ΦΙ ΣΤΟΙΧΕΙΟΥ

Φι τὸ στοιχεῖον, ὅτι φαιὸν τὸ μέλαν. μέλαν δέ ἐστι τὸ σκοτεινόν. οὕτω καὶ τοῦτο παρὰ τὴν ἐκφώνησιν. κακόφωνον γάρ.

Φάανθεν, εἰς τὸ κόσμηθεν.

Φάγομαι. τὸ θέμα φήγω τὸ ἐσθίω. ὁ δεύτερος ἀόριστος, ἔφαγον. ὁ μέλλων φάγω. ὅθεν καὶ τὸ ἀποφαγεῖν. ὁ μέσος μέλλων β, φαγοῦμαι ὤφειλεν εἶναι. ἀλλ' ἀσεσημείωται τὸ φάγομαι, πίομαι, ἔδομαι. τὰ δὲ δεύτερα, φάγη. πίη. ἔδη.

Φαεινός, λαμπρός. ἀπὸ τοῦ φαός. ὅθεν καὶ φαείνω τὸ λάμπω. καὶ φαεινή, ἡ λαμπρά. ὅτε δέον τὴν λεπτήν, Μάστιγα φαεινήν. Ὅμηρος.

Φαεσίμβροτος ἠώς, ἡ φέρουσα φῶς τοῖς ἀνθρώποις.

Φαέθων. Ἠέλιος φαέθων. Ἰλιάδος λ. λάμπων ἥλιος.

Φαεσφόρους, φωσφόρους. φωτὸς περιεκτικάς. γνώσεις φωτιζούσας.

Φάη, οἱ ὀφθαλμοί. ὅτι δι' αὐτῶν φῶς προχεῖται. ἢ ὅτι φωτός εἰσι κριτικοὶ καὶ δεικτικοί.

Φάθι. φημί, φήσω, ἔφην. φὰς φάντος. φάθι.

Φακή, παρὰ τὸ ἀκίζειν τὰ φάη. ὡς ὁ Ἀττικὸς λόγος μαρτυρεῖ. φαακή τις οὖσα. ἢ φακάκη. ἡ τὰ φάη κακοῦσα. φακὸς μέν, ὁ ὠμός. φακὴ δὲ ἡ ἑψηθεῖσα.

Φάκελος, φορτίον. ξύλον.

Φάλαγγες, στίχες. τάξεις. οἱ δέ, τὸ ἐκ πολεμίων τάξεων ὁπλιτικὸν πλῆθος. οἷον, φάλαγγές τινες οὖσαι. παρὰ τὸ πέλας καὶ ἐγγὺς ἀλλήλων εἶναι. λέγεται δὲ καὶ τὰ τῶν δακτύλων ἄρθρα, καὶ τὰ νεὼς ὑπερείσματα. ἔνιοι δὲ τὸ στρογγύλον ξύλον καὶ σύμμετρον, φαλάγγιον. λέγεται δὲ καὶ τοῦ ζυγοῦ ὁ κανὼν φάλαγξ. καὶ ἐπὶ τῆς νεὼς ἡ διαβάθρα. καὶ ὁ ἀράχνης δὲ ὃν ἔνιοι φαλάγγιον λέγουσι. λέγεται δὲ καὶ θηλυκῶς, ἡ φάλαγξ. Πλάτων ἐν [illegible]. καὶ οἱ θώρακες δὲ παρὰ Ἀττικοῖς φαλάγγια. ἢ ὅτι τὸ παλαιὸν ξύλοις ἐμάχοντο. φάλαγγας δὲ τὰς τάξεις ἐκάλουν οἱ ἀρχαῖοι. καὶ φαλαγγηδόν, τὸ κατὰ τάξιν. Ἰλιάδος β. φάλαγγες οὖν, αἱ μὲν τῶν νηῶν, παρὰ τὸ σπᾶν εἰς τὴν ἅλα. αἱ δὲ τάξεις, παρὰ τὸ πελάσαι ἄγχι.

Φάλαινα, ποίημα αὐτοσχέδιον, ἐπὶ τῷ φαλῷ ᾀδόμενον.

Φάλανθοι, φαλακροί. ἄνθος γὰρ ἡ λευκὴ θρίξ.

Φαλακρός, ὁ τὸ ἄκρον ἔχων φαλόν, ὅ ἐστι λευκόν. παρὰ τὸ φάος. φάλιον γὰρ τὸ λευκόν.

Φάλα, κόσμος τῆς περικεφαλαίας. παρὰ τὸ φάω φῶ φάσω, ὄνομα φαλός, καὶ φάλα, διὰ τὸ λαμπρότατον. καὶ κόρυθος φαλός, τὸ προμετωπίδιον ἀνάστημα τῆς περικεφαλαίας. εἰσὶ γάρ τινες ἧλοι λαμπροί, ἕνεκα κόσμου τῆς περικεφαλαίας. φαλὸν γὰρ τὸ λαμπρόν. ὅθεν καὶ φαλακρός, ὁ ἔχων φαλὸν τὸ κάρα. καὶ φάλαρα, τοὺς προμετωπιδίους ἀσπιδίσκους. τὴν κόσμησιν τὴν κατὰ τὸ μέτωπον τῶν ἵππων. ἢ τὰ τῶν γνάθων σκεπάσματα. ἀπὸ τοῦ φάος φαλὸς καὶ φάλαρος.

Φαλός, ἀσπιδίσκιόν τι μικρὸν καὶ λαμπρόν. παρὰ τὸ φάος, ἢ παρὰ τὸ φῶ ῥῆμα. καὶ φάλαρα, τὰ κοσμήματα διὰ τὴν λαμπρότητα. καὶ ῥῆμα φαληριῶ. ὅθεν ὁ Ὅμηρος ἐπὶ τοῦ, Κύματα φαληριόωντα. ἐν δὲ τῷ ῥητορικῷ λεξικῷ, εὗρον σημαίνειν τὸ φαλός, βῶλον ἢ λόφον. ἢ ὑπερέχουσαν πέτραν ἐν θαλάσσῃ.

Φαληρεύς, ὁ πολίτης. φαληροίας δῆμος ἐστὶ τῆς Ἀντιοχίδος. ἀφ' οὗ ὁ δημότης φαληρεύς.

Φάναι, εἰ μὲν σημαίνει τὸ λέγειν, παροξύνεται βραχέος ὄντος τοῦ α. καὶ ἔστιν ἐνεστὼς καὶ παρατατικός. ἀπὸ τοῦ φημί. εἰ δὲ σημαίνει τὸ φαίνειν, προπερισπᾶται ἐκτεινομένου τοῦ α. καὶ ἔστιν ἀόριστος πρῶτος. ἀπὸ τοῦ φαίνω.

Φανήῃ. Ἀρίσταρχος καὶ οἱ ἀκριβεῖς γραμματικοί, ὑποτακτικὸν τοῦτο ἔχουσιν. ἔστι γὰρ ἡ μετοχὴ φανείς, φανέντος. ἐὰν φανῇ. καὶ πλεονασμῷ τοῦ η φανήῃ.

Φάνης φάνητος. Τὸν δὴ καλοῦσι Φάνητα, ὅτι πρῶτος ἐν αἰθέρι φαντὸς ἔγενετο. Ὀρφεύς. οὕτως Ὧρος.

Φανοστράτη, Ἀπολλόδωρος ἐν τῷ περὶ τῶν Ἀθήνησιν ἑταιρῶν ταύτην φησὶν ἐπωνομάσθηναι φθειροπύλην, ἐπειδὴ ἐπὶ τῆς πύλης ἑστῶσα ἐφθειρίζετο.

Φάνιον, τόπος εἰς ὃν τὰ καθάρματα ἐξέβαλον. ῥητορική.

Φάο. Ἕως φάο μηδ' ἐπικεῦθε. εἰς τὸ φᾶσθαι.

Φαρέτρα, ἡ βελοθήκη. εἴρηται παρὰ τὸ φέρειν καὶ κομίζειν τὰ τιτρώσκοντα. ἡ γενικὴ τῶν πληθυντικῶν, φαρετρῶν. ἰωνικῇ διαλέκτῳ, φαρετρέων. ὑπερθέσει καὶ διπλασιασμῷ, τοῦ ρ φαρετρέρων.

Φάραγξ, ἡ διεσχισμένη γῆ. ἐκ τοῦ ῥήσσω τὸ ῥηγνύω. οὗ ὁ δεύτερος ἀόριστος, ἔρραγον. ἐτυμολογεῖται δὲ παρὰ τὸ φαίνεσθαι ἐν αὐτῇ ῥῆγμα.

Φάραγγες, ἀπὸ τοῦ σπαράσσω, σπαράξω σπάραξ. τροπῇ, καὶ ἀποβολῇ τοῦ σ, φάραξ. καὶ φάραγξ κατὰ πλεονασμὸν τοῦ γ. ἔστι δὲ τὸ ἀπόσπασμα τῆς γῆς.

Φάρμακον, παραμυθία. ὁμιλία. παρὰ τὸ φέρειν τὸ ἄκος. φέρακόν τι ὄν. ἐπὶ δὲ τοῦ κακοῦ, παρὰ τὸ φέρειν τὸ ἄχος, τὸ σημαῖνον τὴν βλάβην. καὶ φαρμακοτρίβαι, οἱ βαφεῖς οἱ τὰ φάρμακα τρίβοντες ἢ πωλοῦντες. ῥητορική.

Φαρμακεία, ἐκ τοῦ φαρμακεύω. τοῦτο ἐκ τοῦ φαρμακός.

Φαρμάξας, ἀποστήσας. γοητεύσας. ἰατρεύσας. ῥητορική.

Φάρμακος, ὄνομα κύριον. ὅτι δὲ ὄνομα κύριόν ἐστι, Λυσίας φησί. Ὁ φάρμακος ἱερὰς φιάλας τοῦ Ἀπόλλωνος κλέψας, ἁλοὺς ὑπὸ τῶν περὶ τὸν Ἀχιλλέα κατελεύσθη. καὶ τὰ τοῖς Θαργηλίοις ἀγόμενα, τούτων ἀπομιμήματά ἐστιν. ὡς Ἴστρος ἱστορεῖ. Δημοσθένης δὲ ἐν τῷ κατ' Ἀριστογείτονος λέγει. οὕτως οὖν αὐτὸν ἐξαιρήσας ὁ φάρμακος. Δίδυμος περισπᾶν ἀξιοῖ τοὔνομα. ἀλλ' ἡμεῖς οὐχ εὕρομεν οὕτως που τὴν χρῆσιν. φαρμακῶντα δὲ Δημοσθένης κατὰ Στεφάνου ἔφη. ἔστι δὲ φαρμακῶν ὁ ὑπὸ φαρμάκων βεβλαμμένος. ὡς καὶ Θεόφραστος.

Φᾶρος, ἱμάτιον. περιβόλαιον. ἀπὸ τοῦ φέρεσθαι. οἱονεὶ φερόστιον. ἢ παρὰ τὸ τῇ ὑφῇ ἀρηρέναι. λέγεται δὲ καὶ ἐπὶ γυναικῶν. Φάρος δέ, ἡ πρὸ τῆς Αἰγύπτου παρὰ τὸ φῶ τὸ φαίνω φάρος. παρὰ τὸ φαίνεσθαι αὐτὴν πρὸ τῆς Αἰγύπτου. ἔχει δὲ καὶ ἄλλον λόγον καὶ ἐπὶ τοῦ προφαινομένου τοῖς πλέουσι πύργου. ἤτοι παρὰ τὸ φῶς ἀνάπτειν τοῖς πλέουσιν, ἢ παρὰ τὸ φάω φάσω. οὗ ὁ παρατατικός, ἔφαον. οἷον, Φάε δὲ χρυσόθρονος ἠώς. ὁ δὲ Ὧρος λέγει ὅτι τῇ Καρίᾳ προσπλεύσαντος Ἀλεξάνδρου, ἡ Ἑλένη παρεκάλει Φάρον τινὰ κυβερνήτην κατὰ τὸ γένος, διασῶσαι αὐτὴν εἰς Λακεδαίμονα. καὶ τοῦτον ἀναλαβόντα αὐτήν, ἀπορριφῆναι εἰς Αἴγυπτον, ἔνθα ὑπὸ ὄφεως πληγέντα ἀποθανεῖν. θάψασα δὲ αὐτόν, ἀπ' αὐτοῦ Φάρον ὠνόμασε. φάρος οὖν, εἰ μὲν ἀρσενικῶς, σημαίνει τὸν τόπον. εἰ δὲ θηλυκῶς, τὴν πόλιν. εἰ δὲ οὐδετέρως, τὸ ἱμάτιον. ἔστι δὲ ὁμώνυμον.

Φαρῶ, σημαίνει τὸ ἀροτριῶ. ἀπὸ τοῦ ἀρῶ πλεονασμῷ τοῦ φ. παρ' ὃ καὶ ἄφαρον τὴν λιπαρὰν γῆν καὶ τὴν πολλάκις ἀροτριωθεῖσαν. Καλλίμαχος. Ἄφαρον φαρόωσι. μέλει δέ σφισιν ὄμπνιον ἔργον. τὸ Δημήτερος δηλονότι. ἢ ἄφαρον, τὴν μηδὲν φέρουσαν. ζήτει εἰς τὸ ἄφαρος.

Φάρυγξ, παρὰ τὸ φέρω, δι' ἧς φέρεται τὸ πνεῦμα. φέρω φέρος καὶ φάρος. καὶ παρώνυμον, φάρυγξ. ὡς Λυκόφρων. Ἐτύμβευσε φάρων, ἀντὶ τοῦ φάρυγγι. Ὧρος δὲ λέγει δι' ἧς φέρεται ἡ ἴυγξ, ὅ ἐστιν ἡ φωνή. ἰστέον ὅτι φάρυγξ φάρυγος δι' ἑνὸς γ κλίνεται. καὶ θηλυκῶς μᾶλλον εἴωθε λέγεσθαι ὡς οἱ Ἀττικοὶ χρῶνται. ἀρσενικῶς δὲ οἱ Δωριεῖς προφέρουσιν. ὁμοίως δὲ καὶ λάρυγος Ἀττικῶς.

Φαρυγγίνδην, ὡς ἀριστίνδην. σκώπτοντες τὴν γαστριμαργίαν τῶν χορευτῶν Ἀττικοὶ λέγουσι. ῥητορική.

Φάσγανον, παρὰ τὸ σφάζω σφάγανον. καὶ ὑπερθέσει. ἢ σπάγανόν τι ὄν, παρὰ τὸ σπᾶσιν, ἢ παρὰ τὸ φᾶσθαι ὅ ἐστι φονεῦσαι.

Φάτο. φημὶ τὸ λέγω. σημαίνει γὰρ καὶ τὸ φονεύω. ὁ μέλλων, φήσω. ὁ δεύτερος ἀόριστος, ἔφην. ὁ μέσος, ἐφάμην, ἔφασο, καὶ ἔφαο. ὅθεν καὶ Ἰωνικῶς τὸ προστακτικόν, φάο. τὸ τρίτον, ἔφατο. καὶ τὸ ἀπαρέμφατον, φᾶσθαι. ἢ ἐκ τοῦ φῶ τὸ φαίνομαι. παράγωγον, φημὶ φήσω. ἐφάθην. ἐφάμην. ἔφατο. συγκοπῇ, φάτο. οἷον, Ὡς φάτο.

Φάσις. λέγεται μὲν καὶ ἐπὶ δημοσίου ἐγκλήματος, ὅταν τις ἀποφύγῃ τῶν δημοσίων ἔχον τά τινα μὴ πριάμενον. λέγεται δὲ καὶ ἐπὶ τῶν ὀρφανικῶν οἴκων, ὅταν γὰρ μὴ ἐκμισθώσειεν οἱ ἐπιτροπεύοντες τὸν οἶκον ἔφαινεν αὐτοῖς ὁ βουλόμενος πρὸς τὸν ἄρχοντα ἵνα μισθωθῇ. ἔφαινε δὲ καὶ εἰ ἐλάττονος, ἢ κατὰ τὴν ἀξίαν ἐμεμίσθωτο. τὸ μὲν οὖν προτέρου τὰς μαρτυρίας, ἔστιν εὑρεῖν παρά τε Δεινάρχῳ καὶ Δημοσθένει. τῆς δὲ περὶ τῶν ὀρφανικῶν φάσεως, παρὰ Λυκούργῳ.

Φάσμη, κύλιξ. παρὰ τὴν φάσιν τὴν ἔνδειξιν.

Φασανός, συκοφάντης. παρὰ τὴν φάσιν. ἢ παρὰ τὸ φαίνω ῥῆμα.

Φασιανοί, ἀλεκτρυόνες καὶ ὄρνεις τινές.

Φασκώλιον, ἱμάτιον φορτίον. φάσκολον δὲ μαρσίπιον, πήρα τις οὕτως ἐκάλουν. ὡς Ἰσαῖος καὶ Λυσίας εἰρήκασιν. οὕτως ἔχει εἰς τὸ ἄλλο.

Φασκώλιον, τὸ δερμάτινον βαλάντιον. οἱονεὶ ἀσκώλιον, τὸ ἀσκῷ ἐοικός. φάσκωλον δὲ τὸ μέγα, εἰς ὃ τὰ ἱμάτια ἐμβάλλεται. μέσον κατὰ τὸ πλέον καὶ ἐμβριθέστερον ποιῶν τὸ φασκώλιον, οὕτως εἰ χρὴ εἰς τὸ αἱμώδειν. εὗρον ἐγώ. τὸ δὲ φάσκωλος, ἱμάτιόν ἐστιν ὃ φορεῖται. φασκώλιον, ἄγγος δεκτικὸν βιβλίων καὶ ἱματίων καὶ ἀργυρίου. τάχα δέ ἐστι καὶ τὸ ποτήριον.

Φάτνη, παρὰ τὸ φαγεῖν φάγνη καὶ φάτνη. δύναται δὲ καὶ παρὰ τὸ πάω πῶ τὸ ἐσθίω, ὡς τὸ πάσασθαι, πάτνη καὶ φάτνη.

Φατνωτόν, τὸ σανιδωτόν. φατνώματα, σανιδώματα. στεγνὰ διάγλυφα. ῥητορική.

Φατρία, σύνταγμα. Ὧρος. οἷον, πατρία. ὅταν ἀφ' ἑνὸς καὶ ἐνδόξου ἀνδρὸς ὡς πατρὸς καταδιαδοχάς, ἐπέκτασιν λάβῃ τὰ γένη, τότε ἐπ' αὐτὸν ἀναφέρεσθαι, ὡς Ἡρακλεῖδαι καὶ Ἀχαιμενίδαι ἀπὸ Ἀχαιμένους παρὰ Πέρσαις.

Φαυλία, ἡ κότινος. καὶ ἁπλῶς εἶδος ἐλαίας. ῥητορική. φαύλια μῆλα, εἶδος τῶν μήλων.

Φαυλίζει, εὐτελίζει. χλευάζει.

Φαῦλος. παρὰ τὸ φῶ τὸ φαίνω, παράγωγον, φαύω τὸ λάμπω, σημαίνει φαῦλος ὁ φανερούμενος εἰς ἃ ἐργάζεται. ἢ ἐπὶ αἰσχροῖς πράγμασι διάδηλος καὶ φανερός. ἢ παρὰ τὸ παύω παῦλος καὶ φαῦλος. τὸ γὰρ κακόν, ταχὺ παύεται. τὸ δὲ καλόν, οὐδέποτε. φαῦλον, σημαίνει καὶ τὸ ἁπλοῦν, Εὐριπίδης Λικυμνίῳ. Φαῦλον ἄκομψον τὰ μέγιστ' ἀγαθά. ἁπλοῦν καὶ ἀποίκευτον λέγεται. ἔστι δ' ὅτε τίθεται καὶ ἐπὶ τοῦ κακοῦ καὶ τοῦ τυχόντος. Πλάτων ἐν τῷ περὶ ψυχῆς. φαῦλον πρᾶγμα ἐπιζητεῖς. καὶ φαῦλον πρᾶγμα

ἐστὶ, τὸ τυχὸν πρᾶγμα. καὶ ἀντὶ τοῦ ἁπλῶς πρὸς τὸ οὐ τὸ τυχόν. Πρᾶγμα δ' ἔσται ὡς ἔοικεν οὐ φαῦλον οὐδὲ μικρᾶς δεόμενον ἀρετῆς. τάττεται δ' ἂν καὶ ἀντὶ τοῦ μοχθηροῦ, ὅταν ἀντιδιαστέλληται πρὸς τὸ σπουδαῖον. τεθείη δ' ἂν καὶ ἀντὶ τοῦ μεγάλου. σοφοκλῆς αἰχμαλωτίσιν. Εἰ μικρὸς ὢν τὰ φαῦλα νικήσας ἔχω. καὶ ἀντὶ τοῦ ῥᾳδίου πλάτων πολιτικῶν πρώτῳ. Καὶ φαῦλόν γε ἔφη ἴσως αὐτοῖς προσάξομεν. καὶ τούτων δ' ἔτι ἐγὼ φαυλότερον. τάττεται καὶ ἀντὶ τοῦ μικροῦ καὶ εὐκαταφρονήτου ὡς δημοσθένης. καὶ ἀντὶ τοῦ ταπεινοῦ καὶ πένητος καὶ ἀδόξου καὶ ἀνοήτου. ἐν ῥητορικῇ. διαφέρει δὲ φλαύρου. φλαῦρον μὲν γάρ ἐστι τὸ μικρὸν καὶ κοῦφον κακόν. φαῦλον δὲ, τὸ μέγα.

Φαυλίζω. Ἐνεμέσιζε δὲ καὶ ἀπεφαύλιζε τὰ λεγόμενα.

Φαυστίγγες, οἱ ἐκ τοῦ πυρὸς ἐν ταῖς κνήμαις σπίλοι. οὕτως ἀριστοφάνης.

Φαιδρωπόν, τὸ τερπνὸν καὶ χάριεν πρόσωπον.

Φαίδιμος, ὁ λαμπρός. παρὰ τὸ φαίνω, φαίνιμος καὶ φαίδιμος.

Φαίνων, δεικνύων. ἀπὸ τοῦ φαείνω ἀποβολῇ τοῦ ε. καὶ κατὰ συναίρεσιν φαίνω, ὡς ἀείρω, αἴρω. Φαινόμενα οὐ μέντοι ὄντα γε τοῦ τῇ ἀληθείᾳ. πλάτων.

Φαιόν, χρῶμα σύνθετον ἐκ μέλανος καὶ λευκοῦ. ἤγουν μύϊνον.

Φαινόλης, χιτών. οἱ δὲ παλαιοί, ἐφεστρίδα. ὥστε, Τὰν φαινόλαν ἀποδύσασθαι. τουτέστι τὸ ἱμάτιον. παρὰ τὸ φαίνεσθαι ὅλον.

Φελόνης, εἰλητὸν τμάριον. βέμβρανον. ἢ γλωσσόκομον, ἢ χιτώνιον.

Φελλός, ὄρος ἐστὶν ἐν ἰταλίᾳ ἐν ᾧ γίνονται πεῦκαι ὑπερμεγέθεις. ἐκ δὲ τούτων τῶν δένδρων γίνεσθαι τοὺς φελλούς, οἷς κέχρηνται πρὸς κουφισμὸν τῶν σωμάτων.

Φελλέα, τὰ πετρώδη καὶ αἰγίβοτα χωρία, ὡς ἰσαῖος.

Φελλός, σκληρός, καὶ πετρώδης τόπος.

Φενακισθέντες, χλευασθέντες. ἀπατηθέντες. ἀπὸ τοῦ φενακίζω. τοῦτο παρὰ τὸ τὰς φρένας αἰκίζειν. φενακίζειν οὖν, τὸ ἀπατᾶν, ὅπερ οἱ ἀρχαῖοι φηνακίζειν ἔλεγον. πεποίηται δὲ τοὔνομα κατ' ἐναλλαγὴν γράμματος παρὰ τὴν πηνίκην, ἥτις ἐστὶ περίθετος κόμη διαπατῶσα τοὺς πολλούς. ἢ παρὰ τὴν φενάκην. ἔστι δὲ κόσμος γυναικεῖος ἡ λεγομένη οὐρά. τὸ φε, ψιλόν. ἢ παρὰ τὸ φηλοῦν πεποίηται ὅπερ ἐστὶ τὸ ἀπατᾶν.

Φέναξ, χλευαστής. ἀπατεών.

Φενίς, παιδιὰ διὰ σφαίρας γινομένη. ἔστι καὶ φενίνδα, ἀπὸ τοῦ φενακίνδα κατὰ συγκοπήν. ἀπὸ τῆς ἀφέσεως τῶν σφαιριζόντων. ἢ ἀπὸ τοῦ φενακίζειν ἐν τῷ ῥίπτειν. καὶ μὴ ῥίπτειν ἐκεῖσε ἀλλ' ἑτέρωσε. ἢ ἀπὸ φενεσίου τοῦ ἐφευρόντος αὐτήν.

Φεραυγής, καταλαμπρός. ὁ φέρων τὴν αὐγήν.

Φερέγγυος. φερέγγυος. ἀξιόπιστος ἐγγυητής. φέρων τὸ βέβαιον. ἀσφαλής. φέρειν λέγεται καὶ τὸ λαμβάνειν. καὶ μισθοφόρος ἀπὸ τούτου.

Φέρεκλος, ἁρμόζον ὀνόματι τέκτονι. οἷον, φερέκλωνος υἱῶν.

Φερέοικος, καὶ φέροικος, ὁ κοχλίας καὶ ἡ χελώνη. ἔνιοι δὲ ζῷον λευκὸν ὅμοιον γαλῇ. ὑπὸ δρυσὶ καὶ ἐλαίαις γινόμενον. βαλανοφάγον. οὕτω καλούμενον ὑπ' ἀρκάδων. οἱ δὲ, ζῷον σφηκὸς εὐμεγέθους μέγιστον.

Φερέσβιος, ζωοποιός. ὡς φερέπονος καὶ οὕτω καὶ φερέβιος. καὶ πλεονασμῷ τοῦ σ. περὶ παθῶν.

Φέρνα. τοῦτο κατὰ διάλεκτον. οἱ γὰρ αἰολεῖς λέγουσι τὴν φερνὴν φέρνα. ἴσως προφερέστερον, παρὰ τὸ φέρειν. προῖξ γάρ ἐστιν. ἰστέον γὰρ ἠλλοιωμένον τὸ φερνή. τὰ γὰρ εἰς ην λήγοντα δισύλλαβα, ἔχοντα πρὸ τέλους τὸ ρ, βαρύνεται. οἷον, τάρνη. πτέρνη. μόνον τὸ φερνὴ ὀξύνεται. ἐὰν δὲ δώσῃ τις τὸν πλεονασμὸν αἰολικὸν εἶναι καὶ εἴπῃ φέρνα καὶ μιμήσηται τὸ ἐλένη, ἀπολέλυται τὸ ἠλλοιωμένον. περὶ παθῶν. εὐριπίδης μηδείᾳ. φερνὴν δὲ τὴν προῖκα καὶ αἰσχίνης καὶ μένανδρος. ἀπὸ τοῦ ἐπιφέρεσθαι αὐτήν.

Φέρνιξ, προίξ. ἀπὸ τοῦ φέρειν ὄνησιν.

Φερσεφόνη, παρὰ τὸ φέρειν μένοντα. ἡ φέρουσα πάντα καὶ φθείρουσα. ἡ αὐτὴ γάρ ἐστι τῇ γῇ.

Φέρετρω, τῇ τῶν νεκρῶν κλίνῃ. παρὰ τὸ φέρειν. Κείμενον ἐν φερέτρῳ. ἰσαῖος.

Φέριστον, ἐξοχώτατον, ἢ ἀγαθόν.

Φέρτερον, κρεῖττον, ἢ ταχύτερον. ἀπὸ τῶν ἀχθοφόρων. καὶ ἀφανέστερος, ὁ τοῦ φέρειν οἷός τε ἥττων κατὰ δύναμιν. γίνεται δὲ τὰ συγκριτικὰ ἀπὸ ὀνομάτων, ὡς τὸ ὀξύς, ὀξύτερος. ἀπὸ ῥήματος, ὡς φέρω φέρτερος. ἀπὸ ἐπιῤῥήματος, ὡς πάλαι παλαίτερος. Φευκτέος. τὰ ἀπὸ τῶν εἰς ος ὀξυτόνων, διὰ τοῦ τεος γινόμενα, διὰ τοῦ ε ψιλοῦ γράφεται. ψεκτὸς ψεκτέος. φευκτὸς φευκτέος.

Φέψαλος, σπινθήρ. ὁ ἀναφερόμενος ἐκ τῶν καιομένων ξύλων.

Φείδομαι, παρὰ τὸ φεύγειν τὸ δοῦναι. ἢ παρὰ τὸ φεύγομαι, φεύδομαι. καὶ τροπῇ τοῦ υ εἰς ι, φείδομαι. τὸ δὲ φειδὼ ὄνομα, γράφεται τὸ φι διὰ τοῦ ι. εἰ γὰρ ἐγράφετο διὰ διφθόγγου, φοιδὼ ἂν ἐλέγετο τὸ ῥηματικὸν ὄνομα.

Φειδωλός, φειδόμενος. κνιπός. παρὰ τὸ φειδὼ φειδωλός, ὁ φεύγων τὸ διδόναι. καὶ φειδυλὸς ὁμοίως. καὶ φείδων ὄνομα κύριον μετοχικόν. ὡς λάμπω λάμπων, καὶ στίλβω στίλβων.

Φειδώ, πρόνοια. φεισμονή. εὐσπλαγχνία. ἤτοι δὲ καὶ ἡ φροντίδα. οἷον, Οὐ γάρ τις φειδὼ νεκύων κατατεθνηώτων, ἰλιάδος η.

Φηγός, δρῦς, ἢ πεύκη. παρὰ τὸ φώγεσθαι, ὅ ἐστι καίεσθαι. τὰ γὰρ ἔσω τῶν βαλάνων ἐσθίοντες, τὰ ἔξω ἔκαιον πρὸς θέρμην. ἢ παρὰ τὸ φαγεῖν ἐξ αὐτῆς τὰς βαλάνους τοὺς ἀνθρώπους. καὶ φήγινος, δρύϊνος.

Φηγαιεῦσι, δῆμος τῆς αἰαντίδος φυλῆς.

Φηγοῦς, δῆμος τῆς ἐρεχθηΐδος.

Φῆναι, ὁ δεύτερος ἀόριστος ἐστὶν ὡς τὸ στῆναι, ὁ πρῶτος ἀόριστος. ἔφανα, φᾶναι. καὶ φῆναι ἰωνικῶς, ὡς μιᾶναι μιῆναι.

Φήκ, εἰς τὸ ἀλώκ.

Φηλώματα, ἐξαπατήματα. φηλοῦν γὰρ τὸ ἀπατᾶν. καὶ φηλώσεις, τὰ ἀπατήσεις. ἔνθα καὶ φήληξ τὸ ἠρέμα πεπανθὲν σῦκον. καὶ φήληκας δέ φαμεν, τὰ διαπατῶντα τὰς ὄψεις σῦκα ὡς εἰ πέπειρα.

Φήμη. ὡς ἀπὸ τοῦ γνώσω γίνεται γνώμη, οὕτω παρὰ τὸ φαφήσω, φήμη. τοῦτο παρὰ τὸ φῶς. φῶς γὰρ τῶν πραγμάτων οἱ λόγοι. γράφεται δὲ καὶ διὰ τοῦ ι. ὡς ἐν ἰλιάδος κ. Εἴ τινά που καὶ φήμην ἐνὶ τρωσὶ πύθοιτο.

Φησί, κατ' ἐπέκτασιν ἀπὸ τῆς σι συλλαβῆς. ἀπὸ τοῦ ἐὰν φῶ, ἐὰν φῇ. εἰς τὸ παμφανόωντα. ἰστέον ὅτι τὸ φημί, γινόμενον μὲν ἀπὸ τοῦ φῶ, οὐκ ἀναγκάζεται διπλασιάζεσθαι καὶ γενέσθαι φίφημι, ὡς τίθημι. ἐπειδὴ τὰ ἐγκλιτικὰ οὐ θέλει ὑπερβαίνειν τὴν δισυλλαβίαν.

Φηρῇ, οἷον, Εὐκτιμένῃ ἐνὶ φηρῇ. τὸ φηρῇ περισπᾶται κατὰ τὴν παράδοσιν. ἡ μέντοι ἀναλογία ἠξίου βαρύνεσθαι. τὰ γὰρ εἰς ρα δισύλλαβα μονογενῆ τῷ η παραληγόμενα, βαρύνεται. ἥρα.

Φῄς, εἰς τὸ βῆ. Δεῖ γινώσκειν ὅτι τὸ φῂς τοῦτο, κάλλιστον ἐνεστὼς ἐστι δευτέρου προσώπου καὶ σὺν τῷ ι γράφεται. καὶ ὅσον κατὰ ἀναλογίαν οὐκ ὤφειλεν ἔχειν τὸ ι. τὰ γὰρ εἰς μι τὸ ἀπὸ τῆς μι εἰς σ, τὸ δεύτερον ποιοῦσιν. εἰ οὖν τὸ φημὶ οὐκ ἔχει τὸ ι, τὰ γὰρ εἰς μι οὐ θέλει διφθόγγῳ παραλήγεσθαι, χωρὶς τοῦ εἶμι καὶ εἶμι, δῆλον ὅτι οὐδὲ τὸ φῂς ὤφειλεν ἔχειν τὸ ι, ἀλλὰ κατὰ ἱστορίαν, ἤγουν κατὰ παράδοσιν ἔχει τὸ ι προσγεγραμμένον. πότε γὰρ τῇ ἱστορίᾳ χρώμεθα; ἡνίκα τι κατὰ παράδοσιν γράφεται ὥσπερ τὸ σκείρω. Ἰστέον δὲ ὅτι ἡ ἱστορία διττή ἐστιν. ἔστι γὰρ ἡ χρῆσις ἥτις καὶ ὡς ὕλη ὑπόκειται τῇ ὀρθογραφίᾳ. λέγεται δὲ ἱστορία καὶ ἡ μαρτυρία τῶν ἀρχαίων καὶ ἐνδόξων ἀνδρῶν. ἥτις καὶ ὄργανόν ἐστι τῆς ὀρθογραφίας. διὰ τοῦτο καὶ ἔσχατον τέτακται ἡ ἱστορία, ἐπειδὴ οὐκ ἀεὶ κεχρήμεθα αὐτῇ, ἀλλ' ὅτε οὐ δυνατόν ἐστι τὴν λέξιν διὰ τῶν ἄλλων κανόνων ὀρθῶσαι. ἀναλογίας διαλέκτου, ἢ ἐτυμολογίας. τούτου χάριν, τελευταία ἐπάγεται. τινὲς δὲ θέλουσι λέγειν παρὰ τὸ φῂς, ὅτι τὸν μὲν τόνον ἀπὸ τῶν εἰς μι ἔσχε. τὴν δὲ γραφὴν ὡς ἀπὸ τῶν εἰς ω. ἀπὸ τοῦ φῶ. τὰ γὰρ εἰς ω ὤφειλεν ἔχειν ἐν δευτέρῳ καὶ τρίτῳ προσώπῳ, δίφθογγον μετὰ τοῦ ι. ἄλλοι δὲ θέλουσιν αὐτὸ εἶναι δωρικὸν ὥσπερ τὸ ζῇς. οἷστισι καὶ ὁ τόνος ἀντίκειται. ὤφειλε γὰρ περισπᾶσθαι. καὶ τὸ δεύτερον τῶν ἑνικῶν, ὤφειλε γὰρ ἀποβολῇ τοῦ σ ποιεῖν τὸ γ.

Φθάμενος, φθάσας. ἐκ τοῦ θέω τὸ τρέχω. πλεονασμῷ τοῦ φ, φθέω. ἔστι φθῶ, σημαῖνον τὸ καταλαμβάνω. ὅθεν ἰλιάδος λ, φθῆσε τέλος θανάτοιο. οὗ παράγωγον φθῆμι. ὁ παθητικὸς ἐνεστὼς φθάμαι. ἡ μετοχή, Ὅς μ' ἔβαλε φθάμενος. ἰλιάδος ε. οἱ δέ φασιν ἀπὸ τοῦ φθαζόμενος κατὰ συγκοπήν. ὡς οἶμαι οὐ καλῶς. τὸ δὲ φθῶ, γίνεται ἀπὸ τοῦ φθίω τὸ φθείρω. οἱ γὰρ καταλαμβάνοντες, φθείρουσι τὸν δρόμον, καὶ ἐλαττοῦσι τοῦ καταλαμβανομένου.

Φθάνειν, προήκειν. προλαμβάνειν. παρὰ τὸ φθείνω. ἐκ δὲ τοῦ φθάζω φθάσω, γίνεται τὸ ὑποφθάς, ἀντὶ τοῦ προφθάσας. προλαβών.

Φθαίη, ἀπὸ τοῦ φθὰς φθάντος τὸ εὐκτικὸν φθαίην. φθαίης. καὶ παραφθαίη, ἰλιάδος κ. ἀντὶ τοῦ παραδράμοι. φθάσοι. παρέλθοι. προλάβοι. σημαίνει καὶ τὸ φθείρειν. τὸ δὲ φθὰς, μετοχή ἐστιν, ἀπὸ τοῦ φθῆμι, ἔφθην.

Φθέγμα, ὁ μὲν ὧρος διὰ ἑνὸς γ λέγει γράφεσθαι. ὁ δὲ ἡρωδιανὸς διὰ δύο. φθέγγμα. καὶ ἴσως παρὰ τὸ φθέγγομαι. τὸ δὲ φθέγγεσθαι, κατὰ πλεονασμὸν τοῦ θ γίνεται. παρὰ γὰρ τὸ φῶ τὸ λάμπω, γίνεται φέγγος. καὶ φέγγω, φθέγγω. παρὰ τὸ εἰς φῶς ἄγειν τὰ τοῦ νοῦ.

Φθείρ, παρὰ τὸ φθείρω, ἢ ἀπὸ φθορᾶς σωματικῆς γινομένη. λέγεται δὲ φθεὶρ καὶ ὁ τῆς πίτυος καρπός, τὰ λεγόμενα στροβίλια.

Φθειρῶν τὸ ὄρος ἀκριτόφυλλον. ὁ μὲν τεχνικὸς διὰ τοῦ ι γράφεσθαι λέγει. ὅτι παρὰ τὸ φθεὶρ γέγονε τοῦ ὄντος υἱοῦ τοῦ ἐνδυμίωνος. ἕτεροι δὲ διὰ διφθόγγου λέγουσι. παρὰ τὸ φθεὶρ ὃ σημαίνει τὴν πίτυν. εἰσὶ γάρ τινες πίτυες φθεῖρας ποιοῦσαι. τὸ ὄρος τὸ ἔχον φθεῖρας, τουτέστι πίτυας. οἱ δὲ παρὰ τὸ φθεὶρ λέγουσιν ὁ ληστής. τουτέστιν ὁ φθείρων. οἱονεί, τὸ ὄρος τῶν λῃστῶν. οἱ δέ, ὅτι φθεῖρες λέγονται οἱ θῆρες, παρὰ τὸ φθείρειν τὸ ὄρος τῶν θηρῶν. λυκόφρων.

Φθισήνωρ, σημαίνει τὸ φθείροντα τοὺς ἄνδρας. ἔστι φθείω διὰ τῆς ει διφθόγγου. ἔστι καὶ φθίω διὰ τοῦ ι, καὶ φθίμη. ἀμφότερα δὲ σημαίνει τὸ φθείρω. ὅθεν τὸ, φθίσει τε τεὸν μένος, ἰλιάδος ζ. εἴτε ἀπὸ τοῦ φθείω, εἴτε ἀπὸ τοῦ φθίω. ἐξ οὗ καὶ τὸ φθιᾶσθαι. πλεονασμῷ τοῦ ν, γίνεται φθίνω. ὅθεν φθινύθω τὸ φθείρομαι. καὶ φθινόπωρον, παρὰ τὸ φθίνειν τὴν ὀπώραν ἐν αὐτῷ.

Φθισίμβροτος, ἡ διαφθείρουσα τὸν ἄνδρα. παρὰ τὸ φθίω φθίσω.

Φθοῖς φθοῖς, εἶδος πλακοῦντος. οὗ τὴν κατασκευὴν οὕτω τὶς περιλαλεῖ. Τυρὸν ἐκπιέσας, τρῖβε. καὶ ἐμβαλὼν εἰς κόσκινον χάλκεον διήθει. εἶτα ἐπίβαλον μέλι, καὶ σιλίγνεως ἡμίσειαν, ὅ ἐστιν ἡμισυμέρου. καὶ συμμάλαξον εἰς ἕν.

Φθιῶται, ἐκαλοῦντο οἱ τοῦ ἀχιλλέως. ἀπὸ τῆς φθίας χώρας, φθιώτης. φθίοι δὲ οἱ τοῦ πρωτεσιλάου, ἀπ' ἀνδρὸς φθίου τοὔνομα.

Φθόη, τὴν νῦν φθίσιν λεγομένην, οὕτως ἐκάλουν. ὡς δημοσθένης. ἢ ὄνομα πάθους ἐξ αἵματος ἀγωγῆς.

Φθίσις, ἡ σῆψις.

Φθόνος, πάθος λύπης ἐπὶ τῇ τῶν πέλας εὐπραγίᾳ. ὧρος παρὰ τὸ φθάνειν. οἱ δὲ παρὰ τὸ φρενῶν παραίτιον εἶναι πολλάκις. εἴτε βάσκανος, παρὰ τὸ τοῖς φάεσι καίνειν. ἐγὼ δὲ οἶμαι παρὰ τὸ φόνος, φθόνος.

Φθορά, παρὰ τὸ φθίσθαι ῥᾷον, ἢ τὸ συμπεσεῖν εὐχερῶς.

Φιάλη, κατὰ μετάθεσιν τοῦ π εἰς φ. πιάλη τις οὖσα. παρὰ τὸ πίω. ἢ τὸ πίνειν ἅλις παρέχουσα. ὅ ἐστι δαψιλῶς.

Φιαρός, καλλίμαχος. φιαρὴ τῆμος ἀνέσχε νέως. παρὰ τὸ φάος φαερός. τροπῇ τοῦ ε εἰς ι, καὶ ὑπερθέσει, φιαρός.

Φιβάλεως, γένος συκῆς. λέγουσι δὲ οὕτω καὶ τὰς μυρσίνας. ἀπὸ λοφάνης τὰ σῦκα, φιβάλεα. καὶ φιβαλέαι, ἰσχάδες.

Φιλακίζεται, χαριεντίζεται.

Φιλαπεχθήμων, φιλομίσητος.

Φιλέχθρος, φιλόμισος.

Φιλάγαρπως, πέρπεται γάρπως.

Φίλεργος, φιλόπονος. Φιλεριστῆσαι, φιλονεικῆσαι.

Φίλαι, ἰλιάδος κ. Νῦν αὖτε με φίλαι ἀθήνη. ἀντὶ τοῦ φιλοφρόνησον, καὶ φίλον ἥγησαι. β΄ προσώπου ἰωνικῶς.

Φιλαμένη δημήτερα, ἀπὸ τοῦ φιλῶ φιλήσω. ὁ ἀόριστος πρῶτος κατὰ συγκοπὴν, ἔφιλα. ὁ μέσος ἐφιλάμην. ἡ μετοχὴ φιλάμενος. καὶ τὸ θηλυκὸν. ἢ ἀπὸ τοῦ φίλος, φιλλῶ. ὁ μέλλων φιλῶ. ὁ ἀόριστος ἔφιλα.

Φιλέεσκον. φιλῶ φιλήσω. καὶ οἱ δωριεῖς μὲν ποιοῦσι τὸ η, εἰς δύο εε, καὶ γίνεται φιλεέσω. καὶ πλεονασμῷ τοῦ κ, φιλεέσκω. ὁ παρατατικὸς ἐφιλέεσκον.

Φίλιος Ζεὺς, ὁ τὰ περὶ τῆς φιλίας ἐπισκοπῶν.

Φιλαΐδαι, γένος ἀθήνησι.

Φιλῖνος. τὰ διὰ τοῦ ινος ὀνόματα, ἢ κύρια εἰσὶν, ἢ ἐθνικά. οἷον κοπελῖνος. ἀκραγαντῖνος, ὁ πολίτης. ἢ ἐπίθετα, ὥστο, ἐριγῖνος, ὁ δεινός. ἢ προσηγορικὰ, ὡς ἐχῖνος. γελασῖνος. γελασῖνοι δὲ εἰσὶν αἱ γινόμεναι κοιλότητες εἰς τὸ πρόσωπον ἐκ τοῦ γελᾶν. ἢ ὑποκοριστικὰ, οἷον φιλῖνος. σημαίνει δὲ τὸν φίλον. παλλακῖνος, ὁ ἀπὸ παλλακῆς. ταῦτα δὲ, εἰ μὲν ἀπὸ ὀνόματος παρήχθησαν, ἢ ἀπὸ εὐθείας, ἢ ἀπὸ γενικῆς παράγονται. φίλος, φιλῖνος. ἀγαθός, ἀγαθῖνος. εἰ δὲ ἀπὸ ῥήματος, ἢ ἀπὸ ἐνεστῶτος, ἢ ἀπὸ μέλλοντος. ἐχῶ ἐχῖνος. πράξω πραξῖνος. τὸ δὲ στεβεῖνος, διὰ διφθόγγου γράφεται.

Φιλήτης, ὀξυνόμενον μὲν, σημαίνει τὸν ἐραστήν. προπαροξυνόμενον δὲ, τὸν κλέπτην. παρὰ τὸ ὑφελέσθαι γίνεται ὑφελέτης. καὶ κατὰ ἀφαίρεσιν τοῦ υ καὶ τοῦ ε, καὶ ἐκτάσει τοῦ ε, εἰς η, γίνεται φιλήτης. πολλὰ δὲ πάθη ἐνταῦθα γέγονε. λέγει δὲ ὁ Τρύφων, ὅτι συνέπαθεν ἡ φωνὴ τῷ σημαινομένῳ. ὡς ἡμισοκύκλιον, ἡμικύκλιον. λείπω, λιμός. ὁ γὰρ κλέπτης ἔνδειαν ποιεῖ. οὗ χάριν καὶ φωνῆς ἔνδειαν ἐνεδέξατο. κρεῖττον δέ ἐστιν εἰπεῖν, ὅτι ὥσπερ παρὰ τὸ οἶκος γίνεται οἰκέτης, καὶ γαμῶ γαμέτης, οὕτω καὶ παρὰ τὸ φιλῶ φιλέτης. ἐν ἐκτάσει τοῦ ι, καὶ τροπῇ τοῦ ε, εἰς η. παρὰ τὸ φιλεῖσθαι. κατ᾽ ἀντίφρασιν ὁ μισούμενος.

Φίλος ἀπὸ τοῦ γινομένου κατὰ τὸ φιλεῖν ἤχου. ἢ παρὰ τὸ πίνω. ἀπὸ γὰρ συμποσίων εἰώθασιν οἱ φίλοι γίνεσθαι. τοῦτο δὲ καὶ τὸ ἀνὴρ καὶ ἀνεψιός, καὶ ἀπόλλων καὶ ἄρης, παρὰ τῷ ποιητῇ ἐκτείνεται καὶ συστέλλεται. ἐκ δὲ τοῦ φίλος, καὶ φιλόω φιλῶ τὸ ἀγαπῶ, φιλώσω. ἐξ οὗ καὶ τὸ φιλωθείς.

Φιλοθεάμονες, φιλοθεωρηταί.

Φιλοδεσποτεύομαι, οὕτως ἀναξίλας.

Φιλοστοργότερος, ἀπὸ τοῦ φιλόστοργος. οὐ γάρ ἐστι σύνθετον, ἀλλὰ παρασύνθετον. εἰ γὰρ ἦν σύνθετον, ὤφειλεν εἶναι κοινὸν τῷ γένει, ὡς τὸ φιλότεκνος.

Φιλοκομπῶν, μεγαλορρημονῶν. ἑαυτὸν ὑψῶν.

Φιλοκτέανος, φιλοχρήματος. φιλοκτήμων.

Φιλοκτεανώτατος, παρὰ τὸ φίλος καὶ τὸ κτέανον. τοῦτο παρὰ τὸ κτῶ κτάνον, ὡς τύπτω, τύπανον. καὶ πλεονασμῷ τοῦ ε, κτέανον.

Φιλομμειδής, φιλόγελως. παρὰ τὸ μέδειν τὸ βασιλεύειν τοῦ φιλεῖν. κατὰ πλεονασμὸν τοῦ ι. ἢ παρὰ τὸ μειδιῶ τὸ γελῶ.

Φιλοπότης. ἰστέον ὅτι διαφέρει. φιλοπότης μὲν διὰ τοῦ ο μικροῦ, ὁ φιλῶν πότους καὶ συμπόσια. φιλοπώτης δὲ διὰ τοῦ ω μεγάλου, ὁ φιλῶν πολλὰ πίνειν. πόμα γὰρ τὸν πότον καὶ ὁ πῶμα. οὕτως ἡρωδιανὸς εἰς τὰ ζητούμενα τῶν μερῶν τοῦ λόγου.

Φιλόπονος, φιλεργός. ὁ περὶ τὸ πονεῖν πρόθυμος.

Φιλοσοφεῖν, σπουδάζειν. ἢ πονεῖσθαι.

Φιλότης, σημαίνει δύο, τὴν συνουσίαν, ὡς τὸ, Φιλότητα τραπείομεν εὐνηθέντες. σημαίνει καὶ τὴν φιλίαν. ὡς τὸ, Ἢ φιλότητα μετ᾽ ἀμφοτέροισι τιθεῖμεν.

Φιλοτησία, φιλία, δεξίωσις διὰ τῆς φιάλης. ἡ κύλιξ, ἣν κατὰ φιλίαν προύπινον τοῖς φίλοις οὕτως ἐκάλουν. καὶ φιλοτησίαν προπίνειν ἐστὶν, ἡνίκα τις ἐν ἀρίστῳ ἀπὸ τῆς δοθείσης αὐτῷ φιάλης πιὼν μέρος τὸ λοιπὸν παράσχῃ φίλῳ, χαρισάμενος αὐτῷ καὶ τὴν φιάλην.

Φιλοτίμως, μεγαλοδώρως. ὑπερμέτρως. ἐπιμελῶς.

Φιλοτιμεῖται, ἐπιδεικνύεται. μεγαλοφρονεῖ. σπουδάζει. ἀγαπᾷ.

Φιλοτιμία, δωρεά. ἢ πλεονεξία, ἢ κενοδοξία.

Φιλοφροσύνη, φιλοφρόνησις. φιλία.

Φιλοφρονέστατα, φιλικώτερα. φιλοφρονούμενα. παραμυθούμενα.

Φίλυδρα, φιλοῦσα τὸ ὕδωρ.

Φιλυδρίας, φιλῶν τὸ ὕδωρ.

Φιμοί, κυβευτικὰ ὄργανα.

Φίλυρα, φυτὸν ἔχον φλοιὸν, βύβλῳ παπύρῳ ὅμοιον, ἐξ οὗ τοὺς στεφάνους πλέκουσι.

Φίλτερον. πᾶν συγκριτικὸν εἰς ρος λῆγον ὑπερδισύλλαβόν ἐστι. τὸ μέντοι φίλτερον καὶ χείριον ὑπερδισύλλαβα ὄν, διαφωνεῖ ὥσπερ τὰ συγκριτικά. οὐκ ἔχει γὰρ τοῦ πρωτοτύπου τὸ ο. πεποίηται οὖν παρὰ τὸ φίλος φιλώτερος. ἐξ οὗ τὸ θηλυκὸν, φιλωτέρα, φιλοτέρα. καὶ κατὰ συγκοπὴν, φίλτερος.

Φιλτέας. παρὰ τὸ φιλῶ, φιλτὸς ῥηματικὸν ὄνομα. οὗ παράγωγον φιλτέας, ὡς πρῶτος, πρωτέας. ἄριστος, ἀριστέας. φιλτέας δέ ἐστιν, ὁ καλούμενος ἱστορικός, ὁ τὰ ναξιακὰ συνθείς.

Φίλτρον, δύναται παρὰ τὸ φίλω βαρύτονον εἶναι. καὶ ἀπὸ τοῦ φιλῶ περισπωμένου. φίλητρον. καὶ συγκοπῇ, φίλτρον.

Φιμοί, κυβευτικὰ ὄργανα. φιμός ἐστιν ὁ καλούμενος κημός. εἰς ὃν ἐνέβαλον τὰς ψήφους. γίνεται ἀπὸ τοῦ σφίγγω σφιγμός, καὶ φιγμός. καὶ φιμοί. ἄγχει. ἐπιστομίζει.

Φινεύς, παρὰ τὸ ἶφι καὶ τὸ νοῦν ἔχειν. οἱονεὶ, ὁ ἰσχυρὸν νοῦν ἔχων.

Φινέες, παρὰ τὸ φόνος. Φίσκος, δημόσιον ταμεῖον.

Φιτρῶν, κορμῶν. ξύλων. παρὰ τὸ φύω τὸ φυτρὸν καὶ φιτρόν. ἀπὸ τοῦ φύεσθαι ἐξ αὐτοῦ τὰ φυτά.

Φιτύω, σημαίνει τὸ φυτεύω. ἡσίοδος. Φιτύσατο φαίδιμον υἱόν. γίνεται ἀπὸ τοῦ φυτεύω. ἀποβολῇ τοῦ ε καὶ τροπῇ τοῦ ἐν τῇ ἀρχῇ υ, εἰς ι. καὶ φιτῦσαι, τὸ γεννῆσαι. ἀντὶ τοῦ προστίθεται. ἀντὶ δὲ τῆς μέσης οὐκέτι. ἀλλὰ γεννῆσαι. καὶ φιτύοντος, μετὰ τοῦ γεννῶντος. λέγεται δὲ καὶ τὸ γέννημα φίτυ. εὔπολις αὐτολύκῳ. Ἤγαγε καινὸν φίτυ.

Φηρσί, κατὰ μετάθεσιν τοῦ θ εἰς φ, ἀντὶ τοῦ θηρσί. ὡς τὸ θλᾶν, φλᾶν.

Φλᾶν, τύπτειν, ἢ μαλάττειν. καὶ τὸ ἀναμαλάττειν ἀναφλᾶν ἀριστοφάνης.

Φλαῦρον, εἰς τὸ φαῦλον.

Φλαυεία, δῆμος τῆς κεκροπίδος. ἐκ τούτου δὲ τοῦ δήμου ἦν εὐριπίδης ὁ τῆς τραγωδίας ποιητής.

Φλήναφος, δύο σημαίνει. φλήναφος, ἡ φλυαρία. καὶ φλήναφος ὁ φλύαρος.

Φλεβάζοντες, βρύοντες. ἀπὸ τοῦ φλέω ῥήματος. ἢ ἀπὸ μεταφορᾶς τῶν φλεβῶν.

Φλέβες, ἀπὸ τοῦ τὸ χυμῶδες αἷμα τὴν φλεγμονὴν περιέχειν, τουτέστι τὸν τοῦ αἵματος. φλέβες οὖν παρὰ τὸ δι᾽ αὐτῶν βαίνειν τὸ φλογῶδες.

Φλέγμα, παρὰ τὸ φλέγω φλέξω κατ᾽ ἀντίφρασιν. ψυχρότατον γάρ ἐστι. καὶ τὸ πικρὸν, φλέγμα λέγεται, οἷον χολή. ὅ τι δ᾽ ἀποκριθεῖσα πήγνυται. ἐν δὲ τῷ, Φλέγμα κακὸν φορεῖ ἰλιάδος φ, πύρωσιν καὶ φλόγωσιν σημαίνει. ἡ μεταφορὰ ἀπὸ τῶν ἑλκῶν τῶν διὰ φλεγμονὴν κινδυνευόντων ἐκρήγνυσθαι.

Φλεγραία, ὄρος θράκης. Φλεγύαι, ἰλιάδος ν. ἔστιν ὄνομα ἔθνους. οἱ καὶ γυρτώνιοι λέγονται.

Φλεγύας, ἔστιν ἀετός, ἀπὸ τοῦ φλέγειν καὶ λαμπρὸς εἶναι. οἱ δὲ ὄρνεον παραπλήσιον γυπί. ἡσίοδος ἀσπίδι. Μορφνοῖο φλεγύαο. τουτέστι μέλανος ἀετοῦ.

Φλεδὼν, καὶ φλεδωνεία, ἡ φλυαρία. ἀπὸ τοῦ φλέω, ὃ καὶ φλύω λέγεται, γίνεται φλεδών. καὶ φλεδωνεύω.

Φλεάσιον, τὸ φλιάσιον πεδίον.

Φλήναφος, μωρολόγος. φλύαρος. παρὰ τὸ φλέω, ὅπερ ταυτόν ἐστι τῷ φλύω. Ἀνὰ δ᾽ ἔφλυε καλὰ ῥέεθρα. οἷον ἀνάδοσιν καὶ ἀναπομπὴν ἐποίει τῶν ὑδάτων. γίνεται ὄνομα φλενός. ὡς δέω τὸ εὐλαβοῦμαι δενός καὶ δεινός. καὶ μεταθέσει τοῦ ε φληνός. εὐριπίδης παράγωγον ῥῆμα ἀπὸ τοῦ τοῦ ποιήσας, φησὶν ἐν ἱκέτισι. Πρὶν ἂν ἐκφληνώμεθα καὶ μαθεῖν λόγον. τὸ δὲ φληνός ὄνομα προσλαβὸν τὸ φῶ ῥῆμα δηλοῦν τὸ λέγω, ἀποδίδωσι ῥῆμα φληναφῶ, τὸ φλυαρίας λέγω. καὶ φλήναφος, ὁ φλυαρίας λέγων. καὶ φληνάφου πράγματα, λήρου. λοιδόρου. ὕθλου. πολλάκις δὲ τὰ σύνθετα τρέπουσι τὸ ο, εἰς α. ὡς κυνόμυια, κυνάμυια. ποδάνιπτρα, ποδάνιπτρα.

Φλιά, τὸ πλάγιον τῆς θύρας. αἱ παραστάδες, ἐν ᾧ ἵσταται ἡ θύρα καὶ ἐπερείδεται. ἐκ τοῦ θλίβω θλίψω, θλιὰ καὶ φλιά, ὡς θηρσί, φηρσί. διὰ τὸ στενὸν τῆς ὀδοῦ.

Φλιδόωσα, διερρωγυῖα. νίκανδρος. ἔνθα τὴν φλιοῦντα παρὰ ξενοφῶντι ἀρσενικῶς, ἀττικῶς.

Φλιὰ μιμητικὸς ἦχος τῶν γαμψωνύχων.

Φλόξ. παρὰ τὸ φλέγω, φλέξω, φλὲξ καὶ φλόξ.

Φλογμός, καῦμα ἐκ πυρακτώσεως.

Φλόγεα, λαμπρά. πυρώδη. παρὰ τὸ φλέγω.

Φλόνος, λοχμώδες φυτὸν, ὧν τὰ ἐλλυχνίου ἔχει δύναμιν.

Φλοιός, τὸ καλούμενον λέπος. παρὰ τὸ φλοῦς, φλοὸς καὶ φλοιός. ἢ παρὰ τὸ φλῶ τὸ ἀναπέμπω καὶ ἀναδίδωμι, φλεός. ὁ φλοιός.

Φλοῖσβος, τάραχος. ὠνοματοπεποίηται δὲ ἡ λέξις. παρὰ τὸ φλέω τὸ ἀναβράζω, φλόβος καὶ φλοῖβος. καὶ πλεονασμῷ τοῦ σ, φλοῖσβος. ἢ παρὰ τὸ φλοίζω φλοισμός. ἀποβολῇ τοῦ γ, φλοισμός. συναιρέσει, φλοῖσμος. καὶ τροπῇ, φλοῖσβος κατ᾽ ἀντίφρασιν ἡ μὴ φλέγουσα.

Φλύαρος, μωρολόγος. παρὰ τὸ φλύω. οὕτω περ ζέων τοῖς λόγοις, καὶ ἀναπέμπων ἀκρίτως τὰ ῥήματα. φλύειν τὸ ἀναζεῖν. ἔνθα ἡ ἐκθερμότης ἀνάζεσις λέγεται φλυκτίς. καὶ ἀνὰ δ᾽ ἔφλυε, τὸ ἀνέζεε. καὶ φλύκταιναι, αἱ συνιστάμεναι φῦσαι ἐν τῷ ὕδατι τοῦ ὑετοῦ.

Φλῶ, τὸ γέμω, καὶ εὐκαρπῶ. καὶ φλεὺς, ὁ διόνυσος ἐν χίῳ παρὰ τὸ εὐκαρπεῖν.

Φνεί. Διγγινώσκειν, ὅτι οὐδέπω τελέξις ἑλληνικὴ ἄρχεται ἀπὸ τοῦ φ καὶ ν. τὸ γὰρ φναίτης ὄνομα παρ᾽ αἰγυπτίοις, βάρβαρον. τὸ δὲ φνεὶ, ἐπίτηδες εὑρημένον παρὰ ἀριστοφάνει. μίμημα ὀρνέων φωνῆς. λέγουσι δέ τινες ὅτι τὸ φνεὶ οὐκ ἄρχεται ἀπὸ τοῦ φ ν, οὐκ ἔστι γὰρ φνεὶ ἡ λέξις, ἀλλὰ τὸ φνεὶ τοῦ τὸ μὴ ὄντος ὅλου, ἀλλὰ μέρος τῆς λέξεως. καὶ δῆλον ἐκ τοῦ μὴ εὑρίσκεσθαι αὐτὸ χωρὶς τοῦ το, παρὰ τισί. χοιροβοσκός.

Φοῖβος, ἀπόλλων. καθαρός. ἁγνός. ἢ μάντις. καὶ ἀμίαντος. φοιβὸ οἶκος τίς ὤν. ὁ φοιβηνοῖς χρώμενος, ὅ ἐστι καθαροῖς. ἢ φάοβος, παρὰ τὸ φάος, καὶ τὸ βίος. ὁ καθαρὸν βίον ἔχων. ἢ ὁ καθαρὸν βίον ἔχων, ἤγουν ἀργυρότοξος. ἢ ἀπὸ φοίβης μάμμης νομικῶς. ὡς ἡσίοδος.

Φοῖβαι, αἱ καθαραὶ καὶ λαμπραὶ τρίχες. παρὰ τὸ φοῖβος.

Φοιβάζω, σημαίνει τὸ λαμπρύνω. καὶ φοιβᾶσα, τὸ λαμπρύνουσα. παρὰ τὸ φοῖβον, τὸ καθαρὸν καὶ λαμπρόν. καὶ φοιβᾶσθαι, τὸ λαμπρύνεσθαι. ἢ φοῖβος, παρὰ τὸ τὰς φοίβας τὰς κόμας. ἢ παρὰ τὸ φοιβάναι τὸ καθάραι. ὡς τὸ, Φοιβανάτω δ᾽ ἐστὶ σάμινθον. ἢ παρὰ τὸ φοιβάζειν, ἤγουν μαντεύεσθαι. ὅθεν οἱ, Δαφνηφάγον φοίβαζε ἐκλαιμένων ὄπα.

Φοιβάδαι, ἔχει τὸ ι. ἀπὸ δὲ τοῦ φοιβαίδης ἐστί.

Φοίνικες. πρότερον οἱ φοίνικες ᾤκουν πρὸς τῇ ἐρυθρᾷ θαλάσσῃ. καὶ ἐντεῦθεν αὐτοῖς τοὔνομα. φοινικοῖ γὰρ τὴν χροιὰν ἀπὸ τῶν παρακειμένων αὐτοῖς πετρῶν οὐσῶν. διὸ καὶ ἐρυθρὰ λέγεται. ἐντεῦθεν μεταστάντες τῆς συρίας τὰ παραθαλάσσια κατασχόντες, ὁμοίως ἐκαλοῦντο φοίνικες, οὐκέτι ἐπωνύμως, ἀλλὰ παρὰ τὸ φοινὸν, ἤγουν τὸ ἐρυθρὸν καὶ πυρρόν. ὅμηρος, Πᾶσι δὲ παρήϊον αἵματι φοινόν. ἔστι καὶ παρώνυμον, ἐκ τοῦ φοινὸς φοῖνιξ τὸ ἐθνικόν. ἔνθα καὶ τὸ μὲν ἀπὸ τέσσων φοῖνιξ ἦν. σημαίνει δὲ καὶ μουσικὸν ὄργανον. διὰ τὸ ὑπὸ φοινίκος εὑρεθῆναι.

Φοινίκη, πόλις ἀπὸ φοίνικος τινὸς τοὔνομα λαβοῦσα.

Φοίνιξ, παρὰ τὸ φόνος. φόνιοι γὰρ οἱ φοίνικες, καὶ λῃστρικοὶ τὸν τρόπον. δύναται δὲ καὶ ἀπὸ τοῦ φυτοῦ λαμβάνεσθαι, διὰ τὴν τῶν στελεχῶν ὀξύτητα. αἱμάσσουσι γὰρ καὶ φοινίσσουσι τοὺς ἁπτομένους αὐτῶν. ἐντεῦθεν οἱ δίκαιοι εἰς τοῦτο παρεικάζονται, διὰ τὸ λόγοις ἐγκαρπίας καὶ σωφροσύνης ὀξύνειν καὶ λεπτύνειν τὸν νοῦν. ἐκ δὲ τούτου καθαίρειν.

Φοινικοῦν, ἐρυθρὸν, πυρρόν. ἢ τὸ μέλαν. γίνεται παρὰ τὸ φοινίσσω τὸ βάπτω. ἢ παρὰ τὸ φοινόν. τοῦτο παρὰ τὸ φόνος. πλεονασμῷ τοῦ ι καὶ καταβιβάσει τοῦ τόνου φοινός, ἤγουν πυῤῥός. φόνιος, ὁ φονοδάκ.

Φοινίξω, αἱμάξω. βάψω. πυῤῥώσω. ἀπὸ τοῦ φόνου, ἢ τοῦ φοίνικος, ὅτι πυῤῥός.

Φοινίττω, βάπτω αἵματι.

Φοινικήϊα γράμματα, ἀπὸ φοίνικος τοῦ ἀγήνορος τοῦ εὑρόντος αὐτά.

Φοινικολόφου, ξανθολόφου.

Φοινικικὸν, τὸ ψεῦδος. ἀπὸ τῶν κατὰ τὸν δράκοντα καὶ τοὺς σπαρτοὺς καὶ τὸν κάδμον ψευδῶς λεγομένων.

Φοιτητής, ὁ μαθητὴς καὶ ὁ διδάσκαλος. ἐκ τοῦ φοιτῶ, φοιτήσω. σημαίνει τὸ ὁρμῶ. γίνεται παρὰ τὴν πρὸ πρόθεσιν καὶ τὸ εἶ τὸ πορεύομαι. ῥηματικὸν ὄνομα ἴτης, προΐτης, προϊτῶ. καὶ συναιρέσει προιτῶ. καὶ ἐκβολῇ τοῦ ρ, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ φοιτῶ. ἢ παρὰ τὸ ὁδὸς ὁδῶ. πλεονασμῷ τοῦ ι, οἰδῶ. τροπῇ τοῦ δ εἰς τ, οἰτῶ. καὶ πλεονασμῷ τοῦ φ, φοιτῶ. σημαίνει δὲ τὸ ὁρμῶ, καὶ παραγίνομαι. ὅθεν τὸ φοῖτα.

Φόβος, παρὰ τὸ φέβω φόβος. εἴδη τῶν ὑποπεπτωκότων τῷ ὀνόματι γενικοῦ. εἴδη δὲ αὐτοῦ ἕξ.

Φοβερός, ὁ φοβούμενος παρὰ θουκυδίδῃ.

Φοβεσιστράτη, ἀθηνᾶ, ἡ φυγὴν τοῖς πολεμίοις ἐμποιοῦσα.

Φόβη, ἡ θρίξ. παρὰ τὸ φοβεροὺς εἶναι τοὺς κομῶντας. οἱ γὰρ παλαιοὶ τῶν ἀνθρώπων, οὕτω φοβερὰν ἐνόμιζον εἶναι τὴν κόμην, ὥστε φόβην αὐτὴν προσηγόρευσαν.

Φολκός, στραβός. παρὰ τὸ τὰ φάη ἐφέλκεσθαι.

Φολίς, καὶ φολίδες, αἱ λεπίδες τοῦ ὄφεως. ἐκ τοῦ λεπίς. ὑπερθέσει πολίς. καὶ μεταθέσει τοῦ φ, φολίς. καταχρηστικῶς δὲ λέγεται καὶ τὰ μικρὰ πτερά. τούτοις γὰρ ἐοίκεσαν. καὶ φολιδωτὸν, λεπιδωτόν.

Φόνος, παρὰ τὸ φῶ τὸ φονεύω φένω. καὶ ἐξ αὐτοῦ φόνος. ἀπὸ τῆς φυσήσεως, καὶ τοῦ ἤχου τοῦ γινομένου ἐν τῇ χύσει τοῦ αἵματος.

Φοναῖν, συζυγίας δευτέρας. σημαίνει τὸ ἀποκτεῖναι ἐπιθυμεῖν. ἐρίμως ἔχειν πρὸς τὸ φονεύειν. ἀπὸ τοῦ φονή, ὃ σημαίνει τὸν τόπον ὅπου οἱ νεκροὶ κεῖνται.

Φόνος ἔῤῥευσεν, αἷμα ἔῤῥευσε.

Φοξῖνος, ἰχθὺς εὐθέως γεννώμενος ἔχων κύημα. τίκτει δὲ ἐν ταῖς προλίμναις τῶν ποταμῶν, ὡς ἀριστοτέλης.

Φοξός, ὀξυκέφαλος. ὁ διεστραμμένος τὰ φάη. εἴρηται δὲ ἀπὸ τῶν κεραμικῶν ἀγγείων τῶν ἐν τῇ καμίνῳ, ἀπὸ τοῦ φωτὸς καὶ τοῦ πυρὸς ὠξυμμένων. καθὰ φησὶ καὶ σιμωνίδης. Αὐτὴ δὲ φοξίχειλος ἀργείη κύλιξ. ἔνιοι δὲ κυρίως τὸν κατὰ τὰ φάη τουτέστι τὰ ὄμματα ἀποξυμμένην ἔχοντα τὴν κεφαλήν. ἀμφοτέρων, τὸ πρότερον.

Φορβάδων, νομάδων. βοσκομένων.

Φορβαντεῖον, εὐριπίδης ἐν τῷ κατὰ πατροκλέους ὠνομάσθαι λέγει ἀπὸ φόρβαντος βασιλεύσαντος κουρήτων. καὶ ὑπὲρ ἐρεχθέως ἀναιρεθέντος.

Φορὰ, ἡ κατὰ ὅλου τόπου ἐναλλαγή. καὶ μάλιστα ἡ μὴ δυναμένη ἐφ' ἑαυτῆς στῆναι ὅταν θέλῃ. καὶ φοράδην, τὸ ὁρμητικῶς φέρεσθαι.

Φορβειὰ, τὸ ἐπιστόμιον. καπίστριον. ἀπὸ τοῦ φέρειν βία.

Φορβὴ, ἡ τροφή. παρὰ τὸ βῶ τὸ τρέφω, βορβὴ καὶ φορβή.

Φορίνη, ἀντὶ τοῦ φορητή, ὅτι ἐπὶ ἀνθρωπίνου δέρματος ἐλέγετο ἡ φορίνη.

Φόρκυν, παρὰ τὸ φέρειν καὶ ὁρμᾶν τὰς ὁλκάδας ἐν αὐτῷ, ἤγουν τὰς ναῦς ἐν τῷ λιμένι.

Φόρκυς, δαίμων θαλάσσιος. παρὰ τὸ φέρεσθαι ὠκέως. τὸ δὲ φόρκυν, τῆς κλίσεως ἐπιδέχεται. σημαίνει δὲ β. τὸν λιμένα,

Φόρμιγξ, ἡ κιθάρα. παρὰ τὸ προηγεῖσθαι καὶ ὄνομα κύριον τῆς οἴμης. προοίμιγξ. πρῶτον γὰρ ἐκιθάριζεν ὁ ἀπόλλων, εἶτα ἐπῆγον τὴν ᾠδὴν αἱ μοῦσαι. καὶ φορμίζειν, τὸ κιθαρίζειν.

Φόρτος, παρὰ τὸ φέρω φέρτος καὶ φόρτος.

Φόρτατον. Κακῶν δέ κεν φόρτατον εἴη. ἰλιάδος ρ. τῶν δὲ παρόντων κακῶν τοῦτο ἂν εἴη ἄριστον. ἢ ἐκ πολλῶν τῶν προγεγονότων κακῶν τοῦτο τὸ ἄμεινον γένοιτο. γίνεται δὲ καὶ φέρτατον. κάλλιον.

Φορμίσκοι, καλαθίσκοι. πλεκτὰ ἀγγεῖα. ἀπὸ τοῦ φορμός, ὅ ἐστι προκάλυμμα, ἢ πλεκτὸν ἀγγεῖον ἐκ φλοιοῦ, ἐν ᾧ εἰώθεσαν ἰσχάδες κομίζεσθαι. ἢ κόφινον σημαίνει. παρὰ τὸ φέρω, φορμός. ἡ σποδός. Οἴσεις δ' ἐν φορμῷ.

Φορμηδὸν, κοφινηδόν. φορμός κόφινος ἐστὶ πλέγμα τινὸς μεγάλου εἴδους, ἐν ᾧ ἐκοιμῶντο οἱ πλέοντες, ἢ κατετίθεντο τὰ ὄσπρια. τάχα δὲ ἡ καλουμένη νῦν καλύβη. ἡ πλεκομένη ἀπὸ καλύβης. ἐκ τούτου δὲ καὶ τὸ φορμηδόν.

Φορύνετο, ἐμολύνετο. ἐφύρατο τῷ αἵματι. ἐξ οὗ τὸ αἱμοφορυκτά.

Φραδέος νόου, φρονίμου.

Φορυτῷ, τῷ ἀπὸ τῆς γῆς αἰρομένῳ ὑπὸ τῶν ἀνέμων χόρτῳ φρυγανώδει. ἀπὸ τοῦ φορύω. τοῦτο παρὰ τὸ φέρω, ἢ φορῶ.

Φραγελλῶ, ἐκ τοῦ φραγέλλιον, ὃ σημαίνει σειρὰν ἐκ σχοίνου πεπλεγμένην, ἢ κέκληται μάστιξ. γίνεται δὲ ἐκ τοῦ ἔθνους. φράγελλοι γὰρ ἔθνος ἰταλίας.

Φράδμων, ἐπιστήμων. συνετός.

Φράζω, παρὰ τὸ φῶ τὸ προΐω, ὡς βῶ βάζω. τῶν γὰρ νοηθέντων, ἔκδοσιν καὶ δεῖξιν διὰ τοῦ φράζειν ποιούμεθα. ἐκ τούτου τὸ ἐπιφρασσάμενος, ἀντὶ ἐπισκεψάμενος. ἐπινοήσουσι. μάθωσιν. ἐκ τοῦ φράζω, φράσω, ἔφρασα, ἐφρασάμην. εἰς τὸ δευσοίαν. ἢ παρὰ τὸ φῶ τὸ λέγω φάζω. καὶ πλεονασμῷ τοῦ ρ, φράζω. καὶ συμφράσσατο ἀόριστος παθητικός, ἀντὶ συνεσκέψατο. σημαίνει δὲ δύο. τὸ θεᾶσθαι καὶ βλέπειν. ὡς τὸ, Τὸν δ' ἔφρασε προσιόντα. σημαίνει δὲ καὶ τὸ διανοεῖσθαι. ὡς τὸ, Φράζεο τυδείδη καὶ χάζεο. παρὰ δὲ τῇ κοινῇ συνηθείᾳ, σημαίνει τὸ λέγω. Ὁποῖον σου τὸ φώνημα ὦ εὐστράτιε φράσον ἡμῖν.

Φράτρες, διδάσκαλοι, ἢ πατέρες, ἢ συγγενεῖς. οἶμαι παρὰ τὸ φρατρία. ἢ παρὰ τὸ φράζω. φρατρία γάρ τὸ τρίτον μέρος τῆς φυλῆς. φράτορες δὲ, οἱ τῆς φρατρίας μετέχοντες. καὶ φρατριάζειν, τὸ τῆς αὐτῆς φρατρίας μετέχειν. φρατρίαρχος δέ ἐστιν, ὁ τῆς φρατρίας ἄρχων.

Φράτηρ, παρὰ τὸ πατήρ. πλεονασμῷ τοῦ ρ, καὶ τροπῇ τοῦ π εἰς φ.

Φρεάριος, δῆμος τῆς λεοντίδος.

Φρέαρ, παρὰ τὸ φλῶ τὸ ἀναδίδωμι. ἢ παρὰ τὸ φέρω, συγκοπῇ φρῶ, φρέαρ, ὡς θείνω, θέναρ. ἐξ οὗ φέρεται τὸ ὕδωρ.

Φρενήρης, φρόνιμος, ἢ παράφρων.

Φρεωρύχος, φρεατορύκτης.

Φρὴν. παρὰ τὸ προΐω τὸ προπέμπω, συγκοπῇ πρῶ, καὶ φρῶ. ἐξ οὗ φρὴν, ἀφ' ἧς προΐεται τὰ βουλεύματα. διὰ τί σεσημείωται φρὴν φρενός. οὐδὲν εἰς ην λῆγον ὄνομα μονοσύλλαβον, μόνως ἐπὶ θηλυκοῦ. ἀλλ' εἰ ἐπιδέχεται τὸ θηλυκὸν γένος, ἐν κοινότητι ἐπιδέχεται. οἷον ὁ χὴν, καὶ ἡ χήν. ὁ ῥὴν, καὶ ἡ ῥήν, σημαίνει δὲ τὸ πρόβατον. τὸ δὲ φρὴν, διήλλαξε.

Φρήτρηφι. ἐστὶ φρατρία. πλεονασμῷ τοῦ ρ, φρατρία. καὶ συγκοπῇ καὶ ἐκτάσει γίνεται φρήτρη. δεῖ δὲ γινώσκειν, ὅτι ταῦτα ἔχει τὸ ι προσγεγραμμένον. τινὲς δὲ βούλονται γράφειν αὐτὰ, χωρὶς τοῦ ι. λέγοντες, ὅτι αἱ ἐπεκτεινόμεναι πτώσεις διὰ τῆς φι συλλαβῆς, αἱ μὲν ἔχουσιν ἐν φωνῇ κατὰ τὴν λήγουσαν φυλάττουσιν αὐτό. αἱ δὲ β ἀποβάλλουσι τοῦτον. ἕτεροι δὲ συνηγοροῦσι τῇ παραδόσει. ἡ γὰρ παράδοσις ταύτας τὰς δοτικὰς σὺν τῷ ι οἶδε γράφειν. λέγουσι γὰρ ὅτι αἱ διὰ τοῦ φι ἐπεκτάσεις προσερχόμεναι ταῖς πτώσεσιν, αἱ μὲν φυλάττουσι τὴν αὐτὴν φωνὴν, καὶ τὴν αὐτὴν γραφὴν φυλάττουσιν. αἱ δὲ μὴ φυλάττουσι τὴν αὐτὴν φωνὴν οὐδὲ τὴν αὐτὴν γραφὴν φυλάττουσι. δεῖ δὲ γινώσκειν, ὅτι αἱ διὰ τοῦ φι ἐπεκτάσεις κατὰ πᾶσαν πτῶσιν γίνονται. ἐν τῇ εὐθείᾳ. οἷον, Ὀδὸς δ' ἔτ' ἦρ' ἶφι παρελθεῖν. ἐν γενικῇ, οἷον, Πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκός. ἐν δοτικῇ. βίη, βίηφι. ἐν αἰτιατικῇ. οἷον, Ἐπὶ δὲ ξιόφι πάντες στρατοῦ. καὶ ἐν κλητικῇ, ὦ οὐρανία, λιγαίων. καὶ οὐρανιόφι. αὗται δὲ αἱ διὰ τοῦ φι ἐπεκτάσεις τὸ αὐτὸ μέρος τοῦ λόγου φυλάττουσι χωρὶς τοῦ νόσφι καὶ ἶφι. ταῦτα γὰρ μετῆλθον εἰς ἐπιῤῥηματικὴν σύνταξιν. χοιροβοσκός.

Φρητός. Ἰστέον ὅτι τὰ ἀπὸ δισυλλάβου γενικῆς συναίρεσιν πάσχοντα, βαρύνονται. κέαρος, κῆρος. ἔαρος, ἦρος. σεσημείωται τὸ φρητὸς ὀξυνόμενον ἀπὸ τοῦ φρέατος κατὰ κρᾶσιν. ὤφειλε γὰρ βαρύνεσθαι. οὐ δὲ γὰρ δυνάμεθα λέγειν ὅτι ἐπὶ τούτου ἐν τῇ εὐθείᾳ ἐγένετο ἡ κρᾶσις, κἀκεῖθεν ἡ κλίσις. οὐ δὲ γὰρ εὕρηται ἡ φρὴρ εὐθεῖα ἐν χρήσει. ἔστιν οὖν εἰπεῖν, ὅτι ἡ φρητὸς γενικὴ, συνεξεδόθη κατὰ τὴν κρᾶσιν τῇ κρητὸς, καὶ σητὸς, καὶ θητὸς γενικῇ. χοιροβοσκὸς εἰς τὸ περὶ τοῦ τόνου τῆς γενικῆς.

Φρίκη, τρόμος. παλμός. ἀπὸ τοῦ φρίσσω.

Φρὶξ, ἡ ἄνωθεν καὶ ἐξ ἐπιπολῆς τῶν κυμάτων κίνησις. ἢ ὁ ἐπιπολάζων τῷ κύματι ἀφρός, ὅτε ἄνεμος ἄρχεται πνεῖν. ἀπὸ τοῦ φρίσσω φρίξω, ἀποβολῇ τοῦ ω. καὶ ἐπιφρὶξ, ἡ ἐπανάστασις τῶν κυμάτων. ἢ τὸ ἐπιπολάζον τῷ κύματι ἀφρῶδες ὅταν ἄνεμος ἐγερθῇ. ἡ αἰτιατικὴ, τὴν φρίκα. καὶ σημαίνει τὴν ἐπιφάνειαν τοῦ κύματος.

Φριξότριχα, ὀρθοῦντα τὰς τρίχας.

Φρίσσειν, κυρίως τὸ ἐξορθοῦν τὰς τρίχας. οἷον, θρίσσω κατὰ τροπήν. φρίσσει δέ τις φόβῳ, ἢ ψύχει, ἢ ὀργῇ. ἐμψύχως οὖν τὰς φάλαγγας φρίσσειν φησί.

Φριμασσομένη, χρεμετίζουσα ἀγριουμένη, ἢ ἀτάκτως πηδῶσα. καὶ φριμαγμός, ὁ χρεμετισμός παρὰ λυκόφρονι. καὶ φριμασσόμενοι τε τῷ ταράχῳ, καὶ ἀποφυσῶντες. καὶ φυασσόμενοι. φυσῶντες. παρὰ τὸ φυάζω φυάξω, φυαγμός. πλεονασμῷ τοῦ μ, φυμαγμός.

Φρονεῖν, σημαίνει καὶ τὸ νοεῖν, καὶ τὸ φρόνημα ἔχειν. καὶ φρονηματισθῆναι ὑπὸ ἴδης.

Φρόνησις, ἡ φέρουσα ὄνησιν. φερόνησίς τις οὖσα. καὶ συγκοπῇ, φρόνησις.

Φρόνις, ὅμηρος. Κατὰ φρόνιν ἤγαγε πολλήν. ὁ μὲν ἡρωδιανός, παρὰ τὴν φρόνησιν κατὰ συγκοπήν. ὁ δὲ ὧρος ἐκ τῆς φρὼν φρονὸς γενικῆς, γίνεται φρόνις. καὶ ἡ αἰτιατικὴ, φρόνιν. τὸ δὲ φρὼν, γίνεται ἐκ τοῦ φρῶ. ὅθεν ἄφρων καὶ σώφρων. ἡ γενικὴ, φρονός. οὗ παράγωγον φρόνιμος. καὶ τὸ φρονῶ ἐξ αὐτοῦ.

Φροντὶς ἐκ τοῦ φέρω φορτίς. ὑπερβιβασμῷ καὶ πλεονασμῷ τοῦ ν, φροντίς. δίκην γὰρ φόρτου ἔγκειται ἡ φροντὶς ἐν τῇ ψυχῇ. εἰς τὸ ἀφρόντιστον.

Φροντιστήριον, διὰ [illegible] μοναστήριον. ὅπερ ἀττικοὶ σεμνεῖον καλοῦσι.

Φροῦδοι, παντελῶς ἀφανεῖς. ἔρημοι. οἷον ἀπεληλυθότες. ἔκδημοι. ἐκ τοῦ ὁδὸς καὶ τῆς πρὸ προθέσεως, γίνεται πρόοδος. καὶ κατὰ συναλοιφὴν, προῦδος, καὶ φροῦδος. ὡς προίμιον, φροίμιον. οἱονεὶ ὁ προπορευόμενος καὶ γενόμενος ἀφανὴς ἤγουν ὁ μὴ φαινόμενος. ὁ μακρὰν γενόμενος, καὶ οἷον εἰς τὸ ἔμπροσθεν τῆς ὁδοῦ. ἀντὶ ἐκποδών. καὶ φροῦδα τὰ ἀφανῆ καὶ ἄφαντα.

Φρουρός, ὁ προορῶν. παρὰ τὸ προορᾶν. φρούριον δὲ σημαίνει τὸ κάστρον, οὐκ ἀπὸ τοῦ φρουρός, φρουρεῖον γὰρ ἂν ἦν, ὡς ἰατρὸς ἰατρεῖον, ἀλλ' ἀπὸ τοῦ φρουρᾶς.

Φρύαγμα, ἡ τῶν ἵππων καὶ ἡμιόνων διὰ μυκτήρων ἠχὴ ἀγρίῳ φυσήματι ἐκπίπτουσα. λέγεται δὲ καὶ ἀντὶ τῆς γελάσεως. ἀπὸ τοῦ φρυάσσω. τοῦτο παρὰ τὸ ὀφρῦς ὀφρυάσσω. κατὰ ἀποβολὴν τοῦ ο, φρυάσσω. καὶ φρυαττόμενος, ἐπαιρόμενος. καὶ φρυάττεσθαι, τὸ καταπλήττεσθαι. μένανδρος.

Φρύγανα, τὰ εἰς τὸ καίειν καὶ φρύγειν ἐπιτήδεια.

Φρυγία κοινόν. φρυγικὸν ἰωνικόν. τὰ ἀπὸ τῶν εἰς ξ ἢ εἰς ρ λήγοντα διὰ τοῦ ια παραγόμενα θηλυκὰ, διὰ τοῦ ι γραφόμενα, προπαροξύνεται. πλὴν τοῦ ἀνθρακιά. ἐκ τοῦ φρὺξ φρυγός ἀντὶ χώρας.

Φρυκτωρεῖν, κυρίως τὸ διὰ πυρὸς ἀνατεινομένου σημαίνειν. ἐκ τοῦ πῦρ πυρὸς, καὶ τοῦ ὠρῶ τὸ φυλάσσομαι, γίνεται πυρκτωρία. καὶ κατὰ ὑπέρθεσιν τοῦ ρ, καὶ τροπῇ τοῦ π εἰς φ, φρυκτωρία. ἔστι δὲ ἡ παρ' ἡμῖν λεγομένη βίγλα. ἢ φανός. ἢ λαμπάς. ἢ καῦσις. παραφυλακὴ νυκτερινὴ, ἡ διὰ τοῦ πυρὸς φυλακή.

Φρυνέος, δηλονότι φρῦνος. φρυνέος πλεονασμῷ τοῦ ε. εἶδος βατράχου. παρὰ τὸ ἐμφερὴς εἶναι πρὸς τοὺς ἄλλους. ἢ ἀπὸ τοῦ φέρεσθαι ἀπὸ τῆς λιμνώδους φύσεως ἀντὶ τοῦ χερσαίου.

Φρυνώνδας, ὄνομα κύριον. ἦν δὲ ἀθηναῖος. περιβόητος ἐπὶ πονηρίᾳ. οὐδὲν ἧττον εὐρυβάτου. ἐκ τούτου τοὺς πονηροὺς φρυνώνδας καλοῦσι.

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ ΧΙ ΣΤΟΙΧΕΙΟΥ

Χῖ τὸ στοιχεῖον, ὅτι χεομένην ἔχει τὴν ἐκφώνησιν. ἄλλοι δὲ χῖ αὐτὸ εἶπον, ὅτι ἔχει ὀξεῖαν καὶ βαρεῖαν ἀλλήλας κατὰ μέσον σχιζούσας.

Χαβρίας, στρατηγὸς ἀθηναίων. ὡς φαίνω φανίας, ἀμύνω ἀμυνίας, οὕτω χαίρω χαιρίας. καὶ πλεονασμῷ τοῦ β, χαβρίας.

Χάλα. Χάλα τὸ κεῦσιν, ὑπεχώρει, καὶ ἐνδίδου. ἀπὸ μεταφορᾶς τῶν χαλωμένων προτόνων, πολλοῦ ὄντος ἀνέμου ἐν τῷ ἁρμένῳ τοῦ πλοίου.

Χαλεπῶς, δυσκόλως. ἀπὸ τοῦ χαλέπτω. οἷον, Χρυσὲ κακῶν ἀρχηγὲ βιοφθόρε πάντα χαλέπτων. ἐκ δὲ τοῦ χαλέπτω, χαλεπταίνω γίνεται καὶ χαλεπαίνω. σημαίνει δύο. τὸ δεινόν, ὡς τό, Χαλεπὸς δὲ Διὸς μεγάλοιο κεραυνός. σημαίνει καὶ τὸ ἀδύνατον ὡς ἐν Ὀδυσσείας κ. Χαλεπὸν δέ κ' ὀρύσσειν ἄνδρα θνητόν.

Χάλαζα, παρὰ τὸ χαλῶ. ἡ ἐκ τοῦ ἄνω πρὸς τὰ κάτω χαλωμένη.

Χαλάστρη, καὶ χαλάστρα, πόλις ἢ λίμνη τις ἐν μακεδονίᾳ, ὅθεν ἔκαιον τὸ νίτρον. ἐξ ἧς τὸ χαλαστραῖον νίτρον κέκληται.

Χαλίφρων, κυρίως ὁ ἐν μέθῃ ἀφραίνων. χάλις γὰρ ὁ ἄκρατος οἶνος. παρὰ τὸ χαλᾶν καὶ ἀνιέναι ἀραρυίας τὰς φρένας. ἢ ὁ εὐήθης, παρὰ τὸ κεχαλᾶσθαι τὰς φρένας. καὶ τὰς βάκχας χαλιμάδας ἔλεγον, τὰς χαλωμένας πρὸς συνουσίαν. καὶ χαλιμάζειν ἔλεγον, τὸ περὶ τὰς συνουσίας πείθεσθαι. καὶ καγχαλίζειν, ἀπὸ τοῦ χαλᾶν τὰς φρένας πρὸς τὸ πάθος. καὶ ἀπὸ τοῦ χάλις ὁ οἶνος.

Χαλινός, χανινός τις ὤν. παρὰ τὸ χαίνειν. ὅτι δι' αὐτοῦ χαίνειν γίνεται. ἢ παρὰ τὸ ἰς ἰνὸς καὶ τὸ χαλῶ, τὸ πρὸς δύναμιν χαλώμενον. τὰ εἰς νος ὀξύτονα μὴ ὄντα παρώνυμα, διὰ βραχέος τοῦ ι γράφεται. πυκινός. ἀληθινός. τὸ χαλινὸς δὲ διὰ τοῦ ι γραφόμενον, τῷ χρόνῳ διήλλαξε. μακρὸν γὰρ ἔχει τὸ ι.

Χαλκός, κατὰ πρόθεσιν τοῦ χ δωρικῶς, ἀλκὸς καὶ χαλκός ἐπεὶ πρὸς ἀλκὴν εὔθετός ἐστιν. ἢ παρὰ τὸ ἔχειν ἀλκήν. ἢ χάλυβες ἔθνος εἰσὶ σκυθικὸν ἔνθα ὁ σίδηρος γίνεται. ἐκ τοῦ χάλυψ χάλυβος, γίνεται χαλβός. καὶ τροπῇ, χαλκός. ἐκεῖ γὰρ πρῶτον εὑρέθη ὁ σίδηρος καὶ διὰ τοῦτο ἐκλήθη χαλκὸς ὁ σίδηρος, διότι πρότερον εὑρέθη παρὰ τοῖς ἀρχαίοις ὁ χαλκός. ὕστερον δὲ εὑρεθεὶς ὁ σίδηρος, ἐκάλεσαν αὐτὸν ὁμωνύμως τῷ χαλκῷ. καὶ ὁ ποιητής. Χάλκεον ἔγχος. οὐ τὸ ἐκ χαλκοῦ, ἀλλὰ τὸ ἐκ σιδήρου τῇ παλαιᾷ συνηθείᾳ. ἐπειδὴ τὸ παλαιὸν χαλκῷ ἀντὶ σιδήρου τοῖς ξίφεσιν ἐχρῶντο καὶ τοῖς ἄλλοις ὅπλοις. ἡσίοδος. Χαλκῷ δ' εἰργάζοντο. μέλας δ' οὐκ ἔσκε σίδηρος.

Χαλκοτύποις, τὰς ἐκ σιδήρου πληγάς.

Χαλκεύς, χαλκέως, καὶ ὁ χρυσοχόος. οὕτως, Ἦλθε χαλκεὺς ὅπλ' ἐν χερσὶν ἔχων χαλκήϊα πείρατα τέχνης. ἀπὸ γὰρ τοῦ πρώτου φανέντος μετάλλου, πάντας τοὺς δημιουργοὺς ἐκάλουν οὕτως οἱ παλαιοί. ὡς καὶ τὸν ἥφαιστον ὅμηρος. Ὃν ποτε χαλκεὺς ἥφαιστος ποίησεν. ἰδίως παρατίθεσιν.

Χαλκήρης. ἐκ τοῦ χαλκὸς καὶ τοῦ ἄρω τὸ ἁρμόζω. ἡ τῷ χαλκῷ ἡρμοσμένη. ὡς χαλκοβάρεια ἡ τῷ χαλκῷ βαρυνομένη, ὅ ἐστιν ἰσχυρά.

Χάλκεια, ἑορτὴ ἀρχαία καὶ παλαιὰ δημώδης. ὕστερον δὲ ὑπὸ μόνων ἤγετο τεχνιτῶν, ὅτι ὁ ἥφαιστος ἐν τῇ ἀττικῇ εἰργάσατο. ἔστι δὲ ἕνη καὶ νέα τοῦ πυανεψιῶνος, ἐν ᾗ καὶ ἱέρειαι μετὰ τῶν ἀρρηφόρων τὸν πέπλον διάζονται. ἡρωδιανὸς δὲ λέγει ὅτι ἡ πλείων χρῆσις προπερισπᾷ.

Χαλκίς, τὸ ὄρνεον ὅτι ὑποχαλκίζει κατὰ τὴν χροιὰν τῆς πτήσεως. ἔστι δὲ καὶ πόλις εὐβοίας. ὠνόμασται δὲ ἀπὸ τῶν χαλκιδέων τῶν μετὰ ἀλεξάνδρου διαβάντων εἰς τὴν ἀσίαν καὶ κατασχόντων τὸ χωρίον καὶ μετονομασάντων.

Χάλυψ, ὄνομα ἐθνικόν. παρὰ τὸ χαλέπτω τὸ βλάπτω, χαλέψω.

Χαλκοχίτων. τὰ εἰς ων λήγοντα εἴτε μονοσύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβάς, ἐν τῇ συνθέσει ἀναβιβάζουσι τὸν τόνον. χθών, αὐτόχθων. χιτών, ἀστροχίτων. Πόλῳ ἀστροχίτωνι. λειμών, εὐλείμων. αἰών, μακραίων. χωρὶς εἰ μὴ τὴν ῥηματικὴν σχέσιν τινὰ σώζει, ὡς κοιτών, προκοιτών. θυρών, προθυρών.

Χαμάδις, χαμαὶ εἰς γῆν. ἔστι δὲ ἐπίρρημα τοπικὸν ἐκ τοῦ χαμαί. τὰ διὰ τοῦ αδις τρισύλλαβα ἐπιρρήματα, τὰ παραληγόμενα διὰ τοῦ ι γράφεται καὶ βαρύνεται. φυγάδις. οἰκάδις. σεσημείωται τὸ ὁμάδις ὀξύτονον.

Χαμᾶζε, διὰ τί προπερισπᾶται τοῦ κανόνος λέγοντος ὅτι τὰ εἰς ζε λήγοντα ἐπιρρήματα τῷ α παραληγόμενα, προπαροξύνεται. θύραζε. ἔραζε. ὅτι ἐκεῖνα μέν, ἀπὸ ὀνομάτων γίνονται. οἷον, θύραζε ἐκ τῆς θύρας. ἔραζε, ἐκ τῆς ἔρας καὶ ἀθήναζε, ἀπὸ ἀθήνας. τοῦτο δὲ ἀπὸ ἐπιρρήματός ἐστιν. ἀπὸ γὰρ τοῦ χαμαὶ γέγονε. καὶ ὥσπερ διήλλαξε πρὸς τὰ ἄλλα περὶ τὸ σημαινόμενον, διήλλαξε καὶ περὶ τὸν τόνον. ἢ ὅτι ἐκεῖνα μὲν βραχὺ ἔχει τὸ α. τοῦτο δέ, μακρόν. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς ζε ἐπιρρήματα συνεσταλμένον ἔχει τὸ πρὸ τέλους α. οἷον, θύραζε. ἔραζε. πλὴν τοῦ χαμᾶζε.

Χαμαί, ἢ παρὰ τὸ χῶ, ἢ παρὰ τὸ χθών, χθαμαί, καὶ χαμαί κατὰ ἀποβολὴν τοῦ θ.

Χαμαιπετής, χαμαὶ ἐρριμμένος.

Χαμεῦναι καὶ χαμευνάδες, χαμαὶ κοιμώμενοι.

Χαμαίζηλοι, ταπεινοί, ἢ δίφριοι κοιλώδεις.

Χαμεταιρίς, πόρνη.

Χαμαιτυπή, πόρνη ἄδοξος. καὶ χαμαιτυπεῖον, τὸ πορνεῖον.

Χαμεύνη, ταπεινὴ εὐτελὴς κλίνη καὶ στιβάς. καὶ χαμεύνια, κραββάτια ταπεινά.

Χανδόν, ἀθρόως ἀπλήστως. χωρητικῶς.

Χαράσσω, κατὰ πλεονασμὸν τοῦ χ. ἀπὸ τοῦ ἀρήσσω ἀράσσω. ἢ ἐκ τοῦ χαίρω τὸ τραχύνω, ὃ παρὰ τὸ χῶ, τὸ χαράσσω γίνεται.

Χαίρω, τὸ τραχύνω, ἢ χαλῶ. καὶ κάρχαρος κύων ἐκ τούτου. ὁμοίως δὲ καὶ τὰ σιδήρῳ τεμνόμενα καὶ χαρασσόμενα, ὀξυνόμενα γίνεται. ὅθεν καὶ χάρακας καλοῦμεν τοὺς ὠξυμμένους καλάμους, ἢ τὰ ξύλα.

Χάραξ. διαφέρει δὲ ὁ χάραξ καὶ ἡ χάραξ. τὸ μὲν γὰρ ἀρσενικῶς, σημαίνει τὸ στρατόπεδον, ἢ τειχισμόν τινα καὶ περίφραγμα καὶ χαράκωμα. θηλυκῶς δὲ ὁ τῆς ἀμπέλου.

Χάραξιν, ὀξέσι ξύλοις, ἢ καλάμοις, ἢ ἀκανθώδεσι φυτοῖς.

Χαράκωμα, περίφραγμα. τεῖχος. παρὰ τὸ χαρακῶ, χαρακώσω. τοῦτο παρὰ τὸ χάραξ ἀρσενικῶς.

Χαραδροῦται, ὀρύσσεται. κοιλαίνεται. χαράδραι γὰρ αἱ διαιρέσεις καὶ τὰ σχίσματα καὶ αἱ χείμαρροι τῆς γῆς. παρὰ τὸ χαράσσω.

Χαρακτήρ, ἡ σφραγίς. ὁ τὸ ὄνομα μετὰ τύπος.

Χάρις. παρὰ τὸ χαίρω, χαρῶ, χάρις. τὰ δὲ εἰς ις δισύλλαβα ἔχοντα πρὸ τοῦ ις ἀμετάβολον, ἐὰν κλίνηται διὰ τοῦ δ, ὀξύνεται. οἷον, γιγλίς. εἰ δὲ διὰ τοῦ τ, βαρύνεται. οἷον, χάρις χάριτος. σημαίνει μίαν τῶν θεῶν, ὡς τό, Χαρίτων μίαν ὁπλοτεράων. τὴν δωρεάν, ὡς τό, Ἐγὼ δέ κέ τοι ἰδέω χάριν. καὶ τὴν εὐπρέπειαν. ὡς τό, Ὣς μὲν τῷ περίχευε χάριν κεφαλῇ τε καὶ ὤμοις. εἰς τὸ αἱματόεις.

Χαρίεις, χαριέστερος. πᾶν ὄνομα εἰς εις λῆγον τὸ παρακείμενον συγκριτικὸν ἔχει πλεονάζον δύο συλλαβὰς τῆς εὐθείας. οἷον, χαρίεις χαριέστερος. τιμήεις τιμηέστερος. μορφήεις μορφηέστερος. τολμήεις τολμηέστερος καὶ τολμηεστάτη. οὐ γὰρ παρὰ τὸ τόλμη ἐσχημάτισται. ἀκοινώνητα γὰρ συγκρίσει πάντα τὰ θηλυκά. ἡμάρτηται δὲ παρ' ὁμήρῳ πλατάνιστος. ὑποθετικὸν γὰρ ἐστιν, ὡς κάκιστος. ἄριστος. ἔνιοι μέντοι γε παροξύνουσι λέγοντες εἶναι ὑποκοριστικὸν τὸ σχῆμα. καθὼς καλαμίσκος καὶ πυργίσκος. ἀγνοοῦντες ὅτι εἰ ἦν ὑποκοριστικόν, ἔδει διὰ τοῦ κ ἐκφέρεσθαι. τὸ δὲ ὀρέστερος, οὐκ ἀπὸ τοῦ ὄρους, ἀλλ' ἀπὸ τοῦ ὀρήεις ὀρηέστερος. καὶ κατὰ συγκοπήν. ἀπὸ γὰρ τῶν εἰς ος οὐδετέρων οὐδέποτε γίνεται συγκριτικόν. φιλόξενος.

Χαρίεν. τὴν τρίτην ἀπὸ τέλους ὀξύνει ἡρωδιανός.

Χαριεντιζόμενοι, εὐτραπελευόμενοι. σκώπτοντες. καὶ ἀριστοφάνης. Χαριεντίζεις καὶ καταπαίζεις ἡμῶν καὶ βωμολοχεύῃ.

Χαρίζεσθαι, κοινῶς μέν, ὡς οἱ πολλοί. ἰδίως δέ, καὶ ὡς ὑπὸ ἀφροδισίων. ἢ ὑπὸ τοῦ ἐν λόγῳ ὑποκατακλίνεσθαι.

Χάρμα, χαρά. ἡδονή.

Χάρμη, μάχη. κατ' εὐφημισμόν. ἐφ' ᾗ οὐδεὶς χαίρει.

Χάρτης, παρὰ τὸ χῶ τὸ χωρῶ. ἀφ' οὗ καὶ τὸ χάζω γίνεται παράγωγον χαίρω, οὐχ ὑπὸ τῆς χαρᾶς. χάρτης ὁ χωρητικὸς τῶν ἐγγραφομένων. ἢ παρὰ τὸ χόρτος.

Χάρυβδις, ἡ ἀναπινομένη θάλασσα περὶ τὰ γάδειρα. καὶ πάλιν ῥᾳδιαιτέρως ἐπαναστρέφουσα. εἴρηται δὲ παρὰ τὸ εἰς χάος καὶ ὄλεθρον κατάγον. οἱονεὶ εἰς χάος βαῖνον.

Χάρων, ὁ λέων, ἀπὸ τῆς χαροπότητος.

Χαροπός, περιχαρής. εὐόφθαλμος. ἐξ οὗ χαροπή.

Χατίζεις, σημαίνει τὸ χρῄζεις. παρὰ τὸ ἔχειν αἰτεῖν. ὁ γὰρ χρῄζων, ἃ οὐκ ἔχει αἰτεῖ. ἢ ἐκ τοῦ αἰτῶ τὸ ζητῶ καὶ χρῄζω. ἀποβολῇ τοῦ ι γίνεται ἀτῶ. πλεονασμῷ τοῦ χ, χατῶ. καὶ κατὰ παραγωγήν, χατίζω. ἢ ἐκ τοῦ ματῶ γίνεται ματίζω. καὶ τροπῇ.

Χαυλιόδων, κεχαλασμένους ἔχων τοὺς ὀδόντας, ἐξέχοντας. ἢ κατὰ ἐναλλαγὴν τοῦ ρ εἰς τὸ λ. ὁ χαράσσων τοὺς ὀδόντας καὶ τραχύνων. Χαῦνος, παρὰ τὸ χαίνω χανός, ὡς φαίνω φανός. καὶ πλεονασμῷ τοῦ υ, χαῦνος. ὁ κεχηνὼς καὶ ἄπυκνος.

Χάνωνας, ἄρτους ἐλαίῳ ἀναφυραθέντας κριθίνους, ἢ λάχανα ὀπτά.

Χαῖον ἀργύρεον. ἀπολλώνιος. Χαῖον παλάμῃ ἐνὶ πηχύνουσαι. χαῖον οἱ μέν, καμπύλην βακτηρίαν. οἱ δέ, ῥάβδον. οἱ δέ, λαγωβόλον.

Χαίτας, σημαίνει τὰς τρίχας. παρὰ τὸ κρατῶ κράτη. ἀποβολῇ τοῦ ρ καὶ πλεονασμῷ τοῦ ι καὶ τροπῇ τοῦ κ εἰς χ, χαίτη.

Χαίρω. παρὰ τὸ χῶ τὸ διαχέω, παράγωγον χαίρω. πῶς τὸ χαίρω ἐν φωνῇ ἐνεργητικῇ πάθος δηλοῦντος. τὸ ἐχάρην, παθητικός ἐστι δεύτερος ἀόριστος. τοῦ χαίρω ἐνεστῶτος ἐκλέλοιπεν ἡ φωνὴ ἡ παθητική. τοῦ δὲ ἐχάρην δευτέρου ἀορίστου, ἡ ἐνεργητική. ὁ γὰρ ἔχαρον δεύτερος ἀόριστος, ἐνεργητικὸς οὐ λέγεται. εἰκότως ὁ παθητικὸς μὴ ἔχων τι τὸ ὀφεῖλον ἐλέγξαι τὴν παραλογίαν αὐτοῦ, ἔλαθε τὴν παραλογίαν καὶ ὑπεισῆλθεν εἰς χρείαν τοῦ ἐνεργητικοῦ.

Χαίρειν, οἰμώζειν. στενάζειν.

Χαιρετωληρῶν, ἐρυθριάτω φλυαρῶν.

Χαίρειν φράσαντες, ἀποταξάμενοι καταγνόντες.

Χαίρωστε ἐληλυθότα, ὀρωπινοὶ οὕτω λέγουσι. καὶ εὐριπίδης σισύφῳ.

Χαιρέκακος. τὰ παρὰ βαρυτόνων συγκείμενα, εἰ μὲν ὁ ἐνεστὼς εἴη δισύλλαβος, ἀποβάλλει τὸ ι τοῦ τρίτου προσώπου. ὡς φερέοικος καὶ ἐχεκράτης, οὕτω καὶ χαίρω χαίρει χαιρέκακος. εἰ δὲ εἴη ὑπερδισύλλαβος, ἐκκόπτει μίαν συλλαβὴν ὅπως ἀναλογῇ τοῖς δισυλλάβοις. γανύω γανύει γανυμήδης. τανύω, τανύει, τανύπεπλος. μιαίνω μιαίνει μιαιφόνος. ἰθαίνω ἰθαίνει ἰθαγενής.

Χέδροπας, ὄσπρια. χέδροψ γὰρ τὸ ὄσπριον. ἀπὸ τοῦ χερίδροψ κατὰ συγκοπήν.

Χελιδὼν, ἢ παρὰ τὸ τὰ χείλη δονεῖν, ἢ παρὰ τὸ τὰ χείλη οἱ δαίνειν, ἢ παρὰ τὸ τοῖς χείλεσιν ᾄδειν.

Χέλυς, ἤτοι τὴν κιθάραν. διότι ἀπὸ δέρματος χελώνης κατεσκεύασε τῷ Ἑρμῇ. δέδωκε δὲ αὐτὴν τῷ Ἀπόλλωνι.

Χελύνη, τὸ περὶ τὸ χεῖλος μέρος τοῦ προσώπου. ἢ παρὰ τὸ χέω τὸ λέγω. ὃ παρ' ἐπώνυμον τῆς ὑπερώας χελύνης κατάνοσμον. ὃν δὴ καὶ μύστακα προσηγόρευσαν οἱ Ῥωμαῖοι. καὶ χελύνιον. καὶ Χελυνίδης, ὁ τὴν χελύνην μεγάλην ἔχων. λέγεται δὲ καὶ ἡ χελώνη. δηλοῖ καὶ τὴν κιθάραν παρ' Αἰολεῦσι.

Χελύσσουσα, διαπλέουσα νηχομένη. καὶ γὰρ οἱ νηχόμενοι, τοῖς χείλεσι τὸ ὕδωρ παραλείχουσι. κατὰ πλεονασμὸν δὲ τοῦ σ.

Χέρης καὶ χέρονες, οἱ διὰ τῶν χειρῶν πορίζοντες τὸ ζῆν, ὡς καὶ οἱ χερνῆται.

Χερνῆσι, πενιχραῖς γυναιξὶ, καὶ ἀπὸ χειρῶν ζώσι.

Χερνῆτις γυνὴ, Ἰλιάδος μ, ἡ ταπεινή. παρὰ τὸ ἐκ τῶν ἰδίων αὐτῆς χειρῶν τρέφεσθαι.

Χεράδες, τὰ παραθαλάσσια σκύβαλα. παρὰ τὸ χεῖσθαι ῥαδίως. χεράδες λέγονται καὶ οἱ σωροὶ τῶν λίθων τῶν μικρῶν. φησὶ δὲ Δημήτριος ὁ Σκήψιος τὴν διάλεκτον Ἀπολλωνιατῶν εἶναι. καὶ Σαπφώ. Μήκινε χεράδας.

Χέραδος, Ἰλιάδος φ, ὡς κίναδος. οὐδέτερον γάρ ἐστι τὸ συναγόμενον ἐν τῇ ῥύσει τοῦ ποταμοῦ πλῆθος ἰλύος καὶ ὀστράκων καὶ λίθων. καὶ Πίνδαρος τὴν δοτικὴν εἶπε, Χεράδει ποδῶν. Ἀρίσταρχος δέ φησι χεράδας καλεῖσθαι τοὺς ποταμοὺς, καὶ τοὺς ἐν αὐτοῖς λίθους.

Χερμάδιον, πλεονασμῷ τοῦ μ. παρὰ τὸ χεῖρα χεράδιον τὸ πληροῦν τὴν χεῖρα. σημαίνει δὲ χειροπληθῆ λίθον.

Χερειότερος. ἀπὸ τοῦ χερείων κατὰ μεταπλασμὸν γέγονε χέρειος, ὡς παρὰ πλείων πλεῖος. ὅθεν τὸ θηλυκὸν, πλεία. ὡς ἐν Ἰλιάδος ι. Πλεῖαί τε χαλκοῦ κλισίαι. ἐκ τοῦ χεὶρ χερὸς, χωρὶς τοῦ ι ἐν ᾗ κεῖται ἡ γενική. κυρίως γὰρ χερείων ὁ ταῖς χερσὶν ἥττων καὶ ἐλάττων.

Χέρηϊ. χερείων, χερείονος. ἡ δοτικὴ χερείονι. καὶ κατὰ συγκοπὴν, χέρηϊ. καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δύο ι, γίνεται τροπὴ τῆς ει διφθόγγου εἰς η, ὡς ἐν Ἰλιάδος α. Ὅτε χώσηται ἀνδρὶ χέρηϊ. ἀντὶ τοῦ χείρονι, ἐλάσσονι. ἔστι δὲ συγκριτικόν. καὶ, εἶδον χέρηα, ἑαυτοῦ χείρονα. ἐκ τοῦ χερείονα κατὰ συγκοπήν.

Χερνίψαντο, μέσος ἀόριστος πρῶτος, ἀπὸ τοῦ χερνίπτω χερνίψω.

Χέρσος, ἡ γῆ. οὐκ ἔστιν ἐξ ἧς ἔστι χερσὶ προσάπτεσθαι. τὸ δὲ Χέρσονδε ἀποβάντες, ἔστιν ἐπίρρημα τοπικόν, ἀντὶ τοῦ εἰς τὴν χέρσον. ὡς Ἴλιόνδε. τὸ δὲ, οὐκ ἔστι μέρος λόγου, ἀλλὰ μόριον.

Χθὼν, παρὰ τὸ διαχεῖσθαι καὶ χώννυσθαι δύνασθαι. ἢ παρὰ τὸ χῶ τὸ χωρῶ. οὗ παράγωγον, χείω. ὅθεν Οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται. κανών ἐστιν ὁ λέγων ὅτι τὰ εἰς ων ὀξύτονα μονοσύλλαβα μόνως ἀρσενικὰ καὶ μὴ μόνως θηλυκὰ, φυλάττει τὸ ω. κλὼν κλωνός. πρὼν πρωνός. τὸ δὲ χθὼν, ἐπειδὴ μόνως ἐστὶ θηλυκοῦ γένους, τούτου χάριν μετέβαλε τὸ ω εἰς ο ἐπὶ τῆς χθονὸς γενικῆς. ὅθεν καὶ χθόνιος.

Χθιζὰ, ἐπίρρημα ἀπὸ ὀνόματος γινόμενον εἰς ἐπίρρημα. ὡς ἐν τῷ ἐτεὸν καὶ δηρόν. τὸ χθιζὸς διὰ τί ὀξύνεται. τὰ εἰς ζος ἀπὸ ἐπιρρημάτων γινόμενα ἢ γίγνοντα, ὀξύνεται. πρωϊζός. καὶ πόθεν; παρὰ τὸ χθή. ἀπὸ τοῦ ἐχθές. ἀναλογώτερον δέ ἐστι καὶ κυριώτερον καὶ πρῶτον τὸ ἐχθὲς τοῦ χθές. κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι πᾶν ἐπίρρημα μονοσύλλαβον ἀπαθὲς κατ' ἰδίαν ἐκφορὰν μακροκαταληκτεῖ φύσει ἢ θέσει. κατ' ἰδίαν ἐκφορὰν εἶπε, διὰ τὸ λὰ ἐπιτατικὸν καὶ τὸ ἆ. εἰ δ' ἄρα οὖν τὸ χθὲς ἐπίρρημά ἐστι καὶ κατ' ἰδίαν ἐκφορὰν, ὤφειλε μακρὸν εἶναι. γέγονεν ἐκ τοῦ ἐκθέω ἐκθεύσω, ἐχθές. ἡ ἐκθεύσασα ἡμέρα. ἐτυμολογεῖται δὲ παρὰ τὸ ἐχθὲς ἡμᾶς γίνεσθαι ταύτης τῆς ἡμέρας.

Χέω, κυρίως ἐπὶ τοῦ ὕδατος λέγεται. ὁ δὲ ποιητὴς καὶ ἐπὶ τῆς ἀνθρώπων προχύσεως τίθησιν, ὡς τὸ, Προχέοντο φαλαγγηδόν. ἀπὸ μεταφορᾶς τῶν ποταμίων ῥευμάτων. περὶ τοῦ χεύσω καὶ πνεύσω μελλόντων εὕρομεν ἐν τοῖς Εὐλογίου τοῦ σχολαστικοῦ διακλίτοις ῥήμασι μὴ εἶναι ἀπὸ τοῦ χέω καὶ πνέω κατὰ πλεονασμόν. φησὶ γὰρ οὕτως. εἰδότες γὰρ ὡς οὐδέποτε τὸ ε διὰ τοῦ υ μηκύνεται, μᾶλλον τὸ πνεύω καὶ χεύω ἐνεστῶτας παραδεχόμεθα. ὧν ἐστιν ὑπόμνησις παρὰ τῷ ποιητῇ. τὸ γὰρ ἔκηλος εὔκηλος, πλεονασμὸν ἔχει, ὅπερ πάθος, οὐκ αὔξησις.

Χεῶ. χέω χεύσω. ὁ δεύτερος ἀόριστος, ἔχευον. ὁ μέλλων δεύτερος, χεῶ. τὰ εἰς ω καθαρὰ δισύλλαβα βαρύτονα τῷ ε παραληγόμενα, δύναται ὑπὸ δευτέρου καὶ τρίτου προσώπου συναίρεσιν δέξασθαι. πλεονασμῷ τοῦ υ κατὰ τὸν μέλλοντα χεύσω. ὁ παθητικὸς ἀόριστος ἐκ τοῦ παθητικοῦ παρακειμένου, ἐχέθην ἐχέθης. ἐξῆλθε τὸ υ διὰ τὴν κακοφωνίαν. ὁ ἐνεργητικὸς πρῶτος ἀόριστος, ἔχευα καὶ ἔχεα.

Χειὰ, ἡ τῶν ὄφεων κατάδυσις. Ἰλιάδος χ. καὶ ἀλλαχοῦ χείσεται, ἀντὶ τοῦ χωρήσει. ζήτει εἰς τὸ χθών. ἀπὸ τοῦ χεῖσθαι ὅ ἐστι χωρεῖσθαι. εἰς αὐτὸ γὰρ μηχανᾶται ὁ ὄφις χωρεῖσθαι τὸ σῶμα ὡς παρ' εἰς ἔλυτρον. λέγονται δὲ οἱ τοιοῦτοι τόποι εἰλυοὶ, καὶ ῥωχμοὶ, καὶ αἱμασιαί. παρὰ γὰρ τὸ χῶ τὸ χωρῶ γίνεται χεά. καὶ πλεονασμῷ τοῦ ι, χειά.

Χεῖμα, παρὰ τὸ χέω γίνεται.

Χειμὼν, χειμαδίῳ τόπῳ, ἐφ' οὗ ἄν τις δύναιτο χειμῶνος ἐγκαθορμίσασθαι. ἀπὸ τοῦ χέω. οὗ ὁ μέλλων χεύσω, γέγονε χεῦμα. ὡς πνέω πνεύσω, πνεῦμα. καὶ τροπῇ τοῦ υ εἰς ι, γίνεται χεῖμα. ἀφ' οὗ χειμών. τὰ εἰς μα οὐδέτερα εἰς μων παραγόμενα ὀνόματα, κοινά εἰσι τῷ γένει. καὶ τρέπει τὸ ω ἐπὶ τῆς γενικῆς. οἷον, μνῆμα ἀμνήμων ἀμνήμονος. σχῆμα, ἀσχήμων ἀσχήμονος. εἶμα, λευχείμων λευχείμονος. τὸ δὲ χειμὼν ὀξυνόμενον καὶ ἁπλοῦν καὶ περιεκτικὸν οὐ διήλλαξε. ὁμοίως καὶ εἴ τι παρ' αὐτῷ σύγκειται. βαρυχείμων βαρυχείμονος. ἀπὸ τοῦ χέω χείμων καὶ χειμών. φυλάσσει τὸ ω ὡς περιεκτικόν.

Χειμάρροις, χειμερινὸς ποταμός. παρὰ τὸ ἐν τῷ χειμῶνι ῥεῖν. καὶ γίνεται παρὰ τὸ χεῖν ἅμα. καὶ ἀπὸ τοῦ ῥεῖν καὶ τοῦ χειμὼν, γίνεται χείμαρρος. καὶ πλεονασμῷ τοῦ ο, χειμάρροος. καὶ κατὰ συναίρεσιν, χειμάρρους. κλίνεται χειμάρρου.

Χειμέριος, ἀπὸ τοῦ χεῖμα γίνεται. τὰ διὰ τοῦ ιος καθαροῦ ἔχοντα τὸ ρ, καιροῦ ὑπόνοιαν ἔχοντα, διὰ τοῦ ι γράφεται. καίριος. ἀκαίριος, ὁ μὴ ἔχων καιρόν. ὥριος, ὁ τῆς ὥρας. ἀώριος. ἡμέριος. χωρὶς εἰ μὴ ὦσιν ἀπὸ τῶν εἰς ος οὐδετέρων, διὰ τὸ θέρος θέρειος. λοιπὸν οὖν ἐκ τοῦ χειμερινός, γίνεται κατὰ συστολὴν τοῦ ν χειμέριος, ὡς ἑσπερινὸς ἑσπέριος.

Χειραμὸς, σημαίνει τὴν κατάδυσιν παρὰ Λυκόφρονι. οἶμαι δ' ἀπὸ τοῦ χειὰ γέγονε.

Χεῖραι, αἱ ἐν τοῖς ποσὶ ῥαγάδες. καὶ χειρόποδες, οἱ οὕτω τοὺς πόδας κατερρωγότες. τουτέστι, ῥαγόποδες.

Χείριστα, κάκιστα. ἀπὸ τοῦ χείρων χείριστος ὑπερθετικόν. χείρων δὲ κυρίως ὁ κατὰ χεῖρα ἥττων. ἐπειδὴ ὁ ἄνθρωπος τῶν ἄλλων ζώων διαφέρει τεχνᾶσθαι δυνάμενος. καὶ χειρότερος.

Χείρων, ὁ κένταυρος. ἀπὸ τοῦ διὰ τῆς τῶν χειρῶν θεραπείας τῆς ἐν ταῖς χειρουργίαις καὶ ῥιζοτομίαις ἰᾶσθαι. ἰᾶσθαι γὰρ τοῦτον ἡμῖν ὑπογράφει Ὧρος. ἐν ἄλλοις δὲ, ὅτι χεῖραι καλοῦνται αἱ ἐν τοῖς ποσὶ ῥαγάδες. ἔνθεν καὶ Χείρων, διὰ τὸ ἐν χείροσι καὶ ὀρεινοτέροις τόποις διάγειν.

Χειρόηθες, ἥμερον. πρᾶον. ἢ διὰ τὸ χειρώδεις.

Χεὶρ, παρὰ τὸ ἔχω τὸ κρατῶ. ἐτυμολογεῖται δὲ παρὰ τὸ ῥᾷον χεῖσθαι ὅ ἐστι χωρεῖσθαι, ἢ διὰ χεῖν.

Χειροδίκαι, οἱ τῇ τῶν χειρῶν δυνάμει πεποιθότες, καὶ δι' ἑαυτῶν ποιοῦντες τὴν ἐκδίκησιν καὶ τύπτοντες. τουτέστιν, ἐν τῇ ἰσχύϊ τὸ δίκαιον ἔχοντες.

Χειρόκμητα, ὑπὸ χειρῶν γεγλυμμένα, ἢ περιεξεσμένα.

Χειρόμακτρον, ὃ παρὰ Ῥωμαίοις καλεῖται μανδίλιον.

Χειρόμαντις, ὁ διὰ τῶν ἐν ταῖς χερσὶ γραμμῶν μαντευόμενος.

Χειρόνιπτρον, τὸ κατὰ χειρὸς ὕδωρ. Ἀριστοφάνης.

Χειρονομεῖν. κυρίως ἐστὶ νομᾶν διὰ χειρῶν. ὅθεν χειρονομία.

Χηναλώπηξ. ἰστέον ὅτι τὰ εἰς ἀμετάβολον λήγοντα σύνθετα κατὰ τὴν ἀρχὴν, οὐδέποτε ἀπὸ εὐθείας συντίθεται. ἀλλ' ἢ ἀπὸ γενικῆς, ἢ ἀπὸ δοτικῆς, ὡς ἐπὶ τοῦ πυρίβλητος. καὶ εἰ μὲν ἡ ἐπιφερομένη λέξις ἄρχεται ἀπὸ συμφώνου, ἀποβάλλει ἡ γενικὴ τὸ ς. οἷον, φρὴν φρενός, φρενοβλαβής. χὴν χηνός, χηνοτρόφος. ἐὰν δὲ ἀπὸ φωνήεντος ἄρχηται, ἀποβάλλεται καὶ τὸ ο καὶ τὸ ς. οἷον, φρὴν φρενός, φρεναπάτης. χὴν χηνός, χηναλώπηξ. δεῖ προσθεῖναι εἰ μὴ ἄρχεται ἀπὸ τοῦ η ἢ ἀπὸ τοῦ ε. τότε γὰρ τὸ ς μόνον ἀποβάλλεται. οἷον, χειρὸς χειροήθης. χειροεργὸς καὶ χειρουργός. λιμὴν λιμένος, λιμενοειδής. δεῖ προσθεῖναι καὶ χωρὶς τοῦ χειρῶναξ. τοῦτο δὲ γίνεται κατὰ κρᾶσιν χειρώναξ, ὡς ἱππῶναξ. διὰ γὰρ τὴν κρᾶσιν, ἠμαυρώθη τὸ παράλογον.

Χεῖλος, παρὰ τὸ χέειν λόγους.

Χηλὸς, ἡ κιβωτός. παρὰ τὸ χῶ χήσω, χηλός. ἡ χωροῦσα ἕκαστον τῶν ἐντιθεμένων.

Χηλὴ, ὁ ὄνυξ. Ὧρος δὲ λέγει κυρίως τὴν χηλὴν, ἐπὶ τῶν διονύχων ζώων. σχηλή τις οὖσα, παρὰ τὸ διεσχίσθαι. ὡς ὁπλὴ, ἐπὶ τῶν μονωνύχων.

Χὴν, κοινόν ἐστι τῷ γένει. ἔστι δὲ καὶ εἰδικόν. γίνεται παρὰ τὸ ἠχὴ, ὃ σημαίνει τὴν βοὴν, ἠχήν. καὶ ἀφαιρέσει τοῦ η. κρακτικὸν γάρ ἐστι καὶ φωνητικόν.

Χηνίσκος, τὸ τῆς πρώρας μέρος, οὗ ἀπαρτῶνται αἱ ἄγκυραι. ὃ καὶ τῆς τρόπιδός ἐστιν ἀρχή. εἰσὶ δ' οἳ μᾶλλον τὸ τῆς πρύμνης ἔφασαν ἄκρον πρὸς ὃ ἐπιζεύγνυνται αἱ ἐπωτίδες τῆς νεώς. πλὴν ὁποτέρως ἔχει χηνίσκος ἐλέγετο, ὅτι χηνὸς κεφαλὴν μορφοῦντες οἱ ναυπηγοὶ, ἐτίθουν τῷ ἄκρῳ, τάχα τὸ πλοῖον εἰς χῆνα ἀπεικάζοντες. ἢ τοῦ εὐοιωνίστου χάριν, ὡς ἀβάπτιστος αὐτοῖς ἡ ναῦς διατελοίη τρόπον χηνὸς, ὑπερνέουσα τῶν κυμάτων.

Χήρα, παρὰ τὸ χῶ τὸ χωρῶ. ὁ μέλλων, χήσω, χήρα. ἡ χωρητικὴ τῶν κακῶν τῆς λύπης. ἐτυμολογεῖται δὲ παρὰ τὸ χαρά. καὶ ἀναδόσει τοῦ τόνου, καὶ τροπῇ τοῦ α εἰς η, χήρα. κατὰ ἀντίφρασιν. ἡ ἐστερημένη τῆς εὐφροσύνης καὶ τῆς χαρᾶς.

Χῆραι, ἔρημοι, καὶ ἀνδρὸς μονωθεῖσαι. ἀπὸ τοῦ χηρῶ χηρώσω, ὃ σημαίνει τὸ ἐρημῶ καὶ ἀφανίζω καὶ ἐκπορθῶ. ὅθεν καὶ χηρωτής. ὡς γυψώσω γυψωτής. καὶ πλεονασμῷ τοῦ ς, χηρωστής. χηρωσταὶ δὲ λέγονται, οἱ μακρόθεν τοῦ γένους κληρονόμοι. οἷον ἐπίτροποι. οἱ τοῦ χήρου καὶ ἐρήμου συγγενῶν οἴκου κληρονόμοι. γίνεται δὲ ἐκ τοῦ χωρῶ τὸ χωρίζω, χηρῶ χηρώσω. οἷον, Χήρωσ' ἀγυιάς. καὶ, Χηρώσας δὲ γυναῖκας.

Χήτει, στερήσει. ἐνδείᾳ. σπάνει. παρὰ τὸ χῶ ῥῆμα ὃ σημαίνει τὸ ἐνδέομαι. ὁ μέλλων, χήσω. ῥηματικὸν ὄνομα, χήτης, ἡ ἔνδεια. καὶ χῆτος οὐδέτερον ὄνομα. ἐκ τούτου καὶ ῥῆμα, χητίζω καὶ χατίζω.

Χιλὸς, θηλυκῶς λέγεται. σημαίνει δὲ τὴν τροφήν. παρὰ τὸ ἔχειν τὸ σῶμα, τουτέστι κρατεῖν. ἢ παρὰ τὸ χεῖλος. χεῖλος δὲ ὁ χόρτος τῶν βοσκημάτων, παρὰ τὸ χεῖσθαι τῷ ἕλει.

Χίμαρος, σημαίνει τὸν τράγον. ἐκ τοῦ χίμαιρα. πρὸς ἀντιδιαστολὴν τοῦ ἐν τῷ χειμῶνι ῥέοντος ποταμοῦ. γέγονε παρὰ τὸ κίω τὸ πορεύομαι, κίμαρος καὶ χίμαρος.

Χίμαιρα, ἡ ἐν χειμῶνι τεχθεῖσα. οἷον ἡ ἕνα χειμῶνα ἔχουσα.

Χίμετλα, τὰ ἀπὸ καύματος γινόμενα ἐν τοῖς ποσὶν, ἃ συμβαίνει ἀπὸ χειμῶνος γίνεσθαι. εἴρηται παρὰ τὸ ἐν χειμῶνι τλῆναι.

Χῖος, ὁ τῆς Χίου πολίτης. ἀπὸ τοῦ Χίος Χίιος, ὡς Σάμιος, Λέσβιος. καὶ κράσει Χῖος, ὡς Δῖος.

Χιράδες, αἱ τῶν χειρῶν ῥαγάδες. συνέπεσε δὲ ἡ φωνὴ τῷ σημαινομένῳ. ἐπειδὴ γὰρ τὸ χὶ ἔμφασιν ἔνδειάν τινα σημαίνει, τὰς γὰρ τῶν χειρῶν ῥαγάδας δηλοῖ. ἡ δὲ ῥαγὰς, τοῦ ὁλοκλήρου ἔνδειαν ἔχει. τὸ γὰρ ἔχον ῥαγάδας, οὐκέτι ἐστὶν ὁλόκληρον. τοῦτο χέριν διὰ τοῦ ι, γράφεται.

Χιτών, τὸ ἁπλοῦν καὶ λινοῦν περιβόλαιον. ἐτυμολογεῖται δὲ παρὰ τὸ κεχεῖσθαι ἡμῶν τοῖς σώμασι, χυτών. καὶ τροπῇ τοῦ υ εἰς ι, χιτών. σημαίνει δὲ δύο. ἓν μὲν τοῦ συνήθως ἡμῖν λεγομένου, ἱματίου. οἷον, Μαλακὸν δ' ἔνδυνε χιτῶνα. καὶ τὸν θώρακα. ὅθεν καὶ χαλκοχίτωνες, οἱ χαλκοθώρακες. διαφέρει δὲ πέπλου. ἐπὶ μὲν γὰρ ἀνδρῶν, λέγεται χιτών. ἐπὶ δὲ γυναικῶν, πέπλος. τὰ δὲ εἰς ων ἰαμβικὰ πρὸ τέλους ἔχοντα τὸ ι, φυλάττει τὸ ω ἐπὶ βαρυτόνων καὶ ὀξυτόνων.

Χιών, παρὰ τὸ χέω χεών. καὶ τροπῇ, χιών. ὡς τέρπω, τερπών. κλίνεται χιόνος διὰ τοῦ ο μικροῦ.

Χλαῖνα, παρὰ τὸ χλιαίνειν ὅ ἐστι θερμαίνειν, χλίαινα καὶ χλαῖνα. λέγεται μὲν χλαῖνα τὸ παχὺ καὶ χειμερινὸν ἱμάτιον. χλανὶς δὲ, τὸ λεπτότατον καὶ μαλακὸν καὶ τρυφερόν. χλαμὺς δὲ τὸ περιφερὲς καὶ κυκλοειδές. τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον σαγομάντιον, ὅπερ φοροῦσιν οἱ κηροφόροι. ὁμοίως παρὰ τὸ χλιαίνω χλυαμὺς καὶ χλαμύς.

Χλιαρὸς, παρὰ τὸ χλιαίνω. τὸ δὲ λιαρὸς, οὐκ ἀπὸ τοῦ χλιαρὸς ὥς τινες, ἀλλὰ παρὰ τὸ λίω τὸ προθυμοῦμαι.

Χλιδὴ, ἀγλαϊσμὸς, τρυφή. καὶ ῥῆμα χλιδῶ βαρύτονον. καὶ χλιδῶ περισπώμενον. Ἐξουσιαστικὴ χλιδὴ ἥκιστα ἔχαιρες. καὶ χλιδανὸν, τὸ τρυφερόν. παρὰ τὸ χαλῶ καὶ τὸ δέω τὸ πρέπω, χαλιδὴ καὶ χλιδή, ἡ ὑποχαλῶσα τοῦ πρέποντος. λέγεται δὲ χλιδὴ, ἡ ἔκλυσις καὶ μαλακία. ἀπὸ τοῦ ἐχλιάνθαι καὶ ἐκλελύσθαι, ἀσθένεια τοῦ θερμοῦ.

Χλευασμὸς, ἐκ τοῦ χλευάζω. τοῦτο ἐκ τοῦ χλεύη ὃ σημαίνει τὴν ἀπάτην. χειλεύη τις οὖσα. παρὰ τὸ ἠρέμα ἀνοίγειν τὰ χείλη. ἢ παρὰ τὴν χλόην. δυσωπητικὰ γὰρ τὰ σκώμματα, καὶ χροιᾶς μεταβλητικά. ἢ παρὰ τὸ κλέπτω κλεύη καὶ χλεύη. ὁ γὰρ χλευάζων τινὰ, ὑποκλέπτει αὐτόν. ἢ παρὰ τὸ χέω χεύη.

Χλόη, παρὰ τὸ φλέω τὸ ἀναπέμπω, φλόη καὶ χλόη. ἡ ἐκ τῆς γῆς ἀναπεμπομένη καὶ αὐξάνουσα. ὅθεν καὶ χλοῦναι οἱ σύαγροι, οἱ ἐν ταῖς χλόαις εὐναζόμενοι καὶ διατρίβοντες. κλίνεται χλούνων, ὡς ἀπὸ τοῦ χλόευνοι χλοεύνων. τὸ δὲ χρῆσται χρήστων, πρὸς ἀντιδιαστολὴν τοῦ χρηστοὶ τῶν χρηστῶν, ἤγουν τῶν καλῶν. χρῆσται δέ εἰσιν, οἱ δανείζοντες καὶ οἱ δανειζόμενοι. τὸ δὲ ἐτήσιαι ἐτησίων, συνεξέδωκε, τῷ ἐτήσιοι ἐτησίων.

Χοῖρος. παρὰ τὸ χοῦν ἐρευνᾶν, χόϊρος. καὶ συναιρέσει, χοῖρος. ἢ παρὰ τὸ τοῦ χείρονος ἐρᾶν.

Χληδὸς, ὁ κλῆρος τῶν ἀποκαθαρμάτων, ὁ ἔχων ἰλύν τινα καὶ βοτανώδη, καὶ φρυγανώδη. ἢ σωρὸς λίθων.

Χλωρὸς, παρὰ τὸ χαλῶ καὶ τὸ ὥρα, ὃ σημαίνει τὴν μορφήν. χαλάωρος. καὶ χλωρὸς, ὁ κεχαλασμένην ἔχων τὴν ὥραν. ἐξ οὗ καὶ χλωρότης. ἢ ἐκ τοῦ χολή. ὑποθέσει, χλόη. ἐκ τούτου χλοηρὸς καὶ χλοερός. ἢ χολερὸς, κατὰ κρᾶσιν χλωρός. ἐκ τούτου ὠχρόν.

Χλωροῦνδιος, χλωροποιόν. σημαίνει δὲ τὸ νέον.

Χλωρὶς ἀηδὼν, ἀπὸ τοῦ χρώματος. ἢ διότι ἐν ἔαρι φαίνεται ὅτε πάντα τὰ χλωρά. οἱ δὲ, τὴν χλωροῖς ἡδομένην. κρεῖττον δὲ τὸ πρῶτον. ταύτην γὰρ τὴν πτέρωσιν ἔχει. καὶ Σιμωνίδης. Εὖτ' ἀηδόνες πολυκώτιλοι χλωραύχενες εἰαριναί.

Χνοῦς, πλεονασμῷ τοῦ ν. παρὰ τὸ χοῦς. τοῦτο παρὰ τὸ χόος. τοῦτο παρὰ τὸ χέω. Ἀπολλώνιος. Νέον χνοάοντα παρειάς.

Χόανος. Φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων.

Χοὴ, ἐκ τοῦ χέω. χοαὶ χοῶν, τὰ ἐπιχεόμενα. οἱ γὰρ ἀρχαῖοι ἅπερ εἶχον κάλλιστα καὶ τιμιώτατα ταῦτα ἔρραινον εἰς τοὺς νεκροὺς τιμῶντες αὐτούς.

Χολάδες, τὰ ἔντερα. κατὰ μετάθεσιν τοῦ κ εἰς χ. κοιλάδες γάρ εἰσι. παρὰ τὴν κοιλότητα. ἀφ' οὗ καὶ κόλος καὶ κοῖλος, ὁ ἔρημος καὶ κοινὸς τόπος. ἢ παρὰ τὴν χύσιν. Ὅμηρος. Ἐκ δ' ἄρα πᾶσαι χύντο χαμαὶ χολάδες. ἢ διὰ τὸ κατὰ φύσιν δέχεσθαι τὸ χολῶδες ἀπὸ τοῦ ἥπατος, ἐπειδὴ εἰς αὐτὰ συρρεῖ ἡ ξανθὴ χολή. τοῦτο μηχανησαμένης τῆς φύσεως πρὸς τὸ διαθερμαίνεσθαι καὶ ἐρεθίζεσθαι αὐτὰ τῇ δριμύτητι αὐτῆς πρὸς τὴν ἀπόκρισιν τῶν περιττῶν. ἤμελλε γὰρ ψυχρὰ ὄντα τῇ κράσει, ἀργὰ μένειν, καὶ μηδέποτε ποιεῖν τὴν ἀπόκρισιν. τοιαῦτα γὰρ τὰ νευρώδη.

Χόλικες, αἱ τῶν βοῶν κοιλίαι.

Χόλος, παρὰ τὸ χέω. συγχεῖται γὰρ ἡ ψυχὴ ἐν τῷ ὀργίζεσθαι. τὸ χο, μικρόν. ἐκ τοῦ χέω. ὁ γὰρ χόλος διαχεῖται. ἡ πρώτη γὰρ ἔκκαυσις τῆς καρδίας καὶ διάχυσις τῆς χολῆς πρὸς ὀργὴν, χόλος λέγεται. ἔστι δὲ εἶδος τῶν ὑποπεπτωκότων τῷ ὀνόματι γενικοῦ. τὸ γενικὸν, θυμός.

Χολᾶτε. ἐκ τοῦ χολή, γίνεται χολῶ χολᾷς συζυγίας δευτέρας. ὅθεν τὸ πληθυντικὸν, Ἐμοὶ χολᾶτε. ἐκ δὲ τοῦ χόλος, γίνεται χολῶ χολώσω συζυγίας τρίτης. ὅθεν χολωθεὶς, τὸ ὀργισθείς. καὶ χολωτοῖσιν ἐπέεσσιν, ὀργιστικοῖς.

Χορδή, σημαίνει τὸ ἔντερον. παρὰ τὸ χωρῶ καὶ τὸ ἔδω τὸ ἐσθίω. παρὰ τὸ δι' αὐτῶν χωρεῖν τὴν ἐδωδήν. ὅθεν καὶ τὸ, Δωδεκά-

Χορηγὸς, παρὰ τὸ χεὶρ χερὸς καὶ τὸ ἄγω, ‹ χορδῶν ὄργανον

γίνεται χερηγός. καὶ τροπῇ τοῦ ε εἰς ο, χορηγός. ὁ διὰ χειρὸς

Χορὸς, οἶμαι παρὰ τὸ χαίρειν. ἢ ἐκ τοῦ χῶρος. ‹ ἄγων. ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον. ἢ χαίρω χαρὸς καὶ χορός. ἢ παρὰ τὸ χεὶρ χερὸς, χορός.

Χοροιτύπος, ὁ χορευτής. ἤγουν ὁ τύπους ἐν τῷ χορεύειν τῶν ποδῶν ποιῶν. ἢ ὁ τύπτων τὸ ἔδαφος. καὶ Ὅμηρος. Πέπληγον δὲ χορὸν θεῖον ποσίν. τὸ δὲ χῶρος, παρὰ τὸ χῶ τὸ χωρῶ. σημαίνει δὲ τὸν τόπον.

Χόρτος, παρὰ τὸ ἐν τῇ χέρσῳ γίνεσθαι. ἢ παρὰ τὸ κείρω κόρτος, καὶ χόρτος. καὶ χόρτος αὐλῆς, ὁ τῆς αὐλῆς ὅρος. χόρτῳ γὰρ ἀντὶ τειχίων ἐχρῶντο. ἄχρι δὲ τοῦ νῦν ἐν Λυκίᾳ. ἀπὸ τοῦ χόρτου παραβάλλουσιν αὐλὰς τοῖς ἐν ἀγροῖς οἰκήμασιν. Ὅμηρος Ἰλιάδος ω.

Χορτάσαι, παρὰ τὸν χόρτον τὸν παραβαλλόμενον τοῖς ὑποζυγίοις. καὶ γὰρ ὅτι πρὸ τῆς εὑρέσεως τῶν ἡμετέρων τροφῶν, τούτῳ ἐκέχρηντο. παρὰ τὸ κόρος.

Χρῶ, σημαίνει τὸ ξέω, ἐξ οὗ χραύω χραύσω, Ἰλιάδος ε. χραύσῃ, ἀντὶ τοῦ ἀμύξῃ ἐπ' ὀλίγον τὸν χρῶτα. ἐπιξύσῃ, ἤγουν προσεγγίσῃ. ἀπὸ τοῦ χρῶ τὸ χρῶ. οἷον πρὸς ψαῦσιν. τὸ μαντεύομαι, ὡς τὸ, Τοιαῦτ' ὁ Φοῖβος χρῇ. τὸ κτῶμαι, ἐξ οὗ καὶ χρῆμα. τὸ ἐφορμῶ, ὡς τὸ, Τίς τοι κακὸν ἔχραε δαίμων. τὸ παρέχω, ἐξ οὗ καὶ τὸ κιχρῶ κατὰ ἀναδιπλασιασμόν. καὶ χρηστὸς, ὁ ἀγαθὸς, ὁ πᾶσιν ἑαυτὸν παρέχων.

Χραισμῶ, καὶ βαρύνεται καὶ περισπᾶται. γίνεται ἀπὸ τοῦ χρήσιμος χρησιμῶ. συστολῇ τοῦ η εἰς α καὶ μεταθέσει τοῦ ς, χραισμῶ. ὁ δεύτερος ἀόριστος ἔχραισμον. ἔστι δὲ συζυγίας πρώτης. καὶ σημαίνει τὸ βοηθῶ καὶ φυλάσσω. ἢ ἐκ τοῦ χαρίζω χαρισμῶ. καὶ ἐν ὑπερθέσει καὶ συναιρέσει, χραισμῶ ἔχραισμον. ὡς ἀπὸ τοῦ ἀμαρτῶ περισπωμένου, δεύτερος ἀόριστος ἤμαρτον.

Χρέος, ἀπὸ τοῦ χρῶ, ὃ σημαίνει τὸ ἐνδέομαι, γίνεται χρέω. ἐξ οὗ γίνεται χρέος κατὰ πλεονασμὸν τοῦ ρ. οὕτως Ἀπολλώνιος. εἰς δὲ τὸ ἄλλο, μέλλων ὅτι οὐκ ἀπὸ τοῦ χρῶ, ἀλλ' ἀπὸ τοῦ χρέω χρέομαι. ὁ δὲ Χοιροβοσκὸς εἰς τοὺς αὐτοῦ κανόνας τῶν οὐδετέρων, λέγει περὶ τοῦ χρέους ὅτι διὰ μὲν τοῦ ο μέλλων, καὶ κλίνεται ἑνικῶς καὶ πληθυντικῶς καὶ δυϊκῶς. ἐν δὲ τῇ εὐθείᾳ τῶν πληθυντικῶν, εἰς α λήγει. οἷον χρέεα. καὶ συγκοπῇ, χρέα. ὅταν δὲ γένηται διὰ τοῦ ε καὶ ω ἀττικῶς χρέως, τὴν αὐτὴν ἔχει ὀρθήν, γενικήν, αἰτιατικήν, καὶ κλητικήν. μόνην δὲ τὴν δοτικὴν διαλλάττει. καὶ ἔστι δίπτωτον. εὐθεῖαν γὰρ καὶ δοτικὴν ἔχει μόνον, οἷον τὸ χρέως, τοῦ χρέως, τῷ χρέῳ, τὸ χρέως, ὦ χρέως. δυϊκὰ δὲ καὶ πληθυντικὰ, οὐκ ἔχει.

Χρειῶ, σημαίνει τὴν χρείαν. ὥσπερ ἀπὸ τοῦ σπέος, γίνεται σπεῶ καὶ σπειῶ, κλέος κλεῶ καὶ κλειῶ, οὕτω χρέος χρεῶ καὶ χρειῶ. ἡ δοτικὴ, Χρειοῖ ἀναγκαίῃ. ὡς κλειοῖ. ἤγουν διὰ χρείαν ἐπιφέρουσαν καὶ ἐπείγουσαν. ἀπὸ δὲ τοῦ χρέω, γίνεται χρέα καὶ χρεία πλεονασμῷ τοῦ ι. ὡς χρέος καὶ χρεῖος.

Χρείω, τὸ χρησμῳδῶ διὰ διφθόγγου. παρὰ γὰρ τὸ χρέος χρέω. καὶ πλεονασμῷ τοῦ ι, χρείω. τοῖς γὰρ χρείαν ἔχουσι χρησμῳδεῖ ὁ θεός. χρίω δὲ τὸ ἀλείφω, διὰ τοῦ ι, ἐξ οὗ καὶ Χριστός. ἀπὸ τοῦ χρίμπτω. ἢ πρὸς ἀντιδιαστολὴν ἀλλήλων.

Χρέμιζον, Ἡσίοδος ἐν ἀσπίδι. Ὀξέα χρέμισαν. ἀπὸ τοῦ χρεμέτιζον. τὸ δὲ χρεμέθεσκον, ἀπὸ τοῦ χρέμω, χρεμέθω.

Χρὴ, ἀπὸ τοῦ χρῶ δευτέρας συζυγίας, γίνεται χρῆμι. οὗ ὁ μέλλων, χρήσω. εἰς τὸ ἀπόχρη. τὸ δὲ χρὴ ὀξυτόνως, σημαίνει ἐπίρρημα, ἀντὶ τοῦ δεῖ. ὡς τὸ, Χρὴ μὲν σφωΐτερον. περισπωμένως δὲ, σημαίνει ῥῆμα ἀττικῶς. ἀπὸ τοῦ χρῶ χρᾷς χρᾷ. ἰωνικῶς καὶ ἀττικῶς, χρῇ. ἐξ οὗ οἶμαι καὶ τὸ χρῆν. ὀξύνεται δὲ τὸ χρή. ὅτι πᾶσα λέξις δισύλλαβος ἐν ῥήμασιν, εἰ μὴ ἀπὸ τῆς ἀρχῆς ἀποκοπῇ, τὴν καταλιμπανομένην συλλαβὴν περισπᾷ. εἰ δὲ ἀπὸ τέλους, ὀξύνει. τὸ χρὴ καὶ δεῖ, λέγουσιν εἶναι ἐπιρρήματα. πλεῖον δὲ λέγεται εἶναι ῥήματα.

Χρῆμα, κυρίως τὸ διὰ χειρὸς ἔργον, οἷον χέρημα. ἢ παρὰ τὸ χρήσω ὃ σημαίνει τὸ κτῶμαι. ἐξ οὗ ἐχρησάμην, τὸ ἔλαβον. ἐκ

Χρήζω, ἡνίκα σημαίνει τὸ δέομαι, ἔχει τὸ ‹ τησάμην. ι προσγεγραμμένον. ἀπὸ γὰρ τοῦ χρέος, γίνεται χρείζω. καὶ τροπῇ τοῦ ε εἰς η, χρηίζω. Χρηΐζοντα καὶ αὐτοί. καὶ κατὰ συναίρεσιν, χρῄζω. ὡς τὸ κληΐζω κλῄζω. ὅτε δὲ σημαίνει τὸ χρησμῳδῶ, ἔστιν ἄνευ τοῦ ι, καίπερ τῆς ἐτυμολογίας ἀπαιτούσης σὺν τῷ ι γράφεσθαι. παρὰ γὰρ τὴν χρείαν δεῖ. τοῖς γὰρ χρείαν ἔχουσι τἀληθῆ μαθεῖν, χρησμῳδεῖ ὁ θεός. ἀλλὰ πρὸς ἀντιδιαστολὴν τοῦ σημαίνοντος τὸ δέομαι,

Χρηστήρ, ἔστιν ὁ παρέχων χρησμούς. καὶ γίνεται ‹ οὐκ ἔχει τὸ ι. γίνεται παρὰ τὸ χρείω. οὕτως ὁ Χοιροβοσκός. Οἶμαι δ' ἐγὼ παρὰ τὸ χρήζω ὅπερ σημαίνει τὸ αὐτό, γίνεται χρηστήρ.

Χρῆσις, παρὰ τὸ χρήω χρήσω. διαφέρει δὲ παραδόσεως. χρῆσις μὲν γὰρ λέγεται ἡ τῶν ἀρχαίων ποιητῶν μαρτυρία. παράδοσις δὲ, ἡ τῶν γραμματικῶν. οἷον τὰ μὲν Ὁμήρου, καλεῖται χρῆσις. τὰ δὲ Ἀριστάρχου τοῦ γραμματι-

Χρήστης, καὶ ὁ δανείσας καὶ ὁ δανεισάμενος. ‹ κοῦ, παράδοσις

Χρίσμα, παρὰ τὸ χρίω χρίσω χρίσις καὶ χρίσμα. σημαίνει τὸ ἄλειμμα. Ἰστέον δὲ ὅτι ὥσπερ λέγεται κροῦμα καὶ κροῦσμα, οὕτω λέγεται χρῖμα καὶ χρῖσμα.

Χρίμπτω, σημαίνει τὸ περιβάλλω, καὶ προσπελάζω. ἀπὸ τῆς χειρὸς χειρίπτω. πλεονασμῷ τοῦ μ χειρίμπτω. καὶ συγκοπῇ. κυρίως γὰρ τὸ ταῖς χερσὶ συνιστᾶν καὶ περιβάλλειν καὶ προσεγγίζειν. ἢ ἀπὸ τοῦ χρωτός. τὸ τοῦ χρωτὸς ἐγγίζειν, χρῶ χρίμπτω.

Χροᾷ χροῒ, εἴρηται ὡς τὸ βοᾷ βοῒ. καὶ διὰ χροός. γίνεται παρὰ τὸ χρῶ ὃ σημαίνει τὸ βάπτω. ἐξ οὗ καὶ χρῶμα. ἡ εὐθεῖα χροῦς. ὅθεν τὸ, Χρωσάμεναι ἄνδρα. ὁ καὶ μεταβολῇ τῆς ου, χρώς, ὡς βοῦς βῶς παρὰ Δωριεῦσι.

Χρόμαδος, Ἰλιάδος ψ. τὸν ἐν τοῖς γένυσιν ὑπὸ τῶν πληγῶν γινόμενον ψόφον. ὀνοματοποιήσας χρόμαδον εἶπεν ὁ ποιητής. ἢ ἐπειδὴ ὅσον θυμικῶς ἀλλήλοις ἐπιφερόμενοι τρίζουσι τοὺς ὀδόντας. διόπερ φοίνικας ἀναλαμβάνουσιν, ἵνα τούτοις ἐπερειδόμενοι, λυμαίνονται τοὺς ὀδόντας.

Χρόμις. Μυσῶν δὲ Χρόμις ἦρχεν. τὸ δὲ χρόμις, πλεονασμῷ ἐγένετο τοῦ ο. ἢ ἡ χρόμιος γενικὴ μετετέθη εἰς εὐθεῖαν, καὶ γέγονεν ὁ χρόμιος.

Χρόνος. παρὰ τὸ ῥέω, ῥόνος καὶ χρόνος. ἢ παρὰ τὸ χρῶ.

Χρωσθῆναι, μολυνθῆναι. ἀπὸ τοῦ χρῶ τὸ πελάζω. ὅπερ ἀπὸ τοῦ χρῶ τὸ βάπτω γέγονε. κυρίως γὰρ χρωσθῆναι τὸ ἀπὸ αἵματος μολυνθῆναι.

Χρώζω, σημαίνει τὸ πλησιάζω. χρὼς χρωτὸς χρωτίζω, ὡς φῶς φωτὸς φωτίζω. ἀποβολῇ τοῦ τ, χροΐζω. καὶ συναιρέσει, χρώζω.

Χρυσῖτις, σημαίνει τὸν λίθον, ἔνθα ἀκονῶσι τὸ χρυσίον.

Χρυσόρραπις ἑρμῆς, ὁ χρυσῆν ῥάβδον ἔχων.

Χρυσόπολις. ἀγαμέμνονος καὶ χρυσηΐδος παῖδας γεγονέναι φασί, χρύσην καὶ ἰφιγένειαν. ὧν ἀπὸ μὲν τῆς χρύσης, ὠνομάσθη χρυσόπολις ἐν τῇ προποντίδι. ἰφιγένειαν δὲ γενέσθαι ἱέρειαν ἀρτέμιδος.

Χυτὴ, οὐ πᾶσα γῆ, ἀλλ' ἡ τοῖς νεκροῖς ἐπιχεομένη.

Χρύσης. πόθεν χρύσης, παρὰ τὸ χρυσός. τὸ δὲ χρυσὸς, παρὰ τὸ ῥύω ῥυσός. καὶ πλεονασμῷ τοῦ χ, χρυσός. ὅτι μετέχει τοῦ ῥύω. ὁ γὰρ χρυσὸς διδόμενος, ῥύεται τὸν ἄνθρωπον ἐκ τοῦ θανάτου.

Χύτλα, κυρίως εἰσὶ τὰ μεθ' ὕδατος ἔλαια. καταχρηστικῶς δὲ, καὶ τὰ ἐναγίσματα. οἷον, Χύτλα τέ οἱ χεῦαν τὸ καὶ ἤγνισαν ἔντομα μῆλα.

Χυτλῶσαι, οὐχ ἁπλῶς τὸ ἀλεῖψαι, ἀλλὰ τὸ ὕδατι λουσάμενον ἀλείψασθαι, χυτλώσασθαι ἔλεγον. καὶ χύτλον, τὸ μεθ' ὕδατος ἔλαιον.

Χυτῷ λιμένι, παρὰ ἀπολλωνίῳ. χυτὸς λιμὴν κυζίκου. χυτὸς δὲ καλεῖται ὁ περικλεισθεὶς, καὶ λίθοις οἰκοδομηθεὶς, καὶ μὴ αὐτοφυὴς ὤν. καλεῖται δὲ οὕτω, καὶ ὁ ἰλὺν ἔχων καὶ ἄσιν, ἤγουν ἀκαθαρσίαν.

Χυτρόπους, ἀπὸ τῶν χυτροπόδων τῶν ἐσχαρῶν τῶν μαγείρων. περιφραστικῶς χύτραν εἶπε.

Χωλὸς, ἐκ τοῦ κῶλον τὸ ὀστοῦν. ὁ τὸ ὀστοῦν βεβλαμμένος. τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, καὶ μεταβολῇ τοῦ τόνου, χωλός. κῶλος δὲ σημαίνει ἔκτρος, ὡς πῶλος. εἰς δὲ τὸ ἄλλο ἐτυμολογικὸν, τροπῇ τοῦ κ εἰς χ, καὶ τοῦ ο εἰς ω. κολοβὸς γάρ ἐστιν ὁ μὴ τέλειος. ὅμηρος. Κόλον δόρυ. καὶ κόλους κριοὺς, τοὺς ἀποβεβληκότας τὰ κέρατα. χωλὸς οὖν ὁ μὴ τέλειος.

Χῶνες, ἔθνος ἰταλικόν. τὴν κραυγὴν κλήν φασὶ κατὰ τὴν αἰγυπτίων διάλεκτον χῶνα λέγεσθαι. παραγενέσθαι δὲ εἰς ἰταλίαν, καὶ ἀπ' αὐτοῦ χῶνας ὀνομασθῆναι τὸ ἔθνος.

Χῶρος, εἰς τὸ χορός.

Χῶξυμπόται, χῶ συγγενεῖς. ἀντὶ τοῦ καὶ οἱ συμπόται, καὶ οἱ συγγενεῖς. σὺν τῷ ι. οὕτω γὰρ λέγουσι τὸ μὴ τοῦ συνδέσμου ἐκθλίβοντες καὶ ποιοῦντες κρᾶσιν τοῦ α ο εἰς τὸ ω. καὶ προσγράφουσι τὸ ι τῆς διφθόγγου, τρέποντες ἀναγκαίως καὶ τὸ κ εἰς χ. οἷον, χῶ τυμπανισμοί. οὕτως εὗρον εἰς τὴν ὀρθογραφίαν ὥρου τοῦ μιλησίου.

Χώω, σημαίνει τὸ λυπῶ καὶ ὀργίζομαι. ὅπερ γέγονεν ἀπὸ τοῦ χέω χῶ. παρὰ τὸ διαχεῖσθαι τὴν χολήν. χῶ οὖν χώσω. ἡ μετοχὴ παθητική, χοόμενος χούμενος. καὶ δωρικῶς, χώμενος. ὡς μοῦσα, μῶσα. καὶ πλεονασμῷ τοῦ ο, χωόμενος. ἢ παρὰ τὸ χολῶ χολώσω χολούμενος. ἐκβολῇ τοῦ λ, χοούμενος. καὶ τροπῇ τῆς ου διφθόγγου εἰς ω, χοώμενος. καὶ ἐν ὑπερθέσει βαρυτόνως, χωόμενος. ὡς ὀρῶ ὀρόω ὀρόωσιν, ὤρορε.

Χρῆμα, πρᾶγμα, ἢ κτῆμα. καὶ χρηματισάμενοι, διαπραξάμενοι. καὶ χρηματίζεσθαι, τὸ χρήματα πράττεσθαι.

Χίλιοι. ὅτι τεσσάρων ὄντων τῆς ὀρθογραφίας κανόνων, ἡ μὲν ἀναλογία τῶν τεχνικῶν, ἐστὶ κανόνων ἀπόδοσις. ἡ δὲ διάλεκτος, γλώσσης ἰδίωμα. ὡς αὐτίκα τὸ μείλιχος, μέλλιχος γράφεσθαι γράφουσιν οἱ αἰολεῖς. ἱστορία δὲ ἐστὶν ἡ τῶν παλαιῶν χρῆσις ἢ καὶ παράδοσις. Ἴστέον δὲ ὅτι πολλάκις ἡ ἱστορία ἐναντιοῦται διαλέκτῳ. τοῦ γὰρ χίλιοι ἀπαιτοῦντος τὴν ει δίφθογγον, χέλιοι γράφουσιν οἱ αἰολεῖς, ἡ ἱστορία ἐναντιουμένη, διὰ μόνου τοῦ ι γράφει. οὕτω γὰρ ἡ παράδοσις ἔχει. ἐτυμολογία δέ ἐστιν ἐπὶ σημαντικῆ λέξεων. ἐπὶ τὸ πλεῖστον τὸ πάθος ἔχουσα.

ΤΕΛΟΣ ΤΟΥ Χ̄Ι
ΣΤΟΙΧΕΙΟΥ

ΙC
ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ Ψ̄Ι
ΣΤΟΙΧΕΙΟΥ

Ψ τὸ στοιχεῖον, ὅτι συριγμὸν ἔχει αὐτοῦ ἡ ἐκφώνησις. καὶ ὅτι ὁ συριγμὸς οὐκ ἔστιν, ἢ μόνον ψι. ἄλλοι δὲ, ὅτι ἐν ὀρνέοις ψαύει χρόνου διπλοῦ.

Ψακάς, σημαίνει αὐλητρίδος. οὕτω δὲ ἐκαλεῖτο, ἐπειδὴ ἀπὸ ποταμοῦ θαλάττιον ἀπέρχεται πρὸς ὀλίγον παραμένουσα. ψακὰς γὰρ ἡ ῥανίς. καὶ ψακάζει, ῥαίνει.

Ψαλάξεις, παραλυκόφρονι, κρούσεις. ψηλαφήσεις. καὶ ἄνευ ὀργάνου κιθαρίσεις.

Ψάλλειν, αὐτίκα χορδῶν τῆς λύρας. παρὰ τὸ ψῶ τὸ προσεγγίζω. οὗ παράγωγον ψαύω. τῇ γὰρ κιθάρα προσεγγίζοντες ἔψαλλον. παρὰ τὸ διὰ δακτύλων ἐπιψαύειν αὐτῶν.

Ψαλμός, σημαίνει ἁπλοῦν προσηγορικόν. λέγεται γὰρ καὶ ᾠδή. παρὰ τὸ ψάλλω, ψαλῶ, ἔψαλκα, ἔψαλμαι, ψαλμός. ὡς τίλλω, τιλῶ τέτιλκα, τέτιλμαι, τιλμός. καὶ ὤφειλεν εἶναι ἔψαλμος. ἀλλὰ τὰ ἀπὸ τοῦ παθητικοῦ παρακειμένου γινόμενα σημαίνει συνάρχεσθαι θέλει τοῖς ἰδίοις ἐνεστῶσι, καὶ φυλάττειν τὸ χαρακτηριστικὸν σύμφωνον δὲ ὂν καὶ ἐγένετο. ὀξύνεται. τὰ εἰς μος προσηγορικὰ, ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς λ καὶ ληγουσαν, ὀξύνεται. οἷον, ὀφθαλμός. σεσημείωται τὸ ὄλμος βαρύτονον, ὃ σημαίνει τὴν γδῆν. ἔστι δὲ λίθος περιφερὴς εἰς ὃν κόπτουσιν ὄσπρια καὶ ἄλλα τινά. καὶ ποτηρίου εἶδος καὶ μέρος τῶν ἄλλων. εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι συνωνύμου. λέγεται γὰρ ὁ ψαλμὸς, ὕμνος, καὶ ᾠδὴ, καὶ αἶνος.

Ψαλμῳδὸς, ἐκ τοῦ ἀείδω γέγονε ψαλμοαοιδός. καὶ συγκοπῇ καὶ κράσει, ψαλμῳδός.

Ψαλτήριον, παρὰ τὸ τὰ ψαλλόμενα τηρεῖν. τὸ τη, η. παρὰ τὸ οὐρῶ τὸ φυλάττω, πλεονασμῷ τοῦ τ καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρόν.

Ψάμαθος, ἡ παραθαλάττιος ἄμμος. παρὰ τὸ ψαύεσθαι ὑπὸ τῆς θαλάσσης, ψάμμος. καὶ ἀποβολῇ, ἄμμος. ὁ δὲ ἡρωδιανὸς παρὰ τὸ ἄμμος λέγει ψάμμος.

Ψᾶρες ψαρῶν. δύο μόνα εἰσὶν εἰς αρ σημαίνει, ψὰρ καὶ κάρ. ἅπερ προσθέσει τοῦ ος κλίνεται. ἔστι δὲ καὶ ψαρὸς ἡ εὐθεῖα.

Ψαυκροπόδης, ἐπίθετον τοῦ ἀρίονος ἵππου. εἴρηται διὰ τὴν ταχύτητα. παρὰ τὸ ψαύειν ἄκροις ποσὶ τῆς γῆς κατὰ δρόμον.

Ψαφαρός, αὐχμηρὸς καὶ κακόχρους παρὰ νικάνδρῳ. ἔνθα καὶ ψαφαρὴ ὁμοίως, λεπτὴ καὶ αὐχμηρά.

Ψαθαρόν, ἁπαλόν.

Ψεδνός, ἀραιός. μαδαρός. ἤγουν δὲ τὸν φαλακρὸν καὶ ψιλὸν τὴν τρίχα. ἰλιάδος β. Ψεδνὴ δ' ἐπενήνοθε λάχνη. καὶ ψῆνος, ὁ φαλακρὸς παρὰ σιμωνίδῃ. ἔστι ψῶ. ἤγουν δὲ ἀπό τινος μείζονος οὐσίας εἰς ἐλάχιστον καὶ μικρὸν μέρος καθιστῶ. οὗ ὁ μέλλων, ψήσω. ῥηματικὸν σημαίνει, ψηνός. καὶ ὁ πλεονασμὸς τοῦ συμφώνου τοῦ φύσει μακρὰν μεταβάλλει εἰς θέσει, ὡς ποτνῆς πεντίχρος. καὶ μικρὸς μικρός. ψεδνὸς οὖν παρὰ τὸ ἐψῆσθαι. ἢ παρὰ τὸ ψῶ τὸ λεπτύνω, ἐξ οὗ καὶ ψέω, ψεδινὸς καὶ ψεδνός. ἐκ τοῦ τοῦ ψῶ, καὶ ψωμὸς μέρος τι τοῦ ἄρτου. ὁ γὰρ ἄρτος, ὁλόκληρός ἐστι. ψῶ καὶ ψίω τὸ λεπτύνω, καὶ ψιάω. ἐξ οὗ καὶ ψιάς. διαφέρει δὲ. ἤγουν γὰρ τὸ παράγωγον ῥῆμα, ἐλάττωμά τινα οὐσίαν ὀνομάζουσιν ὑποκειμένου. τοιοῦτον γάρ ἐστι καὶ τὸ ψαύω καὶ τὸ ψάλλω καὶ ψίω. τό, τε γὰρ ψάλλειν τὸ ἥττονα τῶν πλήκτρων παίειν σημαίνει. καὶ τὸ ψαύειν, ἧττον τοῦ καθάπτεσθαι. ὁμοίως καὶ τὸ ψήχειν. οὕτως οὖν καὶ τὸ ψίειν, οὗ προκατάρχει τὸ ψῶ. ἀφ' οὗ ὁ ψωμὸς τὸ ἔλαττον παρὰ τὸν ἄρτον παρ' ὁμήρῳ.

Ψεῦδος, παρὰ τὸ ψεύδω ἢ φεύγω, φεῦγος καὶ ψεῦδος. ὃ πάντες φεύγομεν. ἢ παρὰ τὸ φείδω φεῖδος. καὶ τροπῇ, ψεῦδος. ἢ παρὰ τὸ εἴδω τὸ βλέπω κατὰ ἀντίφασιν.

Ψευδὴς ψευδοῦς, ὀξύνεται διότι κλίνεται διὰ τοῦ ους. τὰ γὰρ εἰς δης δισύλλαβα μὴ κλινόμενα εἰς ους, βαρύνεται. οἷον, μήδης. γράδης. ἄδης.

Ψηλαφῶ, ἡ μεταφορὰ τῆς λέξεως ἀπὸ τῶν μήλων. καὶ δῆλον τὸ σημαινόμενον. μῆλα γὰρ τὰ πρόβατα. μηλαφῶ οὖν, τὸ τῶν μήλων ἐφάπτομαι. καὶ τροπῇ τοῦ μ εἰς ψ. ἢ παρὰ τὸ ψῶ τὸ προσεγγίζω καὶ τὸ ἁφῶ τὸ ψηλαφῶ, ψηαφῶ. καὶ πλεονασμῷ τοῦ λ, ψηλαφῶ.

Ψῆνος, εἰς τὸ ψεδνός.

Ψηφῖδες, αἱ μικραὶ λιθάδες καὶ λεπταί. ἰλιάδος φ. ἐκ τοῦ ψῆφος. τοῦτο παρὰ τὸ ψῶ τὸ προσεγγίζω. ἔστι δὲ κρίσις. ἀπόφασις. διαλαλιά. ὅρος.

Ψῆνες, αἱ μικραὶ μυῖαι. ἐξ οὗ καὶ προεψηνισμένος. καὶ ψῆνας λέγουσι τὸ σπέρμα τῶν φοινίκων

Ψήγματα, μικρὰ κομμάτια.

Ψήγμα, τὸ κατὰ μικροὺς στάζον. ἐξ οὗ καὶ ψώδιον.

Ψεφενὸς καὶ ψεφηνὸς ἀνὴρ, σκοτεινός. οὐκ ἐπιφανής. ψέφος γὰρ τὸ σκότος φησὶ πίνδαρος ἀριστοκλῆς.

Ψιλός, ὁ ἄδυνατος. παρὰ τὸ ψῶ. ὅθεν καὶ καταψίω. οὗ παν ἀπέτιλται, καὶ ἀφῄρηται. ἢ παρὰ τὸ ψῶ τὸ ἅπτομαι ψιλός, ψιλή. εὐχερῶς γὰρ ἅπτεταί τις τοῦ ψιλοῦ. καὶ ψιλὴν ἄρουραν, τὴν ἄδενδρον χώραν τὴν πρὸς τὸ σπείρεσθαι καὶ ἀροῦσθαι ἐπιτηδείαν.

Ψιλέρην, τὸ ἀσθενῶς ποιεῖν.

Ψιστὰ, ποπάνα. πλατύματά τινα στρογγύλα, ἃς θυσίαν γινόμενα.

Ψήχειν, καταμάσσειν. τρίβειν. ξύειν.

Ψώχοντες, θρύπτοντες. λεπτύνοντες.

Ψεκάδες, δρόσοι. σταγόνες πίπτουσαι. παρὰ τὸ πάσιν. ὁ δὲ ἡρωδιανὸς ψεκάδες καὶ ψιάδες, ἀποβολῇ καὶ μεταθέσει. ὁ δὲ φιλόξενος, ἐστὶ ψάδ ῥῆμα. παράγωγον, ψίω τὸ λεπτύνω καὶ ἐλαττῶ. ἀφ᾽ οὗ ψιὰς, ἡ κατὰ λεπτὸν τοῦ ὕδατος ἔκδοσις. ὡς λάμπω λαμπὰς, ἵλλω ἱλλὰς, οὕτω ψίω, ψιὰς, ἡ κατὰ ὀλίγον κατερχομένη δρόσος. οἱ δὲ, παρὰ τὸ ψίσω τὸ ποιῶ.

Ψίθυρ ψίθυρος, παρὰ τὸ ψύθος. λέγεται καὶ ψίθυρος ψιθύρου. καὶ ψιθυρίζω, τὸ τὴν φωνὴν λεπτολογῶ. παρὰ τὸ ψίω καὶ τὸ θύρα, ὃ σημαίνει περιφραστικῶς τὰ χείλη. ἐκ τούτου καὶ ψιθυρισμός, ἡ λεπτὴ φωνή. τινὲς δὲ τὸ ψιθυρίζειν ὠνοματοπεποιῆσθαί φασιν, ὡς τὸ τρίζε, καὶ σίζειν, ἀπὸ τοῦ τελουμένου ἤχου ὑποφυσῶντος τοῦ ἀνέμου. οἷον, Ηδὺ τὸ ψιθύρισμα τῶν δένδρων ἠνοῦ ἔτι. ὅθεν κυρίως ἐπὶ τῶν ψευδομένων τὸ ψιθυρίζειν λαμβάνουσιν ἐγκειμένου τοῦ ψύθους. καλλίμαχος. Cκύλλα γυνὴ καταπᾶσα καὶ οὐ ψύθος ὄνομ᾽ ἔχουσα.

Ψίξ, παρὰ τὸ ψίχω τὸ ἐμβρωματίζω.

Ψολόεντα κεραυνόν, τὸν ἅμα τοῦ ψαῦσαι ὀλλύντα.

Ψύδραξ. οἱ ἴωνες ψύδρακας λέγουσι τὰς ποικίλας. ὅθεν καὶ ἡμεῖς ψύδρακας καλοῦμεν τὰ ἐπὶ τοῦ σώματος ἐξανθήματα.

Ψῦθος, τὸ ψεῦδος. ἐκβολῇ τοῦ ε, ψῦδος. καὶ τροπῇ τοῦ δ εἰς θ, ψῦθος.

Ψύη, παρὰ τὸ ψαύω. ἡ ἐπὶ ψαύουσα σὰρξ καὶ δέξεται πολλῆς οὖσα τοῖς ὀστέοις. ἢ παρὰ τὸ ξύω ξύη κατὰ ἀντίφρασιν, ἣν εὐχερῶς ξῦσαι οὐ δυνάμεθα. ἢ παρὰ τὸ ὀπίσω. κράσει τοῦ πς, γίνεται ὁ ψύη ἐξ αὐτοῦ. καὶ ἀποβολῇ τοῦ σ ψύη, ἡ ὀπίσω ἄγουσα.

Ψυχαγωγία, ὅπου τὸ ὕδωρ ἀνιμηθὲν ταμιεύεται πρὸς τὴν ἔνδειαν τῶν χωρίων. ἢ αἱ θυρίδες τῶν μετάλλων αἱ πρὸς τὸ ἀναψύχειν γινόμεναι. ἢ ὄνομα τόπου ἐφ᾽ οὗ οἱ μάντεις ἐπὶ ψυχῶν μαντευόμενοι, ἀναφέρουσι τὰς ψυχὰς τῶν νεκρῶν.

Ψυχάζειν, τὸ ἀναψυχὴν λαμβάνειν ἐκ πνεύματος.

Ψύχω, σημαίνει δύο. τὸ ζωοποιῶ, ἐξ οὗ καὶ ψυχή. καὶ τὸ φυσῶ, ἐξ οὗ ἰλιάδος υ. Η καμάλα ψύξασα, ἀντὶ τοῦ φυσήσασα.

Ψυχὴ, παρὰ τὸ ψύχος ὃ σημαίνει τὸ πνεῦμα. ὅμηρος.

Ψυχῆς ἱμείρων, ἀντὶ τοῦ πνεύματος. ἐπὶ τῶν ἐλπίνορι. πνεῦμα δὲ καὶ ἡ ψυχή. ἢ παρὰ τὸ ψύχω τὸ ζωογονῶ. φυσιοχητισοῦσα, ἡ τὴν φύσιν συνέχουσα. ἔστι δὲ ὄνομα προσηγορικόν. καὶ σημαίνει δύο. τὴν ψυχὴν, ὡς τὸ, Ηδ᾽ ἐκρέεθε ὠνα πέπλαρ φαίδιμος ψυχή. καὶ τὸ αἷμα, Ψυχὴ κατ᾽ οὐταμένην ὠτειλήν.

Ψυχρός, παρὰ τὸ ψύχος ψυχηρός. καὶ συγκοπῇ, ψυχρός.

Ψωά καὶ ψῶζα, ἀμφότερα τὴν δυσωδίαν σημαίνει. Αρπυιαι ἅ τ᾽ ἐληρον ἐπὶ ψῶαν πνείεσκον.

Ψωλὴ, παρὰ τὸ ἐμφυσᾶσθαι κατὰ τὴν ὄρεξιν τῶν ἀφροδισίων, ὅτι καὶ φύσει φυσώδης ἐστί.

Ψωμός, παρὰ τὸ ψήχεσθαι ὑπὸ τῶν ὀδόντων ἢ τρίβεσθαι καὶ τὰ ψευστὰ ὁμοίως. ὁ δὲ ἡρωδιανός, παρὰ τὸ ψῶ τὸ λεπτύνω. δηλοῖ γὰρ αὐτοῦ τοῦ εὐτελοῦς τὸ ἐλάχιστον. καὶ ψώρα ὁμοίως, παρὰ τὸ ψῶ. οὗ παράγωγον, ψαύω. ἐπειδὴ οἱ τῷ πάθει συνεχόμενοι τούτῳ, πολλὴν ἔχουσιν ὁρμὴν πρὸς τὸ ψᾶν τε καὶ κνήθειν τὰ πεπονθότα τοῦ σώματος μέρη. τὸ δὲ ψῶ, σημαίνει τέσσαρα. ψῶ τὸ ἅπτομαι, ἐξ οὗ ψώρα. παρὰ τὸ ἅπτεσθαι καὶ κνήθειν τὰ πεπονθότα μέρη τοῦ σώματος. ψῶ τὸ λεπτύνω καὶ σμικρύνω, ἐξ οὗ καὶ ψιλὸς στρατιώτης, ὁ ἄοπλος καὶ γυμνός. τὸ κόπτω, ἐξ οὗ καὶ ψωμός, ὁ εἰς μικρὰ κεκομμένος. ψῶ τὸ καίω, ἐξ οὗ καὶ ψωλὸς ὁ κεκαυμένος δηλός:–

ΤΕΛΟΣ ΤΟΥ ΨΙ ΣΤΟΙΧΕΙΟΥ:–

ΝΙΚΟΛΑΟΥ IC ΤΟΥ ΒΛΑΣΤΟΥ

ΑΡΧΗ ΤΟΥ Ω ΣΤΟΙΧΕΙΟΥ:–

Ω, Α, σημαίνει τὴν ἀνάκλασιν τοῦ κρασπέδου τοῦ ἱματίου. σὺν τῷ ι γράφεται. ἔστιν οἷς οἶος, τὸ πρόβατον. καὶ συναιρέσει, οἷς ὄϊος. τὸ θηλυκὸν, οἴα. καὶ κατ᾽ ἔκτασιν τοῦ ο εἰς ω, ὤα. καὶ γὰρ οἱ ἀρχαῖοι, προβάτων δέρματα ἔβαλλον ἐν τοῖς κρασπέδοις τῶν ἱματίων. ἢ ἀπὸ τοῦ οἷς. τὸ κτητικὸν, οἶος. τὸ θηλυκὸν οἰεία. καὶ κατὰ συγκοπὴν καὶ αὔξησιν τοῦ ο εἰς ω, ὤα. τὸ δὲ οἷς, παρὰ τὸ οἴω τὸ νομίζω.

Ωγον, σὺν τῷ ι. πρῶτον μὲν, ὅτι ἀπὸ τοῦ οἴγω ἐγένετο κατὰ τροπὴν τοῦ ο, εἰς ω. ὡς προσοίχομαι, ᾠχόμην. οἰκῶ, ᾤκουν. ὁ γὰρ παρατατικὸς πάντοτε μεγεθύνει κατὰ τὴν ἀρχὴν ἢ χρονικῶς, ἢ συλλαβικῶς. δεύτερον δὲ ὅτι οἱ παρῳχημένοι κατὰ τὴν ἀρχὴν, ἢ ἴσα φωνήεντα θέλουσιν ἔχειν, ὡς αὐλῶ ηὔλουν, αἰσχύνομαι ᾐσχυνόμην, ἢ πλείονα, ὡς ἔχω, εἶχον. οὐδέποτε δὲ ἐλάττονα. ἐπεὶ οὖν τὸ οἴγω δύο φωνήεντα ἔχει κατὰ τὴν ἀρχὴν, τούτου χάριν καὶ τὸ ᾦγον τὸ ι ἔχει, ἵνα σχῇ κατὰ τὴν ἀρχὴν τὰ ἴσα φωνήεντα τῷ ἐνεστῶτι. ὡς τὸ κάθημαι. ἄξιον δὲ ζητῆσαι διατί πάντοτε μεγεθύνεται ὁ παρατατικός. καί ἐστιν εἰπεῖν, ὅτι ἐπειδὴ ὁ παρατατικὸς πλέων ἐστὶ κατὰ τὴν σημασίαν τοῦ ἐνεστῶτος, ὁ γὰρ ἐνεστὼς ἀκαριαῖός ἐστι, καὶ ἅμα τῷ λέγεσθαι ἔχει καὶ τὸ εἶναι, ὁ δὲ παρατατικὸς παρατεταμένην ἔχει τὴν σημασίαν, τούτου χάριν ὡς πλεονεκτῶν κατὰ τὴν σημασίαν τὸν ἐνεστῶτα, πλεονεκτεῖ καὶ κατὰ τὴν ἀρχήν.

Ωγύγιαι πύλαι, ἰλιάδος θ. ἀνάγνωθι κατὰ τὴν ἀρχήν. ὠγυγίαι. ἀπὸ τοῦ οἴγω οἴγνω οἰγνύω. Καὶ τῆσι θύρας ὤϊξε θεανώ. ἰλιάδος ζ. ἀπὸ τοῦ οἴγω, οἴξω ὦξα. καὶ κατὰ διάστασιν ὤϊξα. δύναται δὲ κατὰ τὸ ἀρχαῖον ἀντὶ τοῦ μεγάλου τάττεσθαι τὸ ω.

Ωγυγος, ἀρχαῖος βασιλεὺς ἀθηναίων. ἀφ᾽ οὗ καὶ ὠγύγιαι πύλαι ἐν θήβαις. καὶ πᾶν τὸ ἀρχαῖον ὠγύγιον φασὶ, διὰ τὸ πολὺ αὐτὸν γενέσθαι ἀρχαιότατον. διονύσιος. Ωγυγίη τε θάσος δημήτερος ἀκτή. ἐξ ἀρχῆς γὰρ τὴν δημήτραν με-

Ωδε, σημαίνει δύο παρὰ τῷ ποιητῇ. τὸ οὕτως ἢ ταλῶς ἐσταίμην. τως, ὡς τὸ, Ωδε δέ τις εἴπεσκεν οὐρανὸν εὐρὺν ἰδών. σημαίνει καὶ τὸ νῦν, ὡς τὸ, Εἰκέτισ ἀφαίνοντα κιχίω ὡς νύπερ ὧδε. σημαίνει καὶ τόπον. παρὰ τοῖς ἄλλοις, τὸ ἐνταῦθα. σημαίνει καὶ τὸ ὅπως. καὶ μάλιστα ὅμηρος τοῦτο οἶδεν. οὐδέποτε δὲ παρὰ τῷ ποιητῇ τὸ τοπικὸν εὑρίσκεται, ἀλλὰ πάντοτε ἀντὶ τοῦ οὕτως ἐπίρρημα μεσότητος. οὐδὲν δὲ εἰς δε λῆγον τοπικὸν ἔχει πρὸ τοῦ τέλους τὸ ω, πλὴν τοῦ ὧδε. οὐδὲν δὲ εἰς δε λῆγον δισύλλαβον τοπικόν ἐστιν. ὃν δὲ τρόπον τὸ ὅς ἐκταθὲν ἐγένετο ὥς, καὶ τὸ, οὗτος, οὕτως, οὕτω καὶ τὸ ὅδε, ὧδε. γίνεται δὲ ἡ χρῆσις παρὰ ἀττικοῖς ὧδι, ἀντὶ οὕτως. καὶ ἔστιν ἐπίρρημα μεσότητος διὰ τοῦ ι γραφόμενον.

Ωδὴ, παρὰ τὸ εἴδω τὸ γινώσκω. μετὰ τοῦ ἐπιτατικοῦ α ἀείδω, τὸ πάνυ γινώσκω. ἐξ αὐτοῦ ὠδὴ ἀοιδή. καὶ κράσει

Ωδύσατο, ὠργίσθη ὠδύζεσθαι γράφεται τοῦ ο εἰς ω μεγάλου, ὠδή ἐστι τὸ ὀργίζεσθαι παρὰ τὸ ὀδύνη. ἢ ἔστι παρὰ τὸ ἔδω. οἱ γὰρ χολούμενοι, πρότερον ὀδυνώμενοι ἑαυτοὺς κατεσθίουσιν.

Ωδὶς, παρὰ τὸ ὠθῶ. ὠδὶς τις οὖσα δι᾽ ἧς ὠθεῖται τὸ βρέφος. ἢ ἀπὸ τοῦ ὀδύνη κατ᾽ ἐπαύξησιν τοῦ ο εἰς ω, καὶ τροπῇ τοῦ υ,

Ωὴ, ἐστὶν ὠ κλητικὸν ἐπίρρημα. καὶ πλεονασμῷ τοῦ η εἰς τὸ ι. σημαίνεται τοῦ η, γίνεται ὠή. ὥσπερ τὸ τί, τίη. οἷον, Τίη δὲ σύ.

Ωδὶς, ἡ ἐκ τοῦ τοκετοῦ ὀδύνη. ὠδῖνε σημαίνει καὶ τὸ ἐπεθύμει.

Ωκα, ἐπίρρημα μεσότητος. γίνεται ἀπὸ τοῦ ὠκύς. τοῦ δὲ τέρου, ἀκύ ἀκέα. ἀκα. καὶ τροπῇ τοῦ α εἰς ω γίνεται ὦκα. καὶ δηλοῖ τὸ ταχέως. τὰ δὲ ἀπὸ πληθυντικῶν οὐδετέρων μεταγόμενα εἰς ἐπιρρηματικὴν σύνταξιν, ἅπαντα βαρύνονται. ταχέα, τάχα. σαφέα, σάφα. ὠκέα, καὶ συγκοπῇ

Ωκεανός, παρὰ τὸ ὠκέως ἀνύτειν. ὦκα. χωρὶς τοῦ θαυμάζειν ὁ οὐρανὸς νενόμισται. ἢ παρὰ τὸ ὠκέως νάειν. ἢ παρὰ τὸ ὠκὺς καὶ τὸ ἀγνύω. ὁ ταχέως φέρων.

Ωκὺς, σημαίνει τὸν ταχύν. παρὰ τὴν ἀκὴν ἥτις δηλοῖ τὴν ὀξύτητα, γίνεται ἀκύς. καὶ τροπῇ ὠκύς, ὡς τέκμαρ τέκμωρ. ἢ παρὰ τὸ ὦκα. ἢ παρὰ τὸ εἴκω τὸ ὑποχωρῶ. τὸ παρὰ τὸν, ὧρος. τὸ

Ωκυάλου, ἐπὶ νηός. ἡ ἁλὸς γενικὴ ἐπὶ τοῦ δεύτερον, ἅλος. μὲν κυρίων συντίθεμένη, ψιλὸν ἀποφέρει τὸ πνεῦμα. οἷον εὐρύαλος. ἐπὶ δὲ ἑτέρου, τὸ ἴδιον τηρεῖ πνεῦμα. ἐν ἀμφιάλῳ ἰθάκῃ. ὕφαλος. πάραλος. τοῦτο καὶ τὸ ἐπιθετικὸν, ὀφείλεδασύνεσθαι, εἰ περ ἦν σύνθετον. νῦν δὲ παραγωγὴν ἔλαβε τῆς ἁλὸς κατὰ πολικὴν κειμένης. διὸ ἐψίλωσαν τὸ α παραγωγὴν ἐκδεξάμενοι, καὶ οὐ σύνθεσιν.

Ωλκα, τὴν αὔλακα. παρὰ τὸ ἕλκω ἕλξω ἕλξ καὶ ὦλξ. καὶ

Ωλέναι, αἱ χεῖρες. αἱ παλάμαι. ἀπὸ τοῦ ἐκτάσει ὠλέξ. δι᾽ αὐτῶν ὁλοῦσθαι τὰς πράξεις, τουτέστι πληροῦσθαι.

Ὦλλοι, ἀντὶ τοῦ οἱ ἄλλοι. αἱ τοιαῦται δὲ συναλοιφαὶ, τῆς δευτέρας εἰσὶ ἰλιάδος, ἣ Ὅμηρος οὐκ ἐχρήσατο. διὸ περὶ Ζηνόδοτον μέμφονται, εἰ τοῦτο δεῖν ἀναγινώσκειν, ὦλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες.

Ὠλίγην, ἀκαριαίαν. ἐλάχιστον. τὰ ποιοῦσι δὲ Ἀθηναῖοι καὶ ἐπὶ τοῦ νυστάξαι. καὶ τὰς ἐπὶ τῶν βλεφάρων οἷον ῥυτίδας ὠλιγίας. τὴν δὲ ὠλίγην δηλοῦν καὶ πνοὴν καὶ σκιὰν, καὶ ἀκαρὲς πνεῦμα. τὸ δὲ ὠλίγιον, ὀλίγον σημαίνει.

Ὠμογέρων, ὁ μὴ εἰς τέλειον καιρὸν γεγηρακὼς ἢ πρὸ τοῦ ὁ τῆς ἡλικίας γεγηρακὼς, διὰ λύπην, ἢ συμφοράν. οὐ ἤ-

Ὤδησα, ἐφροντισάμην. <κεφαλὴ οὐκ ἐπολιώθη.

Ὡμήρησεν, ὁμήρους τὰς ἐνέχυρα. ὡμήρησε δέ μοι παρ' ἑταίρων ἄγγελος ὠκύς. ὀδυσσείας π, ἀντὶ τοῦ συνέτυχεν. ἀπὸ μεταφορᾶς τῶν ὁμοῦ ἐρχομένων. πιὸς δὲ ἐν ὑπομνήματι τῆς π, ἀντὶ τοῦ συνήντησεν. Πίνδαρος δὲ ἐν ὕμνοις, Ἐρίφων μεθομήρεον. οἷον, ὁμοῦ καὶ μετ' αὐτῶν πορευόμενον. ἢ ὅτι ἀντὶ τοῦ συναντιλαβοῦ καὶ συμβαλοῦ. ὅθεν ὅμηροι, οἱ ἐπὶ καταλλαγῇ στελλόμενοι διὰ εἰρήνην καὶ ὁμόνοιαν. οἱ δέ φασι τοὺς ἀρχαίους λέγειν τὸ συνακολουθεῖν. τοὺς οὖν ἐπὶ ἀκολουθίᾳ τῶν ὁμολογημένων ὄντας, ὁμήρους λέγουσιν.

Ὠμηστὴς, ἀπὸ τοῦ ἔδω, ἔσω, ἦκα, ἦσμαι, ἦσαι, ῥηματικὸν ὄνομα ἐστής. ὡς ψεύσω ψεύστης. καὶ προσθέσει τοῦ ε εἰς η μετὰ τοῦ ὠμὸς, ὠμηστής. καὶ ἀλλαχοῦ ὠμοφάγοι θῶες. καὶ γὰρ τὸ αὐτό ἐστιν ὠμηστὴς, καὶ ὠμοφάγος. τὸ δὲ ὠμηστὴς, τάσσεται καὶ ἐπὶ ἀλόγων καὶ λογικῶν. Ὅμηρος. ὠμηστὴς καὶ ἄπιστος ἀνήρ. καὶ ἐπὶ ἀλόγων, Ἀλλ' οἰωνοὶ ὠμησταί.

Ὠμοργὲς, σκληρόν. καὶ ὠμοργὸς, σκληρὸς < ἐρύουσιν. χαλεπός.

Ὠμὸν, τὸ μὴ μεταβολὴν εἰληφὸς εἰς πέψιν. ὡς καὶ τὴν ἔξω τροφὴν, ὠμὴν λέγουσιν. οὔτε ἡψημένην, οὔτε ὠπτημένην. ἢ ὡς Φιλόξενος, ὠμὸν τὸ ἐν ταυτότητι μένον, καὶ ὑπάρχον, καὶ μὴ μεταβληθέν. παρὰ τὸ ὦ τὸ ὑπάρχω.

Ὠμήλυσις, τὸ κρίθινον ἄλευρον, καὶ τὸ ἐξ αὐτοῦ κατάπλασμα, ὅτι οὐ φρυγόμενον ἀλήθεται.

Ὦμος, παρὰ τὸ ὦ τὸ ὑπάρχω. ὑπομένει τὰ βάρη ἰσχυρῶς καὶ τὰ φορτία. ἔστι δὲ τὸ μέλος τοῦ σώματος. ὅθεν καὶ ὠμὸς, ὁ ἀπηνὴς καὶ σκληρός, οἱονεὶ ὁ μένων ἐν ᾧ ὑπάρχει, καὶ μὴ μεταβαλλόμενος. ἢ παρὰ τὸ οἴσω μέλλοντα, ὁ δὲ ἐνεστὼς οὐκ εἴρηται, γίνεται οἶμος καὶ ὦμος ἐφ' οὗ φέρομεν τὰ φορτία, τροπῇ τῆς οι διφθόγγου εἰς ω. ὡς ἐκ τοῦ ἐναντίου ἀγκώνη. ἔδει λέγεσθαι ἀγκοίνη. βαρύνεται. τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ, ἀρχόμενα ἀπὸ τοῦ ω, μὴ προσκειμένου τοῦ ι, βαρύνεται. ὦρος. ὦχρος. πρόσκειται μονογενῆ, διὰ τὸ ὠμός. ἀπὸ τοῦ ω ἀρχόμενα, διὰ τὸ ζωμός καὶ τὰ ὅμοια. μὴ προσκειμένου τοῦ ι, διὰ τὸ ᾠδός ὁ παρῳδός.

Ὠμοκυδιᾶ, ἐπὶ τῇ τῶν ὤμων εὐεξίᾳ μεγαλοφρονεῖ.

Ὤμοι, ἔστιν ἀναφώνησις λύπης δηλωτική, ἐκ τοῦ οἴμοι. κατὰ ἔκτασιν τοῦ ο εἰς ω, ὤμοι. εἴρηται δὲ καὶ οἴμοι δι' ἑνὸς μ. εἰ δὲ ἔστι χωρὶς τοῦ ι, ἔστιν ἀπὸ τοῦ ω, ὤμοι. τὸ δὲ ω, σχετλιαστικόν ἐστιν ἐπίρρημα. ὃ περισπᾶται εἰς α συστελλόμενον, ὡς τὸ, ἆ δειλέ. ἀντὶ τοῦ ὢ ἄθλιε. γίνεται ἀπὸ τοῦ ω κατ' ἐπέκτασιν.

Ὠὸν. δεῖ γινώσκειν, ὅτι τὸ ὠὸν τὸ ι ἔχει. πρῶτον μὲν, ὅτι εὕρηται τὸ ι κατὰ διάστασιν παρὰ τῇ Σαπφοῖ. φασὶ δή ποτε Λήδαν ὑακίνθινον πεπυκαδμένον εὑρεῖν ὤϊον. δεύτερον δὲ διὰ τὸν χαρακτῆρα. τὰ γὰρ διὰ τοῦ ωον μονογενῆ, εἰς τὸ ζῷον. πρόσκειται μονογενῆ, διὰ τὸ ὅσωος. ὁ ζῷος. τὸ ζῷον. τὸ δὲ ὠὸν ὀξύνεται, ὅτι ἀπὸ φωνήεντος ἄρχεται. τὰ δὲ λοιπὰ, ἀπὸ συμφώνου. καὶ ὡς διήλλαξε κατὰ τὴν ἀρχὴν, παρήλλαξε καὶ κατὰ τάξιν. ἐτυμολογεῖται δὲ παρὰ τὸ οἰωνὸν, μόνον γὰρ τίκτεται. Νίκανδρος ἐν Θηριακοῖς. Κτίλα πῶεα βρύχων. τὰ τῶν ἡμέρων ὀρνίθων ὠὰ κτίλα καλεῖ.

Ὧπερ, σὺν τῷ ι. σημαίνει δὲ τὸ καθάπερ. ἔστι γὰρ ὡσείπερ. καὶ κατὰ ἀποβολὴν τοῦ σ, ὠείπερ. καὶ κιρνᾶται τὸ ω καὶ ε, καὶ γίνεται ὤιπερ. καὶ συναιρέσει, ᾦπερ.

Ὠπόλος, ἀπὸ τοῦ ὁ αἰπόλος γίνεται κατὰ κρᾶσιν τοῦ ο καὶ α εἰς τὸ ω. καὶ συναιρέσει πάλιν τοῦ ο καὶ ι εἰς τὴν ωι δίφθογγον, ὠπόλος, ἀντὶ τοῦ ὁ αἰπόλος. τὸ δὲ ὠπόλοι ἀπὸ τοῦ οἱ αἰπόλοι κατὰ ἀποβολὴν τοῦ ι τοῦ οἱ ἄρθρου. καὶ κρᾶσει καὶ συναιρέσει. ζήτει εἰς τὸ, οὑμός.

Ὤπυιεν, ὡμίλει ἐν συνουσίᾳ. ἀπὸ τῆς ὀπὸς, ἢ παρὰ τὸ ἕπεσθαι ἀνδρί. ἢ παρὰ τὸ ὁμοῦ ἰέναι ὤμυεν καὶ τροπῇ τοῦ μ, εἰς π. ζήτει εἰς τὸ ἀλύω.

Ὦπες, οἷον ὀπαί τινες οὖσαι τῆς ψυχῆς, δι' ὧν τὸ κατάστημα τῆς ψυχῆς θεωρεῖται. ὅθεν καὶ ὑπώπια. ἢ ὅτι ὀπῇ καὶ τρήματι ἐοίκασιν.

Ὥρα, σημαίνει τὴν μορφὴν καὶ τὸ κάλλος. ὅθεν καὶ ὡραῖος. σημαίνει καὶ τὴν φροντίδα, καὶ τὸ τέταρτον τοῦ ἐνιαυτοῦ. καὶ τὸ δωδέκατον τῆς ἡμέρας. γίνεται παρὰ τὸ ὠρῶ τὸ φυλάττω. κατὰ γὰρ ὥραν ἐφύλαττον οἱ ἀρχαῖοι ἐν ταῖς νυξίν. ἢ ἀπὸ τοῦ διορίζειν τὰ διαστήματα τῆς ἡμέρας. παρὰ τὸ ὁρίζω ὅρα καὶ ὥρα. ὥρα ἡ ῥοπὴ, παρὰ τὸ ὠρεῖν ἡ φυλάττουσα συντεταγμένως τὸν ἴδιον καιρὸν καὶ ὧραι αἱ πυλωροὶ τοῦ οὐρανοῦ θεαί. παρὰ τὸ ὠρεῖν καὶ φυλάττειν. τὰ δὲ εἰς α λήγοντα θηλυκὰ διχῶς συντίθενται. ἢ γὰρ φυλάττει τὸ α, ὡς τὸ σκιὰ σκιαγραφῶ, ἢ τρέπει αὐτὸ εἰς ο. ὡς τὸ, ὥρα ὡρολόγιον. ὀπωροφυλάκιον. ὅτε δὲ παραλήγεται τῷ ε, τρέπει αὐτὸ εἰς ω. ὡς τὸ γεωμέτρης. τὰ δὲ εἰς ρα λήγοντα θηλυκὰ δισύλλαβα, εἰ μὲν διφθόγγῳ παραλήγεται, συστέλλει τὸ ἄλφα. πεῖρα. σπεῖρα. σφαῖρα. εἰ δὲ ἑνὶ φωνήεντι, ἐκτείνει αὐτό. χώρα. ψώρα. χήρα. πήρα. οὕτως οὖν καὶ ὥρα.

Ὢ πόποι, ποίου μέρους λόγου ἐστίν, ἐπιρρήματος. καὶ πῶς τίθενται δύο τόνοι. εἰ γὰρ ἦν ἓν μέρος λόγου, ὤφειλεν ἔχειν ἕνα τόνον. εἰσὶ δὲ δύο ἐπιρρήματα. καὶ ἔστιν ἀντὶ τοῦ παπαί. καὶ ἔστιν ἐκ παραλλήλου ἓν μέρος λόγου. καὶ λέγεται ὅτι συνεξηκολούθησε τῇ ὀνομαστικῇ πτώσει τῇ, ὦ φίλοι. ὤφειλε δὲ ὀξύνεσθαι, ὡς γινόμενον ἐκ τοῦ παπαί. ἀλλὰ συνεξηκολούθησε τῇ ὀνομαστικῇ πτώσει. οἱ γὰρ Σκύθαι ἀγάλματά τινα ἔχοντες ὑπόγαια τῶν θεῶν, πόπους αὐτὰ καλοῦσιν.

Ὡρακίζω, παρὰ τὸ ἀκίζεσθαι τὴν ὥραν, τουτέστι τὴν μορφήν. ἀντὶ τοῦ ὠχριᾶν. καὶ ὡρακιῶ τὸ αὐτό. σημαίνει δὲ καὶ τὸ λειποψυχεῖν καὶ ἐκλύεσθαι.

Ὥρεσσιν, ἀντὶ τοῦ ταῖς γυναιξίν. Ἰλιάδος ι. ἀπὸ τοῦ ὁμοῦ ἀρηρέναι καὶ συνηρμόσθαι ἀνδρί. ἔνθα καὶ ξυνωρίς. παρὰ τὸ ξυνηρμόσθαι. ἔστιν ἡ εὐθεῖα, ὄαρος. τὸ πληθυντικὸν, ὄαροι. καὶ κατὰ μεταπλασμὸν, ὄαρες. καὶ κατὰ συναίρεσιν, ὦρες. ὁ δὲ Ὦρος λέγει ὅτι παρὰ τὸ ὁμοῦ ἀρηρέναι, γίνεται ὄαρ. καὶ ὑπερθέσει, ἄορ. καὶ συναλοιφῇ, ὦρ.

Ὠρείθυια, παρὰ τὴν ὄρει δοτικὴν καὶ τὸ θύω τὸ ὁρμῶ, γίνεται ὠρείθυια κατ' ἔκτασιν τοῦ ο εἰς ω.

Ὠρείτης, ὁ πολίτης. παρὰ τὸ ὠρεὺς ὠρέως γίνεται. καὶ τὸ κύριον ὄνομα ἔστι διὰ διφθόγγου. ὡς παρὰ Ἀπολλωνίῳ. Ὠρείτης δ' Ἀμύνοιο. τινὰ δὲ τῶν ἀντιγράφων ὠρείδης ἔχει. Χοιροβοσκός.

Ὧρος, ὁ ἐνιαυτός. παρὰ τὰς ὥρας τὰς τροπὰς ἃς περιέχει. ἢ παρὰ τὸ ὀξὺ καὶ κοῦφον καὶ μετέωρον εἴρηται. ἐπεὶ καὶ μετέωρος εἴρηται ὁ κοῦφος. καὶ ὡρογραφίαι, αἱ κατ' ἐνιαυτὸν ἀναγραφαὶ γινόμεναι τῶν ἐν ταῖς πόλεσιν.

Ὡρολογεῖον. λέγειν ἐπὶ τὸ μετρεῖν. ὀδυσσείας λ. Ἔνθ' ἡμέας πρώτους λέγε, ἀντὶ τοῦ συνηρίθμει. ὡρολογεῖον οὖν, ᾧ τὰς ὥρας μετροῦμεν.

Ὤριστος, ἀντὶ τοῦ ἄριστος βοιωτικῶς κατὰ τροπὴν τοῦ α εἰς ω.

Ὠρίων, κατὰ τροπὴν τῆς ου εἰς ω. ἀπὸ τοῦ οὐρίων. ἔστιν ἀπὸ ἱστορίας. ἀπὸ τοῦ οὐρῆσαι τοὺς θεοὺς ἐν τῇ βύρσῃ καὶ γεννηθῆναι αὐτόν. ἔστι δὲ ἄστρον οὕτω καλούμενον.

Ὠρύω, σημαίνει τὸ κλαίω. παρὰ τὸ ἄω, ἢ αὔω τὸ φωνῶ, γίνεται ἀωρύω. καὶ κρᾶσει τοῦ α καὶ ω, εἰς ω. ἢ γίνεται ἀορίω. καὶ κρᾶσει τοῦ αο εἰς ω, ὠρύω. ἢ παρὰ τὸ θόρυβος θορυβῶ. κατὰ ἀποβολὴν τοῦ β, θορύω. καὶ ἐκτάσει τοῦ ο εἰς ω, καὶ ἐκβολῇ τοῦ θ, ὠρύω. εἰς τοὺς ἐπιμερισμοὺς δὲ εἰς τὸ ὠρυόμενος, εὗρον ὅτι πρωτότυπόν ἐστι.

Ὥρμαινεν. ἐκ τοῦ ὁρμῶ ὁρμαίνω. ὁ παρατατικὸς ὥρμαινον. Ὅμηρος. Ἕως ὁ ταῦθ' ὥρμαινε.

Ὠρχμενος, ἄρχω ἀρχόμενος. καὶ κατὰ συγκοπὴν καὶ τροπὴν, ὠρχμενος.

Ὡς, ἐπίρρημα θαυμαστικόν, ἀντὶ τοῦ λίαν. ἢ ἐπίρρημα βεβαιώσεως. σημαίνει δὲ δύο καὶ τριάκοντα. παραβολὴν, ὡς δὲ λέων ἐν βουσὶ θορών. ἀνταπόδοσιν, ὡς ἄψ καθ' ὅμιλον ἔδυ. ὑποβολὴν, ὡς οὐκ ἔστι κύντερον ἄλλο. ὁμοίωσιν, ὡς Ὀδυσσῆος μεγαλήτορος υἷι ἔοικεν. καὶ ἀντὶ τοῦ ὅμως, Ἀλλ' οὐδ' ὧς ἑτάρους ἐρρύσατο. ἀναφορὰν, ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον. θαυμασμὸν, ὡς ἀγαθαὶ φρένες ἦσαν ἐχέφρονι Πηνελοπείῃ. τὸ οὕτως, ὡς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ. τὸν ἵνα σύνδεσμον, ὡς μοι καὶ τὸν δ' ἄνδρα πελώριον ἐξονομήνῃς. τὸ ὅπως, ὡς σπείσῃς Διὶ πατρί. τὸ ὅτι, Γνώσεσθ' ὡς θεός εἰμι. τὸ ἐπεὶ, ὡς εἶδε χῶρον ἔρημον. τὸ εἴθε εὐκτικὸν, ὡς ὄφελ' αὐτόθ' ὀλέσθαι. καὶ ἀντὶ τοῦ διό, ὡς σὰν ἔπει τ' ἀπὸ στεῖο φίλον τέκος. τὸν εἰ συναπτικὸν σύνδεσμον, ὡς ὑμεῖς περ ἐμεῖο βοὴν ἐπὶ νηαίνοιτε. τὸ ὁμοίως, ὡς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν. τὸ ὅπως, Ἦρξατο ὡς τὰ πρῶτα. τὴν πρόθεσιν, ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον. τὸ τοσοῦτον, Νῆα θοὴν ἐπὶ πόντον ἐλαυνέμεν, ὡς δὲ γυναικί. τὸ ὅσον, Καὶ κρέας ὡς οἱ χεῖρες ἐχάνδανε. τὸ ὅτε, ὡς ἤτοι ποταμῷ γεδαμήμεναι αἴσιμον ἦεν. τὸ εὐθέως, ὡς εἶδεν, ὥς μιν μᾶλλον ἔδυ χόλος. τὸ ὡσαύτως, ὡς δ' αὖ νῦν μοι ἄγασθε θεοί. βεβαίωσιν, ὡς χαρίεσσι τ' ἄνθρωπος ἀνθρώποισι. τὸ ἄγαν, ὡς τοῦ τ' ἀληθὲς ἀττικόν. τὸ ἕως, ὡς ὁ μὲν ἔνθα πολὺν βίοτον. τὸ οὕτως, ὡς ποτ' ἐκεῖνος νῦν αὖτε. τὸ οὐκέτι, ὡς οὐκ ἔστι χάρις μετόπισθεν εὐεργεσιάων. διηγηματικὸν κεφάλαιον, ὡς ἦλθ' ὡς αἰγιαλὸς ἐμήσατο. καὶ ἐπὶ τοῦ λίαν, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε. Ἀλλὰ καὶ ὡς ἐθέλω δόμεναι. περισπᾶται δὲ καὶ ὅτε σημαίνει τὸ οὕτως. Χρὴ μὲν σφωΐτερον. καὶ ἑξῆς. ὡς γὰρ ἄμεινον ὥσπερ εἶεν. ὡς κεν, ὅπως ἄν. τὸ ὡς, ἀντὶ τοῦ ὅπως. τὸ κεν, ἀντὶ τοῦ ἄν. ὡσεὶ, ἐπίρρημα παρέλκον, ἤτοι ἐπακολουθοῦν. προσέλαβε γὰρ τὸ παραβολικὸν ὡς, καὶ τὸν εἰ συναπτικὸν σύνδεσμον. οἱ δὲ, ἐπὶ παραβολῆς λέγουσιν εἶναι.

Ὠσχοὶ, τὰ κλήματα σὺν αὐτοῖς τοῖς βότρυσι. καὶ ὠσχοφόροι, οἱ ταῦτα τῇ Σκιράδι Ἀθηνᾷ προσφέροντες ἐν γυναικείαις στολαῖς. καὶ ὠσχοφόριον, τόπος Ἀθήνησιν, ἔνθα καὶ τὸ ἱερὸν τῆς Ἀρτέμιδος. καὶ ὠσχοφόρια, ὄνομα ἑορτῆς. ἀπὸ τῆς ὤσχης τῆς κληματίδος.

Ὠστίζοντο, ὤθουν. συνέθλιβον. ἐκ τοῦ ὠθῶ. ὁ μέλλων, ὤσω. πλεονασμῷ τοῦ τ μετὰ περισπωμένης, ὠστῶ. ἐκ τούτου ὠστίζω. καὶ τὸ παθητικὸν, ὠστίζομαι.

Ὦτα. Ἀπολλόδωρος μὲν, ἀπὸ τοῦ δέχεσθαι τὴν ὄσσαν. οἱ δὲ, δι' ὧν ὠθεῖται ἡ φωνή. οἱ δέ φασι κατὰ μετάθεσιν τοῦ π εἰς τ, ὦπα τινὰ ὄντα, παρὰ τὸ ὄπας ἔχειν. ἢ παρὰ τὸ δέχεσθαι τὴν ὄπα, ὅ ἐστι, τὴν φωνήν. οὕτως Ἡρακλείδης.

Ὦταν, ἀντὶ τοῦ ὦ πρὸς φιλέστατε. ὦ ἑταῖρε. ἐστιν

ἔτης, ὃ σημαίνει τὸν συνήθη καὶ φίλον. ἐξ οὗ γίνεται παρώνυμον ἐτᾶν, ὡς ἑρμῆς, ἑρμᾶν, μέγιστος μεγιστᾶν. καὶ μετὰ τοῦ ὦ κλητικοῦ ἐπιρρήματος, ὦ ἐτᾶν. καὶ κατὰ συναλοιφὴν, ὦτᾶν. ἢ παρὰ τὸ ἔτης ὁ σημαίνει τὸν ἀληθῆ φίλον, ἔστιν ἔτην ἐτᾶν, ὡς ἔθος ἐθνῶν. ἢ ὥσπερ παρὰ τὸ δὴ ἔστι δῆτα, οὕτω καὶ παρὰ τὸ ὦ, ὦτα. πλεονασμῷ τοῦ ν, καὶ μεταβολῇ τοῦ τόνου. περισπᾶται δὲ, ὀφείλον ὀξύνεσθαι. διὸ μέρη λόγου ἐστί. καὶ κατὰ πλάνην ἀντὶ τῆς ἐπὶ τέλους ὀξείας, περισπωμένην ἔσχεν. ἐγένετο δὲ οὕτως. ἔτης, ἔτου, ἐτᾶν καὶ ὦ ἐτᾶν. καὶ κατὰ κρᾶσιν ὦτᾶν. λέγεται καὶ ἐπὶ εἰρωνείας, ὦ σύ.

Ὦ τε; ἐρώτησις γυνή. ἀντὶ τοῦ καθάπερ. ἔχει δὲ τὸ ι. ἔστι γὰρ ὥστε. ἀποβολῇ τοῦ σ, καὶ κράσει τοῦ ω καὶ ε, ὦτε. Ὥτε ζεὺς κῦδος ἔδωκεν, ἀντὶ τοῦ ὥσπερ. διότι δύο μέρη λόγου ἐστί. τὸ ὦ, ἀντὶ τοῦ ὥσπερ. καὶ ὁ τε, παρέλκει.

Ὠτειλή, παρὰ τὸ οὐτῶ τὸ τιτρώσκω γίνεται οὐτειλὴ καὶ ὠτειλή. γέγονε τροπῇ τῆς ου διφθόγγου εἰς ω, καὶ τοῦ η εἰς τὴν ει δίφθογγον.

Ὦυτος ἀνήρ. ἔστιν ὁ αὐτός. κατὰ κρᾶσιν βοιωτικῶς. τοῦ αο εἰς ω μέγα, γίνεται ὦυτος.

Ὤχρος, ἐκ τοῦ χρόα ὅ ἐστι τὴν ἐπιφάνειαν τοῦ σώματος. διὰ γὰρ τῆς ἐπιφανείας ἐστὶν ἡ ὤχρίασις. λοιπὸν ἐκ τοῦ χρόα ἐστὶν ἄχρος. καὶ ὑπερβιβασμῷ καὶ κράσει, ὦχρος. προπερισπωμένου μὲν, λέγεται αὐτὴ ἡ ὠχρίασις. ὀξυτόνου, ὠχρός τέμνει εἶλε παρειάς. ἰλιάδος γ. ὀξυτόνου μὲν δὲ, ἐπὶ τῶν μετεχόντων τῆς ὠχριάσεως. ὀξυτόνου, ὠχρὸς ἄνθρωπος, ὁ μετεσχηκὼς τῆς ὠχρότητος.

Ὤρτο. ἔστιν ὄρω. ὁ μέλλων ὄρσω. ὁ παθητικὸς ἐνεστὼς, ὄρομαι. ὁ παρατατικὸς, ὠρόμην ὤρου ὤρετο, καὶ συγκοπῇ ὦρτο. ἢ ὄρω, ὀρῶ. ὤρκα ὦρμαι. ὤρμην. ὦρσο. ὦρτο, καὶ

Ὢψ, παρὰ τὸ ὅπω τὸ βλέπω. ὁ μέλλων, ὄψω, καὶ ἐνδεκτικῶς ἀποβολῇ τοῦ ω, ὄψ. καὶ αὐξήσει, ὢψ. ἔστι δὲ ῥία. διὸ διὰ τοῦ ω μεγάλου. τὸ πρόσωπον, καὶ τὸν ὀφθαλμόν. ἔστι καὶ κύριον ὄνομα ὡς ἐν ὀδυσσεία. Ὦπος θυγάτηρ. σημαίνει καὶ διὰ τοῦ ο μικροῦ τὴν φωνήν.

Ὦτος, ζῷον ὅμοιον νυκτικόρακι. ἔνιοι δὲ αὐτὸ καὶ νυκτικόρακα καλοῦσιν. ἔστι δὲ καὶ παλαιόν. εἴληφε δὲ τοὔνομα, διὰ τὸ περὶ τὰ ὦτα πτέρυγας ἔχειν. δοκεῖ δὲ εὔηθες εἶναι, καὶ εὐεξαπάτητον. γράφει οὖν περὶ αὐτοῦ ἀριστοτέλης. Ὁ δὲ ὦτος ὅμοιος γλαυκὶ, καὶ περὶ τὰ ὦτα πτερύγια ἔχει.

Ὠιδαφόροι οἱ τὰς ὠιδὰς φέροντες ἐργάται. ὠὸς γὰρ εἶδος ὀρνέου. ὠιοφόροι δὲ, οἱ τὰ ὦτα συντεθλασμένοι, ὅτε ὠτοκατάξιδες. ὅσαι δὲ τοιοῦτοι ἀπὸ παλαίστρας :~

ΤΕΛΟΣ ΤΟΥ Ω ΣΤΟΙΧΕΙΟΥ ~

Τὸ μέγα ἐτυμολογικὸν ἐντυπωθὲν, πέρας εἴληφεν ἤδη σὺν θεῷ ἐνεργείαις. ἀναλώμασι μὲν, τοῦ εὐγενοῦς καὶ δοκίμου ἀνδρὸς, κυρίου Νικολάου βλαστοῦ τοῦ κρητὸς. παραινέσει δὲ τῆς λαμπροτάτης τε, καὶ σωφρονεστάτης κυρίας Ἄννης θυγατρὸς τοῦ πανσεβεστάτου καὶ ἐνδοξοτάτου κυρίου Λουκᾶ νοταρᾶ ποτὲ μεγάλου δουκὸς τῆς κωνσταντινουπόλεως. πόνῳ δὲ καὶ δεξιότητι, Ζαχαρίου καλλιέργου τοῦ κρητὸς. τῶν λογίων ἀνδρῶν χάριν, καὶ λόγων ἑλληνικῶν ἐφιεμένων. Ἔτει τῷ ἀπὸ τῆς Χριστοῦ γεννήσεως, χιλιοστῷ τετρακοσιοστῷ ἐνενηκοστῷ ἐνάτῳ. Μεταγειτνιῶνος, ὀγδόῃ ἱσταμένου :~

Η ΤΩΝ ΤΕΤΡΑΔΙΩΝ ΠΑΝΤΩΝ ΤΟΥ ΕΤΥΜΟΛΟΓΙΚΟΥ ΙΘΥΤΗΣ, ΑΥΤΗ ΣΟΙ ΦΙΛΕ ~

Α
Μάρκου μουσούρου
ἐτυμολογικοῦ.
ἄβρικτον.
μεγάλω. ἄγε
ἄγρων λήγοντα.

Β
ἀνῆν, τὸ
αἴσχιστος.
αἴθυιας.
οἷον, Ἀκήν

Γ
λάσαι.
ἀλλόκοτον.
ἢ ἄσυ.
αι. ἐξερχόμεναι.

Δ
ἔστι δὲ ἐκ τοῦ
διὰ ἀνερρύηται.
ἀνέδειν τὸ.
ἀνήκην, ἀνή

Ε
ἀπὸ διοπομπεῖσθαι
ἀμοργίς.
μέλλον πρός.
πρῶτον.

Ζ
φέρειν τὸ
ἀγῶνι ὑπὲρ
ἀταλαλία.
μηκῶν. τὰ δὲ

Η
ἀρχὴ τοῦ βῆτα.
βαῖν. εἶμεν.
κυρήνην.
κακοδαίμον.

Θ
σημαίνουσιν.
ἀρχὴ τοῦ γάμμα
γίνεται. καὶ
γένισμενό.

Ι
ἀρχὴ τοῦ δέλτα.
τῶν ἑταῖρ, οἰδάνος.
ὠνόμασαι.
μέλη παρά.

Κ
διὸ οἱ τεθνεῶτες.
διονύσιος.
τὸ δέλτα μετὰ.
δόχμιος, ὁ

Λ
ὠνόμασαν δέ.
καὶ οὐχ ἥλωνται.
γεγενῆσθαι ἀπὸ
εἶναι. πᾶσα.

Μ
σημαίνοντος.
ὡς διὰ πάντος.
κατὰ ἐπένθεσιν.
λιμένος.

Ν
τεῖλε. προ
ἐρανιστής.
ὁ φίλος. ἢ
ῥῆγα. καὶ

Ξ
εὐρύαλος.
ἐπιβλέπειν.
κωκυτόν.
ζατῶ, τὸ

Ο
ἡλαιθερές,
ἥμερ, ἢ κμέ
ὁρισμὸν δὲ
ἐρῶ, ἔρανον

Π
θριπηδέστατον
θάνος παρὰ.
ἀρχὴ τοῦ ἰῶτα
ἰδαῖοι δὲ

Ρ
διάλισιν
ἔχουσαν.
μισγάγειν.
ἀσέλγειαν.

Σ
κινάμωμον.
κλεψύδρα.
ἡ ἐρυθδέξα
ταρνῶς φησι

Τ
κύβος. ὅκυ
γειῶν τῶν
λὸς ἐγχρονίζων.
ὡς τὸ ὕας.

Υ
ἀρχὴ τοῦ μῦ
μελαγχρής.
μὲν διήστος
ρεται γὰρ

Φ
μὴ στερητικόν.
νέμω. νέμω
ἀρχὴ τοῦ ξῦ
ἀρχὴ τοῦ ὂ.

Χ
ὅθεν καὶ ὁ
διὸ κανόνες.
ῥοβοσκός.
οὐτάμενοι.

Ψ
λοῦνται. οἷον,
περισκέπω.
πεπλεγμένον.
ἵνα κατασκευ

Ω
καὶ πρότερος.
ἀπὸ πετανύμενον.
πωρός, ὅθεν
κύρια εἴτε

ΑΑ
παρὰ τὸ συλῶ
σπλάγχνα.
στιχῶ. καὶ
στυπεῖον,

ΒΒ
ὅτι τελετάς.
τετύκοντο,
τιμήσεως.
τόπος. παρὰ

ΓΓ
καὶ φιλότητι.
ὑσάνους,
φάραγγες,
φημι. ὡς

ΔΔ
χειμάρροις.
χοροίτυπος,
ἀρχὴ τοῦ ψῖ.

quisquis in hunc librum rapidos immiserit ungues
Pendulus a furca pectore pascat aves :-

Blas Mathias Arieta

ETYMOL[illegible] MAGNVM G[illegible]

ETYMOLOG. MAGNVM Græc